μεν, ὅτι οὗτός ἐστιν ὁ ζῶν τε ἀληθινὸς Θεός· ᾧ πᾶσα γλῶσσα ἐξομολογεῖται, ὅτι κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ πατρός. Θεὸν, φησὶν, ἕνα, ἀνάρχως, ἀϊδίως, ἀτελευτήτως μόνον. πάλιν νοήσατε ἄκακοι πανουργίαν· φησὶν ὁ Σολομῶν· μή ποτε εἰς ἄρνησιν τῆς τοῦ μονογενοῦς θεότητος ἀπατηθέντες ἐκπέσητε· ἀτελεύτητόν ἐστι τὸ θανάτου καὶ φθορᾶς ἀνεπίδεκτον. ὡσαύτως καὶ ἀΐδιον τὸ μὴ πρόσκαιρον λέγεται. ὃ τοίνυν μήτε ἀΐδιόν ἐστι, μήτε ἀτελεύτητον· τοῦτο πάντως ἐν τῇ φθαρτῇ τε καὶ ἐπικήρῳ θεωρεῖται φύσει. οὐκοῦν ὁ τὸ ἀτελεύτητον τῷ ἑνὶ καὶ μόνῳ B προσμαρτυρῶν Θεῷ· μὴ συμπαραλαμβάνων δὲ τὸν υἱὸν τῇ τοῦ ἀτελευτήτου καὶ ἀϊδίου σημασίᾳ, φθαρτὸν αὐτὸν εἶναι καὶ πρόσκαιρον διὰ τοῦ τοιούτου λόγου κατασκευάζει τὸν τῷ ἀϊδίῳ καὶ ἀτελευτήτῳ ἀντιδιαστελλόμενον. ἡμεῖς δὲ κἂν ἀκούσωμεν ὅτι μόνος ὁ Θεὸς ἔχει τὴν ἀθανασίαν, τὸν υἱὸν διὰ τῆς ἀθανασίας νοοῦμεν. ἀθανασία γάρ ἐστιν ἡ ζωή· κἂν λέγηται φῶς οἰκεῖν ἀπρόσιτον. πάλιν τὸ ἀληθινὸν φῶς ὅπερ ἐστὶ τῷ ψεύδει ἀπρόσιτον, τὸν μονογενῆ νοεῖσθαι οὐκ ἀμφιβάλλομεν, ἐν ᾧ τὸν πατέρα εἶναι παρ' αὐτῆς C τῆς ἀληθείας ἐμάθομεν. ἐκ τούτων δὲ ὁ ἀκροατὴς, ἐπιλεξάσθω τὸ εὐσεβέστερον. εἴτε οὕτω χρὴ περὶ τοῦ μονογενοῦς θεοπρεπῶς δοξάζειν· εἴτε φθαρτόν τε καὶ πρόσκαιρον εἶναι λέγειν, ὡς ὑφηγεῖται ἡ αἵρεσις. οὐ τὴν οὐσίαν, φησὶ, καθ' ἥν ἐστιν εἷς, χωριζόμενον εἰς πλείους· ἢ ἄλλοτε ἄλλον γινόμενον, ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον, οὐδὲ ἐκ μιᾶς οὐσίας εἰς τρισσὴν ὑπόστασιν σχηματιζόμενον· πάντη γὰρ καὶ καθάπαξ ἐστὶν εἷς, κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος. ἐκ τούτων δὲ τῶν προτεθέντων προσήκει τὸν D συνετὸν ἀκροατὴν διακρῖναι, πρῶτον μὲν τὰ χωρὶς διανοίας ἐκριφέντα τῷ λόγῳ διάκενα ῥήματα ἀπὸ τῶν δοκούντων τινὰ ἔχειν. μετὰ ταῦτα δὲ τὴν διελεγχομένην ἐν τοῖς ὑπολοίποις διάνοιαν τῶν εἰρημένων ἐπισκοπεῖν· εἰ συμβαίνει τῇ περὶ τὸν Χριστὸν εὐσεβείᾳ. τὰ μὲν οὖν προκείμενα τὰ ἀπαρτισθέντα καθόλου πάσης καὶ ἀγαθῆς καὶ κακῆς διανοίας κεχώρισται. τίνα γὰρ διάνοιαν ἔχει τὸ, οὐ τὴν οὐσίαν καθ' ἥν ἐστιν εἷς, χωριζόμενον εἰς πλείους, ἢ ἄλλοτε ἄλλον γινόμενον, ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον. οὔτ' ἂν αὐτὸς εἴποι· οὔτε τινὰ τῶν συμμαχούντων αὐτῷ νομίζω δύνα-

σθαι δὲ ἐξευρεῖν σκιάν τινα διανοίας ἐν τοῖς εἰρημένοις. οὐ τὴν οὐσίαν καθ' ἣν ἐστὶν εἷς χωριζόμενον αὐτὸν λέγει τῆς οὐσίας αὐτοῦ μὴ χωρίζεσθαι, ἢ τὴν οὐσίαν λέγει ἀπ' αὐτοῦ μὴ μερίζεσθαι· ψόφος τίς ἐστι, καὶ ἦχος μάταιος εἰκῇ συγκείμενος, ὁ ἀσήμαντος οὗτος λόγος. καὶ τί χρὴ παραμένειν τῇ ἐξετάσει τῶν ἀδιανοήτων τούτων ῥημάτων; πῶς γάρ τις τῆς ἑαυτοῦ οὐσίας χωρισθεὶς ἐν τῷ εἶναι μένει; ἢ πῶς ἡ οὐσία τινὸς μερισθεῖσα, ἐφ' ἑαυτῆς δείκνυται; ἢ πῶς ἐστι δυνατὸν ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἐκβάντα, ἄλλον γενέσθαι ἔξω ἑαυτοῦ γενόμενον; Ἀλλ' οὐδὲ ἐκ μιᾶς, φησὶν, οὐσίας εἰς ὑποστάσεις τρεῖς σχηματιζόμενον. πάντη γὰρ καθάπαξ ἐστὶν εἷς, κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος. Ὃ μὲν οὖν ἀδιανόητον ἐν τοῖς εἰρημένοις, παντὶ δῆλον εἶναι καὶ πρὸ τῶν ἡμετέρων οἶμαι λόγων· τούτοις δὲ ἀντιλεγέτω ὁ νομίζων εἶναί τινα ἐν τοῖς λεγομένοις νοῦν ἢ διάνοιαν· ὁ γὰρ κρίνειν ἐπισκεμμένος λόγου δύναμιν, ἀπαξιώσει τοῖς ἀνυποστάτοις συμπλέκεσθαι. τίνα γὰρ ἰσχὺν ἔχει κατὰ τοῦ ἡμετέρου δόγματος, τὸ λέγειν οὐ τὴν οὐσίαν καθ' ἥν ἐστιν εἷς χωριζόμενον, ἢ μεριζόμενον εἰς πλείους, ἢ ἄλλοτε ἄλλον γινόμενον· ἢ τοῦ εἶναι ὅ ἐστι μεθιστάμενον· οὔτε ἐκ μιᾶς οὐσίας εἰς ὑποστάσεις τρεῖς σχηματιζόμενον. ἃ μήτε λέγεται παρὰ τῶν Χριστιανῶν, μήτε πιστεύεται· μήτε ἐκ τῆς ἀκολούθου διὰ τῶν παρ' ἡμῖν ὁμολογουμένων νοεῖται. τίς γὰρ εἶπε τοῦτό ποτε· ἢ λέγοντος ἤκουσεν ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ. ὅτι ὁ πατὴρ τὴν οὐσίαν ἢ χωρίζεται ἢ μερίζεται, ἢ ἄλλοτε ἄλλος γίνεται, ἔξω ἑαυτοῦ γινόμενος· ἢ εἰς ὑποστάσεις τρεῖς σχηματίζεται; ἑαυτῷ ταῦτα λαλεῖ ὁ ΕΥνόμιος· οὐ πρὸς ἡμᾶς μαχόμενος, ἀλλ' ἰδίας φληνάφους εἴρων πολλὴν καταμίξας τῇ ἀσεβείᾳ τῶν λεγομένων τὴν ἄνοιαν. ἡμεῖς γὰρ ἐπίσης ἀσεβές τε καὶ ἄθεον λέγομεν, καὶ τὸ κτιστὸν λέγειν τὸν δεσπότην τῆς κτίσεως· καὶ τὸ οἴεσθαι τὸν πατέρα καθό ἐστι, χωρίζεσθαι ἢ τέμνεσθαι, ἢ ἑαυτοῦ ἐξίστασθαι· ἢ εἰς ὑποστάσεις τρεῖς σχηματίζεσθαι ὥσπερ τινὰ πηλὸν, ἢ κηρὸν, ἐν μορφαῖς διαφόροις διαπλαττόμενον. ἀλλὰ τοὺς ἐφεξῆς λόγους σκεψώμεθα. πάντη γὰρ καὶ καθάπαξ ἐστὶν εἷς

A tentiæ vmbram aliquam arbitror poſſe inuenire. [Non eſsētia ſecundum quam eſt vnus.] Separatum ipſum dicit ab eſſentia ſui ipſius; non ſeparari, vel eſſentiam eius dicit ab ipſo non diuidi. Strepitus quidam eſt & ſonitus inanis temerè conflatus, hæc nihil ſignificans oratio. Ecquid eſt neceſſe in verborum mente & ſenſu carentium examinatione diutius inſiſtere? Quomodo enim quis à ſua ipſius eſsētia diuulſus in ſuo eſſe manet? vel quomodo eſſentia alicuius in partes diuiſa in ſeipſa oſtenditur? vel qui fieri poteſt, vt qui ab eo in quo eſt exierit, a-B lius fiat extra ſeipſum factus? [Sed neque ex vna, ait, eſſentia in tres hypoſtaſes figuratū. Prorſus enim & penitus vnus eſt, ſecundum eadē & eodem modo permanens ſolus.] Quod igitur mente caret & ſenſu in iis quæ recitata ſunt Eunomij verbis, cuiuis perſpicuū eſſe etiam ante noſtras rationes arbitror: his ergo cōtradicat, qui putat iis verbis aliquā mentem & intelligentiam ineſſe: qui enim ſermonis iſtius vim conſiderauerit, abſurdis & nullūm fundamentū habentibus implicari & hærere dedignabitur. Quid enim C roboris & momēti contra noſtrū dogma habet, hoc enuntiare, non eſſentia ſecundum quā eſt vnus ſeparatū, vel in plures partitione facta diuulſum, aut qui aliâs alius efficitur: vel qui ab eo quod eſt, eſſe diſcedit: neque ex vna eſſentia in tres ſubſiſtentias transformatur. Quæ neque à Chriſtianis dicūtur, neque creduntur: neque ex conſequente per ea quæ apud nos certa ſunt & conceſſa, intelliguntur. Quis enim hæc vnquam dixit: vel ex dicente in Dei Eccleſia audiuit? Quòd Pater ſecundum eſſentiā vel ſeparatur vel diſtribuitur, vel aliâs alius gignitur, extra D ſeipſum factus, & quod in tres hypoſtaſes figuratur? Sibi ipſi loquitur Eunomius: nō nos oppugnās, ſed ſuas nugas nectēs, plurimā impietati ſuæ dementiam ex his dictis admiſcuit. Nos enim ex æquo & impium, & quod Deum tollit dicimus, creaturæ dominum quid creatum eſſe profari: & putare Patrem quā eſt, ſeparari vel diſſecari, vel ex ſeipſo emigrare, vel in tres ſubſiſtentias ſiue perſonas formari, velut lutum quoddam, vel ceram cùm formis differentibus effingitur. Sed quæ ſequuntur verba conſideremus. [Omni ex parte & abſolutè vnus eſt.

Verba Eunomij iterata.

ſecundum eadem & eodem modo permanens ſolus.] Si de Patre dicit, hoc etiam nos comprobamus. Vnus enim eſt verè Pater, ſolus etiam vbique & prorſus omninóque, & ſecundum eadem eodémque modo ſe habens. Neque vnquam quod eſt, neque non ens, neque non futurus. Si ergo hæc vox Patrem reſpicit, pietatis decreto non pertinax aduerſetur, ſed in hac parte Eccleſiæ conſentiat. Qui enim Patrem ſemper & eodem modo ſe habere confitetur, vnumque & ſolum eſſe confirmat, pietatis retinet doctrinam, intuens in Patre filium: ſine quo pater neque eſt neque dicitur. quòd ſi aliquem alium Deum præter patrem fingit, cum Iudæis diſputet, vel cum his qui Hypſiſtiani nominantur: Quorum eſt hæc cum Chriſtianis diſcordia, quòd ipſi Deum quidem confitentur eſſe quendam, quem nominant ὕψιστον, id eſt, altiſſimum, vel παντοκράτορα, id eſt, omnipotentem: patrem autem ipſum eſſe non admittunt. Chriſtianus verò niſi Deo patri credat, Chriſtianus non eſt. Quæ his deinceps adijcit hæc ſunt. [Non habens, inquit, Deitatis ſuæ participem ſocium, non partiarium gloriæ, non conſortem poteſtatis, non regni conſeſſorem. vnus enim eſt & ſolus Deus omnipotens, Deus deorum, rex regnantium: dominus dominantium.] Neſcio in quem intuens Eunomius, non ipſi diuinitatem communicare patrem conteſtatur. Siquidem ad ſimulacra vana & ad confictam ſimulacricolarum opinionem talia dicit: quemadmodum Paulus clamat: Quòd non eſt conſenſio, ſiue conuentio Chriſto cum Beliar, neque communicatio templo Dei cum templis idolorum, etiam nos confirmamus. Quòd ſi vnigenitum Deum per ea quæ dicuntur, à patria deitate ſeparat: diſcat, dilemma impietatis eius in ſeipſum recriminationem conſtruere: vel enim abſolutè Dei vnigenitum negat eſſe Deum, vt Patri conſeruet ac vindicet, quod eſt cum filio in deitate incommunicabile, ac per hoc tranſgreſſor ac præuaricator redarguitur, Deo Chriſtianorum abnegato: vel ſi conceſſerit, illum eſſe Deum ſecundum naturan cum Deo vero non conuenientem, omnino neceſſarium eſt

Verba Eunomij.

1. Cor. 6.

A κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως διαμένων μόνος· εἰ περὶ τοῦ πατρὸς λέγει, τοῦτο καὶ ἡμεῖς συντιθέμεθα. εἷς γάρ ἐστιν ὡς ἀληθῶς ὁ πατὴρ, μόνος καὶ πάντη καθάπαξ κατὰ τὰ αὐτά τε καὶ ὡσαύτως ἔχων. καὶ οὐδέ ποτε ὅτε ἐστὶν, οὔτε μὴ ὢν, οὔτε μὴ ἐσόμενος. εἰ τοίνυν πρὸς τὸν πατέρα βλέπει ἡ τοιαύτη φωνὴ, μὴ μαχέσθω τῷ δόγματι τῆς εὐσεβείας, συμφωνείτω τῇ ἐκκλησίᾳ κατὰ τοῦτο τὸ μέρος. ὁ γὰρ ὁμολογῶν τὸν πατέρα πάντοτε καὶ ὡσαύτως ἔχειν· ἕνα καὶ μόνον ὄντα, τὸν τῆς εὐσεβείας κρατύνει λόγον· βλέπων ἐν τῷ πατρὶ τὸν υἱόν· οὗ χωρὶς πατὴρ οὔτε ἐστὶν, οὔτε λέγεται. εἰ δὲ ἄλλον τινὰ παρὰ τὸν πατέρα Θεὸν ἀναπλάσσει, Ἰουδαίοις διαλεγέσθω, ἢ τοῖς λεγομένοις Ὑψιστιανοῖς. ὧν αὕτη ἐστὶν ἡ πρὸς τοὺς Χριστιανοὺς διαφορά· τὸ Θεὸν μὲν αὐτοὺς ὁμολογεῖν εἶναί τινα· ὃν ὀνομάζουσιν ὕψιστον, ἢ παντοκράτορα· πατέρα δὲ αὐτὸν εἶναι μὴ παραδέχεσθαι. ὁ δὲ Χριστιανὸς, εἰ μὴ τῷ πατρὶ πιστεύει, Χριστιανὸς οὐκ ἐστίν. ἃ δὲ τούτοις ἐφεξῆς προστίθησι, ταῦτα ἐστίν. οὐ κοινωνὸν ἔχων, φησὶ, τῆς θεότητος, οὐ μερίτην τῆς δόξης, οὐ σύγκληρον τῆς ἐξουσίας, οὐ σύνθρονον τῆς βασιλείας. εἷς γάρ ἐστι καὶ μόνος Θεὸς ὁ παντοκράτωρ· Θεὸς θεῶν· βασιλεὺς τῶν βασιλευόντων· κύριος τῶν κυριευόντων. οὐκ οἶδα πρὸς τίνα βλέπων ὁ Εὐνόμιος, τὸ μὴ κοινωνεῖν ἑαυτῷ τῆς θεότητος τὸν πατέρα διαμαρτύρεται. εἰ μὲν γὰρ πρὸς τὰ εἴδωλα τὰ μάταια, καὶ τὴν πεπλανημένην τῶν εἰδωλολατρούντων ὑπόληψιν τὰ τοιαῦτα λέγει, καθὼς καὶ ὁ Παῦλος βοᾷ. ὅτι οὐκ ἔστι συμφώνησις Χριστῷ πρὸς Βελιάρ· οὐδὲ κοινωνία ναῷ Θεοῦ μετὰ εἰδώλων, καὶ ἡμεῖς συντιθέμεθα. εἰ δὲ τὸν μονογενῆ Θεὸν διὰ τῶν λεγομένων τῆς πατρικῆς ἀφορίζει θεότητος, μαθέτω ὅτι δίλημμα τὴν τῆς ἀσεβείας αὐτοῦ κατηγορίαν ἐφ' ἑαυτῷ κατασκευάζει· ἢ γὰρ ἀρνεῖται καθόλου Θεὸν εἶναι τὸν μονογενῆ Θεοῦ· ἵνα φυλάξῃ τῷ πατρὶ τὸ ἐν τῇ θεότητι πρὸς τὸν υἱὸν ἀκοινώνητον· καὶ διὰ τούτου παραβάτης ἐλέγχεται· τὸν Θεὸν τῶν Χριστιανῶν ἀρνησάμενος, ἢ εἰ δοίη κἀκεῖνον εἶναι Θεὸν κατὰ τὴν φύσιν τῷ ἀληθινῷ Θεῷ μὴ συμβαίνοντα, ἀνάγκη πᾶσα αὐτὸν Θεοὺς πρεσβεύειν ὁμολο-

ὁμολογεῖν, τῇ διαφορᾷ τῶν φύσεων ἀπ' ἀλλήλων διεσχισμένους. ἑλέσθω τοίνυν ὃ βούλεται, ἢ ἀρνήσασθαι τοῦ υἱοῦ θεότητα, ἢ θεοὺς ἐπεισάγειν τῷ δόγματι. ὅπερ γὰρ ἂν ἕληται τούτων, ἴσον ἐστὶν εἰς ἀσέβειαν· ἡμεῖς γὰρ παρὰ τῶν θεοπνεύστων τῆς γραφῆς λόγων μυσταγωγούμενοι, οὐχὶ κοινωνίαν θεότητος ὁρῶμεν ἐν πατρὶ καὶ υἱῷ, ἀλλ' ἑνότητα· τοῦτο τοῦ δεσπότου διὰ τῶν ἰδίων λόγων διδάξαντος. ἐν οἷς, φησί, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ ὅτι ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. Εἰ γὰρ μὴ τῆς αὐτῆς ἦν φύσεως, πῶς δὴ ἢ εἶχεν ἐν ἑαυτῷ τὸ ἀλλότριον, ἢ πῶς ἂν ἔδειξεν ἐφ' ἑαυτοῦ τὸ ἀνόμοιον· μὴ δεχομένης τῆς ξένης τε καὶ ἀλλοτρίας φύσεως, τὸν τῆς ἑτερογενοῦς χαρακτῆρα. λέγει δὲ ὅτι οὐδὲ μερίτην ἔχει τῆς δόξης. τοῦτο δὲ ὡς ἔχει λέγει, εἰ καὶ μὴ οἶδεν ὃ λέγει· οὐ γὰρ μερίζεται ὁ υἱὸς πρὸς τὸν πατέρα τὴν δόξαν, ἀλλ' ὅλην ἔχει τοῦ πατρὸς τὴν δόξαν, ὡς καὶ ὁ πατὴρ πᾶσαν ἔχει τοῦ υἱοῦ τὴν δόξαν. οὕτως γὰρ εἶπε πρὸς τὸν πατέρα ὅτι πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. διὸ καὶ ἐν τῷ καιρῷ τῆς κρίσεως ἐπιφανήσεσθαι ἑαυτόν φησι ἐν τῇ δόξῃ τοῦ πατρός. ὅτε μέλλει ἀποδιδόναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. δείκνυσι δὲ διὰ τῆς φωνῆς ταύτης τὸ ἡνωμένον τῆς φύσεως. ὡς γὰρ ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης· διὰ τὸ μὴ συμβαίνειν πρὸς ἄλληλα τῶν στοιχείων τὴν φύσιν, ὡς εἴγε ἡ αὐτὴ δόξα ἐπ' ἀμφοτέρων ἦν, οὐκ ἂν τις διαφορὰ τῆς φύσεως αὐτοῖν ἐνομίσθη, οὕτως ὁ ἑαυτὸν ἐν τῇ τοῦ πατρὸς δόξῃ φανήσεσθαι προειπών, ἔδειξε διὰ τῆς κατὰ τὴν δόξαν ταυτότητος, τὴν κοινωνίαν τῆς φύσεως. τὸ μὴ σύνθρονον τῆς βασιλείας λέγειν εἶναι τῷ πατρὶ τὸν υἱόν, πολλὴν μαρτυρεῖ τῷ ΕΥνομίῳ τὴν τῶν θείων λογίων μελέτην, ὃς ἐκ τῆς ἄγαν προσοχῆς τῶν θεοπνεύστων γραφῶν, οὔπω ἤκουσεν ὅτι τὰ ἄνω φρονεῖτε. οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενος, καί τι ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκάθηκεν· καὶ ἄλλα τοιαῦτα πολλά, ὧν οὐκ ἂν ῥᾳδίως τὸ πλῆθος ἐξαριθμήσειεν, ἅπερ μήπω μαθὼν ὁ ΕΥνόμιος, ἀπαγορεύει σύνθρονον εἶναι τῷ πατρὶ τὸν υἱόν. τὸ δὲ σύγκληρον τῆς ἐξουσίας μᾶλλον ὡς ἀνόητον παραδραμεῖν χρή, ἢ ὡς ἀσεβὲς διελέγξαι. τίνα γὰρ

A ipſum conſiteri, ſe orare deos naturarum differentia à ſe diuiſos ac diremptos. Horum vtrum voluerit, eligat, vel negare filij deitatem, vel deos ſuo dogmate inducere: vtrum enim horum elegerit nihil refert, ad impietatem par ſcelus eſt. Nos enim inſpiratis à Deo ſcripturæ verbis inſtituti & edocti non in Patre & Filio deitatis communionem cernimus, ſed vnitatem: hoc propriis verbis Domino docente, quibus ait, Pater & ego vnum ſumus, & qui vidit me vidit Patrem. *Ioan. 10.* Nam ſi non eſſet eiuſdem naturæ quomodo vel haberet in ſemet- B ipſo, quod alienum: vel quomodo in ſeipſo oſtenderet quod eſt diſſimile. externa & aliena natura non excipiente diuerſi generis characterem ſiue formam. Dicit autem quod gloriæ partiarium ſiue ſocium non habet. hoc autem vt ſe habet dicit, tametſi neſciat quid dicat: non enim filius cum patre gloriam partitur, ſed totam cum patre gloriam habet. Sicut etiam pater omnem cum filio habet gloriam. *Ioan. 17.* Sic enim dixit ad Patrem, quòd omnia mea tua ſunt & tua mea. Ideoque in tempore iudicij ſeipſum appariturum eſſe in glo- C ria patris affirmat, cùm redditurus eſt cuique ſecundum opera ſua, hac autem voce vnionem naturæ demonſtrat. *Matt. 25.* Quemadmodum enim alia gloria ſiue claritas Solis, alia Lunæ. *1. ad Corinth. c. 15.* quia horum elementorum natura ſibi inuicem non conueniat, quòd ſi amborum eadem eſſet gloria, nulla ipſorum naturæ putaretur differentia: ſic qui ſeipſum in patris gloria prædixit appariturum, per hanc eandem gloriam naturæ communionem demonſtrauit. Dicere autem filium non eſſe regni cum Patre conſeſſorem, hoc probat quàm ſit Eunomius D in diuinis eloquiis exercitatus, qui ex nimia diuinitùs inſpiratarum ſcripturarum attentione nondum audiuit: Quæ ſurſum ſunt ſapite, vbi Chriſtus eſt ad dexteram Patris ſedens, & quod ad dexteram throni Dei conſedit: *Coloſſ. c. 3.* multáque alia quæ ſunt eiuſmodi, quorum multitudinem non facilè quis recenſuerit: quæ cum nondum Eunomius didicerit, negat filium ſimul cum Patre ſedere. Hoc autem poteſtatis conſortem, magis vt quid dementiæ ac furoris ſimile percurrere oportet, quam vt impium & ſacrilegum redarguere. Quam enim

ſententiam habet συγκλήρου conſortis dictio ex communi orationis nuncupatione, non licet inuenire. Super veſtimentum Domini miſerunt ſortem, ſicut ſcriptura loquitur, qui noluerunt tunicam Domini diſcindere, ſed vnius ipſorum rem propriam facere, cui ſors gratuitò dederit. Illi igitur qui pro tunica inter ſe ſortem mittebant, dici poſſunt σύγκληροι, conſortes. Hîc autem minimè dici poteſt in Patre & Filio & Spiritu ſancto, cùm æqualem in rebus creatis habeant poteſtatem. Nam Spiritus ſanctus vbi vult ſpirat: & omnia in omnibus operatur prout vult, & Filius per quem omnia facta ſunt, viſibiliaque & inuiſibilia in cœlis & in terra: omnia quæ voluit fecit: & quos vult viuificat, & Pater in ſua poteſtate tempora poſuit, à temporibus autem omnia quæ ſunt in tempore facta patri ſubiecta eſſe intelligimus. Si igitur æqualem habere poteſtatem faciendi quæcunque volunt & Patrem & Filium & Spiritum ſanctum, ſicut diximus demonſtratum eſt. Quam igitur notionem habet hæc dictio conſortis poteſtatis? conſpicere non licet: qui enim eſt vniuerſorum hæres, qui ſeculorum conditor, qui cum gloria patris elucet, qui in ſeipſo patris hypoſtaſin figurat, & qui habet omnia quæcunque pater habet, omnis etiam poteſtatis Dominus eſt: non quod à Patre in Filium tranſmigret dignitas, ſed etiam apud ipſum maneat atque in illo ſit. Qui enim in patre eſt, cum omni nimirum ſua potentia eſt in patre: & qui in ſeipſo patrem habet, omnem patriam poteſtatem & vim complectitur. Totum enim in ſeipſo habet patrem: neque pars eius eſt. Qui autem totum habet, etiam poteſtatem eius omnino habet. Quid igitur Eunomius intelligens pronuntiat, patrem non habere poteſtatis conſortem? Dixerint fortaſſe vanitatis eius aſtipulatores diſcipuli: nam qui ſermones audire nouit ea quæ ſine mente & ſententia funditantur, ſe non intelligere fatetur. Non habet, inquit, Pater poteſtatis conſortem. Quis enim Patrem & Filium de poteſtate inter ſe ex ſortitione dicat contendere? Quibus mediator interueniens ſacer Eunomius amicabili conuenientia, ſine ſorte ſoli Patri poteſtatis tribuit iura præcipua & honoraria.

Ioan. c.19. ex Pſ. 20.

Ioan. 3.

Act. c.1.

Epheſ. c.1.

A διάνοιαν ἔχει ἡ τοῦ συγκλήρου λέξις, ἐκ τῆς κοινῆς τοῦ λόγου κατὰ χρήσεως, οὐκ ἔστιν εὑρεῖν. ἐπὶ τὸν ἱματισμόν τοῦ κυρίου βάλλουσι κλῆρον. καθὼς ἡ γραφὴ λέγει, οἱ μὴ βουλόμενοι διαχίσαι τὸν δεσποτικὸν χιτῶνα, ἀλλ' ἑνὸς αὐτῶν ποιῆσαι κτῆμα, ᾧ ἂν ὁ κλῆρος χαρίσηται. οἱ τοίνυν πρὸς ἀλλήλους ὑπὲρ τοῦ χιτῶνος διακληρούμενοι, δύναιντο ἴσως σύγκληροι λέγεσθαι. ἐνταῦθα δὲ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐν τῇ φύσει οὔσης τῆς ἐξουσίας. τότε γὰρ πνεῦμα τὸ ἅγιον ὅπου θέλει πνεῖ καὶ πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται, B καὶ ὁ υἱὸς δι' οὗ τὰ πάντα ἐγένετο ὁρατά τε καὶ ἀόρατα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς· πάντα ὅσα ἠθέλησεν ἐποίησεν· καὶ οὓς θέλει ζωοποιεῖ, καὶ ὁ πατὴρ ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ τοὺς χρόνους ἔθετο, ἀπὸ τῶν χρόνων δὲ, καὶ πάντα τὰ ἐν τῷ χρόνῳ γεγενημένα, νοοῦμεν εἶναι τῷ πατρὶ ὑπεζευγμένα. εἰ οὖν ἐν ἐξουσίᾳ τοῦ ποιεῖν ἃ βούλεται ὁ πατὴρ καὶ ὁ υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα ὡς εἴπομεν ἀποδέδεικται. τίνα νοῦν ἡ τοῦ συγκλήρου τῆς ἐξουσίας λέξις ἔχει; κατιδεῖν οὐκ ἔστιν, ὁ γὰρ πάντων κληρονόμος, ὁ τῶν C αἰώνων δημιουργὸς, ὁ τῇ δόξῃ τοῦ πατρὸς συναπολάμπων, καὶ χαρακτηρίζων ἐν ἑαυτῷ τοῦ πατρὸς τὴν ὑπόστασιν, πάντα ὅσα ὁ πατὴρ αὐτὸς ἔχει, καὶ πάσης ἐξουσίας κύριος ἐστὶν· οὐ μετοικισαμένης ἀπὸ τοῦ πατρὸς εἰς τὸν υἱὸν τῆς ἀξίας· ἀλλὰ καὶ παρ' αὐτῷ μενούσης καὶ ἐν ἐκείνῳ οὔσης. ὅτι γὰρ ἐν τῷ πατρὶ ὢν μετὰ πάσης δηλαδὴ τῆς ἑαυτοῦ δυνάμεως ἔστιν ἐν τῷ πατρί· καὶ ὁ ἐν ἑαυτῷ τὸν πατέρα ἔχων, πᾶσαν περιέχει τὴν πατρικὴν ἐξουσίαν καὶ δύναμιν. ὅλον γὰρ ἔχει ἐν ἑαυτῷ τὸν D πατέρα· καὶ οὐχὶ μέρος αὐτοῦ. ὁ δὲ ὅλον ἔχων καὶ τὴν ἐξουσίαν αὐτοῦ πάντως ἔχει. τί οὖν νοῶν ΕΥνόμιος ἀποφαίνεται; μὴ ἔχειν τὸν πατέρα σύγκληρον τῆς ἐξουσίας; εἴποιεν ἂν ἴσως οἱ τῆς ματαιότητος αὐτοῦ μαθηταί· ὁ γὰρ εἰδὼς ἐπαΐειν λόγων, τὰ δίχα διανοίας λεγόμενα, ὁμολογεῖ συνιέναι μὴ δύνασθαι. οὐκ ἔχει, φησὶ, σύγκληρον τῆς ἐξουσίας ὁ πατήρ. τίς γάρ ἐστιν ὁ λέγων ἐκ διακληρώσεως ὑπὲρ τῆς ἐξουσίας πρὸς ἀλλήλους τὸν πατέρα καὶ τὸν υἱὸν διαμάχεσθαι; οἷς μεσιτεύων ὁ ἱερὸς ΕΥνόμιος διὰ φιλικῆς συμβάσεως, ἄνευ κλήρου νέμει τῷ πατρὶ μόνῳ τὰ πρεσβεῖα τῆς ἐξουσίας.

ὁρᾶτε τὸ καταγέλαστον καὶ παιδαριῶδες τῆς χαμαιζήλου ταύτης τῶν δογμάτων ἐκθέσεως, ἆρα ὁ τὰ σύμπαντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, λέγων ἃ γενέσθαι θέλει, καὶ ποιῶν ἐν τῇ τοῦ προστάγματος δυνάμει ἃ βούλεται, οὗ σύνδρομος ἐστὶ τῇ βουλήσει ἡ δύναμις, καὶ μέτρον τῆς δυνάμεως αὐτοῦ τὸ θέλημα γίνεται. αὐτὸς γάρ, φησι, εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. ὁ πάντα δι' ἑαυτοῦ ποιήσας, καὶ ἐν ἑαυτῷ συστήσας. οὗ χωρὶς τῶν ὄντων οὐδὲν οὔτε ἐγένετο, οὔτε ἐν τῷ εἶναι μένει. οὗτος ἀναμένει ἐκ διακληρώσεως τινὸς ἔχειν τὴν ἐξουσίαν. κρίνατε οἱ ἀκούοντες, εἰ ὁ ταῦτα λέγων ἐν τῷ καθεστηκότι τὴν διάνοιαν ἔχει. εἷς γάρ ἐστι, φησί, καὶ μόνος Θεὸς παντοκράτωρ. Εἰ μὲν οὖν τὸν πατέρα διὰ τῆς τοῦ παντοκράτορος προσηγορίας ἐνδείκνυται, ἡμέτερον λέγει τὸν λόγον καὶ οὐκ ἀλλότριον· εἰ δὲ ἄλλον τινὰ παρὰ τὸν πατέρα νοεῖ παντοκράτορα, καὶ τὴν περιτομὴν εἰ δοκεῖ κηρυσσέτω. ὁ τῶν δογμάτων τῶν Ἰουδαϊκῶν προστάτης. τῶν γὰρ Χριστιανῶν ἡ πίστις πρὸς τὸν πατέρα βλέπει. πάντα δέ ἐστιν ὁ πατήρ. ὕψιστος, παντοκράτωρ, βασιλεὺς τῶν βασιλευόντων, κύριος τῶν κυριευόντων, καὶ πάντα ὅσα τῆς ὑψηλῆς ἔχεται σημασίας, τοῦ πατρός ἐστιν ἴδια, τὰ δὲ τοῦ πατρός, τοῦ υἱοῦ ἐστι πάντα. ὥστε τούτου ὄντος κἀκεῖνα δεχόμεθα. εἰ δὲ ἀφεὶς τὸν πατέρα, ἄλλον παντοκράτορα λέγει, τὰ τῶν Ἰουδαίων λέγει· ἢ καὶ τοῖς Πλάτωνος ἕπεται λόγοις. καὶ γὰρ κἀκεῖνον φασὶ τὸν φιλόσοφον λέγειν, εἶναι τινὰ ὑπεραίωνα κτίστην καὶ ποιητὴν ὑποβεβηκότων τινῶν Θεῶν. ὥσπερ οὖν ἐν τοῖς Ἰουδαϊκοῖς καὶ πλατωνικοῖς δόγμασιν ὁ τὸν πατέρα μὴ παραδεχόμενος, Χριστιανὸς οὐκ ἔστιν, κἂν παντοκράτορά τινα πρεσβεύει ἐπὶ τοῦ δόγματος, οὕτως καὶ ὁ Εὐνόμιος καταψεύδεται τοῦ ὀνόματος, Ἰουδαΐζων ἐπὶ τῷ φρονήματι. ἢ τὰ τῶν Ἑλλήνων πρεσβεύων, τὴν δὲ τῶν Χριστιανῶν προσηγορίαν ὑποδυόμενος, ἀλλὰ καὶ περὶ τῶν κατὰ τὸ ἀκόλουθον ἐκτιθεμένων, ὁ αὐτὸς ἔσται λόγος. λέγει γάρ, ὅτι Θεὸς Θεῶν· προσθέντες ἡμεῖς τὸ τοῦ πατρὸς ὄνομα, τὴν φωνὴν οἰκειούμεθα, εἰδότες ὅτι ὁ πατὴρ Θεός ἐστι τῶν θεῶν. τὰ δὲ τοῦ πατρὸς πάντα, τοῦ υἱοῦ ἐστι πάντως. καὶ κύριος τῶν κυριευόντων.

A videre ridiculam & puerilem, vilem & abiectam horum documentorum expoſitionem. An ille qui vniuerſa fert verbo ſuæ potentiæ, qui dicit quæ fieri vult, & qui facit in imperij virtute quæ vult? cui concurrit cum voluntate potentia, cuius potentiæ menſura eius eſt voluntas. Ipſe enim, inquit, dixit & facta ſunt, ipſe mandauit & creata ſunt. Qui omnia per ſe fecit, & in ſeipſo conſtituit. Quo ſine nihil eorum quæ ſunt, factum eſt, neque in natura manet. Iſte expectat ex quadam ſortitione eam poteſtatem obtinere. Iudicate auditores, B an qui hæc aſſerit ſit mentis compos. [Vnus eſt, inquit, & ſolus Deus omnipotens.] Si quidem Patrem omnipotentis appellatione oſtendit, noſtrum non alienum ſermonem pronuntiat: ſin autem alium aliquem præter Patrem intelligit omnipotentem, etiam circuncisionem ſi ei videatur prædicet, qui Iudaïcorum decretorum eſt pręſtes. Chriſtianorum ſiquidem fides in Patrem intuetur. Omnia enim eſt Pater. [Altiſſimus, omnipotens, rex regnantium, Dominus dominantium] & quæcunque excelſam habent & eximiam C ſignificationem, patris ſunt propria & quæ ſunt patris, etiam filij ſunt omnia. Quod ſi ita eſt, hæc etiam admittimus. Si autem patre omiſſo alium omnipotentem autumat, decreta Iudæorum profert, vel Platonis doctrinam ſequitur, Nam & illum philoſophum aiunt dicere, eſſe quendam ſupremum creatorem & factorem quorumdam aliorum deorum inferiorum. Quemadmodum igitur in Iudaïcis & Platonicis decretis qui patrem non admittit Chriſtianus D non eſt, tametſi omnipotentem quendam colat in ſuo dogmate; ſic etiam Eunomius contra nomen mentitur, Iudaizans præ ſuperbia & mentis ferocia, vel Græcorum numina præferens, Chriſtianorum appellationem ſubinduit. Quin etiam de his quæ ſequuntur, eadem erit oratio. Dicit enim quod [Deus Deorū.] Nos adiecto Patris nomine, vocem familiarem & propriam facimus, ſcientes quòd Pater Deus Deorum. Quæ vero ſunt Patris omnia omnino etiam ſunt Filij. & [Dominus dominantium.]

Hebr. c. 1. *Pſ. 148.* *Ioan. 1.* *1. Tim. 6.* *In Timæo.* *Verba Eunomij.*

eadem de hoc quoque eſt oratio. atque altiſſimus ſupra omnem terram. Nam quemlibet mente conceperis, altiſſimus eſt ſuper omnem terram. Similiter ſupernè in terreſtribus facta ſpeculatione à Patre, Filio & Spiritu ſancto. Verùm etiam quæ deinceps dictis adijciuntur. [Altiſſimus in cœleſtibus, altiſſimus in altiſſimis, ſupercœleſtis, verus in eſſentia, qui eſt & permanet. verus in ſermonibus, verus in operibus.] hæc enim omnia ex æquo inſpicit Chriſtianorum oculus in Patre & Filio & Spiritu ſancto. Quòd ſi ſolum vni alicui earum quæ fide traditæ ſunt, perſonæ Eunomius hæc attribuit. audeat aſſerere non veracem eſſe eum qui dixit: Ego ſum veritas: vel ſpiritum veritatis, vel verum in operibus non concedat eum qui facit iudicium & iuſtitiam, vel ſpiritum qui efficit omnia in omnibus prout vult, hæc enim niſi his quæ traditæ ſunt in fide, perſonis, aſtipulentur, in vniuerſum Chriſtianorum fidem expungunt & obliterant. Quomodo enim quis fide dignum exiſtimabit mendacem in ſermonibus, nõ verum in operibus ſuis? Sed ad id quod ſequitur pergamus. Dicit enim [omni imperio, ſubiectione, poteſtate ſuperior eſt,] Noſter hic eſt ſermo, & Catholicæ Eccleſiæ proprius. Credere nempe naturam diuinam omni imperio ſuperiorem eſſe. ſubiectum autem ſuiipſius habere quidquid in his quæ ſunt intelligitur. Diuina autem natura Pater & Filius & Spiritus ſanctus. Quòd ſi hanc potentiam ſoli patri ſuo teſtimonio aſſerat: & ſi ſolum eum ab viciſſitudine & mutatione liberũ affirmat, atque ipſum ſolum incorruptum, perſpicuum & manifeſtum planè quod ex his conſtruitur. quòd qui hæc non habet mutabilis prorſus & corruptibilis & interitui obnoxius. Hæc igitur Eunomius dogmata tradit de vnigenito Deo & Spiritu ſancto, non enim vteretur hac differentia dum his patrem diſtinguit, niſi hanc haberet de Filio & Spiritu ſancto ſententiam. Reliquum fratres probate. ſi non eſt Chriſtianorum fidei perſecutor, dum hæc ſentit. Quis enim quod vertitur, & mutatur, quod fato obnoxium eſt & interitui, ſibi venerandum eſſe dijudicarit?

Verba Eunomij.

Ioan. 14.

A ὁ αὐτὸς καὶ περὶ τούτου λόγος· καὶ ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. ὃν γὰρ ἂν τῇ διανοίᾳ λάβῃς, ἐκεῖνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. ὁμοίως ἄνωθεν τοῖς ἐπιγείοις τῆς ἐπισκέψεως γινομένης παρά τε τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀλλὰ καὶ τὰ ἐφεξῆς τοῖς εἰρημένοις προσκείμενα. ὕψιστος ἐν οὐρανοῖς, ὕψιστος ἐν ὑψίστοις, ἐπουράνιος, ἀληθινὸς ἐν τῷ εἶναι, ὃ ἐστι καὶ διαμένων· ἀληθινὸς ἐν λόγοις, ἀληθινὸς ἐν ἔργοις. ταῦτα γὰρ πάντα ἐξ ἴσης ἐνορᾷ ὁ τῶν Χριστιανῶν ὀφθαλμὸς ἐπὶ

B πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου. Εἰ δὲ μόνον ἑνί τινι τῶν ἐν τῇ πίστει παραδοθέντων προσώπων ὁ Εὐνόμιος ταῦτα νέμει· τολμησάτω μὴ ἀληθινὸν εἰπεῖν ἐν λόγοις τὸν εἰπόντα. ὅτι ἐγώ εἰμι ἡ ἀλήθεια, ἢ τὸ πνεῦμα τῆς ἀληθείας, ἢ ἀληθινὸν ἐν ἔργοις, μὴ συντιθέσθω τὸν ποιοῦντα κρίμα καὶ δικαιοσύνην, ἢ τὸ πνεῦμα τὸ ἐνεργοῦν τὰ πάντα ἐν πᾶσι καθὼς βούλεται, ταῦτα γὰρ εἰ μὴ προσμαρτυροίη τοῖς παραδοθεῖσιν ἐν τῇ πίστει προσώποις, καθόλου τὴν τῶν Χριστιανῶν παραγρά-

C φεται πίστιν. πῶς γάρ τις πίστεως ἄξιον οἰήσεται τὸν ψευδῆ μὲν ἐν τοῖς λόγοις, μὴ ἀληθινὸν δὲ ἐν τοῖς ἔργοις αὐτοῦ; ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου προσέλθωμεν. Φησὶ γὰρ ὅτι ἀρχῆς ἁπάσης ὑποταγῆς ἐξουσίας ἀνώτερος. ἡμέτερος ἐστὶν ὁ λόγος καὶ τῆς καθολικῆς ἐκκλησίας ἴδιος, τὸ πιστεύειν τὴν θείαν φύσιν πάσης ἀρχῆς ἀνωτέραν εἶναι. ὑποχείριον δὲ ἑαυτῆς ἔχειν πᾶν ὅτι περ ἐστὶν ἐν τοῖς οὖσι νοούμενον. θεία δὲ φύσις ὁ πατὴρ καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. εἰ δὲ μόνῳ τῷ πατρὶ ταύτην προσ-

D μαρτυροίη τὴν δύναμιν· καὶ εἰ μόνον αὐτὸν τροπῆς τε καὶ μεταβολῆς ἐλεύθερον ἀποφαίνεται, καὶ εἰ μόνον αὐτὸν λέγει ἀκήρατον, πρόδηλον τὸ ἐκ τούτων κατασκευαζόμενον. ὅτι ὁ ταῦτα μὴ ἔχων, τρεπτός ἐστι πάντως καὶ φθαρτὸς, καὶ μεταβλητὸς καὶ ἐπίκηρος. οὐκοῦν ταῦτα δογματίζει ὁ Εὐνόμιος ἐπὶ τοῦ μονογενοῦς Θεοῦ καὶ τοῦ ἁγίου πνεύματος, οὐ γὰρ ἂν ἐχρήσατο τῇ ἀντιδιαστολῇ, τούτοις ἀντιδιαιρῶν τὸν πατέρα, μὴ ταύτην τὴν διάνοιαν ἔχων περὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. τὸ λοιπὸν ἀδελφοὶ δοκιμάσατε εἰ μὴ διώκτης ἐστὶ τῆς τῶν Χριστιανῶν πίστεως, ταῦτα φρονῶν. τίς γὰρ τὸ τρεπόμενον, καὶ μεταβαλλόμενον καὶ τὸ ἐπίκηρον καταδέξεται σεβάσμιον ἑαυτῷ κρῖναι;

ἐκκοινοῦ ὅλος ὁ σκοπός ἐστι τῷ κατασκευάζοντι τὰ τοιαῦτα νοήματα, ἐκβαλεῖν τῆς ἐκκλησίας, τὴν εἰς τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα πίστιν. δι' ὧν κατασκευάζει, μήτε ἀκήρατον εἶναι, μήτε ἄτρεπτον, μήτε ἀμετάβλητον, ἢ αὐτὴν τὴν ἀλήθειαν, ἢ τὸ πνεῦμα τῆς ἀληθείας. ἴδωμεν δὲ καὶ οἷα τοῖς εἰρημένοις προστίθησιν. οὐκ ἐν τῷ γεννᾶν, φησὶ, τὴν ἰδίαν οὐσίαν μερίζων. καὶ ὁ αὐτὸς γεννῶν, καὶ γεννώμενος, ἢ αὐτὸς πατὴρ γινόμενος καὶ υἱός· ἔστι γὰρ ἄφθαρτος. τοιοῦτον τάχα ἐστὶν ὅ φησι περὶ τῶν ἀσεβῶν ὁ προφήτης, ὅτι ἱστὸν ἀράχνης ὑφαίνουσιν. ὡς γὰρ ἐπ' ἐκείνου σχῆμα μέν ἐστι τοῦ ὑφάσματος, ὑπόστασις δὲ οὐκ ἔστιν ἐν τῷ σχήματι. ὁ γὰρ ἁψάμενος οὐδενὸς ὑφεστῶτος ἅπτεται· διεφθαρμένων τῇ τῶν δακτύλων ἀφῇ τῶν ἀραχνείων νημάτων· τοιαύτη ἐστὶν καὶ ἡ τῶν ματαίων λέξεων ἀνυπόστατος ἱστουργία. οὐκ ἐν τῷ γεννᾶν, φησὶ, τὴν ἰδίαν οὐσίαν μερίζων, καὶ ὁ αὐτὸς γεννῶν καὶ γεννώμενος. ἆρα λόγον ὀνομάσαι χρὴ τὰ λεγόμενα, ἢ μᾶλλον φλέγματός τινος ὄγκον, ὑπό τινος ὑδερικῆς πληθώρας ἀναπτυόμενον. τί γάρ ἐστι τὸ τὴν ἑαυτοῦ μερίζειν οὐσίαν ἐν τῷ γεννᾶν, καὶ τὸν αὐτὸν εἶναι γεννῶντά τε καὶ γεννώμενον; τίς οὕτως παράφορος τὴν διάνοιαν, ὡς τοῦτον εἰπεῖν τὸν λόγον, πρὸς ὃν μάχεσθαι δοκεῖ ὁ Εὐνόμιος; ἡ μὲν γὰρ ἐκκλησία πιστεύει τὸν ἀληθινὸν πατέρα ἀληθῶς εἶναι υἱοῦ πατέρα ἰδίου, καθώς φησι ὁ ἀπόστολος, οὐκ ἀλλοτρίου, οὕτω γὰρ ἔν τινι τῶν ἐπιστολῶν ἀπεφήνατο, ὅς τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο· ἀντιδιαστέλλων τῇ τοῦ ἰδίου προσθήκῃ τοὺς χάριτι καὶ οὐ φύσει τῆς υἱοθεσίας ἠξιωμένους. ὁ δὲ ταύτην ἡμῶν διαβάλλων τὴν ὑπόληψιν, τί λέγει; οὐκ ἐν τῷ γεννᾶν τὴν οὐσίαν ἑαυτοῦ μερίζων, οὐδὲ αὐτὸς γεννῶν καὶ γεννώμενος· ἢ ὁ αὐτὸς πατὴρ γινόμενος καὶ υἱός, ἔστι γὰρ ἄφθαρτος. ἀκούων τις λόγον ἐν ἀρχῇ ὄντα· καὶ Θεὸν ὄντα τὸν λόγον, καὶ λόγον ἐκ τοῦ πατρὸς ἐξεληλυθότα· οὕτω καταρρυπαίνει τὸ ἀκήρατον δόγμα, τοῖς αἰσχροῖς τούτοις καὶ ὀδώδεσι νοήμασι; λέγων. οὐκ ἐν τῷ γεννᾶν τὴν οὐσίαν μερίζει. ὢ τῆς βδελυρίας τῶν αἰσχρῶν τούτων καὶ ῥυπαρῶν νοημάτων· πῶς οὐ συνίησιν ὁ τὰ τοιαῦτα λέγων, ὅτι οὔτε διὰ σαρκὸς, ὁ Θεὸς φανερούμενος, τὸ τῆς ἀνθρωπίνης

A Quamobrem ei qui hęc cogitat & ſentit, totus ſcopus propoſitus eſt, ab eccleſia excludere atque eliminare fidem, quam habet in Filium & Spiritum ſanctum. cùm his confirmare conetur, neque incorruptibilem, neque inuertibilem, neque immutabilem, vel ipſam veritatem, vel veritatis ſpiritum. Iam videamus quæ his dictis adijcit. [Non quidem generando, inquit, propriam eſſentiam partiens: & idem generans, & qui generatur, & idem Pater qui gignitur & Filius: eſt enim incorruptibilis.] Tale hoc fortaſſe eſt quod de impiis dicit Propheta: telam araneæ texunt. vt enim

Verba Eunomij.

Prouerb.

Aranearũ telas texere.

B in illa figura quidem eſt texturæ, ſed non ſubeſt in figura firma ſoliditas. Qui enim tangit nihil quod ſubſiſtat tangit, pereuntibus digitorum tactu Araneæ filis: talis eſt etiam hæc inanium dictionum futilis nec ſubſiſtens textura. Non enim generando, ait, ſuam eſſentiam partiens, & idem eſt qui generat, & qui generatur. An orationem hæc dicta nominare oportet, an potius pituitæ cuiuſdam humorem, ex aliqua aquoſa redundantia excreatum. Quid enim eſt ſuam in generando partiri eſſentiam, & eun-

C dem eſſe generantem & generatum? Quis ita mentis inops & vecors, vt hunc ſermonem ferat, quem videtur Eunomius impugnare? Eccleſia quidem verum Patrem credit, verè eſſe proprij filij patrem, ſicut ait Apoſtolus, non alieni: ſic enim in quadam epiſtolarum effatus eſt: qui proprio filio ſuo non pepercit: proprij adiectioni opponens eos qui gratiâ non naturâ adoptione digni cenſentur. hic autem noſtram hanc opinionem calumnians, quid dicit? Non in generando ſuam ipſius eſſentiam partiens, neque idem qui generat, & qui genera-

Ad Rom. 8

D tur: vel idem Pater qui gignitur & filius: eſt enim incorruptibilis. Quiſpiam audiens, In principio erat verbum, & Deus erat verbum, & verbum ex Deo Patre exiuit; ſiccine ſincerum & purum dogma, tam fœdis & tetris ac graueolentibus notionibus inquinat & conſpurcat? dum dicit; non in generando ſuam eſſentiam partitur. ô execrandas & abominandas, impuras & ſordidas cogitationes! quomodo qui talia profert non intelligit, quòd neque per carnem, Deus qui manifeſtatur, humanæ naturæ

Ioan. 1.

A paſſionem ad ſui corporis coagmentationem accepit. ſed puer natus eſt nobis ex Spiritu ſancto & virtute altiſſimi, *Matth. 1.* *Luc. 1.* neque virgo ipſa quicquam perpeſſa eſt, neque ſpiritus diminutus eſt, neque virtus altiſſimi in partes diſſecta fuit. Etenim ſpiritus totus eſt, & altiſſimi virtus integra ſine vlla imminutione manſit. Et puer natus eſt totus: neque matris integritatem labefactauit. Deinde caro ex carne quidem procreata eſt, ſed abſque perpeſſione. hunc autem gloriæ ſplendorem non vult Eunomius ab ipſa eſſe gloria: quoniam gloria quæ lucem generat neque minuitur, neque in par- B tes diuellitur. Et quidem verbum mentis impartibiliter ex mente generatur. & Deus verbum, niſi patris eſſentia in partes fuerit ſecta, non poteſt ex patre gigni.] Quis ita vecors & ſtupidus, qui dogmatis huius abſurditatem & amentiam non intelligat? non in generando, inquit, propriam eſſentiam partiens. Cuius propria eſſentia in generando, in partes diſtribuitur? Eſſentia enim in hominibus eſt humana natura. In rationis expertibus generaliter quidem natura rationis expers, ſpecialiter in bobus C & in ouibus, & in omnibus belluis quæ ſecundum proprietatum differentias ſpectatur natura. Quid igitur horum per partum ſiue fœtum ſuam eſſentiam partitur? Nónne per ſucceſſionem eorum quæ enaſcuntur in vnoquoque animalium ſemper integra manet natura? Præterea homo dum ex ſe hominem gignit, non ſuam naturam diſtribuit: ſed & in eo qui genuit atque in genito tota eſt. neque ex hoc ad illum diuiditur, neque diſcedit, neque in eo mutilatur: cùm in illo perfecta ſit, D atque omnis in eo conſiſtat, & omnis in illo inueniatur. Siquidem priuſquam ex ſe hominem generaret, erat animal rationis particeps, mortale, intelligentiæ & ſcientiæ capax. Idem poſtquam ex ſe talem genuit hominem: ita vt omnes naturæ proprietates, in illo demonſtrentur: neque homo qui ex ſe hominem genuit, id quod ipſe eſt amiſit, ſed quod erat ante, & poſt permanſit: neque quicquam propter eum quem ex ſeipſo genuit hominem, de ſua natura diminuit. homo quidem ex homine generatur, neque eius qui generat in partes diffunditur natura.

A φύσεως πάθος πρὸς τὴν τοῦ ἰδίου σώματος σύστασιν προσεδέξατο. ἀλλὰ καὶ παιδίον ἐγεννήθη ἡμῖν ἐκ πνεύματος ἁγίου καὶ δυνάμεως ὑψίστου· καὶ οὔτε ἡ παρθένος ἔπαθεν, οὔτε τὸ πνεῦμα ἐμειώθη, οὔτε ἡ δύναμις τοῦ ὑψίστου ἀπεμερίσθη. καὶ γὰρ τὸ πνεῦμα ὅλον ἐστὶ, καὶ ἡ τοῦ ὑψίστου δύναμις ἀμείωτος ἔμεινε. καὶ τὸ παιδίον ἐγεννήθη ὅλον, καὶ τὴν τῆς μητρὸς ἀφθορίαν οὐκ ἐλυμήνατο. εἶτα σὰρξ μὲν ἀπὸ σαρκὸς ἐγεννήθη, δίχα πάθους· τὸ δὲ τῆς δόξης ἀπαύγασμα οὐ βούλεται ἀπ' αὐτῆς εἶναι ὁ B Εὐνόμιος τῆς δόξης· ἐπειδὴ οὔτε μειοῦται γεννῶσα τὸ φῶς ἡ δόξα, οὔτε μερίζεται. καὶ ὁ μὲν ἀνθρώπινος λόγος ἀμερίστως ἐκ τοῦ νοῦ γεννᾶται. ὁ δὲ Θεὸς λόγος, ἐὰν μὴ μερισθῇ τοῦ πατρὸς ἡ οὐσία, ἐκ τοῦ πατρὸς γεννηθῆναι οὐ δύναται. ἆρα τίς οὕτως ἐστὶν ἠλίθιος, ὡς μὴ συνιδεῖν τὴν ἀλογίαν τοῦ δόγματος; οὐκ ἐν τῷ γεννᾷν, φησὶ, τὴν ἰδίαν οὐσίαν μερίζων. τίνος γὰρ ἐν τῷ γεννᾷν ἡ ἰδία οὐσία μερίζεται; οὐσία γὰρ ἐπὶ μὲν τῶν ἀνθρώπων, ἡ ἀνθρωπίνη φύσις. ἐπὶ δὲ τῶν ἀλόγων, γενικῶς μὲν ἡ ἄ- C λογος· ἰδικῶς δὲ ἐπὶ τῶν βοῶν καὶ ἐπὶ τῶν προβάτων· καὶ ἐπὶ πάντων τῶν ἀλόγων, κατὰ τὰς τῶν ἰδιωμάτων διαφορὰς θεωρουμένη. τί τοίνυν ἐκ τούτων μερίζει τὴν ἰδίαν οὐσίαν διὰ τοῦ τόκου; οὐκ ἀεὶ μένει διὰ τῆς διαδοχῆς τῶν ἐπιγινομένων ἐφ' ἑκάστου τῶν ζώων ἀκεραία ἡ φύσις; εἶτα ἄνθρωπος μὲν ἐξ ἑαυτοῦ τίκτων ἄνθρωπον, οὐ μερίζει τὴν φύσιν· ἀλλὰ καὶ ἐν τῷ γεννήσαντι καὶ ἐν τῷ γεννηθέντι, ὅλη ἐστίν· οὐκ ἐκ τούτου πρὸς ἐκεῖνον ἀποσχιζομένη καὶ μεθισταμένη, οὐδὲ ἐν D τούτῳ κολοβουμένη. ὅταν ἐν ἐκείνῳ τελεία γένηται. ἀλλὰ καὶ πᾶσα ἐν τούτῳ οὖσα, καὶ πᾶσα ἐν ἐκείνῳ εὑρισκομένη. καὶ γὰρ καὶ πρὶν γεννῆσαι τὸν ἐξ αὐτοῦ ὁ ἄνθρωπος ζῶον ἦν λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ ὅταν ἐγέννησε τὸν τοιοῦτον ἄνθρωπον· ὥστε ἐν ἐκείνῳ δειχθῆναι πάντα τὰ ἰδιώματα τῆς φύσεως, ὡς οὐκ ἀπώλεσε τὸ εἶναι ἄνθρωπος ἐξ ἑαυτοῦ γεννήσας τὸν ἄνθρωπον· ἀλλ' ὃ ἦν πρὸ τούτου, καὶ μετὰ τοῦτο διέμεινε. οὐδὲν διὰ τοῦ γεννᾶν τὸν ἐξ αὐτοῦ ἄνθρωπον τῆς ἐξ αὐτοῦ φύσεως ἐλαττώσας. καὶ ἄνθρωπος μὲν ἐξ ἀνθρώπου γεννᾶται, καὶ ἡ τοῦ γεννῶντος οὐ μερίζεται

φύσις. τὸν δὲ μονογενῆ Θεὸν τὸν ὄντα ἐν τοῖς κόλποις τοῦ πατρὸς, οὐ δέχεται ὁ Εὐνόμιος ἀληθῶς ἐκ τοῦ πατρὸς εἶναι· δεδοικὼς μὴ ἀκρωτηριάσῃ τὴν ἀκέραιον τοῦ πατρὸς φύσιν διὰ τῆς τοῦ μονογενοῦς ὑποστάσεως. ἀλλ' εἰπὼν ὅτι οὐ τὴν οὐσίαν ἐν τῷ γεννᾷν μερίζων προσέθηκεν· ἢ αὐτὸς γεννῶν καὶ γεννώμενος, ἢ αὐτὸς πατὴρ γινόμενος καὶ υἱός· καὶ οἴεται διὰ τῶν ἀσυναρτήτων ῥημάτων, σαθροποιεῖν τὸν ἀληθῆ τῆς εὐσεβείας λόγον· ἢ ἰσχύν τινα πορίζειν τῇ ἀσεβείᾳ· οὐκ εἰδὼς ὅτι δι' ὧν ἐπινοεῖ κατασκευάζειν τὸ ἄτοπον, διὰ τούτων συνιστὴς τῆς ἀληθείας εὑρίσκεται. φαμὲν γὰρ καὶ ἡμεῖς, ὅτι ὁ πάντα τὰ τοῦ ἰδίου πατρὸς ἔχων, ὅλον ἐκεῖνό ἐστι· πλὴν τοῦ πατὴρ εἶναι. καὶ ὁ πάντα τὰ τοῦ υἱοῦ ἔχων, ὅλον τὸν υἱὸν ἐν ἑαυτῷ δείκνυσι, πλὴν τοῦ υἱὸς γενέσθαι· ὥστε ἡ τοῦ ἀτόπου κατασκευὴ, ἣν κατασκευάζει νῦν ὁ Εὐνόμιος, συμμαχία τῆς ἀληθείας γίνεται, πρὸς τὸ σαφέστερον διασαλεύοντος περὶ ἡμῶν τοῦ νοήματος, κατὰ τὴν τοῦ εὐαγγελικοῦ λόγου ὑφήγησιν. εἰ γὰρ ὁ ἑωρακὼς τὸν υἱὸν ὁρᾷ τὸν πατέρα· ἄλλον ἑαυτὸν ἐγέννησεν ὁ πατὴρ, οὔτε ἑαυτοῦ ἐξιστάμενος καὶ ἐν ἐκείνῳ ὅλος φαινόμενος. ὡς διὰ τούτων τὸ δοκοῦν κατὰ τῆς εὐσεβείας εἰρῆσθαι, συμμαχίαν ἀποδειχθῆναι τοῦ ὑγιαίνοντος δόγματος· ἀλλ' οὔτε τὴν ἰδίαν οὐσίαν, φησὶ, ἐν τῷ γεννᾷν μερίζων, οὔτε αὐτὸς γεννῶν καὶ γεννώμενος, ἢ αὐτὸς πατὴρ γινόμενος καὶ υἱός. ἔστι γὰρ ἄφθαρτος· ὢ τῆς ἀνάγκης τοῦ συμπεράσματος· τί λέγεις ὦ σοφώτατε; διότι ἄφθαρτός ἐστιν οὐ μερίζει τὴν ἰδίαν οὐσίαν γεννῶν τὸν υἱόν· οὐδὲ ἑαυτὸν γεννᾷ, καὶ παρ' ἑαυτοῦ γεννᾶται, οὔτε πατὴρ ἅμα γίνεται ἑαυτοῦ καὶ υἱός. ἐπειδὴ ἐστὶν ἄφθαρτος· οὐκοῦν εἴ τις ἐστὶ φθαρτῆς φύσεως τέμνει τὴν οὐσίαν ἐν τῷ γεννᾷν· καὶ ὑφ' ἑαυτοῦ γεννᾶται, καὶ ἑαυτὸν γεννᾷ, καὶ πατὴρ καὶ υἱὸς αὐτὸς ἑαυτοῦ γίνεται. διὰ τὸ ἄφθαρτος οὐκ ἐστιν. εἰ δὲ ταῦτα οὕτως ἔχει, οὐκ ἐγέννησε διὰ τὸ φθαρτὸς εἶναι ὁ Ἀβραὰμ τὸν Ἰσμαὴλ τέ καὶ Ἰσαάκ, ἀλλ' ἑαυτὸν διά τε τῆς παιδίσκης καὶ τῆς νομίμου γαμετῆς ἐτεκνώσατο, ἢ κατὰ τὴν ἑτέραν τερθρείαν τοῦ λόγου, ἐμέρισεν εἰς τοὺς γεννηθέντας ἑαυτοῦ τὴν οὐσίαν. καὶ πρῶτον μὲν ἐπὶ τοῦ διὰ τῆς Ἄγαρ τόκου, εἰς δύο τμήματα διαιρεθεὶς, ἐν

A At verò Eunomius vnigenitum Deum, qui eſt in patris ſinibus non admittit verè ex patre eſſe: veritus ne integram patris & incorruptam naturam mutilet & obtruncet per vnigeniti ſubſiſtentiam. ſed cùm dixiſſet, non eſſentiam in generando partiens, adiecit, vel idem qui generat & qui generatur, vel idem pater qui gignitur & filius. Atque per hæc inepta neque cohærentia verba, putat ſe veram pietatis doctrinam putrefacere & corrumpere, vel impietati vires aliquas ſufficere, neſcius quòd per ea quibus abſurdum conſtruere co-
B gitat, veritatis patronus ac defenſor * deprehenditur. Nam & nos dicimus quòd qui omnia ſui patris habet, totum illud eſt, eo dempto quòd ſit Pater. Et qui omnia quæ ſunt filij habet, totum filium in ſeipſo demonſtrat, prætérquam quòd ſit filius. Quare huius abſurdi conſtructio quam nunc molitur Eunomius, veritatis defenſio inuenitur, cùm tamen noſtra ſit clarior & manifeſtior intelligentia, ſecundum verbi euangelici deductionem. Si enim qui vidit Filium, videt Patrem, alium ſeipſum genuit Pater, neque ex ſeipſo emigrans,
C & in illo totus apparens. Sic per hæc, quod videbatur contra veritatem eſſe dictum, ſani documenti auxilium eſſe demonſtratur. Sed, inquit, non propriam eſſentiam in generando partiens, & idem qui generat & qui generatur, vel idem Pater qui gignitur & Filius: eſt enim incorruptilis. O neceſſitatem concluſionis! Quid ais, ſapientiſſime? quia incorruptibilis eſt, ſuam non diſpertitur eſſentiam, generando filium: neque ſeipſum generat, & à ſeipſo generatur,
D neque pater ſimul gignitur ſui ipſius etiam filius: quoniam eſt incorruptibilis. Si quis igitur eſt naturæ corruptibilis, ſuam eſſentiam generando diſcindit: & ex ſeipſo generatur, & ſeipſum generat: & Pater & Filius ipſe ſuiipſius efficitur, quia non eſt incorruptibilis. Quòd ſi hæc ita ſunt, Abraham non genuit Iſmaëlem & Iſaacum, quia corruptibilis erat; ſed ſeipſum per ancillam & legitimam coniugem procreauit, vel alia quadam portentoſa ratione in genitos ſuam eſſentiam partiendo diffudit. Primùm quidem in partu per ancillam Agar, in duo ſegmenta diuiſus, in vno

ſemiſectorum gignitur Iſmaël: in altero
dimidius permanet Abraham. Poſtea
verò reliquum eſſentiæ Abraham in du-
plicem partum ipſius Iſaac diſpertitum
fuit. Ita vt in vtroque gnatorum pars
octaua fuerit. Quomodo quis in duo-
Geneſ. 46. decim Patriarchas diſſecuerit, in par-
ticulas octauam partem comminuens,
vel in quinque & ſeptuaginta animas,
cum quibus Iacob in Ægyptum deſcen-
dit? Et quid hæc dico, cùm à primo
homine ducto argumento horum ver-
borum eſſet refellenda dementia. Si e-
nim ſolius eſt incorruptibilis, in gene-
rando naturam non diſpertiri: corrupti-
bilis vero Adam (ad quem dictum eſt,
Quia terra es & in terram reuertêris,)
omnino ſuam eſſentiam partiebatur, ſe-
Gen. 3. cundum rationem Eunomij, cùm in ex
ſeipſo genitos diuideretur: multitudine
autem poſterorum (cùm neceſſe eſſet
in quoque eſſentiæ ſegmentum inueni-
ri) pro numero eorum qui naſcerentur,
ſi diuideretur, prius Adami eſſentia ab-
ſumeretur, quam ad Abraham ſubſi-
ſtentem naturam perueniretur, in finitis
ex ipſo progenitis decies millibus per
tenues illas & indiuiduas particulas di-
ſperſa. Neque quicquam eſſentiæ Ada-
mi amplius inueniretur reliquum, quod
in Abraham & eius filios ac poſteros di-
ſpertitum diffunderetur: quia prius in
infinitis & innumerabilibus ante ipſum
progenitis per illas ſegmentorum minu-
tias eſſet abſumpta & exhauſta natura.
Videte hominis amentiam quæ dicat
neſcientis, neque de quibus affirmet.
Cùm enim dicit, quoniam incorrupti-
bilis eſt, neque ſuam partitur eſſentiam,
neque ſeipſum generat, neque pater ex
ſeipſo naſcitur; in omni eo quod cor-
ruptioni ſubijcitur, ex conſecutione
dedit intelligenda, illa in generatione
contingere, quæcunque ſoli incorru-
ptibili non ineſſe confirmauit. Sed cùm
multa ſint alia quæ poſſint horum di-
ctorum vanitatem arguere; quæ ſunt ha-
ctenus in medium prolata ad huius a-
mentiæ demonſtrationem ſatis eſſe ar-
bitror. hoc autem apud doctos & ſcien-
tes conceſſum eſt & conuenit, quid ex
quaque re conſequatur reſpiciendum
eſſe. Qui ſoli patri incorruptibile attri-
buit, omnia quæ poſt patrem animo &
mente cernuntur, illa quę eſt ad incorru-
ptibile differentiâ corruptibilia eſſe con-
firmat. Ita vt neque filium à corruptione

A τῷ ἑνὶ τῶν ἡμιτόμων γίνεται Ἰσμαήλ· καὶ ἐν
τῷ ἑτέρῳ διαμένει ἥμισυς Ἀβραάμ. μετὰ ταῦ-
τα δὲ τὸ λειπόμενον τῆς τοῦ Ἀβραὰμ οὐσίας,
εἰς τὸν διπλοῦν τόκον τοῦ Ἰσαὰκ ἐμερίσθη.
ὥστε τὸ ὄγδοον ἐν ἑκατέρῳ τῶν ἐγγόνων γενέ-
σθαι. πῶς ἄν τις ἐν τοῖς δώδεκα πατριάρχαις
κερματίσειεν εἰς μέρη διαλεπτυνῶν τὸ ὄγ-
δοον· ἢ ἐν ταῖς πέντε καὶ ἑβδομήκοντα ψυχαῖς
ἐν αἷς ὁ Ἰακὼβ κατῆλθεν εἰς Αἴγυπτον; καὶ τί
ταῦτα λέγω, δέον ἀπὸ τοῦ πρώτου ἀνθρώπου
διελέγξαι τῶν λεγομένων τὴν ἄνοιαν. εἰ γὰρ
μόνου τοῦ ἀφθάρτου ἐστὶν, μὴ μερίζειν τὴν
B φύσιν ἐν τῷ γεννᾷν· φθαρτὸς δὲ ὁ Ἀδάμ,
πρὸς ὃν ἐρρέθη, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπε-
λεύσῃ, ἐμέριζε πάντως ἑαυτοῦ τὴν οὐσίαν, κατὰ
τὸν λόγον τοῦ Εὐνομίου, εἰς τοὺς παρ' ἑαυτοῦ γεν-
νωμένους τεμνόμενος. τῷ δὲ πλήθει τῶν ἐπι-
γινομένων ἀναγκαίως τοῦ εὑρισκομένου περὶ
ἑκάστῳ τῆς οὐσίας τμήματος, κατὰ τὸν ἀριθμὸν
τῶν τικτομένων διαιρουμένου, προδαπανᾶται
τῆς τοῦ Ἀβραὰμ ὑποστάσεως, ἡ τοῦ Ἀδὰμ οὐ-
σία, ταῖς ἀπείροις τῶν ἐξ αὐτοῦ μυριάσι διὰ
τῶν λεπτῶν τε καὶ ἀτόμων ἐκείνων μορίων σκε-
C δασθεῖσα· καὶ οὐκέτι ἂν εὑρίσκεται λείψανον
οὐσίας τὸ ἐκ τοῦ Ἀδὰμ εἰς τὸν Ἀβραάμ, καὶ
τοὺς ἐξ αὐτοῦ μεριζόμενον. προσαναλωθείσης
ἐν ταῖς ἀπείροις τῶν πρὸ αὐτοῦ γεγονότων μυ-
ριάσι διὰ τῆς λεπτομερείας τῶν τμημάτων τῆς
φύσεως. ὁρᾶτε τὴν ἄνοιαν τοῦ μὴ εἰδότος ἃ
λέγει, μηδὲ περὶ τίνων διαβεβαιοῦται. ἐν γὰρ
τῷ εἰπεῖν, ἐπειδὴ ἄφθαρτός ἐστιν, οὔτε μερίζει
τὴν οὐσίαν, οὔτε ἑαυτὸν γεννᾷ, οὔτε ἑαυτοῦ πα-
τὴρ γίνεται, ἔδωκεν ἐπὶ παντὸς τοῦ φθορᾷ ὑ-
ποκειμένου ἐκ τοῦ ἀκολούθου, ἐκεῖνα νοεῖν ἐπὶ
D τῆς γεννήσεως συμβαίνειν, ὅσα μόνῳ τῷ ἀφθάρ-
τῳ μὴ προσεῖναι διωρίσατο· ἀλλὰ πολλῶν
ὄντων καὶ ἄλλων τῶν δυναμένων ἐπιδεῖξαι τὴν
ματαιότητα τῶν λεγομένων, ἀρκεῖν οἶμαι
πρὸς ἀπόδειξιν τῆς ἀνοίας τὰ εἰρημένα. τοῦτο δὲ
πάντως προσωμολόγηται παρὰ τοῖς ἐπιστα-
μένοις, πρὸς τὸ ἀκόλουθον βλέπειν· ὅτι μόνῳ
τῷ πατρὶ προσμαρτυρήσας τὸ ἄφθαρτον,
πάντα τὰ μετὰ τὸν πατέρα νοούμενα τῇ πρὸς
τὸ ἄφθαρτον ἀντιδιαστολῇ φθαρτὰ εἶναι κατα-
σκευάζει. ὡς μηδὲ τὸν υἱὸν φθορᾶς ἀποδεχ-

νόσου ἐλεύθερον. εἰ οὖν ἀντιδιαστέλλει τὸν υἱὸν τῷ ἀφθάρτῳ, οὐ μόνον αὐτὸν φθαρτὸν εἶναι διορίζεται, ἀλλὰ καὶ τὰ ἄλλα περὶ αὐτοῦ κατασκευάζει, ὅσα μόνῳ τῷ ἀφθάρτῳ μὴ προσεῖναι λέγει. ἀναγκαίως γὰρ εἰ μόνος ὁ πατὴρ οὔτε ἑαυτὸν γεννᾷ, οὔτε ὑφ' ἑαυτοῦ γεννᾶται, πᾶν ὃ μὴ ἄφθαρτόν ἐστι, καὶ ἑαυτὸ γεννᾷ, καὶ ὑφ' ἑαυτοῦ γεννᾶται. καὶ πατὴρ καὶ υἱὸς αὐτὸ ἑαυτοῦ γίνεται, πρὸς ἑκάτερα τῆς οὐσίας μεθαρμοζόμενον· εἰ γὰρ μόνου τοῦ πατρός ἐστι τὸ ἄφθαρτον εἶναι· ἴδιον δὲ τοῦ ἀφθάρτου τὸ μὴ ταῦτα εἶναι, οὔτε ἄφθαρτος πάντως ὁ υἱὸς κατὰ τὸν τῆς αἱρέσεως λόγον, καὶ ταῦτα πάντα περὶ αὐτὸν πάντως ἐστί· τὸ μερίζεσθαι τὴν οὐσίαν, τὸ τίκτειν ἑαυτὸν καὶ ὑφ' ἑαυτοῦ γεννᾶσθαι. πατέρα καὶ υἱὸν αὐτὸν ἑαυτοῦ γίνεσθαι. ἢ μάταιον ἴσως ἐπὶ πλεῖον ἐμφιλοχωρεῖν τοῖς ἀνοήτοις· ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου μετέλθωμεν. προστίθησι γὰρ τούτοις. οὐκ ἐν τῷ ποιεῖν ὕλης, ἢ μερῶν, ἢ φυσικῶν ὀργάνων προσδεόμενος· ἔστι γὰρ πάντως ἀπροσδεής. τοῦτο τὸ νόημα, εἰ καὶ ἀτονώτερον κατὰ τὴν λέξιν ἐκτίθεται ὁ Εὐνόμιος, ὅμως τῆς εὐσεβείας οὐκ ἀποβαλλόμεθα. μαθόντες γὰρ ὅτι αὐτὸς εἶπε καὶ ἐγεννήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν, οἴδαμεν ὅτι ποιητής ἐστι τῆς ὕλης ὁ λόγος, εὐθὺς συναπεργαζόμενος μετὰ τῆς ὕλης καὶ τὰς ποιότητας. ὡς εἶναι αὐτῷ τὰ πάντα, καὶ ἀντὶ πάντων τὴν ὁρμὴν τοῦ παντοδυνάμου θελήματος, ὕλην, ὄργανον, τόπον, χρόνον, οὐσίαν, ποιότητα, πᾶν ὅτι περ ἐστὶν ἐν τῇ κτίσει νοούμενον. ὁμοῦ τε γὰρ ἠθέλησε τὸ δέον γενέσθαι, καὶ συνέδραμεν ἡ ἐξεργαστικὴ τῶν ὄντων δύναμις τῷ νοήματι, ἔργον ποιοῦσα τὸ θέλημα. οὕτω γὰρ φιλοσοφεῖ περὶ τῆς θείας δυνάμεως ὁ πολὺς Μωϋσῆς ἐν τῇ κοσμογενείᾳ, προστακτικαῖς φωναῖς ἀνατιθεὶς ἑκάστου τῶν ἐν τῇ κτίσει φαινομένων τὴν ποίησιν. εἶπε γάρ, φησιν, ὁ Θεός, ὅτι γεννηθήτω φῶς, καὶ ἐγένετο φῶς, καὶ περὶ τῶν ἄλλων ὡσαύτως, οὔτε ὕλης ἐμνήσθη, οὔτε ὀργανικῆς ὑπουργίας. οὐκοῦν οὐκ ἀπόβλητος ἐν τῷ μέρει τούτῳ τοῦ Εὐνομίου ὁ λόγος. ὁ γὰρ Θεὸς κτίζων ὅσα διὰ κτίσεως ἔσχε τὴν γένεσιν, οὔτε τινὸς ὑποκειμένης ὕλης, οὔτε ὀργάνων εἰς τὴν κατασκευὴν ἐδεήθη. ἀπροσ-

A liberum eſſe demonſtret. Si igitur filium ab incorruptibili differre facit, non ſolum ipſum eſſe corruptibilem definit, ſed etiam alia de ipſo aſtruit, quæcunque ſoli immortali non adeſſe dicit. Neceſſariò enim ſi ſolus Pater neque ſeipſum generat, neque à ſeipſo generatur, quicquid incorruptibile non eſt & ſeipſum generat & à ſeipſo generatur: Et Pater & Filius idem ſuiipſius efficitur, vtriſque eſſentiæ partibus accommodatum. ſi enim ſolius ſit patris incorruptibilem eſſe; proprium autem incorruptibilis hæc non eſſe; nec incorruptibilis omnino filius eſt, ſecundum hanc hæreſeos orationem, hæc etiam omnia B prorſus in ipſo ſunt: eſſentiam diſpertiri, ſeipſum producere, & à ſeipſo generari. Patrem & Filium ipſum ſuiipſius fieri. Sed fortaſſe cum amentibus & inſanis diutius immorari & detineri vanum eſt. Ad ea igitur quæ deinceps ſequuntur in eius oratione tranſeamus. his itaque adijcit. [Non in faciendo *Verba Eunomij.* materia vel partibus, vel naturalibus inſtrumentis indigens (nullius enim rei eſt indigus).] Hanc notionem tametſi ad verbum remiſſiorem exponit Eunomius, tamen hanc à pietate non excludimus, qui didicimus quod ipſe dixit & facta ſunt, ipſe mandauit & creata *Pſal. 148.* C ſunt, ſcimus quod materiæ factor eſt Verbum, ſimul cum ipſa materia continuo etiam qualitates perficiens. Ita vt ei ſint omnia & pro omnibus impetus omnipotentis voluntatis, materia, inſtrumentum, locus, tempus, eſſentia, qualitas, & quicquid in creatura intelligitur. Simul enim atque voluit quod oporteret fieri, operatrix eorum quæ ſunt potentia cum notione concurrit, opus faciens voluntatem. ſic enim de diuina potentia philoſophatur copioſus Moſes in mundi creatione, imperatiuis vocibus eorum cuiuſ-D que quæ in creatura apparent creationem adſcribens, Dixit enim (ait) Deus *Gen. 1.* fiat lux, & facta eſt lux. & de aliis eodem modo, neque materiæ meminit, neque inſtrumentalis miniſterij. Non igitur hac in parte Eunomij repudianda oratio. Deus enim creans quæcunque per creationem habent ortum, neque alia ſubiecta materia, neque inſtrumentis ad conſtructionem indiguit.

BIBLIOTECA NAZ. ROMA

Nam Dei virtus & ſapientia nullius alieni auxilij eſt indiga. At Chriſtus Dei eſt virtus & ſapientia, per quem omnia facta ſunt, ſine quo nihil eorum quæ ſunt, eſt; quemadmodum teſtatur Ioannes. Si igitur omnia per ipſum facta ſunt, viſibilia & inuiſibilia, ad eorum autem quæ ſunt ſubſiſtentiam ſola Dei voluntas ſufficit. (virtus enim ſiue potentia ipſa eſt voluntas) noſtrum ſermonem oratione remiſſa protulit Eunomius. Qui enim verbo ſuæ potentiæ fert vniuerſa, quo inſtrumento & qua materia indigeret, dum eorum quæ ſunt ſubſiſtentiam verbo ſuo omnipotenti ſuſtinet? Quòd ſi quod in creatura de vnigenito credidimus, hoc in filio adſtruit, velut ſimili modo ipſum patre creante, quemadmodum à filio creatura facta eſt: dictum antea ſermonem nunc etiam rurſus repetimus, quod eiuſmodi opinio, negatio eſt deitatis vnigeniti. Nos enim idololatrarum proprium eſſe ex magna Pauli voce didicimus, colere & ſeruire creaturæ, præter eum qui creauit Et ex voce Dauid dicentis, quòd non erit in te Deus recens, neque adorabis Deum alienum. Hac regula, hoc gnomone & indice vtimur ad eius qui adoratur cognitionem: ita vt nobis ſit perſuaſum hoc verum eſſe Deum, quod neque recens eſt, neque alienum. Quoniam igitur vnigenitum Deum eſſe credere edocti ſumus: Idcirco neque ipſum recentem eſſe neque alienum confitemur, quia credimus quòd eſt Deus: ſi igitur eſt Deus, recens non eſt: qui autem non eſt recens, omnino eſt æternus: Neque igitur recens eſt qui æternus, neque à vera deitate alienus qui ex Patre eſt, & qui in ſinibus patris eſt, & in ſeipſo patrem habet. Quare qui filium à patris natura diſcindit, vel in vniuerſum adorationem & cultum abolet, ne Deum alienum adoret, vel idolum colit, creaturam & non Deum ſuæ adorationi præſtituens, & Chriſti nomen idolo ponens. Quod autem in ea exiſtimatione quam habet de vnigenito, ad hanc reſpicit intelligentiam, manifeſtius fiet ex his quæ de ipſo vnigenito percurrit, quæ ad hunc ſe habent modum. [Credimus

Ioan. 1. Hebr. 1. Rom. 1. Pſal. 80. Exod. 20. & 34. Deut. 5. Ioan. 1.

A δεῖται γὰρ ἀλλοτρίας βοηθείας, ἡ τοῦ Θεοῦ δύναμίς τε καὶ σοφία. Χριστὸς δέ ἐστιν ἡ τοῦ Θεοῦ δύναμις καὶ σοφία, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ οὗ χωρὶς τῶν ὄντων ἐστὶν οὐδέν· καθὼς Ἰωάννης μαρτυρεῖ. εἰ οὖν πάντα δι' αὐτοῦ ἐγένετο, ὁρατά τε καὶ ἀόρατα, ἐξαρκεῖ δὲ πρὸς τὴν τῶν ὄντων ὑπόστασιν ἡ βούλησις μόνη· δύναμις γάρ ἐστιν ἡ βούλησις, τὸν ἡμέτερον εἶπε λόγον ἐν ἀσθενεστέρᾳ τῇ λέξει Εὐνόμιος. ὁ γὰρ τὰ σύμπαντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, τίνος ἂν ὀργάνου ἢ ποίας ὕλης δεηθείη B ἐν τῷ φέρειν διὰ τοῦ παντοδυνάμου ῥήματος τὴν τῶν ὄντων ὑπόστασιν; εἰ δὲ ὅπερ ἐπὶ τῆς κτίσεως περὶ τοῦ μονογενοῦς πεπιστεύκαμεν, τοῦτο ἐπὶ τοῦ υἱοῦ κατασκευάζει, ὡς ὁμοιοτρόπως αὐτὸν τοῦ πατρὸς κτίσαντος· καθάπερ παρὰ τοῦ υἱοῦ ἡ κτίσις ἐγένετο, τὸν ἐν τοῖς ἔμπροσθεν ῥηθέντα λόγον καὶ νῦν πάλιν ἀναλαμβάνομεν, ὅτι ἡ τοιαύτη ὑπόληψις, ἄρνησίς τῆς τοῦ μονογενοῦς ἐστὶ θεότητος. ἡμεῖς γὰρ ἴδιον εἶναι τῶν εἰδωλολατρούντων παρὰ τῆς μεγάλης τοῦ Παύλου φωνῆς μεμαθήκαμεν, τὸ σέβεσθαι καὶ λατρεύειν τῇ κτίσει παρὰ τὸν κτίσαντα. καὶ τοῦ C Δαβὶδ εἰπόντος, ὅτι οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ. κανόνι τούτῳ καὶ γνώμονι χρώμεθα πρὸς τὴν τοῦ προσκυνουμένου ἐπίγνωσιν· ὥστε πεπεῖσθαι τοῦτο ἀληθῶς εἶναι Θεὸν, ὃ μήτε πρόσφατόν ἐστι, μήτε ἀλλότριον. ἐπεὶ οὖν Θεὸν πιστεύειν εἶναι τὸν μονογενῆ Θεὸν ἐδιδάχθημεν· τῷ μήτε πρόσφατον αὐτὸν εἶναι, μήτε ἀλλότριον συνομολογοῦμεν διὰ τοῦ πιστεύειν, ὅτι ἔστι Θεός· εἰ οὖν Θεός ἐστι, πρόσφατος οὐκ ἔστι· ὁ δὲ μὴ πρόσφατος, ἀΐδιος πάντως ἐστίν· οὔτε οὖν πρόσφατός ἐστιν ὁ ἀΐδιος, οὔτε ἀλ-D λότριος τῆς ἀληθινῆς θεότητος, ὁ ἐκ τοῦ πατρὸς ὢν, καὶ ἐν τοῖς κόλποις ὢν τοῦ πατρὸς, καὶ ἐν ἑαυτῷ τὸν πατέρα ἔχων. ὥστε ὁ ἀποσχίζων τῆς τοῦ πατρὸς φύσεως τὸν υἱὸν, ἢ καθόλου ἀθετεῖ τὴν προσκύνησιν, ἵνα μὴ ἀλλοτρίῳ Θεῷ προσκυνήσῃ, ἢ εἴδωλον σέβεται, κτίσμα καὶ οὐ Θεὸν τῆς προσκυνήσεως αὐτοῦ προστησάμενος, καὶ Χριστοῦ ὄνομα τῷ εἰδώλῳ θέμενος. ὅτι δὲ πρὸς ταύτην βλέπει τὴν διάνοιαν ἐν τῇ περὶ τοῦ μονογενοῦς ὑπολήψει, φανερώτερον ἂν γένοιτο, δι' ὧν τὰ περὶ αὐτοῦ τοῦ μονογενοῦς διεξέρχεται, τοῦτον ἔχοντα τὸν τρόπον. πιστεύομεν

καὶ εἰς τὸν τοῦ Θεοῦ υἱόν, τὸν μονογενῆ Θεόν, πρωτότοκον πάσης κτίσεως, υἱὸν ἀληθινόν, οὐκ ἀγέννητον, ἀληθῶς γεννηθέντα, πρὸ αἰώνων, οὐκ ἄνευ τῆς πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον υἱόν, πρὸ πάσης κτίσεως γενόμενον, οὐκ ἄκτιστον. Ἀρκεῖν ἡγοῦμαι μόνην τὴν ἀνάγνωσιν τῶν ἐκτεθέντων, καὶ δίχα τῆς παρ' ἡμῶν ἐξετάσεως φανερῶσαι τοῦ δόγματος τὴν ἀσέβειαν· πρωτότοκον γὰρ εἰπὼν αὐτόν, ἵνα μή τινα τοῖς ἀκούουσιν ἀμφιβολίαν ἐμποιήσῃ τοῦ μὴ εἶναι αὐτὸν κτιστόν, ἐπήγαγεν εὐθὺς τό, οὐκ ἄκτιστον, ἵνα μή ποτε τῆς τοῦ υἱοῦ σημασίας ὡς πέφυκε νοηθείσης, B εὐσεβές τι περὶ αὐτοῦ νόημα τοῖς ἀκηκοόσιν ἐγγένηται· τούτου χάριν ὁμολογήσας ἐν πρώτοις υἱὸν Θεοῦ, καὶ μονογενῆ Θεόν, εὐθὺς διὰ τῶν ἐπιφερομένων παρατρέπει τῶν ἀκουόντων τὴν γνώμην πρὸς τὴν αἱρετικὴν διάνοιαν ἀπὸ τῆς εὐσεβοῦς ὑπολήψεως. ὁ γὰρ ἀκούσας υἱὸν Θεοῦ, καὶ μονογενῆ Θεόν, ἀναγκαίως πρὸς τὰς ὑψηλοτέρας ἐμφάσεις ἀνάγεται. διὰ τῆς τῶν φωνῶν τούτων σημασίας χειραγωγούμενος, τὴν μηδεμίαν φύσεως διαφορὰν ὑπὸ τῆς Θεὸς φωνῆς, καὶ ὑπὸ τῆς σημασίας τοῦ υἱοῦ C παρεισάγεσθαι. πῶς γὰρ ἂν ἄλλο τι παρὰ τὴν τοῦ πατρὸς νοηθείη φύσιν, ὁ ἀληθῶς Θεοῦ υἱὸς ὤν, καὶ αὐτὸς Θεὸς ὤν· ἀλλ' ἵνα μὴ φθάσῃ ταῖς καρδίαις τῶν ἀκηκοότων ἐντυπωθῆναι διὰ τῶν ὀνομάτων τούτων τὰ τῆς εὐσεβείας νοήματα, εὐθὺς λέγει, κτίσεως αὐτὸν πρωτότοκον. οὐκ ἄνευ τῆς πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον υἱόν, πρὸ πάσης κτίσεως γενόμενον, οὐκ ἄκτιστον. ὡς ἂν δῆλον φανείη καὶ τὰς πρώτας φωνὰς ὁ κακοῦργος ἀντὶ δελεάσματος τοῖς ἀνθρώποις προτείνειν, ὥστε παραδέξασθαι τὸ δηλητήριον, οἷόν τινι μέλιτι τοῖς εὐσεβε- D στέροις ὀνόμασι γλυκαινόμενον· μικρὸν τῷ λόγῳ προσδιατρίψωμεν. τίς οὐκ οἶδεν ὅση τοῦ μονογενοῦς πρὸς τὸν πρωτότοκον ἡ κατὰ τὸ σημαινόμενον ἐστὶ διαφορά; οὔτε γὰρ μονογενὴς μετὰ ἀδελφῶν νοεῖται. οὔτε χωρὶς ἀδελφῶν ὁ πρωτότοκος· ἀλλ' ὁ μὲν πρωτότοκος, μονογενὴς οὐκ ἔστιν. ἀδελφῶν γάρ ἐστι πάντως πρωτότοκος. ὁ δὲ μονογενὴς ἀδελφὸν οὐκ ἔχει. οὐ γὰρ ἂν εἴη μονογενὴς ἐν ἀδελφοῖς ἀριθμούμενος, καὶ ἔτι πρὸς τούτοις, ἧς ἂν οὐσίας ὦσιν οἱ ἀδελφοὶ τοῦ πρωτοτόκου, τῆς αὐτῆς ἔσται πάντως καὶ ὁ πρωτότοκος. καὶ οὐ τοῦτο μόνον

A etiam in Dei filium, vnigenitum Deum, primogenitum omnis creaturæ, filium verum non ingenitum, verè genitum ante ſecula: non abſque generatione antequam eſſet, nominatum filium, ante omnem creaturam genitum non increatum.] Arbitror ſolam verborum citatorum lectionem ſatis etiam abſque noſtra examinatione huius dogmatis impietatem declarare, nam primogenitum cum dixit ipſum, ne aliquam audientibus ambiguitatem ingeneraret, ipſum non eſſe creatum; ſubiunxit continuò non increatum, ne aliquando B filij ſignificatione, vt ſolet, mente percepta, pia aliqua notio in audientium animis insereretur, hac de cauſa cùm in primis Dei filium, & vnigenitum Deum confeſſus eſſet, continuò per ea quæ inferuntur mentem auditorum à pia opinione ad hæreticam intelligentiam perperam auertit. Qui enim audiuit filium Dei & vnigenitum Deum, neceſſariò ad altiores ſpeculationes erigitur, per harum vocum ſignificationem quaſi manu ductus, quòd nulla naturæ differentia ab hac voce, Deus, & ab hac filij ſignifica- C tione ſubinſinuetur. quomodo enim quid aliud præter patris naturam intelligeretur, qui verè Dei filius eſt, & qui ipſe Deus eſt: ſed ne prius in auditorum cordibus per hæc nomina pietatis notiones imprimantur, ſtatim dicit creaturæ ipſum primogenitum. Non abſque generatione antequam eſſet, nominatum filium, ante omnem creaturam genitum, non increatum. vt igitur manifeſtum fiat improbum iſtum & verſutum, has voces primas pro illecebra hominibus protendere, vt venenum mortiferum veluti quodã melle religioſioribus nominibus edulcatum accipiatur: paululum in hoc D ſermone commoremur. Quis non videt quanta ſit vnigeniti ad primogenitum ſecundum id quod ſignificatur, differentia? Neque enim vnigenitus cum fratribus intelligitur, neque ſine fratribus primogenitus; ſed primogenitus vnigenitus non eſt, fratrum enim eſt prorſus primogenitus: vnigenitus verò fratrem non habet: Non enim vnigenitus eſſet, ſi cum fratribus numeraretur. Præterea, cuius eſſentiæ fuerint fratres primogeniti, eiuſdem omnino erit etiam primogenitus. Neque hoc ſolum

hac voce ſignificatur, ſed etiam quod ab eodem eſſe habet, ipſeque primogenitus, & qui poſt illum geniti ſunt, nihil primogenito ad generationem eorum qui deinceps naſcuntur conferente. Ita vt per hæc vox Ioannis falſa eſſe aſtrueretur, quæ teſtatur quòd omnia per ipſum facta ſint: ſi enim primogenitus eſt, ſola temporis prærogatiua ab his qui poſtea ſunt geniti planè differt. Cùm ſit alius, per quem & huic & reliquis fuit, vt eſſent, poteſtas. Sed ne cui eorum qui calumniari ſolent ſuſpicādi occaſionem demus, quòd à Deo inſpiratas voces non admittimus, quas contra inſurgimus, prius noſtram ſententiam, quam de his nominibus habemus, apponemus. deinde ſic melioris iudicium audientibus adijciemus. Magnus Paulus ſciens quòd omnis boni princeps & auctor vnigenitus eſt Deus, qui in omnibus primas tenet, atteſtatur, non ſolum eorum quæ ſunt, creationem per illum factum eſſe, ſed quòd antiqua hominum creatione veteraſcente & euaneſcente, ſicut ipſe nominat, alia noua in Chriſto creatione facta, nullus alius huius fuit dux & auctor: ſed omnis quæ per Euangelium facta eſt, creationis ipſe eſt primogenitus. Atque vt dilucidior & clarior noſtra de hoc eluceſcat cogitatio, ſic ſermonem diſpeſcemus. quater huius vocis meminit diuinus Apoſtolus: ſemel ſic locutus; quòd primogenitus omnis creaturæ. Iterum, quòd primogenitus in multis fratribus: tertiò quòd primogenitus ex mortuis: præterea abſolutam non copulatam neque ad aliud relatam vocem apponit, cùm dixit, cùm autem inducit primogenitum in orbem terrarum dicit, & adorent ipſum omnes Angeli Dei. Ergo quam intelligentiam in aliis coniugationibus nominis huius animo conceperimus, conſequenter eandem primogenito creationis accommodabimus: cùm enim ſit vna eademque vox, neceſſe eſt vnam quæ per eam ſignificatur, eſſe intelligentiam: quomodo igitur naſcitur primogenitus in fratribus, quomodo mortuorum primogenitus, an hoc prorſus eſt perſpicuum: propterea quòd nos nati ſumus ſanguis & caro, ſicut dicit ſcriptura,

Ioan.1. — Coloſſ.1. — Coloſſ 1. Rom. 8. 1.Cor 15. Apocal.1. Vid. eiuſdē Grec. Nic. orat. de perfecta Chriſti forma. Hebr. 1. — Ioan. 1.

A ὑπὸ τῆς φωνῆς ταύτης σημαίνεται, ἀλλ' ὅτι καὶ παρὰ τοῦ αὐτοῦ τὸ εἶναι ἔχει αὐτός τε ὁ πρωτότοκος, καὶ οἱ μετ' ἐκεῖνον γινόμενοι, οὐδὲν τοῦ πρωτοτόκου πρὸς τὴν γένεσιν τῶν ἐφεξῆς συνεισφέροντος. ὡς διὰ τούτων ψευδῆ τοῦ Ἰωάννου τὴν φωνὴν εἶναι κατασκευάζεσθαι, τὴν μαρτυροῦσαν ὅτι πάντα δι' αὐτοῦ ἐγένετο. εἰ γὰρ πρωτότοκός ἐστι, μόνοις τοῖς κατὰ τὸν χρόνον πρεσβείοις τῶν μετ' αὐτὸν γεγονότων διαφέρει πάντως. ἄλλου ὄντος δι' οὗ καὶ τούτῳ καὶ τοῖς λοιποῖς ἡ πρὸς τὸ εἶναι γέγονε δύναμις. ἀλλ'
B ὡς ἂν μή τισι τῶν συκοφαντούντων ὑπόνοιαν δοίημεν, ὡς μὴ παραδεχόμενοι τὰς θεοπνεύστους φωνὰς δι' ὧν ἐνιστάμεθα, πρότερον τὴν ἡμετέραν διάνοιαν ἣν ἔχομεν περὶ τῶν ὀνομάτων τούτων παραθησόμεθα· εἶθ' οὕτω τὴν τοῦ βελτίονος κρίσιν, τοῖς ἀκροωμένοις προσθήσομεν. ὁ μέγας Παῦλος εἰδὼς ὅτι παντὸς ἀγαθοῦ ἀρχηγός τε καὶ αἴτιος ὁ μονογενής ἐστι Θεός, ὁ ἐν πᾶσι πρωτεύων, προσμαρτυρεῖ αὐτῷ τὸ μὴ μόνον τὴν τῶν ὄντων κτίσιν δι' ἐκείνου γενέσθαι, ἀλλ' ὅτι τῆς ἀρχαίας τῶν ἀνθρώπων
C κτίσεως παλαιωθείσης τε καὶ ἀφανισθείσης, καθὼς αὐτὸς ὀνομάζει, ἄλλης δὲ καινῆς κτίσεως ἐν Χριστῷ γινομένης, οὐδὲ ταύτης ἄλλος τις κατηγήσατο· ἀλλὰ πάσης τῆς διὰ τοῦ εὐαγγελίου τῶν ἀνθρώπων γινομένης κτίσεως, αὐτός ἐστιν ὁ πρωτότοκος. καὶ ὡς ἂν σαφέστερον γένοιτο τὸ περὶ τούτου νόημα, οὕτω τὸν λόγον διαληψόμεθα. τετράκις τῆς φωνῆς ταύτης μέμνηται ὁ θεῖος ἀπόστολος· ἅπαξ μὲν οὕτως εἰπών· ὅτι πρωτότοκος πάσης κτίσεως. πάλιν δὲ ὅτι πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς· ἐκ τρίτου δέ, ὅτι
D πρωτότοκος ἐκ τῶν νεκρῶν· μετὰ ταῦτα δὲ ἀπολυτόν τε, καὶ ἀσύζυγον τὴν φωνὴν παρατίθεται, εἰπών, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. ἣν τοίνυν τὴν ἂν διάνοιαν ἐπὶ τῶν ἄλλων συζυγιῶν τοῦ ὀνόματος τούτου κατανοήσωμεν, ἀκολούθως τὴν αὐτὴν καὶ τῷ πρωτοτόκῳ τῆς κτίσεως ἐφαρμόσομεν. μιᾶς γὰρ καὶ τῆς αὐτῆς οὔσης φωνῆς, ἀνάγκη πᾶσα μίαν εἶναι καὶ τὴν σημαινομένην διάνοιαν· πῶς γίνεται τοίνυν πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, πῶς δὲ νεκρῶν πρωτότοκος, ἢ τοῦτο πάντως ἐστὶ δῆλον· ὅτι διὰ τὸ γενέσθαι ἡμᾶς αἷμα καὶ σάρκα, καθὼς φησὶν ἡ γραφή,

ὁ δι'

ὁ δι' ἡμᾶς γενόμενος, καθ' ἡμᾶς, καὶ σαρκὸς καὶ αἵματος κοινωνήσας, μέλλων ἡμᾶς μεταποιεῖν ἐκ τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον, διὰ τῆς ἄνωθεν γεννήσεως, τῆς δι' ὕδατος καὶ πνεύματος, αὐτὸς τοῦ τοιούτου τόκου καθηγήσατο, διὰ τοῦ ἰδίου βαπτίσματος τὸ ἅγιον πνεῦμα ἐπὶ τὸ ὕδωρ ἐπισπασάμενος. ὥστε πάντων τῶν πνευματικῶς ἀναγεννωμένων, πρωτότοκον αὐτὸν γενέσθαι, καὶ ἀδελφοὺς ὀνομάσαι τοὺς τῆς ὁμοίας αὐτῷ διὰ τοῦ ὕδατος καὶ τοῦ πνεύματος μετεσχηκότας γεννήσεως. ἐπεὶ δὲ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἔδει αὐτὸν ἐναποθέσθαι τῇ φύσει τὴν δύναμιν, πάλιν γίνεται ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν, ὁ πρῶτος δι' ἑαυτοῦ λύσας τὰς ὀδύνας τοῦ θανάτου. ὥστε καὶ ἡμῖν ὁδοποιηθῆναι τὴν ἐκ τοῦ θανάτου παλιγγενεσίαν, διὰ τῆς τοῦ κυρίου ἀναστάσεως τῆς ὠδῖνος τοῦ θανάτου λυθείσης, ἐν ᾧ κατειχόμεθα. ὥσπερ οὖν μεταλαβὼν τῆς διὰ λουτροῦ ἀναγεννήσεως, ἀδελφῶν πρωτότοκος γίνεται. καὶ πάλιν ἀπαρχὴν τῆς ἀναστάσεως αὐτὸν ποιήσας, πρωτότοκος ἐκ τῶν νεκρῶν ὀνομάζεται, οὕτως ἐν πᾶσι πρωτεύων. μετὰ τὸ παρελθεῖν τὰ ἀρχαῖα πάντα, καθώς φησιν ὁ ἀπόστολος, τῆς καινῆς ἐν Χριστῷ κτίσεως τῶν ἀνθρώπων, πρωτότοκος γίνεται, διὰ τῆς διπλῆς παλιγγενεσίας, τῆς τε κατὰ τὸ ἅγιον βάπτισμα, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἀρχηγὸς τῆς ζωῆς καθ' ἑκάτερον ἡμῖν γενόμενος. καὶ ἀπαρχὴ καὶ πρωτότοκος. οὗτος οὖν ὁ πρωτότοκος καὶ ἀδελφοὺς ἔχει, περὶ ὧν φησὶ πρὸς τὴν Μαρίαν, ὅτι πορεύθητι καὶ εἰπὲ τοῖς ἀδελφοῖς μου, πορεύομαι πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. ὅλον γὰρ τὸν κατὰ ἄνθρωπον οἰκονομίας ἀνακεφαλαιοῦται τὸν σκοπὸν διὰ τῶν εἰρημένων. ἀποστάντες γὰρ τοῦ Θεοῦ οἱ ἄνθρωποι, ἐδούλευσαν τοῖς φύσει μὴ οὖσι θεοῖς· καὶ ὄντες τέκνα Θεοῦ, τῷ πονηρῷ τε καὶ ψευδωνύμῳ πατρὶ προσῳκειώθησαν. διὰ τοῦτο ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων πάσης τῆς ἀνθρωπίνης φύσεως τὴν ἀπαρχὴν ἀναλαβὼν, οὐκ ἐκ τοῦ θείου προσώπου, ἀλλ' ἐκ τοῦ ἡμετέρου πέμπει τοῖς ἀδελφοῖς ἑαυτοῦ τὰ δηλώματα λέγων ὅτι πορεύσομαι δι' ἐμαυτοῦ ποιῆσαι ὑμῶν πατέρα, τὸν ἀληθινὸν πατέρα οὗ ἐχωρίσθητε· καὶ ποιῆσαι δι' ἐμαυτοῦ Θεὸν ὑμῶν, τὸν ἀληθινὸν Θεὸν οὗ ἀπέστητε, διὰ γὰρ τῆς ἀπαρχῆς ἣν ἀνέλαβον, προσάγω ἅπαν τῷ Θεῷ καὶ πατρὶ

A qui autem propter nos, ſecundum nos natus eſt, carnis & ſanguinis particeps, nos ex corruptibili ad incorruptibile vendicaturus per ſupernam generationem, quæ eſt per aquam & ſpiritum, ipſe talis partus dux extitit, per ſuum baptiſma, ſanctum Spiritum in aquam attrahens. *Matth. 3.* Ita vt omnium qui ſpiritualiter regenerantur ipſe ſit primogenitus, fratreſque nominet eos qui ſimilis cum ipſo per aquam & ſpiritũ generationis facti ſunt participes. Quoniam vero etiã per ſuam à mortuis reſurrectionem ipſum indere vim naturæ humanæ ad reſurgendum o-
B portebat, rurſus fit dormientium primitiæ, & primogenitus ex mortuis, qui primus per ſeipſum mortis dolores reſoluit. Ita vt nobis à morte ſit patefacta via ad regenerationem, per Domini reſurrectionem mortis doloribus reſolutis, in qua detinebamur. Quemadmodum igitur particeps factus eius quæ fit per lauacrum regenerationis, fratrum primogenitus efficitur. Rurſus etiam qui ſeipſum reſurrectionis primitias fecit, ex mortuis primogenitus nominatur, ſic inter omnes principem locum obtinens. Poſtquam vetera omnia prætericrunt, ſicut
C ait Apoſtolus, nouę in Chriſto creationis *2. Cor. 5.* hominum primogenitus efficitur per duplicem regenerationem, & per ſanctum Baptiſma, & per reſurrectioné à mortuis, dux & princeps vitæ per vtramque nobis factus. Et primitiæ & primogenitus. Hic igitur primogenitus fratres habet, de quibus ait ad Mariam, Perge & dic fratribus *Ioan 20.* meis, vado ad Patrem meum & Patrem veſtrum, Deum meũ & Deum veſtrum. His dictis totum ſecũdum hominem diſpenſationis ſcopum ſummatim comple-
D ctitur. Homines enim à Deo recedentes ſeruierunt iis qui non ſunt natura dij. & cùm eſſent Dei filij, improbo & falſi nominis Patri adhæſerunt. Quocirca, mediator Dei & hominum omnis humanæ *1. Tim 2.* naturæ primitias cùm aſſumpſit, non ex diuina perſona ſed ex noſtra ad fratres mittit hæc ſua indicia, dicens, Vadam per meipſum: facturus veſtrum patrem, verum patrem, à quo ſeparati eſtis: & facturus per meipſum Deum veſtrum verum Deum à quo defeciſtis, nam propter primitias quas aſſumpſi omnem humanam naturam ad Deum Patrem

in meipſo adducam. Cùm igitur primitiæ, Deum ſuum fecerint eum qui Deus eſt, & patrem eum qui bonus eſt. omni naturæ bonum rectum efficitur; & fit hominum propter primitias, pater & Deus. Quòd ſi primitiæ ſanctæ, inquit, & conſperſio maſſa. vbi vero primitiæ Chriſtus, Chriſtus autem primitiæ, illic & qui ſunt Chriſti, quemadmodum ait Apoſtolus. In quibus igitur per coniugationem meminit primogeniti, mortuorum & creaturæ & fratrum mentione facta, hæc & quæ ſunt eiuſmodi intelligere præcipit. vbi vero abſque tali adiectione dicit, cùm rurſus induxerit primogenitum in orbem terrarum. adiectio huius vocis [rurſus] apparitionem Domini vniuerſorum quę fiet in fine, prædicit. Sicut enim in nomine Ieſu genu omne curuatur, cœleſtium, terreſtrium & ſubterraneorum: quinetiam filius humanum nomen non habet, quia ſit ſuper omne nomen; ſic ab omni ſupermundana creatura dicit primogenitum adorari, qui propter nos ſic nominatus eſt. rurſus in orbem terrarum ingredientem, cùm iudicabit orbem terræ in iuſtitia, & populos in rectitudine. Sic ex verbo pietatis diſcernitur ac dijudicatur quod primogeniti & vnigeniti nomine ſignificatur, vtriuſque nominis inter ſe ſeruata ſignificatione. Qui autem primogeniti nomen ad eam exiſtentiam quæ eſt ante ſecula reducit, quo modo vnigeniti notionem animo perceptam conſeruat? Auditor intelligens conſideret an hæc inter ſe congruant. cùm neque primogenitus ſine fratribus intelligatur, neque vnigenitus cum fratribus. Cum enim dixit, In principio erat Verbum, per hoc vnigenitum intelleximus. Cùm vero ſubiungit: Et verbum caro factum eſt, per hoc primogenitum mente & intelligentia concepimus. Et ſic inconfuſus manet pietatis ſermo, vtrique nomini adnatas & adhærentes ſignificationes conſeruans, ſicque in vnigenito id quod eſt ante ſecula, per primogenitum verò creationis per carnem, eius qui eſt ante ſecula manifeſtationem intuemur. ſed Eunomij ad verbum orationem repetamus: [Credimus, inquit, in Dei filium, vnigenitum Deum, primogenitum omnis creaturæ, filium verum non

Rom. 11.

Hebr. 1.

Philip. 2.

Verba Eunomij repetuntur.

A ἐν ἐμαυτῷ, τὸ ἀνθρώπινον. τῆς οὖν ἀπαρχῆς, Θεὸν ἑαυτῆς ποιησαμένης τὸν ὄντα Θεὸν, καὶ πατέρα τὸν ἀγαθὸν πατέρα, πᾶσα κατορθοῦται τῇ φύσει τὸ ἀγαθόν. καὶ πάντων ἀνθρώπων γίνεται διὰ τῆς ἀπαρχῆς, πατὴρ καὶ Θεός. εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, φησὶ, καὶ τὸ φύραμα. ὅπου δὲ ἡ ἀπαρχὴ Χριστὸς, Χριστὸς δὲ ἡ ἀπαρχὴ, ἐκεῖ καὶ οἱ τοῦ Χριστοῦ, καθώς φησιν ὁ ἀπόστολος. ἐν οἷς οὖν διὰ συζυγίας τὴν μνήμην τοῦ πρωτοτόκου πεποίηται. νεκρῶν τι καὶ κτίσεως καὶ ἀδελφῶν μνημονεύσας, ταῦτα καὶ τὰ τοιαῦτα νοεῖν ὑποτίθεται. ὅπου δὲ δίχα τῆς

B τοιαύτης προσθήκης φησὶ, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει. ἡ τοῦ πάλιν προσθήκη τὴν ἐπὶ τέλει γενησομένην τοῦ δεσπότου τῶν ὅλων ἐμφάνειαν προσαγορεύει. ὡς γὰρ ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμπτει, ἐπουρανίων, ἐπιγείων, καὶ καταχθονίων· καίτοι ὁ υἱὸς τὸ ἀνθρώπινον ὄνομα οὐκ ἔχει, τὸ ὑπὲρ πᾶν ἐστὶν ὄνομα, οὕτως παρὰ πάσης τῆς ὑπερκοσμίου κτίσεως προσκυνεῖσθαι τὸν πρωτότοκον λέγει, τὸν δι' ἡμᾶς οὕτως ὀνομασμένον. πάλιν εἰς τὴν οἰκουμένην εἰσιόντα, ὅταν

C κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐθύτητι. οὕτως διακρίνεται παρὰ τοῦ λόγου τῆς εὐσεβείας τό τε τοῦ πρωτοτόκου καὶ τὸ τοῦ μονογενοῦς σημαινόμενον, ἑκατέρου τῶν ὀνομάτων τῆς κατ' ἀλλήλου σημασίας φυλαττομένης. ὁ δὲ εἰς τὴν προαιώνιον ὕπαρξιν ἀνάγων τοῦ πρωτοτόκου τὸ ὄνομα, πῶς διασώζει τὴν τοῦ μονογενοῦς ἔννοιαν, ὁ συνετὸς ἀκροατὴς ἐπισκεψάσθω, εἰ συμβαίνει ταῦτα πρὸς ἄλληλα. μήτε τοῦ πρωτοτόκου χωρὶς ἀδελφῶν νοουμένου, μήτε τοῦ μονογενοῦς μετὰ ἀδελφῶν. ὅταν μὲν γὰρ εἴπῃ ὅτι ἐν

D ἀρχῇ ἦν ὁ λόγος, διὰ τούτου τὸν μονογενῆ ἐνοήσαμεν. ὅταν δὲ ἐπάγῃ ὅτι ὁ λόγος σὰρξ ἐγένετο, διὰ τούτου τὸν πρωτότοκον τῇ διανοίᾳ προσεδεξάμεθα. καὶ οὕτως ἀσύγχυτος μένει τῆς εὐσεβείας ὁ λόγος, φυλάσσων ἑκατέρῳ τῶν ὀνομάτων τὰς προσφυεῖς σημασίας, ὡς ἐν μὲν τῷ μονογενεῖ βλέπειν τὸ προαιώνιον, διὰ δὲ τοῦ πρωτοτόκου τῆς κτίσεως, τὴν διὰ σαρκὸς τοῦ προαιωνίου φανέρωσιν. πάλιν δὲ τοῦ Εὐνομίου τὸν λόγον ἐπιλέξεως ἀναλάβωμεν· πιστεύομεν καὶ εἰς τὸν τοῦ Θεοῦ υἱὸν, τὸν μονογενῆ Θεὸν, τὸν πρωτότοκον πάσης κτίσεως, υἱὸν ἀληθινὸν, οὐκ

ἀγέννητον, ἀληθῶς γεννηθέντα πρὸ αἰώνων. ὅτι μὲν οὖν μετάγει τὴν τῆς γεννήσεως ἔμφασιν εἰς τὸ τῆς κτίσεως σημαινόμενον, δῆλόν ἐστιν, ἐξ ὧν διαῤῥήδην κτιστὸν αὐτὸν προσηγόρευσε, γενόμενον εἰπὼν αὐτὸν καὶ οὐκ ἄκτιστον. ἡμεῖς δὲ ὡς ἂν μάλιστα τὸ ἀνεπίσκεπτον αὐτοῦ καὶ ἀπαίδευτον ἐν τοῖς δόγμασι φανερωθείη, ἀφέντες τὸ σχετλιάζειν ἐπὶ τῷ προδήλῳ τῆς βλασφημίας, τεχνικῇ τινι διαιρέσει τὸν περὶ τούτου λόγον διαληψόμεθα. δοκεῖ γάρ μοι καλῶς ἔχειν αὐτὸ τὸ τῆς γεννήσεως σημαινόμενον δι᾽ ἐπιμελεστέρας ἐξετάσεως διασκοπῆσαι τῷ λόγῳ. ὅτι μὲν οὖν τὸ ἐξ αἰτίας εἶναί τινος τὸ ὄνομα τοῦτο παρίστησι, πᾶσι δῆλον ἐστί, καὶ οὐδὲν οἶμαι περὶ τούτου χρῆναι διαγωνίζεσθαι· ἀλλ᾽ ἐπειδὴ διάφορος τῶν ἐξ αἰτίας ὑφεστώτων ὁ λόγος ἐστί, τοῦτ᾽ οἶμαι προσήκειν διά τινος τεχνικῆς διαιρέσεως σαφηνισθῆναι τῷ λόγῳ. τῶν τοίνυν ἔκ τινος αἰτίας γεγενημένων ταύτας τὰς διαφορὰς κατειλήφαμεν. τὰ μὲν γὰρ ἐξ ὕλης ἐστὶ καὶ τέχνης, ὡς αἱ τῶν οἰκοδομημάτων καὶ τῶν λοιπῶν ἔργων κατασκευαί, διὰ τῆς κατ᾽ ἀλλήλου ὕλης γινόμεναι. ὧν καθηγεῖταί τις τέχνη πρὸς τὸν ἴδιον σκοπὸν τὸ προτεθὲν συμπεραίνουσα· τὰ δὲ, ἐξ ὕλης καὶ φύσεως. τὰς γὰρ ἐξ ἀλλήλων γεννήσεις τῶν ζώων, ἡ φύσις οἰκοδομεῖ. διὰ τῆς ἐν τοῖς σώμασιν ὑλικῆς ὑποστάσεως, τὸ ἑαυτῆς ἐνεργοῦσα· τὰ δὲ ἐξ ὑλικῆς ἀποῤῥοίας, ἐφ᾽ ὧν καὶ τὸ προηγούμενον μένει οἷόν ἐστι· καὶ τὸ ἀπ᾽ ἐκείνου ῥέον ἐφ᾽ ἑαυτοῦ καθορᾶται, ὡς ἐπὶ τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος, ἢ ἐπὶ τῆς λαμπάδος καὶ τῆς αὐγῆς, ἐπὶ τῶν ἀρωμάτων τε καὶ τῶν μύρων, καὶ τῆς ἐκεῖθεν ἐκδιδομένης ποιότητος. ταῦτα γὰρ ἐφ᾽ ἑαυτῶν ἀμείωτα μένοντα, εὐθὺς ἔχει συμπαρομαρτοῦσαν ἑκάστη τὴν ἀπ᾽ αὐτῶν ἐκδιδομένην φυσικὴν ἰδιότητα· οἷον, ὁ μὲν ἥλιος τὴν ἀκτῖνα, ἡ δὲ λαμπὰς τὴν αὐγὴν, τὰ δὲ ἀρώματα τὴν τῷ ἀέρι ἐντικτομένην ἐξ αὐτῶν εὐωδίαν. ἔστι καὶ ἕτερον εἶδος παρὰ ταῦτα γεννήσεως. οὗ ἡ μὲν αἰτία, ἄϋλός ἐστι καὶ ἀσώματος, ἡ δὲ γέννησις αἰσθητή τε καὶ διὰ σωμάτων. λέγω δὲ τὸν ἐκ τοῦ νοῦ γεννώμενον λόγον. ἀσώματος γὰρ ὢν καθ᾽ ἑαυτὸν ὁ νοῦς

A ingenitum, verè ante ſecula genitum.] Quòd igitur generationis ſignificationem ad creationis ſignificatum adducat, perſpicuum eſt ex his, quibus apertè & manifeſtò ipſum creatum appellauit, factum ipſum cùm dixit & non increatum. Nos autem vt temeraria & inconſiderata ipſius inſcitia atque ignorantia in ſuis prauis opinionibus manifeſtetur magis, omiſſis deplorationibus atque dolendi rationibus, propter manifeſtam & omnibus notam blaſphemiam ſiue ſacrilegam impietatem; artificioſa quadam diſtinctione de eo orationem diuidamus. Res enim mihi videtur præclarè habere, ſi diligentio-

B re examine generationis ſignificatum oratione perſpiciamus. Quod igitur ex cauſſa eſſe aliqua, hoc ipſum nomen deſignat cuius perſpicuum eſt, neque puto de eo decertandum eſſe. Sed quoniam eorum quæ ex cauſa ſubſiſtunt diuerſa eſt ratio, hoc arbitror artificioſa quadam diuiſione conuenire dilucidari. Eorum igitur quæ ex cauſa ſunt aliqua exorta, has differentias accepimus. Quædam ex materia & arte conſtant, vt ædificiorum & reliquorum operum extructiones, quæ ex materia inter ſe coniuncta fiunt, quibus ars aliqua magiſtra præeſt, ad proprium ſco-

C pum id quod propoſitum eſt terminans. Alia verò ex materia & natura. Generationes enim animalium ex ſe inuicem natura exſtruit, per materialem quę eſt in corporibus ſubſiſtētiam ſuum opus conficiens. Alia etiam ex materiali defluxu, in quibus quod antecedit manet quale eſt, & quod ex illo fluit in ſeipſo conſpicitur: vt in Sole & radio, aut in lucerna & in ſplendore, vel in odoramentis & vnguentis & in ea quæ inde dimanat qualitate. Hæc enim in ſeipſis non imminuta manentia, continuò habent ſingula concomitantem ab ipſis

D emanantem naturalem proprietatem: vt Sol quidem radium, lucerna fulgorem: Odoramenta verò ſuauem ex ſeipſis in aëre diffuſum habent odorem. Præter has etiam alia eſt generationis ſpecies, cuius quidem cauſa materiæ atque corporis eſt expers, generatio vero ſenſilis & per corporea. dico autem ex mente productum ſermonem: Cùm enim mēs ipſa per ſe ſit incorporea,

per inſtrumenta ſenſum mouētia gignit ſermonem. Totidem generationum differentias inſita quadam atque ingenita contemplandi ratione perſpeximus. his igitur generationis modis ſic à nobis diſtinctis: tempus iam fuerit conſpiciendi, quomodo beneuola in hominum genus Spiritus ſancti diſpenſatio nobis per ea quæ capere poſſumus diuina tradens myſteria, doctrinam omni ſermone ſuperiorem præbet. Omnes enim generationis ſpecies, quas humana cognoſcit intelligentia, diuinitus inſpirata doctrina ad ineffabilis potētiæ demonſtrationem, corporeis nominum ſignificationibus omiſſis, aſſumit. Cùm enim de potentia conditrice & creatrice loquitur, generationem certè nominat vim talem efficiendi, quia oporteat ſermonem ad humilem & imbecillum captum noſtræ facultatis & intelligentiæ deſcēdere. Non quidem omnia quæ apud nos cum generatione quippiam aſtruente conſpiciuntur, commonſtrat, non locum, non tempus, non materiæ præparationem, non inſtrumentorum cognationem, non ſcopum in quem quæ naſcuntur tendunt. ſed hæc nobis cogitanda relinquens, magnificè & ſublimiter eorum quæ ſunt generationem Deo attribuit, in quibus aſſerit, Ipſe dixit & facta ſunt, ipſe mandauit & creata ſunt. Rurſus cùm inexplicabilem atque non enarrabilem vnigeniti ex Patre exiſtentiam, quæ omnem rationem & orationem humanam exſuperat, exponit, quia humana mendicitas & egeſtas documentorum quæ ſermone & intelligentia humana longè ſunt ſubliniora & altiora, capax non eſt, illic noſtris verbis vſa eſt, ſeque noſtræ capacitati accommodat, & filium nominat, quod apud nos conſuetudo nomen vſurpat de re ea quæ ex materia naturaliter gignitur. Sed quemadmodum generationem per creationem factam cùm dixit ſermo diuinus, quòd ex quadam materia ipſa facta eſt, non appoſuit materię eſſentiam locum & tempus & cętera quæ ſunt eiuſmodi, voluntatis Dei eſſe virtutē declarando: ſic & hic filium cùm dixit, ōmiſit omnia alia quæ in generatione infima humana natura cernit: affectiones dico & diſpoſitiones, atq. ex tēpore concurrentē operationē, locique vſum, & ante omnia materiam, ſine quibus omnibus inferior generatio naturalis minimè conſiſteret. Omni igitur materiali & locali eſſentia

Pſal. 148.

A διὰ τῶν αἰσθητηρίων ὀργάνων τίκτει τὸν λόγον. τοσαύτας γεννήσεων διαφορὰς εἶναι ἐν γνώμῃ τινὶ θεωρίᾳ κατενοήσαμεν. τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων οὕτως ἡμῖν διῃρημένων, καιρὸς ἂν εἴη κατιδεῖν πῶς ἡ φιλάνθρωπος τοῦ ἁγίου πνεύματος οἰκονομία, παραδιδοῦσα τὰ θεῖα μυστήρια διὰ τῶν ἡμῖν χωρητῶν, τὴν διδασκαλίαν ποιεῖται τὴν ὑπὲρ λόγον. πάντα γὰρ τὰ τῆς γεννήσεως εἴδη ὅσα ἡ ἀνθρωπίνη γινώσκει διάνοια, ἡ θεόπνευστος διδασκαλία πρὸς τὴν παράστασιν τῆς ἀρρήτου δυνάμεως παραλαμβάνει, οὐ συμπαραδεχομένη τὰς σωματικὰς τῶν
B ὀνομάτων ἐμφάσεις. ὅταν μὲν γὰρ περὶ τῆς κατασκευαστικῆς λέγῃ δυνάμεως, γέννησιν μὲν ὀνομάζει τὴν τοιαύτην ἐνέργειαν, διὰ τὸ δεῖν πρὸς τὸ ταπεινὸν τῆς ἡμετέρας δυνάμεως καταβῆναι τὸν λόγον. οὐ μὴν συνενδείκνυται τὰ ὅσα παρ' ἡμῖν τῇ κατασκευαστικῇ γεννήσει συνθεωρεῖται, οὐ τόπον, οὐ χρόνον, οὐχ ὕλης παρασκευήν, οὐκ ὀργάνων συνέργειαν, οὐ τὸν ἐπὶ τοῖς γινομένοις σκοπόν. ἀλλὰ ταῦτα ἡμῖν καταλιποῦσα, μεγαλοφυῶς
C τε καὶ ὑψηλῶς τῷ Θεῷ προσμαρτυρεῖ τῶν ὄντων τὴν γένεσιν. ἐν οἷς φησὶν ὅτι αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. πάλιν ὅταν τὴν ἀπόρρητόν τε καὶ ὑπὲρ λόγον τοῦ μονογενοῦς ἐκ τοῦ πατρὸς ὕπαρξιν ἑρμηνεύῃ, διὰ τὸ ἀχώρητον εἶναι τὴν ἀνθρωπίνην πτωχείαν τῶν ὑπὲρ λόγον τε καὶ ἔννοιαν διδαγμάτων, κἀκεῖ τοῖς ἡμετέροις συγχρῆται, καὶ υἱὸν ὀνομάζει, ὅπερ παρ' ἡμῖν συνήθεια τοῖς ἀπὸ ὕλης καὶ φύσεως ἀποτικτομένοις, ὄνομα τίθεται. ἀλλ' ὥσπερ
D τὴν διὰ τῆς κτίσεως γέννησιν εἰπὼν ὁ λόγος ἐπὶ Θεοῦ, τὸ διά τινος ὕλης γενέσθαι αὐτὴν, οὐ προσέθηκεν οὐσίαν ὕλης καὶ τόπον καὶ χρόνον, καὶ πάντα τὰ τοιαῦτα, τὴν τοῦ Θεοῦ θελήματος εἶναι δύναμιν ἀποφηνάμενος· οὕτως καὶ ἐνταῦθα υἱὸν εἰπὼν, ἀφῆκε πάντα τά τε ἄλλα ὅσα περὶ τὴν κάτω γέννησιν ἡ ἀνθρωπίνη φύσις ὁρᾷ· πάθη τε λέγω καὶ διαθέσεις, καὶ τὴν ἐκ τοῦ χρόνου συνέργειαν, καὶ τὴν τοῦ τόπου χρείαν, καὶ πρὸ πάντων τὴν ὕλην, ὧν ἄνευ πάντων ἡ κάτω γέννησις ἐκ τῆς φύσεως οὐ συνίσταται. πάσης δὲ τῆς τοιαύτης ὑλικῆς τε καὶ διαστηματικῆς μὴ συμπα-

ὑπαλειφθείσης ἐν τῇ τοῦ υἱοῦ σημασίᾳ οὐσίας· μόνη ὑπελείφθη ἡ φύσις. καὶ διὰ τοῦτο τῇ τοῦ υἱοῦ φωνῇ τὸ οἰκεῖον καὶ γνήσιον τῆς ἐκ τοῦ πατρὸς ἀναδείξεως ἐπὶ τοῦ μονογενοῦς ἑρμηνεύεται. καὶ ἐπειδὴ οὐχ ἱκανὸν ἦν τὸ τοιοῦτον τῆς γεννήσεως εἶδος ἀρκοῦσαν ἡμῖν ἐμποιῆσαι τῆς ἀρρήτου τοῦ μονογενοῦς ὑπάρξεως τὴν φαντασίαν, συμπαραλαμβάνει καὶ τὸ ἕτερον τῆς γεννήσεως εἶδος πρὸς σημασίαν τῆς τοῦ υἱοῦ θεολογίας τὸ ἐκ τῆς ὑλικῆς ἀπορροίας καὶ φησὶν ἀπαύγασμα δόξης, καὶ ὀσμὴν μύρου, καὶ ἀτμίδα Θεοῦ, ἅπερ ἐν τῇ ἐκτεθείσῃ B παρ᾽ ἡμῶν τεχνολογίᾳ ἡ καθ᾽ ἡμᾶς συνήθεια ὑλικὴν ἀπόρροιαν ὀνομάζει. ἀλλ᾽ ὥσπερ ἐν τοῖς προειρημένοις, οὔτε ἡ τῆς κτίσεως γέννησις, οὔτε ἡ τοῦ υἱοῦ σημασία, ἢ χρόνον, ἢ ὕλην, ἢ τόπον, ἢ πάθος συμπαρεδέξατο, οὕτως καὶ ἐνταῦθα πάσης τῆς ὑλικῆς ἐννοίας τὴν τοῦ ἀπαυγάσματος, καὶ τῶν λοιπῶν τῶν μνημονευθέντων σημασίαν μόνην. τὸ θεοπρεπὲς τοῦ τοιούτου τῆς γεννήσεως εἴδους ὁ λόγος παραλαβὼν ἐνδείκνυται. τὸ δεῖν ἐξ αὐτοῦ τε καὶ μετ᾽ αὐτοῦ κατὰ ταυτὸν C νοεῖσθαι, διὰ τῆς κατὰ τὴν λέξιν ταύτην ἐμφάσεως. οὔτε γὰρ ἡ ἀτμὶς τὴν εἰς ἀέρα διάχυσιν ἐκ τῆς ὑποκειμένης ὕλης παρίστησιν. οὔτε ἡ ὀσμὴ τὴν ἐκ τῆς ποιότητος τοῦ μύρου γινομένην πρὸς τὸν ἀέρα μετάστασιν, οὔτε τὸ ἀπαύγασμα τὴν τοῦ ἡλιακοῦ σώματος διὰ τῶν ἀκτίνων γενομένην ἀπόρροιαν. ἀλλὰ τοῦτο μόνον ἐκ πάντων καθὼς εἴρηται διὰ τοῦ τοιούτου τῆς γεννήσεως τρόπου δηλοῦται, τὸ ἐξ ἐκείνου τε εἶναι καὶ μετ᾽ ἐκείνου νοεῖσθαι μηδενὸς διαστήματος μεταξὺ τοῦ πατρὸς· καὶ τοῦ D ἐξ αὐτοῦ μεσιτεύοντος. ἐπεὶ διὰ πλείονα φιλανθρωπίαν, ἡ τοῦ ἁγίου πνεύματος χάρις πολλαχόθεν ἡμῖν ἐγγενέσθαι τὰς θείας περὶ τοῦ μονογενοῦς ὑπολήψεις ᾠκονομήσατο· προσέθηκε καὶ τὸ λειπόμενον τῶν ἐν τῇ γενέσει θεωρουμένων εἶδος τὸ ἐκ τοῦ νοῦ καὶ τοῦ λόγου· ἀλλ᾽ ἐκ τούτων πλείονι χρῆται τῇ προμηθείᾳ ὁ ὑψηλὸς Ἰωάννης· ὥστε μὴ ὑπὸ ἀτονίας τε καὶ μικροψυχίας καταπεσεῖν τὸν ἀκούοντα πρὸς τὴν κοινὴν ἔννοιαν τοῦ λόγου. ὡς φθόγγον τοῦ πατρὸς τὸν υἱὸν νομισθῆναι· διὰ τοῦτ

A in filij ſignificatione non comprehenſa: ſola ſubrelicta eſt natura. Ideoque filij voce, quod proprium eſt & germanum demonſtrationi quæ ex patre eſt in vnigenito, explicatur; Ac quoniam eiuſmodi generationis ſpecies non ſatis plenè poterat nobis ſufficientem inenarrabilis vnigeniti exiſtentiæ cogitationem ingenerare: alteram generationis ſpeciem ad filij ſignificantiam aſſumit theologia. *Hebr. 1. Cant. Sapient.* Eius nempe quæ ex materiali emanatione conſtat, & dicit ſplendorem gloriæ, odorem vnguenti, & vaporem Dei, quæ quidem in expoſita à nobis artificioſa generationis diſtinctione conſuetudo noſtra materialem emanationem nominat. Sed quemadmodum in prædictis, neque creaturæ generatio, neque filij ſignificatio, vel tempus, vel materiam, vel locum, vel affectionem commonſtrat, ſic & hic omni materiali notione prætermiſſa ſolam ſplendoris & reliquorum commemoratorum ſignificationem; quod Deo decorum eſt & tali ſpecie generationis dignum, ſacræ ſcripturæ ſermo aſſumēs oſtendit. Quòd oporteat ex ipſo & cum ipſo eodem modo per hanc dictionis huius ſignificationem intelligi. Neque enim vapor diffuſionem per aërem ex ſubiecta materia repræſentat: neque odor ex qualitate vnguenti per aërem fieri emigrationem oſtendit, neque ſplendor ſiue effulgentia ſolaris corporis per radios factam emanationem demonſtrat. Sed hoc ſolum ex omnibus, ſicut dictum eſt, per talem generationis modum declaratur, ex illo & cum illo intelligi nullo interuallo interiecto inter patrem & eum qui ex ipſo eſt, conciliatorem. Quoniam vero propter maiorem in homines amorem ſancti Spiritus gratia multis ex locis nobis tales de vnigenito diuinas notiones informari procurauit. Adiecit & reliquam eorum quæ in generatione conſiderantur, ſpeciem ex mente & verbo, ſed ex his maiore prouidentia ſublimis ille Ioannes vtitur, ita vt neque auditor præ languore & puſilli animi imbecillitate in communem ſermonis notitiam decidat. ſic vt filius exiſtimetur ſonus patris: propterea

[illegible]

attribuit verbo, vt per eſſentiam in ipſa prima & beata ſit natura. ſic præconium alta voce præfatus, In principio erat Verbum, & Verbum erat apud Deum: & Deus & lux & vita & quæcunque eſt principium & ipſum Verbum erat. his igitur generationis & eorum quæ ex cauſa ſubſiſtunt, modis & noſtro more cognitis, & à ſacra ſcriptura vſurpatis & aſſumptis ad tradendam rerum ſupremarum doctrinam. Sic eorum vnum quemque (vt decet) ad diuinas informationes in animo conſignandas ſumere debemus. Sed iam tempus exigit, vt Eunomij ſermo intelligatur in quo ſignificatu generationis appellationem accipiat, [filium, inquit, Verum non ingenitum & vere genitum ante ſecula.] Quæ in diſtinctione malignè facta eſt, conſecutionem, vt cuiuis notam præterire opinor, conuenit. Quis enim ignorat cùm filius patri, & genitus ingenito opponatur, hunc patre omiſſo, ingenitum filio opponere. Oportebat autem ſi vllam veritatis curam habuiſſet, relatiuæ conſequentiæ rationem nequaquam peruertere. ſed dicere filium verum non patrem, hoc modo pietas cum rationis conſequentia ſeruata fuiſſet, & cum perſonarum diſcretione minimè diſciſſa fuiſſet natura. Sed iſte, verum & in ſcripturis ſacris vſurpatum patris vſum, & ab ipſo Verbo in fidei ſermone traditum, permutans, loco patris dixit ingenitum, vt vbi ipſum à naturali quæ cum Patris appellatione conſideratur, cum filio familiaritate & conuenientia ſeparaſſet, eundem cum omnibus rebus creatis communem faceret; quibus ex æquo contraria differentia cum ingenito conuenit. Verè quidem aſſerit genitum ante ſecula, ſed dicat à quo genitum? à Patre dicet prorſus. Siquidem non ad veritatem erubeſceret, ſed quoniam ab æterno patre filij æternitatem non licet diuellere, quia patris ſignificantia filium quoque vna commonſtrat. Propterea patris appellatione repudiata, transfert Verbum ad ingenitum, quoniam huius nominis ſignificatum nullam cum filio relationem & communionem habeat, atque ita auditoribus abductis à conſiderando filio ſimul cum patre, immuta-

Ioan. 1.

A προσμαρτυρεῖ τῷ λόγῳ, τὸ κατ' οὐσίαν εἶναι ἐν αὐτῇ τῇ πρώτῃ καὶ μακαρίᾳ φύσει. οὕτως ἀναβοήσας τὸ κήρυγμα· ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ πρὸς τὸν Θεόν· καὶ Θεὸς φῶς καὶ ζωὴ καὶ πάντα ὅσα ἐστὶν ἡ ἀρχὴ καὶ αὐτὸς ἦν. τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων ἤτοι τῶν ἐξ αἰτίας ὑφεστώτων ἔν τε τῇ καθ' ἡμᾶς συνηθείᾳ γινωσκομένων, παραληφθέντων δὲ καὶ παρὰ τῆς ἁγίας γραφῆς πρὸς τὴν τῶν ὑπερκειμένων διδασκαλίαν. οὕτως ὡς εἰκός ἐστι πρὸς παράστασιν τῶν θείων ὑπολείψεων ἕκαστον τούτων εὐσεβῶς μεταληφθῆναι. B καιρὸς δ' ἂν εἴη κατανοῆσαι καὶ τοῦ Εὐνομίου τὸν λόγον ἐπὶ ποίου δέχεται σημαινομένου τὴν τῆς γεννήσεως ἔμφασιν. υἱόν, φησίν, ἀληθινὸν οὐκ ἀγέννητον καὶ ὄντως γεννηθέντα πρὸ αἰώνων. τὴν μὲν οὖν ἐν τῇ διαστολῇ κακουργηθεῖσαν ἀκολουθίαν ὡς πᾶσι γνώριμον οἶμαι παραδραμεῖν ἄμεινον προσήκει. τίς γὰρ οὐκ εἶδεν ὅτι τῷ μὲν υἱῷ πρὸς τὸν πατέρα, τῷ δὲ γεννητῷ πρὸς τὸν ἀγέννητον οὔσης τῆς ἀντιδιαστολῆς. οὕτως τὸν πατέρα παρεὶς ἀντιδιαστέλλει τῷ υἱῷ τὸν ἀγέννητον. δέον εἴπερ ἀληθείας ἐποιεῖτο φροντίδα, C μὴ παρατρέψαι τῆς σχετικῆς ἀκολουθίας τὸν λόγον. ἀλλ' εἰπεῖν ὅτι τὸν υἱὸν ἀληθινὸν οὐ πατέρα. οὕτω δὲ ἂν συνδιεσώθη τῇ ἀκολουθίᾳ τοῦ λόγου καὶ ἡ εὐσέβεια τῇ διακρίσει τῶν προσώπων μὴ συνδιασπασθείσης τῆς φύσεως, ἀλλὰ τὸ ἀληθῆ τε καὶ ἔγγραφον τοῦ πατρὸς χρῆσιν τὴν παρ' αὐτοῦ τοῦ λόγου παραδοθεῖσαν ἐν τῷ λόγῳ τῆς πίστεως ὑπαμείψας, ἀγέννητον ἀντὶ τοῦ πατρὸς κατωνόμασεν. ἵνα χωρήσας αὐτὸν τῆς φυσικῆς ἐνθεωρουμένης τῇ τοῦ πατρὸς κλήσει τῆς πρὸς τὸν υἱὸν οἰκειότητος, κοινοποιήσῃ πρὸς πάντα τὰ ἐν τῇ κτίσει φαινόμενα. D οἷς κατὰ τὸ ἴσον ἡ ἀντιδιαστολή ἐστι πρὸς τὸ ἀγέννητον. ἀληθῶς, φησί, γεννηθέντα πρὸ αἰώνων. παρὰ τίνος εἰπάτω, παρὰ τοῦ πατρὸς ἐρεῖ πάντως. εἴπερ μὴ αἰσχύνοιτο πρὸς τὴν ἀλήθειαν· ἀλλ' ἐπειδὴ τοῦ ἀϊδίου πατρὸς οὐκ ἔστι τὴν ἀϊδιότητα τοῦ υἱοῦ διαζεῦξαι, συνενδεικνυμένης πάντως καὶ τὸν υἱὸν τῆς τοῦ πατρὸς σημασίας. διὰ τοῦτο τὴν τοῦ πατρὸς ἀποδοκιμάσας τὴν κλῆσιν μετάγει τὸν λόγον πρὸς τὸ ἀγέννητον. ἐπειδὴ τούτου τοῦ ὀνόματος ἄσχετόν τε καὶ ἀκοινώνητόν ἐστι πρὸς τὸν υἱὸν τὸ σημαινόμενον. καὶ οὕτως παραγαγὼν τοὺς ἀκούοντας πρὸς τὸ μὴ συνθεωρεῖν τῷ πατρὶ

τὸν υἱόν· διὰ τῆς ὑπαλλαγῆς τοῦ ὀνόματος ὁδὸν ἔδωκεν τῇ κακουργίᾳ, διὰ τῆς τοῦ ἀγεννήτου παρενθήκης ὁδοποιῶν τὴν ἀσέβειαν. οἱ γὰρ κατὰ τὸ πρόσταγμα τοῦ δεσπότου εἰς τὸν πατέρα τὴν πίστιν ἔχοντες, ὁμοῦ τῷ ἀκοῦσαι τὸν πατέρα καὶ τὸν υἱὸν τῇ διανοίᾳ συμπαρεδέξαντο· οὐδενὶ τῷ μεταξὺ διαστήματι τῆς διανοίας ἀπὸ τοῦ υἱοῦ πρὸς τὸν πατέρα κατεμβατευούσης. οἱ δὲ ἀντὶ τοῦ πατρὸς παρενεχθέντες πρὸς τὴν τοῦ ἀγεννήτου κλῆσιν, ψιλὴν τοῦ ὀνόματος τούτου ἀναλαμβάνουσιν ἔννοιαν· μόνον τὸ μὴ γεγενῆσθαι αὐτὸν διδασκόμενοι. οὐ μὴν καὶ τὸ πατέρα εἶναι. ἐκ τούτου δὲ τοῖς μὲν συνετοῖς ἐπαΐουσιν ἀσύγχυτος μένει καὶ διὰ ταύτης τῆς διανοίας ἡ πίστις. τὸ γὰρ μὴ γενέσθαι ὡσαύτως ἐπὶ τῆς ἀκτίστου λέγεται φύσεως. ἄκτιστον δὲ κατὰ τὸ ἴσον ὁ πατήρ τε καὶ υἱὸς, καὶ τὸ πνεῦμα τὸ ἅγιον. διότι πᾶσα ἡ κτίσις αἰσθητή τε καὶ ὑπερκόσμιος, ἐκ πατρὸς τε καὶ υἱοῦ καὶ πνεύματος ἁγίου τὴν ὑπόστασιν ἔχειν παρὰ τῶν ἀκολουθούντων ταῖς θείαις φωναῖς πεπίστευται. ὁ γὰρ ἀκούσας ὅτι τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· οὔτε ῥῆμα τὸν λόγον ἐνόησεν, οὔτε ἆσθμα τὸ πνεῦμα· ἀλλὰ τὸν Θεὸν λόγον, καὶ τοῦ Θεοῦ τὸ πνεῦμα, διὰ τῶν εἰρημένων ἀνετυπώσατο. οὐ δύναται γὰρ τὸ αὐτὸ καὶ κτίζειν καὶ κτίζεσθαι. ἀλλὰ διχῇ μεμερισμένων τῶν ὄντων εἰς τὸ ποιοῦντε καὶ τὸ γινόμενον. ἀλλ' ὅτι ἑκάτερον ἐστι τῇ φύσει παρὰ τὸ ἕτερον, ὡς μήτε τὸ γινόμενον ἄκτιστον εἶναι, μήτε κτιστὸν, ὃ τὴν τῶν γινομένων κατεργάζεται φύσιν. τοῖς μὲν οὖν κατὰ τὴν δεσποτικὴν τῆς πίστεως ἔκθεσιν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος πιστεύσασι τὸ μὴ γενέσθαι τι τούτων ἐπίσης ὁμολογεῖται· καὶ οὐδὲν τοῦ ἀγεννήτου τὸ σημαινόμενον παραβλάπτει τὴν ὑγιαίνουσαν πίστιν. τοῖς δὲ παχυδέρμοις καὶ ἀδιαρθρώτοις ἀρχὴ τῆς ἀπὸ τοῦ ὑγιαίνοντος λόγου παρεκτροπῆς τοῦτο τὸ ὄνομα γέγονε. μὴ συνιέντες γὰρ τὴν ἀληθῆ τοῦ ὀνόματος ἔμφασιν, ὅτι μόνον τὸ μὴ γεγενῆσθαι σημαίνει ἡ τοῦ ἀγεννήτου φωνὴ, καὶ ὅτι τὸ μὴ γενέσθαι κοινόν ἐστι ἐπὶ παντὸς τοῦ ὑποκειμένου τῆς κτίσεως. ἀφέντες τὴν εἰς τὸν πατέρα πίστιν τὸ ἀγέννητον ὄνομα ἀντὶ τοῦ πατρὸς παρεστήσαντο· μὴ συνεκφαινομένης δὲ καθὼς εἴρηται τῷ ὀνόματι τούτῳ τῆς τοῦ μονογενοῦς ὑποστά-

A tione nominis facta viam maleficio dedit, per ingeniti interpoſitionem ad impietatem viam ſternens. Qui enim ſecundum Domini præceptum in Patrem credunt, ſimulátque Patrem audierint, mente concipiunt etiam filium nullo interiecto interuallo, cogitatione ſtatim à Filio ad Patrem tranſeunte. Qui verò Patris loco ad ingeniti appellationem traducti, tenuem huius nominis notitiam recipiunt, ſolùm quòd ipſe non ſit genitus diſcentes, non quòd ſit Pater. Ex hoc autem nihilominus intelligenter audientibus inconfuſa fides manet, etiam per hanc notionem. Nam & genitum non eſſe ſimiliter & de natura B increata dicitur. Increatum autem ex æquo Pater & Filius & Spiritus ſanctus. Quoniam omnis creatura & ſenſibilis & ſupermundana (ſiue Angelica) ex Patre & Filio & Spiritu ſancto ſubſiſtere ex his quæ diuinis vocibus conſentanea ſunt creditum eſt. Nam qui audiuit, Verbo Dei cœlos firmatos eſſe, & ſpiritū oris eius omnem virtutem eorum, non per Verbum dictionem aliquam mente concepit, neque per Spiritum, halitum quendam; ſed Deum Verbum & Dei ſpiritum, per ea quæ ſunt dicta animo impreſſit. Non enim idem poteſt creare & creari. Sed cùm ea quæ ſunt bi- C partita ſint, nempe in id quod facit & in id quod fit. vtrumque natura diuerſum alterum ab altero, ita vt quod fit, non ſit increatum, neque creatum id quod eorum quæ fiunt naturam efficit. Hi ergo qui ſecundum dominicam fidei inſtitutionem in nomine Patris & Filij & Spiritus ſancti crediderunt horum nihil genitum eſſe, ex æquo fatentur, nullumque ingeniti ſignificatum ſanam fidem perperam lædit. Craſſipellibus autem & hebetibus nec bene compactis & ſibi cohærentibus hoc nomen à ſano ſermone peruerſionis fit primordium. D Non enim verum huius nominis ſenſum intelligentes, nempe quòd hæc vox (ingenitum) ſignificat ſolùm non eſſe genitum, & quòd non genitum eſſe commune eſt in tota ſuperueniente natura; omiſſa fide in patrem, nomen (ingenitum) pro patre præſtituerunt: cùm autem ſicut dictum eſt hoc ingeniti nomine, ingeniti ſubſiſtentia,

ſiue perſona, non ſimul appareat: certo quodam determinato principio filij naturā definiunt, dicentes, quod modo iſte dictis adiecit, [filium nominatum non abſque generatione, quę eſſe antecedit.] Quænam hæc rurſus prodigioſa affirmatio? An neſcit ſe de Deo verba facere? qui eſt in principio & in patre eſt? nec eſt omninò quod tunc non erat? ignorat quod dicit. Nihil de aliquo affirmatur; ſed tanquam hominum alicuius genealogiam deſcriberet, quæ propriè dicũtur de natura inferiore, hæc omnis creaturæ domino adaptare & affingere conatur. Exempli gratia, Iſmael non erat ante generationem, quæ vt hic eſſet, fecit. Erat autem ante generationem prorſus quod temporis eſt dico interuallum. At in gloriæ ſplendore præpoſitiones hæ, ante, & poſt, locum non habent. Siquidem ante ſplendorem gloria nihil erat. ſimul enim atque gloria extitit, prorſus & effulſit ſplendor, nec alterum ab altero naturā diſiungitur. Nec ante ſplendorem gloria in ſeipſa vllo prorſus modo conſpici potuit. Obſcuram enim & cæcam in ſeipſa gloriam eſſe adſtruet, qui dicit hanc non ſimul cum ipſa effulgente ex ipſo ſplendore: hęc eſt hęreſeos calumnia & improbitas, vt per ea quæ de homine & intelliguntur & dicuntur, vnigenitum Deum ab vnitate cum patre abſtrahant. Idcirco dicunt ante generationem quæ eſſe efficit, filium non fuiſſe. Arietum filij
Pſal.113. quorum meminit propheta, non & illi poſtquam geniti fuerunt, vocantur filij? Quod igitur in filiis arietum inſpicit intellectus, ante generationem, quæ vt ſint cauſa eſt, ipſos non eſſe filios arietum. hoc ipſum iſte ſeuerus Theologus factori ſeculorum omniſque creaturæ attribuit, ei, inquam, qui æternum Patrem in ſeipſo habet, quique in Patris æternitate intelligitur. Quemadmodum ait ipſe,
Ioan.14. Ego ſum in Patre & Pater in me eſt. Sed qui non poſſunt hanc calumniam & malitioſam interpretationem perſpicere, neque vllam conſecutionis rationem didicerunt, his tam male cohærentibus aſſentiuntur, admittentes tanquam conſequẽs quod his adijcitur. ait enim. [Quòd ante omnem creaturam factum] & quaſi hæc vox non ſufficeret ad demonſtrationem impietatis, inſidiatur ſequente ſer-

A σιως, ἀπό τινος ὡρισμένης ἀρχῆς ὁρίζουσι τοῦ υἱοῦ τὸ εἶναι, λέγοντες, ὅπερ νῦν οὗτος τοῖς εἰρημένοις προσέθηκε· τὸ οὐκ ἀΐδιον τὸν πρὸ τοῦ εἶναι γεννήσεως ὀνομαζόμενον υἱόν. τίς αὕτη πάλιν ἡ καινὴ τερατεία; ἆρα ἐπίσταται ὅτι περὶ Θεοῦ ποιεῖται τὸν λόγον; τοῦ ἐν ἀρχῇ ὄντος καὶ ἐν τῷ πατρὶ ὄντος. καὶ οὐκ ἔστιν ὅτε οὐκ ὄντος; οὐκ οἶδεν ὃ λέγει· οὐδὲν περί τινος διισχυρίζεται, ἀλλ' ὥσπερ τινὰ τῶν ἀνθρώπων γενεαλογῶν, τὰ κυρίως ἐπὶ τῆς κάτω λεγόμενα φύσεως, ταῦτα ἐφαρμόζειν πειρᾶται τῷ δεσπότῃ πάσης τῆς φύσεως. ὁ γὰρ Ἰσμαὴλ φέρε εἰπεῖν ἦν πρὸ τῆς εἰς τὸ
B εἶναι γεννήσεως. ἦν δὲ πρὸ τῆς γεννήσεως αὐτοῦ πάντως τὸ χρονικὸν λέγω διάστημα. ἐπὶ δὲ τοῦ τῆς δόξης ἀπαυγάσματος, τὸ πρὸ καὶ τὸ μετὰ τοῦτο χώραν οὐκ ἔχει. πρὸ γὰρ τοῦ ἀπαυγάσματος πάντως οὐδὲν ἡ δόξα ἦν. ὁμοῦ γὰρ τῷ εἶναι τὴν δόξαν, συνεκλάμπει πάντως καὶ τὸ ἀπαύγασμα· καὶ τὸ διαζευχθῆναι τὸ ἕτερον τοῦ ἑτέρου φύσιν οὐκ ἔχει. οὔτε δυνατόν ἐστι πρὸ τοῦ ἀπαυγάσματος ἐφ' ἑαυτῆς τὴν δόξαν ἰδεῖν. ἀλαμπῆ γὰρ καὶ τυφλὴν ἐφ' ἑαυτῆς εἶναι κατασκευάσει τὴν δόξαν ὁ τοῦτο λέγων·
C μὴ συνεκλάμποντος αὐτῇ τοῦ ἐξ αὐτῆς ἀπαυγάσματος. αὕτη δὲ ἡ τῆς αἱρέσεως κακουργία· ἵνα διὰ τῶν περὶ τοῦ ἀνθρώπου νοουμένων τε καὶ λεγομένων ἀποστήσωσι τὸν μονογενῆ Θεὸν τῆς πρὸς τὸν πατέρα ἑνότητος. διὰ τοῦτό φησιν, πρὸ τῆς εἰς τὸ εἶναι γεννήσεως οὐκ ἦν υἱός. οἱ δὲ τῶν κριῶν υἱοί, ὧν ὁ προφήτης μέμνηται, οὐχὶ κἀκεῖνοι μετὰ τὸ γενέσθαι καλοῦνται υἱοί; ὅπερ οὖν τοῖς υἱοῖς τῶν κριῶν ἐνορᾷ ὁ λόγος, τὸ πρὸ τῆς εἰς τὸ εἶναι γεννήσεως μὴ εἶναι αὐτοὺς υἱοὺς κριῶν. τοῦτο νῦν ὁ σεμνὸς θεολό-
D γος ἀνατίθησι τῷ ποιητῇ τῶν αἰώνων καὶ πάσης τῆς κτίσεως. τῷ τὸν ἀΐδιον πατέρα ἐν ἑαυτῷ ἔχοντι. καὶ ἐν τῇ τοῦ πατρὸς ἀϊδιότητι θεωρουμένῳ, καθὼς αὐτός φησιν· ὅτι γὰρ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί. ἀλλ' οἱ μὴ δυνάμενοι τὴν ἐν τῷ λόγῳ κακουργίαν ἐφορᾶν· μηδέ τινα τοῦ ἀκολούθου κατανόησιν πεπαιδευμένοι τοῖς ἀσυναρτήτοις τούτοις ἀκολουθοῦσιν, ὡς ἀκόλουθον δεχόμενοι τὸ τούτοις προσκείμενον, φησὶ γάρ· ὅτι πρὸ πάσης τῆς κτίσεως γενόμενον καὶ ὥσπερ οὐκ ἀρκούσης τῆς φωνῆς ταύτης, πρὸς ἔνδειξιν τῆς ἀσεβείας, ἐφεδρεύει τῷ

ἐφεξῆς λόγῳ τὴν βλασφημίαν εἰπών, ὅτι οὐκ ἄκτιστον. πῶς οὖν ὀνομάζει υἱὸν ἀληθινὸν τὸν οὐκ ἄκτιστον; εἰ γὰρ τὸν κτιστὸν υἱὸν ἀληθινὸν λέγειν προσήκει· ἀληθινὸς υἱὸς καὶ ὁ οὐρανὸς πάντως ἐστί· καὶ γὰρ καὶ αὐτὸς οὐκ ἄκτιστός ἐστιν. οὕτως ἀληθινὸς υἱὸς καὶ ὁ ἥλιος, καὶ πάντα ὅσα ἡ κτίσις ἔχει μικρά τε καὶ μείζονα τῆς τοῦ ἀληθινοῦ υἱοῦ προσηγορίας ἄξια πάντως ἐστίν. πῶς δὲ λέγει μονογενῆ τὸν γενόμενον. πάντα γὰρ τὰ γενόμενα ἀδελφὰ πάντως ἐστὶν ἀλλήλων, κατ' αὐτὸν λέγω τὸν τοῦ γενέσθαι λόγον. παρά τινος δὲ καὶ γενόμενον; πάντα γὰρ εἴ τι γέγονε, παρὰ τοῦ υἱοῦ πάντως ἐγένετο. οὕτως γὰρ ὁ Ἰωάννης μαρτύρεται λέγων· ὅτι πάντα δι' αὐτοῦ ἐγένετο. εἰ τοίνυν καὶ ὁ υἱὸς κατὰ τὸν τοῦ Εὐνομίου λόγον ἐγένετο, πάντως ἐν τῇ φύσει τῶν γενομένων καὶ ὁ αὐτός ἐστιν. εἰ δὴ πάντα τὰ γενόμενα δι' ἐκείνου ἐγένετο· εἷς δὲ τῶν γενομένων καὶ ὁ λόγος ἐστίν. τίς οὕτως ἀνόητος ὡς μὴ συνιδεῖν διὰ τῶν τεθέντων τὸ ἄτοπον, ὅτι αὐτὸν ἑαυτοῦ ἔργον γεγενῆσθαι τὸν δεσπότην τῆς κτίσεως ὁ καινὸς οὗτος δογματιστὴς ἀποφαίνεται. τοῦ διαρρήδην εἰπεῖν μὴ ἄκτιστον εἶναι τὸν κύριον τὸν δημιουργὸν πάσης τῆς κτίσεως. πόθεν ἔχει τὴν παρρησίαν, εἰπάτω. ἐκ ποίας θεοπνεύστου φωνῆς; τίς εὐαγγελιστής, ποῖος ἀπόστολος τὴν τοιαύτην ἀφῆκε φωνήν; τίς προφήτης, ἢ νομοθέτης, ἢ πατριάρχης, ἢ ἄλλος τις τῶν ὑπὸ τοῦ ἁγίου πνεύματος θεοφορουμένων, ὧν ἀνάγραπτοι εἰσὶν αἱ φωναί, τῆς τοιαύτης ῥήσεως κατηγήσατο; πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ἐν τῇ παραδόσει τῆς πίστεως παρὰ τῆς ἀληθείας ἐμάθομεν, ἢ κτιστὸν αὐτὸν εἶναι πιστεύειν ἐχρῆν; πῶς παραδιδοῦσα ἡμῖν τὸ μυστήριον ἡ ἀλήθεια τὴν εἰς τὸν υἱὸν πίστιν καὶ οὐκ εἰς τὸ κτίσμα ἐνομοθέτησε; πῶς δὲ προσκυνῶν τὸν Χριστὸν ὁ θεῖος ἀπόστολος, τοὺς τῇ κτίσει λατρεύοντας παρὰ τὸν κτίσαντα, εἰδωλολάτρας διορίζεται; ἢ γὰρ οὐκ ἂν προσεκύνησεν εἰ κτιστὸς ἦν, ἢ οὐκ ἂν τοῖς εἰδωλολάτραις συνέταξε τοὺς τῇ κτίσει λατρεύοντας· ἵνα μὴ καὶ αὐτὸς εἰδωλολατρεῖν δόξῃ, προσάγων τῷ κτιστῷ τὴν προσκύνησιν. ἀλλ' οἶδεν ὅτι ὁ παρ' αὐτοῦ προσκυνούμενος ἐπὶ πάντων ἐστὶ Θεός· οὕτω γὰρ ἐν τῷ πρὸς Ῥωμαίους λόγῳ τὸν υἱὸν ὀνομάζει. ὁ τῆς οὐσίας τοίνυν τοῦ πατρὸς τὸν υἱόν,

A mone blaſphemo ore locutus [quòd non eſt quid increatum.] Quomodo igitur, verum Dei filium nominat eum qui non eſt increatus? Si enim eum qui creatus eſt, verum filium fas eſt dicere: Cœlum verus filius dicetur: quia & ipſum non eſt increatum. ſic verus filius ſol. Atque omnia quæ creata ſunt, ſiue parua ſiue maiora, veri filij appellatione digna omnino erunt. Cùm autem vnigenitum dicit factum eſſe: omnia quæ facta ſunt communi inter ſe fratris nomine appellabuntur, dico ſecundum ipſam eius quod factum eſſe dicitur, ra-
B tionem. A quo autem factum eſſe dicet? Nam omnia quæ facta ſunt, prorſus à filio facta ſunt: ſic enim teſtatur Ioannes cùm dicit, Omnia per ipſum facta ſunt. *Ioan. 1.* Si ergo etiam filius factus eſt, ſecundum Eunomij rationem, prorſus in rerum factarum natura idem ipſe eſt. Quòd ſi quæ fiunt omnia per illum facta ſunt; vnum eorum quæ facta ſunt dicetur & ipſum Verbum. Quis ita excors & auius à vera ratione, qui non ex his quæ poſita ſunt, quod abſurdum ſequitur intelligat: nempe ipſum creaturæ dominum ſui ipſius opus factum eſſe, ab
C hoc nouo doctore pronuntiari: quia diſertè dixerit, ipſum dominũ, qui eſt omnis creaturæ opifex & conditor, non eſſe increatum. Vnde hanc affirmandi audaciam habet, dicat. Ex qua diuinitùs inſpirata voce? Quis Apoſtolus, quis Euangeliſta talem emiſit vocẽ? Quis propheta, vel legiſlator, vel Patriarcha, vel quis alius eorum qui à Spiritu ſancto afflati & inſtructi fuerunt, quorum voces literis non ſunt expreſſæ? quis talis dictionis auctor extitit? Patrem & Filium &
D Spiritum ſanctum, in fidei traditione à veritate didicimus, an quid creatum ipſum eſſe nos credere oportuit? Quomodo veritas nobis myſterium tradens, fidem in filium & non in creaturam ſanciuit? Quomodo diuus Apoſtolus Chriſtum adorans, eos qui creaturæ ſeruiunt præter creatorem, idololatrás eſſe expreſsè dicit? vel non adoraſſet ſi creatus eſſet, vel eos qui creaturas colunt idolorum cultoribus non annumeraſſet: ne & ipſe idolis ſeruire viſus eſſet, creato adorationẽ exhibens. ſed nouit, quòd qui ab eo adoratur, in omnib. Deus eſt: ſic enim in ſermone ad ROMANOS filiũ nominat. Qui igitur à Patris eſſentia filiũ

alienant, ipſum etiam creatum dicentes, cur per ludibrium & ſannam ipſi falſi nominem appellationem gratificantur, à vera deitate alieno Dei nomen perperam aſſignantes, tanquam Bel, vel Dagon, vel draconi. Quare vel non Deum confiteantur, qui ipſum creatum eſſe apertè autumant, vt Iudaïzare videantur: vel ſi eum qui creatus fuit, Deum eſſe confiteantur, ſe idolis ſeruire non inficientur. Sed vocem prouerbialem planè proferunt, quæ dicit, Dominus creauit me principium viarum ſuarum, ad opera ſua. Hoc pluribus verbis quomodo ſe habet clarius & manifeſtius exponendum eſt: Veruntamen hoc etiam fas eſſet viris candidis & æquis quid ſignificet paucis tradere: quidam enim in diuinis ſcripturis accuratè & diligenter inſtituti & verſati dicunt, apud Hebræos non ſcriptum eſſe, creauit, Nos etiam in vetuſtioribus libris ſcriptum legimus ἐκτήσατο poſſedit, pro ἔκτισέ με condidit me. Seruum prorſus apertè indicat creatio per prouerbialia ænigmata, cum qui propter nos ſerui formam aſſumpſit. Quòd ſi quis in Eccleſiis prævalentem lectionem in hac parte obijciat, neque nos hoc verbum ἔκτισε, creauit, reijcimus. Atque hoc certè ad ſerui ſignificationem per ænigma intuendam: ſiquidem omnis creatura ſeruit, quemadmodum ait Apoſtolus. Quamobrem hoc verbum creauit piè accipi poſſe aſſerimus. Creatus eſt enim verè in nouiſſimis diebus ille qui propter nos ſecundum nos natus eſt. Qui in principio Verbum cùm eſſet & Deus, poſtea caro & homo factus eſt. Carnis autem natura creata eſt: cuius per omnia factus particeps ſecundum ſimilitudinem excepto peccato, creatus quidem ſecundum Deum non ſecundum hominem, ſicut ait Apoſtolus, nouo quodam modo non humano more. Didicimus enim, quod ex Spiritu ſancto & virtute altiſſimi, veruntamen hic nouus homo creatus eſt, quem ille non enarrabilium myſteriorum interpres Paulus nos induere iubet, duplici nomine appellans illud indumentum: Modò quidem dicens, Induite nouum hominem qui ſecundum Deum creatus eſt: modò verò, Induite Dominum Ieſum Chriſtum. Sic enim nobis ipſum induentibus principium fit viarum ſalutis qui dixit; Ego ſum via, vt opera manuum

Prouerb. 8. in Græco nō in editione vulgari. Hunc locū grauiſſimè & copioſiſſimè tractat D. Hil. l. 12. de Trinitate.

Rom. 8.

Iſa. 45.

D. Baſil. li. 4. contra Eunom. locum hunc prou. 8. non intelligit de humana Chriſti natura.

Rom. 13.

Epheſ. 4.

Ioan. 14.

A καὶ κτιστὸν αὐτὸν λέγοντες, ἢ χλευαστικῶς αὐτῷ τὴν ψευδώνυμον κλῆσιν χαρίζονται· τῇ ἀλλοτρίᾳ τῆς ἀληθινῆς θεότητος τὴν Θεὸς φωνὴν μάτην ἐπιφημίζοντες, ὥσπερ τῷ Βὴλ, ἢ τῷ Δαγὼν, ἢ τῷ δράκοντι. ὥστε ἢ μὴ Θεὸν ὁμολογησάτωσαν αὐτὸν οἱ κτιστὸν εἶναι διοριζόμενοι, ἵνα φανῶσιν Ἰουδαΐζοντες, ἢ εἴπερ ὁμολογοῦσι τὸν κτισθέντα εἶναι Θεὸν, εἰδωλολατρεῖν μὴ ἀρνείσθωσαν. ἀλλὰ τὴν παροιμιώδη φωνὴν πάντως προφέρουσιν, ἥ φησι, ὅτι κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν B αὐτοῦ, εἰς ἔργα αὐτοῦ. τοῦτο δὲ διὰ πλειόνων μὲν ἔστιν παραθέσθαι σαφέστερον ὅπως ἔχει· πλὴν δυνατὸν ἂν εἴη καὶ δι' ὀλίγων τοῖς εὐγνώμοσι παραδοῦναι τὸ νόημα· λέγουσι γὰρ καὶ τοῦτό τινες τῶν διακριβείας τὰ θεῖα ἀποπεπαιδευμένων, ὅτι οὐ γέγραπται παρ' Ἑβραίοις τὸ ἔκτισε, καὶ ἡμεῖς ἐν ἀρχαιοτέροις βίβλοις ἀνέγνωμεν, ἐκτήσατο γεγραμμένον, ἀντὶ τοῦ ἔκτισέ με. ἐμφαίνει δὲ πάντως τὸν δοῦλον ἡ κτίσις διὰ τῆς παροιμιακῆς καὶ αἰνιγματικῆς, τὸν δι' ἡμᾶς ἀναλαβόντα τὴν τοῦ δούλου μορφήν. εἰ δέ τις καὶ τὴν ἐπικρατοῦσαν ἐν ταῖς C ἐκκλησίαις ἀνάγνωσιν ἐν τῷ μέρει τούτῳ προβάλλοιτο, οὐδὲ τὸ, ἔκτισεν, φωνὴν ἀποβαλλόμεθα. καὶ τοῦτο γὰρ πρὸς τὴν τοῦ δούλου σημασίαν διὰ τοῦ αἰνίγματος βλέπει· ἐπειδὴ πᾶσα ἡ κτίσις δουλεύει, καθώς φησιν ὁ ἀπόστολος. διὰ τοῦτο καὶ ταύτην τὴν φωνὴν εὐσεβῶς ἔχειν φαμέν. ἐκτίσθη γὰρ ἀληθῶς ἐπ' ἐσχάτου τῶν ἡμερῶν ὁ δι' ἡμᾶς καθ' ἡμᾶς γενόμενος. ὁ ἐν μὲν τῇ ἀρχῇ λόγος ὢν καὶ Θεός, μετὰ ταῦτα δὲ σὰρξ γενόμενος καὶ ἄνθρωπος. κτιστὴ δὲ τῆς σαρκὸς ἡ φύσις, ἧς μεταλαχὼν κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. ἐκτίσθη δὲ κατὰ Θεὸν οὐ κατὰ ἄνθρωπον, καθώς φησιν ὁ ἀπόστολος, καινόν τινα τρόπον, D καὶ οὐ κατὰ τὴν ἀνθρωπίνην συνήθειαν. ἐμάθομεν γὰρ ὅτι ἐκ πνεύματος ἁγίου, καὶ τῆς τοῦ ὑψίστου δυνάμεως, πλὴν ἀλλ' ἐκτίσθη ὁ καινὸς οὗτος ἄνθρωπος, ὃν κελεύει ὁ τῶν ἀρρήτων μυστηρίων ὑφηγητὴς Παῦλος ἐνδύσασθαι ἡμᾶς, διχῶς ὀνομάζων τὸ ἔνδυμα· νῦν μὲν λέγων, ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα, πάλιν δὲ, ὅτι ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστόν. οὕτως γὰρ ἡμῖν τοῖς ἐνδυσαμένοις αὐτὸν γίνεται ἀρχὴ τῶν ὁδῶν τῆς σωτηρίας ὁ εἰπών; ἐγώ εἰμι ἡ

ὁδὸς, ἵνα ἔργα τῶν ἑαυτοῦ χειρῶν ποιήσῃ ἡμᾶς, ἀπὸ τοῦ πονηροῦ πλάσματος τῆς ἁμαρτίας πρὸς τὴν ἰδίαν εἰκόνα πάλιν μετασχηματισάμενος, ὁ δὲ αὐτὸς καὶ θεμέλιος ἡμῖν γίνεται πρὸ τοῦ μέλλοντος αἰῶνος, κατὰ τὴν τοῦ Παύλου φωνὴν, ὅς φησιν, ὅτι θεμέλιον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον· καὶ πρὸ τοῦ ἐλθεῖν τὰς πηγὰς τῶν ὑδάτων, καὶ πρὸ τοῦ ὄρη ἑδρασθῆναι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, καὶ πρὸ πάντων βουνῶν γεννᾷ με· δυνατὸν γὰρ ἕκαστον τούτων κατὰ τὴν παροιμιώδη συνήθειαν μεταληφθὲν, εἰς τροπικὴν θεωρίαν ἐφαρμοσθῆναι τῷ λόγῳ. ὁ γὰρ μέγας Δαβὶδ δικαιοσύνην ὀνομάζει τὰ ὄρη τοῦ Θεοῦ, ἀβύσσους δὲ, τὰ κρίματα· πηγὰς δὲ τοὺς διδασκάλους ἐν ἐκκλησίαις, λέγων, εὐλογεῖτε τὸν Θεὸν κύριον ἐκ πηγῶν Ἰσραήλ· βουνοὺς δὲ τὴν ἀκακίαν, ἣν διὰ τοῦ σκιρτήματος τῶν ἀρνίων ἐνεδείξατο. πρὸ τούτων οὖν ἐν ἡμῖν γεννᾶται ὁ δι' ἡμᾶς κτισθεὶς ἄνθρωπος, ἵνα καὶ ἡ τῶν τοιούτων κτίσις, ἐν ἡμῖν χώραν εὕρῃ. ἀλλὰ παραδραμεῖν οἶμαι χρῆναι τὸν περὶ τούτων λόγον, ἱκανῶς τοῖς εὐγνώμοσιν ὑποδειχθείσης δι' ὀλίγων τῆς ἀληθείας· ἐπὶ δὲ τὰ ἐφεξῆς τῶν τοῦ Εὐνομίου λόγων μετιτητέον. ἐν ἀρχῇ, φησὶ, ὄντα, οὐκ ἄναρχον. ὢ πῶς νοεῖ τὰς θείας φωνὰς, ὁ ἐπὶ συνέσει ὑπὲρ τοὺς ἄλλους φρονῶν; τὸν ἐν ἀρχῇ ὄντα, ἀρχὴν ἔχοντα ἑρμηνεύει· καὶ οὐκ οἶδεν ὅτι εἰ ἀρχὴν ἔχει ὁ ἐν ἀρχῇ ὢν, καὶ ἡ ἀρχὴ πάντως ἔχει ἄλλην ἀρχήν. ὃ γὰρ ἂν ἐπὶ τῆς ἀρχῆς εἴπῃ, τοῦτο κατ' ἀνάγκην καὶ περὶ τοῦ ἐν τῇ ἀρχῇ ὄντος ὁμολογήσει πάντως. πῶς γὰρ τὸ ἐν τῇ ἀρχῇ ὂν, τῆς ἀρχῆς χωρισθήσεται; πῶς δέ τις τὸ οὐκ ἦν, προεπινοήσει τοῦ ἦν; ὅπως γὰρ ἄν τις ἀναγαγὼν ἑαυτοῦ τὴν διάνοιαν πρὸς τὴν κατανόησιν τῆς ἀρχῆς ὑπερτείνῃ, συγκαταλαμβάνει πάντως τὸν ἐν αὐτῇ ὄντα λόγον. χωρισθῆναι τῆς ἐν ᾗ ἐστιν ἀρχῆς μὴ δυνάμενον, οὐδέ ποτε τοῦ ἐν αὐτῇ εἶναι οὔτε ἀρχόμενον, οὔτε παυόμενον. μηδεὶς δὲ διὰ τούτων εἰς δύο ἀρχὰς διαρρηγνύτω τὸ δόγμα. μία γάρ ἐστιν ὡς ἀληθῶς ἡ ἀρχὴ, ᾗ ἀχωρίστως ἐνθεωρεῖται ὁ λόγος· ὁ διὰ πάντων πρὸς τὸν πατέρα ἡνωμένος. ὁ ταῦτα φρονῶν οὐδεμίαν δώσει τῇ αἱρέσει πάροδον, διὰ τῆς καινοτομίας τοῦ ἀγεννήτου ὀνόματος τὴν εὐσέ-

A ſuarum nos efficiat, à maligno figmento peccati ad ſuam imaginem cùm rurſus refinxerit, idem ipſe nobis eſt fundamentum ante futurum ſeculum, ſecundum Pauli vocem, qui dicit, quòd nullus poteſt aliud fundamentum iacere præter illud quod poſitum eſt: & priuſquam aquarum fontes fluerent, & priuſquam montes firmati eſsẽt, & priuſquam abyſſos feciſſet, & ante colles, genuerat me: fieri enim poteſt, vt horum vnumquodque prouerbiali conſuetudine ad tropicam contemplationem tranſumptum, verbo ſit accommodatum. Nam magnus B Dauid iuſtitiam Dei montes nominat, abyſſos verò iudicia, fontes autem doctores in Eccleſiis; dicens: Benedicite Deo Domino ex fontibus Iſrael. Colles verò innocentiam, quam per agnorum exultationem demonſtrauit. Ante hæc igitur in nobis generatur ille qui propter nos creatus eſt homo, vt & talium creatura in nobis locum inueniat. Sed de his diſputationem prætereundam eſſe arbitror, cùm ſatis abundè præſertim æquis & candidis auditoribus ſit paucis demonſtrata veritas. Quare ad Eunomij C quæ deinceps ſequuntur verba pergamus. [In principio, inquit, qui erat, non tamen principio caret.] Quomodo hic Dei voces intelligit, qui intelligentia alios ſuperare vult videri? Eum qui erat in principio, principium habentem interpretatur. Neſcit quòd ſi qui erat in principio, habet principium, proculdubio etiam principium aliud habebit principium. Quod enim de principio dixerit, hoc etiam de eo qui erat in principio neceſſariò prorſus conceſſerit. Quomodo enim qui eſt in principio, à principio ſeparabitur? Quomodo quis hoc nempe, non erat, prius intelliget, quàm D hoc ſcilicet, erat? Quo enim modo quis adductam ſuam intelligentiam ad principij cognitionem ſuperextendit, ſimul prorſus mente concipit verbum quod eſt in eo, ab eo principio in quo eſt non poſſe ſeparari, neque vnquam in ipſo eſſe incipere neque deſinere. Nullus autem per hæc in duo principia dogma diſcindat: vnum enim eſt verè principium in quo inſeparabiliter verbum eſſe intelligitur, quod per omnia in patre vnitum eſt. Qui hæc ſentit nullum præbebit hæreſi aditum, vt nouitate nominis ingeniti pietatem con-

1. Cor. 3.

Prou. 8.

Verba Eunomij.

taminet. In ſequentibus autem verbis A editis, pani multam arenæ admixtionem habenti eius ſimilis videtur oratio. Cùm enim ſanè dictis hæreticas commiſcuit notiones, lapidibus commixtis cibum reddit non eſui aptum. Dicit enim [ſapientiam viuentem Dominum & veritatem operantem, & potentiam ſubſiſtentem, & vitam.] huc vſque quod poteſt alere: ſed dictis venenum inſerit hæreſeos. Dum enim vitam generabilem nominat, aliud quiddam quod ingenerabili vitæ ſit oppoſitum intelligit, neque filium verè vitam eſſe ſupponit. Deinde dicit, [Vt filium Dei viuifi- B cantem mortuos, lucem veram, lucem

Ioan. 1. quæ illuminat omnem hominem venientem in hunc mundum, bonum & ſuppeditatorem bonorum.] hæc omnia pro quodam melle ſimplicioribus protendens, horum verborum dulcedine lethale virus occultat: continuò enim dictis ſubinde ſuum pernicioſum & virulentum animi ſenſum prodit, dum dicit: [Non cum eo qui genuit ſimul dignitatis partem accepiſſe: non alij cuiquam patriam eſſentiam eſſe tributam: ſed ortum eſſe ex illuſtri genera- C tione, etiam gloriæ dominum, & à patre gloriam accepiſſe, non illius gloriæ participem eſſe: non enim omnipotentis gloria alteri tribui poteſt, ſicut

Eſa 42. dixit, Gloriam meam alteri non dabo.] hæc ſunt mortifera venena, quæ ſoli dignoſcunt qui animi intelligentis inſtrumenta habent exercitata. Horum autem mortiferum vitium manifeſtius in poſtremis dictis reuelatur: [à patre, inquit, adeptum gloriam, non illius gloriæ participem: non enim communicabilis eſt omnipotentis gloria, ſicut ipſe dixit, Gloriam meam alteri non D dabo.] Quis eſt ille alter cui dixit Deus ſe majeſtatem ſuam non daturum eſſe? Nam propheta de aduerſario loquitur: At vero Eunomius in vnigenitum Deum vaticinium refert. Cùm enim ex Dei perſona dixiſſet propheta, Gloriam meam alteri non dabo: addidit, Et virtutes meas ſculptilibus. Siquidem Deo debitum cultum & adorationem aduerſario homines fraude illecti attribuerant, ſculptilibus ſimulacris dedicatis inimicum Dei co-

A βεία λυμαίνεσθαι. ἐν δὲ τοῖς ἐφεξῆς ἐκτεθεῖσιν ἄρτῳ ἔοικεν ὁ λόγος αὐτοῦ πολλὴν ἔχοντι τὴν ἐπιμιξίαν τῆς ἄμμου. τοῖς γὰρ ὑγιῶς λεγομένοις τὰ αἱρετικὰ συμμίξας νοήματα, ἄβρωτον διὰ τοῦ συμμεμιγμένου λίθου ποιεῖ καὶ τὸ ἐδώδιμον. λέγει γὰρ, σοφίαν ζῶσαν τὸν κύριον, καὶ ἀλήθειαν ἐνεργοῦσαν, καὶ δύναμιν ὑφεστῶσαν, καὶ ζωήν. ἕως τούτου τὸ ἐδώδιμον, ἐντίθησι δὲ τοῖς εἰρημένοις τὸν ἰὸν τῆς αἱρέσεως. γεννητὴν γὰρ τὴν ζωὴν ὀνομάσας, ἄλλο τι τῇ πρὸς τὴν ἀγέννητον ζωὴν ἀντιδιαστολῇ νοεῖ, καὶ οὐχὶ τὴν ὄντως ζωὴν τὸν υἱὸν B ὑποτίθεται. εἶτα φησὶ, ὡς υἱὸν Θεοῦ ζωοποιοῦντα τοὺς νεκρούς, φῶς ἀληθινόν, φῶς φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἀγαθὸν καὶ χορηγὸν ἀγαθῶν. ταῦτα πάντα οἱονεὶ μέλιτός τινος τοῖς ἀκεραιοτέροις προτείνων, ἐπικρύπτει τῇ γλυκύτητι τῶν ῥημάτων τούτων τὸ δηλητήριον. εὐθὺς γὰρ ἐπάγει τοῖς εἰρημένοις τὸ φθοροποιὸν αὐτοῦ νόημα, λέγων· οὐχὶ τῷ γεννήσαντι συμμετειληφότα τὴν ἀξίαν· οὐκ ἄλλῳ τινὶ τὴν πατρικὴν οὐσίαν· C ἀλλὰ γενόμενον ἐκ γεννήσεως ἔνδοξον, καὶ τῆς δόξης κύριον, καὶ λαβόντα παρὰ τοῦ πατρὸς δόξαν· οὐ τῆς ἐκείνου μεταλαβόντα δόξης, ἀμετάδοτος γὰρ ἡ δόξα τοῦ παντοκράτορος, καθὼς εἶπε. τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. ταῦτά ἐστι τὰ ἐπὶ θανάτου φάρμακα, ἃ μόνοι διαγινώσκουσιν οἱ γεγυμνασμένοι τὰ τῆς ψυχῆς αἰσθητήρια. τούτων δὲ ἡ θανατηφόρος κακία, φανερώτερον ἐν τοῖς τελευταίοις τῶν εἰρημένων ἀνακαλύπτεται· λαβόντα, φησὶ, παρὰ τοῦ πατρὸς δόξαν, οὐ τῆς ἐ- D κείνου μεταλαβόντα δόξης· ἀμετάδοτος γὰρ ἡ δόξα τοῦ παντοκράτορος καθὼς εἶπε· τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. τίς ἐστιν ὁ ἕτερος ἐκεῖνος ᾧ εἶπεν ὁ Θεὸς τὴν δόξαν μου μὴ δώσειν; ὁ μὲν προφήτης περὶ τοῦ ἀντικειμένου λέγει· ὁ δὲ ΕΥνόμιος εἰς αὐτὸν τὸν μονογενῆ Θεὸν ἀναφέρει τὴν προφητείαν. εἰπὼν γὰρ ἐκ προσώπου τοῦ Θεοῦ ὁ προφήτης, ὅτι τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω· προσέθηκεν ὅτι καὶ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. ἐπεὶ γὰρ τὴν Θεῷ χρεωστουμένην λατρείαν τε καὶ προσκύνησιν τῷ ἀντικειμένῳ προσῆγον δι' ἀπάτης οἱ ἄνθρωποι, τοῖς τῶν γλυπτῶν ἀφιδρύμασι τὸν ἐχθρὸν τοῦ Θεοῦ σεβαζόμενοι,

τὸν πο-

τὸν πολυειδῶς ἐν τοῖς ἀνθρώποις διὰ τῶν εἰδώλων μορφούμενον. οὗτος λαβὼν τῆς ἀνθρωπίνης ἀπωλείας ὁ τοὺς κακῶς ἔχοντας ἰατρεύων, τὴν χρόνοις ὕστερον γενησομένην ὑπ' αὐτοῦ φιλανθρωπίαν, ἐν τῷ ἀφανισμῷ τῶν εἰδώλων, διὰ τοῦ προφήτου προηγόρευσε, λέγων· ὅτι φανερωθείσης τῆς ἀληθείας, οὐκέτι ἡ ἐμὴ δόξα ἄλλῳ δοθήσεται, οὔτε αἱ ἐμαὶ ἀρεταὶ τοῖς γλυπτοῖς ἀνατεθήσονται. οὐ γὰρ δουλεύσουσι τοῖς φύσει μὴ οὖσι θεοῖς, τὴν ἐμὴν δόξαν ἐπιγνόντες οἱ ἄνθρωποι. ὅσα τοίνυν περὶ τῆς ἀντικειμένης ἐνεργείας ἐκ προσώπου τοῦ κυρίου ὁ προφήτης φησί, ταῦτα ὁ θεόμαχος εἰς αὐτὸν ἀναφέρει τὸν κύριον, τὸν ταῦτα διὰ τοῦ προφήτου φθεγξάμενον. τίς τοιοῦτος ἐν τοῖς τυράννοις μνημονεύεται γεγονὼς διώκτης τῆς πίστεως; τίς τοῦτο κατεσκεύασεν; ὡς ὁ ἐπὶ σωτηρίᾳ τῶν ψυχῶν ἡμῶν διὰ σαρκὸς ἐπιφανείς, καθὼς ἐπιστεύσαμεν, οὐκ ἀληθινός ἐστι Θεός. ἀλλὰ ὁ τῷ Θεῷ ἀντικείμενος, ὁ ἐν τοῖς γλυπτοῖς τε καὶ τοῖς εἰδώλοις ἐνεργῶν τὴν κατὰ τῶν ἀνθρώπων ἀπάτην· ἃ γὰρ περὶ ἐκείνου εἴρηται διὰ τοῦ προφήτου, ταῦτα ὁ ΕΥνόμιος εἰς τὸν μονογενῆ Θεὸν μετατίθησιν. οὐδὲ αὐτὸ τοῦτο νοήσας, ὅτι αὐτὸς ὁ μονογενής ἐστιν ὁ ταῦτα ἐν τῷ προφήτῃ φθεγξάμενος, καθὼς οὗτος αὐτὸς ἐν τοῖς ἐφεξῆς λέγει. ὅτι οὗτός ἐστιν ὁ ἐν τοῖς προφήταις λαλήσας. τί με χρὴ περὶ τούτων πλείω διεξιέναι; τῆς αὐτῆς γὰρ ἔχεται βλασφημίας, καὶ τὰ πρὸ τούτων εἰρημένα· λαβόντα, φησίν, παρὰ τοῦ πατρὸς δόξαν, οὐ τῆς ἐκείνου μεταλαβόντα δόξης· ἀμετάδοτος γὰρ ἡ δόξα τοῦ παντοκράτορος Θεοῦ. ἐγὼ γὰρ εἰ καὶ περὶ Μωϋσέως ὁ λόγος ἦν τοῦ δοξασθέντος ἐν τῇ διακονίᾳ τοῦ νόμου, οὐδ' οὕτως ἂν ἤνεγκα τὸν τοιοῦτον λόγον. εἰ καὶ ὅτι μηδεμίαν ἔχων οἴκοθεν δόξαν ἐκεῖνος, διὰ τῆς γενομένης αὐτῷ θεόθεν δωρεᾶς, ἔνδοξος ἀθρόως τοῖς Ισραηλίταις ἐφάνη. αὐτὴ γὰρ ἡ γενομένη τῷ νομοθέτῃ δόξα οὐκ ἄλλου τινὸς ἦν, ἀλλὰ αὐτοῦ τοῦ Θεοῦ, ἣν πάντας κελεύει ζητεῖν ἐν τῷ εὐαγγελίῳ ὁ κύριος, δι' ὧν αἰτιᾶται τοὺς τὴν ἀνθρωπίνην δόξαν περὶ πολλοῦ ποιουμένους, τὴν δὲ παρὰ μόνου τοῦ Θεοῦ δόξαν μὴ ζητοῦντας· δι' ὧν γὰρ ζητεῖν ἐκέλευσε τὴν παρὰ τοῦ μόνου Θεοῦ δόξαν, ὃ δυνατὸν εἶναι τυχεῖν τὸν ζητοῦντα κατεπηγγείλατο.

A lentes, multiformiter in hominibus per ſimulacra formatum. Humani interitus miſertus ille qui male habentes ſoſpitat, poſtremis temporibus ex ipſo orituram in genus humanum beneuolentiam, in abolitione ſimulacrorum per prophetam vaticinatus eſt, dicens: manifeſtata veritate non amplius mea gloria alij dabitur, neque meæ virtutes ſculptilibus dedicabuntur. Non enim homines qui meam gloriam nouerint, his qui natura dij non ſunt ſeruient. Quæcunque igitur de contraria operatione ex perſona Domini propheta dicit, hæc Deo rebellis & pu-
B gnax in ipſum refert Dominum, qui hæc per prophetam protulit. Quis talis inter tyrannos extitiſſe fidei perſecutor memoratur? Quis hoc vnquam molitus eſt? Quod ille qui propter animarum noſtrarum ſalutem per carnem apparuit, ſicut credidimus, non verus eſt Deus, ſed ille Deo contrarius, qui in ſculptilibus & idolis operabatur aduerſus homines errorem & deceptionem: quæ enim de illo per prophetam dicta ſunt, hæc Eunomius in Deum vnigenitum detorquet. Neque hoc ipſum intellexit, quòd ipſe vnigenitus eſt, qui hæc
C in propheta profatus eſt, quemadmodum ipſe in ſequentibus aſſerit, quòd ipſe eſt qui in prophetis locutus eſt. Ecquid eſt neceſſe me de his pluribus verbis diſſerere? Eandem enim habent blaſphemiam quæ præcedunt dicta, [adeptum, inquit, à patre gloriam, non illius conſortem ſiue participem gloriæ: non enim eſt communicabilis Dei omnipotentis gloria.] Ego enim tametſi de ſolo Moſe ſermo fuiſſet in legis miniſterio glorificato, nunquam tamen talem
D orationem protuliſſem: Qui licet nulla ex ſeipſo gloria clarus, tamen per id donum quod ei diuinitus accidit, illuſtris & glorioſus Iſraëlitis totus repente apparuit. Ipſa enim quæ in eo legiſlatore effulſit claritas, non alius cuiuſquã erat, quàm ipſius Dei, quã omnes quærere iubet in Euangelio Dominus, per ea verba quibus eos accuſat qui humanã gloriam magnifacientes, quæ à ſolo eſt Deo gloriã non quærunt. Per quæ enim quę à ſolo Deo eſt gloriã quærere iuſſit; id quod quæritur haberi poſſe certo promiſit.

Exod 34.

Ioan. 5.

D

Quomodo igitur Dei omnipotentis glo-
ria communicari non poteſt, ſi oportet
eam quæ à ſolo Deo eſt gloriam poſtula-
re, & omnis qui petit accipit, ſecundum
Matth. 7. Domini vocem? Qui autem de ſplendo-
re gloriæ dicit, quòd eam habet gloriam
quam accepit, nihil aliud dicit, quàm
gloriæ ſplendorem per ſeipſum gloriæ
expertem eſſe: ab altero enim gloriam
indiget accipere, vt ſic aliquando fiat
Dominus gloriæ: vbi igitur veritatis vo-
ces ponemus, & eam quæ dicit, ipſum vi-
dendum eſſe in gloria Dei patris: & ite-
Philip. 2. rum, Omnia quæ habet pater, mea ſunt:
cui fidem adhibere oportet auditorem?
Ioan. 17. an ei qui autumat illum non eſſe patris
gloriæ participem, qui omnium eſt in
patre hæres, ſicut ait Apoſtolus; An ei
Hebr. 1. qui confitetur ſe habere omnia quæ pa-
ter habet? nam in omnibus ipſa gloria
penitus continetur. Hic autem inficia-
tur omnipotentis gloriam poſſe commu-
nicari: ſed hoc neque Ioël, neque Ma-
gnus Petrus teſtatur, qui propheticum
ſermonem in concione ad Iudæos ſibi
proprium fecit. Nam ex perſona ipſius
Act. 2. Dei, inquit propheta, & Apoſtolus, ef-
fundam de ſpiritu meo in omnem car-
Ioel. 2. nem. Qui igitur ſui ſpiritus communi-
cationem omni carni non inuidit, quo-
modo vnigenito filio qui eſt in ſinibus
Ioan. 1. patris, qui habet quæcunque pater ha-
bet, ſuam gloriam non impertit? An non
fortaſſe quis dixerit in eo verum dicere
Eunomium, etiam ſi nolit. Nam propriè
communicatio ſiue impertitio dicitur,
de eo qui è domo gloriam non habet: cui
aliunde habere nõ ex natura adnaſcitur.
Sed vbi vna eadémque natura compre-
henditur, non indiget, vt ſibi ſigillatim
communicet, qui illud eſt ſecundum
naturam, quod quidem pater eſſe cre-
ditur. Immo verò certius & manifeſtius
dicere præclarè habet, Quid patris glo-
ria indiget, qui in ſeipſo totum patrem
habet: cum à nihilo eorũ quę in patre in-
telliguntur ſit auulſus & ſeparatus? Quæ-
nam omnipotentis dignitas, cuius exſor-
tem eſſe filium Eunomius affirmat? Qui
igitur apud ſeipſos ſunt ſapientes, &
coram ſeipſis ſcientes, terreſtia proferant
dogmata: qui, ſicut ait propheta, ex ter-
ra vocem edunt. Nos verò qui verbum
adoramus, & veritatis ſumus diſcipuli;

A πῶς οὖν ἀμετάδοτος ἡ δόξα τοῦ παντοκράτορος, εἴγε καὶ χρὴ τὴν παρὰ τοῦ μόνου Θεοῦ δόξαν αἰτεῖν, καὶ πᾶς ὁ αἰτῶν λαμβάνει κατὰ τὴν τοῦ κυρίου φωνήν; ὁ δὲ περὶ τοῦ ἀπαυγάσματος τῆς δόξης λέγων, ὅτι λαβὼν ἔχει τὴν δόξαν, οὐδὲν ἕτερον λέγει, ἢ ὅτι ἄδοξον καθ' ἑαυτὸ τὸ τῆς δόξης ἀπαύγασμα· χρήζει δὲ λαβεῖν παρ' ἑτέρου δόξαν, ἵνα οὕτω ποτὲ καὶ αὐτὸς γένηται κύριος τινὸς δόξης. ποῦ τοίνυν ἀποθώμεθα τὰς τῆς ἀληθείας φωνάς, τήν τε λέγουσαν, ὀφθήσεσθαι αὐτὸν ἐν τῇ δόξῃ τοῦ πατρός· καὶ πάλιν, ὅτι πάντα ἃ ἔχει ὁ πατὴρ
B ἐμά ἐστιν, τίνι χρὴ προσέχειν τὸν ἀκούοντα· τῷ λέγοντι ὅτι ἀμέτοχός ἐστι τῆς τοῦ πατρὸς δόξης ὁ πάντων τῶν ἐν τῷ πατρὶ κληρονόμος, καθώς φησιν ὁ ἀπόστολος· ἢ τῷ ὁμολογοῦντι ὅτι πάντα ὅσα ἔχει ὁ πατὴρ καὶ αὐτὸς ἔχει; εἰ δὲ τοῖς πᾶσι καὶ ἡ δόξα πάντως ἐστίν. ἀλλ' ἀμετάδοτον εἶναί φησι τὴν δόξαν τοῦ παντοκράτορος· τοῦτο οὔτε ὁ Ἰωὴλ οὔτε ὁ μέγας Πέτρος μαρτύρεται, ὁ τὸν προφητικὸν λόγον ἐν τῇ δημηγορίᾳ τῇ πρὸς τοὺς Ἰουδαίους οἰκειωσάμενος. φησὶ γὰρ ἐκ προσώπου τοῦ
C Θεοῦ, ὅτε προφήτης, καὶ ὁ ἀπόστολος, ὅτι ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. ὁ τοίνυν τοῦ ἰδίου πνεύματος τῆς κοινωνίας πάσῃ σαρκὶ μὴ φθονήσας, πῶς τῷ μονογενεῖ υἱῷ τῷ ὄντι ἐν τοῖς κόλποις τοῦ πατρὸς, τῷ πάντα ἔχοντι ὅσα ὁ πατὴρ ἔχει, τῆς οἰκείας δόξης οὐ μεταδίδωσιν, ἢ τάχα εἴποι τις δεῖν ἀληθεύειν τὸν Εὐνόμιον ἐν τούτῳ καὶ μὴ βουλόμενον, ἐπὶ μὲν γὰρ τοῦ μὴ ἔχοντος οἴκοθεν τὴν δόξαν, κυρίως ἡ μετάδοσις λέγεται. ᾧ δὲ ἔχειν ἑτέρωθεν προσγίνεται οὐκ ἐκ φύσεως· ὅ-
D που δὲ μία καὶ ἡ αὐτὴ καταλαμβάνεται φύσις, οὐ χρήζει τοῦ καθ' ἕκαστον μεταδιδόντος ὁ ἐκ φύσεως τοῦτο ὤν, ὅπερ ὁ πατὴρ εἶναι πεπίστευται. μᾶλλον δὲ τρανότερόν τι καὶ φανερώτερον εἰπεῖν ἔχει καλῶς. τί χρήζει τῆς τοῦ πατρὸς δόξης ὁ ὅλον ἔχων ἐν ἑαυτῷ τὸν πατέρα· οὐδενὸς τῶν ἐν τῷ πατρὶ νοουμένων ἀφῃρημένος; τίς δὲ καὶ ἡ τοῦ παντοκράτορος ἀξία, ἧς ἀμέτοχον ὁ Εὐνόμιος τὸν υἱὸν ἀποφαίνεται; λεγέτωσαν μὲν οὖν οἱ σοφοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες, τὰ γήϊνα δόγματα· οἱ κατὰ τὸν φησὶ ὁ προφήτης, ἐκ γῆς φωνοῦντες. ὅσοι δὲ προσκυνοῦμεν τὸν λόγον, καὶ τῆς ἀληθείας ἐσμὲν μαθηταί.

μᾶλλον δὲ εἶναι εὐχόμεθα, μηδὲ ταύτην παραδράμωμεν τὴν φωνὴν ἀνεξέταστον· οἴδαμεν γὰρ ὅτι πάντων τῶν ὀνομάτων, δι' ὧν τὸ θεῖον διασημαίνεται, τινὰ μὲν ἐνδεικτικὰ τῆς θείας μεγαλειότητός ἐστιν, αὐτὰ ἐπ' ἑαυτῶν λεγόμενά τε καὶ νοούμενα· τινὰ δὲ ταῖς ὑπὲρ ἡμᾶς τε καὶ πᾶσαν τὴν κτίσιν ἐνεργείαις ἐπονομάζεται. ὅταν μὲν γὰρ λέγῃ ὁ θεῖος ἀπόστολος, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, καὶ τὰ τοιαῦτα, τὰ παραστατικὰ τῆς ὑπερκειμένης δυνάμεως νοήματα διὰ τῶν ὀνομάτων τούτων ἐνδείκνυνται. ὅταν δὲ λέγηται παρὰ τῆς γραφῆς, οἰκτίρμων, καὶ ἐλεήμων, πολυέλεος, ἀληθινὸς, Χριστὸς, κύριος, ἰατρὸς, ποιμὴν, ὁδὸς, ἄρτος, πηγὴ, βασιλεὺς, κτίστης, δημιουργὸς, ὑπερασπιστὴς, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων, ὁ ἐν πᾶσι τὰ πάντα· ταῦτα καὶ τὰ τοιαῦτα τῶν ἐν τῇ κτίσει παρὰ τῆς θείας φιλανθρωπίας ἐνεργουμένων, περιέχει τὴν ἔμφασιν. τὸ γοῦν τοῦ παντοκράτορος ὄνομα τοῖς ἀκριβῶς ἐξετάζουσιν εὑρίσκεται, μὴ ἄλλο τι σημαῖνον ἐπὶ τῆς θείας δυνάμεως, ἢ τὸ πρός τι πως ἔχειν τὴν κρατητικὴν τῶν ἐν τῇ κτίσει θεωρουμένων ἐνέργειαν, ἡ τοῦ παντοκράτορος ἔμφασις ὑποδείκνυσιν· ὥσπερ γὰρ οὐκ ἂν ἰατρὸς ἦν εἰ μὴ τῶν νοσούντων χάριν, οὐδ' ἂν ἐλεήμων τε καὶ οἰκτίρμων καὶ τὰ τοιαῦτα κατωνομάζετο· εἰ μὴ διὰ τὸν οἰκτιρμοῦ τε καὶ ἐλέου δεόμενον· οὕτως οὐδὲ παντοκράτωρ, εἰ μὴ πᾶσα ἡ κτίσις τοῦ περικρατοῦντος αὐτὴν, καὶ ἐν τῷ εἶναι συντηροῦντος ἐδέετο. οὐκοῦν ὥσπερ ἰατρὸς τῷ δεομένῳ τῆς θεραπείας γίνεται, οὕτω καὶ παντοκράτωρ τῷ χρήζοντι τοῦ κρατεῖσθαι. καὶ ὥσπερ οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· οὕτως ἐκ τοῦ ἀκολούθου καλῶς ἐστιν εἰπεῖν, μηκέτι τοῦ κρατοῦντος χρήζειν ἐκεῖνον, ἐν ᾧ τὸ ἀπλανές τε καὶ ἀμετάπτωτον ἡ φύσις ἔχει. οὐκοῦν ὅταν τῆς παντοκράτορος φωνῆς ἀκούσωμεν, τοῦτο νοοῦμεν, τὸ πάντα τὸν Θεὸν ἐν τῷ εἶναι συνέχειν· ὅσα τε νοητὰ, καὶ ὅσα τῆς ὑλικῆς ἐστι φύσεως. διὰ τοῦτο γὰρ κατέχει τὸν γῦρον τῆς γῆς, διὰ τοῦτο ἔχει ἐν τῇ χειρὶ τῆς γῆς τὰ πέρατα. διὰ τοῦτο περιλαμβάνει τὸν οὐρανὸν τῇ σπιθαμῇ, διὰ τοῦτο περιμετρεῖ τῇ χειρὶ τὸ ὕδωρ. διὰ τοῦ-

A immò verò eſſe gloriamur; neque hanc vocem non perſpectam & inexploratam prætereamus: Scimus enim quòd omnium nominum quibus numen ſignificatur, quædam certè ſunt diuinæ maieſtatis demonſtratiua, quæ ipſa in ſemetipſis dicuntur & intelliguntur: quædam verò ex his operationibus quæ propter nos & omnem creaturam fiunt, denominantur. Cùm enim dicit diuinus Apoſtolus, incorruptibili, inuiſibili, ſoli ſapienti Deo, & quæ eiuſmodi: per hæc nomina notiones quæ ſupereminentem potentiam repræſentant, oſtendũtur. Cum autem in ſcripturis miſericors, miſerator, multum miſericors, verax Chriſtus, B Dominus, medicus, paſtor, via, panis, fons, rex, creator, conditor, protector, propugnator, qui eſt in omnibus, & per omnia, qui in omnibus omnia, hæc & eiuſmodi eorum quæ in creatura à diuina in genus humanum beneuolentia efficiũtur, illuſtrem continent ſignificationem. Quare omnitenentis nomen penitus & exactè exquirentibus non aliud quid in diuina potentia ſignificare inuenitur, quàm quod illa vis & operatio, quæ vniuerſa quæ in creatione conſiderantur continet, quodam modo ad aliquid refertur. Hoc omnitenentis oſtẽdit illuſtris appellatio: quẽadmodum enim C medicus non eſſet niſi ægrotantium cauſa: neque miſerator, neque miſericors & quæ ſunt eiuſmodi cognominaretur, niſi propter eum qui miſeratione & miſericordia indiget: ſic neq; omnipotẽs ſiue cũctitenẽs niſi creatura omnis indigeret eo qui ipsã potẽter cõplectatur & in natura ſua conſeruet. quemadmodũ igitur medicus fit ei qui curatione indiget ſic omnipotẽs ſiue cũctitenẽs ei qui cõtineri eget, & quemadmodum qui bene valent medico nõ opus habent, ſed qui malè habẽt: ſic ex cõſequẽti prȩclarè licet inferre nõ amplius illum continẽte ſiue conſeruante indigere in quo natura eſt omnino D erroris neſcia & caſus omniſq; mutationis expers. Cùm igitur cũctitenẽs παντοκράτωρ nomẽ audim⁹; hoc mẽte cõcipiamus, nempe Deũ omnia in ſuo eſſe ſiue in ſua natura & eſſẽtia cõtinere, & quæ intelligentia ſolâq; mente cernũtur, & quæ materiali natura cõſtant. Ideóque terræ gyrum ſiue orbem continet, propter hoc in manu habet terræ fines. propter eandem cauſam cœlũ palmo cõplectitur, propter hoc ipsũ aquã manu cõmẽſurat. propter

1.Tim.1. Pſal.144. & 102. Matth.9. Eſa.40.

idipſum omnem incorpoream & ſub intelligentiam cadentem creaturam in ſeipſo comprehendit, vt omnia in ſuo eſſe ſiue in ſua natura maneant potẽtia comprehenſiua, ſiue continente, cõprehenſa & cõtenta. Quis igitur is ſit qui omnia in omnibus operatur inquiramus. quis eſt qui omnia fecit, ſine quo nihil eorũ quæ ſunt conſtat? Quis eſt in quo ſunt omnia condita, & in quo quæ ſunt permanen-
Act. 17. tiam habent? In quo viuimus, mouemur,
Philip. 2. & ſumus? Quis eſt ille qui in ſeipſo habet omnia quæ pater habet? An ignoramus, ex his quæ dicta ſunt, eum eſſe qui ſuper omnia Deus eſt à Paulo ſic nominatus, Dominus noſter Ieſus Chriſtus, qui omnia in manu quæ ſunt Patris habet. ſicut ipſe dicit: Omnia quidem ampliſſima ſua palma complexus eſt, & comprehenſa continet imperans, & nullus de manu omnia continentis tollit. ſi igitur omnia habet, ſi continet & gubernat quæ habet, quid aliud prorſus ipſe eſt quàm παντοκράτωρ cunctitenens omnium dominus, qui tenet omnia potenter & his dominatur. Quòd ſi hæreſis dicat quòd Pater Filium & Spiritum continet. Primùm demonſtrent Filium & Spiritum ſanctum eſſe mutabilis naturæ, ac tunc ei qui vertitur ac mutatur illum qui contineat præficiant, vt supernè innaſcente auxilio maneat id quod continetur ad malum incommutabile. Quod ſi vitij eſt incapax diuina natura, inuertibilis, immutabilis, nec deficiens in conſummationis exitu ſempérque eodem modo ſe habet, ad quid eo qui contineat indigebit? Quæ per ſeipſam omnem continet creaturam, continente alio non indiget,
Ibidem. quia ſit mutationis & inuerſionis expers. Propterea in nomine Ieſu omne genu ſe flectit ſupercœleſtiũ terreſtrium & ſubterraneorum. Nõ autem ſe flecteret, niſi prædominantem & continentem pro eorum ſalute penitus agnoſceret. At vero dicere Patris bonitate filium generatum eſſe, nihil aliud eſt, quàm ipſum conſtituere & redigere ad conſimilem honorem cum infimis creaturis. Quid enim non eius qui fecit bonitate ad generationem peruenit? cui imputatur humanæ naturæ conſtructio, improbitati an bonitati eius qui fecit? cui animalium generatio? plantarum & germinum natura? Nihil eſt quod non habeat ſuum ortum ex bonitate eius qui fecit. Quod igitur in omnibus ratio perſpicit, id Eunomius ex

A τὴν νοητὴν πᾶσαν κτίσιν ἐν ἑαυτῷ περιέχει, ἵνα πάντα ἐν τῷ εἶναι μένῃ τῇ περιεκτικῇ δυνάμει περικρατούμενα. τίς οὖν ὁ πάντα ἐν πᾶσιν ἐνεργῶν ἐξετάσωμεν. τίς ὁ πάντα ποιήσας, οὗ χωρὶς τῶν ὄντων ἔστιν οὐδέν; τίς ἐστιν ἐν ᾧ τὰ πάντα ἐκτίσθη, καὶ ἐν ᾧ τὰ ὄντα τὴν διαμονὴν ἔχει; ἐν τίνι ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν; τίς ὁ τὰ πάντα ἔχων ἐν ἑαυτῷ, ὅσα ὁ πατὴρ ἔχει; ἆρα ἀγνοοῦμεν ἔτι διὰ τῶν εἰρημένων, τὸν ἐπὶ πάντων Θεὸν τὸν ὑπὸ τοῦ Παύλου οὕτως ὀνομαζόμενον, B τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν; ὃς πάντα ἐν τῇ χειρὶ τὰ τοῦ πατρὸς ἔχων, καθὼς αὐτός φησι· περιδέδρακται πάντως διὰ τῆς πολυχώρου αὐτοῦ παλάμης τῶν πάντων, καὶ κρατεῖ τῶν περιδεδραγμένων, καὶ οὐδεὶς αἴρει ἐκ τῆς χειρὸς αὐτοῦ τοῦ κρατοῦντος τῇ χειρὶ τῶν πάντων. εἰ οὖν πάντα ἔχει, καὶ κρατεῖ ὧν ἔχει, τί ἄλλο καὶ οὐχὶ παντοκράτωρ πάντως ἐστὶν, ὁ κρατῶν τῶν πάντων. εἰ δὲ λέγει ἡ αἵρεσις ὅτι καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος κρατεῖ ὁ πατήρ, πρότερον ἀποδειξάτωσαν ὅτι τρεπτῆς ἐστι φύσεως ὁ υἱὸς καὶ C τὸ πνεῦμα τὸ ἅγιον, καὶ τότε τὸν κρατοῦντα τῷ τρεπομένῳ ἐπιστησάτωσαν· ἵνα τῇ ἄνωθεν ἐγγινομένῃ βοηθείᾳ, μένῃ τὸ κρατούμενον, πρὸς τὸ κακὸν ἀμετάπτωτον. εἰ δὲ ἀνεπίδεκτος κακίας ἡ θεία φύσις, ἄτρεπτός τε καὶ ἀναλλοίωτος, καὶ ἀεὶ ὡσαύτως ἔχει· εἰς τί τοῦ κρατοῦντος ἐπιδεήσεται, ἡ δι' ἑαυτῆς πᾶσαν ἐπικρατοῦσα τὴν κτίσιν· αὐτὴ δὲ τοῦ κρατοῦντος μὴ δεομένη διὰ τὸ ἄτρεπτον. διὰ τοῦτο ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ πᾶν γόνυ κάμπτει, ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. D οὐ γὰρ ἂν ἔκαμπτεν, εἰ μὴ τὸν ἐπὶ σωτηρίᾳ κρατοῦντα πάντως ἐγίνωσκε· τὸ δὲ λέγειν τῇ ἀγαθότητι τοῦ πατρὸς τὸν υἱὸν γεγενῆσθαι, οὐδὲν ἄλλο ἐστὶν ἢ εἰς τὸ ὁμότιμον αὐτὸν καταστῆσαι τοῖς ἐσχάτοις τῆς κτίσεως. τί γὰρ οὐχὶ τῇ ἀγαθότητι τοῦ πεποιηκότος ἦλθεν εἰς γένεσιν, τίνι λογίζεται ἡ τῆς ἀνθρωπίνης φύσεως κατασκευὴ πονηρίᾳ, ἢ ἀγαθότητι τοῦ ποιήσαντος. τίνι δὲ ἡ τῶν ζώων γένεσις, ἡ τῶν φυτῶν τε καὶ βλαστημάτων φύσις· οὐδέν ἐστιν ὃ μὴ τῇ ἀγαθότητι τοῦ πεποιηκότος ἔχει τὴν γένεσιν. ὅπερ οὖν ἐπὶ πάντων ὁ λόγος ὁρᾷ, τοῦτο ὁ Εὐνόμιος τῷ υἱῷ ἀπο

φιλανθρωπίας χαρίζεται. τὸ δὲ μὴ μερίσασθαι πρὸς τὸν πατέρα τὴν οὐσίαν ἢ τὴν ἀξίαν, ἢ ὅσα τοιαῦτα φλυαρῶν διεξέρχεται, ἤδη ἐν τοῖς περὶ τοῦ πατρὸς λόγοις προεξελήλεγκται. ὡς μάτην αὐτοῦ ταῦτα καὶ δίχα διανοίας προσειρηκότος. οὐδὲ γὰρ ἡμῖν τοῖς ἐξ ἀλλήλων τικτομένοις, οὐσίας διαίρεσις γίνεται. ὅλος γὰρ ἐν ἑκάστῳ μένει τῆς οὐσίας ὁ λόγος, ἐν τῷ γεγεννημένῳ καὶ τῷ γεννήσαντι, οὔτε ἐν τῷ γεννῶντι μείωσιν, οὔτε ἐν τῷ γεγεννημένῳ, αὔξησιν τοῦ λόγου τῆς οὐσίας λαμβάνοντος. ὁ δὲ τῆς ἀξίας ἢ τῆς βασιλείας μερισμὸς ἐπὶ τοῦ πάντα ἔχοντος τὰ τοῦ πατρὸς, οὐδεμίαν διάνοιαν, πλὴν τοῦ ἔλεγχον εἶναι τῆς ἀσεβείας. οὐκοῦν περιττὸν ἂν εἴη τοῖς τοιούτοις συμπλεκομένους εἰς ἀμετρίαν ἀποτείνειν τὸν λόγον. πρὸς δὲ τὰ ἐφεξῆς τούτοις μετέλθωμεν. δεδοξασμένον, φησὶ, παρὰ τοῦ πατρὸς πρὸ αἰώνων. ἀποδέδεκται τῆς ἀληθείας ὁ λόγος, τῇ μαρτυρίᾳ τῶν ἐχθρῶν κρατυνόμενος. τοῦτο γὰρ τῆς ἡμετέρας πίστεως ἐστὶ τὸ κεφάλαιον, ὅτι παρὰ τοῦ πατρὸς ἐξ ἀϊδίου δοξάζεται ὁ υἱός. τὸ γὰρ πρὸ τοῦ αἰῶνος ταυτόν ἐστι τῷ ἀϊδίῳ κατὰ τὴν ἔννοιαν, οὕτω τῆς προφητείας ἑρμηνευούσης ἡμῖν τοῦ Θεοῦ τὸ ἀΐδιον, ἐν οἷς φησὶ, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Εἰ οὖν τὸ ὑπάρχειν πρὸ τῶν αἰώνων, πάσης ἀρχῆς ἐστιν ἐξώτερον· ὁ τὴν προαιώνιον τῷ υἱῷ ἀναθεὶς δόξαν, πολὺ πρότερον αὐτῷ τὴν ἐξ ἀϊδίου προσεμαρτύρησεν ὕπαρξιν. οὐ γὰρ τὸ μὴ ὂν, ἀλλὰ τὸ ὂν πάντως δοξάζεται. μετὰ ταῦτα δὲ, τῆς κατὰ τοῦ ἁγίου πνεύματος βλασφημίας, ἑαυτῷ τὰ σπέρματα καταβάλλει. οὐχ ἵνα τὸν υἱὸν δοξάσῃ, ἀλλ' ἵνα τῷ πνεύματι τῷ ἁγίῳ ἐμπαροινήσῃ. βουλόμενος γὰρ μέρος τῆς ἀγγελικῆς δυνάμεως ἀποδεῖξαι τὸ πνεῦμα τὸ ἅγιον, τοῦτο προσέρριψεν, εἰπὼν, ὅτι δοξαζόμενον ὑπὸ τοῦ πνεύματος δι' αἰῶνος, καὶ πάσης λογικῆς καὶ γεννητῆς οὐσίας, ὡς μηδεμίαν εἶναι διαφορὰν τῷ πνεύματι τῷ ἁγίῳ πρὸς πᾶν τὸ γινόμενον. εἴπερ οὕτω δοξάζει τὸν κύριον τὸ πνεῦμα τὸ ἅγιον. ὡς καὶ τὰ ἄλλα πάντα περὶ ὧν ὁ προφήτης διέξεισιν, οἱ ἄγγελοι καὶ αἱ δυνάμεις, καὶ τῶν οὐρανῶν οἱ οὐρανοὶ, καὶ τὸ ὑπερκόσμιον ὕδωρ. καὶ τὰ ἐκ γῆς πάντα, δράκοντες, ἄβυσσοι, πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα

A beneuolentia filio gratificatur. Quòd autem filius non cum Patre eſſentiam vel maieſtatem participet, & quęcunque talia nugando & blaterando perſequitur Eunomius, iam in ſermonibus de Patre reprehenſa ſunt & refutata. vt qui hæc fruſtra & abſque vlla intelligentia proiecerit. Neq. enim nobis licet ex mutuo ſatu naſcentibus eſſentiæ ſit diuiſio. tota enim in vnoquoque eſſentiæ manet ratio, & in genito & gignente, neque in generante imminutionem, neque in genito incrementum eſſentiæ ratio recipit. Dignitatis autem vel regni partitio in B eo qui omnia quæ ſunt patris habet nullam intelligentiam habet, ſed impietatis notam & argumentũ. Superfluum igitur fuerit talibus complicatum in immenſum protrahere ſermonem. Ad ea quæ ſequuntur pergamus. [Glorificatum, inquit, à Patre ante ſecula.] Veritatis ſermonem inimicorum teſtimonio confirmari demonſtratum eſt. Hoc enim fidei noſtræ caput eſt, quòd à Patre ex omni æternitate filius glorificatur. Nam ante ſeculum, idem eſt quod ab ęterno ſecundum notitiam, ſic prophetia nobis interpretante quod Dei æternum eſt, in qui- C bus ait; qui eſt ante ſecula. Igitur ſi eſſe ante ſecula extra omne principium eſt; ille qui ante ſecula filio tribuit gloriam, multo prius ipſi ſempiternam ſuo teſtimonio aſſerit exiſtentiam. non enim id quod non eſt, ſed id quod eſt prorſus glorificatur. Poſtea verò blaſphemiæ contra Spiritum ſanctum ſibi ipſi ſemina ſpargit: non vt filium glorificet, ſed vt in Spiritum ſanctum temulentus debacchetur. Nam dum vult Spiritum ſanctum partem eſſe angelicæ poteſtatis, hoc profudit: cùm dixit, [Glorificatur à ſpiritu per ſeculum & ab omni ratio- D nali & generabili eſſentia.] ac ſi nulla omnino eſſet inter Spiritum ſanctum, & quicquid gignitur differentia. ſiquidem ſic dominũ Spiritus ſanctus glorificat. Sicut & alia omnia de quibus propheta enarrat, Angeli & poteſtates, & cœlorũ cœli & quæ ſupra mũdum eſt aqua. Et quæ ſunt ex terra omnia, dracones, abyſſi, ignis, grando, nix, glacies, ſpiritus

Pſal. 148. procellæ, montes & omnes colles, ligna fructifera & omnes cedri. Beſtiæ, iumenta, reptilia & volucria pennata. ſi igitur cum his dicit etiam Spiritum ſanctum glorificare filium, vnum horum eſſe prorſus & idem impia Deo rebellis lingua pronuntiat. Quæ ſequuntur deinceps male cohærentia & contexta dico præclare ſe habere ſi prætermittantur. Non quòd ſint inuicta atque inexpugnabilia, ſed quòd à piè ſentientibus dici poſſint, ſiquidem eſſent à maligna enuntiatione diſiuncta. Nam ſi quid ab eorum quæ ad pietatem pertinent proponitur, id tale pro eſca & illecebra ſimplicioribus porrigitur, vt ſimul cum his impietatis hamus abſorbeatur, cùm enim dixiſſet quædam, quæ etiam diceret Eccleſiaſticus, adijcit, [obediens Verba Eunomij. ad eorum quæ ſunt opificium & generationem, obediens ad omnem diſpenſationem, non ex obedientia hoc adeptus vt eſſet Deus filius, ſed quia ſit filius & genitus vnigenitus Deus, factus obediens in verbis, obediens in operibus.] Atqui quis eorum qui in diuinis vocibus verſati & exercitati ſunt neſciat, quando à magno Paulo dictum eſt, & Philip. 2. hoc ſemel tantùm de ipſo. Quod obediens factus eſt? cùm enim, vt per crucem adimpleret myſterium, venit, cùm ſeipſum exinaniuit, in forma ſerui, cùm ſeipſum humilem & abiectum præbuit, in hominis ſimilitudine & figura, inuentus vt homo in humili hominum natura, tunc obediens efficitur qui noſtras aſſumpſit infirmitates & morbos geſtauit, inobedientiam, ſiue contumaciam hominum ſua obedientia perfectè ſanans, vt eius vibice, ſiue liuore noſtrum ſanaretur vulnus, & propria morte communem hominum mortem aboleret, tunc propter nos factus eſt obediens, ſicut & peccatum & maledictio ſiue execratio propter diſpenſationem pro nobis ſuſceptam factus eſt, cùm natura hoc non ſit, ſed propter amorem & beneuolentiam in hominum genus factus eſt. Harum verò tantarum obedientiarum catalogum, ex quanam ſcriptura edoctus eſt? Contrà quidem omnis diuinitus inſpirata ſcriptura ei ſummam maieſtatem & primariam poteſtatem ac Pſalm. 148 merum imperium aſſignat, cùm ait, ipſe dixit & facta ſunt, ipſe mandauit & Hebr. 1. creata ſunt: Perſpicuum eſt enim quod hæc ait Propheta de eo qui ſuæ poten-

A καταιγίδος, τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι. τὰ θηρία, καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά. εἰ οὖν μετὰ τούτων λέγει δοξάζειν τὸν κύριον καὶ τὸ πνεῦμα τὸ ἅγιον, ἓν τούτων εἶναι πάντως καὶ αὐτό, ἡ θεομάχος ἀποφαίνεται γλῶσσα· τὰ δὲ ἐφεξῆς τούτοις ἀσυναρτήτως προκείμενα ὑπερβῆναι φημὶ δεῖν καλῶς ἔχειν. οὐχ ὡς ἀήττητως ἔχοντα, ἀλλ' ὡς δυνάμενα καὶ παρὰ τῶν εὐσεβούντων λέγεσθαι, εἴπερ διαζευχθείη τῆς κακοδόξου ἐμφάσεως. εἰ γάρ
B τι καὶ προσκεῖται παρ' αὐτοῦ τῶν εἰς εὐσέβειαν συντεινόντων, αὐτὶ δελεάσματος τὸ τοιοῦτον τοῖς ἀκεραιοτέροις προτείνεται, ἵνα συγκαταποθῇ τούτοις καὶ τὸ τῆς ἀσεβείας ἄγκιστρον, εἰπὼν γὰρ ἅπερ ἂν καὶ ὁ ἐκκλησιαστικὸς εἴποι, προστίθησιν, ὑπήκοος πρὸς τὴν τῶν ὄντων δημιουργίαν καὶ γένεσιν, ὑπήκοος πρὸς πᾶσαν διοίκησιν, οὐκ ἐκ τῆς ὑπακοῆς προσλαβὼν τὸ εἶναι υἱὸς Θεός, ἀλλ' ἐκ τοῦ υἱὸς εἶναι καὶ γεννηθῆναι μονογενὴς Θεός, γενόμενος ὑπήκοος ἐν λόγοις, ὑπήκοος ἐν ἔργοις. καί τοι τίς οὐκ οἶδε τῶν ταῖς θείαις καθωμιληκότων φω-
C ναῖς, πότε εἴρηται παρὰ τοῦ μεγάλου Παύλου, καὶ τοῦτο ἐπ' ἅπαξ περὶ αὐτοῦ. ὅτι ὑπήκοος ἐγένετο; ὅτε γὰρ ἐπὶ τὴν πληρῶσαι τὸ διὰ τοῦ σταυροῦ μυστήριον ἦλθεν, ὁ κενώσας ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ, καὶ ταπεινώσας ἑαυτὸν τῷ τοῦ ἀνθρώπου ὁμοιώματί τε καὶ σχήματι, εὑρεθεὶς ὡς ἄνθρωπος ἐν τῇ ταπεινῇ τῶν ἀνθρώπων φύσει, τότε ὑπήκοος γέγονεν, ὁ τὰς ἀσθενείας ἡμῶν ἀναλαβών, καὶ τὰς νόσους βαστάσας, τὴν παρακοὴν τῶν ἀνθρώπων διὰ τῆς ἰδίας ὑπακοῆς ἐξιώμενος, ἵνα τῷ μώλωπι αὐτοῦ τὸ ἡμέτερον ἰάσηται τραῦμα, καὶ διὰ τοῦ
D ἰδίου θανάτου τὸν κοινὸν θάνατον τῶν ἀνθρώπων ἐξαφανίσῃ, τότε δι' ἡμᾶς ὑπήκοος γέγονεν, ὡς καὶ ἁμαρτία καὶ κατάρα διὰ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν ἐγένετο, οὐ φύσει τοῦτο ὤν, ἀλλὰ κατὰ φιλανθρωπίαν γενόμενος. τὸν δὲ τοσούτων ὑπακοῶν κατάλογον, παρὰ ποίας ἐδιδάχθη γραφῆς; τὸ ἐναντίον μὲν οὖν πᾶσα θεόπνευστος γραφή, τὴν αὐθεντικὴν αὐτῷ καὶ αὐτοκρατορικὴν προσμαρτυρεῖ ἐξουσίαν, λέγουσα, αὐτὸς εἶπε καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν· δῆλον γὰρ ὅτι ταῦτά φησιν ὁ προφήτης, περὶ

τοῦ τὰ σύμπαντα φέροντος τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὗ ἡ ἐξουσία, πᾶσαν οὐσίαν καὶ φύσιν, καὶ πάντα τὰ ἐν τῇ κτίσει νοούμενά τε καὶ ὁρώμενα, ἐν μόνῃ τῇ τοῦ θελήματος ὁρμῇ συνεστήσατο. πόθεν τοίνυν κινούμενος ὁ Εὐνόμιος, μυριοτρόπως ἐπιφημίζει τῷ βασιλεῖ τῆς κτίσεως τὸ ὑπήκοον, ὑπήκοος λέγων πρὸς πᾶσαν δημιουργίαν, καὶ πρὸς πᾶσαν διοίκησιν ὑπήκοος, ὑπήκοος ἐν λόγοις καὶ ἔργοις. καίτοι παντὶ δῆλον τὸ τοιοῦτον ἐστὶν, ὅτι μόνος ἐν λόγοις τε καὶ ἔργοις ἑτέρῳ τις ὑπήκοος γίνεται, ὁ μήπω τὴν ἐξουσίαν τοῦ ποιεῖν ἀκριβῶς ἢ λέγειν ἀνεπιλήπτως ἐν ἑαυτῷ κατορθώσας· ἀλλὰ πρὸς τὸν διδάσκαλον ἑαυτοῦ καὶ καθηγεμόνα βλέπων, ταῖς ὑποθήκαις ἐκείνου τὸ ἐν τοῖς λόγοις τε καὶ ἐν τοῖς ἔργοις ἀκριβὲς ἐκπαιδεύεται. τὸ δὲ τὴν σοφίαν ἐπιστάτου χρήζειν οἴεσθαι καὶ διδασκάλου, τοῦ τὴν ἀκολουθίαν ἢ τὴν δικαιοσύνην πρὸς τὸ δέον αὐτῇ κατευθύνοντος, μόνης τῆς Εὐνομίου φαντασίας ἐστίν. καὶ περὶ τοῦ πατρὸς, φησὶ, ὅτι πιστὸς ἐν λόγοις, καὶ πιστὸς ἐν ἔργοις· τῷ δὲ υἱῷ τὸ πιστὸν ἐν τοῖς γινομένοις τε καὶ λεγομένοις οὐκ ἐμαρτύρησεν, ἀλλ' ὑπήκοον αὐτὸν, ἐν λόγοις εἶναι καὶ οὐ πιστὸν ἀπεφήνατο. ὡς διὰ πάντων ὧν λέγει τὴν καθ' αὐτοῦ βλασφημίαν τὸ ἴσον ἔχειν· τὸ δὲ μωρόν τι καὶ ἀδιανόητον τῆς μεταξὺ τούτων παρεντεθείσης ῥήσεως, πρέπει τάχα σιωπῇ παρελθεῖν, μή τις τῶν ἀπερισκέπτων ἐπιγελάσῃ τῇ ματαιότητι, δακρύειν δέον ἐπὶ τῇ τῶν ψυχῶν αὐτῶν ἀπωλείᾳ, ἢ γελᾶν ἐπὶ τῇ μωρίᾳ τῶν λόγων. φησὶ γὰρ ὁ σοφὸς οὗτος καὶ περιεσκεμμένος δογματιστὴς, οὐκ ἐκ τῆς ὑπακοῆς αὐτὸν προσλαβεῖν τὸ εἶναι υἱόν. ὢ τῆς ἀγχινοίας, ὡς ἀναγκαίως περὶ τούτων ἡμῖν διαιρεῖται; ὅτι οὐ πρότερον ὑπήκοος ἐγένετο, καὶ τότε υἱὸς, οὐδὲ πρεσβυτέραν χρὴ νοεῖν τὴν ὑπακοὴν αὐτοῦ τῆς γεννήσεως. εἰ δὲ μὴ προσδιωρίσατο ταῦτα, τίς οὕτω μωρὸς καὶ ἠλίθιος ἦν, ὡς μισθὸν ὑπακοῆς οἰηθῆναι παρὰ τοῦ πατρὸς αὐτῷ δεδόσθαι τὴν γέννησιν, τῷ πρὸ τῆς γεννήσεως ἐπιδειξαμένῳ τὸ εὐπειθὲς καὶ ὑπήκοον. ἀλλ' ἵνα μὴ προχείρως τις ἐκ τῆς ἀνοίας τῶν λεγομένων κατασυρῇ πρὸς τὸν γέλωτα, νοησάτω ὅτι ἔχει τι καὶ ἡ μωρία τῶν λεγομένων δακρύων ἄξιον. ὃ γὰρ βούλεται κατασκευάσαι

A tiæ verbo fert vniuerſa: cuius poteſtas omnem eſſentiam & naturam, & omnia quæ in creatura intelliguntur & cernuntur, ſolo voluntatis impetu & nutu condidit: Vnde igitur Eunomius commotus, modis infinitis in rege creaturæ obedientiam celebrat? cùm ait, obediens ad omne opificium & fabricam, ad omnem adminiſtrationem obediens, obediens in ſermonibus & operibus. Quin etiam hoc cuilibet eſt perſpicuum & clarum, quòd ſolus in ſermonibus & operibus alteri quiſpiam ſit obediens, qui nondum exactè faciendi habitum vel dicendi abſque errore & reprehenſione in ſeipſo perfecit, ſed in ſuum ma-
B giſtrum & præceptorem intuens præceptis illius quod in ſermonibus & operibus accuratum eſt, & limatum inſtruitur & eruditur. Putare autem ſapientiam magiſtro & doctore indigere eo qui vel conſecutionem, vel iuſtitiam ad id quod ei opus eſt dirigat, ſolius Eunomij viſionis eſt. Ac de Patre, inquit, quod fidelis in ſermonibus & fidelis in verbis: filio autem quod fidele eſt in dictis & factis non attribuit, ſed ipſum obedientem, non fidelem, in ſermonibus & operibus pronuntiauit. Ita vt per omnia quæ ipſe aſſerit, impietas & blaſphemia contra ipſum perinde & æqua-
C liter ſe habeat: ſtultitiam autem & amentiam verborum interiectorum præſtat fortaſſe ſilentio inuolutam præterire, ne quis inconſultorum & improuidorum, horum vanitatem derideat, cùm potius flendum eſſet propter animarum ipſorum interitum, quàm ridendum propter ſermonum ſtultitiam & fatuitatem. Ait enim iſte ſapiens & conſideratus dogmatiſta, non ex obedientia ipſum accepiſſe, vt ſit filius. O ſolertiam! quàm neceſſariò de his nobis diſſerit! Quòd non prius obediens factus eſt, & tunc filius, neque oportêt intelligere
D obedientiam eius generatione antiquiorem. Quòd ſi hæc minimè diſtinxiſſet, quis ita fatuus & ſtolidus, vt mercedem obedientiæ putet à patre ipſi datam eſſe generationem, ei qui antequam ortus eſſet ſuam in parendo facilitatem & in obediendo alacritatem oſtendiſſet. ſed nequis in promptu ex dictorum amentia & vecordia riſu quatiatur, intelligat quòd hæc fatuitas & ſtultiloquentia aliquid lacrymis dignum habeat: Quod enim vult per hæc conficere tale eſt,

quòd natura ei eſt obedientia. Ita vt etiam ſi velit fieri non poſſit, vt obediens non ſit. Tale quiddam ſeipſum conſtruxiſſe affirmat. [Quòd ad obedientiam ſolam natura eius conuenienter ſe habeat.] quemadmodum inſtrumentum illud quod ad aliquem typum ſiue formam conformatum eſt, neceſſariò eam ſpeciem imprimit materiæ ſubiectæ, quam quidem inſtrumenti fabricationi indidit fabricator, cui inſtrumento non eſt facultas rectam lineam faciendi in ſubiecto quod eius veſtigium excipit, ſi machina fuerit circularis, vel circulum oſtendendi per typum, ſi ad rectam lineam figuratū ſit inſtrumentum. Quanta ſit autem talis cogitationis & intelligentiæ blaſphemia & execrabilis impietas, quid neceſſe eſt noſtra oratione reuelare, cùm vox ipſa hæretica abſurditatem clamitet. Si enim propter hoc obediens, quia talis natus eſt, neque cum humana natura prorſus æquale habet. Siquidem nobis anima eſt libera, ſui iuris compos, nullius dominio mancipata, ſponte ſua arbitrioque ſuo quod ſibi placet & gratum eſt eligens. Qui autem naturæ neceſſitati ſubiugatus eſt, operatur ſemper, immo vero perpetitur obedientiam: atque etiam ſi nolit, hoc facere eius natura non indulgeat. Ex eo enim quòd ſit filius & ſic natus, obediens factus eſt in dictis, & obediens in factis. O ſtuporem & vecordiam dogmatis! verbis obediens verbum facis, & mente concipis alia verba ante verbum quod eſt per eſſentiam: & inter verbum quod erat in principio, ſcilicet medium eſt & interiectum aliud verbum, principij ad ipſum tranſmittens voluntatem. Nec illud vnum eſt verbum, ſed plura ſunt quædam verba, quæ per medium principij, & verbi ab Eunomio tranſfibulantur, & quæ vt ipſis lubet huius obedientia abutuntur. Sed quid in horum dictorum vanitate diutius immorari neceſſe eſt? Cuiuis enim eſt perſpicuum, quòd quando Paulus dixit ipſum factum fuiſſe obedietem, ſic dixit quemadmodum dicit & ipſum factum fuiſſe carnem & ſeruum, & execrationem & peccatum propter nos, neque tunc Dominus gloriæ, dedecus aſpernatus, & in carne paſſionem ſuſcipiens, poteſtate ſumma & libera ſeipſum priuauit, dicẽs, Soluite templum hoc & in tribus diebus

Philip. 2.

Ioan. 2. Matth. 25. Marc. 14.

A διὰ τοῦτο, τοιοῦτόν ἐστιν, ὅτι φύσις αὐτοῦ ἐστιν ἡ ὑπακοή. ὡς μηδὲ βουλομένῳ δυνατὸν γενέσθαι τὸ μὴ ὑπάκοον εἶναι. τοιοῦτον γὰρ αὐτὸν κατεσκευάσθαι, λέγει. ὡς πρὸς ὑπακοὴν μόνην τὴν φύσιν αὐτοῦ ἐπιτηδείως ἔχειν. καθάπερ τῶν ὀργάνων τὸ πρός τινα τύπον ἐσχηματισμένον, ἐκεῖνο τὸ εἶδος ἐντυποῖ, κατ᾽ ἀνάγκην τοῦ ὑποκειμένου, ὅπερ ὁ χαλκεύων τῇ τοῦ ὀργάνου κατασκευῇ ἐναπέθετο, ᾧ οὐκ ἔστι δύναμις, ἢ εὐθὺ ποιῆσαι τοῦ ὑποδεχομένου τὸ ἴχνος, εἰ περιφερὴς εἴη ἡ ἐργασία, ἢ κύκλον δεῖξαι διὰ τοῦ τύπου, εἰ κατ᾽ εὐθείας ἐσχηματισμένον τύχοι τὸ ὄργανον. B ὅσον δὲ τῆς τοιαύτης διανοίας ἐστὶ τὸ βλάσφημον· τί χρὴ διὰ τῶν ἡμετέρων ἐκκαλύπτεσθαι λόγων, αὐτῆς τῆς αἱρετικῆς φωνῆς τὴν ἀτοπίαν βοώσης. εἰ γὰρ διὰ τοῦτο ὑπήκοος διότι τοιοῦτος ἐγένετο, οὐδὲ πρὸς ἀνθρωπίνην φύσιν πάντως τὸ ἴσον ἔχει. εἴπερ ἡμῖν μὲν αὐτεξούσιός ἐστιν ἡ ψυχὴ καὶ ἀδέσποτος αὐτοκρατορικῶς αἱρουμένη κατ᾽ ἐξουσίαν τὸ καταθύμιον. ὁ δὲ ἀνάγκῃ φύσεως ὑπεζευγμένος, ἐνεργεῖ διαπαντός, μᾶλλον δὲ πάσχει τὴν ὑπακοήν· C οὐδὲ εἰ μὴ βούλοιτο τοῦτο ποιεῖν συγχωρούσης τῆς φύσεως. ἐκ γὰρ τοῦ υἱὸς εἶναι καὶ γεγεννῆσθαι οὕτως, ὑπήκοος γέγονεν ἐν λόγοις, καὶ ὑπήκοος ἐν ἔργοις. ὢ τῆς δυσαισθησίας τοῦ δόγματος. λόγοις ὑπήκοον τὸν λόγον ποιεῖς, καὶ προεπινοεῖς τοῦ ὄντος λόγου, λόγους ἑτέρους· καὶ μεσιτεύει τοῦ ἐν τῇ ἀρχῇ ὄντος λόγου, ἕτερος λόγος τῆς ἀρχῆς πρὸς αὐτὸν διαπορθμεύων τὸ βούλημα; καὶ οὐχ εἷς οὗτος, ἀλλὰ καὶ πλείονές εἰσί τινες λόγοι, οἱ διὰ μέσου τῆς ἀρχῆς, καὶ τοῦ λόγου παρὰ τοῦ D Εὐνομίου παρενειρόμενοι, καὶ πρὸς τὸ δοκοῦν αὐτοῖς τῇ ὑπακοῇ αὐτοῦ καταχρώμενοι. ἀλλὰ τί χρὴ τῇ ματαιότητι τῶν λεγομένων ἐνδιατρίβειν; παντὶ γὰρ δῆλόν ἐστιν, ὅτι καὶ ὅτε ὁ Παῦλος εἶπεν αὐτὸν γεγενῆσθαι ὑπήκοον, εἶπε δὲ οὕτως αὐτὸν γεγενῆσθαι, σάρκα καὶ δοῦλον, καὶ κατάραν καὶ ἁμαρτίαν δι᾽ ἡμᾶς γενόμενον, οὐδὲ τότε ὁ κύριος τῆς δόξης, ὁ τῆς αἰσχύνης καταφρονήσας, καὶ τῇ σαρκὶ τὸ πάθος ἀναδεξάμενος, τῆς αὐθεντικῆς ἐξουσίας ἑαυτὸν ἠλλοτρίωσε, λέγων, λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις

ἐγερῶ αὐτόν. καὶ πάλιν, οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. καὶ ὅτε προσεπλησίασαν αὐτῷ κατὰ τὴν πρὸ τοῦ πάθους νύκτα, οἱ τῷ σιδήρῳ καὶ τοῖς ξύλοις καθωπλισμένοι, πάντας αὐτοὺς εἰς τὸ κατόπιν ἀνέτρεψε διὰ τοῦ εἰπεῖν, ὅτι ἐγώ εἰμι, καὶ πάλιν τοῦ λῃστοῦ ἱκετεύσαντος ἐν μνήμῃ παρ' αὐτοῦ γενέσθαι, ἔδειξε τὴν ἐπὶ πάντων ἐξουσίαν, ἐν οἷς φησί, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. εἰ τοίνυν οὐδὲ ἐν τῷ καιρῷ τοῦ πάθους τῆς ἐξουσίας χωρίζεται, ποῦ ποτε βλέπει ἡ αἵρεσις τοῦ βασιλέως τῆς δόξης τὸ ὑποχείριον· τίς δὲ καὶ ἡ πολύτροπος αὕτη μεσιτεία ἣν ἐπιθρυλεῖ τῷ Θεῷ, μεσίτην λέγων ἐν δόγμασι, μεσίτην ἐν νόμῳ. οὐ ταῦτα παρὰ τῆς ὑψηλῆς τοῦ ἀποστόλου φωνῆς ἐπαιδεύθημεν· ὅς φησιν, ὅτι τὸν νόμον τῶν ἐντολῶν καταργήσας τοῖς ἑαυτοῦ δόγμασιν. οὗτός ἐστιν ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων. εἰπὼν τοῦτο τὸ ῥῆμα, ὅτι εἷς Θεός, καὶ εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὅλον ἡμῖν ἐνταῦθα τὸν σκοπὸν τοῦ μυστηρίου διὰ τῆς τοῦ μεσίτου λέξεως διαλαβών, ἀπεκάλυψεν· ὁ δὲ σκοπὸς οὗτός ἐστιν, ἀπέστη διὰ τῆς τοῦ ἀντικειμένου κακίας ποτὲ τὸ ἀνθρώπινον, καὶ τῇ ἁμαρτίᾳ δουλωθὲν, καὶ τῆς ὄντως ἠλλοτριώθη ζωῆς. ἀνακαλεῖται μετὰ ταῦτα τὸ ἑαυτοῦ πλάσμα ὁ τοῦ πλάσματος κύριος, καὶ γίνεται ἄνθρωπος μετὰ τοῦ εἶναι Θεός. κἀκεῖνο ὅλον ὤν, καὶ τοῦτο ὅλον γενόμενος, καὶ οὕτως συνανεκράθη Θεῷ τὸ ἀνθρώπινον, τοῦ κατὰ Χριστὸν ἀνθρώπου τὴν μεσιτείαν ἐργασαμένου. ᾧ διὰ τῆς ἀναληφθείσης ἡμῖν ἀπαρχῆς, ὅλον τῇ δυνάμει συνανεκράθη τὸ φύραμα. ἐπεὶ οὖν ὁ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ Θεὸς εἷς ἐστιν, οὐδὲν τοῖς προσώποις τοῖς ἐν τῇ πίστει παραδεδομένοις ἐμμεριζόμενος, μία γὰρ ἡ θεότης ἐν πατρί τε, καὶ υἱῷ, καὶ πνεύματι ἁγίῳ· διὰ τοῦτο γίνεται μεσίτης ἅπαξ ὁ κύριος, Θεοῦ καὶ ἀνθρώπων, συνάπτων τὸν ἄνθρωπον δι' ἑαυτοῦ τῇ θεότητι. ἀλλὰ καὶ διὰ τοῦ κατὰ τὸν μεσίτην νοήματος, τὸ εὐσεβὲς τῆς πίστεως ἐδιδάχθημεν· ὁ γὰρ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ὥσπερ τῆς ἀνθρωπίνης φύσεως τὴν κοινωνίαν ἐδέξατο, οὐ νομισθεὶς ἄνθρωπος, ἀλλὰ γνησίως κατὰ ἀλήθειαν, οὕτω καὶ ἀληθινὸς Θεὸς ὤν, οὐκ ἐπωνυμίᾳ τετιμημένος ἐστίν.

A ipſum excitabo. Et iterum, nullus tollit animam meam à me, poteſtatem habeo ponendi ipſam, & poteſtatem habeo reſumendi ipſam. Et cùm ad ipſum propius acceſſerunt ea nocte quæ eius paſſionem præceſſit, qui ferro & lignis armati erant, omnes retrorſum euertit, cùm hoc dixit, Ego ſum. Et rurſus latrone ſupplicante vt ſui memor eſſet, ſuam in omnibus poteſtatem oſtendit, cùm dixit, hodie mecum eris in paradiſo. Si igitur neque tempore paſſionis à poteſtate ſeparatur, vbinam tandem hæreſis, ſubiectionem Regis gloriæ conſpi-
B cit. Quænam hæc etiam multimoda meditatio quam in Deo iactat, dicens mediatorem in decretis, mediatorem in lege. Non hęc ab alta voce Apoſtoli ſumus edocti, qui ait, quòd legem mandatorum euacuans ſuis documentis, hic eſt mediator Dei & hominum, cùm dixit, hoc ipſum verbum, quòd vnus Deus eſt, vnus mediator Dei & hominum, Homo CHRISTVS IESVS. *Timoth. 2.* Totum nobis hic myſterij ſcopum mediatoris nomine complexus reuelauit: hic autem ſcopus eſt, aduerſarij malitia quondam humanum genus à Deo defecerat, & pecca-
C to ſeruierat, & à vera vita alienatum erat. Reuocat poſtea ſuum figmentum, qui figmenti Dominus eſt, & fit homo cum eo qui eſt Deus, & illud totum cùm eſſet, & hoc totum factus: & ſic quod humanum eſt, cum Deo temperatum eſt, homine qui ſecundum Chriſtum eſt, mediationem operante. Cui per aſſumptas à nobis primitias tota virtute contemperata eſt maſſa. Quoniam igitur mediator vnius non eſt, Deus autem vnus eſt, *Galat 3.* neque in perſonis in fide
D traditis in partes diſtributus: vna enim Deitas in Patre, Filio, & Spiritu ſancto; propterea fit mediator ſemel Dominus, Dei & hominum, copulans hominem per ſemetipſum deitati. Quin etiam notione per mediatorem concepta fidei pietatem didicimus: mediator enim Dei & hominum, quemadmodum humanæ naturæ communionem accepit, non putatus homo, ſed natus ſecundum veritatem, ſic etiam verus Deus eſt non cognomento tantum honoratus nudæ

deitatis, vt vult Eunomius. Quæ autem A his dictis adijcit eandem reſipiunt amentiam, vel potius maleuolentiam: filium enim ipſum cùm dixiſſet, quem in his quæ paulò ante dicta fuerunt, quid creatum eſſe apertè & diſertè determinauit, & vnigenitum Deum nominaſſet, quem cum reliquis creaturis cōnumerauit: ſimilem dixit genitori tantum præcellenti & eximia quadam ſimilitudine, ſecundum propriam & peculiarem notitiam. Primùm igitur ſimilis ſignificatio diſtinguenda eſt, quot modis in abuſu conſuetudinis dicitur. Deinde ſit ad propoſitorum exquiſitionem venien- B dum. Primùm quidem quæcunque noſtros ſenſus fallunt, cùm naturâ non ſint inter ſe eadem, ſed ab aliquo eorum quæ ſubiecta conſequuntur accidente, figura dico & colore, & ſono, & quæ per guſtum & odoratum & tactum ſenſuum deceptionem ingenerant: cùm alia quidem ſint ſecundum propriam naturam: alia verò quàm quæ reuera ſunt eſſe ſimulantur, hæc ſimiliter ſe habere conſuetudo dicit: velut cùm inanima materia ad alicuius animalis imaginem arte aliqua vel ſculptura, vel pictura, vel fictrice; quod effictum eſt & imitatum, C archetypo, id eſt exemplari primigenio, ſimile dicitur. Hic enim alia quidem animalis natura. alia verò materiæ viſum ementientis & fallentis ſolo colore & figura. Eiuſdem autem ſpeciei ſimilitudinis eſt, quæ in ſpeculo apparet imago, exemplaris formæ euidentes referens apparitiones, cùm tamen non ſit illud ſecundum naturam, quod quidem eſt primigenium exemplar. Eodem modo etiam auditus afficitur, & æquale quiddam perpetitur, cùm quis proprio ſono vocem Luſciniæ imitans, auem audire ſibi videri auditui perſuaſerit. Tale quid- D dam fallax & captioſum guſtus percipit, cùm fructus ficuum ſapor mellis voluptatem ſimulat: ſapor enim illius fructus quid ſimile habet cum mellis dulcedine: ſic etiam quadam ſimilitudine odoratus aliquando decipitur, cùm vapor Chamæmeli herbæ ipſum malum ſiue pomum ſuauiter olens dulci aſpiratione imitans ſenſum deceperit. Idem tactui accidit. ſimilitudo enim vario modo veritatem mentitur. Siquidem argenteus nummus vel æreus, æqualis cum aureo magnitudinis & eiuſdem

A ψιλῆς τῆς θεότητος, ὡς ὁ Εὐνόμιος βούλεται. ὅσα δὲ τοῖς εἰρημένοις προστίθησι, τῆς αὐτῆς ἀνοίας ἔχεται, μᾶλλον δὲ κακονοίας· υἱὸν γὰρ αὐτὸν εἰπὼν, ὃν ἐν τοῖς μικρῷ πρόσθεν εἰρημένοις, κτιστὸν εἶναι σαφῶς διωρίσατο, καὶ μονογενῆ Θεὸν ὀνομάσας, ὃν μετὰ τῶν λοιπῶν τῶν διὰ τῆς κτίσεως γεγονότων ἠρίθμησεν· ὅμοιον εἶπε τῷ γεννήσαντι, κατ᾽ ἐξαίρετον ὁμοιότητα μόνον, κατὰ τὴν ἰδιάζουσαν ἔννοιαν. χρὴ τοίνυν διαστεῖλαι περὶ τοῦ ὁμοίου τὸ σημαινόμενον, ποσαχῶς ἐν τῇ καταχρήσει τῆς B συνηθείας λέγεται. εἶθ᾽ οὕτως ἐπὶ τὴν ἐξέτασιν τῶν προκειμένων ἐλθεῖν. πρῶτον μὲν γὰρ ὅσα παραψεύδεται τὰς αἰσθήσεις ἡμῶν, οὐ τὰ αὐτὰ μὲν ἀλλήλοις ὄντα, κατὰ τὴν φύσιν, παρὰ δέ τινος τῶν παρεπομένων τοῖς ὑποκειμένοις, σχήματος λέγω καὶ χρώματος καὶ ἤχου· καὶ τῶν ὅσα διὰ γεύσεώς τε καὶ ὀσφρήσεως καὶ ἁφῆς τὸν παραλογισμὸν ἐμποιεῖ· ἄλλα μὲν ὄντα κατὰ τὴν φύσιν· ἕτερα δὲ παρ᾽ ἃ πέφυκεν εἶναι ὑποκρινόμενα, ταῦτα ὁμοίως ἔχειν ἡ συνήθεια λέγει· οἷον ὅταν ἡ ἄψυχος ὕλη μορφωθῇ διὰ τῆς τέχνης πρός τινα ζώου μίμησιν, C διὰ γλυφῆς ἢ ζωγραφίας, ἢ πλάσματος, ὅμοιον λέγεται πρὸς τὸ ἀρχέτυπον τὸ μίμημα. ἐνταῦθα γὰρ ἄλλη μὲν τοῦ ζώου ἡ φύσις, ἑτέρα δὲ τῆς παραψευδομένης τὴν ὄψιν, διὰ χρώματος μόνον καὶ σχήματος. τοῦ δὲ αὐτοῦ εἴδους ἐστὶ τῆς ὁμοιότητος, καὶ ἡ ἐν κατόπτρῳ εἰκὼν, τῆς ἀρχετύπου μορφῆς, ἐναργεῖς φέρουσα τὰς ἐμφάσεις, οὐ μὴν ἐκεῖνο κατὰ τὴν φύσιν οὖσα, ὅπερ ἐστὶ τὸ ἀρχέτυπον. ὡσαύτως καὶ τὴν ἀκοὴν ἔστι τὸ ἴσον παθεῖν, ὅταν τις τὴν φωνὴν τῆς ἀηδόνος τῷ οἰκείῳ φθόγγῳ μιμούμενος, ὀρνέου δοκεῖν ἐπακροᾶσθαι τὴν ἀκοὴν ἀπατήσῃ. πάσχει D δὲ τὸν τοιοῦτον παραλογισμὸν καὶ ἡ γεῦσις, ὅταν ὁ τοῦ καρποῦ τῶν σύκων χυμὸς, τὴν τοῦ μέλιτος ἡδονὴν ὑποκρίνηται, ἔχει γάρ τι ἐοικὸς πρὸς τὴν γλυκύτητα τοῦ μέλιτος ὁ χυμὸς τῆς ὀπώρας· οὕτω δὲ ὁμοιότητός ἐστιν παραλογισθῆναί ποτε καὶ τὴν ὄσφρησιν, ὅταν ὁ ἀτμὸς τῆς χαμαιμήλου βοτάνης, αὐτὸ τὸ εὐῶδες μῆλον τῇ εὐπνοίᾳ μιμούμενος, ἀπατήσῃ τὴν αἴσθησιν. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τῇ ἁφῇ· ποικίλως ἡ ὁμοιότης διαψεύδεται τὴν ἀλήθειαν. ἐπεὶ τὸ ἀργυροῦν ἢ χάλκεον νόμισμα ἰσομέγεθες τῷ χρυ-

A σῳ, καὶ κατὰ τὸν σταθμὸν, ὁμοίως ἔχον αὐτῷ τοῦ χρυσοῦ νομισθῇ, μὴ ἐπικρινούσης τῆς ὄψεως τὴν ἀλήθειαν. ταῦτα γενικῶς εἴρηται δι' ὀλίγων, ὅσα διὰ ὁμοιότητός τινος τὸν παραλογισμὸν ἐμποιεῖ τοῖς αἰσθητηρίοις· ἄλλο τι παρ' ὅ ἐστι νομιζόμενα. ἔξεστι δὲ διὰ φιλοπονωτέρας τῆς ἐξετάσεως, πλατῦναι διὰ τῶν παραδειγμάτων τὸν λόγον, ὅσα ἑτερογενῶς μὲν ἔχει πρὸς ἄλληλα· διὰ δέ τινος τῶν παρεπομένων, ὁμοιοῦσθαι τὸ ἕτερον τῷ ἑτέρῳ νομίζεται. ἆρα μὴ τι τοιοῦτον ὁμοιότητος εἶδος ἐπιθρυλεῖ τῷ υἱῷ, ἀλλ' οὐκ ἂν εἰς τοῦτο παραπληξίας B ἔλθοι, ὥστε τὴν ἀπατηλὴν ὁμοιότητα ἐπὶ τῆς ἀληθείας βλέπειν. πάλιν ἄλλην ὁμοιότητα ἐν τῇ θεοπνεύστῳ γραφῇ ἐδιδάχθημεν παρὰ τοῦ εἰπόντος, ὅτι ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. ἀλλ' οὐκ ἂν οἴομαι τὸν Εὐνόμιον ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς τοῦτο βλέπειν τὸ εἶδος τῆς ὁμοιότητος, ὡς ταυτὸν τῷ ἀνθρώπῳ τὸν μονογενῆ Θεὸν ἀποφήνασθαι. οἴδαμεν δὲ ἕτερον ὁμοιότητος εἶδος, ὅπερ ἐν τῇ κοσμογενείᾳ φησὶ περὶ τοῦ Σὴθ ὁ λόγος· ὅτι ἐγέννησε τὸν Σὴθ ὁ Ἀδὰμ κατὰ τὸ εἶδος αὐτοῦ δὲ C κατὰ τὴν ὁμοιότητα, ὅπερ εἰ λέγει ὁ Εὐνόμιος, οὐκ ἀπόβλητον τὸν λόγον ποιούμεθα. ἐνταῦθα γὰρ, οὔτε ἡ φύσις τῶν ἀλλήλοις ὁμοιουμένων διάφορος, δὲ ὁ χαρακτὴρ καὶ τὸ εἶδος τὴν κοινωνίαν ἔχει· ταῦτα δὲ τὰ τοιαῦτά ἐστιν, ὅσα περὶ τῆς τοῦ ὁμοίου διαφορᾶς ἡμεῖς ἐνοήσαμεν. ἴδωμεν τοίνυν πρὸς τί βλέπων ὁ Εὐνόμιος, τὴν ἐξαίρετον ἐκείνην ὁμοιότητα πρὸς τὸν πατέρα μαρτυρεῖ τῷ υἱῷ λέγων, ὅμοιον εἶναι τῷ γεννήσαντι μόνον καὶ ἐξαίρετον ὁμοιότητα, κατὰ τὴν ἰδιάζουσαν ἔννοιαν, οὐχ ὡς πατρὶ πατέρα, οὐ γάρ εἰσι δύο πατέρες. τὴν κατ' ἐξαί- D ρετον ὁμοιότητα τοῦ υἱοῦ πρὸς τὸν πατέρα δεικνύειν ἐπαγγειλάμενος, ὅπως μὴ προσήκει νοεῖν αὐτὸν ὅμοιον κατασκευάζει τῷ λόγῳ· εἰπὼν γὰρ ὅτι οὐχ ὡς πατρὶ πατὴρ ἔοικεν, κατεσκεύασε τῷ λόγῳ, ὅτι οὐκ ἔοικε. καὶ πάλιν προσθεὶς, ὅτι οὔτε ὡς ἀγεννήτῳ ἀγέννητος, δὲ διὰ τοῦτο ἀπεῖπε τὴν ἐπὶ τοῦ υἱοῦ πρὸς τὸν πατέρα τὴν ὁμοιότητα· εἶτα ἐπαγαγὼν οὔτε ὡς υἱῷ υἱὸς, τρίτον ἐπήγαγε νόημα, δι' οὗ παντάπασι τὸν τοῦ ὁμοίου παραφέρεται λόγον. οὗτος μὲν οὖν τοῖς ἰδίοις ἕπεται λόγοις, τὴν τοῦ ὁμοίου

A ponderis, ſimile quiddam cum auteo habere exiſtimabitur; viſu non diſcernente veritatem. Hæc paucis generaliter dicta ſunt de iis, quæ propter ſimilitudinem quandam ſenſuum inſtrumenta fallaciter decipiunt: dum aliud quid eſſe quàm ſunt putantur. Liceret adhuc accuratiore diſquiſitione ſermonem dilatare per ea quę cùm ſint diuerſi generis inter ſe, ex aliquo tamen eorum accidentium quæ rem conſequuntur, alterum alteri ſimile eſſe exiſtimatur. Nunquid Eunomius talem quandam ſimilitudinis ſpeciem iactitat in filio? Sed nón B eò amentiæ & inſaniæ venerit, vt fallacem & fraudulentam ſimilitudinem in veritate contempletur? Rurſus aliam ſimilitudinem in diuinitus inſpirata ſcriptura didicimus ab eo qui dixit, Faciamus hominem ad imaginem noſtram & ſimilitudinem. Sed non opinor Eunomium in filio & patre hanc ſimilitudinis ſpeciem conſiderare, vt eundem cum homine vnigenitum Deum eſſe pronuntiet. Scimus etiam aliam ſimilitudinis ſpeciem, quam in mundi creatione de Seth ſermo affirmat: Genuit Adam Seth C ad imaginem & ſimilitudinem ſuam; quam quidem ſi dicit Eunomius, non eius orationem repudiandam eſſe cenſemus. Hic enim neque natura eorum quæ inter ſe ſimilitudine conueniunt differt, & character & ſpecies communionem habent. Hæc & talia ſunt, quæ de ſimilium differentia & diſcrimine nos intelleximus. videamus igitur, ad quid reſpiciens Eunomius, eximiam illam ſimilitudinem cum Patre attribuit Filio, dicens: [Similem eſſe ei qui genuit eximia quadam ſimilitudine & propria notione, non vt patri patrem, non enim ſunt duo patres.] Hanc per excel- D lentiam ſimilitudinem filij cum patre oſtendere pollicitus, quomodo non conuenit intelligere ipſum ſimilem, ſermone aſtruit, cùm enim dixit quod non vt pater patri ſimilis eſt, aſtruxit verbo, quòd non ſit ſimilis. Et rurſus cùm adiecit quod neque ſicut ingenito ingenitus, propterea negauit in filio cum patre ſimilitudinem: deinde ſubiungens quòd neque vt filio filius, tertium induxit intellectum, quo prorſus rationem ſimilis peruertit. Hic igitur proprias rationes ſequitur, demonſtrationem ſimilis

Gen. 1.

Gen. 5.

per conſtructionem diſſimilis faciens. Eius autem ſapiens & ſimplex dictum examinemus, quod determinationibus demonſtrat. Filium enim Patri ſimilem eſſe cùm dixit, tutum reddit auditum, non oportere ſicut Patrem patri filium ſimilem eſſe intelligere. Quis autem ſic inter homines ſtupidus & intelligentiæ expers, vt filium patri ſimilem eſſe cùm didicerit, ad patris cum patre ſimilitudinem adducatur? Neque ſicut filio filium, inquit. Rurſus eandem vim habet in hoc termino eius ſubtilitas. Patri filium ſimilem eſſe cùm dixit, non oportere ſicut cum filio alio ſimiliter ſe habere determinat. Hæc ſunt grauium Eunomij decretorum myſteria, quibus eius fiunt diſcipuli aliis ſapientiores. Cùm didicerunt quod patri filius ſimilis, filio ſimilis non eſt. Non eſt enim filius pater: Neque ſicut ingenito ingenitus. non enim eſt filius ingenitus. Myſterium autem quod eſt ſecundum nos, cùm patrem dixerit, filij patrem omnino iubet intelligere: & cùm filium nominarit, patris filium docet intelligere. Neque adhuc hac ſuperuacanea ſapientia indiguimus. Ita vt per patrem & filium, duos patres & duos filios ſupponat, tanquam ingenitorum dualitatem. Quid autem velit circa ingenitum tantum Eunomij ſtudium, ſæpe quidem iam declaratum eſt: & nunc iterum paucis dicetur. Cùm enim patris ſignificatio nullam cum filio differentiam ſecundum naturam demonſtret, ſi ad hæc vſque ſermonem inhibuiſſet, nullam vim habuiſſet impietas: quia naturalis horum nominum notitia non admittit quod eſt ſecundum eſſentiam alienum. Nunc autem ingenitum & genitum dicens, ſiquidem horum nominum inter ſe immediata eſt contrarietas, ſicut mortalis & immortalis, & rationaliũ & irrationalium, & omnium quæ ſimili modo enunciantur, quæcunque per ſignificata contraria inter ſe oppoſuerimus: per hæc nomina viam blaſphemiæ & impiæ linguæ patefecit: ita vt eam quæ eſt mortalis ad immortale differētiam in genito ad ingenitum contemplemur. Et quemadmodum alia eſt mortalis alia immortalis natura, & rationalis atque irrationalis proprietates ſecundum eſſentiam congruere nullo modo poſſunt, ſed maximè diſſident:

A ἀπόδειξιν διὰ τῆς κατασκευῆς τοῦ ἀνομοίου ποιούμενος. ἐξετάσωμεν δὲ τὸ σοφὸν αὐτοῦ καὶ ἁπλοῦν, ὃ τοῖς διορισμοῖς ἐπιδείκνυται. υἱὸν γὰρ πατρὶ ὅμοιον εἶναι εἰπὼν, ἀσφαλίζεται τὴν ἀκοὴν, μηδὲν ὡς πατέρα πατρὶ τὸν υἱὸν ἐοικέναι νοεῖν. τίς δὲ οὕτως ἐν ἀνθρώποις ἀνόητος, ὥστε υἱὸν ὅμοιον τῷ πατρὶ μαθὼν εἶναι, εἰς τὴν πατρὸς πρὸς τὸν πατέρα ὁμοιότητα τοῖς λογισμοῖς ἐνάγεσθαι; οὐδὲ ὡς υἱῷ, φησὶ, υἱόν. πάλιν τὸ ἴσον ἐν τῷ διορισμῷ ἡ δριμύτης ἔχει. πατρὶ υἱὸν ὅμοιον εἶναι εἰπὼν, τὸ μὴ δεῖν ὡς B πρὸς υἱὸν ἄλλον ὁμοίως ἔχειν προσδιορίζεται. ταῦτα τῶν σεμνῶν τῶν Εὐνομίου δογμάτων ἐστὶ τὰ μυστήρια, δι' ὧν σοφώτεροι τῶν ἄλλων οἱ μαθηταὶ αὐτοῦ γίνονται. μαθόντες ὅτι πατρὶ υἱὸς ἐοικὼς, οὐχ υἱῷ ἔοικεν. οὐ γάρ ἐστιν υἱὸς πατήρ· οὐδὲ ὡς ἀγεννήτῳ ἀγέννητος. οὐ γὰρ ἀγέννητός ἐστιν ὁ υἱός. τὸ δὲ καθ' ἡμᾶς μυστήριον, ὅταν πατέρα εἴπῃ, υἱοῦ πατέρα πάντως διακελεύεται, καὶ ὅταν υἱὸν ὀνομάσῃ, πατρὸς υἱὸν διδάσκει νοεῖν. καὶ οὐδὲν τῆς περιττῆς ταύτης σοφίας μέχρι καὶ νῦν ἐδεήθημεν. ὥστε δὲ C πατρὸς καὶ υἱοῦ, δύο πατέρας ἢ δύο υἱοὺς ὑποτίθεσθαι, ὡς ἀγεννήτων δυάδα. τί δὲ βούλεται ἡ πολλὴ περὶ τὸ ἀγέννητον τοῦ Εὐνομίου σπουδὴ, πολλάκις μὲν ἤδη δεδήλωται· καὶ νῦν δὲ πάλιν δι' ὀλίγων εἰρήσεται. τῆς γὰρ τοῦ πατρὸς σημασίας, μηδεμίαν πρὸς τὸν υἱὸν διαφορὰν κατὰ τὴν φύσιν ἐνδεικνυμένης, εἰ μέχρι τούτων τὸν λόγον ἔστησεν, οὐκ ἂν εἶχεν ἰσχὺν ἡ ἀσέβεια, τῆς φυσικῆς τῶν ὀνομάτων ἐννοίας οὐ παραδεχομένης τὸ κατ' οὐσίαν ἀλλότριον. νῦν δὲ ἀγέννητον καὶ γεννητὸν λέγων, ἐπειδὴ ἄμεσός D ἐστι πρὸς ἄλληλα τῶν ὀνομάτων τούτων ἡ ἐναντίωσις, ὡς θνητοῦ καὶ ἀθανάτου, καὶ λογικῶν, καὶ ἀλόγων, καὶ πάντων τῶν ὁμοιοτρόπως ἐκφωνουμένων. ὅσα διὰ τῶν κατὰ τὸ ἐναντίον σημαινομένων ἀλλήλοις ἀντικαθέστηκεν, ἔδωκεν ὁδὸν τῇ βλασφημίᾳ διὰ τῶν ὀνομάτων τούτων· ὥστε τὴν τοῦ θνητοῦ πρὸς τὸ ἀθάνατον διαφορὰν ἐν τῷ γεννητῷ πρὸς τὸ ἀγέννητον ἐνθεωρῆσαι. καὶ ὥσπερ ἄλλη τοῦ θνητοῦ καὶ ἄλλη τοῦ ἀθανάτου ἡ φύσις, καὶ τοῦ λογικοῦ καὶ τοῦ ἀλόγου ἀσύμβατα κατὰ τὴν οὐσίαν ἐστὶ τὰ ἰδιώματα, οὕτω βούλεται

ἄλλην

ἄλλην μὲν τοῦ ἀγεννήτου κατασκευάσαι τὴν φύσιν, ἄλλην δὲ τὴν τοῦ γεννητοῦ. ἵνα ὥσπερ ὑποχείριος τῇ λογικῇ ἡ ἄλογος φύσις δεδημιούργηται, οὕτως διὰ φυσικῆς ἀνάγκης ὑπεζευγμένον τῷ ἀγεννήτῳ τὸ γεννητὸν ἐπιδείξῃ. διὰ συνάπτει τῷ ἀγεννήτῳ τὸ τοῦ παντοκράτορος ὄνομα, ὃ οὐκ εἰς προνοητικὴν ἐνέργειαν ὡς παραλαβὼν ὁ λόγος ὑπέδειξεν, ἀλλ' εἰς τυραννικὴν ἐξουσίαν μεταλαμβάνει τὴν ἑρμηνείαν τοῦ παντοκράτορος. ὡς μέρος τῆς ἀρχομένης τε καὶ ὑποχειρίου φύσεως, καὶ τὸν υἱὸν ποιῆσαι μετὰ πάντων δουλεύοντα τῷ διὰ τῆς τυραννικῆς ἐξουσίας κρατοῦντι, κατὰ τὸ ἴσον τῶν πάντων, καὶ ὅτι πρὸς τοῦτο βλέπων ταῖς τοιαύταις χρῆται τοῦ λόγου διαστολαῖς, ἐκ τῶν ὑποκειμένων σαφηνισθήσεται. Εἰπὼν γάρ, ἐκεῖνα τὰ σοφά τε καὶ περιεσκεμμένα, ὅτι οὔτε ὡς πατρὶ ἔοικε πατήρ, οὐδὲ ὡς υἱῷ υἱός. καί τοί γε οὐδεμία ἐστὶν ἀνάγκη ἐοικέναι πάντως πατρὶ πατέρα, καὶ υἱῷ υἱόν· πατὴρ γάρ τις ἐστὶν ἐν Αἰθίοψι, πατὴρ καὶ ἐν Σκύθαις, καὶ υἱὸς ἑκατέρου τούτων, μέλας μὲν ὁ τοῦ Αἰθίοπος, λευκόχροος δὲ καὶ ὑποχρυσίζων κατὰ τὴν κόμην ὁ Σκύθης. καὶ οὐδὲν μᾶλλον διὰ τὸ πατέρα εἶναι ἑκάτερον, οὔτε διὰ τὸν Αἰθίοπα ὁ Σκύθης μελαίνεται, οὔτε διὰ τὸν Σκύθην ἀλλοιοῦται τὸ σῶμα πρὸς τὸ λευκὸν τοῦ Αἰθίοπος. ἀλλ' ὅμως εἰπὼν ταῦτα κατὰ τὸ ἀρέσκον αὐτῷ ὁ Εὐνόμιος, ἐπήγαγεν, ὅτι ὅμοιός ἐστιν ὡς υἱὸς τῷ πατρί. τοῦ δὲ τοιούτου λόγου τὸ κατὰ τὴν φύσιν οἰκεῖον δεικνυμένου· ὡς ἐπὶ τοῦ Σὴθ καὶ τοῦ Αδάμ ἡ θεόπνευστος μαρτυρεῖ διδασκαλία· μικρὰ φροντίσας ὁ δογματιστὴς τῶν συνετῶν ἀκροωμένων, τὴν κενὴν ἐπήγαγεν ἑρμηνείαν τῆς τοῦ υἱοῦ προσηγορίας, εἰκόνα καὶ σφραγῖδα τῆς τοῦ παντοκράτορος ἐνεργείας αὐτὸν ὁρισάμενος. υἱὸς γάρ ἐστι, φησίν, εἰκὼν καὶ σφραγὶς τῆς τοῦ παντοκράτορος ἐνεργείας. αὐτό μοι τοῦτο πρῶτον ὁ ἔχων ὦτα ἀκούειν ἐπισκεψάσθω. τίς ἐστιν ἡ τῆς ἐνεργείας σφραγίς; πᾶσα γὰρ ἐνέργεια ἐν

A ſic vult Eunomius aliam quidem ingeniti conſtituere naturam, aliam verò geniti. Vt quemadmodum rationali ſubdita mancipatáque irrationalis natura creata eſt: ſic naturali neceſſitate ingenito genitum ſubiugatum & addictum demonſtret. Quocirca ingenito nomen omnipotentis copulat, quod non ad prouidendi operationem ſicut præcepta occaſione oratio demonſtrauit; ſed omnipotentis interpretationem in tyrannicam poteſtatem transfert. Ita vt partem naturæ ſubiectæ & mancipatę etiam filium faciat cum omnibus creaturis ſer- B uientem ei qui tyrannica poteſtate æqualiter omnibus imperat. Quòd autem ad hoc reſpiciens talibus vtitur verborum diſtinctionibus, ex ſubiectis poſtea manifeſtabitur. Cùm enim illa docta & conſiderata protulit, quòd neque ſicut patri ſimilis videtur pater: neque ſicut filio filius (quanquam nulla neceſſitas cogit dicere prorſus patri patrem ſimilem videri, & filio filium. Pater enim aliquis eſt inter Æthiopes: pater etiam inter Scythas; horum vtriuſque filius, niger quidem filius Æthiopis, C albicolor verò & comam ſubauream habens Scytha. Et nihilo magis quia pater ſit vterque, neque propter Æthiopem, Scytha nigreſcit, neque propter Scytham corpus Æthiopis albeſcit.) Verumtamen cùm hæc dixiſſet Eunomius, ſicut ei placuit, ſubiunxit, quod ſimilis eſt ſicut filius patri. Sed cùm eiuſmodi ratio ſimilitudinis, quod ſecundum naturam eſt proprium demonſtret, ſicut in Seth & in Adamo diuinitus inſpirata teſtatur doctrina: parui faciens & pro nihilo habens dogmatiſta intelligentes auditores, inanem ſubiunxit appellatio- D nis filij interpretationem, ipſum imaginem & ſigillum omnipotentis operationis definiendo. [Filius enim eſt, inquit, imago & ſigillum operationis ſiue efficaciæ omnipotentis.] Hoc ipſum primùm qui aures audiendi habet conſideret. Quódnam eſt illud operationis ſigillum? Omnis enim operatio in eo

E

qui elaborat, id quod elaboratur, ſpectat. A Cùm autem quod peragitur, perfectum aut tranſactum fuerit, per ſe non ſubſtat ipſamet operatio: velut curſus operatio quæ fit pedibus, eſt motio, ceſſante motione non amplius in ſeipſa ſubſiſtit ipſa operatio. Idem dici poteſt in omni re quæ ſuſcipitur agenda, vel tractanda, videlicet actionem ipſam ceſſare ſimul cum opera & ſtudio eius qui circa eam laborat: actionem vero ipſam in ſeipſa non ſubſiſtere, ſi neque ſit vllus qui operetur in propoſito ſibi opere & ſtudio, vel ſi is qui elaborat ab opere ceſſauerit. Quid igitur dicit B eſſe per ſeipſam operationem, quæ neque eſt eſſentia, neque character ſiue figura, neque ſubſtantia. Igitur eius quod non ſubſiſtit ipſum ait eſſe ſimulachrum: hoc autem quod non exiſtenti ſimile eſt, neque ipſum omnino eſt: hæc inanium eſt decretorum portentoſa vanitas, credere in id quod non eſt. Quod enim non enti ſimile eſt, non eſt vllo prorſus modo. O Paule, ô Ioannes, ô Euangeliſtarum & Apoſtolorum reliqui cœtus! Quinam virulentas ſuas linguas contra veſtram C vocem exacuunt? Quinam cœleſtibus veſtris tonitribus ranoſas ſuas voces è ſtygia palude excitas obtrudunt? Quid igitur dicit tonitrui filius? In
Ioan. 1. principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum. Quid ille qui poſt illum, vel alius ille
2. Cor. 11. qui intra cœleſtia adyta & ſacraria raptus fuit, qui in paradiſo initiatus, non in vulgus efferenda didicit, Sic
Hebr. 1. inquit, Qui cùm ſit ſplendor gloriæ & figura ſiue expreſſa imago eius ſubſtantiæ. Quid poſt hos dicit ventriloquus iſte? ſigillum, inquit, operationis D omnipotentis, tertium ipſum poſt patrem facit, à non exiſtente illa operatione mediatum, imò verò à non exiſtentia vt libet formatum. Operationis eſt ſigillum ille qui eſt in principio, Verbum Deus, & qui in æternitate principij eorũ quę ſunt inſpicitur, vnigenitus Deus, qui eſt in ſinibus Patris, qui fert vniuerſa ver-
Ioan. 1. bo ſuæ virtutis, qui factor eſt ſeculorum,
Hebr. 1. ex quo omnia, & per quem omnia. Qui
Rom. 11. terræ continet ambitum, qui cœlum
Eſa. 40.

A μετὰ τοῦ ἐκπονοῦντι τὸ σπουδαζόμενον θεωρεῖται. παραιωθέντος δὲ τοῦ σπουδαζομένου, καθ᾽ ἑαυτὴν οὐχ ὑφέστηκεν, οἷον ἐνέργεια τοῦ δρόμου, ἡ διὰ τῶν ποδῶν ἐστὶ κίνησις· παυσαμένης δὲ τῆς κινήσεως, οὐκέτι ἐστὶν ἐφ᾽ ἑαυτῆς ἡ ἐνέργεια. οὕτως καὶ ἐπὶ παντὸς ἐστὶν ἐπιτηδεύματος τὸ ἴσον εἰπεῖν τῇ σπουδῇ τοῦ περί τι ποιοῦντος συναπολήγειν καὶ τὴν ἐνέργειαν· ἐφ᾽ ἑαυτῆς δὲ οὐκ οὖσαν οὔτε ἐνεργοῦντός τινος τὴν προκειμένην ἑαυτοῦ σπουδὴν, οὔτε εἰ τῆς σπουδῆς ἀπολήξειε. B τί οὖν λέγει εἶναι καθ᾽ ἑαυτὴν τὴν ἐνέργειαν, τὴν οὔτε οὐσίαν οὖσαν, οὔτε χαρακτῆρα, οὔτε ὑπόστασιν. οὐκοῦν τοῦ ἀνυποστάτου αὐτὸν εἶπεν ὁμοίωμα· τὸ δὲ τῷ ἀνυπάρκτῳ ὅμοιον, οὐδὲ αὐτὸ πάντως ἐστίν· αὕτη τῶν κενῶν δογμάτων ἡ τερατεία· τὸ πιστεύειν εἰς τὸ μὴ ὄν. τὸ γὰρ μὴ τῷ ὄντι ὅμοιον, οὐκ ἔστι πάντως. ὦ Παῦλε, καὶ Ἰωάννη, καὶ ὁ λοιπὸς τῶν εὐαγγελιστῶν τε καὶ τῶν ἀποστόλων χορός· τίνες τῇ ἡμετέρᾳ φωνῇ τὰς C ἰοβόλους γλώσσας ἑαυτῶν ἀνθοπλίζουσι; τίνες ταῖς οὐρανίαις ὑμῶν βρονταῖς τὰς βατραχώδεις ἑαυτῶν φωνὰς ἀντηχήσουσι; τί οὖν λέγει ὁ υἱὸς τῆς βροντῆς; ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. τί δὲ ὁ μετ᾽ ἐκεῖνον, ἄλλος ἐκεῖνος, ὁ ἐντὸς τῶν οὐρανίων ἀδύτων γενόμενος, ὁ ἐν τῷ παραδείσῳ μυηθεὶς τὰ ἀπόρρητα, ὢν, φησιν, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. τί μετὰ τούτους D λέγει ὁ ἐγγαστρίμυθος, σφραγὶς, φησι, τῆς ἐνεργείας τοῦ παντοκράτορος, τρίτον αὐτὸν μετὰ τὸν πατέρα ποιεῖ, τῇ ἀνυπάρκτῳ ἐκείνῃ ἐνεργείᾳ μεσιτευόμενον· μᾶλλον δὲ πρὸς τὸ δοκοῦν τῇ ἀνυπαρξίᾳ τυπούμενον. ἐνεργείας ἐστὶ σφραγὶς ὁ ἐν ἀρχῇ ὢν, λόγος Θεός, καὶ τῇ ἀϊδιότητι τῆς ἀρχῆς τῶν ὄντων ἐνθεωρούμενος, ὁ μονογενὴς Θεός, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, ὁ τὰ σύμπαντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ὁ ποιητὴς τῶν αἰώνων, ἐξ οὗ τὰ πάντα, καὶ δι᾽ οὗ τὰ πάντα. ὁ κατέχων τὸν γῦρον τῆς γῆς, ὁ διειληφὼς τὸν

οὐρανὸν σπιθαμῇ, ὁ περιμετρῶν τῇ χειρὶ τὸ ὕδωρ, ὁ περιδεδραγμένος πάντων τῶν ὄντων, ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν, μᾶλλον δὲ ἐπιδὼν, ἵνα ποιήσῃ πᾶσαν τὴν οἰκουμένην ἑαυτοῦ ὑποπόδιον, τοῖς ἴχνεσι τοῦ λόγου ἐντυπωθεῖσαν, ἐνεργείας ἐστὶ σφραγὶς, ἡ μορφὴ τοῦ Θεοῦ. οὐκοῦν ἐνέργειά ἐστιν ὁ Θεὸς, οὐχ ὑπόστασις. καὶ μὴν αὐτὸ τοῦτο διερμηνεύων φησὶν ὁ Παῦλος, ὅτι χαρακτήρ ἐστιν οὐ τῆς ἐνεργείας, ἀλλὰ τῆς ὑποστάσεως· ἢ τὸ τῆς δόξης ἀπαύγασμα σφραγίς ἐστιν ἐνεργείας Θεοῦ. ὢ τῆς ἀσεβοῦς ἀμαθίας· τί μέσον ἐστὶ τοῦ Θεοῦ καὶ τῆς ἀϊδίου μορφῆς; τίνι δὲ μεσιτεύεται πρὸς τὸν χαρακτῆρα ἑαυτῆς ἡ ὑπόστασις; τί δὲ μεταξὺ νοεῖται τῆς δόξης καὶ τοῦ ἀπαυγάσματος; ἀλλὰ τοιούτων ὄντων καὶ τοσούτων, δι' ὧν τὸ μεγαλεῖον ἀνακηρύσσεται τοῦ δεσπότου τῆς κτίσεως, παρὰ τῶν πεπιστευκότων τὸ κήρυγμα. εἶτα περὶ αὐτοῦ διεξέρχεται ὁ τῆς ἀποστασίας πρόδρομος, τί λέγει; ὡς εἰκόνα, φησὶ, καὶ σφραγῖδα πάσης τῆς τοῦ παντοκράτορος ἐνεργείας καὶ δυνάμεως. πῶς παραγράφεται τὰς τοῦ μεγάλου Παύλου φωνάς· ἐκεῖνος, φησὶν, ὅτι Θεοῦ δύναμίς ἐστιν ὁ υἱὸς, οὗτος δὲ αὐτὸν σφραγῖδα λέγει δυνάμεως, οὐχὶ δύναμιν. καὶ πάλιν ἐπαναλαβὼν τὸν λόγον, οἷα τοῖς εἰρημένοις προστίθησιν; σφραγῖδα λέγει τῶν τοῦ πατρὸς ἔργων καὶ βουλευμάτων. ποίοις ἔργοις τοῦ πατρός ἐστιν ὅμοιος; τὸν κόσμον πάντως ἐρεῖ, καὶ τὰ ἐν αὐτῷ πάντα· ἀλλὰ μὴν πάντα ταῦτα, τοῦ μονογενοῦς ἔργα εἶναι τὸ εὐαγγέλιον ἐμαρτύρησε. ποίοις τοίνυν ἔργοις τοῦ πατρὸς ὁμοιώθη; τίνων ἐγένετο ἔργων σφραγίς. ποία δὲ γραφὴ σφραγῖδα τῶν πατρικῶν ἔργων αὐτὸν προσηγόρευσεν; εἰ δέ τις αὐτῷ καὶ τοῦτο δοίη, τὸ πλάττειν λόγους κατ' ἐξουσίαν ὡς βούλεται· κἂν ἡ γραφὴ μὴ συντίθεται. εἰπάτω ποῖα τοῦ πατρός ἐστιν ἔργα τῶν παρὰ τοῦ υἱοῦ γεγονότων κεχωρισμένα, ὧν σφραγῖδα λέγει τὸν υἱὸν γεγενῆσθαι; ἔργα τοῦ λόγου τὰ ὁρατὰ πάντα καὶ τὰ ἀόρατα· ἐν τοῖς ὁρωμένοις ὁ κόσμος ὅλος καὶ τὰ ἐν αὐτῷ πάντα, ἐν τοῖς ἀοράτοις ἡ ὑπερκόσμιος κτίσις. ποῖα τοίνυν

A palmo comprehendit, qui manu metitur aquam, qui omnia quæ ſunt complexus eſt, qui in excelſis habitans humilia reſpicit, imò vero intuitus eſt, vt omnem terræ orbem ſibiipſi ſcabellum faciat, Verbi veſtigiis impreſſum. Operationis eſt ſigillum, Dei forma. Igitur Deus eſt operatio, non ſubſtantia. Atqui D. Paulus hoc ipſum interpretans, ait, character eſt, id eſt, expreſſa imago, non operationis ſed ſubſtantiæ: vel gloriæ ſplendor ſigillum eſt operationis Dei. O impiam inſcitiam! Quidnam eſt medium inter Deum & æternam

Eſa. 66.

Hebr. 1.

B formam? A quo autem mediatur ad characterem ſuiipſius ſubſtantia? Quidnam intelligitur interiectum inter gloriam & ſplendorem? Sed cùm tot & talia ſint, per quæ magnificum Domini creaturæ ab his qui crediderunt prædicatur præconium. Qualia percurrit de eo defectionis procurſor, quid dicit? [tanquam imaginem, inquit, & ſigillum omnis operationis & virtutis omnipotentis.] Quomodo magni Pauli voces perperam tranſcribit, Ille, ait, quod Dei virtus ſiue potentia eſt filius, hic ipſum ſigillum virtutis autumat,

C non virtutem. Ac rurſus repetito ſermone, qualia his quæ dicta iam fuerunt addit? [Sigillum patris operum & verborum & conſiliorum.] Quibus operibus patris eſt ſimilis? mundum proculdubio dicet, & quæ in ipſo ſunt omnia. Verumtamen hæc omnia vnigeniti eſſe opera Euangelium teſtatur. Quibus igitur patris operibus ſimilis factus eſt? quorum operum factus eſt ſigillum. Quæ autem ſcriptura ipſum paternorum operum ſigillum nomina-

D uit? Quòd ſi quis hoc etiam Eunomio dederit, fingere ſermones ad libitum prout ipſe voluerit: etiamſi ſcriptura non concedat, dicat quæſo quænam patris ſunt opera ab his quæ ſunt à filio facta ſeparata, quorum ſigillum dicit filium fuiſſe? Opera verbi omnia aſpectabilia & inaſpectabilia: in his quæ ſub aſpectum cadunt, totus mundus & quæ in ipſo continentur omnia: in his quæ ſenſum oculorum effugiunt, omnis ſupermundialis creatura. Quænam igitur

reſtant extra ea quæ conſpiciuntur, & quæ non oculis cernuntur patris opera in ſeipſis ſpectata, quorum Dei filium autumat fuiſſe ſigillum? An fortaſſe iterum ad graueolentem hæreſeos vomitum redibit in arctum coarctatus, & dicet filium eſſe opus patris? quomodo igitur ſigillum horum operum efficitur filius? Ipſe cùm ſit, vt aſſerit, opus, an eundem dicit, etiam opus & operis ſimulachrum? hæc dentur: dicat reliqua opera quorum fabricatorē & opificem patrem affirmat, quibus fuit filius aſſimilatus: ſiquidem per ſigillum intelligit ſimulachrum. Quænam alia verba patris nouit Eunomius præter illud quod in patre ſemper eſt Verbum, quod ſigillum nominat propriè & verè primitus quod eſt & nominatur Verbum. Ad quæ autem conſilia reſpicit à Dei ſapientia ſeparata ac diuulſa, quibus fit ſimilis Dei ſapientia, facta Dei conſiliorum ſigillum. videte indigeſtam atque inconſideratam fecem & colluuiem orationis. Quale conſtruit myſterium? Neque quæ dicit ſciens, neque de quo verba facit. Qui enim totum habet in ſeipſo patrem, & qui totus eſt in patre, vt Verbum & Sapientia & virtus, & veritas & character & ſplendor; ipſe eſt in patre omnia: cùm non alia in patre ante ipſum opera conſpiciantur, hic imago eſt factus & ſigillum & ſimulachrum. Deinde ei gratificatur hominum abolitionem per aquam quæ Noë temporibus accidit. Et eum qui in Sodomos ingruit igneum imbrem, atque Ægyptiorum iuſtam pœnam & ſupplicium, vt magna quædam attribuit ei qui manu terræ fines continet, in quo omnia conſtant, quemadmodum affirmat Apoſtolus. velut neſciens quod ei qui omnia complectitur, & ad id quod ſibi placet agit, & fert, & quæ iam facta, & quæ ſunt futura, non tantum faciunt additamentum gloriæ, duo vel tria commemorata miracula, quantum detrimentum & damnum reliquorum ſilentium. Sed quæ ſilentio prætereuntur, vox vna D. Pauli compræhenſiuè per ſe ſatis poterit demonſtrare, quæ ipſum aſſerit, & per omnia & in omnibus. Deinde, inquit,] Legem fert ſecundum Dei æterni mandatum.]

A ἀπολείπεται ἔξω τῶν ὁρωμένων τι, καὶ ἀοράτων ἔργα τοῦ πατρὸς ἐφ' ἑαυτῶν θεωρούμενα, ὧν σφραγῖδα λέγει τὸν υἱὸν γεγενῆσθαι; ἢ τάχα πάλιν ἐπὶ τὸν δυσώδη τῆς αἱρέσεως ἔμετον ἐπανήξει στενοχωρούμενος. καὶ λέξει ἔργον εἶναι τοῦ πατρὸς τὸν υἱόν; πῶς οὖν σφραγὶς γίνεται τῶν ἔργων τούτων ὁ υἱὸς αὐτὸς ὢν ὥς φησιν αὐτὸς, τὸ ἔργον, ἢ τὸν αὐτὸν λέγει καὶ ἔργον, καὶ ἔργου ὁμοίωμα; δεδόσθω ταῦτα· εἰπάτω τὰ λοιπὰ ἔργα, ὧν λέγει δημιουργὸν τὸν πατέρα, οἷς ὁ υἱὸς ὡμοιώθη· εἴπερ διὰ τῆς σφραγῖδος νοεῖ τὸ
B ὁμοίωμα. ποίους δὲ λόγους ἄλλους τοῦ πατρὸς οἶδεν ὁ Εὐνόμιος, παρὰ τὸν ἀεὶ ἐν τῷ πατρὶ ὄντα λόγον, ὃν σφραγῖδα ὀνομάζει τὸν κυρίως καὶ ἀληθῶς καὶ πρώτως ὄντα τε καὶ ὀνομαζόμενον λόγον. πρὸς ποῖα δὲ βουλεύματα βλέπει τῆς τοῦ Θεοῦ σοφίας κεχωρισμένα, οἷς ὁμοιοῦται ἡ τοῦ Θεοῦ σοφία, σφραγὶς γενομένη τῶν βουλευμάτων. ὁρᾶτε τὸ ἀδιάκριτον καὶ ἀπερίσκεπτον καὶ συρφετὸν τοῦ λόγου. οἷα τοῦ μυστηρίου κατασκευάζει; μήτε ἃ λέγει ἐπιστάμενος, μήτε περὶ τί-
C νος ποιεῖ τὸν λόγον. ὁ γὰρ ὅλον ἔχων ἐν ἑαυτῷ τὸν πατέρα, καὶ ἐν τῷ πατρὶ ὅλος ὤν. ὡς λόγος καὶ σοφία καὶ δύναμις, καὶ ἀλήθεια καὶ χαρακτὴρ καὶ ἀπαύγασμα, αὐτὸς ἐστὶν ἐν τῷ πατρὶ τὰ πάντα· οὐκ ἄλλων τινῶν ἐν τῷ πατρὶ πρὸ αὐτοῦ θεωρουμένων. εἰκὼν γενόμενος καὶ σφραγὶς καὶ ὁμοίωμα. εἶτα χαρίζεται αὐτῷ τὸν ἐπὶ Νῶε δι' ὕδατος τῶν ἀνθρώπων ἀφανισμὸν, καὶ τὴν ἐν Σοδόμοις τοῦ πυρὸς ἐπομβρίαν, καὶ τὴν Αἰγυπτίων τὴν ἔνδικον τιμωρίαν, ὥς τινα μεγάλα προσ-
D μαρτυρῶν τῷ ἐν τῇ χειρὶ ἔχοντι τὰ πέρατα τῆς οἰκουμένης, ἐν ᾧ τὰ πάντα συνέστηκε, καθώς φησιν ὁ ἀπόστολος. ὥσπερ οὐκ εἰδὼς ὅτι τῷ περιέχοντι τὰ πάντα, καὶ πρὸς τὸ δοκοῦν ἄγοντί τε καὶ φέροντι, τά τε ἤδη γεγενημένα, καὶ τὰ ἐσόμενα, οὐ τοσοῦτον προσθήκην ποιεῖ τῆς δόξης, δύο, ἢ τρία μνημονευθέντα θαύματα, ὅσον ἀφαίρεσιν καὶ ζημίαν ἡ τῶν λοιπῶν σιωπή. ἀλλὰ καὶ τούτων σιωπωμένων, ἀρκεῖ ἡ μία τοῦ Παύλου φωνὴ περιληπτικῶς τὰ πάντα δι' ἑαυτῆς ἐνδείξασθαι, ἢ ἐπὶ πάντων αὐτὸν λέγουσα, καὶ διὰ πάντων καὶ ἐν πᾶσιν. εἶτα νομοθετεῖ, φησὶ, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ.

τίς ὁ αἰώνιός ἐστι Θεός; καὶ τίς ὁ ὑπουργῶν αὐτῷ περὶ τὴν τοῦ νόμου θέσιν; ἀλλὰ παντὶ δῆλον τοῦτό ἐστιν, ὅτι διὰ Μωϋσέως νομοθετεῖ ὁ Θεὸς τοῖς δεχομένοις τὸν νόμον. αὐτοῦ δὲ τοῦ Εὐνομίου τὸν μονογενῆ Θεὸν εἶναι ὁμολογοῦντος, τὸν Μωϋσῇ χρηματίζοντα. πῶς ὁ παρὼν αὐτοῦ λόγος εἰς τὴν τοῦ Μωϋσέως τάξιν τὸν τοῦ παντὸς δεσπότην ἀντικαθίστησιν; τὸ δὲ τοῦ αἰωνίου Θεοῦ σημαινόμενον, τῷ πατρὶ ἀνατίθησι μόνῳ. ὡς τῇ πρὸς τὸν αἰώνιον διαστολῇ, μὴ αἰώνιον ἀλλὰ πρόσφατον μονογενῆ Θεὸν ἀποδείκνυσθαι, τὸν ποιητὴν τῶν αἰώνων. ἀλλὰ καὶ ἐπιλελῆσθαί μοι δοκεῖ ὁ φιλομαθής τε καὶ μνήμων, ὅτι πάντα ταῦτα περὶ ἑαυτοῦ ὁ Παῦλός φησι, διαγγέλλων ἐν τοῖς ἀνθρώποις τοῦ εὐαγγελίου τὸ κήρυγμα, καθ' ἐπιταγὴν τοῦ Θεοῦ. ἃ τοίνυν περὶ ἑαυτοῦ διεξέρχεται ὁ ἀπόστολος, ταῦτα ὁ Εὐνόμιος τῷ δεσπότῃ τῶν προφητῶν τε καὶ ἀποστόλων ἀνατιθεὶς οὐκ αἰσχύνεται, ἵνα ὁμότιμον καταστήσῃ τῷ Παύλῳ τῷ ἰδίῳ δούλῳ, τὸν κύριον. καὶ τί με χρὴ τὰ καθ' ἕκαστον διελέγχοντα, πλῆθος ἐπεισάγειν τῷ λόγῳ. ἐν οἷς ὁ μὲν ἁπλούστερον ἐντυγχάνων τοῖς παρ' αὐτοῦ γεγραμμένοις, οἰήσεται τὰ συγκεχωρημένα παρὰ τῆς γραφῆς αὐτὸν λέγειν· ὁ δὲ ἐξεταστικῶς ἕκαστον ἀναπτύσσειν δυνάμενος, ἀποδείξει μηδὲν τῆς αἱρετικῆς κακουργίας κεχωρισμένα. λέγει γὰρ καὶ ὁ ἐκκλησιαστικὸς καὶ ὁ αἱρετικός, ὅτι ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ. νοεῖ δὲ οὐχ ὁμοίως τὸ εἰρημένον ἑκάτερος. διὰ γὰρ τῶν αὐτῶν ῥημάτων ὁ μὲν ἐκκλησιαστικὸς τὴν ἐπὶ πάντων ἐξουσίαν νοεῖ. ὁ δὲ κατασκευάζει τὸ ἐνδεές τι καὶ ὑποχείριον. ἀλλ' ἐκεῖνο χρὴ προσθεῖναι τοῖς εἰρημένοις, ὥσπερ κρηπῖδα τινὰ ποιοῦνται τῆς ἀσεβείας, ἐν τῷ περὶ τῆς οἰκονομίας λόγῳ· οὐχ ὅλον ἄνθρωπον παρ' αὐτοῦ σεσῶσθαι διοριζόμενοι, ἀλλὰ τὸ τοῦ ἀνθρώπου ἡμίτομον· τὸ σῶμα λέγω. ὁ δὲ σκοπός ἐστιν αὐτοῖς τῆς τοιαύτης περὶ τὸ δόγμα κακουργίας, τὸ δεῖξαι τὰς ταπεινοτέρας φωνάς, ἃς ἐκ τοῦ ἀνθρωπίνου ποιεῖται ὁ κύριος, παρ' αὐτῆς τῆς θεότητος γεγενῆσθαι δοκεῖν, ἵνα διὰ τούτων ἰσχυροτέραν ἀποδείξωσι τὴν βλασφημίαν, δι' αὐτῆς τῆς τοῦ κυρίου ὁμολο-

A Quiſnam æternus eſt Deus? & quis ei ſubminiſtrat in legis latione? Sed cuiuis eſt perſpicuum, quod per Moſem legem fert Deus iis qui legem accipiunt: Cùm autem antea Eunomius fateatur eſſe vnigenitum Deum qui in Moyſe operabatur miracula. quomodo eius præſens ſermo in Moſis ordinem vniuerſi dominum obnixè redigit? æterni verò Dei ſignificatum ſoli patri aſſignat. Ita vt eâ quæ eſt ad æternum differentiâ, non æternum, ſed recentem vnigenitum Deum demonſtret, ſeculorum factorem. verumenimuerò mihi videtur B oblitus eſſe ille diſcendi cupidus, & memor quod hæc omnia de ſeipſo Paulus ait, annuntians hominibus Euangelij præconium ſecundum Dei imperium. Quæ ergo de ſeipſo narrat Apoſtolus, hæc Eunomius Prophetarum & Apoſtolorum domino attribuere non veretur, vt Dominum Paulo ſuo ſeruo honore parem conſtituat. Ecquid neceſſe eſt me ſingula reprehendentem turbam oratione inducere. In quibus qui ſimplicius & oſcitantius in eius ſcripta incidet, ipſum in ſacra ſcriptura dicere C conceſſa exiſtimabit: At qui diligenti examine facto ſingula poteſt perpendere, nulla in re ab hæretica malitia & peruerſitate ſeparata eſſe & differre comperiet: Dicit enim Eccleſiaſticus & hæreticus, quòd pater neminem iudicat, ſed omne iudiciũ dedit filio. At dictum Ioan. 5 hoc vterque non ſimiliter intelligit. Per eadem verba Eccleſiaſticus in omnibus poteſtatem intelligit. hæreticus verò aliquid deficiens & mancipatum ſiue ſubditum conſtruit. Sed illud dictis adjiciendum eſt, quòd velut fundamentum aliquod impietatis in ſermone de diſpenſatione ponunt, non totum D hominem ab ipſa ſeruatum eſſe determinantes, ſed hominis dimidium, corpus intelligo. hic enim malitiæ talis ſcopus in hoc documento ipſis eſt propoſitus, vt voces humiliores oſtendant, quas ex humana natura profert Dominus, vt ab ipſa diuinitate videantur eſſe factæ, vt per has validiorem oſtendant blaſphemiam, per hanc ipſam Domini

confeſſionem confirmatam, huius rei A gratia dicit, [eum qui in nouiſſimis diebus factus eſt homo, non aſſumpſiſſe hominem anima & corpore conſtantem.] Ego verò omnem diuinitus inſpiratam & ſacram Scripturam perſcrutatus hanc hanc vocem ſcriptam non video, quod ſolam carnem abſque anima, in tempore ſecundum hominem diſpenſationis qui omnia fecit in ſeipſum aſſumpſit: neceſſariò igitur ad ſcopum ſalutis noſtræ reſpiciens, & ad patrum decreta, & ad diuinitus afflatas voces conſtructam in hac parte impietatem redarguere conabor. Venit Dominus vt quæreret & ſaluum B faceret quod perierat. perierat autem non corpus ſed totus homo ex anima contemperatus. Et ſi veriùs loquendum eſt ante corpus anima perierat. Nam inobedientia, electionis ſiue voluntatis, non corporis peccatum eſt. Propria eſt autem animæ electio, à qua omnis naturæ calamitas principium habuit. vt verbis teſtatur haudquaquam mendax Dei minitatio. Quòd in quo die prohibitos fructus tetigerint, ſiue cunctatione eſui mors cohærebit. Cùm autem ſit duplex hominis compoſitum, con- C gruenter in vtrumque mors duplicis vitæ munere fungentis ſuo ei qui moritur priuationem operatur, corporis quidem mors eſt, ſenſuum inſtrumentorum extinctio, & in cognata elementa diſſolutio. Anima autem, inquit, quæ peccauerit ipſa morietur. Peccatum autem eſt à Deo alienatio, qui eſt vera ſoláque vita. Multas igitur annorum centurias poſt præuaricationem inſuper vixit protoplaſtus homo, ſed Deus non eſt mentitus cùm dixit, in qua die comederitis morte moriemini. propterea enim quod alienatus fuit & auerſus D ipſe à vera vita: ipſo die firmata & rata fuit aduerſus eum mortis ſententia. Poſtea verò labentibus annis mors corporalis Adamum conſecuta eſt. Qui igitur propter hoc venit, vt quæreret & ſeruaret quod perierat, id quod in parabola paſtor ouem nominat: & inuenit quod perierat. & ſuper humeris ſuis totam aſſumit ouem, non ſolam ouis pellem. vt

Luc. 15. — *Geneſ. 2.* — *Ezech. 18.* — *Luc. 15.*

γίας κρατυνομένην, τούτου χάριν φησί, τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν γενόμενον ἄνθρωπον, οὐκ ἀναλαβόντα τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον. ἐγὼ δὲ πᾶσαν διερευνησάμενος τὴν θεόπνευστόν τε καὶ ἁγίαν γραφήν, οὐχ ὁρῶ ταύτην τὴν φωνὴν ἐγγεγραμμένην, ὅτι μόνην τὴν σάρκα δίχα ψυχῆς, ἐν τῷ καιρῷ τῆς κατὰ ἄνθρωπον οἰκονομίας, ὁ τὰ πάντα ποιήσας εἰς ἑαυτὸν ἀνεδέξατο. ἀναγκαίως οὖν πρός τε τὸν σκοπὸν τῆς σωτηρίας ἡμῶν βλέπων, καὶ πρὸς τὰ δόγματα τῶν πατέρων, καὶ πρὸς τὰς θεοπνεύστους φωνάς, τὴν ἐν τῷ μέρει τούτῳ κατασκευαζομένην ἀσέβειαν διελέγξαι πειράσομαι. ἦλθεν ὁ κύριος ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός. ἀπώλετο δὲ οὐ σῶμα, ἀλλ' ὅλος ὁ ἄνθρωπος ἀπὸ ψυχῆς συγκεκραμένος. καὶ εἰ χρὴ τὸ ἀληθέστερον εἰπεῖν λόγον, τοῦ σώματος ἡ ψυχὴ προαπώλετο. ἡ γὰρ παρακοή, προαιρέσεως οὐ σώματος ἁμαρτία ἐστίν· ἴδιον δὲ ψυχῆς ἡ προαίρεσις, ἀφ' ἧς πᾶσα ἡ τῆς φύσεως συμφορὰ τὴν ἀρχὴν ἔσχεν. ὡς μαρτυρεῖ τοῖς λόγοις, ἡ ἀψευδὴς τοῦ Θεοῦ ἀπειλή. ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ τῶν ἀπηγορευμένων ἅψωνται, ἀνυπερθέτως συναφθήσεται τῇ βρώσει ὁ θάνατος. διπλοῦ δὲ ὄντος τοῦ ἀνθρώπου συγκρίματος, καταλλήλως καθ' ἑκάτερον ἐνεργεῖται ὁ θάνατος, τῆς διπλῆς ζωῆς ἐνεργούσης τῷ νεκρουμένῳ τὴν στέρησιν. σώματος μὲν γάρ ἐστι θάνατος, ἡ τῶν αἰσθητηρίων σβέσις, καὶ ἡ πρὸς τὰ συγγενῆ τῶν στοιχείων διάλυσις. ψυχὴ δέ, φησι, ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται. ἁμαρτία δέ ἐστιν ἡ τοῦ Θεοῦ ἀλλοτρίωσις, ὅς ἐστιν ἡ ἀληθινή τε καὶ μόνη ζωή. οὐκοῦν πολλὰς ἐτῶν ἑκατοντάδας ἐπεβίω μετὰ τὴν παρακοὴν ὁ πρωτόπλαστος, ἀλλ' ὁ Θεὸς οὐκ ἐψεύσατο εἰπών, ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθαι. διὰ γὰρ τοῦ ἀλλοτριωθῆναι αὐτὸν τῆς ὄντως ζωῆς· αὐθημερὸν ἐκυρώθη κατ' αὐτοῦ ἡ τοῦ θανάτου ἀπόφασις. μετὰ ταῦτα δὲ χρόνοις ὕστερον καὶ ὁ σωματικὸς τῷ Ἀδὰμ ἐπηκολούθησε θάνατος. ὁ τοίνυν διὰ τοῦτο ἥκων, ἵνα ζητήσῃ καὶ σώσῃ τὸ ἀπολωλός, ὅπερ ἐν τῇ παραβολῇ ὁ ποιμὴν πρόβατον ὀνομάζει· καὶ εὑρίσκει τὸ ἀπολωλός. καὶ ἀναλαμβάνει ἐπὶ τῶν ἰδίων ὤμων ὅλον τὸ πρόβατον, οὐ μόνην τὴν τοῦ προβάτου δοράν. ἵνα

ἀπάρτιον ποιήσῃ τὸν τοῦ Θεοῦ ἄνθρωπον, διά τε ψυχῆς τε καὶ σώματος ἀνακραθέντα πρὸς τὴν θεότητα. καὶ οὕτως οὐδὲν ἀφῆκε τῆς φύσεως ἡμῶν ὃ οὐκ ἀνέλαβεν ὁ κατὰ πάντα πεπειρασμένος καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. ἡ δὲ ψυχὴ ἁμαρτία οὐκ ἔστιν, ἀλλὰ δεκτικὴ ἁμαρτίας ἐξ ἀβουλίας ἐγένετο, ἣν διὰ τοῦτο ἁγιάζει διὰ τῆς πρὸς ἑαυτὸν ἀνακράσεως· ἵνα τῇ ἀπαρχῇ ὅλον συναγιάσῃ τὸ φύραμα. οὗ χάριν καὶ ὁ ἄγγελος μηνύων τῷ Ἰωσὴφ περὶ τῆς τῶν ἐχθρῶν τοῦ κυρίου ἀπωλείας, φησί· ὅτι τεθνήκασιν οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου. καὶ ὁ κύριος πρὸς τοὺς Ἰουδαίους λέγει, ὅτι ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; ἄνθρωπος δὲ τὸ τοῦ ἀνθρώπου (σῶμα οὐ λέγει), ἀλλὰ τὸ ἐξ ἀμφοτέρων συγκείμενον. καὶ πάλιν φησὶ πρὸς αὐτούς. ὅτι ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; ἐφανέρωσε δὲ τὸ τοῦ ὅλου νόημα, ἐν μὲν τοῖς ἄλλοις εὐαγγελίοις, πρὸς τὸν διὰ τῆς κλίνης ἐν τῷ μέσῳ κεχαλασμένον εἰπών· ἀφέωνταί σου αἱ ἁμαρτίαι, ὅπερ ψυχῆς ἐστιν ἴασις. καὶ ὅτι ἔγειραι καὶ περιπάτει, ὅπερ εἰς τὴν σάρκα βλέπει. ἐν δὲ τῷ κατὰ Ἰωάννην, μετὰ τὸ δοῦναι τὴν ὑγείαν τῷ σώματι· καὶ τὴν ψυχὴν ἐλευθερώσας τῆς ἰδίας νόσου, ἐν οἷς φησὶν, ὅτι ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. ἐντεῦθεν ὁ δι' ἀμφοτέρων τεθεραπευμένος, ἐν ψυχῇ τε λέγω καὶ σώματι. οὕτω γάρ φησι καὶ Παῦλος, ἵνα τοὺς δύο κτίσῃ, ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον. καὶ οὕτως ἐν τῷ καιρῷ τοῦ πάθους προλέγει, τὸ ἑκουσίως ἀποστῆσαι τὴν ἑαυτοῦ ψυχὴν ἀπὸ τοῦ ἰδίου σώματος, λέγων· οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. ἀλλὰ καὶ ὁ προφήτης Δαβὶδ κατὰ τὴν ἑρμηνείαν τοῦ μεγάλου Πέτρου· εἰς αὐτὸν προορώμενος εἶπεν, ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν· οὕτω τοῦ ἀποστόλου Πέτρου τὸ ῥητὸν ἑρμηνεύσαντος, ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς τὸν ᾅδην, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. ἡ γὰρ θεότης καὶ πρὸ τῆς σαρκὸς, καὶ ἐν τῇ σαρκὶ, καὶ μετὰ τὸ πάθος ἀεὶ ὡσαύτως ἔχει, ὃ ἦν τῇ φύσει πάντοτε οὖσα, καὶ εἰς ἀεὶ διαμένουσα. ἐν δὲ

A integrum Dei hominem redderet animo & corpore ad diuinitatem retemperatum. & ita nihil naturæ noſtræ dimiſit, quod non ille aſſumpſerit; qui per omnia tentatus eſt per ſimilitudinem abſque peccato. Anima autem non eſt peccatum, ſed peccati per imprudentiam & conſilij natiuitatem capax facta eſt, quam propterea per temperationem ſiue ad ſeipſum aſſumptionem ſanctificat, vt per primitias totam ſanctificet maſſam. Cuius gratia etiam Angelus Ioſepho inimicorum domini nuntians interitum, ait, quòd mortui ſunt qui quærebant animam pueri. Et Dominus ad Iudæos dicit, quæritis me in- *Matth. 2.*
B terficere, hominem qui veritatem lo- *Ioan. 8.*
cutus ſum vobis? homo autem hominis corpus non dicitur, ſed quod ex ambobus conſtat. Et iterum ad eos dicit, Mihi *Ioan. 7.*
ſuccēletis quia totum hominem ſanum effeci in ſabbatho. Manifeſtauit autem totius hominis notionem, in aliis quidem Euangeliis ad eum qui per lectulum in medium laxatus eſt ſiue demiſſus, cùm dixit, Dimittuntur tibi peccata, quæ animæ eſt ſanatio. Et illud, Surge *Matth. 9.*
& ambula, quod ad carnem reſpicit. Et *Luc. 5.*
in Euangelio ſecundum Ioannem, poſt- *Ioan. 5.*
eaquam corpori ſanitatem dedit, animam etiam à proprio morbo liberauit,
C in quibus dicit, Sanus factus es, noli amplius peccare, ne quid tibi deterius accidat, inde ille vtraque parte curatus fuit, animo & corpore. Sic etiam D. Paulus ait, vt duos crearet in ſeipſo in nouum hominem. Et ſic in tempore paſſionis prædicit, ſuam animam voluntariè à corpore proprio diſcedere, dicens: *Ioan. 10.*
Nullus tollit animam meam à me: ſed ego pono ipſam à meipſo: poteſtatem habeo ponendi animam meā & poteſtatem habeo iterum eam ſumendi. Atque etiam propheta Dauid ſecundum magni Petri interpretationem in ipſum proſpi-
D ciens dixit, Non derelinques animam meam ad infernum, neque dabis ſanctum tuum videre corruptionē. Sic Apo-
ſtolo Petro effatum interpretante, quòd *Act. 2. ex Pſ. 15.*
neque anima eius relicta eſt in inferno: neque caro ipſius vidit corruptionem. Nam diuinitas & ante carnem, & in carne, & poſt paſſionem eodem modo ſe habet, & quod erat naturâ ſemper eſt, & in æternum permanet. In paſ-

ſione autem humanæ naturæ, pro nobis diſpenſationem expleuit, animam ad tempus à corpore diſiungens: ſed à neutro ſeparata eſt, cui ſemel contemperata eſt. Et iterum diſſita copulauit. Ita vt conſequentiam & principium dederit omni humanæ naturæ reſurrectionis à mortuis, vt totum quod eſt corruptibile induat incorruptionem, & quod
1. Cor. 15. mortale eſt, immortalitatem. Primitiis noſtris per temperationem cum Deo in diuinam naturam transformatis. ſicut
Act. 2. dixit Petrus quòd Dominum ipſum & Christum fecit Deus hunc ipſum Ieſum, quem vos cruci ſuffixiſtis, multaque ex Euangeliis ad defenſionem huius opinionis & ſententiæ ſumere poſſumus. Quomodo Dominus per Chriſti humanitatem mundum ſibi ipſi reconcilians, animæ & corpori beneficium ex ſe profectum hominibus diſpertiendo tribuit, volens quidem per animam, attingens vero per corpus. ſed eſſet ſuperuacaneum omnia perſequentem confertam turbam oratione congerere. Illud autem cum dictis adiecero, ad ea
Ioan. 2. quæ deinceps ſequuntur pergam. Diſſoluite templum hoc & intra tres dies excitabo ipſum. Quemadmodum nos per animam & corpus, templum efficimur Dei in nobis habitantis & inambulantis: ſic etiam Dominus templum nominat, quod ex vtroque conflatum eſt, cuius ſolutio animæ à corpore diſ-
Ioan. 1. ſolutionem ſignificat. Quòd ſi Euangelij vocem proferant. Et Verbum caro factum eſt. Quaſi nulla animæ facta commemoratione, caro animæ expers aſſumpta fuerit, diſcant id ſacræ ſcripturæ familiare eſſe parte aliqua totum
Pſal. 64. complecti. Qui enim dixit, Ad te omnis caro veniet, non ſeparatam ab animis carnem, ad iudicem venturam eſſe dicit. Et Iacob cum ſeptuaginta a-
Gen. 49. nimis in Ægyptum deſcendiſſe, ex hi-
Act. 7. ſtoriis qui audimus, etiam carnem cum animis intelligimus. Sic etiam Verbum caro factum totam cum carne humanam naturam aſſumpſit. Vnde & eſurire & ſitire, formidare, extimeſcere, concupiſcere, obdormiſcere, turbari & illacrymari, & quæ ſunt eiuſmodi in eo locum habuerunt, neque enim diuinitas propria natura tales affectus

A τοῦ πάθει τῆς ἀνθρωπίνης φύσεως, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν ἐπλήρωσε, διαζεύξασα τὴν ψυχὴν πρὸς καιρὸν ἐκ τοῦ σώματος. χωρισθεῖσα δὲ οὐδετέρου ᾧ ἅπαξ συνανεκράθη. καὶ πάλιν τὰ διεστῶτα συνάψασα. ὥστε ἀκολουθίαν καὶ ἀρχὴν δοῦναι πάσῃ τῇ ἀνθρωπίνῃ φύσει τῆς ἐκ νεκρῶν ἀναστάσεως. ἵνα τὸ φθαρτὸν ἅπαν ἐνδύσηται ἀφθαρσίαν. καὶ τὸ θνητὸν τὴν ἀθανασίαν. τῆς ἀπαρχῆς ἡμῶν διὰ τῆς πρὸς τὸν Θεὸν ἀνακράσεως, εἰς θείαν φύσιν μεταποιηθείσης· καθὼς εἶπεν ὁ Πέτρος, ὅτι κύ-
B ριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός. τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε, καὶ πολλὰ τοῦ τοιούτου δόγματος, ἐκ τῶν ἁγίων εὐαγγελίων ἔστιν εἰς συμμαχίαν λαβεῖν· πῶς ὁ κύριος τοῦ κατὰ Χριστὸν ἀνθρώπου, τὸν κόσμον ἑαυτῷ καταλλάσσων, ἐπιμερίζει τῇ ψυχῇ τε καὶ τῷ σώματι τὴν παρ' αὐτοῦ γινομένην τοῖς ἀνθρώποις εὐεργεσίαν· θέλων μὲν διὰ τῆς ψυχῆς, ἐφαπτόμενος δὲ διὰ τοῦ σώματος· ἀλλὰ περιττὸν ἂν εἴη πάντα διεξιόντα, ὄχλον ἐπεισάγειν τῷ λόγῳ. ἐκεῖνο δὲ τοῖς εἰρημένοις ἔτι προσθεὶς, πρὸς τὰ ἐφεξῆς μεταβήσομαι, λύσατε
C τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὥσπερ ἡμεῖς διὰ ψυχῆς καὶ σώματος, ναὸς γινόμεθα τοῦ ἐνοικοῦντος ἐν ἡμῖν καὶ ἐμπεριπατοῦντος, οὕτως καὶ ὁ κύριος ναὸν ὀνομάζει τὸ συναμφότερον, οὗ ἡ λύσις τὴν τῆς ψυχῆς ἐκ τοῦ σώματος σημαίνει διάλυσιν. εἰ δὲ προφέρουσι τὴν τοῦ εὐαγγελίου φωνὴν, ὅτι ὁ λόγος σὰρξ ἐγένετο. ὡς μὴ διὰ τὸ μὴ συμμνημονευθῆναι καὶ τὴν ψυχὴν κατασκευάζειν τὸ ἄψυχον ἀνειλῆφθαι τὴν σάρκα, μαθέτωσαν ὅτι συνηθές ἐστι τῇ ἁγίᾳ γραφῇ, τῷ μέρει συμπεριλαμβάνειν τὸ ὅλον. ὁ γὰρ εἰπὼν, ὅτι πρὸς σὲ πᾶσα σὰρξ
D ἥξει. οὐκ ἐχωρισμένην τῶν ψυχῶν τὴν σάρκα λέγει τῷ κριτῇ παραστήσεσθαι. καὶ τὸν Ἰακὼβ ἐν ἑβδομήκοντα πέντε ψυχαῖς ἐπὶ τὴν Αἴγυπτον καταβαίνοντα διὰ τῆς ἱστορίας ἀκούοντες, καὶ τὴν σάρκα μετὰ τῶν ψυχῶν ἐνοήσαμεν. οὕτως οὖν καὶ ὁ λόγος σὰρξ γενόμενος, ὅλην μετὰ τῆς σαρκὸς τὴν ἀνθρωπίνην ἀνέλαβε φύσιν. ὅθεν καὶ τὸ πεινῆν καὶ τὸ διψῆν, καὶ τὸ δειλιᾶν, καὶ τὸ φοβεῖσθαι, καὶ τὸ ἐπιθυμεῖν, καὶ τὸ καθεύδειν, καὶ τὸ ταράττεσθαι, καὶ τὸ δακρύειν, καὶ πάντα τὰ τοιαῦτα γίνεσθαι, ἐν αὐτῷ χώραν εἶχεν. οὔτε γὰρ ἡ θεότης κατὰ τὴν ἰδίαν φύσιν τι τοιοῦτον ἀναδέχεται

πάθος. οὔτε καθ' ἑαυτὴν ἡ σὰρξ ἐν ἐκείνοις γίνεται, μὴ ψυχῆς συνδιαληφθείσης τῷ σώματι. καὶ περὶ μὲν τῆς εἰς τὸν υἱὸν βλασφημίας ταῦτα, ἴδωμεν δὲ καὶ ὅσα περὶ τοῦ ἁγίου πνεύματος διεξέρχεται. μετὰ τοῦτο, πιστεύομεν, φησιν, εἰς τὸν παράκλητον τὸ πνεῦμα τῆς ἀληθείας. ἐγὼ δὲ δῆλον οἶμαι πᾶσιν εἶναι τοῖς ἐντυγχάνουσι, πρὸς ὅτι βλέπων παρατρέπει τὴν ὑπὸ τοῦ κυρίου παραδοθεῖσαν τῆς πίστεως ἔκθεσιν, ἐν τοῖς περὶ τοῦ υἱοῦ καὶ πατρὸς λόγοις. τῆς ἀτοπίας ταύτης ἀπελεγχθείσης, ὅμως δὲ καὶ νῦν δι' ὀλίγων τὸν σκοπὸν αὐτοῦ τῆς κακουργίας φανερὸν καταστῆσαι πειράσομαι. ὡς γὰρ ἐκεῖ πατέρα οὐκ εἶπεν, ἵνα μὴ τῇ ἀϊδιότητι τοῦ πατρὸς τὸν υἱὸν συνενδείξηται, οὐδὲ τὸν υἱὸν ὠνόμασεν, ἵνα μὴ τὴν κατὰ τὴν φύσιν οἰκειότητα τῇ φωνῇ ταύτῃ συμπαραστήσῃ, οὕτω καὶ νῦν οὐ λέγει πνεῦμα ἅγιον, ἵνα μὴ τὸ μεγαλεῖον τῆς δόξης αὐτοῦ καὶ τὸ κατὰ πάντα ἡνωμένον πατρί τε καὶ υἱῷ διὰ τοῦ ὀνόματος τούτου συνομολογήσῃ. ἐπειδὴ γὰρ τῷ πατρὶ καὶ τῷ υἱῷ, κατὰ τὸ ἴσον ἥ τε τοῦ πνεύματος, καὶ ἡ τοῦ ἁγίου κλῆσις παρὰ τῆς γραφῆς ἐφαρμόζεται. πνεῦμα γὰρ ὁ Θεός, καὶ πνεῦμα πρὸ προσώπου ἡμῶν Χριστὸς κύριος, καὶ ἅγιος κύριος ὁ Θεός, καὶ εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστός. ἵνα μή τις γένηται τοῖς ἀκούουσιν ἁγίου πνεύματος εὐσεβὴς διὰ τούτων ὑπόληψις, ἡ διὰ τὸ κοινωνεῖν τε τῷ πατρὶ καὶ τῷ υἱῷ τῆς ἐνδόξου κλήσεως ἐγγινομένη, τούτου χάριν παρακρουσάμενος τὴν ἀκοὴν τῶν ἀνοήτων, τὴν παρὰ Θεοῦ προεκτεθεῖσαν πίστεως ἐν τῇ παραδόσει τοῦ μυστηρίου ὑπαλλάσσει τὰ ῥήματα. ὥσπερ ὁδοποιήσας διὰ τῆς ἀκολουθίας ταύτης, τὴν κατὰ τοῦ πνεύματος τοῦ ἁγίου ἀσέβειαν. εἰ γὰρ εἶπεν ὅτι πιστεύομεν εἰς τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα δὲ ὁ Θεός, ὑπέκρουσεν ἂν ὁ τὰ θεῖα πεπαιδευμένος, ὅτι εἰ χρὴ πιστεύειν εἰς τὸ πνεῦμα τὸ ἅγιον, πνεῦμα δὲ ὁ Θεὸς ὀνομάζεται, οὐκ ἄλλο τι κατὰ τὴν φύσιν ἐστίν, ἢ ἐκεῖνο πάντως ὃ διὰ τῶν αὐτῶν ὀνομάτων κυρίως κατονομάζεται. ὅσα γὰρ οὐ ψευδῶς οὐδὲ ἐκ καταχρήσεως, ἀλλὰ κυρίως ὑπὸ τῶν αὐτῶν ὀνομάτων δηλοῦται, τούτων ἀνάγκη πᾶσα μίαν καὶ τὴν αὐτὴν ὁμολογεῖσθαι φύσιν, τὴν τοῖς αὐτοῖς σημαινομένην ὀνόμασι. διὰ ταῦτα σιωπήσας τὴν παρὰ τοῦ κυρίου νομοθετηθεῖσαν ἐν τῇ πίστει φωνήν,

A ſuſcipit. Neque caro per ſe in illis eſt, ſi anima cum corpore non eſt coniuncta. Ac quidem de blaſphemia, id eſt, impio conuitio in filium Dei hæc ſint hactenus dicta. Iam videamus quæ de ſancto Spiritu percenſet. Poſt hoc, [Credimus, inquit, in paracletum ſpiritum veritatis.] Ego autem clarum eſſe omnibus arbitror qui hæc legunt, ad quid reſpiciens à Domino fidei traditam expoſitionem, in ſermonibus de filio & Patre peruertit. quamuis huius abſurditas ſatis iam fuerit refutata, nunc tamen paucis verbis huius fallacis aſtutiæ ſco-
B pum patefacere operam dabo. Vt enim illic patrem non dixit, ne cum patris æternitate filium pariter oſtenderet, neque filium nominauit, ne eam quæ ſecundum naturam eſt, familiaritatem & neceſſitudinem hac voce ſimul repræſentaret, ſic & nunc non dicit Spiritum ſanctum, ne maieſtatem gloriæ ipſius, & quod per omnia Patri & Filio vnitum eſt, hoc ipſo nomine confiteri cogeretur. Quandoquidem enim Patri & Filio ex æquo cùm Spiritus tùm etiam ſancti nuncupatio in ſacra ſcriptura accommodatur. Deus enim eſt ſpiritus, &
C ſpiritus ante perſonam noſtram Chriſtus Dominus: & ſanctus Dominus Deus, & vnus ſanctus, vnus Dominus Ieſus Chriſtus, ne qua audientibus per hæc verba, Spiritus ſancti pia & religioſa ingeneraretur opinio, ex eo inſita quod Spiritus ſanctus communem habeat cum Patre & Filio illuſtrem appellationem, idcirco indoctorum & amentium auditum fallens & eludens, à Deo expoſitæ fidei in traditione myſterij verba immutat & inuertit, tanquam hic viam ſternens per hanc conſequentiam ad impietatem contra Spi-
D ritum ſanctum. Si enim dixiſſet, Credimus in Spiritum ſanctum, Spiritus autem, Deus eſt; qui in diuinis eruditus eſt, ſubrepuiſſet, ſi in Spiritum ſanctum credendum eſt, ſpiritus autem Deus nominatur, non aliud quid ſecundum naturam eſt ille omnino qui per eadem nomina cognominatur. Nam quæcunque nõ falſò, nec ex abuſu, ſed propriè per eadem nomina declarantur, horum vnam eandémque naturam neceſſe eſt omnino fateri, quæ iiſdẽ nominibus ſignificatur. quapropter ſilentio tacitus inuoluens à Domino in fide prolatam & conſtitutam

vocem, Credimus, inquit, in paracletum, id eſt, conſolatorem & confirmatorem. Ego autem in diuinitus inſpirata ſcriptura, hoc nomen eſſe commune Patris & Filij didici. Filius enim ex ęquo & ſeipſum atque etiam Spiritum ſanctum nominat paracletum, id eſt, conſolatorem. Pater verò per quæ operatur paracleſin, id eſt, conſolationem, nomen paracleti, id eſt conſolatoris, ſibi prorſus vendicat. Non enim qui opus paracleti & conſolatoris facit, nomen operis dedignatur. Cùm enim Dauid ad Patrem dicit, Tu ô Domine auxiliatus es mihi & conſolatus es me. & magnus Apoſtolus eadem de patre recenſet, 1 Cor. 1. dum dicit, Benedictus Deus & pater 1. Ioan. 2. Ioan. 16. Domini noſtri Ieſu Chriſti, qui conſolatur nos in omni tribulatione noſtra: filium autem Ioannes in vna Catholicarum epiſtolarum apertè nominat paracletum, id eſt conſolatorem. Atque ipſe Dominus per ea verba quibus dixit, ſe alium nobis miſſurum eſſe paracletum, id eſt, conſolatorem, de ſpiritu loquens, in ſeipſo prorſus hoc nomen ante confeſſus eſt. Cùm autem huius verbi παρακαλεῖν ſit duplex ſignificatio, vna quidem per honorifica verba & figuras, quibus eum quo indigemus ad commiſerationem adducimus & flectimus: Altera verò notitia curatrix eſt & ſanatrix afflictionum animi & corporis, vtriuſque ſignificati ex æquo ſancta Scriptura naturæ diuinę notionem paracleti aſſignat. Modò quidem Paulus Dei ſanatricem noſtri virtutem per paracleſin repræſen- 2. Cor. 7. tat, dicens, Qui conſolatur humiles conſolatus eſt nos Deus in aduentu Titi. Rurſus in altera intelligentia ſiue ſignificatione ad Corinthios ſcribens hæc narrat, pro Chriſto legatione fungimur, 2. Cor. 5. tanquam Deo exhortante per nos. Obſecramus pro Chriſto, reconciliamini Deo. Quæ cùm ita ſint, quomodocunque in ſpiritu nomen Paracleti intellexeris, non à patris filiique communione ſecundum vtrumque ſignificatorum diſcedes. Non igitur in hac parte neque volens Spiritus ſancti gloriam deprimere potuit, illud ei attribuens quod quidem Patri & Filio à ſancta Scriptura adſcribitur. Spiritum autem veritatis cùm dixit Eunomius, ipſe quidem, ſicut opinor, hac voce voluit quid ſubditum

A πιστεύομεν, φησὶν, εἰς τὸν παράκλητον. ἐγὼ δὲ καὶ αὐτὸ τοῦτο τὸ ὄνομα κοινὸν ἔμαθον εἶναι παρὰ τῆς θεοπνεύστου γραφῆς, πατρὸς τε καὶ υἱοῦ καὶ πνεύματος ἁγίου. ὁ γὰρ υἱὸς ἐπίσης ἑαυτόν τε καὶ τὸ πνεῦμα τὸ ἅγιον ὀνομάζει παράκλητον. ὁ δὲ πατὴρ δι' ὧν ἐνεργεῖ τὴν παράκλησιν, οἰκειοῦται πάντως τοῦ παρακλήτου τὸ ὄνομα. οὐ γὰρ δὴ τὸ ἔργον ποιῶν τοῦ παρακλήτου, ἀπαξιοῖ τοῦ ἔργου τὸ ὄνομα. ὅτι γὰρ Δαβὶδ πρὸς τὸν πατέρα φησὶν, ὅτι σὺ κύριε ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με. καὶ ὁ μέγας B ἀπόστολος, τὰ αὐτὰ περὶ τοῦ πατρὸς διεξέρχεται, λέγων, εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. τὸν δὲ υἱὸν ὁ Ἰωάννης ἐν μιᾷ τῶν καθολικῶν ἐπιστολῶν, διαῤῥήδην ὀνομάζει παράκλητον. καὶ αὐτὸς δὲ ὁ κύριος, δι' ὧν εἶπε, καὶ ἄλλον παράκλητον ἡμῖν ἀποσταλήσεσθαι, περὶ τοῦ πνεύματος λέγων, ἐφ' ἑαυτοῦ πάντως τὸ ὄνομα τοῦτο προωμολόγησε. διπλῆς δὲ οὔσης τῆς τοῦ παρακαλεῖν σημασίας, μιᾶς μὲν, διὰ τῶν ἱ- C κετικῶν ῥημάτων τε καὶ σχημάτων, ὑφ' ὧν ἂν δεόμενοι τύχωμεν, εἰς συμπάθειαν αὐτὸν ἐπαγόμενοι. ἑτέρας δὲ τῆς θεραπευτικῆς τῶν ψυχικῶν τε καὶ σωματικῶν παθημάτων ἐπινοίας, τῶν καθ' ἑκάτερον σημαινομένων ἐπίσης ἡ ἁγία γραφὴ προσμαρτυρεῖ τῇ θείᾳ φύσει τὴν τοῦ παρακλήτου ἔννοιαν. νῦν μὲν γὰρ ὁ Παῦλος τὴν ἰατρικὴν ἡμῶν τοῦ Θεοῦ δύναμιν διὰ τῆς παρακλήσεως ἡμῖν παρίστησι, λέγων ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ἐν τῇ παρουσίᾳ Τίτου. πάλιν δὲ κατὰ τὴν ἑτέραν D διάνοιαν πρὸς τοὺς Κορινθίους γράφων, ταῦτα διέξεισιν, ὅτι ὑπὲρ Χριστοῦ πρεσβεύομεν ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. δεόμεθα ὑπὲρ Χριστοῦ καταλλάγητε τῷ Θεῷ. τούτων δὲ οὕτως ἐχόντων, ὅπως ἂν ἐπὶ τοῦ πνεύματος νοήσῃς τοῦ παρακλήτου τὸ ὄνομα, τῆς τοῦ πατρὸς τε καὶ τοῦ υἱοῦ κοινωνίας, καθ' ἑκάτερον τῶν σημαινομένων, οὐκ ἀποστήσῃ. οὐκοῦν ἐν τῷ μέρει τούτῳ οὐδὲ βουλόμενος κατασμικρύνειν τὴν τοῦ ἁγίου πνεύματος δόξαν δεδύνηται. ἐκεῖνο προσμαρτυρῶν αὐτῷ, ὅπερ καὶ τῷ πατρὶ καὶ τῷ υἱῷ παρὰ τῆς ἁγίας γραφῆς ἀνατίθεται. πνεῦμα δὲ ἀληθείας εἰπὼν Εὐνόμιος, αὐτὸς μὲν, ὡς οἶμαι, τὸ ὑποχείριον ἐβούλετο διὰ τῆς τοιαύτης προσ-

στῆσαι φωνῆς. ἐπειδὴ ἀλήθεια μὲν ὁ Χριστός ἐστιν. ἐκεῖνο δὲ πνεῦμα ἀληθείας ὠνόμασεν. ὡς εἴ τις λέγοι κτῆμα τῆς ἀληθείας εἶναι καὶ ὑποχείριον, οὐκ εἰδὼς ὅτι δικαιοσύνη ὁ Θεὸς λέγεται. καὶ οὐ δήπου κτῆμα τῆς δικαιοσύνης τὸν Θεὸν ἐνοήσαμεν. ὥστε καὶ τὸ πνεῦμα τῆς ἀληθείας μαθόντες, τὴν θεοπρεπῆ διάνοιαν παρὰ τῆς φωνῆς ἐδεξάμεθα τῷ ἐπαγομένῳ λόγῳ πρὸς τὸ κρεῖττον χειραγωγούμενοι. εἰπὼν γὰρ ὁ κύριος, τὸ πνεῦμα τῆς ἀληθείας, ἐπήγαγεν εὐθύς, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται. ὅπερ οὐδενὶ τῶν ἐν τῇ κτίσει νοουμένων ἡ φωνὴ τοῦ κυρίου προσεμαρτύρησεν, οὐ τοῖς ὁρωμένοις, οὐ τοῖς ἀοράτοις, οὐ θρόνοις, οὐκ ἀρχαῖς, οὐκ ἐξουσίαις, οὐκ κυριότησιν, οὐκ ἄλλῳ τινὶ ὀνομαζομένῳ ὀνόματι. οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι. οὗ τοίνυν πᾶσα ἡ κτίσις ἀμέτοχος, δῆλον ἂν εἴη πάντως ὅτι τοῦτο τῆς ἀκτίστου φύσεως ἴδιόν ἐστι καὶ ἐξαίρετον. οὗτος δὲ πιστεύειν κελεύει εἰς τὸν καθηγητὴν τῆς εὐσεβείας. οὐκοῦν πιστευέτω εἰς τὸν Παῦλόν τε καὶ Βαρνάβαν, καὶ Τίτον, καὶ Σιλουανόν, καὶ Τιμόθεον, καὶ πάντας ἐκείνους δι' ὧν πρὸς τὴν πίστιν καθωδηγήθημεν. εἰ γὰρ τὸ καθηγούμενον εἰς εὐσέβειαν μετὰ τοῦ πατρὸς καὶ υἱοῦ πιστεύεσθαι χρή, πάντες οἱ προφῆται καὶ νομοθέται, καὶ πατριάρχαι, κήρυκές τε καὶ εὐαγγελισταί, καὶ ἀπόστολοι, ποιμένες τε καὶ διδάσκαλοι, ὁμοτίμως ἔχουσι πρὸς τὸ πνεῦμα τὸ ἅγιον, καθηγηταὶ τοῖς μετ' ἐκείνους τῆς εὐσεβείας γενόμενοι. γενόμενός, φησι, ὑπὸ τοῦ μόνου Θεοῦ διὰ τοῦ μονογενοῦς. ἀνακεφαλαιοῦται πᾶσαν αὐτοῦ τὴν ἀσέβειαν διὰ τῶν εἰρημένων. πάλιν μόνον Θεὸν τὸν πατέρα κατονομάζει ὀργάνῳ κεχρημένον τῷ μονογενεῖ πρὸς τὴν κατασκευὴν τοῦ πνεύματος. ποίαν εὑρὼν ἐκ τῆς γραφῆς σκιὰν τοῦ τοιούτου νοήματος, ταῦτα τολμᾷ; ἐκ ποίας ἀρχῆς δι' ἀκολούθου πρὸς τὸ τοιοῦτο πέρας προήγαγε τὴν ἀσέβειαν. τίς τῶν εὐαγγελιστῶν φησί; τίς ἀπόστολος; τίς προφήτης; πᾶν μὲν οὖν τὸ ἐναντίον πᾶσα γραφὴ θεόπνευστος, ἡ διὰ τῆς ἐπιπνοίας τοῦ πνεύματος ἀναγραφεῖσα, μαρτυρεῖ τῷ πνεύματι τὴν θεότητα, οἷον· κρεῖττον γὰρ δι' αὐτῶν τῶν μαρτυριῶν ἀποδεῖξαι τὸν λόγον. οἱ λαβόντες ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, μαρτυροῦσι τῷ πνεύματι τὴν θεότητα. τίς γὰρ ἀγνοεῖ

A aſtruere. Siquidem veritas Chriſtus eſt. *Ioan. 14.*
Illum autem ſpiritum veritatis nominauit. Ac ſi quis dicat creaturam veritatis eſſe & ſubditum, neſciens quod Deus iuſtitia dicitur: neque ſanè creaturam iuſtitiæ Deum intelligimus. Quare cùm ſpiritum veritatis didicimus, hac voce Deo decoram intelligentiam accepimus illato ſermone ad præſtantius & melius quaſi manu ducti. Cùm enim dixit Dominus, ſpiritum veritatis, ſtatim ſubiunxit, qui à patre procedit. quod quidem nulli eorum quæ in creatione intelliguntur vox Domini attribuit, non iis quæ videntur, non illis quæ obtutum oculorum effugiunt, non
B thronis, non principatibus, non poteſtatibus, non dominationibus, non alij qui nomine aliquo nominatur: neque etiam in hoc ſeculo neque in futuro. Cuius igitur omnis creatura expers eſt, perſpicuum fuerit omnino hoc increatæ naturæ proprium eſſe & præcipuum; hic autem iubet credere [in magiſtrum pietatis.] Ergo credat in Paulum, & Barnabam, & Titum, & Syluanum, & Timotheum, omnéſque illos per quos ad fidem deducti fuimus. Nam ſi in id quod ad pietatem ducit cum Patre & Filio credere oportet, omnes prophetæ & legiſlatores, Patriarchæ, præconéſ-
C que & Euangeliſtæ, & Apoſtoli Paſtoréſque & doctores pari honore cum Spiritu ſancto decorandi ſunt, quia fuerunt iis qui poſt illos nati ſunt pietatis præſtites & magiſtri. [Factus, inquit, à ſolo Deo per vnigenitum.] in ſummam & caput redigit omnem ſuam impietatem, per hæc dicta. Rurſus ſolum Deum patrem nominat inſtrumento vſum vnigenito ad conſtructionem ſpiritus. Quamnam ex ſcriptura vmbram huiuſmodi notionis nactus hæc audet? Ex quo principio per conſecutionem ad talem concluſionem produ-
D xit impietatem? quiſnam Euangeliſtarum hoc dicit? quis Apoſtolus? quis Propheta? omnino quidem contrarium omnis à Deo inſpirata ſcriptura afflatu ſpiritus deſcripta, deitatem ſpiritui ſuo teſtimonio aſſerit, exempli gratia, præſtat enim teſtimoniis orationem demonſtrare. Qui acceperunt poteſtatem vt Dei filij fierent, ſuo teſtimonio ſpiritui vindicant diuinitatem. Quis enim

Ioan. 3. Domini vocem ignorat? Qui ex ſpiritu nati ſunt filij Dei ſunt. Sic enim apertè Spiritui ſancto filiorum Dei generationem adſcribit, cùm dixit: quemadmodum quod ex carne genitum eſt, caro eſt: ita etiam quod ex ſpiritu genitum eſt, ſpiritus eſt. quicunque à ſpiritu geniti ſunt filij Dei appellati ſunt. Sic etiam cùm Ioan. 1. Dominus per ſuum afflatum diſcipulis dediſſet Spiritum ſanctum, ait Ioannes, ex plenitudine eius nos omnes accepimus. In eo autem inhabitare plenitu- Eſa. 6. dinem deitatis magnus Paulus teſtificatur. Quinetiam per prophetam Eſaiam de ea quæ ſibi facta eſt Dei apparitione: cùm vidit ſedentem in throno excelſo & eleuato, antiquior traditio patrem eſſe dicit eum qui viſus eſt. Sed Ioan. 12. 40. Eſa. 6. Ioannes Euangeliſta ad Dominum refert prophetiam, dicens de Iudæis qui non crediderunt, eas voces quæ à Domino prophetæ dictæ fuerunt. Hæc, inquit, dixit Eſaias, quando videt gloriam eius & locutus eſt de eo. Magnus vero Paulus eundem ſermonem Spiritui ſancto attribuit, in ea concione quam ipſe Act. vlt. Romæ habuit ad Iudæos, cùm ait, bene dixit de vobis Spiritus ſanctus, quòd auditu audietis & non intelligetis: oſtendens, ſicut opinor, per hanc ſanctam ſcripturam, quod omnis viſio diuinior omniſque Dei apparitio, atque omnis ſermo qui ex perſona Dei dicitur, de Patre & de Filio & de Spiritu ſancto intelligitur. Propter hoc Dauide dicente quod ad iram Deum prouocauerunt in de- Pſal. 94. ſerto, & exacerbauerunt in terra inaquoſa; Apoſtolus ad Spiritum ſanctum refert ea quæ ab Iſraëlitis contra Deum Hebr. 3. facta ſunt, ſic ad verbum ſcribens, Quocirca ſicut dicit Spiritus ſanctus: nolite obdurare corda veſtra ſicut in exacerbatione in die tentationis in deſerto, vbi tentauerunt me patres veſtri: & alia omnia perſonæ Spiritus ſancti adſcribit, quæcunque prophetia Deo tribuit. Qui autem nos per hæc dogmata tres Deos fingere iactitant, nondum fortaſſe nec numerare didicerunt, ſi enim filius & pater à ſe inuicem in dualem ſignificationem non diſpertiuntur, vnum enim ſunt,

A τὴν τοῦ κυρίου φωνήν; ὅτι οἱ ἐκ τοῦ πνεύματος γεννηθέντες, Θεοῦ τέκνα εἰσίν. οὕτω γὰρ διαρρήδην μαρτυρεῖ τῷ ἁγίῳ πνεύματι, τὴν τοῦ Θεοῦ τέκνων τὴν γέννησιν, εἰπών, ὅτι ὥσπερ τὸ γεγεννημένον ἐκ τῆς σαρκός, σάρξ ἐστιν, οὕτως καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. ὅσοι δὲ ὑπὸ τοῦ πνεύματος ἐγεννήθησαν, Θεοῦ τέκνα προσηγορεύθησαν. οὕτως καὶ τοῦ κυρίου διὰ τοῦ προσφυσήματος δεδωκότος τοῖς μαθηταῖς τὸ πνεῦμα τὸ ἅγιον, φησὶν ὁ Ἰωάννης, ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. ἐν αὐτῷ δὲ κατοικεῖν τὸ B πλήρωμα τῆς θεότητος, ὁ μέγας Παῦλος διαμαρτύρεται. ἀλλὰ καὶ ἔτι διὰ τοῦ προφήτου Ἠσαΐου περὶ τῆς γενομένης αὐτῷ θεοφανείας· ὅτι εἶδε τὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ἡ μὲν ἀρχαιοτέρα παράδοσις τὸν πατέρα εἶναι λέγει τὸν ὀφθέντα. ὁ δὲ εὐαγγελιστὴς Ἰωάννης, εἰς τὸν κύριον ἀναφέρει τὴν προφητείαν, λέγων περὶ τῶν μὴ πεπιστευκότων Ἰουδαίων, τὰς ὑπὸ τοῦ προφήτου ῥηθείσας περὶ τοῦ κυρίου φωνάς. ὅτι ταῦτα εἶπεν Ἠσαΐας, ὅτι εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ C αὐτοῦ. ὁ δὲ μέγας Παῦλος τῷ ἁγίῳ πνεύματι τὸν αὐτὸν τοῦτον λόγον προσεμαρτύρησεν· ἐν τῇ γενομένῃ αὐτῷ πρὸς τοὺς Ἰουδαίους κατὰ τὴν Ῥώμην δημηγορίᾳ. ὅτε φησί, καλῶς εἶπε περὶ ὑμῶν τὸ πνεῦμα τὸ ἅγιον· ὅτι ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. δεικνὺς ὡς οἶμαι δι' αὐτῆς τῆς ἁγίας γραφῆς, ὅτι πᾶσα ὀπτασία θεοτέρα, καὶ πᾶσα θεοφάνεια, καὶ πᾶς λόγος ἐκ προσώπου Θεοῦ λεγόμενος, ἐπὶ τοῦ πατρὸς νοεῖται, καὶ ἐπὶ τοῦ υἱοῦ, καὶ ἐπὶ τοῦ πνεύματος τοῦ ἁγίου. διὰ τοῦτο τοῦ Δαβὶδ εἰ- D πόντος ὅτι παρεπίκραναν τὸν Θεὸν ἐν τῇ ἐρήμῳ καὶ παρώξυναν αὐτὸν ἐν γῇ ἀνύδρῳ, ὁ ἀπόστολος εἰς τὸ πνεῦμα τὸ ἅγιον ἀναφέρει, τὰ παρὰ τῶν Ἰσραηλιτῶν κατὰ τοῦ Θεοῦ γεγενημένα, οὕτως γράψας τοῖς ῥήμασι. διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, καὶ τὰ ἄλλα πάντα τῷ προσώπῳ τοῦ ἁγίου πνεύματος ἀνατίθησιν, ὅσα ἡ προφητεία πρὸς Θεὸν ἀναφέρει· οἱ δὲ τρεῖς ἡμῖν Θεοὺς διὰ τῶν τοιούτων ἐπιθρυλλοῦντες δογμάτων, οὔπω τυχὸν οὐδὲ ἀριθμεῖν ἐδιδάχθησαν. εἰ γὰρ ὁ υἱὸς καὶ ὁ πατὴρ οὐ μερίζονται ἀπ' ἀλλήλων εἰς δυϊκὴν σημασίαν, ἓν γάρ εἰσι

καὶ οὐχὶ

καὶ οὐχὶ δύο κατὰ τὴν τοῦ κυρίου φωνήν. εἰ δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον, πῶς τὸ ἓν ἑνὶ συντιθέμενον εἰς τριῶν θεῶν ἀριθμὸν διασχίζεται· ἢ δῆλον πάντως ἐστὶν, ὅτι οὐκ ἄν τις ἐπικαλέσειεν ἡμῖν τριῶν θεῶν ἀριθμὸν, μὴ πρότερον αὐτὸς θεῶν δυάδα ἐν τῷ ἰδίῳ δόγματι κατασκευάζων. τοῖς γὰρ δύο τὸ ἓν συντιθέμενον, τὴν τριάδα τῶν θεῶν ἀπεργάζεται· παρ' ὧν δὲ εἷς προσκυνεῖται Θεὸς, ἐπ' ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου, ποίαν ἔχει χώραν ἡ τῶν τριῶν θεῶν κατηγορία; ἀλλ' ἐπαναληψώμεθα πάντα τοῦ ΕΥνομίου τὸν λόγον. γενόμενος, φησὶ, παρὰ τοῦ μόνου Θεοῦ διὰ τοῦ μονογενοῦς καὶ τοῦτο. τίς οὖν ἀπόδειξις τοῦ καὶ τοῦτο ἓν τῶν παρὰ τοῦ μονογενοῦς γεγονότων εἶναι; πάντα δι' αὐτοῦ γεγενῆσθαι πάντως ἐροῦσιν. ἐν δὲ τοῖς πᾶσι συμπεριειλῆφθαι καὶ τοῦτο, πρὸς οὓς ἐροῦμεν, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο. ἐγένετο δὲ, καθὼς ὁ Παῦλος φησὶν, ὁρατὰ καὶ ἀόρατα, θρόνοι, ἐξουσίαι, ἀρχαὶ, κυριότητες, δυνάμεις, ἐν δὲ τοῖς ἀπηριθμημένοις διὰ τῶν θρόνων τε καὶ τῶν δυνάμεων, τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, ὑπὸ τοῦ Παύλου κατείλεκται· ἕως τούτου τὰ πάντα, τὸ δὲ πνεῦμα τὸ ἅγιον, ὡς ὑπὲρ τὴν φύσιν τῶν γεγονότων ἐν τῇ ἀπαριθμήσει τῶν ὄντων ὁ Παῦλος ἀπεσιώπησεν, οὔτε τὸ γενέσθαι, οὔτε τὸ ὑποτάσσεσθαι διὰ τῶν ἑαυτοῦ λόγων ἡμῖν ἐνδειξάμενος· ἀλλ' ὥσπερ ὁ προφήτης, ἀγαθὸν, καὶ εὐθὲς, καὶ ἡγεμονικὸν ὀνομάζει τὸ πνεῦμα τὸ ἅγιον, διὰ τοῦ ἡγεμονικοῦ τὸ ἀρχικὸν ἐνδεικνύμενος, οὕτω καὶ ὁ ἀπόστολος πάντα ἐν πᾶσιν ἐνεργεῖν καθὼς βούλεται, διοριζόμενος, τὴν αὐθεντικὴν ἐξουσίαν προσμαρτυρεῖ τῇ ἀξίᾳ τοῦ πνεύματος, ὁ δὲ κύριος τὴν αὐτεξούσιον αὐτοῦ δύναμίν τε καὶ ἐνέργειαν ἐν τῷ πρὸς Νικόδημον λόγῳ φανερὰν ποιεῖ, λέγων, ὅτι τὸ πνεῦμα ὅπου θέλει πνεῖ. πῶς οὖν καὶ ὁ ΕΥνόμιος ἓν καὶ τοῦτο τῶν γεγονότων εἶναι παρὰ τοῦ υἱοῦ διορίζεται, τῇ ἀιδίῳ ὑποταγῇ καταδεδικασμένον. καθάπαξ γάρ φησιν, ὑποτεταγμένον. οὐκ οἶδα ποίῳ τῆς ὑποταγῆς εἴδει, τὸ ἡγεμονικόν τε καὶ ἀρχικὸν ὑποζεύξας. πολύσημος γὰρ ἡ τοιαύτη φωνὴ παρὰ τῇ ἁγίᾳ γραφῇ, καὶ πολυτρόπως νοουμένη καὶ λεγομένη. καὶ γὰρ καὶ τὴν ἄλογον φύσιν ὑποτετάχθαι φησὶν ὁ προφήτης, καὶ τοὺς ἐν πολέμῳ κεκρατημένους τῷ αὐτῷ ὑπάγει ὀνόματι, καὶ δούλους

A non duo ſecundum vocem Domini. vnum etiam Spiritus ſanctus, quomodò vnum cum vno coniunctum in trium Deorum numerum diſcinditur. vel planè perſpicuum eſt quòd nullus nobis trium Deorum numerum in crimen verterit, qui non prius ipſe Deorum dualitatem proprio dogmate aſtruxerit. Duobus enim vnum qui addit, ternarium Deorum numerum perficit, à quibus autem vnus Deus adoratur, in nomine Patris & Filij & Spiritus ſancti, quem locum habet trium Deorum criminatio? Sed omnem Eunomij ſermonē reſumamus.

Verba Eunomij.

B [Factus, inquit, à ſolo Deo per vnigenitum & hic.] Quænam igitur hæc eſt demonſtratio, [Et hic:] an hunc vnum eſſe eorum quæ ab vnigenito facta ſunt? omnia per ipſum eſſe facta, omnino dicent. Et in omnibus comprehenſum eſſe & hunc: Ad quos dicemus omnia per ipſū facta ſunt. Sicut autem ait Paulus facta ſunt, aſpectabilia & inaſpectabilia, throni, poteſtates, principatus, dominationes, virtutes, in annumeratis autem per thronos & poteſtates Cherubim & Seraphim, Paulus complexus eſt: huc vſque omnia. Spiritum autem ſanctum vtpote

Coloſſ. 1.

C qui eſt ſuper naturam eorum quæ creata ſunt, in enumeratione eorum quæ ſunt, tacitus præteriit: neque factum eſſe, neque ſubiectum per ſuos ſermones nobis demonſtrans, ſed ſicut Propheta, bonum & rectum & ducem ſe præbentem Spiritum ſanctum nominat, per ducem ſe præbentem, principalem ſignificans. Sic etiam Apoſtolus omnia in omnibus operari prout vult, aſſerens, auctoritate plenam poteſtatem ſpiritus dignitati attribuit. Dominus autem liberam eius po-

Pſal. 50.

D tentiam & operationem in ſermone cum Nicodemo declarat, dicens, ſpiritus vbi vult ſpirat, Quomodo igitur Eunomius hunc aſſerit vnum eſſe eorum quæ à filio condita ſunt, æternæ ſubiectioni cōdemnatum [omnino, inquit, ſubiectū.] Non intelligo qua ſubiectionis ſpecie eū ſubdit qui imperiū & principatū habet: vox enim hæc in ſancta ſcriptura multiplex eſt, multiſque modis intelligitur & dicitur. Etenim naturā rationis expertem ſubiectam eſſe dicit Propheta, & bello deuictos eidem nomini ſubijcit, & ſeruos

Ioan. 3.

Ephes. 6. Coloss. 3. 1. Cor. 6. Tit. 2. ſuis Dominis ſubiici ſancit Apoſtolus, A & ſacerdotij præſtitibus ſuos filios in ſubiectione habere præcipit. quia ab ipſis facta confuſio, ad ſimilitudinem filiorum
1. Reg. 2. Eli ſacerdotis, in patrem tranſit. Quinetiam omnium hominum ſubiectionem ſiue ſubmiſſionem ad Deum, cùm omnes inuicem vniti per fidẽ vnum corpus Domini, qui eſt in omnibus, effecti fuerimus: filij ad patrem ſubiectionem Apoſtolus dicit, cùm ab omnibus vno conſenſu filio exhibita adoratio, à cœleſtibus, terreſtribus & ſubterreſtribus ad patrem tranſeat & pertingat. Sic dicente Paulo, quòd ei flectetur omne genu cœleſtium, terre- B ſtrium & ſubterraneorũ, & omnis lingua confitebitur quòd Dominus Ieſus Chriſtus, ad gloriam Dei patris. Quo facto filium qui in omnibus eſt, per omnium in quibus eſt filius ſubiectionem ipſum patri ſubiici magna Pauli confirmat ſapientia. Quam igitur de ſpiritu omnimodam ſubiectionem Eunomius prædicat? Ex voce proiecta ab ipſo non licet doceri, rationis expertium an captiuorum, an famulorum, an liberorũ, qui ad modeſtiam & temperantiam inſtituuntur, vel eorum qui per ſubiectionem ſeruantur. Nam ad C Deum hominum ſubiectio ſalus eſt his qui ſubijciuntur. Secundum prophetæ dictionem, quæ ait, Nonne Deo ſubiecta erit anima mea, quoniam ab ipſo [per ſubiectionem] ſalutare meum.
Pſal. 61. Ita vt ſit ſubiectio, interitus ſalutiferum remedium. Quemadmodum igitur medicina fert opem ægrotantibus, ſic ſubiectio ſalute indigentibus. At verò Spiritus ſanctus, qui omnia viuificat, qua vita indiget, vt per ſubiectionem ſalutem ſibi ipſi acquirat? Quoniam igitur neque ab vlla diuina dictione tale quid de Spiritu diuulgare poteſt: D neque ex ea quæ fit rationibus probabilibus conſecutione, hanc contra Spiritum ſanctum blaſphemiam prompſit: perſpicuum certè fuerit ſana mente præditis & rectè ſentientibus hominibus, quòd hanc patrocinio carentem aduerſus ipſum profert impietatem: quæ neque vllo ſcripto teſtimonio, neque vlla rationum conſecutione confirmatur:

A τοῖς ἰδίοις δεσπόταις ὑποτάσσεσθαι νομοθετεῖ ὁ ἀπόστολος, καὶ τὰ τέκνα ἐν ὑποταγῇ ἔχειν τοὺς τῆς ἱερωσύνης προεστηκότας διακελεύεται. ὡς τῆς γενομένης παρ' αὐτῶν ἀταξίας, καθ' ὁμοιότητα τῶν Ἠλεὶ τοῦ ἱερέως παίδων εἰς τοὺς πατέρας διαβαινούσης. ἀλλὰ καὶ πάντων τῶν ἀνθρώπων τὴν πρὸς τὸν Θεὸν ὑποταγὴν, ὅταν ἑνωθέντες οἱ πάντες ἀλλήλοις, διὰ τῆς πίστεως ἓν σῶμα τοῦ κυρίου τοῦ ἐν πᾶσιν ὄντος γενώμεθα· τοῦ υἱοῦ πρὸς τὸν πατέρα ὑποταγὴν ὁ ἀπόστολος λέγει. τῆς παρὰ πάντων B ὁμοθυμαδὸν γενομένης τῷ υἱῷ προσκυνήσεως, παρά τε τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων καὶ τῶν καταχθονίων εἰς τὴν τοῦ πατρὸς δόξαν διαβαινούσης· οὕτως εἰπόντος τοῦ Παύλου, ὅτι αὐτῷ κάμψει πᾶν γόνυ, ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων. καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. οὗ γενομένου, τὸν ἐν πᾶσιν ὄντα υἱὸν διὰ τῆς τῶν πάντων ἐν οἷς ἐστιν ὁ υἱὸς ὑποταγῆς αὐτὸν ὑποτάσσεσθαι τῷ πατρὶ, ἡ μεγάλη τοῦ Παύλου διαβεβαιοῦται σοφία. C τίνα οὖν ἐπιθρυλλεῖ τῷ πνεύματι τὴν καθάπαξ ὑποταγὴν ὁ Εὐνόμιος; οὐκ ἔστιν ἐκ τῆς προσερριφείσης παρ' αὐτοῦ διδαχθῆναι φωνῆς τῶν ἀλόγων, ἢ τῶν αἰχμαλώτων, ἢ τῶν οἰκετῶν, ἢ τῶν σωφρονιζομένων τέκνων, ἢ τῶν διὰ τῆς ὑποταγῆς σωζομένων. ἡ γὰρ πρὸς τὸν Θεὸν τῶν ἀνθρώπων ὑποταγὴ, σωτηρία τοῖς ὑποτασσομένοις ἐστί. κατὰ τὴν τοῦ προφήτου φωνὴν, ἥ φησιν, ὑποτάσσεσθαι τῷ Θεῷ τὴν ψυχὴν, ἐπειδὴ παρ' αὐτοῦ γὰρ διὰ τῆς ὑποταγῆς τὸ σωτήριον, ὡς εἶναι τὴν ὑποταγὴν, D τῆς ἀπωλείας ἀλεξιτήριον. ὥσπερ τοίνυν ἰατρικὴ τοῖς νοσοῦσι σπουδάζεται, οὕτως καὶ ἡ ὑποταγὴ τοῖς δεομένοις τῆς σωτηρίας, τὸ δὲ πνεῦμα τὸ ἅγιον τὸ ζωοποιοῦν τὰ πάντα, ποίας ἐνδεές ἐστι ζωῆς· ἵνα διὰ τῆς ὑποταγῆς τὴν σωτηρίαν ἑαυτῷ κατακτήσηται; ἐπεὶ τοίνυν οὔτε ἀπό τινος θείας φωνῆς τὸ τοιοῦτον ἐπιθρυλλεῖν ἔχει τῷ πνεύματι, οὔτε ἐκ τῆς τῶν εἰκότων λογισμῶν ἀκολουθίας ταύτην κατὰ τοῦ ἁγίου πνεύματος τὴν βλασφημίαν προήκατο, δῆλον ἂν εἴη τοῖς νοῦν ἔχουσιν, ὅτι ἀσυνηγόρητον ἐκτίθεται κατ' αὐτοῦ τὴν ἀσέβειαν· οὔτε μαρτυρίᾳ τινὶ γραφικῇ, οὔτε μὴν ἀκολουθίᾳ λογισμῶν κρατυνομένην·

προστίθησι δὲ τούτοις, ὅτι οὔτε κατὰ τὸν πατέρα, οὔτε τῷ πατρὶ συναριθμούμενος. εἷς γάρ ἐστι καὶ μόνος πατὴρ, ὁ ἐπὶ πάντων Θεός, οὔτε τῷ υἱῷ συνεξισούμενος, μονογενὴς γάρ ἐστιν ὁ υἱὸς, οὐδένα ἔχων ὁμογενῆ. ἐγὼ μὲν εἰ καὶ μόνον τοῦτο τῷ λόγῳ προσετίθηκε τὸ μὴ εἶναι πατέρα τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον, μάταιον καὶ τούτοις ὤμην εἶναι τοῖς παρὰ μηδενὸς ἀμφισβητουμένοις ἐμφιλοχωρεῖν, ἐκεῖνα περὶ αὐτοῦ νοεῖν κωλύοντα, ἅπερ οὐδ' ἂν τῶν ἄγαν τις ἀνοήτων ὑπονοήσειε. ἐπεὶ δὲ διὰ τῶν ἀνοικείων τε καὶ ἀπροσκόλλων κατασκευάζειν ἐπιχειρεῖ τὴν ἀσέβειαν, δι' ὧν μὴ εἶναι λέγει τοῦ μονογενοῦς πατέρα τὸ πνεῦμα τὸ ἅγιον, διὰ τούτων ἀποδεικνύειν οἰόμενος τὸ εἶναι ὑποτεταγμένον καὶ ὑποχείριον, τούτου χάριν εἰς ἔλεγχον τῆς ἀνοίας αὐτοῦ τοῦ ῥήματος τούτων τὴν μνήμην ἐποιησάμην. ὃς οἴεται ἀποδεικνύειν ὑποτεταγμένον τῷ πατρὶ τὸ πνεῦμα, διότι οὐκ ἔστι πατὴρ τοῦ μονογενοῦς τὸ πνεῦμα. ἐκ ποίας γὰρ ἀνάγκης τὸ τοιοῦτον κατασκευάζεται. ὡς ἐπεὶ μὴ πατὴρ εἴη καὶ ὑποτετάχθαι πάντως. εἰ μὲν οὖν ἀποδέδεικτο ταυτὸν εἶναι τῷ σημαινομένῳ πατέρα καὶ τύραννον, ἀκόλουθον ἦν περὶ τὸν πατέρα νοηθείσης τῆς τυραννίδος ὑποτετάχθαι λέγειν τὸ πνεῦμα τῷ κατὰ τὴν ἐξουσίαν προέχοντι. εἰ δὲ διὰ τοῦ πατρὸς ἡ πρὸς τὸν υἱὸν σχέσις νοεῖται μόνη· οὐδὲν δὲ τυραννικὸν καὶ ἐξουσιαστικὸν νόημα διὰ ταύτης τῆς φωνῆς παρεισάγεται, πῶς ἀκολουθεῖ τὸ μὴ εἶναι πατέρα τοῦ υἱοῦ τὸ ὑποτετάχθαι τὸ πνεῦμα; οὔτε τῷ υἱῷ, φησὶ, συνεξισούμενον. πῶς ταῦτα φησί; τὸ γὰρ οὔτε τὸ ἄτρεπτον καὶ κακοῦ παντὸς ἀνεπίδεκτον, τὸ ἀεὶ ὡσαύτως ἐν τῷ ἀγαθῷ διαμένον, οὐδεμίαν ἔχει παραλλαγὴν ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος. ἐπίσης γὰρ τὸ τοῦ πνεύματος ἄφθαρτον τῆς φθορᾶς ἠλλοτρίωται, καὶ τὸ τῇ φύσει ἀγαθὸν ὡσαύτως τοῦ ἐναντίου κεχώρισται, καὶ τὸ ἐν παντὶ ἀγαθῷ τέλειον, ὁμοίως ἀνενδεῶς ἔχει τοῦ πλείονος. ταῦτα δὲ λέγει περὶ τοῦ πνεύματος πάντα, ἡ θεόπνευστος διδάσκει γραφή, ἀγαθὸν, καὶ σοφὸν, καὶ ἄφθαρτον, καὶ ἀθάνατον, καὶ πάντα τὰ ὑψηλὰ καὶ τὰ θεοπρεπῆ νοήματά τε καὶ ὀνόματα προσμαρτυροῦσα τῷ πνεύματι. εἰ οὖν ἐν οὐδενὶ τούτων ἠλάττωται, ἐν τίνι τὸ ἄνισον τοῦ υἱοῦ καὶ τοῦ πνεύματος διαμετρεῖ ὁ Εὐνόμιος; μονογενὴς γάρ ἐστι, φησὶν, ὁ υἱὸς, οὐδένα ἔχων ἀδελφὸν ὁμογενῆ. ἀλλὰ περὶ

A his autem adijcit, [Neque ſecundum »
Patrem, neque cum Patre annumeratur. »
vnus enim eſt & ſolus pater, qui in omni- »
bus Deus, neque cum Filio exæquatur, »
vnigenitus enim eſt Filius, nullũ habens »
congenitum.] Ego equidẽ ſi hoc ſolum »
orationi addidiſſet, Spiritum ſanctum filij patrem non eſſe, vanum putarem in his de quibus nullus controuerſiam mouet, immorari, cùm illa de ipſo prohibeat intelligere, quæ neque amentium quiſquam ſuſpicaretur; Sed quia per abſurda & inconuenientia neque cohęrentia impietatem
B conſtruere conatur, per ea quæ dicit, Spiritum ſanctum non eſſe vnigeniti patrem, per hæc demõſtrare putans eſſe ſubiectum & mancipatum, huius gratia ad huius amentię reprehenſionem horum verborum mentionem feci. Qui Spiritum ſanctum patri ſubiectum ſe demonſtrare opinatur, propterea quòd ſpiritus non eſt vnigeniti pater. Qua neceſſitate tale quid conficit? Quia pater non ſit, idcirco prorſus ſit ſubiectus. ſi demonſtratum eſſet idem ſignificatu, patrem eſſe & tyrannum, conſequens eſſet intellecta tyrannide in patre aſſerere ſpi-
C ritum ſubiectum & ſubmiſſum eſſe ei qui poteſtate præmineret. Quòd ſi per patrem relatio ad filium ſola intelligitur: nulla autem tyrannica & imperioſa hac voce inducitur notio; quomodo conſequens eſt ſpiritum eſſe ſubditum, ex eo quod non ſit filij pater? [neque filio, inquit, ſimul exæquatur,] quomodo hæc dicit? Quod enim immutabile eſt, neque vllius mali capax, quodque ſemper eodemque modo in bono permanet, nullam habet differentiam in filio & ſpiritu. Ex æquo enim quod incorruptibile eſt in ſpiritu à pernicie ſiue corruptione a-
D lienum eſt, & quod naturâ bonum eſt, eodem plane modo à contrario ſecretum eſt. Et quod in omni bono perfectum eſt, ſimiliter ſine defectu habet quod plus eſt. hæc autem omnia de Spiritu ſancto affirmat & docet à Deo inſpirata ſcriptura, bonum, ſapiẽtem & incorruptibilem, & immortalem, atque omnia excelſa & Deo decora ſenſa animi & nomina Spiritui ſancto aſſignat. Si igitur in nullo horũ imminutus eſt, in quo inæqualitatem filij & ſpiritus Eunomius dimetitur? [vnigenitus enim eſt, inquit, filius, nullum fratrem habens ſimiligenam.] Sed de

eo quòd non oporteat cum fratribus intelligere vnigenitum, in ſermone de primogenito omnis creaturæ diſſeruimus. Quòd autem ab hoc per malitiam & improbitatem proiectum eſt, decet non indiſcuſſum atque non examinatum prætercurrere. Nam cum Eccleſiaſticum dogma vnam, in Patre & Filio, & Spiritu ſancto virtutem & bonitatem, & eſſentiam, & gloriam ſiue maieſtatem, & omnia quæ ſunt eiuſmodi prædicet, excepta differentia quæ eſt ſecundum perſonas: hic cùm vult communem facere cum creatura vnigeniti eſſentiam, primogenitum ipſum dicit omnis creaturæ ſecundum ante æternum exiſtentiam, omnia quæ in creatura intelliguntur hac voce eſſe fratres Domini affirmans. Primogenitus enim non eorum quæ ſunt diuerſi generis, ſed eorum qui eiuſdem ſunt generis, omninò primogenitus eſt. Cùm autem à connexione ſiue cohæſione quæ eſt cum filio ſpiritum diuellit, vnigenitum ipſum dicit, non habentem fratrem congenerem, ſiue eiuſdem generis, non vt abſque fratribus ipſum intelligat, ſed vt per hoc de ſpiritu quod ſecundum eſſentiam alienum eſt conſtruat. Nam Spiritum ſanctum fratrem Domini non appellare ex ſcriptura didicimus. Sed non oportere ſpiritum eiuſdem generis, id eſt, ſubſtantiæ cum filio dicere, ex nullo diuinorum ſcriptorum loco demonſtratur. Si enim virtus viuifica in Patre & Filio, demonſtratur etiam in Spiritu ſancto, ſecundum Euangelij editionem. Si quod incorruptibile & incommutabile quodque nullius mali eſt capax, ſi quod bonum & rectum, & quod principatum habet, & quod omnia in omnibus efficit prout vult: Si omnia quæ ſunt talia eodem modo videre licet in Patre, & Filio & Spiritu ſancto, quomodo licet hac identitate quod diuerſi generis eſt intelligere? Non igitur oportere aliquam fraternitatem in vnigenito cernere pietatis cõſentit ſermo. Sed ſpiritum nõ eſſe cum filio eiuſdem generis, id eſt, ſubſtantiæ, rectum cum recto, bonum cum bono, viuificum cum viuifico, hoc hæreticæ eſſe prauitatis, ex rationis cõſecutione apertè demonſtratum eſt. Quid igitur per hæc ſpiritus maieſtas minus habet? Nulla eſt enim ex his Deo decoris & cõueniẽtibus notionibus, quæ vel redundãtiam in vno vel imminutionẽ in altero poſſit inſerere,

A τοῦ μὴ δεῖν μετὰ ἀδελφῶν νοεῖν τὸν μονογενῆ, ἐν τῷ λόγῳ τῷ περὶ τοῦ πρωτοτόκου πάσης τῆς κτίσεως διειλήφαμεν. ὃ δὲ παρὰ τούτου νῦν διὰ κακουργίας παρερρίφθη τῷ λόγῳ, προσήκει μὴ παραδραμεῖν ἀνεξέταστον. τοῦ γὰρ ἐκκλησιαστικοῦ δόγματος μίαν, ἐν πατρί τε καὶ υἱῷ, καὶ πνεύματι ἁγίῳ δύναμίν τε καὶ ἀγαθότητα, καὶ οὐσίαν καὶ δόξαν, καὶ πάντα τὰ τοιαῦτα κηρύσσοντος, πλὴν τῆς κατὰ τὰς ὑποστάσεις διαφορᾶς, οὗτος ὅταν μὲν βούληται κοινοποιῆσαι πρὸς τὴν κτίσιν τοῦ μονογενοῦς τὴν οὐσίαν, πρωτότοκον αὐτὸν λέγει πάσης τῆς κτίσεως,
B κατὰ τὴν προαιώνιον ὕπαρξιν, ἀδελφὰ τοῦ κυρίου πάντα τὰ ἐν τῇ κτίσει νοούμενα διὰ τῆς φωνῆς ταύτης εἶναι ἀποφαινόμενος. ὁ γὰρ πρωτότοκος, οὐ τῶν ἑτερογενῶν, ἀλλὰ τῶν ὁμογενῶν πάντως ἐστὶ πρωτότοκος. ὅταν δὲ τῆς πρὸς τὸν υἱὸν συναφείας ἀποσχίζει τὸ πνεῦμα, μονογενῆ αὐτὸν λέγει μὴ ἔχοντα ἀδελφὸν ὁμογενῆ, οὐχ ἵνα ἄνευ ἀδελφῶν αὐτὸν νοήσῃ, ἀλλ' ἵνα διὰ τούτου κατασκευάσῃ περὶ τοῦ πνεύματος τὸ κατὰ τὴν οὐσίαν ἀλλότριον. τὸ μὲν γὰρ μὴ λέγειν ἀδελφὸν τὸ
C πνεῦμα τὸ ἅγιον, παρὰ τῆς γραφῆς μεμαθήκαμεν· τὸ δὲ μὴ δεῖν ὁμογενὲς τῷ υἱῷ λέγειν τὸ πνεῦμα, οὐδαμόθεν ἐκ τῶν θείων ἀποδείκνυται λογίων. εἰ γὰρ δὴ ζωοποιὸς δύναμις ἐν πατρὶ καὶ υἱῷ, ἀποδείκνυται καὶ πνεύματι ἁγίῳ, κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν. εἰ τὸ ἄφθαρτόν τι καὶ ἄτρεπτον καὶ τὸ κακοῦ παντὸς ἀνεπίδεκτον, εἰ τὸ ἀγαθόν τι καὶ εὐθὲς καὶ τὸ ἡγεμονικόν. καὶ τὸ πάντα ἐν πᾶσιν ἐνεργεῖν καθὼς βούλεται. εἰ πάντα τὰ τοιαῦτα ὡσαύτως ἐστὶν ἰδεῖν ἐπὶ πατρός τε καὶ υἱοῦ
D καὶ πνεύματος ἁγίου, πῶς ἔστι διὰ τῆς ἐν τούτοις ταυτότητος τὸ ἑτερογενὲς ἐννοῆσαι; Ἐν κοινῷ τὸ μὴ δεῖν ἀδελφότητά τινα περὶ τὸν μονογενῆ θεωρεῖν, ὁ τῆς εὐσεβείας συντίθεται λόγος. τὸ δὲ μὴ εἶναι τῷ υἱῷ ὁμογενὲς τὸ πνεῦμα, τῷ εὐθεῖ τὸ εὐθές, τῷ ἀγαθῷ τὸ ἀγαθόν, τῷ ζωοποιῷ τὸ ζωοποιόν, τοῦτο τῆς αἱρετικῆς κακουργίας, ἐκ τῆς τοῦ λόγου ἀκολουθίας σαφῶς ἀποδέδεικται. τί οὖν διὰ τούτων κολοβοῦται ἡ μεγαλειότης τοῦ πνεύματος; οὐδὲν γάρ ἐστι τὸ πλεονασμὸν ἢ ὕφεσιν ἐμποιῆσαι δυνάμενον, ἐκ τῶν θεοπρεπῶν νοημάτων.

ὧν πάντων κατὰ τὸ ἴσον ἐπιλεγομένων, περί τε υἱοῦ καὶ περὶ πνεύματος παρὰ τῆς ἁγίας γραφῆς, ἐν τίνι βλέπει τὸ ἄνισον; οὐκ ἂν εἰπεῖν ἔχοι. ἀλλὰ γυμνὴν καὶ ἀκατάσκευον, καὶ μηδεμιᾶς ἠρτημένην ἀκολουθίας τὴν κατὰ τοῦ ἁγίου πνεύματος προφέρει ἀσέβειαν. οὔτε μὴν ἄλλῳ, φησί, τινὶ συντασσόμενον. ἁπάντων γὰρ ἀναβέβηκε τῶν διὰ τοῦ υἱοῦ γενομένων ποιημάτων, γενέσει, καὶ φύσει, καὶ δόξῃ, καὶ γνώσει. ὡς πρῶτον ἔργον καὶ κράτιστον τοῦ μονογενοῦς, μέγιστόν τε καὶ κάλλιστον. ἐγὼ δὲ τὸ μὲν ἀπαίδευτον καὶ συρφετῶδες τῆς λέξεως, ἄλλοις κωμῳδεῖν καταλείψω· ἀπρεπὲς εἶναι κρίνων πρεσβυτικὴν πολιὰν τὴν ἐν τοῖς ῥήμασιν ἀπαιδευσίαν

B προφέρειν τῷ ἀσεβοῦντι εἰς τὸν προσκυνούμενον λόγον· ἐκεῖνο δὲ προσθήσω τῇ ἐξετάσει. εἰ πάντων ἀναβέβηκε τῶν τοῦ υἱοῦ ποιημάτων τὸ πνεῦμα, χρήσομαι γὰρ αὐτοῦ τῇ σεσολοικισμένῃ ταύτῃ καὶ ἀνοήτῳ φωνῇ. μᾶλλον δὲ πρὸς τὸ σαφέστερον διὰ τῆς ἐμαυτοῦ λέξεως παραστήσω τὸ νόημα· εἰ πάντων προέχει τῶν παρὰ τοῦ υἱοῦ γεγονότων, ἀσύντακτόν ἐστι τῇ λοιπῇ κτίσει τὸ πνεῦμα τὸ ἅγιον. καὶ εἰ πλεονεκτεῖ, καθώς φησιν ὁ Εὐνόμιος, τῷ πρὸ τῶν ἄλλων γενέσθαι· ἀνάγκη πᾶσα καὶ ἐπὶ τῆς ἄλλης κτίσεως τὰ τῇ γενέσει κατὰ τὴν τάξιν προή-

C κοντα, τῶν ἐφεξῆς αὐτῶν ὁμολογεῖν προτιμότερα. ἀλλὰ μὴν τῆς τοῦ ἀνθρώπου κατασκευῆς, ἡ τῶν ἀλόγων πρεσβυτέρα φύσις. οὐκοῦν κατασκευάσει πάντως διὰ τούτων προτιμοτέραν εἶναι τῆς λογικῆς οὐσίας, τὴν ἄλογον. οὕτω καὶ ὁ Κάϊν τοῦ Ἀβὲλ κρείττων κατὰ τὸν τοῦ Εὐνομίου λόγον δειχθήσεται, προτερεύων τῷ χρόνῳ κατὰ τὴν γένεσιν, οὕτω καὶ τῶν ἐκ τῆς γῆς φυομένων ἁπάντων, ἐλάττων καὶ καταδεεστέρα ἡ τῶν ἄστρων φύσις ἀναδειχθήσεται. τὰ μὲν γὰρ τῇ τρίτῃ τῶν ἡμερῶν ἐκ τῆς γῆς ἐξανέτειλεν,

D οἱ δὲ μεγάλοι φωστῆρες καὶ τὰ ἄστρα πάντα, κατὰ τὴν τετάρτην γεγενῆσθαι παρὰ τοῦ Μωϋσέως ἱστόρηνται. ἀλλὰ μὴν οὐδεὶς οὕτως ἀνόητος, ὡς τῶν οὐρανίων θαυμάτων τὴν γηΐνην πόαν προτιμοτέραν διὰ τὰ τοῦ χρόνου πρεσβεῖα λογίσασθαι· ἢ τῷ Κάϊν δοῦναι κατὰ τοῦ Ἀβὲλ τὰ νικητήρια, ἢ ὑποζεῦξαι τοῖς ἀλόγοις τὸν ἄνθρωπον, τὸν μετ' ἐκεῖνα γενόμενον. οὐκ ἄρα νοῦν ἔχει τινὰ τὸ παρὰ τούτου λεγόμενον, ὅτι διὰ τὸ πρὸ τῶν ἄλλων γενέσθαι τὸ πνεῦμα, προτιμότερον ἔχει τῶν ἐφεξῆς γεγονότων τὴν φύσιν.

A quæ omnia cùm ex æquo dicantur à ſacra ſcriptura de filio & de ſpiritu, in quo animaduertit inæqualitatem? certè non poſſet dicere. Sed nudam & incompoſitam & ex nulla conſecutione pendentem aduerſus Spiritum ſanctum profert impietatem. [neque cum alio quodam, inquit, ordinatur. omnia enim opera quę per filium ſunt facta ſuperaſcendit, ortu, natura, gloria, cognitione. vt primum opus & optimũ vnigeniti, maximúmque & pulcherrimum.] Ego autem inſcitiam & colluuionem dictionis alijs comicè deridendam relinquam: indecorum eſſe iudicans ſenili canitiei, verborum ineptias objicere, ei qui impiè agit in verbum Dei

B quod à nobis adoratur. Illud autem examinationi addam. Si omnia filij opificia, [quæ ποιήματα vocat,] ſpiritus ſuperaſcendit, vtar enim eius hac inſolenti & inſana voce. Imò verò vt clarius res eluceſcat mea dictione ſentẽtiam exprimam. Si ex eo quòd omnia quæ à filio ſunt facta antecedit ſpiritus, cum nulla alia creatura cõponi poteſt neq; ordinari: & ſi, quemadmodum ait Eunomius, in eo exſuperat & plus habet quòd factus ſit ante alia, neceſſe eſt etiã ipſum fateri, quòd in omni alia creatura, quę ortu ſecundũ ordinem præeunt ſequentibus ſunt præſtabiliora. Atqui hominis formatione belluarũ na-

C tura prior extitit. Ex his igitur concludet naturam rationis expertem, rationis participe omnino præſtantiorẽ eſſe. Sic hac Eunomij ratione Cain Abele melior demonſtrabitur: prior enim eſt tempore ſecundum ortum. Sic omnibus quæ ex terra funduntur, ſiderum natura minor & inferior oſtendetur. Illa ſiquidem tertio die ex terra exorta ſunt. at magna hęc lumina & ſidera omnia quarto die creata eſſe à Moſe proditum eſt. Verumtamen Ioan. nullus eſt tã à ratione deuius & amens, vt cœleſtibus illis miraculis terreſtrem herbam, pręcipuo temporis iure præſtantio-

D rem eſſe exiſtimet. Aut qui Caino contra Abelẽ det victoriæ præmia. Aut qui brutis animantibus hominẽ ſubiuget, quoniã ſit poſt illa factus. Nullã igitur habet rationẽ, quod ab eo aſſeritur, quia ante alia ſpiritꝰ ſit ortus, honorabiliorẽ naturã habet iis quæ deinceps producta fuerũt.

videamus autem qualia gloriæ ſpiritus gratificatur, qui hunc à filij communione diuiſit. [Vnus enim, inquit, & hic cum ſit, & primus & ſolus, omnibus filij operibus præcellens ſecundum eſſentiam & naturalem dignitatem, omnem operationẽ & doctrinam perficiens, ſicut filio placet, qui mittitur ab ipſo & ab ipſo accipit, & annuntiat iis qui inſtituuntur, & veritatis dux eſt.] Omnem, inquit, muneris functionem ſiue operationem & doctrinã Spiritus ſanctus perficiens; quam operationem? vtrum illam quam etiam Pater & Filius ſecundum Domini verbum, operatur? qui vſque modo ſalutem humanam operatur, vel aliam aliquam pręter hanc? ſiquidem illa operatur, eandem cum illo prorſus virtutem & naturam habet, & diuerſi generis Deo natura in eo locum non habet. Vt enim ſi quid ea quæ ignis efficit, efficeret illuminando & calfaciendo eodem modo, ignis eſt omnino, ſic ſi ſpiritus Patris opera facit, eiuſdem cum ipſo penitus naturæ eſſe confiteri neceſſe eſt. Quod ſi quid aliud præter ſalutem noſtram operatur, & ſi in aliquo eorum quæ ſunt contraria demonſtrat eius operationem, alius naturæ & eſſentiæ per hæc demonſtrabitur. Verumtamen ſpiritum viuificare ſimiliter cum Patre & Filio Verbum ipſum teſtificatur. Quamobrem ſpiritum à patris filiíque natura non alienum per eadem opera & effecta comprobat. Et patris operationem & doctrinam ſpiritum efficere ſicut videtur filio, non inficiamur. Vnam enim voluntatem Patris & Filij & Spiritus ſancti naturæ communio teſtatur. quare ſi illud vult Spiritus ſanctus, quod filio videtur, communio voluntatis manifeſtò eſſentiæ vnitatem oſtendit, ſed [qui mittitur ait, ab ipſo & ab ipſo accipit, & annũtiat eruditis, & veritatis dux eſt.] Niſi hæc prædixiſſet de ſpiritu, planè de aliquo inter homines doctore hæc dici audiens exiſtimaret. Idem enim eſt mitti & delegari, & nihil è domo vel ex ſe habere, ſed ſumere ex mittentis ſiue delegantis gratia, & his qui docentur verba miniſtrare, atque errantibus veritatis ſe ducem præbere. hæc enim omnia etiam nunc paſtorum atque doctorum

A ἴδωμεν δὲ καὶ οἷα χαρίζεται τῇ δόξῃ τοῦ πνεύματος, ὁ τῆς πρὸς τὸν υἱὸν κοινωνίας ἀπομερίσας. εἷς γάρ, φησί, καὶ ἐστὶν ὤν, καὶ πρῶτος καὶ μόνος, καὶ πάντων προέχων τῶν τοῦ υἱοῦ ποιημάτων κατὰ τὴν οὐσίαν καὶ τὴν φυσικὴν ἀξίαν· πᾶσαν ἐνέργειαν καὶ διδασκαλίαν ἐξανύων, κατὰ τὸ δοκοῦν τῷ υἱῷ, πεμπόμενος ὑπ᾽ αὐτοῦ καὶ παρ᾽ αὐτοῦ λαμβάνων, ἀναγγέλλων τοῖς πεπαιδευμένοις, καὶ τῆς ἀληθείας ἡγούμενος. πᾶσαν, φησίν, ἐνέργειαν καὶ διδασκαλίαν ἐξανύειν τὸ πνεῦμα τὸ ἅγιον· ποίαν ἐνέργειαν; πότερον ἐκείνην ἣν **B** καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς κατὰ τὸν τοῦ κυρίου λόγον ἐνεργεῖ· ὁ ἕως ἄρτι ἐργαζόμενος τὴν ἀνθρωπίνην σωτηρίαν, ἢ ἄλλην τινὰ παρὰ ταύτην; εἰ μὲν γὰρ ἐκεῖνα ἐργάζεται, τὴν αὐτὴν ἐκείνῳ πάντως δύναμίν τε καὶ φύσιν ἔχει· καὶ τὸ τῆς θεοῦ ἑτερογενὲς ἐπὶ τοῦ τοιούτου χώραν οὐκ ἔχει. ὡς γὰρ εἴ τι τὰ τοῦ πυρὸς ἐνεργοίη, λάμπον τε καὶ θερμαῖνον ὡσαύτως, πῦρ ἐστι πάντως, οὕτως εἰ τὰ τοῦ πατρὸς ἔργα τὸ πνεῦμα ποιεῖ τῆς αὐτῆς αὐτῷ πάντως φύσεως εἶναι ὁμολογεῖται. εἰ δὲ ἄλλο τι παρὰ τὴν σωτηρίαν ἡμῶν ἐνεργεῖ, καὶ εἴς τι τῶν ἐναντίων ἐπιδείκνυται τὴν ἐνέργειαν, **C** ἄλλης φύσεώς τε καὶ οὐσίας διὰ τούτων ἐπιδειχθήσεται. ἀλλὰ μὴν ζωοποιεῖν ὁμοίως πατρὶ καὶ υἱῷ τὸ πνεῦμα αὐτὸς ὁ λόγος διαμαρτύρεται. οὐκοῦν τὸ μὴ ἀπεξενῶσθαι πάντως τῆς τε τοῦ πατρὸς καὶ τῆς τοῦ υἱοῦ φύσεως τὸ πνεῦμα. διὰ τῆς ταυτότητος τῶν ἐνεργημάτων παρίσταται. καὶ πατρὸς ἐνέργειαν καὶ διδασκαλίαν ἐξανύειν τὸ πνεῦμα, κατὰ τὸ δοκοῦν τῷ υἱῷ οὐ μαχόμεθα. ἓν γὰρ βούλημα εἶναι πατρός τε καὶ υἱοῦ καὶ πνεύματος ἁγίου, ἡ τῆς φύσεως κοινωνία διαμαρτύρεται. ὥστε εἰ ἐκεῖνο βούλεται τὸ πνεῦμα τὸ ἅγιον ὃ δοκεῖ τῷ υἱῷ, ἡ κοινωνία τοῦ θελήματος σαφῶς παρίστησι **D** τὴν τῆς οὐσίας ἑνότητα, ἀλλὰ πεμπόμενος, φησίν, παρ᾽ αὐτοῦ, καὶ παρ᾽ αὐτοῦ λαμβάνων, καὶ ἀναγγέλλων, τοῖς παιδευομένοις καὶ τῆς ἀληθείας ἡγούμενος. Εἰ μὴ προσερρήκει ταῦτα περὶ τοῦ πνεύματος, πάντως ἂν περί τινος τῶν ἐν ἀνθρώποις διδασκάλων ταῦτα λέγεσθαι ὁ ἀκούων ἐνόμισεν. ταυτὸν γάρ ἐστι τό τε πέμπεσθαι τὸ ἀποστέλλεσθαι, καὶ τὸ μηδὲν οἴκοθεν ἔχειν, ἀλλ᾽ ἐκ τῆς χάριτος λαμβάνειν τοῦ ἀποστέλλοντος, καὶ διακονεῖν τοῖς διδασκομένοις τὰ ῥήματα, καὶ καθηγεῖσθαι τῆς ἀληθείας τοῖς πλανωμένοις. ταῦτα γὰρ πάντα καὶ τῶν νῦν ποιμένων τε καὶ διδασκάλων

A ἐστὶ πέμπεσθαι, λαμβάνειν, ἀναγγέλλειν, διδάσκειν, ὑποτίθεσθαι τὴν ἀλήθειαν. ἅπερ χαρίζεται τῷ πνεύματι τῷ ἁγίῳ Εὐνόμιος. εἰπὼν δὲ πρὸ τούτων. ὅτι καὶ εἷς ἐστι καὶ πρῶτος καὶ μόνος, καὶ πάντων περιέχων. εἰ ἕως τούτου τὸν λόγον ἔστησεν, συνήγορος ἂν τῶν τῆς ἀληθείας ἐφαίνετο δογμάτων. εἷς γὰρ ὡς ἀληθῶς ἐστιν ὁ ἀχωρίστως ἐν τῷ ἑνὶ θεωρούμενος, καὶ πρῶτος ὁ ἐν τῷ πρώτῳ, καὶ μόνος ὁ ἐν τῷ μόνῳ. ὡς γὰρ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, καὶ αὐτὸς ὁ ἄνθρωπος εἷς ἐστιν ἄνθρωπος, οὕτως καὶ τὸ πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ, καὶ αὐτὸς ὁ Θεός, εἷς ἂν

B κυρίως ὀνομασθείη Θεός· καὶ πρῶτος καὶ μόνος, χωρισθῆναι ἀπὸ τοῦ ἐν ᾧ ἐστιν οὐ δυνάμενος. νῦν δὲ προσθεὶς τὸ, πάντων περιέχων τῶν τοῦ υἱοῦ ποιημάτων. ἀναστροφὴν θολερὰν τὸν βλάσφημον ἑαυτοῦ λόγον ἀπέδειξε τῷ ὅπου θέλει πνέοντι καὶ πάντα ἐν πᾶσιν ἐνεργοῦντι. τῇ πρὸς τὰ λοιπὰ τῶν ποιημάτων συγκρίσει προέχοντα προτιμότερον. ἴδωμεν δὲ καὶ ὅσα τούτοις προστέθεικεν, ἁγιάζων, φησί, τοὺς ἁγίους. τοῦτο ἐπί τε τοῦ πατρός τε καὶ τοῦ υἱοῦ τις λέγων, ἀληθῶς ἐρεῖ. ἐν οἷς γὰρ ἂν γένηται ὁ ἅγιος,

C ἁγίους ποιεῖ. ὡς καὶ ὁ ἀγαθὸς ἀγαθοὺς ἀπεργάζεται. ἅγιος δὲ καὶ ἀγαθός, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον, καθὼς ἀποδέδεικται. μυσταγωγῶν, φησί, τοὺς προσιόντας τῷ μυστηρίῳ. τοῦτο καλῶς ἔχει λέγειν περὶ Ἀπολλὼ τὴν φυτείαν Παύλου ποτίζοντος. φυτεύει μὲν γὰρ διὰ τῆς κατηχήσεως ὁ ἀπόστολος, ποτίζει δὲ βαπτίζων ὁ Ἀπολλώς, διὰ τῆς μυστικῆς ἀναγεννήσεως. προσάγων τοὺς παρὰ Παύλου κατηχουμένους τῷ μυστηρίῳ. ἐκοινοῦ εἰς

D τὸ ὁμότιμον ἄγει τῷ Ἀπολλῷ· τὸ διὰ τοῦ βαπτίσματος τελεῖν τοὺς ἀνθρώπους. διανέμον, φησί, πᾶσαν δωρεάν. τούτῳ καὶ ἡμεῖς συντιθέμεθα. πᾶν γὰρ ὅτι περ ἐστὶν ἀγαθόν, τῆς τοῦ ἁγίου πνεύματος δωρεᾶς μερίς ἐστι. συνεργοῦν, φησι, τοῖς πιστοῖς εἰς κατανόησιν καὶ θεωρίαν τῶν διατεταγμένων. τὴν δὲ παρά τινος διατεταγμένων μὴ προσθείς, ἀμφίβολον τὸν λόγον ἐποίησεν, εἴτε ὀρθῶς, εἴτε καὶ ὡς ἑτέρως ἔχει. ἀλλ' ἡμεῖς τῇ εὐσεβείᾳ τὸ εἰρημένον προσάξομεν, δι' ὀλίγης προσθήκης. ἐπείπερ γὰρ εἴτε λόγος σοφίας, εἴτε λόγος γνώσεως, εἴτε πίστις, εἴτε ἀντίληψις, εἴτε κυβέρνησις, εἴτε τι ἕτερον ἐν τοῖς σώζουσιν ἡμᾶς

A ſunt, mitti, accipere, annuntiare, docere, veritatem ponere & fundare. Quæ ſpiritui ſancto largitur Eunomius. cùm autem ante hæc dixiſſet, Quòd etiam vnus eſt & primus & ſolus & omnibus præcellens, ſi hactenus ſermonem terminaſſet, decretorum veritatis patronus viſus eſſet. Vnus enim verè qui inſeparabiliter in vno conſideratur, & primus in primo & ſolus in ſolo. Vt enim ſpiritus hominis qui eſt in ipſo, & ipſe homo vnus eſt homo, ſic & ſpiritus Dei qui in ipſo & ipſe Deus, vnus verè & propriè nominatus fuerit Deus: & primus & ſo-

B lus, qui non poſſet ab eo in quo eſt ſeparari. Nunc autem cùm adiecit, præcellens omnibus filij operibus, turbidam inuerſionem eſſe impiũ & blaſphemum ſuum ſermonem demonſtrabit, contra eum qui vbi vult ſpirat, & qui omnia in omnibus operatur. cum ei per comparationem cum reliquis creaturis honorabiliorem gradum ſiue locum tribuit. Videamus autem quæ etiam his adiecit, [Sanctificans, inquit, ſanctos.] hoc de Patre & Filio ſimul quis dicens verè enunciabit. In quibus enim fuerit ſanctus, ſanctos facit. ſicut etiam bonus cùm ſit

C bonos efficit. Sanctus, bonus, Pater, & Filius, & Spiritus ſanctus, ſicut demonſtratum eſt, [initians, inquit, eos qui accedunt ad myſterium.] hoc præclarè poteſt dicere de Apollo plantationem Pauli irrigante. Plantat enim Apoſtolus per magiſterium ſiue inſtitutionem: rigat autem Apollo baptizando, per myſticam ſiue initialem regenerationem, eos qui à Paulo inſtituebantur adducens ad myſterium. Hunc igitur honore parem facit cum Apollo, vtpotè qui per

D baptiſmum homines initiet. [Diſtribuens, inquit omne donum.] Huic etiam nos aſtipulamur. quodcũque enim bonum eſt, Spiritus ſancti donorum pars eſt. [Cooperans, inquit, fidelibus ad cognitionem & ſpeculationem iuſſorum.] A quo autẽ iuſſorum, quia non adiecit, ambiguum ſermonem reliquit, ſiue rectè ſiue etiam aliter res ſe habet. Sed nos pietati quod dictũ eſt adhibebimus breui adiectione. Siquidem ſiue ſermo ſapientiæ, ſiue ſermo cognitionis, ſiue fides, ſiue recuperatio, ſiue gubernatio, ſiue quid aliud inter ea quæ nos ſeruant

ſcriptum eſt, hæc omnia operatur vnus & idem ſpiritus, diuidens propria cuique prout vult. Huius cauſſa non repudiamus Eunomij ſermonem, cùm dixit ſpiritum cooperari fidelibus ad cognitionem & contemplationem eorum quę ab ipſo ſpiritu iuſſa ſunt & ordinata. quia omnia bona decreta nobis ab ipſo mandata ſunt & edicta. [Succinens, inquit, ſupplicantibus,] huius dicti mentem ſtultum fuerit ſerio redarguere, cùm ex ipſo omnibus ridiculum pariter & inſanum hac ipſa dictione ſatis appareat. Quis enim ita mentis præceps & vecors, & ab intelligentia dimotus, vt expectet à nobis doceri, quòd Spiritus ſanctus non eſt tintinnabulum aut dolium inane, qui velut ictui alicui ſupplicantis voci ſubſonet & ſuccinat agitatus. [Deducens in viam, inquit, ſed ad id quod conducit,] hoc etiam Pater & Filius ſimiliter facit. deducit enim velut ouem Ioſeph, & deduxit velut ouem populum ſuum. & Spiritus ſanctus nos in viam rectam deducit. [Confirmans, inquit, ad pietatem:] Dei opus Dauid

Pſal. 77. eſſe dicit, hominem in pietate confirmare: quoniam firmamentum meum & refugium meum es tu, inquit Propheta. & dominus firmamentum populi ſui, &

Pſal. 70. & 30. ipſe dabit virtutem & firmationem populo ſuo. Hæc igitur, ſi dicta ſunt ſecundum mentem prophetæ, deitatis Spiritus ſancti ſunt teſtimonia. Quòd ſi prophetiæ aduerſentur, per hoc ipſum accuſatur blaſphemia, quia ſanctis prophetis contraria ſermone cenſet. Deinde dicit, [illuminās animas lumine cognitionis.] hanc gratiam & Patri & Filio & Spiritui ſancto pietatis ſermo adſcribit. Illa enim illuminatio à Dauide nominatur, & illinc lumen cognitionis iis qui illuminantur innaſcitur. Similiter rationum purgatio proprium, vt ait ſcriptura, virtutis Domini. Nam ſplendor, gloria & character ſubſtantiæ purgationem pec-

Hebr. 1. catorum noſtrorum fecit. Arcere dæmonas, quod ſpiritus proprium dicit Eunomius: hoc etiam facit vnigenitus Deus, qui dicit dæmoni, tibi impero, attribuit virtuti ſpiritus dicens: Si ego

Luc. 11. in ſpiritu Dei eijcio dæmonia. Quare non eſt ſpiritus gloriæ demolitio. Dæ-

A ἀναγέγραπται, ταῦτα πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. τούτου ἕνεκεν οὐκ ἀποβαλλόμεθα τὸν Εὐνομίου τὸν λόγον, εἰπόντος συνεργεῖν τὸ πνεῦμα τοῖς πιστοῖς πρὸς κατανόησιν καὶ θεωρίαν τῶν παρ' αὐτοῦ διατεταγμένων τοῦ πνεύματος, διὰ τὸ πάντα ἡμῖν τὰ ἀγαθὰ διδάγματα παρ' αὐτοῦ διατετάχθαι. ὑπηχοῦν, φησίν, εὐχομένοις. τούτου τοῦ ῥητοῦ τὴν διάνοιαν, μωρὸν ἂν εἴη κατασπουδάζειν ἀπελέγχειν, αὐτόθεν πᾶσιν ἐπίσης τοῦ γελοίου τε καὶ ἀνοήτου τῆς λέξεως

B ταύτης προφαινομένου. τίς γὰρ οὕτω παράφορος καὶ τῆς διανοίας ἐξεστηκώς, ὡς ἀναμεῖναι παρ' ἡμῶν μαθεῖν, ὅτι οὐκ ἔστι κώδων ἢ πίθος διάκενος τὸ πνεῦμα τὸ ἅγιον. οἷόν τινι πληγῇ τῇ φωνῇ τῶν εὐχομένων ὑπηχοῦν καὶ δονούμενος. ὁδηγοῦν, φησί, πρὸς τὸ συμφέρον. τοῦτο καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. ὁδηγεῖ γὰρ ὡσεὶ πρόβατον τὸν Ἰωσήφ, καὶ ὡδήγησεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ. καὶ τὸ πνεῦμα τὸ ἀγαθὸν ὁδηγεῖ ἡμᾶς ἐν γῇ εὐθείᾳ. κρατυνόν, φησί, πρὸς εὐσέβειαν· Θεοῦ ἔργον ὁ Δαβὶδ λέγει εἶναι, τὸ

C ἐν εὐσεβείᾳ κρατύνειν τὸν ἄνθρωπον. κραταίωσις γάρ μου καὶ καταφυγή μου εἶ σύ, φησὶν ὁ προφήτης. καὶ κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ, καὶ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. οὐκοῦν ταῦτα εἰ κατὰ τὸν προφητικὸν εἴρηται νοῦν, τῆς θεότητος τοῦ πνεύματος μαρτυρία ἐστίν. εἰ δὲ ἐναντιοῦται τῇ προφητείᾳ, δι' αὐτοῦ τούτου κατηγορεῖται ἡ βλασφημία, ὅτι τοῖς ἁγίοις προφήταις ἀντιδοξάζει τῷ λόγῳ. εἶτα φησί, φωτίζον τὰς ψυχὰς τῷ φωτὶ τῆς γνώσεως. ταύτην τὴν χάριν πατρί τε καὶ υἱῷ

D καὶ πνεύματι ἁγίῳ ὁ τῆς εὐσεβείας ἀνατίθησι λόγος. ἐκεῖθεν γὰρ φωτισμὸς παρὰ τοῦ Δαβὶδ ὀνομάζεται, καὶ ἐκεῖθεν τὸ φῶς τῆς γνώσεως τοῖς φωτιζομένοις ἐγγίνεται. ὡσαύτως δὲ καὶ ἡ κάθαρσις τῶν λογισμῶν ἴδιον, ὥς φησιν ὁ λόγος, τῆς τοῦ κυρίου δυνάμεως. τὸ γὰρ ἀπαύγασμα τῆς δόξης καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως τὸν καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο. τὸ δὲ ἀπείργειν τοὺς δαίμονας ὃ τοῦ πνεύματος ἴδιον φησὶν ὁ Εὐνόμιος, τοῦτο καὶ ὁ μονογενὴς Θεός, ὁ λέγων τῷ δαίμονι, ὅτι ἐγὼ ἐπιτάσσω σοι, προσμαρτυρεῖ τῇ δυνάμει τοῦ πνεύματος λέγων· εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. ὥστε οὐκ ἔστι καθαίρεσις τῆς δόξης τοῦ

πνεύματος ἡ τῶν δαιμόνων ἀναίρεσις, ἀλλὰ σύστασις τῆς θείας αὐτοῦ καὶ ὑπερεχούσης δυνάμεως. νοσοῦντας, φησί, θεραπεύων, ἀρρωστοῦντας ἰώμενος, θλιβομένους παρακαλῶν, ὀκλάζοντας ἀνορθῶν, πονοῦντας ἀνακτώμενος, ταῦτα τῶν εὐσεβούντων περὶ τοῦ ἁγίου πνεύματός ἐστι τὰ ῥήματα. οὐ γὰρ ἂν ἄλλῳ τις ἀναθείη τούτων ἑκάστου τὴν ἐνέργειαν πλὴν τῷ Θεῷ. εἰ τοίνυν ἃ παρ' οὐδενός ἐστι ποιεῖν, ἢ Θεοῦ μόνου, ταῦτα τῇ δυνάμει τοῦ πνεύματος ἐνεργεῖσθαι διαβεβαιοῦται ἡ αἵρεσις, ἔχομεν ὑπὲρ ὧν σπουδάζομεν, καὶ τὴν παρὰ τῶν ἐχθρῶν μαρτυρίαν. πῶς παρὰ τοῦ Θεοῦ ὁ προφήτης ζητεῖ τὴν ἴασιν, λέγων. ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι. ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. τῷ Θεῷ λέγει ὁ Ἠσαΐας, ὅτι ἡ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστιν. καὶ τὴν τῶν πλανωμένων ἐπιστροφὴν Θεοῦ ἔργον εἶναι ἡ προφητεία μαρτυρεῖται. ἐπλανήθησαν γάρ, φησιν, ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ. καὶ ἐπήγαγεν, ὅτι καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. καὶ ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιών. ὡσαύτως δὲ καὶ ἡ τῶν θλιβομένων παράκλησις, εἰς Θεὸν ἀναφέρεται. οὕτως εἰπόντος τοῦ Παύλου, εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ παρακαλῶν ἡμᾶς ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. καὶ ὁ προφήτης ἐκ προσώπου τοῦ Θεοῦ φησίν, ἐν θλίψει ἐπικαλέσομαι καὶ ἐρυσάμην σε· ἡ δὲ τῶν ὀκλαζόντων ἀνόρθωσις, μυριοτρόπως ὑπὸ τῆς γραφῆς εἰς τὴν τοῦ κυρίου δύναμιν ἀναφέρεται. ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κύριος ἀντελάβετό μου. καί, ὅταν πέσῃ οὐ καταῤῥαχθήσεται, ὅτι κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ. καί, κύριος ἀνορθοῖ κατεῤῥαγμένους, ἡ δὲ τῶν πονούντων ἀνάκτησις, τὸ τοῦ Θεοῦ φιλανθρωπίας τὴν ὁμολογίαν ἔχει. εἴπερ ὃ παρὰ τῆς προφητείας ἐμάθομεν, καὶ οὗτος ἐνόησε. καθὼς ὁ λόγος φησίν, ὅτι ἔθου θλίψεις ἐπὶ τῶν νώτων ἡμῶν. ἐπιβιβάσας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. διήλθομεν διὰ πυρὸς καὶ ὕδατος καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. μέχρι μὲν οὖν τούτου διὰ τῆς τῶν ἐχθρῶν μαρτυρίας ἀποδείκνυται τὸ μεγαλεῖον τοῦ πνεύματος. ἐν δὲ τοῖς ἐφεξῆς πάλιν τῷ αἱρετικῷ βορβόρῳ τὸ καθαρὸν τῆς εὐσεβείας καταμολύνεται, φησὶ γὰρ περὶ τοῦ πνεύματος, ὅτι τοῖς ἀγωνιζομένοις ὑποφωνεῖ.

A monum ſublatio, ſed conſtitutio diuinæ eius & ſupereminentis virtutis. [Ægrotantes, inquit, curans, infirmos ſanans, afflictos conſolans, labentes erigens, laborantes reficiens;] hæc ſunt piè ſentientium de ſancto Spiritu verba. Non enim alij horum cuiuſque efficaciam quam Deo quis aſſignauerit: Si igitur quæ nullus poteſt efficere quàm ſolus Deus, hæc virtute ſpiritus effici confirmat hæreſis, obtinemus pro quibus obnixè & ſtudioſè contendimus etiam ab inimicis teſtimonium. Quomodo à Deo petit Propheta ſanationem dicens; Miſerere mei quoniam infirmus ſum. *Pſal. 6.* ſana me Domine, quoniam conturbata
B ſunt oſſa mea. Deo dicit Eſaias, ros defluens à te remedium eſt ipſis. Atque errantium conuerſionem opus Dei eſſe prophetia teſtatur. Errauerunt enim, inquit, in deſerto & aquis carente loco. *Pſal. 106.* Deinde ſubiunxit, & deduxit eos in rectam viam, vt proficiſcerentur in ciuitatem habitationis. Et, dum conuerteret *Ibidem.* Dominus captiuitatem Sion. Similiter afflictorum conſolatio ad Deum refertur, ſic Paulo dicente. Benedictus Deus *Pſ. 125.* & Pater Domini noſtri Ieſu Chriſti qui conſolatur nos in omni tribulatione noſtra. Et Propheta ex perſona Dei ait, in tribulatione inuocaui & inueni te. La-
C bentium autem erectio, infinitis modis à ſacra ſcriptura ad Domini potentiam refertur. Pulſus euerſus ſum vt caderem, *Pſal. 36.* & Dominus ſuſcepit me. Et, cùm ceciderit non collidetur quia Dominus ſuſtentat eum manu ſua. Et, Dominus erigit eliſos. *Pſ. 146.* Laborantium recreatio ſiuè refocillatio Dei beneuolentiæ in hominum genus eſſe confeſſionem habet: ſiquidem ex prophetia didicimus, & hic nouit: quemadmodum ſermo dicit, poſuiſti tribulationes ſuper dorſis noſtris; conſcendere feciſti homines in capita noſtra percurrimus per ignem & aquam;
D & eduxiſti nos in refrigerium. hactenus quidem inimicorum teſtimonio, Spiritus maieſtas & magnificentia demonſtrata eſt. In ſequentibus autem hæretico luto pietatis puritas contaminatur. Autumat enim de ſpiritu, quòd [certantibus ſubclamat.] Hoc autem extremæ amentiæ & impietatis

crimen habet. Nam in ſtadiis, alij quidem certamina inſtituunt & deſignant, Athleticum robur oſtentare cupientibus. Alij verò vi & arte aliis præſtantiores de victoria fortiter certant, ad certamina mutua ſeſe exuentes, reliqui verò beneuolentia erga certatores diuiſi prout ſtudio & voluntate in aliquem athletarum quiſque fuerit affectus, in complexus ſiue congreſſus tempore ſubclamat, ſeu quia damnum præuiderit, ſeu quia luctaminis meminerit, vel quia arte ſua cauerit ne corrueret. In quo igitur ordine Eunomius Spiritum ſanctum conſtituit? ex his quæ dicta ſunt intelligite. In ſtadiis enim cum aliqui certamina ponant, alij verò iudicent de legitima certatione, alij autem certent, alij verò certantibus ſubclament, qui quidem certantibus multò inferiores pro confeſſo habentur. Vt vnum è populo ſpectantium, vel aliquem eorum qui athletis miniſtrant, Eunomius Spiritum ſanctum videt, qui neque certamen inſtituit, neque de victoria iudicat, neque contra aduerſarium certat, ſed ſua ſubclamatione ad victoriã nihil cooperatur. Non enim concertat, neque ad hoc ipſum certamen vim inſerit. tantummodò vult vt ille cui fauet, ex Athletis non ſecundus vel inferior declaretur. Atqui Paulus certat aduerſus principatus, aduerſus poteſtates, aduerſus mundipotentes tenebrarum huius ſeculi, & aduerſus ſpiritualia nequitiæ in cœleſtibus. Spiritus autem virtutis non vim & robur Athletis confert, neque luctatoribus dona ſua largitur, diuidens cuique prout vult: ſed hucuſque tantum vt conſerentibus ſubclamet, vim habet. Rurſus, inquit, [meticuloſos & pauidos audentes reddit.] Hic quidem ſuo ſermone blaſphemiam præcedentem ſequitur, ſed veritas ſeipſam per os inimici manifeſtat. Nullius enim alterius eſt expaueſcentibus fiduciam & animi præ-
Ioan. 6. ſentiam ingenerare, quàm ſolius Dei, qui dicit metuenti, Noli timere, tecum enim ſum, nihil reformida: ſicut dicit Propheta, ſi enim ambulauero in me-
Pſal. 22. medio vmbræ mortis, non timebo mala, quoniam tu mecum es. Quinetiam ipſe Dominus ad metuentes dicit,

A τοῦτο δὲ τῆς ἐσχάτης ἀνοίας τι καὶ ἀσεβείας τῆς κατηγορίας ἔχει. ἐν γὰρ τοῖς σταδίοις, οἱ μὲν ἀγωνοθετοῦσι τοῖς μέλλουσι τὴν ἀθλητικὴν ἰσχὺν ἐπιδείκνυσθαι. οἱ δὲ τῇ δυνάμει καὶ τῇ τέχνῃ τῶν ἄλλων προέχοντες ὑπὲρ τῆς νίκης ἀθλοῦσι, πρὸς τοὺς κατ' ἀλλήλων ἀγῶνας ἀποδυόμενοι, οἱ δὲ λοιποὶ τῇ εὐνοίᾳ πρὸς τοὺς ἀγωνιστὰς μεριζόμενοι, ὅπως ἂν σχοῖεν ἕκαστος περὶ ἕνα τῶν ἀθλητῶν σπουδῆς τι καὶ διαθέσεως, ἐν τῷ καιρῷ τῆς συμπλοκῆς ὑποφωνοῦσιν, ἢ δὲ τὸ προϊδεῖν τὴν βλάβην, ἢ τὸ μνησθῆναι παλαίσματος, ἢ τὸ φυλάξαι διὰ τῆς τέχνης ἑαυτὸν ἀκατά- B πτωτον. εἰς τίνα τοίνυν τάξιν τὸ πνεῦμα τὸ ἅγιον καθίστησιν ὁ Εὐνόμιος; ἐκ τῶν εἰρημένων κατανοήσατε. ἐν γὰρ τοῖς σταδίοις, τῶν μὲν ἀγωνοθετούντων, τῶν δὲ κρινόντων τὴν νόμιμον ἄθλησιν, τῶν δὲ ἀγωνιζομένων, τῶν δὲ τοῖς ἀγωνιζομένοις ὑποφωνούντων, οἵτινες ὁμολογουμένως πολὺ τῶν ἀθλούντων εἰσὶ καταδεέστεροι. ὡς ἕνα τῶν ἐκ τοῦ δήμου θεωμένων, ἢ τινὰ τῶν τοῖς ἀθληταῖς ὑπηρετουμένων, τὸ πνεῦμα τὸ ἅγιον ὁρᾷ ὁ Εὐνόμιος, ὃ μήτε ἀγωνοθετεῖ, μήτε κρίνει τὴν νίκην, μήτε πρὸς τὸν ἀντίπαλον ἀγωνίζεται, ἀλλὰ δι' ὑ- C ποφωνήσεως συνεργεῖ μὲν πρὸς τὴν νίκην οὐδέν. οὔτε γὰρ συναγωνίζεται, οὔτε τὴν πρὸς αὐτὸ τοῦτο δύναμιν ἐμποιεῖ. βούλεται δὲ μόνον, μὴ δεύτερον δειχθῆναι τοῦ ἀντιπάλου τὸν παρ' αὐτοῦ σπουδαζόμενον. καὶ Παῦλος μὲν ἀγωνίζεται πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, καὶ πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, καὶ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. τὸ δὲ πνεῦμα τῆς δυνάμεως οὐχὶ ἐνισχύει τοὺς ἀθλητὰς, οὐδὲ διανέμει τοῖς ἀθληταῖς τὰ χαρίσματα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. ἀλλὰ μέχρι τοῦ ὑποφωνεῖν τοῖς συμ- D πλεκομένοις τὴν δύναμιν ἔχει. πάλιν, φησὶ, δειλανδροῦντας θρασύνων. ἀλλ' οὗτος μὲν ἀκολούθως κατὰ τὸν ἑαυτοῦ λόγον τῇ προλαβούσῃ κατὰ τοῦ πνεύματος βλασφημίᾳ, φανεροῖ δὲ καὶ διὰ τοῦ ἐχθροῦ στόματος ἑαυτὴν ἡ ἀλήθεια. οὐδενὸς γάρ ἐστιν ἑτέρου, θάρσος ἐμποιεῖν τοῖς δειλαινομένοις, ἢ Θεοῦ μόνου, λέγοντος τῷ δειλιῶντι. μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, μηδὲν εὐλαβοῦ, ὡς φησιν ὁ προφήτης· ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. ἀλλὰ καὶ αὐτὸς ὁ δεσπότης πρὸς τοὺς δειλιῶντας φησὶ,

μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. καὶ, τί δειλοί ἐστε ὀλιγόπιστοι; καὶ, θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε· καὶ πάλιν θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. ἐκ τοίνυν καὶ ἄκοντος τοῦ Εὐνομίου δι' αὐτῆς τῆς πολεμίας φωνῆς, δείκνυσιν ἑαυτὴν ἡ εὐσέβεια. συμφωνεῖ δὲ καὶ ὁ ἐφεξῆς τῷ προάγοντι λόγος. ἁπάντων, φησί, κηδόμενος, καὶ πᾶσαν φροντίδα καὶ προνοίαν εἰσφερόμενος. μόνου γάρ ἐστιν ὡς ἀληθῶς τοῦ Θεοῦ τὸ κήδεσθαι καὶ φροντίζειν ἁπάντων, οὕτως εἰπόντος τοῦ μεγάλου Δαβίδ. ἐγὼ πτωχός εἰμι καὶ πένης, κύριος φροντιεῖ μου. εἰ δὲ τὸ λειπόμενον ἄνευ διανοίας B ἐν ψόφῳ, διὰ κενῶν ῥημάτων διακεκρότηται, μηδεὶς αἰτιάσθω ὁρῶν αὐτὸν ἐν τοῖς πλείοσι πάσης ἔμφρονος διανοίας ἄπνουν τε καὶ ἀπαίδευτον. τί γὰρ νοῶν, φησίν, εἰς προσαγωγὴν τῶν εὐνουστέρων, καὶ φυλακὴν τῶν πιστοτέρων, οὔτ' ἂν αὐτὸς εἴποι, οὔτε οἱ τὰ ἐκείνου ἀνοήτως θαυμάζοντες. ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A ne turbetur cor veſtrum, neque formidet. Et, quid timidi eſtis modicæ fidei? *Ioan. 14.* Et, confidite, Ego ſum: nolite timere. atque iterum: confidite ego vici mundum. Quamobrem inuito etiam Eunomio, per hoſtilem vocem ſeipſam demonſtrat pietas. Sermo etiam qui deinceps ſequitur præcedenti conſonat. [Omnium, inquit, curam habens, & omnem curam & prouidentiã inferens.] Solius enim eſt Dei verè omnium cogitationem & curam habere. Sic Dauide magno dicente: Ego mendicus ſum & pauper, & Dominus ſollicitus erit mei. Quòd ſi reliqua ſine ſententia in ſtrepitu B inanium verborum exploſa ſunt, nullus accuſet ipſum, dum videt in pluribus omnis prudentis & ſanæ intelligentiæ expertem, inanem & indoctum. Quid enim intelligens, inquit, [ad beneuolentiorum fauorem & cuſtodiam fideliorum,] non ipſe diceret, neque in inſanè & inſipienter illius decreta & ſcripta admirantur. [In Chriſto Ieſu, cui gloria & imperium, in ſecula ſeculorum, Amen.]

A

Sancti Patris noſtri
GREGORII NYSSENI, CONTRA EVNOMIVM,
ORATIO II.

Legitime decertanti, laborum in certaminibus exantlatorum hic terminus eſt : vt vel aduerſarius laboribus defeſſus fractúſque & languidus ſponte ei qui ſuperarit herbam porrigat & cedat victoria : vel vt ſecundum Athleticam legem ter proſtratus in terram ruat : per quæ victori præſidum iudicio, clara præconis denuntiatione, ob adeptam coronam illuſtris accedit gloria. Quoniam igitur bis ſuperioribus orationibus proſtratus Eunomius, nondum veritati cedit, nec ipſam ſinit contra mendacium, victoriæ præmia reportare : ſed rurſus tertiò contra pietatem per ſcriptionem puluerem excitat in aſſueta ſibi palæſtra mendacij : ad iteranda pro errore certamina ſeipſum corroborans. Neceſſario etiam nunc per nos veritatis ſermo ad mendacij euerſionem contra exſurgit in autorem victoriæ & agonothetam, id eſt, certaminum conſtitutorem totam victoriæ ſpem reponens, ſimul etiam ex aduerſarij praua luctatione vires concipiens & colligens. Nos enim abſque pudore confitemur, neque aliquam orationem Rhetorico artificio elaboratam & acuminatam ad certandum præparaſſe : neque Dialecticæ ſubtilitatis ſolertiam & acrimoniam ad auxilium & defenſionem contra ea quæ ab aduerſariis ſunt obiecta protendere quæ etiam veritatem in ſuſpicionem mendacij apud imperitos traducit. Sed noſtri ſermonis vnica virtus aduerſus mendacium eſt. Ac primùm quidem ipſe verus ſermo, ſiue verbum, robur ſermonis noſtri, eruditionem ſuſcipere præcipit, ſed ſapientem ex antecedente diſciplina. Deinde ſic ex prouerbio diſci-

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ.
ΛΟΓΟΣ Β.

B Τῷ νομίμως ἀθλοῦντι, τῶν ἐν τοῖς ἀγῶσι πόνων ὅρος ἐστὶ, ἢ τὸ παντελῶς ἀπειπόντα πρὸς τοὺς πόνους τὸν ἀνταγωνιστὴν ἑκουσίως ἐκστῆναι τῷ κεκρατηκότι τῆς νίκης· ἢ τρισὶ πτώμασι κατὰ τὸν ἀθλητικὸν καταβληθῆναι νόμον· δι' ὧν γίνεται τῷ νενικηκότι τῇ κρίσει τῶν βραβευόντων, ἡ ἐπὶ τῷ στεφάνῳ δόξα διὰ λαμπροῦ τοῦ κηρύγματος.
C ἐπεὶ οὖν δὶς ἤδη καταβληθεὶς ἐν τοῖς προλαβοῦσι λόγοις ΕΥνόμιος, οὔπω συγχωρεῖ τῇ ἀληθείᾳ κατὰ τοῦ ψεύδους ἔχειν τὰ νικητήρια· ἀλλ' ἐκ τρίτου πάλιν κατὰ τῆς εὐσεβείας διὰ τῆς λογογραφίας κονίζεται ἐν τῇ συνήθει παλαίστρᾳ τοῦ ψεύδους· εἰς τοὺς ὑπὲρ τῆς ἀπάτης ἀγῶνας ἑαυτὸν ἐπιρρώσας. ἀναγκαίως δὲ νῦν δι' ἡμῶν ὁ τῆς ἀληθείας λόγος, πρὸς τὴν τοῦ ψεύδους ἀνατροπὴν ἀντεγείρεται, τῷ νικοποιῷ τε καὶ ἀγωνοθέτῃ, τῆς νίκης ἀναθεὶς τὰς ἐλπίδας, καὶ ἅμα τῇ κακοτεχνίᾳ τῶν τοῦ ἐναντίου παλαισμάτων ἐνδυναμούμενος.
D ὁμολογοῦμεν γὰρ ἀνεπαισχύντως ἡμεῖς, μήτε τινὰ λόγον διὰ ῥητορικῆς τεθηγμένον, ἐπὶ τοὺς ἀγῶνας παρεσκευάσθαι, μήτε δεξιότητα διαλεκτικῆς ἀγχινοίας εἰς συμμαχίαν κατὰ τῶν ἀντιτεταγμένων προβάλλεσθαι, ἣ καὶ τὴν ἀλήθειαν πολλάκις εἰς ὑπόνοιαν ψεύδους ἐπὶ τῶν ἀπείρων ἀντιμεθίστησιν. ἀλλὰ μία δύναμις τοῦ ἐν ἡμῖν λόγου κατὰ τοῦ ψεύδους ἐστί. πρῶτον μὲν αὐτὸς ὁ ἀληθινὸς λόγος, ἰσχὺς τοῦ ἡμετέρου, τὴν παίδευσιν, ἀλλὰ σοφὸν, ἐκ προπαιδεύσεως γίνεσθαι πρῶτον διακελεύεται. εἶθ' οὕτως τὴν ἐκ τῆς παροιμίας παιδείαν

παιδείας χωρεῖ. φρονήσεως γάρ εἶναι λόγους, φησί, διὰ στροφῆς τὸν σκοπὸν ἐκκαλύπτοντας. τὸ γὰρ μὴ ἐπ' εὐθείας νοούμενον, στροφῆς τινὸς χρείζει πρὸς τὴν τοῦ κεκρυμμένου κατάληψιν. καὶ ὥσπερ ὁ Παῦλος, ἀλλάξαι ἑαυτοῦ τὴν φωνὴν ἐπηγγείλατο, μέλλων μεταθεῖναι τὴν ἱστορίαν εἰς τροπικὴν θεωρίαν· οὕτως ἐνταῦθα ἡ τῶν κεκρυμμένων φανέρωσις, στροφὴ τοῦ λόγου παρὰ τοῦ Σολομῶντος κατονομάζεται. ὡς οὐ δυναμένου κατανοηθῆναι τοῦ κάλλους τῶν νοημάτων, εἰ μή τις τοῦ λόγου τὸ προφαινόμενον εἰς τὸ ἔμπαλιν διαστρέψας, ἴδοι τὴν ἀποκεκρυμμένην αὐγὴν τοῦ νοήματος. οἷον ἐπὶ τοῦ πτεροῦ συμβαίνει ᾧ κατὰ τὸ οὐραῖον ὁ ταὼς καλλωπίζεται. ἐπὶ τούτου γὰρ ὁ μὲν τὰ νῶτα τοῦ πτεροῦ θεασάμενος, κατὰ τὸ ἀκαλλές τε καὶ ἄμορφον, καταφρονεῖ πάντως, ὡς εὐτελοῦς τοῦ θεάματος· εἰ δέ τις ἀναστρέψας αὐτοῦ τὴν ἑτέραν ὄψιν προδείξειεν, ὁρᾷ τὴν ποικίλην ζωγραφίαν τῆς φύσεως, καὶ τὸν ἡμιτελῆ κύκλον ἐν πορφυρᾷ τῇ βαφῇ κατὰ τὸ μέσον ἐκλάμποντα, καὶ τὸν χρυσοειδῆ περὶ τὸν κύκλον ἀέρα, τοῖς πολυχρόοις ἴρισι κατὰ τὸ ἄκρον διεζωσμένον τε καὶ λαμπόμενον. ἐπεὶ οὖν οὐδὲν τῷ προχείρῳ τῆς λέξεως ἔπεστι κάλλος· πᾶσα γάρ, φησιν, ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν τοῖς χρυσοῖς νοήμασι τῷ κρυπτῷ διαλάμπουσα κόσμῳ, ἀναγκαίως ὁ Σολομῶν τοῖς ἐντυγχάνουσι τῷ βιβλίῳ τούτῳ τὴν τοῦ λόγου στροφὴν ὑποτίθεται, ἵνα διὰ τούτου νοήσωσι παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. ταῦτα τοίνυν περιεχούσης τῆς παροιμιακῆς ταύτης διδασκαλίας· οὐδὲν ἄν τις τῶν εὖ φρονούντων ἀνεξετάστως τε καὶ ἀθεωρήτως, τῶν ἐκ τῆς βίβλου ταύτης προφερομένων δέξεται· κἂν ὅτι μάλιστα σαφὲς ἐκ τοῦ προχείρου τε γνώριμον τυγχάνῃ. πάντως γὰρ ὕπεστί τις καὶ τοῖς προδήλοις εἶναι δοκοῦσι κατὰ ἀναγωγὴν θεωρία. εἰ δὲ τὰ πρόχειρα τῆς γραφῆς ταύτης ἀναγκαίως ἐπιζητεῖ τὴν λεπτομερεστέραν ἐξέτασιν, πόσῳ μᾶλλον ἐκεῖνα οἷς πολὺ τὸ ἀσαφές τε καὶ δυσθεώρητον, ἐκ τῆς αὐτόθεν ἐστὶ κατανοήσεως; ἐξετάσωμεν τοίνυν ἐκ τῆς περὶ τὸν τόπον ἐκεῖνον συμφράσεως

A plinam capere. Prudentiæ enim eſſe, inquit, ſermones qui per inuerſionem ſcopum occultant. Quod enim recto ſenſu non poteſt intelligi, verſione aliqua indiget, vt id quod in eiuſmodi verbis occultum latet, comprehendatur, & quemadmodum Paulus in tropicam ſiue allegoricam ſpeculationem hiſtoriam transſlaturus, ſe ſuam quoque vocem mutaturum eſſe promiſit: ſic hoc in loco abditorum declaratio, ſermonis inuerſio, vel ſermonum verſutiæ à Solomone nominantur. Quia notionum pulchritudo mente comprehendi non poſſit, niſi quis B ſermonis prima ſpecie retro verſa, notiotionis occultum ſplendorem inſpexerit. Quemadmodum in ea penna contingit, qua in cauda pauo adornatur. Si quis enim pennam à tergo contemplatus fuerit, propter neſcio quid inuenuſtum ac deforme, quod in ea apparet, omnino deſpexerit, tanquam vile aliquod & nihili faciendum ſpectaculum. Quod ſi quis inuerſa penna eius alterum proſpectum oſtenderit, variam naturæ picturam intuebitur, & ſemicirculum purpurea tinctura in medio emicantem, & circumfuſum aëra circulo, aurea ſpecie ni- C tentem, eiúſque ſummitatem multicoloribus iridibus cinctã & venuſto ſplendore fulgentem. Quare cum in orationis primo proſpectu nulla ineſt pulchritudo: Omnis enim, inquit, gloria filiæ regis ab intus, in aureis intellectionibus occulto reſulgens ornatu. Neceſſario Solomon, hunc librum legentibus, ſermonem inuertere præcipit, vt hoc modo intelligant parabolam & obſcurum ſermonem, verba ſapientum & ænigmata eorum. Cùm igitur hæc prouerbialis doctrina iſta contineat: qui rectè ſapit, nihil eorum quæ ex hoc libro citantur, D inconſideratè & temerè accipiet: quamuis illud prima fronte maximè apertum & cognitum videatur. Omnino enim etiam in his quæ valde perſpicua putantur, ſubeſt per anagogen, id eſt, figuram qua intellectus ad altiora ſubuehitur, cõtemplatio. Quod ſi quæ facilia ſunt & in promptu, in hac ſcriptura neceſſario ſubtiliorem inquiſitionem & examinationem poſtulant; quanto magis illa quibus plurimùm ineſt obſcuritatis & difficultatis, ex ea quæ inde ſumitur, cognitione & intelligentia? Quamobrem exquiramus ex verborum contextu illius

Sap. 8. ſic habetur, ſi multitudinem ſcientiæ deſiderat quis: ſcit præterita, & de futuro æſtimat, ſcit verſutias ſermonum, & diſſolutiones argumentorum.

Gal. 4. 20.

Pſal. 44.

Prou. 1.

loci, ſi quem manifeſtum ſenſum habet propoſitorum lectio. Deſcribit ſermo ſapientiam, ſermones quoſdam ex propria *Prou. 8.* perſona enarrantem. Scit autem ſtudioſus planè, quæ in eo loco dicuntur: vbi ſapientia, in cõſilio habitare ſe prædicat, aduocat autem cognitionẽ & notitiam. poſſeſſionem dicit ſe habere fortitudinem & prudentiam, ipſa autem nominatur intelligentia, in viis iuſtitiæ ſe ambulare, & in medio ſemitarum iudicij conuerſari: dicit etiam per ſe reges regnare, potentes iuſtitiam decernere, & terræ ſuæ tyrannos dominari. Quod enim ex his quæ dicta ſunt qui rectæ rationis iudicio vſus fuerit nihil temerè & inconſideratè ex eo ſenſu qui in promptu eſt, & prima frõte apparet, admittet, cuius eſt perſpicuum. Nam ſi per illam ad potentiam reges prouehuntur, & ab ipſa robur habet tyrannis; omnino eſt neceſſarium, ſapientiam tyrannificam nobis apparere, atque eorum qui improbè in regno dominantur, crimina in ſeipſam transferre. Sed nouimus alios reges, qui à ſapientia verè ad æternum fineque carens deducuntur imperium, videlicet pauperes ſpiritu, quorum poſſeſſio regnum eſt cœlorum: *Matth. 5.* ſicut Dominus, qui eſt ſapientia Euangelij, promittit: tales etiã potentes intelligimus, qui aduerſus appetitus & paſſiones potentiam exercent, qui non ſeruiunt poteſtati peccati. Qui in vita ſua tanquam tabula quadam iuſtitiam inſcribunt. Sic etiam laudabilis tyrannis, quæ auxilio ſapientiæ paſſionum ſiue affectuum, democratiã, in mentis monarchiam poſtquã conuerterit, ea quæ malè in libertatem frænum mordent & ferocius exultãt, in ſeruitutẽ redigit. Omnia corporalia & terreſtria cogitata & ſtudia intelligo. Caro enim concupiſcit aduerſus ſpiritum, & contra animi imperium exſurgit: huic igitur terræ dominatur ille tyrannus, cuius princeps, ſecundum primam creationem, à Verbo eſt ordinatus. *Galat. 5.* Sic igitur hæc ab omnibus rectè ſentientibus conceduntur, cum tali intelligentia legenda eſſe potius, quam cum ea quæ cortice tenus in verbis apparet prima fronte oblata. Sic ex conſequentia conſentaneum eſt, cohęrẽtem his vocem illam conſcriptam, non ſimpliciter & inexplorato ab his qui rectè ſapiũt admitti.

A τῶν ῥημάτων, εἴ τι σαφὲς ἡ τῶν προκειμένων ἀνάγνωσις ἔχει. Διαγράφει τὴν σοφίαν ὁ λόγος, ῥήσεις τινὰς ἐξ οἰκείου διεξιοῦσαν προσώπου· ἐπίσταται δὲ πάντως ὁ φιλομαθὴς, τὰ ἐν τῷ τόπῳ λεγόμενα. ὅπου κατασκηνοῦν μὲν βουλὴν ἡ σοφία, ἐπικαλεῖται δὲ γνῶσιν καὶ ἔννοιαν, κτῆμα δὲ ἔχειν φησὶν, ἰσχύν τε καὶ φρόνησιν, αὐτὴ δὲ ὀνομάζεται σύνεσις, ἐν ὁδοῖς δὲ περιπατεῖν δικαιοσύνης, καὶ ἀνὰ μέσον ὁδῶν δικαιώματος ἀναστρέφεσθαι. φησὶ δὲ δι' ἑαυτῆς βασιλεύειν τοὺς βασιλεύοντας· B δικαιοσύνην γράφειν τοὺς δυναστεύοντας, καὶ τῆς ἑαυτῶν κατακρατεῖν γῆς τοὺς τυράννους. ὅτι γὰρ οὐδὲν τῶν εἰρημένων ὁ λελογισμένος ἀνεξετάστως ἐκ τῆς ἑτοίμου διανοίας προσδέχεται, παντὶ δῆλόν ἐστι. εἰ γὰρ οἱ βασιλεῖς δι' ἐκείνης ἐπὶ τὴν δυναστείαν προάγονται, καὶ παρ' αὐτῆς ἡ τυραννὶς τὴν ἰσχὺν ἔχει, ἀνάγκη πᾶσα τυραννοποιὸν ἡμῖν τὴν σοφίαν ἀναφανῆναι· καὶ τῶν πονηρῶς ἐν βασιλείᾳ δυναστευσάντων, εἰς ἑαυτὴν μετατιθέναι τὰς μέμψεις. ἀλλ' οἴδαμεν βασιλέας τοὺς ὑπὸ τῆς σοφίας ὄντως εἰς τὴν ἀτελεύτητον προϊόντας C ἀρχὴν, τοὺς πτωχοὺς τῷ πνεύματι· ὧν κτῆμα ἡ τῶν οὐρανῶν ἐστὶ βασιλεία· καθὼς ὁ κύριος ὅς ἐστιν ἡ σοφία τοῦ εὐαγγελίου καταπαγγέλλεται· τοιούτους δὲ τοὺς δυνάστας ἐπιγινώσκομεν, τοὺς κατὰ τῶν παθῶν δυναστεύοντας, τοὺς μὴ δουλευομένους τῇ δυναστείᾳ τῆς ἁμαρτίας. οἳ καθάπερ δέλτῳ τινὶ τῷ ἰδίῳ βίῳ τὴν δικαιοσύνην ἐγγράφουσιν, οὕτως δὲ ἡ ἐπαινεῖται τυραννὶς, τῇ συμμαχίᾳ τῆς σοφίας τὴν τῶν παθῶν δημοκρατίαν εἰς τὴν τοῦ νοῦ μοναρχίαν μετασκευάσασα, δουλαγωγεῖ τὰ κακῶς εἰς ἐλευ- D θερίαν ἀφηνιάζοντα. πάντα τὰ σωματικά τε καὶ γήϊνα λέγω φρονήματα. ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τῇ ἀρχῇ τῆς ψυχῆς ἐπανίσταται, ταύτης οὖν κρατεῖ τῆς γῆς ὁ τοιοῦτος τύραννος, ἧς ἄρχων ἐτάχθη κατὰ τὴν πρώτην κτίσιν ὑπὸ τοῦ λόγου. ὡς τοίνυν ταῦτα παρὰ πάντων ὁμολογεῖται τῶν εὖ φρονούντων, μετὰ τοιαύτης διανοίας ἀναγινώσκεσθαι μᾶλλον ἢ μετὰ τῆς τοῖς ῥητοῖς ἐπιφαινομένης κατὰ τὸ πρόχειρον, οὕτως εἰκός ἐστι ἐκ τοῦ ἀκολούθου προσφυῶς τούτοις τὴν φωνὴν ἐκείνην συγγεγραμμένην, μὴ ἁπλῶς τε καὶ ἀνεξετάστως παρὰ τῶν εὖ φρονούντων παραδεχθῆναι.

ἐὰν ἀναγγείλω ὑμῖν, φησί, τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀπαριθμῆσαι, κύριος ἔκτισέ με. τί μοι πρὸς ταύτην ἐρεῖ τὴν φωνήν, ὁ τῆς λέξεως δοῦλος, ὁ τῷ ἤχῳ τῶν συλλαβῶν Ἰουδαϊκῶς προσκαθήμενος. ἆρ' οὐ δοκεῖ ξενισμὸν ἐμποιεῖν τῇ ἀκοῇ τῶν ἐπιστατικωτέρων ἡ σύνταξις, ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, κύριος ἔκτισέ με. ὡς ἐὰν μὴ ἀναγγείλῃ τὰ καθ' ἡμέραν γινόμενα, κατὰ τὸ ἀκόλουθον καὶ τὸ ἐκτίσθαι πάντως ἀρνήσεται. ὁ γὰρ εἰπών, ὅτι ἐὰν ἀναγγείλω ἐκτίσθην, δέδωκε νοεῖν κατὰ τὸ σιωπώμενον, ὅτι οὐκ ἐκτίσθην ἐὰν μὴ ἀναγγείλω. κύριος ἔκτισέ με, φησίν, ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. τίς ἡ καινὴ τῆς κατασκευῆς τοῦ κτίσματος τούτου τάξις; πρότερον κτίζεται, καὶ μετὰ τοῦτο θεμελιοῦται, καὶ τότε γεννᾶται. κύριος ἐποίησε, φησί, χώρας ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' οὐρανόν. ποῖον κύριον λέγει χώρας ἀοικήτου ποιητὴν καὶ οἰκουμένης; πάντως τὸν καὶ τὴν σοφίαν ποιήσαντα. ἐκ γὰρ τοῦ αὐτοῦ προσώπου καὶ οὗτος κἀκεῖνος ὁ λόγος, ὅτε τὸ, ἔκτισέ με, κύριος λέγων, καὶ ὁ προστιθεὶς τὸ, ἐποίησε κύριος χώρας καὶ ἀοικήτους. οὐκοῦν ἐπίσης τῶν δύο δημιουργὸς ἔσται ὁ κύριος, αὐτῆς τε τῆς σοφίας, καὶ τῆς οἰκουμένης τε καὶ ἀοικήτου χώρας. πῶς τοίνυν τὰ πάντα διὰ τοῦ υἱοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ οὐδὲ ἕν; εἰ γὰρ ὁ αὐτὸς κύριος καὶ τὴν σοφίαν κτίζει, ἣν ἀντὶ τοῦ υἱοῦ νοεῖν συμβουλεύουσι, καὶ τὰ καθ' ἕκαστον ὅσα ἡ κτίσις ἔχει, πῶς ἀληθεύει ὁ ὑψηλὸς Ἰωάννης, πάντα λέγων δι' αὐτοῦ γεγενῆσθαι· ἀντιφθέγγεται γὰρ ἡ γραφὴ αὕτη πρὸς τὴν τοῦ εὐαγγελίου φωνήν, ἐν τῷ τῆς σοφίας κτίσαντι, τῆς ἀοικήτου τε καὶ οἰκουμένης χώρας ἀνατιθεῖσα τὴν ποίησιν· οὕτω δὲ καὶ τὰ ἐφεξῆς πάντα, θρόνον Θεοῦ τινὰ διεξέρχεται, ἐπ' ἀνέμων ἀφοριζόμενον, ἰσχυρὰ γίνεσθαι τὰ ἄνω νέφη λέγει, καὶ ἀσφαλεῖς τὰς ὑπουρανίους πηγάς, καὶ πολλὰ τοιαῦτα περιέχει ἡ σύμφρασις. πολλὴν ἐπιζητοῦντα τὴν διὰ λεπτῆς τινὸς καὶ διορατικῆς φρενὸς εὑρισκομένην ἐν τοῖς προειρημένοις διάνοιαν.

A ſi annuntiauero vobis, inquit, ea quæ quotidie fiunt, & ſi in memoriam reuocauero numerare ea quæ à ſeculo facta ſunt, Dominus creauit me. quid mihi ad hanc vocem, dicet ſeruus dictionis, qui ſyllabarum ſono adhęret Iudaïco more. An non hæc verborum conſtructio videtur eorum auditui, qui attentiores ſunt, neſcio quid peregrini & noui ingenerare? Si annunciauero vobis quæ quotidie fiunt, Dominus creauit me. Quaſi niſi ea quæ fiunt quotidie annuntiauerit, vi conſecutionis ſe creatum prorſus negabit. Qui enim dixit, ſi annuntiauero B creatus ſum, animo intelligendum tacitè dedit, quòd non creatus ſum, niſi annuntiauero. Dominus creauit me, inquit, principium viarum ſuarum ad opera eius, ante ſeculum fundauit me in principio, antequam terram, antequam abyſſos feciſſet, priuſquam fontes aquarum erupiſſent, priuſquam montes eſſent firmati, ante omnes colles genuit me. Quis nouus conſtructionis huius creaturæ ordo, primum creatur & poſtea fundatur, tùm vero etiam generatur. Dominus, inquit, fecit regiones non habitatas, & extremitates terræ quæ inco- C luntur ſub cœlo. Qualem Dominum dicit regionis incultæ & habitatæ factorem? Omnino eum qui ſapientiam fecit, ex eadem enim perſona & hic & ille ſermo, & qui dicit creauit me Dominus, & qui adijcit, fecit Dominus regiones etiam inhabitatas. Igitur æqualiter duorum conditor erit Dominus, ipſiúſque ſapientiæ, & terræ quæ habitatur & quæ non habitatur. Quomodo igitur omnia per filium facta ſunt, & ſine ipſo nihil? Si enim idem Dominus & ſapientiam D creat, (quam pro filio intelligere conſulunt) & ſingula quæ creata ſunt; *Ioan. 1.* quomodo ſublimis Ioannes verum dicit, omnia per ipſum facta eſſe? contradicit enim hæc ſcriptura voci Euangelij, ei qui ſapientiam creauit inhabitabilis & habitabilis regionis creationem aſſignans. Sic etiam omnia quæ deinceps enarrat: thronum quendam Dei eſſe, ſuper ventis determinatū, quę ſupra ſunt nubes firmari ait, & tutos ſubcœleſtes fontes, & multa talia complectitur orationis contextus, quæ ſubtili quadam & perſpicaci mente in prædictis excogitatam requirunt intelligentiam.

Quis ſuper ventis diſtinctus thronus? Quæ ſecuritas ſiue tuta ſedes fontium qui ſub cœlo ſunt? quomodo firmæ fiunt nubes quæ ſurſum ſunt? ſi quis ex ea quæ apparet ſpecie ſermonem iudicet, magnam rerum repugnantiam cum iis quæ dicuntur inueniet. Quis enim ignorat extrema terræ ſub cœlo, vel quia nimis ſolis calori ſint affinia & propinqua, vel quia ſupra modum diſtent diſiuncta, propter vtriuſque immoderationem non habitari poſſe? altera quidem ſicca & æſtu feruentia vltra moderatam temperiem eſſe: altera vero humido redundantia frigoribus & pruinis obriguiſſe: habitantur autem ea ſola quæ ab vtraque extremitate æqualiter diſſita ſunt & ſeorſum collocata. Quod ſi terræ medium ab hominibus occupatur & incolitur, quomodo extrema orbis ſub cœlo habitari dicit parœmia? Quæ porrò firmitudo in nubibus ſpectari poteſt, vt verus ſermo eſſe poſſit ex ea quæ prima fronte occurrit intelligentia, qui aſſerit firmas factas eſſe & validas nubes ſurſum. Rarior eſt enim quidam vapor nubis natura, per aërem diffuſus: qui propter multam tenuitatem aërio ſpiritu ſuperuehitur, leuis cùm ſit, confluens autem in ſeipſum ex concretione, decidit cùm iam aërius ille ſpiritus ſuſtinere non poſſit, dum gutta ſiue ſtilla grauis efficitur. Quódnam igitur robur in his quæ tactu minimè poſſunt apprehendi? Nam in nube aërem rarum & diffuſu facilem videre licet. Quomodo rurſus in ventorum inſtabili natura diuinus definitur thronus? Hoc autem quod dicitur primùm creari, tum demum generari, & inter creationem & generationem fundari, quam rationem cum communibus & in promptu poſitis congruentem notitiis habere quis dixerit? Quinetiam illud de quo iam ante dubitatum eſt in ſermone, quomodo annuntiatio eorum quæ fiunt quotidie, & recordatio numerationis eorum quæ à ſeculo ſunt, velut cauſa quædam eſt dicendi ſapientiam à Deo creatam eſſe? Quoniam igitur ex his quæ dicta ſunt clarè demonſtratum eſt in his nihil tale eſſe, cur inexploratò & inconſideratè hic ſermo admittatur, operæpretium erit inſtar reliquorum, & hoc quod dicitur, Dominus creauit me, non ex ea quæ vi verbi ingeneratur nobis intelligentia, interpretari, ſed omni attentione & diligentia inquirere,

A τίς ὁ ἐπ᾽ ἀνέμων ἀφοριζόμενος θρόνος; τίς ἡ ἀσφάλεια τῶν ὑπὸ τὸν οὐρανὸν πηγῶν; πῶς ἰσχυρὰ γίνεται τὰ ἄνω νέφη; Εἰ γάρ τις πρὸς τὰ φαινόμενα κρίνοι τὸν λόγον, πολλὴν εὑρήσει μάχην τῶν πραγμάτων πρὸς τὰ λεγόμενα. τίς γὰρ οὐκ οἶδεν ὅτι τὰ ἄκρα τῆς ὑπ᾽ οὐρανὸν, ἢ διὰ λίαν καθομιλεῖν τῇ τοῦ ἡλίου θερμότητι, ἢ διὰ καθ᾽ ὑπερβολὴν ἀφεστάναι, διὰ τὴν καθ᾽ ἑκάτερον ἀμετρίαν ἐστὶν ἀοίκητα; τὰ μὲν ξηρά τε καὶ διακαῆ πέρα τοῦ μετρίου γενόμενα· τὰ δὲ τῷ ὑγρῷ πλεονάζοντα, καὶ κατεψυγμένα διὰ τῆς πήξεως, οἰκεῖται δὲ μό-
B να ὅσα τῆς καθ᾽ ἑκάτερον τῶν ἐναντίων ἀκρότητος ἐπίσης ἀπῴκισται. εἰ δὲ τὸ μέσον τῆς γῆς ὑπὸ τῶν ἀνθρώπων διείληπται, πῶς τὰ ἄκρα λέγει τῆς ὑπ᾽ οὐρανὸν οἰκεῖσθαι ἡ παροιμία; τίς γὰρ ἰσχὺς ἐνθεωρηθείη τοῖς νέφεσιν, ὡς ἀληθεύειν τὸν λόγον κατὰ τὴν πρόχειρον ἔννοιαν, ὅς φησιν ἰσχυρὰ γεγενῆσθαι τὰ ἄνω νέφη. μανότερος γάρ τις ἐστὶν ἀτμὸς, ἡ τοῦ νέφους φύσις κατὰ τὸν ἀέρα διαχεόμενος· ὃς ἐποχεῖται μὲν τῷ ἐν ἀερίῳ πνεύματι διὰ πολλὴν λεπτότητα κοῦφος γινόμενος. συῤῥεὶς δὲ πρὸς
C ἑαυτὸν ἐκ τῆς συμπιλήσεως, διεκπίπτει τοῦ ἀνέχοντος πνεύματος, σταγὼν βαρεῖα γενόμενος. τίς οὖν ἐστὶν ἐν τούτοις ἡ ἰσχὺς ἐν οἷς οὐδεμία τοῖς ἁπτομένοις ἀντίληψις γίνεται; τὸ γὰρ μανὸν τοῦ ἀέρος καὶ εὐδιάχυτον, ὃ ἐπὶ τοῦ νέφους ἔστιν ἰδεῖν. πῶς δὲ πάλιν ἐπὶ τῇ ἀστάτῳ τῶν ἀνέμων φύσει ὁ θεῖος ἀφορίζεται θρόνος; τὸ δὲ πρότερον κτίζεσθαι, καὶ ἐπὶ τέλει λέγειν γεννᾶσθαι, καὶ διὰ μέσου τούτων θεμελιοῦσθαι, τίνα λόγον εἴποι τις ἂν ἔχειν ταῖς κοιναῖς τε καὶ προχείροις ἐννοίαις συμβαίνοντα; τό τε περὶ τούτων ἐπαπορηθὲν ἐν
D τῷ λόγῳ, πῶς ἡ ἀναγγελία τῶν καθ᾽ ἡμέραν γινομένων, καὶ ἡ μνήμη τῆς ἐξαριθμήσεως τῶν ἐξ αἰῶνος, ὥσπερ αἰτία τις γίνεται τοῦ ἐκτίσθαι παρὰ τοῦ Θεοῦ τὴν σοφίαν λέγειν; οὐκοῦν ἐπειδὴ δέδεικται φανερῶς διὰ τῶν εἰρημένων, μηδὲν ἐν τούτοις τοιοῦτον εἶναι, ὡς ἀνεξετάστως τε καὶ ἀθεωρήτως παραδεχθῆναι τὸν λόγον, καλῶς ἂν ἔχοι κατ᾽ ὁμοιότητα τῶν λοιπῶν, καὶ τὸ, κύριος ἔκτισέ με, μὴ κατὰ τὴν αὐτόθεν ἡμῖν ἐκ τοῦ ῥήματος ἐγγινομένην διάνοιαν ἑρμηνεύειν, ἀλλὰ ζητεῖν κατὰ πᾶσαν προσοχήν τε καὶ ἐπιμέλειαν,

τὸ εὐσεβῶς διὰ τῶν λεγομένων νοούμενον. ἀλλὰ τὸ μὲν ἀκριβῶς κατειληφέναι τὴν τῶν προκειμένων διάνοιαν, μόνων ἂν εἴη τῶν τῷ ἁγίῳ πνεύματι τὰ βάθη διερευνώντων, καὶ λαλεῖν ἐπισταμένων ἐν πνεύματι τὰ θεῖα μυστήρια. παρ' ἡμῶν δὲ τοσοῦτον ἐν τοῖς προκειμένοις ὁ λόγος ἀδολεσχήσεται, ὅσον μὴ πάντῃ παριδεῖν τὸν ἐν τούτοις σκοπὸν ἀθεώρητον. τίς οὖν ὁ ἡμέτερος λόγος; οὐκ ἔστιν, οἶμαι, δυνατὸν τὴν ἐκ θείας ἐλλάμψεως γινομένην ἔν τινι σοφίαν, μόνην ταύτην δίχα τῶν λοιπῶν χαρισμάτων τοῦ πνεύματος παραγίνεσθαι, ἀλλὰ χρὴ πάντως συνεισελθεῖν ταύτῃ καὶ τῆς προφητείας τὴν χάριν. εἰ γὰρ ἴδιον σοφίας ἐστὶ, ἡ τῆς τῶν ὄντων ἀληθείας κατάληψις, προφητεία δὲ τὴν τῶν μελλόντων περιέχει σαφήνειαν, οὐκ ἂν ἐν τῷ τελείῳ τις τῆς σοφίας εἴη χαρίσματι· μὴ διὰ τῆς προφητικῆς συνεργείας, συμπεριλαβὼν τῇ γνώσει καὶ τὸ ἐσόμενον. ἐπεὶ οὖν οὐκ ἀνθρωπίνην τινὰ σοφίαν ἑαυτῷ προσμαρτυρεῖ Σολομών, ὁ εἰπών, ὅτι ὁ Θεὸς δεδίδαχέ με σοφίαν, καὶ πάντας τοὺς παρ' ἑαυτοῦ λόγους ἀναθεὶς τῷ Θεῷ, ἐν οἷς φησιν, ὅτι οἱ ἐμοὶ λόγοι εἴρηνται ἀπὸ Θεοῦ, καλῶς ἂν ἔχοι τὴν ἀναμεμιγμένην τῇ σοφίᾳ προφητείαν ἐν τῷ μέρει τούτῳ τῆς παροιμίας διερευνήσασθαι. φαμὲν τοίνυν ὅτι ἐν μὲν τοῖς πρὸ τούτου λόγοις εἰπὼν τὴν σοφίαν ἑαυτῇ ᾠκοδομηκέναι τὸν οἶκον, τὴν τῆς σαρκὸς τοῦ κυρίου κατασκευὴν διὰ τοῦ λόγου αἰνίσσεται· οὐ γὰρ ἐν ἀλλοτρίῳ οἰκοδομήματι ἡ ἀληθινὴ σοφία κατῴκησεν. ἀλλ' ἑαυτῇ τὸ οἰκητήριον ἐκ τοῦ παρθενικοῦ σώματος ᾠκοδομήσατο. ἐνταῦθα δὲ τὸ ἑνωθὲν ἐξ ἀμφοτέρων τῷ λόγῳ προστίθησι, τοῦ τε οἴκου λέγω καὶ τῆς σοφίας τῆς οἰκοδομησάσης τὸν οἶκον, τουτέστιν, ἔκ τε τοῦ ἀνθρωπίνου καὶ ἐκ τῆς ἀνακραθείσης τῷ ἀνθρώπῳ θεότητος, ἑκατέρῳ δὲ τούτων ἐφαρμόζει τὰς καταλλήλους τε καὶ πρεπούσας φωνάς, καθὼς ἔστιν ἰδεῖν καὶ ἐν τοῖς εὐαγγελίοις γινόμενον, ἐν οἷς ὁ λόγος κατὰ τὸ πρόσφορον τῷ ὑποκειμένῳ διεξαγόμενος, διὰ μὲν τῆς ὑψηλοτέρας τε καὶ θεοπρεποῦς σημασίας τὸ θεῖον ἐνδείκνυται. διὰ δὲ τῆς χαμαιζήλου τε καὶ ταπεινῆς, τὸ ἀνθρώπινον. οὕτως ἔστιν ἰδεῖν καὶ ἐν τῷ μέρει τούτῳ προφητικῶς τὸν Σολομῶντα

A quod piè per hæc verba intelligitur. Verum enimuero accuratè & ad amuſſim propoſitorum ſententiam concipere eorum ſolorum fuerit, qui Spiritu ſancto ducti profunditates ſcrutantur, ſciúntque fari in ſpiritu diuina myſteria. Sed in his verbis de quibus agitur, tantum oratio noſtra immorabitur, quantum ſufficit vt eorum ſcopus non indiſcuſſus & inexploratus prætermittatur. Quis igitur noſter ſermo? fieri, opinor, minimè poteſt, ſapientiam quæ ex diuina illuminatione fit, hanc ſolum abſque reliquis ſancti Spiritus donis cuiquam adeſſe, ſed omnino oportet, ſimul cum hac prophetiæ gratiam ſiue B donum concurrere. Si enim ſapientiæ proprium eſt, veritatem eorum quæ ſunt animo comprehendere: prophetia verò futurorum continet declarationem, nullus perfectum ſapientiæ donum fuerit conſecutus, qui non prophetica cooperatione futuri cognitionem complexus fuerit. Quoniam igitur non humanam aliquam ſapientiam ſibiipſi vendicat Solomon, cùm dixit, Deus docuit me ſapientiam, & omnes ſermones ſuos Deo attribuit, cùm ait, Mei ſermones dicti ſunt à Deo, præclarè agemus, ſi admixtam ſapientiæ prophetiam in hac parte prouerbij huius perſcrutemur. Ergo dicimus quod in his C quæ hunc locum præcedunt verbis cùm dixiſſet ſapientiam ſibi domum ædificaſſe, carnis Domini conſtructionem per hunc ſermonem obſcurè indicat: non enim in alieno domicilio vera ſapientia habitauit, ſed ſibi domicilium ex virginali corpore ædificauit. Hic autem quod ex ambobus vnitum eſt, verbo attribuit, ex domo dico & ſapientia quæ domum ædificauit, id eſt, ex humanitate & cum homine temperata ſiue coniuncta deitate, horum D vtrique congruas & conuenientes voces accommodat, vt in Euangeliis fieri videre licet, in quibus ſermo qui pro rei ſubiectæ commodo deducitur, per excelſiorem deóque decoram ſignificantiam quod diuinum eſt oſtenditur, per humilem verò & demiſſam, quod eſt humanum, ſic etiam in hac parte licet perſpicere Solomonem propheticè

Sap. 7.

Prou. 9.

A commotum totum tradidiſſe œconomię ſiue incarnationis myſterium. dicit enim prius ſapientiæ virtutem & operationem fuiſſe ante ſecula, in quibus quodam modo Euangeliſtæ in ipſis verbis conſentit. Etenim ille vniuerſali ſiue comprehẽſiua quadam voce, omnium ipſum auctorem & conditorem prædicauit: ſic

Prou. 8. Solomon ab ipſo procreata eſſe dicit ſingula quæ in vniuerſo enumerantur. Inquit enim, quod Deus in ſapientia terram fundauit: præparauit autem cœlos in prudentia, & quæcunque ſequuntur eandem habentia ſententiam. Atque ne

B videretur donum virtutis quæ eſt in hominibus ſilentio præteritum deſpicere: rurſus ex perſona ſapientiæ pergit, dicens, ea quæ paulò ante commemorauimus: contubernale habui conſilium & cognitionem & intelligentiam: & quæcunque intelligentis & ſciẽtiam gignentis ſunt doctrinæ. Hæc & quæ ſunt huiuſmodi perſecutus, ſubiũgit doctrinam quæ eſt de diſpenſatione ſecundum hominem, id eſt, de Verbi incarnatione,

Ioan. 1. quam ob cauſam Verbum caro factum eſt. Nam cùm ſit perſpicuum omnibus

C quod nihil in ſeipſo creatum vel aduentitium habet ille qui eſt in omnibus Deus, non virtutem, non ſapientiam, non lucem, non rationem, non vitam, non veritatem, neque omnino quicquam eorum quæ in plenitudine diuini ſinus conſpiciuntur. Quæ quidem om-

Ioan. 1. nia eſt vnigenitus Deus, qui eſt in ſinibus patris, nulli eorum quæ in Deo cernuntur creationis nomen rectè & conuenienter poterit applicari. Ita vt conueniat Filium qui eſt in Patre, vel Verbum quod erat in principio, vel in luce lucem, vel in vita vitam, vel in ſapientia ſapientiam dicere, Dominus creauit me.

D Si enim creata eſt Dei ſapientia, Chriſtus autem Dei virtus & ſapientia, aduentitiam profectò Deus habuit ſapientiam, poſterius quid ex creatione adeptus, quod non prius habebat. Verumtamen qui eſt in ſinibus patris, nunquam ſeipſo vacuum ſinit intelligere ſinum paternum, nihil enim eorum quæ extrinſecus ingenerantur, eſt in ſinu. Sed omnis boni cum ſit plenitudo, omnia in Patre intelligitur qui erat in principio, non expectans in ipſo per creationem eſſe, ne aliquando Pater bonis vacuus & inanis mente concipi

A κινούμενον, καὶ ὅλον παραδεδωκέναι τὸ τῆς οἰκονομίας μυστήριον. λέγει γὰρ πρότερον μὲν τὴν προαιώνιον τῆς σοφίας δύναμιν καὶ ἐνέργειαν, ἐν οἷς τῷ εὐαγγελιστῇ τρόπον τινὰ καὶ ἐπ' αὐτῶν τῶν ῥημάτων συμφέρεται. ὡς γὰρ ἐκεῖνος τῇ περιληπτικῇ φωνῇ πάντων αὐτὸν αἴτιον καὶ δημιουργὸν ἀνεκήρυξεν, οὕτως ὁ Σολομὼν παρ' αὐτοῦ γεγενῆσθαι τὰ καθ' ἕκαστα λέγει τὰ ἐν τῷ παντὶ ἀριθμούμενα. φησὶ γὰρ, ὅτι ὁ Θεὸς ἐν τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν. ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει· καὶ ὅσα τούτοις κατὰ τὸ ἀκόλουθον

B ἕπεται τῆς αὐτῆς ἐχόμενα διανοίας. καὶ ὡς ἂν μὴ δοκοίη τὴν δωρεὰν τῆς ἐν ἀνθρώποις ἀρετῆς παρορᾷν ἀμνημόνευτον. πάλιν ἐκ προσώπου τῆς σοφίας διέξεισι, λέγων, ὧν μικρῷ πρόσθεν ἐμνημονεύσαμεν, τὸ κατεσκηνωκέναι βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν· καὶ ὅσα τῆς νοερᾶς τε καὶ ἐπιστημονικῆς διδασκαλίας ἐστί. ταῦτα καὶ τὰ τοιαῦτα διεξελθὼν, ἐπάγει καὶ περὶ τῆς κατὰ τὸν ἄνθρωπον οἰκονομίας διδασκαλίαν, δι' ἣν σὰρξ ὁ λόγος ἐγένετο. φανεροῦ γὰρ ἅπασιν ὄντος, ὅτι οὐδὲν ἐν ἑαυτῷ κτιστὸν ἢ ἐπείσακτον

C ὁ ἐπὶ πάντων ἔχει Θεὸς, οὐ δύναμιν, οὐ σοφίαν, οὐ φῶς, οὐ λόγον, οὐ ζωὴν, οὐκ ἀλήθειαν, οὐδὲ ὅλως τι τῶν ἐν τῷ πληρώματι τοῦ θείου κόλπου θεωρουμένων. ἅπερ πάντα ἐστὶν, ὁ μονογενὴς Θεός. ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, οὐκ ἄν τινι τῶν ἐν τῷ Θεῷ θεωρουμένων, εὐλόγως ἐφαρμοσθείη τὸ τῆς κτίσεως ὄνομα. ὥστε εἰπεῖν τὸν ἐν τῷ πατρὶ υἱὸν, ἢ τὸν ἐν τῇ ἀρχῇ λόγον, ἢ τὸ ἐν τῷ φωτὶ φῶς, ἢ τὴν ἐν τῇ ζωῇ ζωὴν, ἢ τὴν ἐν τῇ σοφίᾳ σοφίαν, ὅτι κύριος ἔκτισέ με. εἰ γὰρ κτιστὴ τοῦ Θεοῦ ἡ σοφία. Χριστὸς δὲ

D Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ἐπείσακτον πάντως ἔσχεν ὁ Θεὸς τὴν σοφίαν, ὕστερον ἐκ κατασκευῆς προσλαβὼν, ὃ μὴ παρὰ τὴν πρώτην εἶχεν. ἀλλὰ μὴν ὁ ἐν τοῖς κόλποις ὢν τοῦ πατρὸς, οὐδέποτε κενὸν ἑαυτοῦ δίδωσι νοεῖν τὸν πατρῷον κόλπον, ἄρα οὐ τῶν ἔξωθεν ἐγγενομένων ἐστὶ κόλπῳ. ἀλλὰ παντὸς ἀγαθοῦ πλήρωμα ὢν, πάντων ἐν τῷ πατρὶ νοεῖται ὁ ἐν ἀρχῇ ὢν, οὐκ ἀναμένων τὸ διὰ κτίσεως ἐν αὐτῷ γενέσθαι, ὡς ἂν μήποτε κενὸς ἀγαθῶν ὁ πατὴρ νοηθείη. ἀλλ'

ὁ ἐν τῇ ἀϊδιότητι τῆς πατρικῆς θεότητος εἶναι νοούμενος, ἀεὶ ἐν αὐτῷ ἐστι· δύναμις ὢν καὶ ζωὴ, καὶ ἀλήθεια, καὶ φῶς καὶ σοφία, καὶ τὰ τοιαῦτα. οὐκοῦν οὐκ ἐκ τοῦ θείου τε καὶ ἀκηράτου ἐστὶν ἡ ἔκτισέ με φωνὴ, ἀλλὰ καθὼς εἴρηται, ἐκ τοῦ ἀνακραθέντος κατ' οἰκονομίαν ἀπὸ τῆς κτίσεως ἡμῶν φύσεως. πῶς οὖν ἡ αὐτὴ καὶ τὴν γῆν θεμελιοῖ, καὶ τοὺς οὐρανοὺς ἑτοιμάζει, καὶ τὰς ἀβύσσους ἀναρρήγνυσι, σοφία καὶ φρόνησις, καὶ θεία αἴσθησις καλουμένη, καὶ ἐνταῦθα κτίζεται εἰς ἔργων ἀρχήν; οὐκ ἄνευ, φησὶν, αἰτίας μεγάλης ἡ τοιαύτη συνεργεῖται οἰκονομία. ἀλλ' ἐπειδὴ τῶν παραφυλακτέων ἡμῖν τὴν ἐντολὴν λαβόντες οἱ ἄνθρωποι ἐξέβαλον τῆς μνήμης τὴν χάριν διὰ τῆς παρακοῆς ἐν τῇ τῶν ἀγαθῶν λήθῃ γενόμενοι, διὰ τοῦτο ἵνα ἀναγγείλω πάλιν ὑμῖν τὰ καθ' ἡμέραν ἐπὶ σωτηρίᾳ γινόμενα, καὶ ἀναμνήσω τὰ ἐξ αἰῶνος ἀπαριθμησάμενος ὧν ἐπελάθεσθε. οὐ γὰρ καινόν τι καταγγέλλω νῦν εὐαγγέλιον, ἀλλὰ τὴν εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν ὑμῶν πραγματεύομαι. τούτου χάριν ἐκτίσθην ὁ ἀεὶ ὤν, καὶ μηδὲν τοῦ κτισθῆναι πρὸς τὸ εἶναι δεόμενος. ὥστε με γενέσθαι ἀρχὴν ὁδῶν εἰς τὰ ἔργα τοῦ Θεοῦ, τοὺς ἀνθρώπους λέγω. τῆς γὰρ ὁδοῦ τῆς πρώτης καταφθαρείσης, ἔδει πάλιν ἐγκαινισθῆναι τοῖς πλανωμένοις, ὁδὸν πρόσφατόν τε καὶ ζῶσαν, αὐτὸν ἐμὲ, ὅς εἰμι ὁδός. καὶ ὅτι πρὸς τὸ ἀνθρώπινον ἡ τοῦ ἔκτισέ με διάνοια βλέπει, σαφέστερον ἡμῖν τοῦτο παρίστησι διὰ τῶν ἰδίων λόγων ὁ θεῖος ἀπόστολος, ἐν οἷς διακελεύεται, ὅτι ἐνδύσασθε τὸν κύριον Ἰησοῦν Χριστὸν, καὶ πρὸς τούτοις ὅπου τὸν αὐτὸν ἐπαναλαβὼν λόγον φησὶν, ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα. εἰ γὰρ ἓν μόνον ἐστὶ τὸ σωτήριον ἔνδυμα, τοῦτο δέ ἐστιν ὁ Χριστὸς, οὐκ ἂν ἄλλον τις εἴποι παρὰ τὸν Χριστὸν εἶναι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα, ἀλλὰ δῆλον, ὅτι ὁ τὸν Χριστὸν ἐνδυσάμενος, τὸν καινὸν ἐνδέδυται ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα. μόνος γὰρ οὗτος ὡς ἀληθῶς καινὸς κυρίως ὀνομάζεται ἄνθρωπος, ὃς οὐχὶ διὰ τῶν γνωρίμων τε καὶ συνήθων τῆς φύσεως ὁδῶν ἐν τῷ τῶν ἀνθρώπων ἐφάνη βίῳ· ἀλλ' ἐξηλλαγμένη τις καὶ ἰδιάζουσα ἐπὶ μόνου τούτου ἐκαινοτομήθη ἡ κτίσις. διὰ τοῦτο τὸν αὐτὸν πρὸς

A poſſit. Sed qui in æternitate paternæ deitatis eſſe intelligitur, in ipſo eſt ſemper: virtus cùm ſit & vita & veritas, lux & ſapientia & quæ ſunt talia, haud igitur hæc vox, [Creauit me] de eo quod diuinum eſt & incorruptibile accipienda eſt, ſed ſicut dictum eſt, de eo quod per incarnationem contemperatum eſt ex creata natura noſtra. Quomodo igitur eadem terram etiam fundat & cœlos præparat, & abyſſos perrumpit, ſapientia & prudentia, & diuinus ſenſus quæ vocatur, etiam hoc in loco creatur ad operum principium?

B Non, inquit, abſque magna cauſa talis particeps operis adhibetur diſpenſatio, id eſt, humana Chriſti natura. Verum quandoquidem homines eorum quæ accepto mandato obſeruare & cuſtodire debuerant, ex ſua memoria per contumaciam & inobedientiam expulerunt gratiam, bonorum obliti, propterea vt vobis annuntiarem quæ quotidie ob veſtram ſalutem fiunt, & in memoriam reducerem ea quæ ſunt à ſeculo, enumerando vobis ea quorum memoriam amiſiſtis. (Non enim nouum quoddam Euangelium nunc annũtio, ſed veſtram

C in priſtinum ſtatum reſtitutionem molior) huius gratia ego qui ſemper ſum, creatus fui, qui nulla, vt eſſem, indigebam creatione. Ita vt ſim principium viarum ad opera Dei, homines dico. Nam corrupta via prima, viam recentem & viuam errantibus innouari rurſus oportebat, nempe meipſum qui ſum via. Quod ad humanitatem reſpicit ſententia verbi creauit me, nobis manifeſtius reddit ſuis verbis diuinus Apoſtolus, quibus iubet induere Dominum Ieſum

D Chriſtum, præterea vbi eodem repetito ſermone dicit, induite nouum hominem qui ſecundum Deum creatus eſt. Si enim vnicum eſt ſalutare indumẽtum, hoc autem eſt Chriſtus, non alium quis dixerit præter Chriſtum eſſe nouum hominem, eum qui ſecundũ Deum creatus eſt. Sed clarum eſt, quod qui Chriſtum induit, nouum induit hominẽ, eum qui ſecundum Deum creatus eſt. Solus enim hic verè & propriè nouus nominatur homo, qui non per notas & conſuetas naturæ vias in hominum vita apparuit: ſed inuſitata quædam & peculiaris in hoc ſolo innouata eſt creatio. Idcirco ad hunc

A admirabilem & inauditum generationis modum reſpiciens Apoſtolus, eundem nouum hominem ſecũdum Deum creatum nominat, & ad diuinam intuens naturam creationi huius noui hominis attemperatam, Chriſtum appellat. Quare pro vno & eodem duas poni voces certum eſt, & hanc vocem, Chriſti, dico, & illam noui hominis ſecundum Deum creati. Quoniam igitur Chriſtus ſapientia eſt, intelligẽs auditor ſermonem conſideret, & eorum qui nobis aduerſantur, & noſtrum, & iudicet vter pietati magis congruat & conſentaneus ſit. Vter magis Deo decoras intelligentias in dicto B conſeruet, an qui vniuerſi creatorem & Dominũ factum eſſe definit, & ſeruienti creaturæ honore parem conſtruit: an potius qui ad diſpenſationem incarnationis reſpiciẽs, ſeruat quod opinioni de diuinitate & de humanitate conuenit, & aptè congruit: magno Paulo hoc præſertim dogma comprobante, qui in nouo homine creationem reſpicit, & in vera ſapientia poteſtatem creationis. Quinetiam orationis ordo huius ſenſus contemplationi conſentit. Niſi enim in nobis viarum principium creatum eſſet, C non eorum quæ ſperantur, ſeculorum fundamentum iactum fuiſſet; non factus nobis eſſet Dominus, pater futuri ſeculi: niſi ſecundum Eſaiam paruulus puer nobis natus eſſet, & eius nomen vocatum eſſet, & cætera quæ propheta nominat Et cum omnibus, pater futuri ſeculi. Prius igitur fuit myſterium quod in virgine factum eſt, atque illa in paſſione diſpenſatio. Atque tunc ſapientes fidei architecti, ſiue principes fabri fidei fundamentum poſuerunt. Hic autem eſt Chriſtus, pater futuri ſeculi, ſuper D quo ædificatur ſeculorum finem nunquam habiturorum vita. Quod factum fuit, vt in vnoquoque credentium diuinæ voluntates legis Euangelicæ, & varia ſancti Spiritus dona fiant, quæ omnia tropicè ſecundum quandam agnatam ſiue adhærentem ſignificantiam montes & colles nominat ſcriptura diuina. Iuſtitiam quidem montes Dei nominans, iudicia vero abyſſos appellans, terram autem à Verbo ſatam & ferentem multiplicem & copioſum fructum. Vel ſicut alibi à Dauide docemur, per montes quidem pacem, per colles vero iuſti-

Hebr. 11.

Eſai. 9.

τὸ δὲ παράδοξον τῆς γεννήσεως βλέπων, καινὸν ἄνθρωπον κατὰ Θεὸν κτισθέντα κατονομάζει, καὶ πρὸς τὴν θείαν φύσιν ὁρῶν τὴν ἐγκερασθεῖσαν τῇ κτίσει τοῦ καινοῦ τούτου ἀνθρώπου, Χριστὸν προσαγορεύει. ὡς καθ' ἑνὸς εἶναι τὰς δύο ταύτας φωνάς, τήν τε τοῦ Χριστοῦ λέγω, καὶ τὴν τοῦ καινοῦ ἀνθρώπου τοῦ κατὰ Θεὸν κτισθέντος. ἐπεὶ οὖν Χριστὸς ἡ σοφία ἐστίν, ὁ συνετὸς ἀκροατὴς ἐπισκεψάσθω τὸν λόγον, τόν τε τῶν προσμαχομένων ἡμῖν, καὶ τὸν ἡμέτερον, καὶ κρινάτω τὸν εὐσεβέστερον. τίς μᾶλλον τὰς θεοπρεπεῖς ἐννοίας ἐν τῷ ῥητῷ διασώζει, ὁ τὸν τοῦ παντὸς κτίστην καὶ κύριον πεποιῆσθαι διοριζόμενος, καὶ τῇ δουλευούσῃ κτίσει κατασκευάζων ὁμότιμον. ἢ μᾶλλον ὁ πρὸς τὴν οἰκονομίαν ὁρῶν, καὶ φυλάσσων τῇ τε περὶ τὸ θεῖον, καὶ τῇ περὶ τὸ ἀνθρώπινον ὑπολήψει τὸ πρόσφορον· συμμαρτυροῦντος τοῦ μεγάλου Παύλου τῷ δόγματι, ὃς ἐν μὲν τῷ καινῷ ἀνθρώπῳ τὴν κτίσιν βλέπει, ἐν δὲ τῇ ἀληθινῇ σοφίᾳ τὴν ἐξουσίαν τῆς κτίσεως. συμβαίνει δὲ καὶ ἡ τάξις τοῦ λόγου, τῇ θεωρίᾳ τοῦ δόγματος. εἰ γὰρ μὴ ἐκτίσθη ἐν ἡμῖν ἡ τῶν ὁδῶν ἀρχή, οὐκ ἂν ὁ τῶν προσδοκωμένων αἰώνων θεμέλιος κατεβλήθη, οὐδ' ἂν ἐγένετο ἡμῖν ὁ κύριος πατὴρ τοῦ μέλλοντος αἰῶνος, εἰ μὴ κατὰ τὸν Ἡσαΐαν παιδίον ἐγεννήθη ἡμῖν, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ τά τε ἄλλα πάντα ὅσα ὁ προφήτης ὀνομάσει, καὶ μετὰ πάντων, πατὴρ τοῦ μέλλοντος αἰῶνος. προτέρεσιν οὖν γέγονε τὸ κατὰ τὴν παρθενίαν μυστήριον, καὶ ἡ περὶ τὸ πάθος οἰκονομία. καὶ τότε οἱ σοφοὶ τῆς πίστεως ἀρχιτέκτονες τὸν θεμέλιον τῆς πίστεως κατεβάλλοντο. ἔστι δὲ οὗτος ὁ Χριστός, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, ἐφ' ᾧ ἐποικοδομεῖται ἡ τῶν ἀτελευτήτων αἰώνων ζωή. τούτου δὲ γενομένου, ἵνα ἐν ἑκάστῳ τῶν πεπιστευκότων τὰ θεῖα θελήματα τοῦ εὐαγγελικοῦ νόμου, καὶ τὰ ποικίλα τοῦ ἁγίου πνεύματος χαρίσματα γένηται, ἅπερ πάντα τροπικῶς κατά τινα προσφυῆ σημασίαν ὄρη καὶ βουνοὺς ὀνομάζει ἡ θεία γραφή. τὴν δικαιοσύνην μὲν ὄρη Θεοῦ ὀνομάζουσα, τὰ δὲ κρίματα, ἀβύσσους προσαγορεύουσα, γῆν δὲ τὴν ὑπὸ τοῦ λόγου σπειρομένην καὶ καρποφοροῦσαν τὸν πολύχουν καρπόν. ἢ ὡς ἑτέρωθι παρὰ τοῦ Δαβὶδ μὲν εἰρήνην, διὰ τῶν ὀρέων, δικαιοσύνην δὲ διὰ τῶν

βυνῶν διδασκόμεθα· ἀναγκαίως ἐν τοῖς πιστοῖς ἡ σοφία γεννᾶται, καὶ ἀληθὴς ὁ λόγος. ὁ γὰρ ἐν τοῖς δεξαμένοις αὐτὸν ὤν, ἐν τοῖς ἀπίστοις οὔπω ἐγεννήθη. ἵνα οὖν ταῦτα καὶ παρ' ἡμῖν γένηται, χρὴ τὸν τούτων δημιουργὸν ἐν ἡμῖν γεννηθῆναι. οὕτω δὲ καὶ τὰ ἐφεξῆς τούτοις κατὰ τὸν εἱρμὸν τοῦτον κατανοήσομεν. ἐὰν γὰρ γεννηθῇ ἐν ἡμῖν ἡ σοφία, τότε παρὰ τοῦ Θεοῦ κατασκευάζεται ἐν ἑκάστῳ, ἥ τε χώρα καὶ ἡ ἀοίκητος. χώρα μὲν ἡ δεχομένη τοῦ λόγου τὴν σποράν, καὶ τὸν ἄροτον. ἀοίκητος δέ, ἡ τῶν πονηρῶν οἰκητόρων χωριζομένη καρδία. καὶ οὕτως ἔσται ἡμῖν ἡ οἴκησις ἐπὶ τῶν ἄκρων τῆς γῆς. ἐπειδὴ γὰρ τῆς γῆς τὸ μέν τι βάθος ἐστίν, τὸ δὲ ἐπιπόλαιον, ὅταν τις μὴ ὑπόγαιος γένηται μηδὲ σπηλαιώδης, ἐν τῷ τὰ κάτω φρονεῖν· οἷός ἐστιν τῶν ἐν ἁμαρτίᾳ ζώντων ὁ βίος, τῶν ἐμπεπηγότων τῇ ἀνυποστάτῳ τοῦ βυθοῦ ἰλύϊ· οἷς ἀληθῶς φρέαρ ἐστὶν ἡ ζωή, κατὰ τὴν ψαλμῳδίαν τὴν λέγουσαν· μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. ἐὰν οὖν τις ἐγγεννηθείσης αὐτῷ τῆς σοφίας τὰ ἄνω φρονῇ, τοσοῦτον τῆς γῆς ἐφαπτόμενος, ὅσον ἐπάναγκες, οὗτος τὰ ἄκρα τῆς ὑπ' οὐρανὸν οἰκεῖ· οὐκ ἐμβαθύνων τῷ γηΐνῳ φρονήματι. τούτῳ τὸν οὐρανὸν ἐν ἑαυτῷ ἀντὶ τῆς γῆς ἑτοιμάζοντι, ἡ σοφία πάρεστι. καὶ ὅταν τὰς τῶν ἄνωθεν νεφῶν διδασκαλίας, ἰσχυρὰς ἑαυτῷ ποιῇ· εἰς ἔργον ἄγων τὰ παραγγέλματα, τήν τε μεγάλην καὶ εὐρύχωρον τῆς κακίας θάλασσαν τῇ ἀκριβεῖ πολιτείᾳ καθάπερ ἠϊόνι τινὶ διαλαβών, κωλύει τὸ ἔμπαστον ὕδωρ προϊέναι τοῦ στόματος· κἂν ἐν πηγαῖς καταστῇ τῷ τῆς διδασκαλίας χαρίσματι, μετ' ἀσφαλείας προχέων τοῦ λόγου τὸ νᾶμα. ὡς μή τινι παρασχεῖν τὸ ποτόν, ἀντὶ καθαροῦ ὕδατος ἀνατροπὴν θολεράν, κἂν ὑπεραρθεὶς πάσης γηΐνης βάσεως, διαέριος τῷ βίῳ γένηται, ἐπὶ τῆς πνευματικῆς βεβηκὼς πολιτείας, ἣν ἀνέμους ὁ λόγος ὠνόμασεν· ὥστε εἰς θρόνον τοῦ ἐν αὐτῷ καθιδρυμένου ἀφορισθῆναι. οἷος ἦν ὁ Παῦλος ἀφωρισμένος εἰς εὐαγγέλιον, εἰς τὸ γενέσθαι σκεῦος ἐκλογῆς, τοῦ βαστάσαι τὸ ὄνομα τοῦ Θεοῦ, ὡς ἄλλος λόγου θρόνος ἐγένετο, ὁ τὸν ἑαυτοῦ καθιδρυμένον βαστάζων. ὅταν ταῦτα καὶ τὰ τοιαῦτα κατορθωθῇ, ὥστε εὐφραίνεσθαι ἤδη τὸν ἐν ἑαυτῷ τὴν οἰκουμένην τοῦ Θεοῦ συντελέσαντα εὐφραινόμε-

A tiam : neceſſariò in fidelibus ſapientia generatur, & verum Verbum : qui enim eſt in his qui acceperunt ipſum, in non credentibus nondum eſt. Vt igitur hæc nobis innaſcantur, oportet eorum effe-ctorem in nobis naſci. Sic autem & quæ deinceps ſequũtur hoc ipſo nexu intelligemus. Si enim in nobis genita fuerit ſapiẽtia, tunc à Deo cõſtruitur in vnoquoque & regio quæ habitatur, & quæ non habitatur: regio quidem habitabilis, quę diuini Verbi ſationem recipit & arationem; inculta autẽ ſiue inhabitabilis, cor
B quod à peruerſis & prauis habitatoribus & incolis deſeritur, & ſic erit nobis habitatio in ſummis terrę partibus. Siquidem terræ pars quædam eſt profunda, quædam quæ in extremitate eminet, cùm quis non ſubterraneus neque cauernoſus fuerit, dum quæ ſunt deorſum ſapit: qualis eſt vita eorum qui in peccato viuunt, qui in limo profundi non ſubſiſtente ſunt infixi : quibus puteus verè vita eſt, ſecundum Pſalmi cantum : Neque vrgeat ſuper me puteus os ſuum. *Pſal. 68.* Si quis igitur, poſtquam in ipſo diuina fuerit genita ſapientia, quæ ſupra ſunt
C ſapiat : tantumdem terræ attingens quantum neceſſe eſt, hic extrema terræ ſub cœlo habitat: non in terrenas cogitationes demerſus: huic cœlum ſibi loco terræ præparanti ſapientia aſſiſtit. Cúmque doctrinam cœleſtium nubium validam & firmam ſibi facit, ad opus reuocans præcepta; magnumque & ſpatioſum vitiorum mare accurata bene viuendi ratione tanquam littore quodam diſpeſcens, turbulentam aquam ex ore ſuo profluere prohibet. Quòd ſi ad fontes fuerit adduct⁹ doctrinæ dono quod Deus gratificatur, tunc cum ſecuritate verbi
D profundit laticem: ita vt non alicui potum pro aqua pura turbidã euerſionem præbeat. Et ſi ſupra omnem terrenum greſſum ſublimatus, aërius ſiue ſpiritualis viuendi ratione factus fuerit, ſpiritalem politiam ſiue cõuerſationem ingreſſus, quam ventos nominauit diuinus ſermo: ita vt in thronum eius qui in ipſo conſedit, ſegregetur : qualis fuit Paulus *Act. 9.* ſegregatus ad Euangeliũ, vt eſſet vas electionis, & ferret nomen Dei : tunc velut alius Verbi thronus factus eſt, qui illud geſtat quod in ipſo conſedit. Cùm hęc & quę ſunt eius generis perfecerit, ita vt lętetur ille qui in ſeipſo terrã à Deo habitatum penitus abſoluerit & cõpleuerit, gau-

Locus obſcurus ſed è Græca 70. Interpretũ verſione Prouerb. 8. intelligendus.

dens quod non belluarum quarundam A ferarum & rationis expertum, ſed hominum pater factus eſt, qui filij diuinæ ſunt cogitationes & ſenſa, quæ ad diuinam imaginem conformantur per fidem in eum qui in nobis creatus eſt & genitus. Fides autem voce D. Pauli fundamentum intelligitur, per quam fidelibus ingeneratur ſapientia, & omnia qui ſunt dicta operatur, tunc eius qui ſic perfectus & omnibus modis abſolutus fuerit, vita verè beata efficitur: eique omni tempore conſentit & congaudet ſapientia, qui quotidie hac ſola delectatur.

Matth. 18. B Nam Dominus lætatur in ſanctis ſuis: & in cœlo gaudium fit ſuper his qui ſalui *Luc. 15.* fiunt. Et Chriſtus Pater propter filium qui ſaluus factus eſt, feſtum celebrat. His à nobis curſim & breuiter dictis, induſtrius & ſolers lector, qui diuinæ ſcripturæ pauimenta percurrit, his ſpeculamentis ſiue commẽtationibus accommodet ænigmata (id eſt obſcura inuolucra quę verbis aliud præferunt aliud ſenſibus tenent) probans, an non multo melius eſt exiſtimare huc intueri ſentẽtiam ænigmatum, non autem ad eum ſenſum qui primus occurrit. Non enim D. Ioannis theologia vera poteſt exiſtimari, quæ C omnia creata opus Verbi eſſe prædicat, ſiquidem hic qui ſapientiam creauit cum ipſa alia omnia feciſſe credatur. Non enim amplius per illam erunt omnia, ſed cum omnibus creatis illa connumerabitur. Quod autẽ ad hoc reſpiciunt ænigmaticæ voces, ſequenti deinceps *Prou. 6.* ſermone euoluitur, qui dicit: Nunc itaque fili audi me. Beatus eſt qui meas vias cuſtodit: vias, ſcilicet ad virtutem aditus, quarum principium fit ſapientiæ acquiſitio. Quis igitur ad hanc diuinam intuens ſcripturam non impios pariter & ſycophantas veritatis inimicos cenſebit? Impios quidem, quia ineffabilem vnige- D niti Dei maieſtatem, quantum in ipſis eſt, deſtruentes, creaturæ adiungunt: vnum eorum quæ ab ipſo producta ſunt Dominum demonſtrare obnixè contendentes, cuius vnigenitum eſt in omnia imperium. Sycophantas verò, id eſt calumniatores, quia cùm ad tales aſtruẽdas opiniones nullam omnino illis occaſionem ſacra ſcriptura præbeat, quaſi illinc teſtimonium educentes, aduerſus pietatem armantur. Quoniã igitur nullam ex ſacris libris vocẽ oſtendere poſſunt, quæ

νον, ὅτι οὐχὶ θηρίων τινῶν καὶ ἀλόγων, ἀλλ' ἀνθρώπων πατὴρ ἐγένετο, οὗτοι δ' ἂν εἶεν οἱ θεοειδεῖς λογισμοί, οἱ κατὰ τὴν θείαν εἰκόνα μορφούμενοι, διὰ τῆς εἰς τὸν κτισθέντα ἐν ἡμῖν καὶ γεννηθέντα πίστεως. ἡ δὲ πίστις κατὰ τὴν Παύλου φωνὴν ὁ θεμέλιος νοεῖται, δι' ἧς γεννᾶται τοῖς πιστοῖς ἡ σοφία, καὶ πάντα τὰ εἰρημένα ἐργάζεται, τότε μακάριος ἀληθῶς ὁ τοῦ κατορθωκότος γίνεται βίος· ᾧ ἁρμόζει καὶ ἐπευφραίνεται ἐν παντὶ καιρῷ ἡ σοφία, τὴν καθ' ἡμέραν αὐτῇ μόνῃ προσχαιρομένῳ. εὐφραίνεται B γὰρ ὁ κύριος ἐπὶ τοῖς ὁσίοις αὐτοῦ· καὶ ἐν οὐρανῷ χαρὰ γίνεται ἐπὶ τοῖς σωζομένοις, καὶ ὁ Χριστὸς πατὴρ, ἐπὶ τῷ ἀνασωθέντι υἱῷ ἑορτάζει. τούτων δὲ παρ' ἡμῶν ἐπιδρομῇ ῥηθέντων, ὁ φιλόπονος ἀναγνοὺς τῆς θείας γραφῆς τὰ ἐδάφη, προσαρμοσάτω τοῖς θεωρήμασι τὰ αἰνίγματα· δοκιμάσας εἰ μὴ παρὰ πολὺ κρεῖττόν ἐστι πρὸς τοῦτο βλέπειν οἴεσθαι τὴν τῶν αἰνιγμάτων διάνοιαν, καὶ μὴ κατὰ τὸ πρόχειρον ὑπονοούμενον. οὐ γάρ ἐστι δυνατὸν τὴν τοῦ Ἰωάννου θεολογίαν ἀληθῆ νομισθῆναι, τὴν πάντα τὰ κτισθέντα ἔργον εἶναι τοῦ λόγου ὑμνή- C σασαν, εἴπερ ἐνταῦθα ὁ τὴν σοφίαν κτίσας μετ' αὐτῆς, καὶ τὰ ἄλλα πάντα πεποιηκέναι πιστεύοιτο. οὐκέτι γὰρ δι' ἐκείνης ἔσται τὰ πάντα, ἀλλὰ μετὰ πάντων ἐκείνη τῶν γεγονότων ἀριθμηθήσεται. ὅτι δὲ πρὸς τοῦτο βλέπουσιν αἱ αἰνιγματώδεις φωναί, διὰ τοῦ ἐφεξῆς λόγου σαφῶς ἐκκαλύπτεται, ὅς φησι· νῦν οὖν υἱὲ ἄκουσόν μου. καί, μακάριος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάσσει. ὁδοὺς δηλαδὴ λέγων, τὰς πρὸς τὴν ἀρετὴν ἐφόδους, ὧν ἀρχὴ γίνεται τῆς σοφίας ἡ κτῆσις. τίς τοίνυν πρὸς τὴν θείαν βλέπων γραφὴν οὐκ ἀσεβεῖς τε ὁμοῦ καὶ συκοφάντας εἶναι τοὺς ἐχ- D θροὺς τῆς ἀληθείας συνθήσεται; ἀσεβεῖς μὲν, ὅτι τὴν ἄρρητον τοῦ μονογενοῦς Θεοῦ δόξαν, ὅσον ἐπ' αὐτοῖς, καθελόντες, τῇ κτίσει συνάπτουσιν. ἓν τῶν παρ' αὐτοῦ γεγονότων ἀποδεικνύειν φιλονεικοῦντες τὸν κύριον, οὗ μονογενές ἐστι κατὰ πάντων τὸ κράτος. συκοφάντας δέ, ὅτι μηδεμίαν αὐτοῖς τῆς γραφῆς πρὸς τὰς τοιαύτας ὑπολήψεις ἀφορμὴν παρεχομένης, ὡς ἐκεῖθεν ἐπαγόμενοι τὴν μαρτυρίαν κατὰ τῆς εὐσεβείας ὁπλίζονται. ἐπεὶ οὖν παρ' οὐδενὸς ἔχουσι τῶν ἁγίων γραφῶν ἐπιδεῖξαι τινα φωνήν, ἥ τις τὸ

προαιώνιον τοῦ μονογενοῦς Θεοῦ δόξαν μετὰ τῆς ὑποχειρίου κτίσεως ὁρᾶν συμβουλεύῃ, καλῶς ἂν ἔχοι τούτων ἡμῖν ἀποδεδειγμένων ἤδη προσμαρτυρηθῆναι τῷ τῆς εὐσεβείας λόγῳ κατὰ τοῦ ψεύδους τὰ νικητήρια. καὶ πάσας αὐτοῦ τὰς ὀνοματικὰς ταύτας τεχνολογίας παρωσαμένους, δι' ὧν συναρμόζουσι τὸ κτίσμα τῷ κτίσαντι, καὶ τὸ ποίημα τῷ ποιήσαντι· ὁμολογεῖν καθὼς διδάσκει τὸ ἐξ οὐρανοῦ εὐαγγέλιον, υἱὸν ἀγαπητόν, οὐ νόθον, οὐδὲ ὑποβλητόν, τῇ δὲ τοῦ υἱοῦ φωνῇ πᾶσαν τὴν φυσικὴν οἰκειότητα συμπαραδεξαμένους, Θεὸν ἀληθινὸν τὸν ἐκ τοῦ ἀληθινοῦ Θεοῦ λέγειν. καὶ τὰ πάντα ὡσαύτως ἐπ' αὐτοῦ πιστεύειν ὅσα ἐν τῷ πατρὶ καθορᾶται· διότι ἕν εἰσι, καὶ ἐν τῷ ἑτέρῳ νοεῖται τὸ ἕτερον, οὐχ ὑπερπίπτον, οὐκ ἐλαττούμενον, οὐ κατά τινα θεοπρεπῆ τε καὶ ἀγαθὸν χαρακτῆρα παρηλλαγμένον, ἢ ἀλλοιούμενον. Φανερᾶς τοίνυν τῆς πρὸς ἑαυτὸν μάχης τοῦ Εὐνομίου γενομένης, ἐν οἷς ἐναντία λέγων ἑαυτοῦ ἀπελήλεγκται. νῦν μὲν διὰ τὸ γεννηθῆναι κατὰ φύσιν, λέγων δεῖν αὐτὸν υἱὸν ὀνομάζεσθαι· πάλιν δὲ διὰ τὸ κτισθῆναι, μηκέτι υἱόν, ἀλλὰ ποίημα λέγεσθαι. προσήκειν οἶμαι τὸν συνεχῶς καὶ ἐπιστατικῶς ἐπαΐοντα, ὅτι οὐκ ἐνδέχεται δύο μαχομένων ἀλλήλοις λόγων, κατὰ τὸ ἴσον ἐν ἑκατέρῳ τὸ ἀληθὲς εὑρεθῆναι· ἀποβάλλειν ἐξ ἀμφοτέρων τὸ ἀσεβές τι καὶ βλάσφημον, τὸ κατὰ τὸ κτίσμα λέγον καὶ ποίημα· τίθεσθαι δὲ μόνῳ τῷ πρὸς εὐσέβειαν βλέποντι τῷ κατὰ φύσιν ὁμολογοῦντι προσεῖναι τῷ μονογενεῖ Θεῷ τὴν τοῦ υἱοῦ προσηγορίαν. ὡς ἂν καὶ διὰ τῆς τῶν ἐχθρῶν φωνῆς ὁ τῆς εὐσεβείας λόγος ἔχοι τὴν σύστασιν. λέγων δὲ πάλιν, ἀναλαβὼν ὃν ἐξ ἀρχῆς αὐτοῦ παρεθέμην λόγον. γεννητὸν ὄντα, φησί, τὸν υἱόν, καὶ γέννημα λέγειν οὐ παραιτούμεθα, τῆς γεννηθείσης αὐτῆς οὐσίας, καὶ τῆς τοῦ υἱοῦ προσηγορίας, τὴν τοιαύτην τῶν ὀνομάτων οἰκειουμένης σχέσιν. τέως μὲν οὖν ὁ κριτικῶς τῶν λεγομένων ἀκούων, τούτου μεμνήσθω, ὅτι τὴν γεννηθεῖσαν λέγει, ὡς μηκέτι μήτε τὴν ἀγεννησίαν, μήτε τὴν γέννησιν ἀντ' οὐσίας παραλαμβάνεσθαι. ἀλλ' ἰδίᾳ μὲν τὴν οὐσίαν παραλαμβάνεσθαι, ἰδίᾳ δὲ τὸ γεννηθῆναι αὐτήν, ἢ μὴ γεννηθῆναι, διὰ τῶν ἐπιθεωρουμένων αὐτῇ ἰδιωμάτων κατανοεῖσθαι. φιλοπονώτερον δὲ

A quidem ante-æternam vnigeniti Dei gloriam cum ſubiecta creatura intueri conſulat; his à nobis demonſtratis, præclarè habet pietatis ſermoni contra mendacium victoriæ præmia adiudicare. Atque his omnibus artificioſis nominum impoſitionibus repudiatis, quibus creaturam cum creatore, & facturam cum factore copulant: confiteri quemadmodum docet Euangelium è celis auditum, filium dilectum, non nothum ſiue adulterinum, non ſuppoſititium, & ſimul filij voce omnem naturalem cognationem accipientes, Deum verum de Deo vero dicere, ſimiliterque omnia in ipſo credere, quæ in patre conſpiciuntur: *Matth. 3. & 17. 2. Petr. 1.*
B quia vnum ſunt, & in altero alterum intelligitur: non ſuperincidens, non imminutum, non ſecundum aliquem Deo decorum & bonum characterem immutatum, vel aliud factum. * Cùm ergo ſit manifeſta Eunomij ſecū repugnantia, in quibus ſibiipſi contradicere redargutus eſt. Nunc quidem quia ſit genitus ſecundum naturam, dico ipſum oportere filium nominari: rurſus, quia ſit creatus, non amplius filium, ſed facturam dici. Conuenire puto eum qui attentè & ſcienter audit, quoniam duorum inter ſe pugnantium ex æquo ſermonum in vtroque verum non contingit inueniri. *Hic puto multa deeſſe.*
C Ex ambobus quod eſt impium & blaſphemum repudiare, quod ſecundum creaturam & facturam eſt dico: aſſentiri autem ſoli ad pietatem ſpectanti & confitenti, quod ſecundum naturam ipſi vnigenito Deo filij appellatio competit, vt etiam inimicorum voce pietatis ſermo confirmetur & aſſeratur. Repetito autem ipſius quem ab initio appoſui ſermone. [Genitum, inquit, filium eſſe, & gennema ſiue progeniem dicere non recuſamus: cùm ipſa genita eſſentia, &
D filij appellatio talem nominum relationem ſibi vendicare poſſit.] Eo vſque quidem, qui cum iudicio ea quæ dicuntur audit, huius meminerit, quòd, genitam eſſentiam dicit, vt non amplius naturam generationis expertem, neque generationem pro ipſa eſſentia ſumamus: ſed ſeparatim quidem eſſentiam, ſeparatim vero ipſam genitam eſſe, vel non genitam, per proprietates quæ in ipſa conſpiciuntur, intelligamus. Sed accuratius de hoc *Verba Eunomij.*

ſermonem conſideremus. [Eſſentiam genitum eſſe dicit, filium vero eſſentiæ genitæ eſſe nomen.] Sed in his qui noſter eſt ſermo, duobus contrariis arguet ſermonem: vno quidem improbitatis ſiue malitiæ conatum: altero verò contra nos incurſionis imbecillitatem. Malignè enim agit, dum dicit generationem eſſentiæ, vt eſſentiarum inter ſe contrarietatem aſtruat, dum eas in id quod genitum eſt & non genitum, ad differentiam naturæ, diuidit. Arguitur etiam aggreſſionis ſuę in nos imbecillitas, per ipſa met quæ eius malitia molitur. Qui enim eſſentiam genitam eſſe dixit, aliud quiddam eſſe generationem præter eſſentiam apertè definit: ita vt quod generationis nomine ſignificatur, non eſſentiæ rationi conueniat. Non enim quod in multis aſtruxit, hoc etiam in hac parte fecit: ita vt dicat ipſam eſſentiam eſſe generationem, ſed genitam eſſe confitetur eſſentiam: ita vt per vtramque vocem diſtincta notio animi audientium ingeneretur. Alia enim notio concipitur in animo eius qui audit, quòd genitus eſt: alia vero per eſſentiæ nomen. Sed exemplorum appoſitione dilucidior nobis fiet ſermo. Dicit in Euangelio

Ioan.16. Dominus, quòd propinquante partus cruciatu, mulier eſt in dolore, ſiue triſtitiam habet. Poſtea verò gaudium gaudet, quia natus eſt homo in mundo. Vt igitur in hac parte duo ſenſa ab Euangelio diſcreta diſcimus: Vnum quidem, partum quem per generationem intelleximus: alterum verò idipſum quod fit ex partu: non enim partus eſt homo, ſed per partum homo. Sic & in hoc loco, cùm Eunomius conceſſerit genitam eſſe eſſentiam, priori quidem verbo quòd ex aliquo eſt edocti ſumus: ſequente verò ipſum ſubiectum intelleximus, cui ex aliquo eſt ſubſiſtentia. Si igitur aliud eſt eſſentiæ ſignificatum: aliud verò vox generationis intelligere ſupponit, docta commenta ipſis repentè corruerunt, velut friuola vaſa fictilia colliſa, atque inter ſe confracta. Non enim amplius eis licebit geniti cum ingenito differentiam in Filij & Patris eſſentias transferentibus, ſimul ad res nominum inter ſe repugnantiam transferre.

A τὸν περὶ τούτου λόγον κατανοήσωμεν. οὐσίαν γεγεννῆσθαι λέγει, υἱὸν δὲ εἶναι τὸ γεννηθείσης οὐσίας τὸ ὄνομα. ἀλλ' ἐν τούτοις ὁ παρ' ἡμῶν λόγος διὰ δύο τῶν ἐναντίων ἐλέγξει λόγον· ἑνὸς μὲν τῆς κακουργίας τὴν ἐπιχείρησιν· ἑτέρου δὲ τῆς καθ' ἡμῶν ἐπιχειρήσεως τὴν ἀτονίαν. κακουργεῖ μὲν γὰρ, γέννησιν οὐσίας λέγων, ἵνα κατασκευάσῃ τὴν πρὸς ἀλλήλας τῶν οὐσιῶν ἐναντίωσιν, τῶν γεννητῶν τε καὶ ἀγεννήτων πρὸς ἑτερότητα φύσεως διεχρισμένας. ἐλέγχεται δὲ τὸ τῆς ἐπιχειρήσεως ἄτονον, δι' αὐτῶν ὧν ἡ κακουργία κατασκευάζεται. ὁ γὰρ
B γεγεννῆσθαι τὴν οὐσίαν εἰπὼν, ἕτερόν τι τὴν γέννησιν εἶναι παρὰ τὴν οὐσίαν σαφῶς διορίζει. ὡς μὴ αὖ τὸ σημαινόμενον τῆς γεννήσεως τῷ τῆς οὐσίας ἐφαρμοσθῆναι λόγῳ. οὐ γὰρ ὅπερ ἐν πολλοῖς κατεσκεύασε, τοῦτο καὶ ἐν τῷ μέρει τούτῳ πεποίηκεν. ὥστε αὐτὴν εἰπεῖν οὐσίαν εἶναι τὴν γέννησιν, ἀλλὰ γεννηθῆναι ὁμολογεῖ τὴν οὐσίαν, ὡς διακεκριμένην ἐφ' ἑκατέρας φωνῆς τοῖς ἀκούουσιν ἐγγενέσθαι τὴν ἔννοιαν. ἄλλο γάρ τι νόημα γίνεται, τῷ ὅτι ἐγεννήθη ἀκούσαντι, καὶ ἄλλο διὰ τοῦ τῆς οὐσίας ὀνό-
C ματος. σαφέστερος δὲ γένοιτ' ἂν ἡμῖν διὰ τῶν ὑποδειγμάτων ὁ λόγος. Εἶπεν ἐν τῷ εὐαγγελίῳ ὁ κύριος, ὅτι προσεγγιζούσης τῆς ὠδῖνος, ἐν λύπῃ γίνεται ἡ γυνή. μετὰ ταῦτα δὲ χαρᾷ χαίρει, ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον, ὡς τοίνυν ἐν τῷ μέρει τούτῳ δύο νοήματα διακεκριμένα παρὰ τοῦ εὐαγγελίου μανθάνομεν, ἓν μὲν, τὸν τόκον ὃν διὰ τῆς γεννήσεως ἐνοήσαμεν· ἕτερον δὲ αὐτὸ τὸ ἐκ τοῦ τόκου γινόμενον, οὐ γὰρ ὁ τόκος ἐστὶν ὁ ἄνθρωπος, ἀλλὰ διὰ τοῦ τόκου ὁ
D ἄνθρωπος. οὕτω καὶ ἐνταῦθα, τοῦ Εὐνομίου γεννηθῆναι τὴν οὐσίαν ὁμολογήσαντος· τῷ μὲν προάγοντι ῥήματι τὸ ἔκ τινος ἐδιδάχθημεν, τῷ δὲ ἐφεξῆς, αὐτὸ τὸ ὑποκείμενον ἐνοήσαμεν, ᾧ ἐκ τοῦ τινός ἐστιν ἡ ὑπόστασις. εἰ οὖν ἄλλο μέν ἐστι τῆς οὐσίας τὸ σημαινόμενον· ἕτερον δὲ ἡ τῆς γεννήσεως φωνὴ νοεῖν ὑποτίθεται, διαπέπτωκεν ἀθρόως αὐτοῖς τὰ σοφὰ μηχανήματα, ὥσπερ ὀστράκινα σκεύη δι' ἀλλήλοις προσαραχθέντα, καὶ δι' ἀλλήλων διαθρυφθέντα. οὐκέτι γὰρ αὐτοῖς ἐξέσται τὴν τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον διαστολὴν ἐπὶ τὴν τοῦ υἱοῦ καὶ τοῦ πατρὸς οὐσίας μεταφέρουσιν, συμμεταφέρειν ἐπὶ τὰ πράγματα τὴν προσάλληλα τῶν ὀνομάτων μάχην.

ὁμολο-

ὁμολογηθέντος γὰρ παρὰ τοῦ Εὐνομίου ὅτι ἐγεννήθη ἡ οὐσία, καθὼς καὶ τὸ εὐαγγελικὸν ὑπόδειγμα τὴν τοιαύτην ἑρμηνεύει διάνοιαν, ἐν ᾧ τὸν ἄνθρωπον γεννηθῆναι μαθόντες, οὐ ταυτὸν ἐνοήσαμεν τῇ γεννήσει τὸν ἄνθρωπον, ἀλλ' ἴδιον ἐφ' ἑκατέρου τῶν ὀνομάτων ἐδεξάμεθα νόημα, οὐκέτι χώραν ἕξει πάντως ἡ αἵρεσις τὴν ἑτερότητα τῶν οὐσιῶν διὰ τῶν τοιούτων φωνῶν δογματίζουσα. ὡς δ' ἂν μάλιστα σαφέστερον ἡμῖν ὁ περὶ τούτων λόγος ἐκκαλυφθείη, οὑτωσὶ τὸ προκείμενον πάλιν διαληψόμεθα. ἐποίησε τὴν ἀνθρωπίνην φύσιν κατ' ἀρχὰς μετὰ πάντων ὁ τὸ πᾶν συστησάμενος, καὶ μετὰ τὸ γενέσθαι τὸν Ἀδάμ, τότε τὴν ἐξ ἀλλήλων γέννησιν τοῖς ἀνθρώποις ἐνομοθέτησεν, εἰπών, αὐξάνεσθε καὶ πληθύνεσθε. τοῦ τοίνυν Ἄβελ γεννητῶς ὑποστάντος, τίς οὐκ ἂν εἴποι τῶν εὖ φρονούντων, κατ' αὐτὸ τὸ τῆς ἀνθρωπίνης γεννήσεως σημαινόμενον, ἀγεννήτως τὸν Ἀδὰμ ὑποστῆναι. ἀλλὰ μὴν ὁ πρῶτος ἄνθρωπος, ὅλον ἔχει ἐν ἑαυτῷ τῆς ἀνθρωπίνης οὐσίας τὸν ὅρον, καὶ ὁ ἐξ ἐκείνου γεννηθεὶς, ὡσαύτως ἐν τῷ αὐτῷ τῆς οὐσίας ὑπογράφεται λόγῳ. εἰ δὲ ἄλλη τις ἡ γεννηθεῖσα οὐσία παρὰ τὴν μὴ γεννηθεῖσαν κατεσκευάζετο, οὐκ ἂν ἐπ' ἀμφοτέρων ὁ αὐτὸς τῆς οὐσίας ἥρμοσε λόγος. ὧν γὰρ ἡ οὐσία διάφορος, τούτων οὐδὲ ὁ λόγος ἐστὶν ὁ αὐτὸς τῆς οὐσίας. ἐπεὶ οὖν τοῖς αὐτοῖς χαρακτηρίζεται ἰδιώμασιν ἥτε τοῦ Ἀδὰμ καὶ ἡ τοῦ Ἄβελ οὐσία· πᾶσα ἀνάγκη μίαν μὲν οὐσίαν ἐπ' ἀμφοτέροις εἶναι συνθέσθαι· ἄλλον δὲ καὶ ἄλλον τὸν ἐν τῇ αὐτῇ φύσει δεικνύμενον. ὁ γὰρ Ἀδὰμ καὶ ὁ Ἄβελ ἐν τῷ λόγῳ τῆς φύσεως, εἷς οἱ δύο εἰσίν· ἐν δὲ τοῖς ἐπιθεωρουμένοις ἑκατέρῳ αὐτῶν ἰδιώμασι, ἀσύγχυτον ἔχουσι τὴν ἀπ' ἀλλήλων διάκρισιν. οὐκοῦν οὐκ ἔστι κυρίως εἰπεῖν, ὅτι ὁ Ἀδὰμ οὐσίαν παρ' αὐτὸν ἄλλην ἐγέννησεν, ἀλλὰ μᾶλλον ὅτι ἐξ ἑαυτοῦ ἐγέννησεν ἄλλον ἑαυτόν· ᾧ πᾶς ὁ τῆς τοῦ γεννήσαντος οὐσίας συναπετέχθη λόγος. ὅπερ οὖν ἐπὶ τῆς ἀνθρωπίνης μεμαθήκαμεν φύσεως, διὰ τῆς κατὰ τὸ ἀκόλουθον ὑπὸ τοῦ λόγου προσδειχθείσης ἡμῖν ὁδηγίας, τοῦτο οἶμαι δεῖν καὶ ἐπὶ τῆς ἀκηράτου τῶν θείων δογμάτων κατανοήσεως εἰς ὁδηγίαν λαβεῖν. πᾶσαν γὰρ σαρκώδη καὶ ὑλικὴν ἔννοιαν τῶν θείων τε καὶ

A Cùm enim ab Eunomio ſit conceſſum genitam eſſe eſſentiam, quemadmodum exemplum Euangelicum hunc ſenſum explicat, quo hominem natum eſſe cùm didicimus, non hominem idem eſſe cum generatione intelleximus, ſed propriam in vtroque nomine notionem comprehendimus, non amplius locum habebit hæreſis quæ per eiuſmodi voces eſſentiarum diuerſitatem ſuo dogmate decernit. Vt autem manifeſtius nobis de his ſermo reueletur: ſic rurſus quod proponitur diducamus. Naturam humanam à principio cum omnibus fecit, ille qui vniuerſum condidit, ac poſtquam factus eſt Adam, tunc generationem quæ B fit ex mutuo complexu hominibus inſtituit, cùm dixit, Creſcite & multiplicamini. Cùm igitur Abel per generationem ſubſiſtit, quis ſanæ mentis compos non dixerit, ſecundum idem humanæ generationis ſignificatum, abſque generatione Adamum ſubſtitiſſe: Attamen primus homo totum in ſeipſo humanæ eſſentiæ terminum habuit: & qui ex illo generatus eſt, ſimiliter in eadem eſſentiæ ratione ſubſcribitur. Quòd ſi genita eſſentia diuerſa, ab ea quæ genita non eſt construeretur, non vtriſque eadem eſſentiæ ratio competeret. Quorum enim eſſentia diuerſa, horum non C eſt eadem eſſentiæ ratio ſiue definitio. Quoniam igitur iiſdem deſignatur proprietatibus & ea quæ eſt Adæ, & ea quæ eſt Abelis eſſentia; neceſſe eſt omnino in ambobus vnam eſſentiam eſſe confiteri: alium autem atque alium in eadem natura demonſtrari. Nam Adam & Abel in naturæ ratione vnus duo ſunt: Sed in proprietatibus quæ in ipſorum vtroque cernuntur, inconfuſum inter ſe habent diſcrimen. Non igitur propriè dici poteſt, quòd Adam D eſſentiam à ſeipſo aliam ſiue diuerſam genuit, ſed melius, quod ex ſeipſo genuit alium ſeipſum: cum quo omnis eius qui genuit eſſentiæ ratio ſimul edita eſt. Quod igitur de natura humana didicimus, ea conſequentiæ deductione quæ ante à nobis ratione demonſtrata eſt, hoc etiam, vt facilius ad incorruptibilem diuinorum decretorum cognitionem ducamur, ſumendum eſſe arbitror. Nam cùm omnem carnalem & materialem à diuinis &

Geneſ. 1.

excelſis decretis remouerimus notionem A ex reliquo mentis perceptu talibus perpurgato, ad ſublimia & inacceſſa certam & expeditam viam habebimus. Aduerſarij enim confitentur eum qui in omnibus eſt Deus, patrem vnigeniti & eſſe & dici, quinetiam vnigenitum Deum qui ex patre eſt, propterea quòd eſt genitus eum genitum nominant. Quoniam verò patris nomen inter homines coniunctas ſecum habet quaſdam emphaſes, id eſt, ſignificationes, à quibus immortalis natura prorſus eſt aliena. Omnes quæ circa carnalem patris ſignificantiam concurrunt materiales conceptus relinquẽtem, B decet quandam Deo decoram intelligentiam ſolius germanitatis indicem, in Deo & patre informare. quandoquidem igitur non ſolum quæcunque caro intelligere ſuggerit, notitia patris humani comprehenduntur, ſed etiam interuallo diſtincta quædam notio paternitate humana omnino mente concipitur, præclarè habeat, in diuinæ generationis contemplatione vnà cum corporeis ſordibus illam etiam interuallarem notionem penitus abijcere, & omni ex parte eluta materiali proprietate, illa ſupereminens generatio non ſolum omni turbido, ſed C etiam interuallo diſtincto intellectu pura ſit. Ergo qui patrem Deum dicit, notitia quod Deus ſit, & quod ſit aliquid complectetur. Cui enim ab aliquo principio eſt, vt ſit, huic & aliquid eſſe omnino ab aliquo incipit: in quo autem eſſe non cœpit, neque ſi quid aliud in ipſo conſideretur, ab aliquo principium habet. At pater eſt Deus, igitur ab æterno eſt quod eſt, non enim eſt genitus, ſed pater eſt. In Deo enim quod fuit, eſt & erit. Si autem quid aliquando non fuit, neque eſt, neque erit: non enim talis alicuius pater eſſe creditus eſt, quo ſine pium eſt in ſeipſo aliquando Deum eſſe D dicere. Vitæ enim eſt pater, qui eſt pater veritatiſque & ſapientiæ, & lucis & ſanctificationis & virtutis, omniúmque eiuſmodi quæ vnigenitus eſt & nominatur. Cùm igitur ab aduerſariis aſtruitur lucem non aliquando fuiſſe: neſcio cuius maior eſt mulcta, verũ ipſius lucis quando lux non erat, an habentis cùm lucem non habet. Sic & de vita & de virtute, aliiſque omnibus quibus paternũ ſinum

A ὑψηλῶν δογμάτων ἀποστησάμενοι, ἀσφαλεστάτην ἕξομεν διὰ τοῦ καταλειπομένου νοήματος, ὅταν ἐκκαθαρθῇ τῶν τοιούτων, τὴν ἐπὶ τὰ ὑψηλά τε καὶ ἀπρόσιτα χειραγωγίαν. ὁμολογεῖται γὰρ καὶ παρὰ τῶν ἐναντίων τὸν ἐπὶ πάντων ὄντα Θεόν, πατέρα τοῦ μονογενοῦς καὶ εἶναι καὶ λέγεσθαι, ἀλλὰ καὶ τὸν μονογενῆ Θεὸν τὸν ἐκ τοῦ πατρὸς ὄντα, γεννητὸν διὰ τὸ γεννηθῆναι κατονομάζουσιν. ἐπεὶ οὖν ἐν ἀνθρώποις τὸ τοῦ πατρὸς ὄνομα συνεζευγμένας ἔχει τινὰς ἐμφάσεις, ὧν ἡ ἀκήρατος ἀλλο- B τρίωται φύσις, πάντα προσήκει ὅσα περὶ τὴν σαρκώδη τοῦ πατρὸς σημασίαν ὑλικὰ νοήματα συνεισέρχεται, καταλιπόντα, θεοπρεπῆ τινὰ διάνοιαν ἐμφαντικὴν μόνης τῆς γνησιότητος ἐπὶ τοῦ Θεοῦ καὶ πατρὸς, ἐντυπώσασθαι. ἐπεὶ οὖν οὐ μόνον ὅσα ἡ σὰρξ νοεῖ ὑποτίθεται τῇ τοῦ ἀνθρωπίνου πατρὸς ἐννοίᾳ συγκαταλαμβάνεται, ἀλλὰ καὶ διαστηματική τις ἔννοια συνεπινοεῖται πάντως τῇ ἀνθρωπίνῃ πατρότητι, καλῶς ἂν ἔχοι τῷ σωματικῷ ῥύπῳ καὶ τὴν διαστηματικὴν ἔννοιαν ἐπὶ τῆς θείας συναποβάλλειν γεννήσεως, ὡς ἂν πανταχόθεν ἐκ- C πλυθείσης τῆς ὑλικῆς ἰδιότητος, καθαρεύοι παντὸς οὐ μόνον ἐμπαθοῦς, ἀλλὰ καὶ διαστηματικοῦ νοήματος, ἡ ὑπερέχουσα γέννησις. οὐκοῦν ὁ πατέρα τὸν Θεὸν λέγων, τῇ τοῦ εἶναι τὸν Θεὸν ἐννοίᾳ καὶ τὸ τί εἶναι συμπεριλήψεται. ᾧ γὰρ ἀπό τινος ἀρχῆς ἐστι τὸ εἶναι, τούτῳ καὶ τὸ τί εἶναι πάντως ἀπό τινος ἄρχεται. ἐφ' οὗ δὲ τὸ εἶναι οὐκ ἤρξατο, οὐδ' εἴ τι ἄλλο περὶ αὐτὸν θεωρεῖται, ἀπό τινος τὴν ἀρχὴν ἔχει. ἀλλὰ μὴν πατὴρ ὁ Θεός, οὐκοῦν ἐξ ἀιδίου ἐστὶν ὅπερ ἐστίν. οὐ γὰρ ἐγένετο, ἀλλ' ἔστι πατήρ· ἐπὶ Θεοῦ γὰρ ὃ ἦν, καὶ ἔστι καὶ ἔσται· εἰ δέ τι ποτὲ D μὴ ἦν, οὔτε ἔστιν οὔτε ἔσται· οὐ γὰρ τοιούτου τινὸς πεπίστευται εἶναι πατήρ, οὗ χωρὶς εὐσεβές ἐστιν ἐφ' ἑαυτοῦ ποτὲ τὸν Θεὸν εἶναι λέγειν. ζωῆς γάρ ἐστιν πατὴρ ὁ πατήρ, ἀληθείας τε καὶ σοφίας, καὶ φωτὸς καὶ ἁγιασμοῦ καὶ δυνάμεως, καὶ πάντων τῶν τοιούτων, ὅσα ὁ μονογενής ἐστι καὶ ὀνομάζεται. ὅταν τοίνυν παρὰ τῶν ἐχθρῶν κατασκευάζηται τὸ μὴ εἶναί ποτε φῶς, οὐκ οἶδα, τίνος πλείων ἐστὶν ἡ ζημία, πότερον αὐτοῦ τοῦ φωτός, ὅταν μὴ τὸ φῶς ᾖ, ἢ τοῦ ἔχοντος ὅταν μὴ ἔχῃ τὸ φῶς. οὕτω καὶ περὶ τῆς ζωῆς τε τῆς ἀληθείας καὶ τῆς δυνάμεως, καὶ τῶν ἄλλων πάντων ὅσα τὸ πατρικὸν πληροῖ

κόλπον ὁ μονογενὴς, ἐν τῷ ἰδίῳ πληρώματι τὰ πάντα ὤν. ἴση γὰρ καθ' ἑκάτερον ἐστὶν ἡ ἀτοπία, καὶ τῆς κατὰ τοῦ υἱοῦ βλασφημίας ἀντίρροπος ἡ κατὰ τοῦ πατρὸς ἐστὶν ἀσέβεια. ἐν γὰρ τῷ εἰπεῖν ποτὲ μὴ εἶναι τὸν κύριον, οὐχ ἁπλῶς δώσεις τοῦ μὴ εἶναι τὴν δύναμιν· ἀλλὰ τοῦ Θεοῦ μὴ εἶναι λέξεις τὴν δύναμιν, τοῦ πατρὸς τῆς δυνάμεως. οὐκοῦν ἡ τοῦ μὴ εἶναί ποτε τὸν υἱὸν διὰ τοῦ σοῦ λόγου κατασκευὴ, οὐδὲν ἄλλο ἢ παντὸς ἀγαθοῦ ἐρημίαν περὶ τὸν πατέρα κατασκευάζει. ὁρᾷ τις πρὸς ὅτι καταστρέφει τῶν σοφῶν ἡ ἀγχίνοια. πῶς ἀληθεύει καὶ διὰ τούτων ἡ τοῦ κυρίου φωνὴ, ἥ φησιν, ὅτι ὁ ἀθετῶν ἐμὲ, ἀθετεῖ τὸν ἀποστείλαντά με, δι' ὧν γὰρ τὸ εἶναί ποτε τοῦ μονογενοῦς ἀθετοῦσι, διὰ τούτων ἀτιμάζουσι τὸν πατέρα. πᾶν ἀγαθὸν ὄνομά τε καὶ νόημα, τῆς πατρικῆς δόξης τῷ λόγῳ περισυλήσαντες. οὐκοῦν ἐναργῶς πεφώραται διὰ τῶν εἰρημένων τοῦ λογογράφου ἡ ἀτονία τῆς κακουργίας, ὃς κατασκευάζειν ἐπιχειρῶν τὴν τῆς οὐσίας τοῦ μονογενοῦς πρὸς τὴν τοῦ πατρὸς ἐναντίωσιν· διὰ τοῦ τὴν μὲν ἀγέννητον τὴν δὲ γεννητὴν ὀνομάζειν, ἀπηλέγχθη τοῖς ἀσυστάτοις ἐμματαιάζων. ἐδείχθη γὰρ διὰ τῶν περὶ αὐτοῦ λόγων, πρῶτον μὲν ἕτερον εἶναι τὸ τῆς οὐσίας, καὶ ἄλλο τῆς γεννήσεως ὄνομα· ἔπειτα δὲ ὅτι οὐκ οὐσία τις καινὴ καὶ παρηλλαγμένη παρὰ τὴν τοῦ πατρὸς οὐσίαν τῷ υἱῷ ὑπέστη. ἀλλ' ὅπερ ἐστὶν ὁ πατὴρ ἐν τῷ λόγῳ τῆς φύσεως, τοῦτο καὶ ὁ ἐξ ἐκείνου ἐστὶν, οὐ μεταβληθείσης εἰς ἑτερότητα ἐν τῇ τοῦ υἱοῦ ὑποστάσει τῆς φύσεως, κατὰ τὴν προαποδειχθεῖσαν ἡμῖν τοῦ λόγου ἀλήθειαν. ἐπὶ τῆς τοῦ Ἄβελ οὐσίας τὴν τῆς φύσεως παραλλαγὴν οὐκ ἐποίησεν, οὕτως καὶ ἐπὶ τῶν ἀκηράτων δογμάτων, οὐδὲν ἐν ἑαυτῷ διὰ τῆς ἰδίας γεννήσεως, τὴν τοῦ μὴ γεννηθέντος οὐσίαν ἠλλοίωσεν ὁ μονογενὴς Θεὸς, ἐκ τοῦ πατρὸς ἐξελθὼν καὶ ἐν τῷ πατρὶ ὤν, καθὼς τὸ εὐαγγέλιον λέγει. ἀλλ' ἐστὶ κατὰ τὸν ἁπλοῦν τε καὶ ἰδιωτικὸν τῆς καθ' ἡμᾶς πίστεως λόγον, φῶς ἐκ φωτὸς, Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ, πάντα ὢν ὅσα ἐστὶν ἐκεῖνος, πλὴν τοῦ ἐκεῖνος εἶναι πατήρ. τὸν δὲ σκοπὸν οὗ χάριν ταῦτα τεχνολογῶν διεξέρχεται, οὐδὲν οἶμαι δεῖν ἐν τῷ παρόντι λέγειν. εἴτε τολμηρόν τι καὶ κινδυνῶδες, εἴτε συγκεχωρημένον ἐστὶ καὶ ἀκίνδυνον τὸ σχηματίζειν ἔκ τινος

A vnigenitus implet, qui in propria plenitudine eſt omnia: æqualis enim in vtroque eſt abſurditas, atque in filium blaſphemiæ æquilibris eſt aduerſus patrem impietas, dicendo enim aliquando non eſſe dominum, non ſimpliciter dabis non eſſe potentiam, ſed Dei non eſſe potentiam dices, patris potentiæ. Igitur per tuam orationem aſſertio, quòd aliquando non fuerit filius, nihil aliud quàm omnis boni ſolitudinẽ, ſiue deſertionem in patre cõſtruit. Vide quem exitum habet ſapientum ſolertia, quomodo verum dicit de his vox Domini quæ ait, qui me
B ſpernit, cum qui me miſit ſpernit, per (Ioan 12. & 13.) quę enim vnigeniti eſſe aliquando aſpernantur, patrem ipſum dedecorãt. Omne bonum nomẽ & notionem paternæ gloriæ hoc ſermone deprædantes. Ex his igitur quæ dicta ſunt, euidẽter ſcriptoris imbecilla & languida malignitas deprehenſa eſt: qui dum aſtruere conatur eſſentiæ vnigeniti diuerſitatem à paterna eſſentia, ex eo quod hanc quidem ingenitam, illam vero genitam nominet, ſibi cõtradicere redarguitur, futilis & vanus blatero, qui fingat quod eſſe nullo modo
C poſſit. Nam ex eius verbis demonſtratum eſt, primum quidem aliud eſſe eſſentiæ, aliud vero generationis nomen. Deinde quòd non aliqua noua eſſentia & ſeparata ab ea quæ patris eſt, filio ineſt. Sed quod pater eſt in ratione naturæ, hoc etiam eſt ille qui ex illo exiſtit, cùm natura in diuerſitatem non mutetur in filij perſona, ſecundum ante demonſtratam nobis ſermonis veritatem. In Abelis ſubſiſtentia naturæ differentiam non fecit: ſic etiam in incorruptibilibus decretis nihil in ſeipſo per propriam generationem vnigenitus Deus eſſentiam
D non geniti immutauit: ex patre qui exiuit, & qui eſt in patre, ſicut Euangelium dicit. Sed eſt ſecundum ſimplicem & proprium fidei noſtræ ſermonem, lumen de lumine, Deus verus de Deo vero, omnia hic eſt quæcunque eſt ille, eo excepto quod ille eſt pater. Scopum autem cuius cauſa hæc artificioſe tractans perſequitur, non arbitror oportere impræſentiarum dicere. Siue audax & periculoſum, ſiue conceſſum eſt & periculo vacat, figurare ex aliquo

ad aliquid in diuina natura ſignificatiuas dictiones, & γέννημα (progeniē) dicere eum qui genitus eſt. Hæc prætereo ne dum ſuper minora certans præter decorū ſermo noſter occupatur, quod eſt maius negligat. Sed illud dico accuratè & diligenter cognoſcendum eſſe & diſcutiendum, vtrum ſecūdum naturam relatio horum induit nominū vſum: hoc enim ille prorſus ait, quòd cum appellationum proprietate pariter id quod eſt ſecundum eſſentiam inducitur. Non enim in ſeipſis nuda nomina ab emphaſi ſignificatorum diſiuncta, relationem inter ſe habere aliquam & familiaritatē quis dixerit: ſed in iis rebus quæ per dictiones ſignificātur, quod eſt familiare & alienum in appellationibus diſcernimus. Ergo ſi filiū habere naturalē relationē cum Patre confitetur, relictis appellationibus, vim quæ eſt in ſignificatis dignoſcam⁹. Vtrū quod alienū eſt ab eſsētia in propinquitate & proprietate nominum cognoſcitur, an quod cognatum eſt & proprium. Sed alienum dicere manifeſtæ eſt inſaniæ. Quomodo enim quis externorū & cum quibus nulla eſt cōmunio, contiguam & propinquam in nominibus conſeruet ordinationem,
Verba Eunomij. [cùm ipſa genita eſſentia (ſicut ait) & filij appellatio, talem nominum vt propriam ſibi vendicet relationem.] Quòd ſi proprietatem ſiue propinquitatem per has appellationes ſignificari dicat, neceſſariò patronus communis eſſentiæ oſtendetur per nominum vſitatam conſuetudinem. Et aſtruens ſubiectorū propinquitatem ſiue cohæſionem ſignificari, idque multis in locis libri ab eo ſcripti neſcit ſe facere. Per quæ enim veritatē abolere conatur, ſæpe ad patrocinium decretorum quæ oppugnat inuitus accedit. quale quiddā de Saule ex hiſtoria audiuimus, quòd ira aliquando contra prophetas commotus à gratia ſuperatus eſt, & vnus erat eorum qui numine afflabantur, prophetico ſpiritu, ſicut arbitror, per ſeipſum erudire apoſtatam volente. vnde prouerbium in vita poſterorum factum eſt, de eo quod eſſet inopinabile & præter ſpem, mirabiliter hiſtoria hoc recitante; nunquid & Saul inter prophetas?
1.Reg.10. In quibus igitur Eunomius veritati aſſentitur? In quibus dicit [quòd ipſe Dominus filius cùm ſit Dei viuentis, ex

A εἰς τὰς σημαντικὰς ἐπὶ τῆς θείας φύσεως λέξεις, καὶ γέννημα λέγειν τὸν γεννηθέντα. παρίημι ταῦτα ὡς ἂν μὴ τῇ πρὸς τὰ μικρότερα μάχῃ, πέρας τοῦ δέοντος ὁ λόγος ἡμῶν ἐνασχολούμενος, ἀμελοίη τοῦ μείζονος. ἀλλ' ἐκεῖνό φημι δεῖν ἀκριβῶς κατανοῆσαι, εἰ ἡ κατὰ φύσιν σχέσις συνεισάγει τῶν ὀνομάτων τούτων τὴν χρῆσιν· τοῦτο γὰρ ἐκεῖνός φησι πάντως, ὅτι τῇ τῶν προσηγοριῶν οἰκειότητι, καὶ τὸ κατ' οὐσίαν οἰκεῖον συνεπεισάγεται. οὐ γὰρ ἂν ἐφ' ἑαυτῶν ψιλὰ τὰ ὀνόματα τῆς τῶν σημαινομένων ἐμφάσεως διεζευγμένα, σχέσιν B ἔχειν τινὰ πρὸς ἄλληλα καὶ οἰκειότητα φήσειεν· ἀλλ' ἐν ταῖς σημασίαις ταῖς ὑπὸ τῶν λέξεων δηλουμέναις, τὸ οἰκεῖόν τε καὶ ἀλλότριον τῶν προσηγοριῶν διακρίνομεν. οὐκοῦν, εἰ φυσικὴν ἔχειν ὁμολογεῖ σχέσιν τὸν υἱὸν πρὸς τὸν πατέρα, καταλιπόντες τὰς προσηγορίας, τὴν ἐν τοῖς σημαινομένοις κατανοήσωμεν δύναμιν. πότερον τὸ ἀλλότριον τῆς οὐσίας ἐν οἰκειότητι κατανοεῖται, ἢ τὸ συγγενές τε καὶ ἴδιον. ἀλλὰ τὸ μὲν ἀλλότριον εἰπεῖν, φανερᾶς μανίας ἐστίν. πῶς γάρ τις τῶν ξένων τε καὶ ἀκοινωνήτων C συναφῆ τε καὶ οἰκείαν ἐν τοῖς ὀνόμασι διασώζει τάξιν. τῆς γεννηθείσης αὐτῆς οὐσίας, καθώς φησι, καὶ τῆς τοῦ υἱοῦ προσηγορίας τὴν τοιαύτην τῶν ὀνομάτων οἰκειουμένης σχέσιν. εἰ δὲ τὸ οἰκεῖον διὰ τῶν προσηγοριῶν τούτων ἀποσημαίνεσθαι λέγει, συνήγορος ἐξ ἀνάγκης τοῦ κοινοῦ τῆς οὐσίας ἀναφανήσεται διὰ τῆς τῶν ὀνομάτων οἰκειότητος. καὶ τὸ τῶν ὑποκειμένων συναφὲς κατασκευάζων σημαίνεσθαι, ὃ τοῦτο πολλαχοῦ τῆς λογογραφίας ποιῶν οὐκ ἐπίσταται. δι' ὧν γὰρ ἐπιχειρεῖ καθαιρεῖν τὴν ἀλή- D θειαν, ἀκουσίως πολλάκις καθέλκεται πρὸς συνηγορίαν τῶν πολεμουμένων δογμάτων. οἷόν τι καὶ περὶ τοῦ Σαοὺλ ἐκ τῆς ἱστορίας ἠκούσαμεν, ὅτι θυμῷ ποτὲ κατὰ τῶν προφητευόντων κινούμενος, ἡττήθη τῆς χάριτος, καὶ τῶν θεοφορουμένων εἷς ἦν· τοῦ προφητικοῦ πνεύματος ὡς οἶμαι δι' ἑαυτοῦ τὸν ἀποστάτην παιδεῦσαι θελήσαντος, ὅθεν τὸ παράλογον τῆς συντυχίας παροιμία τῷ μετὰ ταῦτα γέγονε βίῳ, θαυμαστικῶς τῆς ἱστορίας τὸ τοιοῦτο διεξιούσης, εἰ καὶ Σαοὺλ ἐν προφήταις; ἐν τίσιν οὖν ὁ Εὐνόμιος τῇ ἀληθείᾳ συνίσταται; ἐν οἷς φησιν· ὅτι αὐτὸς ὁ κύριος υἱὸς ὢν τοῦ Θεοῦ τοῦ ζῶντος,

τὴν ἐκ τῆς παρθένου γέννησιν οὐκ ἐπαισχυνόμενος, ἐν τοῖς ἑαυτοῦ λόγοις υἱὸν ἀνθρώπου πολλάκις ὠνόμασεν ἑαυτόν. τοῦτον γὰρ καὶ ἡμεῖς τὸν λόγον εἰς ἀπόδειξιν τοῦ κοινοῦ τῆς οὐσίας προφερόμεθα· ὅτι τοῦ υἱοῦ τὸ ὄνομα ἴσην κατ' ἀμφότερα τὴν τῆς φύσεως κοινωνίαν. οὕτως καὶ τοῦ Θεοῦ υἱὸς πάντως νοεῖται διὰ τὴν τῆς οὐσίας αὐτοῦ πρὸς τὴν ἐξ ἧς ὑπέστη συνάφειαν· καὶ τὸ μέγιστον τῆς ἀληθείας ὅπλον οὗτος ὁ λόγος ἐστί· τὸν γὰρ μεσίτην Θεοῦ καὶ ἀνθρώπων, καθὼς ὠνόμασεν ὁ μέγας ἀπόστολος, οὐδὲν οὕτως ὡς τὸ τοῦ υἱοῦ δείκνυσιν ὄνομα, ἑκατέρᾳ φύσει τῇ θείᾳ τε καὶ ἀνθρωπίνῃ κατὰ τὸ ἴσον ἐφαρμοζόμενον. ὁ γὰρ αὐτὸς καὶ Θεοῦ υἱός ἐστι, καὶ υἱὸς ἀνθρώπου κατ' οἰκονομίαν ἐγένετο· ἵνα τῇ πρὸς ἑκάτερον κοινωνίᾳ, δι' ἑαυτοῦ συνάψῃ τὰ διεστῶτα τῇ φύσει. εἰ μὲν οὖν γενόμενος υἱὸς ἀνθρώπου ἀμέτοχος ἦν τῆς ἀνθρωπίνης φύσεως, ἀκόλουθον ἂν ἦν Θεοῦ υἱὸν ὄντα αὐτὸν, μηδὲ κοινωνεῖν τῆς θείας οὐσίας λέγειν. εἰ δὲ πᾶν τὸ ἀνθρώπινον σύγκριμα ἐν αὐτῷ ἦν, ἐπειράσθη γὰρ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας, ἀνάγκη πᾶσα καὶ πᾶν τῆς ὑπερεχούσης οὐσίας ἰδίωμα ἐν αὐτῷ πιστεύειν εἶναι· τῆς τοῦ υἱοῦ φωνῆς ὁμοίως αὐτῷ μαρτυρούσης ἑκάτερον· ἐν τῷ ἀνθρώπῳ μὲν, τὸ ἀνθρώπινον, ἐν δὲ τῷ Θεῷ, τὸ θεῖον. εἰ οὖν αἱ προσηγορίαι, καθώς φησιν ὁ Εὐνόμιος, τὸ οἰκεῖον ἐνδείκνυνται· ἡ δὲ οἰκειότης ἐν τοῖς πράγμασιν, οὐκ ἐν ψιλαῖς θεωρεῖται ταῖς τῶν ὀνομάτων φωναῖς, πράγματα δὲ φημι καθ' ἑαυτὰ νοούμενα, εἰ μὴ τολμηρὸν οὕτως εἰπεῖν τὸν υἱόν τε καὶ τὸν πατέρα, τίς ἀντείποι, μὴ οὐχὶ καὶ αὐτὸν τὸν τῆς βλασφημίας προστάτην αὐτομάτως πρὸς τὴν συνηγορίαν τῆς εὐσεβείας καθελκυσθῆναι, δι' ἑαυτοῦ τοὺς οἰκείους ἀνατρέποντα λόγους· καὶ τὸ τῆς οὐσίας κοινὸν ἐπὶ τῶν θείων δογμάτων ἀνακηρύσσοντα; οὐ γὰρ ψεύδεται περὶ τούτων ἀκουσίως παρ' αὐτοῦ προσριφθεὶς ὑπὲρ τῆς ἀληθείας ὁ λόγος. ὅτι οὐκ ἂν ἐκλήθη υἱὸς, μὴ τῆς φυσικῆς τῶν ὀνομάτων ἐννοίας ἐπαληθευούσης τὴν κλῆσιν. ὡς γὰρ οὐ λέγεται βάθρον υἱὸς τοῦ τεχνίτου, οὐδ' ἄν τις εἴποι τῶν σωφρονούντων, ὅτι ὁ οἰκοδόμος τὴν οἰκίαν ἐτεκνώσατο. οὐδὲ γέννημα τοῦ ἀμπελουργοῦ τὸν ἀμπελῶνα κατονομάζομεν.

A ex virgine generationem non erubeſcens, in ſuis ſermonibus filium hominis ſæpe ſeipſum nominauit.] Nos enim etiam hunc ſermonem ad demonſtrationem cõmunis eſſentiæ proferimus Nam filij nomen æqualem ad vtraque naturæ communionem deſignat: Sic etiã filius hominis intelligitur propter eam quam aſſumpſit cũ humana eſſentia cõiunctionem, & maximum veritatis telum hoc Verbum eſt. Nam mediatorem Dei & hominum quẽadmodum magnus Paulus nominauit, nihil æquè ac filij nomen demonſtrat, quod vtrique naturæ B diuinæ & humanæ æqualiter accommodatur. Idem enim & Dei filius eſt, & filius hominis per incarnationem factus eſt: vt per eam quam cum vtroque habet communionem, quæ natura diſtant, per ſeipſum copulet. Si igitur filius hominis factus humanæ naturæ eſſet expers, conſequens eſſet affirmare, etiamſi Dei filius ipſe ſit, non tamen cum diuina eſſentia communicare. Quod ſi omne humanum concretum in ipſo erat (tentatus eſt enim per omnia ſecundum ſimilitudinem abſque peccato) neceſſe eſt omnino omnem ſupereminentis eſſen- C tiæ proprietatem in ipſo eſſe credere: cùm filij vox ſibi vtrumque tribuat, in homine quidem humanum, in Deo diuinum. Si igitur appellationes, quemadmodum dicit Eunomius, quod proprium eſt & familiare demonſtrant; proprietas autem in rebus, non nudis nominum vocibus ſpectatur, res autem dico per ſe ſpectatas & intellectas (niſi forte ſit audax & temerarium ſic appellare filium & patrem.) Quis negauerit ipſum blaſphemiæ autorem & præſidem D ad veritatis patrocinium ſponte trahi, per ſe proprios ſermones euertentem, & communionem eſſentiæ in diuinis decretis aſſerentem & prædicantem? Non enim mentitur de his inuitè ab ipſo proiectus pro veritate ſermo, quod non vocatus eſſet filius, niſi naturalis nominum notitia veram appellationem oſtẽderet: ſicut enim ſcabellum ſiue ſcamnum non dicitur filius fabri, neque quiſquam prudentum diceret, ædificatorem domum peperiſſe. Neque vitium propaginem, vineæ cultoris progeniem nominamus.

Deſunt hic nonnulla.

1. Tim. 2.

Sed opus hominis quod ab eo fabricatum eſt: filium vero hominis eum qui ex ipſo genitus eſt, ſic opinor quod commodum eſt & congruum per nomina in ſubiectis ſignificaretur. Ita & Dei filium vnigenitum edocti, non Dei creaturam hac appellatione intelleximus, ſed quod verè vox filij ſignificato demonſtrat. Quòd ſi vitis genimen, fructus ſiue germen, vinum nominatur à ſcriptura: neque ſic ex hac nominis communione ſiue æquiuocatione in decretis pietatis ſermo lædetur, non enim quercus germen ſiue fructum vinũ dicimus, neque vitis glandem: ſed aliqua eſt communio ſecundum naturam gennematis ſiue fructus ad id vnde eſt, humor enim qui eſt in vite, per fundum radicis à medulla extractus, poteſtate quidem aqua eſt, conſecutione vero quadam per naturæ vias permeans, & ex inferioribus ad id quod ſupereminet confluens, in vini qualitatem mutatur, ſolis radio cooperante, qui calore humidum è profundo ad germen eliciens, propria & conuenienti coctione & maturitate humorem efficit vinum: ita vt ſecundum naturam humor ille qui eſt in vite nullam cum vino ex ea producto alienationem ſiue diuerſitatem habeat, ex illo enim humido: hoc humidum neque quiſquã aliam vini humiditatis cauſam dixerit, niſi humorem, qui naturaliter p. linitibus ineſt. Qualitatum autem differentiæ, non ſecundum id quod humidum eſt, diſcrimen inferunt, ſed proprietas eſt quædam, quæ humidum quod eſt in vino ab ea quæ eſt in palmite aſtrictione diſcernit, vel ob dulcedinem, vel humiditatem quæ horum alterutrum comitatur. Ita vt ſubiecto, idem ſint, qualitatum vero differentijs diſtinguantur. Igitur quemadmodum cùm ex ſcriptura audiuimus vnigenitum Deum filium eſſe hominis; ex hac nominis relatione cum vero homine neceſſitudinem & cognationem didicimus. Sic quamuis ſecundum ſermonem aduerſariorũ gennema ſiue germen filius dicatur, nihilominus etiam per hoc, quod ſecundum eſſentiam proprium eſt & coniunctum, cum eo qui genuit intelligimus. Quia cùm vinum dicatur gennema, ſiue fructus vitis, non tamen alienum ſiue diuerſum inuenitur ſecundum humiditatis rationem, ab ea naturali quæ in vite ineſt

A ἀλλ' ἔργον μὲν ἀνθρώπου τὸ κατασκεύασμα· υἱὸν δὲ ἀνθρώπου τὸν ἐξ αὐτοῦ γεννώμενον, ὡς ἂν οἶμαι τὸ πρόσφορον διὰ τῶν ὀνομάτων ἐν τοῖς ὑποκειμένοις σημαίνοιτο. οὕτως καὶ υἱὸν Θεοῦ τὸν μονογενῆ διδαχθέντες, οὐ κτίσμα Θεοῦ διὰ τῆς προσηγορίας ἐνοήσαμεν ταύτης, ἀλλ' ὅπερ ἀληθῶς ἡ τοῦ υἱοῦ φωνὴ τῷ σημαινομένῳ ἐνδείκνυται. εἰ δὲ καὶ ἀμπέλου γέννημα ὁ οἶνος ὑπὸ τῆς γραφῆς ὀνομάζεται· οὐδὲ οὕτως ἐκ τῆς ὁμωνυμίας ταύτης ἐπὶ τῶν τῆς εὐσεβείας δογμάτων ὁ λόγος παραβλαβήσεται.
B οὐ γὰρ δρυὸς γέννημα τὸν οἶνον φαμέν, οὐδὲ ἀμπέλου τὴν βάλανον. ἀλλ' εἴ τις ἐστὶ κοινωνία κατὰ τὴν φύσιν τοῦ γεννήματος πρὸς τὸ ὅθεν ἐστίν. ἡ γὰρ ἐν τῇ ἀμπέλῳ νοτίς, διὰ τοῦ πυθμένος τῆς ῥίζης, ὑπὸ τῆς ἐντεριώνης ἐξελκομένη, τῇ δυνάμει μὲν ὕδωρ ἐστίν, ἀκολουθίᾳ δέ τινι διὰ τῶν ὁδῶν τῆς φύσεως πορευομένη, καὶ ἐκ τῶν κατωτέρων πρὸς τὸ ὑπερκείμενον μεταρρέουσα, πρὸς οἴνου μεταβάλλεται ποιότητα, συνεργούσης τι καὶ τῆς ἡλιακῆς ἀκτῖνος, ἣ διὰ τῆς θερμότητος τὸ ὑγρὸν ἐκ τοῦ βάθους ἐπὶ τὴν βλάστην
C ἐξέλκουσα, διὰ τῆς οἰκείας καὶ καταλλήλου πέψεως, οἶνον τὴν ἰκμάδα ποιεῖ. ὥστε κατὰ φύσιν, μηδεμίαν ἀλλοτριότητα τὴν ἐγκειμένην τῇ ἀμπέλῳ νοτίδα πρὸς τὸν οἶνον τὸν ἐξ αὐτῆς ἀπογεννώμενον ἔχειν, ἐξ ἐκείνου γὰρ τοῦ ὑγροῦ, τὸ ὑγρὸν τοῦτο, καὶ οὐκ ἄν τις ἑτέραν τῆς τοῦ οἴνου ὑγρότητος αἰτίαν εἴποι, εἰ μὴ τὴν φυσικῶς ἐγκειμένην τοῖς κλήμασι νοτίδα· αἱ δὲ τῶν ποιοτήτων διαφοραί, οὐ τὴν κατὰ τὸ ὑγρὸν παραλλαγὴν ἐμποιοῦσιν· ἀλλά τινος ἰδιότητος τὸ ἐν τῷ οἴνῳ ὑγρὸν ἀπὸ τοῦ ἐν τῷ κλήματι διακρινούσης στύ-
D ψεως, ἢ γλυκύτητι, ἢ ὑγρότητι, θατέρῳ τούτων παρομαρτούσης. ὥστε τῷ μὲν ὑποκειμένῳ ταὐτὸν εἶναι, ταῖς δὲ τῶν ποιοτήτων διαφοραῖς ἐξηλλάχθαι. οὐκοῦν ὥσπερ υἱὸν ἀνθρώπου, τὸν μονογενῆ Θεὸν παρὰ τῆς γραφῆς ἀκηκοότες· διὰ τῆς τοῦ ὀνόματος σχέσεως τὴν πρὸς τὸν ἀληθινὸν ἄνθρωπον οἰκειότητα μεμαθήκαμεν. οὕτω κἂν γέννημα κατὰ τὸν λόγον τῶν ὑπεναντίων ὁ υἱὸς λέγηται, οὐδὲν ἧττον καὶ διὰ τούτου τὸ κατ' οὐσίαν οἰκεῖον αὐτοῦ πρὸς τὸν γεγεννηκότα μανθάνομεν· διὰ τὸ καὶ τὸν οἶνον γέννημα τῆς ἀμπέλου λεγόμενον, μὴ ἀλλότριον εὑρεθῆναι κατὰ τὸν τῆς ὑγρότητος λόγον τῆς φυσικῆς ἐγκειμένης τῇ ἀμπέλῳ

δυνάμεως. ἀλλὰ τὰ μὲν λεγόμενα παρὰ τῶν ὑπεναντίων, εἴ τις ὑγιῶς ἐξετάζοι, πρὸς τὸ ἡμέτερον δόγμα βλέπει· ἡ δὲ διάνοια ταῖς ἰδίαις αὐτῶν κατασκευαῖς ἀντιφθέγγεται, πανταχοῦ τὸ κατὰ τὴν οὐσίαν ἀλλότριον κατασκευάζειν φιλονεικούντων. καί τοί γε παντάπασιν ἄπορόν ἐστι καταστοχάσασθαι, ὅθεν πρὸς τὰς τοιαύτας ὑπολήψεις ὑπήχθησαν. εἰ γὰρ ἡ τοῦ υἱοῦ προσηγορία οὐχ ἁπλῶς τὸ ἔκ τινος εἶναι σημαίνει, ἀλλ' ἰδίως τὴν κατὰ φύσιν οἰκείωσιν διὰ τοῦ σημαινομένου παρίστησιν, ὡς αὐτός φησιν ὁ ΕΥνόμιος. B καὶ γέννημα δρυὸς οἶνος οὐ λέγεται, καὶ γεννήματα τῶν ἐχιδνῶν, καθὼς φησί που τὸ εὐαγγέλιον, ὄφεις εἰσὶ καὶ οὐ πρόβατα, δῆλον ὅτι ὁ καὶ ἐπὶ τοῦ μονογενοῦς ἥ τε τοῦ υἱοῦ καὶ τοῦ γεννήματος προσηγορία, οὐκ αὖ πρὸς τὸ ἑτερογενὲς ἔχει τὴν οἰκειότητα· ἀλλ' εἴπερ κατὰ τὸν λόγον τῶν ὑπεναντίων καὶ γέννημα λέγεται, καὶ κατὰ τὴν φύσιν ὡς ὁμολογοῦσιν ἐστὶν ἡ τοῦ υἱοῦ κλῆσις, τῆς οὐσίας ἐστὶ πάντως τοῦ γεγεννηκότος ὁ υἱὸς, οὐκ ἄλλου τινὸς τῶν ἔξω θεωρουμένων τῆς φύσεως. εἰ δὲ ἐκεῖθεν ἀληθῶς ἐστιν, οὐκ ἀπαξένωται C πάντως τοῦ ὅθεν ἐστὶν, ὡς καὶ ἐν τοῖς ἄλλοις ἐδείχθη· ὅτι πᾶν τὸ γεννητὸν ἔκ τινος ὑποστὰν, ὁμογενές ἐστι πάντως τῷ ἐξ οὗ γέγονεν. εἰ δέ τις ἀπαιτοίη τῆς θείας οὐσίας ἑρμηνείαν τινὰ, καὶ ὑπογραφὴν καὶ ἐξήγησιν, ἀμαθεῖς εἶναι τῆς τοιαύτης σοφίας οὐκ ἀρνησόμεθα· τοσοῦτον ὁμολογοῦντες μόνον, ὅτι οὐκ ἔστι τὸ ἀόριστον κατὰ τὴν φύσιν ἐπινοίᾳ τινὶ ῥημάτων διαληφθῆναι. τὸ γὰρ μὴ ἔχειν ὅρον τὴν θείαν μεγαλωσύνην, ἡ προφητεία βοᾷ διαῤῥήδην κηρύσσουσα· ὅτι τῆς μεγαλοπρεπείας, τῆς δόξης, τῆς ἁγιωσύνης αὐτοῦ D οὐκ ἔστι πέρας. Εἰ δὲ τὰ περὶ αὐτὸν ἀπέραντα, πολὺ μᾶλλον αὐτὸς ἐκεῖνος κατ' οὐσίαν ὅτι ποτὲ ἐστὶν, οὐδενὶ ὅμως κατ' οὐδὲν μέρος διαλαμβάνεται. Εἰ οὖν ἡ διὰ τῶν ὀνομάτων τε καὶ ῥημάτων ἑρμηνεία διαλαμβάνει πως τῇ σημασίᾳ τὸ ὑποκείμενον· τὸ δὲ ἀόριστον περιληφθῆναι οὐ δύναται· οὐκ ἂν τις εἰκότως τὴν ἀμαθίαν ἡμῶν αἰτιάσαιτο, μὴ θρασυνομένων κατὰ τῶν ἀτολμήτων. τίνι γὰρ ὀνόματι διαλάβω τὸ ἀπερίληπτον; διὰ ποίας φωνῆς ἐξαγγείλω τὸ ἀνεκφώνητον; ἐπεὶ οὖν κρεῖττόν ἐστι καὶ ὑψη-

A poteſtate. Sed quæ dicuntur ab aduerſarus ſiquis ſanè examinet, ad noſtrum dogma ſpectant: ſententia verò proprus ipſorum aſtructionibus repugnat, vbique quod ſecundum eſſentiam alienum eſt aſſerere cupidè certantium. Atqui conijcere nequaquam facile eſt, vnde ad eiuſmodi opiniones adducti fuerunt. Si enim filij appellatio non ſimpliciter ex aliquo eſſe ſignificat, ſed propriè naturalem propinquitatem per id ſignificatum perhibet: vt ipſe autumat Eunomius. Et gennema ſiue fructus quercus vinum non dicitur, & genimina ſiue progenies viperarum, ſicut loquitur alicubi Euangelium, ſerpentes ſunt, & non oues, perſpicuum quod & in vnigenito, ſiue filij ſiue gennematis appellatio nunquam ad id quod eſt diuerſi generis neceſſitudinem habeat: ſed ſiquidem ſecundum aduerſariorum rationem etiam gennema dicitur, atque etiam ſecundum naturam, ſicut confitentur, eſt filij nominatio, eſſentiæ eſt prorſus eius qui genuit filius, non naturæ alius cuiuſquam eorum quæ extra conſiderantur. Quòd ſi illinc verè eſt, non eſt prorſus alienus ab eo vnde eſt, ſicut in aliis demonſtratum eſt: quia omne genitum ex aliquo ſubſiſtens, eiuſdem planè eſt generis & naturæ cum eo ex quo genitum eſt. Quòd ſi quis diuinæ eſſentiæ interpretationem poſtulet, & deſcriptionem atque enarrationem, indoctos eſſe nos & ignaros talis ſapientiæ non inficiabimur: ſolum hoc tantùm confitentes, quod infinitum eſt ſecundum naturam nullo verborum conceptu comprehendi poſſe. Nam diuinam majeſtatem non habere terminum, nec poſſe circumſcribi, prophetia clarè clamitat & prædicat: quòd magnificentiæ, gloriæ, ſanctificationis eius non eſt finis. Quod ſi quæ ſunt circa ipſum infinita ſunt, multò magis ille ipſe ſecundum eſſentiam quidquid tamen eſt nullo termino nulla parte comprehenditur. Si igitur interpretatio quæ fit per nomina & verba complectitur quodammodo ſignificatione quod ſubijcitur: quod autem infinitum eſt non poteſt comprehendi; nullus merito inſcitiam noſtram culpauerit, quod de non audendis non audacter loquamur. Quónam enim nomine quod incomprehenſibile eſt complectar? Qua voce enuntiabo quod nulla voce exprimi & enuntiari poteſt? Quoniam igitur numen

Matth. 3.

Pſ. 144.

στοχασμοῦ εἰκασίας, πόσῳ μᾶλλον τῷ μέτρῳ κατὰ τὸ ἄφραστόν τε καὶ ἀπρόσιτον, ἀνώτερόν ἐστι καὶ ὑψηλότερον αὐτὸ τὸ θεῖον, τῶν περὶ αὐτοῦ νοουμένων. ὧν οὐδεμίαν εἶναι γνῶσιν ὁ θεοδίδακτος ἀποφαίνεται Παῦλος, καὶ διὰ τοῦτο βεβαιοῦμεν ἐν ἡμῖν αὐτοῖς τὸ χλευαζόμενον δόγμα. ὁμολογοῦντες ἐλάττους εἶναι κατὰ τὴν γνῶσιν τῶν ὑπερβαινόντων τὴν γνῶσιν, καὶ προσκυνεῖν φαμὲν ἀληθῶς ὃ οἴδαμεν. οἴδαμεν δὲ τὸ ὕψος τῆς δόξης τοῦ προσκυνουμένου, αὐτῷ τῷ μὴ δύνασθαι τοῖς λογισμοῖς καταλαβεῖν, ἀναλογιζόμενοι τὸ τοῦ μεγέθους ἀνείκαστον, καὶ τὸ πρὸς τὴν Σαμαρεῖτιν παρὰ τοῦ κυρίου ῥηθὲν, καθ' ἡμῶν δὲ παρὰ τῶν ἐχθρῶν προφερόμενον, πρὸς ἐκείνους ἂν μᾶλλον κυρίως λέγοιτο. ὃ γὰρ, ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, φησὶ πρὸς τὴν Σαμαρεῖτιν ὁ κύριος, σωματικαῖς ἐννοίαις ἐν ταῖς περὶ Θεοῦ δόξαις προειλημμένην, ἧς καλῶς ὁ λόγος καθάπτεται. ὅτι Θεὸν προσκυνεῖν οἱ Σαμαρεῖται νομίζοντες, εἶτα σωματικῶς ἐγκαθιδρύσθαι τόπῳ τὸ θεῖον οἰόμενοι, μέχρι τῆς φωνῆς δουλεύουσιν, ἄλλο τι προσκυνοῦντες καὶ οὐ Θεόν. οὐδὲν γὰρ ἐν περιγραφῇ νοούμενον, θεῖόν ἐστιν· ἀλλ' ἴδιον τῆς θεότητος, τὸ πανταχοῦ εἶναι, καὶ διὰ πάντων ἥκειν, καὶ μηδενὶ περιείργεσθαι. ὥστε περιστρέφεται τοῖς χριστομάχοις εἰς κατηγορίαν αὐτῶν ὁ καθ' ἡμῶν προφερόμενος λόγος. ὡς γὰρ τοπικῇ τινι περιγραφῇ τὸ θεῖον περιέχεσθαι Σαμαρεῖται νομίζοντες, ἐπετιμήθησαν δι' ὧν ἤκουσαν· ὅτι προσκυνεῖτε ὃ οὐκ οἴδατε, καὶ ἀνόνητος γέγονεν ὑμῖν ἡ λατρεία ἡ πρὸς Θεὸν βλέπουσα. Θεὸς γὰρ τόπῳ τινὶ καθιδρύσθαι νομιζόμενος, Θεὸς οὐκ ἔστιν· οὕτως ἂν εἴη κυρίως καὶ πρὸς τοὺς νέους Σαμαρείτας εἰπεῖν. ὅτι τῷ ὀνόματι τῆς ἀγεννησίας, οἷόν τινι τόπῳ περιειλῆφθαι τὴν θείαν οὐσίαν ὑποποιοῦντες, προσκυνεῖτε ὃ οὐκ οἴδατε, ὡς Θεῷ μὲν λατρεύοντες, ἀγνοοῦντες δὲ ὅτι πάσης τῆς ἐξ ὀνομάτων σημασίας καὶ περιλήψεως ὑπερπίπτει τοῦ Θεοῦ τὸ ἀόριστον. ἀλλ' ἐπὶ πλέον παρευρέθη τῶν προκειμένων ὁ λόγος, τοῖς ἀεὶ κατὰ τὸ ἀκόλουθον ἐφευρισκομένοις ἑπόμενος· οὐκοῦν πάλιν τὴν ἀκολουθίαν ἐπαναλάβωμεν. ἐπεὶ τὴν προτεθεῖσαν αὐτῷ ῥῆσιν ἀποχρώντως οἶμαι διὰ τῶν εἰρημένων πεφανερῶσθαι, οὐ πρὸς τὴν ἀλήθειαν

A ſimilitudinem ſuperat, quantò magis ſecundùm ineffabile atque inacceſſibile ſuperius eſt & excelſius ipſum numen, omnibus his quæ de ipſo mente & intellectu concipiuntur, quorum tamen nullam eſſe cognitionem à Deo edoctus Paulus pronuntiat, propterea in nobis ipſis confirmamus dogma quod ſubſannatur, nos inferiores eſſe ſecundum cognitionem his quæ omnis cognitionis modum excedunt, confitentes, & verè nos adorare dicimus quod ſcimus. Scimus autem gloriæ celſitudinem eius qui adoratur, eo ipſo, quod non poſſimus rationibus comprehendere, æſti-B mantes magnitudinẽ inexcogitabilem, & quod à Domino Samaritanæ dictum eſt, & cõtra nos ab aduerſariis prolatum, magis propriè aduerſus illos dicatur. Vos adoratis quod neſcitis, inquit Dominus ad Samaritanam, corporalibus notitiis in opinionibus de Deo præoccupatam, cuius ſermo præclarè perſtringitur: quòd Samaritani Deum ſe adorare putantes, deinde Deum corporaliter loco inſidere arbitrantes, voce tenus colunt, aliud quiddam potius quàm Deum adorantes. Nihil enim quod loco circum-C ſcriptum intelligitur, numen eſt. Sed proprium eſt deitatis, vbique eſſe & per omnia meare, nullóque ſpatio circumſcribi. Quare ſermo qui contra nos profertur in accuſationem, in ipſos Chriſti oppugnatores conuertitur. Vt enim locali quadam deſcriptione Deum contineri Samaritani putantes, reprehenſi fuerunt per ea quæ audierunt, quia adoratis quod neſcitis, & vobis cultus ad Deũ ſpectans fit inutilis. Nam qui putatur loco inſidere, non eſt Deus: ſic propriè etiam ad hos nouos Samaritanos liceat dicere, quod nomine ἀγεννησίας (ingene-D rationis) velut loco quodam circumſcriptam eſſe diuinam eſſentiam ſuſpicãtes, adoratis quod neſcitis, ſicut Deo quidem ſeruientes, ſed ignorãtes Dei infinitatem excedere omnem ſignificantiam nominum & comprehenſionem. Sed longius de rebus propoſitis oratio excurrit, quaſi perpetua ſerie ea quæ per conſequentias inueniuntur ſequens: Quare conſecutionem rurſus repetamus. Quandoquidem propoſitam ab ipſo dictionem abundè ſatis reor per ea quæ dicta ſunt declaratam eſſe, nõ ſolum

Ioan. 4.

veritati, ſed etiam ſibiipſi eſſe contra- A riam. Si enim vt ipſi volunt, naturalis relatio filij appellatione ad patrem conſtituitur, & ad eum qui genuit gennematis, id eſt, progeniei relatio ſecundum quandam grammaticam nugationem ſignificatiuas diuinæ naturæ dictiones horum ſapientia ad figuram nominum effingente, non amplius quis ambigat, ex natura conſtitutam nominum inter ſe relationem, neceſſitudinis vel potius identitatis demonſtrationem fieri. Sed aduerſariorum vocem noſtra non mutet neque repudiet oratio. B Vt non ſola imbecillitate aduerſantium pietatis dogma confirmari videatur, ſed in ſeipſo maximè robur habere. Quantum igitur fieri poteſt, robuſtiore patrocinio à nobis ipſis aduerſariorum ſermo confirmetur, vt ex multa noſtra fiducia quantum viribus ſuperemus dignoſcatur, ea etiam quæ ab aduerſariis ſunt prætèrita ad veritatis exactam probationem proferentes. Dicet fortaſſe qui contrariis nititur & contendit fortiter, quòd non omnino filij & gennematis, ſiue progeniei appellatio, quod ſecundum naturam eſt proprium repræſen- C tat, nam & in ſcriptura filius iræ quis dicitur, & perditionis filius, & gennema ſiue progenies viperarum, neque vlla naturæ communitas his nominibus ſimul declarata eſt: non enim idem eſt cum ſubiecto Iudas perditionis filius nominatus, & ipſa ſecundum id quod intelligitur perditio. Aliud enim ſignificatum hominis Iudę, aliud perditionis. Similiter etiam è contrario æqualem conſtructionem ſermo habere poſſit. Nam filij lucis alicuius & filij diei qui dicuntur, non idem ſunt cum luce & D die, ſecundum naturæ rationem, & filij Abraham lapides fiunt cùm per fidem & opera cognationem cum ipſo ſibi aſ-

Rom. 8. ciuerint, & qui ſpiritu Dei aguntur, ſicut loquitur Apoſtolus, filij Dei dicuntur, cùm non ſint idem cum Deo per naturam: & multa eiuſmodi ex ſcriptura diuinitus inſpirata licet colligere, quibus fraus tanquam imago effloreſcens ex ſcriptura teſtimoniis veritatis ſimulachrum mentitur: Quid igitur nos ad hoc dicimus? In vtroque ſenſu

A μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτὴν ἔχουσαν ἐναντίαν. εἰ γὰρ κατ' αὐτοὺς ἡ φυσικὴ σχέσις τῇ τοῦ υἱοῦ προσηγορίᾳ πρὸς τὸν πατέρα συνίσταται, καὶ πρὸς τὸν γεγεννηκότα, ἡ τοῦ γεννήματος κατά τινα γραμματικὴν φλυαρίαν, τὰς σημαντικὰς τῆς θείας φύσεως λέξεις τῆς σοφίας τούτων εἰς ὀνομάτων σχῆμα παρατυπούσης, οὐκέτ' ἂν τις ἀμφιβάλλοι τὴν ἐκ φύσεως συνισταμένην τῶν ὀνομάτων πρὸς ἄλληλα σχέσιν, ἀπόδειξιν τῆς κατ' οὐσίαν αὐτῶν οἰκειότητος, μᾶλλον δὲ ταυτότητος γίνεσθαι. ἀλλὰ μὴ με- B ταβαλέτω τὴν ἐναντίαν φωνὴν ὁ ἡμέτερος λόγος. ὡς ἂν μὴ δοκοίη τῇ ἀσθενείᾳ μόνῃ τῶν ἀντιμαχομένων τὸ δόγμα τῆς εὐσεβείας κρατύνεσθαι, ἀλλ' ἐν ἑαυτῷ μάλιστα τὴν ἰσχὺν ἔχειν. ὡς οὖν ἐστὶ δυνατὸν, δι' εὐπορωτέρας τῆς συνηγορίας βεβαιωθήτω παρ' ἡμῶν αὐτῶν ὁ ἀντικείμενος λόγος, ὡς ἂν τὸ ὑπερβάλλον τῆς δυνάμεως διαγνωσθείη κατὰ πολλὴν πεποίθησιν, καὶ τὰ παρεληλυμένα παρὰ τῶν ἐναντίων εἰς ἀκριβῆ βάσανον τῆς ἀληθείας ἡμῶν προσφερόντων. ἐρεῖ γὰρ ἴσως ὁ τοῖς ἐναντίοις ἰσχυριζό- C μενος, ὅτι οὐ πάντως ἡ τοῦ υἱοῦ καὶ τοῦ γεννήματος κλῆσις τὸ κατὰ τὴν φύσιν οἰκεῖον παρίστησιν. καὶ γὰρ καὶ τέκνον τὶς ὀργῆς ἐν τῇ γραφῇ λέγεται, καὶ ἀπωλείας υἱὸς, καὶ γέννημα ἐχίδνης, καὶ οὐ δήπου κοινότης τις φύσεως τοῖς τοιούτοις ὀνόμασι συναπεφάνθη. οὐ γὰρ ταυτόν ἐστι τῷ ὑποκειμένῳ Ἰούδας ὁ τῆς ἀπωλείας υἱὸς ὠνομασμένος, καὶ αὐτὴ κατὰ τὸ νοούμενον ἡ ἀπώλεια. ἄλλο γὰρ τοῦ κατὰ τὸν Ἰούδαν, καὶ ἕτερον τῆς ἀπωλείας τὸ σημαινόμενον, ὁμοίως δὲ καὶ ἐκ τοῦ ἐναντίου τὴν ἴσην κατασκευὴν ὁ λό- D γος ἔχοι. υἱοὶ γὰρ φωτός τινος καὶ υἱοὶ ἡμέρας λεγόμενοι, οὐ ταυτόν εἰσι τῷ φωτὶ καὶ τῇ ἡμέρᾳ κατὰ τὸν λόγον τῆς φύσεως. καὶ τέκνα τοῦ Ἀβραὰμ οἱ λίθοι γίνονται, ὅταν διὰ τῆς πίστεως καὶ τῶν ἔργων τὴν συγγένειαν τὴν πρὸς αὐτὸν οἰκειώσωσι, καὶ οἱ τῷ πνεύματι τοῦ Θεοῦ ἀγόμενοι, καθώς φησιν ὁ ἀπόστολος, υἱοὶ Θεοῦ λέγονται. οὐ ταυτὸν ὄντες τῷ Θεῷ κατὰ τὴν φύσιν, καὶ πολλὰ τοιαῦτα παρὰ τῆς θεοπνεύστου γραφῆς ἔστιν ἀναλέξασθαι, δι' ὧν ἡ ἀπάτη καθάπερ εἰκών τις ἐπανθισμένη ταῖς γραφικαῖς μαρτυρίαις τὸ τῆς ἀληθείας εἴδωλον ὑποκρίνεται. τί οὖν ἡμεῖς πρὸς τοῦτο φαμέν; οἶδεν ἡ

θεία γραφὴ καὶ ἀμφοτέρων τῶν ἐννοιῶν κεχρῆσθαι τῇ τοῦ υἱοῦ φωνῇ. ὥστε ποτὲ μὲν ἐκ φύσεως, ποτὲ δὲ ἐπισκευαστὴν καὶ ἐπίκτητον εἶναι τὴν τοιαύτην προσηγορίαν. ὅταν μὲν γὰρ υἱοὺς ἀνθρώπων καὶ υἱοὺς λέγῃ κριῶν, τὴν κατ' οὐσίαν τοῦ γεννηθέντος πρὸς τὸν ἐξ οὗ γέγονε σχέσιν ἀποσημαίνει. ὅταν δὲ υἱοὺς δυνάμεως ἢ τέκνα λέγῃ Θεοῦ, τὴν ἐκ προαιρέσεως γινομένην ἀγχιστείαν παρίστησι. καὶ μέντοι καὶ κατὰ τὴν ἐναντίαν διάνοιαν, οἱ αὐτοὶ καὶ υἱοὶ Ηλεὶ καὶ υἱοὶ λοιμοὶ ὠνομάσθησαν πρὸς ἑκάτερον νόημα τῆς τῶν υἱῶν προσηγορίας εὐαρμόστως ἐχούσης. τῷ μὲν γὰρ υἱοὶ τοῦ Ηλεὶ κληθῆναι, τὸ κατὰ φύσιν συγγενὲς πρὸς ἐκεῖνον ἔχειν ἐμαρτυρήθησαν. λοιμοὶ δὲ υἱοὶ κατονομασθέντες, ἐπὶ τῇ τῆς προαιρέσεως μοχθηρίᾳ κατηγορήθησαν, ὡς οὐχὶ τὸν πατέρα ζηλοῦντες τῷ βίῳ, ἀλλὰ τῇ κακίᾳ τὴν προαίρεσιν ἑαυτῶν οἰκειώσαντες. ἐπὶ μὲν οὖν τῆς κάτω φύσεως, καὶ τῶν καθ' ἡμᾶς πραγμάτων διὰ τὸ πρὸς ἑκάτερον ἐπιρρεπῶς τὸ ἀνθρώπινον ἔχειν, πρὸς κακίαν λέγω καὶ ἀρετὴν, ἐφ' ἡμῖν ἐστιν, ἢ νυκτὸς ἢ ἡμέρας υἱοὺς γενέσθαι, μενούσης κατὰ τὸ προηγούμενον ἐν τοῖς ἰδίοις ὅροις τῆς φύσεως. οὔτε γὰρ ὁ διὰ κακίαν ὀργῆς τέκνον γενόμενος τῆς ἀνθρωπίνης ἠλλοτριώθη γεννήσεως, οὔτε ὁ τῷ ἀγαθῷ διὰ προαιρέσεως ἑαυτὸν οἰκειώσας, τὸ ἐξ ἀνθρώπων φῦναι διὰ τῆς ἀστειότητος τῶν ἐπιτηδευμάτων ἀπώσατο. ἀλλὰ τῆς φύσεως ἐφ' ἑκατέρων ἑστώσης, αἱ κατὰ τὰς προαιρέσεις διαφοραὶ τὰ ὀνόματα τῆς οἰκειότητος ἐνδύονται· ἢ Θεοῦ τέκνα δι' ἀρετῆς, ἢ τοῦ ἀντικειμένου διὰ κακίας γινόμενοι. ἐπὶ δέ γε τῶν θείων δογμάτων ὁ τὴν φυσικὴν διασώζων τάξιν Εὐνόμιος, αὐτοῖς γὰρ χρήσομαι τοῦ λογογράφου τοῖς ῥήμασι, καὶ τοῖς ἄνωθεν ἐγνωσμένοις ἐμμένων, καὶ γεννητὸν ὄντα γέννημα λέγειν οὐ παραιτούμενος. τῆς γεννηθείσης αὐτῆς, ὥς φησιν, οὐσίας, καὶ τῆς τοῦ υἱοῦ προσηγορίας τὴν τοιαύτην τῶν ὀνομάτων οἰκειουμένης σχέσιν· πῶς ἀλλοτριοῖ τῆς κατ' οὐσίαν οἰκειότητος τὸ γεννηθὲν τοῦ γεννήσαντος. ἐπὶ μὲν γὰρ τῶν ἐπὶ διαβολῇ λεγομένων, υἱῶν ἢ γεννημάτων, ἢ πάλιν ἐφ' ᾧ ἔπαινός τις παρομαρτεῖ τοῖς τοιούτοις ὀνόμασιν, οὐκ ἔστιν

A filij voce vti nouit diuina ſcriptura. Ità vt quibuſdam à natura, quibuſdam vero adiectitia & aduenticia ſit talis appellatio. Cum enim filios hominum dicit & filios arietum, relationem quæ eſt ſecundum eſſentiam geniti cum eo qui genuit ſignificat. Cùm vero filios potentiæ vel Dei filios dicit, propinquitatem quæ arbitrij libera voluntate & electione fit oſtendit. Quinetiam contrario ſenſu iidem & filij Heli & filij Belial nominati ſunt, ad vtramque notionem filiorum appellatione congruenter conueniente. Quod enim filij Heli B vocati ſunt, quod ſecundum naturam cognatum eſt, cum illo habere perhibiti ſunt. Belial vero filij nominati, ob electionis ſiue inſtituti prauitatẽ accuſati ſunt, vtpote patrem in vitæ ratione non æmulantes, ſed peccato ſuum conſilium & vitæ inſtitutum applicantes. In natura igitur infima, atque in his rebus noſtris, quia quod humanũ eſt habet ad vtrumque, ad vitium dico & virtutẽ, æqualem propenſionem, in nobis eſt, vel noctis vel diei filios fieri, manente nihilominus ſecundum id quod præcipuum eſt in proC priis terminis natura. Neque enim ille qui propter vitium iræ filius factus eſt, ab humana generatione alienatus eſt, neque is qui per electionem ſeipſum bono familiarem adiunxit, per vrbanitatem & honeſtam morum conformationem ex hominibus natus eſſe dici deſiit; ſed natura in vtriſque ſtante, ſecundum electiones & vitæ inſtituta, differentiæ nomina propinquitatis ſiue neceſſitudinis induunt: Vel vt Dei filij per virtutem vel contrarij per vitium fiant. In diuinis autem documentis qui naturalem ſeruat ordinem Eunomius, ipſius enim D verbis ſcriptoris vtar, & ſuperius lectis inſiſtens, & eum qui genitus eſt gennema ſiue progeniem dicere non recuſans, (Cùm, inquit, ipſa genitæ eſſentiæ, & filij appellatio talem nominum relationem ſibi aſciſcat:) quo modo quod genitum eſt à generante alienat & diſiungit ab ea quæ ſecundum eſſentiam eſt neceſſitudine. Nam de his qui propter crimina dicuntur filij vel gennemata ſiue germina, vel rurſus de eo quem laus ob talia nomina concomitatur, non

Reg. 1. c. 2.

1. Reg. c. 2.

licet dicere, quod quis verè ab ira genitus iræ filius appelletur. Neque rurſus diem quis habuit corporaliter ſuam matrem, ita vt eius filius fuerit nominatus. ſed delectuum differētia eiuſmodi parit cognitionis nomina. Hic dicit Eunomius [filium cùm ſit genitus, gennema, id eſt, progeniem dicere non recuſamus, quoniam (inquit) genita eſſentia & filij appellatio talem nominum affectionem ſiue relationem ſibi conciliet.] Si igitur, quia filius, ſit verè gennema, progenies, confitetur talem nominum ſibi aſciſcere relationem: quomodo habet occaſionem talem nominum cauſam accommodandi, & his quæ per tranſlationem & abuſum dicuntur, & his quibus naturalis affectio, ſiue relatio, ſicut ait Eunomius, talem conciliat nuncupationem? Hoc igitur verum eſt in iis ſolis quibus eſt confinis ad virtutem & vitium natura, in quibus ſæpe quis contraria aſſumit nomina, modo lucis modo vero tenebrarum, factus filius, propter eam quā habet cum honeſto vel cōtrario affinitatem & cognationē. Vbi vero cōtrarietas locum non habet, nullus amplius filij vocem ex tranſlatione celebrari dicat inſtar eorum qui ex inſtituto & delectu hanc ſibi appellationem cōciliant. Non enim eadem eſt ratio, quod quēadmodum homo qui tenebrarū opera depoſuit per honeſtam vitam lucis filius gignitur; ſic etiam vnigenitus Deus, mutatione ex deteriori quod honorabilius eſt accipit. Etenim aliquis cùm ſit homo, filius Dei efficitur, cùm per ſpiritalem generationem Chriſto coniungitur. Qui autem hominem per ſeipſum Dei filium efficit, ipſe alio filio qui ei adoptionem gratificetur non indiget, ſed quod eſt ſecundum naturam, hoc etiam nominatur. Ipſe quidem homo ſeipſum immutat, pro vetere nouum vendicans. Deus autem ad quid mutabitur, ita vt quod non habet acquirat? homo quidem ſeipſum exuens diuinam induit naturam: qui vero ſemper eodem modo ſe habet quid deponit, vel quid circúmueſtit: homo quidem Dei filius efficitur, aſſumens quę non habet, & quæ habet abijciens. Qui autem omni ſemper caruit vitio, neq. quod capiat habet, neq. quod relinquat. Rurſus homo

A εἰπεῖν ὅτι ἀληθῶς τὶς παρὰ τῆς ὀργῆς γεννηθεὶς, τέκνον ὀργῆς προσηγόρευται· οὐδ' αὖ πάλιν ἡμέραν τὶς σωματικῶς ἔχει ἑαυτοῦ μητέρα, ὥστε υἱὸς ταύτης ὀνομασθῆναι· ἀλλ' ἡ τῆς προαιρέσεως διαφορὰ ποιεῖται τὰ τῆς τοιαύτης συγγενείας ὀνόματα. ἐνταῦθα δέ φησιν ὁ Εὐνόμιος· ὅτι γεννητὸν ὄντα τὸν υἱὸν γέννημα λέγειν οὐ παραιτούμεθα. τῆς γεννηθείσης, φησίν, οὐσίας καὶ τῆς τοῦ υἱοῦ προσηγορίας τὴν τοιαύτην τῶν ὀνομάτων σχέσιν οἰκειουμένης. εἰ οὖν διὰ τὸ ἀληθῶς γέννημα εἶναι τὸν υἱὸν ὁμολογεῖ τὴν τοιαύτην τῶν ὀνομάτων οἰκειοῦσθαι σχέσιν, πῶς B ἔχει καιρὸν ἐφαρμόζειν τὴν τοιαύτην τῶν ὀνομάτων αἰτίαν, τοῖς τε κατὰ μεταφορὰν, ἐκ καταχρήσεως λεγομένοις, καὶ οἷς ἡ φυσικὴ σχέσις, καθώς φησιν ὁ Εὐνόμιος, τὴν τοιαύτην οἰκειοῦται κλῆσιν; οὐκοῦν ἐπὶ μόνων ἀληθὲς τὸ τοιοῦτόν ἐστιν, οἷς μεθόριος πρὸς ἀρετήν τε καὶ κακίαν ἡ φύσις· ἐφ' ὧν πολλάκις τὰ ἐναντία τὶς μεταλαμβάνει τῶν ὀνομάτων, νῦν μὲν φωτὸς πάλιν δὲ σκότους, διὰ τῆς πρὸς τὸ καλὸν ἢ πρὸς τὸ ἐναντίον οἰκειώσεως, τέκνον γινόμενος. ὅπου δὲ τὸ ἐναντίον χώραν οὐκ ἔχει, οὐκέτ' C ἄν τις τοῦ υἱοῦ τὴν φωνὴν ἐκ μεταφορᾶς ἐπιφημίζεσθαι λέγοι, καθ' ὁμοιότητα τῶν διὰ προαιρέσεως οἰκειουμένων τὴν κλῆσιν. οὐ γὰρ ἂν εἰς τοῦτον ἔλθοι τὸν λόγον, ὅτι ὥσπερ ἄνθρωπος ἀποθέμενος τὰ ἔργα τοῦ σκότους, διὰ τῆς εὐσχήμονος ζωῆς φωτὸς γίνεται τέκνον· οὕτω καὶ ὁ μονογενὴς Θεὸς, ἐκ μεταβολῆς ἐκ τοῦ χείρονος ἀντιλαμβάνοι τὸ τιμιώτερον. ἄνθρωπος γάρ τις ὢν, υἱὸς Θεοῦ γίνεται, διὰ τῆς πνευματικῆς γεννήσεως Χριστῷ συναπτόμενος· ὁ δὲ τὸν ἄνθρωπον δι' αὐτοῦ Θεοῦ υἱὸν ποιῶν, αὐτὸς D ἄλλου υἱοῦ τοῦ χαριζομένου αὐτῷ τὴν υἱοθεσίαν οὐκ ἐπιδέεται, ἀλλ' ὅπερ ἐστὶ κατὰ φύσιν καὶ ὀνομάζεται. ἄνθρωπος μὲν αὐτὸς ἑαυτὸν ἀμείβει, τὸ παλαιὸν τὸ νέον ἀνταλλασσόμενος. Θεὸς δὲ, εἰς τί ἀλλαγήσεται, ὥστε ὃ μὴ ἔχει προσκτήσασθαι; ἄνθρωπος μὲν ἑαυτὸν ἀπεκδυσάμενος, τὴν θείαν ἐπενδύεται φύσιν. ὁ δὲ ἀεὶ ὡσαύτως ἔχων, τί ἀποτίθεται, ἢ τί περιβάλλεται. ἄνθρωπος μὲν υἱὸς Θεοῦ γίνεται προσλαβὼν ἃ οὐκ ἔχει, καὶ ἀποβαλὼν ἃ εἶχε. ὁ δὲ μηδέποτε γεγονὼς ἐν κακίᾳ, οὔτε ὃ λάβῃ, οὔτε ὃ καταλίπῃ ἔχει. πάλιν ὁ ἄνθρω-

πος

πος δύναται, πῆ μὲν ἀληθῶς τινὸς υἱὸς λέγεσθαι, ὅταν πρὸς τὴν φύσιν βλέπων τις λέγῃ· πῆ δὲ ἐκ καταχρήσεως, ὅταν ἡ τοῦ βίου προαίρεσις ἐπιβάλλῃ τὸ ὄνομα. ὁ δὲ Θεὸς, ἓν ὢν ἀγαθὸν, ἐν ἁπλῇ τε καὶ ἀσυνθέτῳ τῇ φύσει, πάντοτε πρὸς τὸ αὐτὸ βλέπει, καὶ οὐδέποτε ταῖς τῆς προαιρέσεως ὁρμαῖς μεταβάλλεται, ἀλλ' ἀεὶ καὶ βούλεται ὅπερ ἐστὶ, καὶ ὃ ἐστὶ πάντως καὶ βούλεται. ὥστε δι' ἀμφοτέρων υἱὸς Θεοῦ κυρίως τε καὶ ἀληθῶς ὀνομάζεσθαι. τῆς τε φύσεως ἐν ἑαυτῇ τὸ ἀγαθὸν ἐχούσης, τῆς τε προαιρέσεως οὐκ ἀπερρωγυίας τοῦ κρείττονος. ὡς μὴ ἂν ἐκ καταχρήσεως αὐτῷ τὴν φωνὴν ταύτην ἐπικληθῆναι. οὐκοῦν οὐδεμίαν ἔχει χώραν, ἅπερ ἐκ προσώπου τῶν ἐναντίων ἑαυτοῖς ἀντεθήκαμεν. ταῦτα ἐπὶ γραφῇ τῆς κατὰ φύσιν οἰκειότητος παρὰ τῶν ἐναντίων προφέρεσθαι. ἀλλ' οὐκ οἶδ' ὅπως ἢ διότι μισοῦντές τι καὶ ἀποστρεφόμενοι τὴν ἀλήθειαν, υἱὸν μὲν αὐτὸν ὀνομάζουσιν, ὡς δ' ἂν μὴ τὸ κατ' οὐσίαν κοινὸν διὰ τῆς φωνῆς ταύτης μαρτυρηθείη. τῆς ἐγκειμένης τῷ ὀνόματι σημασίας, τὴν φωνὴν χωρίσαντες, κενὸν τὸ ὄνομα τοῦ υἱοῦ καὶ ἀσήμαντον τῷ μονογενεῖ καταλείπουσι· μόνον αὐτῷ τὸν ψόφον τῆς φωνῆς χαριζόμενοι. καὶ ὅτι ταῦτα ἀληθῆ λέγω, καὶ οὐ παραστοχάζομαι τοῦ σκοποῦ τῶν ὑπεναντίων, φανερόν ἐστιν ἐξ αὐτῶν ὧν κατεπιχειροῦσι τῆς ἀληθείας μαθεῖν. τοιαῦτα γάρ ἐστιν ἃ παρ' αὐτῶν ἐπὶ κατασκευῇ τῆς βλασφημίας προφέρεται, ὅτι πολλὰ τοῦ μονογενοῦς ὀνόματα παρὰ τῆς θείας γραφῆς ἐδιδάχθημεν, λίθον, ἀξίνην, πέτραν, θεμέλιον, ἄρτον, ἄμπελον, θύραν, ὁδὸν, ποιμένα, πηγὴν, ξύλον, ἀνάστασιν, διδάσκαλον, φῶς, καὶ ἄλλα τοιαῦτα πολλά· ἀλλ' οὐδὲν τούτων κατὰ τὴν πρόχειρον σημασίαν εὐσεβές ἐστιν ἐπὶ τοῦ κυρίου νοοῦντας λέγειν. ἢ γὰρ ἂν εἴη τῶν ἀτοπωτάτων, τὸ ἀσώματόν τε καὶ ἄϋλον ἁπλοῦν τι καὶ ἀσχημάτιστον, ταῖς ἐμφαινομέναις τισὶ τῶν ὀνομάτων σημασίαις διαμορφοῦσθαι νομίζειν. ὥστε ἀξίνην ἀκούσαντας, τὸ τοιόνδε σχῆμα τοῦ σιδήρου νοεῖν, ἢ φῶς τὸ ἐναέριον, ἢ ἄμπελον τὴν ἐκ φυτείας κλημάτων, ἢ τί τῶν ἄλλων ἕκαστον, καθὼς ἡ συνήθεια νοεῖν ὑποβάλλεται, ἀλλ' ἐπὶ τὸ θεοπρεπέστερον τὰς τῶν ὀνομάτων τούτων μετενεγκόντες ἐμφάσεις, ἄλλο τι νοοῦμεν, κἂν οὕτω κατονομάζωμεν, οὐχ ὡς ὄντα τι τούτων

A poteſt partim verè dici filius alicuius, cùm ad naturam reſpiciens quis dicit, partim ex abuſu, cùm vitæ inſtitutum ei nomen impoſuit. Deus autem qui eſt vnum bonum in ſimplici & incompoſita natura ſemper ad idem intuetur, neque vnquam propoſiti impulſionibus commutatur, ſed ſemper vult id quod eſt, & quod eſt omnino etiam vult: ita vt per vtraque propriè & verè Dei filius ſic nominetur, cùm & eius natura in ſeipſa bonum habeat, tùm quod eius voluntas ab eo quod melius eſt, nunquam poſſit abrumpi. Itaque vox

B hæc de ipſo non ex abuſu pronuncietur. Nullum igitur habent locum quæ ex perſona aduerſariorum nobis ipſis oppoſuimus, vt hæc ab aduerſariis è ſcriptura cognationis ſecundum naturam proferantur. Sed neſcio quomodo vel quamobrem odio habentes, vel auerſantes veritatem, filium quidem ipſum nominant, ne vero quod & ſecundum eſſentiam commune eſt per hanc vocem teſtatum eſſet ab impoſita nomini ſignificantia vocem ſeparantes, inane filij nomen & nihil ſignificans vnigenito relinquũt ſolum vocis ſonum

Hic locus in exēplari Græco corruptus.

C ei gratificantes. Quod hæc vera dico, neque à ſcopo aduerſariorum aberro, licet ex his quæ ipſi aduerſus veritatem moliuntur, liquidò perdiſcere. Talia enim ſunt quæ ab ipſis ad aſtruendam blaſphemiam proferuntur, quòd multa vnigeniti nomina ex diuina ſcriptura didicimus, lapidem ſecurim, petram, fundamentum, panem, vitem, oſtium, paſtorem, fontem, lignum, doctorem, lucē, & alia eiuſmodi multa, ſed horum nullum prompta & vſitata ſignificatione pium eſt de Domino intelligentem dicere: vel enim abſurdiſſimũ fuerit quod

D incorporeum eſt, & materiæ expers, ſimpléxque & figuræ exſors, apparentibus quibuſdam nominũ ſignificationibus putare poſſe efformari. Ita vt ſecurim cùm audierimus, talem ferri figuram mente concipiamus, vel lucem quæ eſt in aëre, vel vitem ex plantatione palmitum, vel quid aliorum vnũquódque, ſicut conſuetudo mēte ſubijcit: ſed ad id quod magis Deo conueniat & decorum ſit horum nominum transferentes ſignificantias, aliud quiddam intelligimus, & ſic nominamus, non quòd ſit horum tale quid

ſecundum naturæ rationem, ſed ſic hæc cum dicitur, aliud quiddam prꝫter ea per hæc mente intelligitur. Quòd ſi talia nomina etiam verè de vnigenito Deo dicuntur, & naturæ demonſtrationem non continent; conſequens eſſe dicunt, neque filij ſignificatum ſecundum præualentem conſuetudinem ad naturæ interpretationem aſſumere, ſed inuenire huius vocis aliquam ſignificantiam alteram ab ea quæ communis eſt & in promptu. Hæc & eiuſdem modi philoſophantur, vt aſtruant non eſſe filium, quod quidē eſt & dicitur. Nobis verò ad aliud feſtinabat ſermo, nempe ad demonſtrandum recentem Eunomij ſcriptionem falſam eſſe nec ſibi conſtantem & cohærentem, neque veritati neque ſibi ipſi conſentaneam. Quoniam verò per quæ ipſorum dogma accuſamus, veluti blaſphemiæ quoddam patrocinium oratione inductum eſt, præclarè ſe habeat de eo pauca diſſerere: deinde ſic ad ſcriptorum conſequentem ſeriem redire. Fas igitur eſt de his aliquid dicere, & à congruente propoſito non aberrare. Quod cùm ſint multa nomina, ſicut illi aiunt, quæ vnigenito à ſcriptura tribuuntur, nullum aliorum per relationem cum eo qui genuit cognationem & adhæſionem habere dicimus. Non enim ſicut patris filium, ſic vel lapidem, vel reſurrectionem, vel paſtorem, vel lucem, vel quid aliorum ad Deum vniuerſorum referentes dicimus. Sed licet tanquam arte quadam & regula bifariam diuinorum nominum ſignificantiam diſtinguere. Quædam enim excelſæ & ineffabilis gloriæ ſiue maieſtatis indicationem habent: quædam vero prouidæ diſpenſationis varietatem demonſtrant. Ita vt ſecundum hypotheſin niſi eſſet id quod beneficio afficitur, neque hæ voces quæ beneficium indicant, his non eſſent tributæ. Quæ autem quod Deo conuenit & decorum eſt declarant, etiam ſine his quorum gratia fit diſpenſatio, cognatè & propriè vnigenito Deo attribuuntur. Vt autem euidentius hæc ſententia nobis euoluta pateat, ipſa nomina contemplemur. Nunquam vitis nominatus eſſet Dominus, niſi plantationis cauſa eorum qui in ipſo radicantur: neque paſtor, niſi oues domus Iſraël periiſſent: neque medicus

A κατὰ τὸν λόγον τῆς φύσεως, ἀλλ' ὡς ταῦτα μὲν λεγόμενοι, ἄλλο δέ τι παρὰ ταῦτα διὰ τῶν λεγομένων νοούμενοι. Εἰ δὲ τὰ τοιαῦτα τῶν ὀνομάτων καὶ ἀληθῶς ἐπιλέγεται τῷ μονογενεῖ Θεῷ, καὶ τῆς φύσεως οὐ περιέχει τὴν ἔνδειξιν, ἀκόλουθον εἶναι λέγουσι, μηδὲ τοῦ υἱοῦ τὸ σημαινόμενον, κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν εἰς τὴν τῆς φύσεως ἑρμηνείαν παραλαμβάνειν, ἀλλ' ἐξευρίσκειν τινὰ σημασίαν ταύτης τῆς φωνῆς, ἑτέραν παρὰ τὴν κοινήν τε καὶ πρόχειρον. Ταῦτα καὶ τὰ τοιαῦτα φιλοσοφοῦσι, B προκατασκευὴν τοῦ μὴ εἶναι τὸν υἱόν, ὅπερ ἐστί τε καὶ λέγεται. ἡμῖν δὲ πρὸς ἕτερον μὲν ἦν σπεύδων ὁ λόγος, τὴν πρόσφατον τοῦ ΕΥνομίου λογογραφίαν δεῖξαι ψευδῆ καὶ ἀσύστατον, καὶ οὔτε πρὸς τὴν ἀλήθειαν, οὔτε πρὸς ἑαυτὴν συμφωνοῦσαν. ἐπεὶ δὲ δι' ὧν κατηγοροῦμεν τοῦ δόγματος αὐτῶν, οἷόν τις συνηγορία τῆς βλασφημίας ἐπεισήχθη τῷ λόγῳ· καλῶς ἂν ἔχοι περὶ τούτου πρότερον ἐν ὀλίγῳ διαλαβεῖν· εἶθ' οὕτως ἐπὶ τὴν ἀκολουθίαν τῶν γεγραμμένων ἐπανελθεῖν. τί τοίνυν ἐστὶν εἰπόντας C πρὸς τὰ τοιαῦτα μὴ διαμαρτεῖν τοῦ προσήκοντος. ὅτι πολλῶν ὄντων, καθὼς κἀκεῖνοί φασι, τῶν ὀνομάτων, ἃ τῷ μονογενεῖ παρὰ τῆς γραφῆς ἐπιλέγεται, οὐδὲν τῶν ἄλλων τι πρὸς τὸν γεγεννηκότα φαμὲν ἀναφορᾷ τὸ προσφυὲς ἔχειν. οὐ γὰρ ὥσπερ υἱὸν τοῦ πατρὸς, οὕτως ἢ λίθον, ἢ ἀνάστασιν, ἢ ποιμένα, ἢ φῶς, ἤ τι τῶν ἄλλων ἐπὶ τὸν Θεὸν ὅλων ἐπαναφέροντες λέγομεν. ἀλλ' ἔστιν οἷον τέχνῃ τινὶ καὶ κανόνι διχῇ διελέσθαι τῶν θείων ὀνομάτων τὴν σημασίαν. τὰ μὲν γὰρ τῆς ὑψηλῆς τε καὶ ἀφράστου δόξης τὴν D ἔνδειξιν ἔχει, τὰ δὲ τὸ ποικίλον τῆς προνοητικῆς οἰκονομίας ἐνδείκνυται· ὥστε καθ' ὑπόθεσιν, εἰ μὴ τὸ εὐεργετούμενον εἴη, μηδὲ τὰς φωνὰς ταύτας ἐπ' αὐτῷ τετάχθαι, αἳ τὴν εὐεργεσίαν ἐνδείκνυνται. ὅσαι δὲ τὸ θεοπρεπὲς ἑρμηνεύουσι, καὶ δίχα τῶν οἰκονομουμένων προσφυῶς καὶ κυρίως ἐφαρμόζονται τῷ μονογενεῖ Θεῷ. ὡς δ' ἂν ἐναργέστερον ἡμῖν ἐκκαλυφθείη τὸ τοιοῦτον δόγμα, ἐπ' αὐτῶν ἔσται τῶν ὀνομάτων ἡ θεωρία. οὐκ ἂν ἄμπελος ὠνομάσθη ὁ κύριος, εἰ μὴ τῆς φυτείας χάριν τῶν ἐν αὐτῷ ῥιζουμένων, οὐδ' ἂν ποιμήν, εἰ μὴ τὰ πρόβατα τοῦ οἴκου Ἰσραὴλ ἀπολώλει. οὐδ' ἰατρὸς,

εἰ μὴ τῶν νοσούντων χάριν, οὐδὲ τὰ λοιπὰ τῶν ὀνομάτων ἐφ' ἑαυτὸν κατεδέχετο, μὴ διά τινος προνοητικῆς ἐνεργείας προσφόρως ἐπὶ τῶν εὐεργετουμένων τὰς φωνὰς οἰκειούμενος. τί γὰρ δεῖ τὰ καθ' ἕκαστον λέγοντα μηκύνειν ἐν τοῖς ὁμολογουμένοις τὸν λόγον; υἱὸς δὲ καὶ δεξιά, καὶ μονογενής, καὶ λόγος, καὶ σοφία καὶ δύναμις, καὶ τὰ τοιαῦτα πάντα ὅσα πρός τι λέγεται. καθάπερ ἐν συζυγίᾳ τινὶ σχετικῇ τῷ πατρὶ πάντων συνονομαζόμενος λέγεται. Θεοῦ γὰρ δύναμις ὀνομάζεται, καὶ Θεοῦ δεξιά, καὶ Θεοῦ σοφία, καὶ πατρὸς υἱός, καὶ μονογενής, καὶ λόγος πρὸς τὸν Θεόν, καὶ ὅσα τοιαῦτα. οὐκοῦν ἀκόλουθον ἐκ τῶν εἰρημένων ἑκάστου τῶν ὀνομάτων κατάλληλόν τινα τῷ ὑποκειμένῳ, καὶ πρέπουσαν ἐνθεωρεῖν σημασίαν· ὡς ἂν μὴ τῷ διαμαρτεῖν τῆς ὀρθῆς διανοίας περὶ τὸν τῆς εὐσεβείας πλημμελήσαιμεν λόγον. ὥσπερ τοίνυν τῶν ἄλλων ἕκαστον πρὸς τὸ θεοπρεπὲς μεταλαβόντες, ἀθετοῦμεν τὴν πρόχειρον ἐπ' αὐτῶν ἔννοιαν, ὡς μήτε φῶς ὑλικόν, μήτε πατουμένην ὁδόν, μήτε τὸν ἐκ γεωργίας ἄρτον, μήτε τὸν διὰ ῥημάτων λόγον· ἀλλ' ἀντὶ τούτων ἐκεῖνα νομίζειν ὅσα τὸ μεγαλεῖον τῆς δυνάμεως τοῦ Θεοῦ λόγου παρίστησιν· οὕτως εἴ τις ἀθετοίη τοῦ υἱοῦ τὴν συνήθη καὶ κατὰ φύσιν σημασίαν, δι' ἧς τὸ ἐκ τῆς οὐσίας εἶναι τοῦ γεγεννηκότος μανθάνομεν, πρός τινα θεοπρεπεστέραν ἑρμηνείαν μεταλήψεται πάντως τὸ ὄνομα. ἐπεὶ γὰρ τῶν ἄλλων ἑκάστου πρὸς τὸ ἐνδοξότερον ἡ μετάληψις γινομένη πρὸς τὴν τῆς θείας δυνάμεως ἔνδειξιν ἥρμοσεν, ἀκόλουθον πάντως ἐστὶ καὶ τούτου τοῦ ὀνόματος ἐπὶ τὸ ὑψηλότερον μετενεχθῆναι τὸ σημαινόμενον. τίς ἂν οὖν γένοιτο θεοπρεπεστέρα διάνοια ἐπὶ τῆς τοῦ υἱοῦ προσηγορίας, εἰ ἀθετοῖτο κατὰ τὸν λόγον τῶν ὑπεναντίων, ἡ φυσικὴ πρὸς τὸν γεννήσαντα σχέσις; τάχα γὰρ οὕτως οὐδεὶς πρὸς ἀσέβειαν τολμηρός, ὡς ἐν τοῖς περὶ τῆς θείας φύσεως λόγοις τὸ ταπεινὸν καὶ χαμαίζηλον τῶν ὑψηλῶν τε καὶ μεγάλων ἁρμοδιώτερον οἴεσθαι. οὐκοῦν εἰ μέν τινα ταύτης μεγαλοφυεστέραν διάνοιαν ἐξευρίσκουσιν, ὡς ἀνάξιον εἶναι δοκεῖν περὶ τὸν μονογε-

A nisi ægrotantium cauſa; neque reliqua nomina in ſeipſum reciperet, niſi per aliquam prouidam vim efficiẽtem commodè eorum gratia qui beneficio afficiuntur, has voces tanquam ſibi proprias aſciſceret. Quid enim opus eſt ſingula percurrentẽ in his quæ certa ſunt & conceduntur ſermonem producere? Filius autem & dextera, & vnigenitus, & Verbum, & ſapientia, & virtus, & omnia huiuſmodi quę ad aliquid dicuntur, tanquam coniugatione quadam relatiua cum Patre omnium, dum ſimul nominatur, dicitur. Dei enim virtus nominatur, B & dextera & Dei ſapientia & Patris Filius & vnigenitus, & Verbum apud Deum, & quæcunque ſunt eiuſmodi. Conſequens igitur ex his dictis, cuiuſq. horum nominum ſignificationem quandam ſubiecto mutuò reſpondentem & congruentem inſpicere, ne à recta intelligentia aberrantes, in ſermonem pietatis peccemus. Quemadmodum igitur aliorum nominum vnumquodque ad id quod Deum decet cùm tranſtulerimus, prima ſpecie in ipſis apparentem notionem ſpernimus, ita vt neque lucem materialem, C neque viam quæ pedibus calcatur, neque panem qui ex agricultura conficitur, neque Verbum quod fit ex vocabulis; ſed pro his illa intelligamus quæcunque majeſtatem potentiæ Verbi Dei repræſentant: ita ſi quis deſpiciat aſſuetam filij & naturalem ſignificantiam, per quam eiuſdẽ eſſentiæ cum genitore eſſe didicimus: planè ad aliquam Deo magis decorã & congruentiorem interpretationem nomen hoc tranſſumere neceſſe fuerit. Siquidem enim aliorum cuiuſque ad id quod eſt illuſtrius & decentius tranſſumptio facta ad diuinæ poten- D tiæ demonſtrationem accommodauit, conſequens omnino, eſt huius etiam nominis ſignificatum ad id quod eſt excelſius & ſublimius transferri. Quænam igitur eſſe poterit Deo conuenientior magíſque decora intelligentia in filij appellatione, ſi ſecundum aduerſariorum ſermonem naturalis cum genitore affectio ſiue relatio repudietur? fortaſſe enim nullus tam audax & præceps ad impietatem fuerit, vt in ſermonibus de natura diuina, quod vile & abiectum eſt, magnis & ſublimibus conuenientius & aptius opinetur. quamobrem ſi aliquam magnificentiorem intelligentiam hac ipſa excogitant, ita vt indigna videatur eſſe de vnigenitô

notio, nempe eſſe ex patris natura dicãt, ſi quid cognoſcunt ſecundum ſuam arcanam & reconditam atque incommemorabilem ſapientiam paterna natura aliquid excelſius & ſublimius: vt ad illud vnigenitum Deum attollentes, eum ſuper relationem quam ad patrem habet extollamus. Quòd ſi naturæ diuinæ majeſtas & amplitudo omnem altitudinem ſupereminet, omnémque admirabilem virtutem ſuperat: quis relinquitur ſermo filij appellationis interpretationem ad aliquid maius extollens? Quoniam igitur fatetur omnem dictionem, qua vnigenitus ſignificatur, tametſi ex vulgari conſuetudine nominatur, ad magnificentiorem ſenſum, & notionem tranſlatam propriè dici: demonſtrat autem ſe non poſſe ſublimiorem & magnificentiorem notitiam huius filij appellationis inuenire, quàm eam quæ quod eſt germanum & propinquum cum eo qui genuit exhibeat: nihil puto oportere diutius in hoc loco immorari, cùm ex dictis abundè ſatis demõſtratum ſit quòd non conuenit inſtar reliquorum nominum etiam filij appellationem interpretari. Sed ad eius libellum contemplationem transferamus. Non eſt eorumdem, genitum & gennema progeniem dicere non recuſare. (illorum enim verbis vtar,) cùm genita ipſa eſſentia & filij appellatio talem nominum ſibi propriam vendicet relationem. Et rurſus transferre genuinas & naturales nominationes ad tropicas tranſſumptiones, ita vt duorum alterum, vel prius ipſorum argumentum excidit, fruſtráque ad naturæ ordinem confugiunt ad aſtruendum oportere genitum appellare gennema (progeniem.) Quod ſi illud conuenienter ſit dictum, ratio altera ex his quæ ante fuerunt aſtructa diſſoluetur. Qui enim ſecundum illos gennema ſiue progenies dicitur ob id quod genitus ſit: eadem de cauſa ipſum facturam vel creaturam dici natura non patitur. Plurimùm enim vtriuſque nominum differt ſignificatio, decétque eum qui recta ratiocinatione vocibus vtitur, ad ſubiectum intuentem verbis vti, ne qua in notitiis confuſio nobis contingat, impropriè voces ſecundum ſignificata mutantibus: ob eam cauſam artificis opus id quod arte elaboratum eſt nominamus: Filium verò hominis

A τὸ νοεῖν, τὸ ἐκ τῆς φύσεως τοῦ πατρὸς εἶναι, εἰπάτωσαν εἴ τι γινώσκουσι, κατὰ τὴν ἀπόρρητον αὐτῶν σοφίαν τῆς πατρικῆς φύσεως ὑψηλότερον· ὥστε πρὸς ἐκεῖνο τὸν μονογενῆ Θεὸν ἐπάραντας, τῆς πρὸς τὸν πατέρα σχέσεως αὐτὸν ὑπεράρωσι. εἰ δὲ παντὸς ὕψους ὑπέρκειται, καὶ πᾶσαν δύναμιν θαυμαστικὴν ὑπερβαίνει τῆς θείας φύσεως τὸ μεγαλεῖον, τίς ὑπολείπεται λόγος, ἐπὶ τὸ μεῖζον φέρων τῆς τοῦ υἱοῦ κλήσεως τὴν ἑρμηνείαν. ἐπεὶ τοίνυν ὁμολογεῖ πᾶσαν περὶ τοῦ μονογενοῦς σημαντικὴν λέξιν, κἂν ἐκ τῆς κάτω συνηθείας
B ὀνομάζεται, πρὸς τὸ μεγαλειότερον ταῖς ἐννοίαις μετατεθεῖσαν κυρίως λέγεσθαι· δείκνυται δὲ μὴ δύνασθαί τινα μεγαλοφυεστέραν ἔννοιαν τῆς τοῦ υἱοῦ προσηγορίας εὑρεῖν ταύτης, ἣ τὸ γνήσιον πρὸς τὸν γεγεννηκότα παρίστησι· οὐδὲν οἶμαι χρῆναι πλέον ἐπιδιατρίβειν τῷ τόπῳ, ἱκανῶς διὰ τῶν εἰρημένων ἀποδειχθέντος· ὅτι οὐ προσήκει καθ' ὁμοιότητα τῶν λοιπῶν ὀνομάτων καὶ τὴν τοῦ υἱοῦ προσηγορίαν μεθερμηνεύεσθαι. ἀλλ' ἐπὶ τὸ βιβλίον
C πάλιν ἐπαναχτέον τὴν θεωρίαν. Οὐκ ἔστι τῶν αὐτῶν, τὸν γεννητὸν γέννημα λέγειν μὴ παραιτεῖσθαι· τοῖς γὰρ ἐκείνων χρήσομαι ῥήμασιν· τῆς γεννηθείσης αὐτῆς οὐσίας καὶ τῆς τοῦ υἱοῦ προσηγορίας τὴν τοιαύτην τῶν ὀνομάτων οἰκειουμένης σχέσιν. καὶ πάλιν μετατιθέναι τὸ προσφυὲς ὀνομασίας εἰς τροπικὰς μεταλήψεις, ὥστε δυοῖν θάτερον, ἢ τὸ πρότερον τῶν ἐπιχειρημάτων αὐτοῖς διαπέπτωκε, καὶ μάτην καταφεύγουσι πρὸς τὴν ἐκ φύσεως τάξιν, εἰς κατασκευὴν τοῦ δεῖν γέννημα τὸν γεννηθέντα προσαγορεύεσθαι, ἢ εἰ τοῦτο κατὰ τὸ προσῆκον
D λέγεται, ὁ ἕτερος λόγος ὑπὸ τῶν προκατεσκευασμένων διαλυθήσεται. ὁ γὰρ διὰ τὸ γεννηθῆναι γέννημα κατ' ἐκείνους λεγόμενος, δι' αὐτὸ τοῦτο ποίημα καὶ κτίσμα λέγεσθαι φύσιν οὐκ ἔχει. πλεῖστον γὰρ δήπου διενήνοχεν ἑκάτερον τὸ σημαινόμενον τῶν ὀνομάτων, καὶ προσήκει τὸν λελογισμένως ταῖς φωναῖς κεχρημένον, πρὸς τὸ ὑποκείμενον βλέποντα, κεχρῆσθαι τοῖς ῥήμασιν. ὡς ἂν μή τινα σύγχυσιν περὶ τὰς ἐννοίας πάθοιμεν, ἀνοικείως τοῖς σημαινομένοις τὰς φωνὰς ὑπαλλάσσοντες. διὰ τοῦτο τεχνίτου μὲν ἔργον τὸ διὰ τῆς τέχνης ἀπεργασθὲν ὀνομάζομεν· υἱὸν δὲ ἀνθρώπου τὸν ἐξ

ἐκείνου φύντα προσαγορεύομεν. οὔτε δὲ τὸ ἔργον υἱόν, οὔτε υἱὸν τὸ ἔργον τῶν σωφρονούντων εἴποι τις ἄν. συγχέοντος γάρ ἐστι καὶ ἀναθολοῦντος ἐν τῇ πεπλανημένῃ τῶν ὀνομάτων χρήσει τὴν ἀληθῆ σημασίαν· ὥστε τῶν δύο τούτων τὸ ἕτερον ἐπὶ τοῦ μονογενοῦς ἀληθεύειν ἐπάναγκες· εἰ μὲν υἱός ἐστιν, κτίσμα μὴ λέγεσθαι· εἰ δὲ κτιστός, τῆς τοῦ υἱοῦ προσηγορίας ἀλλοτριοῦσθαι. καθάπερ καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα, καὶ τὰ καθ' ἕκαστον πάντα κτίσματα ὄντα, τὴν τοῦ υἱοῦ κλῆσιν οὐχ ὑποδύεται. ἀλλ' ἐπειδὴ μαρτυρεῖ γεννητὸν εἶναι τὸν μονογενῆ Θεὸν ὁ ΕΥνόμιος, ἰσχυροτέρα δὲ πρὸς τὴν ἀληθείας σύστασιν ἡ τῶν ἐχθρῶν μαρτυρία, καὶ τὸ μὴ κτιστὸν εἶναι πάντως διὰ τοῦ τὸ γεννητὸν εἰπεῖν εἶναι, συνεμαρτύρησεν. ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα. πολλῶν γὰρ ἡμῖν λόγων ἐπιρρεόντων, ὡς ἂν μὴ τὸ πλῆθος εἰς ἀμετρίαν ἐκπέσοι, τούτοις περὶ τῶν προτεθέντων ἀρκεσθησόμεθα.

A eum qui ex illo procreatus eſt appellamus. Neque opus filium, neque filium opus quiſquam hominum prudentum dixerit. Eſt enim confundentis & conturbantis in falſo nominum vſu veram ſignificantiam. Ita vt ſit neceſſe duorum horum alterum de vnigenito verè affirmare. Siquidem eſt filius, creaturam non dici, ſi autem creatus, à filij appellatione remotum eſſe: ſicut etiam cœlum & terra, & mare, & quæ ſingula ſunt omnia creata, filij appellationem non induunt. B Sed quoniam vnigenitum Deum Eunomius genitũ eſſe teſtatur, atque ad veritatis commendationem, & confirmationem aduerſariorum valentius eſt teſtimonium; omnino nõ eſſe creatum, dum dicit genitum eſſe, teſtatus eſt. Sed de his quidem hactenus. Multis enim nobis ſermonibus effluentibus, ne multitudo modum exuperet, de his quæ propoſita ſunt, hæc dixiſſe ſufficiet.

A

Sancti Patris noſtri

GREGORII NYSSENI, CONTRA EVNOMIVM,

Oratio III.

Verba Eunomij.

OPERÆPRETIVM fuerit etiam de gennemate ſiue progenie phyſiologiam, id eſt naturæ rationem, ab eo diligenter & philoſophicè tractatam, noſtra oratione examinare: dicit itaque (Nam ad verbum, mirificè contra veritatem ab eo perſcriptum ſermonem referam.) [Quis enim ita negligens & naturæ eorum quæ ſunt ita improuidus conſiderator, vt ignoret è corporibus quæ in terra dum generant & generantur, agunt & patiuntur, explorantur ea quæ generant ſuam eſſentiam C generatis communicare, & quæ gignuntur eandem participare ſolere, vtpote quorum ſit communis materialis cauſa & extrinſecus influens copia, quæque generantur affectu naturali generari, & quæ generant ſecundum naturam non habere purum actum, quòd eorum natura ſit omnimodis affectibus inuoluta.] Videte quàm decorè & reuerenter verbi Dei, quod erat in principio ante ſecula generationem ſua contemplatione complectitur, qui eorum quæ ſunt naturam conſiderat, & corpora quæ circa terram ſunt eorumque materialem cauſam, af- D fectus, item generantium & generatorum, & quæ ſunt huiuſmodi omnia, quæ ſi de nobis dicerentur, verecundus quis mente præditus erubeſceret, dum ſic ſermone noſtra affectibus obnoxia natura velut in cippo notatur & pingitur. Verumtamen ſplendida huius ſcriptoris de vnigenito Deo naturæ deſcriptio talis eſt. [Nos autem omiſſis lamentationibus (quid enim nobis amplius ad inimicorum deſtruendam malitiam, gemitus vel ſuſpirium profuerit?) ſententiam eorum quę dicta ſunt, quantum quidem poterimus, tractabimus.] De quo gennemate ſiue germine contemplatio propoſita eſt, an de éo quod ſecundum carnem con-

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Γ.

B ΚΕΡΔΟΣ δ᾽ ἂν εἴη καὶ τὴν περὶ τοῦ γεννήματος φυσιολογίαν τὴν ἐπιμελῶς αὐτῷ φιλοσοφηθεῖσαν ἐξετάσαι τῷ λόγῳ· φησὶ τοίνυν· ἐρῶ δὲ κατὰ λέξιν τὸν καλλιγραφηθέντα λόγον αὐτῷ, κατὰ τῆς ἀληθείας. τίς γὰρ οὕτως ἀμαθής, καὶ τῆς τῶν ὄντων φύσεως ἀνεπίσκεπτος, ὡς ἀγνοεῖν ὅτι τῶν σωμάτων ὅσα περὶ γῆν ἐν τῷ γεννᾶν καὶ γεννᾶσθαι, ποιεῖν τε καὶ πάσχειν ἐξετάζονται, τά τε γεννῶντα μεταδίδωσι τῆς ἰδίας C οὐσίας, καὶ τὰ γεννώμενα τῆς αὐτῆς μεταλαμβάνειν πέφυκεν, ἅτε κοινῆς οὔσης ὑλικῆς αἰτίας, καὶ τῆς ἔξωθεν ἐπιρρεούσης χορηγίας, τά τε γινόμενα γεννᾶται κατὰ πάθος, καὶ τὰ γεννῶντα κατὰ φύσιν οὐ καθαρὰν ἔχει τὴν ἐνέργειαν, διὰ τὸ παντοίοις πάθεσι συνεζεῦχθαι τὴν φύσιν. ὁρᾶτε πῶς πρεπόντως τοῦ ἐν ἀρχῇ ὄντος λόγου Θεοῦ διαλαμβάνει τῇ θεωρίᾳ τὴν προαιώνιον γέννησιν, ὁ τὴν τῶν ὄντων φύσιν δι᾽ ἀκριβείας ἐπισκεπτόμενος, σώματα περὶ γῆν καὶ ὑλικὴν αἰτίαν, καὶ πάθος γεννώντων τε καὶ γεννωμένων, καὶ πάντα τὰ D τοιαῦτα, δι᾽ ὧν ἐρυθριάσειεν ἄν τις τῶν νοῦν ἐχόντων κἂν περὶ ἡμῶν λέγηται, στηλιτευομένης τῷ λόγῳ τῆς ἐμπαθοῦς ἡμῶν φύσεως. ἀλλ᾽ ἡ μὲν λαμπρὰ τοῦ λογογράφου περὶ τοῦ μονογενοῦς Θεοῦ φυσιολογία τοιαύτη. ἡμεῖς δὲ τὸ σχετλιάζειν ἀφέντες, τί γὰρ ἂν καὶ πλέον ὁ στεναγμὸς ἡμῖν πρὸς κατάλυσιν τῆς τῶν ἐχθρῶν κακίας συναγωνίσαιτο; τὸν νοῦν τῶν εἰρημένων ὅπως ἂν οἷοί τε ὦμεν, δημοσιεύσωμεν· περὶ ποίου γεννήματος ἡ θεωρία προὔκειτο, τοῦ κατὰ σάρκα συνισταμέ-

νου, ἢ τῆς κατὰ τὸν μονογενῆ Θεόν. διπλῆς γὰρ οὔσης τῆς θεωρίας, ἐπί τε τῆς θείας καὶ ἁπλῆς καὶ ἀΰλου ζωῆς, καὶ ἐπὶ τῆς ὑλικῆς τε καὶ ἐμπαθοῦς ὑποστάσεως, καὶ ὁμοίως λεγομένης ἐπ' ἀμφοῖν τῆς γεννήσεως· ἀναγκαίως ἂν εἴη τρανὴν καὶ ἀσύγχυτον τὴν διαστολὴν τῶν σημαινομένων ποιήσασθαι· μήπου τὴν ἀλήθειαν ἡ τῆς γεννήσεως ὁμωνυμία παραλογίσηται. ἐπεὶ τοίνυν ἡ μὲν διὰ σαρκὸς εἰς τὸ εἶναι πάροδος ὑλική τίς ἐστι καὶ διὰ πάθους προάγεται· τὸ δὲ ἀσώματον καὶ ἀναφὲς καὶ ἀνείδεον, καὶ τῆς ὑλώδους ἐπιμιξίας ἐλεύθερον πάσης διαθέσεως ἐμπαθοῦς ἀλλοτρίωται, θεωρῆσαι προσήκει περὶ ποίας γεννήσεως ἡ ζήτησις ἦν, τῆς ἀκηράτου καὶ θείας, ἢ τῆς ἐμπαθοῦς καὶ ῥυπώσης. ἀλλ' οὐκ ἄν τις εἴποι, τὸ μὴ περὶ τοῦ μονογενοῦς Θεοῦ τὴν προαιώνιον ὕπαρξιν προκεῖσθαι τῇ θεωρίᾳ τοῦ λόγου. τί οὖν ἐμφιλοχωρεῖ τῇ σωματικῇ ταύτῃ φυσιολογίᾳ ἐν τῇ βδελυρᾷ τοῦ λόγου διασκευῇ, καταρρυπαίνων τὴν φύσιν, καὶ τὰ περὶ τὴν ἀνθρωπίνην γέννησιν πάθη δημοσιεύων, καταλιπὼν τὴν προκειμένην ὑπόθεσιν. οὐ γὰρ τὴν ζωώδη ταύτην γέννησιν τὴν διὰ σαρκὸς συνισταμένην μαθεῖν ἐδεόμεθα. τίς γὰρ οὕτως ἠλίθιος, ὡς ἑαυτὸν βλέπων καὶ νοῶν ἐν ἑαυτῷ τὸ ἀνθρώπινον, ἄλλον ἑρμηνείαν τῆς ἑαυτοῦ ζητεῖν φύσεως, καὶ δεῖσθαι μαθεῖν τὰ ἀναγκαῖα πάθη ὅσα τῇ γεννήσει συνθεωρεῖται τοῦ σώματος. ὅτι ἄλλως μὲν ὁ τίκτων, ἑτέρως δὲ τὸ τικτόμενον ἐν πάθει γίνεται, ὡς ἂν μάθοι ἐκ τῆς διδασκαλίας ταύτης ὁ ἄνθρωπος, ὅτι αὐτός τε διὰ πάθους γεννᾷ, καὶ πάθος αὐτῷ τῆς γεννήσεως ἦρξατο. ταῦτα γὰρ καὶ σιωπώμενα καὶ λεγόμενα, τὸ ἴσον ἔχει, κἂν τις διεξείη δημοσιεύων τὰ κρύφια, κἂν συγκαλύπτῃ τῇ σιωπῇ τὰ ἀπόρρητα, τὸ διὰ πάθους προϊέναι τὴν φύσιν οὐδὲν οὐκ ἠγνοήσαμεν· ζητοῦμεν δὲ περὶ τῆς ὑψηλῆς καὶ ἀφράστου περὶ τοῦ μονογενοῦς ὑπάρξεως, καθ' ἣν ἐκ τοῦ πατρὸς εἶναι πεπίστευται, σαφηνισθῆναι τὸν λόγον. ταύτης τοίνυν προκειμένης τῆς ἐξετάσεως, ὁ καινὸς θεολόγος, ῥεῦσιν καὶ πάθος καὶ ὑλικὴν αἰτίαν, καὶ ἐνέργειάν τινα ῥύπου μὴ καθαρεύουσαν, καὶ ἔξωθεν ἐπιρρέουσαν χορηγίαν, καὶ πάντα τὰ τοιαῦτα τῷ λόγῳ προστίθησιν. οὐκ οἶδα τί παθὼν ὁ τῷ

A ſtituitur, an de eo quod eſt ſecundum vnigenitum Deum. Nam cùm ſit duplex contemplatio, vna quidem de diuina & ſimplici & immateriali vita, altera vero de materiali & affectibus dedita ſubſiſtentia, ſimiliter cùm de ambabus dicatur generatio, neceſſarium fuerit apertam & inconfuſam diſtinctionem conſtituere, ne generationis homonymia ſiue nominis ambiguitas veritatem fallaciter peruertat. Quoniam igitur via quæ per carnem aliquid eſſe facit, materialis quędam eſt & per affectũ prouehitur. Quod autem incorporeum nec tangi poteſt &
B informe & ab omni materiali concretione liberum procul ab omni affectione & perturbatione remotum eſt & alienum, de qua generatione quæritur hoc loco, ſpectare conuenit, an de incorruptibili & diuina, an de obnoxia affectibus & ſordida. Sed nullus dixerit de vnigenito Deo æternam exiſtentiam non proponi contemplationi huius ſermonis. Quid igitur immoratur in hac corporali naturæ ratione in abominando & fœdo ſermonis apparatu, naturam ſordibus inquinans, libidinéſque humanæ gene-
C rationis publicans propoſito argumento relicto. Non enim animalem hanc generationem quæ per carnem perficitur diſcere egebamus. Quis enim ita ſtolidus vt ſeipſum intuens, & quod humanum eſt in ſeipſo intelligens, alium ſuiipſius naturæ quærat interpretem, & ſcire indigeat neceſſarios affectus qui in corporis generatione cõſideratur. Quòd aliter quidem qui gignit aliter vero qui gignitur afficitur, vt ex hac doctrina homo diſcat, quod ipſe per affectum generat, & quod affectus ei fuerit generationis principium, hæc enim ſiue taccan-
D tur ſiue dicantur nihil intereſt, ſiue quis diuulgando naturæ occulta enarret, ſiue ſilentio inuoluat quæ non ſunt efferenda in vulgus, naturam noſtram affectu ſiue appetitu ferri non ignoramus. Quærimus autem vt oratio apertè tractet de illa excelſa & non enarrabili vnigeniti Dei exiſtentia, ſecundum quam ex Deo patre eſſe creditus eſt. Itaque cùm hæc ſit propoſita inquiſitio, nouus iſte theologus fluxum & affectum & materialem cauſam & functionem quandã ſordibus non carentem, & extrinſecus affluentem ſeminis largitionẽ, omniaq; huiuſmodi huic ſermoni adijcit. Haud ſcio quid ei

Nota hæreticis familiarem arrogantiam.

acciderit, qui ob nimiam ſcientiam nihil eorum quæ comprehendi nequeunt extra ſuam cognitionem relictum eſſe gloriatur, & ineffabilem filij generationem ſe interpretari profitetur, à propoſitis rebus diſcedens anguillæ inſtar, feculentum lutum & cenum vilissimum cogitationum lubricus ſubit, non ſecus quam ille nocturnus Nicodemus, qui cum à Domino ſupernam generationem doceretur, ad eam quæ fit in vteri ſinibus, cogitationibus trahebatur, & quomodo iterum in ventrem matris ingrederetur, dubitabat, dicens: Quo pacto hoc poteſt fieri? exiſtimans quia ſenex denuò in matris viſcera ingredi, & in vtero geſtari non poſſet, ſpiritalem generationem non poſſe fieri neque conſiſtere, ſe redarguturum eſſe. Sed illius errãtem opinionem Dominus corrigit, dicens: ea quæ ſunt carnis & ſpiritus propria nullam habere ſocietatem, nec poſſe commiſceri. Et hic ſeipſum in ſimilibus ſi velit emendet: oportet enim, vt opinor, veritatis curatorem contemplari ſubiectum ex iis quæ ipſi propria ſunt, non ex materialium accuſatione calumniari eum qui materiæ eſt expers. Si enim homo, vel bos, vel aliud quid eorum quæ per carnẽ gignuntur, nõ purum eſt ab affectu dum gignit, vel gignitur quid hoc ad naturam impatibilem & incorruptibilem? Non enim quòd nos mortales, ſumus vnigenæ immortalitatẽ præſcribit; neque hominum ad vitium propenſio, diuinæ naturæ immutabilitatem dubiam reddit: neque noſtrorum quicquã ad Deum transfertur. Sed humanæ & diuinæ naturæ certa quædam eſt immixta, inſociabilis & incommutabilis proprietas: ſed modis omnibus eiuſmodi proprietates, quibus vtraq. natura diſtinguitur & à ſe inuicem diſcernitur, longo interuallo diſtant, vt neque hæ in illa, neque rurſus vice verſa in hac illæ comprehendantur. Quomodo igitur Eunomius cùm diuinã generationem enarrare propoſuerit omiſſo propoſito quæ in terra fiunt oratione perſequitur, cùm inter nos de his nulla ſit controuerſia. Sed euidens eſt vafri & callidi artificis ſcopus, vt calumnia eius generationis quę fit ex affectu ſiue appetitu, peruertat Domini generationem. In quibus ego prætermiſſa blaſphemia, hominis ingenium & ſolertiam admiror, quo modo ſui ſtudij meminit, qui filium oportere eſſe dicique gennema

Ioan. 3.

A ὑπερβάλλοντι τῆς σοφίας μηδὲν τῶν ἀλήπτων ἔξω τῆς ἑαυτῆς γνώσεως καταλιπέσθαι λέγων, καὶ τὴν ἄρρητον τοῦ υἱοῦ γέννησιν ἐπαγγελλόμενος, ἀποστὰς τῶν προκειμένων, ἐγχέλυος δίκην εἰς τὴν ἰλυώδη βόρβορον τῶν λογισμῶν καταδύεται· κατὰ τὸν νυκτερινὸν ἐκεῖνον Νικόδημον, ὃς τὴν ἄνωθεν γέννησιν τοῦ κυρίου διδάσκοντος πρὸς τὸν ἐν μήτρᾳ κόλπον τοῖς λογισμοῖς κατεσύρετο· καὶ πῶς ἂν ἐκ δευτέρου* πάλιν ἐντὸς τῆς νηδύος γένοιτο, διηπόρει, λέγων· πῶς δύναται τοῦτο γενέσθαι; νομίζων τὸ μὴ δύνασθαι τὸν πρεσβύτην διὰ σπλάγχνα B πάλιν κυοφορηθῆναι μητρῷα*, τὴν πνευματικὴν γέννησιν διελέγξειν ἀσύστατον. ἀλλὰ κἀκείνου τὴν πεπλανημένην ὑπόληψιν διορθοῦται ὁ κύριος· ἄμικτα λέγων εἶναι τὰ τῆς σαρκὸς καὶ τοῦ πνεύματος ἰδιώματα. καὶ οὗτος ἑαυτὸν ἐν τοῖς ὁμοίοις εἰ βούλεται διορθούσθω. δεῖ γὰρ οἶμαι τὸν φροντιστὴν τῆς ἀληθείας ἐκ τῶν ἰδίων θεωρεῖν τὸ προκείμενον, μὴ διὰ τῆς τῶν ὑλικῶν κατηγορίας διαβάλλειν τὸν ἄυλον. εἰ γὰρ ἄνθρωπος, ἢ βοῦς, ἢ ἄλλο τι τῶν διὰ σαρκὸς τικτομένων οὐ καθαρεύει πάθους γεννῶν ἢ C γεννώμενος· τί τοῦτο πρὸς τὴν ἀπαθῆ καὶ ἀκήρατον φύσιν; οὐδὲ γὰρ τὸ θνητοὺς ἡμᾶς εἶναι, τὴν ἀθανασίαν τοῦ μονογενοῦς παραγράφεται· οὐδὲ ἡ πρὸς κακίαν ῥοπὴ τῶν ἀνθρώπων, ἀμφίβολον ἐπὶ τῆς θείας φύσεως εἶναι παρασκευάζει τὸ ἄτρεπτον· οὐδὲ ἄλλο τι τῶν ἡμετέρων καὶ ἐπὶ τὸν Θεὸν μεταφέρεται. ἀλλά τις ἄμικτός ἐστι καὶ ἀκοινώνητος ἡ ἰδιότης τῆς ἀνθρωπίνης τε καὶ τῆς θείας ζωῆς· καὶ παρήλλακται παντάπασι τὰ γνωριστικὰ ἰδιώματα, ὡς μήτε ταῦτα ἐπ' ἐκείνης, μήτε τὸ ἔμπαλιν D ἐπὶ ταύτης ἐκεῖνα καταλαμβάνεσθαι. πῶς οὖν ὁ Εὐνόμιος, τῆς θείας προκειμένης τῷ λόγῳ γεννήσεως, ἀφεὶς τὸ προκείμενον, τὰ ἐν τῇ γῇ διεξέρχεται, οὐδεμιᾶς ἡμῖν περὶ τούτων πρὸς αὐτὸν οὔσης ἀμφισβητήσεως· ἀλλὰ πρόδηλος ὁ σκοπὸς τοῦ τεχνίτου, ἵνα τῇ πρὸς τὸ πάθος διαβολῇ, παραγράψῃ τοῦ κυρίου τὴν γέννησιν, ἐφ' οἷς ἔγωγε τὸ κατὰ τὴν βλασφημίαν παρείς, θαυμάζω τῆς ἀγχινοίας τὸν ἄνθρωπον. πῶς μέμνηται τῆς οἰκείας σπουδῆς, ὃς τὸ δεῖν γέννημα τὸν υἱὸν εἶναι καὶ λέγε-

θαι, διὰ τῶν προειρημένων κατασκευάσας, νῦν περὶ τοῦ μὴ χρῆναι γέννησιν περὶ αὐτὸν ἐννοεῖν ἀγωνίζεται. εἰ γὰρ πᾶσα γέννησις, καθὼς οὗτος οἴεται, συνεζευγμένην ἔχει τὴν κατὰ τὸ πάθος διάθεσιν· ἀνάγκη πᾶσα διὰ τούτων ὁμολογεῖν, ὅτι τὸ τοῦ πάθους ἀλλότριον, συναπηλλοτρίωται πάντως καὶ τῆς γεννήσεως. εἰ γὰρ ταῦτα συνεζευγμένως μετ᾽ ἀλλήλων νοεῖται τὸ πάθος τε καὶ ἡ γέννησις, ὁ τοῦ ἑνὸς τούτων ἀμέτοχος, οὐδ᾽ ἂν πρὸς τὸ ἕτερον τὴν κοινωνίαν ἔχοι. πῶς οὖν γέννημα διὰ τὴν γέννησιν λέγει, τὸν ὅτι οὐκ ἐγεννήθη διὰ τῶν νῦν παρ᾽ αὐτοῦ λεγομένων, ἀποδεικνύμενον. καὶ ὑπὲρ τίνος μάχεται πρὸς τὸν διδάσκαλον ἡμῶν τὸν συμβουλεύοντα μὴ κατατολμᾶν ἐπὶ τῶν θείων δογμάτων τῆς ὀνοματοποιίας· ἀλλὰ γεγεννῆσθαι μὲν ὁμολογεῖν, μὴ παραδειγματίζειν δὲ τὴν ἔννοιαν ταύτην εἰς ὀνόματος τύπον· ὥστε γέννημα τὸν γεννηθέντα προσαγορεύειν· ἰδίως τῆς φωνῆς ταύτης ἐπὶ τῶν ἀψύχων, ἢ ἐπὶ τῶν εἰς εἰκόνα πονηρίας παρειλημμένων, ὑπὸ τῆς γραφῆς τεταγμένης. ἀλλ᾽ ὅταν μὲν παρ᾽ ἡμῶν λέγηται τὸ δεῖν σιωπᾶσθαι τὴν φωνὴν τοῦ γεννήματος, τὴν ἄμαχον ἐκείνην ῥητορικὴν προχειρίζεται, συμπαραλαμβάνων εἰς συμμαχίαν καὶ τὴν γραμματικὴν ψυχρολογίαν· καὶ διὰ τῆς τεχνικῆς τῶν ὀνομάτων εἴτε παραγωγῆς, εἴτε παρωνυμίας, εἴτε οὐκ οἶδ᾽ ὅπως δεῖ λέγειν ταῦτα προσήκει· διὰ τούτων τοὺς συλλογισμοὺς συμπεραίνει, γέννημα τὸν γεννηθέντα λέγειν οὐ παραιτούμενος. ἐπειδὰν δὲ τοῦτο δεξάμενοι τὴν τοῦ ὀνόματος ἔννοιαν θεωρήσωμεν, ὡς τοῦ κοινοῦ τῆς οὐσίας ἐντεῦθεν συνδεικνυμένου· πάλιν ἀνατίθησι τὰς ἰδίας φωνάς. καὶ περὶ τοῦ μὴ γεννηθῆναι τὸ γέννημα διατείνεται, τῇ ῥυπαρᾷ φυσιολογίᾳ τοῦ σωματικοῦ τόκου τὴν καθαράν τε καὶ θείαν καὶ ἀπαθῆ τοῦ κυρίου παραγραφόμενος γέννησιν· ὡς οὐκ ἐνδεχόμενον τὰ δύο κατ᾽ αὐτὸν ἐπὶ τοῦ Θεοῦ συνδραμεῖν, τό τε πρὸς τὸν πατέρα γνήσιον, καὶ τὴν ἀπάθειαν τῆς φύσεως, ἀλλ᾽ εἰ μὲν τὸ ἀπαθὲς εἴη, οὐκ εἶναι τὴν γέννησιν· εἰ δὲ τὸ γνήσιόν τις ὁμολογοίη, καὶ πάθος τῇ γεννήσει πάντως συμπαραδέχεσθαι. οὐχ οὕτως ὁ ὑψηλὸς Ἰωάννης, οὐχ οὕτως ἐκείνη ἡ βροντία φωνὴ τὸ τῆς θεολογίας κηρύττει μυστήριον·

A germen ſiue progeniem ex prædictis adſtruit, nunc non oportere generationem in ipſo intelligere contendit. Si enim omnis generatio, vt ipſe autumat, coniunctam habet ex affectu ſiue motu diſpoſitionem: per hæc omnino neceſſe confiteri, quod ab affectu alienum eſt, ſimul etiã à generatione alienari. Si enim hæc copulatè inter ſe intelligũtur & affectus & generatio, qui horũ vnius eſt expers, neque cum altero habet cõmunionem. Quomodo igitur gennema (germen) per generationem dicit, eum quem non genitum eſſe ex iis quæ modo ab ipſo B ſunt dicta demonſtrat. Cuius cauſa contra magiſtrum noſtrum pugnat, conſulentem in diuinis decretis non audendum eſſe nomina fingere. ſed genitum quidem eſſe confitendum, minimè vero fingendam eſſe notionem hanc ad nominis formam: ita vt genitum gennema ſiue progeniem appellemus: cùm hæc vox propriè de inanimis, vel per metaphoram de his qui ad imaginem improbitatis mores fingunt, à ſacra ſcriptura ponatur. Sed cùm à nobis dicitur, hanc vocem gennema (germen) ſilentio præ- C tereundam eſſe, hanc inexpugnabilem rhetoricam profert, & ad auxilium etiam aſſumit grammaticum ſermonem frigidum & inanem: atque per artificioſam nominum ſiue deriuationem, ſiue denominationem, ſiue neſcio quomodo hæc ſint enuntianda; per hæc ſyllogiſmos concludit, non recuſans eum qui genitus eſt dicere gennema ſeu germen. Tum verò ſi hoc nomen accipientes, huius notionem perſpiciamus, vt etiam inde communio eſſentiæ demonſtretur: rurſus proprias voces exponit, & gennema ad illud quoque quod D non genitum eſt extendit, ſordida phyſiologia corporalis partus puram & diuinam & affectibus non obnoxiam domini generationem deſcribens: ac ſi hæc duo iuxta eius opinionem non poſſint in Deo concurrere, & quod cum patre germanum eſt, & naturæ ἀπάθειαν, affectuum vacuitatem: ſed ſi quod affectu caret fuerit, non eſſe generationem: quòd ſi quis confiteatur quod germanum eſt, affectum etiam cum generatione admittere. Non ſic ſublimis Ioannes, non ſic vox illa tonans, theologiæ prædicat myſterium, qui

D. Baſiliũ M intelligit.

etiam filium Dei nominat, omníque opinione affectibus hærente expurgat præconium. Ecce enim quomodo auditum præparat, & antè ſanat in procemiis Euangelij. Quanta porro in doctore prouidentia, ne audientium aliquis in humiles & abiectas opiniones corruat, ad abſurdas quaſdam ſuſpiciones ex inſcitia lubrico lapſu incitatus. Vt enim quam longiſſimè ab affectu non exercitatum auditum abduceret, non filium dixit in procœmio, non patrem, non generationem; ne quis in primis vel patrem audiens, ad promptam & notam huius nominis ſignificationem traheretur, vel filium prædicari cùm didiciſſet, conſueto more & vſitato ſignificatu hoc nomen animo comprehenderet, & in generationis vocabulum procideret, tanquam in lapidem offenſionis: ſed patris loco principium nominat, & pro verbo, genitus eſt, poſuit verbum, erat: & loco filij, τὸν λόγον, Verbum, & ait: In principio erat Verbum. Quis in his affectus? dic mihi: & erat, & Verbum: num affectus fuit principium? num in affectu, erat? num per affectum, ὁ λόγος Verbum? Vel quoniam in dictis non eſt affectus, neque quod proprium & germanũ eſt hoc præconio enũciatur. Atqui quomodo aliter magis & clarius id quod ſecundum eſſentiam commune eſt & germanum, quodq. coæternum verbi cum principio, quam per hæc verba expreſſum eſſet? Non enim dixit, ex principio genitum eſt Verbum: ne quadam extenſiua notione à principio Verbum diſiungeret: ſed ſimul cum principio prædicauit cõmune, cùm dixit, & de principio & de verbo, nempe erat: ne principio poſterius eſſet Verbũ, ſed præconio auditum anteuerteret, priuſquam ſolum principium in ſeipſo admitteret, cum principij fide congreſſus. Deinde ait, & Verbum erat apud Deum. Adhuc Euangeliſta noſtrum timet rude & inexercitatum ingenium, adhuc metuit noſtram infantiam & imperitiam, nondum fideicõmittit auditui patris appellationẽ, ne quis eorum qui magis carnem ſapiunt, cùm Patrem audierit, mox matrem ex conſequente animo ſuo fingat & imprimat. Sed neque adhuc filiũ nominat in hoc præconio: ſuſpicatur enim noſtram ad naturam imam cõſuetudinẽ, ne quis audito filij nomine ad hominis formam diuinitatem turbida quadam & affectu plena opinione reduceret. Quapropter præconium repetens

Ioan. 1.

A ὡς καὶ υἱὸν ὀνομάζει Θεοῦ, καὶ πάσης ἐμπαθοῦς ὑπολήψεως ἐκκαθαίρει τὸ κήρυγμα. ἰδοὺ γὰρ πῶς προθεραπεύει τὴν ἀκοὴν ἐν τοῖς προοιμίοις τοῦ εὐαγγελίου. ὅση γὰρ ἐν τῷ διδασκάλῳ προμήθεια τοῦ μή τινα τῶν ἀκουόντων εἰς ταπεινὰς ὑπολήψεις καταπεσεῖν, πρὸς ἀτόπους τινὰς ὑπονοίας ἐξ ἀμαθίας ὑπολισθήσαντα. ὡς γὰρ ἂν μάλιστα πόρρω πάθους ἀπαγάγοι τὴν ἀγύμναστον ἀκοὴν, οὐχ υἱὸν εἶπεν ἐν προοιμίῳ, οὐ πατέρα, οὐ γέννησιν, ἵνα μή τις ἐν πρώτοις ἢ πατρὸς ἀκούσας, κατα-

B συρῇ πρὸς τὴν πρόχειρον ἔμφασιν τοῦ ὀνόματος, ἢ υἱὸν μαθὼν κηρυσσόμενον, κατὰ τὴν ὧδε συνήθειαν νοήσῃ τὸ ὄνομα, ἢ προσπταίσῃ τῷ ῥήματι τῆς γεννήσεως, ὡς λίθῳ προσκόμματος· ἀλλ' ἀντὶ μὲν πατρὸς, ἀρχὴν ὀνομάζει, ἀντὶ δὲ τοῦ ἐγεννήθη, τὸ ἦν, ἀντὶ δὲ τοῦ υἱοῦ, τὸν λόγον, καὶ φησίν· ἐν ἀρχῇ ἦν ὁ λόγος. ποῖον ἐν τούτοις πάθος εἰπέ μοι· καὶ ἦν, καὶ λόγος, μὴ πάθος ἡ ἀρχὴ, μὴ ἐν πάθει τὸ ἦν· μὴ διὰ πάθους ὁ λόγος· ἢ ἐπειδὴ πάθος ἐν τοῖς εἰρημένοις οὐκ ἔστιν· οὐδὲ τὸ οἰκεῖον συνεκφαίνεται τῷ κηρύγματι. καί τοί γε πῶς ἂν ἑτέρως

C μᾶλλον διαφανείη τὸ κατ' οὐσίαν κοινόν τε καὶ γνήσιον, καὶ τὸ συναΐδιάζον τοῦ λόγου πρὸς τὴν ἀρχὴν, ἢ διὰ τούτων τῶν λόγων; οὐ γὰρ εἶπεν ἐκ τῆς ἀρχῆς ἐγεννήθη ὁ λόγος· ἵνα μὴ τινι παρατατικῷ νοήματι τῆς ἀρχῆς διαζεύξῃ τὸν λόγον. ἀλλ' ὁμοῦ τῇ ἀρχῇ συνεκήρυξε, κοινὸν εἰπὼν τῆς ἀρχῆς τε καὶ τοῦ λόγου τὸ ἦν· ἵνα μὴ ἐφυστερήσῃ μετὰ τὴν ἀρχὴν ὁ λόγος, ἀλλὰ φθάσῃ τὴν ἀκοὴν τῷ κηρύγματι, πρὶν μόνην τὴν ἀρχὴν ἐφ' ἑαυτῆς παραδέξασθαι, τῇ περὶ τῆς ἀρχῆς πίστει συνελθών. εἶτα φησὶ, καὶ ὁ λόγος ἦν πρὸς

D τὸν Θεόν. ἔτι δέδοικεν ἡμῶν ὁ εὐαγγελιστὴς τὸ ἀγύμναστον· ἔτι φοβεῖται ἡμῶν τὸ νηπιῶδές τε καὶ ἀπαίδευτον. οὔπω καταπιστεύει τῇ ἀκοῇ τὴν τοῦ πατρὸς προσηγορίαν, ἵνα μή τις τῶν σαρκωδεστέρων πατέρα μαθὼν, καὶ μητέρα κατὰ τὸ ἀκόλουθον διὰ τῆς διανοίας ἀνατυπώσηται. ἀλλ' οὐδέπω ὅτι υἱὸν ὀνομάζει ἐν τῷ κηρύγματι· ὑποπτεύει γὰρ ἔτι ἡμῶν τὴν πρὸς τὴν κάτω φύσιν συνήθειαν, μή τις υἱὸν ἀκούσας, ἐξανθρωπίσῃ τὸ θεῖον δι' ἐμπαθοῦς ὑπολήψεως. διὰ τοῦτ' ἐπαναλαμβάνων τὸ κή-

ρυγμα, λόγον πάλιν ὠνόμασεν, ἐν τούτῳ φυσιολογῶν τῷ ἀπίστῳ. ὡς γὰρ ὁ σὸς λόγος καὶ ἐκ τοῦ νοῦ ἀναφαίνεται καὶ οὐ μεσιτεύεται πάθει· οὕτως κἀκεῖ λόγον ἀκούσας, καὶ τὸ ἔκ τινος νοήσῃς τὸ πάθος· διὰ τοῦτο φησὶν ἀναλαβὼν πάλιν τὸ κήρυγμα, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. ὢ πῶς παραμετρεῖ τῷ Θεῷ τὸν λόγον· μᾶλλον δὲ, πῶς συμπαρατείνει τῷ ἀπείρῳ τὸ ἄπειρον· ὁ λόγος ἦν πρὸς τὸν Θεόν· πρὸς ὅλον τὸν Θεὸν πάντως ὅλος ὁ λόγος. οὐκοῦν ὅσος ὁ Θεὸς, τοσοῦτος δηλαδὴ καὶ ὁ λόγος ὁ πρὸς αὐτὸν ὤν, ὥστε εἰ ὁ Θεὸς περιώρισται, καὶ ὁ λόγος πάντως ἐν ὅρῳ. εἰ δὲ τοῦ Θεοῦ ἡ ἀπειρία διαβαίνει τὸν ὅρον, οὐδὲ τούτῳ συνθεωρούμενος λόγος ὅροις καὶ μέτροις διαλαμβάνεται. οὐ γὰρ ἄν τις εἴπῃ, μὴ πάσῃ τῇ πατρὸς τῇ θεότητι συνθεωρεῖσθαι τὸν λόγον, ὡς ἂν μὴ τοῦ Θεοῦ τὸ μὲν ἐν λόγῳ εἴη, τὸ δὲ, γυμνὸν τοῦ λόγου ἐλέγχοιτο. πάλιν πατρικὴ τοῦ Ἰωάννου φωνὴ, πάλιν τὴν νηπιαζόντων τιθηνεῖται τὴν ἀκοὴν ὁ εὐαγγελιστὴς τῷ κηρύγματι· οὔπω τοσοῦτον ηὐξήθημεν ἐν ταῖς πρώταις φωναῖς, ὡς υἱὸν ἀκούσαντες οὐκ ἂν ὀλισθαίνοιμεν, διὰ τῆς συνήθους ἐμφάσεως. διὰ τοῦτο πάλιν ὁ κῆρυξ ἀναβοᾷ ἐν τῇ τρίτῃ φωνῇ ἔτι λόγον οὐχ υἱὸν ἀνεκήρυξεν, εἰπών· καὶ Θεὸς ἦν ὁ λόγος. πρότερον εἶπεν ἐν ᾧ ἦν, εἶτα πρὸς τίνα ἦν, νῦν τί ἐστιν λέγει. διὰ τῆς τρίτης ἐπαναλήψεως τελεῖ τὸν σκοπὸν τοῦ κηρύγματος. οὐ γὰρ λόγον, φησί, τινὰ τῶν κατὰ τὸ πρόχειρον νοουμένων, ἀλλὰ Θεὸν κηρύσσω ἐν τῷ τοῦ λόγου προσρήματι· οὗτος γὰρ ὁ λόγος, ὁ ἐν ἀρχῇ ἦν, καὶ πρὸς τὸν Θεὸν ἦν, οὐκ ἄλλο τι παρὰ τὸν Θεὸν ἦν, ἀλλὰ καὶ αὐτὸς Θεὸς ἦν. καὶ συνεχῶς διὰ τῆς ἐπαναλήψεως ἐπακμάζων ταῖς μεγαλοφωνίαις ὁ κῆρυξ, τοῦτον λέγει τὸν Θεὸν τὸν ἐν τῷ κηρύγματι προδηλούμενον. τοῦτον εἶναι δι' οὗ τὰ πάντα ἐγένετο, καὶ ζωὴν εἶναι. καὶ φῶς ἀνθρώπων, καὶ φῶς ἀληθινὸν ἐν σκοτίᾳ λάμπον, καὶ ὑπὸ τῆς σκοτίας οὐκ ἀμαυρούμενον, τοῖς ἰδίοις ἐπιδημοῦντα, καὶ ὑπὸ τῶν ἰδίων οὐ λαμβανόμενον, καὶ σάρκα γινόμενον, καὶ διὰ τῆς σαρκὸς τῇ ἀνθρωπίνῃ κατασκηνοῦντα φύσει. καὶ τοσαῦτα προδιεξελθὼν καὶ τοιαῦτα, τότε πατέρα λέγει, καὶ μονογενῆ ὀνομάζει, ὅτε οὐκέτι

A rurſus Verbum nominauit, hæc tibi naturali modo declarans infideli: vt enim tuus ſermo ex mente prodit, neque affectui medius intermiſcetur: ſic etiam illic Verbum cùm audiſti, & ne affectum ex aliquo intelligas; ideo repetito præconio ait, & Verbum erat apud Deum. O quomodo Deo adnectit verbum! imo verò, quomodo infinitum cum infinito extendit! verbum erat apud Deum: apud totum Deum prorſus totum Verbum. Ergo quantus Deus, tantum proculdubiò etiam Verbum, quod apud ipſum eſt. Quare ſi Deus termino circumſcri- B ptus eſt, Verbum quoque in termino. Quòd ſi Dei immenſitas ſiue infinitas terminum pertranſit, neque Verbum quod cum hoc mente cernitur, termino aut menſuris comprehenditur. Nemo enim negauerit, Verbum cum omni patris deitate ſimul conſpici, ne Dei pars aliqua eſſe in verbo, pars verò nuda Verbo redarguatur. Rurſus paterna Ioannis vox: iterum infantium auditum Euangeliſta ſuo præconio nutricatur: nõdum tantum in primis vocibus aucti ſumus, quin ſi filium audiſſemus, propter con- C ſuetam & cognitam ſignificationem lapſi non fuiſſemus. Proprerea rurſus præco tertia voce clamans, adhuc Verbum non filium edixit, dicens; & Deus erat Verbum. Primùm dixit in quo erat, deinde apud quem, nunc quid eſt dicit. Tertia repetitione præconij ſcopum abſoluit: non enim Verbum, inquit, eorum aliquod quæ promptè intelliguntur, ſed Deum prædico hac Verbi (λόγου) dictione: hoc enim Verbum, quod in principio erat, & apud Deum erat, non aliud quicquam præter Deum erat, ſed & ipſum Deus erat. Et iugiter per reſum- D ptionem magnificis vocibus inualeſcens præco, hunc Deum dicit, hoc præconio ſiue edicto palam declaratum. Hoc eſſe per quod omnia facta ſunt, & vitam eſſe atque lucem hominum, & lucem veram in tenebris fulgentem, & à tenebris non hebeſcentem, in ſuis verſans, & à ſuis non receptum, & carnem factum, & per carnem in humana natura requieſcens, ſiue tanquam in tabernaculo habitans. Atque talia cùm ante expoſuiſſet, tum Patrem dicit, & vnigenitum nominat, cùm nullum

amplius periculum imminet ei qui per totidem perpurgatus eſt, ne in ſordeſcentem illabatur cogitationem ex patris ſignificantia: vidimus enim, inquit, gloriam eius, gloriam quaſi vnigeniti à Patre. Ad hæc dic Euangeliſtæ, ô Eunomi, dic tua docta inuenta. Quomodo Patrem, quomodo vnigenam nominas ſermone? [cùm omnis corporalis generatio per affectum efficiatur.] Tibi pro ipſo reſpondet veritas: quod aliud eſt Theologiæ myſterium, alia corporum quæ ſunt in fluxu Phyſiologia (naturæ ratio.) Longo medio hæc à ſe inuicem, tanquam muro interiecto, diſſita ſunt: Quid oratione quæ miſceri & ſociari nullo modo queunt confuſis? quomodo ſermone impuro & ſordido diuinæ generationis puritatem conſpurcas? quomodo per corporis affectus quod eſt incorporeum architectaris? Noli ex his quæ ſunt infima & deorſum caduca, de ſupernis & diuinis philoſophari. Dei filium prædico Dominum, quòd etiam è cœlo Euangelium per lucidam nebulam ſic edixit: Hic enim, inquit, filius meus dilectus. Non tamen poſtquam filium edoctus ſum, ad vulgares filij ſignificantias ex nomine attractus fui, ſed ex Patre noui, ex affectu non noui. Ego autem hoc etiam dictis addam: quòd etiam ſcio aliquam corporalem generationem ab affectu liberam & puram. Quare in hoc falſa Eunomij corporalis generationis phyſiologia, ideſt, naturalis diſputatio, redarguitur. Siquidem aliquis corporis partus affectum non habens inueniatur. Dic enim, Verbum-ne factum eſt caro, an non? non dices nõ eſſe factum. Factum eſt igitur, nec eſt qui inficietur. Quomodo igitur in carne manifeſtatus eſt Deus? per partum profecto dices. Cuius igitur, an meminiſti? perſpicuum quod Virginis, & quod in ea genitum, ex Spiritu ſancto erat, & quòd impleti ſunt dies vt ipſa pareret, & peperit, & nihilomin* incorruptibilitas ſiue integritas cũ partu conſeruata eſt. Deinde generationem ex matre muliere affectu puram credis eſſe (ſi credis:) diuinam verò & incorruptam ex patre non admittis, ne in generatione affectum animo concipias? ſed manifeſtè ſcio, quòd iſte affectum non refugiat in dogmate, qui nec principium in diuina incorruptibilique natura inſpicit: ſed vt omnis creaturæ conditor pars eſſe creaturæ putetur, hæc ad-

Verba Eunomij. (beside "mone? [cùm omnis corporalis genera-")

Mat. 3. (beside "edixit: Hic enim, inquit, filius meus di-")

1. ad Timoth. 3. (beside "tur, nec eſt qui inficietur. Quomodo")

Matt 1. (beside "partu conſeruata eſt. Deinde generatio-")

Nota integram & incorruptã in partu Mariæ Virginitatem.

A κίνδυνος ἦν τῷ διὰ τοσούτων κεκαθαρμένῳ, πρός τινα ῥυπῶσαν κατολισθῆσαι διάνοιαν, ἐκ τῆς τοῦ πατρὸς σημασίας· ἐθεασάμεθα γάρ, φησι, τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός. Εἰπὲ πρὸς ταῦτα τῷ εὐαγγελιστῇ, εἰπὲ τὰ σοφά σου ταῦτα Εὐνόμιος: ὅτι πῶς πατέρα, καὶ πῶς μονογενῆ κατονομάζεις τῷ λόγῳ; πάσης σωματικῆς γεννήσεως διὰ πάθους ἐνεργουμένης. ἀποκρίνεταί σοι πάντως ὑπὲρ αὐτοῦ ἡ ἀλήθεια· ὅτι ἄλλο θεολογίας ἐστὶ μυστήριον, καὶ ἄλλη τῶν ῥευστῶν σωμάτων φυσιολογία. πολλῷ τῷ μέσῳ ἀπ' ἀλλήλων ταῦτα διατετείχισται· τί συνάπτεις διὰ τοῦ B λόγου τὰ ἄμικτα; πῶς τῷ ῥυπῶντι λόγῳ τὸ καθαρὸν μολύνεις τῆς θείας γεννήσεως; πῶς διὰ τῶν παθῶν τοῦ σώματος τεχνολογεῖς τὸ ἀσώματον; μὴ ἐκ τῶν κάτω φυσιολόγει τὰ ἄνω. υἱὸν Θεοῦ κηρύσσω τὸν κύριον, ὅτι καὶ τὸ ἐξ οὐρανοῦ εὐαγγέλιον διὰ τῆς φωτεινῆς νεφέλης οὕτως ἐκήρυξεν· οὗτος γάρ, φησι, ὁ υἱός μου ὁ ἀγαπητός. οὐ μὴν ἐπειδὴ υἱὸν ἐδιδάχθην, πρὸς τὰς ὧδε τοῦ υἱοῦ σημασίας καθειλκύσθην ἐκ τοῦ ὀνόματος, ἀλλὰ καὶ ἐκ τοῦ πατρὸς οἶδα, καὶ ἐκ τοῦ πάθους οὐκ οἶδα. ἐγὼ δὲ καὶ τοῦτο τοῖς εἰρημένοις προσθήσω· ὅτι οἶδά τινα καὶ σωματι- C κὴν γέννησιν καθαρεύουσαν πάθους, ὡς καὶ ἐν τούτῳ ψευδῆ τοῦ Εὐνομίου τὴν σωματικῆς γεννήσεως τὴν φυσιολογίαν ἀπελεγχθῆναι, εἴπερ εὑρεθείη σώματος τόκος πάθος οὐ προσδεξάμενος. εἰπὲ γάρ, ἐγένετο σὰρξ ὁ λόγος ἢ οὐχί; οὐκ ἂν εἴποις μὴ γεγενῆσθαι. γέγονε τοίνυν, καὶ οὐκ ἔστιν ὁ ἀντιλέγων. πῶς οὖν ἐφανερώθη ἐν σαρκὶ ὁ Θεός; διὰ τόκου πάντως ἐρεῖς. ποίου οὖν τούτου μνησθείς, ἢ δῆλον ὅτι τοῦ παρθενίας, καὶ ὅτι τὸ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματος ἁγίου ἦν, D καὶ ὅτι ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ ἔτεκε, καὶ οὐδὲν ἧττον ἡ ἀφθαρσία συνδιεφυλάχθη τῷ τόκῳ. εἶτα τὴν ἐκ μητρὸς γυναικὸς γέννησιν, καθαρὰν πάθους εἶναι πιστεύεις· εἴπερ πιστεύεις· τὴν δὲ θείαν τε καὶ ἀκήρατον ἐκ τοῦ πατρὸς οὐ δέχῃ, ἵνα μὴ πάθος νοήσῃς περὶ τὴν γέννησιν, ἀλλ' οἶδα σαφῶς ὅτι οὐχὶ τὸ πάθος αὐτῷ φευκτόν ἐστιν ἐν τῷ δόγματι, ὃ μήτε τὴν ἀρχὴν ἐνορᾷ τῇ θείᾳ τε καὶ ἀκηράτῳ φύσει· ἀλλ' ὅπως ἂν ὁ ποιητὴς πάσης τῆς κτίσεως μέρος νομισθῇ τῆς κτίσεως, ταῦτα κατασκευάζει

σκευάζει πρὸς τὴν ἄρνησιν τοῦ μονογενοῦς Θεοῦ, τῇ σχηματιζομένῃ περὶ τὸ πάθος εὐλαβείᾳ συνεργῷ χρώμενος. καὶ τοῦτο δείκνυσι περιφανῶς δι' ὧν τοῖς εἰρημένοις ἐπαγωνίζεται λέγων, γεγεννῆσθαι παρὰ τοῦ πατρὸς τοῦ υἱοῦ τὴν οὐσίαν, οὐ κατὰ ἔκτασιν προβληθεῖσαν, οὐ κατὰ ῥεῦσιν ἢ διαίρεσιν τῆς τοῦ γεννήσαντος συμφυΐας ἀποσπασθεῖσαν, οὐ κατὰ αὔξησιν τελειωθεῖσαν, οὐ κατὰ ἀλλοίωσιν μορφωθεῖσαν, μόνῃ δὲ τῇ βουλήσει τοῦ γεννήσαντος τὸ εἶναι λαχοῦσαν. τίς γὰρ ἀγνοεῖ διὰ τούτων τῶν μὴ παντελῶς μεμυκότων τὰ τῆς ψυχῆς αἰσθητήρια, ὅτι μέρος τῆς κτίσεως ὁ υἱὸς εἶναι διὰ τῶν εἰρημένων παρὰ τοῦ Εὐνομίου κατασκευάζεται; τί γὰρ κωλύει ταῦτα πάντα, καθώς ἐστιν ἐπὶ λέξεως, καὶ περὶ τῶν ἄλλων ἑκάστου τῶν ἐν τῇ κτίσει θεωρουμένων εἰπεῖν; καὶ εἰ δοκεῖ, συναρμόσωμέν τινι τῶν κατὰ τὴν κτίσιν φαινομένων τὸν λόγον· κἂν μὴ τὴν αὐτὴν ἀκολουθίαν ἔχῃ, καθ' ἡμῶν αὐτῶν καὶ τὴν ψῆφον τὸν λόγον ἐξοίσομεν, ὡς ἐπηρεαστικῶν, καὶ οὐ μετὰ τῆς πρεπούσης τῇ ἀληθείᾳ φροντίδος ἐξεταζόντων τὸν λόγον. ὑπαλλάξαντες τοίνυν τὸ ὄνομα τοῦ υἱοῦ, τὸν ὅλον ἐπὶ λέξεως ἀναγνωσόμεθα λόγον· φαμὲν γὰρ γεγεννῆσθαι παρὰ τοῦ πατρὸς τῆς γῆς τὴν οὐσίαν, οὐ κατ' ἔκτασιν ἢ διαίρεσιν τῆς τοῦ γεννήσαντος συμφυΐας ἀποσπασθεῖσαν, οὐδὲ κατὰ αὔξησιν τελειωθεῖσαν, οὐ κατὰ ἀλλοίωσιν προβληθεῖσαν, μόνῃ δὲ τῇ βουλήσει τοῦ γεννήσαντος τὸ εἶναι λαχοῦσαν· μή τις ἐστὶ τῶν εἰρημένων πρὸς τὴν τῆς γῆς ὑπόστασιν ἀναρμοστία; οὐδένα ἂν οἶμαι τοῦτο εἰπεῖν· οὔτε γὰρ ἐκταθεὶς ὁ Θεὸς τὴν γῆν προεβάλετο, οὔτε ῥυεὶς ἢ τεμὼν ἑαυτὸν τῆς πρὸς ἑαυτὸν συμφυΐας, τὴν οὐσίαν ταύτης ὑπέστησεν· οὔτε ἐκ μικροῦ πρὸς μέγεθος διὰ τῆς κατ' ὀλίγον αὐξήσεως ἐτελείωσεν· οὔτε τινὰ τροπὴν ἢ ἀλλοίωσιν ὑποστὰς εἰς τὸ τῆς γῆς εἶδος διεμορφώθη· ἀλλ' ἤρκεσεν αὐτῷ πρὸς ὑπόστασιν τῆς τῶν γεγονότων οὐσίας ἡ βούλησις. αὐτὸς γὰρ εἶπε, καὶ ἐγεννήθησαν. ὥστε καὶ τὸ τῆς γεννήσεως ὄνομα μὴ ἀπᾴδειν τῆς κατὰ τὴν γῆν ὑποστάσεως. εἰ οὖν ἐπὶ τῶν μορίων τοῦ κόσμου ταῦτα λέγειν ἀληθές ἐστι, τίς ἔτι λείπεται περὶ τοῦ δόγματος τῶν ἐναντίων ἀμφιβολία; ὅτι μέχρι ῥημάτων υἱὸν ὀνομάζοντες, ἓν τῶν διὰ κτίσεως γεγονότων εἶναι κατασκευάζουσιν, μόνοις

A ſtruit ad abnegationem vnigeniti Dei, figurata circa affectum cautione adiutrice vtens. Atque hoc demonſtrat liquidò per quæ contra ea quæ ſunt dicta certat, dicens [genitam eſſe à patre filij eſſentiam, non per abſceſſum proiectam, non per defluxum vel diuiſionem ab eius qui genuit coniunctione auulſam, non per incrementum perfectam, non per alterationem transformatam, ſed ſola eius qui genuit voluntate ſortitam, vt eſſet.] *Verba Eunom.* Quis enim ignorat, niſi qui mentis oculos penitus clauſos habeat, quòd filius per ea quæ ab B Eunomio ſunt dicta, pars creaturæ eſſe aſtruitur? Quid enim vetat hæc omnia ſicut ſunt in dictione, & de aliorum vnoquoque quæ in creatura intelliguntur, dicere? Et ſi videtur, alicui eorum quæ creata cernuntur, ſermonem accommodemus: quòd ſi non eandem habet conſecutionem, contra nos ipſos ſententiam dicemus, vtpote qui ludificãtium more, & non exacta & veritatem decente cura eorum ſermonem examinemus. Submutato itaque filij nomine totum ad verbum legamus ſermonem: Dicimus enim C à patre genitam eſſe terræ eſſentiam, non per abſceſſum vel diuiſionem ab eius qui genuit coniunctione diuulſam, neque per accretionem perfectam, non per alterationem proiectam, ſed ſola voluntate eius qui genuit, vt eſſet, ſortitam. Eſtne aliquid ex iis quæ dicta ſunt quod cum terræ ſubſiſtentia non conueniat? neminem arbitror id eſſe dicturum: non enim Deus extentus terram propagauit, neque fluens vel ſeipſum diuidens ab ea quæ ſecum eſt coniunctione, huius eſſentiam exiſtere fecit: neque ex paruo ad magnitudinem, per eam quæ ſenſim D fit accretionem, perfecit: neque vllam verſionem vel alterationem ſubiens in terræ ſpeciem transformatus eſt: ſed ei ſatis fuit, ad eorum quæ genita ſunt eſſentiæ ſubſiſtentiam, voluntas. Ipſe enim dixit, & facta ſunt. *Pſal. 32. & 148.* Ita vt generationis nomen, non diſcrepet à terræ ſubſiſtentia. Si igitur in mundi particulis hæc dicere verum eſt, quænam adhuc reſtat de dogmate aduerſariorum dubitatio? quia verbo tenus filium nominantes, vnum eorum quæ per creationem genita adſtruunt, ſolis

ordinis priuilegiis& primigeniis primi & maximi natu filij aliis præpoſitũ: quemadmodum in fabrica ferraria licet dicere, omnia quidem ex hac eſſe quæ ex ferro fabricata ſunt, prius autem conflata quæ ad reliquorum operas requiruntur, & forcipis & mallei inſtrumenta, quibus ad vſum ferrum formatur: non tamen quoniam hoc aliis anteit, iam aliqua ſecundum materiam differentia quærenda eſt,& inſtrumenti imprimentis & ferri quod per inſtrumentum figuratur: ferrum enim & hoc & illud figura alterum altero prius genitum eſt. Talis de filio hæreſeos eſt theologia: quia nihil ſecundum eſſentiam differre putet, & ipſum Dominum & quæ ab ipſo producta ſunt, excepta ordinis differentia. Quis igitur eſt eorum qui quocunque modo inter Chriſtianos cenſentur, qui mundi partium,& eius qui mundum condidit, eandem eſſe rationem eſſentiæ aſſentiatur? Ego quidem blaſphemiam referens perhorreſco, ſciens quorum eſt eadem ratio horum omnino naturam non differre. Vt enim Petri & Ioannis,& reliquorum hominum ratio eſſentiæ communis, ſic & natura vna: ſimiliter ſi eodem modo ſe haberet ſecundum naturam Dominus cum mundi partibus, quæ quidem in illis intellexerint, his ſubijci & hunc neceſſario confiteantur. Atqui mũdus non ſemper idem permanet: Ergo iuxta eorum opinionem, Dominus etiam cum cœlo & terra præteribit: Siquidem eiuſdem generis eſſet cum mundo. Quòd ſi ipſe æternus cẽſetur, neceſſe eſt omnino neque hunc mundum diuinæ naturæ expertem putare: ſiquidem hoc vnigenito per creationem contingeret. Vides quò ex hac præclara conſequentia fertur ſermo. ſicut quidã lapis è promontorio abruptus, ſuo in præceps pondere deuoluitur. Neceſſe enim etiam mundi elemẽta ſecundum Græcam vanitatem venerãda & colenda videri, vel neque filium adorari: Sic autem conſideremus, ex nihilo creaturam factam eſſe aſſerimus, & quæ mẽte & quæ ſenſu percipitur: hæc etiam de Domino prædicant. Dei voluntate omnia quæ ſunt facta conſtitiſſe dicimus: hæc etiam de vnigenito enarrant. Non ex eſſentia eius qui fecit conſtare,

Pſal.101.

A τοῖς κατὰ τὴν τάξιν πρεσβείοις προτεταγμένον τῶν ἄλλων· καθάπερ ἐπὶ τῆς χαλκευτικῆς ἔστιν εἰπεῖν, πάντα μὲν ἐκ ταύτης εἶναι τὰ ἐκ σιδήρου κατασκευάσματα, προηγεῖσθαι δὲ τῆς τῶν λοιπῶν ἀπεργασίας, τό τε τῆς πυράγρας, καὶ τὸ τῆς σφύρας ὄργανον δι' ὧν τυποῦται πρὸς τὴν χρείαν ὁ σίδηρος· οὐ μὴν ἐπειδὴ προτερεύει τοῦτο τῶν ἄλλων, ἤδη τις καὶ διαφορὰ κατὰ τὴν ὕλην ἐστί, τοῦ τε ἐκτυποῦντος ὀργάνου, καὶ τοῦ σχηματιζομένου σιδήρου κατὰ τὸ ὄργανον, σίδηρος καὶ τοῦτο κἀκεῖνο, B τὸ δὲ σχῆμα προγενέστερον τοῦ ἑτέρου τὸ ἕτερον. τοιαύτη τῆς αἱρέσεως ἡ περὶ τοῦ υἱοῦ θεολογία· τὸ μηδὲν οἴεσθαι διαφέρειν κατ' οὐσίαν, αὐτόν τε τὸν κύριον, καὶ τὰ παρ' αὐτοῦ γεγονότα, πλὴν τῆς κατὰ τὴν τάξιν διαφορᾶς. τίς τοίνυν τῶν καὶ ὁπωσοῦν εἰς Χριστιανοὺς συντελούντων, τῶν τε μορίων τοῦ κόσμου, καὶ τοῦ πεποιηκότος τὸν κόσμον τὸν αὐτὸν εἶναι τῆς οὐσίας λόγον συντίθεται. ἐγὼ μὲν γὰρ φρίττω τὴν βλασφημίαν, εἰδὼς ὅτι ὧν ὁ λόγος αὐτός, τούτων πάντως οὐδὲ ἡ φύσις διάφορος. ὡς γὰρ C Πέτρου καὶ Ἰωάννου καὶ τῶν λοιπῶν ἀνθρώπων, ὅτε λόγος τῆς οὐσίας κοινός, καὶ ἡ φύσις μία. τὸν αὐτὸν τρόπον εἰ ὡσαύτως ἔχοι κατὰ τὴν φύσιν ὁ κύριος τοῖς τοῦ κόσμου μέρεσιν· ἅπερ ἂν ἐν ἐκείνοις καταμηνύσωσιν τούτοις ὑποκεῖσθαι καὶ τοῦτον κατ' ἀνάγκην ὁμολογήσωσιν. ἀλλὰ μὴν ὁ κόσμος οὐκ εἰσαεὶ διαμένει· ἄρα κατ' αὐτοὺς καὶ ὁ κύριος μετὰ τοῦ οὐρανοῦ καὶ τῆς γῆς παρελεύσεται· εἴπερ ὁμογενῶς ἔχοι τῷ κόσμῳ. εἰ δὲ αὐτὸς ἀΐδιος ὁμολογεῖται, ἀνάγκη πᾶσα μηδὲ τὸν κόσμον τῆς D θείας φύσεως ἀμοιρεῖν οἴεσθαι· εἴπερ τῷ μονογενεῖ κατὰ τὴν κτίσιν συμβαίνοι. ὁρᾷς πρὸς ὅτι φέρεται διὰ τῆς καλῆς ταύτης ἀκολουθίας ὁ λόγος, οἷόν τις λίθος ἀπορραγεὶς ἀκρωρείας, καὶ ἐπὶ τὸ πρανὲς ὑπὸ τοῦ ἰδίου βάρους συνελαυνόμενος. ἀνάγκη γὰρ ἢ καὶ τὰ τοῦ κόσμου στοιχεῖα κατὰ τὴν Ἑλληνικὴν ματαιότητα σεβάσμια φαίνεσθαι, ἢ μηδὲ τὸν υἱὸν προσκυνεῖσθαι· οὑτωσὶ δὲ σκοπήσωμεν, ἐξ οὐκ ὄντων γεγενῆσθαι τὴν κτίσιν φαμέν, τήν τε νοητὴν καὶ ὅση τῆς αἰσθητῆς ἐστι φύσεως. ταῦτα καὶ περὶ τοῦ κυρίου κηρύσσουσι, θελήματι Θεοῦ πάντα συστῆναι τὰ γεγονότα λέγομεν· ταῦτα καὶ περὶ τοῦ μονογενοῦς διεξέρχονται. οὐκ ἐκ τῆς οὐσίας εἶναι τοῦ πεποιηκότος,

οὔτε τὴν ἀγγελικὴν κτίσιν, οὔτε τὴν ἐγκόσμιον πεπιστεύκαμεν· κἀκεῖνον ὁμοίως τῆς τοῦ πατρὸς οὐσίας ἀλλοτριοῦσι. δουλεύειν τὰ σύμπαντα τῷ θελήματι τοῦ πεποιηκότος ὁμολογοῦμεν· ταύτην ἔχουσι καὶ περὶ τοῦ μονογενοῦς τὴν διάνοιαν. οὐκοῦν ἐξ ἀνάγκης καὶ τὰ ἄλλα πάντα ὅσαπερ ἂν ἐπὶ ταύτης νοήσωσι, ταῦτα καὶ τῷ μονογενεῖ ἐφαρμόσουσι. καὶ ὅσαπερ ἂν ἐκείνῳ πιστεύσωσι, τοῦτο καὶ ἐπὶ τῆς κτίσεως ὑπολήψονται. ὥστε εἰ Θεὸν ὁμολογοῦσι τὸν κύριον, καὶ τὴν λοιπὴν κτίσιν θεοποιήσουσιν. εἰ δὲ ταῦτα τῆς θείας φύσεως ἄμοιρα διορίζονται, τὴν αὐτὴν ὑπόληψιν καὶ περὶ τοῦ μονογενοῦς οὐκ ἀρνήσονται. ἀλλὰ μὴν οὐδεὶς τῶν σωφρονούντων τῇ κτίσει προσμαρτυρεῖ τὴν θεότητα. οὐκ ἄρα καὶ σιωπῇ τὸ λειπόμενον, ὡς ἂν μὴ χρήσωμαι τῇ τῶν ἐχθρῶν βλασφημίᾳ τὴν γλῶσσαν, ἐκεῖνοι λεγέτωσαν τὸ ἐκ τῆς ἀκολουθίας ἐπιφερόμενον, οἷς τὸ στόμα πρὸς τὴν βλασφημίαν καταγεγύμνασται. ὁ δὲ λόγος καὶ σιωπώντων δῆλός ἐστι. τῶν δύο γὰρ τὸ ἕτερον ἐξ ἀνάγκης ἔσται, ἢ φανερῶς ἀπογνώσονται τὸν μονογενῆ Θεόν, ὥστε μηκέτι παρ' ἐκείνοις καὶ εἶναι τοῦτο καὶ λέγεσθαι· ἢ εἰ προσμαρτυροῦσιν αὐτῷ τὴν θεότητα, καὶ πάσῃ τῇ κτίσει τὸ ἴσον προσμαρτυρήσουσιν· ἢ τὸ λειπόμενον, φυγόντες τὴν ἐφ' ἑκάτερα προφαινομένην ἀσέβειαν, ἐπὶ τὸν εὐσεβῆ καταφεύξονται λόγον, καὶ τὸ μὴ κτιστὸν αὐτὸν εἶναι πάντως συγκαταθήσονται, ἵνα Θεὸν αὐτὸν ἀληθῶς εἶναι ὁμολογήσωσι. τί δεῖ τὰ ἄλλα λέγοντα διατρίβειν, οὐκ τῆς ἀρχῆς ταύτης ὅσα κατ' ἀνάγκην ὑπέστη τῷ λόγῳ τὰ βλασφήματα; συνήσει γὰρ διὰ τῶν εἰρημένων ὁ πρὸς τὸ ἀκόλουθον βλέπων, ὅτι καὶ ὁ τοῦ ψεύδους πατήρ, ὁ τοῦ θανάτου δημιουργός, ὁ τῆς κακίας εὑρετής, κτιστὸς ὢν ἐν νοερᾷ τε καὶ ἀσωμάτῳ φύσει, οὐκ ἐκωλύθη ὑπὸ τῆς φύσεως διὰ μεταβολῆς γενέσθαι, ὅπερ ἐστί. τὸ γὰρ τρεπτὸν τῆς οὐσίας, ἐφ' ἑκάτερον κατ' ἐξουσίαν κινούμενον, ἀκολουθοῦσαν ἔχει τῇ τῆς προαιρέσεως ῥοπῇ, τὴν τῆς φύσεως δύναμιν. ὥστε ἐκεῖνο γενέσθαι πρὸς ὅπερ ἂν ἡ προαίρεσις αὐτῆς ἀφηγήσηται. οὐκοῦν δεκτικὸν καὶ τῶν ἐναντίων τὸν κύριον διορίσονται, ὡς πρὸς ἀγγελικὴν ὁμοτιμίαν αὐτὸν κατασπῶντες διὰ τῆς κτίσεως. ἀλλ' ἀκουσάτωσαν τῆς μεγάλης τοῦ Παύλου φωνῆς.

A neque creaturam angelicam, neque quæ in mundo eſt naturam credimus: illum quoque à patris eſſentia alienum eſſe & diſiunctum volunt. Cuncta quæ ſunt eius qui fecit voluntati ſeruire confitemur: idem ſentiunt de vnigenito. Igitur neceſſario quæcunque alia de hac intellexerint, eadem omnia vnigenito accommodant: & quod de illo crediderint, hoc etiam in creatura opinabuntur. Quare ſi Dominum Deum confitentur, reliquam etiam creaturam deificauerint. Quòd ſi hæc diuinæ naturæ expertia definiunt, eandem opinionem

B de vnigenito non negabunt. At nullus ſobrius & prudens creaturæ attribuit diuinitatem. Non igitur, reliquum tacitus prætereo, ne linguam aduerſariorum blaſphemiæ & impio conuitio videar applicare. Illi potius quæ conſequuntur enuntient, quibus os ad blaſphemiam exercitatum eſt. Ratio autem etiam conticeſcentium eſt perſpicua. Duorum enim alterum neceſſario conſequetur: vel manifeſtè vnigenitum Deum reijcient, ita vt amplius apud illos neque ſit neque dicatur: vel ſi ei diuinitatem aſſi-

C gnant, omni quoque creaturæ æqualiter attribuent: vel denique fugientes eam quæ in vtroque eſt manifeſtam impietatem, ad pium ſermonem confugient, ipſúmque creatum non eſſe proculdubio aſſentientur, vt Deum ipſum verè eſſe confiteantur. Quid alia perſequentem, quæcunque neceſſario ex hoc principio ſermoni ſubſunt impia conuitia, diutius opus eſt immorari? Qui ad id quod conſequens eſt reſpicit, ex his quæ dicta ſunt intelliget, quòd mendacij pater, quòd mortis auctor, pec-

D cati inuentor, cùm ſit creatus in intelligente & incorporea natura, non à natura prohibitus eſt quin per mutationem fieret quod quidem eſt. Quod enim mutabili conſtat eſſentia, cùm in vtrumque per libertatem ſui arbitrij moueatur, vim naturæ & poteſtatem habet electionis ſiue propoſiti momentum concomitatem. Ita vt illud fiat ad quod electio ipſum deduxerit. Igitur etiam Dominum contrariorum capacem definient, qui ad angelicam honoris æqualitatem ipſum abſtrahunt per creationem. Sed altam vocem Pauli audiant: *Hebr. 1.*

Nota de libero arbitrio.

Pſal. 2. Quomodo hunc ſolum filium vocatum eſſe ait, quia ſit Angelorum natura quid melius, & præſtabilius. Cuinam enim quondam Angelorum dixit, filius meus Hebr. 1. es tu? Et rurſus cùm inducit in orbem Pſal. 44. terrarum primogenitum, dicit, & adorent eum omnes Angeli Dei. Et ad An- Pſal 8. gelos quidem dicit: Qui facit Angelos ſuos ſpiritus, & miniſtros ſuos ignis flammam. Ad filium autem, Sedes tua, Deus, in ſeculum ſeculi: Virga rectitudinis, virga regni tui: Et alia quæcumque cum his prophetia de Deo loquens perſequitur. Addit etiam ex alio cantico quæ conueniunt. Tu à principio Domine Pſal. 109. terram fundaſti, & opera manuum tuarum ſunt cœli: & quæ ſequuntur omnia, eo vſque: Tu autem idem es, & anni tui non deficient: quibus verbis immutabilitas & æternitas diuinæ naturæ deſcribitur. Si igitur vnigeniti deitas tanto ſupereminet naturam Angelicam, quanto ſeruis præſtantior eſt qui poſſedit? quomodo communem faciunt, vel cum ſenſu perceptibili creaturam creationis domnum, vel cum Angelorum natura, eum qui ab ipſis adoratur? hæc de modo exiſtentiæ ipſius differentes, quæ ſingulis creaturis propriè accommodari poterunt. Quemadmodum iam ab hæreſi perhibitum de Domino ſermonem terræ creationi propriè & natiuè accommodari poſſe oſtendimus. Sed ne quid eorum quæ hæreticis decretis patrocinium aliquod præbeant, dubium & ambiguum, his qui in hos noſtros labores incident, relictum ſit, ex diuinitus inſpirata ſcriptura hoc etiam dignum fuerit quod his quæ à nobis expoſita fuerunt, adijciatur. Nam fortaſſe ex ipſis Apoſtolicis verbis, quorum nos meminimus, dicent interrogantes, Quomodo primogenitus creaturæ nominatus eſt, ſi non hoc erat, quod creatura eſt? Omnis enim primogenitus, non eorum quæ ſunt diuerſæ naturæ, ſed quæ ſunt eiuſdem generis, eſt primogenitus: ſicut Ruben primogenitus erat eorum qui poſt illum recenſentur, vtpote qui primus ſecundum partum, hominum homo: & alij multi fratrum qui cum eis numerantur, primogeniti dicuntur. Dicunt itaque, quamcũque omnis creaturæ eſſentiam mente conceperimus,

A πῶς μόνον τοῦτον υἱὸν κεκλῆσθαί φησι, διὰ τὸ εἶναι οὐχὶ τῶν ἀγγέλων, ἀλλὰ τῆς κρείττονος φύσεως. τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, υἱός μου εἶ σύ; καὶ ὅταν πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν υἱόν, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· καὶ ὅσα ἄλλα μετὰ τούτων ἡ προφητεία θεολογοῦσα διέξεισι. προστίθησι δὲ καὶ ἀφ' ἑτέρας ὑμνῳδίας τὰ πρόσφορα.
B τὸ, σὺ κατ' ἀρχὰς τὴν γῆν ἐθεμελίωσας κύριε, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· καὶ τὰ ἐφεξῆς πάντα, ἕως τοῦ, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι· δι' ὧν τὸ ἀναλλοίωτόν τε καὶ τὸ ἀΐδιον ὑπογράφει τῆς φύσεως. εἰ τοίνυν τοσοῦτον ὑπέρκειται τῆς ἀγγελικῆς φύσεως τοῦ μονογενοῦς ἡ θεότης, ὅσον διαφέρει τῶν δούλων ὁ κεκτημένος· πῶς κοινοποιοῦσιν, ἢ πρὸς τὴν αἰσθητὴν κτίσιν τὸν τῆς κτίσεως κύριον, ἢ πρὸς τὴν τῶν ἀγγέλων φύσιν τὸν ὑπ' αὐτῶν προσκυνούμενον; ταῦτα περὶ τοῦ τρόπου τῆς ὑπάρξεως αὐτοῦ διεξιόντες, ἃ τοῖς καθ' ἕκαστον
C τῶν ἐν τῇ κτίσει θεωρουμένων, κυρίως ἐφαρμοσθήσεται. καθὼς ἤδη τὸν ἀποδοθέντα περὶ τοῦ κυρίου λόγον ὑπὸ τῆς αἱρέσεως τῇ κατασκευῇ τῆς γῆς προσφυῶς ἔχοντα καὶ οἰκείως ἐδείξαμεν. ἀλλ' ὡς ἂν μή τι τοῖς ἐντυγχάνουσι τοῖς πόνοις ἡμῶν ἀμφίβολον ὑπολίποιτο, τῶν τινὰ συνηγορίαν τοῖς αἱρετικοῖς δόγμασι παρεχομένων, ἐκ τῆς θεοπνεύστου γραφῆς ἄξιον ἂν εἴη καὶ τοῦτο τοῖς ἐξητασμένοις παρ' ἡμῶν προστεθῆναι. ἐροῦσι γὰρ ἴσως ἐξ αὐτῶν τῶν ἀπο-
D στολικῶν ὧν ἡμεῖς ἐπεμνήσθημεν, ὅτι πῶς ἂν πρωτότοκος κτίσεως ὠνομάσθη, εἰ μὴ τοῦτο ἦν, ὅπερ ἡ κτίσις ἐστί; πᾶς γὰρ πρωτότοκος, οὐ τῶν ἑτεροφυῶν, ἀλλὰ τῶν ὁμογενῶν ἐστι πρωτότοκος, ὡς ὁ Ῥουβὶμ τῶν μετ' ἐκεῖνον ἀριθμουμένων πρωτεύων κατὰ τὸν τόκον, πρωτότοκος ἦν, ἄνθρωπος ἀνθρώπων· καὶ ἄλλοι πολλοὶ τῶν συναριθμουμένων ἀδελφῶν πρωτότοκοι λέγονται. λέγουσι τοίνυν, ὅτι ἣν ἂν πάσης τῆς κτίσεως οὐσίαν νοήσωμεν,

καὶ τὸν ταύτης πρωτότοκον τῆς αὐτῆς εἶναι λέγομεν. εἰ μὲν οὖν ὁμοούσιός ἐστι τῷ πατρὶ τῶν ὅλων ἡ πᾶσα κτίσις, τοῦτο καὶ τὸν πρωτότοκον αὐτῆς εἶναι οὐκ ἀρνησόμεθα. εἰ δὲ διαφέρει κατὰ τὴν οὐσίαν τῆς κτίσεως ὁ τῶν ὅλων Θεὸς, ἀνάγκη πᾶσα μηδὲ τὸν πρωτότοκον ταύτης κοινωνεῖν τῷ Θεῷ τῆς οὐσίας λέγειν. ἡ μὲν οὖν τῆς ἀντιθέσεως κατασκευὴ τοιαύτη. οὐδὲν ἀγεννέστερον οἶμαι τῶν ἡμῖν ἀντιτεθεῖσα τῷ λόγῳ, καὶ ὡς εἰκὸς ἦν ἀντεπιτεθῆναι παρὰ τῶν μαχομένων ἡμῖν. ἃ δὲ πρὸς ταῦτα γινώσκειν χρὴ, νῦν ὡς ἂν οἷόν τε ᾖ μὲν τῷ λόγῳ σαφηνισθήσεται. τετράκις εἴρηται παρὰ τοῦ ἀποστόλου ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, τὸ τοῦ πρωτοτόκου ὄνομα· διαφόρως δὲ, καὶ οὐ κατὰ τὸν αὐτὸν τρόπον τοῦ ὀνόματος τούτου τὴν μνήμην πεποίηται. νῦν μὲν γάρ φησι πρωτότοκον πάσης τῆς κτίσεως· πάλιν δὲ πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς, εἶτα πρωτότοκον ἐκ τῶν νεκρῶν. ἐν δὲ τῇ πρὸς Ἑβραίους, ἀπόλυτόν ἐστιν ἐφ' ἑαυτοῦ μνημονευθὲν τὸ τοῦ πρωτοτόκου ὄνομα. λέγει γὰρ οὕτως, ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι αὐτοῦ. οὕτω δὲ τούτων διῃρημένων, καλῶς ἂν ἔχοι ἕκαστον τούτων ἐφ' ἑαυτοῦ διελέσθαι χωρίς. πῶς τῆς κτίσεως ἐστὶ πρωτότοκος, καὶ πῶς ἐν πολλοῖς ἀδελφοῖς, καὶ πῶς ἐφ' ἑαυτοῦ χωρὶς ἑκάστου τούτων μνημονευθεὶς, ὅταν πάλιν εἰσάγηται εἰς τὴν οἰκουμένην, προσκυνεῖται ὑπὸ πάντων τῶν ἀγγέλων αὐτοῦ. οὐκοῦν ἀπὸ τῶν τελευταίων, εἰ δοκεῖ, τῆς τῶν προκειμένων θεωρίας ἀρξώμεθα. ὅταν πάλιν εἰσαγάγῃ, φησὶ, τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην· ἡ τοῦ πάλιν προσθήκη, τὸ μὴ πρώτως γίνεσθαι τοῦτο διὰ τῆς κατὰ τὴν λέξιν ταύτην σημασίας ἐνδείκνυται. ἐπὶ γὰρ τῆς ἐπαναλήψεως τῶν ἅπαξ γεγονότων, τῇ λέξει ταύτῃ κεχρήμεθα. οὐκοῦν τὴν ἐπὶ τῷ τέλει τῶν αἰώνων φοβερὰν αὐτοῦ ἐπιφάνειαν σημαίνει τῷ λόγῳ· ὅτε οὐκέτι ἐν τῇ τοῦ δούλου καθορᾶται μορφῇ, ἀλλ' ἐπὶ τοῦ θρόνου τῆς βασιλείας μεγαλοπρεπῶς προκαθήμενος· καὶ ὑπὸ τῶν ἀγγέλων πάντων περὶ αὐτὸν προσκυνούμενος· διὰ τοῦτο ὁ ἅπαξ εἰσελθὼν εἰς τὴν οἰκουμένην, πρωτότοκος γενόμενος ἐκ τῶν νεκρῶν τε καὶ ἀδελφῶν, καὶ πάσης τῆς κτίσεως· ὅταν πάλιν εἰσέρχηται εἰς τὴν οἰκουμένην ὁ

A huius etiam primogenitum eſſe eiuſdem eſſentiæ neceſſe eſt. Si igitur, ὁμοούσιος (ſimul eſſẽtialis) eſt patri vniuerſorũ omnis creatura, hoc etiam primogenitum ipſius eſſe non negabimus. Quòd ſi differt ſecundum eſſentiam à creatura vniuerſorum Deus, neceſſarium eſt omnino neque primogenitum eius participem dicere cum Deo eſſentiæ. Contrariæ igitur obiectionis adſtructio talis eſt, noſtro ſermoni oppoſita, (qua nil vilius & ignobili* puto) digna herclè quæ ab aduerſariis noſtris opponeretur nobis. Quæ autem ad hæc noſſe oportet, nunc pro viribus noſtris oratione declarabitur. Quater ab B Apoſtolo in omnibus eius ſermonibus primogeniti nomen dictum eſt: ſed differenter, neque eodem modo nominis huius mentio facta eſt. Modò enim dicit Apoſtolus, primogenitum omnis creaturæ: rurſus primogenitum in multis fratribus: deinde primogenitum ex mortuis. In Epiſtola verò ad Hebræos abſolutum eſt, in ſeipſo commemoratum primogeniti nomen. Sic enim dicit, cùm verò rurſus inducit primogenitum in orbem terrarum, dicit: & adorent eum omnes Angeli eius. His ſic diſtinctis, opeC ræpretium erit horum vnumquodque in ſeipſo ſeorſim diſtinguere. Quomodo omnis creaturę eſt primogenitus, & quomodo in multis fratribus, & quomodo primogenitus ex mortuis, & quomodo in ſeipſo ſine horum vnoquoque commemoratus, cùm rurſus inductus fuerit in orbem, adoratur ab omnibus Angelis eius. A poſtremis igitur ſi videtur, propoſitorum ſpeculationẽ exordiamur. Cùm iterum, inquit, inducit primogenitum in orbem: adiectio particulæ iterum, hoc non primò fieri per hanc dictionis ſignificantiam oſtendit. Nam in repetitioD ne eorum quæ ſemel facta ſunt, hac dictione vtimur. Igitur in fine ſeculorum terribilem eius apparitionem hoc ſermone ſignificat: quando non amplius in ſerui forma conſpicitur, ſed in ſolio regni magnificè ſedens: & ab Angelis omnibus circum ipſum adoratus: propterea qui ſemel in orbem ingreſſus, primogenitus factus ex mortuis, & fratrum & omnis creaturæ primogenitus: cùm iterum ingredietur in terrarum

Argumentum hæreticorum.

Corruptum exemplar Græcũ ſuſpicor hoc in loco.

Coloſſ. 1.

Rom. 8. *1. Corin. 15.*

Heb. 1.

Matt. 24.

orbem, iudicans ipſum orbem in iuſtitia, ſicut teſtatur vaticinium, non repudiat primogeniti nomen, quod ſemel pro nobis accepit: ſed ſicut in nomine IESV *Philip. 2.* omne genu ſe curuat, ei qui ſupra omne nomen eſt, ſic etiam eum qui in nomine primogeniti venit, omnis Angelorum plenitudo obuiam facta adorat, ob hominum reuocationem affecta gaudio, *Matth. 18. & Luc. 15.* quam, quia ſit noſter factus primogenitus, rurſus ad gratiam quæ à principio fuit reuocauit. Siquidem gaudium fit Angelis ſuper his qui ex peccato reſipi- *Rom. 8.* ſcentes ſalui fiunt. Quocirca vſque nunc congemiſcit creatura illa, & condoleſcit noſtræ vanitati, multã ſuam & detrimentum iudicans noſtram perditionem, cùm reuelatio facta fuerit filiorum Dei, quam pro nobis ſemper expectant & præſtolan- *Matth. 18.* tur, & cùm ſalua fuerit ouis cum ſuperna illa centuria: (nos autem omnes ſumus, humana natura, hæc ouis, quam, quia factus primogenitus, bonus paſtor ſeruauit) tunc præcipuè in vehementi pro nobis gratiarum actione Deo adorationem adducent ei; qui propter primogenituram reuocauit, eum qui à patrio lare longè abſceſſerat. His à nobis ſic intellectis, nullus amplius dubitet, cuius gratia ex mortuis ſit primogenitus, vel creaturæ, vel in multis fratribus, hæc enim omnia ad eundem ſcopum ſpectant, etſi in vnoquoque ſecundum proprietatem inſignis quædam notio apparet. Primogenitus ex mortuis fit, qui primus per ſe acres mortis dolores ſoluit, vt omnibus etiam viam faciat ad partum qui fit ex reſurrectione. In fratribus rurſus primogenitus factus, qui nouo regenerationis partu prior genitus eſt in aqua, cuius partum columbæ volatus obſtetricatus eſt. Per quem eos qui cum ipſo ſimilis generationis participes ſunt, ſibi fratres aſciſcit, & primogenitus efficitur eorum qui poſt ipſum ex aqua & ſpiritu regenerantur. Et vt ſummatim dicam, cùm ſint tres in nobis generationes, quibus viuificatur humana natura, vna è corpore, altera ſecundum regenerationis myſterium, tertia per ſperatam ex mortuis denuò reſurrectionem. In his tribus primogenitus dicitur. Duplex quidem cùm ſit re-

A κρίνων τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καθὼς ἡ προφητεία λέγει, οὐκ ἀποβάλλει τοῦ πρωτοτόκου τὸ ὄνομα, ὃ ἅπαξ ὑπὲρ ἡμῶν κατεδέξατο· ἀλλ' ὡς ἐν ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμπτει, τῷ ὑπὲρ πᾶν ὄντι ὄνομα, οὕτως καὶ τὸν ἐν τῷ ὀνόματι τοῦ πρωτοτόκου γινόμενον, προσκυνεῖ ἁπάντων ἀγγέλων τὸ πλήρωμα, τῇ ἀνακλήσει τῶν ἀνθρώπων ἐπευφραινόμενον· ἣν διὰ τοῦ γενέσθαι ἡμῶν πρωτότοκος, πάλιν εἰς τὴν ἐξ ἀρχῆς χάριν ἀνεκαλέσατο. ἐπειδὴ γὰρ χαρὰ γίνεται τοῖς ἀγγέλοις ἐπὶ B τοῖς ἀνασωζομένοις ἐξ ἁμαρτίας· διὸ μέχρι τοῦ νῦν συστενάζει ἡ κτίσις ἐκείνη καὶ συνωδίνει τῇ καθ' ἡμᾶς ματαιότητι, ζημίαν οἰκείαν κρίνουσα τὴν ἡμετέραν ἀπώλειαν, ὅταν ἡ ἀποκάλυψις γένηται τῶν υἱῶν τοῦ Θεοῦ, ἣν ὑπὲρ ἡμῶν ἀεὶ προσδοκῶσι καὶ ἀπεκδέχονται, καὶ ὅταν ἀποσωθῇ τῇ ἄνω ἑκατοντάδι τὸ πρόβατον· ἡμεῖς δὲ πάντες ἐσμὲν ἡ ἀνθρωπίνη φύσις τοῦτο τὸ πρόβατον, ὃ διὰ τοῦ γενέσθαι πρωτότοκος, ὁ ἀγαθὸς ποιμὴν ἀνεσώσατο· τότε διαφερόντως ἐν ἐπιτεταμένῃ τῇ ὑπὲρ C ἡμῶν εὐχαριστίᾳ, προσάξουσι τῷ Θεῷ τὴν προσκύνησιν τῷ διὰ τῆς πρωτοτοκίας ἀνακαλεσαμένῳ τὸν τῆς πατρῴας ἑστίας ἀποφοιτήσαντα. Τούτων δὲ οὕτως ἡμῖν νοηθέντων, οὐκέτ' ἄν τις περὶ τῶν λοιπῶν ἀμφιβάλλοι, ὅτου χάριν, ἢ νεκρῶν γίνεται πρωτότοκος, ἢ κτίσεως, ἢ ἐν πολλοῖς ἀδελφοῖς. πάντα γὰρ ταῦτα πρὸς τὸν αὐτὸν σκοπὸν βλέπει, κἂν ἑκάστῳ τι κατὰ τὸ ἰδιάζον ἐμφαίνηται νόημα. πρωτότοκος γὰρ ἐκ τῶν νεκρῶν γίνεται, ὁ πρῶτος δι' ἑαυτοῦ τὰς ὠδῖνας τοῦ θανάτου λύσας, ἵνα καὶ πᾶσι ὁδοποιήσῃ τὸν ἐξ ἀναστάσεως τόκον. ἐν ἀ- D δελφοῖς δὲ πάλιν πρωτότοκος γινόμενος, ὁ τοῦ καινοῦ τῆς παλιγγενεσίας τόκου προγεννηθεὶς ἐν τῷ ὕδατι, οὗ τὰς ὠδῖνας ἡ πτῆσις τῆς περιστερᾶς ἐμαιεύσατο. δι' οὗ τοὺς συμμετασχόντας αὐτῷ τῆς ὁμοίας γεννήσεως ἀδελφοὺς ἑαυτοῦ ποιεῖ, καὶ πρωτότοκος γίνεται τῶν κατ' αὐτὸν γεννωμένων ἐκ τοῦ ὕδατός τε καὶ τοῦ πνεύματος, καὶ συνελόντι φάναι, τριῶν οὐσῶν ἐν ἡμῖν τῶν γεννήσεων, δι' ὧν ζωοποιεῖται ἡ ἀνθρωπίνη φύσις· τῆς μὲν ἀπὸ σώματος, τῆς δὲ κατὰ τὸ τῆς παλιγγενεσίας μυστήριον· τῆς δὲ, διὰ τῆς ἐλπιζομένης ἐκ τῶν νεκρῶν πάλιν ἀναστάσεως. ἐν ταῖς τρισὶ πρωτότοκος γίνεται. τῆς μὲν διπλῆς

παλιγγενεσίας τῆς δι' ἀμφοτέρων ἐνεργουμένης. διά τε τοῦ βαπτίσματος καὶ διὰ τῆς ἀναστάσεως, αὐτὸς γενόμενος ἀρχηγὸς καθ' ἑκάτερον, ἐν δὲ τῇ σαρκὶ πρωτότοκος γίνεται. πρῶτος καὶ μόνος τὸν ἄγνωστον τῇ φύσει τόκον ἐφ' ἑαυτοῦ διὰ τῆς παρθενίας καινοτομήσας, οὗ μηδεὶς ἐν τοσαύταις τῶν ἀνθρώπων γενεαῖς καθηγήσατο. εἰ ταῦτα τοίνυν κατὰ λόγον νενόηται, οὐδὲ τὸ τῆς κτίσεως σημαινόμενον, ἧς πρωτότοκος ἐστὶν, ἀγνοηθήσεται. διπλῆν γὰρ τῆς φύσεως ἡμῶν τὴν κτίσιν ἐγνώκαμεν, τήν τε πρώτην καθ' ἣν ἐπλάσθημεν, καὶ τὴν δευτέραν καθ' ἣν ἀνεπλάσθημεν. ἀλλ' οὐκ ἂν ἦν τῆς δευτέρας ἡμῶν κτίσεως χρεία, εἰ μὴ τὴν πρώτην διὰ τῆς παρακοῆς ἠχρειώσαμεν. ἐκείνης τοίνυν παλαιωθείσης τε καὶ ἀφανισθείσης, ἔδει καινὴν ἐν Χριστῷ γενέσθαι κτίσιν, καθώς φησιν ὁ ἀπόστολος. οὐδὲν ἔτι τῶν πεπαλαιωμένων ἐπὶ τῆς δευτέρας κτίσεως ἀξιοῖ βλέπειν, ἀπεκδυσάμενοι λέγων τὸν παλαιὸν ἄνθρωπον, σὺν ταῖς πράξεσι καὶ ταῖς ἐπιθυμίαις αὐτοῦ, ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα. καὶ εἴ τις ἐν Χριστῷ, φησι, καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθεν. ἰδοὺ γέγονε καινά· εἷς γὰρ καὶ ὁ αὐτὸς τῆς ἀνθρωπίνης φύσεως ποιητὴς, καὶ τὸ κατ' ἀρχὰς καὶ τὸ μετὰ ταῦτα· τότε λαβὼν χοῦν ἀπὸ τῆς γῆς, τὸν ἄνθρωπον ἔπλασε· πάλιν λαβὼν τὸν ἐκ τῆς παρθενίας χοῦν, οὐχ ἁπλῶς τὸν ἄνθρωπον ἔπλασεν, ἀλλ' ἑαυτῷ περιέπλασε. τότε ἔκτισεν, μετὰ ταῦτα ἐκτίσθη· τότε ὁ λόγος σάρκα ἐποίησεν, μετὰ ταῦτα ὁ λόγος σὰρξ ἐγένετο, ἵνα μετασκευάσῃ πρὸς πνεῦμα τὴν ἡμετέραν σάρκα· διὰ τοῦ συμμεταχεῖν ἡμῖν σαρκότητος καὶ αἵματος. ταύτης τοίνυν τῆς καινῆς ἐν Χριστῷ κτίσεως, ἧς ὁ αὐτὸς καθηγήσατο, πρωτότοκος ὠνομάσθη, πάντων ἀπαρχὴ γενόμενος, καὶ τῶν εἰς ζωὴν γεννωμένων, καὶ τῶν δι' ἀναστάσεως νεκρῶν ζωοποιουμένων, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, καὶ ὅλον διὰ τῆς ἐν ἑαυτῷ ἀπαρχῆς συναγιάσῃ τὸ φύραμα. ὅτι γὰρ οὐ κατὰ τὴν προαιώνιον ὕπαρξιν ἐφαρμόζεται τῷ υἱῷ τὸ πρωτότοκος, ἡ τοῦ μονογενοῦς προσηγορία διαμαρτύρεται. ὁ γὰρ ἀληθῶς μονογενὴς, ἀδελφοὺς οὐκ ἔχει. πῶς οὖν ἄν τις εἴη μονογενὴς ἐν ἀδελφοῖς ἀριθμούμενος; ἀλλ' ὡς λέγεται Θεὸς καὶ ἄνθρωπος, υἱὸς Θεοῦ καὶ υἱὸς ἀνθρώπου· μορφὴ γὰρ Θεοῦ καὶ μορφὴ δούλου,

A generatio, quæ per vtrumque efficitur, & per baptiſma, & per reſurrectionem, ipſe factus dux & princeps ſecundum vtramque, in carne autem primogenitus fit, primus & ſolus ignotum natura partum in ſeipſo per virginem nouum molitus, cuius nullus in tot hominum generationibus autor exſtitit. Si hæc ſecundum rationem intellecta fuerint: neque creaturæ ſignificatum, cuius primogenitus eſt, ignorabitur. Duplicem enim naturæ noſtræ creationem cognouimus: primam, ſecundùm quam formati ſumus: & ſecundam, per quam reforma-

B ti fuimus: ſed non opus eſſet ſecunda creatione, niſi primam per præuaricationem inutilem reddidiſſemus. Illa igitur inueterata, obſoleta, & euanida, nouam in Chriſto fieri creaturam erat neceſſe, ſicut ait Apoſtolus, nihil amplius vetuſtorum in ſecũdam creaturam cenſet intueri: Exuentes, inquiens, veterem hominem cum actibus & cupiditatibus eius: induite nouum hominem qui ſecundum Deum creatus eſt. Et ſi qua in Chriſto, inquit, noua creatura, vetera præterierunt. Ecce noua facta ſunt: vnus Coloſſ. 3. Rom. 6.

C enim & idem humanæ naturæ factor, qui fecit & quod ab initio, & quod poſtea factum eſt: tunc ex puluere accepto hominem finxit: rurſus puluere ex Virgine ſumpto, non ſimpliciter hominem formauit, ſed ſibi ipſi affinxit. Tunc creauit, poſtea creatus eſt: tunc Verbum carnem fecit, poſtea verò Verbum caro factum eſt, vt carnem noſtram ad ſpiritum conuerteret: quia ſit nobiſcum particeps factus carnis & ſanguinis. Huius igitur nouæ in Chriſto creaturæ, cuius ipſe dux fuit, primogenitus eſt vocatus, omnium factus primitiæ, & eorum qui

D ad vitam generantur, & eorum qui per reſurrectionem ex mortuis viuificantur, vt mortuis & viuis dominetur, atque vt totam per primitias in ſeipſo ſanctificet conſperſionem. Quòd enim non ſecundum ante-æternam exiſtentiam filio primogeniti nomen applicatur, vnigeniti appellatio teſtatur. Nam qui verè vnigenitus eſt, fratres non habet. Quomodo enim quis eſſet vnigenitus qui cum fratribus annumeratur? ſed vt dicitur Deus & homo, filius Dei & filius hominis: forma enim Dei & forma ſerui,

partim quidem ſecundum naturam exiſtentem cùm ſit, partim verò cum ſit factus ſecundum humanitatis diſpenſationem: ſic etiam vnigenitus Deus cùm ſit, primogenitus omnis creaturæ efficitur: Vnigenitus quidem in paterno ſinu, in his verò qui per nouam creaturam ſeruantur, primogenitus creaturæ & factus & dictus. Quòd ſi, vt vult hæreſis, quia ſit ante omnem creaturam conditus, primogenitus dicitur, his quæ ab ipſis de vnigenito Deo aſtruuntur primogeniti nomen non conſonat. Non enim hoc aiunt: Quia à patre ſimiliter & filius & reliqua omnia facta ſunt, ſed facturam patris vnigenitum Deum dicunt: huius autem nempe vnigeniti, alia omnia. Quo igitur ſermone creatum eſſe Dei filium docentes, patrem creaturæ Deum nominant, eodem planè ſermone ab vnigenito Deo omnia condita eſſe dicentes, non primogenitum eorum quæ per ipſum ſunt producta, ſed patrem magis propriè nominant: cùm eadem quæ eſt in vtriſque cum creaturis ſuis relatio, eandem ex conſequutione appellationem faciat. Si enim propriè ille qui eſt in omnibus Deus, propriæ creaturæ non primogenitus ſed pater nominatur, eâdem ratione omnino & propriarum creaturarum pater vnigenitus Deus non propriè primogenitus nominabitur: ita vt prorſus impropria & ſuperuacanea ſit primogeniti appellatio, nec in hæretica notione locum habeat. Sed ad eos qui diuinæ generationi affectum aſſumunt & connectunt, redeundum eſt: Ac per hoc verè genitum eſſe dominum negant, ne affectum intelligant: Nam quod dicunt omnium generationi affectum inſitum & copulatum, ac propterea exiſtimandum eſſe filium ab opinione ſecundum generationem valde alienum eſſe, vt purè extra affectum permaneat numen: deceptu facilibus & incautis fortaſſe rationem aliquam habere hæc opinio videri poteſt, ſed myſteriorum diuinorum diſciplina eruditis & excultis, ex probatis & conceſſis prompta eſt in manu reprehenſio. Quis enim ignorat generationem eſſe quæ in veram & beatam vitam nos adducat, non quæ eſt eadem cum ea quæ ex ſanguinibus & voluntate carnis conſtat, in qua & fluxus & mutatio & quæ ſenſim fit perfectio & alia quæcunque in hac conſiderantur generatione.

A τὰ μὲν κατὰ τὴν ὑπάρχουσαν φύσιν ὤν, τὰ δὲ κατὰ τὴν φιλάνθρωπον οἰκονομίαν γενόμενος· οὕτω καὶ μονογενὴς Θεὸς ὤν, πρωτότοκος πάσης κτίσεως γίνεται· μονογενὴς μὲν ὤν, ἐν τῷ πατρῴῳ κόλπῳ, ἐν δὲ τοῖς διὰ τῆς καινῆς κτίσεως σωζομένοις, πρωτότοκος τῆς κτίσεως καὶ γενόμενος καὶ λεγόμενος. εἰ δέ, καθὼς ἡ αἵρεσις βούλεται, διὰ τὸ προκατασκευασθῆναι τῆς λοιπῆς κτίσεως πρωτότοκος λέγεται, οὐ συμφωνεῖ τοῖς παρ' αὐτῶν περὶ τοῦ μονογενοῦς Θεοῦ κατασκευαζομένοις τὸ ὄνομα. οὐ γὰρ τοῦτο φα-

B σι, ὅτι παρὰ τοῦ πατρὸς ὁμοίως ὅτε υἱὸς καὶ τὰ πάντα ἐγένετο· ἀλλὰ ποίημα μὲν τοῦ πατρὸς τὸν μονογενῆ Θεὸν λέγουσι, τούτου δὲ τὰ ἄλλα πάντα. ᾧ τοίνυν λόγῳ κτισθῆναι τὸν υἱὸν δογματίζοντες, πατέρα τοῦ κτίσματος τὸν Θεὸν ὀνομάζουσι, τῷ αὐτῷ λόγῳ πάντως παρὰ τοῦ μονογενοῦς Θεοῦ τὰ πάντα κατασκευάσθαι λέγοντες, οὐ πρωτότοκος δι' αὐτοῦ γεγενημένων, ἀλλὰ πατέρα κυριώτερον αὐτὸν ὀνομάζουσι, τῆς αὐτῆς ἐπ' ἀμφοτέρων πρὸς τὰ κτίσματα σχέσεως, τὴν αὐτὴν κατὰ τὸ ἀκόλουθον προσηγορίαν ποιούσης. εἰ γὰρ κυρίως τοῦ ἰδίου κτίσμα-

C τος ὁ ἐπὶ πάντων Θεὸς οὐ πρωτότοκος, ἀλλὰ πατὴρ ὀνομάζεται, τῷ αὐτῷ λόγῳ πάντως καὶ τῶν ἰδίων κτισμάτων πατὴρ ὁ μονογενὴς Θεός, οὐ πρωτότοκος κυρίως ὀνομασθήσεται. ὡς ἄκυρον κατὰ πάντα καὶ περιέλκουσαν εἶναι τοῦ πρωτοτόκου τὴν προσηγορίαν, ἐπὶ τῆς αἱρετικῆς ἐννοίας χώραν οὐκ ἔχουσαν. ἀλλ' ἐπανιτέον πρὸς τοὺς τῇ θείᾳ γεννήσει τὸ πάθος συνάπτοντας, καὶ διὰ τοῦτο ἀπαρνουμένους τὸ ἀληθῶς γεννηθῆναι τὸν κύριον, ἵνα μὴ πάθος νοήσωσι· τὸ γὰρ λέγειν ὅτι συνέζευκται πάντως τῇ γεννήσει τὸ πάθος· καὶ διὰ τοῦτο χρῆναι τῆς κατὰ τὴν

D γέννησιν ὑπολήψεως, ἀλλοτρίως ἔχειν τὸν υἱὸν οἴεσθαι, ὡς ἂν καθαρῶς ἔξω πάθους διαμένοι τὸ θεῖον, τοῖς μὲν εὐεξαπατήτοις ἴσως ἄν τινα λόγον ἔχειν δοκοίη· τοῖς δὲ πεπαιδευμένοις τὰ θεῖα μυστήρια, πρόχειρος ἐκ τῶν ὁμολογουμένων ὁ ἔλεγχος. τίς γὰρ οὐκ οἶδεν, ὅτι γέννησις ἡμᾶς εἰς τὴν ἀληθινήν τε καὶ μακαρίαν ἀνάγει ζωήν, οὐχ ἡ αὐτὴ οὖσα τῇ ἐξ αἱμάτων καὶ θελήματος σαρκὸς συνισταμένῃ, ἐν ᾗ καὶ ῥύσις, καὶ ἡ μεταβολὴ καὶ ἡ κατ' ὀλίγον προστελείωσις, καὶ ὅσα ἄλλα περὶ ταύτην θεωρεῖται τὴν γέννησιν,

A ἡ δὲ ἑτέρα ἐκ τοῦ Θεοῦ καὶ οὐράνιος. καὶ καθώς φησι τὸ εὐαγγέλιον, ἄνωθεν εἶναι πεπιστευμένη, ἥ τις τὰ σαρκὸς καὶ αἵματος οὐ παραδέχεται πάθη. ἢ τολμησάτωσαν οἱ ἐναντίοι τῶν δύο τὸ ἕτερον ἀποφήνασθαι, ἢ μὴ εἶναι τὴν ἄνωθεν γέννησιν· ἢ διὰ πάθους εἶναι. ἀλλὰ μὴν καὶ εἶναι συντίθενται, καὶ τὸ πάθος ἐπ' αὐτῆς οὐχ εὑρίσκουσιν· οὐκοῦν οὐ πᾶσα γέννησις τοῖς πάθεσι συμπέφυκεν· ἀλλ' ἐμπαθὴς μὲν ἡ ὑλική, καθαρὰ δὲ πάθους ἡ ἄυλος. τίς οὖν ἡ ἀνάγκη τὰ τῆς σαρκὸς ἴδια τῇ ἀκηράτῳ τοῦ υἱοῦ γεννήσει προστρίβεσθαι, καὶ διὰ τοῦ κωμῳδεῖν τὴν κάτω B γέννησιν τῇ ἀσχήμονι φυσιολογίᾳ τῆς πατρικῆς οἰκειότητος τὸν υἱὸν ἀποκλείειν; εἰ δὲ καὶ ἐφ' ἡμῶν γέννησις μὲν ἑκατέρας καθηγεῖται ζωῆς· ἀλλ' ἡ μὲν διὰ σαρκός, ἐμπαθοῦς· ἡ δὲ πνευματική, καθαρᾶς, καὶ οὐκ ἄν τις ἀντείποι τῷ λόγῳ τῶν ὁπωσοῦν ἐν Χριστιανοῖς ἀριθμουμένων, πῶς ἔστιν ἐπὶ τῆς ἀκηράτου φύσεως γέννησιν ἐννοήσαντα, πάθος ὑπολογίζεσθαι. ἔτι δὲ καὶ τοῦτο τοῖς εἰρημένοις προσεξετάσωμεν. εἰ διὰ τὸ περὶ τὴν σάρκα πάθος ἀπιστοῦσι τῇ ἀπαθείᾳ τῆς θείας γεννήσεως, ἐκ τῶν αὐτῶν ὑποδειγ- C μάτων τῶν ἐν ἡμῖν λέγω, μήτε δημιουργὸν ἀπαθῆ τὸν Θεὸν πιστευέτωσαν. εἰ γὰρ πρὸς τὰ ἡμέτερα τὸ θεῖον κρίνουσιν, οὔτε γεννᾶν τὸν Θεὸν οὔτε κτίζειν ὁμολογήσουσι· τούτων γὰρ οὐθ' ἕτερον ἐν ἡμῖν ἐνεργεῖται [δίχα πόνου καὶ ὕλης.] ἢ οὖν ἀμφότερα τῆς θείας φύσεως χωριζέτωσαν τὴν κτίσιν τε καὶ τὴν γέννησιν· ἵνα δι' ἑκατέρων τῷ Θεῷ τὴν ἀπάθειαν φυλάξωσι, καὶ καθόλου τὴν εἰς τὸν μονογενῆ πίστιν ἐκ τοῦ δόγματος αὐτῶν ἐκβαλέτωσαν· ὡς ἂν ἔξω πάθους ὁ πατὴρ φυλάσσοιτο, μήτε ἐν τῷ γεννᾶν μολυνόμε- D νος· ἢ εἰς τὸ ἕτερον ἀπαθῶς ἐνεργεῖσθαι συγχωροῦσι παρὰ τῆς θείας δυνάμεως, μήτε περὶ τοῦ ἄλλου ζυγομαχήτωσαν. εἰ γὰρ κτίζει δίχα πόνου καὶ ὕλης, καὶ γεννᾷ πάντως δίχα πόνου καὶ ῥύσεως. ἔχω δὲ πάλιν καὶ πρὸς τοῦτον τὸν λόγον συνηγοροῦντά μοι τὸν Εὐνόμιον. λέξω δὲ συντεμὼν ἐν ὀλίγῳ τὴν φλυαρίαν αὐτοῦ, πᾶσαν διὰ βραχέων ἐπιδραμὼν τὴν διάνοιαν. ὅτι οἱ ἄνθρωποι οὐ τὰς ὕλας ὑμῖν κατασκευάζουσιν,

A Altera verò generatio ex Deo eſt & cœleſtis: & vt ait Euangelium, quæ deſuper eſſe credita eſt, quæ quidem carnis & ſanguinis affectus non admittit. *Ioan. 3.* Iam aduerſarii audeant duorum alterum affirmare: Vel non eſſe generationem quæ fit deſuper, vel ſi ſit, per carnis affectum eſſe. Atqui eſſe aſſentiuntur, & in ipſa affectum non inueniunt: non igitur omnis generatio cum affectu nata cohæret: ſed quæ affectibus obnoxia eſt & indita, materialis; quæ vero affectuum eſt expers & pura, immaterialis eſt. Quæ igitur neceſſitas, quæ B vis cogit ea quæ ſunt carnis propria incorruptibili filij generationi affricare & aſpergere, & ludificando carnalem hanc & infimam generationem indecora phyſiologia, à paterna familiaritate ſiue neceſſitudine filium excludere? Quòd ſi & in nobis generatio quidem vtriuſque vitæ dux eſt & magiſtra: ſed quæ per carnem, carnalis & affectibus obnoxiæ, ſpiritalis vero puræ. Nec eorum qui modo quocunque Chriſtianorum numero adſcripti ſunt, huic orationi quiſquam contradixerit, quomodo in diuina & C incorruptibili natura de generatione cogitantem fas ſit affectum ſuſpicari. Hoc etiam amplius dictis additum examinemus: ſi propter affectum carnalem fidem derogant impaſſibilitati diuinæ generationis, ex iiſdem exemplis quæ ſunt in nobis dico, neque ipſum mundi conditorem ab omni affectu ſiue paſſione liberum & vacuum credant. Si enim humano more diuinam majeſtatem iudicant, neque Deum generare neque *omiſſum* creare confitebuntur: horum enim neu- *erat in ex. Græco.* trum in nobis efficitur. Vel igitur ambo *[ſine labore & materia]* à diuina natura creationem & genera- D tionem ſeparent, vt per vtraque Deo impaſſibilitatem ſiue affectuum vacuitatem cuſtodiant: & funditus vniuerſam in vnigenitum fidem ſuo dogmate expellant, vt pater extra affectum cuſtodiatur, neque in generando contaminetur: vel ad alterum nempe impaſſibiliter ſiue abſque vllo affectu operari diuinam virtutem concedant, neque de altero altercentur. Si enim creat abſque labore & materia; etiam generat prorſus abſque labore & fluxu. Habeo autem *Eunomij* rurſus ad hanc rationem mihi patroci- *verba, vel* nantem Eunomium. Conciſa autem breuiter eius importuna garrulitate omnem *potius verborum ſen-* paucis complectar ſententiam. [Quòd homines non materias nobis conſtruunt, *tentia.*

ſed ſpeciem ſolam in materia fabricantur.] Hæc eſt eorum quæ ab ipſis multis nugis dicta ſunt, ſententia. Si igitur proptereà quod in ima generatione conceptionem & conformationem intelligit, idcirco puram generationis intellectionem repudiat: conſequēter per eandem rationem creationis quæ hîc fit per artem, quæ quidem circa formam & ſpeciem laborat, ſed materiam formæ ſubminiſtrare non valet, hâc etiam de cauſa Patrem mundi opificem eſſe vetet exiſtimare. Quòd ſi non vult ſecundùm humanum potentiæ modum in Deo creaturam intelligere, neque diuinam generationem ex iis quę hominibus accidunt calumnietur. Vt autem eius ſubtilitas & accurata conſideratio in dictis manifeſtior & clarior conſtituatur, exiguum quiddam eorum quæ ab ipſis dicta ſunt, iterum repetemus. Ait enim [quæ agunt & patiuntur cōmunem inter ſe naturam habere.] Et poſt [generationem quæ fit ex corporibus artificioſas in materiis operū effectiones exponit.] Ex his itaque ſolers & acutus auditor conſideret, quomodo à propoſito ſuo ſcopo excidit ſemper his quę fortuitò & ex euentu inuenit aberrans. Quod agit & patitur in his quæ per carnem gignuntur in eadem eſſentia videt. Cùm illud quidem ſuam eſſentiam communicet, hoc vero participet. Sic in eorum quæ ſunt natura ſubtiliter & accuratè nouit veritatem cernere: ita vt ab eſſentia ſeparet & diſtrahat eum qui participem facit, & eum qui particeps efficitur: atque alium in ſeipſo citra eſſentiam horum vtrumque dicat eſſe. Qui enim particeps eſt, vel qui communicat, alius omnino eſt ab eo quod participatur vel communicatur. Ita vt prius oporteat in ſeipſo intelligi aliquem qui in propria ſibi quadam ſubſiſtentia cernatur, tum demùm ſic dicere de ipſo, vel dare vel accipere, vel quod nō prius habet appetere. Atque hunc ſic ridiculum ſermonem expuere, eo quod deinceps ſequitur rurſus ſeipſū euertere iſte ſapiens non ſentit. Etenim qui ſubiectam materiam, per artem ad id quod ſibi videtur, figurat, facit aliquid omnino hac actione ſiue operatione: & materia ab eo qui artem exercet, patiendo conformationem accipit. Non enim manens impatibilis & retinens materia, ex arte formam admittit. Si igitur

A ἀλλὰ τὸ εἶδος μόνον ἐπιτεχνῶνται τῇ ὕλῃ, αὕτη τῶν παρ' αὐτοῦ ῥηθέντων διὰ πολλῆς φλυαρίας ἐστὶν ἡ διάνοια. εἰ οὖν ἐν τῇ κάτω γεννήσει σύλληψιν καὶ διάπλασιν ἐννοῶν ἀπαγορεύει διὰ τοῦτο τὴν καθαρὰν τῆς γεννήσεως ἔννοιαν, ἀκολούθως κατὰ τὸν αὐτὸν λόγον τῆς ἐνταῦθα κτίσεως περὶ τὸ εἶδος ποιούσης· ὕλην δὲ συνεκπορίζειν τῷ εἴδει μὴ δυναμένης, ἀπαγορευέτω διὰ τοῦτο, καὶ δημιουργὸν εἶναι τὸν πατέρα οἴεσθαι. εἰ δὲ μὴ βούλεται κατὰ τὸ ἀνθρώπινον τῆς δυνάμεως μέτρον ἐπὶ τοῦ Θεοῦ τὴν
B κτίσιν νοεῖν, μηδὲ τὴν θείαν γέννησιν ἐκ τῶν ἀνθρωπίνων διαβαλλέτω. ὡς δ' ἂν μᾶλλον αὐτοῦ τὸ ἀκριβές τε καὶ περιεσκεμμένον ἐν τοῖς λεγομένοις φανερὸν καταστείη, μικρόν τι τῶν παρ' αὐτοῦ ῥηθέντων πάλιν ἐπαναλήψομαι. Φησὶ γάρ· τὰ ποιοῦντα καὶ πάσχοντα κοινωνεῖν ἀλλήλοις τῆς φύσεως, καὶ μετὰ τὴν ἐκ σωμάτων γέννησιν τὰς τεχνικὰς ἐπὶ τῶν ὑλῶν δημιουργίας ἐκτίθεται. σκεψάσθω τοίνυν ὁ ἀγχίνους ἀκροατὴς διὰ τούτων, πῶς ἐκπίπτει τοῦ ἰδίου σκοποῦ τοῖς ἀεὶ κατὰ τὸ συμβὰν παρευρισκομένοις
C ἐπιπλανώμενος. τὸ ποιοῦν καὶ πάσχον ἐν τοῖς διὰ σαρκὸς γινομένοις ἐπὶ τῆς αὐτῆς οὐσίας ὁρᾷ. ὡς τοῦ μὲν, μεταδιδόντος τῆς οὐσίας· τοῦ δὲ, μετέχοντος. οὕτως οἶδε δι' ἀκριβείας ἐν τῇ τῶν ὄντων φύσει ὁρᾶν τὴν ἀλήθειαν, ὥστε χωρίζειν τῆς οὐσίας τὸν μεταδιδόντα καὶ τὸν μετέχοντα, καὶ ἄλλον ἐφ' ἑαυτοῦ δίχα τῆς οὐσίας εἶναι λέγειν τούτων ἑκάτερον. ὁ γὰρ μεταλαμβάνων ἢ μεταδιδοὺς, ἕτερος πάντως ἐστὶ παρὰ τὸ μετεχόμενόν τε καὶ διδόμενον. ὡς δεῖν πρότερον ἐφ' ἑαυτοῦ νοεῖσθαί τινα καθ' ὑπόστασιν ἰδίαν ὁρώμενον. εἶθ' οὕτω λέγειν περὶ αὐτοῦ ἢ
D διδόναι, ἢ ἔχειν, ἢ ὃ μὴ προέχει προσίεσθαι. καὶ τοῦτον οὕτως ἐπιγελάστως ἐκπτύσας τὸν λόγον, τῷ ἐφεξῆς πάλιν ἑαυτὸν ἀνατρέπων ὁ σοφὸς, οὐκ αἰσθάνεται. καὶ γὰρ ὁ τὴν ὑποκειμένην ὕλην διὰ τῆς τέχνης πρὸς τὸ δοκοῦν σχηματίζων, ποιεῖ τι πάντως διὰ τῆς ἐνεργείας, καὶ ἡ ὕλη παρὰ τοῦ ἐνεργοῦντος τὴν τέχνην ἐν τῷ πάσχειν, τὸν σχηματισμὸν ἀναδέχεται. οὐ γὰρ ἀπαθὴς καὶ ἀντίτυπος ἡ ὕλη μένουσα, τὴν ἐκ τῆς τέχνης μορφὴν παραδέχεται. Εἰ τοίνυν

καὶ ἐπὶ τῶν κατὰ τέχνην ἐνεργουμένων, οὐκ ἄν τι γένοιτο μὴ πάθους καὶ ἐνεργείας συνδεδραμηκότων ἀλλήλοις πρὸς τὸ γινόμενον. πῶς ἔστι διὰ τούτων ἐφεστάναι τοῖς παρ' ἑαυτοῦ λεγομένοις τὸν λογογράφον οἴεσθαι, ὃς ἐν πάθει καὶ ἐνεργείᾳ τὴν κοινωνίαν τῆς οὐσίας ἀποφαινόμενος, κινδυνεύει μὴ μόνον τῷ γεννηθέντι προσμαρτυρεῖν πως πρὸς τὸν γεγεννηκότα τὸ κοινὸν τῆς οὐσίας· ἀλλὰ καὶ πᾶσαν τὴν κτίσιν τῷ πεποιηκότι ποιεῖν ὁμοούσιον. εἴπερ τὸ ποιοῦν καὶ τὸ πάσχον ὁμογενῶς ἔχειν ἀλλήλοις κατὰ τὴν φύσιν ὁρίζεται. οὐκοῦν δι' ὧν κατασκευάζει ὃ βούλεται, διὰ τούτων ἀνατρέπει τὸ σπουδαζόμενον, ἰσχυροτέραν τῇ παρ' ἑαυτοῦ μάχῃ ποιῶν τὴν τοῦ ὁμοουσίου δόξαν. εἰ γὰρ ἡ μὲν ἔκ τινος γέννησις τὴν τοῦ γεγεννηκότος οὐσίαν ἐν τῷ γεννηθέντι δείκνυσιν· ἡ δὲ τεχνικὴ κατασκευὴ, δι' ἐνεργείας τε καὶ πάθους ἀποτελουμένη. κατὰ τὸν τούτου λόγον εἰς κοινωνίαν οὐσίας ἄγει, τὸ ποιοῦν τε καὶ τὸ γινόμενον. γεγεννῆσθαι τὸν κύριον πολλαχῆ τῶν ἰδίων συγγραμμάτων ὁ λογογράφος κατασκευάζων. ἄρα δι' ὧν ἀλλοτριοῖ τῆς τοῦ πατρὸς οὐσίας τὸν κύριον, διὰ τούτων αὐτῷ προσμαρτυρεῖ τὴν συνάφειαν. εἰ γὰρ μήτε διὰ γεννήσεως, μήτε διὰ κατασκευῆς κατὰ τὸν τούτου λόγον ὁ τῆς οὐσίας χωρισμὸς καθορᾶται· ὅπερ ἂν δῷ εἶναι τὸν κύριον, εἴτε κτιστὸν εἴτε γέννημα, δι' ἀμφοῖν τὸ κατ' οὐσίαν οἰκεῖον προσεμαρτύρησεν, ὁ ἐν τῷ ποιοῦντι καὶ πάσχοντι, γεννῶντι καὶ γεννωμένῳ, τὴν τῆς φύσεως κοινωνίαν τεχνολογήσας. ἀλλὰ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου τρεπόμεθα. παραιτοῦμαι δὲ τοὺς ἐντυγχάνοντας μὴ δυσχεραίνειν τῇ ἀκριβείᾳ τῆς ἐξετάσεως, εἰς πλῆθος ἀκούσιον παρασυρούσης τὸν λόγον. οὐ γὰρ περὶ τῶν τυχόντων ὁ κίνδυνος, ὥστε τι παραδραμόντας τῶν φιλοπονωτέρας δεομένων τῆς θεωρίας, ἐν ὀλίγῳ τὴν ζημίαν παθεῖν, ἀλλ' αὐτῷ τῷ κεφαλαίῳ τῆς ἐλπίδος ἐγκινδυνεύομεν. πρόκειται γὰρ ἢ Χριστιανοὺς εἶναι, μὴ παρενεχθέντας ὑπὸ τῆς αἱρετικῆς ἀπωλείας· ἢ πάντως πρὸς Ἰουδαϊκάς τε καὶ Ἑλληνικὰς ὑπολήψεις κατασυρῆναι. ὡς ἂν οὖν μὴ θάτερον πάθοιμεν τῶν ἀπειρημένων, μήτε διὰ τῆς ἀρνήσεως τοῦ ἀληθῶς γεννηθέντος υἱοῦ, τοῖς Ἰουδαϊκοῖς δόγμασιν συμφερόμενοι,

A in his quæ arte efficiuntur nil fieri poteſt niſi perpeſſio & actio ſimul ad id quod fit concurrant. Quomodo putandum eſt per hæc ſcriptorem in ſuis dictis conſtare, qui in perpeſſione & actione communionem eſſentiæ pronuntians, videtur non ſolum ei qui genitus eſt attribuere quodam modo cum eo qui genuit communem eſſentiam: verum etiam omnem creaturam cum eo qui fecit eiuſdem eſſentiæ facere. Siquidem quod agit & quod patitur eodem genere inter ſe habere ſecundum naturam definit. Itaque per quæ conſtruit
B quod vult, per hæc deſtruit & euertit quod ſtudioſè contendit, ſua repugnantia ὁμουσίου (ſimul eſſentialis) gloriam firmiorem reddens. Si enim ex aliquo generatio eius qui genuit eſſentiam in eo qui genitus eſt demonſtrat; artificialis autem conſtructio, quæ per actionem & paſſionem perficitur, ſecundum huius rationem ad eſſentiæ communionem adducit & id quod facit & id quod efficitur: genitum eſſe dominum paſſim in ſuis ſcriptis iſte ſcriptor adſtruens. Ergo per quæ à Patris eſſentia Dominum alienat, per hæc
C ipſi cohærentiam ſiue connexionem attribuit. Si enim neque per generationem neque per artis fabricationem iuxta huius rationem eſſentiæ ſeparatio conſpicitur, quod quidem ſi dederit eſſe, Dominum ſiue creatum ſiue gennema, id eſt, progeniem dixerit, per ambo quod eſt ſecundum eſſentiam proprium teſtatus eſt, qui in agente & patiente, in generante & eo qui gignitur, naturæ communionem arte ſua tradidit. Sed ad id quod deinceps ſequitur in eius oratione pergamus. Oratos velim lectores non ægrè ferre exa-
D minationis ſublimitatem, quæ in immodicam prolixitudinem non ſponte ſermonem protrahit. Non enim de quibuſlibet periculum eſt, vt ſi forte quid prætermiſerimus eorum quæ accuratiore indigent contemplatione, leue damnum faciamus, ſed de ſpei ſumma periclitamur. Proponitur enim vel vt Chriſtiani ſimus, non ab hæretica pernicie peruerſi: velut omnino ad Iudaicas vel gentiles opiniones pertrahamur: vt igitur nobis neutrum horum contingat, ne per abnegationem filij verè geniti Iudaicis documentis circumferamur,

neque per adorationem creaturæ exhibitam in præcipitium gentilium ſimulachris ſeruientium corruamus; neceſſariò in diſputatione ea de re ſuſcepta immorabimur, poſitis Eunomij verbis, quæ ſic habent. [His itaque ſic diuiſis, meritò quiſpiam dixerit principaliſſimam & primam & ſolam actu patris ſubſiſtentem eſſentiam in ſeipſam recipere gennematis ſiue germinis & facturæ & creaturæ appellationes. Et paulò poſt, [Solus autem filius, ait, patris actu conſiſtens incommutabilem habet naturam, & cum eo qui genuit relationem.] Et in præcedentibus: [Genitum gennema, ſiue germen dicere non recuſandum eſſe, inquit, cum eſſentia ipſa genita & filij appellatio talem nominum affectionem ſibi vendicet, propriamque reddat.] Cùm igitur tam aperta & clara ſit, in his dictis repugnantia, huius dogmatis laudatorum ſolertiam & ſubtilitatem ſubit admirari. Incertum enim fuerit ad quod eorum quæ ab ipſo ſunt dicta verſi non in reliquum peccent. Prior ſermo ei aſtruebat, genitam eſſentiam & filij appellationem, talem nominum ſibi aſciſcere & vendicare relationem, at præſens eius artificioſa diſſertatio contrarium nunc aſſerit. [incommutabilem, inquit, filium habere cum eo qui ipſum genuit relationem.] Si primo fidem habent, nullo prorſus modo ſecundum admittent: ſi ad hoc vergant, aduerſus primam opinionem ſtabunt. Quis ipſis pugnam dirimet? Quis bello ciuili medius interueniet? quis ſeditionem ad concordiam coire faciet? Cum hoc votum ad ſeipſum ex dictis ſit diuiſum, & in contrarium dogmata ſint diſtracta. An hoc prophetiæ fortaſſe eſt ænigma, quod de Iudæis inquit Dauid: Quod diuiſi ſunt & non compuncti. Ecce enim neque ad dogmatum contrarietatẽ diſciſſi, ſui erroris ſenſum habent: ſed amphorarum inſtar per aures feruntur, ad arbitriũ eius qui tranſuerſos agit circumacti. Placuit ipſi dicere genitam eſſentiam coniunctè ſiue adhæsè filij appellationem habere, mox inſtar dormitantium dictis annuerunt: iterum in contrarium ſermonem tranſtulit,

Verba Eunomij.

Pſal. 54.

A μήτε διὰ τῆς τοῦ κτίσματος προσκυνήσεως τῷ πτώματι τῶν εἰδωλολατρούντων συγκαταπίπτοντες, ἀναγκαίως προσδιατρίψωμεν τῷ περὶ τούτων λόγῳ, θέντες αὐτὴν τὴν Εὐνομίου ῥῆσιν, ἔχουσαν οὕτως. οὕτω δὲ τούτων διῃρημένων, εἰκότως φαίη τις ἂν τὴν κυριωτάτην καὶ πρώτην καὶ μόνην, ἐνεργείᾳ τοῦ πατρὸς ὑποστᾶσαν οὐσίαν, εἰς ἑαυτὴν δέχεσθαι τὰς τοῦ γεννήματος καὶ ποιήματος καὶ κτίσματος προσηγορίας. καὶ μετ' ὀλίγα, μόνος δὲ ὁ υἱός, φησί, τῇ τοῦ πατρὸς ἐνεργείᾳ συστάς, ἀκοινώνητον ἔχει τήν τε φύσιν, καὶ τὴν πρὸς τὸν γεγεννηκότα σχέσιν. ἐν δὲ τοῖς πρὸ τούτου· τὸν γεννητὸν γέννημα λέγειν μὴ παραιτεῖσθαι, φησί, τῆς γεννηθείσης αὐτῆς οὐσίας καὶ τῆς τοῦ υἱοῦ προσηγορίας τὴν τοιαύτην τῶν ὀνομάτων οἰκειουμένης σχέσιν. οὕτω τοίνυν προδήλου τῆς ἐν τοῖς εἰρημένοις οὔσης ἐναντιότητος, θαυμάζειν ἔπεισί μοι τῆς ἀγχινοίας τοὺς ἐπαινέτας τούτου τοῦ δόγματος. ἄπορον γὰρ ἂν εἴη πρὸς ὅτι τῶν εἰρημένων παρ' αὐτοῦ τραπέντες, οὐκ ἂν πλημμελοῖεν εἰς τὸ λειπόμενον. ὁπότερος κατασκευάζει λόγος αὐτῷ, τὴν γεννηθεῖσαν καὶ τὴν τοῦ υἱοῦ προσηγορίαν τὴν τοιαύτην τῶν ὀνομάτων οἰκειοῦσθαι σχέσιν, ἡ νῦν τεχνολογία τὸ ἐναντίον φησίν, ἀκοινώνητον ἔχειν τὸν υἱὸν τὴν πρὸς τὸν γεγεννηκότα σχέσιν. ἐὰν τῷ προτέρῳ πιστεύσωσι, οὐ παραδέξονται πάντως τὸ δεύτερον· ἐὰν πρὸς τοῦτο ῥέψωσι, κατὰ τῆς προτέρας ὑπολήψεως στήσονται. τίς αὐτοῖς διαλύσει τὴν μάχην; τίς μεσιτεύσει τῷ ἐμφυλίῳ πολέμῳ; τίς συμβιβάσει πρὸς συμφωνίαν τὴν στάσιν; αὐτῆς τῆς εὐχῆς πρὸς ἑαυτὴν ἐκ τῶν λεγομένων μεριζομένης, καὶ πρὸς τὴν ἐναντιότητα τῶν δογμάτων διελκομένων. ἢ τοῦτο τῆς προφητείας ἐστὶ τάχα αἴνιγμα, ὃ περὶ τῶν Ἰουδαίων φησὶν ὁ Δαβίδ. ὅτι διεσχίσθησαν καὶ οὐ κατενύγησαν. ἰδοὺ γὰρ οὐδὲ πρὸς τὴν ἐναντίωσιν τῶν δογμάτων διασχιζόμενοι, τὴν τοῦ πλημμελήματος αἴσθησιν ἔχουσιν. ἀλλὰ φέρονται διὰ τῶν ὤτων, ἀμφορέων δίκην πρὸς τὸ δοκοῦν τῷ μεταθέντι περιαγόμενοι. ἤρεσκεν αὐτῷ τὴν γεννηθεῖσαν οὐσίαν προσφυῶς τὴν τοῦ υἱοῦ προσηγορίαν ἔχειν εἰπεῖν, εὐθὺς καθάπερ οἱ νυστάζοντες τοῖς εἰρημένοις ἐπένευσαν· μετέθετο πάλιν πρὸς τοὐναντίον τὸν λόγον·

καὶ πρ-

καὶ ἀρνεῖται τοῦ υἱοῦ τὴν πρὸς τὸν γεγεννηκότα σχέσιν. πάλιν οἱ φίλτατοι καὶ τούτῳ συννεύουσιν, ὥσπερ αἱ τῶν σωμάτων σκιαί, τῇ αὐτομάτῳ μιμήσει πρὸς τὴν τοῦ προάγοντος συμμετασχηματίζονται κίνησιν. ὅπη τε ἂν ἐθέλῃ πρὸς τοῦτο ῥέποντες, κἂν ἑαυτῷ μάχηται, καὶ τοῦτο καταδεχόμενοι. ἄλλος τις ἐστὶν Ὁμηρικὸς κυκεών, οὐ τὰ σώματα τῶν φαρμακευομένων ἀλλάσσων εἰς ἀλόγους μορφάς, ἀλλὰ κατὰ τῶν ψυχῶν ἐνεργῶν τὴν ἐπὶ τὸ ἄλογον αὐτῶν μεταμόρφωσιν. περὶ μὲν γὰρ ἐκείνων ὁ λόγος φησίν, ὅτι βέβαιος αὐτοῖς ὁ νοῦς ἦν, ἠλλοιωθέντος πρὸς τὸ θηριῶδες τοῦ εἴδους. ἐνταῦθα δὲ τῶν σωμάτων αὖθις ἐν τῇ κατὰ φύσιν διαμενόντων πρὸς τὸ ἄλογον αἱ ψυχαὶ μεταπλάσσονται. καὶ ὥσπερ ἐκεῖ φησὶν ἡ ποιητικὴ τερατεία, εἰς διαφόρων θηρίων εἴδη τοὺς φαρμακευθέντας ἀλλάσσεσθαι, κατὰ τὸ ἀρέσκον τῇ παρασοφιζομένῃ τὴν φύσιν· τὰ αὐτὰ καὶ νῦν γίνεται παρὰ τοῦ Κιρκαίου τούτου κρατῆρος. οἱ γὰρ ἐμπίνοντες τῆς γοητευομένης ἀπάτης ἐκ τοῦ αὐτοῦ συμπεράσματος, εἰς διαφόρων δογμάτων μορφὰς ἀλλοιοῦνται. νῦν μὲν τούτῳ, πάλιν δὲ τῷ ἑτέρῳ μορφούμενοι. καὶ ἐπὶ τούτοις οἱ γλυκύτατοι κατὰ τὴν τοῦ μύθου διασκευήν, ἀγαπῶσιν ἔτι τὸν τῆς τοιαύτης ἀλογίας αὐτοῖς ἐξηγούμενον. καὶ οἷόν τινα καρπὸν κρανίας, ἢ βάλανον, τοὺς διαρριπτομένους παρ' αὐτοῦ λόγους ὑποκεκυφότες ἐκλέγουσι· συῶν δίκην πρὸς τὰ χαμαιρριφῆ τῶν δογμάτων λαιμάργως ἐπιτρέχοντες, τοῖς δὲ ὑψηλοῖς τε καὶ οὐρανίοις ἐνατενίζειν φύσιν οὐκ ἔχοντες. διὰ τοῦτο τὴν ἐπὶ τὰ ἐναντία τοῦ λόγου παρατροπὴν οὐχ ὁρῶσιν, ἀλλὰ τὸ ἐπ' αὐτοὺς ἐλθὸν ἀνεξετάστως ἁρπάζουσιν. οἷόν τι δὴ καὶ καθάπερ φασὶ τῶν διὰ μανδραγόρου κεκαρωμένων, κώματί τινι καὶ δυσκινησίᾳ κρατεῖσθαι τὰ σώματα, τὸν αὐτὸν τρόπον καὶ τούτοις διάκειται τὰ τῆς ψυχῆς αἰσθητήρια, πρὸς τὴν σύνεσιν τῆς ἀπάτης ἀποναρκήσαντα. δεινὸν μὲν οὖν καὶ τοῖς κεκρυμμένοις δόλοις ἔκ τινος παραλογισμοῦ, κατὰ τὸ λεληθὸς ἐνσχεθῆναι. πλὴν ἀλλὰ συγγνωστὸν τὸ ἀτύχημα, ὅταν ἀκούσιον ᾖ, τὸ δ' ἐκ προνοίας τινὸς καὶ σπουδῆς τοῦ κακοῦ τὴν πεῖραν ἐφέλκεσθαι,

A & negat filij cum eo qui genuit relationem. Huic rurſus chariſſimi condicunt, quemadmodum corporum vmbræ, ſpontanea imitatione ad motum progredientis configurantur, quocunque voluerit ad id ſeſe contrahentes & vergentes, tametſi ipſe ſibi repugnet, hoc etiam approbantes. Altera ſanè eſt quædam Homerica miſcellanea potio, non corpora eorum qui veneno inficiuntur immutans in brutorum animalium figuras, ſed in animas vires ſuas exerens, & in id quod brutum eſt & ratione caret transformationem efficiens. De B illis enim fabula ait, quòd firma ipſorum mens erat, immutatâ in ferinam humana forma. Hîc verò corporibus in naturali figura permanentibus, in brutam & rationis expertem naturam animæ transformantur. Et vt illic narrat poëtica prodigioſa fabula, in differentium belluarum ſpecies, veneno infectos ſiue incantatos immutari, ſicut placebat veneficæ naturam adulteranti ac peruertenti. Eadem etiam nunc fiunt à Circæo huius poculo: Qui enim maleficum errorem & præſtigias ex eius ſcri- C pto bibunt, in diuerſorum dogmatum formas tranſmutantur: nunc quidem in hoc, rurſus vero in alterum transformati. Atque in his dulciſſimi, ſecundum fabulæ apparatum, amant etiam eũ qui ſe ipſis erroris & amentiæ ducem & magiſtrum præbet. Et veluti quendam corni fructum vel glandem, proni & ab ipſo proiectos ſermones in terram curui colligunt, porcorum inſtar, ad humi proiecta dogmata auidis faucibus adcurrentes, ad excelſa autem & cœleſtia intentis oculis contueri & ſpectare nequeuntes. Quapropter ad contraria orationis peruerſionem non vident, ſed D quidquid ad ipſos venerit, inexplorato abripiunt. Quemadmodum aiunt corpora eorum qui mandragoræ eſu veternoſi facti ſunt, profundo quodam ſopore & ſtupore corripi, haud ſecus horum animi ſentiendi inſtrumenta afficiuntur ad erroris intelligentiam torpeſcentia. Graue quidem eſt occultis dolis ex quadam fallaci argumentatione per ignorantiam detineri. Verumtamen venia dignum erratum ſiue infortunium, ſi non eſſet voluntarium: ſed conſultò & data opera & adhibito ſtudio ad mali experientiam pertrahi,

non ignorantem calamitatem, omnem infortuniorum exuperantiam pertranſit. Quis talia fando temperet à lachrymis? quis iuſtè non doleat? cùm audimus, quod piſcium quidam guloſi nudum quidem propinquans ferrum fugiunt, ad eſcam verò decepti, ſpe cibi hamum pertrahunt & deuorant. In quibus autem malum prouiſum eſt ac præcognitum, ſponte ad huius perniciem venire, piſcium amentia miſerabilius eſt. Illi enim ad interitum occultum per ingluuiem illecti ſunt; iſti verò circum nudum impietatis hamum hiant, affectu quodam & aſſenſu ratione carente interitum amantes. Quid enim hac contrarietate apertiùs? quam dicere eundem eſſe genitum & creaturam, & filij nomen habere cognatum & adhærens, & rurſus alienari à filij ſignificantia. Sed hæc quidem hactenus. At fortaſſe non abs re fuerit, propoſitæ à nobis dictionis Eunomij omnem conſequenter perſpicere ſententiam, ad orationis principium curſu reuocato. Quæ enim ſunt examinata & exquiſita propter manifeſtam dictorum repugnantiam, promptè nos ab extremis eius verbis contradictionem exordiri commouerunt. Hæc igitur ab Eunomio ſunt dicta. [Sic igitur his diuiſis merito quis dixerit, principaliſſimam & primam & ſolam actu patris ſubſiſtentem eſſentiam in ſeipſam recipere gennematis ſiue germinis, & facturæ, & creaturæ appellationes.] Primum igitur eos qui ſermoni aures attentas habent, velim in memoriam ſibi reuocare, quòd maximè propriam & principaliſſimam etiam iam patris eſſentiam in prima ſcripta oratione autumat: per hæc verba ſermonem producens: [Quòd omnis qui ſecundum noſtra dogmata completur ſermo ex ſuprema & principaliſſima eſſentia.] Et hîc principaliſſimam dicit & primam vnigeniti eſſentiam. Quare ab vtroque libro Eunomij voces componentes hunc ipſum teſtē cōmunis eſſentiæ citabimus, qui alibi tale quiddam protulit: quòd quorum eædē appellationes, horum natura nulla in re differt. Nō enim quæ natura diſtant iſdem appellationibus ſignificaſſet qui ſibi ipſi pugnat. Sed quoniam

A μὴ ἀγνοοῦντα τὴν συμφοράν, πᾶσαν ὑπερβολὴν δυστυχημάτων παρέρχεται. πῶς γὰρ οὐκ ἄξιον σχετλιάζειν, ὅταν ἀκούωμεν ὅτι καὶ τῶν ἰχθύων οἱ λίχνοι, γυμνὸν μὲν προσεγγίζοντα τὸν σίδηρον φεύγουσι, πρὸς δὲ τὸ δέλεαρ ἀπατώμενοι, τροφῆς ἐλπίδι καταπῶσι τὸ ἄγκιστρον. ἐν οἷς δὲ πρόδηλόν ἐστι τὸ κακόν, αὐτομολεῖν ἑκουσίως ἐπὶ τὸν ὄλεθρον τοῦτον, καὶ τῆς τῶν ἰχθύων ἀλογίας ἐστὶν ἀθλιώτερον. οἱ μὲν γὰρ πρὸς τὸν κεκαλυμμένον διὰ γαστριμαργίας ὑπηνέχθησαν ὄλεθρον· οἱ δὲ γυμνὸν περιχαίνουσι τῆς ἀσεβείας τὸ ἄγκιστρον, διά τινος B ἀλόγου προσπαθείας ἀγαπῶντες τὸν ὄλεθρον. τί γὰρ ἂν ταύτης τῆς ἐναντιότητος γένοιτο προδηλότερον; ἢ τὸ λέγειν ὅτι ὁ αὐτὸς καὶ ἐγεννήθη, καὶ κτίσμα ἐστί, καὶ τὸ προσφυὲς ἔχει τῆς τοῦ υἱοῦ κλήσεως, καὶ πάλιν ἀλλοτριοῦται τῆς τοῦ υἱοῦ σημασίας. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. χρήσιμον δ' ἂν ἴσως εἴη, τῆς παρατεθείσης ἡμῖν τοῦ Εὐνομίου ῥήσεως πᾶσαν ἀκολούθως ἰδεῖν τὴν διάνοιαν, ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντας τοῦ λόγου. τὰ γὰρ νῦν ἐξετασθέντα, διὰ τὸ προφανὲς τῆς τῶν εἰρημένων C ἐναντιότητος, προχείρως ἡμᾶς ἐκίνησεν ἐκ τῶν τελευταίων τῆς ἀντιρρήσεως ἄρξασθαι. εἴρηται τοίνυν παρὰ τοῦ Εὐνομίου ταῦτα. οὕτω δὲ τούτων διῃρημένων, εἰκότως φαίη τις ἂν τὴν κυριωτάτην καὶ πρώτην καὶ μόνην ἐνεργείᾳ τοῦ πατρὸς ὑποστᾶσαν οὐσίαν, εἰς ἑαυτὴν δέχεσθαι τὰς τοῦ γεννήματος καὶ ποιήματος καὶ κτίσματος προσηγορίας. πρῶτον τοίνυν ὑπομνῆσαι τοὺς τῷ λόγῳ προσέχοντας βούλομαι, ὅτι κυριωτάτην εἶναι καὶ τὴν τοῦ πατρὸς οὐσίαν, ἐν τῇ προτέρᾳ λογογραφίᾳ D φησί· διὰ τούτων προαγαγὼν τῶν ῥημάτων τὸν λόγον, ὅτι πᾶς ὁ τῶν καθ' ἡμᾶς δογμάτων συμπληροῦται λόγος, ἐκ τῆς ἀνωτάτω καὶ κυριωτάτης οὐσίας. καὶ ἐνταῦθα κυριωτάτην λέγει καὶ πρώτην τοῦ μονογενοῦς τὴν οὐσίαν. οὐκοῦν συνθέντες ἀφ' ἑκατέρου βιβλίου τὰς Εὐνομίου φωνάς, αὐτὸν τοῦτον παραστησόμεθα μάρτυρα τοῦ κοινοῦ τῆς οὐσίας τὸν ἑτέρωθί που τὸ τοιοῦτον ἀποφηνάμενον· ὅτι ὧν αἱ αὐταὶ προσηγορίαι, τούτων οὐδὲ ἡ φύσις διάφορος. οὐ γὰρ ἂν διεστῶτα τῇ φύσει τῇ ταυτότητι τῶν προσηγοριῶν διεσήμηνεν, ὁ ἑαυτῷ μαχόμενος. ἀλλ' ἐπειδὴ

εἷς ἐν πατρὶ καὶ υἱῷ ὁ τῆς οὐσίας λόγος, διὰ τοῦτο πάντως κυριωτάτην μὲν ἐκείνην, κυριωτάτην δὲ καὶ ταύτην εἶναι φησί. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ ἡ τῶν ἀνθρώπων συνήθεια, μηδενὶ τὸ κυριώτατον ἐφαρμόζουσα, ᾧ μὴ συνδιαληθεύεται τῇ φύσει τὸ ὄνομα. οἷόν ἐστιν ἄνθρωποι ἐκ καταχρήσεως τὸ ὁμοίωμα λεγόμενον· ἀλλὰ κυρίως τῇ φωνῇ ταύτῃ κατονομάζομεν τὸ ζῶον τὸ ἐν τῇ φύσει δεικνύμενον. καὶ Θεὸν ὡσαύτως εἴδωλον ὅταν καὶ δαιμόνιον, καὶ κοιλίαν οἶδεν ὁ τῆς γραφῆς λόγος προσαγορεύειν· ἀλλ' οὐχὶ καὶ τὸ κύριον ἔχει καὶ τὰ ἄλλα πάντα κατὰ τὸν αὐτὸν τρόπον. βεβρωκέναι τις κατὰ τὴν ἐνύπνιον φαντασίαν λέγεται· ἀλλ' οὐκ ἔστι κυρίαν βρῶσιν τὴν φαντασίαν εἰπεῖν. ὥσπερ τοίνυν ἐπίσης δύο τινῶν ἀνθρώπων κατὰ φύσιν ὑφεστηκότων, ἑκάτερον αὐτῶν κυρίως τῇ φωνῇ προσαγορεύομεν τοῦ ἀνθρώπου. εἰ δὲ τὴν ἄψυχόν τις εἰκόνα πρὸς τὸν κατὰ ἀλήθειαν ἄνθρωπον συνθεὶς ἀριθμήσειε, δύο μὲν ἂν εἴποι, τόν τε ἀληθῶς ὄντα καὶ τὸ ὁμοίωμα, οὐκέτι δὲ ἂν καὶ τὸ κύριον ἀμφοτέροις προσμαρτυρήσειεν. οὕτως εἴπερ ἄλλο τι παρὰ τὴν τοῦ πατρὸς οὐσίαν ἡ τοῦ μονογενοῦς φύσις ὑπενοεῖτο, οὐκ ἂν κυριωτάτην ἑκατέραν τῶν οὐσιῶν ὁ λογογράφος ὠνόμασε. πῶς γὰρ ἄν τις τὰ διαφέροντα τῇ φύσει, τῇ ταυτότητι τῶν ὀνομάτων σημαίνοιεν; ἀλλ' ἔοικεν ἡ ἀλήθεια, καὶ διὰ τῶν πολεμούντων αὐτῇ φανεροῦσθαι, μὴ δυναμένου καθάπαξ μηδὲ ἐν ταῖς τῶν ἐχθρῶν φωναῖς ὑπερισχύειν τῆς ἀληθείας τοῦ ψεύδους. διὰ τοῦτο τῷ στόματι τῶν ἀντικειμένων καὶ μὴ εἰδότων ἃ λέγουσιν ὁ τῆς εὐσεβείας διακηρύσσεται λόγος. καθάπερ καὶ ἐπὶ τοῦ Καϊάφα τὸ σωτήριον ὑπὲρ ἡμῶν τοῦ κυρίου πάθος προηγόρευτο, οὐκ εἰδότος ὃ λέγει. οὐκοῦν εἰ κοινὸν ἐπ' ἀμφοτέρων τῆς οὐσίας τὸ κυριώτατον, τοῦ πατρὸς λέγω καὶ τοῦ υἱοῦ· τίνα χώραν ἔχει τὸ παρηλλάχθαι τὰς οὐσίας ἀλλήλων λέγειν; ἢ πῶς ἐν αὐταῖς ἡ πρὸς τὸ δυνατώτερόν τε καὶ μεῖζον καὶ προτιμότερον ἐνθεωρεῖται διαφορά, τῆς κυριωτάτης οὐσίας οὐδεμίαν παραδεχομένης ἐλάττωσιν. τὸ γὰρ ἀτελῶς ὄν, ὅτι περ ἂν ᾖ, κυρίως οὐκ ἔστιν, οὐ φύσις, οὐ δύναμις, οὐκ ἀξίωμα, οὐκ ἄλλο τι

A vna in Patre & Filio eſſentiæ ratio, ob id omnino principaliſſimam quidem illam, principaliſſimam verò & hanc eſſe ait. Huic etiam rationi hominum conſuetudo adſtipulatur, quæ nulli quod eſt principaliſſimum applicat cui nomen non verè & ſecundum naturam competat. Cuiuſmodi ex abuſu quodam ſimulachrum aliquod, hominem dicimus. Sed propriè & principaliter hac voce nominamus animal, quod in natura demonſtratur, & Deum ſimiliter idolum interdum & dæmonium, & ventrem nouit ſcripturæ ſermo appellare. Sed hæc B tamen quod huius nominis proprium eſt non habent & reliqua huiuſmodi. In ſomnis quidam ediſſe per viſionem dicitur, ſed viſionem ſiue imaginationem non licet dicere propriam eſcam. Quemadmodum igitur duobus æquè hominibus ſecundum naturam exiſtentibus, vtrumque ipſorum propriè hac voce hominem appellamus. Quòd ſi inanimam quis imaginem cum homine ſecundum veritatem componẽs numerauerit, duos quidem dixerit, & eum qui verè eſt, & per ſimilitudinem dicitur: ſed non amplius vtriſque quod huius nominis eſt C proprium aſſignauerit. Sic ſi quid aliud & diuerſum à patris eſſentia vnigeniti natura mente conciperetur, non amplius maximè propriam vtrámque eſſentiam hic ſcriptor nominaſſet. Quomodo enim quis quæ natura differunt iiſdem nominibus ſignificaret? Sed veritas etiam per eos qui ipſam bello laceſſunt videtur manifeſtari, quia non poteſt omnino neque etiam in inimicorum vocibus veritati præualere mendacium. Idcirco aduerſariorum ore quæ dicunt neſcientium pietatis ſermo D prædicatur, quemadmodum in Caïpha ſalutaris pro nobis Domini paſſio prænuntiabatur, neſciente quid diceret. Ergo ſi commune eſt in vtriſque, quod Ioan. 11 eſſentiæ eſt principaliſſimum, Patre dico & filio: quam cauſam habet eſſentias à ſe inuicem diſiunctas & ſeparatas eſſe dicendi? vel quomodo in ipſis cum eo quod potentius & maius & præſtabilius eſt, inſpicitur differentia, cùm principaliſſima eſſentia nullam imminutionẽ admittat. Quod enim imperfectè eſt, quodcunque fuerit, propriè non eſt, non natura, non vis, non dignitas, non aliud quic-

quam eorum quæ in vnoquoque ſpectantur. Ita vt patris quæ eſt ſecundum eſſentiam eminentia, ſicut vult hæreſis, imperfectam vnigeniti eſſentiam arguit. Si igitur imperfecta, non eſt principalis & propria. Si autem principaliſſima eſt & maximè propria, etiam perfecta omnino. Quod enim deficit perfectum nominari naturâ non poteſt. Sed neque comparatè, ſi cum perfecto perfectum componatur, differentiam aliquam per redundantiam vel defectum factam fas eſt intelligere: vna enim in ambobus ſicut, in norma, perfectio eſt, quæ neque cauatur ſiue vacuatur propter defectum, neque rudis eſt, & inæqualis propter redundantiam. Quare pro noſtro dogmate Eunomij patrocinium abundè ſatis ex his quæ dicta ſunt licet perſpicere. Immo vero non pro nobis ſtudium, ſed ſecum diſſidium. Per quæ enim noſtrum dogma ſuis commendat ſermonibus, in ſeipſum vertit machinamenta & actus. Nos autem rurſus ſcripta ad verbum ſequemur, vt manifeſtum & planum fiat omnibus, quòd eorum ſermo nullam habet vim aliam ad vitium, quàm malitioſè & doloſè nocendi voluntate. Audiamus igitur ea quæ ſunt ab eis dicta. [Meritò dixerit aliquis maximè propriam & primam & ſolam actu patris ſubſiſtentem eſſentiam ad ſeipſam admittere gennematis ſiue germinis & facturæ & creaturæ appellationes.] Quis ignorat creaturæ vocem in Dei filio dictam id eſſe quod eccleſiam ab hæreſi ſeparet? Quamobrem cùm ſit apud omnes certa conceſſaque ſecundum dogma differentia, eum qui demonſtrare nititur ſuas opiniones noſtris veriores, quid agere congruentius erat? An ſcilicet proprium ſermonem conficere, ex iis rationibus quibus demonſtrare poſſit oportere dominum exiſtimare creatum eſſe? an verò hoc prætermiſſo, audientibus perſuadere & affirmare, quod ea quæ dubia ſunt & controuerſa, omnino ſunt certa, vera & conceſſa? Illud equidem affirmo: fortaſſe autem etiam omnes quibus eſt intelligentia, hoc à contradicentibus exquirent, vt quod diſſertationis principium eſt, id primò ſtabiliant ſuper aliqua baſi & fundamento cui contradici non poſſit:

Verba Eunomij.

A τῶν καθ' ἕκαστον θεωρουμένων οὐδέν. ὥστε ἡ κατ' οὐσίαν τοῦ πατρὸς ὑπεροχή, καθὼς ἡ αἵρεσις βούλεται, τὸ ἀτελὲς τῆς οὐσίας τοῦ μονογενοῦς διελέγχει. εἰ δὲ ἀτελής, οὐ κυρία. εἰ δὲ κυριωτάτη, καὶ τελεία πάντως. τέλειον γὰρ τὸ ἐλλιπὲς ὀνομάζεσθαι φύσιν οὐκ ἔχει. ἀλλ' οὐδὲ συγκριτικῶς αὐτοῦ παραβαλλομένου τελείου πρὸς τέλειον, διαφοράν τινα κατὰ πλεονασμὸν ἢ ἔλλειψιν γινομένην δυνατόν ἐστιν ἐπινοῆσαι· μία γὰρ ἐπ' ἀμφοῖν, ὥσπερ ἐπὶ κανόνος, ἡ τελειό-
B της, οὔτε κοιλαινομένη τῷ λείποντι, οὔτε ἀνωμαλοῦσα τῷ πλεονάζοντι. τὴν μὲν οὖν ὑπὲρ τοῦ καθ' ἡμᾶς δόγματος τοῦ Εὐνομίου συνηγορίαν, ἱκανῶς ἐκ τῶν εἰρημένων ἐστὶν ἰδεῖν. μᾶλλον δὲ οὐ τὴν ὑπὲρ ἡμῶν σπουδήν, ἀλλὰ τὴν πρὸς ἑαυτὸν μάχην. δι' ὧν γὰρ τὸ ἡμέτερον δόγμα τοῖς ἰδίοις συνίστησι λόγοις, καθ' ἑαυτοῦ τρέπει τὰ μηχανήματα. ἡμεῖς δὲ πάλιν τοῖς γεγραμμένοις κατ' αὐτὴν τὴν λέξιν ἀκολουθήσωμεν, ὡς ἂν φανερὸν γένοιτο πᾶ-
C σιν, ὅτι πλὴν τοῦ βούλεσθαι κακουργεῖν, οὐδεμίαν ἰσχὺν πρὸς τὴν κακίαν ὁ παρ' αὐτῶν λόγος ἔχει. ἀκούσωμεν τοίνυν τῶν εἰρημένων. Εἰκότως φαίη τις ἂν τὴν κυριωτάτην καὶ πρώτην καὶ μόνην, ἐνεργείᾳ τοῦ πατρὸς ὑποστᾶσαν οὐσίαν εἰς ἑαυτὴν δέχεσθαι τὰς τοῦ γεννήματος καὶ ποιήματος καὶ κτίσματος προσηγορίας. τίς οὐκ οἶδεν ὅτι τὸ χωρίζον ἀπὸ τῆς αἱρέσεως τὴν ἐκκλησίαν, ἡ τοῦ κτίσματός ἐστι φωνὴ ἐπὶ τοῦ υἱοῦ λεγομένη; οὐκοῦν ὁμολο-
D γουμένης παρὰ πᾶσι τῆς κατὰ τὸ δόγμα διαφορᾶς, τὸν ἐπιχειροῦντα δεικνύειν τῶν ἑκατέρων τὰς ἰδίας ὑπολήψεις, ἀληθεστέρας τί πράττειν εὐλογώτερον ἦν· κατασκευάζειν δηλονότι τὸν ἴδιον λόγον, δι' ὧν οἷός τε ἦν, ἀποδεικνύντα κτιστὸν τὸν κύριον εἶναι δεῖν οἴεσθαι. ἢ τοῦτο παρέντα, νομοθετεῖν τοῖς ἀκούουσιν, ὡς ὁμολογούμενα τὰ ἀμφιβαλλόμενα λέγειν. ἐγὼ μὲν ἐκεῖνο φημί· τάχα δὲ καὶ πάντες οἷς μέτεστι διανοίας, τοῦτο παρὰ τῶν ἀντιλεγόντων ἐπιζητήσουσι τὴν ἀρχὴν τοῦ λόγου πρότερον ἐπί τινος ἀναντιρρήτου βάσεως στησαμ-

ται· οὕτως τοῖς ἀκολούθοις ἐναγωνίζεσθαι. οὑτοσὶ τοίνυν ἀφεὶς τὸ περὶ τοῦ γεγενῆσθαι κτιστὸν αὐτὸν οἴεσθαι κατασκευὴν, τὰ ἐφεξῆς διεξέρχεται. τῷ ἀνυποστάτῳ λήμματι τὴν τῶν λογισμῶν ἀκολουθίαν ἁρμόζων, οἷόν τι πάσχουσιν οἱ ταῖς ματαίαις ἐπιθυμίαις κατὰ ψυχὴν ἐμβαθύνοντες, ἢ πρὸς βασιλείαν ἢ πρὸς ἄλλο τι τῶν σπουδαζομένων ταῖς ἐννοίαις διαχεόμενοι. οὐχ ὅπως ἂν γένοιτό τι τῶν σπουδαζομένων αὐτοῖς ἐπινοοῦσιν· ἀλλ᾽ ὡς τούτου παρόντος διατιθέασιν ἑαυτοῖς καὶ οἰκονομοῦσι πρὸς τὸ δοκοῦν τὸ εὐτύχημα. διά τινος ἡδονῆς τοῖς ἀνυπάρκτοις ἐπιπλανώμενοι. οὕτως ἡμῖν καὶ ὁ σοφὸς λογογράφος τὴν πολυθρύλητον ἑαυτοῦ διαλεκτικὴν οὐκ οἶδα ὅπου κατακοιμήσας, πρὶν ἀποδεῖξαι περὶ τοῦ ζητουμένου· καθάπερ τισὶ παιδίοις διαμυθολογεῖται τὴν ἀπατηλὴν ταύτην καὶ ἀκατάσκευον τοῦ καθ᾽ ἑαυτὸν δόγματος φλυαρίαν, οἷον διήγημά τι παρθένιον ἐκτιθέμενος. λέγει γὰρ τὴν ἐνεργείᾳ τοῦ πατρὸς ὑποστᾶσαν οὐσίαν· δέχεσθαι τὴν τοῦ γεννήματος καὶ ποιήματος καὶ κτίσματος προσηγορίαν. τίς ἀπέδειξε λόγος ἐνεργείᾳ τινὶ κατασκευαστικῇ τὸν υἱὸν ὑποστῆναι, τὴν δὲ φύσιν τοῦ πατρὸς, ἀνενέργητον ὡς πρὸς τὴν ὑπόστασιν τοῦ υἱοῦ μεῖναι. τὸ γὰρ ἀμφιβαλλόμενόν τε καὶ ζητούμενον, τοῦτο ἦν· εἴτε ἡ οὐσία τοῦ πατρὸς ἐγέννησε τὸν υἱὸν, εἴτε τι τῶν ἔξωθεν παρεπομένων τῇ φύσει τοῦτο εἰργάσατο. τῆς τοίνυν ἐκκλησίας κατὰ τὴν θείαν διδασκαλίαν ἀληθῶς Θεὸν εἶναι τὸν μονογενῆ πιστευούσης, τὴν δὲ πολυθέαν δεισιδαιμονίαν βδελυσσομένης· καὶ διὰ τοῦτο τὴν τῶν φύσεων διαφορὰν οὐ προσδεχομένης, ὡς ἂν μὴ τῇ παραλλαγῇ τῶν οὐσιῶν ὑπὸ ἀριθμὸν αἱ θεότητες πίπτοιεν. ὅπερ οὐδέν ἐστιν ἕτερον, ἢ τὴν πολυθεΐαν πάλιν ἐπεισάγειν τῷ βίῳ. ταύτης τοίνυν τῆς ἐκκλησίας ἰδιωτικῶς διδασκούσης, ὅτι ἐκ τῆς οὐσίας τοῦ ἀληθινοῦ Θεοῦ, ἀληθινὸς Θεὸς κατ᾽ οὐσίαν ὁ μονογενής ἐστι Θεός. τὸν ἀντιβαίνοντα τοῖς ἐγνωσμένοις, πῶς ἀνατρέπειν ἔδει τὴν προειλημμένην ὑπόληψιν; οὐχὶ τὸ κατασκευάζειν τὸν ἀντικείμενον λόγον διά τινος ὁμολογουμένης ἀρχῆς συναποδεικνύοντα

A hoc autem ſic conſtituto tum demum in iis quæ ſequuntur acriter inſtent & decertent. Hic autem omiſſo illo ſtabilimine, quod oporteat ipſum creatum eſſe putare cætera perſequitur, non ſubſiſtenti propoſitioni ratiocinationum conſequentiam accommodans: quale quid vſu venit his qui vanis cupiditatibus animum applicantes profundè cogitant vel ad regnum vel ad aliud quiddam eorum quæ vehementer expetuntur cogitationibus effuſi. Non vt ipſis aliquid eorum quæ ſummo ſtudio expetunt eueniat, agitant animo; ſed tan- B quam eo præſente ſibiipſis diſponunt & diſpenſant pro arbitrio fortunæ fœlicitatem: voluptate quadam in falſa rerum ſpecie & imagine ludentes animo vagantur. Sic nobis ſapiens iſte ſcriptor, tritam multum & vulgatam ſuam dialecticam neſcio vbi ſopiens, priuſquam id de quo quæritur demonſtrauerit tanquam paruulis quibuſdam pueris captioſam hanc & inconditam ſui dogmatis futilitatem ſiue importunam loquacitatem confabulando obtrudit, velut narrationem quandam petulantem & C laſciuam exponens. Dicit enim patris actu ſubſiſtētem eſſentiam recipere gennematis (germinis) & facturæ & creaturæ appellationem. Quænam ratio demonſtrauit velut fabrili quadam operatione filium ſubſiſtere: patris vero naturam inefficacem velut ad filij hypoſtaſim manere: hoc enim erat de quo ambigebatur, quod quærebatur, vtrum ſubſiſtentia patris filium genuit, vtrum quid eorum quæ extrinſecus comitantur naturam, hunc impediuit. Quoniam igitur Eccleſia diuina doctrina erudita vnigenitum credit verè eſſe Deum, & D deorum multitudinem abominatur, & propterea naturarum diſcrimen non admittit, ne eſſentiarum differentiâ in numerum diuinitates incidant. Quod quidem nō eſt aliud quam deorum turbam in vitam inducere. Hæc igitur Eccleſia cùm populariter doceat, quòd ex eſſentia veri Dei, verus Deus ſecundum eſſentiam vnigenitus eſt Deus. Is autem qui his conceſſis & cognitis decretis repugnat & contradicit, quomodo anticipatam opinionem euertere oportebat? Nónne debuit oppoſitum ſermonem conſtruere & conficere ex aliquo vero & conceſſo principio demonſtratione facta eius, quod dubium & controuerſum

erat? neminem arbitror eorum qui mentis ſunt compotes aliud quicquam præter hæc quærere. Sed iſte ab incertis & dubiis exorditur, & tanquam demonſtratis ſequenti ſermoni dat principium. Si enim hoc prius eſſet demonſtratum, actu quodam & operatione extranea filium ſubſiſtere, quę controuerſia eſſet ad id quod ſequitur, nempe dicere eſſentiam actu aliquo ſubſiſtentem in ſeipſam admittere facturæ appellationem. Quandiu hoc antecedens rude nec præſtructum fuerit, quomodo robur habebit conſequens? dicant huius erroris ſiue fraudis patroni. Nam ſi quis verbi gratia ex hypotheſi hominem alatum concederet, de ſequentibus non amplius dubitaretur. Nam alatus factus volabit ſurſúmque ſupra terram ſeſe attollet paſſis alis ſuſpenſus, ſublimis per aërem feretur. Sed quomodo eſſe queat alatus conſiderandum, qui naturam aëriam non eſt ſortitus. Quod cùm non ita ſit: vanum eſt quod poſtea ſequitur exponere. Ille igitur hoc primum oſtendat Eccleſiam fruſtra credidiſſe verè eſſe vnigenam filium, non adoptione aſcitum falſi nominis Patri: ſed ſecundum naturam per viam generationis ex eo qui eſt exiſtentem; non externum neque alienum ab eius qui genuit natura, hæc primùm vt falſa arguat, & tunc de conſequentibus diſputator perſuaſorius erit. Sed quandiu primum indemonſtratum fuerit nugatorium eſt in ſecundis inhærere. Nullus mihi ſubrepet quòd illud etiam quod à nobis pro confeſſo haberur, rationibus & argumentis indigeat confirmari & probari: ſufficit enim ad noſtri ſermonis demonſtrationem quod habeamus à patribus venientem ad nos traditionem, velut hæreditatem quandam per ſucceſſionem ex Apoſtolis per ſanctos ſequentes tranſmiſſum. Qui autem ad nouitatem hanc tranſmutant dogmata multis indigerent rationum argumentis & auxiliis, ſi non puluerulentos & agitatu faciles ſiue Euripi more mobiles homines, ſed etiam graues & conſtantes & propoſiti tenaces eſſent ad ſuam ſententiam adducturi. Quandiu autem rudis nec probabilis & indemonſtratus eorum ſermo ita proferetur, fatuus & brutus habebitur: vt qui Euangeliſtarum & Apoſtolorum, & eorum qui deinceps

Nota ad demonſtrationē eorū quæ ab Eccleſia creduntur, traditionem ſufficere.

A τὸ ἀμφίβολον; οὐκ ἂν οἶμαί τινα τῶν νοῦν ἐχόντων ἕτερόν τι παρὰ ταῦτα ζητῆσαι. ἀλλ' οὗτος ἀπὸ τῶν ἀμφισβητουμένων ἄρχεται, καὶ ὡς ἀποδεδειγμένων, ἀρχὴν τοῦ ἐφεξῆς δίδωσι λόγου. ἀποδειχθέντος γὰρ πρότερον ὅτι διά τινος ἐνεργείας ὁ υἱὸς ὑπέστη, τίς ἂν ἦν μάχη πρὸς τὸ ἑπόμενον, τὸ εἰς ἑαυτὴν δέχεσθαι τὴν τοῦ ποιήματος προσηγορίαν λέγειν, τὴν δι' ἐνεργείας τινὸς ὑποστᾶσαν οὐσίαν. ἕως δ' ἂν ἀκατάσκευον ᾖ τὸ προηγούμενον, πῶς ἰσχὺν ἔχει τὸ ἐφεπόμενον, εἰπάτωσαν οἱ τῆς ἀπάτης συνήγοροι. καὶ γὰρ εἴ τις πτηνὸν γενέσθαι καθ' ὑπόθεσιν δοίη τὸν ἄνB θρωπον, περὶ τῶν ἐφεξῆς οὐκέτι δοιασθήσεται. καὶ πτήσεται γάρ πως ὁ πτηνὸς γενόμενος, καὶ ἄνω τῆς γῆς ἑαυτὸν ἀνάξει μετάρσιος ἐπὶ πτερύγων δι' ἀέρος φερόμενος· ἀλλὰ σκεπτέον πῶς ἂν γένοιτο πτηνός, ὁ τὴν φύσιν οὐ λαχὼν ἐναέριον. τούτου δὲ μὴ ὄντος, μάταιον τὸ μετὰ τοῦτο διεξιέναι. κἀκεῖνος τοίνυν τοῦτο πρῶτον ἐπιδειξάτω, τὸ μάτην πεπιστευκέναι τὴν ἐκκλησίαν ἀληθῶς εἶναι τὸν μονογενῆ υἱόν, οὐ κατὰ θέσιν εἰσποιηθέντα ψευδωνύμῳ πατρί· ἀλλὰ κατὰ φύσιν γεννητῶς ἐκ τοῦ ὄντος ὄντα, μὴ ἀπεξενωμένον τῆς τοῦ γεννήσαντος φύσεως. ταῦτα πρῶτον ὡς ψευδῆ διελεγξάτω, καὶ τότε περὶ τῶν ἀκολούθων διεξιὼν πιθανὸς ἔσται. ἕως δ' ἂν τὸ πρῶτον ἀναπόδεικτον ᾖ, φλυαρίας ἐστὶν ἐμφιλοχωρεῖν τοῖς δευτέροις. καί μοι μηδεὶς ὑποκρουέτω καὶ τὸ παρ' ἡμῶν ὁμολογούμενον διὰ κατασκευῆς κυρωθῆναι· ἀρκεῖ γὰρ εἰς ἀπόδειξιν τοῦ ἡμετέρου λόγου τὸ ἔχειν πατρόθεν ἥκουσαν πρὸς ἡμᾶς τὴν παράδοσιν, οἷόν τινα κλῆρον δι' ἀκολουθίας ἐκ τῶν ἀποστόλων διὰ τῶν ἐφεξῆς ἁγίων παραπεμφθέντα· οἱ δὲ πρὸς τὴν καινότητα ταύτην μεταθέντες τὰ δόγματα, πολλῆς ἂν δέοιντο τῆς ἐκ τῶν λογισμῶν συμμαχίας. εἰ μέλλοιεν μὴ τοὺς κονιορτώδεις τῶν ἀνθρώπων καὶ εὐριπίστους, ἀλλὰ καὶ τοὺς ἐμβριθεῖς τε καὶ βεβηκότας ταῖς διανοίαις προσάγεσθαι· ἕως δ' ἂν ἀκατάσκευος αὐτοῖς καὶ ἀναπόδεικτος ὁ λόγος προφέρηται παρ' αὐτοῖς οὕτως, ἠλίθιος καὶ κτηνώδης· ὡς τῶν εὐαγγελιστῶν τε καὶ ἀποστόλων, καὶ τῶν καθεξῆς

ἐν ταῖς ἐκκλησίαις διαλαμψάντων, ἀσθενεστέραν τὴν διδασκαλίαν τῆς ἀναποδείκτου φλυαρίας ποιήσασθαι. ἴδωμεν δὲ καὶ τὸ διαφορώτατον τῆς ἀγχινοίας τοῦ λογογράφου. ὅπως τῇ περιουσίᾳ τῆς διαλεκτικῆς ἐμπειρίας πρὸς τοὐναντίον εὐμηχάνως τοὺς ἀκεραιοτέρους ἐφέλκεται. προσέρριψε τῇ τοῦ ποιήματος καὶ κτίσματος προσηγορίᾳ καὶ τὴν φωνὴν τοῦ γεννήματος, εἰπὼν, εἰς ἑαυτὴν δέχεσθαι τὰ ὀνόματα ταῦτα τοῦ υἱοῦ τὴν οὐσίαν. καὶ ὥσπερ ἐν μεθυόντων συνεδρίῳ δημηγορῶν οἴεται μηδενὶ κατάφωρον ἑαυτοῦ τὴν περὶ τὸ δόγμα κακουργίαν γενήσεσθαι. τῷ γὰρ συνάψαι τὸ γέννημα τῷ κτίσματί τε καὶ τῷ ποιήματι, ἐκκλέπτειν ἡγεῖται τὴν κατὰ τὸ σημαινόμενον τῶν ὀνομάτων διαφορὰν, διὰ τῆς τῶν ἀκοινωνήτων συντάξεως. ταῦτα τὰ σοφὰ τῆς διαλεκτικῆς μηχανήματα· ἀλλ᾽ ἡμεῖς οἱ ἰδιῶται τῷ λόγῳ, τὸ μὲν εἶναι τοῦτο κατὰ τὴν φωνὴν καὶ τὴν γλῶσσαν, ὅπερ ὁ λόγος περὶ ἡμῶν δείκνυσιν, οὐκ ἀρνούμεθα. ὠτία δὲ, καθώς φησιν ὁ προφήτης, κατηρτίσθαι ἐν ἡμῖν πρὸς ἀκοὴν εὐσύνετον, ὁμολογοῦμεν. διόπερ οὐδὲν διὰ τῆς συναφείας τῶν ἀκοινωνήτων ὀνομάτων εἰς τὴν τῶν σημαινομένων σύγχυσιν ὑπαγόμεθα· ἀλλὰ κἂν ὁ μέγας ἀπόστολος κατὰ ταυτὸν ὀνομάσῃ ξύλα καὶ χόρτον, καὶ καλάμην, χρυσόν τε καὶ ἄργυρον καὶ λίθους τιμίους· καὶ τὸν ἀριθμὸν τῶν μνημονευθέντων ἐπὶ κεφαλαίου συλλογιζόμεθα, καὶ τὴν φύσιν ἑκάστου τῶν κατωνομασμένων ἰδιαζόντως οὐκ ἀγνοήσωμεν· οὕτω καὶ νῦν γεννήματος καὶ ποιήματος κατὰ ταυτὸν μνημονευθέντων, ἐκ τῶν φωνῶν ἐπὶ τὰ σημαινόμενα μεταβαίνοντες, οὐ τὴν αὐτὴν ἑκάστῳ τῶν ὀνομάτων ἐνθεωροῦμεν διάνοιαν. ἄλλο γάρ τι τὸ κτίσμα, καὶ ἕτερον σημαίνει τὸ γέννημα· ὥστε κἂν ἐκεῖνος μιγνύῃ τὰ ἄμικτα· ὁ συνετὸς ἀκροατὴς διακεκριμένως ἀκούσεται καὶ δείξει τῶν ἀδυνάτων εἶναι τὴν τοῦ γεννήματος καὶ τὴν τοῦ κτίσματος προσηγορίαν, μίαν τινὰ φύσιν εἰς ἑαυτὴν δέχεσθαι. εἰ γὰρ τὸ ἕτερον ἀληθεύοιτο τούτων, ψεῦδος ἐξ ἀνάγκης ἔσται τὸ ἕτερον. ὥστε εἰ κτίσμα εἴη, μὴ εἶναι γέννημα, καὶ τὸ ἔμπαλιν. εἰ γέννημα λέγοιτο, ἀλλοτριοῦσθαι τῆς ἐπωνυμίας τοῦ κτίσματος.

A in Eccleſiis illuxerunt, doctrinam infirmiorem indemonſtrabili garrulitate faciat. Sed ſcriptoris ſolertiæ & ingenij præſtantiſſimum acumen perſpiciamus. Quod quidem affluentia experientiæ Dialecticæ in contrarium facile ſimpliciores attrahit: facturæ & creaturæ appellationi vocem etiam gennematis, id eſt, progeniei adiecit cùm dixit, filij eſſentiam in ſeipſam hæc nomina recipere: & velut in ebriorum conſeſſu concionans nemini putat ſuum in dogmate maleficium planum & perſpicuum fore. Nam creaturæ & facturæ compingendo B gennema (germen) nominum differentiam ſecundum ſignificatum clàm & furtim ſe tollere exiſtimat, hæc nomina quæ nullam inter ſe habent communionem, ſimul componendo. Hæc ſunt docta Dialecticę machinamenta: ſed nos rudes & imperiti ſermone hoc quidem eſſe ſecundum vocem & linguam, quod quidem de nobis demonſtrat oratio, non inficiamur. Auriculas autem, ſicut ait Propheta, nobis aptatas eſſe & compoſitas ad auditum bene intelligentem confitemur. Propterea per compagem nominum quæ nullam inter ſe habent C communionem, ad ſignificatorum confuſionem neutiquam inducimur. Nam etſi magnus Apoſtolus in eodem orationis contextu nominet ligna & fœnum & ſtipulam, aurúmque & argentum & lapides pretioſos: tamen & numerum eorum quæ recenſuit ſummatim computamus, atque etiam naturam eorum quæ nominata ſunt propriè & ſingulariter prout cuique conuenit non ignoramus: ſic etiam nunc gennema & factura cum de eodem nominata ſint, ex vocibus ad ſignificata tranſeuntes, non eandem in quoque nominum in- D telligentiam intuemur: aliud enim τὸ κτίσμα (creatura) aliud vero ſignificat τὸ γέννημα id germen ſiue progenies. Ita vt ille miſceat ea quæ nequeunt commiſceri: intelligens auditor diſtinctè audiet & demonſtrabit ex his eſſe quæ fieri non poſſunt, γεννήματος genituræ & κτίσματος facturæ appellationem vnam aliquam in ſeipſam recipere naturam: Si enim horum alterum vere dici poſſet, mendaciũ neceſſario erit alterum. Quare ſi κτίσμα factura eſſet, non eſſet γέννημα genitura: & vice verſa, ſi γέννημα genitura diceretur alienaretur à facturæ nomine.

1.Cor.3.

Sed ait Eunomius, in ſeipſam recipere filij eſſentiam γεννήματος germinis & ποιήματος facturæ & κτίσματος creaturæ appellationes. Sed nunquid per ea quæ ſequuntur hunc ſine capite & ſine radice ſermonem confirmauit, qui quidem ex iis quæ prius dicta ſunt nullo robore fundatus eſt ad id quod ſuper ædificatum eſt. An etiam reliqua eadem vanitate laborant, à nullo ex rationibus petito auxilio robur adepta: ſed latam & inconditam velut in ſomniorum narratione blaſphemiæ expoſitionem habentia, dicit enim dictis hæc annectens: [immediatam quidem ſiue nullo intercurrente medio habentem generationem, impartibiliter autem ſeruantem cum eo qui genuit & fecit, & creauit relationem.] Si enim (eo dempto quo dicit, immediatum & impartibilem) ipſam in ſeipſa verborum ſententiam ſpectemus, inuenimus quòd vbique doctrinæ delirium & meras nugas nullóque rationis momento confirmatum ſermonem auribus deceptorum proijcit. [Eum qui genuit, inquit, & qui creauit, & qui fecit.] Hæc & ſi tria videntur, duorum tamen ſenſuum ſignificantiam habent, quia duæ ſunt ex eis voces quæ æquiualent & conueniunt inter ſe in eodem ſenſu. Nam τὸ ποιεῖν hoc eſt facere, & τὸ κτίζειν, id eſt creare, idem eſt prorſus. Verùm generatio, differt ab vtriſque. Cùm igitur communis hominum opinio ad differentiam ſenſus ex verborum ſignificantia diuidatur; quæ ratio nobis oſtendit idem eſſe cum generatione facturam: Ita vt vnam eandemque eſſentiam verborum differentiæ accommodemus. Donec enim dictionum familiaris ſignificantia præualuerit, & nulla inueniatur ratio quæ verborum in contrarium tranſmutet notas ſignificationes, non fieri poteſt vt vna aliqua natura ad facturæ & genituræ notitiam diſcindatur, quandoquidem in ſeipſo cùm dicitur horum vtrumque, peculiarem habet interpretationem neceſſe eſt prorſus, propriamque & cognatam cum nominibus mente concipere mutuam & relatiuam coniugationem. Nam & reliqua quæ relata dicuntur, non ad alia quæ diuerſi ſint generis relationem ſiue neceſſitudinem habent: ſed etiamſi relatorum alterum taceatur, nihilominus ſponte cum primitiuo etiam coiugatum intelligitur. Veluti opifex, ſeruus, amicus, filius, & quæ ſunt eiuſmodi. Omnia

Verba Eunomij.

Hoc verbũ eſt ſecundũ Græcam phraſim: nã pro eodem τὸ κτίζειν & τὸ ποιεῖν Græci ponũt. Latini autem differre dicũt: nã creare, propriè dicitur, ex nihilo, facere vero ex aliqua ſubiecta materia.

A ἀλλά φησιν ὁ Εὐνόμιος, εἰς ἑαυτὴν δέχεσθαι τοῦ υἱοῦ τὴν οὐσίαν, τὰς τοῦ γεννήματος καὶ ποιήματος καὶ κτίσματος προσηγορίας. μή τι διὰ τῶν ὑπολοίπων κατησφαλίσατο τὸν ἀκέφαλον τοῦτον καὶ ἄρριζον λόγον. ὃς οὐδεμιᾶ διὰ τῶν προφθάντων κατεβλήθη πρὸς τὸ κατασκευαζόμενον δυνάμει. ἢ καὶ τὰ λοιπὰ τῆς αὐτῆς ἔχεται ματαιότητος, οὐκ ἀπό τινος τῆς ἐκ τῶν λογισμῶν συμμαχίας τὴν ἰσχὺν προλαβόντα· ἀλλὰ διεξοδικήν τε καὶ ἀκατάσκευον ὥσπερ ἐπὶ τῶν ὀνείρων διηγήσεως τὴν τῆς βλασφημίας
B ἔκθεσιν ἔχοντα· λέγει γὰρ τοῖς εἰρημένοις ἐπισυνάψας ταῦτα. ὅτι ἀμεσίτευτον μὲν ἔχουσαν τὴν γέννησιν· ἀμερίστως δὲ σώζουσαν τὴν πρὸς τὸν γεγεννηκότα καὶ πεποιηκότα καὶ κτίσαντα σχέσιν. εἰ γὰρ τὸ ἀμεσίτευτόν τε καὶ ἀμέριστον καταλιπόντες, αὐτὴν ἐφ' ἑαυτῆς θεωρήσαιμεν τὴν τῶν ῥημάτων διάνοιαν, εὑρήσομεν ὅτι πανταχοῦ τὸ λῆρος τῆς διδασκαλίας δι' οὐδενὸς ἰσχυροποιούμενον λόγου ταῖς ἀκοαῖς τῶν ἀπατωμένων προσρίπτει. τὸν γεγεννηκότα, φησί, καὶ κτίσαντα καὶ ποιήσαντα. ταῦτα κἂν
C τρία δοκεῖ, δύο νοημάτων ἔχει τὴν σημασίαν, τὸ τὰς δύο φωνὰς ἰσοδυναμεῖν ἀλλήλαις κατὰ τὴν ἔννοιαν. τὸ γὰρ ποιῆσαι τὸ κτίσαι ταυτόν ἐστιν· ἕτερον δὲ παρὰ τὰ εἰρημένα ἡ γέννησις. τῆς οὖν κοινῆς τῶν ἀνθρώπων ὑπολήψεως, πρὸς διαφόρους ἐννοίας ἐκ τῆς τῶν ῥημάτων σημασίας μεριζομένης, τίς ἡμῖν ἐπέδειξε λόγος ταυτὸν εἶναι τῇ γεννήσει τὸ ποίημα· ἵνα τὴν μίαν οὐσίαν τῇ τῶν ῥημάτων διαφορᾷ, προσαρμόσωμεν. ἕως γὰρ ἂν ἡ συνήθης κρατῇ σημασία τῶν λέξεων, καὶ μηδεὶς εὑρίσκεται λόγος ὁ μετασκευάζων εἰς τὸ ἐναντίον τὰς τῶν ῥημάτων ἐμ-
D φάσεις, οὐκ ἐνδέχεται μίαν τινὰ φύσιν πρὸς τὴν τοῦ ποιήματος καὶ γεννήματος ἔννοιαν διαχισθῆναι. ἐπειδὴ γὰρ ἐφ' ἑαυτοῦ λεγόμενον τούτων ἑκάτερον, ἰδιάζουσαν ἔχει τὴν ἑρμηνείαν, ἀνάγκη πᾶσα, οἰκείαν τε καὶ συγγενῆ τοῖς ὀνόμασι συνεπινοεῖσθαι καὶ τὴν σχετικὴν συζυγίαν. καὶ γὰρ τὰ λοιπὰ τῶν πρός τι λεγομένων, οὐ πρὸς τὸ ἀλλότριόν τι καὶ ἀκατάλληλον ἔχει τὴν οἰκειότητα. ἀλλὰ κἂν σιωπηθῇ πρὸς ὃ λέγεται, αὐτομάτως μετὰ τοῦ πρωτοτύπου καὶ τὸ συνεζευγμένον ἀκούεται. οἷον δημιουργὸς, δοῦλος, φίλος, υἱὸς, καὶ τὰ τοιαῦτα. πάντα

γὰρ ὅσα τῇ πρὸς ἕτερον διαφορᾷ θεωρεῖται, τὴν οἰκείαν ἕκαστον καὶ συνημμένην τοῦ δηλουμένου συγγένειαν διὰ τῆς προσηγορίας περίεισιν, ἄμικτον ἔχοντα τὴν πρὸς τὸ ἑτερογενὲς κοινωνίαν. οὔτε γὰρ τοῦ δημιουργοῦ τὸ ὄνομα τῷ υἱῷ συνέζευκται, οὔτε μὴν τοῦ δούλου φωνὴ πρὸς τὸν δημιουργὸν διαφέρεται, οὔτε ὁ φίλος τὸν δοῦλον ἐδήλωσεν, οὔτε ὁ υἱὸς τὸν δεσπότην· ἀλλὰ φανερὰν καὶ διακεκριμένην τούτων ἑκάστου τὴν πρὸς τὸ κατάλληλον συζυγίαν ἐπιγινώσκομεν, νοοῦντες διὰ μὲν τοῦ φίλου, ἕτερον φίλον, διὰ δὲ τοῦ δούλου, τὸν κύριον. τὸ δὲ ἔργον διὰ τοῦ δημιουργοῦ, καὶ διὰ τοῦ υἱοῦ τὸν πατέρα. οὕτω τοίνυν καὶ τὸ γέννημα πρός τι τὴν κυρίαν ἔμφασιν ἔχει. ἐκείνῳ συνέζευκται τῷ μὲν γεννήματι ὁ γεννήσας, τῷ κτίσματι * ὁ κτίσας. καὶ δεῖ πάντως εἴγε μὴ μέλλοιμεν σύγχυσίν τινα τῶν πραγμάτων διὰ τῆς τῶν ὀνομάτων ὑπαλλαγῆς ἐμποιεῖν, σώζειν ἑκάστῳ τῶν πρός τι λεγομένων τὸ οἰκείως συνασημαινόμενον. φανερᾶς τοίνυν οὔσης τῆς τῶν λέξεων τούτων ἐννοίας, πρὸς ὅ τι βλέπει, πῶς ὁ διὰ τῆς λογικῆς τεχνολογίας προάγων τὰ δόγματα, τὴν οἰκείαν τῶν πρός τι διάνοιαν, ἐπὶ τῶν ὀνομάτων τούτων οὐ κατενόησεν. ἀλλ' ἁρμόζειν οἴεται τῷ πεποιηκότι τὸ γέννημα, τῷ γεγεννηκότι τὸ ποίημα, λέγων τὴν υἱοῦ τὴν οὐσίαν εἰς ἑαυτὴν δέχεσθαι τὰς τοῦ γεννήματος καὶ ποιήματος καὶ κτίσματος προσηγορίας. ἀμέριστον δὲ σώζειν τὴν πρὸς τὸν γεγεννηκότα καὶ ποιήσαντα καὶ κτίσαντα σχέσιν. τὸ γὰρ ἓν πρᾶγμα πρὸς διαφόρους σχέσεις καταμερισθῆναι, φύσιν οὐκ ἔχει. ἀλλ' ὁ μὲν υἱὸς τῷ πατρὶ προσῳκείωται, καὶ τὸ γεννηθὲν τῷ γεννήσαντι· τὸ δὲ ποίημα πρὸς τὸν πεποιηκότα τὴν ἀναφορὰν ἔχει· πλὴν εἰ μή τινα κατάχρησιν ἐν ἀδιαφόρῳ τινὶ συνηθείᾳ ῥημάτων κυριωτέραν ἡγοῖτό τις εἶναι τῆς προσφυοῦς σημασίας. * τ οὖν λογισμοῖς, καὶ ποίοις, κατὰ τὴν ἄμαχον διαλεκτικὴν ἐκείνην εἰς τοὐναντίον τὰς δόξας τῶν πολλῶν μεταστήσας ταῦτα κατεξουσιάσας διέξεισιν. ὅτι τοῦ ἐπὶ πάντων Θεοῦ καὶ κτίστου καὶ πατρὸς νοουμένου τε καὶ λεγομένου, ὁ υἱὸς πρὸς ἀμφοτέρας τὰς προσηγορίας ἐπιτηδείως ἔχει, καὶ κτίσμα καὶ γέννημα κατὰ τὸ ἴσον λεγόμενος. τῆς γὰρ τοῦ λόγου συνηθείας τε καὶ

A enim quæ per relationem ad alterum conſiderantur propriam & cohærentem, ad id quod declaratur cognationem per appellationem animo repræſentant, nullámque omnino cum eo quod eſt diuerſi generis communionem poſſunt admittere. Neque enim opificis nomen cum filio coniugatum eſt: neque ſerui vox ad opificem refertur, neque amicus ſeruum declarauit, neque filius dominum: ſed apertam & diſtinctam horum cuiuſque inter ſe coniugationem cognoſcimus, per amicum mente concipientes alterum amicum, & per ſeruum dominum: opus verò per opifi-
B cem, per filium patrem. Sic igitur hoc nomen γέννημα (genitura) cum aliquo confertur, & cum eo habet propriam ſignificationem. Itaque ille qui genuit (τῷ γεννήματι) geniturę coniunctus eſt, & creator * creaturæ cohæret, & niſi rerum confuſionem quandam per nominum immutationem inducere velimus, omnino oportet cuique relatorum ſuam & propriam ſeruare ſignificationem. Cùm ſit itaque harum dictionum notitia manifeſta ad quod reſpicit hic qui per dialecticum artificium dogmata profert,
C quomodo propriam relatorum vim & ſententiam in his nominibus non animaduertit. Sed genituram factori & facturam genitori coniugare autumat dicens, filij eſſentiam in ſeipſam admittere γεννήματος (genituræ) & ποιήματος (facturæ) & (κτίσματος) creaturæ appellationes. Impartibilē verò ſeruare cum eo qui genuit & qui fecit, & creauit relationem. Rem enim vnam ad diuerſas relationes diſtribui naturæ non eſt conſentaneum. Sed filius quidem patri naturali neceſſitudine conciliatus eſt: quod genitum eſt cum eo quod genuit, factura cum eo
D quod fecit habet mutuam relationem: niſi fortaſſe aliquam abuſionem in differente quadam verborum conſuetudine ne magis propriam quis eſſe exiſtimet quàm ſit naturalis ſignificatio, * quibus igitur rationibus, & qualibus ſecundum inexpugnabilem illam dialecticam in contrarium opiniones multorum tranſmutãs hæc pro libito perſequitur. Quod cùm in omnibus Deus, & creator, & pater intelligatur & dicatur, filius ad vtraſque appellationes appoſitè & congruenter ſe habeat, & creatura ſimul & genitura dicatur. Nam cùm conſuetudo &

τῷ κτίσματι. deſunt quædam.

In Græco aliquid intercisum eſt.

exacta loquendi forma hæc nomina A apte diſcernat: & generationis nomen vſurpet in his quæ gignuntur ex ipſa eſſentia: nomen vero creaturæ in his quæ foris & extra conſtruentis naturam conſiſtunt. Quapropter in traditione cognitionis Dei, dogmata diuina nobis tradiderunt, patrem & filium, non creatorem & opificium: nequis mentis alienatæ error ad blaſphemiam fieret, ſi ad alienum & peregrinum huiuſmodi appellatio filium depelleret, & ne aditum aliquem haberent hæc impia dogmata, quæ vnigenitum patris à familiaritate ſiue neceſſitudine quæ eſt ſecundum eſ- B ſentiam ſeparant & diſtrahunt. Nam qui dicit facturæ appellationem filio congruere, dicet proculdubio per conſequentiam etiam facturæ filij appellationem naturâ conuenire. Quare ſi filius eſt creatura, etiam cœlum filius, & ſingula quæ facta ſunt à Domino ſecundum hunc ſcriptorem filij appellatione cognominantur. Si enim ille, non quia communem cum eo qui genuit naturam habeat, hoc nomine appelletur, ſed quia creatus eſt, filius nominatur: eadem dabit ratio, & agnum, & canem, & ranam, & quæcunque voluntate facientis C ſubſiſtunt, filij appellatione nominari. Quod ſi horum vnumquodque quia ſit extra filij naturam, filius non eſt: neque Deus dicitur conſequenter omnino, qui verè propriè eſt filius, propterea quod ex eadem natura cum eo qui genuit conſtet, filius eſt & Deus eſſe aſſeritur. Sed generationis notionem abominatur, & hoc nomen criminans carnalis naturæ ratione à diuinis ſecretis ſeparat: ſed abundè ſatis in antecedentibus pro his ſermo oſtendit, quod ſecundùm Prophetam illic trepidauerunt ti- Pſal. 13. more vbi non erat timor. Si enim in hominibus non omnem generationem de- D monſtratum eſt ex affectu ſine paſſione conſtare, ſed aliam quidem materialem per affectum: aliam vero ſpiritalem puram & incorruptam. Quod enim generatum eſt ex ſpiritu, ſpiritus & non caro gignitur: in ſpiritu nulla patibilis conſpicitur affectio: quoniam igitur per exempla noſtra neceſſarium apparuit huic vaniſſimo ſcriptori vim diuinam ac potentiam conſiderandam eſſe, diſcat & ſibi perſuadeat ex alio generationis modo in diuina generatione quod affectus ſit expers intelligere. Sed has tres

A ἀκριβείας οἰκείως διακρινούσης τὰ τοιαῦτα τῶν ὀνομάτων. καὶ τὸ μὲν τῆς γεννήσεως ὄνομα ἐπὶ τῶν ἐξ αὐτῆς τῆς οὐσίας γεννωμένων λεγούσης· τὸ δὲ τῆς κτίσεως ἐπὶ τῶν ἔξωθεν τῆς τοῦ κατασκευάζοντος φύσεως ἐπισταμένων. καὶ διὰ τοῦτο τῶν θείων δογμάτων ἐν τῇ παραδόσει τῆς θεογνωσίας πατέρα καὶ υἱὸν παραδεδωκότων, οὐ κτίστην, καὶ ἔργον· ὡς ἂν μή τις γένοιτο παραφορὰ πρὸς τὸ βλάσφημον, εἰς τὸ ἀλλότριόν τε καὶ ξένον τῆς τοιαύτης προσηγορίας τὸν υἱὸν ἀπωθούσης, μηδέ τινα πάροδον λάβοι τὰ ἄθεα B δόγματα, τὰ τῆς κατ' οὐσίαν οἰκειότητος τὸν μονογενῆ τοῦ πατρὸς ἀφορίζοντα. ὁ λέγων τῷ υἱῷ τὴν τοῦ ποιήματος ἁρμόζειν προσηγορίαν, ἐρεῖ πάντως κατὰ τὸ ἀκόλουθον καὶ ἐπὶ τοῦ ποιήματος τὴν τοῦ υἱοῦ κλῆσιν προσφυῶς ἔχειν. ὥστε, εἰ ὁ υἱὸς κτίσμα, καὶ οὐρανὸς υἱός, καὶ τὰ καθ' ἕκαστον τῶν γεγονότων κυρίως κατὰ τὸν λογογράφον τῇ τοῦ υἱοῦ προσηγορίᾳ κατονομάζεται. εἰ γὰρ ἐκεῖνος οὐχὶ τῷ κοινωνεῖν τῷ γεγεννηκότι τῆς φύσεως ἔχει τὸ ὄνομα, ἀλλὰ καθὸ κτιστός ἐστι κατὰ τοῦτο υἱὸς ὀνομάζεται· ὁ αὐτὸς δώσει λόγος, καὶ ἀμνὸν, καὶ κύνα, καὶ βάτραχον, καὶ πάν- C τα ὅσα θελήματι τοῦ πεποιηκότος ὑπέστη, τῇ τοῦ υἱοῦ προσηγορίᾳ κατονομάζεσθαι. εἰ δὲ τούτων ἕκαστον διὰ τὸ ἔξω τῆς τοῦ υἱοῦ φύσεως εἶναι υἱὸς οὐκ ἔστιν· οὐδὲ Θεὸς λέγεται κατὰ τὸ ἀκόλουθον πάντως ὁ κυρίως υἱὸς, διὰ τὸ ἐξ αὐτῆς εἶναι τῆς τοῦ γεγεννηκότος φύσεως, υἱός ἐστιν, καὶ Θεὸς εἶναι ὁμολογεῖται. ἀλλὰ μυσάττεται τὴν τῆς γεννήσεως ἔννοιαν, καὶ ἀφορίζει τῶν θείων δογμάτων τῇ σαρκώδει φυσιολογίᾳ διαβάλλων τὸ ὄνομα. ἀλλ' ἱκανῶς ὑπὲρ τούτων ἐν τοῖς φθάσασιν ὁ λόγος ἀπέδειξεν, ὅτι κατὰ τὸν προφήτην φοβοῦνται φόβον οὗ οὐκ ἔστι φόβος. D Εἰ γὰρ ἐπὶ τῶν ἀνθρώπων οὐ πᾶσα γέννησις ἐδείχθη κατὰ πάθος συνισταμένη· ἀλλ' ἡ μὲν ὑλικὴ διὰ πάθους, ἡ δὲ πνευματικὴ καθαρὰ καὶ ἀκήρατος. τὸ γὰρ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμα καὶ οὐχὶ σὰρξ γίνεται, τῷ δὲ πνεύματι οὐδεμία παθητικὴ συνθεωρεῖται διάθεσις. ἐπεὶ οὖν διὰ τῶν καθ' ἡμᾶς ὑποδειγμάτων ἀναγκαῖον ἐφάνη τῷ λογογράφῳ τὴν θείαν ἐπιλογίζεσθαι δύναμιν, πεισάτω ἑαυτὸν ἐκ τοῦ ἑτέρου τῆς γεννήσεως τρόπου τὸ περὶ τὴν θείαν γέννησιν ἀπαθὲς ἐννοεῖν. ἀλλὰ τὰς τρεῖς ταύτας

μετ᾽ ἀλλήλων προσηγορίας συγχέας, ἐξ ὧν ἰσοδυναμοῦσιν αἱ δύο· συναρπάζειν οἴεται τοὺς ἀκούοντας διὰ τῆς τῶν δύο φωνῶν κατὰ τὸ σημαινόμενον κοινωνίας, τὸ καὶ τὴν τρίτην ὡσαύτως οἴεσθαι. ἐπειδὴ γὰρ ἡ τοῦ ποιήματος καὶ κτίσματος προσηγορία, ἔξω τῆς τοῦ πεποιηκότος φύσεως εἶναι τὸ πεποιημένον ἐνδείκνυται· προσάπτει τούτοις τὴν φωνὴν τοῦ γεννήματος· ὡς ἂν καὶ τοῦτο τοῖς προειρημένοις συνερμηνεύοιτο. ἀλλὰ τὸ τοιοῦτον εἶδος τοῦ λόγου κακουργία, καὶ ἀπάτη καὶ φενακισμὸς ὀνομάζεται, οὐ πεφροντισμένη, καὶ τεχνική τις ἀπόδειξις. μόνη γὰρ ἡ διὰ τῶν ὁμολογουμένων φανεροῦσα τὸ ἀγνοούμενον, ἀπόδειξις λέγεται. τὸ δὲ παραλογίζεσθαι διὰ κακουργίας καὶ ὑποκλέπτειν τὸν ἔλεγχον· καὶ συγχεῖν ἐν ταῖς ἐπιπολαίοις ἀπάταις τὴν διάνοιαν, τῶν καθώς φησιν ὁ ἀπόστολος κατεφθαρμένων τὸν νοῦν, οὐκ ἄν τις τῶν σωφρονούντων ἀπόδειξιν τεχνικὴν ὀνομάσειεν· ἀλλὰ πρὸς τὰ ἀκόλουθα μετέλθωμεν· ἀμεσίτευτον δέ φησιν εἶναι τῆς οὐσίας τὴν γέννησιν, καὶ ἀμερίστως σώζειν τὴν πρὸς τὸν γεγεννηκότα καὶ ποιήσαντα καὶ κτίσαντα σχέσιν. εἰ μὲν οὖν τὸ ἀμερές τι καὶ ἀμεσίτευτον εἰπὼν τῆς οὐσίας· ἐν τούτῳ τὸν λόγον ἔστησεν, οὐκ ἂν τῆς εὐσεβοῦς ὑπολήψεως παρετράπη, ἐπεὶ καὶ παρ᾽ ἡμῶν ὁμολογεῖται τοῦ υἱοῦ τὸ πρὸς τὸν πατέρα συναφές τι καὶ ἀμεσίτευτον· ὡς μηδὲν εἶναι τὸ διὰ μέσου τούτων παρενειρόμενον, ὃ μεταξὺ τῆς τοῦ υἱοῦ πρὸς τὸν πατέρα συναφείας εὑρίσκεται, μὴ διαστηματικόν τι νόημα, μὴ αὐτὸ τὸ ἀκαρές τε καὶ ἄτομον. ὃ διχῆ τεμνομένου τοῦ χρόνου, τῷ παρῳχηκότι τε καὶ τῷ μέλλοντι, κατὰ τὸ ἐνεστὼς ἀμερῶς ἐφ᾽ ἑαυτοῦ νοεῖται, οὔτε τοῦ παρῳχηκότος, οὔτε τοῦ μέλλοντος μέρος γενέσθαι δυνάμενον· διὰ τὸ εἶναι καθόλου ἀδιάστατόν τε καὶ ἄτομον, καὶ ὅπερ ἂν προστεθῇ, ἀνεπίδηλον. τὸ οὖν καθαρῶς ἄμεσον, οὐδενὶ τοιούτῳ μεσιτεύεσθαι λέγομεν. οὐ γὰρ ἂν ἔτι ἄμεσον εἴη τὸ μέσῳ τινὶ διειργόμενον. εἰ τοίνυν κἀκεῖνος ἀμεσίτευτον εἶναι εἰπὼν τοῦ υἱοῦ τὴν γέννησιν, μηδὲν τῶν εἰρημένων ἐπήνεγκε, τὴν εὐσεβῶς νοουμένην τοῦ πρὸς τὸν πατέρα συνάφειαν ἐδογμάτιζεν. ἐπειδὴ δὲ καθάπερ μεταμεληθεὶς ἐφ᾽ οἷς εἰρήκει, εὐθὺς ἐπήγαγεν, ὅ, τι σώζει τὴν

A inter ſe appellationes confundens, quarum duæ æquas habent vires: putat ſe auditores arripere per duarum vocum ſecundum ſignificatum communionem, ita vt tertiam idem ſignificare arbitrentur. Quoniam enim facturæ & creaturæ appellatio, id quod factum eſt extra naturam eius qui fecit eſſe demonſtrat; his vocem τῦ γεννήματος geniture adaptat: vt hoc etiam nomen cum prædictis, eadem interpretatione comprehendat. Sed talis ſpecies ſermonis malitia, & fraus & impoſtura nominatur, non prudenter & accuratè excogitata & ar-
B tificioſa demonſtratio: ſola enim quæ ex certis & conceſſis & notis, id quod ignoratur clarè docet, demonſtratio dicitur. ſed per malitiam falſa argumentatione vti & ſurripere argumentum, & apparentibus fallaciis confundere intelligentiam eorum, qui vt ait Apoſtolus mentem deprauatam & improbam habent, *Rom. 1.* nullus eorum qui modeſtè ſapiunt artificioſam demonſtrationem nominarit: Sed ad ea quæ ſequuntur tranſeamus. [Immediatam & nullo intercurrente medio coniunctam eſſentiæ generatio- *Verba Eunomij.*
C nem aſſerit; atque impaſſibiliter ſeruare cum eo qui genuit & qui fecit & qui creauit relationem.] Si cùm impartibile eſſentiæ & immediatum dixit, in eo ſermonem ſiſteret, non à pia & religioſa opinione deflecteret, quia etiam à nobis conceditur filij cum patre connexio & immediatio: quia nihil ſit quod per horum medium inſeratur, quod inter filij cum patre compagis ſiue connexionis medium inueniatur. Non interuallo diſtincta, notio non ipſum minimum & indiuiduum, quod neque ſecari neque diuidi ob exiguitatem poteſt: cum tempus bifariam diuidatur, præterito & futuro,
D præſens in ſeipſo impartibiliter intelligitur, quod neque præteriti, neque futuri pars eſſe poteſt, quia omni dimenſione careat, ſitque continuum & indiuiduum & quod ſi adiectum fuerit incōſpicuum. Quod igitur purè medij expers eſt, nullo tali intercurrente medio diuidi poteſt: nō enim amplius eſſet medij expers, quod aliquo medio coërcetur. Si igitur ille qui cùm dixit immediatā eſſe filij generationem, nihil eorum quæ ab ipſo dicta ſunt intuliſſet, eam quæ piè cum Patre intelligitur filij connexionem ſuo dogmate comprobaſſet. Sed quoniam velut pœnitentia ductus ob ea quæ dixit, continuò ſubiunxit, [quod ſeruat cum eo qui

genuit, & fecit, & creauit, relationem.] Poſterioribus priora contaminauit, & in ſermonem purum blaſphemiam & impiam vocem euomuit: perſpicuum enim illic τὸ ἀμεσίτευτον (immediatū) cùm dixit non quod pium eſt reſpicere, ſed vt ſi quis diceret inter clauum & ærarium fabrum medium interuenire malleum, huius autem ſtructuram & fabricationem medio carere. Nondum enim inſtrumentis ab arte inuentis ſolertia quadam malleum per aliud quoddam inſtrumentum ab artifice primum factum eſſe, & ſic per hunc alia. Hæc de vnigenito vanum hunc ſcriptorem intelligere dictio ἀμεσιτεύτου (medio carentis) oſtendit. Nec ſolus in hoc per abſurditatem dogmatis deceptus eſt Eunomius, ſed etiam in libris à Theognoſto conſcriptis, quid ſimile licet inuenire, qui dicit Deum volentem hoc vniuerſum conſtruere, primum filium velut quandam normam opificij prius ſubſtituiſſe. Nec ille ſermonis huius abſurditatem intellexit, quod nempe non eſt ſui ipſius gratia, ſed propter aliud quiddam vilius eſt prorſus eo propter quod efficitur, velut ruſticum aliquod inſtrumentum vitæ gratia curamus, non tamen pari honore afficitur aratrum quo vita. Sic igitur, ſi propter mundum Dominus & non propter illum omnia, honore maiore eſſent dignanda quam Dominus omnia quorum gratia illum genitum eſſe aſſerunt. Hoc etiam nunc per hunc ſermonem conſtruunt, quo confirmant filium habere ἀμεσίτευτον (immediatam) cum eo qui creauit & fecit relationem. Sed benignè & comiter agit in reliquis, & dicit: [cum nullo eorū quæ per ipſam & poſt hanc facta ſunt comparari.] talia domino veluti ſatellites ferūt & miniſtrant veritatis inimici per quæ manifeſtius blaſphemia, id eſt, impium conuitiū conſtruitur. Dic mihi quidnam eſt ex reliquis quæ ſunt ſecundum creaturā, quod cum altero comparationem habeat? cum omnino in vnoquoque appareat proprietas, quæ non appetat cum rebus iis quæ ſunt diuerſi generis communionem. Non cum terra cœlo eſt comparatio, non terræ cum ſtellis, non ſideribus cum mari, non aquæ cum lapide: nō animalibus cum arboribus, non terreſtribus cum volatilibus, nō quadrupedibus cum natatilibus, non brutis cum

A πρὸς τὸν γεγεννηκότα καὶ πεποιηκότα, καὶ κτίσαντα σχέσιν, ἐμόλυνε τοῖς δευτέροις τὰ πρότερα, τῷ καθαρῷ λόγῳ τὴν βλάσφημον φωνὴν ἐπεμέσας. δῆλον γὰρ ὅτι κἀκεῖ τὸ ἀμεσίτευτον, οὐ πρὸς τὸ εὐσεβὲς βλέπει· ἀλλ' ὡς ἄν τις λέγοι μεταξὺ τοῦ ἥλου καὶ τοῦ χαλκέως, μεσιτεύειν τὴν σφῦραν· ταύτης δὲ εἶναι τὴν κατασκευὴν ἀμεσίτευτον. οὔπω γὰρ τῶν ὀργάνων ὑπὸ τῆς τέχνης ἐξευρημένων, ἐπινοίᾳ τινὶ τὴν σφῦραν δι' ἑτέρου τινὸς ὀργάνου παρὰ τοῦ τεχνίτου πρώτην γενέσθαι, καὶ οὕτω διὰ ταύτης τὰ ἄλλα. ταῦτα καὶ περὶ τοῦ μονογενοῦς νοεῖν ἡ τοῦ ἀμεσιτεύτου λέξις τὸν λογογράφον ἐνδείκνυται. B καὶ οὐ μόνος ἐν τούτῳ πεπλάνηται κατὰ τὴν ἀτοπίαν τοῦ δόγματος ὁ ΕΥνόμιος· ἀλλ' ἔστι καὶ ἐν τοῖς Θεογνώστῳ πεπονημένοις τὸ ἴσον εὑρεῖν· ὅς φησι τὸν Θεὸν βουλόμενον τόδε τὸ πᾶν κατασκευάσαι, πρῶτον τὸν υἱὸν οἷόν τινα κανόνα τῆς δημιουργίας προϋποστήσασθαι. οὐδὲ ἐκεῖνος συνιδὼν ἐν τῷ λόγῳ τὸ ἄτοπον· ὅτι τὸ μὴ ἑαυτοῦ χάριν, ἀλλὰ δι' ἄλλο τι ἀτιμότερόν ἐστι πάντως τοῦ δι' ὃ γίνεται, ὡς τὸ γεωργικὸν ἐργαλεῖον τῆς ζωῆς χάριν ἐπιτηδεύομεν· οὐ μὴν ἐπίσης τιμᾶται τῇ ζωῇ καὶ τὸ ἄροτρον. οὕτω τοίνυν καὶ εἰ C διὰ τὸν κόσμον ὁ κύριος, καὶ οὐχὶ δι' ἐκεῖνον τὰ πάντα, τιμιώτερα ἂν εἴη τοῦ κυρίου πάντα, ὧν χάριν ἐκεῖνον γενέσθαι λέγουσι. τοῦτο καὶ νῦν διὰ τοῦ λόγου κατασκευάζουσι δι' ὧν ἀμεσίτευτον ἔχειν τὸν υἱὸν, τὴν πρὸς τὸν κτίσαντα καὶ πεποιηκότα σχέσιν διισχυρίζονται. ἀλλὰ φιλανθρωπεύεται τοῖς ὑπολοίποις καὶ φησίν. οὐδενὶ τῶν δι' αὐτῆς καὶ μετ' αὐτὴν γενομένων συγκρίνεσθαι. τοιαῦτα δορυφορεῦσιν οἱ τῆς ἀληθείας ἐχθροὶ τῷ κυρίῳ. D δι' ὧν περιφανεστέρα ἡ βλασφημία κατασκευάζεται. τί γὰρ εἰπέ μοι τῶν ὑπολοίπων, ὅσα κατὰ τὴν κτίσιν ἐστὶ, τὴν πρὸς ἕτερον σύγκρισιν ἔχει; καθόλου τῆς ἐν ἑκάστῳ φαινομένης ἰδιότητος, οὐ προσιεμένης τὴν πρὸς τὰ ἑτερογενῆ κοινωνίαν. οὐκ οὐρανῷ πρὸς γῆν ἐστιν ἡ σύγκρισις, οὐ ταύτῃ πρὸς τοὺς ἀστέρας, οὐ πρὸς τὰ πελάγη τοῖς ἄστροις, οὐ πρὸς τὸν λίθον τῷ ὕδατι· οὐ πρὸς τὰ δένδρα τοῖς ζώοις, οὐ πρὸς τὰ πτηνὰ τοῖς χερσαίοις, οὐ πρὸς τὰ νηκτὰ τοῖς τετράποσιν, οὐ πρὸς τὰ λογικὰ

λογικὰ τοῖς ἀλόγοις. καὶ τί ἄν τις περὶ τῶν καθ' ἕκαστον λέγων διατρίβοι, δῆλον ὅτι ταυτόν ἐστιν, ἐφ' ἑκάστου τῶν ἐν τῇ κτίσει θεωρουμένων εἰπεῖν; ὅπερ ὡς ἐξαίρετον τοῦ μονογενοῦς προσερρίφη, τὸ παρ' ὃ μηδὲν τῶν μετ' αὐτὸν, καὶ δι' αὐτοῦ γεγενημένων τὴν σύγκρισιν ἔχειν. φανερὸν γάρ ἐστιν, ὅτι πᾶν ὅπερ ἂν ἐφ' ἑαυτοῦ νοήσῃς, ἀσύγκριτόν ἐστι τῷ παντί τε καὶ τοῖς καθ' ἕκαστον. καὶ ὅπερ ἐπὶ τοῦ τυχόντος κτίσματος ἀληθῶς ἐστιν εἰπεῖν, ὡς ἱκανόν ἐστι τοῦτο καὶ αὐτάρκες εἰς τιμὴν καὶ δόξαν τοῦ μονογενοῦς Θεοῦ παρὰ τῶν ἐχθρῶν τῆς ἀληθείας ἀποκληροῦται. καὶ τοιαῦτα κατασκευάσας, πάλιν ἐν τοῖς ὑπολοίποις ταῖς διακένοις αὐτὸν ἀποσεμνύνει τιμαῖς, κύριον, καὶ μονογενῆ προσειπὼν, ἀλλ' ὡς ἂν μή τις εὐσεβὴς διάνοια διὰ τῶν ὀνομάτων τούτων τοῖς ἀκηκοόσιν ἐγγένοιτο, εὐθὺς καταμίγνυσι τοῖς εὐσημοτέροις τὰ βλάσφημα. ἔχει δὲ οὕτως ἡ λέξις. ἅτε δή, φησι, μήτε τῆς γεννηθείσης οὐσίας ἑτέρᾳ τινὶ χώραν εἰς κοινωνίαν καταλειπούσης, μονογενὴς γάρ, μήτε τῆς τοῦ ποιήσαντος ἐνεργείας κοινῆς θεωρουμένης. ὢ τῆς ὕβρεως· ὡς ἐν ἀλόγοις ἢ ἀνοήτοις δημηγορῶν, οἷς οὐκ ἔστι σύνεσις, κατ' ἐξουσίαν διὰ τῶν ἐναντίων περιάγει τὸν λόγον· μᾶλλον δὲ ταυτὸν πάσχει τοῖς ἐστερημένοις τῶν ὄψεων, ἐπεὶ κἀκεῖνοι πολλάκις ἐν ὀφθαλμοῖς τῶν βλεπόντων ἀσχημονοῦσι· διὰ τὸ μὴ βλέπειν αὐτοὶ, μηδὲ ὁρᾶσθαι ὑποτιθέμενοι. τίνος γὰρ οὐκ ἔστιν συνιδεῖν τὴν ἐν τοῖς εἰρημένοις ἐναντιότητα. διὰ τὸ γεννηθῆναι, φησὶν, ἡ οὐσία χώραν εἰς κοινωνίαν ἑτέροις οὐ καταλείπει. μονογενὴς γάρ· καὶ τοῦτο εἰπὼν ὡς κατὰ ἀλήθειαν, ἢ μὴ βλέπων αὐτὸς, ἢ μὴ νομίζων ὁρᾶσθαι, τὰ μηδεμίαν ἔχοντα κοινωνίαν ὡς συστοιχοῦντα τοῖς εἰρημένοις προστίθησι, τῇ τοῦ μονογενοῦς οὐσίᾳ, τὴν τοῦ πεποιηκότος ἐνέργειαν ἐφαρμόσας. ὁ γὰρ γεννηθεὶς πρὸς τὸν γεγεννηκότα, καὶ ὁ μονογενὴς πρὸς τὸν πατέρα κατὰ τὸ ἀκόλουθον πάντως τὴν ἀναφορὰν ἔχει, καὶ ὁ πρὸς τὴν ἀλήθειαν βλέπων, οὐ πεποιηκότος ἐνέργειαν ἀλλὰ γεννήσαντος φύσιν ἐν τῇ τοῦ υἱοῦ θεωρεῖ συστοιχίᾳ. ὁ δὲ καθάπερ φυτῶν ἢ σπερμάτων, ἤ τινος ἄλλου τῶν κατὰ τὴν κτίσιν ἐπιμνησθεὶς, τὴν τοῦ ποιήσαντος ἐνέργειαν τῇ ὑποστάσει τοῦ μονογενοῦς παρατίθησιν. εἰ μὲν γὰρ λίθος ἢ ξύλον, ἢ ἄλλο τι τοιοῦτον τῇ θεωρίᾳ προέκειτο·

A rationis participibus. Et quid neceſſe
in ſingulis morantem plura dicendo perſequi,
& oſtendere de ſingulis rebus creatis
idem poſſe dici? Quod quidem vt
eximium & præcipuum vnigenito proiectum
eſt, quòd nempe cum nullo eorum
quæ poſt ipſum, & per ipſum facta
ſunt comparationem habeat. Manifeſtum
eſt enim, quod quicquid ſeparatim
& in ſeipſo conſideraueris, nec cum vniuerſo
nec cum ſingulis creaturis poteſt
comparari. Et quod in qualibet
creatura verum eſt dicere, hoc velut idoneum
& ſufficiens ad honorem & glo-
B riam, vnigenito Deo ab inimicis veritatis
aſſignatur. Hæc & eiuſmodi cùm
adſtruxit, de cætero inanibus ipſum auget
honoribus, Dominum & vnigenitum
appellans, ſed ne per hæc nomina
aliqua pia intelligentia & cogitatio auditoribus
ingeneretur. Illico his honoratioribus
appellationibus blaſphema,
id eſt, impia & execranda verba immiſcet.
Ita fert autem eius oratio: [vtpote,
inquit, cum neque eſſentia generata
cuiquam alteri locum ac communionem
relinquat (vnigenitus enim eſt:)
C neque eius qui fecit communis operatio
cernatur.] O contumeliam! vt inter
brutos & belluinos, vel inſanos & fatuos
concionatur, quibus non eſt intelligentia,
pro ſuo arbitrio per contraria ſermonem
circumagit. Imò verò idem ei accidit
quod viſu priuatis, quoniã & illi ſæpe
in oculis cernentium indecorè ſe gerunt,
quia neque ipſi videant, neque ſe videri
ſuſpicentur. Quis enim in his quæ dicta
ſunt non videt contrarietatem? quia ſit
generata, inquit, eſſentia, locum aliis &
communionem non relinquit: vnigenita
enim. Et hoc locutus vt vera, vel ipſe non
D intuens, vel nõ putans ſe videri, quæ nullam
habent cum prædictis communionem,
vt optimè cohærentia & ordine procedentia
addit. Vnigeniti eſſentiæ eius
qui fecit operationem accõmodans: genitus
enim cum eo qui genuit & vnigenitus
cum patre ex conſecutione omnino
habet relationem. Et qui verum vult
videre, non factoris operationem, ſed genitoris
naturã in filij coniugatione contemplatur.
Hic autẽ velut plantarum vel
ſeminum, vel alicuius alius eorum quæ
ſunt creata mentione facta, operationem
factoris ſubſiſtentiæ vnigeniti apponit.
Si enim lapis vel lignum, vel quid
tale contemplationi eſſet propoſitum:

A conſequens eſſet mente percipere eius qui fecit operationem. Quod ſi etiam aduerſarij confitẽtur vnigenitum Deum & filium eſſe & genitum ſubſiſtere: quomodo eædem voces huic cõgruunt, & infimis creaturæ partibus? & quod de formica vel culice verè poteſt dici: hoc etiam de Domino dicere pium eſſe exiſtimant. Si enim quiſpiam formicæ naturam perdidicerit, quibus proprietatibus peculiariter à reliquis animalibus ſeparatur, non extra veritatem dixerit eius qui fecit ipſam, operationem communem cum aliis non videri. Quæ igitur de talibus dicuntur hæc de vnigenito pronuntiant: & quemadmodum venatores præripere foueis quibuſdam ferarum acceſſum dicuntur, inſidias autem putridis quibuſdam operculis & ſoliditatem non habentibus orificia fouearum cooperientes occultare, vt planum adiacenti profundum videatur: tale quiddam aduerſus homines hæreſis machinatur, foueam impietatis per hæc fauſta & pia nomina veluti quodam ſuperficiario tecto contegens: ita vt qui minus rationis iudicio valent, idem cum vera fide horum præconium per verborum confeſſionem exiſtiment, ad exile nomen filij & vnigeniti accurrentes, per vacuam & inanem foueam vadunt, appellationum ſignificatione greſſum ipſorum non firmante, ſed ad Chriſti abnegationis barathrum præcipites agente. Propterea genitæ eſſentiæ meminit, nulli ad communionem locum relinquentis, atque vnigenitum nominat. Hæc ſunt foueæ operimenta. Cùm autem aliquis adſtans, priuſquam hiatu & voragine ſubreptus fuerit, veluti quãdam manum, nempe per ſermonem factam experientiam, ſermoni adiunxerit, idololatriæ interitum dogmate ſuffoſſum perſpicit: ſic enim ad Deum & Dei filium accedens, Dei creaturam cultui propoſitam inuenit. Ideoque ſurſum & deorſum vnigeniti nomen circumferunt, vt incautis & deceptis interitus plauſibilis facile accepte-tur. Veluti ſi quis mortifero veneno pani admixto egentes cibo ad mortem inuitatos dextera apprehendiſſet.

A ἀκόλουθον ἦν συνεπινοεῖν τὴν τοῦ πεποιηκότος ἐνέργειαν. εἰ δὲ ὁμολογεῖται καὶ παρὰ τῶν ὑπεναντίων ὁ μονογενὴς Θεός, υἱός τε εἶναι καὶ γεννητὸς ὑποστῆναι· πῶς ἁρμόζουσιν αἱ αὐταὶ φωναὶ τούτῳ, καὶ τοῖς τῶν μορίων τῆς κτίσεως ἐσχάτοις; καὶ ὅπερ περὶ τοῦ μύρμηκος, ἢ τοῦ κώνωπος ἀληθῶς ἐστιν εἰπεῖν· τοῦτο καὶ περὶ τοῦ κυρίου λέγειν εὐσεβὲς εἶναι νομίζουσιν. εἰ γάρ τις καταμάθοι τὴν τοῦ μύρμηκος φύσιν οἷς ἰδιάζει πρὸς τὰ λοιπὰ τῶν ζώων, οὐκ ἂν ἔξω τῆς ἀληθείας εἴποι τὴν τοῦ πεποιηκότος αὐ-
B τὸν ἐνέργειαν κοινὴν πρὸς τὰ ἄλλα μὴ θεωρεῖσθαι. ἃ τοίνυν ἐπὶ τῶν τοιούτων λέγεται, ταῦτα καὶ ἐπὶ τοῦ μονογενοῦς ἀποφαίνονται· καὶ καθάπερ οἱ θηρεύοντες λέγονται βόθροις τισὶν ὑπολαμβάνειν τῶν θηρίων τὴν πρόοδον· κρύπτειν δὲ τὴν ἐπιβουλὴν διά τινων σαθρῶν καὶ ἀνυποστάτων τὰ στόματα τῶν βόθρων ἐπικαλύπτοντες, ὡς ἂν ὑπόπεδον φαίνοιτο τῷ παρακειμένῳ τὸ βάθος, τοιοῦτόν τι μηχανᾶται κατὰ τῶν ἀνθρώπων ἡ αἵρεσις, τὸν βόθρον τῆς ἀσεβείας διὰ τῶν εὐφήμων τούτων καὶ εὐσεβῶν ὀνομάτων, οἷον διά τινος ἐ-
C πιπολαίου στέγης ἐπικαλύπτουσα, ὥστε τοὺς ἀλογωτέρους ταὐτὸν εἶναι τῇ ἀληθινῇ πίστει τὸ τούτων κήρυγμα διὰ τῆς τῶν ῥημάτων ὁμολογίας νομίζοντας, πρὸς ψιλὸν τὸ ὄνομα τοῦ υἱοῦ καὶ τοῦ μονογενοῦς ἐπιδραμόντας, κενεμβατῆσαι τῷ βόθρῳ, τῆς τῶν προσηγοριῶν σημασίας, οὐχ ὑπερειδούσης αὐτῶν τὴν βάσιν, ἀλλ' εἰς τὸ τῆς ἀρνήσεως τοῦ Χριστοῦ βάραθρον καταφερούσης. διὰ τοῦτο γεννηθείσης οὐσίας μέμνηται, μηδενὶ χώραν εἰς κοινωνίαν καταλιπούσης, καὶ μονογενῆ ὀνομάζει. ταῦτά ἐστι τὰ τοῦ βόθρου καλύμματα. ἐπειδὰν
D δέ τις παραστὰς πρὶν ὑποληφθῆναι τῷ χάσματι, καθάπερ τινὰ χεῖρα τὴν διὰ τοῦ λόγου πεῖραν ἐπαγάγῃ τῷ λόγῳ, βλέπει τὸν τῆς εἰδωλολατρείας ὄλεθρον ὑπορωρυγμένον τῷ δόγματι. ὡς γὰρ Θεῷ καὶ υἱῷ Θεοῦ προσερχόμενος, κτίσμα Θεοῦ εὑρίσκει τῇ λατρείᾳ προκείμενον. διὰ τοῦτο ἄνω καὶ κάτω τὸ ὄνομα τοῦ μονογενοῦς περιφέρουσιν, ἵν' εὐπαράδεκτος γένηται τοῖς ἀπατωμένοις ὁ ὄλεθρος. ὡς εἴ τις ἄρτῳ τὸ δηλητήριον καταμίξας, θανάτῳ τοὺς δεομένους τῆς τροφῆς δεξιώσαιτο.

οὐκ ἂν δεξαμένοις γυμνὸν προσπέσθαι τὸ φθοροποιὸν δηλητήριον μὴ δελεασθεῖσας πρὸς τὸ φαινόμενον. σοφῶς τοίνυν κατά γε τὸν ἑαυτὸν, πρὸς τὸ σπουδαζόμενον βλέπει. εἰ γὰρ παντελῶς ἐξέβαλε τοῦ καθ' ἑαυτὸν δόγματος τοῦ υἱοῦ τὴν φωνὴν, ἀπαράδεκτος ἡ ἀπάτη τοῖς ἀνθρώποις ἐγένετο, φανερῶς διαβοωμένης τῆς ἀρνήσεως, ἐν προδήλῳ κηρύγματι· νυνὶ δὲ καταλιπὼν μόνον τὸ ὄνομα, τὸ δὲ σημαινόμενον πρὸς τὴν τῆς κτίσεως ἔννοιαν μεταγαγὼν, καὶ κατορθοῖ τὴν εἰδωλολατρείαν, καὶ ὑποκλέπτει τὸν ἔλεγχον. ἀλλ' ἐπειδὴ οὐ χείλεσι τιμᾶν τὸν Θεὸν προσετάχθημεν, οὐδὲ ἐν ἤχῳ φωνῆς ἡ εὐσέβεια κρίνεται. ἀλλὰ χρὴ πρότερον τῇ καρδίᾳ πιστεῦσαι τὸν υἱὸν εἰς δικαιοσύνην, καὶ τότε ὁμολογῆσαι τῷ στόματι εἰς σωτηρίαν, καὶ οἱ ἐν καρδίᾳ λέγοντες μὴ εἶναι Θεὸν, κἂν τῷ στόματι κύριον ὁμολογῶσι, διεφθάρησαν, καθὼς ὁ προφήτης φησὶ, διὰ τοῦτό φημι χρῆναι πρὸς τὸν νοῦν βλέπειν διὰ τῆς λέξεως, ἡμέτερος καὶ οὐχὶ τῶν ἐναντίων ἐστὶ λόγος, εἰ δέ τις υἱοῦ ὄνομα τῇ κτίσει τίθεται, ἐν τοῖς εἰδωλολάτραις τετάξεται. καὶ γὰρ ἐκεῖνοι καὶ τὸν Δάγων, καὶ τὸν Βηλὸν, καὶ τὸν δράκοντα Θεὸν ὠνόμαζον. ἀλλ' οὐ διὰ τοῦτο καὶ τὸν Θεὸν προσεκύνουν. οὐ γὰρ Θεὸς τὸ ξύλον, καὶ ὁ χαλκὸς, καὶ τὸ θηρίον. ἀλλὰ τί χρὴ καταστοχαζομένους τῆς διανοίας ἀνακαλύπτειν τῷ λόγῳ τὴν κεκρυμμένην ἀπάτην, καὶ παρέχειν ἴσως ἀφορμὰς τοῖς ἀκούουσιν, ὡς οὐκ ἀληθῶς ἡμῶν ταῦτα τοῖς ἐχθροῖς προσφερόντων. ἰδοὺ γὰρ γυμνὴν ἡμῖν ἐκτίθεται τὴν βλασφημίαν, δι' οὐδενὸς προκαλύμματος τὸν δόλον ἐπικρυπτόμενος. ἀλλ' ἐμπαρρησιαζόμενος τοῖς ἀτόποις ἐλευθέρᾳ φωνῇ· οὕτω δὲ ἔχει τὰ γεγραμμένα. ἡμεῖς μὲν οὖν, φησὶν, οὐδὲν ἕτερον εὑρίσκοντες παρὰ τὴν οὐσίαν τοῦ υἱοῦ τὸ δεχόμενον τὴν γέννησιν, ἐπ' αὐτῆς τῆς οὐσίας τάττειν οἰόμεθα δεῖν τὰς προσηγορίας, ἤ μά γε καὶ ψιλοῖς ῥήμασι λέγομεν υἱὸν καὶ γεννητόν. εἴ γε ταῦτα τῆς οὐσίας χωρίζοιμεν, ἐκ τούτων ὁρμώμενοι καὶ τὸ παρηλλάχθαι τὰς οὐσίας ἀλλήλων πιστούμεθα. οὐδὲν οἶμαι χρῆναι τὴν ἐν τοῖς εἰρημένοις ἀτοπίαν διὰ τῶν ἡμετέρων ἐλέγχεσθαι λόγων. αὐτὴ γὰρ ἡ τῶν γεγραμμένων

A Quia niſi ineſcati eſſent & ſpecie decepti, pernicioſum & lethale venenum nunquam admiſiſſent. Prudenter igitur & ad mentem ſuam appoſitè ad id quod intendit, reſpicit. Si enim funditus è ſuo dogmate filij vocem excluſiſſet, error hominibus non acceptus fuiſſet, palam negatione reclamante aperto & propatulo præconio: nunc autem ſolo relicto nomine ſignificato ad creaturæ notitiam traducto falſum Deorum cultum inſtaurat & reprehenſionem declinat. Sed quoniam non labiis Deum colere iuſſi ſumus: neque B vocis ſono pietas cenſetur. ſed oportet primùm corde in filium credere ad iuſtitiam, tuncque ore confiteri ad ſalutem. Et qui corde dicunt non eſſe Deum, etſi ore Dominum confitentur, tamen corrupti ſunt & nequam, ſicut ait Propheta. *Rom.10.* Quocirca dico oportere mentem perſpicere per dictionem, noſter hic ſermo eſt & non aduerſariorum. *Pſal.13.* Quod ſi quis filij nomen creaturæ apponit, falſorum deorum cultoribus adſcribetur. *Corruptum hoc in loco Græcũ exemplar ſuſpicor.* Nam & illi & Dagon, & Bel, & Draconem Deum nominabant, ſed non propterea Deum C adorabant: non enim Deus lignum, & æs, & bellua. Sed quid neceſſe eſt coniecturis ſententiam quærentes ſermone abditam fallaciam reuelare, & fortaſſe occaſiones præbere audientibus, quod tanquam non verè nos hæc inimicis obiecimus. Ecce enim nobis nudam exponit blaſphemiam, nullo velamine dolum ſiue fraudem occultans, ſed audacter abſurda loquens libera voce: ſic enim ſcripta habent. [Nos equidem, inquit, nihil aliud inuenientes præter eſſentiam filij quod generationem capiat, in eadem eſſentia putamus opor- *Verba Eunomij.* D tere appellationes ordinare, ſiue nudis & exilibus verbis dicamus filium & genitum, ſiue hæc ab eſſentia diuellamus, ex his incitati eſſentias à ſe inuicem ſeparatas diſtare firmiter tenemus.] Nihil opus eſſe puto abſurditatem quæ in his dictis eſt, noſtris ſermonibus reprehendi. Ipſa enim ſcriptorum

lectio ſatis poteſt blaſphemiam notare: Sic enim perſpiciamus. Eſſentias patris & filij ſeparatas à ſe differre autumat. Quid igitur per παρηλλαγμένον, id eſt, diſcrepans & diuerſum ſignificatur? Primum ipſam dictionis vim & ſignificationem ſeparatim examinemus, vt magis per huius verbi interpretationem impium conuitium detegatur. Dicitur ergo in conſuetudinis abuſione hoc nomen τῆς παραλλαγῆς, in corporibus, quidem quando ex reſolutione vel alia perpeſſione membrum aliquod à naturali concentu peruerſum & detortum fuerit. Nam ex contraria poſitione affecti membri cum eo quod ſanum eſt, in deterius peruerſionem eius quod perpeſſum fuit παραλλαγὴν nominamus. In his autem qui in moribus ſecundum virtutem & vitium differunt, cùm intemperans vita puræ & temperanti opponitur, vel iuſto iniuſtus, vel manſueto & pacifico & quieto, iracundus, bellicoſus, & qui iram recondere non poteſt: & omnino quidquid melioris oppoſitione in vitio accuſatur, παρηλλάχθαι dicitur, id eſt diſcrepare. Quia non illis inuicem accidant quæ in vtriſque ſunt inſignia indicia, honeſti dico & deterioris. Prætereà παρηλλάχθαι dicimus qualitates quæ in elementis conſiderantur, quæ ex contrario ſibi inuicem occurrunt, corruptricem vim mutuò habentes, vt calidum & frigidum, vel ſiccum & humidum, vel omnino ſiquid alteri contrario opponitur, & quod in his nullo modo poteſt coire, παραλλαγῆς nomine, id eſt, differentiæ, ſiue diſcrepantiæ interpretamur. Et quidquid prorſus diſſonat ab altero in his indiciis, ex quibus eius vis & natura dignoſcitur, inter παρηλλαγμένα, id eſt, diſiuncta ponitur, vt ſanitas à morbo & vita à morte, & à pace bellum, & virtus à vitio, & quæ ſunt eiuſdem modi, omnia à ſe inuicem diſſident. His autem ſic diſtinctis in hoc ſcriptore cogitemus, quomodo dicit eſſentias in patre ac filio παρηλλάχθαι, diſiunctas eſſe à ſe inuicem? Cur hoc dicit? an quia pater eſt ſecundùm naturam, & filius παρηλλαγμένος diſcrepans à natura: vel virtutis παρατροπὴν peruerſionem hoc verbo interpretatur, ſeparans παραλλαγῆς nomine, quod malum eſt à meliore,

A ἀνάγνωσις ἱκανὴ στηλιτεῦσαι τὴν βλασφημίαν· οὑτωσὶ δὲ διασκοπήσωμεν. παρηλλάχθαι λέγει τὰς οὐσίας ἀλλήλων τοῦ υἱοῦ τε καὶ τοῦ πατρός. τί τοίνυν διὰ τοῦ παρηλλαγμένου σημαίνεται; πρότερον αὐτὴν τὴν τῆς λέξεως ἔμφασιν ἐφ' ἑαυτῆς ἐξετάσωμεν, ὡς ἂν μᾶλλον διὰ τῆς τοῦ ῥήματος ἑρμηνείας ἐκκαλυφθείη τὸ βλάσφημον. λέγεται τοίνυν ἐν τῇ καταχρήσει τῆς συνηθείας τὸ ῥῆμα τῆς παραλλαγῆς, ἐπὶ σωμάτων μὲν ὅταν ἐκ παραλύσεως ἤ τινος ἑτέρου πάθους παρατραπῇ τι μέλος τῆς φυσικῆς ἁρμονίας. ἐκ γὰρ τῆς πρὸς τὸ ὑγιαῖνον τοῦ πεπονθότος ἀντιπαραθέσεως τὴν
B πρὸς τὸ χεῖρον παρατροπὴν τοῦ παραδεξαμένου τὸ πάθος, παραλλαγὴν ὀνομάζομεν. ἐπὶ δὲ τῶν ἐν ἤθει κατ' ἀρετὴν καὶ κακίαν διαφερόντων, ὅταν ὁ ἀκόλαστος βίος ἀντιπαρατιθέμενος τῷ καθαρῷ τε καὶ σώφρονι, ἢ τῷ δικαίῳ ὁ ἄδικος, ἢ πρὸς τὸ πρᾶον τε καὶ εἰρηνικόν τε καὶ ἡσύχιον, ὁ θυμώδης τε καὶ πολεμικὸς, καὶ τὴν ὀργὴν ἀταμίευτος· καὶ πᾶν ὅλως τὸ τῇ παραθέσει τοῦ κρείττονος ἐν κακίᾳ κατηγορούμενον, παρηλλάχθαι λέγεται. τῷ μὴ συμβαίνειν ἀλλήλοις τὰ ἐπ' ἀμφοτέρων γνωρίσματα, τοῦ τε καλοῦ φημὶ καὶ τοῦ χείρονος.
C ἔτι παρηλλάχθαι φαμὲν καὶ τὰς ἐπὶ τῶν στοιχείων θεωρουμένας ποιότητας, ὅσαι κατὰ τὸ ἐναντίον ἀντιστοιχοῦσιν ἀλλήλαις, φθαρτικὴν κατ' ἀλλήλων ἔχουσαι δύναμιν, οἷον τὸ θερμόν τε καὶ τὸ ψυχρὸν, ἢ τὸ ξηρόν τε καὶ τὸ ὑγρὸν, ἢ ὅλως, εἴ τι τῷ ἑτέρῳ πρὸς τὸ ἐναντίον ἀντικαθέστηκε, καὶ τὸ ἐν τούτοις ἀσύμβατον, τῷ τῆς παραλλαγῆς διερμηνεύομεν ῥήματι. καὶ πᾶν ὅλως τὸ διαφωνοῦν πρὸς τὸ ἕτερον ἐν τοῖς ἐπιθεωρουμένοις γνωρίσμασι τῶν παρηλλαγ-
D μένων ἐστίν· ὡς ὑγεία πρὸς νόσον, καὶ πρὸς θάνατον ἡ ζωὴ, καὶ πρὸς εἰρήνην ὁ πόλεμος, καὶ ἀρετὴ πρὸς κακίαν, καὶ ὅσα τούτοις ἐστὶν ὁμοιότροπα. τούτων δὲ ἡμῖν οὕτω διευκρινηθέντων, κατανοήσωμεν καὶ ἐπὶ λογογράφου, πῶς παρηλλάχθαι λέγει τὰς οὐσίας ἀλλήλων ἐπὶ τοῦ πατρός τε καὶ υἱοῦ; τί τοῦτο λέγων; ἆρ' ὡς τοῦ πατρὸς μὲν ὄντος κατὰ φύσιν, τοῦ δὲ υἱοῦ παρηλλαγμένου τῆς φύσεως; ἢ τὴν τῆς ἀρετῆς παρατροπὴν τῷ ῥήματι τούτῳ διερμηνεύει, χωρίζων τῷ τῆς παραλλαγῆς ὀνόματι τὸ κακὸν ἀπὸ τοῦ κρείττονος,

ὡς ταύτην μὲν ἐν τῷ καλῷ τὴν οὐσίαν βλέπειν, ἐν δὲ τῷ ἐναντίῳ τὴν ἄλλην, ἢ κατὰ τὸν λόγον τῆς τῶν στοιχείων ἐναντιώσεως, καὶ τὴν θείαν οὐσίαν παρηλλάχθαι τὴν ἑτέραν ἐκ τῆς ἑτέρας διισχυρίζεται, ἢ ὡς ἔχει πρὸς εἰρήνην ὁ πόλεμος, καὶ πρὸς θάνατον ἡ ζωή, καὶ τὴν πρὸς τὰ τοιαῦτα πάντα τῷ τοιούτῳ τρόπῳ μάχην ἐνορᾷ ταῖς οὐσίαις. ὡς μὴ ἂν αὐτὰς μετ' ἀλλήλων συμβῆναι· τῷ τὴν μίξιν τῶν ἐναντίων δαπανητικὴν κατὰ τῶν μιγνυμένων ἔχειν τὴν δύναμιν. καθώς φησι περὶ τοῦ τοιούτου δόγματος ἡ παροιμιώδης σοφία, ὅτι ὕδωρ καὶ πῦρ οὐ μὴ εἴπωσιν ἀρκεῖ· τὴν ἰσοπαλῆ τε καὶ ἰσοστάσιον τῶν ἐναντίων φύσιν, καὶ τὴν κατ' ἀλλήλων φθορὰν διὰ τοῦ αἰνίγματος ἑρμηνεύουσα. ἢ καθ' οὐδὲν τούτων εἶναι λέγει τὴν ἐν ταῖς οὐσίαις ἐκείναις παραλλαγὴν καθορᾶν; οὐκοῦν εἰπάτω τὸ παρὰ ταῦτα νοούμενον. ἀλλ' οὐκ ἂν εἰπεῖν ἔχοι· κἂν τὰ συνήθη λέγει· ὅτι ὁ υἱὸς πρὸς τὸν γεγεννηκότα παρήλλακται. τούτῳ γὰρ καὶ μᾶλλον ἡ ἀτοπία τῶν παρ' αὐτοῦ λεγομένων ἐλέγχεται. τί γὰρ οὕτω προσφυῶς τε καὶ ἁρμοδίως ἄλλο ἄλλῳ ἐμφύεταί τε καὶ ἐναρμόζεται· ὡς ἡ σχετικὴ πρὸς τὸν πατέρα τοῦ υἱοῦ σημασία; ἀπόδειξις δὲ τούτου, ὅτι κἂν μὴ τὰ δύο ῥηθῇ ταῦτα ὀνόματα, τῷ ἑνὶ καὶ τὸ παραθὲν συσσημαίνεται· οὕτως ἔγκειται καὶ ἐνήρμοσται τῷ ἑτέρῳ τὸ ἕτερον, καὶ ἐν τῷ ἑνὶ καθορᾶται ἀμφότερα, ὡς μὴ ἂν ἐφ' ἑαυτοῦ νοηθῆναι τούτων τι χωρὶς τοῦ ἄλλου. τὸ δὲ παρηλλαγμένον, τῷ ἁρμόζοντι πάντως ἐξ ἐναντίου καὶ νοεῖται καὶ λέγεται. οἷον ἡ σπάρτος πρὸς τὴν εὐθεῖαν ἁρμοδίως ἔχει· τὸ δὲ σκολιὸν τῇ εὐθεῖ παρατιθέμενον, οὐχ ἁρμόζεται. καὶ τοῖς μουσικοῖς συνηθὲς τὴν συμφωνίαν τῶν τόνων ἁρμονίαν προσαγορεύειν, ἀνάρμοστον δὲ τὸ ἔκτροπόν τε καὶ ἀπόχορδον. οὐκοῦν ταὐτόν ἐστι παρηλλαγμένον τε εἰπεῖν καὶ ἀνάρμοστον. εἰ οὖν παρήλλακται κατὰ τὸν τῆς αἱρέσεως λόγον πρὸς τὴν τοῦ πατρὸς οὐσίαν, ἡ τοῦ μονογενοῦς Θεοῦ φύσις, οὐδὲ ἁρμόζεται πάντως· τὸ δὲ ἐνάρμοστον οὐκ ἂν γένηται ἐν ἐκείνῳ ᾧ ἐναρμοσθῆναι οὐ δύναται. ὥσπερ γὰρ μιᾶς οὔσης μορφῆς, ἐπί τε τοῦ κηροῦ καὶ τῆς ἐν τῇ σφενδόνῃ γλυφίδος,

A vt hanc in pulchro & honeſto eſſentiam inſpiciat, in contrario vero alteram, vel ſecundum rationem contrarietatis elementorum etiam diuinam eſſentiam alteram ab altera παρηλλάχθαι (diſcrepare) confirmat, an vt ſe habet bellum cum pace, & vita cum morte, & pugnam cum talibus & omnibus hoc modo in eſſentiis intuetur. Ita vt ipſæ non inter ſe coeant: quia contrariorum mixtionem conſumptricem habeant ſecundum vim eorum quæ miſcentur. Sicut de tali dogmate prouerbialis ait ſapientia, quod aqua & ignis nunquam dixerint ſufficit: Prou. 30.
B æqualem in pugna & æquilibrem contrariorum naturam & mutuam inter ſe perniciem hoc ænigmate ſignificans. An nullo horum in illis eſſentiis παραλλαγὴν differentiam dicit ſe conſpicere? dicat igitur quod præter hæc intelligitur: ſed non dicere poſſit. Quòd ſi inuſitata proferat, quòd filius ad eum qui genuit παρήλλακται (differt) hoc enim etiam magis eorum quæ ab ipſo dicuntur abſurditas redarguitur. Quid enim ita agnatè, aptè & congruenter aliud alij innaſcitur & conuenit, quam relatiua
C cum patre filij ſignificantia? Quod ſic demonſtrari poteſt, nam etſi hæc duo nomina dicta non fuerint, per vnum alterum quod ei adiunctum eſt conſignificatur. Sic incumbit & congruit alteri alterum, & in vno vtraque conſpiciuntur, vt nihil horum in ipſo intelligi poſſit ſine altero. Quod autem παρηλλαγμένον diſcrepans vel diſiunctum, congruenti prorſus ex contrario & intelligitur & dicitur: vt funiculus ad rectam lineam congruenter ſe habet: obliquum verò recto cùm adijcitur non congruit. Quin etiam muſicis familiare
D eſt conſonãtiam appellare tonorum harmoniam, id eſt conuentum ſiue concordiam, diſcors autem id quod inconcinnum eſt & diſſonum nec fidibus congruum. Ergo idem eſt dicere παρηλλαγμένον, id eſt, alienum & inuſitatum, & diſcrepans & diſcors. Si igitur ſecundum hæreſeos ſermonem, cum Patris eſſentia vnigeniti Dei natura παρήλλακται (diſiuncta eſt), neque prorſus congruit. Congruum autem quid eſſe non poteſt cum in illo cui non poteſt congruere neque adaptari Quemadmodum enim ſi vna eademque forma fuerit & in cera & in inciſura ſiue ſculptura

quæ eſt in annuli pala, cùm rurſus indita fuerit palæ, expreſſa ab ea cera characterem ſiue figuram circa ſeipſam adaptat, circuitu ſuo impreſſas ab ipſo figuras occupans & complectens in ſculptura: & ad caua ſubiens, & ſculpturæ eminentias ſuis formis excipiens. Quod ſi peregrina aliqua aliena figura fuerit indita ſculpturæ palæ annuli, exaſperat & confundit propriam formam alienis notis ſpeciem circumſculpentibus. Verumtamen qui eſt in forma Dei non

Hebr. 1. alio quodam charactere præter patrem formatus eſt, quia ſit character ſubſtantiæ patris, forma autem Dei idem penitus eſt cum ſubſtantia. Vt enim in forma ſerui factus in eſſentia ſerui formatus eſt: non nudum & ſimplicem in ſeipſo formam aſſumpſit, & ab eſſentia diſiunctam, ſed eſſentia ſimul cum forma ſignificatur: ſic prorſus qui dixit ipſum in forma Dei eſſe, per formam eſſentiam

Pſal. 2. indicauit. Si igitur in forma Dei eſt, & in patre, cùm ſit paterna gloria, ſignatus eſt, ſicut ait vox Euangelij quæ dicit, Hunc pater ſignauit Deus. Quocirca

Ioan. 14. qui vidit filium vidit patrem: bonitatis imago, & gloriæ ſplendor, & omnia quæcunque eiuſmodi filij eſſentiam cum patre non habere diſcrepantiam teſtantur. Ergo apertè & perſpicuè blaſphemiæ aduerſariorum inſtabilitas & futilitas ex dictis refellitur. Si enim quæ diſſita ſunt non congruunt; qui autem à patre ſignatus eſt & in ſeipſo patrem oſtendit, & in patre eſt, atque in ſeipſo habet illum, per omnia oſtendit quod natura coniunctum eſt, & concors & congruum. Per hæc igitur aduerſariorum abſurditas vehementer redarguitur: ſicut enim demonſtratum eſt τὸ παρηλλαγμένον (id eſt, quod diſſitum eſt) incongruum & diſſonum eſt: ſic vice verſa contradictoriè quod bene congruit & & aptum eſt conceditur omnino ἀπαράλλακτον (indiuulſum ſiue incommutabile.) Vt enim quod diſſitum, non congruit, ſic quod congruit & cohæret non diſiunctum eſt: qui autem dicit vnigeniti naturam παραλλάττειν (differre ſiue diſcrepare) à patris bona eſſentia, in ipſo bono prorſus παραλλαγὴν diſcrepantiam videt. Quod autem à bono diſcrepat, quid eſt,

A ὅταν ἐντεθῇ πάλιν τῇ σφενδόνῃ, ὁ ἐκτυπωθεὶς παρὰ ταύτης κηρὸς ἐναρμόζει τὸν περὶ ἑαυτὸν χαρακτῆρα τῷ περιέχοντι τοὺς ἰδίους καταλαμβάνων τύπους ἐν τῷ χαράγματι, πρός τε τὰ κοῖλα διαδυόμενος, καὶ τὰς ἐξοχὰς τῆς γλυφῆς ἰδίοις διαδεχόμενος τύποις. εἰ δὲ ξένος τις καὶ ἀλλότριος τύπος ἐντεθείη τῇ γλυφῇ τῆς σφενδόνης, τραχυνεῖ καὶ συγχεῖ τὴν ἰδίαν μορφὴν τοῖς ἀνοικείοις χαράγμασι περιγλύφων τὸ εἶδος. ἀλλὰ μὴν ὁ ἐν τῇ μορφῇ τοῦ Θεοῦ ὑπάρ-

B χων, οὐκ ἄλλῳ τινὶ χαρακτῆρι παρὰ τὸν πατέρα μεμόρφωται, χαρακτὴρ ὢν τῆς τοῦ πατρὸς ὑποστάσεως· ἡ δὲ μορφὴ τοῦ Θεοῦ ταυτὸν τῇ οὐσίᾳ πάντως ἐστίν. ὡς γὰρ ἐν τῇ μορφῇ τοῦ δούλου γενόμενος, τῇ οὐσίᾳ τοῦ δούλου ἐνεμορφώθη, οὐ ψιλὴν ἀναλαβὼν ἐφ' ἑαυτοῦ τὴν μορφήν, οὐδὲ τῆς οὐσίας διεζευγμένην· ἀλλ' ἡ οὐσία τῇ μορφῇ συσσημαίνεται, οὕτως πάντως καὶ ὁ εἰπὼν αὐτὸν ἐν μορφῇ Θεοῦ εἶναι, τὴν οὐσίαν διὰ τῆς μορφῆς ἐνεδείξατο. εἰ οὖν ἐν τῇ μορφῇ τοῦ Θεοῦ ἐστι καὶ

C ἐν τῷ πατρὶ ὢν ἐσφράγισται τῇ πατρῴᾳ δόξῃ, καθώς φησιν ἡ τοῦ εὐαγγελίου φωνὴ ἡ λέγουσα· τοῦτον ὁ πατὴρ ἐσφράγισεν ὁ Θεός· διὸ καὶ ὁ ἑωρακὼς τὸν υἱὸν ὁρᾷ τὸν πατέρα. ἡ τῆς ἀγαθότητος εἰκών, καὶ τὸ τῆς δόξης ἀπαύγασμα, καὶ πάντα ὅσα τοιαῦτα, τὸ μὴ διαρμόστως ἔχειν τὴν τοῦ υἱοῦ τὴν οὐσίαν πρὸς τὸν πατέρα μαρτύρεται. ἄρα προδήλως τὸ τῆς βλασφημίας τῶν ἀντικειμένων ἀσύστατον διὰ τῶν εἰρημένων ἐλέγχεται. εἰ γὰρ τὰ παρηλλαγμένα οὐ συναρμόζεται, ὁ δὲ σφραγισθεὶς

D ὑπὸ τοῦ πατρός, καὶ ἐν ἑαυτῷ δεικνὺς τὸν πατέρα, καὶ ἐν τῷ πατρὶ ὤν, καὶ ἐν ἑαυτῷ ἔχων ἐκεῖνον, διὰ πάντων δείκνυσι τὸ συμφυὲς καὶ εὐάρμοστον. ἄρα διὰ τούτων ἡ ἀτοπία τῶν ἐναντίων κατὰ κράτος ἐλέγχεται. ὡς γὰρ ἐδείχθη τὸ παρηλλαγμένον ἀνάρμοστον· οὕτω τὸ ἔμπαλιν ἀναντιρρήτως ὁμολογεῖται τὸ εὐάρμοστον ἀπαράλλακτον πάντως. ὡς γὰρ τὸ παρηλλαγμένον οὐχ ἁρμόζεται, οὕτω τὸ ἁρμοζόμενον οὐ παρήλλακται. ὁ δὲ λέγων τῆς ἀγαθῆς τοῦ πατρὸς οὐσίας τὴν τοῦ μονογενοῦς παραλλάττειν φύσιν, ἐν αὐτῷ τῷ ἀγαθῷ τὴν παραλλαγὴν πάντως βλέπει. τὸ δὲ τοῦ ἀγαθοῦ παρηλλαγμένον, τί ἐστι,

A νοήσατε οἱ ἄκακοι τὴν πανουργίαν, ἡ παροιμία φησίν. ἀλλὰ ταῦτα μὲν ὡς πρόδηλον ἔχοντα τὴν ἀτοπίαν παραδραμούμεθα τῷ λόγῳ, τὸ δὲ περὶ αὐτὸ ἐξετάσωμεν. οὐδὲν φησιν ἕτερον εὑρίσκεσθαι παρὰ τὴν οὐσίαν τοῦ υἱοῦ τὸ δεχόμενον τὴν γέννησιν· τί νοῶν ταῦτα λέγει; δύο γὰρ ἀπ' ἀλλήλων διακρίνας ὀνόματα, καὶ τὰ δι' αὐτῶν σημαινόμενα συνδιαχωρίσας τῷ λόγῳ, ἐφ' αὑτοῦ ἑκάτερον ἰδιαζόντως ἐκτίθεται, ἓν ὄνομα ἡ γέννησις, καὶ ἕτερον ὄνομα ἡ οὐσία. δέχεται, φησίν, ἡ οὐσία τὴν γέννησιν, ἄλλό τι οὖσα δηλονότι παρὰ τὴν γέννησιν. B εἰ γὰρ ἡ γέννησις οὐσία ἦν, ὅπερ δὴ συνεχῶς ἀποφαίνεται· ὥστε τὰς δύο προσηγορίας ἰσοδυναμεῖν ἀλλήλων κατὰ τὴν ἔμφασιν, οὐκ ἂν εἶπεν ὅτι δέχεται ἡ οὐσία τὴν γέννησιν· ἴσον γὰρ ἂν ἦν τὸ εἰπεῖν, ὅτι τὴν οὐσίαν ἡ οὐσία, ἢ ὅτι τὴν γέννησιν ἡ γέννησις δέχεται. εἴπερ ταὐτὸν ἦν τῇ οὐσίᾳ ἡ γέννησις. οὐκοῦν ἄλλο μέν τι νοεῖ τὴν γέννησιν, ἄλλο δέ τι τὴν οὐσίαν ἣ τὴν γέννησιν δέχεται. οὐ γὰρ ἂν ἦν ταὐτὸν τῷ ὑποδεχομένῳ τὸ λαμβανόμενον. τοῦτο μὲν οὖν ἡ σοφὴ τοῦ λογογράφου τεχνολογία φησίν. C εἰ δέ τις ἔγκειται νοῦς τοῖς εἰρημένοις, ὁ κρίνειν ἐπεσκεμμένος ἐπισκεψάσθω τὸν λόγον. πάλιν δὲ τὸ ῥηθὲν ἀναλήψομαι. οὐδὲν ἕτερον εὑρίσκειν λέγει παρὰ τὴν οὐσίαν τοῦ υἱοῦ τὸ δεχόμενον τὴν γέννησιν. ἀλλὰ τὸ μηδεμίαν ἐγκεῖσθαι τοῖς εἰρημένοις διάνοιαν, παντὶ δῆλον ἐστὶ τῷ καὶ ὁπωσοῦν ἐπαΐοντι λόγων, ὑπόλοιπον δὲ ἂν εἴη τὴν βλασφημίαν εἰς τὸ ἐμφανὲς ἀγαγεῖν, ἣν διὰ τῶν ἀδιανοήτων τούτων κατασκευάζει ῥημάτων. βούλεται γὰρ εἰ καὶ μὴ δύναται διὰ τὴν ἑρμηνευτικὴν ἀτονίαν, ταύτην ἐμποιῆσαι ταῖς ἀκροαταῖς D τὴν διάνοιαν. ὅτι κατασκευαστή ἐστι τοῦ υἱοῦ ἡ σημασία· γέννησιν δὲ τὴν κατασκευὴν ὀνομάζει, τῇ εὐσημοτάτῃ φωνῇ τὸ φρικτὸν περιστέλλων τῆς βλασφημίας. ὡς ἂν εὐπαράδεκτος γένοιτο ἡ τοῦ ἐκτίσθαι τὸν κύριον συγκατάθεσις, τῇ τῆς γεννήσεως λέξει τῆς κατασκευῆς δηλουμένης. λέγει τοίνυν ὅτι ἡ οὐσία τὴν γέννησιν δέχεται, ἵν' ὥσπερ ἐν ὑποκειμένῳ τινὶ πράγματι πᾶσα κατασκευὴ θεωρῆται. οὐ γὰρ ἄν τις εἴποι κατεσκευάσθαι ὃ μὴ ὑφέστηκεν, οὕτως οὐδέ τι κατασκεύασμα

animaduertite ô boni viri calliditatem ait parœmia. Sed hæc vt perſpicuam habentia abſurditatem oratione curſu ſuperabo, quod autem hæc præcedit examinemus. [Nihil inquit alterum inueniri præter eſſentiam filij, quod generationem admittat.] quid intelligens hæc dicit ? Duo enim diſcernens à ſe inuicem nomina, quæque per hæc ſignificantur, ſimul ſecernens oratione, in ſeipſo vtrumque propriè & ſeparatim exponit. Vnum nomen eſt generatio, alterum nomen eſſentia. Accipit, inquit, eſſentia generationem, vt quæ ſit aliud quid videlicet quam generatio. Si enim generatio eſſentia eſſet, quod quidem aſſiduè affirmat: ita vt duæ appellationes inter ſe æqualem vim habeant ſecundum ſignificationem: non dixerit quod eſſentia generationem accipit, æquale enim eſſet dicere quod eſſentiam eſſentia capit, vel quod generationem generatio accipit, ſi idem eſſet eſſentia & generatio. Igitur aliud quiddam generationem intelligit, aliud vero quid eſſentiam quæ generationem accipit: nō enim eſſet idem cum eo quod ſuſcipit id quod ſumitur. Hoc quidem huius ſcriptoris artificioſa diſputatio aſſerit. Quod ſi qua dictis inſidet intelligentia, qui iudicare diligenter meditatus eſt conſideret ſermonem. Iterum quod dictum eſt reſumam. [Nihil aliud licet inuenire, inquit, præterquam eſſentiam filij quod admittat generationem.] Sed nullum ſubeſſe his dictis ſenſum cuius perſpicuum eſt, vel quocunque modo ſermonem audienti. Reliquum fuerit blaſphemiam in apertum proferre, quam per hæc verba nullum ſenſum habentia conſtruit. Vult enim etſi non poteſt per interpretatiuam imbecillitatem hanc auditoribus inſerere ſententiam, quòd filij ſignificatio conſtructa eſt, id eſt quid conditum indicans: generationem enim ſtructuram nominat ſignificantiſſima voce horribilem blaſphemiam communiens, vt ſit acceptiſſima aſſenſio quod Dominus ſit creatus, generationis dictione ſtructurá declarante. Dicit itaque quod eſſentia generationem accipit, vt tanquam in aliqua re ſubiecta omnis conſtructio ſpectetur. Non enim quis dixerit conſtructum eſſe quod non ſubſiſtat, ſic velut

Verba Eunomij.

quoddam ædificium Dei vnigeniti naturam protendens ſermone facturam. Si igitur, inquit, generationem hanc accipit hoc ſignificare volens, quod non erat, nempe vnigeniti eſſentia niſi condita eſſet. Quid autem aliud eorum quæ in creatura cōſpiciuntur eſt non factum? Cœlum, terra, aër, mare. Quidquid eſt omnino factum eſt: quorum nihil eſſet niſi factum eſſet. Quomodo igitur vt eximium quiddam in vnigeniti natura ſpeculatus eſt, nempe eam ipſam eſſentiam accipere generationem. Sic enim creationem nominat; vt bombylij (cuiuſdam apis obſtreperæ) & culicis, non in ſeipſum ſed in alterum quiddam quàm ſeipſum qui accepit generationem. Igitur confitetur per ſcripta quod etiam cum minimis creaturæ particulis ab ipſis vnigeniti eſſentia communis efficitur: omniſque argumentatio qua ad patrem filij alienatio conſtruitur, in ſingulis rebus vim habet æqualem. Quid igitur ei fuit opus hac varia & ſubtili arte, vt aſtruat filij eſſentiam à natura patris alienam eſſe: cùm oporteret compendiariam & breuem viam abnegationis ingredi ad apertè negandum & dicendum non eſſe filij nomen confitendum, neque vnigenitum Deum in Eccleſiis prædicandum. Sed Iudæorum cultum iudicandum eſſe proprium magis quam Chriſtianorum confeſſionem, qui quidem Iudæi ſolum creatorem & opificem conditorémque patrem confitentur, reliqua omnia notioni & nomini creaturæ eſſe ſubijcienda. In his autem, quod aliis præpoſitum eſt ſiue prius ordinatum, opus dicendum ποίημα facturam, velut quadam fabrili conſtructione factam: & loco vnigeniti Dei & veri filij πρωτόκτιστον (primò creatum) appellandum. His enim præualentibus, facillimè ad ipſorum ſcopum dogmata concluduntur, omnibus vt conſentaneum ex tali principio ad id quod eſt conſequens directis: cum nempe qui neque genitus, neque filius eſt, ſed qui operatione quadam ſubſtitit communem cum Deo habere eſſentiam non poſſe. Quoad autem Euangeliorum voces præualebunt, quibus filius & vnigenitus & ex patre & ex Deo, & talia prædicatur: fruſtra delirabit ſeipſum & ſuos talibus nugis fallens & deci-

A τὴν τοῦ μονογενοῦς Θεοῦ φύσιν προτείνας τῷ λόγῳ τὴν ποίησιν. εἰ τοίνυν τὴν γέννησιν δέχεται ταύτην, φησὶ, τοιοῦτο σημαίνειν βουλόμενος ὅτι οὐκ ἂν ἦν, εἰ μὴ κατεσκευάσθη. τί δὲ ἄλλο τῶν ἐν τῇ κτίσει θεωρουμένων ἐστὶ μὴ γενόμενον; οὐρανός, γῆ, ἀήρ, θάλαττα. πᾶν ὅτι περ ἐστὶ γενόμενον πάντως ἐστίν. ὧν οὐδὲν ἂν ἦν, εἰ μὴ γενόμενον ἦν. πῶς οὖν ὡς ἐξαίρετόν τι τῇ τοῦ μονογενοῦς ἐνεθεώρησε φύσει, τὸ εἰς αὐτὴν τὴν οὐσίαν ἀναδέχεσθαι τὴν γέννησιν. οὕτω γὰρ τὴν κατασκευὴν ὀνο-
B μάζει, ὡς τοῦ βομβυλίου καὶ τοῦ κώνωπος· οὐκ εἰς ἑαυτὸν, ἀλλ' εἰς ἕτερόν τι παρ' ἑαυτὸν δεξαμένου τὴν γέννησιν. οὐκοῦν ὁμολογεῖται διὰ τῶν γεγραμμένων, ὅτι καὶ πρὸς τὰ μικρότατα τῆς κτίσεως μόρια, κοινοποιεῖται παρ' αὐτῶν τοῦ μονογενοῦς ἡ οὐσία, καὶ πᾶν ἐπιχείρημα δι' οὗ κατασκευάζεται ἡ πρὸς τὸν πατέρα τοῦ υἱοῦ ἀλλοτρίωσις, τὴν ἴσην ἰσχὺν καὶ ἐπὶ τῶν καθ' ἕκαστον ἔχει. τίς οὖν αὐτῷ χρεία τῆς ποικίλης ταύτης λεπτουργίας εἰς κατασκευὴν τῆς κατὰ φύσιν ἀλλοτριότητος. δέον τὴν σύντομον τῆς ἀρνήσεως ὁδὸν τραπῆναι τῷ
C φανερῶς ἀπειπεῖν, μὴ δεῖν ὁμολογεῖσθαι τοῦ υἱοῦ τὸ ὄνομα, μηδὲ τὸν μονογενῆ Θεὸν ἐν ταῖς ἐκκλησίαις κηρύσσεσθαι. ἀλλὰ τὴν Ιουδαϊκὴν λατρείαν κυριωτέραν τῆς τῶν Χριστιανῶν κρίνειν ὁμολογίας, καὶ μόνον κτίστην καὶ δημιουργὸν ὁμολογοῦντας τὸν πατέρα, τὰ λοιπὰ πάντα τῷ τῆς κτίσεως ὑπάγειν ὀνόματί τε καὶ νοήματι. ἐν δὲ τούτοις τὸ τῶν ἄλλων προτεταγμένον ἔργον ποίημα λέγειν διά τινος κατασκευαστικῆς ἐνεργείας γενόμενον· καὶ πρωτόκτιστον αὐτὶ μονογενοῦς Θεοῦ καὶ ἀληθινοῦ υἱοῦ προσαγορεύοντας. τούτων γὰρ
D κεκρατηκότων, εὐκολία πολλὴ πρὸς τὸν σκοπὸν αὐτῶν συμπερανθῆναι τὰ δόγματα, πάντων κατὰ τὸ εἰκὸς ἐκ τῆς τοιαύτης ἀρχῆς πρὸς τὸ ἀκόλουθον ὁδηγουμένων· ὅτι τὸν μήτε γεννηθέντα, μήτε υἱὸν ὄντα, διὰ δέ τινος ἐνεργείας ὑποστάντα κοινωνεῖν τῷ Θεῷ τῆς οὐσίας οὐχ οἷόν τε. ἕως δ' ἂν κρατῶσιν αἱ τῶν εὐαγγελίων φωναὶ, δι' ὧν υἱὸς καὶ μονογενὴς καὶ ἐκ τοῦ πατρὸς καὶ ἐκ τοῦ Θεοῦ, καὶ τὰ τοιαῦτα κηρύσσεται· μάτην ληρήσει, ἑαυτόν τε καὶ τοὺς καθ' ἑαυτὸν διὰ τῶν τοιούτων φλυα-

φων παρακρουόμενος. τὴν γὰρ ἀληθῆ πρὸς A τὸν πατέρα σχέσιν τῆς τοῦ υἱοῦ προσηγορίας βοώσης, τίς οὕτως ἠλίθιος, ὡς Ἰωάννου καὶ Παύλου καὶ τοῦ λοιποῦ χοροῦ τῶν ἁγίων τὰς γνησίας ταύτας φωνὰς, καὶ τῆς οἰκειότητος ἐνδεικτικὰς κηρυσσόντων μὴ πρὸς ἐκείνους βλέπειν, ἀλλὰ τοῖς διακένοις κροτάλοις τῶν Εὐνομίου σοφισμάτων διδασκαλίαν, τῶν διὰ τοῦ πνεύματος λαλούντων μυστήρια, καὶ Χριστὸν ἐν ἑαυτοῖς φερόντων, Εὐνόμιον ἀληθέστερον οἴεσθαι. τίνα τοῦτον Εὐνόμιον; τὸν πόθεν εἰς τὸ καθηγεῖσθαι Χριστιανοῖς ἐπεληλυθότα; ἀλ- B λὰ ταῦτα μὲν ἐάσθω. καὶ ὡς ἔστι δυνατὸν ἡ περὶ τὰ προκείμενα σπουδὴ καταλεαινέτω τὴν καρδίαν ἡμῶν, ζήλῳ τῆς πίστεως κατὰ τῶν βλασφημούντων ὑπεροιδαίνουσαν. πῶς γὰρ ἔστι μὴ παρακινηθῆναι πρὸς ὀργὴν καὶ ἀπέχθειαν, ἐν τῷ τὸν Θεὸν ἡμῶν καὶ δεσπότην, καὶ ζωοποιὸν καὶ σωτῆρα, παρὰ τῶν ἀνθρωπίσκων τούτων προπηλακίζεσθαι; εἰ γάρ μοι τὸν τῆς σαρκὸς ἐλοιδόρει πατέρα, ἢ πρὸς τὸν εὐεργέτην εἶχε τὸν ἐμὸν δυσμενῶς, ἆρα δυνατὸν ἦν ἀπαθῶς βαστάσαι τὴν C κατὰ τῶν ἀγαπωμένων ὀργήν; Εἰ δὲ ὁ τῆς ψυχῆς τῆς ἐμῆς κύριος, ὁ μὴ οὖσαν αὐτὴν ὑποστήσας, καὶ δουλωθεῖσαν ἐξαγοράσας· ὁ τῆς τε παρούσης γεύσας ζωῆς, καὶ τὴν μέλλουσαν παρασκευάσας· ὁ πρὸς βασιλείαν καλῶν, καὶ ὅπως ἂν φύγοιμεν τὴν τῆς γεέννης κατάκρισιν παρεγγυῶν. μικρὰ λέγω, ταῦτα καὶ οὔπω τῆς τοῦ κοινοῦ δεσπότου μεγαλωσύνης ἐπάξια· ὑπὸ πάσης τῆς κτίσεως προσκυνούμενος, ἐπουρανίων, ἐπιγείων, καταχθονίων· ᾧ παρεστήκασιν τῶν κατ' οὐρανὸν λειτουργῶν μυριάδες· πρὸς ὃν ἐπέ- D στραπται πᾶν ὅσον ὧδε οἰκεῖται καὶ τοῦ καλοῦ τὴν ἔφεσιν ἔχει. εἰ οὗτος ἔκκειται πρὸς λοιδορίαν ἀνθρώποις, οἷς οὐκ ἀρκεῖ μόνον τὸ ἑαυτοὺς τῇ μερίδι τοῦ ἀποστάτου προσοικειῶσαι, ἀλλὰ ζημίαν ποιοῦνται τὸ μὴ καὶ ἄλλους εἰς τὸ αὐτὸ βάραθρον μεθ' ἑαυτῶν ἐφελκύσασθαι διὰ τῆς λογογραφίας· ὡς ἂν μὴ λείποι τοῖς ἐπιγινομένοις ἡ πρὸς τὸν ὄλεθρον χειραγωγία. ἆρα τίς μέμφεται τὴν ἐπὶ τούτοις ὀργήν; ἀλλὰ πρὸς τὴν ἀκολουθίαν ἐπαναδράμωμεν. διαβάλλει γὰρ ἐν τοῖς

A piens. Nam cùm filij appellatio veram cum patre relationem clamitet, quis ita ſtupidus & vecors, vt Ioanne & Paulo, & reliquo choro ſanctorum germanas has voces & neceſſitudinis indices prædicantibus non ad illos reſpiciat, ſed inanibus crepitaculis illectus cauillorum Eunomij doctrinam amplectatur: ipſúmque Eunomium veriorem doctorem exiſtimet his qui à ſpiritu afflati loquuntur myſteria, & Chriſtum in ſeipſis portant. Quemnam hunc Eunomium? Vnde ad docendum Chriſtianos elatum? ſed hæc quidem omittantur. Atque vt fieri po- B teſt ſtudium circa propoſita cor noſtrum explanet fidei zelo & ardore aduerſus blaſphemantes ſupra modum tumens. Quomodo enim ad iram & odium non concitaremur, videntes Deum & Dominum, & viuificum, & ſeruatorem ab iſtis homunculis ludibrio affici, & veluti cœno conſpurcari? ſi enim mihi patrem carnis conuitiis inceſſeret, vel in meum benefactorem hoſtiliter ſe haberet, an imperturbato animo poſſem iram continere, & ferre æquo animo contra dilectos & caros iniuriam? Quòd ſi animæ C meæ Dominus, qui ipſam antè non exiſtentem fecit ſubſiſtere, & in ſeruitutem redactam redemit: qui vitæ præſentis guſtum præbuit, & futuram præparauit; qui ad regnum vocat, & quomodo gehennæ iudicium fugiamus mandat. Parua dico, hæc neque adhuc communis Domini maieſtati digna: qui ab omni creatura adoratur, cœleſtibus, terreſtribus, ſubterreſtribus, cui adſtiterunt miniſtrorum cœleſtium decem millia: ad quem conuerſum eſt totum hoc omne quod hîc adminiſtratur & honeſti deſiderio tenetur. Si hic D in conuitium hominibus exponitur, quibus non ſufficit ſolum ſeipſos particulæ huius Apoſtatæ, id eſt, defectoris, adhæreſcere, ſed damnum arbitrantur non etiam alios ſecum in barathrum ſiue voraginem ſuis ſcriptis pertraxiſſe: vt poſteris non deficiat ad interitum deductio: Nunquid quis iram in eos conceptam culpat? Sed ad ea quę ſequuntur recurramus. Criminatur enim in ſequen-

tibus nos rurſus humanis ſimilitudinibus filij generationem dedecorare, atque eorum quæ a noſtro patre de his ſcripta ſunt meminit: in quibus, inquit, duo cùm ſignificentur ex filij voce, nempe ea quæ fit per affectum productio, & ea quæ cum eo qui genuit intercedit germanitas: illud quidem quod indecorum & carnale eſt, in diuinis ſermonibus non admittere: hoc vero quantum ad teſtimonium gloriæ vnigeniti eſt, hoc ſolum in excelſis documentis aſſumere. Quis igitur humanis opinionibus filij generationem dedecorat, qui quod paſſibile eſt & humanum exterminat à diuina generatione: impaſſibiliter autem filium cum eo qui genuit copulat, an qui communem facit eum qui omnia ad generationem adduxit cum creatura infima? ſed hoc tale, vt conſentaneum eſt, noua hæc ſapientia ad ignominiam videtur intueri, nempe majeſtati patris filium conciliare, magnum autem & excelſum ipſum adduci ad æqualem honorem creaturæ nobis conſeruæ. O vana crimina! Baſilius vt filium dedecore afficiens inſimulatur, qui colit ipſum, ſicut colitur pater. Et Eunomius pro honore vnigeniti pugnat, qui bona patris natura ipſum priuat. Huiuſmodi crimen apud Athenienſes quondam Paulus incurrit: cùm accuſaretur quod peregrina annuntiaret dæmonia, cùm tamen circa dæmones errorem eorum qui inſano idolorum cultui erant dediti, reprehenderet, & ad veritatem manu duceret, annuntians in Areopago reſurrectionem. Hæc etiam nunc noui Stoici & Epicurei imitatori Pauli objiciunt, ad nihil aliud idonei, ſicut de Athenienſibus hiſtoria refert, quàm vt noui aliquid vel dicerent vel audirent. Quid his nouum magis inueniri poſſet, quam filius operationis, & pater creaturæ, & Deus recens ex non ente enaſcens, & bonum à bono diſiunctum vel diſcrepans. Ipſi ſunt qui quia dicunt ipſum non eſſe id quod eſt eius qui genuit natura, colere ſe ſimulant conuenientibus honoribus. Nunquid talis honoris ſpeciem veretur Eunomius, ſi nō cum patre

Act. 17.

Ibidem.

A ἐφεξῆς πάλιν ἡμᾶς ὡς ταῖς ἀνθρωπίναις ὁμοιότησιν ἀτιμάζοντας τοῦ υἱοῦ τὴν γέννησιν, καὶ μέμνηταί γε τῶν γεγραμμένων τῷ ἡμετέρῳ πατρὶ περὶ τούτων· ἐν οἷς, φησὶ, δύο σημαινομένων ἐκ τῆς τοῦ υἱοῦ φωνῆς, τῆς τε διὰ πάθους συστάσεως, καὶ τῆς πρὸς τὸν γεγεννηκότα γνησιότητος. τὸ μὲν ἀπρεπὲς καὶ σαρκῶδες ἐν τοῖς θείοις μὴ προσίεσθαι λόγοις· τὸ δὲ ὅσον εἰς μαρτυρίαν τῆς τοῦ μονογενοῦς δόξης ἐστὶ, τοῦτο μόνον ἐν τοῖς ὑψηλοῖς παραλαμβάνεσθαι δόγμασι. τίς οὖν ἀ-
B τιμάζει ταῖς ἀνθρωπίναις ὑπολήψεσι τοῦ υἱοῦ τὴν γέννησιν, ὁ ἐξορίζων τῆς θείας γεννήσεως τὸ παθητὸν καὶ ἀνθρώπινον· ἀπαθῶς δὲ συνάπτων τὸν υἱὸν τῷ γεννήσαντι, ἢ ὁ κοινοποιῶν πρὸς τὴν κάτω κτίσιν τὸν τὰ πάντα παραγαγόντα εἰς γένεσιν; ἀλλὰ τὸ τοιοῦτον, ὡς ἔοικεν, ἡ καινὴ αὕτη σοφία πρὸς ἀτιμίαν ἔοικε βλέπειν, τὸ τῇ μεγαλειότητι τοῦ πατρὸς τὸν υἱὸν οἰκειῶσαι. μέγα δὲ καὶ ὑψηλὸν τὸ καταγαγεῖν αὐτὸν εἰς ὁμοτιμίαν τῆς ἡμῶν ὁμοδούλου κτίσεως. ὢ κενῶν ἐγκλημάτων·
C Βασίλειος ὡς ἀτιμάζων τὸν υἱὸν διαβάλλεται, ὁ τιμῶν αὐτὸν καθὼς τιμᾶται ὁ πατήρ. καὶ ΕΥνόμιος τῆς τιμῆς τοῦ μονογενοῦς ὑπερμάχεται, ὁ τῆς ἀγαθῆς φύσεως τοῦ πατρὸς ἀφανίζων. τοιαύτην ἔσχε καὶ Παῦλος αἰτίαν παρ' Ἀθηναίοις ποτέ· πρὸς αὐτὴν ἐκείνων κατηγορούμενος, ὡς ξένα καταγγέλλων δαιμόνια, ὅτι τὴν περὶ τοὺς δαίμονας πλάνην τῶν εἰδωλομανούντων διήλεγχε, καὶ πρὸς τὴν ἀλήθειαν ἐχειραγώγει, καταγγέλλων ἐν τῷ Ἀρειοπάγῳ τὴν ἀνάστασιν. ταῦτα καὶ νῦν οἱ νέοι στοϊκοὶ καὶ ἐπικού-
D ρειοι τῷ μιμητῇ τοῦ Παύλου προσφέρουσιν, οἱ εἰς οὐδὲν ἕτερον εὐκαιροῦντες, καθὼς περὶ τῶν Ἀθηναίων ἡ ἱστορία φησὶν, ἢ εἰς τὸ λέγειν τι καὶ ἀκούειν καινότερον. τί γὰρ ἂν εὑρεθείη τούτων καινότερον, υἱὸς ἐνεργείας, καὶ πατὴρ κτίσματος, καὶ Θεὸς πρόσφατος ἐκ τοῦ μὴ ὄντος ἀναφυόμενος, καὶ ἀγαθὸν ἀγαθοῦ παρηλλαγμένον. οὗτοί εἰσιν οἱ διὰ τοῦ μὴ εἶναι αὐτὸν λέγειν, ὅπερ ἐστὶν ἡ τοῦ γεννήσαντος φύσις, τιμᾶν προσποιούμενοι ταῖς καθηκούσαις τιμαῖς. ἆρ' αἰδεῖται τὸ εἶδος τῆς τοιαύτης τιμῆς ὁ ΕΥνόμιος, εἰ μὴ πρὸς τὸν πατέρα

λέγοι τις αὐτὸν οἰκειώσασθαι τῇ φύσει, ἀλλὰ πρός τι τῶν ἑτερογενῶν τὴν κοινωνίαν ἔχειν. Εἰ γὰρ ὁ πρὸς τὴν κτίσιν κοινοποιῶν τὸν τῆς κτίσεως κύριον, τιμᾷν ἐν τούτοις αὐτὸν διορίζεται, τιμάτω καὶ ὁ πρὸς τὸ ἄλογον, ἢ ἀναίσθητον κατὰ τὴν φύσιν κοινοποιούμενος. εἰ δὲ τούτῳ χαλεπὸν καὶ ἐφύβριστον ἡ πρὸς τὸ χεῖρον ἐστὶ κοινωνία, πῶς τῷ δεσποτεύοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, καθώς φησιν ὁ προφήτης, τιμή ἐστι, τὸ τῇ ὑποχειρίῳ καὶ δουλευούσῃ φύσει συγκατατάττεσθαι. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

A quis dicat ipſum natura neceſſitudine deuinciri, ſed cum aliquo eorum quæ ſunt diuerſi generis communionem habere. Si enim qui cum creatura communem facit Dominum creaturæ, colere in his ipſum definitur, hic etiam cum honore afficiat, qui cum bruto rationis experte, vel cum ſenſu carente ſecundum naturam facit communem. Quod ſi huic acerba & contumelioſa videtur cum deteriore communio; quomodo dominanti in potentatu ipſius ſeculi, ſicut ait Propheta, honor eſt in ſubditæ & ſeruientis naturæ ordinem redigi. Sed hæc quidem hactenus.

A

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM,

ORATIO IIII.

Act. 7. HAM verò de Petri Apoſtoli voce, cura maiore & vigilantiore induſtria tempus poſcit vt diſquiramus, & examinemus quæ ab ipſo Eunomio & * noſtro patre de hoc ſunt dicta. (D. Baſiliũ intelligit.) Quod ſi accurata & diligens ſpeculatio prolixiorem orationem in multam diſputationem extendat, ignoſcet proculdubio benignus & candidus auditor, non inſimulans nos nugari & inſcitè garrire, ſed in eum qui cauſam præbuit culpam transferens; mihi breuia quædam prius de propoſitorum inquiſitione percurrere concedatur: neque hæc fortaſſe à propoſito ſcopo rerum ſeriarum abſona. Nihil eorum quæ per creationem facta ſunt, adorandum eſſe ab hominibus, ſermo diuinus lege ſancta iuſſit: vt ex omni fere à Deo inſpirata ſcriptura tale licet perdiſcere. Moſes, tabulæ, lex, deinceps Prophetæ, Euangelia, Apoſtolorum decreta omnium, ex æquo vetant ad creaturam intueri. Ac quidem longum eſſet ſingula ordine quæ huc pertinent apponere: ſed etſi pauca ex multis ex diuinitus inſpirato teſtimonio deprõpta in mediũ proferamus, nihilominus tamen ſermo fide dignum teſtimonium in ſe continet: quia diuinorum vnumquodque ad veritatis manifeſtationem, vim æqualem obtinet, etſi minimum fuerit. Nam cum bifariam de his quæ ſunt, diuiſa ſit opinio: in creaturam, & in naturam increatam: (i. Increatorũ & creatũ.) ſi, quod nunc ab aduerſariis contenditur, præualuerit: ita vt dicant Dei filium creatum eſſe; neceſſe eſt omnino, vel Euãgelicum præconium ſperni, nec Deum verbum quod in principio erat adorari, quia ſit nefas latriæ cultum creaturæ adhibere, vel ſi quidem præ pudore non audeat negare quę ſunt, in Euangeliis miracula, quibus ad co-

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Δ.

B ΠΕΡΙ δὲ τῆς Πέτρου τοῦ ἀποστόλου φωνῆς καιρὸς ἂν εἴη φιλοπονώτερον διεξετάσαι τὰ εἰρημένα αὐτῷ τε τῷ Εὐνομίῳ, καὶ τῷ ἡμετέρῳ πατρὶ περὶ τούτου. εἰ δὲ εἰς πλῆθος ἐκτείνοι τὸν λόγον ἡ ἀκριβὴς θεωρία, συγγνώσεται πάντως ὁ εὐγνώμων ἀκροατής, οὐχ ἡμᾶς ἀδολεσχεῖν αἰτιώμενος, ἀλλ' ἐπὶ τὸν τὴν ἀφορμὴν δεδωκότα τὴν αἰτίαν ἐπαναφέρων, καί μοι συγκεχωρήσθω βραχέα τινὰ προδιεξελθεῖν τῆς τῶν προ-

C κειμένων ἐξετάσεως· οὐδὲ ταῦτα τυχὸν τοῦ σκοποῦ τῶν σπουδαζομένων ἀπάδοντα. οὐδὲν τῶν διὰ κτίσεως γεγονότων σεβάσμιον εἶναι τοῖς ἀνθρώποις ὁ θεῖος ἐνομοθέτησε λόγος· ὡς ἐκ πάσης μικροῦ δεῖν ἐστι τῆς θεοπνεύστου γραφῆς τὸ τοιοῦτο μαθεῖν. ὁ Μωϋσῆς, αἱ πλάκες, ὁ νόμος, οἱ καθεξῆς προφῆται, τὰ εὐαγγέλια, τῶν ἀποστόλων τὰ δόγματα πάντων, ἐπίσης ἀπαγορεύουσι τὸ πρὸς τὴν κτίσιν βλέπειν, καὶ μακρὸν ἂν εἴη τὰ καθ' ἕκαστον ἐφεξῆς παρατίθεσθαι παρὰ τῶν εἰς τοῦτο φερόν-

D των· ἀλλὰ κἂν ὀλίγα τῆς θεοπνεύστου μαρτυρίας ἐκ πολλῶν παραθώμεθα, ἐπίσης πάντως ὁ λόγος τὸ ἀξιόπιστον ἔχει· διότι τῶν θείων ἕκαστον εἰς φανέρωσιν ἀληθείας, τὸ ἴσον ἔχει, κἂν ἐλάχιστον ᾖ. διχῆ γὰρ διῃρημένης τῆς περὶ τῶν ὄντων ὑπολήψεως, εἴς τε τὴν κτίσιν καὶ εἰς τὴν ἄκτιστον φύσιν, ἐὰν ἐπικρατήσῃ τὸ παρὰ τῶν ἐναντίων νῦν σπουδαζόμενον· ὥστε κτιστὸν εἶναι τὸν υἱὸν τοῦ Θεοῦ λέγειν, ἀνάγκη πᾶσα, ἢ ἀθετεῖσθαι τὸ εὐαγγελικὸν κήρυγμα, καὶ μὴ προσκυνεῖσθαι τὸν ἐν ἀρχῇ ὄντα λόγον Θεόν· διὰ τὸ μὴ δεῖν προσάγειν τὴν λατρείαν τῇ κτίσει, ἢ εἴπερ δυσωποίη τὰ ἐν εὐαγγελίοις θαύματα, δι' ὧν

πρὸς

πρὸς τὸ σεβάζεσθαι καὶ προσκυνεῖν τὸν ἐν ἐκείνοις δηλούμενον ἐναγόμεθα . . . εἰς ὁμοτιμίαν ἄγειν τὸ κτιστὸν καὶ τὸ ἄκτιστον. εἴπερ κατὰ τὸ δόγμα τῶν ὑπεναντίων καὶ ὁ κτιστὸς προσκυνοῖτο Θεός, οὐδεμίαν ἐν τῇ φύσει τὴν προτίμησιν ἔχων τῆς ἄλλης κτίσεως· καὶ εἰ τοῦτο κρατήσειεν, εἰς ἀναρχίαν τινὰ πάντη καὶ δημοκρατικὴν αὐτονομίαν τὰ δόγματα τῆς εὐσεβείας μετενεχθήσεται. ὅταν γὰρ μὴ μίαν εἶναι τὴν προσκυνουμένην φύσιν πιστεύσωσιν οἱ ἄνθρωποι, ἀλλ᾽ εἰς διαφόρους θεότητας ταῖς ἐννοίαις ἀπενεχθῶσιν, οὐκ ἔστιν ὃς στήσει τὴν περὶ τὸ θεῖον ὑπόληψιν προϊοῦσαν διὰ τῆς κτίσεως· ἀλλὰ τὸ νομισθὲν ἐν τῇ κτίσει θεῖον, ἀφορμὴ πρὸς τὴν ἴσην ὑπόληψιν τῷ μετ᾽ ἐκεῖνο θεωρουμένῳ γενήσεται· κἀκεῖνο τῷ ἐφεξῆς, καὶ διὰ πάντων, ἐκ τῆς ἀκολουθίας ταύτης ἡ πλάνη διενεχθήσεται· τῆς πρώτης ἀπάτης διὰ τῶν παρακειμένων μέχρι τῶν ἐσχάτων διεξιούσης. καὶ ὅτι οὐκ ἔξω τι τοῦ εἰκότος στοχαζόμεθα, ἀξιόπιστον τοῦ λόγου παραστήσομεν μάρτυρα, τὴν μέχρι τοῦ νῦν ἐπικρατοῦσαν ἐν τοῖς Ἕλλησι πλάνην. ἐπειδὴ γὰρ ἀπαιδεύτῳ καὶ μικροφυεῖ διανοίᾳ πρὸς τὰ τῆς κτίσεως κάλλη θαυμαστικῶς διετέθησαν, οὐ χειραγωγῷ τε καὶ ὁδηγῷ τῷ θαύματι τῶν φαινομένων πρὸς τὴν τοῦ ὑπερκειμένου κάλλους κατανόησιν συγχρησάμενοι· ἀλλὰ μέχρι τῶν καταλαμβανομένων ἔστησαν ἑαυτῶν τὴν διάνοιαν, καὶ ἕκαστον τῆς κτίσεως μέρος ἰδιαζόντως ἐθαύμασαν. διὰ τοῦτο οὐκ ἐν ἑνί τινι μόνῳ τῶν φαινομένων τὴν περὶ τὸ θεῖον ὑπόληψιν ἔστησαν· ἀλλὰ πᾶν τὸ ἐν τῇ κτίσει βλεπόμενον, θεῖον ἐνόμισαν. καὶ οὕτω τοῖς μὲν Αἰγυπτίοις περὶ τὰ νοερὰ πλέον ἐνεργηθείσης τῆς πλάνης, αἱ μυρίαι τῶν δαιμόνων μορφαί, εἰς φύσεις θεῶν ἠριθμήθησαν. τοῖς δὲ Βαβυλωνίοις ἡ ἀπλανὴς τοῦ πόλου περιφορά, Θεὸς ἐνομίσθη, ὃν καὶ Βὴλ ὠνόμασαν. οὕτω δὲ καὶ τοὺς ἐφεξῆς ἑπτά, ἡ Ἑλληνικὴ ματαιότης ἰδιαζόντως θεοποιήσασα, ἄλλο ἄλλοις κατά τινα τῆς ἀπάτης ἰδιάζοντα λόγον, ὑπέκυψε. πάντας γὰρ τούτους ἐν ἀλλήλοις ἀναστρεφομένους τοὺς κύκλους κατανοήσαντες, ἐπειδὴ περὶ τὸ ἀκρότατον ἐπλανήθησαν,

A lendum & ad adorandum eum qui in illis reuelatur inducimur: neceſſe eſt (inquam) pari honore afficere quod creatum eſt, & quod increatum. Si quidem ſecundum aduerſariorum dogma etiam creatus Deus adoraretur, nullam in natura prærogatiuam haberet præ alia creatura: quòd ſi hoc præualuerit, ad anarchiam certè & multitudinis effrænatæ quandam prorſus licentiam, & popularem ſuis legibus pro libidine vtentem ſtatum pietatis dogmata transferentur. Cùm enim non vnam eſſe naturam quæ adoretur crediderint homines, ſed ad diuerſas deitatis naturas notitiis ani-
B mo informatis abrepti fuerint, non eſt qui procedentem per creaturam diuinitatis opinionem poſſit ſiſtere: ſed quod in creatura diuinum exiſtimatum fuerit, vt de eo quod poſt illud conſideratur eadem opinio animis hominum ingeneretur, occaſio fiet: & illud ei quod deinceps, ſicque per omnia ex hac conſecutione error diffundetur, prima fallacia per propinqua ſiue appoſita vſque ad extrema percurrente. Quod autem à verò alienum minimè conijcio, fide dignum teſtem producam, nempe ad hoc vſque
C tempus inter Græcos præualentem errorem. Poſtquam enim homines imperitá & puſilla cogitatione ac ſententia ad creaturę pulchritudines mirabiliter affecti ſunt, non eorum quæ cernebantur admiratione ceu manuductore & optimo duce ad ſupereminentis pulchritudinis cognitionẽ ſunt vſi: ſed ad ea vſque quæ mente comprehendi poſſunt, ſuam intelligentiam ſtiterunt: & creaturæ partem vnamquamque peculiariter admirati ſunt. Quapropter non in vno quodam ſolo eorum quæ oculis cernuntur diuinitatis opinionem ſtabilierunt: ſed
D quidquid in creatura cernitur, numen exiſtimauerunt. Et ſic Ægyptiis quidem circa naturas intellectuales, amplius inualeſcente errore, innumerabiles dæmonum formæ ad deorum naturas annumeratæ ſunt. Apud Babylonios verò orbis cœli inerrans Deus exiſtimatus eſt, quem etiam Bel nominauerunt. Sic etiam orbes inferiores ſeptem, Græcorum vanitas modo peculiari cum deos feciſſet, alij alium ſecundum erroris quandam rationem peculiarem ſubiecit. Nam cum hos omnes orbes in ſeipſos volui animaduertiſſent, quandoquidem circa ſummum errauerunt,

per conſequens, vſque ad vltimum & citimum eundem errorem conſeruarunt. Præterea ipſum ætherem, atque ſubfuſum aërem, terrámque & mare & ſubterraneam ſortem ſiue extremitatem, & huius ipſius terræ quæcũque ad vitam humanam tuendam & ſuſtentãdam ſunt vtilia & neceſſaria, nihil eſt quod diuinæ naturæ exſors eſſe docuerint: Sed vnumquodque horum vt Deum venerati ſunt: propter vnum horum aliquod quæ in creatura præfulgent, ſeipſos omnibus ſubſequentibus ordine creaturæ partibus in ſeruitutem addicentes. Quòd ſi à principio nefas viſum fuiſſet in creaturam oculos conuertere, non in hanc multitudinis deorum fraudẽ & impoſturam erroribus decepti incidiſſent. Ne igitur etiam nobis eadem contingant, qui in veram deitatem intueri à ſacra ſcriptura docemur: quicquid creatum eſt, id extra diuinam naturam intelligere eruditi ſumus: ſed ſolam increatam naturam colere & adorare. Cuius character & nota, & ſignum eſt, neque cepiſſe eſſe, neque deſinere. Cum magnus Eſaias excelſa voce de his decretis ſic theologicè vaticinatus fuerit, qui ex Dei perſona inquit, Ego primus, & ego nouiſſimus, & ante me Deus non eſt factus, & poſt me Deus non erit. Omnibus enim exactius & perfectius euangelicæ pietatis ſciens myſterium magnus hic propheta, qui etiam illud admirabile & inopinatum ſignum virginis ſignificauit, & filij generationem euangelizauit, atque nomen illud filij manifeſtè protulit. Hic igitur, qui omnẽ per ſpiritum circumplexus veritatem, vt omnibus diuinæ naturæ character eſſet notiſſimus, quo verè ens ab eo quod factum extitit diſcernimus: hoc ait, ex perſona Dei, Ego ſum primus, & ego poſt hæc, & ante me Deus non fuit, & poſt me non eſt. Quoniam igitur, neque ante Deum, Deus: neque poſt Deum, Deus: Quod enim poſt Deum, creatura eſt: quod autem vltra Deum, nihil: nihil verò, Deus non eſt. Immo verò quod ſupra Deum, ipſe eſt ille in æterna beatitudine, nulla re determinatus. Quoniam igitur hæc vox ſpiritualis ore prophetico eſt enũtiata, ex hac decretũ hoc ſiue dogma diſcimus. Quòd vna quædam eſt diuina

Eſai. 44. 45. & 48.

A δι' ἀκολούθου καὶ μέχρι τῆς ἐσχάτου τὴν αὐτὴν πλάνην συνδιεσώσαντο. καὶ πρὸς τούτοις αὐτόν τε τὸν αἰθέρα, καὶ τὸν ὑποκεχυμένον ἀέρα, τήν τε γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ὑποχθόνιον λῆξιν· καὶ αὐτῆς δὲ τῆς γῆς ὅσα χρειώδη καὶ ἀναγκαῖα πρὸς τὴν ἀνθρωπίνην ἐστὶ ζωὴν, οὐδὲν ὅτι τῆς θείας ἀπόκληρόν ἐστι φύσεως ἐδογμάτισαν· ἀλλ' ἕκαστον τούτων προσεκύνησαν· δι' ἑνός τινος τῶν ἐν τῇ κτίσει προφαινομένων πᾶσιν ἑαυτοὺς τοῖς ἐφεξῆς τῆς κτίσεως μορίοις καταδουλώσαντες. ὡς εἴγε κἀκείνοις ἀθέμιτον ἐξ ἀρχῆς κατεφάνη τὸ πρὸς τὴν κτίσιν βλέπειν· οὐκ ἂν εἰς τὴν πολυθεΐαν ταύτην
B ἀπάτην ἀπεπλανήθησαν. ὡς ἂν οὖν μὴ ταυτὰ πάθοιμεν καὶ ἡμεῖς οἱ πρὸς τὴν ἀληθινὴν θεότητα βλέπειν παρὰ τῆς γραφῆς διδασκόμενοι, πᾶν τὸ κτιστὸν ἔξω τῆς θείας φύσεως νοεῖν ἐπαιδεύθημεν· μόνην δὲ τὴν ἄκτιστον φύσιν λατρεύειν τε καὶ σεβάζεσθαι, ἧς χαρακτήρ ἐστι καὶ γνώρισμα τὸ μήτε ἄρξασθαι τὸ εἶναί ποτε μήτε παύεσθαι εἶναι. οὕτως τοῦ μεγάλου Ἡσαΐου διὰ τῆς ὑψηλῆς αὐτοῦ φωνῆς περὶ τῶν δογμάτων τούτων θεολογήσαντος, ὃς ἐκ τοῦ θείου προσώπου φησίν· ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ ἔμπροσθέν μου Θεὸς οὐκ ἐγένετο,
C καὶ μετ' ἐμὲ Θεὸς οὐκ ἔσται. πάντων γὰρ μᾶλλον ἀκριβῶς εἰδὼς τὸ τῆς εὐαγγελικῆς εὐσεβείας μυστήριον ὁ μέγας οὗτος προφήτης, ὁ καὶ τὸ παράδοξον ἐκεῖνο σημεῖον τῆς παρθένου μηνύσας, καὶ τοῦ παιδὸς τὴν γέννησιν εὐαγγελισάμενος, καὶ τὸ τοῦ υἱοῦ ὄνομα ἐκεῖνο σαφῶς παραστήσας. οὗτος τοίνυν ὁ πᾶσαν ἐμπεριειληφὼς διὰ τοῦ πνεύματος ἐν ἑαυτῷ τὴν ἀλήθειαν, ὡς ἂν μάλιστα πᾶσι γένοιτο δῆλος ὁ τῆς θείας φύσεως χαρακτὴρ, δι' οὗ τὸ ὄντως ὂν διακρίνομεν ἀπὸ τοῦ
D γινομένου· τοῦτό φησιν, ἐκ προσώπου τοῦ Θεοῦ, ὅτι ἐγώ εἰμι πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα, καὶ ἔμπροσθεν ἐμοῦ Θεὸς οὐ γέγονε, καὶ μετ' ἐμὲ οὐκ ἔστιν. ἐπεὶ οὖν οὔτε τὸ πρὸ τοῦ Θεοῦ, Θεός· οὔτε τὸ μετὰ τὸν Θεόν, Θεός· τὸ μὲν γὰρ μετὰ τὸν Θεόν, κτίσις· τὸ δὲ ἐπέκεινα τοῦ Θεοῦ, οὐδέν· τὸ δὲ οὐδέν, Θεὸς οὐκ ἔστι. μᾶλλον δὲ τὸ ἐπέκεινα τοῦ Θεοῦ αὐτὸς ἐκεῖνος ἐν τῇ ἀϊδίῳ μακαριότητι πρὸς οὐδὲν ὁριζόμενος. ἐπεὶ οὖν ἡ φωνὴ αὕτη ἡ πνευματικὴ ἐν τῷ προφητικῷ στόματι λαληθεῖσα, δόγμα διὰ τούτου μανθάνομεν. ὅτι μία τίς ἐστιν ἡ θεία

φύσις, συνεχὴς πρὸς ἑαυτὴν καὶ ἀδιάστατος, τὸ πρότερον καὶ ὕστερον ἐφ' ἑαυτῆς οὐ προσιεμένη, κἂν ἐν τριάδι κηρύσσηται· οὔτε πρεσβύτερόν τι τῶν ἐν αὐτῇ θεωρουμένων οὔτε μεταγενέστερον ἔχουσα. ἐπεὶ οὖν Θεοῦ ἡ φωνή· ἐάν τε τοῦ πατρὸς δῷς εἶναι τὸν λόγον, ἐάν τε τοῦ υἱοῦ, ἐπίσης δι' ἑκατέρου τὸ δόγμα τῆς εὐσεβείας κρατύνεται. ἐὰν μὲν γὰρ ὁ πατὴρ ταῦτα λέγῃ, μαρτυρεῖ τῷ υἱῷ τὸ μὴ μετ' αὐτὸν εἶναι. εἰ γὰρ Θεὸς μὲν ὁ υἱός, πᾶν δὲ μετὰ τὸν πατέρα Θεὸς οὐκ ἔστι, δῆλον ὅτι τὸ ἐν τῷ πατρί, καὶ μὴ μετὰ τὸν πατέρα τὸν υἱὸν εἶναι, ὁ λόγος μαρτύρεται. εἴτε τοῦ υἱοῦ δοίη τις εἶναι τὴν φωνὴν ταύτην, τὸ οὐ γέγονεν ἔμπροσθέν μου, διδασκαλία σαφὴς ἔσται τῇ τῆς ἀρχῆς ἀϊδιότητι συγκαταλαμβάνεσθαι καὶ τὸν ἐν τῇ ἀρχῇ θεωρούμενον. εἴ τις οὖν μετὰ τὸν Θεόν ἐστι, κτίσις τοῦτο καὶ οὐ Θεὸς διὰ τῶν εἰρημένων εὑρίσκεται. τὸ γὰρ μετ' ἐμὲ ὄν, φησι, θεὸς οὐκ ἔστι. ταύτης τοίνυν προεκτεθείσης ἡμῖν τῆς περὶ τῶν ὄντων θεωρίας, καιρὸς ἂν εἴη τὸν προκείμενον ἐξετάσαι λόγον. οὐκοῦν εἴρηται μὲν παρὰ τοῦ Πέτρου πρὸς τοὺς Ἰουδαίους, ὅτι κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε, λέγεται δὲ παρ' ἡμῶν οὐ πρὸς τὸ θεῖον τοῦ μονογενοῦς εὐσεβὲς εἶναι τὸ ἐποίησεν ἀναφέρειν. ἀλλὰ πρὸς τὴν τοῦ δούλου μορφὴν τὴν κατὰ καιρὸν τῆς ἐν σαρκὶ παρουσίας οἰκονομικῶς γενομένην· οἱ δὲ πρὸς τοὐναντίον τὸν λόγον βιαζόμενοι, τὴν προαιώνιον τοῦ υἱοῦ γέννησιν τῇ ἐποίησε φωνῇ παρὰ τοῦ ἀποστόλου διασημαίνεσθαι λέγουσι. προθέντες τοίνυν ἐν τῷ μέσῳ τὸν λόγον, καὶ δι' ἀκριβείας ἀμφοτέρας τὰς ὑπολήψεις ἐπισκεψάμενοι, τῷ ἀκροατῇ τὴν κρίσιν τοῦ ἀληθοῦς καταλειψόμεθα. ἀλλὰ τῆς μὲν τῶν ἐναντίων διανοίας, ἱκανὸς ἂν εἴη συνήγορος αὐτὸς ὁ ΕΥνόμιος, οὐκ ἀγεννῶς ἐν τούτοις ἀγωνισάμενος. ὥστε τὸν ἐκείνου λόγον ἐπὶ λέξεως διεξελθόντες, ἐν τέλει τοὺς ὑπὲρ τῶν μαχομένων ἡμῖν λόγους διηγησόμεθα· τοῦ δὲ καθ' ἡμᾶς δόγματος ἡμεῖς κατὰ τὸ δυνατὸν προστησόμεθα, τοῖς παρὰ τοῦ μεγάλου Βασιλείου προεκτεθεῖσιν, ὅπως ἂν οἷοί τε ὦμεν κατ' ἴχνος ἑπόμενοι. οἱ δὲ τῇ ἀληθείᾳ διὰ τῆς ἀναγνώσεως δικάζοντες, καθώς φησί τις τῶν προφητῶν, κρίμα δίκαιον κρίνατε, μὴ ταῖς φιλονείκοις προλήψεσιν, ἀλλὰ τῇ δεικνυμένῃ διὰ τῆς ἐξετάσεως ἀληθείᾳ δόντες τὰ νικητήρια:

A natura continua ſecum & indiuulſa prius & poſterius in ſeipſa nõ admittens, tametſi in Trinitate prædicatur: nihil eorum quæ in ipſa conſiderantur antiquius, neque poſterius habens. Quoniam igitur Dei hæc vox: ſiue enim patris hunc ſermonem eſſe, ſiue filij, ex æquo per vtrumque pietatis dogma confirmatur: ſiue enim pater hæc dicat, teſtificatur filio, quòd non eſt poſt ipſum. Si enim Deus eſt filius, quod autem eſt poſt patrem, Deus non eſt; perſpicuum quod in patre & non poſt patrem filium eſſe ſermo teſtatur. Siue filij det aliquis B hanc vocem eſſe, quod non extitit ante me, doctrina manifeſta erit ſimul cum principij æternitate cõprehendi eum qui in principio conſideratur. Si quis igitur poſt Deũ eſt, creatura certè, & non Deus per ea quæ dicta ſunt inuenitur. Quod enim ait, poſt me eſt, Deus non eſt. Hac igitur prius à nobis de his quæ ſunt, expoſita ſpeculatione, tẽpus iam fuerit propoſitum ſermonẽ examinare. Dictum eſt igitur à Petro ad Iudæos quod [Dominũ ipſum & Chriſtũ fecit Deus, hunc ipſum Ieſum quẽ vos crucifixiſtis] dicitur au- C tem à nobis, nõ ad vnigeniti diuinitatem pium eſſe referre verbum, fecit, ſed ad ſerui formam ſecundum tempus aduentus in carne, non ſine myſterio & certa ratione & diſpenſatione, id eſt, per incarnationem factam. Qui autem in contrarium hunc ſermonem violenter torquent, ante-æternam generationem hac voce (fecit) ab Apoſtolo ſignificari autumant. Cum itaque in mediũ ſermonem propoſuerimus, ſubtiliterque & accurate ambas opiniones expenderimus, auditori iudicium veri relinquemus. Sed aduerſariorum intelligentiæ idoneus fuerit D patronus ipſe Eunomius, qui in his ſegniter certauit. Itaque cum illius ſermonem ad verbum percurrerimus, tum demum rationes eorũ quæ pro aduerſariis noſtris faciũt enarrabimus: Ad cõfirmationẽ verò noſtri dogmatis proponemus ea quę ſunt à magno Baſilio prius expoſita, quæ quidẽ quantum fieri poterit è veſtigio ſequemur. Alij autẽ ex hac lectione pro veritate iudiciũ ferẽtes, ſicut prophetarum quidã ait, iuſtum iudicium iudicate, nõ contẽtioſis anticipatis opinionibus, ſed veritati per inquiſitionem demõſtratæ victoriæ præmia attribuentes.

Act. 2.

Verbum [fecit] non ad eſſentiã diuinã filij Dei, ſed ad ſtatum & ſummã dignitatẽ referendum eſt, in quã Chriſtus ſerui formã gerens euectus eſt.

Verba ſunt Eunomij heretici, Baſilij magni ſcripta refellere conantis.

Primus iam noſtrorum huc prodeat accuſator, tanquam in foro ſcripta recitans. [Inſuper, hoc etiam verbum (fecit) in eſſentia filij ſumere recuſans, ſimúlque ad crucem erubeſcens, imponit quidem Apoſtolis quæ nullus neque ex his qui ad ſiniſtra, id eſt, ad infauſta vel inepta, ipſos impiis conuitiis inceſſere vehementer conati ſunt: duos autem Chriſtos apertè & duos dominos inducit ſuis decretis & ſermonibus: dicit enim: Quod non eum qui in principio erat Verbum, Dominum & Chriſtum Deus fecit, ſed eum qui ſe exinaniuit ſeipſum in formam ſerui, & crucifixum ex infirmitate. Hæc autem ſcribit apertè Baſilius iſte magnus. Præterea vel nullus eſt Apoſtoli ſenſus, vel eam quæ eſt ante ſæcula, hypoſtaſim vnigeniti nobis repræſentat, de qua ſermo in præſenti: non enim de eſſentia ipſa Dei verbi, quod in principio erat apud Deum, ſed de eo qui ſeipſum exinaniuit in forma ſerui, & qui factus eſt conformis corpore humilitatis noſtræ, quique crucifixus eſt ex infirmitate, manifeſtè diſſerit. Et hoc quidem cuiuis, vel mediocriter attendenti, quid ſibi velit illud dictum Apoſtolicum, cognitu facilè eſt. Non Theologiæ nobis modum tradere, ſed œconomiæ, id eſt, de myſterio incarnationis rationes inducere. Dominum, inquit, ipſum & Chriſtum Deus fecit hunc ipſum Ieſum, quem vos in crucem egiſtis. Voce demonſtratiua ad humanitatem ipſius, & ad id quod ab omnibus videbatur apertè intendens: hæc igitur profert iſte qui Apoſtolorum ſententiæ & intentioni propriam mentem ſubmutat: nefas enim eſt dicere quod intelligat, nequando quis tantæ amentiæ inſimulet viros ſanctos, & ad pietatis prædicationem ſelectos, ita vt illorum doctrinam in tantum deficientem contumelioſè audeat aſſerere. Qui ergo ſuas nugas & deliria ad ſanctorum memoriam referunt, qua non pleni perturbatione? qua non abſurditate referti? qui hominem in hominem euacuatum eſſe opinantur, & per hoc eum qui pro ſua obedientia ſeipſum humiliauit formam ſerui accipiens, conformem hominibus fuiſſe etiam priuſquam hanc formã aſſumpſiſſet, prçſtruũt. O vos omnium ſocordiſſimi, qui ſerui formam habet, formam ſerui aſſumit:

A Καὶ παρίτω γε πρῶτος ὁ τῶν ἡμετέρων κατήγορος, ὥσπερ ἐν δικαστηρίῳ τὰ γεγραμμένα λέγων. Πρὸς δὲ τοῖς εἰρημένοις, καὶ τὸ ἐποίησεν ἐπὶ τῆς οὐσίας τοῦ υἱοῦ λαβεῖν παραιτούμενος, ὁμοῦ τε τὸν σταυρὸν ἐπαισχυνόμενος, τίθησι μὲν τοῖς ἀποστόλοις ἃ μηδεὶς μηδὲ τῶν εἰς σκαιὰ βλασφημεῖν αὐτοὺς ἐσπουδακότων· δύο δὲ σαφῶς Χριστοὺς, καὶ δύο κυρίους ἐπεισάγει τοῖς ἑαυτοῦ δόγμασι καὶ λόγοις· φησὶ γάρ· ὡς οὐ τὸν ἐν ἀρχῇ ὄντα λόγον κύριον καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν, ἀλλὰ τὸν κενώσαντα ἑαυτὸν εἰς μορφὴν δούλου, καὶ σταυρωθέντα ἐξ ἀσθενείας. B Ταῦτα γράφει δὲ ὁ μέγας Βασίλειος διαῤῥήδην οὕτως. ἔτι δὲ οὐδὲν ἐστὶν ἡ τοῦ ἀποστόλου διάνοια, ἢ τὴν πρὸ αἰώνος ὑπόστασιν τοῦ μονογενοῦς ἡμῖν παρίστησι, περὶ ἧς ὁ λόγος ἐν τῷ παρόντι· οὐ γὰρ περὶ τῆς οὐσίας αὐτῆς τοῦ Θεοῦ λόγου τοῦ ἐν ἀρχῇ ὄντος πρὸς τὸν Θεὸν, ἀλλὰ περὶ τοῦ κενώσαντος ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ, καὶ γενομένου συμμόρφου τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, καὶ σταυρωθέντος ἐξ ἀσθενείας, σαφῶς διαλέγεται. Καὶ τοῦτο παντὶ γνώριμον, τῷ καὶ μικρὸν ἐπιστήσαντι τῆς ἀποστολικῆς λέξεως τῷ βουλήματι. C ὅτι οὐχὶ θεολογίας ἡμῖν παραδίδωσι τρόπον, ἀλλὰ τοὺς τῆς οἰκονομίας λόγους παρεισάγει. κύριον γὰρ αὐτὸν, φησὶ, καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν, ὃν ὑμεῖς ἐσταυρώσατε. τῇ δεικτικῇ φωνῇ πρὸς τὸ ἀνθρώπινον αὐτοῦ, καὶ βλεπόμενον πᾶσι, προδήλως ἐπερειδόμενος· ταῦτα μὲν οὖν ὁ τῷ τῶν ἀποστόλων βουλήματι τὸν ἑαυτῶν νοῦν ὑπαλλάξας, οὐ γὰρ δὴ θέμις εἰπεῖν ἐπιστήσας, μήποτέ τις τοσαύτην καταψηφίσαιτο παράνοιαν, ἀνδρῶν ὁσίων, καὶ πρὸς τὸ τῆς εὐσεβείας κήρυγμα λογάδων. D ὥστε τὴν ἐκείνων διδασκαλίαν εἰς τοσαύτην ὑπερβολὴν ἀπολείπουσαν εἰς ὑβρίζειν. Οἱ τὸν ἑαυτῶν λῆρον εἰς τὴν τῶν ὁσίων μνήμην ἀναφέροντες, ποίας οὐ μεστοὶ ταραχῆς; ποίας οὐκ ἀτοπίας γέμοντες; οἱ τὸν ἄνθρωπον εἰς ἄνθρωπον κεκενῶσθαι δοξάζοντες, καὶ διὰ τούτου, τὸν ἐξ ὑπακοῆς ἑαυτὸν ταπεινώσαντα τῇ τοῦ δούλου μορφῇ, σύμμορφον εἶναι τοῖς ἀνθρώποις καὶ πρὶν ταύτην ἀναλαβεῖν τὴν μορφὴν κατασκευάζοντες. Καὶ πῶς ὦ πάντων ὑμεῖς ῥαθυμότατοι, μορφὴν ἔχων δούλου, μορφὴν ἀναλαμβάνει δούλου·

πῶς δ' ἂν τις ἑαυτὸν εἰς τοῦτο κενώσειεν ὅπερ ἐστίν; οὐ μὴν οὐδὲ εὑρήσετε τούτων τινὰ μηχανὴν, καίπερ ὄντες τολμηροὶ λέγειν, καὶ φρονεῖν ἀμήχανα. πῶς δὲ οὐκ ἐλεεινότατοι πάντων ὑμεῖς, ἄνθρωπον ὑπὲρ ἁπάντων ἀνθρώπων πεπονθέναι δοξάζοντες, καὶ τούτῳ τὴν ἑαυτῶν ἀνατιθέντες λύτρωσιν. εἰ γὰρ μὴ περὶ τοῦ ἐν ἀρχῇ ὄντος λόγου καὶ Θεοῦ ὄντος, ὁ μακάριος διαλέγεται Πέτρος· ἀλλὰ περὶ τοῦ βλεπομένου καὶ κενώσαντος ἑαυτὸν, καθώς φησι Βασίλειος, ἐκένωσεν δὲ ὁ βλεπόμενος ἄνθρωπος ἑαυτὸν εἰς δούλου μορφήν· ὁ δὲ κενώσας ἑαυτὸν εἰς δούλου μορφὴν εἰς ἀνθρώπου γένεσιν ἐκένωσεν ἑαυτὸν, ὁ βλεπόμενος ἄνθρωπος εἰς ἀνθρώπου γένεσιν ἐκένωσεν ἑαυτόν. ἀλλ' ἀντιμάχεται μὲν τούτοις καὶ αὐτὴ τῶν πραγμάτων ἡ φύσις. ἀντιφθέγγεται δὲ περιφανῶς καὶ αὐτὸς ὁ τῇ θεολογίᾳ τὴν οἰκονομίαν ταύτην ὑμνήσας· οὐ τὸν βλεπόμενον ἄνθρωπον, ἀλλ' αὐτὸν τὸν ἐν ἀρχῇ ὄντα λόγον, καὶ Θεὸν ὄντα, σάρκα ἀνειληφέναι λέγων· ὅπερ ἄλλαις φωναῖς ἴσον ἐστὶ, τῷ μορφὴν δούλου λαβεῖν. οἱ μὲν οὖν ταῦτα νομίζετε πιστὰ, μετάθεσθε τῆς πλάνης, παύσασθε τὸν ἄνθρωπον εἰς ἄνθρωπον κεκενῶσθαι δοξάζοντες. εἰ δὲ οὐχ ἱκανοί ἐστε πείθειν ἀπείστους, ἑτέρᾳ φωνῇ καὶ δευτέρᾳ ψήφῳ τὴν ἀπιστίαν λύσατε. ὑπομνήσθητε τοῦ φήσαντος· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· οὐ γάρ ἐστιν ἀνθρώπων οὐδεὶς, ὃς τοῦτον οἰκειώσεται τὸν λόγον. οὐδεὶς τῶν πώποτε γενομένων ἁγίων, μονογενὴς ἦν Θεὸς, γενόμενος ἄνθρωπος. τοῦτο γάρ ἐστιν ἐν μορφῇ Θεοῦ ὑπάρχοντα, μορφὴν δούλου λαβεῖν. Εἰ τοίνυν περὶ τοῦ κενώσαντος ἑαυτὸν εἰς τὴν τοῦ δούλου μορφὴν ὁ μακάριος διαλέγεται Πέτρος· ἐκένωσεν δὲ ἑαυτὸν εἰς τὴν δούλου μορφὴν, ὁ ἐν ἀρχῇ ὢν λόγος, καὶ Θεὸς ὢν μονογενὴς, περὶ τοῦ ἐν ἀρχῇ ὄντος καὶ Θεοῦ ὄντος, ὁ μακάριος διαλέγεται Πέτρος, καὶ τοῦτον ἐκδιδάσκει γεγενῆσθαι κύριον καὶ Χριστόν. ταύτην μέν τοι τὴν μάχην, αὐτὸς πρὸς ἑαυτὸν ἀναστρέφει Βασίλειος, καὶ δείκνυται σαφῶς, οὔτε τῷ βουλήματι τῶν ἀποστόλων τὸν ἑαυτοῦ νοῦν ἐπιστήσας, οὔτε

A quomodo quis ſeipſum in eo quod iam eſt exinanierit? Nullam enim ad hæc inuenietis machinam, ſitis licet cùm ad dicendum cùm ad ſentiendum impoſſibilia audaciſſimi. Sed quomodo non omniũ vos eſtis maximè miſerandi, hominem pro omnibus hominibus paſsũ eſſe opinantes, ipſique illorum redemptionem attribuentes. Si enim non de verbo quod erat in principio, & quod Deus erat, beatus Petrus diſſerit: ſed de eo qui videbatur, & qui ſeipſum exinaniuit, ſicut ait Baſilius, Seipſum autem exinaniuit is qui videbatur homo in ſerui formam. Qui verò exinaniuit ſeipſum ad
B ſerui formam, ad hominis generationem ſeipſum exinaniuit, igitur qui iam videbatur homo ad hominis generationem exinaniuit ſeipſum. Sed & ipſa rerum natura repugnat ipſis, contradicit etiam manifeſtè is ipſe qui hanc diſpenſationem in ſua Theologia celebrauit: non eum hominem qui videbatur; ſed ipſum verbum quod erat in principio, & qui Deus erat, carnem adſumpſiſſe dicens: quod quidem alijs verbis idem eſt ac ſi diceret, ſerui formam ſumpſiſſe. Qui igitur hæc credibilia exiſtimatis, ab errore
C diſcedite, deſinite hominem exinanitum eſſe, opinari. Quod ſi non poteſtis incredulis perſuadere, altera voce & ſecunda ſententia perfidiam ſiue incredulitatem ſoluite. In memoriam reuocate eum qui dixit, qui in forma Dei cùm eſſet, non rapinam arbitratus eſt eſſe ſe æqualem Deo, ſed ſemetipſum exinaniuit formam ſerui accipiens: Nullus enim eſt hominum, qui hunc ſibi vendicet & peculiarẽ faciat ſermonem. Nullus vnquam ſanctorum qui fuerũt, vnigenitus fuit Deus, homo factus. Hoc enim eſt in forma Dei exiſtentem ſerui formam ſumere. *Philip. 2.*
D Si igitur de eo qui ſemetipſum ad formam ſerui exinaniuit, beatus Petrus diſſerit: ſemetipſum autem ad ſerui formam exinaniuit, qui in principio erat Verbum, & Deus qui eſt vnigenitus, de eo qui erat in principio & Deus erat, beatus Petrus diſſerit, & hunc docet factum eſſe Dominum & Chriſtum. Hanc quidem pugnam ipſe ſecum verſat Baſilius, & clarè oſtendit, neque intentioni ſiue ſententiæ Apoſtolorum ſuam mentem attentam reddere, neque *Act. 2.*

ſuorum ſermonum ſeruare conſequentiam: ex quibus vel inæqualitatem ſermonis ſui animaduertens, concedet eum qui erat in principio verbum, & Deum qui erat factum eſſe Dominum, vel pugnantibus pugnantia conſuens, & in his contentioſè permanens, alia adijciet hoſtiliora: duos adſtruens eſſe Chriſtos, & duos dominos: ſi enim alter quidem qui erat in principio Deus verbum: alter vero qui ſemetipſum exinaniuit & formam ſerui aſſumpſit: dominus autem & Deus verbum per quem omnia: dominus autem & Chriſtus hic Ieſus qui crucifixus eſt, poſteaquam ſunt facta omnia: duo ſecundum ipſum Domini & Chriſti: hunc quidem nulla excuſabit oratio, tam apertæ & manifeſtæ impietatis ſiue blaſphemiæ reum. Quod ſi quis hoc commendans dixerit eundem eſſe eum qui in principio erat Verbum, & factum Dominum, ſed per carnis aſſumptionem & præſentiam factum eſſe Dominum & Chriſtum: cogetur omnino dicere ante aduentum in carne non eſſe filium Dominum. Verumenimuero tametſi Baſilio & ſecundum ipſum infidelibus duo Domini & Chriſti falſo annuntiantur, tamen nobis vnus Dominus & Chriſtus, per quem omnia ſunt facta, non ſecundum profectum ſiue progreſſum factus Dominus, ſed ante omnem creaturam & ante omnia ſecula exiſtens Dominus Ieſus, per quem omnia hoc nos omnibus ſanctis vna concordique voce & conſenſu docentibus atque decretorum pulcherrimum annuntiantibus: interdum enim beatus Ioannes Deum Verbum, per quem omnia facta ſunt in carne factum eſſe docet, dum dicit, *Et Verbum caro* Ioan. 1. *factum eſt.* Et Paulus omnium admirabiliſſimus, ad humilitatem exhortans eos qui ipſi mentem adhibent, Chriſtum Ieſum dicit eum qui in forma Dei exiſtit, & qui ſemetipſum exinaniuit formam ſerui accipiẽs: & qui humiliauit ſeipſum factus obediens vſque ad mortem, mortem autem crucis. Et rurſus in aliis: Dominum gloriæ nominat eum qui in crucem actus eſt. Si enim cognouiſſent (in- Philip. 2. quit) Dominum gloriæ, non crucifixiſſent. Et hoc multo nudius ipſam eſſen- 1. Cor. 2. tiam nominat Dominum cum dixit: Dominus autem ſpiritus eſt. Si igitur qui in principio erat Verbum, quatenus ſpiritus, Dominus eſt & gloriæ Dominus. Hunc autem Dominum & Chriſtum

A τὴν οἰκείων λόγων φυλάττων τὴν ἀκολουθίαν· ἐξ ὧν ἢ συναισθόμενος τῆς ἀνωμαλίας συγχωρήσει τὸν ἐν ἀρχῇ ὄντα λόγον, καὶ Θεὸν ὄντα γεγενῆσθαι κύριον, ἢ μαχομένοις μαχόμενα συνάπτων καὶ τούτοις παραμένων φιλονείκως, ἕτερα προσθήσει πολεμιώτερα· δύο κατασκευάζων εἶναι Χριστούς, καὶ δύο κυρίους· εἰ γὰρ ἕτερος μὲν ὁ ἐν ἀρχῇ ὢν Θεὸς λόγος· ἕτερος δὲ ὁ κενώσας ἑαυτὸν καὶ μορφὴν δούλου λαβών. κύριος δὲ καὶ ὁ Θεὸς λόγος δι' οὗ τὰ πάντα· κύριος δὲ καὶ ὁ Χριστὸς B ἐστὶν ὁ Ἰησοῦς, ὁ σταυρωθεὶς, μετὰ τὸ γενέσθαι τὰ πάντα· δύο κατ' αὐτὸν κύριοι καὶ Χριστοί. τοῦτον μὲν οὖν οὐδεὶς παραιτήσεται λόγος τῆς οὕτως περιφανοῦς βλασφημίας. εἰ δέ τις τοῦτο συνιστάμενος φαίη τὸν αὐτὸν μὲν εἶναι τὸν ἐν ἀρχῇ λόγον καὶ γενόμενον κύριον, κατὰ δὲ τὴν ἐν σαρκὶ παρουσίαν γεγενῆσθαι κύριον καὶ Χριστὸν, ἀναγκασθήσεται πάντως εἰπεῖν, πρὸ τῆς ἐν σαρκὶ παρουσίας μὴ εἶναι τὸν υἱὸν κύριον. ἀλλὰ γὰρ εἰ καὶ Βασιλείῳ, καὶ τοῖς κατ' αὐτὸν ἀπίστοις δύο κύριοι καὶ Χριστοὶ καταγγέλ- C λονται ψευδῶς, ἀλλ' ἡμῖν γε εἷς κύριος καὶ Χριστὸς, δι' οὗ τὰ πάντα γέγονεν, οὐ κατὰ προκοπὴν γενόμενος κύριος, ἀλλὰ πρὸ πάσης κτίσεως, καὶ πρὸ πάντων αἰώνων ὑπάρχων κύριος Ἰησοῦς, δι' οὗ τὰ πάντα, τοῦτο πάντων ἡμᾶς τῶν ἁγίων συμφώνως ἐκδιδαξάντων, καὶ καταγγειλάντων δογμάτων τὸ κάλλιστον· ὅτε γὰρ μακάριος Ἰωάννης, τὸν Θεὸν λόγον δι' οὗ τὰ πάντα γέγονεν, ἐν σαρκὶ γεγενῆσθαι διδάσκει, λέγων, καὶ ὁ λόγος σὰρξ ἐγένετο. ὅτε θαυμασιώτατος Γαῦλος, εἰς ταπεινοφροσύνην ἐνάγων τοὺς προσέχοντας αὐτοῦ τὸν νοῦν, Χρι- D στὸν Ἰησοῦν λέγει τὸν ἐν μορφῇ Θεοῦ ὑπάρχοντα, καὶ κενώσαντα ἑαυτὸν εἰς δούλου μορφὴν, καὶ ταπεινωθέντα μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. καὶ πάλιν ἐν ἑτέροις, κύριον τῆς δόξης ὀνομάζει τὸν σταυρωθέντα. εἰ γὰρ ἔγνωσαν, φησὶν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν: καὶ πολύ γε τούτου γυμνότερον αὐτὴν τὴν οὐσίαν ὀνομάζει κύριον, εἰπών· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν. εἰ τοίνυν ὁ ἐν ἀρχῇ λόγος, καθὸ πνεῦμα, κύριος καὶ τῆς δόξης κύριος. τοῦτον δὲ τὸν κύριον καὶ Χριστὸν

ἐποίησεν ὁ Θεός, αὐτὸ δὲ πνεῦμα καὶ τὸν Θεὸν λόγον ἐποίησεν ὁ Θεός· καὶ οὐκ ἄλλον τινὰ κύριον, ὃν ὀνειροπολεῖ Βασίλειος. ἡ μὲν δὴ κατηγορία, τοιαύτη. δοκεῖ δέ μοι χρῆναι πρότερον ἐπὶ κεφαλαίων, ἕκαστον τῶν ἐπενηνεγμένων ἐν ὀλίγῳ διεξελθεῖν· εἶθ' οὕτως εὐθῦναι τῷ λόγῳ τὰ εἰρημένα. ὡς ἂν τοῖς τε κρίνουσι τὴν ἀλήθειαν εὐμνημόνευτος ἡ καθ' ἡμῶν εἴη γραφὴ πρὸς ἣν ἀπολογήσασθαι χρή· καὶ ἡμεῖς ἐν τάξει καὶ ἀκολουθίᾳ τῶν ἐγκλημάτων, ἕκαστον διαλύσαιμεν. ἐπαισχύνεσθαι, φησὶν, ἡμᾶς τῷ σταυρῷ τοῦ Χριστοῦ· καὶ κατηγορεῖν τοὺς ἁγίους, καὶ ἄνθρωπον εἰς ἄνθρωπον κεκενῶσθαι λέγειν. καὶ πρὸ τῆς διὰ σαρκὸς παρουσίας τὴν τοῦ δούλου μορφὴν ἔχειν τὸν κύριον οἴεσθαι, καὶ ἀνθρώπῳ ἀνατιθέναι τὴν λύτρωσιν, καὶ δύο Χριστούς τε καὶ κυρίους ἐν τῷ δόγματι λέγειν. ἢ εἰ μὴ τοῦτο, πρὸ τοῦ πάθους μὴ λέγειν εἶναι τὸν μονογενῆ Χριστόν τε καὶ κύριον, ὡς ἂν οὖν φυγεῖν τὴν βλασφημίαν ταύτην, πεποιῆσθαι φησὶ δεῖν τοῦ υἱοῦ τὴν οὐσίαν ὁμολογεῖν. ὡς καὶ τοῦ ἀποστόλου Πέτρου τὸ τοιοῦτον δόγμα, τῇ ἰδίᾳ βεβαιοῦντος φωνῇ. ταῦτα τῆς κατηγορίας ἐστὶ τὰ κεφάλαια· τὰ γὰρ ὅσα πρὸς τὴν καθ' ἡμῶν λοιδορίαν πεφιλοπόνηται, ὡς οὐδὲν συντελοῦντα πρὸς τὸν σκοπὸν, σιωπήσομεν. τάχα γὰρ ἡ τοιαύτη τῶν λόγων καταφορὰ, κατά τινα τεχνικὴν θεωρίαν συνήθης ἐστὶ τοῖς ῥητορεύουσι, πρὸς μείζονα κατηγορίας ὄγκον ἐξευρημένη. ὑβριζέτω τοίνυν διὰ τῆς τέχνης ὁ σοφιστὴς, καὶ τοῖς καθ' ἡμῶν ὀνείδεσιν ἐνεκμαζέτω· μεταξὺ τῶν ἀγώνων ταῖς καταφοραῖς ἐμπομπευέτω, καλείτω πάντων ῥαθυμοτάτους, καὶ πάντων ἐλεεινοτάτους, ταραχῆς τε καὶ ἀτοπίας πλήρεις· καὶ πάντων ὅτι βούλεται φαυλιζέτω κατ' ἐξουσίαν ἡμᾶς. καὶ ἡμεῖς ἀνεξόμεθα· αἰσχύνη γάρ ἐστι τῷ γε νοῦν ἔχοντι, οὐ τὸ λοιδορουμένους ἀκούειν, ἀλλὰ πρὸς τὸ ῥηθὲν ἐπιστρέφεσθαι. ἔχει δέ τι καὶ χρήσιμον ἴσως τὸ καθ' ἡμῶν αὐτὸν κεχρῆσθαι τῇ φύσει· τάχα γὰρ τῆς κακηγορίας αὐτοῦ γλῶσσαν εἰς ἡμᾶς ἀσχολήσας, μικρὰν γοῦν ἐκεχειρίαν τῆς κατὰ τοῦ Θεοῦ μάχης ποιήσεται. οὐκοῦν ἐμφορείσθω κατ' ἐξουσίαν τῶν ὕβρεων, καὶ ὁ ἀντιλέγων οὐκ ἔσται. οὐδὲ γὰρ εἴ τις ἄτοπον καὶ δυσῶδες πνέοι κατὰ σωματικὴν δυσκρασίαν, ἢ

A fecit Deus; Ergo & ipſum ſpiritum & Deum verbum? fecit Deus, nec alium quendam Dominum quem ſomniat Baſilius. Accuſatio quidem talis eſt. Mihi autem videtur oportere primum ſigillatim vnumquodque eorum quæ illata ſunt breui ſermone percurrere: deinde ſic oratione quæ ſunt dicta ad amuſſim dirigere, vt & veritatem iudicantibus memoratu facilis ſit contra nos ſuſceptæ accuſationis libellus, ad quem defenſio paranda eſt, & vt nos ordine & optima ſerie, criminum vnumquodque diluamus. Nos, ait, ſuper cruce Chriſti erubeſcere B & ſanctos criminari in hominem & hominẽ exinanitum eſſe dicere, atque ante aduentum per carnem, Dominum ſerui formam habere putare: Et homini redemptionẽ attribuere, duóſque Chriſtos & dominos in dogmate aſſerere. Vel ſi non hoc aſſerimus, ſaltem illum ante paſſionem non dicere vnigenitum eſſe, Chriſtum & Dominum. Vt igitur hanc blaſphemiam ſiue impiam offenſionem fugiamus, oportere autumat nos confiteri factam eſſe filij eſſentiam. Cum ſic etiam Petrus Apoſtolus tale dogma pro- C pria voce confirmet. Hæc accuſationis ſunt capita: Nam quæcunque ad maledicentiam & conuitia contra nos ſunt elaborata, vt ad rem nihil pertinentia tacitus præteribo. Fortaſſis enim talis orationum impetus artificioſa quadam ratione decurrens oratoribus familiaris eſt ad maiorem accuſationis tumorem inuentus. Quare contumelioſè agat ſua arte hic ſophiſta, & probris ac ſequis dictis nos iuueniliter laceſſat & incitet: ac inter certamina longiores ſpiritus producens, appellet nos inertiſſimos, omnium maximè miſerabiles, turbido & abſurdo D motu plenos: & quicquid vult pro ſuo iure nos omnium viliſſimos & contemptiſſimos ſubſannet, & turpi fama differat; nos ſuſtinebimus: dedecus eſt enim viro prudenti, non ſanè conuitiantem audire, ſed ad ea quæ dicuntur conuitia retorquere. Vtile etiam aliquid habet fortaſſe ipſum contra nos ſuo ingenio vſum fuiſſe: nam maledicam ſuam in nos linguam exercens, fortaſſe breues inducias pugnæ contra Deum faciet. Igitur contumeliis & atrocibus iniuriis ſatietur & impleatur pro ſua licentia, non erit qui contradicat. Neque enim ſi quis tetrum & graueolentem ſpiret odorem propter corporis intemperiem, vel pro-

Huc vſque verba ſunt Eunomij aduerſus Baſiliũ M. à Gregorio Nyſſeno ad verbum relata & inſerta.

Criminum Eunomij aduerſus Baſiliũ M. & orthodoxos ſummaria collectio & refutatio.

pter peſtilentem & malignum morbum, prouocaret bene valentem ad infortunij æmulationem. Ita vt velit par pari referre, ac propriū morbum inſuauitatem eius qui malè olet arcere: talium enim miſereri & non imitari communis conſulit natura. Quare prætermiſſis talibus quæ labore & ſtudio ſermoni admiſcuit, cauillando, lamentando, moleſtè grauitérque ferendo, & conuitiando, ſolum de doctrina ſermonem conſideremus. Repetentes igitur à principio viciſſim contra ſingula crimina ſtabimus. Principium accuſationis erat, [nos crucis pudere.] Eorum certè qui ad talem deflexerunt opinionem, magis proprium fuerit crimen conari crucem pudendam efficere. Si enim ſimiliter ab vtriſque paſſionis diſpenſatio credita eſt, nos quidem Deum per crucem manifeſtatum ſic arbitramur colendum eſſe, & honore afficiendum, ſicut pater colitur & honoratur: iſtis verò paſſio fit impedimento, quo minus vnigenitum Deum equaliter ac patrem qui ipſum genuit glorificent. Igitur in contrarium vertuntur ſophiſtæ crimina, & quibus nos criminari putat, ſuam in ſuis decretis impietatem diuulgat. Perſpicuum eſt enim quod huius cauſa patrem ſupra filium ponit, maioribuſque auget honoribus, quia crucis infamia in ipſo non cernitur; ob eámque cauſam in deterius immutatam eſſe filij naturam contendit, quia crucis probrum in ipſum ſolum refertur, quod patrem non attingit. Nullus autem exiſtimet, me ſolam ſecundum eius mentem conſecutionem ſcripti ſequentem hæc dicere. Cùm enim legendo percurriſſem omnem orationis eius accuratè compoſitam ab ipſo blaſphemiam, in ſequentibus manifeſtè nuda dictione hanc expoſitam reperi blaſphemiam. Etſi videtur in orationis meæ ſerie ea quæ ab ipſo ſcripta ſunt apponam, quæ ſic ſe habent: ait enim [ſi quidem demonſtrare poteſt etiam Deum qui in omnibus eſt, qui quidē lux eſt inacceſſa, in carne factum eſſe vel fieri poſſe, ſub poteſtatem veniſſe, imperiis obediiſſe, humanis legibus gubernatum fuiſſe, crucem tuliſſe, dicat æqualem luci lucem.] Quis igitur crucis pudore afficitur, ille qui poſt paſſionem filium æqualiter ac patrem adorat,

Primum caput accuſationis Eunomianæ.

Verba Eunomij.

A κατά τινα λοιμώδη καὶ δύστροπον ἀῤῥωστίαν, προσκαλέσαιτο ἂν τὸν ὑγιαίνοντα πρὸς ζῆλον τοῦ δυστυχήματος, ὡς ἐθέλεσθαί τινα ἐκ τοῦ ἴσου δι' οἰκείας νόσου τὴν τοῦ ὀδωδότος δυσωδίαν ἀμύνασθαι. ἐλεεῖν γὰρ οὐ μιμεῖσθαι τοὺς τοιούτους ἡ κοινὴ συμβουλεύει φύσις. Οὐκοῦν παρέντες ὅσα τοιαῦτα κατὰ σπουδὴν τῷ λόγῳ κατέμιξεν, σκώπτων, σχετλιάζων, ἀγανακτῶν, λοιδορούμενος, μόνον τὸν περὶ τῶν δογμάτων ἐπισκεψώμεθα λόγον. ἀναλαβόντες τοίνυν ἐξ ἀρχῆς ἐν μέρει πρὸς ἕκαστον τῶν ἐγκλημάτων στησόμεθα. Ἀρχὴ τῆς κατηγορίας ἦν, τὸ ἐπαισχύνεσθαι ἡμᾶς τὸν σταυρόν. τῶν γὰρ πρὸς τὴν B τοιαύτην παρατραπέντων ὑπόληψιν, οἰκειότερον ἂν εἴη τὸ ἔγκλημα τοῦ κατασκευάζειν ἐν αἰσχύνῃ τὸν σταυρὸν πειρᾶσθαι. εἰ γὰρ ὁμοίως μὲν παρ' ἀμφοτέρων ἡ κατὰ τὸ πάθος οἰκονομία πεπίστευται, ἡμεῖς δὲ τὸν διὰ σταυροῦ φανερωθέντα Θεὸν οὕτως τιμᾶν οἰόμεθα δεῖν, καθὼς τιμᾶται ὁ πατήρ· τοῖς δὲ τὸ πάθος ἐμπόδιον γίνεται πρὸς τὸ δοξάζειν τὸν μονογενῆ Θεὸν ἐπίσης τῷ γεγεννηκότι πατρί. ἆρα περιτρέπεται πρὸς τοὐναντίον τῷ σοφιστῇ τὰ ἐγκλήματα, καὶ δι' ὧν κατηγορεῖν ἡμῶν οἴεται, τὴν ἰδίαν δημοσιεύει κατὰ τῶν δογμάτων ἀσέβειαν. δῆλον γὰρ ὅτι C τούτου χάριν ὑπερτίθησι τοῦ υἱοῦ τὸν πατέρα, καὶ ταῖς μείζοσιν ἀποσεμνύνει τιμαῖς, ὅτι ἡ κατὰ τὸν σταυρὸν αἰσχύνη περὶ αὐτὸν οὐχ ὁρᾶται· καὶ διὰ τοῦτο πρὸς τὸ χεῖρον παρηλλάχθαι τοῦ υἱοῦ τὴν φύσιν διισχυρίζεται, ὅτι τοῦ σταυροῦ τὸ ὄνειδος εἰς αὐτὸν διαφέρεται μόνον, τοῦ πατρὸς οὐχ ἁπτόμενον. Καὶ μηδεὶς οἰέσθω με μόνῃ τῇ κατὰ τὸν νοῦν ἀκολουθίᾳ τῆς λογογραφίας ἑπόμενον ταῦτα λέγειν. προσδιελθὼν γὰρ τοῦ λόγου πᾶσαν τὴν φιλοπόνως συγκειμένην ἐν αὐτῷ βλασφη- D μίαν, ἐν τοῖς μετὰ ταῦτα σαφῶς εὗρον γυμνῇ τῇ λέξει ταύτην ἐκτεθεῖσαν ὑπ' αὐτοῦ τὴν βλασφημίαν. καὶ εἰ δοκεῖ, παραθήσομαι τῇ ἀκολουθίᾳ τῶν ἐμῶν λόγων τὰ παρ' αὐτοῦ γεγραμμένα, ἔχοντα οὕτως· Φησὶ γὰρ, εἰ μὲν ἔσχε δείκνυσθαι καὶ τὸν ἐπὶ πάντων Θεὸν ὅσπερ ἐστὶν ἀπρόσιτον φῶς ἐν σαρκὶ γινόμενον, ἢ γίνεσθαι δυνάμενον, ὑπ' ἐξουσίαν ἥκειν, προστάγμασιν ὑπακοῦσαι, νόμοις ἀνθρωπίνοις πολιτεύεσθαι, σταυρὸν ἐνεγκεῖν, ἴσον λεγέτω τῷ φωτὶ τὸ φῶς. τίς οὖν ὁ ἐπαισχυνόμενος τῷ σταυρῷ, ὁ καὶ μετὰ τὸ πάθος προσκυνῶν ἴσα πατρὶ τὸν υἱόν,

ἢ ὁ καὶ πρὸ τοῦ πάθους ὑβρίζων, οὐ μόνον τῇ πρὸς τὴν κτίσιν ὁμοτιμίᾳ, ἀλλὰ καὶ τῷ κατασκευάζειν τῆς ἐμπαθοῦς αὐτὸν εἶναι φύσεως, μὴ ἂν ἐλθόντα πρὸς τὴν τῶν παθημάτων πεῖραν, εἰ μὴ δεκτικὴν εἶχε τῶν τοιούτων τὴν φύσιν. ἡμεῖς μὲν γὰρ καὶ τὸ σῶμα ᾧ τὸ πάθος ἐδέξατο, τῇ θείᾳ φύσει κατακραθὲν, ἐκεῖνο πεποιῆσθαι φαμὲν, διὰ τῆς ἀνακράσεως, ὅπερ ἡ ἀναλαβοῦσα φύσις ἐστί. τοσοῦτον ἀπέχομεν τοῦ μικρόν τι περὶ τὸν μονογενῆ Θεὸν ἐννοεῖν· ὡς εἴ τι καὶ τῆς κάτω φύσεως διὰ τὴν φιλάνθρωπον προσελήφθη οἰκονομίαν, καὶ τοῦτο πιστεύειν μεταπεποιῆσθαι πρὸς τὸ θεῖον τε καὶ ἀκήρατον· ὁ δὲ σημεῖον τῆς πρὸς τὸ ταπεινότερον κατ' οὐσίαν παραλλαγῆς τὸ περὶ τὸν σταυρὸν πάθος πεποίηται. οὐκ οἶδα ὅπως τὴν ὑπερβάλλουσαν τῆς δυνάμεως ἐνέργειαν, καθ' ἣν καὶ τοῦτο ἠδυνήθη, τεκμήριον ἀσθενείας ποιούμενος· οὐδὲ τοῦτο συνεὶς, ὅτι οὐδὲν κατὰ τὴν ἑαυτοῦ φύσιν κινούμενον ὡς ἐπὶ παραδόξῳ θαυμάζεται· ἀλλ' ὅσα τοὺς ὅρους ἐκβαίνει τῆς φύσεως, ταῦτα μάλιστα πάντων ἐν θαύματι γίνεται, καὶ πρὸς ταῦτα πᾶσα μὲν ἐπιστρέφεται ἀκοή· πᾶσα δὲ διάνοια τείνεται τὸ παράδοξον θαυμάζουσα. διὸ καὶ πάντες οἱ τὸν λόγον κηρύσσοντες, ἐν τούτῳ τὸ θαῦμα τοῦ μυστηρίου καταμηνύουσιν· ὅτι Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ὅτι ὁ λόγος σὰρξ ἐγένετο, ὅτι τὸ φῶς ἐν τῇ σκοτίᾳ ἔλαμψεν, ὅτι ἡ ζωὴ θανάτου ἐγεύσατο, καὶ πάντα τὰ τοιαῦτα βοῶσιν οἱ κήρυκες, δι' ὧν πλεονάζεται τὸ θαῦμα τοῦ διὰ τῶν ἔξω τῆς φύσεως τὸ περιὸν τῆς δυνάμεως ἑαυτοῦ φανερώσαντος. ἀλλὰ κἂν ἐκείνοις ὑβρίζειν διὰ ταῦτα δοκῇ, καὶ τῆς πρὸς τὸν πατέρα ὁμοτιμίας διὰ τὴν περὶ τὸν σταυρὸν οἰκονομίαν τὸν υἱὸν ἀποσχοινίζωσιν. ἡμεῖς καθὼς παρέδωκαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου γενόμενοι, διὰ τῶν ἁγίων γραφῶν, πεπιστεύκαμεν, ὅτι ὁ ἐν ἀρχῇ ὢν Θεὸς, μετὰ ταῦτα, καθώς φησιν ὁ Βαρούχ, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ἀντάλλαγμα τοῦ ἡμετέρου θανάτου γενόμενος, ἔλυσε διὰ τῆς ἰδίας ἀναστάσεως τὰ δεσμὰ τοῦ θανάτου, καὶ ὁδοποίησε πάσῃ σαρκὶ δι' ἑαυτοῦ τὴν ἀνάστασιν, ὁμόθρο-

A an is qui etiam ante paſſionem contumelioſè afficit, non ſolum cum creatura honoris æqualitate, verumetiam adfirmando ipſum eſſe naturæ affectibus obnoxię, non veniſſe ad paſſionum experientiam, niſi habuiſſet naturam talium capacem. Nos equidem etiam corpus, quo paſſionem ſuſcepit, diuinæ naturæ contemperatum, illud factum eſſe per temperationem dicimus, quod quidem eſt natura quæ aſſumpſit. Tantum abeſt vt quid exiguum de vnigenito Deo ſentiamus: ita vt ſi quid etiam naturæ infimæ aſſumptum eſt, propter diſpenſationem
B hominum generi beneuolam, hoc etiam credamus, ad id quod diuinum eſt & immortale transformatum eſſe: hic autem ad id quod humilius eſt ſecundum eſſentiam mutationis ſignum ſiue argumentum fecit paſſionem, quam in cruce ſuſtulit. Neſcio quo modo exuperantem potentiæ efficacitatem ſiue operationem, ſecundum quam hoc etiam potuit, certum infirmitatis indicium facit: neque hoc intelligens quòd nihil quod ſecundum naturam mouetur, non admodum mirabile prætérque opinionem videtur: ſed quæcunque naturæ
C fines ſuperant, hæc maximè omnium ſunt in admiratione, & ad hæc omnis auditus conuertitur. Omnis enim intelligentia tenditur, dum aliquid inuſitatum & inopinabile ſuſpicit & admiratur. Quocirca omnes qui verbum prędicăt, in hoc miraculum myſterij declarant: quod Deus manifeſtatus eſt in carne, quod verbum caro factum eſt. Quod lux in tenebris ſplenduit, quod vita mortem guſtauit, omniáque huiuſmodi præcones clamitant, per quæ exundat miraculum eius, qui per ea quæ ſunt extra naturam manifeſtauit ſuæ potentiæ exuperantiam. Verumtamen licet illis con-
D tumeliam facere propter hæc videatur, & ab æquali honore cum patre per crucis diſpenſationem filium tanquam funiculo diſiungant. Nos autem ſicut tradiderunt nobis qui ab initio oculati teſtes & ſpectatores, & adminiſtratores verbi fuerunt, per ſanctas ſcripturas credidimus, quod qui erat in principio Deus, poſtea ſicut vaticinatur Baruch, in terra viſus eſt, & cum hominibus conuerſatus eſt, noſtræ mortis permutatio ſiue redemptio factus, per ſuam reſurrectionem mortis vincula ſoluit, viamque omni carni ſtrauit per ſuam reſur-

1. Tim. 3. *Ioan. 1.* *Baruch. 3.*

rectionem, in eodem ſolio, in eadem gloria & ſplendore cum ſuo patre ſedens, pro merito & dignitate eorum quæ in vita geſta ſunt, in die iudicij iis qui iudicabuntur ſententiam laturus eſt. Hæc nos de crucifixo credimus. Et propter hoc pro modo noſtræ facultatis ſuperextollere non deſinimus. Quoniam qui à nullo capi poteſt propter ineffabilem eius & inacceſſibilem majeſtatem, niſi à ſeipſo & Patre & Spiritu ſancto: hic etiam ad infirmitatis noſtræ communionem deſcendere potuit. Iſti verò hac demonſtratione vtũtur, vt probent alterius eſſe naturæ filium cum patre, quod nempe filius per carnem & crucem Dominus

1. Tim. 3. eſt manifeſtatus. Quod patris quidem natura pura in impaſſibilitate permaneat: filij verò, quia ad humilitatem natura tranſmutata fuit, & ad carnis mortíſque experientiam venire non impoſſibiliter ſe habeat: quaſi non magna facta ſit ſtatus mutatio; ſed quodammodo ad cognatum & contribule ex ſimili tranſierit, ex eo quod creatam quidem naturam humanam, creatam etiam vnigeniti naturã ſupponat. Vter igitur iure accuſatur, ob crucem erubeſcere? an is qui de ipſo vilia & humilia dicit? an ille qui de ſublimioribus contendit? Neſcio

Galat. 6. ſi hic accuſator Pauli magnam vocem audiuit: qui ſic Deum in cruce cognitum deprimit, qualia & quanta ille ore

1. Cor. 1. magniloquo de cruce enarrat, qui enim per tanta & talia miracula ſeipſum notum facere poteſt; Abſit, inquit, in alio gloriari niſi in cruce Ieſu Chriſti, & ad Corinthios dicit verbum crucis, virtu-

Epheſ. 3. tem Dei eſſe, his qui ſalui fiunt. Epheſiis autem virtutem quicquid eſt ſuperantem & continentem crucis figura deſcribit, in quibus vult ipſos exaltatos noſſe exuperantem gloriam virtutis huius: al-

Vbi crucis figura deſcribitur. Idē facilius docet D. Greg. Nyſſ. in catecheticæ oratione c. 32. titudinem & profunditatem & latitudinem & longitudinem nominans vnumquemque apicem eorum quæ in crucis figura conſpiciuntur, propriis appellans nominibus, ita vt partem ſupernam altitudinem dicat, profunditatẽ verò quod poſt compagem ſubijcitur, tranſuerſum autem per vtrumque apicem ſiue antennam longitudinis & latitudinis nomine ſignificans. Ita vt per hoc magnum myſterium manifeſtetur, quia cœleſtia ſub-

A νός τε καὶ ὁμόδοξος ὢν τῷ ἰδίῳ πατρὶ κατ' ἀξίαν τῶν βεβιωμένων ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ποιήσει τὴν ψῆφον τοῖς κρινομένοις. Ταῦτα περὶ τὸν ἐσταυρωμένον ἡμεῖς πεπιστεύκαμεν. καὶ διὰ τοῦτο ὑπερυψοῦντες κατὰ τὸ ἡμέτερον τῆς δυνάμεως μέτρον, οὐκ ἀπολήγομεν. ὅτι ὁ μηδενὶ χωρητὸς διὰ τὴν ἄφραστον αὐτοῦ καὶ ἀπρόσιτον μεγαλειότητα, πλὴν ἑαυτῷ καὶ τῷ πατρὶ καὶ τῷ πνεύματι τῷ ἁγίῳ· οὗτος καὶ πρὸς κοινωνίαν τῆς ἀσθενείας ἡμῶν κατελθεῖν ἠδυνήθη. οἱ δὲ ταύτην ἀπό-

B δειξιν τῆς κατὰ τὴν φύσιν ἀλλοτριότητος τοῦ υἱοῦ πρὸς τὸν πατέρα ποιοῦνται· τὸ διὰ σαρκὸς καὶ σταυροῦ φανερωθῆναι τὸν κύριον. ὡς τῆς μὲν φύσεως τοῦ πατρὸς, καθαρῆς ἐν ἀπαθείᾳ διαμενούσης· τοῦ δὲ υἱοῦ διὰ τὸ πρὸς τὸ ταπεινότερον παραλλάξαι τὴν φύσιν, πρὸς σαρκός τε καὶ θανάτου πεῖραν, οὐκ ἀδυνατοῦντος ἐλθεῖν· ὡς οὐ πολλῆς γενομένης τῆς μεταστάσεως· ἀλλά τρόπον τινὰ πρὸς τὸ συγγενὲς καὶ ὁμόφυλον ἐκ τοῦ ὁμοίου μεταχωρούσης, διὰ τὸ κτιστὴν μὲν τὴν ἀνθρωπίνην, κτιστὴν δὲ καὶ τὴν τοῦ

C μονογενοῦς ὑποτίθεσθαι φύσιν. τίς τοίνυν εἰκότως ἐπαισχύνεσθαι τῷ σταυρῷ κατηγορεῖται, ὁ τὰ ταπεινὰ περὶ αὐτοῦ λέγων; ἢ ὁ περὶ τῶν ὑψηλοτέρων ἀγωνιζόμενος; οὐκ οἶδα εἰ τῆς Παύλου μεγαλοφωνίας ὁ κατήγορος ἤκουσεν, ὁ οὕτω καταμικρύνων τὸν ἐπὶ τοῦ σταυροῦ γνωρισθέντα Θεόν, οἷα καὶ ὅσα ἐκεῖνος τῷ ὑψηλῷ στόματι περὶ τοῦ σταυροῦ διεξέρχεται· ὁ γὰρ διὰ τοσούτων καὶ τοιούτων θαυμάτων ἑαυτὸν γνωρίζειν ἔχων. μὴ γένοιτο, φησιν, ἐπί τινι ἄλλῳ καυχᾶσθαι, εἰ μὴ ἐπὶ τῷ σταυρῷ τοῦ Χριστοῦ, καὶ πρὸς

D Κορινθίους λέγει τὸν λόγον τοῦ σταυροῦ, δύναμιν Θεοῦ τοῖς σωζομένοις εἶναι. Ἐφεσίοις δὲ τὴν τὸ πᾶν διακρατοῦσαν τε καὶ συνέχουσαν δύναμιν, τῷ σχήματι τοῦ σταυροῦ καταγράφει, ἐν οἷς βούλεται αὐτοὺς ὑψωθέντας γνῶναι τὴν ὑπερβάλλουσαν δόξαν τῆς δυνάμεως ταύτης, ὕψος καὶ βάθος, καὶ πλάτος, καὶ μῆκος κατονομάζων, ἑκάστην κεραίαν τῶν κατὰ τὸ σχῆμα τοῦ σταυροῦ θεωρουμένων, ἰδίοις προσαγορεύων ὀνόμασιν· ὡς τὸ μὲν ἄνω μέρος, ὕψος εἰπεῖν· βάθος δὲ τὸ μετὰ τὴν συμβολὴν ὑποκείμενον· τὴν δὲ ἐγκάρσιον καθ' ἑκάτερον κεραίαν, τῷ τοῦ μήκους τε καὶ πλάτους ὀνόματι διασημαίνειν. ὡς ἂν διὰ τούτου φανερωθείη τὸ μέγα μυστήριον, ὅτι καὶ τὰ οὐράνια καὶ τὰ κα-

καταχθόνια, καὶ πάντα τῶν ὄντων τὰ πέρατα διακρατεῖται καὶ συνέχεται παρὰ τοῦ τὴν ἀπόρρητον καὶ μεγάλην ταύτην δύναμιν ἐν τῷ τύπῳ τοῦ σταυροῦ παραδείξαντος. ἀλλ' οὐδὲν οἶμαι δεῖν πλέον ταῖς αἰτίαις ταύταις ἐναγωνίζεσθαι. περιττὸν κρίνων ἐμφιλοτιμεῖσθαι τοῖς κατὰ τῆς συκοφαντίας ἐλέγχοις, καὶ δι' ὀλίγων τῆς ἀληθείας δειχθείσης. Οὐκοῦν πρὸς ἕτερον ἔγκλημα τοῦ λόγου μετέλθωμεν· διαβάλλεσθαι λέγει παρ' ἡμῶν τοὺς ἁγίους. ἀλλ' εἰ μὲν αὐτὸς ἀκήκοε, λεγέτω τὰ ῥήματα τῆς κατηγορίας· εἰ δὲ πρὸς ἑτέρους εἰρηκέναι λέγει, δειξάτω διὰ τῶν μαρτυρούντων ἀληθῆ τὴν αἰτίαν. Εἰ δὲ ἀφ' ὧν γεγραφήκαμεν ἀποδείκνυσιν, ἀναγνώτω τὰ εἰρημένα, καὶ τὴν αἰτίαν δεξόμεθα· ἀλλ' οὐκ ἄν τι τοιοῦτον προσενέγκειν ἔχοι. πρόκειται γὰρ παντὶ τῷ βουλομένῳ τὰ παρ' ἡμῶν εἰς ἐξέτασιν. εἰ δὲ μήτε πρὸς αὐτὸν εἴρηται, μήτε ἑτέρων ἀκήκοεν, μήτε διὰ τῶν γεγραμμένων ἔχει τὸν ἔλεγχον, σιγᾶν οἶμαι χρῆναι τὸν ὑπὲρ τούτων ἀπολογούμενον. πρὸς γὰρ τὸ ἀνυπόστατον ἔγκλημα, πρέπουσα πάντως ἐστὶν ἀπολογία ἡ σιωπή. Πέτρος φησὶν ὁ ἀπόστολος, κύριον καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. ἡμεῖς ταῦτα παρ' αὐτοῦ μεμαθηκότες φαμὲν· πρὸς ἓν πᾶσαν βλέπειν τῶν εἰρημένων τὴν σύμφρασιν· αὐτόν τε τὸν σταυρὸν, καὶ τὸ ἀνθρώπινον ὄνομα, καὶ τὸ δεικτικὸν τῆς φωνῆς. δύο γὰρ πράγματα περὶ ἓν πρόσωπον ὁ τῆς γραφῆς λόγος γεγενῆσθαι φησὶ, παρὰ μὲν τῶν Ἰουδαίων τὸ πάθος, παρὰ δὲ τοῦ Θεοῦ τὴν τιμήν· οὐχ ὡς ἄλλου μὲν πεπονθότος, ἑτέρου δὲ διὰ τῆς ὑψώσεως τετιμημένου, καὶ σαφέστερον ἑρμηνεύει λέγων διὰ τῶν ἐφεξῆς, τῇ δεξιᾷ γὰρ φησὶ τοῦ Θεοῦ ὑψωθείς. τίς οὖν ὑψώθη; ὁ ταπεινὸς δὲ, ἢ ὁ ὕψιστος; τί δὲ ἄλλο παρὰ τὸ θεῖόν ἐστιν ὁ ὕψιστος; ἀλλὰ μὴν ὁ Θεὸς ὑψωθῆναι οὐ δεῖται, ὕψιστος ὤν. ἄρα τὸ ἀνθρώπινον ὁ ἀπόστολος ὑψῶσθαι λέγει. ὑψώθη δὲ διὰ τοῦ κύριος καὶ Χριστὸς γενέσθαι. διὰ τοῦτο δὲ μετὰ τὸ πάθος ἐγένετο. οὐκοῦν, οὐ τὴν προαιώνιον ὕπαρξιν τοῦ κυρίου διὰ τοῦ ἐποίησε ῥήματος, παρίστησιν ὁ ἀπόστολος· ἀλλὰ τὴν τοῦ ταπεινοῦ πρὸς τὸ ὑψηλὸν μεταποίησιν, διὰ τῆς δεξιᾶς τοῦ Θεοῦ γενομένην. σαφηνίζεται γὰρ καὶ διὰ τούτου τοῦ ῥήματος τὸ τῆς εὐσεβείας μυστήριον. ὁ γὰρ εἰπὼν ὅτι τῇ δεξιᾷ

A terranea & omnia quæ ſunt extrema continentur & coërcentur, ab eo qui hanc ineffabilem, & magnam virtutem in hac crucis figura oſtendit, ſed in his criminationibus non amplius decertandum eſſe arbitror, ſuperuacaneum iudicans aduerſus calumniam argumentis obnixè & vehementer contendere, præſertim cum veritas paucis demonſtrata ſit. Quare ad alterum accuſationis caput tranſeamus: dicit itaque ſanctos à nobis in inuidiam rapi,& per calumniam peti. *Secundum caput accuſationis Eunomianæ.* Sed ſi ipſe audiuit, calumniantium verba referat: quod ſi nos aliis dixiſſe aſſerit, B per teſtes veram culpam oſtendat. Si verò ex iis quæ ſcripſimus demonſtrat, recitet dicta & culpam recipiemus: atqui nihil tale proferre queat. Noſtra enim ſcripta cuiuis examinanda & probanda proponuntur. Si igitur neque ei dictum eſt, neque ab aliis audiuit, neque ex ſcriptis noſtris tanquam obſignatis tabellis poteſt conuincere, tacere puto oportere eum qui defenſionem inſtituerit. Nam aduerſus crimen quod nulla probatione ſubſiſtit, præclara ſanè defenſio eſt, omnino ſilere. Petrus inquit Apoſtolus, C Dominum & Chriſtum *Act. 2.* fecit, hunc ipſum Ieſum quem vos in crucem egiſtis. Hæc nos ab eo edocti, dicimus in vnum omnem dictorum phraſim reſpicere: & ipſam crucem, & humanum nomẽ, & vim vocis demõſtratiuam. Duas enim res circa vnã perſonam ſcripturæ ſermo aſſerit fuiſſe factas, à Iudæis quidem paſſionẽ, à Deo autem honorem: non quod alius quidem paſſus ſit, alius verò per exaltationem ſit honoratus, quod clarius verbis ſequentibus interpretatur, dum dicit, dextra Dei exaltatus. Quis igitur exaltatus eſt? humiliſne an altiſſimus? Quid autem aliud quàm D Deus eſt ille qui eſt altiſſimus? Atqui Deus altiſſimus cum ſit, non indiget vt ſublimetur: igitur Apoſtolus quod humanum eſt, exaltatum eſſe dicit. Exaltatus eſt autem, quia Dominus & Chriſtus factus eſt. Propter hoc autem poſt paſſionem factus eſt. Quamobrem Apoſtolus non Domini exiſtentiam quæ anteceſſit ſecula, per verbum fecit, repreſentat, ſed humilis ad excelſum mutationem per dexteram Dei factam. Quin etiam per hoc verbũ pietatis myſterium declaratur. Qui enim dixit quod dextra

Dei exaltatus, manifeſtè ineffabilem myſterij diſpenſationem euoluit. Quod dextra Dei omnium quæ ſunt eſt effectrix, quæ quidem eſt Dominus, per quem omnia condita ſunt, & ſine quo nihil eorum quæ ſunt ſubſiſtit. Hæc vnitum ſecum hominem ad propriam celſitudinem per temperationem extulit, quod quidem eſt ipſa ſecundum naturam, etiam illum faciens. Eſt autem ipſum Dominus & Rex. Chriſtus enim Rex nominatur, hæc etiam illum effecit: vt enim in altiſſimo factus, ſuperexaltatus eſt, ſic etiam alia omnia factus eſt in immortali immortalis, in luce lux, in incurruptibili incorruptibilis: in inuiſibili, inuiſibilis: in Chriſto, Chriſtus: in Domino Dominus. Nam in corporalibus temperationibus, cum pars altera multa menſura exuberat, quæ minor eſt transformari ſolet in eam partem quæ præualet, hoc etiam in myſtico ſermone planè per vocem Petri docemur, quòd humilitas eius qui ex infirmitate crucifixus eſt, ipſa autem infirmitas carnem declarat, ſicut de Domino audiuimus: hoc autem per temperationem cum infinito & interminato non manſit in propriis menſuris & proprietatibus, ſed dextra Dei ſublimè elatum eſt, atque ſerui loco Dominus factus eſt, & pro ſubdito Chriſtus Rex: próque humili altiſſimus, & pro homine Deus. Quámnam ergo qui pro Apoſtolis bellum nobis inferre ſimulat, ex ſcriptis contra ſanctos anſam nactus eſt? Sed hoc crimen ſilentio inuoluatur: anguſti enim & degeneris animi eſſe reor, contra falſa & nulla demonſtratione firmata crimina ſtare. Sed ad accuſationis vehementius & validius telum pergamus.

Tertium caput accuſationis Eunomianæ. Ait [nos hominem in hominem exinanitum eſſe affirmare, atque eum qui ſemetipſum ex obedientia ſubmiſit ſerui forma ſumpta, hominibus conformem eſſe, etiam priuſquam hanc formam aſſumpſiſſet,] nihil de dictione ſubmutatum fuit, ſed eadem verba à nobis tranſlata ſunt ex illius ſermone in noſtrum: ſi enim quid in noſtris ſcriptis eſt tale, (noſtra enim dico quæ ſunt * doctoris) nullus oratori calumniam imputet,

D. Baſiliũ intelligit, qui de eodẽ diſſerit li. 2. contra Eunomium.

A τοῦ Θεοῦ ὑψωθεὶς, φανερῶς ἐκκαλύπτει τὴν ἀπόῤῥητον τοῦ μυστηρίου οἰκονομίαν. ὅτι ἡ δεξιὰ τοῦ Θεοῦ ἡ ποιητικὴ πάντων τῶν ὄντων, ἥτις ἐστὶν ὁ κύριος, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ οὗ χωρὶς ὑπέστη τῶν ὄντων οὐδὲν, αὐτὴ τὸν ἑνωθέντα πρὸς αὐτὴν ἄνθρωπον εἰς τὸ ἴδιον ὕψος ἀνήγαγε διὰ τῆς ἀνακράσεως, ὅπερ ἐστὶν αὐτὴ κατὰ τὴν φύσιν, κἀκεῖνον ποιήσασα. ἔστι δὲ αὐτὸ κύριος καὶ βασιλεύς. Χριστὸς γὰρ ὁ βασιλεὺς ὀνομάζεται, ταῦτα κἀκεῖνον ἐποίησεν. ὥσπερ γὰρ ἐν τῷ ὑ-

B ψίστῳ γενόμενος ὑπερυψώθη, οὕτω καὶ τὰ ἄλλα πάντα ἐγένετο, ἐν τῷ ἀθανάτῳ ἀθάνατος, ἐν τῷ φωτὶ φῶς, ἐν τῷ ἀφθάρτῳ ἄφθαρτος, ἐν τῷ ἀοράτῳ, ἀόρατος, ἐν τῷ Χριστῷ Χριστὸς, ἐν τῷ κυρίῳ κύριος. πέφυκε γὰρ ἐπὶ τῶν σωματικῶν ἀνακράσεων· ὅταν πολλῷ τῷ μέτρῳ τὸ ἕτερον πλεονάζει μέρος, πρὸς τὸ ἐπικρατοῦν πάντως μεταποιεῖσθαι τὸ ἐλαττούμενον. τοῦτο καὶ ἐπὶ τοῦ μυστικοῦ λόγου σαφῶς διὰ τῆς τοῦ Πέτρου φωνῆς διδασκόμεθα, ὅτι τὸ ταπεινὸν τοῦ ἐξ ἀσθενείας σταυρωθέν-

C τος, ἡ δὲ ἀσθένεια τὴν σάρκα δηλοῖ, καθὼς περὶ τοῦ κυρίου ἠκούσαμεν. τοῦτο δὲ διὰ τῆς πρὸς τὸ ἄπειρόν τε καὶ ἀόριστον τοῦ ἀγαθοῦ ἀνακράσεως, οὐκέτι ἔμεινεν ἐν τοῖς ἰδίοις μέτροις καὶ ἰδιώμασιν· ἀλλὰ τῇ δεξιᾷ τοῦ Θεοῦ συνεπήρθη, καὶ ἐγένετο ἀντὶ δούλου κύριος, ἀντὶ ὑποχειρίου Χριστὸς βασιλεὺς, ἀντὶ ταπεινοῦ ὕψιστος, ἀντὶ ἀνθρώπου Θεός. τίνα τοίνυν ὁ ὑπὲρ τῶν ἀποστόλων πολεμεῖν ἡμῖν σχηματιζόμενος, εὗρεν ἐκ τῶν γεγραμμένων κατὰ τῶν ἁγίων λαβήν. ἀλλὰ σιωπάσθω καὶ τοῦτο τὸ ἔγκλημα. μικρὸν γὰρ οἶμαι καὶ ἀ-

D γεννὲς εἶναι, πρὸς τὰ ψευδῆ τε καὶ ἀναπόδεικτα τῶν λεγομένων ἵστασθαι, ἀλλ' ἐπὶ τὸ σφοδρότερον τῆς κατηγορίας μετέλθωμεν. Φησὶ, τὸν ἄνθρωπον κεκενῶσθαι λέγειν ἡμᾶς, καὶ τὸν ἐξ ὑπακοῆς ἑαυτὸν ταπεινώσαντα τῇ τοῦ δούλου μορφῇ, σύμμορφον εἶναι τοῖς ἀνθρώποις, καὶ πρὶν ταύτην ἀναλαβεῖν τὴν μορφήν· οὐδὲν ὑπημείφθη τῆς λέξεως· ἀλλ' αὐτὰ τὰ ῥήματα παρ' ἡμῶν μετενήνεκται ἀπὸ τοῦ ἐκείνου λόγου πρὸς τὸν ἡμέτερον. Εἰ μὲν ἐστί τι τοιοῦτον ἐν τοῖς παρ' ἡμῶν γεγραμμένοις· ἡμέτερα γὰρ τὰ τοῦ διδασκάλου φημὶ, μηδεὶς ἐγκαλείτω συκοφαντίαν τῷ ῥήτορι,

πᾶσαν

πᾶσαν αὐτοῦ φροντίδα τῆς ἀληθείας· καὶ ἡμεῖς μαρτυρήσομεν. Εἰ δὲ τούτων μὲν ἔστιν ἐν τοῖς γεγραμμένοις οὐδὲν, ὁ λόγος δὲ οὐκ αἰτίαν ἐπάγει ψιλήν. ἀλλ' ὡς ἐπὶ φανερῶς ἀποδεδειγμένοις ἀγανακτεῖ καὶ ὀργίζεται, τερατείας καὶ λήρου, καὶ ταραχῆς πλήρεις, καὶ ἀνωμαλίας, καὶ τὰ τοιαῦτα καλῶν. τί χρὴ πράττειν οὐ συνορῶ. καθάπερ οἱ πρὸς τὰς ἀπροφασίστους ὀργὰς τῶν φρενιτιζόντων ἀμηχανοῦντες οὐκ ἔχουσιν ὅτι βουλεύσονται· οὕτως οὐδὲ αὐτὸς ἐξευρίσκω τινὰ πρὸς τὴν ἀμηχανίαν ταύτην ἐπίνοιαν· φησὶν ὁ διδάσκαλος· πάλιν γὰρ ἐπὶ λέξεως αὐτοῦ τὸν λόγον ἐπαναλήψομαι. ὅτι οὐχὶ θεολογίας ἡμῖν παραδίδωσι τρόπον, ἀλλὰ τοὺς τῆς οἰκονομίας λόγους. ὁ δὲ κατήγορος ἐκ τούτων ὁρμηθεὶς, ἄνθρωπον εἰς ἄνθρωπον κεκενῶσθαι λέγειν κατασκευάζει ἡμᾶς. τίς κοινωνία τούτων κἀκείνων; εἰ φαμὲν τὸν ἀπόστολον, μὴ θεολογίας ἡμῖν παραδεδωκέναι τρόπον, ἀλλὰ τὴν κατὰ τὸ πάθος οἰκονομίαν ὑποδεῖξαι τῷ λόγῳ, διὰ τοῦτο ἀνθρώπου εἰς ἄνθρωπον κένωσιν, καὶ δούλου μορφὴν προαιώνιον καὶ τῆς ἐν σαρκὶ παρουσίας πρεσβύτερον τὸν ἐκ Μαρίας ἄνθρωπον λέγειν διαβαλλόμεθα. ἀλλὰ περιττὸν οἶμαι τοῖς ὁμολογουμένοις ἐνδιατρίβειν, αὐτῆς τῆς ἀληθείας ἀφιείσης ἡμᾶς τοῦ ἐγκλήματος. τότε γὰρ χρὴ τοῖς κατηγοροῦσιν ἀντικαθίστασθαι, ὅταν τις παράσχῃ καθ' ἑαυτοῦ τῷ συκοφάντῃ λαβήν, ἐφ' ὧν δὲ κίνδυνός ἐστιν οὐδεὶς ὑπονοηθῆναί τι τῶν ἀτόπων, οὐ τῆς τοῦ συκοφαντουμένου διαβολῆς, ἀλλὰ τῆς τοῦ κατηγοροῦντος μανίας ἔλεγχος ἡ κατηγορία καθίσταται. ἀλλ' ὥσπερ ἐπαισχύνεσθαι τῷ σταυρῷ τὴν αἰτίαν ἔχοντες ἐδείξαμεν διὰ τῶν ἐξητασμένων εἰς τοὐναντίον περιτρεπόμενον τῷ κατηγόρῳ τὸ ἔγκλημα· οὕτω καὶ τὴν αἰτίαν ταύτην εἰς τοὺς κατηγόρους ἐπαναστρέφουσαν δείξομεν. ὡς ἐκείνων οὐχ ἡμῶν τὴν ἐξ ὁμοίου πρὸς τὸ ὅμοιον τοῦ υἱοῦ μετάστασιν ἐν τῇ κατὰ τὸ πάθος οἰκονομίᾳ δογματιζόντων. ἐξετάσωμεν γὰρ παράλληλα θέντες ἐπὶ κεφαλαίου τὰ παρ' ἑκατέρων λεγόμενα. ἡμεῖς φαμὲν τὸν μονογενῆ Θεὸν δι' ἑαυτοῦ παραγαγόντα τὰ πάντα, ἓν δὲ τῶν παρ' αὐτοῦ γεγονότων, καὶ τὴν ἀνθρωπίνην φύσιν, ἣν πρὸς κακίαν ἀπορρυεῖσαν· καὶ διὰ τοῦτο γενομένην ἐν τῇ τοῦ θανάτου φθορᾷ, πάλιν αὐτὴν δι'

A omnem imploro veritatis curam: & nos teſtabimur. Quòd ſi horum nihil eſt in noſtris ſcriptis, oratio non exilem culpam inducit. Sed tanquam liquido & planè demonſtratis ſuccenſet & indignatur, prodigioſas loquacitates nugis & perturbatione plenas, & ſalebras, & talia vocans. Quid agendum ſit non video. Quemadmodum ad improuiſas iras phrenitide laborantium & furentium, anxij & perplexi non habent quid conſilij capiant: ſic ego ipſe aduerſus hanc deſperationem nihil conſilij & remedij inuenio; Ait magiſter: (Rurſus enim ad
B verbum eius ſermonem repetam.) Quod non Theologiæ modum nobis tradit, ſed diſpenſationis rationes. *Verba Di Baſilij.* Iſte autem accuſator ex his impulſus nos adſtruere hominem exinanitum in hominem contendit. Quæ horum & illorum communio? ſi dicimus Apoſtolum non nobis modum theologiæ tradidiſſe, ſed ſuo ſermone diſpenſationem ſecundum paſſionem ſuboſtendiſſe, propter hoc hominis in hominem exinanitionem & ſerui formam, ante ſecula & aduentu in carne antiquiorem ex Maria hominem dicere damnamur. Sed ſuperuacaneum eſſe ar-
C bitror in certis & confeſſis immorari: præſertim cum ipſa veritas nos ab omni crimine liberet. Tunc enim accuſantibus reſiſtere oportet, quando quis in ſeipſum calumniatori anſam præbuerit: in quibus autem nullum eſt periculum ſuſpicandi aliquid abſurdi, non falsò criminis eius qui calumnioſè accuſatur, ſed accuſantis furoris & inſaniæ reprehenſio, accuſatio cõſtituitur. Sed quemadmodum ob crucem erubeſcendi crimine falsò accuſati, per ea quæ ſunt examinata in contrarium conuerſum regeri accuſatori crimen demonſtrauimus: ſic
D & hanc culpam in accuſatores transferri oſtendemus. Quod illi non nos ex ſimili ad ſimile filij mutationem in œconomia, id eſt diſpenſatione, paſſionis doceamus. Examinabimus enim quę ab vtriſque dicuntur inter ſe comparata & ſummatim poſita. Nos dicimus vnigenitũ Deum qui per ſeipſum produxit omnia: vnũ autem eorum quæ ab ipſo facta ſunt, & humanam naturam eſſe, quæ cum in peccatum lapſa fuiſſet, & ideo in mortis corruptionem incidiſſet, rurſus ipſam per

ſemetipſum ad immortalem vitam traxiſſe per hominem, in quo tanquam tabernaculo manſit tota humanitate in ſeipſo aſſumpta, atque ſuam viuificam virtutem mortali & corruptibili naturæ admiſcuiſſe: noſtrámque mortificationem per attemperationem ad ſe in vitalem gratiam & virtutem transmutaſſe. Et hoc aſſerimus eſſe ſecundum carnem Domini myſterium: quia qui eſt incommutabilis in mutabili gignitur, vt ab eo quòd deterius eſt in melius transferens & immutans admixtam diſpoſitioni mutabili vitioſitatem, aboleret à natura abſumptum in ſeipſo peccatum. Nam Deus noſter ignis conſumens eſt, quo peccati materia omnis cōſumpta euaneſcit. Hic noſter eſt ſermo. Accuſator autem quid ait? [Non immutabilem & increatum ei qui per creationem factus eſt, & ob id in vitium mutato, admixtum eſſe: ſed & ipſum creatum exiſtentem ad ſibi cognatum & contribule veniſſe, non ex ſupereminenti natura propter beneuolentiam in genus humanum humiliorem inquit, ſubiiſſe naturam: ſed quod erat, hoc factum.] Nam generali appellatione, vnum de omnibus eſt eorum quæ ex nihilò ſubſtiterunt, creaturæ nomen. ſed particulares eorum quæ in creatura conſiderantur differentiæ, proprietatum diſcriminibus aliæ ab aliis diſcrepant. Quare ſi creatus quidem ille, creatus verò homo, ipſe in ſeipſum euacuatus eſt ſecundū Eunomij vocem: nec ad humile ex ſuperexcellente, ſed ex ſimili ad id quod in honore æquale eſt, tranſiit, excepta proprietate quæ eſt corporis ad id quod corporis eſt expers. In quem igitur iuſta iudicantium ſententia feretur, vel quis criminibus illis obnoxius pronūtiabitur: An ille qui à Deo increato creatū ſaluum factum eſſe dicit, an qui ſalutis noſtræ cauſam creaturæ aſſignat? Sed non obſcurum eſt piè ſentientium iudicium. Qui enim exactè ſcit creati cum increato differentiam, quorum diſcrepantia dominatione & ſeruitute notatur. Cùm increatus Deus dominetur in poteſtate ſua in ſeculum ſeculi, ſicut ait Propheta: omnes verò creaturæ ſeruiant, ſecundum eiuſdem prophetæ vocem, quæ ait, omnia ſeruiunt tibi.

Hebr. 12.

A ἑαυτῷ πρὸς τὴν ἀθάνατον ζωὴν ἐφελκύσασθαι διὰ τοῦ ἀνθρώπου, ᾧ κατεσκήνωσεν ὅλον ἀναλαβόντα πρὸς ἑαυτὸν τὸ ἀνθρώπινον, καὶ τὴν ζωοποιὸν αὐτοῦ δύναμιν, τῇ θνητῇ καὶ ἐπικήρῳ καταμίξαι φύσει· καὶ τὴν ἡμετέραν νέκρωσιν διὰ τῆς πρὸς ἑαυτὸν ἀνακράσεως εἰς ζωτικὴν μεταποιῆσαι χάριν καὶ δύναμιν. καὶ τοῦτο φαμὲν εἶναι τὸ κατὰ τὴν σάρκα τοῦ κυρίου μυστήριον· ὅτι ὁ ἄτρεπτος ἐν τῷ τρεπτῷ γίνεται, ἵνα πρὸς τὸ κρεῖττον ἀλλοιώσας, καὶ μεταβαλὼν ἐκ τοῦ χείρονος τὴν ἐμμιχθεῖσαν τῇ τρεπτῇ διαθέσει κακίαν, ἐξαφανίσῃ ἀπὸ τῆς φύσεως ἐν ἑαυτῷ τὸ κακὸν δαπανήσας. B ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστὶν, ᾧ ἐναφανίζεται πᾶσα κακίας ὕλη. ὁ ἡμέτερος λόγος. ὁ δὲ κατήγορος τί φησι; οὐ τὸν ἄτρεπτόν τε καὶ ἄκτιστον τῷ διὰ κτίσεως γεγονότι καὶ διὰ τοῦτο πρὸς κακίαν ἀλλοιωθέντι καταμιχθῆναι· ἀλλὰ καὶ αὐτὸν κτιστὸν ὄντα πρὸς τὸ συγγενὲς ἐλθεῖν ἑαυτῷ καὶ ὁμόφυλον, οὐκ ἐξ ὑπερεχούσης φύσεως διὰ φιλανθρωπίαν τὴν ταπεινοτέραν ὑποδῦναι φύσιν· ἀλλ' ὅπερ ἦν, τοῦτο γενόμενον. τῷ γὰρ γενικῷ τῆς C προσηγορίας, ἓν κατὰ πάντων ἐστὶ τῶν ἐκ τοῦ μὴ ὄντος ὑποστάντων, τὸ τῆς κτίσεως ὄνομα. αἱ δὲ μερικαὶ τῶν ἐν τῇ κτίσει θεωρουμένων διαφοραὶ, ταῖς τῶν ἰδιωμάτων παραλλαγαῖς, ἑτέρα τῆς ἑτέρας διεστήκασιν. ὥστε εἰ κτιστὸς μὲν ἐκεῖνος, κτιστὸς δὲ ὁ ἄνθρωπος, αὐτὸς εἰς ἑαυτὸν ἐκενώθη κατὰ τὴν Εὐνομίου φωνήν· καὶ οὐ πρὸς τὸ ταπεινὸν ἐκ τοῦ ὑπερέχοντος, ἀλλ' ἐκ τοῦ ὁμοίου πρὸς τὸ ὁμότιμον μετεχώρησε, πλὴν τῆς κατὰ τὸ σῶμα καὶ τὸ ἀσώματον ἰδιότητος. πρὸς τίνα τοίνυν ἡ δικαία τῶν δικαζόντων ἐνεχθήσεται ψῆφος, ἢ τίς τοῖς ἐγ- D κλήμασιν ἐκείνοις ὑπεύθυνος ἀναφανήσεται, ὁ παρὰ τοῦ Θεοῦ τοῦ ἀκτίστου τὸν κτιστὸν σεσῶσθαι λέγων, ἢ ὁ τῷ κτίσματι τῆς σωτηρίας ἡμῶν ἀνατιθεὶς τὴν αἰτίαν; ἀλλ' οὐκ ἄδηλος τῶν εὐσεβούντων ἡ κρίσις. ὁ γὰρ ἀκριβῶς ἐπιστάμενος τὴν διαφορὰν τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον. ὧν ἡ παραλλαγὴ κυριότητι καὶ δουλείᾳ χαρακτηρίζεται. τοῦ μὲν ἀκτίστου Θεοῦ δεσπόζοντος ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος, καθώς φησιν ὁ προφήτης· πάντων δὲ τῶν ἐν τῇ κτίσει δουλευόντων κατὰ τοῦ αὐτοῦ προφήτου φωνὴν, ἥ φησιν, ὅτι τὰ σύμπαντα δοῦλα σά.

ὁ ταῦτα τοίνυν δι' ἐπιμελείας κατανοήσας, οὐκ ἀγνοεῖ πάντως, τὸν ἐκ δουλείας εἰς δουλείαν τὸν μονογενῆ μετοικίζοντα. Εἰ γὰρ δουλεύει μὲν ἡ κτίσις πᾶσα κατὰ τὸν Παῦλον, κτιστὴ δὲ κατ' Εὐνόμιον τοῦ μονογενοῦς ἡ οὐσία, οὐ δεσπότην καταμεμῖχθαι δούλοις· ἀλλὰ δοῦλον ἐν δούλοις γενέσθαι διὰ τῶν δογμάτων οἱ ἐναντίοι πάντως κατασκευάζουσιν. ἀλλὰ μὴν τὸ πρὸ τῆς ἐν σαρκὶ παρουσίας ἐν δούλου μορφῇ λέγειν εἶναι τὸν κύριον, ἴσον ἐστὶ τῷ διαβάλλειν ἡμᾶς ὡς μελαίνας τοὺς ἀστέρας, καὶ ζοφώδη τὸν ἥλιον, καὶ τὸν οὐρανὸν χθαμαλὸν, καὶ τὸ ὕδωρ ξηρὸν, καὶ πάντα λέγοντας τὰ τοιαῦτα. ὁ γὰρ οὐκ ἐξ ὧν ἀκήκοέ τι κατασκευάζων, ἀλλὰ κατ' ἰδίαν ὁρμὴν τὸ δοκοῦν ἀναπλάσσων, μηδὲ τῶν τοιούτων φειδέσθω καθ' ἡμῶν ἐγκλημάτων. ἴσον γάρ ἐστιν ὑπό γε τούτων ἡμᾶς, καὶ ὑπ' ἐκείνων εὐθύνεσθαι, τῷ μηδὲν τούτων τὰς ἀρχὰς ἐκ τῶν ἡμετέρων ἔχειν. ὁ γὰρ ἐν τῇ τοῦ πατρὸς δόξῃ τὸν ἀληθινὸν υἱὸν εἶναι διοριζόμενος, πῶς ἂν ἐν δούλου μορφῇ τὴν αἰώνιον τοῦ μονογενοῦς δόξαν ὑβρίζοι; ἐπεὶ τοίνυν δοκεῖ τῷ λογογράφῳ λέγειν κακῶς, φροντίζει δὲ τοῦ δοκεῖν εὐπροσώπους τὰς αἰτίας κατασκευάζειν, οὐδὲν περιττὸν ἂν εἴη καὶ ἄχρηστον τοῖς ἀσυστάτοις τῶν ἐγκλημάτων ἐναγωνίζεσθαι. καὶ γὰρ ἡ ἐφεξῆς κατηγορία, παραπλήσιον τὸ παράλογον ἔχει, δύο γὰρ Χριστοὺς, καὶ δύο κυρίους λέγειν ἡμᾶς ᾐτιάσατο, οὐκ ἐκ τῶν ἡμετέρων ἐλέγχειν τὴν αἰτίαν ἔχων, ἀλλὰ πρὸς τὸ δοκοῦν κατ' ἐξουσίαν τῷ ψεύδει χρώμενος. ἐπεὶ οὖν ἐπ' αὐτῷ πρόκειται τὸ λέγειν ἃ βούλεται, τί μικρολόγως φέρει τὸ ψεῦδος, δύο μόνους Χριστοὺς λέγεσθαι παρ' ἡμῶν κατασκευάζων, λεγέτω κατ' ἐξουσίαν εἰ δοκεῖ, καὶ δέκα Χριστοὺς πρεσβεύειν ἡμᾶς, καὶ δεκάκις τοσούτους, καὶ εἰς χιλίους τὸν ἀριθμὸν ἐκτεινέτω, ὡς ἂν νεανικώτερον τῆς συκοφαντίας ἀντιλαμβάνοιτο. ἥτε γὰρ βλασφημία, καὶ ἐπὶ δύο καὶ ἐπὶ πλειόνων Χριστῶν τὸ ἴσον ἔχει, καὶ τὸ ἀναπόδεικτον τῶν ἐγκλημάτων ὡσαύτως ἴσον ἐστί. δείξας τοίνυν τὸ δύο λέγειν ἡμᾶς κυρίους καὶ δύο Χριστοὺς, ὡς ἐπὶ μυρίων τὸν ἔλεγχον ποιησάμενος, τὴν καθ' ἡμῶν ψῆφον ἐχέτω. ἀλλ' ἐκ τῶν ἡμετέρων ἡμᾶς διελέγχειν φησί. πάλιν γὰρ τὰ εἰρημένα τῷ διδασκάλῳ διασκεψώμεθα, δι'

A Qui hæc igitur diligenter animaduertit, non ignorat omnino, eum qui vnigenitum ex ſeruitutem migrare facit. Si enim omnis creatura ſeruit, vt ait Paulus; creata eſt autem vnigeniti eſſentia, vt cenſet Eunomius: non Dominum ſeruis permixtum, ſed ſeruum inter ſeruos factum eſſe ſuis decretis omnino aduerſarij adſtruunt. Verumtamen ante aduentum in carne in ſerui forma eſſe Dominum affirmare: perinde eſt ac ſi calumniarentur nos dicere nigras ſtellas & caliginoſum ſolem & cœlum ad terram depreſſum, & aquam ſiccam, &
B omnia quæ ſunt eiuſmodi: qui enim non ex auditis quid aſtruit, ſed pro ſuo impulſu quod ſibi videtur fingit, neque parcat contra nos eiuſmodi crimina intendere. Nihil enim intereſt vtrùm pro his an pro illis iudicium ſubeamus, quia nihil horum ex iis quæ aſſerimus principium habere poteſt. Qui enim in patris gloria verum filium eſſe determinat, quomodo in ſerui forma æternam vnigeniti gloriam contumelia afficeret? Quoniam verò huic ſcriptitatori placet maledictis inceſſere: ipſique eſt curæ vt
C videatur plauſibiles & ſpecioſas accuſationes inſtruere: non ſuperuacaneum & inutile fuerit, criminibus inſtabilibus & falſis reſiſtere. Etenim ſequens accuſatio ſimile abſurdum habet, duos enim Chriſtos & duos Dominos dicere nos inſimulauit, non ex noſtris ſcriptis accuſationem inſtituens, ſed ad arbitrium pro ſuo iure mendacio vtens. Quoniam in eius poteſtate eſt quicquid lubet dicere, cur parcè & ſtrictè mentitur, duos ſolos Chriſtos à nobis induci affirmans, dicat pro ſuo iure ſi ei videtur, nos decem Chriſtos aſſerere, & decies totidem, & ad mille nume-
D rum producat, vt iuuenilius & inconſideratius calumniam apprehendat. Nam blaſphemia in duobus & in pluribus Chriſtis æquale habet, criminàque non probata, nec demonſtrata ſimiliter ęqualia ſunt. Oſtendat igitur nos aſſeuerare duos dominos & duos Chriſtos, vt de decies mille reprehenſione facta contra nos ſententiam ferat. Sed ex noſtris ſcriptis nos conuincere contendit. Rurſus quæ à magiſtro dicta ſunt diſpiciamus,

Quartum caput accuſationis Eunomianæ.

Quintum caput accuſationis Eunomianæ.

per quæ iſte contra nos putat crimina intentare. [Non Theologiæ modum nobis tradit, inquit, ſed œconomiæ ſiue diſpenſationis rationes qui dicit, quod Dominum ipſum & Chriſtū fecit Deus, hunc filium quem vos crucifixiſtis: voce demonſtratiua ad id quod humanū eſt& quod cernitur omnibus, incūbens.] Hæc igitur ſunt ſcripta. Hi verò duo Chriſti, vnde ab Eunomio per id quod dictum eſt intruſi ſunt? vtrum dicere demonſtratiuam vocem, ad id quod apparet incumbere: hoc duorum Chriſtorum conſtitutionis certam habet probationem? Igitur negare decet & hoc, nempe ſuperexaltatum eſſe ab ipſo poſt paſſionem Dominum, ne duos altiſſimos dicere accuſemur. Siquidem altiſſimus quidem qui in principio eſt verbum Deus, ſuperexaltatus autem poſt paſſionem qui ex mortuis reſurrexit, ſicut ait Apoſtolus. E duobus enim neceſſario alterum eligendum eſt, vel dicendo ſuperexaltatum eſſe poſt paſſionem, quod quidē æquale eſt huic aſſertioni, Dominum factum eſſe & Chriſtū, impietatis apud Eunomium reum vocari, vel accuſationem declinando inficiari confeſſionem ſuperexaltationis eius qui paſſus eſt. Sed ad hæc rurſus oportet accuſatoris ſermonem noſtræ cauſæ dictionis patrocinium præſtituere. Quæ itaque ſunt ab illo poſita ad verbum recitabimus, per quæ noſter ſermo conſtituitur. [Ad hunc modum beatus Ioannes inquit, Deū verbum per quem omnia facta ſunt, in carne factum eſſe docet, dum dicit: Et Verbum caro factum eſt.] An intelligens quæ ſcribit, hæc orationi ſuæ adijcit. Equidem non arbitror ipſum ſcire horum verborum ſentētiam. Nam ſi quis accuratè quæ dicuntur conſideraret, nullam in his & quæ à nobis, & quæ ab illo dicuntur, inter ſe repugnantiam inueniret. Nos enim ea etiam quæ per carnem diſpenſata ſunt ſeorſim ſpectamus, & diuinam virtutem in ſeipſa intelligimus. Ille ſimiliter, vt nos, eum qui in principio erat verbum in carne manifeſtatum eſſe dicit, neq. alius quiſquam ipſum, neque ipſe ſeipſum vnquam accuſauit, vt duo verba prædicantem, & quod in principio erat, & quod in carne factum eſt. Nouit enim prorſus idem verbum eſſe, quod in carne apparuit cum eo quod erat apud Deum. Caro autem non eadem eſt cum diuinitate:

Verba ſunt Baſilij magni.

Verba Eunomij.

Ioan. 1.

A ὧν ἕνεκεν οἴεται κινεῖν καθ' ἡμῶν τὰ ἐγκλήματα. οὐ θεολογίας ἡμῖν παραδίδωσι τρόπον, φησὶν, ἀλλὰ τοὺς τῆς οἰκονομίας λόγους, ὁ λέγων ὅτι κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς, τοῦτον τὸν υἱὸν ὃν ὑμεῖς ἐσταυρώσατε, τῇ δεικτικῇ φωνῇ πρὸς τὸ ἀνθρώπινον αὐτοῦ καὶ βλεπόμενον πᾶσιν ἀπερειδόμενος. τὰ μὲν οὖν γεγραμμένα ταῦτα· οἱ δὲ δύο Χριστοὶ πόθεν παρὰ τοῦ Εὐνομίου διὰ τοῦ εἰρημένου εἰσεκυκλήθησαν; ἆρα τὸ τὴν δεικτικὴν φωνὴν πρὸς τὸ φαινόμενον εἰπεῖν ἀπερείδεσθαι· τοῦτο τῆς τῶν δύο
B Χριστῶν κατασκευῆς τὴν ἀπόδειξιν ἔχει; οὐκοῦν ἀρνεῖσθαι προσήκει, καὶ τὸ ὑπερυψωθῆναι παρ' αὐτοῦ μετὰ τὸ πάθος τὸν κύριον, ὡς ἂν μὴ καὶ δύο ὑψίστους λέγειν αἰτιαθείημεν. εἴπερ ὕψιστος μὲν ὁ ἐν ἀρχῇ ὢν λόγος Θεός, ὑπερυψωθῆναι δὲ μετὰ τὸ πάθος ὁ ἐκ νεκρῶν ἀναστὰς, καθώς φησιν ὁ ἀπόστολος, τῶν δύο γὰρ ἐστὶν ἐξ ἀνάγκης ἑλέσθαι τὸ ἕτερον, ἢ λέγοντας ὑπερυψῶσθαι μετὰ τὸ πάθος, ὅπερ ἴσον τῷ κύριον γενόμενον καὶ Χριστὸν, ἀσεβείας παρὰ τῷ Εὐνομίῳ φέρειν γραφὴν, ἢ τὴν κατηγορίαν
C ἐκκλίνοντας, ἀρνεῖσθαι τὴν ὁμολογίαν τῆς τοῦ παθόντος ὑπερυψώσεως. ἀλλὰ χρὴ πρὸς ταῦτα πάλιν τὸν τοῦ κατηγόρου λόγον συνήγορον τῆς ἡμετέρας ἀπολογίας προστήσασθαι. ἐκεῖνου ἐροῦμεν ἐπὶ λέξεως τὰ παρ' ἐκείνου τεθέντα, δι' ὧν ἡμέτερος συνίσταται λόγος τοῦτον τὸν τρόπον. ὁ μακάριος φησὶν Ἰωάννης τὸν θεὸν λόγον, δι' οὗ τὰ πάντα γέγονεν, ἐν σαρκὶ γεγενῆσθαι διδάσκει λέγων· καὶ ὁ λόγος σὰρξ ἐγένετο. ἆρα συνιεὶς ἃ γράφει, ταῦτα τῷ ἰδίῳ λόγῳ προσέθηκεν. ἐγὼ μὲν οὐκ οἶμαι τὸν αὐτὸν καὶ τὴν τούτων εἰδέναι διάνοιαν, καὶ πρὸς τὸν ἡμέτερον
D διαμάχεσθαι λόγον. εἰ γάρ τις ἀκριβῶς ἐπεσκέψατο τὰ λεγόμενα, οὐδεμίαν ἐν τούτοις διρήσοι πρὸς ἄλληλα τῶν τε παρ' ἡμῶν καὶ τῶν παρ' ἐκείνου λεγομένων, τὴν μάχην. ἡμεῖς τε γὰρ καὶ τὰ διὰ σαρκὸς οἰκονομηθέντα κατ' ἰδίαν ὁρῶμεν, καὶ τὴν θείαν δύναμιν ἐφ' ἑαυτῆς νοοῦμεν. ἐκεῖνός τε παραπλησίως ἡμῖν τὸν ἐν ἀρχῇ λόγον ἐν σαρκὶ πεφανερῶσθαι λέγει, καὶ οὔτε ἄλλος τις αὐτὸν, οὔτε αὐτὸς ἑαυτὸν ᾐτιάσατο πώποτε, ὡς δύο λόγους κηρύσσοντα, τόν τε ἐν ἀρχῇ ὄντα, καὶ τὸν σάρκα γενόμενον. οἶδε γὰρ πάντως ὅτι ὁ μὲν λόγος ὁ αὐτός ἐστι τῷ λόγῳ, ὁ ἐν σαρκὶ φανεὶς τῷ πρὸς τὸν Θεὸν ὄντι. ἡ δὲ σὰρξ οὐχ ἡ αὐτὴ τῇ θεότητι

πρὶν μεταποιηθῆναι καὶ ταύτην πρὸς τὴν θεότητα, ὡς ἐξ ἀνάγκης ἄλλα μὲν ἐφαρμόζειν τῷ Θεῷ λόγῳ, ἕτερα δὲ τῇ τοῦ δούλου μορφῇ. εἰ οὖν ἐκεῖνος οὐκ ἐγκαλεῖ αὐτῷ διὰ τῆς τοιαύτης ὁμολογίας τὴν λόγων δυάδα, πῶς ἡμεῖς πρὸς δύο Χριστοὺς διαμερίζειν τὴν πίστιν διαβαλλόμεθα; οἱ τὸν ἐκ τοῦ πάθους ὑπερυψωθέντα, τοῦτον κύριόν τε καὶ Χριστὸν γεγενῆσθαι λέγοντες διὰ τῆς πρὸς τὸν ὄντως κύριον καὶ Χριστὸν ἑνώσεως. εἰδότες δι' ὧν μεμαθήκαμεν ὅτι ἡ μὲν θεία φύσις ἀεὶ μία καὶ ἡ αὐτὴ καὶ ὡσαύτως ἔχουσα· ἡ δὲ σὰρξ καθ' ἑαυτὴν μέν ἐστι τοῦτο, ὅπερ καταλαμβάνει περὶ αὐτῆς ὁ λόγος τε καὶ ἡ αἴσθησις· ἀνακραθεῖσα δὲ πρὸς τὸ θεῖον οὐκέτι ἐν τοῖς ἑαυτῆς ὅροις τε καὶ ἰδιώμασι μένει, ἀλλὰ πρὸς τὸ ἐπικρατοῦν τε καὶ ὑπερέχον ἀναλαμβάνεται. διαμένει δὲ ἀσύγχυτος ἥ τε τῆς σαρκὸς καὶ τῆς τῆς θεότητος ἰδιωμάτων ἡ θεωρία, ἕως ἂν ἐφ' ἑαυτῆς θεωρῆται τούτων ἑκάτερον, οἷόν τι λέγων· ὁ λόγος πρὸ τῶν αἰώνων ἦν· ἡ σὰρξ δὲ ἐπὶ τῶν ἐσχάτων ἐγένετο χρόνων. καὶ οὐκ ἄν τις ἀναστρέψας εἴποι, ἢ ταύτην προαιώνιον εἶναι, ἢ ἐν τοῖς ἐσχάτοις γεγενῆσθαι τὸν λόγον. ἡ σὰρξ παθητικῆς ἐστι φύσεως· ἐνεργητικῆς δὲ ὁ λόγος. καὶ οὔτε αὐτὴ δημιουργικὴ τῶν ὄντων, οὔτε ἡ θεότης παθητικὴν ἔχει τὴν δύναμιν. ἐν ἀρχῇ πρὸς τὸν Θεὸν ὁ λόγος· ἐν τῇ τοῦ θανάτου πείρᾳ ὁ ἄνθρωπος. καὶ οὔτε ἐξ ἀϊδίου τὸ ἀνθρώπινον, οὔτε θνητὸν τὸ θεῖον. καὶ τὰ ἄλλα πάντα κατὰ τὸν αὐτὸν θεωρεῖται τρόπον. οὔτε ζωοποιεῖ τὸν Λάζαρον ἡ ἀνθρωπίνη φύσις, οὔτε δακρύει τὸν κείμενον ἡ ἀπαθὴς ἐξουσία, ἀλλ' ἴδιον τοῦ μὲν ἀνθρώπου τὸ δάκρυον· ἡ δὲ ζωὴ τῆς ὄντως ζωῆς· οὐ τρέφει τὰς χιλιάδας ἡ ἀνθρωπίνη πτωχεία, οὔτε τρέχει ἐπὶ τὴν συκῆν ἡ παντοδύναμος ἐξουσία. τίς ὁ κοπιῶν ἐκ τῆς ὁδοιπορίας, καὶ τίς ὁ ἀπόνως ὅλον τὸν κόσμον ὑποστήσας τῷ λόγῳ; τί τὸ τῆς δόξης ἀπαύγασμα; τί τὸ τοῖς ἥλοις διαπειρόμενον; ποία μορφὴ ἐπὶ τοῦ πάθους ῥαπίζεται; καὶ ποία ἐξ ἀϊδίου δοξάζεται; φανερὰ γὰρ ταῦτα κἂν μή τις ἑρμηνεύσῃ τῷ λόγῳ, ὅτι αἱ μὲν πληγαὶ τοῦ δούλου, ἐν ᾧ ὁ δεσπότης· αἱ δὲ τιμαὶ τοῦ δεσπότου περὶ ὃν ὁ δοῦλος, ὡς διὰ τὴν συνάφειάν τε καὶ συμφυΐαν κοινὰ γίνεσθαι τὰ ἑκατέρας ἀμφότερα, τοῦ δεσπότου τοὺς δουλικοὺς μώλωπας εἰς ἑαυτὸν ἀναλαμβάνοντος, καὶ

A priuſquam hæc ad diuinitatem tranſiret, vt neceſſario alia quidem Deo verbo congruerent, alia verò formæ ſerui. Si igitur ille non ipſum accuſat per talem confeſſionem verborum dualitatem inducere; quomodo nos ad duos Chriſtos fidem diſpertiri per calumniam dicimur? qui ſuperexaltatum ex paſſione, eum Dominum & Chriſtum factum eſſe aſſerimus, per vnionem cum vero Domino & Chriſto, ſcientes ex iis quæ didicimus, quod diuina quidem natura, ſemper vna eadémque & eodem modo ſe habet: caro vero per ſemetipſam hoc
B quidem eſt, quod de ipſa ratióque & ſenſus aſſumit: ſed cum diuinitate temperata non amplius in ſuis terminis & proprietatibus manet, ſed ad id quod præualet & ſupereminet aſſumitur. Carnis tamen & diuinitatis proprietatum incõfuſa permanet contemplatio, quandiu in ipſis horum alterum ſpectatur, tale quid dicens: Verbum ante ſecula erat: caro vero in extremis temporibus facta eſt. Nec quis retrouertens dixerit, vel hanc ante ſecula fuiſſe, vel in nouiſſimis temporibus verbum factum eſſe. Caro patibilis eſt naturæ: verbum au-
C tem eſt agentis. Neque ipſa eſt eorum quæ ſunt opifex ſiue conditrix: neque diuinitas vim patibilem habet. In principio apud Deum erat verbum: in mortis experimento eſt homo. Neque ab æterno humanitas eſt, neque diuinitas eſt mortalis. Et alia omnia eodem modo ſpectantur: neque humana natura viuificat Lazarum, neque iacentem plorat impatibilis poteſtas. Sed hominis propria eſt lachryma: vita verò eſt vitæ quæ re vera eſt. Non humana mendicitas paſcit multa hominum millia: non ad ficum currit omnipotens po-
D teſtas. Quis fatigatur ex itinere, & quis abſque labore vniuerſum mundum verbo ſubſiſtere facit? Quis gloriæ ſplendor? Quid quod clauis eſt transfixum? Quæ facies in paſſione colaphis infligitur? & quæ ab æterno glorificatur? Hæc enim ſunt clara, etiamſi quis ſermone non explicet: quod plagæ & verbera ſunt ſerui, in quo Dominus: honores autem Domini, circa quem ſeruus; ita vt per compagem & nexum naturalem communia fiant vtriuſque vtraque, Domino ſeruiles vibices aſſumente,

& ſeruo dominico honore glorificato: ob eam cauſam enim & Domini gloriæ crux dicitur, & omnis lingua confitetur, quia Dominus Ieſus Chriſtus in gloria eſt Dei patris. Quod ſi oportet reliqua etiam eodem modo diſtinguere, conſideremus quid quod moritur, & quid quod mortem diſſoluit: quid etiam id quod renouatur, & quid quod exinanitur. Exinanitur enim diuinitas, vt capi poſſit in humana natura: renouatur vero quod humanum eſt, cum ſit diuinum per temperationem cum diuinitate. Quemadmodum enim aër ſiue ſpiritus in aqua non continetur, cùm aliquo grauiori corpore concluſus & contractus in aquæ profunditate relictus fuerit, ſed ad cognatum ſibi recurrit principium. Aqua autem ſæpe cum recurſu ſpiritus attollitur, in ſubtili quadã & in modum membranæ tenui ſuperficie aërio circulo incuruata: ſic etiam vera vita in carne ſita ad ſeipſam poſt paſſionem cum recurrit: etiam caro quæ circum ipſam à diuina immortalitate in altum ſublata eſt, à corruptione ad id quod eſt incorruptibile ſurſum compulſa. Et quemadmodum in ligno ignis intra ſuperficiem conditus & ſopitus, videntium vel tangentium fallit ſæpe ſenſum: ſuſcitatus autem apparet: ſic in morte, quam fecit pro ſua poteſtate, qui animam ſuam à corpore diſiunxit, cùm ad patrem dixit: pater tibi in manus commendo ſpiritum meum. Qui ſicut dixit poteſtatẽ habet iterum ipſam ſumendi: hic confuſione quæ ab hominibus eſt contempta, quia ſit Dominus gloriæ: veluti vitæ in natura corporis contecto ſuſcitabulo, ſiue igniculo: in diſpenſatione ſecundum mortem rurſus accendit, & ſuſcitauit potentia ſuæ deitatis, quod mortificatum erat refouens, & ſic in diuinæ potentiæ infinitatem, breue illud naturæ noſtræ libamentum cum infudit, quod quidem ipſe erat hoc & illud fecit, ſeruilem formam, Dominum: & hominem ex Maria natum, Chriſtum: & crucifixum ex imbecillitate, vitam & potentiam. Atque omnia quæcunque in Deo verbo piè conſiderantur, etiam in aſſumpto à verbo faciens. Ita vt non per diuiſionem peculiariter in vtroque hæc videantur eſſe: ſed cum diuinitate temperatione, ſecundum id quod

Luc. 23. & Pſal. 5.

A τοῦ δούλου τῇ δεσποτικῇ δοξαζομένου τιμῇ· διὰ τοῦτο γὰρ καὶ τοῦ κυρίου τῆς δόξης ὁ σταυρὸς λέγεται, καὶ πᾶσα γλῶσσα ἐξομολογεῖται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός. εἰ δὲ χρὴ καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν διελεῖν τρόπον, σκεψώμεθα, τί τὸ ἀποθνῆσκον, καὶ τί τὸ καταλῦον τὸν θάνατον, τί τὸ ἀνακαινούμενον· καὶ τί τὸ κενούμενον. κενοῦται μὲν γὰρ ἡ θεότης ἵνα χωρητὴ τῇ ἀνθρωπίνῃ φύσει γένηται, ἀνακαινοῦται δὲ τὸ ἀνθρώπινον, διὰ τῆς πρὸς τὸ θεῖον ἀνακράσεως θεῖον γινόμενον. ὡς γὰρ οὐ κρατεῖται B πνεῦμα ἐν ὕδατι, ὅταν τινὶ τῶν βαρυτέρων συγκατασπασθὲν ἐναπολειφθῇ τῷ βάθει τοῦ ὕδατος, ἀλλ' ἐπὶ τὸ συγγενὲς ἀνατρέχει. τὸ δὲ ὕδωρ πολλάκις τῇ ἀναδρομῇ τοῦ πνεύματος συνεπαίρεται, ἐν λεπτῇ τινι καὶ ὑμενώδει τῇ ἐπιφανείᾳ ἀερώδει κύκλῳ περικυρτούμενον· οὕτω καὶ τῆς ἀληθινῆς ζωῆς τῆς ἐγκειμένης τῇ σαρκὶ πρὸς ἑαυτὴν μετὰ τὸ πάθος ἀναδραμούσης· καὶ ἡ περὶ αὐτὴν σὰρξ συνεπήρθη, ἀπὸ τῆς θεϊκῆς ἀθανασίας, ἀπὸ τῆς φθορᾶς συναναωθεῖσα ἐπὶ τὸ ἄφθαρτον. καὶ ὥσπερ τὸ ἐν τῷ C ξύλῳ πῦρ ἐντὸς πολλάκις τῆς ἐπιφανείας κρυπτόμενον, λανθάνει τὴν τῶν ὁρώντων ἢ τῶν ἁπτομένων τὴν αἴσθησιν· ἀναζωπυρούμενον δὲ φανεροῦται· οὕτως καὶ ἐν τῷ θανάτῳ ὃν πεποίηται κατ' ἐξουσίαν ὁ διαζεύξας τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, ὁ εἰπὼν πρὸς τὸν ἴδιον πατέρα· ὅτι ἐν ταῖς χερσί σου παρατίθημι τὸ πνεῦμά μου. ὁ, καθώς φησιν, ἐξουσίαν ἔχων πάλιν λαβεῖν αὐτήν· οὗτος ὁ τῆς ἐν ἀνθρώποις αἰσχύνης καταφρονήσας, διὰ τὸ εἶναι τῆς δόξης κύριος· οἱονεὶ συγκαλύψας τὸ τῆς ζωῆς ἐμπύρευμα τῇ D φύσει τοῦ σώματος· ἐν τῇ κατὰ τὸν θάνατον οἰκονομίᾳ, πάλιν ἀνῆψέ τε καὶ ἀνεζωπύρησε τῇ δυνάμει τῆς ἰδίας θεότητος, τὸ νεκρωθὲν ἀναθάλψας, καὶ οὕτως τῷ ἀπείρῳ τῆς θεϊκῆς δυνάμεως τὴν βραχείαν ἐκείνην τῆς φύσεως ἡμῶν ἀπαρχὴν ἀνακράσας· ὅπερ αὐτὸς ἦν, τοῦτο κἀκεῖνο ἐποίησε, τὴν δουλικὴν μορφὴν κύριον· καὶ τὸν ἄνθρωπον τὸν ἐκ Μαρίας Χριστόν· καὶ τὸν σταυρωθέντα ἐξ ἀσθενείας ζωὴν καὶ δύναμιν. καὶ πάντα ὅσα ἐν τῷ Θεῷ λόγῳ κατὰ τὸ εὐσεβὲς θεωρεῖται, καὶ ἐν τῷ ἀναληφθέντι παρὰ τοῦ λόγου ποιήσας. ὡς μὴ κατά τινα διαίρεσιν ἰδιαζόντως ἐφ' ἑκατέρου ταῦτα δοκεῖν εἶναι· ἀλλὰ τῇ πρὸς τὸ θεῖον ἀνακράσει κατὰ τὸ ἐπικρατοῦν ἀναποιηθεῖσαν

τὴν ἐπίκηρον φύσιν, μεταλαβοῦσαν τὴν τῆς θεότητος δύναμιν, ὡς εἴ τις λέγοι, ὅτι τὴν σταγόνα τοῦ ὄξους ἐμμιχθεῖσαν τῷ πελάγει, θάλασσαν ἡ μίξις ἐποίησε τῷ μηκέτι τὴν κατὰ φύσιν ποιότητα τοῦ ὑγροῦ τούτου, ἐν τῇ ἀπειρίᾳ τοῦ ἐπικρατοῦντος συμμένειν. οὕτως ὁ ἡμέτερος λόγος οὐκ ἀριθμὸν Χριστῶν, καθὼς κατηγορεῖ ὁ Εὐνόμιος, ἀλλὰ ἕνωσιν τοῦ ἀνθρώπου πρὸς τὸ θεῖον πρεσβεύων, τὴν τοῦ θνητοῦ πρὸς τὸ ἀθάνατον, καὶ τὴν τοῦ δούλου πρὸς τὸν κύριον, καὶ τὴν τῆς ἁμαρτίας πρὸς τὴν δικαιοσύνην, καὶ τὴν τῆς κατάρας πρὸς τὴν εὐλογίαν, καὶ τὴν τοῦ ἀνθρώπου πρὸς B τὸν Χριστὸν μεταστοιχείωσιν, ποίησιν ὀνομάζων. τίς οὖν ἔτι τοῖς συκοφάνταις ὑπολείπεται λόγος; ὡς δύο Χριστοὺς ἡμῶν ἐν τῷ δόγματι κηρυσσόντων· εἰ τὸν ἐξ ἀρχῆς ἀκτίστως ἐν τῷ πατρὶ ὄντα, κύριον καὶ Χριστὸν, καὶ λόγον καὶ Θεὸν οὐ λέγομεν πεποιῆσθαι. τὸν δὲ μακάριον Πέτρον ἐν βραχεῖ τὸ κατὰ τὴν σάρκα μυστήριον παροδικῶς ἐνδεικνύμενον λέγειν διοριζόμεθα, κατὰ τὴν προαποδεδειγμένην διάνοιαν. ὅτι τὸ σταυρωθὲν ἐξ ἀσθενείας, καὶ αὐτὸ διὰ τὴν ἐπικρατήσασαν τοῦ ἐνοικήσαντος δύναμιν, ἐκεῖνο γέγονεν ὅπερ ὁ ἐνοικήσας ἐστί τε καὶ ὀνομάζεται, Χριστὸς καὶ κύριος, καθὼς εἰρήκαμεν.

A præpotentius eſt recreata corruptibilis natura, potentiæ deitatis particeps facta ſit: vt ſi quis dicat, aceti guttam vaſto mari immixtam, per huiuſmodi mixtionem maris qualitates induiſſe, quia non amplius ſecundum naturam huius liquoris qualitas in immenſitate præpotentis immaneat. Sic noſter ſermo non numerum Chriſtorum, vt criminatur Eunomius, ſed vnionem hominis cum Deo affirmans, mortalis cum immortali, ſerui cum Domino, peccati cum iuſtitia: execrationis cum benedictione: hominis cum Chriſto tranſmutationem, facturam nominat. Quis igitur ſycophantis relinquitur ſermo? Quod nos duos Chriſtos dogmate noſtro prædicemus: ſi eum qui à principio increabiliter eſt in patre, Dominum & Chriſtum, & verbum Deum factum eſſe negamus. Beatum verò Petrum breuiter ſecundum carnem myſterium obiter demonſtrantem dicere, ſecundum ante demonſtratam intelligentiam definiuimus. Quia quod ex imbecillitate crucifixum eſt, & ipſum propter præualentem inhabitantis potentiam illud factum eſt, quod ille qui inhabitauit eſt & nominatur, Chriſtus & Dominus, ſicut diximus.

A

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM,

ORATIO V.

SED ſentio vltra quam oportet nobis indulſiſſe, & in hoc loco libentius moram feciſſe, notionum neceſſitate ad hanc contemplationem nos ſubuehente, criminum conſequentia reſumenda eſt, vt nihil eorum quæ nobis obiecta & illata fuerunt, indefenſum prætereamus. Ac primum ſi videtur conſideremus quo modo nos accuſat communem ſiue purum hominem vniuerſi ſalutem operatum eſſe dicere. Hoc enim etſi per ea quæ ſunt mediocriter excuſſa & examinata iam demonſtratum eſt: tamen vt prorſus eorum qui ex calumnia iudicant expurgata ſit opinio, paucis rurſus diſſeremus. Tantum abeſt vt ad communem hominem ingentis omnémq. rationem ſuperantis gratiæ cauſam adducamus, vt etiam ſi quis ad Petrum vel Paulum, vel ad cœleſtem angelum talem operationem referret, diceremus hunc, ſecundum Pauli legem, anathema, (id eſt ſacrum, deuotum, deteſtabilem.) Neque enim Paulus pro nobis crucifixus eſt: neque in humanũ nomen ſacro lauacro tincti ſumus. Haud tamen quoniam vim Chriſti ſalutarem humana natura præſtantiorem eſſe confitemur, iam aduerſariorum dogma contra veritatem præualet: his enim propoſitus eſt ſcopus, præſtruere per omnia, filij eſſentiam à patris eſſentia alienam eſſe & diuerſam: nec ſolum geniti cum ingenito differentia, verumetiam patibilis cum impatibili oppoſitione, quod ſecundum eſſentiam eſt diſſimile, demonſtrare obnixè contendunt. Atque hoc in poſtremis ſermonis partibus nudius conſtruitur. Non minus etiam per ea quæ nunc dicuntur manifeſtum. Nam ſi

Sextum caput accuſationis Eunomianæ.

B C D

Galat. 5.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Ε.

ΑΛΛ' αἰσθάνομαι πέρα τοῦ δέοντος ἐμφιλοχωρήσας τῷ τόπῳ, τῆς ἀνάγκης τῶν νοημάτων πρὸς τὴν θεωρίαν ἡμᾶς ταύτην ἐξαναγούσης, ἐπαναληπτέον δὲ τὴν ἀκολουθίαν τῶν ἐγκλημάτων· ὡς ἂν μηδὲν τῶν ἐπενεχθέντων ἡμῖν ἀναπολόγητον παραδράμοιμεν. καὶ πρῶτον εἰ δοκεῖ τοῦτο σκεψώμεθα, ὅπως ἡμᾶς αἰτιᾶται κοινὸν ἄνθρωπον τὴν τοῦ παντὸς σωτηρίαν ἐνηργηκέναι λέγειν. τοῦτο γὰρ εἰ καὶ διὰ τῶν ἐξητασμένων μετρίως ἤδη προαποδέδεικται· ἀλλ' ὡς ἂν διὰ πάντων ἐκκαθαρθείη ἡ τῶν ἐκ διαβολῆς κρινόντων ὑπόληψις, ἐν ὀλίγῳ πάλιν διαληψόμεθα. ἡμεῖς τοσοῦτον ἀπέχομεν εἰς κοινὸν ἄνθρωπον τῆς μεγάλης καὶ ὑπὲρ λόγον χάριτος τὴν αἰτίαν ἀνάγειν, ὥστε κἂν εἰς Πέτρον καὶ Παῦλον, ἢ εἰς οὐράνιον ἄγγελον ἀναφέρῃ τις τὴν τοιαύτην εὐεργεσίαν, ἀνάθεμα λέγειν οὗτον κατὰ τὸν Παύλου νόμον. οὔτε γὰρ Παῦλος ἐσταυρώθη ὑπὲρ ἡμῶν, οὔτε εἰς ἀνθρώπινον ἐβαπτίσθημεν ὄνομα. οὐ μὴν ἐπειδὴ κρείττω τῆς ἀνθρωπίνης φύσεως εἶναι τὴν σωτήριον τοῦ Χριστοῦ δύναμιν ὁμολογοῦμεν, ἤδη τὸ δόγμα τῶν ὑπεναντίων τὸ κατὰ τῆς ἀληθείας κρατυνεῖται. τοῖς μὲν γὰρ σκοπός ἐστι διὰ πάντων κατασκευάσαι τὴν τῆς οὐσίας τοῦ υἱοῦ πρὸς τὴν τοῦ πατρὸς ἀλλοτρίωσιν, καὶ οὐ μόνον τῇ τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον διαφορᾷ. ἀλλὰ καὶ τῇ τοῦ παθητοῦ πρὸς τὸ ἀπαθὲς ἀντιθέσει, τὸ κατ' οὐσίαν ἀνόμοιον ἀποδεικνύειν σπουδάζουσι. καὶ τοῦτο γυμνότερον μὲν ἐν τοῖς τελευταίοις τοῦ λόγου κατασκευάζεται. φανερὸν δὲ καὶ διὰ τῶν νῦν λεγομένων οὐχ ἧττόν ἐστιν. εἰ γὰρ

αἰτιᾶται τοὺς τὸ πάθος τῇ ἀνθρωπίνῃ φύσει ἀνατιθέντας· βούλεται πάντως αὐτὴν τῷ πάθει ὑπαγαγεῖν τὴν θεότητα. διπλῆς γὰρ οὔσης καὶ ἀμφιβόλου τῆς ὑπολήψεως, εἴτε τὸ θεῖον εἴτε τὸ ἀνθρώπινον ἐν πάθει γέγονεν, ἡ τοῦ ἑνὸς κατηγορία, κατασκευὴ πάντως τοῦ λειπομένου γίνεται. εἰ τοίνυν αἰτιῶνται τὸ πάθος περὶ τὸν ἄνθρωπον βλέποντας, ἐπαινέσουσι πάντως τοὺς ἐμπαθῆ λέγοντας τοῦ υἱοῦ τὴν θεότητα. τὸ δὲ κατασκευαζόμενον, συνηγορία τοῦ τοῦ δόγματος αὐτῶν ἀτόπου γίνεται. εἰ γὰρ πάσχει μὲν κατὰ τὸν λόγον αὐτῶν τοῦ υἱοῦ ἡ θεότης· ἡ δὲ τοῦ πατρὸς ἐν ἀπαθείᾳ πάσῃ φυλάσσεται κατὰ τὴν οὐσίαν· ἡ ἀπαθὴς ἄρα φύσις πρὸς τὴν παραδεχομένην τὸ πάθος ἀλλοτρίως ἔχει. ἐπεὶ τοίνυν βραχὺ μὲν ὅσον ἐν τῇ περιγραφῇ τῶν ῥημάτων ἐστὶ τὸ λεγόμενον, πάσης δὲ τῆς περὶ τὸ δόγμα κακίας τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις παρέχεται, δίκαιον ἂν εἴη τοὺς ἐντυγχάνοντας μὴ τὸ σύντομον τῆς ἀποκρίσεως, ἀλλὰ τὸ ἀσφαλὲς ἀπαιτεῖν. ἡμεῖς τοίνυν οὔτε ἀνθρώπῳ τὴν σωτηρίαν ἑαυτῶν ἀνατιθέμεθα, οὔτε τὴν ἀκήρατον καὶ θείαν φύσιν ἐμπαθῆ καὶ ἐπίκηρον εἶναι καταδεχόμεθα· ἀλλ' ἐπειδὴ χρὴ πάντως πιστεύειν ταῖς θείαις φωναῖς αἳ Θεὸν τὸν ἐν ἀρχῇ ὄντα λόγον κηρύσσουσιν· μετὰ ταῦτα δὲ τὸν λόγον σάρκα γινόμενον ἐπὶ τῆς γῆς ὀφθῆναι, καὶ τοῖς ἀνθρώποις συναναστραφῆναι. τὰ πρόσφορα τῆς θείας φωνῆς νοήματα τῇ πίστει δεχόμεθα. ὅταν μὲν γὰρ ἀκούωμεν ὅτι φῶς ἐστι, καὶ δύναμις, καὶ δικαιοσύνη, καὶ ζωή, καὶ ἀλήθεια, καὶ ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, πάντα ταῦτα καὶ τὰ τοιαῦτα πιστὰ ποιούμεθα, εἰς τὸν λόγον τὸν Θεὸν ἀναφέροντες. ὅταν δὲ λύπην, καὶ ὕπνον, καὶ ἔνδειαν, καὶ ταραχήν, καὶ δεσμά, καὶ ἥλους, καὶ λόγχην, καὶ αἷμα, καὶ τραύματα, καὶ ταφήν, καὶ μνημεῖον, καὶ ὅσα ἄλλα τοιαῦτα, κἂν ὑπεναντίως ἔχῃ τοῖς προαποδεδομένοις, οὐδὲν ἧττον πιστά τε καὶ ἀληθῆ εἶναι δεχόμεθα, πρὸς τὴν σάρκα βλέποντες, ἣν τῇ πίστει μετὰ τοῦ λόγου προσεδεξάμεθα. ὡς οὐκ ἔστι τὰ τῆς σαρκὸς ἰδιώματα τῷ ἐν ἀρχῇ ὄντι ἐπιθεωρηθῆναι λόγῳ· οὕτως αὖ πάλιν οὐδὲ τὰ τῆς θεότητος ἴδια ἐν τῇ τῆς σαρκὸς φύσει κατανοῆσαι. διὰ μεμιγμένης τῆς εὐαγγελικῆς περὶ τοῦ κυρίου διδασκαλίας, διά τε τῶν ὑψηλῶν τε καὶ θεοπρεπῶν, καὶ διὰ τῶν ταπεινῶν, ἑκάτερον τῶν νοημάτων ἑκατέρῳ τῶν ἐν τῷ μυ-

A eos qui naturæ humanæ paſſionem attribuunt accuſat: ipſam omnino diuinitatem paſſioni vult ſubijcere. Cùm enim ſit duplex & ambigua opinio, verùm diuinitas an humanitas perpeſſa fuerit: horum vnius accuſatio, eius quod relinquitur planè fit præſtructio. Si igitur eos qui paſſionem in homine intuentur accuſant, illos prorſus qui filij diuinitatem paſſibilem dicunt, laudabunt. Quod autem adſtruitur, patrocinium abſurditatis dogmatis ipſorum efficitur. Si enim iuxta illorum rationem patitur filij diuinitas: patris verò in omni im-
B paſſibilitate ſecundum eſſentiam cuſtoditur. Impaſſibilis igitur natura ab ea quæ perpeſſioni obnoxia eſt alienatur. Quandoquidem hoc quod dicitur, quantum verbis circumſcribitur, breue quidem eſt, ſed omnis in dogmate prauitatis principia & hypotheſes præbet. Iuſtum fuerit lectores non reſponſum conciſum & breue, ſed quod validum eſt & tutum poſtulare. Nos igitur neque homini ſalutem noſtram attribuimus, neque incorruptibilem & diuinam naturam patibilem & corruptibilem eſſe admitti-
C mus: ſed quoniam diuinis vocibus omnino & indubitanter oportet fidem habere, quæ Deum verbum in principio eſſe prædicant: poſt vero verbum carnem factum in terra viſum eſſe & cum hominibus conuerſatum. Conuenientes voci diuinæ notiones in fide accipimus. Cum enim audimus, quod lux eſt, & virtus & iuſtitia, & vita, & veritas, quódque omnia per ipſum facta ſunt, hæc omnia & eiuſmodi fide digna & certa facimus ad verbum Deum referentes. Cùm vero dolorem & ſomnum & egeſtatem, etiam turbationem & vincula, & clauos, & lan-
D ceam, & ſanguinem, & vulnera, & ſepulturam, & monumentum, & quæcunque alia eiuſmodi, etſi prius demonſtratis, modo ſub contrario habere ſe videantur: nihilominus & fide digna certa, veráque affirmamus, ad carnem ſpectantes, quam per fidem, cum verbo accepimus. Quemadmodum non licet carnis proprietates in verbo quod erat in principio contemplari: ſic contra, neque ea quæ ſunt diuinitatis propria, in natura carnis fas eſt intelligere. Quamobrem cum de Domino doctrina Euangelica ſit mixta, & ex ſublimibus, deóque quadrantibus, atque ex humilibus, vtrumque intellectum, vtrique eorum

quæ in myſterio intelliguntur, inter ſe accommodamus, & quod humanum humanitati, quódque excelſum eſt diuinitati: & aſſerimus, quod quatenus Deus eſt filius, impatibilis prorſus eſt & incorruptibilis. Quod ſi in Euangelio perpeſſio & affectio aliqua dicatur, per humanitatem, quæ talem affectum ſuſcipit, operatus eſt. Diuinitas enim per corpus aſſumptum, ſalutem verè operatur, carnis quidem paſſionem eſſe, Dei vero operationem, tametſi quidam Apoſtolum contrarij dogmatis patronum ac defenſorem attrahunt dicentem, quod proprio filio non pepercit. Et, Deus ſuum filium miſit, quæque ſunt huiuſmodi, quæ diuinam naturam in paſſionis diſpenſatione, non verò humanitatem ſpectare videntur: nihilominus à ſacris decretis non recedemus, ipſo Paulo nudius de hoc myſterium nobis explanante. Vbique enim Chriſti parti humanæ paſſionis diſpenſationem aſſignat, cum dicit: quoniam per hominem mors, & per hominem reſurrectio mortuorum. Et Deus ſuum filium cum miſit, in ſimilitudine carnis peccati, in carne peccatum condemnauit: in carne inquit, non in diuinitate: & crucifixus eſt ex infirmitate, carnem per infirmitatē ſignificans: viuit autem ex virtute, diuinitatem per virtutem demonſtrans: & mortuus eſt peccato, id eſt corpori: viuit autem Deo, id eſt diuinitati. Quare per hæc aſtruitur quod homo mortem guſtauit: immortalis verò natura mortis paſſionem non accepit. Et eum qui peccatum non nouit, pro nobis peccatum fecit: rurſus peccatum carnem nominans. Hoc autem etiam obiter dicamus, non inutilius
Rom. 8. forte principali propoſito videbitur ad-
2. Cor. 5. uentitium hoc acroama. Siquidem ſan-
1. Petr. 2. cto Petro dicente, Dominum ipſum & Chriſtum fecit. Et rurſus apoſtolo Pau-
Act. 2. lo ad Hebræos: quod ſacerdotem fecit.
Hebr. 5. Abripit Eunomius verbum (fecit) vt exiſtentiæ ante ſecula demonſtratiuum. Ac per hoc putat oportere præſtruere Dominum quid factitium eſſe. Audiat is Paulum dicentem, quod eum qui non nouit peccatum, pro nobis peccatum
2. Cor. 5. fecit. Si verbum fecit de Domino, atque ex epiſtola ad Hebræos, & ex Petri voce ad æternam notionem remittit, præclarè

A σπειρίᾳ νοουμένων καταλλήλως ἁρμόζοντες, τὸ μὲν ἀνθρώπινον τῷ ἀνθρωπίνῳ· τὸ δὲ ὑψηλὸν τῇ θεότητι, καὶ φαμὲν ὅτι καθὸ Θεὸς ὁ υἱὸς ἀπαθὴς πάντως ἐστὶ καὶ ἀκήρατος. εἰ δέ τι πάθος ἐν τῷ εὐαγγελίῳ περὶ αὐτοῦ λέγοιτο, διὰ τοῦ ἀνθρωπίνου πάντως τοῦ δεχομένου τὸ πάθος τὸ τοιοῦτον ἐνήργησεν. ἐνεργεῖ γὰρ ὡς ἀληθῶς ἡ θεότης διὰ τοῦ περὶ αὐτὴν σώματος σωτηρίαν, εἶναι τῆς μὲν σαρκὸς τὸ πάθος, τοῦ δὲ Θεοῦ τὴν ἐνέργειαν, κἂν τὸν ἀπόστολον εἰς συνηγορίαν τινὲς τοῦ ἐναντίου καθέλκωσι δόγματος, λέγοντα· ὅτι τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο. καὶ ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἔπεμψεν, καὶ ὅσα τοιαῦ-
B τα πρὸς τὴν θείαν φύσιν ἐν τῇ τοῦ πάθους οἰκονομίᾳ, καὶ οὐχὶ πρὸς τὸ ἀνθρώπινον βλέπειν δοκεῖ, οὐδὲν ἧττον τῶν ὑγιαινόντων δογμάτων οὐκ ἀφεξόμεθα, αὐτοῦ τοῦ Παύλου γυμνότερον τὸ περὶ τούτου σαφηνίσαντος ἡμῖν μυστήριον. πανταχοῦ γὰρ τῷ ἀνθρωπίνῳ μέρει τοῦ Χριστοῦ τὴν τοῦ πάθους οἰκονομίαν προσμαρτυρεῖ, λέγων· ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. καὶ ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ἐν τῇ σαρκὶ γάρ φησιν, οὐκ ἐν τῇ θεότητι, καὶ ἐ-
C σταυρώθη ἐξ ἀσθενείας, τὴν σάρκα διὰ τῆς ἀσθενείας σημαίνων, ζῇ δὲ ἐκ δυνάμεως, τὸ θεῖον διὰ τῆς δυνάμεως ἐνδεικνύμενος· καὶ ἀπέθανε τῇ ἁμαρτίᾳ, τουτέστι τῷ σώματι. ζῇ δὲ τῷ Θεῷ, τουτέστι τῇ θεότητι. ὥστε διὰ τούτων κατασκευάζεσθαι, ὅτι ὁ μὲν ἄνθρωπος τοῦ θανάτου ἐγεύσατο· ἡ δὲ ἀθάνατος φύσις τὸ κατὰ θάνατον οὐ προσεδέξατο πάθος, καὶ τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε· πάλιν ἁμαρτίαν ὀνομάζων τὴν σάρκα. τοῦτο δὲ κἂν ἐκ πα-
D ρόδου λεγόμενον, οὐκ ἀχρηστότερον ἴσως δοκεῖ τοῦ προκειμένου, τὸ ἐπεισόδιον. ἐπειδὴ γὰρ εἰπόντος τοῦ ἁγίου Πέτρου, κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησα. καὶ πάλιν τοῦ ἀποστόλου Παύλου πρὸς Ἑβραίους· ὅτι ἱερέα ἐποίησεν, ἁρπάζει τὴν ἐποίησε φωνὴν ὁ Εὐνόμιος, ὡς ἐνδεικτικὴν τῆς προαιωνίου ὑπάρξεως. καὶ διὰ τούτου ποίημα εἶναι τὸν κύριον κατασκευάζειν οἴεται δεῖν. ἀκουσάτω τοίνυν τοῦ Παύλου λέγοντος, ὅτι τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν. εἰ τὸ ἐποίησεν ἐπὶ τοῦ κυρίου, ἔκ τε τῆς πρὸς Ἑβραίους ἐπιστολῆς, καὶ ἐκ τῆς Πέτρου φωνῆς εἰς τὸ προαιώνιον ἀναπέμπει νόημα,

κυρίως ἂν ἔχοι, καὶ τὴν ἐντεῦθεν φωνὴν ἥ φησιν, ὅτι ἁμαρτίαν αὐτὸν ὁ Θεὸς ἐποίησεν, εἰς τὴν πρώτην τῆς οὐσίας ἀνάγειν ὑπόστασιν, καὶ διὰ τούτου πεποιῆσθαι αὐτὸν καθ' ὁμοιότητα τῶν ἄλλων μαρτυριῶν, ἀποδεικνύειν πειρᾶσθαι. ἵνα τὴν ἐποίησεν λέξιν εἰς τὴν οὐσίαν ἀνενέγκοι, ἀκολούθως ἑαυτῷ ποιῶν, καὶ τὴν ἁμαρτίαν ἐν τῇ οὐσίᾳ βλέπῃ. εἰ δὲ τοῦτο διὰ τὸ περιφανὲς τῆς ἀτοπίας αἰσχύνοιτο, καὶ τὴν ἐπ' ἐσχάτων οἰκονομίαν διὰ τοῦ εἰπεῖν ἁμαρτίαν ἐποίησεν ἐνδείκνυσθαι τὸν ἀπόστολον λέγοι, πεισάτω ἑαυτὸν διὰ τῆς αὐτῆς ἀκολουθίας, κἀκεῖ τὸ ἐποίησε πρὸς τὴν οἰκονομίαν βλέπειν. ἀλλ' ἐπανέλθωμεν πάλιν ὅθεν B ἐξέβημεν· μυρία γὰρ πρὸς τούτοις ἄλλα δυνατόν ἐστιν ἐκ τῆς αὐτῆς γραφῆς πρὸς τὸν σκοπὸν ἀναλέξασθαι, καὶ μηδεὶς οἰέσθω τὸν θεῖον ἀπόστολον καθ' ἑαυτοῦ πρὸς τὰ ἐναντία μερίζεσθαι, τοῖς μαχομένοις κατὰ τὰ δόγματα πρὸς τὴν εἰς ἑκάτερον ἐπιχείρησιν ἐκ τοῦ ἴσου παρέχειν διὰ τῶν ἰδίων τὰς ὕλας· εὕροι γὰρ ἄν τις ἀκριβῶς ἐξετάζων, ὅτι πρὸς ἓν αὐτῷ βλέπει δι' ἀκριβείας ὁ λόγος. καὶ οὐκ ἐπιδιστάζει τῇ ἐπινοίᾳ· πολλαχοῦ γὰρ τὴν τοῦ ἀνθρωπίνου πρὸς τὸ θεῖον ἀνάκρασιν κηρύσσων, C οὐδὲν ἧττον ἐν ἑκατέρῳ τὸ ἴδιον καθορᾷ, ὡς καὶ τῆς ἀνθρωπίνης ἀσθενείας διὰ τῆς πρὸς τὸ ἀκήρατον κοινωνίας πρὸς τὸ κρεῖττον ἀλλοιωθείσης, καὶ τῆς θείας δυνάμεως οὐ συγκαταπιπτούσης τῇ πρὸς τὸ ταπεινὸν συναφείᾳ τῆς φύσεως. ὅταν οὖν λέγῃ ὅτι τοῦ υἱοῦ οὐκ ἐφείσατο, τὸν ἀληθινὸν υἱὸν ἀντιδιαστέλλει τοῖς γεννηθεῖσι καὶ ὑψωθεῖσι καὶ ἀθετήσασι. τούτοις λέγω, τοῖς διὰ προστάγματος παραχθεῖσιν εἰς γένεσιν. τῇ τοῦ ἰδίου προσθήκῃ τὸ κατὰ τὴν φύσιν οἰκεῖον ἐπισημαινόμενος. καὶ ὡς ἂν μή τις τῇ ἀκηράτῳ φύσει D τὸ κατὰ τὸν σταυρὸν πάθος προστρίβοιτο, δι' ἑτέρων τρανοτέρων τὴν τοιαύτην ἐπανορθοῦται πλάνην, μεσίτην αὐτὸν Θεοῦ καὶ ἀνθρώπων, καὶ ἄνθρωπον καὶ Θεὸν ὀνομάζων, ἵν' ἐκ τοῦ τὰ δύο περὶ τὸ ἓν λέγεσθαι, τὸ προσφορον νοοῖτο περὶ ἑκάτερον· περὶ μὲν τὸ θεῖον, ἡ ἀπάθεια, περὶ δὲ τὸ ἀνθρώπινον ἡ κατὰ τὸ πάθος οἰκονομία, αὐτῆς οὖν ἐπινοίας διαιρούσης τὸ κατὰ φιλανθρωπίαν μὲν ἡνωμένον, τῷ δὲ λόγῳ διακρινόμενον. ὅταν δὲ τὸ ὑπερκείμενον τοῦ παντὸς καὶ ὑπερέχον πάντα νοῦν κηρύσσῃ, τοῖς ὑψηλοτέροις κέχρηται)

A habeat, & hanc ibi vocem quæ ait, quod peccatum ipſum fecit Deus, ad primam eſſentiæ ſubſiſtentiam reuocare, & ex hoc teſtimonio vt de aliis iam fecit, demonſtrare conari, ipſum factum eſſe. Ita vt dictionem (fecit) ad eſſentiam referat, ſibi ipſi cohærenter faciens, & peccatum in eſſentia reſpiciat. Quod ſi hoc propter abſurditatis perſpicuitatem dicere erubeſcat: atque in extremis temporibus factam œconomiam, id eſt diſpenſationem, dicat Apoſtolum oſtendere ex eo quod dixit peccatum fecit: ſibi ipſi perſuadeat per eandem conſequentiam & illic verbum (fecit) ad œconomiam reſpicere. B Sed reuertamur rurſus ad id vnde digreſſi ſumus: ſexcenta enim alia præter hæc ex ipſa ſcriptura poſſumus colligere. Nec putet quiſquam diuinum Apoſtolum in ſeipſum diuiſum ſibi ipſi contraria ſentire: ac pro confirmatione ſuorum dogmatum pugnantibus ad argumentandum in vtramque partem ex æquo per ſua ſcripta materias præbere: ſiquidem inueneric quis diligenter exquirens, quod ad vnum exactè eius ſermo reſpicit. Neque in ſententiis, neque in notionibus incertat: vbique enim hu- C mani cum diuino temperationem prædicans, nihilominus in vtroque quod cuique proprium eſt intuetur, vt etiam humana infirmitate per communionem cum incorruptibili in id quod melius eſt transmutata: & diuina potentia, non à propria dignitate excidente, per eam quam habet connexionem cum eo quod eſt humile. Cùm igitur dicit quod filio non pepercit, verum filium diſcernit à genetatis & * adoptatis: his dico, qui per eius imperium producti ſunt ad generationem: proprij additione quod ſecundum naturam eſt familiare ſignifi- D cans. Ac ne quis immortali naturæ, paſſionem crucis affricet, per alia manifeſtiora talem emendat errorem, mediatorem ipſum Dei & hominum, & hominem & Deum nominans, vt cum duo de vno dicuntur, congruum intelligatur in vtroque: in eo quod diuinum eſt impaſſibilitas, in eo quod eſt humanum, in paſſione diſpenſatio, cum intellectus diſtinguat & diuidat, quod propter benignitatem in homines quidem vnitum eſt, ratione autem diſtinctum & diſcretum. Cùm autem quod ſupereminet & ſuperat omnem intellectum prædicat, altioribus vſus eſt nominibus, in

Rom. 8.

* Hoc inuenitur in Iuſtiniani edicto de fide aduerſus hæreſes.

omnibus Deum & magnum Deum, & A virtutem Dei, & ſapientiam, & talia nominando. Cùm vero omne neceſſario propter noſtram infirmitatem aſſumptum, perpeſſionum experimentum ſermone deſcribit: ex noſtro ſimul vtrumque nominat, hominem ipſum appellans, non communem faciens cum reliqua natura per vocem eum qui ſignificatur * vt in vtraque * quod pium eſt conſeruetur & humanitate per aſſumptionem glorificata, & diuinitate per accommodationem exinanita. Sed qui det quidem perpeſſionibus humanam B partem: operetur vero eius qui perpeſſus eſt reſurrectionem per diuinam virtutem. Et ſic mortis experimentum ad eum qui particeps factus eſt naturæ patibilis refertur, propter hominis ſecum vnionem: Atque illa excelſa & Deo decora nomina in hominem deſcendunt. Ita vt Dominus gloriæ is qui in cruce viſus eſt, nominetur, propter temperationē naturæ ipſius cum eo quod eſt humile, & quòd gratia nominum ex diuino ad humanum tranſeat. Ob eam cauſam variè differentérque ipſum tradit, modo quidem eum qui de cœlis deſcendit, C modo è muliere genitum, & Deum ante ſecula, & in extremis diebus hominem, ſic etiam impatibilis vnigenitus Deus, & patibilis Chriſtus eſſe creditur, nec ſermo per contraria mentitur, applicans & accommodans vtrique nominum quod congruum eſt ſecundum ſenſum. Si igitur hæc ſapere, ex diuinitus inſpirata doctrina didicimus: quomodo homini communi ſalutis noſtræ cauſam attribuimus? Quod ſi beati Petri vocem (fecit) non ad ſubſiſtentiam æternam, ſed ad recentem œconomiam, id eſt diſpenſationem, reſpicere determinamus. Quid D hoc commercij habet cum crimine? Magnus enim hic Apoſtolus, quod in ſerui forma videtur, illud per aſſumptionem factum eſſe ait, quod quidem ille qui aſſumpſit ſecundum ſuam nuturam erat. Etenim in epiſtola ad Hebræos æquale ex Paulo diſcere licet, dum dicit, Apoſtolum & pontificem confeſſionis noſtræ, Ieſum à Deo conſtitutum eſſe, fidelem ei qui fecit illum. Illic enim eum qui proprio ſanguine pro peccatis noſtris ſacrificè ſiue ſacerdotaliter placauit, pontificem cum nominauit: nō primam

Textus græcus corruptus eſt.

Philip. 2.

Hebr. 3.

A τῶν ὀνομάτων, ἐπὶ πάντων Θεὸν, καὶ μέγαν Θεὸν, καὶ δύναμιν Θεοῦ, καὶ σοφίαν, καὶ τὰ τοιαῦτα καλῶν. πᾶσαν δὲ τὴν ἀναγκαίως διὰ τὸ ἡμέτερον ἀσθενὲς συμπαραληφθεῖσαν τῶν παθημάτων πεῖραν ὑπογράφων τῷ λόγῳ, ἐκ τῶν ἡμετέρων κατονομάζει τὸ συναμφότερον· ἄνθρωπον αὐτὸν προσαγορεύων, οὐ κοινοποιῶν πρὸς τὴν λοιπὴν φύσιν διὰ τῆς φωνῆς τὸν δ . . . . τερον τὸ εὐσέβειαν φυλαχθῆναι, τοῦ τε ἀνθρωπίνου διὰ τῆς ἀναλήψεως δοξαζομένου, καὶ τοῦ θείου διὰ τῆς B συγκαταβάσεως κενουμένου. ἀλλὰ διδόντος μὲν τοῖς παθήμασι τὸ ἀνθρώπινον μέρος· ἐνεργοῦντος δὲ τὴν τοῦ πεπονθότος ἀνάστασιν διὰ τῆς θείας δυνάμεως. καὶ οὕτως ἥ τε τοῦ θανάτου πεῖρα ἐπὶ τὸν κεκοινωνηκότα τῆς ἐμπαθοῦς φύσεως ἀναφέρεται διὰ τὴν τοῦ ἀνθρώπου πρὸς αὐτὸν ἕνωσιν· καὶ τὰ ὑψηλά τε καὶ θεοπρεπῆ τῶν ὀνομάτων ἐπὶ τὸν ἄνθρωπον καταβαίνει. ὡς καὶ κύριον τῆς δόξης τὸν ἐπὶ τοῦ σταυροῦ φανέντα κατονομάζεσθαι, τῇ τῆς φύσεως αὐτοῦ πρὸς τὸ ταπεινὸν ἀνακράσει, καὶ τῆς τῶν ὀνομάτων χάριτος ἐκ τοῦ C θείου πρὸς τὸ ἀνθρώπινον συμμετελθούσης. διὰ τοῦτο ποικίλως καὶ διαφόρως αὐτὸν παραδίδωσι, νῦν μὲν τὸν ἐξ οὐρανῶν κατελθόντα, νῦν δὲ τὸν ἐκ γυναικὸς γεννηθέντα, καὶ Θεὸν προαιώνιον, καὶ ἐπ' ἐσχάτων ἡμερῶν ἄνθρωπον, οὕτως καὶ ἀπαθὴς ὁ μονογενὴς Θεὸς, καὶ παθητὸς ὁ Χριστὸς πιστεύεται, καὶ ὁ λόγος διὰ τῶν ἐναντίων οὐ ψεύδεται, τὸ πρόσφορον ἑκατέρῳ τῶν ὀνομάτων ἐν τοῖς νοήμασιν ἐφαρμόζων. εἰ οὖν ταῦτα φρονεῖν ἐκ τῆς θεοπνεύστου διδασκαλίας ἐμάθομεν· πῶς ἀνθρώπῳ κοινῷ τὴν αἰτίαν τῆς σωτηρίας ἡμῶν ἀ- D νατιθέμεθα; εἰ δὲ τὴν τοῦ μακαρίου Πέτρου ἐποίησεν φωνὴν, οὐκ εἰς τὸ προαιώνιον τῆς ὑποστάσεως, ἀλλ' εἰς τὸ πρόσφατον τῆς οἰκονομίας βλέπειν διορίζομεθα. τί τοῦτο κοινωνεῖ τῷ ἐγκλήματι; ὁ γὰρ μέγας ἐστὶν ἀπόστολος, τὸ περὶ τὴν τοῦ δούλου μορφὴν ὁρώμενον, ἐκεῖνο διὰ τῆς ἀναλήψεως πεποιῆσθαι φησὶν, ὅπερ ὁ ἀναλαβὼν κατὰ τὴν ἑαυτοῦ φύσιν ἦν. καὶ γὰρ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, τὸ ἴσον ἔστι παρὰ τοῦ Παύλου μαθεῖν λέγοντος, ἀπόστολον καὶ ἀρχιερέα τὸν Ἰησοῦν παρὰ τοῦ Θεοῦ γεγενῆσθαι, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν. κἀκεῖ γὰρ τὸν τῷ ἰδίῳ αἵματι περὶ τῶν ἁμαρτιῶν ἡμῶν ἱερατικῶς ἱλεωσάμενον, ἀρχιερέα κατονομάσας· οὐ τὴν πρώτην τοῦ μο-

τοῦ μονογενοῦς ὑπόστασιν διὰ τῆς ἐποίησεν λέξεως ἀπαγγέλλει, ἀλλὰ τὴν συνήθως ἐπὶ τῆς τῶν ἱερέων ἀναδείξεως ὀνομαζομένην χάριν παραστῆσαι θέλων, φησὶ τὸ ἐποίησεν. Ἰησοῦς γὰρ, καθὼς φησὶ Ζαχαρίας, ὁ ἀρχιερεὺς ὁ μέγας, ὁ τὸν ἴδιον ἀμνὸν, τοῦτ' ἔστι τὸ ἴδιον σῶμα, ὑπὲρ τῆς κοσμικῆς ἁμαρτίας ἱερουργήσας, ὁ διὰ τὰ παιδία τὰ κεκοινωνηκότα σαρκός τε καὶ αἵματος καὶ αὐτὸς παραπλησίως συμμετεσχὼν τοῦ αἵματος, οὐ καθὸ ἐν ἀρχῇ ἦν, λόγος ὢν καὶ Θεὸς, καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, καὶ ὢν ἴσα Θεῷ· ἀλλὰ καθὸ ἐκένωσεν ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ, καὶ προσήγαγε προσφορὰν καὶ θυσίαν ὑπὲρ ἡμῶν. οὗτος ἐγένετο ἱερεὺς, πολλαῖς ὕστερον γενεαῖς, κατὰ τὴν τάξιν Μελχισεδὲκ, οἶδε δὲ πάντως τὸ περὶ τούτου μυστήριον, ὁ μὴ παρέργως τῷ πρὸς Ἑβραίους καθομιλήσας λόγῳ. ὁμοίως οὖν ἐνταῦθα τε ἱερεὺς καὶ ἀπόστολος, κἀκεῖ κύριος καὶ Χριστὸς πεποιῆσθαι λέγεται. τὸ μὲν, ὡς πρὸς τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν· τὸ δὲ διὰ τὴν πρὸς τὸ θεῖον τοῦ ἀνθρωπίνου μεταβολήν τε καὶ μεταποίησιν. ποίησιν γὰρ ὁ ἀπόστολος λέγει τὴν μεταποίησιν. οὐκοῦν πρόδηλος ἡ συκοφαντία τῶν ἐναντίων, τὰ τῆς οἰκονομίας ῥήματα εἰς τὴν προαιώνιον ὑπόστασιν ἐπηρεαστικῶς ἁρπαζόντων. οὐδὲ γὰρ ὁμοίως ἐμάθομεν παρὰ τοῦ ἀποστόλου γινώσκειν Χριστὸν νῦν τε καὶ πρότερον. οὕτως εἰπόντος τοῦ Παύλου, ὅτι εἰ καὶ ἐγνώκαμεν ποτὲ κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν, ὡς ἐκείνης μὲν τῆς γνώσεως τὴν πρόσκαιρον οἰκονομίαν δηλούσης, τούτου δὲ τὴν ἀΐδιον ὕπαρξιν. οὐκοῦν μετρίως ἡμῖν ὁ λόγος ὑπὲρ τῶν ἐγκλημάτων ἀπολελόγηται, τὸ μήτε δύο νομίζειν Χριστοὺς ἢ κυρίους, μήτε ἐπαισχύνεσθαι τῷ σταυρῷ, μήτε κοινὸν ἄνθρωπον ὑπὲρ τοῦ κόσμου πεπονθέναι δοξάζειν, μήτε μὴν τὸ ἐποίησεν εἰς τὴν τῆς οὐσίας κατασκευὴν οἴεσθαι φέρειν. τῆς δὲ τοιαύτης ἡμῶν ὑπολήψεως, οὐ μικρὰν ἔχει παρ' αὐτοῦ τοῦ κατηγόρου τὴν συμμαχίαν ὁ λόγος, ἐν οἷς μεταξὺ καταφορικῶς λίαν ἐπελαύνων τὴν γλῶτταν, καὶ τοῦτο προσφέρει· ὅτι ταύτην μέν τοι μάχην αὐτὸς πρὸς ἑαυτὸν ἀναφέρει Βασίλειος, καὶ δείκνυται σαφῶς οὐδὲ τῷ βουλήματι τῶν ἀποστόλων ἑαυτὸν ἐπιστήσας, οὔτε τῶν οἰκείων λόγων φυλάττων τὴν ἀκολουθίαν: ἐξ ὧν ἢ

A vnigeniti ſubſiſtentiam per dictionem (fecit) renuntiat, ſed vſitato more in ſacerdotum indicatione nominatam gratiam repræſentare volens, ait (fecit) Ieſus enim, ſicut inquit Zacharias, magnus ſacerdotum princeps, qui proprium agnum, *Zach. 3.* hoc eſt proprium corpus pro mundi peccato immolauit, qui propter filiolos qui participes ſunt carnis & ſanguinis, ſimiliter ipſe ſanguinis particeps factus, non quatenus in principio erat verbum & Deus, etiam in forma Dei exiſtens, & cum Deo æqualiter ſe habens: ſed quà ſeipſum exinaniuit in forma ſerui, & ſe B oblationem & ſacrificium obtulit pro nobis. hic erat ſacerdos multis poſt generationibus ſecundum ordinem Melchiſedech. Nouit planè de hoc myſterium, qui non frigide & languide in ſermone ad Hebræos collocutus. Similiter igitur, ibique ſacerdos & Apoſtolus, & illic Dominus & Chriſtus factus eſſe dicitur, partim quidem vt ad œconomiam, id eſt diſpenſationem, pro nobis: partim verò propter humanitatis in diuinitatem transformationem & inſtaurationem. Nam Apoſtolus ibi *nouam* facturam intelligit C *renouationem* refectionem ſiue inſtaurationem. Manifeſta igitur calũnia aduerſariorum œconomiæ (diſpenſationis) vocabula ad æternam ante ſecula ſubſiſtentiã calumnios è rapientium. Neque enim ſimiliter & nunc prius ab Apoſtolo Chriſtum co- *2. Cor. 5.* gnoſcere didicimus, ſic dicente Paulo, & ſi aliquando cognouimus ſecundum carnem Chriſtum, ſed nunc iam non nouimus, quaſi illa quidem cognitio temporariam diſpenſationem declaret, hæc verò æternam exiſtentiam indicet. Non igitur mediocriter criminibus refellendis oratio nobis defenſionem attulit, quòd neque duos Chriſtos, vel Dominos exi- D ſtimemus, neque crucem erubeſcamus, neque cõmunem hominem pro mundo paſſum eſſe opinemur. Neque verbum (fecit) ad eſſentiæ præſtructionẽ referendum eſſe putemus. Hæc autẽ noſtra cùm talis ſit opinio, nõ paruũ habet ab ipſo accuſatore auxiliũ oratio. In quib. dùm vehementer & impetuosè in nos linguam vibrat, & hoc obijcit, [quod hanc ipſe ſe- *Verba Eunomij repetita.* cũ repugnantiã refert Baſilius, atq. apertè oſtendit, neq. ſentẽtiæ Apoſtolorũ mentem adhibere, neque ſuorum ſermonum conſecutionem ſeruare, ex quibus vel

inæqualitatis conſcius concedet verbum quod erat in principio, & Deus erat, factum eſſe Dominum, vel pugnantibus pugnantia compingit.] Hic enim etiam noſter eſt ſermo quem profert Eunomius, dicens eum qui in principio erat Verbum & Deus erat, factum eſſe Dominum. Ens enim quod erat & Deus, & verbum, & vita, & lux, gratiáque & veritas, & Dominus, & Chriſtus, & omne excelſum diuinúmque nomen in aſſumpto homine, qui nihil horum erat, aliáque omnia factus eſt quæcunque Verbum erat: & cum aliis etiam Chriſtus & Dominus ſecundum Petri doctrinam, & ſecundum Eunomij confeſſionem, non diuinitate per progreſſum quid adipiſcente: ſed in natura diuina omni excelſa dignitate eluceſcente, ſic fit & Dominus & Chriſtus: non ſecundùm diuinitatem ad gratiæ acceſſionem veniens, (Nullo enim deſtituta bono diuinitatis natura pro confeſſo habetur) ſed quod humanum eſt ad diuinitatis participationem adducens, quæ per Chriſtum & Dominum ſignificatur. Ac de his quidem ſufficit. Quod autem in calumniam noſtri dogmatis ab Eunomio dicitur, quod in ſeipſum exinanitus ſit Chriſtus, iam abunde per ea quæ ſunt dicta exquiſitum eſt, per quæ demonſtratum eſt, ipſum ſuam blaſphemiam noſtro dogmati affricare. Non enim qui naturam immutabilem ſubiiſſe creatam & mortalem cõfitetur, à ſimili ad ſimile tranſitum dicit, ſed qui nullam omnino migrationem à magnificentia naturæ ad id quod humilius eſt cogitat. Si enim creatus eſt ille ſecundum ipſorum ſermonem: creatus autem & homo: funditus miraculum prædicationis verbi ſubreptum eſt; & in his quæ dicuntur nihil eſt admirabile & inopinatũ, ſi creatura ipſa in ſeipſa facta ſit. Sed nos qui ex vaticinio didicimus dexteræ excelſi immutationẽ; dexteram patris Dei potentiam ſiue virtutem dicimus vniuerſi conditricem, quæ quidem eſt ipſe Dominus, non vt pars ex toto pendens, ſed ex illo quidem (nempe Deo) cum ſit, in ſeipſa ſecundum propriam ſubſiſtentiam conſpicitur. Hoc dicimus, quod neque dextra ſecundum rationem naturæ ab illo demutata eſt, cuius eſt dextra: neque mutatio eius alia quædam præter eam quæ carnis eſt * à perſpicacibus viſus, quà quidem faciebat opera à patre, dextra Dei,

Aliquid videtur deeſſe vt gratia ſyntaxis ſalua maneat.

A συναισθόμενος τῆς ἀνωμαλίας συγχωρείτω τὸν ἐν ἀρχῇ ὄντα λόγον, καὶ Θεὸν ὄντα, γεγονέναι κύριον, ἢ μαχομένοις μαχόμενα συνάπτει. ἔστι γὰρ καὶ ὁ ἡμέτερος λόγος ὃν φησὶ καὶ ὁ Εὐνόμιος, ὁ τὸν ἐν ἀρχῇ ὄντα λόγον καὶ Θεὸν ὄντα γεγονέναι κύριον λέγων. ὢν γὰρ ὅπερ ἦν καὶ Θεὸς καὶ λόγος, καὶ ζωὴ, καὶ φῶς, χάρις τε καὶ ἀλήθεια, καὶ κύριος, καὶ Χριστὸς, καὶ πᾶν ὑψηλόν τι καὶ θεῖον ὄνομα ἐν τῷ προσληφθέντι ἀνθρώπῳ, ὃς οὐδὲν τούτων ἦν, τά τε ἄλλα ἐγένετο ὅσα ὁ λόγος ἦν, καὶ μετὰ τῶν ἄλλων καὶ Χρι-
B στὸς καὶ κύριος, κατά τε τὴν διδασκαλίαν Πέτρου, καὶ κατὰ τὴν ὁμολογίαν Εὐνομίου, οὐχὶ τῆς θεότητος κατὰ προκοπήν τι προσλαμβανούσης· ἀλλὰ τῇ φύσει τῇ θείᾳ πάσης ὑψηλῆς ἀξίας ἐνθεωρουμένης, οὕτω γίνεται καὶ κύριος καὶ Χριστός. οὐ τῇ θεότητι ἐπὶ τὴν τῆς χάριτος προσθήκην ἐρχόμενος. ἀνελλιπὴς γὰρ ἀγαθοῦ παντὸς ἡ τῆς θεότητος ὁμολογεῖται φύσις· ἀλλὰ τὸ ἀνθρώπινον εἰς τὴν τῆς θεότητος μετουσίαν ἄγων, ἣ διὰ τοῦ Χριστοῦ τε καὶ τοῦ κυρίου σημαίνεται. καὶ περὶ μὲν τούτων ἀπό-
C χρη. τὸ δ' ἐπὶ διαβολῇ τοῦ καθ' ἡμᾶς δόγματος παρὰ τοῦ Εὐνομίου λεγόμενον, ὡς εἰς ἑαυτὸν τοῦ Χριστοῦ κενωθέντος, ἤδη μὲν ἱκανῶς διὰ τῶν εἰρημένων ἐξήτασται. δι' ὧν ἀποδέδεικται τὴν ἑαυτοῦ βλασφημίαν τῷ ἡμετέρῳ δόγματι προστριβόμενος. οὐ γὰρ ὁ τὴν ἄτρεπτον φύσιν ὁμολογῶν ὑποδῦναι τὴν κτιστὴν καὶ ἐπίκηρον, τὴν ἐκ τοῦ ὁμοίου μεταχώρησιν λέγει, ἀλλ' ὁ μηδεμίαν μετάστασιν ἀπὸ τοῦ μεγάλου τῆς φύσεως ἐπὶ τὸ ταπεινότερον ἐννοῶν. εἰ γὰρ κτιστὸς μὲν ἐκεῖνος κατὰ τὸν λόγον αὐτῶν, κτιστὸς
D δὲ ὁ ἄνθρωπος· διεκκόπη πάντως τὸ θαῦμα τοῦ λόγου, καὶ παράδοξον ἐν τοῖς λεγομένοις ἐστὶν οὐδὲν, τῆς κτίσεως αὐτῆς ἐν ἑαυτῇ γινομένης. ἀλλ' ἡμεῖς μεμαθηκότες παρὰ τῆς προφητείας τὴν ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ ὑψίστου· δεξιὰν τοῦ πατρὸς τοῦ Θεοῦ λέγομεν δύναμιν, τὴν ποιητικὴν τοῦ παντὸς, ἥ τις ἐστὶν ὁ κύριος, οὐχ ὡς μέρος ἐξηρτημένον τοῦ ὅλου, ἀλλ' ὡς ἐξ ἐκείνου μὲν οὖσα, ἐφ' ἑαυτῆς δὲ κατ' ἰδίαν ὑπόστασιν θεωρουμένη. τοῦτο φαμὲν, ὅτι οὔτε ἡ δεξιὰ κατὰ τὸν λόγον τῆς φύσεως ἐκείνου παρήλλακται, οὗ ἐστι δεξιά· οὔτε ἀλλοίωσις αὐτῆς ἄλλη τίς παρὰ τὴν τῆς σαρκὸς, τοῖς διορατικοῖς καθορώμενος. καθὸ μὲν ἐποίει τὰ ἔργα παρὰ τοῦ πατρὸς, δεξιὰ τοῦ Θεοῦ

καὶ ὢν καὶ νοούμενος· ἐν ᾧ δὲ παρεδείχθη διὰ τοῦ σαρκὸς παρακαλύμματι κατὰ τὸ βλεπόμενον, ἀλλοῖος παρ' ὃ τῇ φύσει ἦν θεωρούμενος. διὰ τοῦτο πρὸς Φίλιππον λέγει τὸν πρὸς μόνον τὸ ἀλλοιωθὲν ἀτενίζοντα, ὅτι βλέπε διὰ τοῦ ἀλλοιωθέντος τὸ ἀναλλοίωτον, κἂν τοῦτο ἴδῃς, αὐτὸν τὸν πατέρα ὃν ζητεῖς ἰδεῖν, ἑωρακὼς εἶ. ὁ γὰρ ἑωρακὼς ἐμὲ οὐ τὸν ἐν τῇ ἀλλοιώσει φαινόμενον, ἀλλὰ τὸν ἀληθῶς ἐμὲ τὸν ἐν τῷ πατρὶ ὄντα, αὐτὸν ἐκεῖνον ἑωρακὼς ἔσται τὸν ἐν ᾧ εἰμί, τῷ τὸν αὐτὸν χαρακτῆρα τῆς θεότητος ἐπ' ἀμφοῖν καθορᾶσθαι. τὴν οὖν ἀκήρατον καὶ ἀπαθῆ καὶ ἄκτιστον φύσιν, ἐν τῷ παθητῷ τῆς κτίσεως γεγενῆσθαι πιστεύοντες, καὶ ἐν τούτῳ νοοῦντες τὴν ἀλλοίωσιν· πῶς αὐτὸν εἰς ἑαυτὸν κεκενῶσθαι λέγειν κατηγορούμεθα, παρὰ τῶν τὸν ἴδιον λόγον τοῖς ἡμετέροις δόγμασιν ἐπιθρυλλούντων. τοῦ γὰρ κτιστοῦ πρὸς τὸ κτιστὸν ἡ κοινωνία, οὐδεμία δεξιᾶς ἐστιν ἀλλοίωσις. κτιστὴν γὰρ δεξιὰν τῆς ἀκτίστου φύσεως λέγειν, Εὐνομίου μόνου, καὶ τῶν τὰ ὅμοια τούτῳ φρονούντων ἐστίν. ὁ γὰρ ὀφθαλμὸν ἔχων πρὸς τὴν ἀλήθειαν βλέποντα, οἷον τὸν ὕψιστον ὁρᾷ, τοιαύτην καὶ τὴν δεξιὰν τοῦ ὑψίστου κατόψεται, ἄκτιστον ἀκτίστου, ἀγαθοῦ ἀγαθήν, ἀϊδίου ἀΐδιον, μηδὲν τὴν ἀϊδιότητα τοῦ γεννητῶς εἶναι αὐτὴν ἐν τῷ πατρὶ καταβλάπτοντος. ὥστε λέληθε ἑαυτὸν ὁ κατήγορος τοῖς ἰδίοις ὀνείδεσι καθ' ἡμῶν χρώμενος, πρὸς δὲ τοὺς τῷ πάθει προσπταίοντας, καὶ διὰ τούτου κατασκευάζοντας τὴν τῆς οὐσίας ἑτερότητα· ὡς τοῦ πατρὸς μὲν διὰ τὸ ὑπερέχον τῆς φύσεως οὐ παραδεχομένου τὸ πάθος, τοῦ υἱοῦ δὲ διὰ τὸ καταδεὲς καὶ παρηλλαγμένον πρὸς τὴν τῶν παθημάτων κοινωνίαν συγκατιόντος. ταῦτα προσθεῖναι βούλομαι τοῖς εἰρημένοις· ὅτι οὐδὲν κατὰ ἀλήθειαν πάθος ἐστὶν ὃ μὴ εἰς ἁμαρτίαν φέρει, οὐδὲ κυρίως ἄν τις τὸν ἀναγκαῖον τῆς φύσεως εἱρμὸν πάθος λέγοι, βλέπων ὁδῷ προϊοῦσαν ἐν τάξει τινὶ καὶ ἀκολουθίᾳ τὴν σύνθετον φύσιν. ἡ γὰρ τῶν ἑτερογενῶν στοιχείων πρὸς ἄλληλα συνδρομή, κατὰ τὴν τοῦ σώματος ἡμῶν κατασκευήν, σύνθεσίς τίς ἐστι διὰ πλειόνων ἀνομοίων ἁρμοζομένη. ἐκλυθείσης δὲ τῷ καθήκοντι καιρῷ τῆς συνδεούσης τὴν τῶν στοιχείων συνδρομὴν ἁρμονίας, πάλιν τὸ σύνθετον εἰς τὰ ἐξ ὧν

A & eſt & intelligitur: quà verò carnis velamento obducebatur ſecundum id quod oculis cernebatur, alius ſiue diuerſus ab eo quod erat natura cōſpiciebatur. Ideo ad Philippū dicit, ſolum quod mutatum erat carneis oculis intuētem: reſpice per mutatū id quod eſt immutabile & ſemper idem. Et ſi hoc videris, ipſum patrem quem quęris videre, intuitus es, qui enim videt me, non eum qui apparet in mutatione, ſed verè me, qui ſū in patre, ipſum illum videbit in quo ſum, quia idem character diuinitatis in ambobus conſpicitur. *Ioan. 14.* Immortalem igitur & impatibilem B & increatam naturam in patibili creatura credentes, & in his mutationem intelligentes: quomodo ipſum in ſeipſum exinanitum eſſe dicere inſimulamur, ab iis qui ſuam rationem præ noſtris decretis venditant. Creati enim ad creatum communio, nulla eſt dextræ mutatio. Nam creatam dextram increatæ naturæ autumare, ſolius eſt Eunomij, & eorum qui ſimilia cum eo ſentiunt. Qui enim oculum habet ad veritatem contuentem, qualem altiſſimum videt, talem & dexteram altiſſimi contemplabitur. Increatam increati, boni bonam, æternam æ- C terni, cum nihil æternitatem eius offendat, quòd per modum generationis ſit in patre. Quare fefellit ſeipſum accuſator, dum propriis conuitiis & probris contra nos vtitur, neſciens ſe hoc proferre aduerſus eos qui in paſſionem impingunt, & per hoc eſſentiarum diuerſitatem (alteritatē) præſtruunt: quaſi pater quidem propter naturæ excellentiam ſiue eminentiam paſſionem non admittat, filius vero propter defectum & immutatum ſtatum ad perpeſſionum communionem deſcendat. Hæc dictis adijcere volo: quod ſecundum veritatem nulla eſt paſ- D ſio, quæ non ad peccatum ferat. Neque propriè quis neceſſariam naturæ ſeriem, πάθος, id eſt paſſionem, ſeu affectum dixerit: ſpectans via progredientem in ordine quodam & conſecutione compoſitam naturam. Nam elementorum diuerſi generis inter ſe concurſio ad corporis noſtri conſtructionem, compoſitio quædam eſt ex pluribus diſſimilibus cōgruenter conflata. Reſoluta autē conuenienti tēpore, quæ elementorū concurſum colligabat harmonia: rurſus cōpoſitū in ea ex quib⁹

conſtabat diſſoluitur. Hoc igitur naturæ potius opus eſt quam πάθος, id eſt paſſio, ſiue affectio. Solum enim quod ex contrario ei quæ ſecundum virtutem eſt, τῇ ἀπαθείᾳ, impaſſibilitati intelligitur, propriè πάθος paſſionem vocamus, cuius etiam in communione noſtræ naturæ expertem permanſiſſe eum qui nobis ſalutem gratificatur, credidimus, qui per omnia ſecundum ſimilitudinem tentatus

Hebr. 2. eſt, abſque peccato. Eius igitur qui verè eſt affectus, qui quidem morbus eſt electionis ſiue conſilij, non particeps fuit. Peccatum enim (inquit) non fecit: nec

1. Petr. 2. ex Eſa. 53. in ore eius dolus inuentus eſt: proprietatum autem naturæ, quæ per aliquam conſuetudinem & abuſionem æquiuocè dicuntur πάθη, id eſt, paſſiones. Harum participē fuiſſe Dominum confitemur, vt generationis, mutationis, accretionis, ſomníque & laſſitudinis, & aliorum quibus naturaliter anima ad corporeas moleſtias & dolores ſolet affici, eius quod opus eſt deſiderium, ex corpore ad animam appetitu extendente, & doloris ſenſum & timiditatem ad mortem, & quæcunque eiuſmodi, præter id quod ad peccati conſecutionem fert. Quemadmodum igitur ipſius virtutem per omnia penetrantem animo comprehendentes, in cœlo & in aëre, & terra, & mari, & ſi quid ſupercœleſte & ſubterraneum vbique, & per omnia ipſum eſſe credimus, nihil autem eorum in quibus

Eſai. 40. eſt, illum eſſe dicimus. Non enim cœlum eſt, is qui ipſum palmo continente vniuerſum complexus eſt: neque terra, qui continet gyrum, ſiue ambitum terræ, neque rurſus aqua, qui humidam complectitur naturam; ſic neque per dictas carnis afflictiones veniētem ipſum affectibus obnoxium eſſe dicimus: ſed vt eorum quæ ſunt authorem & vniuerſi comprehenſorem, atque ineffabili potentia propriæ magnificentiæ quicquid mouetur gubernantem, & quod ſtat in fixa ſtabilique baſi conſeruantem. Atque in nobis natum eſſe dicimus ad ſanandum peccati morbum, concinnè congruenterque affectui ſiue paſſioni medicinæ efficaciam accommodantem; vt nouerat conferre parti creaturæ ægrotanti, ſic ſanationē inducentem. Conducebat autem ſic tactu curari affectū eius, cui cura & medicina adhibebatur. Non tamen quoniā infirmitatē curat, idcirco

A συνέστηκεν ἀναλύεται. ἔργον οὖν ἐστι τοῦτο μᾶλλον, καὶ οὐχὶ πάθος τῆς φύσεως. μόνον γὰρ τὸ ἐξ ἐναντίου τῇ κατὰ τὴν ἀρετὴν ἀπαθείᾳ νοούμενον, κυρίως προσαγορεύομεν πάθος· οὗ καὶ ἐν τῇ κοινωνίᾳ τῆς ἡμετέρας φύσεως ἀμέτοχον διαμεῖναι τὸν τὴν σωτηρίαν ἡμῖν χαριζόμενον πεπιστεύκαμεν, τὸν πεπειρασμένον κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. τοῦ μὲν οὖν κατὰ ἀλήθειαν πάθους ὃ προαιρέσεώς ἐστιν νόσος, οὐκ ἐκοινώνησεν. ἁμαρτίαν γάρ, φησιν, οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐ-

B τοῦ, τῶν δὲ τῆς φύσεως ἡμῶν ἰδιωμάτων, ἃ διά τινος συνηθείας καὶ καταχρήσεως ὁμωνύμως λέγεται πάθη· τούτων μεταλαβεῖν ὁμολογοῦμεν τὸν κύριον, γεννήσεως, καὶ τροφῆς καὶ αὐξήσεως, ὕπνου τε καὶ κόπου, καὶ ὅσα πρὸς τὰς σωματικὰς ἀλγηδόνας ἡ ψυχὴ φυσικῶς συνδιατίθεσθαι πέφυκε, τὴν τοῦ ἐνδέοντος ἔφεσιν ἐκ τοῦ σώματος ἐπὶ τὴν ψυχὴν τῆς ὀρέξεως διατεινούσης, καὶ λύπης αἴσθησιν, καὶ δειλίαν πρὸς θάνατον, καὶ ὅσα τοιαῦτα, πλὴν εἰ μή τι πρὸς ἁμαρτίας ἀκολουθίαν φέρει. ὥσπερ τοίνυν τὴν διὰ πάντων αὐτοῦ διήκουσαν δύναμιν κατα-

C νοοῦντες, ἐν οὐρανῷ τε καὶ ἀέρι, καὶ γῇ, καὶ θαλάσσῃ, καὶ εἴ τι ἐπουράνιον, καὶ εἴ τι καταχθόνιον. πανταχοῦ μὲν καὶ διὰ πάντων αὐτὸν εἶναι πιστεύομεν, οὐδὲν δὲ τούτων τῶν ἐν ᾧ ἐστιν, ἐκεῖνον εἶναι φαμέν. οὐ γὰρ οὐρανός ἐστι διαλαβὼν αὐτὸν τῇ περιεκτικῇ τοῦ παντὸς σπιθαμῇ, οὐδὲ γῆ, ὁ κατέχων τὸν γῦρον τῆς γῆς, οὐδὲ ὕδωρ πάλιν, ὁ τὴν ὑγρὰν περιέχων φύσιν· οὕτως οὐδὲ διὰ τῶν λεγομένων τῆς σαρκὸς παθημάτων ἐλθόντα, ἐμπαθῆ αὐτὸν εἶναι φαμέν. ἀλλ' ὡς τῶν ὄντων αἴτιον, καὶ τοῦ παντὸς περιδεδραγμένον, καὶ τῇ ἀφράστῳ δυνάμει τῆς

D ἰδίας μεγαλειότητος, πᾶν τό τε κινούμενον οἰακίζοντα, καὶ τὸ ἑστὼς ἐν παγίῳ συντηροῦντα τῇ βάσει, καὶ ἐν ἡμῖν γεγενῆσθαι φαμὲν ἐπὶ θεραπείᾳ τῆς κατὰ τὴν ἁμαρτίαν νόσου, καταλλήλως τῷ πάθει τὴν ἐνέργειαν τῆς ἰατρικῆς ἁρμοσάμενον, ὡς ἤδη συμφέρει τῷ ἀρρωστοῦντι μέρει τῆς κτίσεως, οὕτως ἐπαγαγόντα τὴν ἴασιν, συνέφερε δὲ τῇ ἐπαφῇ τὸ πάθος ἰάσασθαι οὕτω καὶ ἰασάμενον. οὐ μὴν ἐπειδὴ ἰατρεύει τὴν ἀρρωστίαν, διὰ τοῦτο

καὶ αὐτὸς ἐμπαθὴς γεγενῆσθαι νομίζεται. οὐδὲ γὰρ ἐπὶ τῶν ἀνθρώπων τὸ τοιοῦτον λέγειν ἡ συνήθεια δίδωσι. τὸν γὰρ θεραπευτικῶς ἁπτόμενον τοῦ νενοσηκότος, οὐκ αὐτὸν μετέχειν τῆς ἀρρωστίας φαμέν, ἀλλὰ καὶ τῷ νοσοῦντι χαρίζεσθαι τὴν εἰς ὑγιείαν ἐπάνοδον, καὶ μὴ μετέχειν τῆς ἀρρωστίας φαμέν, οὐδὲ γὰρ ἐκείνου τὸ πάθος, ἀλλὰ τὸ ἔμπαλιν ἐκεῖνος τοῦ ἀρρωστήματος ἅπτεται· εἰ οὖν ὁ διὰ τῆς τέχνης ἀγαθόν τι τοῖς σώμασιν ἐνεργῶν, οὐχὶ νωθρός τε καὶ ἄρρωστος, ἀλλὰ φιλάνθρωπός τε, καὶ εὐεργέτης, καὶ ὅσα τοιαῦτα κατονομάζεται· τί ὡς ταπεινόν τι καὶ ἄδοξον τὴν περὶ ἡμᾶς οἰκονομίαν διαβάλλοντες, διὰ ταύτης τὸ παρέχειν παρηλλάχθαι τοῦ υἱοῦ τὴν οὐσίαν κατασκευάζουσιν, ὡς τῆς τοῦ πατρὸς μὲν φύσεως ἀνωτέρας τῶν παθημάτων οὔσης, τῆς δὲ τοῦ μονογενοῦς οὐ καθαρευούσης τοῦ πάθους. εἰ γὰρ ὁ σκοπὸς τῆς διὰ σαρκὸς οἰκονομίας, οὐ τὸ ἐμπαθῆ γενέσθαι τὸν κύριον, ἀλλὰ τὸ φιλάνθρωπον ἐπιδείξασθαι· φιλάνθρωπος δὲ καὶ ὁ πατὴρ εἶναι οὐκ ἀμφιβάλλεται, ἐν τοῖς αὐτοῖς ἐστιν ἄρα τῷ υἱῷ ὁ πατήρ, εἰ πρὸς τὸν σκοπόν τις ἐθέλοι βλέπειν. εἰ δὲ οὐχ ὁ πατὴρ ἐνήργησε τὴν τοῦ θανάτου κατάλυσιν, θαυμάσῃς μηδέν. καὶ γὰρ καὶ τὴν κρίσιν πᾶσαν ἔδωκε τῷ υἱῷ, αὐτὸς κρίνων οὐδένα, οὐ τῷ μὴ δύνασθαι ἢ σῶσαι τὸ ἀπολόμενον, ἢ κρῖναι τὸν ἁμαρτήσαντα διὰ τοῦ υἱοῦ ταῦτα ποιεῖν· ἀλλὰ τῷ διὰ τῆς ἰδίας δυνάμεως, δι᾽ ἧς τὰ πάντα ἐργάζεται, καὶ ταῦτα ποιεῖν· δύναμις δὲ τοῦ πατρός ἐστιν ὁ υἱός. οὐκοῦν οἱ διὰ τοῦ υἱοῦ σωθέντες τῇ δυνάμει τοῦ πατρὸς ἐσώθησαν. καὶ οἱ παρὰ τούτου κρινόμενοι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ τὴν κρίσιν ὑπέχουσιν. Χριστὸς γάρ ἐστιν ἡ τοῦ Θεοῦ δικαιοσύνη, ἡ διὰ τῆς εὐαγγελικῆς ἀποκαλυπτομένη, καθώς φησιν ὁ ἀπόστολος, κἂν εἰς τὸν κόσμον ἴδῃς ὅλον, κἂν εἰς τὰ μέρη τοῦ κόσμου τὰ συμπληροῦντα τὸ ὅλον, πάντα ταῦτα τοῦ πατρός ἐστιν ἔργα, τῆς δυνάμεως αὐτοῦ ἔργα γενόμενα, καὶ οὕτως ἀληθεύει δι᾽ ἀμφοτέρων ὁ λόγος· καὶ πάντα τὸν πατέρα ἐργάζεσθαι λέγων· καὶ χωρὶς τοῦ υἱοῦ γίνεσθαι ὄντων οὐδέν· ἡ γὰρ τῆς δυνάμεως ἐνέργεια, εἰς τὸν οὗ ἐστιν ἡ δύναμις τὴν ἀναφορὰν ἔχει. ἐπεὶ οὖν δύναμις τοῦ πατρὸς ὁ υἱός· πάντα τὰ ἔργα τοῦ υἱοῦ, τοῦ πατρός ἐστιν ἔργα. ὅτι γὰρ οὐχὶ φύσεως ἀσθενείᾳ, πρὸς τὴν τοῦ πάθους οἰκονομίαν, ἀλλ᾽ ἐξουσίᾳ θελήματος ἔρχε-

A ipſe morbo & paſſioni obnoxius fuiſſe putandus eſt. Neque enim de hominibus tale quid dicere conſuetudo permittit. Qui enim ægrotum tangit, vt curet, non eum morbi participem eſſe dicimus, ſed ægrotanti gratificari & liberaliter ad ſanitatem reditum præbere, non autem morbi participem eſſe dicimus, neque enim illum affectus, ſed contra ille morbum tangit: ſi igitur qui per artem corporibus bonum aliquod operatur, non languidus & ægrotus, ſed humanus, & benefactor, & id genus nominibus appellatur: cur ſic humilem, abiectam & B ignobilem circa nos diſpenſationem calumniantes, per hanc promptè filij eſſentiam imminutam eſſe adſtruunt, quod patris quidem natura ſit perpeſſionibus & affectionibus ſuperior, vnigeniti verò à paſſione non libera & pura. Si enim ſcopus diſpenſationis per carnem, non vt perpeſſionibus fieret obnoxius, ſed vt humani generis amator & beneuolus oſtenderetur: benignus autem & beneuolus erga humanum genus pater eſſe non ambigitur; in iiſdem igitur eſt pater cum filio: ſi quis ad ſcopum velit ſpecta- C re. Quod ſi pater mortis diſſolutionem non operatus eſt, nihil mireris. Etenim *Ioan. 5.* etiam omne iudicium dedit filio, ipſe neminem iudicans, non quod non poſſit vel ſeruare quod perierat, vel iudicare eum qui peccauerat, per filium hæc faciens: ſed quia per ſuam potentiam per quem omnia operatur, hæc etiam faciat: potentia autem patris eſt filius. Quare qui per filium ſalui facti ſunt, potentia patris ſeruati ſunt. Et qui ab hoc iudicantur, Dei iuſtitia iudicium ſubeunt. Chriſtus enim eſt Dei iuſtitia, quæ per *Rom. 1.* euangelicam doctrinam reuelatur, ſicut D ait Apoſtolus, ſiue totum mundum inſpicias, ſiue partes mundi quæ totum complent, hæc omnia ſunt patris opera, potentiæ ipſius opera facta, ſicque de ambobus verè dicit ſermo, dum ait patrem omnia operari: & ſine filio nihil eorum quæ ſunt fieri: potentiæ enim efficacitas, ad eum cuius eſt potentia relationem habet. Quoniam igitur patris potentia filius eſt, omnia opera filij ſunt patris opera. Quod enim non naturæ infirmitate ad paſſionis diſpenſationem, ſed poteſtate voluntatis venit, infinitas

voces ex Euágelio proferre liceret, quas omittam, quia hoc ſatis perſpicuum eſt ne in certis & confeſſis immorans, ſermo longius protrahatur. Quod ſi malum eſt id quod factum eſt, non ſolum patrem, ſed etiam filium à malo ſeparare oportet. Si autem bonum eorum qui perierunt ſalus, non paſſio: ſed in hominum genus amor & beneuolentia quod factum eſt. Cur patrem à gratiarum actione ob ſalutem noſtram alienas? qui per propriam potentiam, quæ quidem eſt Chriſtus, libertatem à morte hominibus operatus eſt. Sed ad vehementem orationum ſcriptorem redeundum eſt, & concitata illa contra nos eloquentia reſumenda nobis eſt. Accuſat nos, propterea quod non dicamus eſſentiam filij factam eſſe, vt Petri voci aduerſantes dicentis, Dominum ipſum & Chriſtũ fecit, hunc Ieſum quem vos crucifixiſtis. Multúſque eſt ob hæc indignè ferens, & conuitiis proſcindens & conſtruit ea quibus putat ſe noſtrum ſermonem refutare. Videamus igitur vim argumentorum: Ecquid, (inquit) [ô inertiſſimi omnium! ſerui formam habens formam ſerui accipit.] Nos ei reſpondebimus, nullus eorum qui mente ſunt præditi tale quid dixerit, niſi eorum aliqui, qui omnino à Chriſtianorum ſpe alienati fuerint. Sed vos iſti eſtis qui nos inertiæ & ſtuporis accuſatis, quia creatum creatorem non admittimus. Si enim non mentitur qui per Prophetam dicit Spiritus ſanctus: quod cuncta ſeruiunt, & omnis creatura ſeruit. Creatus autem ſecundum vos filius, conſeruus penitus eſt cum vniuerſis, quia cum creatura communicat, & ad ſeruitutis communionem ſimul adigitur. Ei autem qui ſeruit prorſus vos ſeruilem formam circumponitis. Non enim iam ſeruum natura confitentes, ob ſeruitutis perſonam erubeſcere vos oportet. Quis igitur ô oratorum accutiſſime ex ſeruili forma filium in aliam formam ſerui transfert, an ille qui ei increatam naturam attribuit, qua etiam non ſeruire ſimul demonſtratur: an potius vos qui clamantes propalatis patris filium ſeruum eſſe, & ante ſerui formam, ipſius imperio ſubijci. Non alios iudices poſtulo, tibi de iis committo ſententiam. Neminem enim arbitror ſic aduerſus

Verborum Eunomij repetitio.

A ται, μυρίας ἐστὶν ἐκ τῶν εὐαγγελίων παραθέσθαι φωνάς, ἃς σιωπήσω διὰ τὸ πρόδηλον, ὡς ἂν μὴ τοῖς ὁμολογουμένοις ἐνδιατρίβων, ὁ λόγος μηκύνοιτο. εἰ μὲν οὖν κακὸν τὸ γενόμενον, οὐ τὸν πατέρα μόνον, ἀλλὰ καὶ τὸν υἱὸν τοῦ κακοῦ χωριστέον. εἰ δὲ ἀγαθὸν ἡ σωτηρία τῶν ἀπολωλότων καὶ οὐ πάθος· ἀλλὰ φιλανθρωπία τὸ γεγενημένον ἐστί. τί ἀλλοτριοῖς τὸν πατέρα τῆς ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν εὐχαριστίας; τὸν διὰ τῆς ἰδίας δυνάμεως ἥ τις ἐστὶν ὁ Χριστός, τὴν ἐκ τοῦ θανάτου ἐλευθερίαν τοῖς ἀνθρώποις

B κατεργασάμενον. ἀλλ' ἐπανιτέον πάλιν ἐπὶ τὸν σφοδρὸν λογογράφον, καὶ τὴν σύντονον ἐκείνην καθ' ἡμῶν ῥητορείαν ἀναληπτέον ἡμῖν. αἰτιᾶται τὸ μὴ λέγειν πεποιῆσθαι τοῦ υἱοῦ τὴν οὐσίαν ἡμᾶς. ὡς ἐναντιουμένους τῇ φωνῇ Πέτρου, κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. καὶ πολύς ἐστιν ἀγανακτῶν ἐπὶ τούτοις καὶ λοιδορούμενος, καὶ κατασκευάζει δι' ὧν οἴεται διελέγχειν τὸν ἡμέτερον λόγον. ἴδωμεν τοίνυν τῶν ἐπιχειρημάτων τὴν δύναμιν· καὶ τίς, φησίν, ὦ

C πάντων ὑμεῖς ῥαθυμότατοι, μορφὴν ἔχων δούλου, μορφὴν ἀναλαμβάνει δούλου. οὐδεὶς τῶν νοῦν ἐχόντων πρὸς αὐτὸν ἐροῦμεν ἡμεῖς, τὸ τοιοῦτον ἂν εἴποι· πλὴν εἰ μή τινες καθόλου τῆς ἐλπίδος τῶν Χριστιανῶν ἠλλοτρίωνται. οὗτοι δὲ ἐστὲ ὑμεῖς οἱ ἐγκαλοῦντες ῥαθυμίαν ἡμῖν, ὅτι μὴ κτιστὸν τὸν κτίστην καταδεχόμεθα. εἰ γὰρ μὴ ψεύδεται διὰ τοῦ προφήτου λέγον τὸ πνεῦμα τὸ ἅγιον· ὅτι τὰ σύμπαντα δοῦλα σά, καὶ πᾶσα ἡ κτίσις δουλεύει. κτιστὸς δὲ καθ' ἡμᾶς ὁ υἱός, ὁμόδουλός ἐστι πάντως τοῖς σύμ-

D πασι, τῷ κοινωνεῖν τῆς κτίσεως, εἰς τὸ κοινωνεῖν καὶ τῆς δουλείας συγκαθελκόμενος. τῷ δὲ δουλεύοντι πάντως ἡμεῖς καὶ τὴν δουλικὴν μορφὴν περιτίθεσθε. οὐ γὰρ δεῖ δοῦλον ὁμολογοῦντας τῇ φύσει τῷ προσωπείῳ τῆς δουλείας ἐπαισχύνεσθαι. τίς οὖν ὦ δριμύτατοι ῥητόρων, ὁ ἐκ τῆς δουλικῆς μορφῆς τὸν υἱὸν εἰς ἄλλην δούλου μεταβιβάζων μορφήν, ὁ τὸ ἄκτιστον αὐτῷ προσμαρτυρῶν, ᾧ καὶ τὸ μὴ δουλεύειν συναποδείκνυται, ἢ μᾶλλον οἱ διαῤῥήδην βοῶντες ἡμεῖς δοῦλον εἶναι τοῦ πατρὸς τὸν υἱόν, καὶ πρὸ τῆς τοῦ δούλου μορφῆς καὶ ὑπ' αὐτοῦ κυριεύεσθαι. οὐ δέομαι δικαστῶν ἑτέρων, σοὶ τὴν περὶ τούτων ἐπιτρέπω ψῆφον. οἶμαι γὰρ μὴ ἂν οὕτω

πρὸς τὴν ἀλήθειαν ἀναιδῶς τινας ἔχειν, ὥστε τοῖς ὁμολογουμένοις δι' ἀναισχυντίας ἐνίστασθαι. πρόδηλον γὰρ παντὶ τὸ λεγόμενον. ὅτι τὸ δοῦλον τῇ φύσει, τοῖς ἰδιώμασι τῆς δουλείας χαρακτηρίζεται, ἴδιον γὰρ δουλείας ἡ κτίσις. ὁ οὖν δοῦλον αὐτὸν ὄντα τὴν ἡμετέραν λέγων ὑπεληλυθέναι μορφὴν, ἐκεῖνός ἐστι πάντως ὁ ἐκ δουλείας εἰς δουλείαν τὸν μονογενῆ μετοικίζων. ἀλλ' ἐπαγωνίζεται τοῖς εἰρημένοις, καί φησι, μικρὸν ὑποβάς. τὰ γὰρ ἐν τοῖς μέσοις, διὰ τὸ μετρίως ἐν τοῖς προλαβοῦσιν ἐξετασθῆναι, νῦν ὑπερβήσομαι ὡς τολμηροὺς εἰς τὸ λέγειν καὶ φρονεῖν ἀμήχανα διαβάλλων, ἐλεεινοτάτους τε προσαγορεύσας, ταῦτα προστίθησιν. εἰ γὰρ μὴ περὶ τοῦ ἐν ἀρχῇ ὄντος λόγου, καὶ Θεοῦ ὄντος, ὁ μακάριος διαλέγεται Πέτρος· ἀλλὰ περὶ τοῦ βλεπομένου καὶ κενώσαντος ἑαυτὸν, καθώς φησιν ὁ Βασίλειος. ἐκένωσεν ἑαυτὸν δὲ ὁ βλεπόμενος ἄνθρωπος εἰς δούλου μορφὴν, ὁ δὲ κενώσας ἑαυτὸν εἰς δούλου μορφὴν, εἰς ἀνθρώπου γένεσιν ἐκένωσεν ἑαυτόν. τάχα μὲν οὖν εὐθὺς ἐκ τῶν ἀνεγνωσμένων προσφανέστατη τῇ κρίσει τῶν ἀκουόντων, τῆς τοῦ λόγου κατασκευῆς, ἥ τε κακουργία καὶ τὸ ἀνόητον. πλὴν δι' ὀλίγων καὶ παρ' ἡμῶν ὁ τῶν εἰρημένων ἔλεγχος προστεθήσεται· οὐκ εἰς ἀνατροπὴν, τοσούτου τῆς ἀπαιδεύτου σοφίσματος, ὃ καὶ δι' ἑαυτοῦ παρὰ τοῖς ἐχέφροσιν ἀκούουσιν ἀνατέτραπται· ἀλλ' ὡς ἂν μὴ δοκοίημεν ἐν προσχήματι τῆς καταφρονήσεως τῆς εὐτελείας τοῦ λόγου περιορᾶν τὸ προτεθὲν ἀνεξέταστον. οὑτωσὶ τοίνυν τὸν λόγον ἐπισκεψώμεθα. τίς ἐστιν ἡ τοῦ ἀποστόλου φωνή· γνωστὸν ἔστω, φησὶν, ὅτι κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός. εἶτα ὡς ἂν πυθομένου τινὸς περὶ τίνα γέγονεν ἡ τοιαύτη χάρις, οἱονεὶ δακτύλῳ τὸ ὑποκείμενον δείκνυσι· τοῦτον εἰπὼν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. τί περὶ τούτου φησὶν ὁ Βασίλειος, ὅτι ἡ δεικτικὴ τοῦ λόγου φωνὴ, τοῦτον πεποιῆσθαι Χριστὸν λέγει καὶ κύριον, τὸν παρ' αὐτῶν τῶν ἀκουόντων ἐσταυρωμένον. ὑμεῖς γὰρ ἐσταυρώσατε, φησί· καὶ εἰκὸς ἦν τοὺς αἰτησαμένους τὸν κατ' αὐτοῦ φόνον, ἀκροατὰς εἶναι τοῦ λόγου. οὐδὲ γὰρ πολὺς ἦν ὁ ἀπὸ τοῦ σταυροῦ πρὸς τὴν δημηγορίαν τοῦ Πέτρου χρόνος. τί οὖν πρὸς ταῦτα προφέρει ὁ Εὐνόμιος; εἰ μὴ περὶ τοῦ ἐν ἀρχῇ ὄντος λόγου, καὶ θεοῦ ὄντος, ὁ μακάριος διαλέγεται Πέτρος.

A veritatem impudenter affici, vt certis & conceſſis, præ impudentia incunctanter aduerſari velit. Quod enim dicitur cuiuis notum eſt & perſpicuum. Quod id quod natura ſeruum eſt, ſeruitutis proprietatibus & notis inſignitur, proprium enim ſeruitutis eſt creatum eſſe. Qui igitur ipſum ſeruum dicit, noſtram ſubiiſſe formam, ille eſt planè qui ex ſeruitute in ſeruitutem vnigenitum remigrare facit. Sed dictis reluctatur, & dicit paululum infrà. Quæ enim interiecta ſunt, quia mediocriter in præcedentibus examina ſunt nunc tranſcendam, vt ad B dicendum & ſentiendum impoſſibilia audaces nos calumnians, miſeratione etiam digniſſimos appellans, hæc adijcit. [Si enim non de verbo quod erat in principio & erat Deus, beatus Petrus diſſerit: ſed de eo qui videbatur, & qui ſeipſum exinaniuit, ſicut ait Baſilius, Qui autem videbatur homo ſeipſum exinaniuit in ſerui formam, qui autem ſeipſum in formam ſerui exinaniuit, in hominis generationem ſeipſum exinaniuit,] fortaſſe quidem continuò ex iis quæ perlecta ſunt, auditorum iudicio, depre- C henſa eſt conſtructionis huius ſermonis calliditas ſimul & amentia. Nihilominus paucis verbis eorum quæ ab ipſo dicta ſunt refutationem ſubijciemus: non ad euerſionem tam indocti & inſciti commenti, quod etiam per ſe apud attentè audientes euerſum eſt: Sed ne videamur prætextu & ſpecie contemptus vilitatis ſermonis, deſpicere quod propoſitum eſt inexcuſſum. Sic igitur ſermonem conſideremus quænam Apoſtoli vox, Notum ſit (inquit) quod Dominum ipſum Chriſtum fecit Deus. Deinde velut ſi quis ſciſcitatus eſſet in D quo facta eſſet talis gratia, ceu digito ſubiectum oſtendit: Hunc, inquit Ieſum, quem vos crucifixiſtis. Quid de eo inquit Baſilius, quod hæc vox ſermonis demonſtratiua hunc factum eſſe Chriſtum & Dominum, qui ab ipſis audientibus crucifixus fuerat. Vos enim (ait) crucifixiſtis. Et veriſimile erat eos qui contra ipſum cædem poſtulauerant, auditores fuiſſe ſermonis. Non enim à cruce ad Petri concionem multum aberat tempus. Quid igitur ad hoc profert Eunomius? [niſi de eo quod erat in principio verbũ, & Deus erat, diſſerit Petrus.

Verborum Eunomij repetitio.

Act. 2.

Sed de eo qui videtur, quique ſeipſum exinaniuit, ſicut ait Baſilius: Exinaniuit autem qui cernitur homo in ſerui formam.] Subſiſte, Quis hoc dicit? Quod rurſus ſeipſum exinaniuit qui cernitur homo in ſerui formam, vel quis aſtruit quod ante apparitionem per carnem, crucis facta eſt paſſio? Neque enim crux ante corpus, neque corpus ante ſerui formam. Sed quidem Deus in carne manifeſtatur: caro autem quæ Deum in ſeipſa oſtendit, poſtquam impleuit per ſeipſam magnum mortis myſterium, in excelſum & diuinum per temperationem tranſmutatur, facta Chriſtus & Dominus, in illud transformata & immutata quod quidem erat qui in illa carne ſeipſum manifeſtauit. Sed ſi nos rurſus hæc diceremus, eum qui in cruce demonſtratus eſt in alterius hominis generationem exinanitum eſſe, quod nos dicere iſte veritatis propugnator adſtruit, hoc ad verbum compoſito cauillo. [Si qui videtur homo (inquit) exinaniuit ſeipſum in ſerui formam: Qui autem exinaniuit ſeipſum in ſerui formam, in hominis generationem ſeipſum exinaniuit. Qui igitur videtur homo in hominis generationem ſeipſum exinaniuit.] O quomodo propoſiti ſtudij memor eſt! quomodo ſecundum ſcopum concluſionem conficit! Chriſtum factum eſſe & ſecundum hominem qui cernitur, Apoſtolum dixiſſe ait Baſilius: hic autem vehemens & ſolers dictorum euerſor; ſi non eſſentiam (inquit) eius qui erat in principio factam eſſe dicit Petrus, qui oculis cernitur homo in ſerui formam ſeipſum exinaniuit. Qui autem exinaniuit ſemetipſum in ſerui formam in hominis generationem ſeipſum exinaniuit. O Eunomi, hac expugnabili ſapientia victi ſumus. Refutata ſunt potenter, per ea quibus didicimus, Apoſtoli ſermonem non reſpicere ad eum qui ex infirmitate crucifixus eſt. Quod ſi hoc ita eſſe crediderimus, rurſus qui videtur homo, alius gignitur, in aliam hominis generationem exinanitus. Non ceſſabis aliquando ludere contra non audenda, non erubeſces in tam ridiculis cauillis diuinorum myſteriorum exoluere metum? non conuerteris nunc certè, ſiquidem non prius ad cogno-

Argumentum Eunomij.

A ἀλλὰ περὶ τοῦ βλεπομένου, καὶ κενώσαντος ἑαυτὸν, καθώς φησιν ὁ Βασίλειος, ἐκένωσεν δὲ ὁ βλεπόμενος ἄνθρωπος εἰς δούλου μορφήν. ἐπίσχες, τίς τοῦτο φησίν; ὅτι πάλιν ἑαυτὸν ἐκένωσεν ὁ βλεπόμενος ἄνθρωπος εἰς δούλου μορφὴν, ἢ τίς κατασκευάζει, ὅτι πρὸ τῆς διὰ σαρκὸς ἐπιφανείας, τὸ κατὰ τὸν σταυρὸν γέγονε πάθος; οὔτε γὰρ ὁ σταυρὸς πρὸ τοῦ σώματος, οὔτε τὸ σῶμα πρὸ τῆς τοῦ δούλου μορφῆς. ἀλλ᾽ ὁ μὲν Θεὸς ἐν σαρκὶ φανεροῦται· ἡ δὲ σὰρξ ἡ τὸν Θεὸν ἐν ἑαυτῇ δείξασα, μετὰ τὸ πληρῶσαι δι᾽ ἑαυτῆς τὸ μέγα τοῦ θανάτου μυστήριον, μεταποιεῖται πρὸς τὸ ὑψηλόν τε καὶ B θεῖον δι᾽ ἀνακράσεως, Χριστὸς γενομένη καὶ κύριος, ἐκεῖνο μετατεθεῖσα καὶ ἀλλαγεῖσα, ὅπερ ἦν ὁ ἐν ἐκείνῃ τῇ σαρκὶ ἑαυτὸν φανερώσας. ἀλλ᾽ εἰ ταῦτα λέγοιμεν πάλιν ἡμεῖς τὸν ἐπὶ τοῦ σταυροῦ δειχθέντα εἰς ἄλλου ἀνθρώπου γένεσιν κεκενῶσθαι, ὃ λέγειν ἡμᾶς ὁ προαγωνιστὴς οὗτος τῆς ἀληθείας κατασκευάζει, συνθεὶς οὑτωσὶ κατὰ τὴν λέξιν τὸ σόφισμα. εἰ ὁ βλεπόμενός, φησιν, ἄνθρωπος ἐκένωσεν ἑαυτὸν εἰς δούλου μορφὴν, ὁ δὲ κενώσας ἑαυτὸν εἰς δούλου μορφὴν εἰς ἀνθρώπου γένεσιν ἐκένωσεν ἑαυτὸν· ὁ βλεπόμενος ἄνθρωπος εἰς ἀν- C θρώπου γένεσιν ἐκένωσεν ἑαυτόν. ὢ πῶς μέμνηται τῆς προκειμένης σπουδῆς; πῶς κατὰ σκοπὸν συμπεραίνει τὸν λόγον; Χριστὸν πεποιῆσθαι καὶ κατὰ τὸν βλεπόμενον ἄνθρωπον, φησὶν εἰρηκέναι τὸν Ἀπόστολον ὁ Βασίλειος· ὁ δὲ δεινὸς οὗτος καὶ ἀγχίνους τῶν εἰρημένων ἀνατρεπτὴς. εἰ μὴ τὴν οὐσίαν, φησὶ, τοῦ ἐν ἀρχῇ ὄντος πεποιῆσθαι λέγει ὁ Πέτρος, ἐκένωσεν ἑαυτὸν βλεπόμενος ἄνθρωπος εἰς δούλου μορφήν· ὁ δὲ κενώσας ἑαυτὸν εἰς δούλου μορφὴν, εἰς ἀν- D θρώπου γένεσιν ἐκένωσεν ἑαυτόν. ἡττήμεθα τῆς ἀμάχου ταύτης σοφίας Εὐνόμιε. ἀπελήλεγκται κατὰ κράτος τὸ μὴ πρὸς τὸν ἐξ ἀσθενείας σταυρωθέντα βλέπειν τοῦ Ἀποστόλου τὸν λόγον, δι᾽ ὧν ἐμάθομεν. ὅτι ἂν τοῦτο οὕτως ἔχειν πιστεύσωμεν, πάλιν ὁ βλεπόμενος ἄνθρωπος ἕτερος γὰρ, εἰς ἄλλην ἀνθρώπου κενούμενος γένεσιν. οὐ παύσῃ ποτὲ παίζων κατὰ τῶν ἀτολμήτων, οὐκ ἐρυθριάσεις ἐν οὕτω γελοίοις σοφίσμασι τὸν τῶν θείων μυστηρίων ἐκλύων φόβον; οὐκ ἐπιστραφήσῃ νῦν γοῦν, εἰ καὶ μὴ πρότερον πρὸς

A τὸ γνῶναι ὅτι ὁ μονογενὴς Θεός, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, λόγος ὢν καὶ βασιλεὺς καὶ κύριος, καὶ πᾶν ὑψηλὸν ὄνομά τε καὶ νόημα, οὐδὲν τῶν ἀγαθῶν γενέσθαι προσδέεται, αὐτὸς ὢν τῶν ἀγαθῶν πάντων τὸ πλήρωμα. ὁ δὲ εἰς τί μεταβαλλόμενος, ἐκεῖνο γίνεται ὃ μὴ πρότερον ἦν; ὥσπερ οὖν ὁ μὴ γνοὺς ἁμαρτίαν, ἁμαρτία γίνεται, ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου, οὕτως πάλιν ἡ δεξαμένη τὸν κύριον σάρξ, Χριστὸς καὶ κύριος γίνεται, ὃ μὴ ἦν τῇ φύσει εἰς τοῦτο μεταποιουμένη διὰ τῆς ἀνακράσεως. δι' ὧν μανθάνομεν, ὅτι οὔτ' ἂν ἐν σαρκὶ ὁ Θεὸς ἐφα- B νερώθη, εἰ μὴ ὁ λόγος σὰρξ ἐγένετο· οὔτ' ἂν μεταποιήθη πρὸς τὸ θεῖον ἡ περὶ αὐτὸν τοῦ ἀνθρώπου σάρξ, εἰ μὴ τὸ φαινόμενον ἐγένετο Χριστός τε καὶ κύριος. ἀλλὰ διαπτύουσι τὸν ἰδ . . τοῦ ἡμετέρου κηρύγματος, οἱ τῇ οὐσίᾳ τοῦ Θεοῦ διὰ τῶν συλλογισμῶν ἐμβατεύοντες, καὶ βούλονται τὸν πάντα τὰ ὄντα διὰ παραγαγόντα εἰς γένεσιν, αὐτὸν ἀποδεῖξαι μέρος ὄντα τῆς κτίσεως, καὶ σύμμαχον τῆς τοιαύτης σπουδῆς, τὴν φωνὴν τοῦ Πέτρου πρὸς κατασκευὴν τῆς βλασφημίας ἐφέλκοντες, τοῦ πρὸς τοὺς Ἰου- C δαίους φήσαντος, ὅτι γνωστὸν ἔστω παντὶ τῷ οἴκῳ Ἰσραήλ, ὅτι κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. ταύτην τοῦ κτιστὴν εἶναι τοῦ μονογενοῦς Θεοῦ τὴν οὐσίαν, προβάλλονται τὴν ἀπόδειξιν. τί οὖν εἰπέ μοι, μὴ πρὸ αἰῶνος οἱ Ἰουδαῖοι πρὸς οὓς ὁ λόγος ἐγένετο, μὴ προκόσμιος ὁ σταυρός, μὴ πρὸ πάσης κτίσεως ὁ Πιλᾶτος, μὴ πρότερον Ἰησοῦς, καὶ μετὰ ταῦτα λόγος, μὴ πρεσβυτέρα ἡ σὰρξ τῆς θεότητος; μὴ πρὸ τοῦ κόσμου ὁ Γαβριὴλ τῇ Μαρίᾳ εὐαγγελίζεται; οὐχ ὁ μὲν κατὰ Χριστὸν ἄνθρωπος, ἐπὶ Καίσαρος Αὐγούστου τὴν ἀρχὴν D λαμβάνει διὰ γεννήσεως, ὁ δὲ ἐν ἀρχῇ ὢν λόγος Θεός, βασιλεὺς ἡμῶν προαιώνιος, καθὼς ὁ προφήτης μαρτύρεται, οὐχ ὁρᾷς οἵαν ἐπάγεις τῷ λόγῳ τὴν σύγχυσιν, τὰ ἄνω κάτω κατὰ τὴν παροιμίαν κυκῶν; πεντηκοστὴ μετὰ τὸ πάθος ἡμέρα ἦν, ὅτε ταῦτα τοῖς Ἰουδαίοις ἐδημηγόρει ὁ Πέτρος λέγων· ὅτι τοῦτον ὃν ὑμεῖς ἐσταυρώσατε Χριστὸν καὶ κύριον ὁ Θεὸς ἐποίησεν· ἀλλὰ ὃν ὑμεῖς, φησίν, ἐσταυρώσατε, τοῦτον ἐποίησεν ὁ Θεὸς Χριστόν τε καὶ κύριον, ὡς δῆλον ἐκ τούτων εἶναι, ὅτι οὐ τὸ πρὸ

ſcendum quod vnigenitus Deus qui erat in ſinu patris, verbum, etiam rex & Dominus, & omne excelſum nomen & cogitamen, nihil bonorum fieri indiget, ipſe cum ſit omnium bonorum plenitudo. Hic autem in quid mutari poteſt, vt fiat illud quod prius non erat? Quemadmodum igitur qui non nouit peccatum, peccatum fit, vt tollat peccatum mundi: ſic rurſus caro quæ Dominum accepit, Chriſtus & Dominus efficitur, quod non erat natura in hoc tranſmutata per temperationem. Ex quibus diſcimus, quod Deus non in carne manifeſtatus eſſet, niſi verbum caro factum eſſet: neque caro hominis quæ circundedit ipſum in diuinitatem tranſmutata fuiſſet, niſi quod apparebat factum eſſet & Chriſtus & Dominus. Sed deſpuunt * noſtræ prædicationis, qui per ſyllogiſmos in eſſentiam Dei irruunt, & volunt eum qui omnia quæ ſunt ad ortum adduxit, demonſtrare ipſum partem eſſe creaturæ, atque in auxilium talis conatus vocem Petri ad blaſphemiæ præſtructionem pertrahunt, qui ad Iudæos dixit, Notum ſit omni domui Iſrael, quòd Dominum ipſum & Chriſtum fecit hunc Ieſum quem vos crucifixiſtis. Hac voce, vnigeniti Dei eſſentiam creatam eſſe demonſtrare prætendentes. Quid igitur, dic mihi, num ante ſeculum Iudæi ad quos factus eſt ſermo? num ante mundum crux, num ante omnem creaturam Pilatus, num primum Ieſus, & poſtea verbum? num diuinitate antiquior caro? num ante mundum Gabriel Mariæ fauſtum annuntiat? Non hic quidem ſecundum Chriſtum homo, imperante Cæſare Auguſto, principium ſumit per generationem, ſed hic qui in principio erat Verbum Deus Rex noſter, ante-æternus, ſicut Propheta teſtatur. Non vides qualem inducis verbo confuſionem, qua ſurſum ac deorſum iuxta prouerbium confundens? Quinquageſimus poſt paſſionem erat dies quando hæc Iudæis Petrus concionabatur dicens: Quod & Dominum & Chriſtum ipſum Deus fecit hunc ipſum Ieſum quem vos crucifixiſtis. Sed quem vos (inquit) crucifixiſtis, hunc fecit Deus Chriſtum & Ieſum: vt ex his perſpicuum eſſet, quòd non illud quod

Quedam ſunt intercisa in Græco. Act. 2.

ante ſecula, ſed quod poſt diſpenſationem factum eſt intelligit Petrus. Quo modo igitur non vides totam in eo quod demonſtratur ſermonis verſari notitiam: ſed ridiculus videris in puerili ſophiſmatis plexu dicens, Quod eum qui videbatur & Chriſtum & Dominum factum eſſe à Deo credimus: neceſſarium eſſe rurſus in hominem poſt exinaniri Dominum, & ſecundam ſubire generationem. Quid magis per hæc veſtrum dogma confirmatur? quomodo per dicta regis creaturæ eſſentia creata demonſtratur? Ego verò contrarium dico, noſtra per ea quæ nobis repugnant defendi, & præ nimia attentione egregium locutorem non aduertiſſe quod ad abſurdum certè diſputationem propellens, quibus conatur euertere, per hæc his quibus bellum infertur opitulatur. Si enim ex eo quod ſupereminet ad id quod eſt humile credendum eſt factam eſſe Ieſu demigrationem: ſola autem ſupereminet creaturæ diuina & increata natura, creatus autem homo: fortaſſe perſpiciens ex propria ratione ad veritatem conuertetur, aſſentiens propter beneuolentiam & benignitatem erga homines, quod increatum eſt factum eſſe in creato. Quod ſi putat creatum Dominum ſe demonſtrare per id quod demonſtrarit, eum qui erat Deus humanæ naturæ participem factum eſſe: multa eiuſmodi ad eandem probationem aſtruendam inuenientur, ex ſimili patrocinium orationi implentia. Etenim quoniam verbum erat & Deus erat: poſthæc autem, ſicut ait Propheta, in terra viſus, & cum hominibus conuerſatus eſt, vnum ex creatis eſſe per hæc demonſtrabitur. Quod ſi hæc longè abſunt ab his quæ quæruntur, neque ſimilia planè propoſitis accommodata ſunt. Idem eſt enim ſecundum ſenſum, eum qui erat in principio verbum, manifeſtatum eſſe poſthæc hominibus dicere, Et qui erat in forma Dei, formam ſerui ſubiiſſe. Quorum ſi alterum ad blaſphemiæ præſtructionem eſt inutile, neceſſe eſt & reliquum abijcere. Sed humanè & beneuolè nobis conſulit ab errore deſciſcere, & quam ipſe præſtruit ſubinde indicat veritatem. Eum qui erat in principio, inquit, Verbum & Deus, hunc factum eſſe docet Petrus Apoſtolus.

Verba Eunomij. (margin, beside "num factum eſſe à Deo credimus")

Baruch. 3. (margin, beside "bum erat & Deus erat")

A τῶν αἰώνων, ἀλλὰ τὸ μετὰ τὴν οἰκονομίαν ὁ
Πέτρος λέγει. πῶς οὖν οὐχ ὁρᾷς ὅλην πε-
ρὶ τὸ δεικνύμενον ἀναστρεφομένην τοῦ λόγου
τὴν ἔννοιαν, ἀλλὰ γελοιάζεις ἐν τῇ μειρα-
κιώδει πλοκῇ τοῦ σοφίσματος, λέγων· Εἰ τὸν
φαινόμενον Χριστόν τε καὶ κύριον πεποιῆσθαι
παρὰ τοῦ Θεοῦ πεπιστεύκαμεν, ἀνάγκην εἶναι
πάλιν εἰς ἄνθρωπον μετακενοῦσθαι τὸν κύριον·
καὶ δευτέραν ὑποδύεσθαι γέννησιν. τί μᾶλλον
διὰ τούτων τὸ καθ' ὑμᾶς δόγμα κρατύνε-
ται, πῶς διὰ τῶν εἰρημένων ἡ τοῦ βασιλέως τῆς
B κτίσεως οὐσία κτιστὴ ἀποδείκνυται; ἐγὼ μὲν γὰρ
τοὐναντίον φημί, τὰ ἡμέτερα διὰ τῶν μαχο-
μένων ἡμῖν συναγορεύεσθαι, καὶ ὑπὸ τῆς ἄγαν
προσοχῆς μὴ συνεωρακέναι τὸν ῥήτορα, ὅτι
πρὸς τὸ ἄτοπον δῆθεν ἐξωθῶν τὸν λόγον, δι'
ὧν ἀνατρέπειν ἐπιχειρεῖ, διὰ τούτων τοῖς πο-
λεμουμένοις συναγωνίζεται. εἰ γὰρ ἐκ τοῦ ὑ-
περέχοντος πρὸς τὸ ταπεινὸν πιστεύειν χρὴ
γεγενῆσθαι τὴν Ἰησοῦ τὴν μετάστασιν· μόνη δὲ ὑ-
πέρκειται τῆς κτίσεως ἡ θεία τε καὶ ἄκτιστος φύ-
σις, κτιστὸς δὲ ὁ ἄνθρωπος· τάχα διαβλέψας
C διὰ τοῦ ἰδίου λόγου πρὸς τὴν ἀλήθειαν μεταταχθή-
σεται, συνθέμενος ἐν τῷ κτιστῷ κατὰ φιλανθρω-
πίαν γεγενῆσθαι τὸ ἄκτιστον. εἰ δὲ οἴεται κτιστὸν
ἀποδεικνύειν τὸν κύριον, διὰ τοῦ δεῖξαι Θεὸν ὄν-
τα τῆς ἀνθρωπίνης φύσεως μετεσχηκέναι, πολ-
λὰ τοιαῦτα πρὸς τὴν τοῦ ἴσου κατασκευὴν
εὑρεθήσεται, ἐκ τῆς ὁμοίας τὴν συνηγορείαν πλη-
ροῦντα τῷ λόγῳ. καὶ γὰρ ἐπειδὴ λόγος ἦν καὶ
Θεὸς ἦν· μετὰ ταῦτα δέ, καθώς φησιν ὁ προ-
φήτης, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις
συνανεστράφη, ἓν τῶν κτισμάτων εἶναι διὰ του-
D των ἀποδειχθήσεται. εἰ δὲ ταῦτα πόρρω τῶν
ζητουμένων, οὐδὲ τὰ ὅμοια πάντως τοῖς
προκειμένοις ᾠκείωται. ἴσον γάρ ἐστι κατὰ τὴν
ἔννοιαν τὸν ἐν ἀρχῇ ὄντα λόγον μετὰ ταῦτα πε-
φανερῶσθαι τοῖς ἀνθρώποις διὰ σαρκὸς λέ-
γειν, καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχοντα, τὴν τοῦ
δούλου μορφὴν ὑποδύεσθαι. ὧν εἰ τὸ ἕτερον
εἰς κατασκευὴν τῆς βλασφημίας ἀνόνητον,
συναποβαλεῖν ἀνάγκη καὶ τὸ λειπόμενον. ἀλ-
λὰ συμβουλεύει φιλανθρώπως ἡμῖν μεταθέσθαι
τῆς πλάνης, καὶ ὑποδείκνυσιν ἣν αὐτὸς κατασκευά-
ζει ἀλήθειαν, τὸν ἐν ἀρχῇ, φησιν, ὄντα λόγον καὶ
Θεόν, τοῦτον πεποιῆσθαι διδάσκει ὁ ἀπόστολος Πέ-

τρος. ἀλλ' εἰ μὲν ὀνείρους ἡμῖν ὑποκρίνεται, καὶ τὴν ἐνύπνιον ἐπηγγέλλετο μαντικὴν, κίνδυνος ἦν ἴσως οὐδεὶς πρὸς τὸ δοκοῦν συγχωρεῖν αὐτῷ περιάγειν τὰ τῆς φαντασίας αἰνίγματα. ἐπεὶ δὲ τὰς θείας φωνὰς ἐξηγεῖσθαι φησὶν, οὐκέτ' ἀσφαλὲς ἡμῖν κατ' ἐξουσίαν αὐτῷ διδόναι, παρερμηνεύειν τὰ ῥήματα. τί φησὶν ἡ γραφή; ὅτι κύριον καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. οὐκοῦν πάντων κατ' αὐτὸν συνδραμόντων τῆς δεικτικῆς φωνῆς τοῦ ἀνθρωπίνως ὀνομασμένου, τῆς τῶν μιαιφονησάντων κατηγορίας τοῦ κατὰ τὸν σταυρὸν πάθους, ἐξ ἀνάγκης ἡ διάνοια πρὸς τὸ φαινόμενον βλέπει. ὁ δὲ φησὶ ταῦτα μὲν λέγειν Πέτρον· ἐνδείκνυσθαι δὲ διὰ τῆς ἐποίησεν λέξεως τὴν προαιώνιον οὐσίαν. ἀλλὰ τίτθαις μὲν ἢ γραϊδίοις ἀκίνδυνον συγχωρεῖν παίζειν πρὸς τὰ μειράκια, καὶ πρὸς τὰ δοκοῦντα μετάγειν τὰς τῶν ἐνυπνίων ἐμφάσεις, τῆς δὲ θεοπνεύστου φωνῆς προκειμένης ἡμῖν εἰς ἐξήγησιν, κωλύει ὁ μέγας ἀπόστολος τὰς γραώδεις κενοφωνίας περιΐεσθαι. σταυρὸν γὰρ ἀκούσας τὸν σταυρὸν νοῶ, καὶ ἀνθρώπινον ὄνομα διδαχθεὶς, ὁρῶ τὴν δηλουμένην ὑπὸ τοῦ ὀνόματος φύσιν. τοῦτον οὖν μαθὼν πεποιῆσθαι παρὰ τοῦ Πέτρου κύριον καὶ Χριστὸν, τοῦ ἐν ὀφθαλμοῖς ἡμῶν γεγενημένον, λέγειν οὐκ ἀμφιβάλλω. ἐπεὶ καὶ συμφωνοῦσι πρὸς ἀλλήλους οἱ ἅγιοι, τοῖς τε ἄλλοις πᾶσι, καὶ περὶ τοῦτο τὸ μέρος. ὡς γὰρ αὐτὸς τὸν ἐσταυρωμένον κύριον πεποιῆσθαι λέγει, οὕτω καὶ Παῦλος φησὶν αὐτὸν ὑπερυψῶσθαι μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν, οὐ καθὸ Θεός ἐστι κατ' ἐκεῖνο ὑψούμενον. τί γὰρ ὑπέρκειται τοῦ θείου ὕψους ἀνώτερον, ὥστε πρὸς ἐκεῖνο λέγειν τὸν Θεὸν ὑψοῦσθαι; ἀλλὰ τὸ ταπεινὸν τῆς ἀνθρωπίνης φύσεως ὑψοῦσθαι λέγει, δεικνύντος οἶμαι τοῦ λόγου, τὴν τοῦ ἀναληφθέντος ἀνθρώπου πρὸς τὸ ὕψος τῆς θείας φύσεως ἐξομοίωσίν τε καὶ ἕνωσιν. τοῦτο τοίνυν σημαίνειν καὶ μέγαν πεπιστεύκαμεν Πέτρον, ἐν τῷ λέγειν κύριον τὸν ἐπὶ τοῦ σταυροῦ γεγενῆσθαι, διὰ τῆς κατὰ πάντα πρὸς τὸ θεῖον ἑνώσεως, ἐκεῖνο γινόμενον ὃ τὸ θεῖον ἐστίν. εἰ δέ τις καὶ συγχωρήσει ἐν αὐτῷ παρεξηγεῖσθαι τὴν θείαν φωνὴν, οὐδὲ οὕτως πρὸς τὸν σκοπὸν τῆς αἱρέσεως ὁ λόγος συμπεραιωθήσεται). δεδόσθω γὰρ περὶ τοῦ ἐν ἀρχῇ ὄντος λέγειν τὸν Πέτρον,

A Siquidem ille nobis ſomnia fingeret & quæ in ſomnis contingit diuinationem narraret, nihil fortaſſe periculi eſſet ipſi concedere ad quiduis pro ſuo arbitratu adducere viſionis ænigmata. Sed quia diuinas voces dicit ipſe ſe enarrare, non tutum eſt nobis pro ſua licentia ei indulgere verba perperam interpretari. quid ait ſcriptura? Dominũ & Chriſtum fecit Deus hunc Ieſum quem vos crucifixiſtis: omnibus igitur in eundem concurrentibus & voce demonſtrante eum qui humanè nominatus eſt, & accuſatione eorum qui cæde ſe polluerant, B paſſionis ſecundum crucem: neceſſario ad id quod apparet intelligentia verborum referenda eſt. Hic autem Eunomius ait Petrum hæc quidem dicere, & per verbum, fecit, quæ eſt ante ſecula eſſentiam, demonſtrare, ſed nutricibus & aniculis concedere cum infantulis & paruulis ludere nihil adfert periculi, & ad quælibet ſuas in ſomniis viſiones traducere. Sed cum à Deo inſpirata vox ad expoſitionem proponitur, vetat magnus Apoſtolus aniles & inanes voces affectare. Crucem enim audiens, crucem intelligo: & huma- C num nomen doctus, video declaratam per id nomen naturam. Hunc igitur cum didici ex Petro factum eſſe Dominum & Chriſtum, eum qui in noſtris oculis factus eſt dicere, non ambigo: præſertim cum ſancti ſibi concordes ſint inuicem cum in aliis omnibus, tum in hac parte. Vt enim ipſe crucifixum factum eſſe dicit Dominum; ſic & Paulus ait ipſum ſuperexaltatum eſſe poſt paſſionem & reſurrectionem, non quâ Deus eſt, ſecundum illam rationem exaltatum. Quid enim Dei altitudine altius ſupereminet, vt ad illud Deum ex- D tolli dicat? Sed quod humanæ naturæ humile eſt exaltari dicit. Demonſtrante vt puto ſermone aſſumpti hominis ad diuinæ naturæ celſitudinem, ſimilitudinémque & vnionem. Hoc igitur magnum Petrum ſignificare credimus, dum dicit Dominum in cruce factum eſſe, propter in omnibus cum diuinitate vnitionem illud factum quod Deus eſt. Quod ſi quis etiam concedet in ipſo rectè interpretari diuinam vocem, neque ſic ad ſcopum hæreſeos concludetur oratio. Detur enim Petrum loqui de eo qui erat in principio, quod

Philip. 2.

Dominum ipſum & Chriſtum fecit hunc Ieſum quem vos crucifixiſtis. Comperimus enim neque per hoc blaſphemiam vim aliquam contra veritatem aſſumere: Dominum (ait) ipſum & Chriſtum fecit Deus. Ad quod igitur horum dictorum verbum (fecit) referendum eſt? cui eorum quæ in hac locutione poſitæ ſunt vocem aptabimus? Tria enim ſunt. Hic, & Dominus & Chriſtus, cum quo horum verbum (fecit) conſtruit? Sed nullus eſt tam audax & temerarius veritatis oppugnator, quin dicat verbum (fecit) ad Chriſtum & Dominum reſpicere, ipſum enim cùm eſſet, quod quidem iam erat, Chriſtum & Dominum factum eſſe à Deo Petrus aſſerit. Non meus eſt ſermo, ſed eius qui nos oppugnat oratione. Ait enim in his ipſis quæ examinanda nobis propoſuimus, ſic verbis dicens. [De eo qui in principio erat Deus, beatus diſſerit Petrus, & hinc docet factum eſſe Dominum & Chriſtum.] Ergo cum cùm eſſet quod quondam etiam erat, Chriſtum factum eſſe & Dominum, ait Eunomius, qualia certè etiam de Dauid hiſtoria dicit: Quod filius cum eſſet Ieſſai, & gregibus præfectus, in regem vnctus fuit: non quod vnctio tunc primùm ipſum hominem fecerit, ſed cùm eſſet quod quidem erat ſecundum ſuam naturam, ex priuato in regem mutauerit. Quid igitur magiſne per hæc filij eſſentiam factam eſſe præſtruitur? Si quemadmodum ait Eunomius, in principio ipſum qui erat & Deus erat, & Dominum & Chriſtum Deus fecit. Dominatio enim non eſſentiæ nomen ſed poteſtatis eſt, & Chriſti appellatio regnum oſtendit, alius autem regni, alius naturæ ſermo. Verumtamen hæc circa filium Dei facta eſſe, ait ſcriptura. Conſideremus igitur quod magis pium eſt & conſentaneum. Quémnam per profectum alicuius bonorum excelſiorum participem fieri fas eſt & pium dicere, Deum an hominem? Quis ita mente puer, qui putet Deum acceſſione & augmento ad perfectum ferri? de humana autem natura tale cogitare non eſt diſſentaneum, quandoquidem vox euangelica manifeſtò ſecundum humanitatem Domino attribuit incrementum. Ieſus enim, ait, proficiebat ætate & ſapientia, & gratia. Quid igitur magis conſentaneum eſt ex Apoſtoli voce

Verba Eunomij.

A ὅτι κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησε τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. εὑρίσκομεν γὰρ οὔτε διὰ τούτου τὴν βλασφημίαν ἰσχύν τινα κατὰ τῆς ἀληθείας λαμβάνουσαν· κύριον, φησὶν, αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεός. εἰς τί τοίνυν τῶν εἰρημένων ἐπαναφέρειν χρὴ τὸ ἐποίησεν; τίνι τῶν ἐν τῇ φράσει κειμένων τὴν φωνὴν ἐφαρμόσομεν; τρία γάρ ἐστι τὰ προκείμενα. οὗτος, καὶ κύριος καὶ Χριστὸς, τίνι τούτων τὴν ἐποίησεν συσκευάζει φωνήν; ἀλλ' οὐδεὶς οὕτως κατὰ τῆς ἀληθείας θρασὺς, ὡς εἰπεῖν ὅτι μὴ πρὸς τὸν Χριστόν τε καὶ κύριον τὸ ἐποίησεν βλέπει. ὄντα γὰρ αὐτὸν ὅ,τι ποτὲ ἦν, Χριστὸν καὶ κύριον
B γεγενῆσθαι παρὰ τοῦ πατρὸς ὁ Πέτρος φησίν. οὐκ ἐμὸς ὁ λόγος, ἀλλ' αὐτοῦ τοῦ μαχομένου τῷ λόγῳ. φησὶ γὰρ ἐν αὐτοῖς τοῖς προκειμένοις τούτοις ἡμῖν εἰς ἐξέτασιν, οὑτωσὶ τοῖς ῥήμασι λέγων. περὶ τοῦ ἐν ἀρχῇ ὄντος καὶ Θεοῦ ὄντος, ὁ μακάριος διαλέγεται Πέτρος, καὶ τοῦτον ἐκδιδάσκει γεγενῆσθαι κύριον καὶ Χριστόν. οὐκοῦν τὸν ὄντα ὅτι ποτὲ καὶ ἦν, Χριστὸν γεγενῆσθαι καὶ κύριον ὁ Εὐνόμιος λέγει, οἷα δὴ καὶ περὶ τοῦ Δαβὶδ ἱστορία φησίν· ὅτι υἱὸς ὢν τοῦ Ἰεσσαὶ καὶ τῶν ποιμνίων ἐπιστάτης, εἰς βασιλέα ἐχρίσθη. οὐκ ἄνθρωπον αὐτὸν τηνικαῦτα
C ποιούσης τῆς χρίσεως, ἀλλ' ὄντα κατὰ τὴν αὐτοῦ φύσιν ὅπερ ἐτύγχανεν, ἐξ ἰδιώτου πρὸς βασιλέα μεταθείσης. τί οὖν μᾶλλον διὰ τούτων τὸ πεποιῆσθαι τοῦ υἱοῦ τὴν οὐσίαν κατασκευάζεται; εἰ καθὼς, φησὶν ὁ Εὐνόμιος, ἐν ἀρχῇ αὐτὸν ὄντα, καὶ Θεὸν ὄντα, καὶ κύριον, καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν. ἡ γὰρ κυριότης οὐχὶ οὐσίας ὄνομα, ἀλλ' ἐξουσίας ἐστὶ, καὶ ἡ τοῦ Χριστοῦ προσηγορία τὴν βασιλείαν ἐνδείκνυται, ἄλλος δὲ τῆς βασιλείας, καὶ ἕτερος ὁ τῆς φύσεως
D λόγος. ἀλλὰ μὴν ταῦτα περὶ τὸν υἱὸν τοῦ Θεοῦ γεγενῆσθαι φησὶν ἡ γραφή. οὐκοῦν ἐπισκεψώμεθα τὸ μᾶλλον εὐσεβὲς καὶ ἀκόλουθον. τίνα κατὰ προκοπὴν μετέχειν τινὸς τῶν ὑψηλοτέρων εὐαγές ἐστι λέγειν, τὸν Θεὸν, ἢ τὸν ἄνθρωπον. τίς οὕτω παῖς τὴν διάνοιαν, ὡς οἴεσθαι τὸ θεῖον ἐκ προσθήκης ἐπὶ τὸ τέλειον φέρεσθαι; περὶ δὲ τῆς ἀνθρωπίνης φύσεως τὸ τοιοῦτον ὑπονοεῖν, οὐκ ἔξω τοῦ εἰκότος ἐστὶ, σαφῶς τῷ κυρίῳ τῆς τοῦ εὐαγγελίου φωνῆς τὴν κατὰ τὸ ἀνθρώπινον αὔξησιν προσμαρτυρούσης, Ἰησοῦς γὰρ προέκοπτε, φησὶν,

ἡλικίᾳ

ἡλικίᾳ καὶ σοφίᾳ, καὶ χάριτι. τί τοίνυν εὐλογώτερόν ἐστιν ἐκ τῆς τοῦ ἀποστόλου φωνῆς ὑποτίθεσθαι, τὸν ἐν ἀρχῇ ὄντα Θεὸν, ἐκ προκοπῆς κύριον γενέσθαι, ἢ τὸ ταπεινὸν τῆς ἀνθρωπίνης φύσεως, ἐκ τῆς πρὸς τὸ θεῖον κοινωνίας, εἰς τὸ ὕψος τῆς ἀξίας ἀναλαμβάνεσθαι. καὶ γὰρ ὁ προφήτης Δαβὶδ ὡς ἐκ προσώπου τοῦ κυρίου φησὶν, ὅτι ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ. παραπλήσιον λέγων τῷ Χριστὸς ἐγενόμην. καὶ πάλιν ὡς ἐκ τοῦ πατρὸς πρὸς τὸν κύριον, κατακυρίευε, φησὶν, ἐν μέσῳ τῶν ἐχθρῶν σου. ταυτὸν λέγων τῷ Πέτρῳ, τὸ κύριος γίνου τῶν ἐχθρῶν σου. ὥσπερ τοίνυν ἡ τῆς βασιλείας σημαινομένη κατάστασις, οὐ τὴν τῆς οὐσίας κατασκευὴν, ἀλλὰ τὴν εἰς τὸ ἀξίωμα πρόοδον, καὶ ὁ κατακυριεύειν ἐγκελευόμενος, οὐ τότε γίνεσθαι τὸ μὴ ὂν κελεύει· ἀλλὰ τῷ ὄντι δίδωσι τὴν κατὰ τῶν ἀπειθούντων ἀρχήν. οὕτω καὶ ὁ μακάριος Πέτρος Χριστὸν τουτέστι βασιλέα πάντων γεγενῆσθαι λέγων, προσέθηκε, τὸ αὐτὸν, ἵνα χωρίσῃ τῆς τε οὐσίας, καὶ τῶν περὶ ταύτην θεωρουμένων τὸν λόγον. ὄντα γὰρ ὅπερ ἐστὶ, τὰ εἰρημένα ἐποίησεν. εἰ μὲν οὖν εὐαγὲς ἦν ἐπὶ τῆς ὑπερεχούσης φύσεως τὸ κατὰ προκοπήν τι γενέσθαι λέγειν, οἷον ἐξ ἰδιώτου, βασιλέα, καὶ ἐκ ταπεινοῦ ὑψηλὸν, καὶ ἐκ δούλου κύριον, ἔπρεπεν ἴσως καὶ τὴν τοῦ Πέτρου φωνὴν τῇ θείᾳ τοῦ μονογενοῦς ἐφαρμόζειν οὐσίᾳ. ἐπεὶ δὲ τὸ θεῖον ὅτι ποτὲ εἶναι πεπίστευται, πάντοτε ὡσαύτως ἔχει. προσθήκης μὲν πάσης ἀνώτερον, μειώσεως δὲ ἀνεπίδεκτον, ἀνάγκη πᾶσα πρὸς τὸ ἀνθρώπινον ἄγειν τὸν λόγον. ὁ γὰρ Θεὸς λόγος, ὅπερ ἐν ἀρχῇ ἦν, τοῦτο καὶ νῦν ἐστι, καὶ εἰσαεὶ διαμένει. ἀεὶ βασιλεὺς, ἀεὶ κύριος, ὕψιστος ἀεὶ καὶ Θεὸς, οὐδὲν τούτων ἐκ προκοπῆς γενόμενος, ἀλλὰ πάντα ὢν ἐν τῇ δυνάμει τῆς φύσεως, ὅσα καὶ λέγεται. ὁ δὲ ἐξ ἀνθρώπου διὰ τῆς ἀναλήψεως πρὸς τὸ θεῖον ὑψωθεὶς, ἄλλο τι ὢν, καὶ ἄλλο γινόμενος· κυρίως καὶ ἀληθῶς Χριστὸς καὶ κύριος γεγενῆσθαι λέγεται. ἐκ δούλου γὰρ αὐτὸν κύριον, καὶ ἐξ ὑποχειρίου βασιλέα, καὶ Χριστὸν ἐξ ὑπηκόου ἐποίησε· καὶ τὸ ταπεινὸν ὑπερύψωσε, καὶ τῷ τὸ ἀνθρώπινον ἔχοντι ὄνομα, ἐχαρίσατο τὸ ὑπὲρ πᾶν ὄνομα.

A ſupponere; Deum qui erat principio ex acceſſione & profectu Dominum factum eſſe; quam quod humile eſt humanæ naturæ ex communione cum diuinitate ad dignitatis celſitudinem aſſumi? Etenim Dauid Propheta ex perſona Domini inquit, Ego conſtitutus ſum rex ab eo. Perinde ac ſi diceret, Chriſtus factus ſum. Et rurſus, tanquam ex perſona patris ad filium, dominare in medio inimicorum tuorum. Idem cum Petro dicens, Dominus fias inimicorum tuorum. Quemadmodum igitur regni conſtitutio non eſſentiæ ſignificat conſtructionem, ſed ad dignitatem prouectionem, qui iubet dominari; non tunc fieri, quod non erat iubet, ſed ei qui eſt contra rebelles dat imperium. Sic beatus Petrus Chriſtum hoc eſt regem omnium factum eſſe cùm dicit, adiecit, ipſum, vt ab eſſentia, & his quæ in hac ſpectantur ſeparet ſermonem, cum enim eſſet id quod eſt, quæ dicta ſunt fecit. Si igitur fas eſſet in ſupereminente natura dicere aliquid fieri per profectum & augmentum, quale ex priuato Regem, ex humili excelſum, ex ſeruo dominum: fortaſſe etiam vocem Petri diuinæ vnigeniti eſſentię deceret accommodare. Quoniam autem diuina natura quodcunque vnquam eſſe credita eſt, ſemper eodem modo ſe habet, omni quidem acceſſione ſuperior, imminutionis vero non eſt capax, neceſſe omnino eſt, ad id quod humanum eſt, ſermonem reuocare: qui enim Deus verbum, quod quidem erat in principio, hoc etiam nunc eſt, & in æternum permanet. Semper Rex, ſemper Dominus, altiſſimus ſemper & Deus, nihil horum ex profectu factus, ſed omnia qui eſt in potentia & virtute naturæ, quæcunque etiam dicuntur. Humana verò natura, per aſſumptionem ad diuinitatem exaltata, aliud quid cùm eſſet, & aliud quid facta, propriè & verè Chriſtus & Dominus facta eſſe dicitur: ex ſeruo enim ipſum Dominum, & ex ſubiecto regem, & Chriſtum ex obediente fecit: & quod humile abiectúmque erat ſuperexaltauit. Atque ei qui humanum habebat nomen, quod ſuperat omne nomen, gratificatus eſt.

Pſal. 2.

Pſal. 109.

Q.

Et ſic facta eſt illa ineffabilis mixtio & A coïtio breuitatis humanæ temperatæ cum diuina magnitudine. Quocirca & magna Deóque decora nomina humanæ naturæ propriè accommodata ſunt; & contra per humana deitas nominatur: hic enim ipſe habet nomen quod eſt ſupra omne nomen, & in humana natura ſecundum nomen IESV ab omni adoratur creatura. Inquit enim, vt in nomine IESV omne genu flectatur, cœleſtium, terreſtrium, & infernorum, & omnis lingua confiteatur, quod Dominus Ieſus in gloria eſt Dei patris. Sed hæc hactenus.

Philip. 2.

καὶ οὕτω γέγονεν ἡ ἄῤῥητος ἐκείνη μίξις καὶ συνόδος τῆς ἀνθρωπίνης βραχύτητος πρὸς τὸ θεῖον μέγεθος ἀνακραθείσης. διὸ καὶ τὰ μεγάλα καὶ θεοπρεπῆ τῶν ὀνομάτων, τῇ ἀνθρωπίνῃ κυρίως ἐφήρμοσται, καὶ τὸ ἔμπαλιν διὰ τῶν ἀνθρωπίνων ἡ θεότης κατονομάζεται. ὁ γὰρ αὐτὸς καὶ τὸ ὑπὲρ πᾶν ὄνομα ἔχει, καὶ ἐν τῷ ἀνθρωπίνῳ τῷ κατὰ Ἰησοῦν ὀνόματι παρὰ πάσης προσκυνεῖται τῆς κτίσεως. ἐν γὰρ τῷ ὀνόματι, φησὶν, Ἰησοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς εἰς δόξαν Θεοῦ πατρός. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ ϛ.

ΕΠΕΙ δέ φησι τὴν κύριος λέξιν τῆς οὐσίας τοῦ μονογενοῦς, οὐ τῆς ἀξίας κατηγορεῖσθαι, καὶ τὸν ἀπόστολον τούτοις ἐπιμαρτύρεσθαι λέγοντα πρὸς Κορινθίους· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν· εὔκαιρον ἂν εἴη μηδὲ ταύτην αὐτοῦ τὴν πλάνην περιιδεῖν ἀδιόρθωτον. τὴν κύριος λέξιν τῆς οὐσίας εἶναι σημαντικὴν διορίζεται, καὶ εἰς ἀπόδειξιν τῆς ὑπολήψεως ταύτης ἐπάγει τὸν ῥηθέντα λόγον. ἴδωμεν τοίνυν εἴ τι κοινὸν τοῦτο προκείμενον ἔχει. ὁ κύριος, φησί, τὸ πνεῦμά ἐστιν. ὁ δὲ τὴν γραφὴν πρὸς τὸ δοκοῦν ἐξηγούμενος, οὐσίαν ὀνομάζει τὴν κυριότητα, καὶ διὰ τῶν εἰρημένων οἴεται τὸν λόγον εἰς ἀπόδειξιν ἄγειν. ἀλλ' εἰ μὲν εἴρητο παρὰ τοῦ Παύλου, ὁ δὲ κύριον οὐσία ἐστίν, καὶ ἡμεῖς τοῖς λεγομένοις ἂν συνεδράμομεν. ἐπεὶ δὲ ὁ μὲν θεόπνευστος λόγος τὸ πνεῦμα φησὶν εἶναι τὸν κύριον· ὁ δὲ Εὐνόμιος οὐσίαν λέγει τὴν κυριότητα· οὐκ οἶδα πόθεν ὁ λόγος αὐτῷ τὴν ἰσχὺν ἔχει. εἰ μὴ τάχα πάλιν καὶ τὴν τοῦ πνεύματος λέξιν ἀντὶ τῆς οὐσίας λέγοι παρὰ τῇ γραφῇ κεῖσθαι. ἐξετάσωμεν τοίνυν εἴ που τῇ τοῦ πνεύματος λέξει χρησάμενος ὁ ἀπόστολος, τὴν οὐσίαν διὰ τῆς φωνῆς ἐνεδείξατο. αὐτό, φησι, τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, καὶ οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ, καὶ τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. καὶ εἰ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσετε. καὶ εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. καὶ τίς ἂν ἐξαριθμήσαιτο τὰς τοῦ ἀποστόλου περὶ τούτου φωνάς· ἐν αἷς οὐδαμοῦ τὴν οὐσίαν διὰ τῆς λέξεως ταύτης σημαινομένην εὑρίσκομεν. ὁ γὰρ λέγων,

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM,

ORATIO VI.

B QVONIAM autem ait Eunomius, nomen hoc Dominus, de eſſentia vnigeniti, non de dignitate enuntiari. Atque Apoſtolum adhæc teſtem citat dicentem ad Corinthios: Dominus autem ſpiritus eſt: oportunum quidem fuerit, neque hunc eius errorem incorrectum deſpicere. Dictionem dominus, eſſentiæ ſignificatiuam aſſerit, & ad huius opinionis demonſtrationem, dictum ſermonem adducit. Videamus igitur ſi quid commune habet hoc quod proponitur. Dominus, inquit, ſpiritus eſt. Hic verò ſcripturam pro ſuo arbitrio exponens, eſſentiam nominat dominationem: & ex iis quæ dicta ſunt, putat ad probationem certam hunc ſermonem adducere. Sed ſi dictum eſſet à Paulo, Dominus eſſentia eſt, nos etiam dictis aſſentiremur. Quoniam verò à Deo inſpiratus ſermo Dominum ſpiritum eſſe dicit: Eunomius verò dominationem dicit eſſentiam: neſcio vnde vim & robur eius ſermo poſſit habere, niſi fortè rurſus etiam ſpiritus dictionem à ſcriptura poni pro eſſentia dicat. Quamobrem inquiramus diligenter vtrum alicubi ſpiritus dictione vſus Apoſtolus, eſſentiam per hanc vocem indicauit. Ipſe, inquit, ſpiritus conteſtatur ſpiritui noſtro, & nullus nouit quæ ſunt hominis, niſi ſpiritus qui eſt in ipſo, & litera occidit, ſpiritus viuificat, & ſi ſpiritu facta carnis mortificaueritis, viuetis. Et ſi ſpiritu viuimus, ſpiritu incedamus. Ecquis Apoſtoli voces de hac re enumerando percenſeat: in quibus per hanc dictionem eſſentiam ſignificari nuſquam comperimus. Nam qui dicit, quod

2. Cor. 3.

Ibidem.

1. Cor. 2.

Galat. 5.

C D

ipſe ſpiritus teſtimonium dat ſpiritui noſtro, nihil aliud indicat præter Spiritum ſanctum, in mente fidelium inſitum. Etenim mentem ſuorum ſermonum ſæpe ſpiritum nominat, quæ cum ſpiritus communionem accepit: his qui acceperunt, adoptionis dignitas accedit:
1.Cor.2. Et hoc, nullus nouit ea quæ ſunt hominis, niſi ſpiritus qui eſt in ipſo. Si etiam homo de eſſentia, & ſpiritus ſimiliter duas eſſentias in homine eſſe ex iis
2.Cor.3. quæ dicta ſunt, adſtruitur. Qui autem dicit literam occidere, ſpiritum vero viuificare, neſcio quomodo eſſentiam litteræ opponit: vel rurſus quomodo hic putat Paulum dicentem, ſpiritu oportere facta corporis tollere, ad eſſentiam adducere ſpiritus ſignificatum. Illud verò viuere ſpiritu & ambulare ſpiritu, hoc etiam prorſus extra intelligentiam fuerit, ſi ad eſſentiam ſpiritus ſignificatum referatur. Per aliud enim quidpiam & non per eſſentiam, vitæ ſumus participes omnes qui in vita ſumus: deinde, de hoc ſcilicet conſilium nobis dat Apoſtolus. Eſſentia viuere, quaſi diceret, Per vos ipſos & non per alios vitæ participes eſtis. Si igitur nuſquam hunc propriè licet ſenſum percipere; quomodo hîc rurſus Onirocritæ ſomniorum imitatus, pro eſſentia iubet ſpiritum capere, vt concludat ſyllogiſticè dictionem (Dominus) de eſſentia exponendam eſſe. Si enim ſpiritus eſſentia eſt, & Dominus eſt ſpiritus, Dominus igitur prorſus eſſentia inuenitur. O quomodo ineluctabilis eſt vis argumentationis! Quomodo licet exuere & reſoluere hanc inexpugnabilem demonſtrationū neceſſitatem! Dominus de eſſentia dicitur: quomodo hoc præſtruit? quia Apoſtolus inquit, Dominus ſpiritus eſt. Quid igitur hoc ad eſſentiam? Sed ſpiritum pro eſſentia poni iubent demonſtratiuarum argumentationum artes. Hæc ſunt Ariſtotelici artificij præclara documenta: propterea nos qui huius ſapientiæ ſacris non ſumus initiati, miſerabiles ſecundum tuum ſermonem: beatus autem non tamen omnino qui per talem argumentationem verum perueſtigat: ſic intelligere Apoſtolum, vt pro eſ-

A ὅτι αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, οὐδὲν ἕτερον ἢ τὸ ἅγιον ἐνδείκνυται πνεῦμα, τὸ τῇ διανοίᾳ τῶν πιστῶν ἐγγινόμενον. καὶ γὰρ καὶ τὸν νοῦν πολλαχῇ τῶν ἑαυτοῦ λόγων πνεῦμα κατονομάζει, οὗ δεξαμένου τὴν κοινωνίαν τοῦ πνεύματος παραγίνεται τοῖς δεξαμένοις τὸ τῆς υἱοθεσίας ἀξίωμα, καὶ τὸ, οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ. εἰ καὶ ὁ ἄνθρωπος κατὰ τῆς οὐσίας καὶ τὸ πνεῦμα ὡσαύτως, δύο οὐσίαι ὁ ἄνθρωπος ἐκ τῶν εἰρημένων εἶναι κατασκευάζεται. ὁ δὲ τὸ γράμμα λέγων ἀποκτείνειν· ζωοποιεῖν δὲ τὸ πνεῦμα, οὐκ οἶδ' ὅπως
B οὐσίαν ἀντιδιαστέλλει τῷ γράμματι· ἢ πάλιν πῶς ἐνταῦθα οἴεται λέγοντα τὸν Παῦλον, πνεύματι δεῖν τὰς πράξεις τοῦ σώματος ἀναιρεῖν, ἐπὶ τὴν οὐσίαν ἄγειν τὸ τοῦ πνεύματος σημαινόμενον. τὸ δὲ ζῆν πνεύματι, καὶ στοιχεῖν πνεύματι, τοῦτο καὶ παντάπασιν ἔξω διανοίας ἂν εἴη, εἰ πρὸς τὴν οὐσίαν τὸ τοῦ πνεύματος σημαινόμενον φέροιτο. τινὶ γὰρ ἄλλῳ καὶ οὐχὶ τῇ οὐσίᾳ τοῦ ζῆν μετέχομεν ἅπαντες οἱ ἐν τῷ ζῆν ὄντες· εἶτα περὶ τούτου συμβουλὴν ἡμῖν ὁ ἀπόστολος κατατίθεται οὐσίᾳ ζῆν, ὡς ἂν εἰ ἔλεγεν, ὅτι δι' ὑμῶν αὐτῶν καὶ μὴ δι'
C ἑτέρων τῆς ζωῆς μετέχετε. Εἰ οὖν οὐδαμοῦ ταύτην κυρίως ἐστὶ παραληφθῆναι τὴν ἔννοιαν, πῶς ἐνταῦθα πάλιν τοὺς ὀνειροκρίτας τῶν ὀνείρων μιμούμενος, ἀντὶ τῆς οὐσίας κελεύει τὸ πνεῦμα παραλαμβάνεσθαι, ἵνα συμπεράνῃ συλλογιστικῶς τὸ κατὰ τῆς οὐσίας συγκεῖσθαι τὴν κύριος λέξιν. εἰ γὰρ τὸ πνεῦμα οὐσία ἐστὶν, ὁ δὲ κύριος τὸ πνεῦμα ἐστὶν, ὁ κύριος οὐσία πάντως εὑρίσκεται. ὢ πῶς ἀκαταγώνιστος ἡ τῶν ἐπιχειρημάτων δύναμις! πῶς ἐστιν ἐκδῦναι καὶ ἀναλῦσαι τὴν
D ἀμήχανον ταύτην τῶν ἀποδείξεων ἀνάγκην, ὁ κύριος κατὰ τῆς οὐσίας λέγεται, πῶς τοῦτο κατασκευάζων; ὅτι, φησὶν ὁ ἀπόστολος, ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι. τί οὖν τοῦτο πρὸς τὴν οὐσίαν; ἀλλὰ τὸ πνεῦμα κελεύουσιν ἀντὶ τῆς οὐσίας τετάχθαι τῶν ἀποδεικτικῶν ἐφόδων αἱ τέχναι. ταῦτα τῆς Ἀριστοτελικῆς τεχνολογίας τὰ κατορθώματα. διὰ τοῦτο ἐλεεινοὶ μὲν ἡμεῖς κατὰ τὸν σὸν λόγον, οἱ τῆς σοφίας ταύτης ἀμύητοι· μακαριὸς δὲ οὐ πάντως ὁ διὰ τῆς τοιαύτης ἐφόδου τἀληθὲς ἀνιχνεύων· οὕτω νοεῖν τὸν ἀπόστολον,

ὡς αὐτὴ τῆς οὐσίας τοῦ μονογενοῦς οἴεσθαι τὸ πνεῦμα παρ' αὐτοῦ τετάχθαι. πῶς οὖν ἁρμόσεις κατὰ τὸ ἀκόλουθον· οὐ γὰρ τούτοις τὸ νόημα περιγράφεται. εἰπὼν γὰρ ὁ Παῦλος, ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν, ἐπήγαγεν, οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐλευθερία. Εἰ οὖν κύριός ἐστιν ἡ οὐσία, οὐσία δὲ τὸ πνεῦμα· τίς πάλιν ἡ τῆς οὐσίας οὐσία; μία γὰρ οὐσία τὸ πνεῦμα κατὰ τὸν λόγον τὸν σὸν, ὅπερ ἐστὶν ὁ κύριος. πάλιν, τοῦ κυρίου ὅς ἐστι πνεῦμα, ἕτερον λέγει πνεῦμα, τουτέστιν ἄλλην οὐσίαν, κατὰ τὴν σὴν ἑρμηνείαν. οὐδὲν οὖν ἄλλο κατὰ τὸν ὑμέτερον λόγον, ἢ οὐσίαν οὐσίας νοεῖ ὁ ἀπόστολος, κύριον πνεῦμα, καὶ πνεῦμα κυρίου διαῤῥήδην γράφων. ἀλλ' Εὐνομίῳ μὲν ἐχέτω τὰ γεγραμμένα κατὰ τὸ ἀρέσκον αὐτῷ. ὃ δὲ ἡμεῖς περὶ τούτου γινώσκομεν, τοιοῦτόν ἐστιν· ἡ θεόπνευστος γραφὴ, καθὼς ὁ θεῖος ἀπόστολος αὐτὴν ὀνομάζει, τοῦ ἁγίου πνεύματός ἐστι γραφή. τὸ δὲ βούλημα ταύτης, ἡ τῶν ἀνθρώπων ἐστὶν ὠφέλεια. πᾶσα γάρ, φησι, γραφὴ θεόπνευστος καὶ ὠφέλιμος· ποικίλη δὲ καὶ πολυειδὴς ἡ ὠφέλεια, καθώς φησιν ὁ ἀπόστολος, πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ. τὸ δὲ τοιοῦτο κέρδος, οὐκ ἐκ τοῦ προχείρου λαβεῖν ἐστι τοῖς ἐντυγχάνουσιν· ἀλλ' οἷον παραπετάσματί τινι τῷ σώματι τῆς γραφῆς τὸ θεῖον ὑποκρύπτεται . . . νομοθεσίας τινὸς ἢ ἱστορίας τῶν κατὰ τὸν νοῦν θεωρουμένων προβεβλημένης. διὰ τοι τοῦτο τοὺς πρὸς τὸ σῶμα βλέποντας τῆς γραφῆς, ὁ ἀπόστολος κάλυμμα ἐπὶ τῆς καρδίας ἔχειν φησὶ, καὶ μὴ δύνασθαι πρὸς τὴν δόξαν διαβλέψαι τοῦ πνευματικοῦ νόμου, κωλυομένους διὰ τοῦ ἐπιβεβλημένου τῷ προσώπῳ τοῦ νομοθέτου καλύμματος. διό φησι, τὸ γράμμα ἀποκτείνει· τὸ δὲ πνεῦμα ζωοποιεῖ, δεικνὺς ὅτι πολλαχῇ τῶν γεγραμμένων ἡ πρόχειρος ἑρμηνεία, εἰ μὴ κατὰ τὸν προσήκοντα νοῦν ἐκληφθείη, τῇ διὰ τοῦ πνεύματος ὑποδεικνυμένῃ ζωῇ τὸ ἐναντίον ποιεῖ. τοῦ μὲν, τὸ τέλειον τῆς ἀρετῆς ἐν ἀπαθείᾳ πᾶσι τοῖς ἀνθρώποις νομοθετοῦντος· τῆς δὲ, τῶν γεγραμμένων ἱστορίας, ἔστιν ὅπου καὶ ἀπεμφαινόντων πραγμάτων τινῶν περιεχούσης τὴν ἔκθεσιν,

A ſentia vnigeniti, ſpiritum ab ipſo poni exiſtimet. Quomodo igitur quod conſequitur aptabis? non enim his circumſcribitur ſenſus. Poſtquam enim dixit Paulus, Dominus autem ſpiritus eſt, induxit; vbi autem ſpiritus Domini, libertas eſt. *2.Cor.3.* Si igitur Dominus eſt eſſentia, Eſſentia autem ſpiritus: quæ rurſus eſſentia eſſentiæ? vna enim eſſentia ſpiritus, ſecundum tuum ſermonem, qui quidem eſt Dominus. Rurſus Domini, qui eſt ſpiritus, alterum dicit ſpiritum, id eſt, aliam eſſentiam, ſecundum tuam interpretationem. Nihil igitur aliud, ſecundum veB ſtrum ſermonem, quam eſſentiam eſſentiæ intelligit Apoſtolus, Dominum ſpiritum, & ſpiritum Domini apertè ſcribens. Sed Eunomio quidem ſcripta habeantur prout ei placet. Quod autem nos de hoc ſentimus, tale eſt diuinitus inſpirata ſcriptura, ſicut ipſam diuinus Apoſtolus nominat, ſancti Spiritus eſt ſcriptura. Huius autem voluntas & intentio hominum eſt vtilitas. Omnis, inquit, ſcriptura diuinitus inſpirata & vtilis: *2.Tim.3.* varia autem & multiplex vtilitas, ſicut ait idem Apoſtolus, ad doctrinã, ad redargutionem, ad repreC henſionem, ad correptionem, ad diſciplinam, ſiue inſtitutionem quæ eſt in iuſtitia. Tale autem lucrum non in promptu eſt quibuſlibet ſumere. Sed veluti quodam inuolucro, corpore ſcripturæ quod diuinum eſt ſuboccultatur . . . quia videlicet legis alicuius ſanctio, vel rei geſtæ narratio prætendatur iis rebus quę mente debent intelligi. *Quædam ſunt in textu Græco interciſa.* Quocirca Apoſtolus dicit, eos in corde velum habere, *2.Cor.3.* nec poſſe ad legis ſpiritalis gloriam contueri, qui prohibentur per obductum faciei legiſlatoris velum. Ideo inquit, littera perimit, ſpiritus autem viuificat, oſtenD dens, quod ſæpe eorum quæ ſcripta ſunt primus qui occurrit ſenſus, niſi iuxta conuenientem interpretationem ſumatur, contrarium operatur ei vitæ quæ per ſpiritum ſubdemonſtratur, cùm ſpiritus quidem, id eſt, ſpiritualis ſcripturæ ſenſus, perfectionem virtutis in omni affectuum vacuitate hominibus imperet: *Lex inſtitiâ reos ſtatuit & morti addicit Euangelium cõfert iuſtitiam & vitam, quo etiam tendit legis ſenſus ſpiritalis, non literalis.* Littera verò ſiue ſcripturarum hiſtorica narratio alicubi etiam diſſentanearum ſiue abhorrentium quarumdam rerum contineat expoſitionem:

ac veluti naturæ affectionibus concurrere videatur, quibus ſi quis promptè attendat, mortis doctrinam literam faciet. Eorum igitur qui corporalius in ſcripta incidunt animi ſentiendi inſtrumentis obductum eſſe velamentum dicit. Qui verò ad id quod mente intelligitur, ſpeculationem conuertunt, veluti perſona quadam nudatam reuelari gloriam litera inuolutam. Quod autem altiore cogitatione inuenitur Dominum eſſe ait, qui quidem eſt ſpiritus: cum enim ad Dominum ſe conuerterit, velamen auferri dicit: Dominus autem ſpiritus eſt. Hoc autem dicit, ſeruituti literæ dominationem ſpiritus opponens: vt enim ei quod interficit, opponit id quod viuificat: ſic Dominum ſeruituti aduerſari facit. Ac ne confuſionem aliquam patiamur de Spiritu ſancto, dum docemur per vocem Domini ad vnigeniti opinionem adducti, propterea reſumptione ſermonem communit, & Dominum ſpiritum dicens, & ſpiritum Dominum appellans, vt per dignitatem dominationis, naturæ excellentiam demonſtret, & hypoſtaſios ſiue perſonæ proprietatem non confundat ſermone. Qui enim & Dominum ipſum & ſpiritum Domini dicit, proprium quid præter vnigenam intelligere docet: quemadmodum & alibi Chriſti ſpiritum dicit: hoc idem præclarè & myſticè, id eſt arcanè, & quod conſentaneè pium eſt, ſecundum Euangelicam traditionem deſignans. Sic nos qui omnium maximè miſerandi dicimur ab Apoſtolo, inſtituti ex litera quæ occidit, ad ſpiritum viuificatorem tranſimus, edocti ab eo qui in paradiſo arcana ineffabilia didicit, quòd quæcunque ſacra ſcriptura dicit, Spiritus ſancti ſint voces ſiue effata. *Act. ult.* Præclarè certè Spiritus ſanctus locutus eſt per Eſaiam Prophetam, prophetans patribus noſtris. Hoc ad Iudæos qui Romæ erant cum dixit, Eſaiæ voces infert. Et ad Hebræos cum præpoſuiſſet ſpiritum, in quibus ait, quapropter ſicut dicit Spiritus ille ſanctus, ſubijcit pſalmi verba, ex perſona Dei fusè & latè dicta. *Hebr. 3. Pſal. 94.* Et ab ipſo Domino

A καὶ οἱονεὶ συμπεριέχειν νομιζομένης τοῖς τῆς φύσεως πάθεσιν, οἷς εἴ τις προσέχοι κατὰ τὸ παρέχειν, θανάτου διδασκαλίαν τὸ γράμμα ποιήσεται. τῶν μὲν οὖν σωματικώτερον τοῖς γεγραμμένοις ἐντυγχανόντων, περιβεβλῆσθαι φησὶ, τῶν τῆς ψυχῆς αἰσθητηρίων τὸ κάλυμμα. τῶν δὲ εἰς τὸ νοητὸν τὴν θεωρίαν τρεπόντων, οἷον προσωπείου τινὸς γυμνωθεῖσαν ἀνακαλύπτεσθαι τὴν ἐγκειμένην δόξαν τῷ γράμματι. τὸ δὲ διὰ τῆς ὑψηλοτέρας κατανοήσεως εὑρισκόμενον, κύριον εἶναι B φησὶν, ὅπερ ἐστὶ πνεῦμα. ἡνίκα γὰρ ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖσθαι λέγει τὸ κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστι. λέγει δὲ τοῦτο, τῇ δουλείᾳ τοῦ γράμματος τὴν τοῦ πνεύματος ἀντιδιαιρῶν κυριότητα. ὡς γὰρ τῷ ἀποκτείνοντι τὸ ζωοποιοῦν ἀντιτίθεται· οὕτως ἀντιδιαστέλλει τὸν κύριον τῇ δουλείᾳ. καὶ ὡς ἂν μή τινα σύγχυσιν πάθοιμεν περὶ τοῦ ἁγίου πνεύματος διδασκόμενοι διὰ τῆς τοῦ κυρίου φωνῆς, πρὸς τὴν τοῦ μονογενοῦς ὑπόνοιαν ἐναγόμενοι· διὰ τοῦτο τῇ ἐπαναλήψει τὸν λόγον κατασφαλίζεται, καὶ κύριον τὸ πνεῦμα C εἰπὼν, καὶ πνεῦμα κυρίου προσαγορεύσας, ἵνα τῷ τιμίῳ τῆς κυριότητος, τὸ τῆς φύσεως ὑπερέχον ἐνδείξηται, καὶ τὸ τῆς ὑποστάσεως ἰδιάζον, μὴ συγχέῃ τῷ λόγῳ. ὁ γὰρ καὶ κύριον αὐτὸ, καὶ κυρίου πνεῦμα εἰπὼν, ἴδιόν τι παρὰ τὸν μονογενῆ διδάσκει νοεῖν· ὥσπερ καὶ ἑτέρωθι Χριστοῦ πνεῦμα λέγει· τὸ αὐτὸ τοῦτο καλῶς καὶ μυστικῶς, τὸ κατὰ τὴν ἀκολουθίαν τοῦ δόγματος εὐσεβὲς κατὰ τὴν εὐαγγελικὴν παράδοσιν ὑπογράφων. οὕτως ἡμεῖς οἱ πάντων ἐλεεινότατοι παρὰ τοῦ ἀποστόλου μυσταγωγούμενοι, ἐκ τοῦ ἀποκτείνοντος γράμματος D πρὸς τὸ ζωοποιοῦν μεταβαίνομεν πνεῦμα, μαθόντες παρὰ τοῦ μυηθέντος ἐν παραδείσῳ τὰ ἄρρητα· ὅτι ὅσα ἡ θεία γραφὴ λέγει, τοῦ πνεύματός εἰσι τοῦ ἁγίου φωναί. καλῶς γὰρ προεφήτευσε τὸ πνεῦμα τὸ ἅγιον τοῦτο πρὸς τοὺς κατὰ Ῥώμην Ἰουδαίους εἰπὼν, τὰς Ἡσαΐου φωνὰς ἐπιφέρει. καὶ πρὸς Ἑβραίους τὸ πνεῦμα προτάξας, ἐν οἷς φησὶν, ὅτι διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον ἐπάγει τὰ τῆς ψαλμωδίας ῥήματα, τὰ ἐκ προσώπου τοῦ Θεοῦ διεξοδικῶς εἰρημένα. καὶ παρ' αὐτοῦ δὲ τοῦ κυρίου

τὸ ἴσον ἐμάθομεν, ὅτι Δαβὶδ οὐκ ἐν ἑαυτῷ μένων, τουτέστιν οὐ κατὰ τὴν ἀνθρωπίνην φύσιν φθεγγόμενος, τὰ οὐράνια διεξῄει μυστήρια. πῶς γὰρ ἄν τις ἄνθρωπος ὤν, τὸν ἐπουράνιον διάλογον τοῦ πατρὸς πρὸς τὸν υἱὸν γνοίη; ἀλλ' ἐν πνεύματι ὤν, καὶ κύριον εἶπε τῷ κυρίῳ λαλεῖν ἃ εἴρηκεν. εἰ γὰρ Δαβὶδ ἐν πνεύματι, φησί, καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; οὐκοῦν τῇ δυνάμει τοῦ πνεύματος οἱ θεοφορούμενοι τῶν ἁγίων ἐμπνέονται. καὶ διὰ τοῦτο πᾶσα γραφὴ θεόπνευστος λέγεται, διὰ τὸ τῆς θείας ἐμπνεύσεως εἶναι διδασκαλίαν. εἰ περιαιρεθείη τὸ σωματικὸν τοῦ λόγου περικάλυμμα, τὸ λειπόμενον κύριός ἐστι, καὶ ζωὴ καὶ πνεῦμα, κατά τε τὸν μέγαν Παῦλον, καὶ κατὰ τὴν τοῦ εὐαγγελίου φωνήν. ὁ μὲν γὰρ Παῦλος τῷ ἐπιστρέψαντι ἐκ τοῦ γράμματος πρὸς τὸ πνεῦμα, οὐκέτι τὴν ἀναιροῦσαν δουλείαν, ἀλλὰ κύριον εἶπε καταλαμβάνεσθαι, ὃς τὸ ζωοποιὸν πνεῦμά ἐστι. τὸ δὲ ὑψηλὸν εὐαγγέλιον φησί· τὰ ῥήματα ἃ ἐγὼ λαλῶ πνεῦμά ἐστι καὶ ζωή, ὡς γυμνὰ ὄντα τοῦ σωματικοῦ περικαλύμματος. οὐσίαν δὲ τοῦ μονογενοῦς τὸ πνεῦμα νοεῖν, τοὺς ὀνειροπόλους ἂν φήσωμεν· μᾶλλον δὲ κατὰ περιουσίαν πολλὴν καὶ τοῖς ἐκείνων χρησόμεθα· καὶ διὰ τῶν ἐναντίων βελῶν καθοπλίσομεν τὴν ἀλήθειαν. ἔξεστι γὰρ συλλαγωγῆσαι παρὰ τῶν Ἰσραηλιτῶν τὸν Αἰγύπτιον, καὶ ποιῆσαι τὸν ἐκείνων πλοῦτον ἡμέτερον κόσμον. εἰ πνεῦμα λέγεται τοῦ υἱοῦ ἡ οὐσία, πνεῦμα δὲ καὶ ὁ Θεός. οὕτω γὰρ λέγει καὶ τὸ εὐαγγέλιον, καὶ ἡ τοῦ πατρὸς οὐσία πάντως λέγεται πνεῦμα. ἀλλὰ μόνον ἐκείνων λόγος ἐστί, τὰ ἀνομοίως προφερόμενα, καὶ κατὰ τὴν φύσιν ἀνομοίως ἔχειν, συνάγεται πάντως, τὰ ὡσαύτως λεγόμενα, μηδὲ κατὰ τὴν φύσιν ἠλλοτριῶσθαι πρὸς ἄλληλα. ἐπεὶ οὖν κατὰ τὸν λόγον αὐτῶν πνεῦμα λέγεται τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἡ οὐσία· τὸ μὴ εἶναι τῆς οὐσίας διαφορὰν, διὰ τούτων σαφῶς ἀποδέδεικται. μικρὸν γὰρ μετὰ ταῦτα φησὶν ὁ Εὐνόμιος. ὅτι τῶν διηλλαγμένων οὐσιῶν, διηλλαγμέναι πάντως καὶ αἱ σημαντικαὶ τῆς οὐσίας εἰσὶ προσηγορίαι. ἐφ' ὧν δὲ μία καὶ ἡ αὐτὴ φωνή, ἓν πάντως ἔσται καὶ τὸ τῇ αὐτῇ προσηγορίᾳ δηλούμενον.

A idem didicimus, quòd Dauid non in ſe manens, id eſt, non ſecundum humanam naturam perſonans cœleſtia annuntiabat myſteria. Quomodo enim quis homo exiſtens cœleſte colloquium patris cum filio nouiſſet? ſed ſpiritu afflatus dixit, etiam Dominum Domino loqui quæ dixit. Si enim Dauid in ſpiritu (inquit) vocat eum Dominum, quomodo filius eius eſt? Ergo numine afflati ſancti vates virtute Spiritus ſancti inſpirantur: & ideo omnis ſcriptura diuinitus inſpirata dicitur, quia ſit diuinæ inſpirationis doctrina. Si corporeum inuolucrum circum auferatur, B reliquum Dominus eſt, vita & ſpiritus, iuxta magnum Paulum & Euangelij vocem. Nam Paulus ei qui ſe à litera ad ſpiritum conuerterit, non amplius interficientem ſeruitutem, ſed Dominum dixit comprehendi, qui viuificus eſt ſpiritus. Sublime autem Euangelium dicit: verba quæ ego loquor, ſpiritus ſunt & vita, vt quæ nuda ſint & vacua corporali velamento. Eſſentiam autem vnigeniti ſpiritum intelligere ſomniorum interpretes dixerimus. Quin C etiam pro corollario illorum rationibus vtemur, & aduerſariorum telis veritatem armabimus. Licet enim Iſraëlitis Ægyptium deprædari & eorum diuitias ornatum noſtrum facere & noſtra. Si ſpiritus dicitur filij eſſentia, ſpiritus autem Deus, ſic enim ait Euangelium, atque etiam patris eſſentia prorſus dicitur ſpiritus. Sed ſolum illorum ratio hæc eſt, quod ea quæ diſſimiliter dicuntur etiam ſecundum naturam diſſimiliter ſe habere: concluditur prorſus quòd ea quæ eodem modo dicuntur, neque ſecundum naturam eſſe inter ſe alienata & diuerſa. Quoniam igitur ſe- D cundum rationem ipſorum, filij & patris eſſentia dicitur ſpiritus, non eſſentiæ differentiam eſſe, per hæc manifeſtò demonſtratum eſt. Paulò poſt verò ait Eunomius, [diſiunctarum eſſentiarum diſiunctæ ſunt prorſus eſſentiæ ſignificatiuæ appellationes. In quibus verò vna eademque vox, vnum penitus erit quod eadem appellatione declaratur.]

Matth. 22. Pſal. 109.

Ioan. 6.

Aduerſariorum tela in ipſos retorquet.

Verba Eunomij.

1. Cor. 3. ex Iob. 5. ex Eſa. 29. & c. 44. Quare per omnia qui corripit ſapientes in aſtutia ipſorum: longos labores ſcriptoris huius & infinitos ob elaborata ſudores ad noſtri dogmatis commendationem circunduxit. Si enim in Euangelio ſpiritus Deus dicitur: ſpiritus autem vnigeniti eſſentia ab Eunomio adſtruitur: cùm nulla ſubſit differentia nominis cum nomine, neque ſignificata prorſus ſub nominibus inter ſe ſecundum naturam different. Ac mihi videtur præclarè habere hanc imbellem & minimè lædentem vmbratilem pugnam deinceps ab ipſo conſcriptam, ad doctoris ſermonum accuſationem, inexpunctam ſiue inexcuſſam prætercurrere. Reprehenſio enim ſatis valida eſt & idonea vanitatis dictorum, ipſe ſermo per ſe clamans imbecillitatem. Talibus autem in lucta & certamine complicari, æquale eſt ei quod dicitur
Prouerb. mortuos rurſus occidere. in mortuos inſultare: Cùm enim multa confidentia & perſuaſione dictionem quandam doctoris expoſuiſſet, ante calumniatus & execratus, & pro nihilo eſſe ſe monſtraturum eſſe pollicitus, idem ei accidit quod ſtultis & infantibus, quibus imperfecta & nondum matura intelligentia, & inſtrumentorum ſenſuum imbecillitas non dat exactam eorum quæ apparent cognitionem: propterea ſæpe acerbum ſupra caput eſſe ſtellas ab ipſis præuiſas putantes, glebis quibuſdam præ puerili amentia lapidant. Deinde cum gleba cecidit, cum plauſu & riſu ad ſuos æquales gloriantur, ſublatis ceruicibus, perinde ac ſi ictus ad ſtellas ipſas perueniſſet. Talis eſt hic qui telo infantium veritatem percuſſit, qui tanquam quaſdam ſtellas ſuperlucentes illos doctoris ſermones prius expoſitos, ex proculcata & humi repente intelligentia, è terra terrenos & inſtabiles proiecit ſermones. Qui tantum ſublimati, quantum non habeant, vnde ceciderint caſu & temerè, ſuopte pondere ſubuerſi ſunt. Magni enim Baſilij dictio ſic ad
Verba D. Baſilij habētur libro 2. contra Eunomiū. verbum habet. [Etenim quis huic ſermoni mentis compos & ſobrius conſenſerit, quorum nomina ſunt differentia horum etiam eſſentias diſſidere,

A ὥστε διὰ πάντων ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, τοὺς μακροὺς πόνους τοῦ λογογράφου, καὶ τοὺς μυρίους ἐπὶ τοῖς πονηθεῖσιν ἱδρῶτας, πρὸς τὴν σύστασιν τοῦ καθ' ἡμᾶς δόγματος περιήγαγεν. εἰ γὰρ πνεῦμα μὲν ὁ Θεὸς ἐν τῷ εὐαγγελίῳ λέγεται· πνεῦμα δὲ τοῦ μονογενοῦς ἡ οὐσία παρὰ τοῦ Εὐνομίου κατασκευάζεται, τῷ ὀνόματι πρὸς τὸ ὄνομα μηδεμιᾶς οὔσης διαφορᾶς, οὐδὲ τὰ σημαινόμενα πάντως ὑπὸ τῶν ὀνομάτων ὑπ' ἀλλήλων κατὰ τὴν φύσιν διενεχθήσεται. κἀμοὶ δοκεῖ καλῶς ἔχειν
B τὴν ἄδραν ταύτην καὶ ἄπληκτον σκιομαχίαν τὴν ἐφεξῆς αὐτῷ συγγεγραμμένην, πρὸς κατηγορίαν τῶν τοῦ διδασκάλου λόγων, παραδραμεῖν ἀνεξέταστον. ἔλεγχος γὰρ ἱκανὸς τῆς τῶν εἰρημένων ἐστὶ ματαιότητος, αὐτὸς ὁ λόγος δι' ἑαυτοῦ βοῶν τὴν ἀσθένειαν. τὸ δὲ τοῖς τοιούτοις ἐν ἀγωνίᾳ συμπλέκεσθαι, ἴσον ἐστὶ, τῷ καὶ νεκροῖς ἐπεμβαίνειν. ἐκθέμενος γὰρ ἐκ πολλῆς πεποιθήσεως ῥῆσιν τοῦ διδασκάλου τινὰ, καὶ προδιαβαλὼν καὶ διαπτύσας, καὶ αὐτὴ τοῦ μηδενὸς εἶναι δείξειν
C ἐπαγγειλάμενος, ταυτὸν ἔπαθε τοῖς νηπίοις τῶν παίδων· οἷς τὸ ἀτελὲς καὶ ἄωρον τῆς διανοίας καὶ τὸ τῶν αἰσθητηρίων ἀγύμναστον, οὐκ ἀκριβῆ δίδωσι τῶν φαινομένων τὴν κατανόησιν· διὰ τοῦτο πολλάκις πικρὸν ὑπὲρ κεφαλῆς εἶναι τοὺς ἀστέρας νομίζοντες, βώλοις τισὶν ὑπὸ παιδικῆς ἀνοίας προφανέντας καταλιθάζουσιν. εἶτα καταπεσούσης τῆς βώλου, συνκρότῳ καὶ γέλωτι πρὸς τοὺς ἡλικιώτας μεγαλαυχοῦσιν, ὡς ἐπ' αὐτοὺς τοὺς ἀστέρας τῆς βολῆς ἐνεχθείσης. τοιοῦτος ὁ τῷ βέλει
D τῶν νηπίων τὴν ἀλήθειαν βαλών. ὃς καθάπερ ἀστέρας τινὰς τοὺς ὑπερλαμπεῖς ἐκείνους τοῦ διδασκάλου προεκτεθειμένους λόγους, χαμόθεν ἐκ τῆς πεπατημένης καὶ χαμαιρρίπους διανοίας, τοὺς γεώδεις τε καὶ ἀστάτους ἔρριψεν λόγους· οἳ τοσοῦτον ὑψωθέντες, ὅσον μὴ ἔχειν ὅθεν πέσωσιν αὐτομάτως, τῷ ἑαυτῶν βάρει περιετράπησαν. ἡ μὲν γὰρ τοῦ μεγάλου Βασιλείου ῥῆσις οὕτως κατὰ τὴν λέξιν ἔχει. καί τοι τίς ἂν τῷ λόγῳ τούτῳ σωφρονῶν προσθοῖτο· ὅτι ὧν τὰ ὀνόματα ἐστὶ διάφορα, τούτων παρηλλάχθαι καὶ τὰς

οὐσίας ἀνάγκη. Πέτρου γὰρ καὶ Παύλου, καὶ ἅπαξ ἁπλῶς, ἀνθρώπων προσηγορίαι μὲν διάφοροι· οὐσία δὲ πάντων μία. διόπερ ἐν τοῖς πλείστοις οἱ αὐτοὶ ἀλλήλοις ἐσμέν, τοῖς δὲ ἰδιώμασι μόνοις τοῖς περὶ ἕκαστον θεωρουμένοις, ἕτερος ἑτέρου διενηνόχαμεν. ὅθεν καὶ προσηγορίαι οὐχὶ τῶν οὐσιῶν εἰσὶ σημαντικαί, ἀλλὰ τῶν ἰδιοτήτων, αἳ τὸν καθ' ἕνα χαρακτηρίζουσιν. ὅταν οὖν ἀκούσωμεν Πέτρου· οὐ τὴν οὐσίαν αὐτοῦ νοοῦμεν ἐκ τοῦ ὀνόματος, οὐσίαν δὲ λέγω νῦν, οὐ τὸ ὑλικὸν ὑποκείμενον, ἀλλὰ τῶν ἰδιωμάτων τῶν περὶ αὐτὸν θεωρουμένων τὴν ἔννοιαν ἐντυπούμεθα· ταῦτα μὲν ὁ μέγας φησίν. ὁ δὲ μαχόμενος τοῖς εἰρημένοις, οἷα κέχρηται καθ' ἡμῶν τῇ εὐστοχίᾳ, ὅτῳ σχολὴ τοῖς ἀνοήτοις ἐνδιατρίβειν, ἐξ αὐτῆς τῆς Εὐνομίου τῆς συγγραφῆς διδασκέσθω. οὐ γάρ μοι φίλον τοῖς ἐμοῖς παρενθεῖναι πόνοις τὴν ναυτιώδη φλυαρίαν τοῦ ῥήτορος, καὶ τὸ ἀμαθὲς αὐτοῦ καὶ ἄνουν, διὰ μέσου τῶν ἐμῶν λόγων ἐνστηλιτεύεσθαι. ἔπαινον γάρ τινα διεξέρχεται λόγων τῶν σημαντικῶν, τὸ ὑποκείμενον φανερούντων. καὶ διὰ τῆς συνήθους ἑαυτῷ λέξεως συντίθησι καὶ διακολλᾷ τὰ ἐν τριόδοις ἀπερριμμένα τῶν λεξειδίων ῥακώματα. καὶ πάλιν ὁ τλήμων Ἰσοκράτης περιεσθίεται ῥήματά τε καὶ σχήματα πρὸς τὴν σύνθεσιν τῆς προκειμένης παρατιλλόμενος. ἔστι δὲ ὅπου καὶ ὁ Ἑβραῖος Φίλων τὰ ἴσα πάσχει, ἐκ τῶν ἰδίων πόνων συνερανίζων αὐτῷ τὰ λεξείδια· καὶ οὐδ' οὕτως ἐξείργασται τὸ πολυκέντητον τοῦτο καὶ πολύχρωμον τῶν λόγων ἐξύφασμα· ἀλλὰ πᾶν τὸ ἐπιχείρημα, καὶ πᾶσα προβολὴ νοημάτων, καὶ πᾶσα παρασκευὴ τεχνική, αὐτὴ περὶ ἑαυτὴν κατερρύη· καὶ οἷόν τι περὶ τὰς πομφόλυγας συμβαίνειν εἴωθεν· ὅταν πρός τινα σύστασιν ὑδάτων ἄνωθεν αἱ σταγόνες φερόμεναι, τὰς ἀφρώδεις ἐπαναστάσεις ἐργάζωνται, αἳ ὁμοῦ τε συνέστησαν, καὶ παραχρῆμα διέπεσον, μηδὲν τῆς ἰδίας συστάσεως τοῖς ὕδασιν ἴχνος ὑπολειπόμεναι· τοιαῦται τῶν τοῦ λογογράφου νοημάτων αἱ φυσαλίδες, ὁμοῦ τῷ προβληθῆναι δίχα τῶν ἁπτομένων καταςβεννύμεναι. μετὰ γὰρ τὰς ἀλύτους ἐκείνας κατασκευάς,

A neceſſe eſt. Nam Petri, & Pauli, & vt ſemel dicam, omnium hominum appellationes quidem ſunt differentes: omnium tamen eſſentia vna. Quocirca in plurimis iidem inter nos ſumus, ſolis autem proprietatibus quæ in ſingulis conſiderantur alij ab aliis differimus. Ideóque ſequitur appellationes quæ ſingulos deſignant & notant, non eſſe eſſentiarum ſignificatrices ſed proprietatum. Cùm igitur audierimus hoc nomen Petrum: non eſſentiam eius hoc nomine mente concipimus: eſſentiam B autem nunc dico non materiale ſubiectum, ſed proprietatum quæ in ipſo ſpectantur notitiam informamus.] Hæc igitur magnus dicit: Qui autem dictis repugnat, quali contra nos vtitur ſolertia, cui abundè vacat inutilibus & friuolis tempus & otium conterere, ex ipſa Eunomij conſcriptione licet cognoſcere. Non enim mihi volupe eſt meis inſerere laboribus nauſeoſam huius oratoris loquacitatem, inſcitiámque ipſius & amentiam in medio meorum ſermonum notare & inſectari: Encomium enim & laudem neſcio quam C exponit eorum verborum quæ ſignificantiora ſunt, & ſubiectum magis declarant, & vſitata ſibi dictione componit & compingit in triuiis quædam dictiuncularum ſcruta, & lacera veſtimenta. Rurſúſque infelix Iſocrates conſumitur & corroditur, verba & figuras ad compoſitionem propoſitæ ſibi dictionis depilans & deglabrans. Interdum etiam quod Hebræus Philo, idem patitur ex propriis laboribus dictiunculas ſibi complanans: ſed neque ſic adhuc perfectè elaboratus eſt ipſi variis coloribus depictus & diſtinctus D ſermonum textus, ſed omne argumentum, & omnis petitio, ſiue intentio notionum, atque omnis artificioſa præſtructio ipſa, circa ſeipſam defluxit: & quale quid circa bullas ſolet contingere, cùm in aliquam aquarum congeriem deſuper ſtillantes guttæ decidunt, ſpumoſas eruptiones efficiunt, quæ ſimulátque extumuerint, repentè dilapſæ cadunt, nullum propriæ conſiſtentiæ in aquis veſtigium ſubinde relinquentes: tales huius ſcriptitatoris notionum ampullæ, quæ ſimulátque proiectæ fuerint, nullis tangentibus extinguuntur. Nam poſt illos inſolubiles apparatus,

Iſocratei tres penè Olympiadas cõſumpſit ſcribẽda oratione panegyrica. Vide Plut. de gloria Athen.

& philoſophiam in ſomnis apparentem, per quam nominum differentiis aſſeruit diuiſam eſſentiam comprehendi: velut quidam ſpumoſus tumor per fluxum qui abducitur alicui corpori duriori illius dilabitur: ſic incaſſum & temerè dum fertur oratio, & ex improuiſo in veritatem allapſa, hanc inſtabilem & ampullarem mendacij conſtitutionem in nihilum diſſipauit. His enim verbis dicit. Quis ita ſtupidus & vecors, & humanitatis exors, vt de hominibus differens, hunc quidem hominem, illum vero equum dixerit, ipſorum comparatione facta? At ego ipſi dixerim. Præclarè nominas ſtolidum & hebetem, & bardum ſic circa voces aberrantem: & ad veritatis patrocinium te vtar teſte. Si enim eſt extremę ſtoliditatis & fatuitatis, hunc quidem equum, illum vero hominem dicere, ſiquidem verè ambo eſſent homines: æqualis prorſus ſtuporis eſt cum Deus quidem pater, Deus verò filius eſſe credatur, hunc quidem creatum, illum verò increatum affirmare, cùm nec illic humanitas nec hic diuinitas, ad id quod diuerſi generis eſt nominis, peruerſionẽ poſſit admittere. Quod enim eſt rationis expers ad hominem, hoc etiam creatura ad diuinitatem, cùm ex æquo non poſſit admittere eandem cum producente rationem. Et quemadmodum non poteſt eadem definitio congruere rationis participi, & quadrupedi: diſtat enim alterum ab altero naturaliter ſua peculiari proprietate: ſic neque creatam & increatam eſſentiam per eadem interpretaberis: cum ea quæ de iſta dicuntur eſſentia, non inueniantur in alia: ſicut enim in equo rationale non inuenitur; neque in homine, quod vnam ſolidámque habet vngulam: ſic neque in creatura diuinitas, neque in diuinitate per creationem eſſe comperitur. Sed ſi Deus eſt, etiam prorſus increatus: ſi creatus eſt, non eſt Deus. Niſi quis vſu quodam & conſuetudine loquendi tenue nomen diuinitatis ad creaturam trahat, quemadmodum & equis quibuſdam humana nomina ab equeſtribus ſunt indita: ſed neque equus homo, etſi humana appellatione nominatur, neq. creatura Deus, quamuis ei quidam vocem diuinitatis attribuant, ſonum inanem in ſyllabarum dualitate gratificantes. Quoniam igitur

A καὶ τὴν ἐνύπνιον φιλοσοφίαν, δι' ἧς ταῖς τῶν ὀνομάτων παραλλαγαῖς τὸ διηρημένον εἶπε τῆς οὐσίας καταλαμβάνεσθαι. καθάπερ τις ἀφρώδης ὄγκος κατὰ ῥοῦν ἀπαγόμενος, ἐνσείσας τινὶ τῶν στερεοτέρων διέπεσεν· οὕτω κατὰ τὸ αὐτόματον ὁ λόγος φερόμενος, καὶ ἀπροόπτως τῇ ἀληθείᾳ προσενεχθεὶς, τὴν ἀνυπόστατον ταύτην καὶ πομφολυγώδη τοῦ ψεύδους σύστασιν εἰς τὸ μὴ ὂν διεσκέδασεν. λέγει γὰρ τοῖς ῥήμασι τούτοις· τίς οὕτως ἠλίθιος, καὶ τῆς ἀνθρωπίνης καταστάσεως ἐκτὸς, ὡς περὶ ἀνθρώπων διαλεγόμενος, B τὸν μὲν εἰπεῖν ἄνθρωπον, τὸν δὲ ἵππον, καλῶν σύγκρισιν. εἴποιμι ἂν πρὸς αὐτὸν ἐγώ. καλῶς ὀνομάζεις ἠλίθιον, τὸν οὕτως περὶ τὰς φωνὰς ἁμαρτάνοντα. ᾧ χρήσομαι πρὸς συνηγορίαν τῆς ἀληθείας μάρτυρι σοί. εἰ γὰρ τῆς ἐσχάτης ἐστὶν ἠλιθιότητος, τὸν μὲν ἵππον, τὸν δὲ ἄνθρωπον λέγειν, εἴπερ ἄνθρωποι κατὰ ἀλήθειαν εἶεν ἀμφότεροι· τῆς ἴσης πάντως παραπληξίας ἐστὶ, Θεοῦ μὲν τοῦ πατρὸς, Θεοῦ δὲ τοῦ υἱοῦ εἶναι πεπιστευμένου, τὸν μὲν κτιστὸν, τὸν δὲ ἄκτιστον λέγειν, ὡς ἐκεῖ τῆς ἀνθρωπότητος, οὕτω καὶ ἐνταῦθα τῆς θεότητος οὐκ ἐπιδεχομένης τὴν πρὸς C τὸ ἑτερογενὲς παρατροπὴν τοῦ ὀνόματος. ὃ γάρ ἐστι τὸ ἄλογον πρὸς τὸν ἄνθρωπον, τοῦτο καὶ ἡ κτίσις πρὸς τὴν θεότητα, κατὰ τὸ ἴσον μὴ δυναμένη τὸν αὐτὸν ἐπιδέξασθαι τῷ παράγοντι λόγον. καὶ ὡς οὐκ ἔστι τὸν αὐτὸν ἐφαρμόσαι ὅρον τῷ λογικῷ τε καὶ τῷ τετράποδι· διίστανται γὰρ φυσικῶς ἑκάτερον ἀπὸ τοῦ ἑτέρου τῷ ἰδιάζοντι, οὕτως οὐδὲ τὴν κτιστήν τε καὶ ἄκτιστον οὐσίαν διὰ τῶν αὐτῶν ἑρμηνεύσεις, τῶν ἐπὶ ταύτης λεγομένων τῆς οὐσίας, οὐκ ἐφευρισκομένων τῇ ἄλλῃ· ὡς γὰρ οὐχ εὑρίσκεται τὸ λογικὸν ἐν ἵππῳ, οὐδὲ ἐν ἀνθρώπῳ τὸ μονώνυχον· οὕτως οὔτε τῇ κτίσει D ἡ θεότης, οὔτε τῇ θεότητι τὸ διὰ κτίσεως εἶναι. ἀλλ' εἰ Θεὸς, πάντως καὶ ἄκτιστος, εἰ δὲ κτιστὸς, οὐ Θεός. εἰ μή τις ἄρα διὰ χρήσεώς τινος καὶ συνηθείας λόγων, ψιλὸν ἐπὶ τὴν κτίσιν ἄγει τὸ τῆς θεότητος ὄνομα, καθάπερ καὶ ἵπποις τισὶ τὰ ἀνθρώπινα τῶν ὀνομάτων παρὰ τῶν ἱππικῶν ἐπιβέβληται· ἀλλ' οὔτε ὁ ἵππος ἄνθρωπος, κἂν ἀνθρωπίνῃ προσηγορίᾳ κατονομάζηται, οὔτε τὸ κτίσμα Θεὸς, κἂν προσμαρτυρῶσιν αὐτῷ τινὲς τὴν φωνὴν τῆς θεότητος, φθόγγον διάκενον ἐν δυάδι συλλαβῶν χαριζόμενοι. ἐπεὶ οὖν

συνηνέχθη κατὰ τὸ αὐτόματον ὁ τῆς αἱρέσεως λόγος πρὸς τὴν ἀλήθειαν, αὐτὸς ἑαυτῷ συμβουλευσάτω τοῖς οἰκείοις ἐμμένειν· καὶ μηδ' ἐν τρόπῳ τὰς ἑαυτοῦ φωνὰς ἀνατίθεσθαι, ἀλλὰ τῷ ὄντι νομίζειν ἠλίθιον εἶναι καὶ παρεξεστηκότα, τὸν τὸ ὑποκείμενον μὴ ὡς ἔστιν ὀνομάζοντα, ἀλλ' ἀντὶ ἀνθρώπου ἵππον, καὶ ἀντὶ οὐρανοῦ θάλασσαν, καὶ ἀντὶ Θεοῦ λέγοντα κτίσμα· καὶ μηδεὶς οἰέσθω παρὰ λόγον ἀντιδιαιρεῖσθαι τῷ Θεῷ τὴν κτίσιν, ἀλλὰ πρὸς τοὺς προφήτας καὶ πρὸς τοὺς ἀποστόλους βλεπέτω. ὁ μὲν γὰρ προφήτης φησὶν ἐκ προσώπου τοῦ πατρὸς, ὅτι ἡ χείρ μου ἐποίησε πάντα ταῦτα, χεῖρα τὴν τοῦ μονογενοῦς δύναμιν τῷ αἰνίγματι λέγων. ὁ δὲ ἀπόστολος ἐκ τοῦ πατρὸς εἶναι τὰ πάντα, καὶ διὰ τοῦ υἱοῦ τὰ πάντα λέγει· συμβαίνει δέ πως τὸ προφητικὸν πνεῦμα τῇ ἀποστολικῇ διδασκαλίᾳ καὶ ταύτῃ διὰ τοῦ πνεύματος γινομένῃ. ἐκεῖ τε γὰρ τὰ πάντα τῆς χειρὸς ἔργα τοῦ ἐπὶ πάντων ὁ προφήτης εἰπὼν, διαστέλλει τὴν τῶν γεγονότων φύσιν πρὸς τὸν πεποιηκότα. ὁ δὲ ποιήσας ἐστὶ διὰ τῆς ἰδίας χειρὸς τὰ πάντα, ὁ ἐπὶ πάντων Θεός· τὴν μὲν χεῖρα ἔχων, τὰ δὲ πάντα δι' αὐτῆς ἐργαζόμενος. καὶ ἐνταῦθα πάλιν ὁ ἀπόστολος τὴν αὐτὴν ποιεῖται τῶν ὄντων τομήν· τὰ πάντα μὲν τῆς ποιητικῆς ἐξάπτων αἰτίας, οὐκ ἐν τοῖς πᾶσι δὲ τὸ ποιοῦν ἐξαριθμήσας· ὡς σαφῶς διὰ τούτων τὸ τῆς φύσεως διάφορον τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον διδαχθῆναι. καὶ ἄλλο μὲν τὸ ποιοῦν κατὰ τὴν ἰδίαν φύσιν, ἕτερον δὲ τὸ γινόμενον δείκνυσθαι. ἐπεὶ οὖν τὰ πάντα ἐκ τοῦ Θεοῦ, Θεὸς δὲ ὁ υἱός· καλῶς ἡ κτίσις ἀντιδιαστέλλεται τῇ θεότητι, τοῦ δὲ μονογενοῦς ἄλλο τι παρὰ τὴν τῶν πάντων ὄντων φύσιν· καὶ οὐδὲ τῶν μαχομένων τῇ ἀληθείᾳ πρὸς τοῦτο ἐνισταμένων. ἀνάγκη πᾶσα καὶ τῷ υἱῷ κατὰ τὸ ἴσον ἀντιδιαιρεῖσθαι τὴν κτίσιν. εἴπερ μὴ ψεύδονται δι' αὐτοῦ γεγενῆσθαι τὰ πάντα τῶν ἁγίων αἱ φωναὶ μαρτυρούμεναι. Θεοῦ τοίνυν τοῦ μονογενοῦς ἐν ταῖς θείαις κηρυσσομένου γραφαῖς, νοησάτω τὸν ἴδιον λόγον ΕΥνόμιος, καὶ καταγνώτω πᾶσαν ἠλιθιότητα τοῦ τὸ θεῖον τῷ κτιστῷ καὶ ἀκτίστῳ καταμερίζοντος· καθ' ὁμοιότητα τοῦ τὸν ἄνθρωπον εἰς ἵππον διαιροῦντος καὶ ἄνθρωπον. λέγει γὰρ αὐτὸς μετὰ τὴν διὰ μέσου φλυαρίαν μικρὸν ὑποβάς, ὅτι ἀμετάθετος ἡ προσφυὴς τῶν ὀνομάτων πρὸς τὰ πράγματα σχέσις. τοῦτο

A temerè & fortuitò hæreſeos ſermo veritati conſenſit, ipſe ſibi conſulat propriis immanere: nec per tropum ſiue figuram ſuas voces attribuere, ſed verè & realiter exiſtimare ſtolidum eſſe, neque ſui compotem, eum qui non vt eſt ſubiectum nominat, ſed pro homine equum, & pro cœlo mare, & pro Deo creaturam dicendo; Et ne quis exiſtimet, præter rationem creaturam Deo ex aduerſo opponi, ſed ad prophetas, & ad Apoſtolos reſpiciat. Nam Propheta inquit ex *Eſa. 48.* perſona patris, Manus mea hæc omnia fecit, per manum, vnigeniti virtutem
B obſcurè ſignificans. Apoſtolus vero ex patre eſſe omnia, & per filium omnia dicit: propheticus autem ſpiritus conſentit apoſtolicæ doctrinæ, quæ etiam per eundem ſpiritum facta eſt. Illic enim omnia opera manus eius qui eſt in omnibus propheta cum dixit, naturam eorum quæ facta ſunt, ab eo qui fecit diſtinguit ac ſeparat. Qui autem manu propria fecit omnia, is eſt ſuper omnia Deus; manum quidem habens, omnia verò per ipſam operatus. Et hîc quidem Apoſtolus eandem eorum quæ
C ſunt ſectionem facit: omnia quidem cauſæ effectrici adnectens, non in omnibus autem id quod efficit annumerans: ita vt liquido & clarè per hæc naturæ creati & increati differentia rectè doceatur. Et aliud quidem quod efficit ſecundum propriam naturam, aliud verò quod gignitur demonſtretur. Quoniam igitur omnia à Deo, Deus autem filius: præclarè creatura diuinitati ex aduerſo apponitur, vnigeniti autem natura aliud quiddam & diuerſum verè eſt ab omnium quæ facta ſunt natura: cùm neque hi qui veritati aduerſantur
D hoc inficientur. Neceſſe eſt omnino ſimiliter filio creaturam ex aduerſo opponi. Siquidem non mentiuntur ſanctorum voces teſtantes per ipſum facta eſſe omnia. Cùm igitur Deus vnigenitus in diuinis ſcripturis prædicetur, ſuum ſermonem intelligat Eunomius, atque omnis ſtuporis & vecordiæ condemnet eum qui diuinitatem in id quod creatum eſt & increatum diſtribuit: ſecundum ſimilitudinem eius qui diuidit hominem in equum & in hominem: dicit enim ipſe poſt nugatoriam loquacitatem quæ eſt in medio, paululum progreſſus, [quod immutabilis nominum cognata cum rebus relatio.] hoc *Verba Eunomij.*

etiam ipſe ratione comprobans, quia ſit firma, vera appellationum cum ſubiecto familiaritas. Si igitur nomen diuinitatis vnigenito Deo adhæſè & coniunctè impoſitum eſt, aſſentietur autem omnibus, & ſi velit nobiſcum dimicare & colluctari non mentiri ſcripturam, neque diſſonantem à natura vnigenito imponi diuinitatis nuncupationem, ſibi ipſe ex ſuis ſcriptis perſuadeat. Quod ſi immutabilis adhærens nominum ad res relatio, Deus autem & Dominus dicitur, non poteſt differentiam aliquam ſecundum diuinitatis notitiam in filio & in patre mente percipere: ſiquidem in ambobus commune eſt hoc nomen: immo verò non hoc ſolum, ſed longa eſt nominum recenſio, quibus vnigenitus cum patre immutabiliter & indifferenter nominatur, bonus, incorruptibilis, iuſtus, iudex, longanimis, miſericors, æternus, ſempiternus, & quæcunque magnificæ naturæ & potentiæ ſignificantiam oſtendunt: cum nulla fiat in eo ſubſtractio, ſecundum ſublimitatem intelligentiæ in aliquo nominum. Sed tantum diuinarum appellationum nominum, veluti conniuenti oculo præteriens, ad vnum ſolum reſpicit, genitum & ingenitum, tenui & infirmo funiculo, quod fluctuat & circumfertur erroris flatibus, dogma committens: dicit enim, [neminem, qui veritatis curam habeat genitorum quicquam nominare ingenitum, neque eum qui eſt in omnibus Deus, Filium vel genitum,] hoc autem non amplius noſtris indiget ſermonibus ad redargutionem: non enim velamentis quibuſdam pro ſuo more dolum contegit: ſed abſurdo ſimilem facit inuerſionem, dum dicit, neque genitorum quicquam dici ingenitum, neque qui eſt in omnibus Deus, filium, vel genitum nominari: nihil propriè & peculiariter vnigeniti filij diuinitati à reliquis quæ per creationem facta ſunt, tribuens & ſecernens, ſed æqualem facit eorum omnium quæ per generationem facta ſunt cum Deo differentiã, ab omnibus non excepto filio. Et per abſurdorum certè inuerſionem manifeſtè filium à diuina natura abſtrahit, cùm dicit, neque genitorum quicquam ingenitum, neque Deum, filium vel genitum dici. Hac oppoſitorum diuiſione horribilem

Verba Eunomij.

A καὶ αὐτὸς ἐπιψηφίζων τῷ λόγῳ, τὸ πάγιον εἶναι τὴν ἀλήθειαν τῆς προσηγορίας πρὸς τὸ ὑποκείμενον οἰκειότητα. εἰ οὖν τὸ τῆς θεότητος ὄνομα τῷ μονογενεῖ Θεῷ προσφυῶς ἐπικέκληται, συνθήσεται δὲ πάντως, κἂν πρὸς ἡμᾶς ἐθέλῃ διαπληκτίζεσθαι, τὸ μὴ ψεύδεσθαι τὴν γραφὴν μηδὲ ἀπᾴδουσαν τῆς φύσεως ἐπικεῖσθαι τῷ μονογενεῖ τὴν τῆς θεότητος κλῆσιν, πεισάτω διὰ τῶν ἰδίων ἑαυτόν. ὅτι εἰ ἀμετάθετος ἡ προσφυὴς τῶν ὀνομάτων πρὸς τὰ πράγματα σχέσις, Θεὸς δὲ ὁ κύριος λέγεται, οὐ

B δύναται διαφοράν τινα κατὰ τὴν τῆς θεότητος ἔννοιαν ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἐννοῆσαι· ἐπείπερ κοινὸν ἐπ' ἀμφοτέρων οὗτο τὸ ὄνομα· μᾶλλον δὲ οὐχὶ τοῦτο μόνον, ἀλλὰ πολύς ἐστιν ὀνομάτων κατάλογος, οἷς ἀπαραλλάκτως ὁ μονογενὴς τῷ πατρὶ συνονομάζεται, ἀγαθός, ἄφθαρτος, δίκαιος, κριτής, μακρόθυμος, ἐλεήμων, ἀΐδιος, ἀτελεύτητος· πάντα ὅσα τοῦ μεγαλείου τῆς φύσεώς τε καὶ τῆς δυνάμεως τὴν σημασίαν ἐνδείκνυται, οὐδεμιᾶς ὑποστολῆς κατὰ τὸ ὑψηλὸν τῆς ἐννοίας ἔν τινι τῶν ὀνομάτων ἐπ' αὐτοῦ γινομένης,

C ἀλλὰ τὸν τοσοῦτον ἀριθμὸν τῶν θείων προσηγοριῶν οἷον μεμυκότι τῷ ὀφθαλμῷ παροδεύων, πρὸς ἓν μόνον διαβλέπει, τὸ γεννητὸν καὶ ἀγέννητον, λεπτῷ τε καὶ ἀσθενεῖ τῷ πείσματι, τὸ κλυδωνιζόμενόν τε καὶ περιφερόμενον, τοῖς πνεύμασι τῆς πλάνης δόγμα πιστεύσας· φησὶ γὰρ μηδένα τῶν ἀληθείας πεφροντικότων, οὔτε τῶν γεννητῶν οὐδὲν ὀνομάζειν ἀγέννητον, οὔτε τὸν ἐπὶ πάντων Θεόν, υἱόν, ἢ γεννητόν. τοῦτο δὲ οὐκέτι τῶν ἡμετέρων ἐπιδεῖται λόγων πρὸς ἔλεγχον. οὐδὲ γὰρ περικαλύμμασί τισι κατὰ τὸ σύνηθες

D αὐτῷ περιεσκέπασε τὸν δόλον· ἀλλ' ἴσην ποιεῖται τοῦ ἀτόπου τὴν ἀναστροφήν, ἐν τῷ λέγειν, μήτε τῶν γεννητῶν λέγεσθαί τι ἀγέννητον, μήτε τὸν ἐπὶ πάντων Θεὸν υἱὸν ἢ γεννητὸν ὀνομάζεσθαι. οὐδὲν κατὰ τὸ ἰδιάζον τῇ μονογενεῖ τοῦ υἱοῦ θεότητι παρὰ τὰ λοιπὰ τῶν γεννητῶν ἀποκρίνας, ἀλλ' ὁμοτίμως ποιεῖται τὴν πρὸς Θεὸν διαστολὴν πάντων τῶν γεγονότων· οὐκ ἐξελὼν τὸν υἱὸν τῶν πάντων. καὶ διὰ τῆς τῶν ἀτόπων δῆθεν ἀναστροφῆς, φανερῶς τὸν υἱὸν τῆς θείας ἀφίστησι φύσεως, λέγων μήτε τι τῶν γεννητῶν ἀγέννητον, μήτε τὸν Θεὸν υἱὸν ἢ γεννητὸν λέγεσθαι. τῇ ἀντιδιαιρέσει σαφῶς τὸ φρικτὸν ἐκκαλύπτων,

πῶσαν τὴν βλασφημίαν· διαστείλας γὰρ τὰ γενητὰ πρὸς τὸ ἀγέννητον, ἐν τῇ κατὰ τὸ ἀντίστροφον ἐπαγωγῇ οὐκέτι τὸν ἀγέννητον, ἀλλὰ τὸν Θεὸν εἶπεν υἱὸν ἢ γεννητὸν ἀδύνατον εἶναι λέγειν, δεικνὺς διὰ τῶν εἰρημένων, ὅτι τὸ μὴ ἀγέννητον Θεὸς οὐκ ἔστι, καὶ ὅτι τοσοῦτον ἀπέχει ὁ μονογενὴς Θεὸς διὰ τὸ γεννητὸν εἶναι τοῦ εἶναι Θεὸς, ὅσον καὶ ὁ ἀγέννητος τοῦ γεννητὸς εἶναι ἢ λέγεσθαι. οὐ γὰρ ἀγνοίᾳ τῆς κατὰ τὸν λόγον ἀκολουθίας ἀσύμφωνόν τε καὶ ἀνάρμοστον ποιεῖται τὴν τεθέντων τὴν ἀναστροφὴν, ἀλλὰ κακουργῶν τὸν τῆς εὐσεβείας τὸν λόγον, ἀντιδιαστέλλει B τῷ γεννητῷ τὴν θεότητα, τοῦτο δι' ὧν λέγει κατασκευάζων, ὅτι τὸ μὴ ἀγέννητον Θεὸς οὐκ ἔστιν. ἡ γὰρ ἀληθὴς ἀκολουθία τοῦ λόγου τίς ἦν; εἰπόντα μηδὲν τῶν γεννητῶν εἶναι ἀγέννητον, ἐπαγαγεῖν ὅτι οὐδ' εἴ τι κατὰ φύσιν ἐστὶν ἀγέννητον, γεννητὸν εἶναι δύναται. ὁ γὰρ τοιοῦτος λόγος, καὶ τὸ ἀληθὲς ἔχει, καὶ τῆς βλασφημίας κεχώρισται. νῦν δὲ τῷ προθεῖναι μὲν ὅτι τῶν γεννητῶν οὐδὲν ἐστιν ἀγέννητον, ἐπαγαγεῖν δὲ ὅτι οὐδὲ γεννητὸς ὁ Θεὸς, σαφῶς τοῦ εἶναι Θεὸν τὸν μονογενῆ Θεὸν C ἀφορίζει· διὰ τοῦ μὴ ἀγέννητον αὐτὸν εἶναι, τὸ μηδὲ Θεὸν αὐτὸν εἶναι κατασκευάζων. ἆρ' οὖν ἑτέρων ἔτι πρὸς ἀπόδειξιν τῆς ἐκτόπου ταύτης βλασφημίας τῶν ἐλέγχων δεόμεθα; καὶ οὐκ ἀρκεῖ τοῦτο μόνον ἀντὶ στήλης γενέσθαι τῷ Χριστομάχῳ, τῷ κατασκευάζοντι διὰ τῶν εἰρημένων μὴ εἶναι Θεὸν τὸν ἐν ἀρχῇ ὄντα λόγον Θεόν. τί οὖν ἔτι χρὴ πρὸς τοὺς τοιούτους συμπλέκεσθαι; οὐδὲ γὰρ τοῖς περὶ τὰ εἴδωλα καὶ τὸν ἐπιβώμιον λύθρον ἀσχολουμένοις διαπλεκόμεθα, οὐχὶ τῷ συντίθεσθαι τῇ D ἀπωλείᾳ τῶν εἰδωλομανούντων, ἀλλὰ τῷ βαρυτέραν εἶναι τὴν νόσον αὐτῶν τῆς παρ' ἡμῶν θεραπείας. ὥσπερ τοίνυν τῆς εἰδωλολατρείας αὐτὸ καταμηνύει τὸ ἔργον, καὶ προλαμβανόντων τῶν κατηγόρων τὸν ἔλεγχον τὸ κακὸν ἐν παρρησίᾳ τολμώμενον. οὕτω καὶ ἐνταῦθα σιγᾶν οἶμαι δεῖν τὸν τῆς εὐσεβείας συνήγορον, πρὸς τὸν βοῶντα καθ' ἑαυτοῦ περιφανῶς τὴν ἀσέβειαν. καθάπερ καὶ ἐπὶ τῶν τοῖς καρκινώδεσι πάθεσι κεκρατημένων ἄπρακτος ἡ ἰατρεία μένει, διὰ τὸ ὑπερισχύειν τῆς τέχνης τὴν νόσον.

A blaſphemiam apertè recludens: cum enim ea quæ facta ſunt ab ingenito diſtinxiſſet, mox in ea quæ per inuerſionem fit inductione, non amplius ingenitum, ſed Deum dixit filium vel genitum nullo poſſe modo dici, per hæc dicta demonſtrans, quòd illud quod non eſt ingenitum, non eſt Deus. Et quòd tantum abeſt, vt vnigenitus Deus ſit Deus, quia ſit genitus, quantum etiam ingenitus vt ſit genitus vel dicatur. Nec enim ignoratione eius quæ ſecundum rationem eſt conſequẽtiæ, inconcinnam & incongruam facit poſitorum inuer- B ſionem, ſed malitioſè & doloſè pietatis ſermonem deprauans, opponit genito diuinitatem, hoc per ea quæ dicit præſtruens: quòd illud quod non eſt ingenitum, non eſt Deus. Nam vera quædam hæc eſſet rationis conſequentia, dicere quod nihil eorum quæ genita ſunt, eſt ingenitum, ac proinde inferre, quòd neque ſi quid ſecundum naturam eſt ingenitum, genitum eſſe poteſt. Talis enim oratio & verum continet & à blaſphemia ſeparata eſt. Nunc verò proponentem, quod eorum quæ genita ſunt C nihil eſt ingenitum, inferre quòd neque genitus eſt Deus: manifeſto ab eo quod eſt Deus vnigenitum Deum abſtrahere eſt: dum ex eo quod ipſe non eſt ingenitus, neque ipſum eſſe Deum adſtruit. An igitur aliis ad demonſtrationem huius tam inſolentis blaſphemiæ argumentis egemus? nec illud ſolum ſufficit inſtar cippi huic Chriſti oppugnatori, qui ex dictis præſtruit non eſſe Deum, qui in principio erat verbum Deus. Quid igitur amplius neceſſe eſt aduerſus huiuſmodi hæreticos implicari? neque enim cùm his qui circa idola, & ſuper aras effuſũ cruo- D rem occupãtur, nobis eſt negotium, non quod interitui eorum qui inſano cultu idolorum tenentur aſſentiamur, ſed quia grauior ſit eorum morbus quam omnis noſtra medendi ratio. Quemadmodum igitur idolorum cultum declarat ipſum opus: & accuſatorum indicium præripit crimen quod in libera contumacia audenter committitur. Sic arbitror hîc oportere pietatis patronum conticeſcere, aduerſus eum qui contra ſeipſum impietatẽ in propatulo vociferatur. Quẽadmodum etiam in his qui carcinomate ſunt obſeſſi, iners & inofficioſa manet medicina, quia docta plus valet arte malum,

Verumtamen quoniam poſt ea quæ iam ab eo dicta ſunt, adhuc aliquid valentius in medium adducturum ſe eſſe pollicetur, ne metu potentiorum videamur contradictionem remittere & præuaricari, illud etiam ſubinde examinabimus. [Oportebat, inquit, omnibus omiſſis, ad valentiorem rationem venire. Illa vtique dixerim, quandoquidem cùm ea quæ ab ipſo ad reprehenſionem noſtram adducuntur nomina rectè demonſtrata fuerint, nihilominus verus noſter manifeſtabitur ſermo. Siquidem nominum quæ proprietates ſignificant differentia, rerum etiam declarat diſcrepantiam, neceſſe eſt proculdubio concedere etiam per differentiã nominũ quæ eſſentias ſignificant ſimul demõſtrari eſſentiarum diſcrimẽ. Atque hoc in omnibus ita eſſe quis cõpererit, dico ſubſtãtiis, actionibus, coloribus, figuris & aliis qualitatibus, ignem etiam & aquam differentes eſſentias diſtinctis appellationibus ſignificamus, aërémque & terram, frigidúmque & calidum, & album & nigrum, vel triangulum & rotundum. Quid enim opus eſt verba facere de ſpiritualibus eſſentiis, quas recenſens Apoſtolus per differentiam nominum, diſcrepantiam eſſentiarum pariter declarauit.] Quis non obſtupuerit attonitus ad hanc inexpugnabilem argumenti vim? herclè promiſſionem ſuperat hic ſermo! terribilior ſanè minitatione hic conat⁹! Ad fortiorem, inquit, veniam rationem. Quænam hæc eſt? quod cum per nomina quæ proprietates ſignificant proprietatum cognoſcatur differentia: neceſſe eſt inquit, concedere etiam differentias eſſentiarum in nominum differentiis denotari. Quænam igitur hæ ſunt eſſentiarum appellationes, quibus in patre & filio naturæ diſſidium demonſtratum eſt? ignem dicit & aquam & aërem, & terram, frigidúmque & calidum, album & nigrum, & triangulum & circulum: vicit exemplis: ſuperauit valida potentique ratione, neque ipſe contradico, per incommutabilia nomina differentiam naturarum commonſtrari. Sed hoc ſolum non vidit hic acutus & perſpicax ad intelligendum: quod hîc & pater Deus, & filius Deus, iuſtúſque & incorruptus,

Verba Eunomij.

A πλὴν ἐπειδὴ ἐν μετὰ τὰ εἰρημένα καὶ ἰσχυρότερον ἐπαγγέλλεται λέγειν, ὡς ἂν μὴ φόβῳ τῶν δυνατωτέρων καθυφιέναι δοκοίημεν τὴν ἀντίῤῥησιν, κἀκεῖνο τοῖς εἰρημένοις προσεξετάσωμεν. ἔδει, φησὶ, πάντων ἀφεμένους, ἐπὶ τὸν ἰσχυρότερον χωρῆσαι λόγον. ἐκεῖνα φήσαιμι ἂν, ὅτι καὶ τῶν ὑπ' αὐτοῦ πρὸς ἔλεγχον προβληθέντων ὀνομάτων παραδειχθέντων, οὐδὲν ἧττον ἀληθὴς ὁ παρ' ἡμῶν φανερωθήσεται λόγος. εἴπερ ἡ παραλλαγὴ τῶν τὰς ἰδιότητας σημαινόντων ὀνομάτων τὴν παραλλαγὴν ἐμφαίνει τῶν πραγμάτων, ἀνάγκη δή που συγχωρεῖν, καὶ B τῇ παραλλαγῇ τῶν τὰς οὐσίας σημαινόντων, συνεμφαίνεσθαι τὴν παραλλαγὴν τῶν οὐσιῶν. καὶ τοῦτο ἐπὶ πάντων οὕτως ἔχον εὕροι τις ἂν, λέγω δὲ οὐσιῶν, ἐνεργειῶν, χρωμάτων, σχημάτων, τῶν ἄλλων ποιοτήτων. πῦρ τε γὰρ καὶ ὕδωρ, διαφόροις οὐσίας παρηλλαγμέναις σημαίνομεν προσηγορίαις, ἀέρα τε καὶ γῆν, ψυχρόν τε αὖ καὶ θερμὸν, λευκόν τε καὶ μέλαν, ἢ τρίγωνον καὶ περιφερές. τί γὰρ δεῖ περὶ τῶν νοητῶν λέγειν οὐσιῶν, ἃς καταλέγων ὁ ἀπόστολος, τῇ διαφορᾷ τῶν ὀνομάτων C τὴν παραλλαγὴν ἐνέφηνε τῶν οὐσιῶν. τίς οὐκ ἂν καταπλαγείη, πρὸς τὴν ἀνανταγώνιστον ταύτην τοῦ ἐπιχειρήματος δύναμιν; ὑπὲρ τὴν ἐπαγγελίαν ὁ λόγος; φοβερωτέρα τῆς ἀπειλῆς ἡ πεῖρα. ἐπὶ τὸν ἰσχυρότερον, φησὶν, ἥξω τῶν λόγων. τίς οὗτός ἐστιν; ὅτι τῆς τῶν ἰδιωμάτων διαφορᾶς διὰ τῶν ὀνομάτων γινωσκομένης τῶν σημαινόντων τὰς ἰδιότητας· ἀνάγκη δή που συγχωρεῖν φησὶ, καὶ τὰς τῶν οὐσιῶν διαφορὰς ἐν ταῖς τῶν ὀνομάτων παραλλαγαῖς ἑρμηνεύεσθαι. D τίνες οὖν αἱ τῶν οὐσιῶν προσηγορίαι, δι' ὧν ἐπὶ πατρὸς καὶ υἱοῦ τὸ παρηλλαγμένον ἐδείχθη φύσεως; πῦρ λέγει καὶ ὕδωρ, καὶ ἀέρα, καὶ γῆν· ψυχρόν τε καὶ θερμὸν, λευκόν τε καὶ μέλαν, τρίγωνον καὶ περιφερές· νενίκηκε τοῖς ὑποδείγμασιν· ὑπερέσχε κατὰ κράτος τῷ λόγῳ, οὐδὲ γὰρ αὐτὸς ἀντιλέγω, τὰ διὰ πάντων ἀκοινώνητα τῶν ὀνομάτων τὴν τῶν φύσεων διαφορὰν συνενδείκνυσθαι. ἀλλὰ ταῦτα μόνον οὐκ εἶδεν ὁ ὀξὺς διορατικὸς τὴν διάνοιαν· ὅτι ἐνταῦθα ὅ τε πατὴρ Θεὸς, καὶ ὁ υἱὸς Θεὸς, δίκαιός τε καὶ ἄφθαρτος,

καὶ πάντα τὰ τῆς θεολογίας ὀνόματα κατὰ τὸ ἴσον ἐπί τε πατρὸς καὶ υἱοῦ λέγεται· ὥστε εἰ τὸ παρηλλαγμένον τῶν προσηγοριῶν τὴν διαφορὰν σημαίνει τῆς φύσεως· ἡ κοινότης τῶν ὀνομάτων τὸ κοινὸν τῆς οὐσίας πάντως ἐνδείξεται. καὶ εἰ χρὴ συντίθεσθαι τὴν θείαν οὐσίαν διʼ ὀνομάτων μηνύεσθαι, πρέπον ἂν εἴη τὰς ὑψηλὰς ταύτας καὶ θεοπρεπεῖς φωνὰς ἐφαρμόζειν τῇ θείᾳ φύσει μᾶλλον, ἢ τὴν τοῦ γεννητοῦ καὶ ἀγεννήτου ἐπωνυμίαν. ὅτι τὸ μὲν ἀγαθόν τε καὶ ἄφθαρτον, δίκαιόν τε καὶ σοφὸν, καὶ ὅσα τοιαῦτα μόνῃ προσφυῶς τῇ ὑπερεχούσῃ πάντα νοῦν ἐφαρμόζεται φύσει. τὸ δὲ γεννητὸν καὶ πρὸς τὰ εὐτελῆ τῆς κάτω κτίσεως τὴν ὁμωνυμίαν ἔχει· γεννητὸν γὰρ φαμὲν καὶ κύνα καὶ βάτραχον, καὶ πάντα ὅσα διὰ γεννήσεως ἔχει τὴν πάροδον. ἀλλὰ καὶ τὸ ἀγέννητον ὄνομα, οὐ μόνον ἐπὶ τοῦ δίχα αἰτίας ὑφεστῶτος λέγεται, ἀλλὰ καὶ πρὸς τὸ ἀνύπαρκτον ἔχει τὴν οἰκειότητα, ἀγέννητος λέγεται καὶ ὁ σκινδαψός· ἀγέννητος ὁ μινώταυρος, ἡ Σκύλλα, ἡ Χίμαιρα, οὐ τῷ ἀγεννήτως εἶναι, ἀλλὰ τῷ μὴ γενέσθαι ὅλως. εἰ οὖν τὰ θειότερα τῶν ὀνομάτων κοινὰ τῷ υἱῷ πρὸς τὸν πατέρα. τὰ δὲ ὅσα ἢ πρὸς τὸ ἀνύπαρκτον, ἢ πρὸς τὰ ταπεινὰ τὴν ὁμωνυμίαν ἔχει, ταῦτα παρήλλακται· ἡ ἰσχυρὰ τοῦ Εὐνομίου καθʼ ἡμῶν ἐπιχείρησις, αὐτὴ κρατύνει τῆς ἀληθείας τὸ δόγμα, μηδεμίαν εἶναι κατὰ τὴν φύσιν διαφορὰν μαρτυροῦσα, διὰ τὸ μηδὲ τοῖς ὀνόμασι τινὰ παραλλαγὴν καθορᾶσθαι. εἰ δὲ ἐν τῷ γεννητῷ, καὶ ἀγεννήτῳ τὸ διάφορον τῆς οὐσίας τίθεται, ὡς τὸ πυρὶ καὶ τῷ ὕδατι· καὶ οὕτως οἴεται τὰ ὀνόματα καθʼ ὁμοιότητα τῶν ἐν τοῖς ὑποδείγμασιν εἰρημένων διακεῖσθαι ὡς τὸ πυρὶ καὶ τῷ ὕδατι πρὸς ἄλληλα, πάλιν ἐνταῦθα τὸ φρικτὸν τῆς βλασφημίας καὶ σιωπώντων ἡμῶν φανερωθήσεται. τὸ πῦρ γὰρ καὶ τὸ ὕδωρ, φθαρτικὴν κατʼ ἀλλήλων τὴν φύσιν ἔχει, καὶ ἴσως ἑκάτερον ἐν τῷ ἑτέρῳ γινόμενον, τῇ ἐπικρατήσει τοῦ πλεονάζοντος φθείρεται. εἰ οὖν οὕτω διεστάναι τοῦ ἀγεννήτου τὴν φύσιν πρὸς τὴν τοῦ μονογενοῦς δογματίζει, πάντως καὶ τὴν φθαρτικὴν ταύτην ἐναντιότητα τῇ παραλλαγῇ τῶν οὐσιῶν ἐνυπάρχειν κατὰ τὸ ἀκόλουθον δίδωσιν·

A & omnia theologiæ nomina æqualiter de patre & filio dicuntur: quare ſi diſcrimen appellationum differentiam naturarum ſignificat: communitas nominum eſſentiæ communionem prorſus indicabit. Et ſi concedendum eſt diuinam eſſentiam per nomina ſignificari, has excelſas & Deo conuenientes voces diuinæ naturæ magis decuerit accommodare, quam geniti & ingeniti cognominationem. Quia bonum quidem & incorruptum, iuſtum & ſapiens, & quæcunque ſunt eiuſmodi ſoli propriè & conuenienter ſuperanti omnem mentem
B naturæ congruunt. Genitum verò etiam cum his quæ inter inferiores creaturas ſunt viliora, nominis habet communionem: ſiquidem canem & ranam genitam dicimus, & quæcunque per generationem in lucem educuntur. Quin etiam hoc nomen, ingenitum, non ſolum de eo quod ſine cauſa ſubſtitit dicitur, ſed etiam cum eo quod non exiſtit, habet neceſſitudinem: ingenitus etiam dicitur ſcindapſus: ingenitus & minotaurus, Scylla & Chimera, non quod ingenito modo ſe habeant, ſed quia ne quidem
C omnino in rerum natura ſint. Si igitur diuiniora nomina filio cum patre ſunt communia. Quæcunque autem vel cum eo quod omnino non exiſtit, vel cum humilibus & abiectis nominis habent communionem, hæc diſcrepant: robuſta ſanè contra nos Eunomij argumentatio, ipſa veritatis dogma confirmat, nullam eſſe ſecundum naturam differentiam teſtificans, quia in nominibus nulla immutatio, ſiue diſcrepantia cernatur. Quod ſi in his nominibus geniti ſcilicet & ingeniti, eſſentiæ diſcrimen ponitur, ſicut in igne & aqua: ſicque
D putat nomina, per ſimilitudinem eorum quæ in exemplis dicta ſunt, inter ſe affici, rurſus hic horribilis blaſphemia etiam tacentibus nobis manifeſtabitur. Ignis enim & aqua corruptiuam inter ſe naturam habent, & fortaſſe alterutrum in altero dum fit, victoria exſuperantis corrumpitur. Si igitur ingeniti naturam cum natura vnigeniti diſſidere docet, omnino etiam hanc corruptiuam contrarietatem ob eſſentiarum differentiam ineſſe ex conſecutione dat:

Scindapſus vox fictitia, qua nihil re vera exiſtens ſignificat vt tragelaphus.

Ita vt propterea natura ipſorum minimè conuenire & ſociari poſſit, alterúmque ab altero abſumatur, ſi in ſe inuicem vtraque, vel vnà ſimul fuerint. Quomodo igitur in patre filius non corrumpitur, & quomodo pater qui eſt in filio in perpetuum reſiſtit non abſumptus, ſiquidem proprietas ignis ad aquam, etiam in ea quæ eſt geniti cum ingenito relatione ſeruatur, ſicut ait Eunomius? Sed neque eam quæ eſt terræ cum aëre communionem ſermo ſpectat, ſiquidem terra ſtabilis, ſolida, renitens, grauis, deorſum tendens, aëri vero ex contrariis natura ineſt. Similiter album & nigrum in colorum contrarietate inuenitur. Et circulum cum triangulo non idem eſſe conſentitur. Illud enim eſt alterutrum in ratione figuræ, quod non eſt alterum. At in Deo patre & Deo vnigenito filio ſecundum quid contrarietatem reſpicit non inuenio: vna bonitas, ſapientia, iuſtitia, prudentia, potentia, immortalitas & alia omnia quæcunq. ſunt excelſæ ſignificantiæ, in vtroque eodẽ modo dicuntur, & quodam modo in altero alterũ robur habet. Nam & pater per filiũ omnia facit, & vnigenitus cũ ſit patris potentia in ipſo cuncta operatur. Quam igitur vicẽ implent ignis & aqua ad demõſtrationẽ eius quæ eſt in filio & patre ſecundum eſſentiã diuerſitatis? quænã robuſta illa & inexpugnabilis ratio, quæ per hæc demõſtratur? Sed nos audaces nominat * qui & naturę vnitatem, & perſonarũ differentiã aſtruimus, & grauia dicit nos audere, ſi materialib. exẽplis ad intelligibilium contemplationem ſermonẽ appellimus. Noſtrorum erratorum egregius corrector audaciæ & temeritatis nos accuſat, quòd diuinam naturã materialibus exemplis explicemus. Quid igitur de elemẽtis dices qui ita firmus es & circumſpectus? immaterialem terram, ignem mente perceptibilem, aquam incorporeã, aërem extra ſenſibilem cõprehenſionem. Sic ad ſcopum tibi ordinata eſt intelligentia, ſic vndique acutè cernis incomprehenſum aduerſariis educens ſermonem, vt non videas in te ipſo crimina quæ reis obijciuntur? An tibi per exempla à rebus materialibus ſumpta eſſentiarum diuerſitatem præſtruenti concedemus? Nos autem qui per exempla quæ à nobis

A ὡς ἀσύμβατον αὐτῶν διὰ τοῦτο καὶ ἀκοινώνητον εἶναι τὴν φύσιν, καὶ ἐκδαπανᾶσθαι τῷ ἑτέρῳ τὸ ἕτερον, εἰ ἐν ἀλλήλοις ἀμφότερα ἢ μετ' ἀλλήλων γένοιντο. πῶς οὖν ἐν τῷ πατρὶ ὁ υἱός, καὶ οὐ φθείρεται, καὶ πῶς ἐν τῷ υἱῷ ὁ πατὴρ ὤν, εἰς τὸ διηνεκὲς ἀντέχει μὴ δαπανώμενος, εἴπερ ἡ τοῦ πυρὸς πρὸς τὸ ὕδωρ ἰδιότης καὶ ἐν τῇ τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον διασώζεται σχέσει, καθώς φησιν ὁ Εὐνόμιος; ἀλλ' οὔτε γῆς πρὸς ἀέρα κοινωνίαν ὁ λόγος βλέπει· ἡ μὲν γάρ, σταθερὰ καὶ ἐμβριθὴς καὶ ἀντίτυπος καὶ κατωφερὴς καὶ βαρεῖα, τῷ δὲ
B ἀέρι ἐκ τῶν ἐναντίων ἡ φύσις. ὁμοίως τὸ λευκὸν καὶ τὸ μέλαν ἐν τῇ ἐναντιότητι τῶν χρωμάτων εὑρίσκεται. καὶ τῷ τριγώνῳ τὸ περιφερὲς μὴ ταὐτὸν εἶναι συντίθηται. ἐκεῖνο γάρ ἐστιν ἑκάτερον ἐν τῷ λόγῳ τοῦ σχήματος, ὅπερ οὐκ ἔστι τὸ ἕτερον. ἐπὶ δὲ Θεοῦ τοῦ πατρός, καὶ Θεοῦ τοῦ μονογενοῦς υἱοῦ, κατὰ τί βλέπει τὴν ἐναντίωσιν οὐχ εὑρίσκω. ἀγαθότης μία, σοφία, δικαιοσύνη, φρόνησις, δύναμις, ἀφθαρσία, τὰ ἄλλα πάντα ὅσα τῆς ὑψηλῆς ἐστι σημασίας, ἐφ' ἑκατέρου ὡσαύτως λέγεται, καὶ τρόπον τινὰ ἐν
C τῷ ἑτέρῳ τὸ ἕτερον τὴν ἰσχὺν ἔχει. ὅ τε γὰρ πατὴρ διὰ τοῦ υἱοῦ τὰ πάντα ποιεῖ, ὅ τε μονογενὴς δύναμις ὢν τοῦ πατρός, ἐν ἑαυτῷ τὸ πᾶν κατεργάζεται. τίνα τοίνυν χρείαν πληροῖ πῦρ τε καὶ ὕδωρ εἰς ἀπόδειξιν τῆς ἐπὶ υἱοῦ τε καὶ πατρὸς κατὰ τὴν οὐσίαν ἀλλοτριότητος; καὶ τίς ὁ ἰσχυρὸς ἐκεῖνος καὶ ἀπόρρητος λόγος, ὁ διὰ τούτων ἀποδεικνύμενος; ἀλλὰ τολμηροὺς ἡμᾶς ὀνομάζει * τήν τε τῆς φύσεως ἑνότητα, καὶ τὴν τῶν ὑποστάσεων διαφορὰν παραστήσαντας, καὶ δεινά φησι παρ' ἡμῶν τολμᾶ-
D σθαι, εἰ τοῖς ὑλικοῖς ὑποδείγμασι τῇ τῶν νοητῶν θεωρίᾳ τὸν λόγον προσάγομεν. καλῶς ὁ διορθωτὴς τῶν ἡμετέρων πταισμάτων· καλῶς ἐπεγκαλεῖ τὴν τόλμαν ἡμῖν τοῖς τὸ θεῖον διὰ τῶν ὑλικῶν ἑρμηνεύουσι. τί οὖν περὶ τῶν στοιχείων ἐρεῖς, ὁ σταθερός τε καὶ περιεσκεμμένος; ἄϋλον τὴν γῆν, νοητὸν τὸ πῦρ, ἀσώματον τὸ ὕδωρ, ἔξω τῆς αἰσθητικῆς ἀντιλήψεως τὸν ἀέρα. οὕτω συντέτακταί σοι πρὸς τὸν σκοπὸν ἡ διάνοια, οὕτω πανταχόθεν ὀξυωπεῖς, ἄληπτον τοῖς ἀντιτεταγμένοις διεξάγων τὸν λόγον, ὡς μὴ βλέπειν ἐν σεαυτῷ τὰ κατὰ τῶν κατηγορουμένων ἐγκλήματα; ἢ σοὶ μὲν διὰ τῆς ὕλης τὸ κατ' οὐσίαν ἀλλότριον κατασκευάζοντι, συγχωρήσομεν; ἡμεῖς δὲ διὰ τῶν χρηστῶν ἡμῖν

ὑποδειγμάτων τὸ οἰκεῖον τῆς φύσεως ἀποδεικνύντες ἀποβλητοί; ἀλλὰ Πέτρος, φησί, καὶ Παῦλος παρὰ ἀνθρώπων κατωνομάσθησαν, καὶ διὰ τοῦτο καὶ μετατεθῆναι τὰς προσηγορίας ἐπ' αὐτῶν δυνατὸν γέγονε. τί δὲ τῶν ὄντων οὐ παρὰ ἀνθρώπων ὠνόμασται; σὲ μάρτυρα τοῦ λόγου προσάγομαι. εἰ γὰρ τὴν τῶν ὀνομάτων μετάθεσιν σημεῖον ποιῇ, τοῦ παρὰ ἀνθρώπων κατωνομάσθαι τὰ πράγματα συνθήσῃ διὰ τούτου πάντως πᾶν ὄνομα παρ' ἡμῶν τεθεῖσθαι τοῖς οὖσιν, ἐκ τοῦ μὴ τὰς αὐτὰς τῶν ὑποκειμένων προσηγορίας παρὰ πᾶσι κεκρατηκέναι. ὡς γὰρ Παῦλος, ὁ πρότερον Σαῦλος, καὶ Πέτρος ἐκ Σίμωνος, οὕτω γῆ τε καὶ οὐρανός, καὶ ἀήρ, καὶ θάλασσα, καὶ πάντα τὰ τῆς κτίσεως μέρη, οὐχ ὁμοίως παρὰ πᾶσιν ὠνόμασται. ἀλλ' ἑτέρως μὲν παρ' Ἑβραίοις, ἑτέρως δὲ παρ' ἡμῖν, καὶ παρ' ἑκάστοις τῶν ἐθνῶν διαφόροις ταῖς προσηγορίαις κατονομάζεται. εἰ οὖν ἰσχυρὸν τὸ Εὐνομίου τὸ ἐπιχείρημα, Πέτρον καὶ Παῦλον διὰ τοῦτο μετακεκλῆσθαι κατασκευάζοντος, διὰ τὸ παρὰ ἀνθρώπων αὐτοῖς τὰς προσηγορίας τεθεῖσθαι, ἰσχύσει πάντως καὶ ὁ ἡμέτερος λόγος ἐκ τῶν ὁμοίων ὁρμώμενος, ὁ πάντα παρ' ἡμῶν κατωνομάσθαι λέγων διὰ τὸ πάντων τὰς προσηγορίας κατὰ τὰς τῶν ἐθνῶν διαφορὰς ἐνηλλάχθαι. εἰ δὲ τὰ πάντα οὕτως, οὐδὲ τὸ γεννητὸν πάντως καὶ ἀγέννητον ἄλλως. καὶ γὰρ καὶ ταῦτα τῶν μετονομαζομένων ἐστί. τὸ γὰρ ἐγγινόμενον ἡμῖν περὶ τοῦ ὑποκειμένου νόημα, ὡς ὀνόματος τύπον μεταλαμβάνοντες, ἄλλοτε ἄλλοις ῥήμασι τὸ νοηθὲν ἐξαγγέλλομεν, οὐχὶ μεταποιοῦντες τὸ πρᾶγμα, ἀλλὰ τὰ ῥήματα δι' ὧν ὀνομάζομεν. τὰ μὲν γὰρ πράγματα καθὼς ἂν ἔχοι φύσεως ἐφ' ἑαυτῶν μένει, ἡ δὲ διάνοια τῶν ὄντων ἁπτομένη, δι' ὧν ἂν γένηται δυνατὸν ῥημάτων, ἀνακαλύπτει τὸ νόημα. καὶ ὥσπερ οὐ συμμετεβλήθη τῇ μεταβολῇ τοῦ ὀνόματος ἡ οὐσία τοῦ Πέτρου· οὕτως οὐδὲ ἄλλό τι τῶν θεωρουμένων ἐν τῇ τῶν ὀνομάτων ἐπαλλαγῇ μεταβάλλεται. διὸ καὶ τὴν τοῦ ἀγεννήτου φωνὴν παρ' ἡμῶν ἐπιτεθεῖσθαι φαμὲν τῷ ἀληθινῷ καὶ πρώτῳ πατρὶ τῷ τοῦ παντὸς αἰτίῳ, καὶ μηδεμίαν ἐν τῇ σημασίᾳ τοῦ ὑποκειμένου γίνεσθαι βλάβην· εἰ δι' ἑτέρας φωνῆς τὸ ἴσον γνωρίσαιμεν. ἔξεστι γὰρ ἀντὶ τοῦ εἰπεῖν ἀγέννητον, πρῶτον αἴτιον αὐτὸν προσειπεῖν· ἢ πατέρα τοῦ μονογενοῦς, ἢ

A capi poſſunt, naturæ proprietatem & communionem demonſtramus repudiandi ſumus? Sed Petrus, inquit, & Paulus ab hominibus nominati ſunt; propterea in ipſis appellationes potuerunt immutari. Quidnam eorum quæ ſunt non eſt ab hominibus nominatum? te ſermonis teſtem adduco. Si enim nominum immutatio ſignum & argumentum facis, quod ab hominibus res ſint nominatæ, per hoc omnino confiteberis omne nomen à nobis rebus quæ ſunt inditum eſſe, ex eo quod non eædem voces ſiue appellationes rerum apud omnes B præualuerint. Vt enim Paulus, qui prius Saulus, & Petrus ex Simone, ſic terra & cœlum, & aër, & mare, & omnes creaturę partes non ſimiliter apud omnes nominatæ ſunt. Sed aliter quidem apud Hebræos, aliter apud nos, & apud ſingulos differētibus nominibus appellantur. Si igitur validum eſt Eunomij argumentum, ob id Petrum & Paulum ſic poſtea vocatos eſſe præſtruentis, quia ab hominibus nomina ſunt ipſis impoſita: noſter prorſus inualeſcet ſermo ex ſimilib. progrediens, qui omnia à nobis eſſe nomina- C ta dicit, propterea quod appellationes ſecundum gentium differentias penitus immutētur. Quod ſi omnia ſic ſe habent, neque genitū prorſus neque ingenitum aliter: ſiquidem hæc etiā ſunt ex his quæ nominantur. Etenim eā quæ de ſubiecto nobis innaſcitur notionem, ſicut nominis formam aſſumentes, aliquando verbis aliis quod mente conceptum eſt enuntiamus res non immutantes, ſed voces quibus res nominamus. Nam res vt earū fert natura in ſeipſis manent: intellectus autē res ipſas attingens, quibus poteſt verbis ſenſum ſuum aperit. Et quemadmodum D Petri eſſentia cū mutatione nominis non commutatur: ſic neque aliud quicquam eorum quæ conſiderantur in nominum differenti varietate permutatur. Quamobrem & ingeniti vocem à nobis inditam eſſe dicimus, patri vero & primo vniuerſorum autori, nullumque in ſubiecti ſignificatione fieri detrimentū, ſi ex alia voce, idem cognoſcamus. Fas enim eſt loco ingeniti primum ipſum autorem appellare: vel patrem vnigeniti, vel

A eum qui nulla ex cauſa ſubſtitit, multáque alia quæ ad eandem intelligentiam pertinent. Quapropter per eoſdem ſermones quibus aduerſum nos accuſationem inſtituit, cõfirmat noſtra dogmata, cum dicit, nos non didiciſſe nomen quod ſit diuinæ naturæ ſignificatiuum. Sed quòd quidem ipſa ſit edocti ſumus: vim autem ſiue potẽtiam talis appellationis, qua ineffabilis & indefinita natura comprehenditur, vel non eſſe omnino aſſerimus, vel planè nobis eſſe incognitam. Quare familiares ſibi nugas & fabulas prætermittens, oſtendat ſignificatiuas eſſentiarum appellationes, & per nominum diſcrepantiam ſubiectum quoque B diuidat ac diuellat. Sed quouſque verus eſt ſcripturæ ſermo qui dicit, quod Abraham & Moſes non nominis habuerunt cognitionem. Et quod Deum nemo vidit vnquam, & nouit ipſum nullus hominum, neque videre poteſt: quódque circum ipſum lux inacceſſibilis & majeſtatis eius comprehenſio non eſt, quandiu hæc proferuntur à nobis atque creduntur. Quo modo ſermo qui aliquam de infinita natura pro nominis ſignificantiam, comprehenſionem & interpretationem pollicetur, ſimilis eſt ei C qui propria manu omne putat complecti mare: quod enim eſt manus vola ad totum pelagus, hoc omnis ſermonis vis ſiue potentia ad ineffabilem & incomprehenſibilem naturam. Hæc verò dicimus, non quòd inficiemur patrem modo ingenito eſſe: neque vt non aſſentiamur vnigenitum Deum, genitum eſſe. Sed & hic genitus eſt & ille non genitus. Quid autem ſecundũ naturam eſt quod ſine generatione eſt & genitũ eſſe creditur, ex ſignificatione geniti & non geniti non ſumus edocti. Cùm enim dicimus, hic vel genitus eſt, vel non eſt D genitus, duplicem informamus per hæc dicta intelligentiam: demonſtratiuo quidem pronomine, ad ſubiectum reſpicientes, verbo vero genitus eſt, vel non genitus eſt, id quod in ſubiecto conſideratur docemur. Ita vt quid aliud quidem de eo quod conſideratur, in eo quod eſt. Quinetiam in omni nomine quod de diuina natura dicitur, ſemper ſubauditur omnino hoc verbum eſt, vt iuſtus, incorruptus, immortalis & ingenitus, & ſi quid aliud dici-

Ioan. 1.
Timot. 6.

A ἐκ μηδεμιᾶς αἰτίας ὑφεστηκότα, καὶ πολλὰ τοιαῦτα ὅσα πρὸς τὴν αὐτὴν διάνοιαν φέρει. ὥστε καὶ δι' ὧν ἐγκαλεῖ λόγων, κρατύνει τὰ ἡμέτερα δόγματα. ὅτι ὄνομα τῆς θείας φύσεως σημαντικὸν οὐκ ἐμάθομεν. ἀλλὰ τὸ μὲν εἶναι αὐτὴν ἐδιδάχθημεν, δύναμιν δὲ προσηγορίας τοιούτης δι' ἧς ἐμπεριλαμβάνεται ἡ ἄφραστός τε καὶ ἀόριστος φύσις, ἢ οὐκ εἶναι καθ' ὅλου φαμὲν, ἢ πάντως ἡμῖν ἄγνωστον εἶναι. ὥστε παρεὶς τὴν συνήθη μυθολογίαν, δεικνύτω τὰς σημαντικὰς τῶν οὐσιῶν B προσηγορίας, καὶ τῷ παρηλλαγμένῳ τῶν ὀνομάτων, συνδιασχιζέτω τὸ ὑποκείμενον. ἕως δ' ἂν ὁ τῆς γραφῆς ἀληθεύει λόγος, ὅτι Ἀβραὰμ καὶ Μωυσῆς, οὐ κεχωρήκασι τὴν τοῦ ὀνόματος γνῶσιν. καὶ ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε, καὶ εἶδεν αὐτὸν ἀνθρώπων οὐδεὶς, οὔτε ἰδεῖν δύναται· καὶ ὅτι τὸ περὶ αὐτὸν φῶς ἀπρόσιτον, καὶ τῆς μεγαλωσύνης αὐτοῦ πέρας οὐκ ἔστιν, ἕως ἂν ταῦτα λέγηται παρ' ἡμῖν καὶ πιστεύηται. πῶς λόγος ὁ περίληψίν τινα καὶ ἑρμηνείαν τῆς ἀορίστου φύσεως διὰ τῆς ὀνοματικῆς σημασίας ἐπαγγελλόμενος, ὅ- C μοιός ἐστι τῷ διὰ τῆς ἰδίας παλάμης πᾶσαν ἐκπεριλαμβάνειν οἰομένῳ τὴν θάλασσαν· ὃ γάρ ἐστι χειρὸς κοτύλη πρὸς πέλαγος ὅλον, τοῦτο πᾶσα δύναμις λόγων πρὸς τὴν ἄφραστον καὶ ἀπερίληπτον φύσιν. ταῦτα δὲ φαμὲν, οὐχ ὡς ἀρνούμενοι τὸ ἀγεννήτως εἶναι τὸν πατέρα, οὐδ' ὡς μὴ συντιθέμενοι τῷ γεννητὸν εἶναι τὸν μονογενῆ Θεόν. ἀλλὰ καὶ οὗτος γεγέννηται, κἀκεῖνος οὐ γεγέννηται. τί δὲ κατὰ τὴν φύσιν ἐστὶν ὁ δίχα γεννήσεως ὢν καὶ γεγεννῆσθαι πεπιστευμένος, ἐκ τῆς τοῦ γεννηθῆναι καὶ μὴ γεννηθῆναι σημασίας οὐκ ἐδιδάχθημεν. D εἰπόντες γὰρ ὅτι οὗτος ἢ γεγέννηται, ἢ οὐ γεγέννηται, διπλῆν ἐντυπούμεθα διὰ τῶν εἰρημένων διάνοιαν· τῷ μὲν δεικτικῷ τοῦ λόγου πρὸς τὸ ὑποκείμενον βλέποντες, τῷ δὲ γεγέννηται, ἢ οὐ γεγέννηται, τὸ τῷ ὑποκειμένῳ προσθεωρούμενον διδασκόμεθα. ὡς ἄλλο μέν τι περὶ τοῦ ὄντος νοεῖν. ἄλλο δέ τι περὶ τοῦ ἐπιθεωρουμένου τῷ ὄντι. ἀλλὰ καὶ παντὶ ὀνόματι τῷ περὶ τὴν θείαν λεγομένῳ φύσιν, τὸ ἔστι πάντως συνυπακούεται, οἷον δίκαιος, ἄφθαρτος, ἀθάνατός τε καὶ ἀγέννητος· καὶ εἴ τι ἕτερον λέγεται, κἂν

μὴ τῇ φωνῇ συμπαραλαμβανομένου τύχῃ τὸ ῥῆμα τοῦτο. ἀλλ' ἡ διάνοια πάντως τοῦ φθεγγομένου καὶ τοῦ ἀκούοντος, τῷ ἔστι προσαρμόζει τὸ ὄνομα, ὡς εἰ μὴ τοῦτο προσκέοιτο, κατὰ κενοῦ τὴν προσηγορίαν πίπτειν. οἷον· κρεῖττον γὰρ ἐν ὑποδείγματι παραστῆσαι τὸν λόγον, εἰπόντος τοῦ Δαβίδ· ὅτι ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. Εἰ μὴ συνυπακούοιτο τῶν κατειλημμένων ὀνομάτων ἑκάστῳ τὸ ἐστι, ματαία δόξα καὶ ἀνυπόστατος ἡ τῶν προσηγοριῶν ἀπαρίθμησις, πρὸς οὐδὲν ὑποκείμενον ἐρειδομένη, συνυπακουομένου δὲ τοῦ ἔστιν ἑκάστῳ τῶν ὀνομάτων, ἰσχύσει πάντως τὰ εἰρημένα περὶ τὸ ὂν θεωρούμενα. ὥσπερ τοίνυν εἰπόντες ὅτι κριτής ἐστι, διὰ μὲν τῆς κρίσεως, ἐνέργειάν τινα περὶ αὐτὸν ἐνοήσαμεν· διὰ δὲ τοῦ ἔστι, τῷ ὑποκειμένῳ τὸν νοῦν ἐπιβαλόμεν, σαφῶς διδασκόμενοι διὰ τούτων, μὴ τὸν αὐτὸν νομίζειν τῇ ἐνεργείᾳ, τὸν τοῦ εἶναι λόγον. οὕτως καὶ ἐκ τοῦ εἰπεῖν, ὅτι γεννητὸς ἢ ἀγέννητός ἐστι, μερίζομεν πρὸς διπλῆν ὑπόληψιν τὴν διάνοιαν. διὰ μὲν τοῦ ἔστι, νοοῦντες τὸ ὑποκείμενον· διὰ δὲ τοῦ γεννητὸς ἢ ἀγέννητος, τὸ προσὸν τῷ ὑποκειμένῳ καταλαμβάνοντες. καθάπερ τοίνυν κριτὴν ἢ μακρόθυμον παρὰ τοῦ Δαβὶδ εἶναι τὸν Θεὸν διδαχθέντες, οὐ τὴν θείαν οὐσίαν, ἀλλά τι τῶν περὶ αὐτὴν θεωρουμένων ἐμάθομεν· οὕτως καὶ ἐνταῦθα, τὸ μὴ γεγεννῆσθαι ἀκούσαντες, οὐ τὸ ὑποκείμενον διὰ τῆς ἀπεμφάσεως ἔγνωμεν· ἀλλά τι οὐ χρὴ περὶ τὸ ὑποκείμενον νοεῖν ὡδηγήθημεν. τὸ δὲ κατ' οὐσίαν ὅτι ποτέ ἐστιν, οὐδὲν ἧττον ἐν ἀδήλῳ μένει· οὕτω καὶ τῆς ἁγίας γραφῆς, τὰ μὲν λοιπὰ τῶν θείων ὀνομάτων κατὰ τοῦ ὄντος κατηγορούσης, αὐτὸ δὲ τὸ ὂν ἀκατονόμαστον τῷ Μωϋσῇ παραδίδωσι. ὁ τοίνυν τοῦ ὄντος ἐκκαλύπτειν τὴν φύσιν, μὴ τὰ περὶ τὸ ὂν διεξιέτω, ἀλλ' αὐτὴν ἡμῖν φανερούτω δι' ὧν λέγει τὴν φύσιν. πᾶν γὰρ ὅτι περ ἂν εἴπῃς ὄνομα, περὶ τὸ ὄν ἐστιν· οὐκ ἐκεῖνό ἐστιν, ἀγαθός, ἀγέννητος, ἀλλὰ τὸ ἔστιν, ἑκάστου τούτων οὐκ ἀπολείπεται. τούτου τοίνυν τοῦ ὄντος ἀγαθοῦ, καὶ ὄντος ἀγεννήτου, καθώς ἐστι τὸν λόγον τῆς ἀποδόσεως ἐπαγγειλάμενος, μάταιος ἂν εἴη. τὰ μὲν ἐπιθεωρούμενα λέγων· αὐτὴν δὲ σιωπῶν τὴν οὐσίαν ἣν ἑρμηνεύειν τῷ λόγῳ

A tur, etiamſi hoc verbum, nempe eſt, voce non enuntietur. Sed intelligentia & mens loquentis & audientis nomen adaptat verbo eſt, ita ut niſi hoc adiaceat, in caſſum appellatio cadat. Verbi gratia (præſtat enim orationem exemplis animo repræſentare) cum dixit Dauid, Quod Deus iudex iuſtus & fortis, & longanimis, niſi ſubaudiatur in quoque nominum quæ hoc verſiculo comprehenduntur, verbum eſt, vana opinio, & quæ nequit ſubſiſtere appellationum enumeratio, cùm nullo ſubiecto ſit fulta & innixa; *Pſal 144.* B Si verò in ſingulis nominibus his ſubaudiatur verbum eſt, vim certè habebunt ea quæ dicta ſunt, cùm in eo quod eſt conſiderantur. Quemadmodum enim cùm dicimus, quod iudex eſt, per iudicium quidem operationem quandam in ipſo intelleximus: per verbum verò eſt, ad ſubiectum mentem appulimus, apertè per hæc edocti, non eandem eſſe, exiſtimare actus & eſſentiæ rationem. Sic etiam ex eo quod dicimus, quod genitus eſt, vel ingenitus, in duplicem notionem intelligentiam noſtram par- C timur, nam per verbum eſt, intelligimus ſubiectum: & per genitum vel ingenitum, id quod adeſt ſubiecto comprehendimus, Quemadmodum igitur iudicem, vel longanimem eſſe à Dauide docti ſumus, non diuinam eſſentiam, ſed eorum aliquid quæ in ipſa conſiderantur didicimus: ſic & hic non genitum eſſe audientes, non ſubiectum per hanc declarationem nouimus, ſed aliquid quod non oportet de ſubiecto mente concipere inducti ſumus: quod autem ſecundum eſſentiam quidnam tandem eſt nihilominus in obſcuro ma- D net. Sic etiam cum ſancta ſcriptura reliqua diuina nomina de eo quod eſt enuntiat, ipſum verò innominabile Moſi tradit. Qui ergo naturam eius quod eſt aperire ſe profitetur, neutiquam ea quæ ſunt de eo quod eſt explicet, ſed ipſam ſuis verbis ſi poteſt nobis explanet naturam. Quodcunque enim nomen dixeris, eſt de eo quod eſt: non illud eſt: bonus, ingenitus, ſed quod eſt à nullo horum deſeritur. Huius igitur qui eſt bonus & qui eſt ingenitus, ſicuti eſt definitionem qui redditurum ſe pollicetur, vanus fuerit: dùm ea quę in eo quod eſt conſiderantur, ſermone tractat, de ipſa verò eſſentia, quam oratione ex-

plicare pollicetur ne verbum quidem. Nam ingenitè eſſe vnum eſt eorum quæ in eo qui eſt conſiderantur. Alia enim oratio quæ dicit eſſe: alia verò quæ ait quodam modo eſſe. Quod hucuſque eſt ineffabile, nec per ea quæ dicta ſunt explicabile. Prius igitur nobis eſſentiæ nomina manifeſtet: tum demùm appellationum fallacijs naturã diuidat. Donec enim quod quæritur manet non expreſſum: in caſſum hęc de nominibus ab ipſo artificioſè excogitata fuerint, cùm non ſint nomina. Talis igitur robuſtior illa Eunomij anſa aduerſus veritatem, cum multa in hac parte ſcriptionis dogmata ſilẽtio ſint prætерita. Nam mihi quidem videtur eos decere qui in hoc armorum curriculo verſantur aduerſus veritatis hoſtes, vt contra eos quidem armentur qui ſpecioſa quadam mendacij probabilitate muniti eſſe videntur; minimè vero ſermonem contaminare in cadauerosis ac putidis aliorum notionibus. Nam putare omnia quæ eſſentiæ ratione vnita ſunt omnia etiam corporeæ corruptioni alligata eſſe: hoc enim quod hac in parte ait, vt cadauerosam graueolentiã libens tranſgrediar: cuiuſuis puto mentem habentis, in promptu conſpicere eſt, quod mortuum eſt & collapſum in eius oratione. Quis enim ignorat infinitam eſſe humanarum animarum multitudinem, vnam verò eſſentiam omnibus ſubijci: & quod in ipſi eſt ſubiectum à corporum labe & corruptione alienatum eſſe. Ita vt etiam paruulis notus ſit ſermo. Quod corpora non quia ſint inter ſe eiuſdem eſſentiæ corrumpuntur & diſſoluuntur, ſed quia compoſitam indepta ſunt naturam. Alia enim compoſiti, alia ſubiecti, eſſentiæ ratio. Quare dicere quod corpora quæ ſunt eiuſdem ſubſtantiæ corruptione ſunt obnoxia, verum eſt, conuerſio autem verum non habet. Quod quidquid eſt eiuſdem ſubſtantiæ, hoc ſit omnino corruptibile, ſicut oſtenditur, quorum vna eſt eſſentia, in animis communioni tamen eſſentiæ interitus non ineſt. Quod verò de animis definiuimus, id etiam de omni intellectuali ſubſtantia quæ in creatura ſpectatur, verè vt propriè dici poteſt. Non enim vt vult Eunomius, à Paulo collectæ voces virtutum tranſmundanarum naturas aliquas inter ſe differentes & diſpares ſignificant: ſed appel-

A κατεπαγγέλλεται. τὸ γὰρ ἀγεννήτως εἶναι, ἓν τῶν
ἐπιθεωρουμένων ἐστὶ τῷ ὄντι. ἄλλος δὲ τοῦ εἶναι
καὶ ἄλλος τοῦ πῶς εἶναι ὁ λόγος. ὁ μέχρι τοῦ
νῦν ἄρρητόν τε καὶ ἀνερμήνευτον ἐκ τῶν εἰ-
ρημένων ἐστίν. ἐκεῖνο οὖν φανερωσάτω πρότε-
ρον ἡμῖν τὰ τῆς οὐσίας ὀνόματα· καὶ τότε τῇ
παραλογίᾳ τῶν προσηγοριῶν διατεμνέτω
τὴν φύσιν. ἕως δ᾽ ἂν ἀνεκφώνητον τὸ ζητού-
μενον μένῃ, μάτην αὐτῷ τὰ περὶ τῶν ὀνομάτων
τεχνολογῆται, τῶν ὀνομάτων οὐκ ὄντων. ἡ μὲν
οὖν ἰσχυροτέρα τῶν Εὐνομίου κατὰ τῆς ἀλη-
B θείας λαβή, τοιαύτη. πολλῶν κατὰ μέρος τοῦ-
το τῆς λογογραφίας σιωπηθέντων δογμάτων.
δοκεῖ γάρ μοι πρέπειν τοῖς τὸν ἐνόπλιον τοῦ-
τον κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας τρέχουσι
δρόμον, πρὸς τοὺς πεφραγμένους πως τῇ
πιθανότητι τοῦ ψεύδους ὁπλίζεσθαι· τοῖς δὲ
νεκροῖς καὶ ὀδώδοσι τῶν νοημάτων, μὴ ἐμμολύ-
νειν τὸν λόγον. τὸ γὰρ οἴεσθαι πάντα ὅσα τῷ τῆς
οὐσίας ἥνωται λόγῳ, πάντως καὶ ἐν σωματι-
κῇ φθορᾷ συνεζεῦχθαι· τοῦτο γὰρ ἐν τῷ
μέρει τούτῳ φησίν, ὡς νεκρώδη δυσωδίαν,
C ἑκὼν ὑπερβήσομαι· παντὸς οἶμαι τοῦ νοῦν
ἔχοντος ἐκ τοῦ προχείρου καθορᾶν δυναμέ-
νου τὸ τεθνηκός τε καὶ διαπεπτωκὸς τοῦ λό-
γου. τίς γὰρ οὐκ οἶδεν ὅτι πλῆθος μὲν ἄπει-
ρον τῶν ἀνθρωπίνων ἐστὶ ψυχῶν, οὐσία δὲ πά-
σαις ὑπόκειται μία· καὶ τὸ ὑποκείμενον ἐν
αὐταῖς τῆς σωματικῆς διαφθορᾶς ἠλλοτρίωται.
ὥστε νηπίοις φανερὸν εἶναι τὸν λόγον. ὅτι τὰ σώ-
ματα οὐ διὰ τὸ ὁμοούσια εἶναι ἀλλήλοις, διαφ-
θείρεταί τε καὶ διαλύεται. ἀλλὰ διὰ τὸ σύν-
θετον εἰληφέναι τὴν φύσιν. ἄλλος δὲ τοῦ συν-
D θέτου, καὶ ἕτερος τοῦ ὑποκειμένου τῆς οὐσίας
λόγου. ὥστε τὸ μὲν ὁμοούσια τὰ φθαρτὰ σώ-
ματα λέγειν, ἀληθές ἐστιν, ἡ δὲ ἀναστροφὴ τὸ
ἀληθὲς οὐκ ἔχει, πᾶν τὸ ὁμοούσιον τοῦτο καὶ
φθαρτὸν εἶναι πάντως. ὡς ἐπὶ τῶν ψυχῶν ἀπο-
δείκνυται, ὧν καὶ οὐσία μία, καὶ φθορὰ τῇ κοινό-
τητι τῆς οὐσίας οὐ προσέστιν. ὁ δὲ περὶ τῶν ψυ-
χῶν ἀποδοθεὶς λόγος, καὶ περὶ πάσης νοερᾶς
ὑποστάσεως τῆς ἐν τῇ κτίσει θεωρουμένης οἰ-
κείως ἂν ἔχοι. οὐ γὰρ καθὼς Εὐνόμιος βούλε-
ται, αἱ παρὰ τοῦ Παύλου κατειλεγμέναι φω-
ναὶ τῶν ὑπερκοσμίων δυνάμεων φύσεις τινὰς
ἀλλήλων παρηλλαγμένας σημαίνουσιν· ἀλλ᾽

A ἡ τῆς προσηγορίας σημασία σαφῶς ἐνδείκνυται, τὸ μὴ φύσεων διαφοράς, ἀλλὰ τῆς ἐπουρανίου στρατιᾶς, τὰς ποικίλας τῶν ἐνεργειῶν ἰδιότητας, τῷ λόγῳ παρίστασθαι. ἀρχαὶ γάρ, φησι, καὶ θρόνοι καὶ ἐξουσίαι καὶ δυνάμεις, καὶ κυριότητες. ταῦτα δὲ τὰ ὀνόματα τοιαῦτά ἐστιν, ὡς αὐτόθεν πᾶσι πρόδηλον εἶναι, τὸ καὶ ἐνεργείας τινὸς τετάχθαι τὰ σημαινόμενα. τὸ γὰρ ἄρχειν, καὶ τὸ ἐξουσιάζειν καὶ τὸ κυριεύειν, καὶ τὸ θρόνον εἶναί τινος· ταῦτα πάντα οὐκ ἂν ὁ λελογισμένος εἰς οὐσιῶν διαφορὰς ἐπαγάγῃ, προδήλως τῆς ἐνεργείας ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαινομένης. B ὥστε ὁ λέγων φύσεων διαφορὰς ἐν τοῖς κατειλεγμένοις ὀνόμασι παρὰ τοῦ Παύλου σημαίνεσθαι, φρεναπατᾷ ἑαυτόν, καθὼς φησὶν ὁ ἀπόστολος, μὴ εἰδὼς μήτε ἃ λέγει, μήτε περὶ τίνων διαβεβαιοῦται, σαφῶς ἐνδεικνυμένης τῆς τῶν ὀνομάτων σημασίας, ὅτι ἀξιωμάτων τινῶν διαφορὰς ὁ ἀπόστολος ἐν ταῖς νοηταῖς δυνάμεσιν οἶδεν, οὐκ οὐσιῶν ἰδιότητας διὰ τῶν ὀνομάτων ἐνδείκνυται.

lationem ſignificantia apertè demonſtrat non naturarum differentias, ſed cœleſtis militiæ varias functionum, muneris, ſiue operationum proprietates oratione ſignificari. Principatus enim (inquit) & throni, & dominationes & poteſtates & virtutes: hæc autem nomina talia ſunt, vt inde cuiuis perſpicuum eſſe poſſit, ea quæ ſignificantur ordinata eſſe ad aliquam muneris functionem. *Coloſſ. 1.* Nam principatum tenere, habere poteſtatem, dominari, & thronum eſſe ſiue ſolium alicuius: hæc omnia qui ratione expenderit, non ad eſſentiarum differentias reduxerit, cum apertè functio muneris in quoque nomine ſignificetur. Quare qui dicit naturarum differentias in illis à Paulo collectis nominibus ſignificari, ſeipſum ſeducit, vt loquitur Apoſtolus, neque ſciens quæ dicit, neque de quibus affirmat, quia apertè nominum ſignificantia demonſtrat, quod Apoſtolus per hæc nomina quarumdam dignitatum differentias in intellectualibus virtutibus nouit, non eſſentiarum proprietates oſtendit. *1. Tim. 1.*

A

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM.

ORATIO VII.

EVNOMII quidem valida rationum firmamenta ita ſe habent: Ego autem, cùm ea quæ pollicitus fuerat, argumentorum robora ita carioſa & inualida ſint oratione demonſtrata, reliqua ſilentio præterire arbitror oportere, quia valentioribus reliquis proſtratis argumentis, alia ſimul eadem virtute profligantur: quemadmodum in bellis vſu venit, cùm pars aliis potentior occubuit, reliqua pars exercitus nullo deinceps in pretio à victoribus habetur. Sed caput blaſphemiæ quod in ſequenti orationis ſerie præponitur, non ſinit me tacere. Nam ex eo quod non eſt, ad id quod eſt, vnigenitum prodiiſſe, hoc certè horribile, Deumque negãs omníque impietate magis fugiẽdum Eunomij dogma, nunc in conſequenti ſermone molitur. Sed quoniam omnibus hoc errore incãtatis, in lingua promptum eſt ad præſtruendum vnigenitum, qui omnem creaturam ex nihilo creauit, ex eo quod ante non erat, eſſe: quod nempe dicunt, Si erat non eſt genitus: & ſi genitus eſt, non erat. Ac propterea huic errori ex huiuſmodi multum acceſſit auxilij: quandoquidem ij qui animo ſunt imbecilliore, hac apparente & ſuperficiaria probabilitate anguſtiis vrgentur, & ad conſentiendum huic blaſphemiæ pertrahuntur, neceſſe eſt radicem amaritudinis huius placiti non præterire: ne, ſicut ait Apoſtolus, ſurſum creſcens moleſta interturbet. Ac primùm quidẽ hunc in ſeipſo ſermonem conſiderandum eſſe dico, ſine reſpectu ad eam quæ nobis eſt cum aduerſariis pugnam: tum demùm ad diſquiſitionem & confutationem eorum quæ proponuntur eſſe veniendum.

Videtur alludere ad id quod ſcribit D. Paulus, 2. ad Tim. 2. ſermo eorum vt cancer ſerpit.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Ζ.

B ΤΑ μὲν ἰσχυρὰ τῶν τοῦ ΕΥνομίου τοιαῦτα. ἐγὼ δὲ τῶν ἐν ἐπαγγελίᾳ δυνάμεων οὕτω σαθρῶν τε καὶ ἀνυποστάτων ἐπιδειχθέντων τῷ λόγῳ, σιωπᾷν οἶμαι δεῖν ἐπὶ τῶν ὑπολοίπων, τοῖς κατὰ τῶν ἰσχυρῶν ἐλέγχοις καὶ τῶν ἄλλων τῇ δυνάμει συναπελεγχθέντων. καθάπερ ἐπὶ τῶν πολέμων συμβαίνει· τοῦ δυνατωτέρου τῶν ἄλλων C καταπεσόντος μηκέτι τὸ λειπόμενον τῆς στρατιᾶς ἐν λόγῳ τινὶ τοῖς κεκρατηκόσι τοῦ ἰσχύοντος γίνεσθαι. ἀλλ' οὐχ ἐᾷ σιωπᾷν τὸ κεφάλαιον τῆς βλασφημίας ἐν τοῖς ἐφεξῆς τοῦ λόγου προκείμενον. τὴν γὰρ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τοῦ μονογενοῦς πάροδον, τοῦτο δὴ τὸ φρικτόν τε καὶ ἄθεον, καὶ πάσης ἀσεβείας φευκτότερον δόγμα τοῦ ΕΥνομίου, νῦν ἐν τῇ ἀκολουθίᾳ τοῦ λόγου κατασκευάζεται. καὶ ἐπειδὴ πᾶσι τοῖς διὰ τῆς ἀπάτης ταύτης γεγοητευμένοις, ἕτοιμον ἐπὶ γλώσσης ἐστὶν εἰς κατασκευὴν τοῦ ἐκ μὴ ὄντος εἶναι τὸν μονογενῆ, καὶ πᾶσαν τὴν κτίσιν D ἐξ οὐκ ὄντων ποιήσαντα, τὸ λέγειν εἰ ἦν, οὐ γεγέννηται· καὶ εἰ γεγέννηται οὐκ ἦν. καὶ πολλὴν ἔχει διὰ τοῦτο ἡ ἀπάτη τὴν συμμαχίαν, τῶν μικροψυχοτέρων ἐν τῇ ἐπιπολαίῳ ταύτῃ πιθανότητι στενοχωρουμένων, καὶ πρὸς κατάθεσιν τῆς βλασφημίας ὑπαγομένων. ἀνάγκη μὴ παρελθεῖν τὴν ῥίζαν τῆς πικρίας τοῦ δόγματος· ἵνα μή, καθώς φησιν ὁ ἀπόστολος, ἄνω φύουσα ἐνοχλῇ. πρότερον δέ φημι δεῖν αὐτὸν ἐφ' ἑαυτοῦ τὸν λόγον κατανοῆσαι, δίχα τῆς πρὸς τοὺς ἐναντίους μάχης· εἶθ' οὕτως ἐπὶ τὴν ἐξέτασίν τε καὶ τὸν ἔλεγχον τῶν ἐκτεθέντων ἐλθεῖν· εἰ

γνώρισμα τῆς ἀληθινῆς θεότητος ὁ τῆς ἁγίας γραφῆς ὑποδείκνυσι λόγος, ὃ διὰ τῆς ἄνωθεν φωνῆς ἐδιδάχθη ὁ Μωϋσῆς, ἀκούσας τοῦ εἰπόντος· ὅτι ἐγώ εἰμι ὁ ὤν. Ἐκεῖνο οὖν τοῦτο μόνον θεῖον εἶναι ὡς ἀληθῶς πιστεύειν οἰόμεθα δεῖν, ὃ κατὰ τὸ ἀΐδιόν τι καὶ ἀόριστον ἐν τῷ εἶναι καταλαμβάνεται· καὶ πᾶν τὸ περὶ αὐτὸ θεωρούμενον ἀεὶ ὡσαύτως ἔχει, οὔτε προσγινόμενον οὔτε ἀπογινόμενον. ὥστε εἴ τις λέγοι περὶ Θεοῦ, ὅτι πρότερον μὲν ἦν, νῦν δὲ οὐκ ἔστιν, ἢ ὅτι νῦν μὲν ἔστι, πρότερον δὲ οὐκ ἦν, ἐπίσης ἄθεον κρίνομεν τῶν εἰρημένων ἑκάτερον· κολοβοῦται γὰρ ὁμοίως δι' ἀμφοτέρων ὁ τῆς ἀϊδιότητος λόγος, καθ' ἑκάτερον μέρος ὁμοίως τῷ ἀνυπάρκτῳ περικοπτόμενος. Εἴ τε προθεωρηθείη τις τὸ μὴ ὂν τοῦ ὄντος, εἴτε καταλήγοι τὸ ὂν εἰς τὸ μὴ ὂν ἀποφαίνεται, οὐδὲν παραμυθεῖται τὴν ἀσεβῆ περὶ τὸ θεῖον ὑπόληψιν, ἐν πρώτοις ἢ τελευταίοις ἐπιθρυλλούμενον τῷ Θεῷ τὸ ἀνύπαρκτον. διὰ τοῦτο τὴν περὶ τοῦ μὴ εἶναι ποτὲ τὸν ὄντως ὄντα, κατασκευὴν ἄρνησίν τε καὶ ἀθέτησιν τῆς ἀληθινῆς θεότητος εἶναι διοριζόμεθα. ἐπειδὴ γὰρ ὁ μὲν διὰ τοῦ φωτὸς ἑαυτὸν τῷ Μωϋσῇ δείξας, ὄντα ἑαυτὸν ὀνομάζει, λέγων· ἐγώ εἰμι ὁ ὤν. Ἡσαΐας δὲ καθάπερ ὄργανον τοῦ ἐν αὐτῷ φθεγγομένου γενόμενος, ἐκ προσώπου λέγει τοῦ ὄντος. ὅτι ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, ὡς διὰ τούτου νοεῖσθαι καθ' ἑκατέραν ἔννοιαν ἐπὶ Θεοῦ τὸ ἀΐδιον. ὁμοίως δὲ καὶ ἡ πρὸς τὸν Μανωὲ γενομένη φωνὴ, τὸ ἀπερίληπτον εἶναι τῆς διὰ τοῦ ὀνόματος σημασίας τὸ θεῖον ἐνδείκνυται, ὅτε μαθεῖν ἀξιοῦντος τοῦ Μανωὲ τὸ ὄνομα, ὡς προελθούσης εἰς ἔργον τῆς ἐπαγγελίας ἐπ' ὀνόματος δοξάσῃ τὸν εὐεργέτην, λέγει πρὸς αὐτόν. τί τοῦτο ἐρωτᾷς, καὶ αὐτό ἐστι θαυμαστόν. ὡς διὰ τούτου μαθεῖν, ὅτι ἕν ἐστι σημαντικὸν τῆς θείας φύσεως ὄνομα, τὸ ἀρρήτως περὶ αὐτῆς ἡμῖν θαῦμα κατὰ ψυχὴν ἐγγινόμενον. ὡσαύτως δὲ καὶ ὁ μέγας Δαβὶδ, ἐν τοῖς καθ' ἑαυτὸν λόγοις, τὸ ἴσον βοᾷ. ὡς πάσης μὲν τῆς κτίσεως ὑπ' αὐτοῦ παραχθείσης εἰς γένεσιν· μόνου δὲ τοῦ Θεοῦ ὡσαύτως ἀεὶ τι ὄντος, καὶ εἰσαεὶ διαμένοντος. ἐν οἷς φησί· σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.

A Veræ diuinitatis vnum indicium & inſigne ſanctæ ſcripturæ ſermo indicat, quod Moſes voce cælitus emiſſa didicit, cum audiuit eum qui dixit: Ego ſum qui ſum. *Exod. 3.* Ergo hoc ſolum numen eſſe verè credendum eſſe arbitramur, quod ſecundùm æternitatem & infinitatem in eſſe deprehenditur: & quicquid in ipſo ſpectatur ſemper eodem modo ſe habet, neque in eo fit quicquam vel prius vel poſterius. *Nomē Dei eſſentiale, nomen Dei ipſe, & ipſe nomen eius.* Quare ſi quis dicat de Deo quod prius quidem erat, nunc autem non eſt: vel quod nunc quidem eſt, prius autem non erat: ex æquo impium vtrumque dictorum cenſemus: pariter enim per vtrumque æternitatis ratio B mutilatur ab vtraque parte a non exiſtente circumciſa. Si quis proſpicere velit non ens in ente, vel deficere ens in non ens pronunciat, hic impiam de Deo opinionem in animis inſitam nihil iuuat, in primis ſeu poſtremis, id quod non exiſtit in Deo, paſſim aſſerens. Quapropter eum qui verè eſt non eſſe adſtruere, negationem contemptúmque eſſe veræ deitatis diſertè & expreſsè dicimus. *In Deo nihil prius nihilque posterius.* Siquidem ille qui ſemetipſum per lucem Moſi demonſtrauit, entem ſeipſum nominat dicens, Ego ſum qui ſum. Iſaias verò tanquam inſtrumentum eius, qui in eo loquebatur factus ex perſona eius *Eſai. 45.* C qui eſt dicit: Ego primus & ego poſt hæc, vt per hoc ſecundum vtramque notitiam quod æternum eſt, in Deo intelligatur. Similiter etiam vox illa quæ ad Manoë facta eſt. Deum eſſe incomprehenſibilem per nominis ſignificantiam oſtendit, quæ cùm diſcere vellet Manoë nomen eius, vt promiſſione adimpleta nominatim benefactorem glorificaret, ad eum dicit, quid hoc interrogas, & ipſum eſt admirabile. *Iudic. 13.* Ita vt ex hoc diſcere liceat, quod vnum eſt diui- D næ naturæ ſignificatiuum nomen, quòd nempe de ipſa ineffabiliter mentem noſtram ſubit admiratio. Similiter etiam magnus Dauid dũ de eo loquitur, idem clamitat: omnem quidem creaturam ab ipſo ad generationem adductam fuiſſe: ſolum verò Deum eodem modo ſemper eſſe, eundemque in perpetuum permanere. In quibus ait: Tu autem idem es & anni tui non deficient. *Pſal. 101.*

A Hæc & eiuſmodi ex viris Dei ſpiritu afflatis cum audimus, quomodo id quod ab æterno non eſt, vt recens & alienum à vera deitate, idololatris, id eſt, fictitiorum deorum cultoribus adorandum non relinquimus? Quod enim nunc eſt, prius autem non erat, recens eſt omnino nec æternum: intueri autem in aliquid recentium, dæmonum cultum vocat Moſes, dicens: immolauerunt dæmoniis, *Deut. 32.* & non Deo: diis quos ignorarunt patres ipſorum, noui recentéſque venerunt. Si igitur quod recens eſt in his quæ coluntur, dæmonum eſt cultura, & à vera deitate alienum eſt. B Quod autem nunc eſt, ſemper autem non erat, recens eſt, & non æternum, neceſſario nos qui id quod eſt intuemur, eos qui quod non eſt cum eo quod eſt contemplantur, & dicunt quod quondam non erat, idolorum cultoribus annumeramus. Etenim magnus Ioannes vnigenitum Deum ſuo præconio annuntians, ſuum omnibus modis præmunit ſermonem, vt nullus ſit aditus ad opinionem, concipiendam contra id quod eſt ipſum non aliquando fuiſſe: dicit enim, in principio erat & a- *Ioan. 1.* pud Deum erat, & Deus erat, & lux C erat, & vita, & veritas, & omnia bona ſemper erat: & nihil vnquam quicquam bonorum non erat, qui eſt omnium bonorum plenitudo, & in ſinibus patris. Si igitur Moſes velut verè deitatis characterem aliquem nobis lege ſanxit, nihil *Exod. 3.* nempe aliud de Deo cognoſcere quàm hoc ſolum quod eſt: hoc enim demon- *Eſa. 45.* ſtrat, Ego ſum qui ſum. Eſaias autem vndique infinitatem entis ſuo præconio pronunciat: neque in principio, neque in fine ens, in Deo limitatum & definitum intuens. Nam cum dixit: Ego primus & ego poſthæc, in neutro æternitatis terminum ſtatuit. Ita vt neque ad principium cernentes, D inueniamus ſignum aliquod à quo eſſe ceperit, & poſt quod non erat: neque ad id quod deinceps ſequitur intelligentiam appellentes, termino aliquo eius quod eſt intercidamus proceſſum in æternum. Cùm præſertim *Pſal. 80.* Dauid Propheta recentem & alienum Deum adorare vetet: in quorum vtrumque impingunt hæreſeos dogmata. Nam in eo quod dicunt, nõ eſſe æternũ, recentem; in eo quòd à natura veri Dei abhorrentem, alienum apertè demonſtrant.

A Ταῦτα δὲ τὰ τοιαῦτα παρὰ τῶν θεοφορουμένων ἀκούοντες, πῶς οὐχ ὃ μὴ ἐξ ἀϊδίου ἐστὶν, ὡς πρόσφατόν τι καὶ ἀλλότριον τῆς ἀληθινῆς θεότητος τοῖς εἰδωλολάτραις προσκυνεῖν καταλείπομεν; ὃ γὰρ νῦν ὄν, πρότερον δὲ μὴ ὄν, πρόσφατόν ἐστι πάντως καὶ οὐκ ἀΐδιον, τὸ δὲ πρός τι τῶν προσφάτων ὁρᾷν, δαιμόνων λατρείαν ὁ Μωϋσῆς ὀνομάζει, λέγων· ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ· θεοῖς οἷς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν, καινοὶ καὶ πρόσφατοι ἥκασιν. Εἰ οὖν τὸ πρόσφατον ἐν σεβάσματι, B δαιμόνων ἐστὶ λατρεία, καὶ τῆς ἀληθινῆς θεότητος ἠλλοτρίωται. ὃ δὲ νῦν μέν ἐστιν, ἀεὶ δὲ οὐκ ἦν, πρόσφατόν ἐστι καὶ οὐκ ἀΐδιον, ἀναγκαίως πρὸς τὸ ὂν βλέποντες τοὺς τὸ μὴ ὂν τῷ ὄντι συνθεωροῦντας καὶ λέγοντας, ὅτι ποτὲ οὐκ ἦν, τοῖς θεραπευταῖς τῶν εἰδώλων ἐγκαταλέγομεν. καὶ γὰρ ὁ μέγας Ἰωάννης τὸν μονογενῆ Θεὸν ἰδίῳ καταγγέλλων κηρύγματι, παντοίως τὸν ἑαυτοῦ κατασφαλίζεται λόγον, ὡς μή τινα πάροδον τὴν τοῦ μὴ εἶναι ὑπόληψιν κατὰ τοῦ ὄντος λαβεῖν. λέγει γὰρ ὅτι ἐν ἀρχῇ ἦν, καὶ πρὸς τὸν Θεὸν ἦν, καὶ Θεὸς C ἦν, καὶ φῶς ἦν, καὶ ζωὴ καὶ ἀλήθεια, καὶ πάντα τὰ ἀγαθὰ πάντοτε ἦν, καὶ οὐδὲν οὐδέποτέ τι τῶν καλῶν οὐκ ἦν· ὁ πάντων τῶν ἀγαθῶν τὸ πλήρωμα ὢν, καὶ ἐν τοῖς κόλποις τοῦ πατρὸς ὤν. Εἰ τοίνυν Μωϋσῆς μὲν οἷόν τινα χαρακτῆρα τῆς ἀληθινῆς θεότητος ἡμῖν νομοθετεῖ, τὸ μηδὲν ἄλλο περὶ Θεοῦ γινώσκειν, ἢ τοῦτο μόνον ὅτι ἐστί. τοῦτο γὰρ ἐνδείκνυται τὸ ἐγώ εἰμι ὁ ὤν. Ἡσαΐας δὲ τὸ πανταχόθεν ἀόριστον τοῦ ὄντος βοᾷ τῷ κηρύγματι, μήτε δι' ἀρχῆς, μήτε διὰ τέλους βλέπων τὸ ὂν ἐπὶ τοῦ Θεοῦ ὁριζόμενον. ὁ γὰρ εἰπὼν, ὅτι ἐγὼ πρῶτος D καὶ μετὰ ταῦτα, ἐν οὐδετέρῳ τὸν ὅρον τῆς ἀϊδιότητος ἔστησεν, ὡς μήτε πρὸς τὴν ἀρχὴν ὁρῶντας εὑρεῖν τι σημεῖον ἀφ' οὗ ἐστὶ, καὶ μεθ' ὃ οὐκ ἦν, μήτε πρὸς τὸ ἐφεξῆς τὴν διάνοιαν ἀνάγοντας ὅρῳ τινὶ διακόπτειν τοῦ ὄντος τὴν ἐπὶ τὸ ἀΐδιον πρόοδον· τοῦ δὲ προφήτου Δαβὶδ πρόσφατόν τι καὶ ἀλλότριον Θεὸν προσκυνεῖσθαι ἀπαγορεύοντος, ὧν ἑκάτερον ἐν τοῖς δόγμασιν ἐστὶ τῆς αἱρέσεως· ἐν μὲν τῷ μὴ ἀϊδίῳ τὸ πρόσφατον, ἐν δὲ τῷ τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως ἀπεξενῶσθαι, τὸ ἀλλότριον σαφῶς ἐπιδείκνυται.

τούτων

A Τούτων οὖν οὕτως ἐχόντων, πᾶσαν τὴν διὰ τῶν σοφισμάτων κατασκευὴν τὴν περὶ τοῦ μὴ εἶναί ποτε τὸν ὄντως ὄντα, οὐδὲν ἄλλο, ἢ παράβασιν τοῦ χριστιανισμοῦ, καὶ ἐπιστροφὴν εἰς εἰδωλολατρείαν εἶναι διοριζόμεθα. τοῦ γὰρ εὐαγγελιστοῦ διὰ τῆς θεολογίας πανταχόθεν ἐξορίσαντος τὸ μὴ ὂν ἐκ τοῦ ὄντος, καὶ διὰ τῆς συνεχοῦς τοῦ ἦν ἐπαναλήψεως τὴν τοῦ μὴ εἶναι ὑπόνοιαν ἐπιμελῶς ἐξαλείψαντος· μονογενῆ δὲ Θεόν, καὶ λόγον Θεοῦ, καὶ υἱὸν Θεοῦ, καὶ ἴσον Θεῷ, καὶ πάντα τὰ τοιαῦτα κατονομάσαντος, παγίαν ἔχομεν ταύτην ἐν ἑαυτοῖς τὴν κρίσιν καὶ ἀ-

B μετάθετον, ὅτι εἰ Θεός ἐστιν ὁ μονογενὴς Θεός, ἀεὶ χρὴ πιστεύειν αὐτὸν εἶναι τὸν Θεὸν πεπιστευμένον. ἀλλὰ μὴν ἀληθῶς ἐστι Θεός, ἀεὶ πάντως ἐστὶ, καὶ οὐδέποτε ἐν τῷ μὴ εἶναι καταλαμβάνεται. Θεὸς γὰρ, καθὼς πολλάκις εἰρήκαμεν, εἰ νῦν ἐστι, καὶ ἀεὶ πάντως ἦν, εἰ δέ ποτε μὴ ἦν, οὐδὲ νῦν ἐστιν ὅλως. ἀλλ' ἐπειδὴ τὸν υἱὸν εἶναι τὸν μονογενῆ Θεὸν καὶ εἰσαεὶ διαμένειν, καὶ παρὰ τῶν ἐχθρῶν τῆς ἀληθείας ὁμολογεῖται· τοῦτό φαμεν, ὅτι ὁ ἐν τῷ πατρὶ ὤν, οὐ καθ' ἓν μόνον ἐστὶν ἐν αὐτῷ, ἀλλὰ κατὰ πάντα ὅσα

C νοεῖται ὁ πατήρ, διὰ πάντων ἐστὶν ἐν αὐτῷ. ὡς οὖν ἐν τῷ ἀφθάρτῳ τοῦ πατρὸς ὤν, ἄφθαρτός ἐστι· καὶ ἐν τῷ ἀγαθῷ ἀγαθός, καὶ ἐν τῷ δυνατῷ δυνατός, καὶ ἐν ἑκάστῳ ὢν τῶν πρὸς τὸ κρεῖττον ἐν τῷ πατρὶ νοουμένων, ἐκεῖνό ἐστιν· οὕτως καὶ ἐν τῷ ἀϊδίῳ πάντως ἀΐδιος. ἡ δὲ τοῦ πατρὸς ἀϊδιότης ἐν τῷ μήτε ἐκ τοῦ μὴ ὄντος ἄρξασθαι, μήτε εἰς τὸ μὴ ὂν καταλήγειν γνωρίζεται. οὐκοῦν ὁ πάντα τὰ τοῦ πατρὸς ἔχων, καὶ ἐν πάσῃ τῇ δόξῃ τοῦ πατρὸς θεωρούμενος, ὥσπερ ἐν τῷ ἀτελευτήτῳ τοῦ

D πατρὸς ὤν, ζωῆς τέλος οὐκ ἔχει· οὕτω καὶ ἐν τῷ ἀνάρχῳ τοῦ πατρὸς ὤν, ἀρχὴν ἡμερῶν οὐκ ἔχει, καθώς φησιν ὁ ἀπόστολος. ἀλλὰ καὶ ἐκ τοῦ πατρός ἐστι, καὶ ἐν τῇ ἀϊδιότητι τοῦ πατρὸς καθορᾶται, καὶ τούτῳ μάλιστα τῷ τρόπῳ, τὸ διὰ πάντων τῆς εἰκόνος ἀπαράλλακτον, πρὸς τὸ οὗ ἐστιν εἰκών, θεωρεῖται. καὶ ἀληθὴς ὁ λόγος ἐν τούτοις εὑρίσκεται, ὁ εἰπών, ὅτι ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. ἀλλὰ καὶ τὸ παρὰ τοῦ ἀποστόλου εἰρημένον, οὕτως ἂν μάλιστα νοηθείη, καλῶς καὶ προσφυῶς ἔχον, τὸ ἀπαύγασμα εἶναι τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως τὸν υἱόν.

A Hæc igitur cùm ita ſe habeant, quicquid eiuſmodi per cauillos præſtruunt, quòd videlicet aliquando non fuerit ille qui verè eſt: nihil aliud quam tranſgreſſionem chriſtianiſmi, & ad idolorum culturam reuerſionem eſſe definimus. Cùm enim euangeliſta per Theologiam vndique ex eo quod eſt, quod non eſt exterminarit, & per continuam verbi, erat, repetitionem, quod non ſit, ſuſpicandi occaſionẽ diligenter expunxerit. Ipſum verò vnigenitum, & Deum, & verbum Dei, & filium Dei, & æqualem Deo, & omnia quæ ſunt huiuſmodi vbique no-

B minauerit: firmum habemus hoc in nobiſipſis iudiciũ atque immutabile, quod ſi Deus eſt vnigenitus Deus, ſemper credendum eſt ipſum eſſe Deum qui creditus eſt. Quinetiam ſi verè eſt Deus, ſemper omnino eſt, & nunquã non eſſe comprehenditur. Deus enim, ſicut ſæpe diximus, ſi nunc eſt, & ſemper omnino fuit: quod ſi aliquando non fuit, nihil nunc eſt funditus. Sed quoniam filium eſſe vnigenitum Deum & in perpetuum permanere, etiam ab inimicis veritatis conceditur: hoc dicimus quod qui ſemper

C eſt in patre, non ſecundum vnum ſolum eſt in ipſo, ſed ſecundum omnia quæ pater eſſe intelligitur, per omnia eſt in ipſo. Quemadmodum igitur is qui in incorruptione patris eſt, incorruptibilis eſt: & in bonitate bonus, & in poteſtate potens, & in quoque eorum quæ præſtantiora in patre intelliguntur, illud eſt: ſic etiam qui in æternitate patris eſt, omnino æternus eſt. Patris autem æternitas inde dignoſcitur, quòd videlicet neque ex non ente cœperit, neque in id quod non eſt deſinat. Ergo ille qui omnia quæ ſunt patris habet, atque in omni gloria

D patris conſideratur, quemadmodum exiſtens in vita patris fine carentis, finem vitæ non habet: ſic in patre originem non habente, dierum principium non habet, ſicut inquit Apoſtolus, ſed & ex patre eſt, & in patris æternitate conſpicitur, & hoc maximè modo quod per omnimodam & inuariabilem imaginis ſimilitudinem, quã habet cum eo cuius eſt imago, ſpectatur. Et verus in his ſermo inuenitur, qui dixit: qui vidit me, vidit & patrem. Sed & hoc quod dictum eſt ab Apoſtolo, ſic intelligi poteſt, præclarè & appoſitè ſe habens, quod nimirum filius ſit ſplendor gloriæ, & figura ſubſtantiæ patris.

Hebr. 7.
Ioan. 14.
Hebr. 1.

S

His enim qui minimè valent ad celſitudinem cognitionis Dei ratiocinationem educere per intelligibilium ſpeculationem: Ex his quæ ſenſibus occurrunt quandam veri viſionem ſiue imaginationem Apoſtolus audientibus ingenerat, vt enim ſolare corpus toto circumplectente circulo figuratur, & qui circulum vidit, totius ſubiecti ſubſiſtentiam ſecundùm profunditatem, ex apparente circulo colligit, ſic etiam dixit in magnitudine potentiæ filij, patris magnificentiam exprimi, vt quanta hæc cognoſcatur, tanta eſſe etiam illa credatur. Ac rurſus ſicut ex omni ſolari circulo lucis fulgore reſplendet, non enim pars aliqua lucet, pars verò circuli alia obſcura eſt: ſic quantacumque eſt omnis gloria eius, pater, ex ſplendore ab ipſa promanante, hoc eſt vero lumine, vndique circum illuſtratur. Atque vt ex ſole quidem eſt radius, non enim eſſet radius, niſi ſol eſſet, nunquam enim ſine refulgente radio in ſeipſo ſol intelligitur: ſic coniunctionem & coæternitatem exi-
Hebr. 1. ſtentiæ vnigeniti à patre tradens Apoſtolus, ſplendorem gloriæ filium appellauit. His igitur à nobis ita diſtinctis, non amplius quiſquam dubitet, quomodo etiam ex patre vnigenitus eſſe creditur & ęternus eſt, quamuis videatur ſecundum eam quæ primo & in promptu apparet notitiam, ſermo ſermoni non conuenire, & qui ex patre ipſum eſſe dicit, & qui æternitatem ipſi attribuit. Quod ſi alio argumento ſermonem oportet confirmare, intelligi poſſet huius aſſertionis veritas, ex quibuſdam quæ ſenſibus à nobis percipiuntur. Nullus autem ſermonem riſu & cachinnis excipiat, quòd nequeat inuenire talem in his quæ ſunt in rerum natura, eius quod quæritur imaginem, quæ per omnia ſufficiat, proportione quadam & ſimilitudine propoſitum repræſentare. Volumus enim vt iſti qui dicunt prius patrem voluiſſe, deinde ſic veniſſe ad id, vt pater fieret, & per hoc poſterioritatem Verbo aſtruunt; perſuaſum habeant vt ex his quæ poſſumus in medium proferre exemplis, cogitationem ſuam ad id quod pium eſt de Deo ſentire transferant: neque enim hæc immediata coniunctio patris voluntatem excludit:

A Τοῖς γὰρ ἀδυνατοῦσιν ἐπὶ τὸ ὕψος τῆς θεογνωσίας τὸν λογισμὸν ἀναγαγεῖν διὰ τῆς τῶν νοητῶν θεωρίας· τούτοις ἐκ τῶν τῇ αἰσθήσει προφαινομένων ἐμποιεῖ τινὰ τοῖς ἀκούουσιν ὁ ἀπόστολος τῆς ἀληθοῦς φαντασίας. ὡς γὰρ τὸ ἡλιακὸν σῶμα ὅλῳ τῷ περιέχοντι κύκλῳ χαρακτηρίζεται, καὶ ὁ τὸν κύκλον ἰδὼν, ὅλου τοῦ κατὰ τὸ βάθος ὑποκειμένου τὴν ὑπόστασιν διὰ τοῦ φαινομένου ἀνελογίσατο· οὕτως εἶπεν ἐν τῷ μεγέθει τῆς τοῦ υἱοῦ δυνάμεως τὸ τοῦ πατρὸς μεγαλεῖον χαρακτηρίζεσθαι, ἵνα ὅσον B τοῦτο γινώσκηται, τοσοῦτον εἶναι κἀκεῖνο πιστεύηται. καὶ πάλιν ὡς ἐκ παντὸς τοῦ ἡλιακοῦ κύκλου τῇ τοῦ φωτὸς λαμπηδόνι ἀπαυγάζεται· οὐ γὰρ τὸ μέν τι λάμπει, τὸ δὲ ἀλαμπές ἐστι τοῦ κύκλου· οὕτως ὅλη ἡ δόξα ἥτις ἐστὶν, ὁ πατὴρ, τῷ ἐξ ἑαυτῆς ἀπαυγάσματι, τουτέστι τῷ ἀληθινῷ φωτὶ πανταχόθεν περιαυγάζεται. καὶ ὡς ἐκ τοῦ ἡλίου μέν ἐστιν ἡ ἀκτὶς, οὐ γὰρ ἂν ἦν ἀκτὶς, εἰ μὴ ὁ ἥλιος ἦν, οὐ μὴν ποτὲ χωρὶς τῆς ἀπαυγαζομένης ἀκτῖνος ἐφ' ἑαυτοῦ νοεῖται ὁ ἥλιος· οὕτω τὸ συνα- C φές τε καὶ ἀΐδιον τῆς ἐκ τοῦ πατρὸς ὑπάρξεως τοῦ μονογενοῦς παραδιδοὺς ὁ ἀπόστολος, ἀπαύγασμα δόξης τὸν υἱὸν κατωνόμασε. τούτων τοίνυν ἡμῖν οὕτω διῃρημένων, οὐκέτ' ἄν τις ἀμφιβάλλοι, πῶς καὶ ἐκ τοῦ πατρὸς μονογενὴς εἶναι πεπίστευται, καὶ ἀϊδίως ἐστὶ, κἂν δοκῇ κατὰ τὴν πρόχειρον ἔννοιαν μὴ συμβαίνειν ὁ λόγος τῷ λόγῳ, ὁ ἐκ τοῦ πατρὸς αὐτὸν εἶναι λέγων, τῷ μαρτυροῦντι αὐτῷ τὸ ἀΐδιον. εἰ δὲ χρὴ καὶ ἑτέρῳ τὸν λόγον πιστώσασθαι, δυνατὸν ἂν γένοιτο νοῆσαι τὸ περὶ τούτου δόγ- D μα, διά τινων τῶν κατὰ τὴν αἴσθησιν ἡμῖν γνωριζομένων. μηδεὶς δὲ ἐπηρεαζέτω τῷ λόγῳ, μὴ δυναμένῳ τοιαύτην ἐν τοῖς οὖσιν εὑρεῖν εἰκόνα τοῦ ζητουμένου, ἣ διὰ πάντων ἀρκέσει δι' ἀναλογίας τινὸς καὶ ὁμοιότητος πρὸς τὴν τοῦ προκειμένου παράστασιν. βουλόμεθα γὰρ τοὺς λέγοντας πρότερον βεβουλῆσθαι τὸν πατέρα, εἶθ' οὕτως ἐλθεῖν ἐπὶ τὸ γενέσθαι πατέρα, καὶ διὰ τούτου τὸ μεταγενέστερον τῷ λόγῳ κατασκευάζοντας· πεῖσαι δι' ὧν ἂν γένοιτο δυνατὸν ἡμῖν ὑποδειγμάτων, μετάγειν πρὸς τὸ εὐσεβὲς τὴν διάνοιαν· οὔτε γὰρ ἡ ἀμέσος αὕτη συνάφεια ἐκβάλλει τὴν βούλησιν τοῦ πατρὸς·

ὡς κατά τινα φύσεως ἀνάγκην ἀπροαιρέτως τὸν υἱὸν ἐσχηκότος· οὔτε ἡ βούλησις διΐστησι τοῦ πατρὸς τὸν υἱόν, ὥς τι διάστημα μεταξὺ παρεμπίπτουσα. ὡς μήτε ἐκβάλλειν τοῦ δόγματος τὴν ἐπὶ τῷ υἱῷ βούλησιν τοῦ γεννήσαντος, οἷον στενοχωρουμένην ἐν τῇ συναφείᾳ τῆς τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἑνότητος, μήτε μὴν τὴν ἀδιάστατον διαλύειν συνάφειαν, ὅταν ἐνθεωρῆται τῇ γεννήσει ἡ βούλησις. τοῦτο γὰρ τῆς βαρείας ἡμῶν καὶ δυσκινήτου φύσεως ἐστὶν ἴδιον, τὸ μὴ ἐν ταυτῷ πολλοὺς παρεῖναι ἡμῖν, καὶ τὸ ἔχειν τι, καὶ τὸ βούλεσθαι· ἀλλὰ νῦν μὲν βουλόμεθα τι ἔχειν ὧν οὐκ ἔχομεν, μετὰ ταῦτα δὲ τυγχάνομεν ὧν τυχεῖν οὐκ ἠβουλήθημεν. ἐπὶ δὲ τῆς ἁπλῆς καὶ παντοδυνάμου φύσεως, ὁμοῦ τὰ πάντα καὶ κατὰ ταυτὸν νοεῖται, καὶ τὸ θέλειν τὸ ἀγαθόν, καὶ τὸ ἔχειν ὅπερ ἠθέλησε. πάντα γὰρ ἐνεργὸν καὶ ἐνούσιον, καὶ ἐνυπόστατον τῇ ἀϊδίῳ φύσει τὸ ἀγαθόν τε καὶ τὸ ἀΐδιον ἐνθεωρεῖται θέλημα, οὔτε ἀπό τινος ἰδιαζούσης ἀρχῆς ἐγγινόμενον, οὔτε δίχα τοῦ θελητοῦ νοηθῆναι δυνάμενον. οὐδὲ γὰρ ἐνδέχεται περὶ τῷ Θεῷ, ἢ τὸ ἀγαθὸν θέλημα μὴ εἶναι, ἢ μὴ συνεῖναι τῷ θελήματι· οὐδεμιᾶς αἰτίας οὐδὲ τὸ πρέπον τῷ πατρὶ μὴ πάντα εἶναι μειούσης, οὔτε πρὸς τὸ ἔχειν τὸ βουλητὸν ἐμποδιζούσης. ἐπεὶ οὖν φύσει τὸ ἀγαθόν, μᾶλλον δὲ παντὸς ἀγαθοῦ ἐπέκεινα ὁ μονογενὴς Θεός, οὐκ ἀβούλητον δὲ τῷ πατρὶ τὸ ἀγαθόν· φανερῶς ἀποδείκνυται διὰ τούτων, ὅτι καὶ ἄμεσος ἐστὶ τοῦ υἱοῦ ἡ πρὸς τὸν πατέρα συνάφεια, καὶ οὐκ ἐξωθεῖται οὐδὲ ἐξείργεται ἀπὸ τῆς ἀδιαστάτου συναφείας τὸ βούλημα τὸ τῇ ἀγαθῇ φύσει διὰ παντὸς ἐνυπάρχον. εἰ δέ τις ἀνεπηρεάστως ἀκούει τοῦ λόγου, καὶ τοιοῦτόν τι τοῖς εἰρημένοις προσθεῖναι βούλομαι. ὥσπερ εἴ τις, λέγω δὲ καθ' ὑπόθεσιν, προαιρετικήν τινα τῇ φλογὶ δύναμιν δοίη, δῆλον ἂν εἴη ὅτι ὁμοῦ τῷ εἶναι ἡ φλὸξ καὶ τὴν αὐγὴν ἐκλάμπειν ἀφ' ἑαυτῆς θελήσει· θελήσασα δὲ πάντως οὐκ ἀδυνατήσει, τῆς φυσικῆς δυνάμεως ἐπιτελὲς ποιούσης ὁμοῦ τῷ συστῆναι τὴν φλόγα, τὸ περὶ τῆς αὐγῆς βούλημα. ὡς ἀναντιρρήτως εἰ τοῦτο δοθείη τὸ προαιρετικῶς κινεῖσθαι τὴν φλόγα, πάντων κατὰ ταυτὸν

A vt quadam neceſſitate naturæ, & inuoluntariè filium habeat: neque voluntas filium à patre diſiungit, velut interuallum quoddam intermedium incidens. Quare neque ab hoc dogmate licet excludere in filij generatione, voluntatem eius qui genuit, veluti in anguſtias adductam in cohærentia vnionis filij cum patre, neque indiſiunctam diſſoluere cohæſionem, cum in generatione inſpicitur voluntas. Hoc enim eſt noſtræ grauis & motu difficilis naturæ proprium, non in eodem inſtanti adeſſe nobis multos, & aliquid habere & velle: ſed modò
B aliquid eorum quæ non habemus volumus habere, poſt verò aſſequimur ea quę minimè vellemus. In ſimplici autem & omnipotenti natura ſimul omnia & in eodem inſtanti intelliguntur, & velle bonum, & habere quod voluit. Omnino enim efficax & coëſſentialis veréque ſubſiſtens in æterna natura bona ſempiternáque conſideratur voluntas, neque ab alio quoquam ſeparato principio innaſcitur, neque abſque eo quod in voluntatem cadit, poteſt intelligi. Neque enim in Deum cadit, vel bonam volun-
C tatem non eſſe, vel bonum ſimul cum voluntate non adeſſe: cùm nulla ſit cauſa, quæ quod patri conuenit, quominus totum non adſit, minuat, vel quominus id quod vult habere impediat. Quoniam igitur natura bonum, vel vt rectius dicam, ſupra omne bonum, vnigenitus eſt: at patri bonum non eſt ingratum & præter voluntatem: manifeſtè per hæc demonſtratur, quod etiam immediata eſt filij cum patre connexio, neque extruditur aut arcetur ab indiuidua cohæſione voluntas quæ bonæ naturæ ſemper ineſt. Quod ſi quis inoffenſo animo
D hunc auſcultat ſermonem, tale quid etiam dictis volo adijcere. Quemadmodum ſi quis, dico autem ex ſuppoſitione, electiuam ſiue voluntariam aliquam flammæ facultatem dederit; perſpicuum fuerit quod ſimul atque eſſe cœperit, flamma etiam ex ſeipſa fulgorem velit elucere: volens autem non erit impios, cùm naturalis eius facultas id efficere poſſit, vt ſimul ac flamma conſtiterit, voluntatem etiam fulgendi habeat. Ita vt citra contradictionem, ſi hoc datum fuerit, voluntario nempe motu flammam moueri, hæc omnia

concurrere ſimul intelligantur. Et ignis accenſio & fulgendi voluntas ac denique fulgor ipſe, cùm voluntarius iſte motus fulgoris ſubſiſtentiæ dignitatem nullo modo impediat. Sic per hoc quod à nobis allatum eſt exemplum, etiamſi patri bonam voluntatem ineſſe confitearis, non tamen propter eiuſmodi voluntatem filium à patre ſeparabis. neque enim conſentaneum eſt, vt illud quod videlicet ipſe filius voluntate patris ſit genitus, impedimento ſit quominus illicò cum volũtate ſit genitus. Sed quemadmodum in oculo videre & velle videre, illud quidem eſt naturæ operationis: velle autem arbitrij. Attamen hic voluntatis motus non impedimentum ſed voluntatem actu videndi ad hoc ipſum ingenerat: nam ſigillatim & ſeparatim horum vnumquodque in ſeipſo conſideratur, & alterum alteri non eſt impedimento vt ſit, ſed hæc duo inter ſe mutuò quodammodo ſunt: nam & naturalis videndi actus voluntatem ſequitur, & rurſum voluntas ab hoc motu videndi, qui eſt ſecundùm naturam, non deſeritur. Vt igitur oculo inſpectio ſeu viſio naturâ inſita eſt, & videndi voluntas nullam dilationem ad ipſum videndi actum attulit, ſed vult ei adeſſe viſum, & quod vult eſt. Sic & in ineffabili, omnémque cogitationem ſuperante natura, omnia ſimul & ſecundum idem eſſe intelligimus, & æterni patris exiſtentia & generandi filij voluntas, & ipſemet filius qui ſecundum Ioannem in principio erat, & non poſt principium intelligitur. Principium quidem vniuerſi pater eſt, ſed in hoc principio etiam filius eſſe prædicatus eſt, illud cum ſit ſecundum naturam, quod eſt principium. Deus enim eſt ipſum principium, & Deus eſt quod in principio erat Verbum. Cùm autem principium æternitas principij eſſet demonſtrata, præclarè Ioannes in principio copulat, cùm verbum in ipſo eſſe dicit: hoc vt opinor præſtruens, ne videlicet præuentus auditor, ſolum per ſe principium eſſe ſtatim intelligat, ſed antequam ipſum principium in mente audientis imprimatur, Verbum etiam ſimul cum principio intelligatur, illud ens quod ipſum eſt principium, ſimul cum ipſo in audientis mentem ſubiens, & vnà cum principio in auditu inſitus. Cùm igitur dogmatis noſtri aſſertionem,

A τὴν συνδρομὴν νοεῖσθαι. τῆς τε τοῦ πυρὸς ἐξάψεως, καὶ τοῦ περὶ τὴν αὐγὴν θελήματος, καὶ αὐτῆς τῆς αὐγῆς, ὡς μηδὲν τῆς προαιρετικῆς κινήσεως πρὸς τὴν ἀξίαν τῆς αὐγῆς ὑπόστασιν ἐμποδιζούσης. οὕτως κατὰ τὸ ῥηθὲν ἡμῖν ὑπόδειγμα, κἂν τῷ πατρὶ τὸ ἀγαθὸν θέλημα συνομολογῶν, οὐκ ἀποστήσεις διὰ τοῦ θελήματος τοῦ πατρὸς τὸν υἱόν. οὐδὲ γὰρ εἰκός ἐστι τὸ τοῦ εἶναι αὐτὸν βούλημα, ἐμπόδιον τοῦ εὐθὺς εἶναι γίνεσθαι. ἀλλ' ὥσπερ ἐν τῷ ὀφθαλμῷ τό τε βλέπειν, καὶ τὸ θέλειν βλέπειν, τὸ μὲν τῆς φύσεώς ἐστιν
B ἐνέργεια, τὸ δὲ ἑρμηνεῦσαι τῆς προαιρέσεως. οὐ μὴν ἐμπόδιον, ἀλλὰ βουλὴν ἐμποιεῖ τῇ ἐνεργείᾳ τοῦ βλέπειν πρὸς αὐτὸ τοῦτο τῆς προαιρέσεως ἡ κίνησις. ἴδια γὰρ τούτων ἑκάτερον καὶ ἐφ' ἑαυτοῦ θεωρεῖται, οὐδὲν ἐμπόδιον πρὸς τὸ εἶναι τὸ ἕτερον τῷ ἑτέρῳ γινόμενον, ἀλλὰ τὰ δύο, τρόπον τινὰ μετ' ἀλλήλων ἐστί, τῆς τε φυσικῆς ἐνεργείας τῇ προαιρέσει παρομαρτούσης, καὶ τῆς προαιρέσεως πάλιν τοῦ κατὰ φύσιν οὐκ ἀπολιμπανομένης κινήματος. ὡς οὖν τῷ ὀφθαλμῷ ἡ κατανόησις συμφυής ἐστι, καὶ ἡ τοῦ ὁρᾶν βούλησις, οὐδεμίαν ὑπερθέσιν
C πρὸς αὐτὸ ὁρᾶν ἐνεποίησεν, ἀλλὰ καὶ θέλει αὐτῷ εἶναι τὴν ὅρασιν, καὶ ὃ θέλει ἐστίν. οὕτω καὶ ἐπὶ τῆς ἀῤῥήτου καὶ ὑπὲρ πᾶσαν ἔννοιαν φύσεως, πάντων ἅμα κατὰ ταυτὸν ἐγγίνεται ἡμῖν ἡ διάνοια, τῆς τε ἀϊδίου τοῦ πατρὸς ὑπάρξεως, καὶ περὶ τὸν υἱὸν θελήματος, καὶ αὐτοῦ τοῦ υἱοῦ, τοῦ, καθώς φησιν ὁ Ἰωάννης, ἐν τῇ ἀρχῇ ὄντος, καὶ οὐ μετὰ τὴν ἀρχὴν νοουμένου. ἀρχὴ δὲ τοῦ παντὸς ὁ πατήρ. ἀλλ' ἐν τῇ ἀρχῇ ταύτῃ καὶ ὁ υἱὸς εἶναι κεκήρυκται, ἐκεῖνο ὢν κατὰ τὴν φύσιν, ὅπερ ἐστὶν ἡ ἀρχή. Θεὸς γὰρ καὶ ἡ ἀρχή, καὶ ὁ ἐν τῇ ἀρχῇ ὢν λόγος, Θεός ἐστι. τῆς δὲ ἀρ-
D χῆς τὸ ἀΐδιον ἐνδεικνυμένης, καλῶς ὁ Ἰωάννης ἐν τῇ ἀρχῇ συνάπτει τὸν λόγον, ἐν αὐτῇ εἶναι λέγων τὸν λόγον· τοῦτο ὡς οἶμαι κατασκευάζων, ἵνα μὴ φθάσῃς μόνη καθ' ἑαυτὴν ἐγγενέσθαι ἡ ἀρχὴ τῷ ἀκούσαντι, ἀλλὰ πρὶν ταύτην ἐντυπωθῆναι τῇ διανοίᾳ συγκαταλημφθῇ τῇ ἀρχῇ καὶ ὁ λόγος ὁ ἐν ἐκείνῃ ὤν, συνεισελθὼν μετ' αὐτῆς εἰς τὴν τοῦ ἀκούοντος ἔννοιαν, καὶ μετὰ τῆς ἀρχῆς τῇ ἀκοῇ ἐγγενόμενος. οὕτωσὶ δὲ τοῦ δόγματος ἡμῖν διευκρινηθέντος,

καιρὸς ἂν εἴη καὶ τὸν ἐναντίον παραθεῖναί καὶ θεωρῆσαι λόγον, ἐκ παραλλήλου πρὸς τὰς ἡμετέρας ὑπολήψεις ἀντεξεταζόντα, λέγει δὲ οὕτως. δύο γὰρ ὄντως, φησὶ, τῶν ὑφ' ἡμῶν εἰρημένων, τοῦτε πρὸ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ μονογενοῦς, καὶ τοῦ γεννηθεῖσαν πρὸ πάντων εἶναι, οὐθ' ἕτερον τῶν εἰρημένων ἐλέγχει ψεῦδος. οὔτε γὰρ ὡς πρὸ τῆς ἀνωτάτω γεννήσεως καὶ συστάσεως ἦν, εἰπεῖν ἐτόλμησεν, ἀντιπιπτούσης τῆς τοῦ πατρὸς φύσεως, καὶ τῆς τῶν σωφρονούντων κρίσεως. τίς γὰρ ἂν καὶ παραδέξαιτο σωφρονῶν υἱὸν ὄντα καὶ γεννητὸν, πρὸ τῆς ἀνωτάτω γεννήσεως, μὴ δεόμενον γεννήσεως πρὸς τὸ εἶναι ὅ ἐστι τοῦ χωρὶς γεννήσεως ὄντος. εἰ μὲν οὖν ἀληθεύει τὸν διδάσκαλον ἡμῶν μηδὲν ἠγωνίσθαι λέγων πρὸς τὰς ἀντιθέσεις, ἴδοιεν πάντες ὅσοι τοῖς λόγοις ἐκείνου καθωμιλήκασιν. ἐγὼ δὲ, μικρὸν γὰρ εἰς ἀπόδειξιν κακίας τὸν ἔλεγχον τῆς περὶ ταῦτα συκοφαντίας εἶναι λογίζομαι, καταλιπὼν τὸ δεῖξαι μὴ ἀνεξέταστον παρεωρᾶσθαι τὸ μέρος τοῦτο παρὰ τοῦ διδασκάλου, περὶ τὴν ἐξέτασιν τῶν προστεθέντων, ὅπως ἂν οἷόν τε ᾖ, τρέψω τὸν λόγον. δύο, φησὶν, ἐν τῷ καθ' ἑαυτὸν εἰρηκέναι λόγῳ, ἓν μὲν, τὸ πρὸ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ μονογενοῦς· ἕτερον δὲ, τὸ γεννηθεῖσαν πρὸ πάντων εἶναι. ἀλλ' ὅτι μὲν οὐ καινή τις οὐσία παρὰ τοῦ πατρὸς ἐγεννήθη ἔξω τῆς ἐν αὐτῷ τῷ πατρὶ θεωρουμένης, ἱκανῶς οἴομαι διὰ τῶν προειρημένων ἡμῖν ἀποδεδεῖχθαι, καὶ μηδὲν χρήζειν ἡμᾶς ὡς πρώτως ἡμῖν, προενεχθέντος τοῦ λόγου, πρὸς τὴν τοιαύτην βλασφημίαν συμπλέκεσθαι, πρὸς δὲ τοῦτο μόνον ἀναγκαῖον εἶναι τὴν σπουδὴν γενέσθαι τῷ λόγῳ, πρὸς τὴν ἄθεον αὐτοῦ λέγω καὶ φρικώδη φωνὴν, τὴν φανερῶς ἐκπουδάσαν περὶ τοῦ Θεοῦ λόγου, ὅτι οὐκ ἦν· ἀλλὰ καὶ περὶ ταύτης τῆς βλασφημίας ἐν τοῖς προειρημένοις μετρίως διαλαβόντος τοῦ λόγου, τάχα περιττὸν ἂν εἴη πάλιν διὰ τῶν ὁμοίων θεωρημάτων, τὰ προαποδεδειγμένα κατασκευάζειν. τούτου γὰρ ἕνεκεν καὶ προείρηται παρ' ἡμῶν ἐκεῖνα, ὡς τῆς εὐσεβοῦς διανοίας προεντυπωθείσης, τοῖς ἐντυγχάνουσι καταφανεστέραν γενέσθαι τῶν ἐναντίων τὴν βλασφημίαν. τῶν ἐπὶ τοῦ μονογενοῦς Θεοῦ τὸ μὴ εἶναι

A ſic diſtinxerimus, oportunum fuerit contrarium ſermonem proponere & ſpeculari, ex aduerſo cum noſtris opinionibus facta collatione, ſic autem dicit. [Cùm enim, inquit, duo verè dixerimus, quod videlicet ante propriam generationem non erat vnigeniti eſſentia, & quod ante omnia eſt genita, neutrius horum arguit mendacium, neque enim quod ante ſupremam generationem & conſtitutionem erat, auſus eſt dicere, reluctante patris natura, & prudentum aduerſante iudicio. Quis enim compos mentis & iudicij, admittat filium eſſe & genitum B ante ſupremam generationem, ac ſi non indigeret generatione vt eſſet, id quod eſt is qui abſque generatione eſt.] Si igitur verum eſt quod aſſerit, magiſtrum noſtrum nihil egiſſe aduerſus eius oppoſitiones: viderint omnes quicunque in illius ſermonibus verſati ſunt. Ego verò, quoniam parùm ad demõſtrandam eius malitiam facere arbitror, cum in his palàm calumniatum arguiſſe, omittam oſtendere, magiſtrum noſtrum non inexcuſſam prætermiſiſſe eam partem, & ad examinanda ea quæ ab ipſo proponun- C tur quantùm fieri poterit orationem conuertam. Duo (inquit) in ſuo ſermone dixiſſe, vnum quidem quòd ante generationem quæ ipſi propria eſt, vnigeniti eſſentia non erat: alterum verò quod ante omnia genita eſt eius eſſentia. Sed quod non noua quædam eſſentia à patre ſit genita, extra eamque in ipſo patre conſideratur, abundè per ea quæ dicta ſunt à nobis, demonſtratum eſſe exiſtimo: nihílque opus eſſe nos, vt primum nobis prolato ſermone, cum tali blaſphemia confligere: ſed in hoc ſolum neceſſarium eſſe ſtudio incumbere in hac di- D ſputatione, dico aduerſus horribilem & impiam eius vocem obnixè contendere, quæ apertè dixit de Verbo Deo, quod non erat. Sed de hac blaſphemia in antedictis cum iam diſſeruimus fortaſſe ſuperuacaneum fuerit rurſus per ſimilia theoremata, id eſt ſpeculamina, quæ prius fuerunt demonſtrata extruere. Hac enim de cauſa in ſuperioribus ſermonibus illa præmiſimus, vt his qui in hæc ſcripta inciderint, pia notione ac intelligentia præmunitis manifeſtior fiat aduerſariorum blaſphemia, qui in vnigenito Deo non eſſe

Verba Eunomij.

Baſilium nempe quo contra Eunomiũ ſcripſerat.

plicare pollicetur ne verbum quidem. Nam ingenitè eſſe vnum eſt eorum quæ in eo qui eſt conſiderantur. Alia enim oratio quæ dicit eſſe: alia verò quæ ait quodam modo eſſe. Quod hucuſque eſt ineffabile, nec per ea quæ dicta ſunt explicabile. Prius igitur nobis eſſentiæ nomina manifeſtet: tum demùm appellationum fallacijs naturã diuidat. Donec enim quod quæritur manet non expreſſum: in caſſum hęc de nominibus ab ipſo artificiosè excogitata fuerint, cùm non ſint nomina. Talis igitur robuſtior illa Eunomij anſa aduerſus veritatem, cum multa in hac parte ſcriptionis dogmata ſilẽtio ſint prætерita. Nam mihi quidem videtur eos decere qui in hoc armorum curriculo verſantur aduerſus veritatis hoſtes, vt contra eos quidem armentur qui ſpecioſa quadam mendacij probabilitate muniti eſſe videntur; minimè vero ſermonem contaminare in cadauerosis ac putidis aliorum notionibus. Nam putare omnia quæ eſſentiæ ratione vnita ſunt omnia etiam corporeæ corruptioni alligata eſſe: hoc enim quod hac in parte ait, vt cadauerosãm graueolentiã libens transgrediar: cuiuſuis puto mentem habentis, in promptu conſpicere eſt, quod mortuum eſt & collapſum in eius oratione. Quis enim ignorat infinitam eſſe humanarum animarum multitudinem, vnam verò eſſentiam omnibus ſubijci: & quod in ipſi eſt ſubiectum à corporum labe & corruptione alienatum eſſe. Ita vt etiam paruulis notus ſit ſermo. Quod corpora non quia ſint inter ſe eiuſdem eſſentiæ corrumpuntur & diſſoluuntur, ſed quia compoſitam indepta ſunt naturam. Alia enim compoſiti, alia ſubiecti, eſſentiæ ratio. Quare dicere quod corpora quæ ſunt eiuſdem ſubſtantiæ corruptione ſunt obnoxia, verum eſt, conuerſio autem verum non habet. Quod quidquid eſt eiuſdem ſubſtantiæ, hoc ſit omnino corruptibile, ſicut oſtenditur, quorum vna eſt eſſentia, in animis communioni tamen eſſentiæ interitus non ineſt. Quod verò de animis definiuimus, id etiam de omni intellectuali ſubſtantia quæ in creatura ſpectatur, verè vt propriè dici poteſt. Non enim vt vult Eunomius, à Paulo collectæ voces virtutum transmundanarum naturas aliquas inter ſe differentes & diſpares ſignificant: ſed appel-

A καταπαγγέλλεται. τὸ γὰρ ἀγεννήτως εἶναι, ἓν τῶν ἐπιθεωρουμένων ἐστὶ τῷ ὄντι. ἄλλος δὲ τοῦ εἶναι καὶ ἄλλος τοῦ πῶς εἶναι ὁ λόγος. ὁ μέχρι τοῦ νῦν ἄρρητόν τε καὶ ἀνερμήνευτον ἐκ τῶν εἰρημένων ἐστίν. οὐκοῦν φανερωσάτω πρότερον ἡμῖν τὰ τῆς οὐσίας ὀνόματα· καὶ τότε τῇ παραλογίᾳ τῶν προσηγοριῶν διατεμνέτω τὴν φύσιν. ἕως δ' ἂν ἀνεκφώνητον τὸ ζητούμενον μένῃ, μάτην αὐτῷ τὰ περὶ τῶν ὀνομάτων τεχνολογεῖται, τῶν ὀνομάτων οὐκ ὄντων. ἡ μὲν οὖν ἰσχυροτέρα τῶν Εὐνομίου κατὰ τῆς ἀλη-

B θείας λαβὴ, τοιαύτη. πολλῶν κατὰ μέρος τοῦτο τῆς λογογραφίας σιωπηθέντων δογμάτων. δοκεῖ γάρ μοι πρέπειν τοῖς τὸν ἐνόπλιον τοῦτον κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας τρέχουσι δρόμον, πρὸς τοὺς πεφραγμένους πως τῇ πιθανότητι τοῦ ψεύδους ὁπλίζεσθαι· τοῖς δὲ νεκροῖς τε καὶ ὀδωδόσι τῶν νοημάτων, μὴ ἐμμολύνειν τὸν λόγον. τὸ γὰρ οἴεσθαι πάντα ὅσα τῷ τῆς οὐσίας ἥνωται λόγῳ, πάντως καὶ ἐν σωματικῇ φθορᾷ συνεζεῦχθαι· τοῦτο γάρ ἐν τῷ μέρει τούτῳ φησὶν, ὡς νεκρώδη δυσωδίαν,

C ἑκὼν ὑπερβήσομαι· παντὸς οἶμαι τοῦ νοῦν ἔχοντος ἐκ τοῦ προχείρου καθιδεῖν δυναμένου τὸ τεθνηκός τε καὶ διαπεπτωκὸς τοῦ λόγου. τίς γὰρ οὐκ οἶδεν ὅτι πλῆθος μὲν ἄπειρον τῶν ἀνθρωπίνων ἐστὶ ψυχῶν, οὐσία δὲ πάσαις ὑπόκειται μία· καὶ τὸ ὑποκείμενον ἐν αὐταῖς τῆς σωματικῆς διαφθορᾶς ἠλλοτρίωται. ὥστε νηπίοις φανερὸν εἶναι τὸν λόγον. ὅτι τὰ σώματα οὐ διὰ τὸ ὁμοούσια εἶναι ἀλλήλοις, διαφθείρεταί τε καὶ διαλύεται. ἀλλὰ διὰ τὸ σύνθετον εἰληφέναι τὴν φύσιν. ἄλλος δὲ τοῦ συν-

D θέτου, καὶ ἕτερος τοῦ ὑποκειμένου τῆς οὐσίας λόγου. ὥστε τὸ μὲν ὁμοούσια τὰ φθαρτὰ σώματα λέγειν, ἀληθές ἐστιν, ἡ δὲ ἀναστροφὴ τὸ ἀληθὲς οὐκ ἔχει, πᾶν τὸ ὁμοούσιον τοῦτο καὶ φθαρτόν ἐστι πάντως. ὡς ἐπὶ τῶν ψυχῶν ἀποδείκνυται, ὧν καὶ οὐσία μία, καὶ φθορὰ τῇ κοινότητι τῆς οὐσίας οὐ πρόσεστιν. ὁ δὲ περὶ τῶν ψυχῶν ἀποδοθεὶς λόγος, καὶ περὶ πάσης νοερᾶς ὑποστάσεως τῆς ἐν τῇ κτίσει θεωρουμένης οἰκείως ἂν ἔχοι. οὐ γὰρ καθὼς Εὐνόμιος βούλεται, αἱ παρὰ τοῦ Παύλου κατειλεγμέναι φωναὶ τῶν ὑπερκοσμίων δυνάμεων φύσεις τινὰς ἀλλήλων παρηλλαγμένας σημαίνουσιν· ἀλλ'

ἡ τῆς προσηγορίας σημασία σαφῶς ἐνδείκνυται, τὸ μὴ φύσεων διαφοράς, ἀλλὰ τῆς ἐπουρανίου στρατιᾶς τὰς ποικίλας τῶν ἐνεργειῶν ἰδιότητας, τῷ λόγῳ παρίστασθαι. Ἀρχαὶ γάρ, φησι, καὶ θρόνοι καὶ ἐξουσίαι καὶ δυνάμεις, καὶ κυριότητες. ταῦτα δὲ τὰ ὀνόματα τοιαῦτά ἐστιν, ὡς αὐτόθεν παντὶ πρόδηλον εἶναι, τὸ καὶ ἐνεργείας τινὸς τετάχθαι τὰ σημαινόμενα. τὸ γὰρ ἄρχειν, καὶ τὸ ἐξουσιάζειν καὶ τὸ κυριεύειν, καὶ τὸ θρόνον εἶναί τινος· ταῦτα πάντα οὐκ ἂν ὁ λελογισμένος εἰς οὐσιῶν διαφορὰς ἐπαγάγῃ, προδήλως τῆς ἐνεργείας ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαινομένης. ὥστε ὁ λέγων φύσεων διαφορὰς ἐν τοῖς κατειλεγμένοις ὀνόμασι παρὰ τοῦ Παύλου σημαίνεσθαι, φρεναπατᾷ ἑαυτόν, καθώς φησιν ὁ ἀπόστολος, μὴ εἰδὼς μήτε ἃ λέγει, μήτε περὶ τίνων διαβεβαιοῦται, σαφῶς ἐνδεικνυμένης τῆς τῶν ὀνομάτων σημασίας, ὅτι ἀξιωμάτων τινῶν διαφορὰς ὁ ἀπόστολος ἐν ταῖς νοηταῖς δυνάμεσιν οἶδεν, οὐκ οὐσιῶν ἰδιότητας διὰ τῶν ὀνομάτων ἐνδείκνυται.

A lationem ſignificantia apertè demonſtrat non naturarum differentias, ſed cœleſtis militiæ varias functionum, muneris, ſiue operationum proprietates oratione ſignificari. Principatus enim (inquit) & throni, & dominationes & poteſtates & virtutes: hæc autem nomina talia ſunt, vt inde cuiuis perſpicuum eſſe poſſit, ea quæ ſignificantur ordinata eſſe ad aliquam muneris functionem. Nam principatum tenere, habere poteſtatem, dominari, & thronum eſſe ſiue ſolium alicuius: hæc omnia qui ratione expenderit, non ad eſſentiarum differentias reduxerit, cum apertè functio muneris in quoque nomine ſignificetur. Quare qui dicit naturarum differentias in illis à Paulo collectis nominibus ſignificari, ſeipſum ſeducit, vt loquitur Apoſtolus, neque ſciens quæ dicit, neque de quibus affirmat, quia apertè nominum ſignificantia demonſtat, quod Apoſtolus per hæc nomina quarumdam dignitatum differentias in intellectualibus virtutibus nouit, non eſſentiarum proprietates oſtendit.

Coloſſ. 1.

B

1. Tim. 1.

A

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM,

ORATIO VII.

EVNOMII quidem valida rationum firmamenta ita ſe habent: Ego autem, cùm ea quæ pollicitus fuerat, argumentorum robora ita carioſa & inualida ſint oratione demonſtrata, reliqua ſilentio præterire arbitror oportere, quia valentioribus reliquis proſtratis argumentis, alia ſimul eadem virtute profligantur: quemadmodum in bellis vſu venit, cùm pars aliis potentior occubuit, reliqua pars exercitus nullo deinceps in pretio à victoribus habetur. Sed caput blaſphemiæ quod in ſequenti orationis ſerie præponitur, non ſinit me tacere. Nam ex eo quod non eſt, ad id quod eſt, vnigenitum prodiiſſe, hoc certè horribile, Deumque negãs omníque impietate magis fugiẽdum Eunomij dogma, nunc in conſequenti ſermone molitur. Sed quoniam omnibus hoc errore incãtatis, in lingua promptum eſt ad præſtruendum vnigenitum, qui omnem creaturam ex nihilo creauit, ex eo quod ante non erat, eſſe: quod nempe dicunt, Si erat non eſt genitus: & ſi genitus eſt, non erat. Ac propterea huic errori ex huiuſmodi multum acceſſit auxilij: quandoquidem ij qui animo ſunt imbecilliore, hac apparente & ſuperficiaria probabilitate anguſtiis vrgentur, & ad conſentiendum huic blaſphemiæ pertrahuntur, neceſſe eſt radicem amaritudinis huius placiti non prætérire: ne, ſicut ait Apoſtolus, ſurſum creſcens moleſta interturbet. Ac primùm quidẽ hunc in ſeipſo ſermonem conſiderandum eſſe dico, ſine reſpectu ad eam quæ nobis eſt cum aduerſariis pugnam: tum demùm ad diſquiſitionem & confutationem eorum quæ proponuntur eſſe veniendum.

Videtur alludere ad id quod ſcribit D. Paulus, 2. ad Tim. 2. ſermo eorum vt cancer ſerpit.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Ζ.

B ΤΑ μὲν ἰσχυρὰ τῶν τοῦ Εὐνομίου τοιαῦτα. ἐγὼ δὲ τῶν ἐν ἐπαγγελίᾳ δυνάμεων οὕτω σαθρῶν τε καὶ ἀνυποστάτων ἐπιδειχθέντων τῷ λόγῳ, σιωπὴν οἶμαι δεῖν ἐπὶ τῶν ὑπολοίπων, τοῖς κατὰ τῶν ἰσχυρῶν ἐλέγχοις καὶ τῶν ἄλλων τῇ δυνάμει συναπελεγχθέντων. καθάπερ ἐπὶ τῶν πολέμων συμβαίνει· τοῦ δυνατωτέρου τῶν ἄλλων καταπεσόντος μηκέτι τὸ λειπόμενον τῆς στρατιᾶς ἐν λόγῳ τινὶ τοῖς κεκρατηκόσι τοῦ ἰσχύοντος γίνεσθαι. C ἀλλ' οὐκ ἐᾷ σιωπᾶν τὸ κεφάλαιον τῆς βλασφημίας ἐν τοῖς ἐφεξῆς τοῦ λόγου προκείμενον. τὴν γὰρ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τοῦ μονογενοῦς πάροδον, τοῦτο δὴ τὸ φρικτόν τε καὶ ἄθεον, καὶ πάσης ἀσεβείας φευκτότερον δόγμα τοῦ Εὐνομίου, νῦν ἐν τῇ ἀκολουθίᾳ τοῦ λόγου κατασκευάζεται. καὶ ἐπεὶ πᾶσι τοῖς διὰ τῆς ἀπάτης ταύτης γεγοητευμένοις, ἕτοιμον ἐπὶ γλώσσης ἐστὶν εἰς κατασκευὴν τοῦ ἐκ μὴ ὄντος εἶναι τὸν μονογενῆ, καὶ πᾶσαν τὴν κτίσιν D ἐξ οὐκ ὄντων ποιήσαντα, τὸ λέγειν εἰ ἦν, οὐ γεγέννηται· καὶ εἰ γεγέννηται οὐκ ἦν. καὶ πολλὴν ἔχει διὰ τοῦτο ἡ ἀπάτη τὴν συμμαχίαν, τῶν μικροψυχοτέρων ἐν τῇ ἐπιπολαίῳ ταύτῃ πιθανότητι στενοχωρουμένων, καὶ πρὸς κατάθεσιν τῆς βλασφημίας ὑπαγομένων. ἀνάγκη μὴ παρελθεῖν τὴν ῥίζαν τῆς πικρίας τοῦ δόγματος· ἵνα μή, καθώς φησιν ὁ ἀπόστολος, ἄνω φύουσα ἐνοχλῇ. πρότερον δέ φημι δεῖν αὐτὸν ἐφ' ἑαυτοῦ τὸν λόγον κατανοῆσαι, δίχα τῆς πρὸς τοὺς ἐναντίους μάχης· εἶθ' οὕτως ἐπὶ τὴν ἐξέτασίν τε καὶ τὸν ἔλεγχον τῶν ἐκτεθέντων ἐλθεῖν· ἐν

A γνώρισμα τῆς ἀληθινῆς θεότητος ὁ τῆς ἁγίας γραφῆς ὑποδείκνυσι λόγος, ὃ διὰ τῆς ἄνωθεν φωνῆς ἐδιδάχθη ὁ Μωϋσῆς, ἀκούσας τοῦ εἰπόντος· ὅτι ἐγώ εἰμι ὁ ὤν. Οὐκοῦν τοῦτο μόνον θεῖον εἶναι ὡς ἀληθῶς πιστεύειν οἰόμεθα δεῖν ὃ κατὰ τὸ ἀΐδιόν τε καὶ ἀόριστον ἐν τῷ εἶναι καταλαμβάνεται· καὶ πᾶν τὸ περὶ αὐτὸ θεωρούμενον ἀεὶ ὡσαύτως ἔχει, οὔτε προσγινόμενον οὔτε ἀπογινόμενον. ὥστε εἴ τις λέγοι περὶ Θεοῦ, ὅτι πρότερον μὲν ἦν, νῦν δὲ οὐκ ἔστιν, ἢ ὅτι νῦν μέν ἐστι, πρότερον δὲ οὐκ ἦν, ἐπίσης ἄθεον κρίνομεν τῶν εἰρημένων ἑκάτερον· κολοβοῦται γὰρ ὁμοίως δι' ἀμφοτέρων ὁ
B τῆς ἀϊδιότητος λόγος, καθ' ἑκάτερον μέρος ὁμοίως τῷ ἀνυπάρκτῳ περικοπτόμενος. Εἴ τε προαποθεωροίη τις τὸ μὴ ὂν τοῦ ὄντος, εἴτε καταλήγειν τὸ ὂν εἰς τὸ μὴ ὂν ἀποφαίνεται, οὐδὲν παραμυθεῖται τὴν ἀσεβῆ περὶ τὸ θεῖον ὑπόληψιν, ἐν πρώτοις ἢ τελευταίοις ἐπιθρυλλούμενον τῷ Θεῷ τὸ ἀνύπαρκτον. Διὰ τοῦτο τὴν περὶ τοῦ μὴ εἶναί ποτε τὸν ὄντως ὄντα κατασκευὴν ἀπόφασίν τε καὶ ἀθέτησιν τῆς ἀληθινῆς θεότητος εἶναι διοριζόμεθα. Ἐπεὶ γὰρ ὁ μὲν διὰ τοῦ φωτὸς ἑαυτὸν τῷ Μωϋσῇ δείξας, ὄντα ἑαυτὸν ὀνομάζει, λέγων· ἐγώ εἰμι ὁ
C ὤν. Ἡσαΐας δὲ καθάπερ ὄργανον τοῦ ἐν αὐτῷ φθεγγομένου γενόμενος, ἐκ προσώπου λέγει τοῦ ὄντος. ὅτι ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, ὡς διὰ τούτου νοεῖσθαι καθ' ἑκατέραν ἔννοιαν ἐπὶ Θεοῦ τὸ ἀΐδιον. ὁμοίως δὲ καὶ ἡ πρὸς τὸν Μανωὲ γενομένη φωνή, τὸ ἀπερίληπτον εἶναι τῆς διὰ τοῦ ὀνόματος σημασίας τὸ θεῖον ἐνδείκνυται, ὅτι μαθεῖν ἀξιοῦντος τοῦ Μανωὲ τὸ ὄνομα, ὡς προσελθούσης εἰς ἔργον τῆς ἐπαγγελίας ἐπ' ὀνόματος δοξάσῃ τὸν εὐεργέτην, λέγει πρὸς αὐτόν. τί
D τοῦτο ἐρωτᾷς, καὶ αὐτό ἐστι θαυμαστόν. ὡς διὰ τούτου μαθεῖν, ὅτι ἕν ἐστι σημαντικὸν τῆς θείας φύσεως ὄνομα, τὸ ἀρρήτως περὶ αὐτῆς ἡμῖν θαῦμα κατὰ ψυχὴν ἐγγινόμενον. ὡσαύτως δὲ καὶ ὁ μέγας Δαβίδ, ἐν τοῖς καθ' ἑαυτὸν λόγοις, τὸ ἴσον βοᾷ. ὡς πάσης μὲν τῆς κτίσεως ὑπ' αὐτοῦ παραχθείσης εἰς γένεσιν· μόνου δὲ τοῦ Θεοῦ ὡσαύτως ἀεὶ τε ὄντος, καὶ εἰσαεὶ διαμένοντος. ἐν οἷς φησί, σὺ δὲ ὁ αὐτὸς εἶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

A Veræ diuinitatis vnum indicium & inſigne ſanctæ ſcripturæ ſermo indicat, quod Moſes voce cælitus emiſſa didicit, cum audiuit eum qui dixit: Ego ſum qui ſum. Ergo hoc ſolum numen eſſe verè credendum eſſe arbitramur, quod ſecundùm æternitatem & infinitatem in eſſe deprehenditur: & quicquid in ipſo ſpectatur ſemper eodem modo ſe habet, neque in eo fit quicquam vel prius vel poſterius. Quare ſi quis dicat de Deo quod prius quidem erat, nunc autem non eſt: vel quod nunc quidem eſt, prius autem non erat: ex æquo impium vtrumque dictorum cenſemus: pariter enim per vtrumque æternitatis ratio
B mutilatur ab vtraque parte a non exiſtente circumciſa. Si quis proſpicere velit non ens in ente, vel deficere ens in non ens pronunciat, hic impiam de Deo opinionem in animis inſitam nihil iuuat, in primis ſeu poſtremis, id quod non exiſtit in Deo, paſſim aſſerens. Quapropter eum qui verè eſt non eſſe adſtruere, negationem contemptúmque eſſe veræ deitatis diſertè & expreſsè dicimus. Siquidem ille qui ſemetipſum per lucem Moſi demonſtrauit, entem ſeipſum nominat dicens, Ego ſum qui ſum. Iſaias verò tanquam inſtrumentum eius, qui in eo loquebatur factus ex perſona eius
C qui eſt dicit: Ego primus & ego poſt hæc, vt per hoc ſecundum vtramque notitiam quod æternum eſt, in Deo intelligatur. Similiter etiam vox illa quæ ad Manoë facta eſt. Deum eſſe incomprehenſibilem per nominis ſignificantiam oſtendit, quæ cùm diſcere vellet Manoë nomen eius, vt promiſſione adimpleta nominatim benefactorem glorificaret, ad eum dicit, quid hoc interrogas, & ipſum eſt admirabile. Ita vt ex hoc diſcere liceat, quod vnum eſt diui-
D næ naturæ ſignificatiuum nomen, quòd nempe de ipſa ineffabiliter mentem noſtram ſubit admiratio. Similiter etiam magnus Dauid dũ de eo loquitur, idem clamitat: omnem quidem creaturam ab ipſo ad generationem adductam fuiſſe: ſolum verò Deum eodem modo ſemper eſſe, eundemque in perpetuum permanere. In quibus ait: Tu autem idem es & anni tui non deficient.

Exod. 3.

Nomẽ Dei eſſentiale, nomen Dei ipſe, vel ipſa nominis.

In Deo nihil prius nihilque poſterius.

Eſai. 45.

Iudic. 13.

Pſal. 101.

A Hæc & eiuſmodi ex viris Dei ſpiritu afflatis cum audimus, quomodo id quod ab æterno non eſt, vt recens & alienum à vera deitate, idololatris, id eſt, fictitiorum deorum cultoribus adorandum non relinquimus? Quod enim nunc eſt, prius autem non erat, recens eſt omnino nec æternum: intueri autem in aliquid recentium, dæmonum cultum vocat Moſes, dicens: immolauerunt dæmoniis,
Deut. 32. & non Deo: diis quos ignorarunt patres ipſorum, noui recentéſque venerunt. Si igitur quod recens eſt in his quæ coluntur, dæmonum eſt cultura, & à vera dei-
B tate alienum eſt. Quod autem nunc eſt, ſemper autem non erat, recens eſt, & non æternum, neceſſario nos qui id quod eſt intuemur, eos qui quod non eſt cum eo quod eſt contemplantur, & dicunt quod quondam non erat, idolorum cultoribus annumeramus. Etenim magnus Ioannes vnigenitum Deum ſuo præconio annuntians, ſuum omnibus modis præmunit ſermonem, vt nullus ſit aditus ad opinionem concipiendam contra id quod eſt ipſum non aliquando fuiſſe: dicit enim, in principio erat & a-
Ioan. 1. pud Deum erat, & Deus erat, & lux
C erat, & vita, & veritas, & omnia bona ſemper erat: & nihil vnquam quicquam bonorum non erat, qui eſt omnium bonorum plenitudo, & in ſinibus patris. Si igitur Moſes velut verè deitatis characterem aliquem nobis lege ſanxit, nihil
Exod. 3. nempe aliud de Deo cognoſcere quàm hoc ſolum quod eſt: hoc enim demon-
Eſa. 45. ſtrat, Ego ſum qui ſum. Eſaias autem vndique infinitatem entis ſuo præconio pronunciat: neque in principio, neque in fine ens, in Deo limitatum & definitum intuens. Nam cum dixit: Ego primus & ego poſthæc, in neutro æternitatis terminum ſtatuit. Ita vt neque ad prin-
D cipium cernentes, inueniamus ſignum aliquod à quo eſſe ceperit, & poſt quod non erat: neque ad id quod deinceps ſequitur intelligentiam appellentes, termino aliquo eius quod eſt intercidamus
Pſal. 80. proceſſum in æternum. Cùm præſertim Dauid Propheta recentem & alienum Deum adorare vetet: in quorum vtrumque impingunt hæreſeos dogmata. Nam in eo quod dicunt, nõ eſſe æternũ, recentem; in eo quòd à natura veri Dei abhorrentem, alienum apertè demonſtrant.

A Ταῦτα δὲ τὰ τοιαῦτα παρὰ τῶν θεοφορουμένων ἀκούοντες, πῶς οὐχ ὁ μὴ ἐξ ἀϊδίου ἐστὶν, ὡς πρόσφατόν τι καὶ ἀλλότριον τῆς ἀληθινῆς θεότητος τοῖς εἰδωλολάτραις προσκυνεῖσθαι καταλείπομεν; τὸ γὰρ νῦν ὂν, πρότερον δὲ μὴ ὂν, πρόσφατόν ἐστι πάντως καὶ οὐκ ἀΐδιον, τὸ δὲ πρός τι τῶν προσφάτων ὁρᾶν, δαιμόνων λατρείαν ὁ Μωϋσῆς ὀνομάζει, λέγων· ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ· θεοῖς οἷς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν, καινοὶ καὶ πρόσφατοι ἥκασιν. Εἰ οὖν τὸ πρόσφατον ἐν σε-
B βάσματι, δαιμόνων ἐστὶ λατρεία, καὶ τῆς ἀληθινῆς θεότητος ἠλλοτρίωται. ὃ δὲ νῦν μέν ἐστιν, ἀεὶ δὲ οὐκ ἦν, πρόσφατόν ἐστι καὶ οὐκ ἀΐδιον, ἀναγκαίως πρὸς τὸ ὂν βλέποντες τοὺς τὸ μὴ ὂν τῷ ὄντι συνθεωροῦντας καὶ λέγοντας, ὅτι ποτὲ οὐκ ἦν, τοῖς θεραπευταῖς τῶν εἰδώλων ἐγκαταλέγομεν. καὶ γὰρ ὁ μέγας Ἰωάννης τὸν μονογενῆ Θεὸν ἰδίῳ καταγγέλλων κηρύγματι, παντοίως τὸν ἑαυτοῦ καθασφαλίζεται λόγον, ὡς μή τινα πάροδον τὴν τοῦ μὴ εἶναι ὑπόληψιν κατὰ τοῦ ὄντος λαβεῖν. λέγει γὰρ ὅτι ἐν ἀρχῇ ἦν, καὶ πρὸς τὸν Θεὸν ἦν, καὶ Θεὸς
C ἦν, καὶ φῶς ἦν, καὶ ζωὴ καὶ ἀλήθεια, καὶ πάντα τὰ ἀγαθὰ πάντοτε ἦν, καὶ οὐδὲν οὐδέποτέ τι τῶν καλῶν οὐκ ἦν· ὁ πάντων τῶν ἀγαθῶν τὸ πλήρωμα ὢν, καὶ ἐν τοῖς κόλποις τοῦ πατρὸς ὤν. Εἰ τοίνυν Μωϋσῆς μέν οἷόν τινα χαρακτῆρα τῆς ἀληθινῆς θεότητος ἡμῖν νομοθετεῖ, τὸ μηδὲν ἄλλο περὶ Θεοῦ γινώσκειν, ἢ τοῦτο μόνον ὅτι ἐστί. τοῦτο γὰρ ἐνδείκνυται τὸ ἐγώ εἰμι ὁ ὤν. Ἡσαΐας δὲ τὸ πανταχόθεν ἀόριστον τοῦ ὄντος βοᾷ τῷ κηρύγματι, μήτε δι' ἀρχῆς, μήτε διὰ τέλους βλέπων τὸ ὂν ἐπὶ τοῦ Θεοῦ ὁριζόμενον. ὁ γὰρ εἰπὼν, ὅτι ἐγὼ πρῶ-
D τος καὶ μετὰ ταῦτα, ἐν οὐδετέρῳ τὸν ὅρον τῆς ἀϊδιότητος ἵστησιν, ὡς μήτε πρὸς τὴν ἀρχὴν ὁρῶντας εὑρεῖν τι σημεῖον ἀφ' οὗ ἐστὶ, καὶ μεθ' ὃ οὐκ ἦν, μήτε πρὸς τὸ ἐφεξῆς τὴν διάνοιαν ἀνάγοντας ὅρῳ τινὶ διακόπτειν τοῦ ὄντος τὴν ἐπὶ τὸ ἀΐδιον πρόοδον· τοῦ δὲ προφήτου Δαβὶδ πρόσφατόν τι καὶ ἀλλότριον Θεὸν προσκυνεῖσθαι ἀπαγορεύοντος, ὧν ἑκάτερον ἐν τοῖς δόγμασιν ἐστὶ τῆς αἱρέσεως· ἐν μὲν τῷ μὴ ἀϊδίῳ τὸ πρόσφατον, ἐν δὲ τῷ τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως ἀπεξενῶσθαι, τὸ ἀλλότριον σαφῶς ἐπιδείκνυται.

τούτων οὖν οὕτως ἐχόντων, πᾶσαν τὴν διὰ τῶν σοφισμάτων κατασκευὴν τὴν περὶ τοῦ μὴ εἶναί ποτε τὸν ὄντως ὄντα, οὐδὲν ἄλλο, ἢ παράβασιν τοῦ χριστιανισμοῦ, καὶ ἐπιστροφὴν εἰς εἰδωλολατρείαν εἶναι διοριζόμεθα. τοῦ γὰρ εὐαγγελιστοῦ διὰ τῆς θεολογίας πανταχόθεν ἐξορίσαντος τὸ μὴ ὂν ἐκ τοῦ ὄντος, καὶ διὰ τῆς συνεχοῦς τοῦ ἦν ἐπαναλήψεως τὴν τοῦ μὴ εἶναι ὑπόνοιαν ἐπιμελῶς ἐξαλείψαντος· μονογενῆ δὲ Θεὸν, καὶ λόγον Θεοῦ, καὶ υἱὸν Θεοῦ, καὶ ἴσον Θεῷ, καὶ πάντα τὰ τοιαῦτα κατονομάσαντος, παγίαν ἔχομεν ταύτην ἐν ἑαυτοῖς τὴν κρίσιν καὶ ἀμετάθετον, ὅτι εἰ Θεός ἐστιν ὁ μονογενὴς Θεὸς, ἀεὶ χρὴ πιστεύειν αὐτὸν εἶναι τὸν Θεὸν πεπιστευμένον. ἀλλὰ μὴν ἀληθῶς ἐστι Θεὸς, ἀεὶ πάντα ἐστὶ, καὶ οὐδέποτε ἐν τῷ μὴ εἶναι καταλαμβάνεται. Θεὸς γὰρ, καθὼς πολλάκις εἰρήκαμεν, εἰ νῦν ἐστι, καὶ ἀεὶ πάντως ἦν, εἰ δέ ποτε μὴ ἦν, οὐδὲ νῦν ἐστιν ὅλως. ἀλλ' ἐπειδὴ τὸν υἱὸν εἶναι τὸν μονογενῆ Θεὸν καὶ εἰσαεὶ διαμένειν, καὶ παρὰ τῶν ἐχθρῶν τῆς ἀληθείας ὁμολογεῖται· τοῦτό φαμεν, ὅτι ὁ ἐν τῷ πατρὶ ὢν, οὐ καθ' ἓν μόνον ἐστὶν ἐν αὐτῷ, ἀλλὰ κατὰ πάντα ὅσα νοεῖται ὁ πατὴρ, διὰ πάντων ἐστὶν ἐν αὐτῷ. ὡς οὖν ἐν τῷ ἀφθάρτῳ τοῦ πατρὸς ὢν, ἄφθαρτός ἐστι· καὶ ἐν τῷ ἀγαθῷ ἀγαθὸς, καὶ ἐν τῷ δυνατῷ δυνατὸς, καὶ ἐν ἑκάστῳ ὢν τῶν πρὸς τὸ κρεῖττον ἐν τῷ πατρὶ νοουμένων, ἐκεῖνό ἐστιν· οὕτως καὶ ἐν τῷ ἀϊδίῳ πάντως ἀΐδιος. ἡ δὲ τοῦ πατρὸς ἀϊδιότης ἐν τῷ μήτε ἐκ τοῦ μὴ ὄντος ἄρξασθαι, μήτε εἰς τὸ μὴ ὂν καταλήγειν γνωρίζεται. ἐκεῖνος οὖν ὁ πάντα τὰ τοῦ πατρὸς ἔχων, καὶ ἐν πάσῃ τῇ δόξῃ τοῦ πατρὸς θεωρούμενος, ὥσπερ ἐν τῷ ἀτελευτήτῳ τοῦ πατρὸς ὢν, ζωῆς τέλος οὐκ ἔχει· οὕτω καὶ ἐν τῷ ἀνάρχῳ τοῦ πατρὸς ὢν, ἀρχὴν ἡμερῶν οὐκ ἔχει, καθώς φησιν ὁ ἀπόστολος, ἀλλὰ καὶ ἐκ τοῦ πατρός ἐστι, καὶ ἐν τῇ ἀϊδιότητι τοῦ πατρὸς καθορᾶται, καὶ τούτῳ μάλιστα τῷ τρόπῳ, τὸ διὰ πάντων τῆς εἰκόνος ἀπαράλλακτον, πρὸς τὸ οὗ ἐστιν εἰκὼν, θεωρεῖται. καὶ ἀληθὴς ὁ λόγος ἐν τούτοις εὑρίσκεται, ὁ εἰπὼν, ὅτι ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. ἀλλὰ καὶ τὸ παρὰ τοῦ ἀποστόλου εἰρημένον, οὕτως ἂν μάλιστα νοηθείη, καλῶς καὶ προσφυῶς ἔχον, τὸ ἀπαύγασμα εἶναι τῆς δόξης καὶ χαρακτῆρα τῆς ὑποστάσεως τὸν υἱόν.

A Hæc igitur cùm ita ſe habeant; quicquid eiuſinodi per cauillos præſtruunt, quòd videlicet aliquando non fuerit ille qui verè eſt: nihil aliud quam tranſgreſſionem chriſtianiſmi, & ad idolorum culturam reuerſionem eſſe definimus. Cùm enim euangeliſta per Theologiam vndique ex eo quod eſt, quod non eſt exterminarit, & per continuam verbi, erat, repetitionem, quod non ſit, ſuſpicandi occaſionẽ diligenter expunxerit. Ipſum verò vnigenitum, & Deum, & verbum Dei, & filium Dei, & æqualem Deo, & omnia quæ ſunt huiuſmodi vbique no-

B minauerit: firmum habemus hoc in nobiſipſis iudiciũ atque immutabile, quod ſi Deus eſt vnigenitus Deus, ſemper credendum eſt ipſum eſſe Deum qui creditus eſt. Quinetiam ſi verè eſt Deus, ſemper omnino eſt, & nunquã non eſſe comprehenditur. Deus enim, ſicut ſæpe diximus, ſi nunc eſt, & ſemper omnino fuit: quod ſi aliquando non fuit, nihil nunc eſt funditus. Sed quoniam filium eſſe vnigenitum Deum & in perpetuum permanere, etiam ab inimicis veritatis conceditur: hoc dicimus quod qui ſemper

C eſt in patre, non ſecundum vnum ſolum eſt in ipſo, ſed ſecundum omnia quæ pater eſſe intelligitur, per omnia eſt in ipſo. Quemadmodum igitur is qui in incorruptione patris eſt, incorruptibilis eſt: & in bonitate bonus, & in poteſtate potens, & in quoque eorum quæ præſtantiora in patre intelliguntur, illud eſt: ſic etiam qui in æternitate patris eſt, omnino æternus eſt. Patris autem æternitas inde dignoſcitur, quòd videlicet neque ex non ente cœperit, neque in id quod non eſt deſinat. Ergo ille qui omnia quæ ſunt patris habet, atque in omni gloria

D patris conſideratur, quemadmodum exiſtens in vita patris ſine carentis, finem vitæ non habet: ſic in patre originem non habente, dierum principium non habet, ſicut inquit Apoſtolus, ſed & ex patre eſt, & in patris æternitate conſpicitur, & hoc maximè modo quod per omnimodam & inuariabilem imaginis ſimilitudinem, quã habet cum eo cuius eſt imago, ſpectatur. Et verus in his ſermo inuenitur, qui dixit: qui vidit me, vidit & patrem. Sed & hoc quod dictum eſt ab Apoſtolo, ſic intelligi poteſt, præclarè & appoſitè ſe habens, quod nimirum filius ſit ſplendor gloriæ, & figura ſubſtantiæ patris.

Hebr. 7. *Ioan. 14.* *Hebr. 1.*

His enim qui minimè valent ad celſitudinem cognitionis Dei ratiocinationem educere per intelligibilium ſpeculationem: Ex his quæ ſenſibus occurrunt quandam veri viſionem ſiue imaginationem Apoſtolus audientibus ingenerat, vt enim ſolare corpus toto circumplectente circulo figuratur, & qui circulum vidit, totius ſubiecti ſubſiſtentiam ſecundùm profunditatem, ex apparente circulo colligit, ſic etiam dixit in magnitudine potentiæ filij, patris magnificentiam exprimi, vt quanta hæc cognoſcatur, tanta eſſe etiam illa credatur. Ac rurſus ſicut ex omni ſolari circulo lucis fulgore reſplendet, non enim pars aliqua lucet, pars verò circuli alia obſcura eſt: ſic quantacumque eſt omnis gloria eius, pater, ex ſplendore ab ipſa promanante, hoc eſt vero lumine, vndique circum illuſtratur. Atque vt ex ſole quidem eſt radius, non enim eſſet radius, niſi ſol eſſet, nunquam enim ſine refulgente radio in ſeipſo ſol intelligitur: ſic coniunctionem & coæternitatem exi-

Hebr. 1. ſtentiæ vnigeniti à patre tradens Apoſtolus, ſplendorem gloriæ filium appellauit. His igitur à nobis ita diſtinctis, non amplius quiſquam dubitet, quomodo etiam ex patre vnigenitus eſſe creditur & ęternus eſt, quamuis videatur ſecundum eam quæ primo & in promptu apparet notitiam, ſermo ſermoni non conuenire, & qui ex patre ipſum eſſe dicit, & qui æternitatem ipſi attribuit. Quod ſi alio argumento ſermonem oportet confirmare, intelligi poſſet huius aſſertionis veritas, ex quibuſdam quæ ſenſibus à nobis percipiuntur. Nullus autem ſermonem riſu & cachinnis excipiat, quòd nequeat inuenire talem in his quæ ſunt in rerum natura, eius quod quæritur imaginem, quæ per omnia ſufficiat, proportione quadam & ſimilitudine propoſitum repræſentare. Volumus enim vt iſti qui dicunt prius patrem voluiſſe, deinde ſic veniſſe ad id, vt pater fieret, & per hoc poſterioritatem Verbo aſtruunt; perſuaſum habeant vt ex his quæ poſſumus in medium proferre exemplis, cogitationem ſuam ad id quod pium eſt de Deo ſentire transferant: neque enim hæc immediata coniunctio patris voluntatem excludit:

A τοῖς γὰρ ἀδυνατοῦσιν ἐπὶ τὸ ὕψος τῆς θεογνωσίας τὸν λογισμὸν ἀναγαγεῖν διὰ τῆς τῶν νοητῶν θεωρίας· τούτοις ἐκ τῶν τῇ αἰσθήσει προφαινομένων ἐμποιεῖ τινὰ τοῖς ἀκούουσιν ὁ ἀπόστολος τοῦ ἀληθοῦς φαντασίαν. ὡς γὰρ τὸ ἡλιακὸν σῶμα ὅλῳ τῷ περιέχοντι κύκλῳ χαρακτηρίζεται, καὶ ὁ τὸν κύκλον ἰδὼν, ὅλου τοῦ κατὰ τὸ βάθος ὑποκειμένου τὴν ὑπόστασιν διὰ τοῦ φαινομένου ἀνελογίσατο· οὕτως εἶπεν ἐν τῷ μεγέθει τῆς τοῦ υἱοῦ δυνάμεως τὸ τοῦ πατρὸς μεγαλεῖον χαρακτηρίζεσθαι, ἵνα ὅσον

B τοῦτο γινώσκηται, τοσοῦτον εἶναι κἀκεῖνο πιστεύηται. καὶ πάλιν ὡς ἐκ παντὸς τοῦ ἡλιακοῦ κύκλου τῇ τοῦ φωτὸς λαμπηδόνι ἀπαυγάζεται· οὐ γὰρ τὸ μέν τι λάμπει, τὸ δὲ ἀλαμπές ἐστι τοῦ κύκλου· οὕτως ὅλη ἡ δόξα ἥ τίς ἐστιν, ὁ πατὴρ, τῷ ἐξ ἑαυτῆς ἀπαυγάσματι, τουτέστι τῷ ἀληθινῷ φωτὶ πανταχόθεν περιαυγάζεται. καὶ ὡς ἐκ τοῦ ἡλίου μέν ἐστιν ἡ ἀκτίς, οὐ γὰρ ἂν ἦν ἀκτίς, εἰ μὴ ὁ ἥλιος ἦν, οὐ μὴν ποτὲ χωρὶς τῆς ἀπαυγαζομένης ἀκτῖνος ἐφ' ἑαυτῷ νοεῖται ὁ ἥλιος· οὕτω τὸ συνα-

C φές τε καὶ ἀΐδιον τὸ ἐκ τοῦ πατρὸς ὑπάρξεως τοῦ μονογενοῦς παραδιδοὺς ὁ ἀπόστολος, ἀπαύγασμα δόξης τὸν υἱὸν κατωνόμασε. τούτων οὖν ἡμῖν οὕτω διῃρημένων, οὐκέτ' ἄν τις ἀμφιβάλλοι, πῶς καὶ ἐκ τοῦ πατρὸς μονογενὴς εἶναι πεπίστευται, καὶ ἀϊδίως ἐστὶ, κἂν δοκῇ κατὰ τὴν πρόχειρον ἔννοιαν μὴ συμβαίνειν ὁ λόγος τῷ λόγῳ, ὁ ἐκ τοῦ πατρὸς αὐτὸν εἶναι λέγων, τῷ μαρτυροῦντι αὐτῷ τὸ ἀΐδιον. εἰ δὲ χρὴ καὶ ἑτέρῳ τὸν λόγον πιστώσασθαι, δυνατὸν ἂν γένοιτο νοῆσαι τὸ περὶ τούτου δόγ-

D μα, διά τινων τῶν κατὰ τὴν αἴσθησιν ἡμῖν γνωριζομένων. μηδεὶς δὲ ἐπηρεαζέτω τῷ λόγῳ, μὴ δυναμένῳ τοιαύτην ἐν τοῖς οὖσιν εὑρεῖν εἰκόνα τοῦ ζητουμένου, ἣ διὰ πάντων ἀρκέσει δι' ἀναλογίας τινὸς καὶ ὁμοιότητος πρὸς τὴν τοῦ προκειμένου παράστασιν. βουλόμεθα γὰρ τοὺς λέγοντας πρότερον βεβουλῆσθαι τὸν πατέρα, εἶθ' οὕτως ἐλθεῖν ἐπὶ τὸ γενέσθαι πατέρα, καὶ διὰ τούτου τὸ μεταγενέστερον τῷ λόγῳ κατασκευάζοντας· πεῖσαι δι' ὧν ἂν γένοιτο δυνατὸν ἡμῖν ὑποδειγμάτων, μετάγειν πρὸς τὸ εὐσεβὲς τὴν διάνοιαν· οὔτε γὰρ ἡ ἀμέσος αὕτη συνάφεια ἐκβάλλει τὴν βούλησιν τοῦ πατρός·

ὡς κατά τινα φύσεως ἀνάγκην ἀπροαιρέτως τὸν υἱὸν ἐσχηκότος· οὔτε ἡ βούλησις διΐστησι τοῦ πατρὸς τὸν υἱὸν, ὥς τι διάστημα μεταξὺ παρεμπίπτουσα. ὡς μήτε ἐκβάλλειν τοῦ δόγματος τὴν ἐπὶ τῷ υἱῷ βούλησιν τοῦ γεννήσαντος, οἷον στενοχωρουμένην ἐν τῇ συναφείᾳ τῆς τοῦ υἱοῦ πρὸς τὸν πατέρα ἑνότητος, μήτε μὴν τὴν ἀδιάστατον διαλύειν συνάφειαν, ὅταν ἐνθεωρῆται τῇ γεννήσει ἡ βούλησις. τοῦτο γὰρ τῆς βαρείας ἡμῶν καὶ δυσκινήτου φύσεως ἐστὶν ἴδιον, τὸ μὴ ἐν ταυτῷ πολλοὺς παρεῖναι ἡμῖν, καὶ τὸ ἔχειν τι, καὶ τὸ βούλεσθαι· ἀλλὰ νῦν μὲν βουλόμεθα τι ἔχειν ὧν οὐκ ἔχομεν, μετὰ ταῦτα δὲ τυγχάνομεν ὧν τυχεῖν οὐκ ἠβουλήθημεν. ἐπὶ δὲ τῆς ἁπλῆς καὶ παντοδυνάμου φύσεως, ὁμοῦ τὰ πάντα καὶ κατὰ ταυτὸν νοεῖται, καὶ τὸ θέλειν τὸ ἀγαθὸν, καὶ τὸ ἔχειν ὅπερ ἠθέλησε. πάντα γὰρ ἐνεργὸν καὶ ἐνούσιον, καὶ ἐνυπόστατον τῇ ἀϊδίῳ φύσει τὸ ἀγαθόν τε καὶ τὸ ἀΐδιον ἐνθεωρεῖται θέλημα, οὔτε ἀπό τινος ἰδιαζούσης ἀρχῆς ἐγγινόμενον, οὔτε δίχα τοῦ θελητοῦ νοηθῆναι δυνάμενον. οὐδὲ γὰρ ἐνδέχεται περὶ τῷ Θεῷ, ἢ τὸ ἀγαθὸν θέλημα μὴ εἶναι, ἢ μὴ συνεῖναι τῷ θελήματι· οὐδεμιᾶς αἰτίας οὐδὲ τὸ πρέπον τῷ πατρὶ μὴ πάντα εἶναι μειούσης, οὔτε πρὸς τὸ ἔχειν τὸ βουλητὸν ἐμποδιζούσης. ἐπεὶ οὖν φύσει τὸ ἀγαθὸν, μᾶλλον δὲ παντὸς ἀγαθοῦ ἐπέκεινα ὁ μονογενὴς Θεὸς, οὐκ ἀβούλητον δὲ τῷ πατρὶ τὸ ἀγαθόν· φανερῶς ἀποδείκνυται διὰ τούτων, ὅτι καὶ ἄμεσος ἐστὶ τοῦ υἱοῦ ἡ πρὸς τὸν πατέρα συνάφεια, καὶ οὐκ ἐξωθεῖται οὐδὲ ἐξείργεται ὑπὸ τῆς ἀδιαστάτου συναφείας τὸ βούλημα τὸ τῇ ἀγαθῇ φύσει διὰ παντὸς ἐνυπάρχον. εἰ δέ τις ἀνεπηρεάστως ἀκούει τοῦ λόγου, καὶ τοιοῦτόν τι τοῖς εἰρημένοις προσθεῖναι βούλομαι. ὥσπερ εἴ τις, λέγω δὲ καθ' ὑπόθεσιν, προαιρετικήν τινα τῇ φλογὶ δύναμιν δοίη, δῆλον ἂν εἴη ὅτι ὁμοῦ τῷ εἶναι ἡ φλὸξ καὶ τὴν αὐγὴν ἐκλάμπειν ἀφ' ἑαυτῆς θελήσει· θελήσασα δὲ πάντως οὐκ ἀδυνατήσει, τῆς φυσικῆς δυνάμεως ἐπιτελὲς ποιούσης ὁμοῦ τῷ συστῆναι τὴν φλόγα, τὸ περὶ τῆς αὐγῆς βούλημα. ὡς ἀναμφιρρήτως εἰ τοῦτο δοθείη τὸ προαιρετικῶς κινεῖσθαι τὴν φλόγα, πάντων κατὰ ταυτὸν

A vt quadam neceſſitate naturæ, & inuoluntariè filium habeat: neque voluntas filium à patre diſiungit, velut interuallum quoddam intermedium incidens. Quare neque ab hoc dogmate licet excludere in filij generatione, voluntatem eius qui genuit, veluti in anguſtias adductam in cohærentia vnionis filij cum patre, neque indiſiunctam diſſoluere cohæſionem, cum in generatione inſpicitur voluntas. Hoc enim eſt noſtræ grauis & motu difficilis naturæ proprium, non in eodem inſtanti adeſſe nobis multos, & aliquid habere & velle: ſed modò B aliquid eorum quæ non habemus volumus habere, poſt verò aſſequimur ea quę minimè vellemus. In ſimplici autem & omnipotenti natura ſimul omnia & in eodem inſtanti intelliguntur, & velle bonum, & habere quod voluit. Omnino enim efficax & coëſſentialis veréque ſubſiſtens in æterna natura bona ſempiternáque conſideratur voluntas, neque ab alio quoquam ſeparato principio innaſcitur, neque abſque eo quod in voluntatem cadit, poteſt intelligi. Neque enim in Deum cadit, vel bonam volun- C tatem non eſſe, vel bonum ſimul cum voluntate non adeſſe: cùm nulla ſit cauſa, quæ quod patri conuenit, quominus totum non adſit, minuat, vel quominus id quod vult habere impediat. Quoniam igitur natura bonum, vel vt rectius dicam, ſupra omne bonum, vnigenitus eſt: at patri bonum non eſt ingratum & præter voluntatem: manifeſtè per hæc demonſtratur, quod etiam immediata eſt filij cum patre connexio, neque extruditur aut arcetur ab indiuidua cohæſione voluntas quæ bonæ naturæ ſemper ineſt. Quod ſi quis inoffenſo animo D hunc auſcultat ſermonem, tale quid etiam dictis volo adijcere. Quemadmodum ſi quis, dico autem ex ſuppoſitione, electiuam ſiue voluntariam aliquam flammæ facultatem dederit; perſpicuum fuerit quod ſimul atque eſſe cœperit, flamma etiam ex ſeipſa fulgorem velit elucere: volens autem non erit impios, cùm naturalis eius facultas id efficere poſſit, vt ſimul ac flamma conſtiterit, voluntatem etiam fulgendi habeat. Ita vt citra contradictionem, ſi hoc datum fuerit, voluntario nempe motu flammam moueri, hæc omnia

καιρὸς ἂν εἴη καὶ τὸν ἐναντίον παραθεῖναι καὶ θεωρῆσαι λόγον, ἐκ παραλλήλου πρὸς τὰς ἡμετέρας ὑπολήψεις ἀντεξετάζοντα, λέγει δὲ οὕτως. δύο γὰρ ὄντως, φησὶ, τῶν ὑφ' ἡμῶν εἰρημένων, τοῦ τε πρὸ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ μονογενοῦς, καὶ τοῦ γεννηθεῖσαν πρὸ πάντων εἶναι, οὐθ' ἕτερον τῶν εἰρημένων ἐλέγχει ψεῦδος. οὔτε γὰρ ὡς πρὸ τῆς ἀνωτάτω γεννήσεως καὶ συστάσεως ἦν, εἰπεῖν ἐτόλμησεν, ἀντιπιπτούσης τῆς τοῦ πατρὸς φύσεως, καὶ τῆς τῶν σωφρονούντων κρίσεως. τίς γὰρ ἂν καὶ παραδέξαιτο σωφρονῶν υἱὸν ὄντα καὶ γεννητὸν, πρὸ τῆς ἀνωτάτω γεννήσεως, μὴ δεομένου γεννήσεως πρὸς τὸ εἶναι ὅ ἐστι τοῦ χωρὶς γεννήσεως ὄντος. εἰ μὲν οὖν ἀληθεύει τὸν διδάσκαλον ἡμῶν μηδὲν ἠγωνίσθαι λέγων πρὸς τὰς ἀντιθέσεις, ἴδοιεν πάντες ὅσοι τοῖς λόγοις ἐκείνου καθωμιλήκασιν. ἐγὼ δὲ, μικρὸν γὰρ εἰς ἀπόδειξιν κακίας τὸν ἔλεγχον τῆς περὶ ταῦτα συκοφαντίας εἶναι λογίζομαι, καταλιπὼν τὸ δεῖξαι μὴ ἀνεξέταστον παρεωρᾶσθαι τὸ μέρος τοῦτο παρὰ τοῦ διδασκάλου, περὶ τὴν ἐξέτασιν τῶν προτεθέντων, ὅπως ἂν οἷόν τε ᾖ, τρέψω τὸν λόγον. δύο, φησὶν, ἐν τῷ καθ' ἑαυτὸν εἰρηκέναι λόγῳ, ἓν μὲν, τὸ πρὸ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ μονογενοῦς· ἕτερον δὲ, τὸ γεννηθεῖσαν πρὸ πάντων εἶναι. ἀλλ' ὅτι μὲν οὐ καινή τις οὐσία παρὰ τοῦ πατρὸς ἐγεννήθη ἔξω τῆς ἐν αὐτῷ τῷ πατρὶ θεωρουμένης, ἱκανῶς οἶμαι διὰ τῶν προειρημένων ἡμῖν ἀποδεδεῖχθαι, καὶ μηδὲν χρήζειν ἡμᾶς ὡς πρώτως ἡμῖν προενεχθέντος τοῦ λόγου, πρὸς τὴν τοιαύτην βλασφημίαν συμπλέκεσθαι, πρὸς δὲ τοῦτο μόνον ἀναγκαῖον εἶναι τὴν σπουδὴν γενέσθαι τῷ λόγῳ, πρὸς τὴν ἄθεον αὐτοῦ λέγω καὶ φρικώδη φωνὴν, τὴν φανερῶς εἰποῦσαν περὶ τοῦ Θεοῦ λόγου, ὅτι οὐκ ἦν· ἀλλὰ καὶ περὶ ταύτης τῆς βλασφημίας ἐν τοῖς προειρημένοις μετρίως διαλαβόντος τοῦ λόγου, τάχα περιττὸν ἂν εἴη πάλιν διὰ τῶν ὁμοίων θεωρημάτων, τὰ προαποδεδειγμένα κατασκευάζειν. τούτου γὰρ ἕνεκεν καὶ προείρηται παρ' ἡμῶν ἐκεῖνα, ὡς τῆς εὐσεβοῦς διανοίας προεντυπωθείσης, τοῖς ἐντυγχάνουσι καταφανεστέραν γενέσθαι τῶν ἐναντίων τὴν βλασφημίαν. τὴν ἐπὶ τοῦ μονογενοῦς Θεοῦ τὸ μὴ εἶναι

A ſic diſtinxerimus, oportunum fuerit contrarium ſermonem proponere & ſpeculari, ex aduerſo cum noſtris opinionibus facta collatione, ſic autem dicit. [Cùm enim, inquit, duo verè dixerimus, quod videlicet ante propriam generationem non erat vnigeniti eſſentia, & quod ante omnia eſt genita, neutrius horum arguit mendacium, neque enim quod ante ſupremam generationem & conſtitutionem erat, auſus eſt dicere, reluctante patris natura, & prudentum aduerſante iudicio. Quis enim compos mentis & iudicij, admittat filium eſſe & genitum B ante ſupremam generationem, ac ſi non indigeret generatione vt eſſet, id quod eſt is qui abſque generatione eſt.] Si igitur verum eſt quod aſſerit, magiſtrum noſtrum nihil egiſſe aduerſus eius oppoſitiones: viderint omnes quicunque in illius ſermonibus verſati ſunt. Ego verò, quoniam parùm ad demõſtrandam eius malitiam facere arbitror, cum in his palàm calumniatum arguiſſe, omittam oſtendere, magiſtrum noſtrum non inexcuſſam prætermiſiſſe eam partem, & ad examinanda ea quæ ab ipſo proponun- C tur quantùm fieri poterit orationem conuertam. Duo (inquit) in ſuo ſermone dixiſſe, vnum quidem quòd ante generationem quæ ipſi propria eſt, vnigeniti eſſentia non erat: alterum verò quod ante omnia genita eſt eius eſſentia. Sed quod non noua quædam eſſentia à patre ſit genita, extra eamque in ipſo patre conſideratur, abundè per ea quæ dicta ſunt à nobis, demonſtratum eſſe exiſtimo: nihilque opus eſſe nos, vt primum nobis prolato ſermone, cum tali blaſphemia confligere: ſed in hoc ſolum neceſſarium eſſe ſtudio incumbere in hac di- D ſputatione, dico aduerſus horribilem & impiam eius vocem obnixè contendere, quæ apertè dixit de Verbo Deo, quod non erat. Sed de hac blaſphemia in antedictis cum iam diſſeruimus fortaſſe ſuperuacaneum fuerit rurſus per ſimilia theoremata, id eſt ſpeculamina, quæ prius fuerunt demonſtrata extruere. Hac enim de cauſa in ſuperioribus ſermonibus illa præmiſimus, vt his qui in hæc ſcripta inciderint, pia notione ac intelligentia præmunitis manifeſtior fiat aduerſariorum blaſphemia, qui in vnigenito Deo non eſſe

Verba Eunomij.

Baſilium nempe quæ contra Eunomiũ ſcripſerat.

quam eſſe adſtruunt antiquius. Operæpretium autem mihi videtur, quid generationis nomen ſignificet, exactiore examine in hac diſputatione perpendere. Quod igitur ex aliqua cauſa eſſe nomen illud repræſentet, cuius perſpicuum eſt, nec hac de re dimicandum eſſe arbitror. Sed quoniam eorum quæ ex aliqua cauſa ſubſiſtunt differens eſt ratio; hoc exiſtimo conuenire, ſi artificioſa aliqua diuiſione planius explicetur. Eorum igitur quæ ab aliquo fiunt, has differentias comprehendimus. Quędam enim ex materia ſunt & arte, vt ædificiorum & reliquorum operum extructiones, quæ ex congrua fiunt materia, quibus præeſt ars aliqua, quæ ad propriũ ſcopum ſiue finem propoſitum ſibi ſubiectum, ex iis quę fiunt, perducit ac abſoluit. Quædam ex materia & natura: nam ſucceſſiuas animalium generationes natura extruit, ex materiali corporum ſubſiſtentia ſuum opus efficiens. Alia verò ex materiali defluxu, in quibus & principale ſubiectũ manet quale eſt, & quod ab illo fluit in ſeipſo conſideratur: vt in ſole & radio, vel in lucerna & fulgore, vel in odoramentis & vnguentis, & inde euaporata qualitate: hæc enim licet in ſeipſis non diminuta maneant, ſtatim habent ſingula concomitantem ex ſeipſis emanentem naturalem proprietatem: vt ſol radium, lucerna fulgorem, odoramenta in aëre ſuauem ex ipſis editam fragrantiam. Eſt præterea ſpecies alia generationis, cuius cauſa quidem immaterialis eſt & incorporea: generatio verò ſenſibilis & corporalis. Dico autem ſermonem ex mente generatum: cum enim ſit incorporea mens, per inſtrumenta ſenſibilia ſermonem parit. Totidem generationis differentias, velut in generali quadam ſpeculatione cognouimus. Nam quæcunque miro quodam & prodigioſo modo à natura gignuntur, ſeu cùm corpora quorumdam animalium in alia quædam diuerſæ ſpeciei mutat, ſeu cùm ab aliqua humidorũ alteratione, vel ſeminum corruptione, vel lignorum putredine animalia quædam producit: vel cùm ex ignis condenſatione humidum ex torribus halitũ in fundo relictũ, ad animalis generationem tranſmutat, quod Salamandram appellant: Etiam-

A τοῦ εἶναι κατασκευαζόντων πρεσβύτερον. δοκεῖ δέ μοι καλῶς ἔχειν αὐτὸ τῆς γεννήσεως τὸ σημαινόμενον, δι' ἐπιμελεστέρας ἐξετάσεως διασκοπῆσαι τῷ λόγῳ. ὅτι μὲν οὖν τὸ ἐξ αἰτίας εἶναι τινὸς τὸ ὄνομα τοῦτο παρίστησι, πᾶσι δῆλόν ἐστι, καὶ οὐδὲν οἶμαι χρῆναι περὶ τούτου διαγωνίζεσθαι. ἀλλ' ἐπεὶ διάφορος τῶν ἐξ αἰτίας ὑφεστηκότων ἐστὶν ὁ λόγος, τοῦτ' οἶμαι προσήκειν διά τινος τεχνικῆς διαιρέσεως σαφηνισθῆναι τῷ λόγῳ. τῶν τοίνυν ἔκ τινος γενομένων, ταύτας τὰς διαφορὰς κατειλήφαμεν. B τὰ μὲν γὰρ ἐξ ὕλης ἐστὶ καὶ τέχνης, ὡς αἱ τῶν οἰκοδομημάτων καὶ τῶν λοιπῶν ἔργων κατασκευαί, διὰ τῆς καταλλήλου ὕλης γινόμεναι, καθηγεῖταί τις τέχνη πρὸς τὸν ἴδιον σκοπὸν τῶν γινομένων τὸ προτεθὲν συμπεραίνουσα. τὰ δὲ ἐξ ὕλης καὶ φύσεως· τὰς γὰρ ἐξ ἀλλήλων γενέσεις τῶν ζώων, ἡ φύσις οἰκοδομεῖ διὰ τῆς ἐν τοῖς σώμασιν ὑλικῆς ὑποστάσεως τὸ ἑαυτῆς ἐνεργοῦσα· τὰ δὲ ἐξ ὑλικῆς ἀπορροίας, ἐφ' ὧν καὶ τὸ προηγούμενον μένει, οἷόν ἐστι, καὶ τὸ ἀπ' ἐκείνου ῥέον, ἐφ' ἑαυτοῦ νοεῖται, ὡς ἐπὶ C τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος, ἢ ἐπὶ τῆς λαμπάδος καὶ τῆς αὐγῆς, ἢ ἐπὶ τῶν ἀρωμάτων τε καὶ μύρων, καὶ τῆς ἐκ τούτων ἐκδιδομένης ποιότητος· ταῦτα γὰρ ἐφ' ἑαυτῶν ἀμείωτα μένοντα, εὐθὺς ἔχει συμπαρομαρτοῦσαν ἑκάστῳ τὴν ἀπ' αὐτῶν ἐκδιδομένην φυσικὴν ἰδιότητα· οἷον ὁ μὲν ἥλιος τὴν ἀκτῖνα, ἡ δὲ λαμπὰς τὴν αὐγήν, τὰ δὲ ἀρώματα τὴν τῷ ἀέρι ἐξ αὐτῶν ἐντικτομένην εὐωδίαν. ἔστι καὶ ἕτερον εἶδος παρὰ ταῦτα γεννήσεως, οὗ ἡ μὲν αἰτία ἄϋλος ἐστὶ καὶ ἀσώματος· ἡ δὲ γέννησις, αἰσθητή τε καὶ D διὰ σώματος. λέγω δὲ τὸν ἐκ τοῦ νοῦ γεννώμενον λόγον· ἀσώματος γὰρ ὢν καθ' ἑαυτὸν ὁ νοῦς διὰ τῶν αἰσθητῶν ὀργάνων, τίκτει τὸν λόγον. τοσαύτας γεννήσεων διαφοράς, οἷον ἐν γενικῇ τινὶ θεωρίᾳ κατενοήσαμεν. τὰ γὰρ ὅσα θαυματουργεῖται παρὰ τῆς φύσεως, τὰ σώματα ζώων τινῶν εἰς ἑτεροφυῆ τινα μεταβαλλούσης· ἢ ἀπό τινος τῶν ὑγρῶν ἀλλοιώσεως· ἢ σπερμάτων φθορᾶς, ἢ ξύλων σηπεδόνος ζῷά τινα δημιουργούσης, ἢ ἐκ τῆς τοῦ πυρὸς συμπιλήσεως τὸ ψυχρὸν ἐκ τῶν δαλῶν ἀτμὸν ἐναποληφθέντα τῷ βάθει πρὸς ζώου γένεσιν μεταποιούσης, ὅσα Σαλαμάνδραν προσαγορεύουσιν·

κἂν ἔξω τῶν διεξελθόντων εἶναι δοκῇ, οὐδὲν ἧττον ἐν τοῖς εἰρημένοις ἐστί. διὰ γὰρ σωμάτων ἡ φύσις τὰ ποικίλα ταῦτα τῶν ζώων εἴδη τεχνάζεται· ἡ γὰρ ποιὰ τοῦ σώματος τροπή, πῶς δὲ παρὰ τῆς φύσεως διατεθεῖσα, τὸ δι' ἡ τοῦ ζῴου τὸ εἶδος ἐδημιούργησεν· ὅπερ οὐκ ἄλλο τί εἶδος γεννήσεως, παρὰ τὸ ἐκ φύσεως καὶ ὕλης ἀποτελούμενον. τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων φανερῶν τοῖς ἀνθρώποις ὄντων, ἡ φιλάνθρωπος τοῦ ἁγίου πνεύματος οἰκονομία παραδιδοῦσα ἡμῖν τὰ θεῖα μυστήρια, διὰ τῶν ἡμῖν χωρητῶν τὴν διδασκαλίαν ποιεῖται τῶν ὑπὲρ λόγον, ὡς καὶ ἐν τοῖς ἄλλοις ἅπασι τοῦτο ποιεῖ, ὅταν σωματικῶς διαγράφῃ τὸ θεῖον, ὀφθαλμόν, καὶ βλέφαρα, καὶ οὖς, καὶ δακτύλους, καὶ χεῖρα, καὶ δεξιάν, καὶ βραχίονα, καὶ πόδα, καὶ ὑποδήματα, καὶ τὰ τοιαῦτα περὶ Θεοῦ διεξιοῦσα, ὧν οὐδὲν κατὰ τὴν πρόχειρον ἔννοιαν, ἐν τῇ θείᾳ καταλαμβάνεται φύσει. ἀλλὰ πρὸς τὸ ἡμῖν εὐσύνοπτον τὴν διδασκαλίαν ἄγουσα, ταῖς τετριμμέναις ἐν τῇ συνηθείᾳ τῶν ἀνθρώπων φωναῖς, τὰ ὑπὲρ πᾶσαν σημασίαν πράγματα διορίζει, ἀναλογικῶς ἡμῶν δι' ἑκάστου τῶν περὶ Θεοῦ λεγομένων, πρός τινα ἀναγομένων ὑψηλοτέραν ὑπόνοιαν. οὕτως οὖν καὶ τὰ πολλὰ τῆς γεννήσεως εἴδη παρὰ τῆς θεοπνεύστου διδασκαλίας εἰς παράστασιν τῆς ἀρρήτου τοῦ μονογενοῦς ὑποστάσεως παραλαμβάνει, τοσοῦτον ἀφ' ἑκάστου λαμβάνουσα, ὅσον εὐαγές ἐστιν εἰς τὰς περὶ Θεοῦ ὑπολήψεις παραληφθῆναι. ὡς γὰρ ἡ τῶν δακτύλων μνήμη ἐπὶ τοῦ Θεοῦ, καὶ τῆς χειρὸς καὶ τοῦ βραχίονος, οὐ τὴν ἐξ ὀστῶν καὶ νεύρων καὶ σαρκῶν καὶ συνδέσμων τοῦ μέλους κατασκευὴν ὑπογράφει τῷ λόγῳ· ἀλλὰ τὴν πρακτικὴν αὐτοῦ καὶ ἐνεργητικὴν δύναμιν τῷ τοιούτῳ διασημαίνει ὀνόματι, καὶ δι' ἑκάστου τῶν ἄλλων, τὰ κατάλληλα τῶν περὶ Θεοῦ νοουμένων ἐνδείκνυται, οὐ συμπαραδεχομένη τὴν σωματικὴν τῶν ὀνομάτων ἔμφασιν. οὕτως καὶ τὰ τῶν γενέσεων τούτων εἴδη λέγει μὲν ἐπὶ τῆς θείας φύσεως, οὐ μὴν οὕτω λέγει, ὡς νοεῖν οἶδεν ἡ καθ' ἡμᾶς συνήθεια. τὰ μὲν γὰρ περὶ τῆς κατασκευαστικῆς λέγῃ δυνάμεως, γέννησιν μὲν ὀνομάζει τὴν τοιαύτην ἐνέργειαν διὰ τὸ δεῖν πρὸς τὸ ταπεινὸν τῆς θείας δυνάμεως καταβῆναι τὸν λόγον. οὐ μὴν

A ſi extra eas generationum ſpecies quas ſupra definiuimus, eſſe videantur; nihilominus tamē in ipſis poſſunt comprehendi. Natura enim per corpora varia hæc animalium genera producit: qualis enim corporis verſio fuerit taliter à natura affecta ſiue diſpoſita; talem quandam animalis ſpeciem efficit: quæ quidem non alia eſt generationis ſpecies, præter eam quæ ex natura & materia abſoluitur. Cùm igitur hi modi generationis hominibus eſſent cogniti, hominum generi beneuola ſancti Spiritus diſpenſatio hominibus tradens myſteria, per ea quæ
B à nobis comprehendi poſſunt, doctrinam facit eorum quæ omnem ſermonem & rationem ſuperant, ſicut in aliis omnibus hoc facit, cum corporaliter Deum deſcribit, òculum & palpebras, aures & digitos, & manum etiam dexteram, & brachium, & pedem, & calceamenta & quæ ſunt eiuſmodi de Deo enarrans, quorum nihil ſecundum conſuetam intelligentiam in diuina deprehenditur natura, ſed ad id quod à nobis perſpici faciliter poteſt, doctrinam adducens, tritis & vulgatis in hominum con-
C ſuetudine vocibus, res quæ omnem exſuperant ſignificātiam determinat, dum per analogiā ſeu proportionem quandā, per ea quæ de Deo dicuntur, ad aliquam ſublimiorem cogitationem ſubleuamur. Sic igitur multas generationis ſpecies à Deo inſpirata doctrina ad repræſentationem ineffabilis ſubſiſtentiæ vnigeniti aſſumit, tantum ab vnoquoque aſſumēs, quantū ad eas quæ de Deo ſunt opiniones, pium eſt aſſumi. Vt enim cum digitorū fit mentio in Deo, & manus, & brachij, non ex oſſibus & neruis & carnibus & vinculis membri conſtitutionē ſermo-
D ne deſcribit, ſed actiuam ipſius & efficacem vim ac poteſtatem tali nomine ſignificat, & per aliorum vnumquodque, quæ de Deo intelliguntur, his nominibus reſpondentia, demonſtrantur: non tamen ſimul accipit corpoream nominum ſignificantiam. Sic etiam harum generationum ſpecies de diuina quidem natura dicit, non tamen ſic dicit, vt noſtra conſuetudo nouit intelligere. Nam cùm de ea vi ac potentia qua cuncta condidit, loquitur, hanc operationem generationem quidem nominat, quandoquidem neceſſe eſt de diuina virtute ſermonē ad humilitatē noſtrā deſcendere: nō tamen

omnia quæcũque apud nos in ea generatione qua quid cõſtruitur ſpectãtur, oſtẽdit. Non locũ, non tẽpus, nõ ſermo cõſtitutionem, non inſtrumẽtorum adiutricẽ operã, nõ in his quæ humanæ more fiunt tumultũ: ſed hæc nobis relinquens, ſublimi quodam & magnifico modo, Deo attribuit eorum quæ ſunt generationem.
Pſal.148. Verbi gratia cùm ait, Ipſe dixit & facta ſunt: ipſe mandauit & creata ſunt. Rurſus cum inenarrabilem, & omnem ſermonem exuperantem vnigeniti ex patre ſubſiſtentiam declarat, quia non eſt capax humana egeſtas & mendicitas documentorum quæ ſunt ſupra ſermonem & notitiam exſuperant, illic vocabulis noſtris vtitur, & filium nominat, quod quidem noſtra conſuetudo his qui ex materia & natura gignuntur nomen imponit. Sed quemadmodum creationis generationem cum diuinus ſermo dixit, quia ex aliqua materia facta eſt, ipſa non adiecit, ſed eſſentiam materiæ & locum & tempus & quæ ſunt eiuſmodi, nihil aliud eſſe præter diuinæ voluntatis potentiam declarat: ſic etiam hic filium cum dixit, omiſit omnia alia, quæcunque in infima generatione, humana natura ſpectat. Dico paſſiones & diſpoſitiones, & eam quæ fit ex tempore operationem, & loci neceſſitatẽ, & ante omnia materiam, ſine quibus omnibus infima generatio quæ eſt à natura, non conſiſtit. Cùm autem in generatione filij hæc omnia quæ de materia & locorum ſeu temporum interuallis intelliguntur, non comprehendiſſet, in filij ſignificatione ſola ſubrelicta eſt natura: proptereaq. voce filij, proprietas naturæ & legitima origo, quæ eſt in ea generatione quæ à patre editur, in vnigenito Dei filio explicatur. Et quoniam talis generationis ſpecies non erat idonea ad inſerendam nobis ſufficientem ineffabilis exiſtentiæ vnigeniti imaginationem: alteram generationis ſpeciẽ ſimul aſſumit theologia, ad ſignificandam filij generationem, eam nempe quæ fit ex materiali defluxu, & dicit ſplẽdorem gloriæ, & ſuauitatem vnguenti, vaporem Dei, quæ vt ſuperiori tractatu expoſuimus, noſtra cõſuetudo defluxum materialem nominat. Sed quemadmodum in his quę priùs recenſuimus, neque creaturę generatio, neque filij ſignificantia, tempus, vel materiam, vel laborem, vel affectionem ſimul admiſit: ſic & hic omni materiali cogitatione expurgans

A ἐνδείκνυται τὰ ὅσα παρ' ἡμῖν τῇ κατασκευαστικῇ γενέσει συνθεωρεῖται, οὐ τόπον, οὐ χρόνον, οὐχ ὁ λόγος παρασκευὴν, οὐκ ὀργάνων συνεργείαν, οὐ τὸν ἐπὶ τοῖς γινομένοις θόρυβον, ἀλλὰ ταῦτα ἡμῖν καταλείπουσα μεγαλοφυῶς, καὶ ὑψηλῶς τῷ Θεῷ προσμαρτυρεῖ τὴν ὄντων τὴν γέννησιν· ὡς ὅταν λέγῃ, ὅτι αὐτὸς εἶπεν καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. πάλιν ὅταν τὴν ἀπόρρητόν τε καὶ ὑπὲρ λόγον τοῦ μονογενοῦς ἀπὸ τοῦ πατρὸς ὑπόστασιν ἑρμηνεύῃ, διὰ τὸ ἀχώρητον εἶναι τὴν ἀνθρωπίνην πτωχείαν τῶν ὑπὲρ λόγον τε καὶ
B ἔννοιαν διδαγμάτων, ἐκεῖ τοῖς ἡμετέροις συγκέχρηται, καὶ υἱὸν ὀνομάζει, ὅπερ ἡ παρ' ἡμῖν συνήθεια τοῖς ἀπὸ ὕλης καὶ φύσεως ἀποτικτομένοις ὄνομα τίθεται. ἀλλ' ὥσπερ τὴν τῆς κτίσεως γένεσιν ἐπὶ τοῦ Θεοῦ ὁ λόγος εἰπὼν, τὸ διά τινος ὕλης γίνεσθαι αὐτὴν οὐ προσέθηκεν· οὐσίαν ὕλης, καὶ τόπον, καὶ χρόνον, καὶ πάντα τὰ τοιαῦτα, τὴν τοῦ θελήματος δύναμιν εἶναι ἀποφηνάμενος, οὕτω καὶ ἐνταῦθα υἱὸν εἰπὼν, ἀφῆκε πάντα τὲ τὰ ἄλλα ὅσα περὶ
C τὴν κάτω γέννησιν ἡ ἀνθρωπίνη φύσις ὁρᾷ. πάθη λέγω καὶ διαθέσεις καὶ τὴν ἐκ τοῦ χρόνου συνέργειαν, καὶ τὴν τοῦ τόπου χρείαν, καὶ πρὸ πάντων τὴν ὕλην, ὧν ἄνευ ἁπάντων, ἡ κάτω γέννησις ἐκ τῆς φύσεως οὐ συνίσταται. πάσης δὲ τοιαύτης ἐννοίας ὑλικῆς τε καὶ διαστηματικῆς μὴ συμπαραληφθείσης ἐν τῇ τοῦ υἱοῦ σημασίᾳ, μόνη ὑπελήφθη ἡ φύσις· καὶ διὰ τοῦτο τῇ τοῦ υἱοῦ φωνῇ τὸ οἰκεῖον καὶ γνήσιον τῆς ἐκ τοῦ πατρὸς ἀναδείξεως ἐπὶ τοῦ μονογενοῦς ἑρμηνεύεται. καὶ ἐπειδὴ οὐχ ἱκανὸν ἦν τὸ τοιοῦτο τῆς γεννήσεως εἶδος ἀρκοῦσαν ἡμῖν
D ἐμποιῆσαι τῆς ἀρρήτου περὶ τοῦ μονογενοῦς ὑπάρξεως τὴν φαντασίαν, συμπαραλαμβάνει καὶ ἕτερον τῆς γεννήσεως εἶδος, πρὸς σημασίαν τῆς τοῦ υἱοῦ θεολογία, τὸ ἐκ τῆς ὑλικῆς ἀποῤῥοίας, καὶ φησὶ ἀπαύγασμα δόξης, καὶ ὀσμὴν μύρου καὶ ἀτμίδα Θεοῦ, ἅπερ ἐν τῇ προεκτεθείσῃ παρ' ἡμῶν τεχνολογίᾳ, ἡ καθ' ἡμᾶς συνήθεια ὑλικὴν ἀπόῤῥοιαν ὀνομάζει. ἀλλ' ὥσπερ ἐν τοῖς προειρημένοις, οὔτε ἡ τῆς κτίσεως ποίησις, οὔτε ἡ τοῦ υἱοῦ σημασία, χρόνον, ἢ ὕλην, ἢ κόπον, ἢ πάθος συμπαρεδέξατο. οὕτως καὶ ἐνταῦθα πάσης τῆς ὑλικῆς ἐννοίας,

ἐκκαθάρας τὴν τοῦ ἀπαυγάσματος καὶ τῶν λοιπῶν τῶν μνημονευθέντων σημασίαν, μόνον τὸ θεοπρεπὲς τοῦ τοιούτου τῆς γεννήσεως εἴδους ὁ λόγος παραλαβὼν, ἐνδείκνυται τὸ ἐξ αὐτοῦ τε καὶ μετ' αὐτοῦ νοεῖσθαι, διὰ τῆς κατὰ τὴν λέξιν ταύτην ἐμφάσεως. οὔτε γὰρ ἡ ἀτμὶς τὴν εἰς ἀέρα διάχυσιν ἐκ τῆς ὑποκειμένης ὕλης παρίστησιν, οὔτε ἡ ὀσμὴ τὴν ἐκ τῆς ποιότητος τοῦ μύρου γινομένου πρὸς τὸν ἀέρα μετάστασιν, οὔτε ἀπαύγασμα τὴν ἐκ τοῦ ἡλιακοῦ σώματος διὰ τῶν ἀκτίνων ἀπόρροιαν. ἀλλὰ τοῦτο μόνον ἐκ πάντων, καθὼς εἴρηται, διὰ τοῦ τοιούτου τῆς γεννήσεως τρόπου δηλοῦται, τὸ ἐξ ἐκείνου τε εἶναι καὶ μετ' ἐκείνου νοεῖσθαι· μηδενὸς διαστήματος μεταξὺ τοῦ πατρὸς καὶ τοῦ ἐξ αὐτοῦ μεσιτεύοντος. ἐπεὶ δὲ διὰ πλείονα φιλανθρωπίαν ἡ τοῦ ἁγίου πνεύματος χάρις πολλαχόθεν ἡμῖν ἐγγενέσθαι τὰς θείας περὶ τοῦ μονογενοῦς ὑπολήψεις ᾠκονομήσατο· προσέθηκεν καὶ τὸ λειπόμενον τῶν ἐν γενέσει θεωρουμένων εἶδος, τὸ ἐκ τοῦ νοῦ φημὶ καὶ τοῦ λόγου. ἀλλὰ πλείονι χρῆται τῇ προμηθείᾳ ὁ ὑψηλὸς Ιωάννης, ὡς μήποτε ὑπὸ ἀτονίας τε καὶ μικροψυχίας καταπέσοι τὸν ἀκούοντα πρὸς κοινὴν ἔννοιαν λόγου, ὡς φθόγγον τοῦ πατρὸς τὸν υἱὸν νομισθῆναι· διὸ τοῦτο ἐν οὐσίᾳ βλέπειν τὸν λόγον παρασκευάζει τῷ πρώτῳ κηρύγματι, καὶ ἐν οὐσίᾳ οὐκ ἀπεξενωμένῃ τινὶ καὶ ἀπερρωγυίᾳ τοῦ ὅθεν ἐστὶν, ἀλλ' ἐν αὐτῇ καὶ τῇ πρώτῃ καὶ μακαρίᾳ φύσει. ταῦτα γὰρ διδάσκει, λέγων· ὅτι ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ πρὸς τὸν Θεὸν, καὶ Θεὸς, καὶ πάντα ὅσα ἐστὶν ἡ ἀρχὴ, καὶ αὐτὸς ὤν. οὕτως γὰρ περὶ τῆς ἀϊδιότητος τοῦ μονογενοῦς θεολογῶν διεξέρχεται. τούτων τοίνυν τῶν τῆς γεννήσεως τρόπων, ἤτοι τῶν ἐξ αἰτίας ὑφεστηκότων, ἐν τῇ καθ' ἡμᾶς συνηθείᾳ γινωσκομένων, παραληφθέντων δὲ καὶ παρὰ τῆς ἁγίας γραφῆς πρὸς τὴν τῶν ὑπερκειμένων διδασκαλίαν, οὕτως ὡς εἰκός ἐστι πρὸς παράστασιν τῶν θείων ὑπολήψεων ἕκαστον τούτων μεταληφθῆναι, κρινάτω δικαίαν κρίσιν ὁ ἐντυγχάνων τῷ λόγῳ· εἴ τι τῶν περὶ τῆς αἱρέσεως φερομένων ἰσχύν τινα κατὰ τῆς ἀληθείας ἔχει. προσθήσω δὲ πάλιν αὐτὴν ἐπὶ λέξεως τοῦ ἐναντίου τὴν ῥῆσιν ἔχουσαν οὕτως. δύο, φησὶν, ὄντων τῶν παρ' ἡμῶν εἰρημένων, τοῦ τε περὶ τῆς ἰδίας γεννήσεως μὴ εἶναι τὴν οὐσίαν τοῦ μονογενοῦς, καὶ τοῦ γεν-

A ſplendoris & cæterorum quorum mentio facta eſt, ſignificantiam, ſolum id quod Deo conuenit & decorum eſt, in tali generationis ſpecie, ſermo cum aſſumpſit, per emphaſim, ſeu claram huius dictionis ſignificantiam, ex ipſo eſſe & cum ipſo apertè oſtendit. Neque enim vapor ſiue halitus in aërem diffuſionem ex ſubiecta materia animo repræſentat, neque odor ex qualitate vnguenti in aërem tranſmutationem, neque ſplendor ex ſolari corpore per radios defluxum: ſed hoc ſolum ex omnibus, ſicut dictum eſt, per talem generationis modum declaratur, ex illo eſſe & cum illo intelligi, nullo interuallo inter patrem & eum qui B ex ipſo eſt interiecto. Sed quoniam ob maiorem in homines beneuolentiam ſancti Spiritus gratia multis ex locis nobis ingenerari diuinas de vnigenito opiniones diſpenſauit: his etiam addidit reliquam eorum quæ in generatione conſiderantur ſpeciem: dico eam quæ ex mente & ſermone. Sed maiore vſus eſt prouidentia ſublimis Ioannes, vt nunquam præ languore, & animi puſilli debilitate audientis intelligentia decidat ad communem notitiam verbi, vt filius patris ſonus exiſtimetur: propterea in eſſentia ſpectare verbum inſtruit prima prædicatione, & non in eſſentia aliqua C peregrina & abrupta ab ea quæ Deus eſt, ſed in ipſo & in prima beatáque natura. Hæc enim docet, dicens: In principio erat Verbum, & apud Deum, & Deus, & omnia quæ principium eſt, & ipſe eſt. Sic enim de æternitate vnigeniti theologicè diſſerens exponit: cùm igitur tales ſint generationis modi, ſeu certè eorum quæ ex cauſa ſubſiſtunt, qui quidem noſtra conſuetudine cognoſcuntur, quos aſſumpſit ſacra ſcriptura ad ſupereminentium doctrinam: quorum vnum quódD que ſic debeat aſſumi vt conſentaneum eſt ad firmandas & ſtabiliendas rerum diuinarum notiones, iudicet iam rectum iudicium, ille qui hunc ſermonem legit: ſi quid eorum quæ ab hæreſi proferuntur robur aliquod habet contra veritatem. Sed rurſus adijciã ipſam ad verbum aduerſarij orationem, quæ ſic habet. [Duo (inquit) cùm dixerimus, & ante generationem quæ ipſi propria eſt, non eſſe vnigeniti eſſentiam: & ante omnia

Ioan. 1.

Verba Eunomij.

generatam eſſe.] Quamnam generationis ſpeciem nobis iſte dogmatiſta protendit? num de Deo quod pium eſt & decorum decet intelligere & dicere? Et quis adeò impius & Dei negator, vt non eſſe in Deo prius intelligat? Sed perſpicuum quod ad materialem hanc reſpiciens generationem, infimam naturam de vnigenito Deo opinionis facit magiſtram. Et quoniam bos, vel aſinus, vel camelus ante ſuam generationem non eſt, hoc etiam in vnigenito vult aſſerere, quod in animalibus ſeries & ordo naturæ huius infimæ dat videre, neque hoc animaduertit carnalis iſte theologus, quod cum vnigenitus in Deo dicitur, hoc ipſo verbo, quod cum omni generatione nullam habet prorſus communionem, & quod ab ea peculiariter ſecretum eſt ſignificatur. Quomodo enim fuerit vnigenitus, ſi hæc ipſa generatio communionem ſecundum ſignificationem & identitatem cum alia generatione habet? Solum enim quod eximium eſt præcipuum in ipſo intelligitur, quod non in alia generatione cognoſcitur, propriè & congruenter vnigeniti nomine ſignificatur: Ita vt ſi quid ex iis quæ infimæ generationi conueniunt in ipſo ſpectetur: non amplius ſit vnigenitus, vtpotè * qui aliquibus generationis proprietatibus cum reliquis genitis communicet: ſi enim eadem in eo dicerentur, quæ in aliis, quæ per generationem in rerum natura prodeunt, ad fraternam aliquam relationem vnigeniti ſignificatum ſermo transferet. Quare ſi quod cum aliis quæ generantur, neque mixtionem, neque communionem patitur, vnigeniti ſignificatum oſtendit: nihil certè eorum quæ in ima generatione cernuntur, in hypoſtaſi filij quæ ex patre eſt, intelligi admittemus. Atqui proprium eſt omnium quæ per generationẽ ſubſiſtunt, ante generationem non eſſe: hoc igitur alienum ab vnigeniti proprietate, cui nihil vagum & erroneum in vlla cõmunis generationis ſpecie & modo adeſſe & competere vnigeniti appellatio teſtatur. Ergo iſte materialis & ſenſui amicus doctor perſuadeatur, per aliam generationis ſpeciem ſuarum opinionum vagum errorem emendare. Sed fortè dices, cum ſplendorem gloriæ & vnguenti odorem audis, quod non erat ſplendor ante propriam generationem: ſed cum hoc dixeris,

A νοηθεῖσαν πρὸ πάντων εἶναι. ποῖον γεννήσεως εἶδος ὁ δογματιστὴς ἡμῖν προτείνεται; ἆρα τὸ πρέπον ἐπὶ Θεοῦ νοεῖν τε καὶ λέγειν; καὶ τίς οὕτως ἄθεος ὥστε προεπινοεῖν τοῦ Θεοῦ τὸ μὴ εἶναι; ἀλλὰ δῆλον ὅτι πρὸς τὴν ὑλικὴν ταύτην βλέπων γένεσιν, τὴν κάτω φύσιν τῆς περὶ τοῦ μονογενοῦς Θεοῦ ὑπολήψεως ποιεῖται διδάσκαλον, καὶ ἐπειδὴ βοῦς, ἢ ὄνος, ἢ κάμηλος πρὸ τῆς ἰδίας γεννήσεως οὐκ ἔστι, τοῦτο καὶ ἐπὶ τοῦ μονογενοῦς βούλεται λέγειν, ὃ ἐπὶ τῶν ζώων ἡ ἀκολουθία τῆς κάτω φύσεως δίδωσι βλέπειν, οὐδὲ τοῦτο νοῶν ὁ σωματικὸς θεολόγος, ὅτι B τὸ μονογενὲς ἐπὶ Θεοῦ λεγόμενον, αὐτῷ τῷ ῥήματι τὸ πρὸς πᾶσαν γένεσιν ἀκοινώνητόν τε καὶ ἰδιάζον ἀποσημαίνει. πῶς γὰρ ἂν εἴη μονογενὴς αὕτη ἡ γένεσις, εἰ κοινωνίαν κατὰ τὴν ἔμφασιν καὶ ταυτότητα πρὸς ἄλλην γένεσιν ἔχει; τὸ γὰρ μόνον κατεξαίρετον ἐπ' αὐτοῦ νοεῖται, ὃ οὐκ ἔστιν ἐπ' ἄλλης καταμανθάνεσθαι γεννήσεως, κυρίως τε καὶ προσφυῶς τῷ προσρήματι τοῦ μονογενοῦς ἑρμηνεύεται· ὡς εἴ γε τι τῆς κάτω γεννήσεως καὶ ἐπ' αὐτοῦ θεωρεῖται, οὐκέτ' ἂν εἴη μονογενής, ὁ τισὶ τῆς γεν- C νήσεως ἰδιώμασι πρὸς τὰ λοιπὰ τῶν γεννηθέντων κοινοποιούμενος· εἰ γὰρ τὰ αὐτὰ καὶ ἐπὶ τούτου λέγοιτο, ἃ καὶ ἐπὶ τῶν ἄλλων τῶν διὰ γεννήσεως παριόντων εἰς τὸ εἶναι λέγεται, εἰς ἀδελφικήν τινα σχέσιν τὸ τοῦ μονογενοῦς σημαινόμενον μετασκευάσει ὁ λόγος. οὐκοῦν εἰ τὸ ἄμικτόν τε καὶ ἀκοινώνητον πρὸς τὰ λοιπὰ τῶν γενομένων ἐνδείκνυται τὸ τοῦ μονογενοῦς σημαινόμενον, οὐδὲν τῶν περὶ τὴν κάτω γέννησιν ὁρωμένων, καὶ ἐπὶ τῆς ἐκ τοῦ πατρὸς ὑποστάσεως τοῦ υἱοῦ νοεῖσθαι καταδεξόμεθα. D ἀλλὰ μὴν ἴδιον πάντων τῶν διὰ γεννήσεως ὑφεστηκότων, τὸ μὴ εἶναι πρὸ τῆς γεννήσεως· ἀλλότριον ἄρα τοῦτο τῆς τοῦ μονογενοῦς ἰδιότητος, ᾧ μηδὲν τοῦ τρόπου τῆς κοινῆς γεννήσεως εἴδους τὸ πεπλανημένον προσεῖναι ἡ τοῦ μονογενοῦς ἐπωνυμία μαρτύρεται. οὐκοῦν πιστωθήτω ὁ ὑλικὸς οὗτος καὶ τῇ αἰσθήσει φίλος, διὰ τῆς ἑτέρου τῆς γεννήσεως εἴδους τὸ πεπλανημένον τῶν ὑπολήψεων αὐτοῦ διορθώσασθαι. ἀλλ' ἴσως ἐρεῖς, ὅταν ἀπαύγασμα δόξης καὶ ὀσμὴν μύρου ἀκούσης, ὅτι οὐκ ἦν τὸ ἀπαύγασμα πρὸ τῆς ἰδίας γεννήσεως· ἀλλ' ὅταν τοῦτο

εἴπῃς, οὐδὲ τὴν δόξαν πάντως εἶναι δώσεις· οὔτε τὸ μύρον, οὐ γάρ ἐστιν· ἢ τυφλὴν ἐφ' ἑαυτῆς καὶ ἀλαμπῆ ποτὲ νομισθῆναι τὴν δόξαν εἶναι, ἢ τὸ μύρον τῆς εὐπνοίας ἄγονον. ὥστε εἰ τὸ ἀπαύγασμα οὐκ ἦν, οὐδὲ ἡ δόξα ἦν πάντως. καὶ τῆς ὀσμῆς οὐκ οὔσης, τὸ μηδὲ τὸ μύρον εἶναι συναπεδείχθη. εἰ δὲ φοβεῖ τινὰ ταῦτα παρὰ τῆς γραφῆς παραληφθέντα τὰ ὑποδείγματα, ὡς οὐκ ἀκριβῶς τὸ μεγαλεῖον τοῦ μονογενοῦς παριστῶντα, διὰ τὸ μὴ ταυτὸν εἶναι τῷ ὑποκειμένῳ κατὰ τὴν οὐσίαν, ἢ τὸν ἀτμὸν τῷ μύρῳ, ἢ τὴν ἀκτῖνα τῷ ἡλίῳ, ὁ ἀληθινὸς λόγος διορθωσάσθω τὸν φόβον, ὁ ἐν τῇ ἀρχῇ ὤν, καὶ πάντα ὤν, ὅσα ἐστὶν ἡ ἀρχή, ὢν τοῦ παντὸς προϋπάρχων, οὕτως ἐν τῷ κηρύγματι τοῦ Ἰωάννου βοήσαντος, ὅτι καὶ πρὸς τὸν Θεὸν ἦν ὁ λόγος, καὶ Θεὸς ἦν ὁ λόγος. εἰ οὖν Θεὸς μὲν ὁ πατήρ, Θεὸς δὲ καὶ ὁ υἱός, τίς ἔτι καταλείπεται πρὸς τὴν ἀκριβῆ τῆς μονογενοῦς θεολογίας ἀμφιβολία; ὅταν τῇ μὲν τοῦ υἱοῦ σημασίᾳ τὸ κατὰ φύσιν οἰκεῖον γνωρίζεται, τῷ δὲ ἀπαυγάσματι τὸ συναφές τε καὶ ἀδιάστατον. τῇ δὲ τοῦ Θεοῦ προσηγορίᾳ κατὰ τὸ ἴσον ἐφηρμοσμένῃ πατρί τε καὶ υἱῷ, τὸ διὰ πάντων ὁμότιμον. ὁ δὲ χαρακτὴρ πάσῃ τῇ ὑποστάσει τοῦ πατρὸς ἐπιθεωρούμενος, τὸ ἀνελλιπὲς τοῦ ἰδίου μεγέθους διασημαίνει, καὶ ἡ μορφὴ τοῦ Θεοῦ τὴν διὰ πάντων καταμηνύει ταυτότητα, τὰ πάντα δεικνύειν ἐφ' ἑαυτῆς δι' ὧν ἡ θέσις χαρακτηρίζεται. πάλιν τοίνυν προθῶμεν τοῦ Εὐνομίου τὸν λόγον. Οὐκ ἦν, φησί, πρὸ τῆς ἰδίας γεννήσεως. τίς οὗτός ἐστιν, ὃν οὐκ εἶναι λέγει; εἰπάτω τὰ θεῖα ὀνόματα, οἷς ὁ κατ' Εὐνόμιον ποτὲ μὴ ὢν ὀνομάζεται. οὐκοῦν φῶς ἐρεῖ καὶ μακαριότητα, ζωήν τε καὶ ἀφθαρσίαν, καὶ δικαιοσύνην καὶ ἁγιασμόν, καὶ δύναμιν καὶ ἀλήθειαν, καὶ τὰ τοιαῦτα. ὁ τοίνυν πρὸ τῆς γεννήσεως λέγων αὐτὸν μὴ εἶναι, ἄντικρυς ταῦτα βοᾷ, ὅτι οὐκ ἦν ἀλήθεια, ὅτε ἐκεῖνος οὐκ ἦν, οὐκ ἦν ζωή, οὐκ ἦν φῶς, οὐκ ἦν δύναμις, οὐκ ἦν ἀφθαρσία, οὐκ ἄλλο τι ἦν τῶν ἐν Θεῷ νοουμένων οὐδέν. καὶ τὸ ἔτι τούτων παραλογώτερον, καὶ εἰς ἀσέβειαν χαλεπώτερον, οὐκ ἦν ἀπαύγασμα, οὐκ ἦν χαρακτήρ. ἐν γὰρ τῷ μὴ εἶναι λέγειν ἀπαύγασμα, τὸ μηδὲ τοῦ ἀπαυ-

A nihil prorſus eſſe, gloriam dabis: neque vnguentum, non enim eſt: vel cæcam in ſeipſa & luce carentem aliquando fuiſſe gloriam exiſtimandum, vel vnguentum ſuauis exſpirationis ſterile. Quare ſi ſplendor non erat, neque gloria erat omnino. Et ſi odor non eſt, neque vnguentum eſſe nunc demonſtratum eſt. Quod ſi terrent aliquem hæc quæ à ſcriptura aſſumuntur exempla, vt non exactè vnigeniti magnificẽtiam exprimentia, quia non idem ſit cum ſubiecto ſecundum ſubſtantiam, vel halitus cum vnguento, B vel radius cum Sole, verus ſermo metum eius eximat, qui dicit, quòd erat in principio, & quòd omnia eſt, quæcunque eſt principium, & quòd ante omnia præexiſtit, præſertim cùm Ioannes in præconio ſuo vociferetur, quòd & apud Deum erat Verbum, & Deus erat Verbum. Si igitur Pater eſt Deus, & Deus eſt etiam filius: quænam ad exactam de vnigenito theologiam relinquitur dubitandi ratio: cum filij ſignificatione proprietas naturæ notificetur, per ſplendorem verò, vnio & coniunctio nullis interuallis diſſita ſignificetur. Dei autem appellatio C quæ Patri & Filio æqualiter accommodatur, honoris per omnia æqualitatem indicet. Character verò ſiue figura omnis ſubſtantiæ quæ in patre conſideratur, perfectam plenitudinem propriæ magnitudinis penitus ſignificat. Et forma Dei per omnia oſtendit identitatem, omnia demonſtrando in ſeipſa per quæ poſitio figuratur. Rurſus igitur proponamus Eunomij ſermonem. [Non erat, inquit, ante propriam generationem.] Quis hic eſt, quem non eſſe autumat? Recenſeat diuina nomina, quibus ille D qui ex Eunomij opinione aliquando non erat, nominatur. Dicet ergo lucem, beatitudinem, vitámque, & incorruptibilitatem, & iuſtitiam & ſanctificationem, & virtutem & veritatem, & quæ ſunt eiuſmodi. Iſte igitur qui ait ante generationem ipſum non fuiſſe, palam proculdubio clamat, quod non erat veritas, quando ille non erat, non erat vita, non erat lux, non erat incorruptibilitas, non aliud quicquam eorum quæ in Deo intelliguntur. Præterea quod eſt abſurdius, & ad impietatem acerbius, non erat ſplendor, non erat character, ſiue figura. Dum enim dicit non eſſe ſplendorem, non eſſe quoque vim

reſplendentem prorſus ſimul aſtruit, vt A in exemplo lucernæ videre eſt. Qui enim lucernæ fulgorem dixit, lucernam ſplendere ſimul oſtendit & qui non eſſe fulgorem dicit, lucernæ ardentis extinctionem conſignificauit. Quare cum filius non eſſe dicitur, etiam patris non exiſtentia neceſſaria conſecutione adſtruitur. Si enim alterum alteri cohæret continenter, ſecundum apoſtolicum teſtimonium, & ſplendor gloriæ, & character ſubſtantiæ, & ſapientia Dei, qui alterum coniunctorum negat eſſe, vnius ſublatione reliquum funditus ſuſtulit. Quare ſi non eſt ſplendor, confi- B tendum eſt, neque ſplendentem naturam eſſe. Et ſi character non ſubſiſtit, neque figurantem eſſe perſonam. Si præterea non eſt ſapientia & virtus Dei, neque illum eſſe prorſus fatendum eſt, qui non abſque ſapientia & virtute in ſeipſo intelligitur. Si igitur non erat vnigenitus Deus, priuſquam fieret, ſicut ait Eunomius. Chriſtus autem Dei eſt virtus & Dei ſapientia, & character, & ſplendor, igitur non erat omnino pater, cuius filius eſt virtus & ſapientia, & character, & ſplendor: nullo quippe modo licet ratio- C ne complecti, neque ſubſtantiam nullo charactere ſignatam, neque gloriam quæ luce careat, neque Deum ſapientia orbatum, neque opificem abſque manu, neque principium rationis expers, neque patrem ſine filio. Sed omnia quæ ſunt eiuſmodi, & his qui fatentur & qui aſpernantur, ſibi inuicem ſimul eſſe declarantur. Et per vnius ſublationem, & quod coniunctum ei adhæret ſimul euaneſcit. Quoniam igitur ab ipſis filius non eſſe aſtruitur priuſquam genitus eſſet, qui eſt gloriæ ſplendor: conſequentia autem ſimul cum ſplendoris non exiſtentia, tollit etiam gloriæ æternitatem. D Gloria autem eſt pater, vnde vnigenita lux reſplenduit, intelligant iſti qui ſapientia exuberant, ſe Epicureorum decretorum patronos & defenſores manifeſtos eſſe, & chriſtianiſmi prætextu ac ſpecie atheiam, id eſt impietatem, ſiue Dei abnegationem aſſerere. Cùm igitur ſit duplex ex conſecutione demonſtrata abſurditas, vel omnino Deum non eſſe, vt dicunt, vel non eſſe abſque principio. Quod ex his manifeſtè probatis ipſis videbitur eligant, vel vt diuinitatis abnegatores dicantur, vel vt non amplius eſ-

A γάζουσαν δύναμιν εἶναι συγκατασκευάζει πάντως, πῶς ἐπὶ τοῦ λύχνου τὸν λύχνον ἐστὶν ὑποδείγματος. ὁ γὰρ τὴν αὐγὴν τοῦ λύχνου εἰπὼν, καὶ τὸ λάμπειν τὸν λύχνον συνεδείξατο, καὶ ὁ μὴ εἶναι τὴν αὐγὴν λέγων, τὴν σβέσιν τοῦ φωτίζοντος συνεσήμανεν. ὥστε ὅταν ὁ υἱὸς μὴ εἶναι λέγηται, καὶ ἡ τοῦ πατρὸς ἀνυπαρξία κατ' ἀνάγκην ἐκ τοῦ ἀκολούθου κατασκευάζεται. εἰ γὰρ συνημμένως ἔχεται τοῦ ἑτέρου τὸ ἕτερον, κατὰ τὴν ἀποστολικὴν μαρτυρίαν, καὶ τὸ ἀπαύγασμα τῆς δόξης, καὶ ὁ χαρακτὴρ τῆς ὑποστάσεως, καὶ ἡ σοφία τοῦ Θεοῦ, ὁ τὸ ἕτερον τῶν συνημ- B μένων μὴ εἶναι λέγων, τῇ τοῦ ἑνὸς ἀναιρέσει συνανεῖλε πάντως καὶ τὸ λειπόμενον. ὥστε τοῦ ἀπαυγάσματος μὴ ὄντος, ὁμολογεῖσθαι μὴ εἶναι μηδὲ τὴν ἀπαυγάζουσαν φύσιν, καὶ τοῦ χαρακτῆρος μὴ ὑφεστῶτος, μηδὲ τὴν χαρακτηριζομένην εἶναι ὑπόστασιν. σοφίας δὲ καὶ δυνάμεως Θεοῦ μὴ οὔσης, μηδὲ ἐκεῖνον πάντως εἶναι ὁμολογεῖσθαι, τὸν δίχα σοφίας τε καὶ δυνάμεως ἐφ' ἑαυτοῦ μὴ νοούμενον. εἰ οὖν οὐκ ἦν ὁ μονογενὴς Θεὸς πρὶν γενέσθαι, καθώς φησιν ὁ ΕΥνόμιος· Χρι- C στὸς δὲ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, καὶ χαρακτὴρ καὶ ἀπαύγασμα, οὐκ ἦν πάντως οὐδὲ ὁ πατήρ, οὗ ὁ υἱὸς δύναμίς ἐστι καὶ σοφία, καὶ χαρακτὴρ καὶ ἀπαύγασμα· οὐ γάρ ἐστιν ἐπινοῆσαι τῷ λόγῳ, οὔτε ὑπόστασιν ἀχαρακτήριστον, οὔτε ἀλαμπῆ δόξαν, οὔτε ἄσοφον Θεόν, οὐκ ἄχειρα δημιουργόν, οὐκ ἄλογον ἀρχήν, οὐκ ἄπαιδα πατέρα. ἀλλὰ πάντα τὰ τοιαῦτα ἐπί τε τῶν ὁμολογούντων καὶ ἐπὶ τῶν ἀθετούντων καὶ ἀλλήλοις συναναφαίνεται. καὶ διὰ τῆς τοῦ ἑνὸς ἀναιρέσεως, καὶ τὸ συνημμένον συναφανίζεται. ἐπεὶ τοίνυν κατασκευάζεται παρ' αὐτῶν τὸ μὴ εἶναι τὸν D υἱὸν πρὸ τοῦ γενέσθαι, ὅ ἐστιν ἀπαύγασμα δόξης· ἡ δὲ ἀκολουθία συναναιρεῖ τῇ τοῦ ἀπαυγάσματος ἀνυπαρξίᾳ, καὶ τὴν τῆς δόξης ἀϊδιότητα. δόξα δὲ ὁ πατήρ, ὅθεν τὸ μονογενὲς φῶς ἀπηυγάσθη, νοησάτωσαν οἱ περιττοὶ τὴν σοφίαν, ὅτι σύμμαχοι τῶν Ἐπικουρείων δογμάτων ἀναπεφήνασιν, καὶ προσχήματι χριστιανισμοῦ, τὴν ἀθεΐαν πρεσβεύοντες. διπλῆς τοίνυν κατὰ τὸ ἀκόλουθον τῆς ἀτοπίας ἀναφανείσης, ἢ καθόλου μὴ εἶναι τὸν Θεὸν λέγειν, ἢ μὴ ἀνάρχως εἶναι. ἑλέσθωσαν τὸ δοκοῦν ἐκ τῶν φανέντων, ἢ ἄθεοι λέγεσθαι, ἢ μηκέτι ἄναρχον

ἄναρχον εἶναι φῶ πατρὶ τὴν οὐσίαν λέγειν. ἀλλὰ μὴν φεύγειν εἰκὸς αὐτοὺς τὸ ἀθέους νομίζεσθαι. οὐκοῦν λείπεται τὸ μὴ εἶναι ἀΐδιον τὸν Θεὸν κατασκευάζειν. εἰ δὲ τοῦτον ἡ τῶν ἀποδειχθέντων ἀκολουθία συναναγκάζει, ποῦ αἱ ποικίλαι καὶ ἄστροφοι τῶν ὀνομάτων ἀντιστροφαί; ποῦ δὲ ἡ ἀμήχανος τῶν συλλογισμῶν ἀνάγκη; διὰ τοῦ ἀγεννήτου πρὸς τὸ γεννητὸν διαφορᾶς ταῖς γραώδεις ἀκοὰς περιβομβοῦσα; ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. καλῶς δ' ἂν ἔχοι μηδὲ τὸ ἐφεξῆς παριδεῖν ἀνεξέταστον· σιωπάσθω δὲ τὰ διὰ μέσου παίγνια, οἷς ὁ δεινὸς οὗτος ῥήτωρ μειρακιωδῶς ἐναβρύνεται, εἴτε παίζων, εἴτε σπουδάζων ἐν τῇ καθ' ἡμῶν λοιδορίας, ὡς διὰ τούτου κρείττων κατὰ τὸν λόγον ἐσόμενος. οὐ γὰρ δὴ βιάσεταί τις ἡμᾶς, ἢ τοῖς λοξοῖς τὰ ὄμματα συνδιαστρέφειν τὰς ὄψεις, ἢ τοῖς ὑπὸ δαιμονίας νόσου παραπεπληγόσι συνδιαστρεβλοῦσθαι, συνεξάλλεσθαι καὶ συγκαταπίπτειν τῷ σώματι. ἀλλ' ἐκείνους μὲν ἐλεήσομεν, ἡμεῖς δὲ τοῦ καθεστηκότος οὐκ ἐκστησόμεθα. φησὶ τοίνυν στρέψας πρὸς τὸν διδάσκαλον ἡμῶν τὸν ἐν τῷ προγράμματι λόγον, ὡς δὴ κατὰ προσώπου τὴν μάχην ποιούμενος, ὅτι τοῖς ἰδίοις ἁλώσῃ πτεροῖς. ἐκεῖνον γὰρ εἰρηκότος, τὸ καλὸν ἀεὶ προσεῖναι τῷ ἐπὶ πάντων Θεῷ, καλὸν δὲ τὸ τοιούτου παιδὸς εἶναι πατέρα. οὐκοῦν μηδέποτε τὸ καλὸν ἀπεῖναι αὐτῷ, μηδὲ ἄνευ υἱοῦ τὸν πατέρα θελῆσαι· θελήσαντα δὲ μὴ ἀδυνατῆσαι, δυνάμενον δὲ καὶ βουλόμενον, ἐν τῷ κατὰ γνώμην εἶναι καὶ ἀεὶ ἔχειν τὸν υἱὸν, διὰ τὸ ἀεὶ θέλειν τὸ ἀγαθόν· πρὸς τοῦτο γὰρ ἡ διάνοια τῶν ὑπὸ τοῦ πατρὸς ἡμῶν εἰρημένων βλέπει· ταῦτα προδιασύρας ὁ Εὐνόμιος, ἐκ τῆς ἔξωθεν σοφίας ἐπισυναχθέντα τοιαύτην τινὰ ῥῆσιν πρὸς ἀνατροπὴν τῶν εἰρημένων προβάλλεται, καὶ φησί. τίς γεννήσει λέγοντος τινὸς τῶν τοῖς τοιούτοις λόγοις ἐμμεμελετηκότων, ὥσπερ εἴπερ τὸ δημιουργεῖν καλὸν καὶ πρέπον Θεῷ, πῶς οὐκ ἀνάρχῳ αὐτῷ τὸ καλὸν καὶ πρέπον παρῆν, εἴπερ ἄναρχος ὁ Θεός· καὶ ταῦτα μήτε ἀγνοίας κωλυούσης, μήτε ἀσθενείας ἐμποδιζούσης, ἢ πρὸς τὸ δημιουργεῖν ἡλικίας, καὶ ὅσα συμφορήσας κακῶς σεαυτοῦ κατέχεας. οὐ γὰρ δὴ τοῦ Θεοῦ θέμις εἰπεῖν. εἰ μὲν οὖν ἦν δυνατὸν

A ſentiam principio carentem patri eſſe affirment. Enimuerò veriſimile eſt ipſos fugere Dei negatores exiſtimari. Reliquum eſt igitur eos adſtruere Deum non eſſe æternum. Quod ſi hoc eorum quæ demonſtrata ſunt conſequentia cogit neceſſario, vbi variæ & irretortæ nominum reciprocæ conuerſiones? vbi ineluctabilis ſyllogiſmorum neceſſitas? per ingeniti cum genito differentiam circum aniles aures bombilans? Sed hæc hactenus. Operępretiũ autem videretur, quod deinceps ſequitur nõ indiſcuſſum præterire. Sed ludicra interiecta ſilentio B inuoluantur, quibus hic vehemens orator iuueniliter exultat, ſiue iocans, ſiue ſeriò agens in conuitiis contra nos coniectis, quaſi per hæc ratione ſuperior futurus. Nullus enim vi nos adiget, cum limis & obliquis oculos itidem extorquere, vel cum morbo dæmoniaco perculſis ſimul exagitari, vna ſaltare & corpore concidere. Sed illorum quidem miſerebimur, nos autem de cõpoſito mentis ſtatu non dimouebimur. Ait igitur in magiſtrum noſtrum ſermone conuerſo, quaſi reipſa contra perſonam decertans, quod propriis pẽnis captus ſit. C Cùm enim ille dixiſſet, quod pulchrum eſt ſiue honeſtum ſemper adeſſe Deo, qui eſt in omnibus, præclarum autem ſiue honeſtum talis filij eſſe patrem. Igitur nunquam honeſtum abeſſe ab ipſo, neque ſine filio patrem eſſe voluiſſe: volentem autem non impotẽtem fuiſſe, ſed potentem & volẽtem, voti ſui compotem eſſe, ſempérque habere filiũ, quia ſemper vult bonum: ad hoc enim eorum quæ à patre noſtro dicta ſunt tendit intelligẽtia. Hęc Eunomius prius traducens & carpens, aducta ex ſapientia externa talẽ quandam dictionem ad euerſionẽ eorum quæ D dicta ſunt proponit, & ait. Quis generabit, (cùm dixiſſet aliquis eorum qui in talibus ſermonibus exercitati ſunt,) quemadmodum ſiquidem condere & creare honeſtum & Deo decorum eſt; quo modo ipſi origine carenti honeſtum & decens non aderat, ſiquidẽ origine & principio caret Deus: Ergo etiã hęc quę creata ſunt, cùm neque ignorãtia ſit quæ prohibeat, neq. infirmitas quę impediat, vel ætas ad operandũ, & quæcũq. congerens malè in te ipſum effudiſti: nam in Deum, dicere nefas. Si igitur poſſet magiſter ipſe

A ad interrogatum reſpondere Eunomio oſtenderet. Quis genitus eſt ſicut hic interrogauit per linguam à Deo eruditam. Et tunc diuinum reuelans myſterium, & refutationibus flagellans erroris præſides, vt omnibus ſit manifeſtum quantum interſit inter miniſtrum myſteriorum Chriſti, & mimum ridiculum, vel fictorem nouorum & prodigioſorum placitorum. Sed quoniam ille quidem, ſicut ait Apoſtolus, mortuus Deo loquitur: hic verò, tanquam non ſit qui contradicat, talia proijcit, etſi noſtra reſponſio Baſilij magni vocem non æquet, nihilominus hæc ad præſens interroganti B reſpōdebimus. Quòd ſermo tuus, quem ad ſubuerſionem noſtrorum profers ſermonum, ipſe teſtatur nos vera dicere in iis in quibus impietatis tuæ dogma refellimus. Neque enim aliud nos tam grauiter accuſamus, quam quod contendis exiſtimare nos debere, Dominum creaturæ nihil differre ab iis quæ communia ſunt creaturæ: & quod à vobis prætenditur contra vnigenitum omnino damnamus. Nam ſi quod in creatura vides, putas oportere hoc etiam vnige- C nito Deo congruere, cōcluſum eſt, quod ſummopere contendimus: per tuos enim ſermones, rationum tuarum abſurditas ſatis eſt demonſtrata omnibuſque facta perſpicua: & quod nos in veritate ſermonem prauum corrigimus ac reprehendimus: quódque tibi de vnigenito Deo opinio talis eſt, ac de reliquis creaturis: perinde ac ſi de aliqua dubitatio eſſet, non de vnigenito filio, Deo, opifice omnis creaturæ, ſiue ante erat, ſiue poſt patri aderat. Quid igitur ad hæc infit vox magiſtri? Quod natura bonum eſt, non pium eſt non ſemper in Deo eſſe credere. Nullam D enim videre cauſam propter quam conſentaneum eſt bonum bono non adeſſe, neque propter poteſtatis defectum, neque propter voluntatis inopiam. Quid ad hæc dicit qui his aduerſatur? Quod ſi Deum verbum ex æterno credendum eſſe dederis, & de creaturis idem fateberis. O quomodo nouit ratione diſcernere creaturarum naturam & diuinam majeſtatem! Quomodo ſcit quæ vtriſq. ſunt congrua, quæque de Deo & quæ de creatura piè fas eſt exiſtimare! Si (inquit) opifex à tempore opificium auſpicatur.

αὐτὸν τὸν διδάσκαλον πρὸς τὸ ἐρωτηθὲν ἀποκρίνασθαι, ἔδειξεν αὐτῷ Εὐνομίῳ. τίς ἐγένετο, καθὼς οὗτος ἠρώτησε διὰ τῆς θεοπαιδεύτου γλώττης. τότε θεῖον ἐκκαλύπτων μυστήριον, καὶ μαστίζων τοῖς ἐλέγχοις τοὺς τῆς ἀπάτης προστάτας, ὥστε φανερὸν γενέσθαι πᾶσιν ὅσον τὸ μέσον ἐστὶ μεταξὺ διακόνου μυστηρίων Χριστοῦ, καὶ μίμου γελοίου, ἢ ποιητοῦ καινῶν τε καὶ ἀλλοκότων δογμάτων. ἐπεὶ δὲ ὁ μὲν καθώς φησιν ὁ ἀπόστολος, ἀποθανὼν τῷ Θεῷ λαλεῖ, ὁ δὲ ὡς οὐκ ὄντος τοῦ ἀντερροῦντος τοιαῦτα προβάλλει, κἂν μὴ τὸ ἴσον ἡ παρ' ἡμῶν ἀπόκρισις ἔχῃ, ὡς πρὸς τὴν τοῦ μεγάλου Βασιλείου φωνήν, πλὴν ἐν παρόντι ταῦτα πρὸς τὸν ἐρωτήσαντα φήσομεν. ὅτι μαρτυρεῖ τὸ ἀληθεύειν ἡμᾶς ἐν οἷς τὸ δόγμα τῆς ἀσεβείας ἐλέγχομεν, ὁ σὸς γίνεται λόγος ὁ ἐπὶ ἀνατροπῇ τῶν ἡμετέρων προφερόμενος λόγων. οὔτε γὰρ ἄλλο τι τοσοῦτον ἡμεῖς αἰτιώμεθα, ἢ τὸ μηδὲν οἴεσθαι διαφέρειν ἡμᾶς τοῦ κοινοῦ τῆς κτίσεως τὸν δεσπότην τῆς κτίσεως· καὶ τὸ παρ' ὑμῶν προτεινόμενον κατὰ τοῦ μονογενοῦς, ἡμεῖς αἰτιώμεθα. εἰ γὰρ ὅπερ ἐπὶ τῆς κτίσεως βλέπεις τοῦτο δεῖν οἴει ἐφαρμόζειν καὶ τῷ μονογενεῖ Θεῷ, πέρας ἔχει τὸ παρ' ἡμῶν σπουδαζόμενον· ἀπελήλεγκται γὰρ διὰ τῶν σῶν λόγων τὸ ἄτοπον, καὶ πᾶσι γέγονε καταφανές· ὅτι τε ἡμεῖς ἐν ἀληθείᾳ τὸν λόγον εὐθύνομεν· καὶ ὅτι σοι ἡ περὶ τοῦ μονογενοῦς Θεοῦ ὑπόληψις τοιαύτη ἐστίν, οἵα καὶ περὶ τὰ λοιπὰ τῶν κτισμάτων, περί τινος ἡ ἀμφισβήτησις ἦν, οὐ περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, τοῦ δημιουργοῦ πάσης τῆς κτίσεως, εἴτε ἀεὶ ἦν, εἴτε ὕστερον τῷ πατρὶ προσεγένετο. τί οὖν περὶ τούτου φησὶν ἡ τοῦ διδασκάλου φωνή; ὅτι τὸ τῇ φύσει καλόν, οὐκ εὐαγές ἐστι μὴ ἀεὶ ἐν τῷ Θεῷ πιστεύειν εἶναι. μηδὲ γὰρ αἰτίαν ὁρᾶν τινὰ καθ' ἣν εἰκός ἐστι τὸ ἀγαθὸν τῷ ἀγαθῷ μὴ παρεῖναι, μήτε κατὰ δυνάμεως ἔλλειψιν, μήτε κατὰ τὴν τῆς βουλῆς ἀργίαν. τί πρὸς ταῦτά φησιν ὁ τοῖς εἰρημένοις μαχόμενος; ὅτι ἐὰν τὸν Θεὸν λόγον δῷς ἐξ ἀϊδίου πιστεύεσθαι, καὶ περὶ τῶν δημιουργημάτων τὸ ἴσον δώσεις. ὢ πῶς οἶδε διακρίνειν τῷ λόγῳ δημιουργημάτων φύσιν καὶ θείαν μεγαλειότητα; πῶς ἐπίσταται περὶ ἑκατέρου τὰ πρόσφορα, ὅσα τε περὶ τοῦ Θεοῦ, καὶ ὅσα περὶ τῆς κτίσεως εὐσεβῶς ἐστιν οἴεσθαι; εἰ ὁ δημιουργός, φησιν, ἀπὸ τοῦ χρόνου τῆς δημιουργίας ἄρχεται.

οὐ γὰρ ἄλλῳ τινὶ τὴν τῶν γεγονότων ἀρχὴν ἔστι σημειώσασθαι, μὴ ἐν τῷ ἰδίῳ διαστήματι τοῦ χρόνου τὰς ἀρχὰς καὶ τὰ τέλη τοῖς γινομένοις ὁρίζοντος. διὰ τοῦτό φησι, δεῖν καὶ τὸν ποιητὴν τῶν χρόνων ἀπὸ τῆς ὁμοίας ἀρχῆς τοῦ εἶναι ἄρξασθαι. ἀλλ' ἡ μὲν κτίσις ἀρχὴν τοὺς αἰῶνας ἔχει. τοῦ δὲ ποιητοῦ τῶν αἰώνων, ποίαν ἐπινοήσεις ἀρχήν; εἰ μὲν γὰρ τὴν ἐν τῷ εὐαγγελίῳ τις λέγῃ, ὅπερ ἐστὶν ἐκεῖνο τὸ δηλούμενον, ᾧ συνημμένως καὶ ἡ τοῦ υἱοῦ ὁμολογία συναναδείκνυται, καὶ οὐκ ἔστι τὸν ἐν τῷ πατρὶ ὄντα, καθώς φησιν ὁ κύριος, ἀπό τινος σημείου χρονικοῦ ἄρξασθαι. εἰ δὲ ἄλλην τις ἀρχὴν παρ' ἐκείνην λέγει, εἰπάτω τὸ ὄνομα ᾧ σημειοῦται τὴν τοιαύτην ἀρχὴν, μηδενὸς καταλαμβανομένου, πρὸ τῆς τῶν αἰώνων συστάσεως. οὐκοῦν οὐδὲν ἡμᾶς παρακινήσει τῆς εὐσεβοῦς περὶ τὸν μονογενῆ Θεὸν ὑπολήψεως ὁ τοιοῦτος λόγος, κἂν ἐπικροτῶσιν αἱ γραῖες, ὡς ἰσχυρῷ τῷ προβλήματι. μένομεν γὰρ ἐπὶ τῶν ἐξ ἀρχῆς ἐγνωσμένων, ἐρηρεισμένον ἔχοντες ἐπὶ τῆς ἀληθείας τὸν λόγον. ὅτι ὅσα περὶ τοῦ μονογενοῦς Θεοῦ λέγειν ὁ τῆς εὐσεβείας ὑποτίθεται λόγος, οὐδεμίαν ἔχει πρὸς τὴν κτίσιν τὴν οἰκειότητα, ἀλλὰ πολλῷ τῷ μέσῳ διώρισται, τοῦ τε πάντα πεποιηκότος, καὶ τῶν ἔργων αὐτοῦ τὰ γνωρίσματα. εἰ μὲν οὖν ἐν ἑτέροις τισὶν εἶχέ τινα κοινωνίαν ὁ υἱὸς πρὸς τὴν κτίσιν, ἔδει πάντως μηδὲ κατὰ τὸν τῆς ὑπάρξεως τρόπον παρηλλάχθαι λέγειν. εἰ δὲ ἄμοιρος ἡ κτίσις τῶν τοιούτων ἐστὶ τῶν ὅσα περὶ τὸν υἱὸν μεμαθήκαμεν· ἀναγκαῖον πάντως, μηδὲ κατὰ τοῦτο λέγειν τὴν κοινωνίαν ἔχειν. οὐδὲ γὰρ ἐν ἀρχῇ ἦν ἡ κτίσις, οὔτε πρὸς τὸν Θεὸν ἦν, οὔτε Θεὸς ἦν, οὐ ζωὴ, οὐ φῶς, οὐκ ἀνάστασις, οὐ τὰ λοιπὰ τῶν θεοπρεπῶν ὀνομάτων. οἷον, ἀλήθεια, δικαιοσύνη, ἁγιασμὸς, κριτὴς, δίκαιος, ποιητὴς τοῦ παντὸς, ὑπάρχων πρὸ τῶν αἰώνων, βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα καὶ ἔτι, οὐκ ἀπαύγασμα δόξης ἡ κτίσις, οὐ χαρακτὴρ ὑποστάσεως, οὐκ ἀγαθότητος εἰκὼν, οὐ χάρις, οὐ δύναμις, οὐκ ἀλήθεια, οὐ σωτηρία, οὐκ ἀπολύτρωσις, οὐδέ τι τοιούτων ὅλως τῶν εἰς δόξαν τοῦ μονογενοῦς παρὰ τῆς γραφῆς λεγομένων, οὐδὲν ἐπὶ τῆς κτίσεως οὔτε ἐστὶν, οὔτε λέγεται, ἵνα

A Non enim alio aliquo eorum quæ ſunt facta, principium licet notare, niſi tempus non in proprio interuallo principia & extrema his quæ fiunt definierit. quocirca inquit, oportere factorem temporum à principio ſimili eſſe cœpiſſe. Sed creatura quidem principium habet ſecula: factoris autem ſeculorum quódnam principium cogitabis? Si quis dicat, illud principiũ eſſe quod eſt in Euãgelio, quod quidem eſt illud quod declaratur, cum quo cohærenter filij confeſſio ſimul demonſtratur, nec fas eſt eum, qui eſt in patre, ſicut dicit Dominus, ab aliquo B puncto temporali cœpiſſe. Sin autem aliud quoddam præter illud principium eſſe aſſerit, dicat nomen quo tale principium ſignificatur, cum nullum ante ſeculorum conſtitutionem comprehendatur. Ergo talis ſermo à pia & religioſa opinione erga vnigenitum Deum nullo modo nos dimouebit, tametſi anus mulierculæ huic quæſtioni tanquam validæ applaudant: ſiquidem in his quæ ab initio ſunt decreta manemus, firmatam atque innixam veritati habentes rationem. Quia quæcunque de vnigenito Deo di- C cere pietatis ſermo ſuggerit: nullam habent cum creatura neceſſitudinem, ſed longo interuallo, & eius qui fecit, & operum ipſius notæ & indicia ſunt diſtincta. Si igitur in aliis quibuſdam haberet aliquam cõmunionem filius cum creatura, oporteret omnino dicere eum ſecundum exiſtentiæ modum non differre. Quod ſi exſors eſt creatura talium quæcunque in filio didicimus: neceſſarium planè, neque ſecundum hoc dicere habere communionem. Neque enim in principio erat creatura, neque apud Deum erat, neque Deus erat, D neque vita, neque lux, non reſurrectio, neque reliqua nomina quæ Deum decent, vt veritas, iuſtitia, ſanctificatio, iudex, iuſtus, opifex, molitórque vniuerſi, qui eſt ante ſecula, moderans ſeculum & regnans in ſeculum & vltra, non ſplendor gloriæ creaturæ, non character, ſiue expreſſa forma ſubſtantiæ, non bonitatis imago, non gratia, non virtus, non veritas, non ſalus, non redemptio, neque quid eiuſmodi eorum quæ ad gloriam vnigeniti à ſcriptura dicuntur, nihil in creatura neque eſt neque dicitur, vt

Filij Dei attributa quæ nulli creaturæ competunt.

ſublimiores illas voces prætermittam, nempe, ego in patre & pater in me. Et
Ioan. 14. qui vidit me, vidit & patrem, & nullus vidit filium niſi pater. Si igitur talia & tanta de creatura poſſet, ſermo teſtari, rectè ipſi viderentur quæ in ipſa ſpectantur accommodari poſſe notionibus his quas de vnigenito habere debemus, comparatione facta eorum quę ſunt eiuſdem generis inter ſe. Quod ſi omnes hæ notiones & nomina quæ de filio dicuntur, cum patre habent communionem: notiones autem quæ de creatura ſunt ſuperant: annon iſte ſapiens & ſolers pudore confunditur, dùm per ea quæ in creatura cōſiderantur, de Domino creaturæ, velut naturali ratione diſſerit, necdum intelligens alia eſſe ſigna & indicia per quæ creatura dignoſcitur? Eorum enim omnium quæ ſunt ſumma diuiſio, in id quod creatum eſt, & quod increatum, partitionem habet: hoc quidem vt cauſam eius quod factum eſt, illud verò vt illinc factum. Cùm igitur natura creata & diuina eſſentia ſit ita diſtincta, nullámque ſocietatem habeat ſecundum proprietates, quibus dignoſcūtur: omnino neceſſe eſt non per ſimilia vtrámque intelligere, neque eaſdem notas ſeu cognitionis inſignia, eorum quæ ſecundum naturę rationem diſtant, inquirere. Cùm igitur natura creata, ſicut ait omnipotentis ſapientiæ ſermo, principium & finem & medium temporum in ſeipſa demonſtret, & cum omnibus temporalibus interuallis extendatur, hanc proprietatem velut characterem quendam, id eſt notam ſubiecti ſumimus, in eo quod aliquod principium ſuæ conſtitutionis videmus, & medium cernimus, & ad extremum terminum ſpe pariter extendimur: Didicimus enim quod cœlum non eſt ab æterno, & terra, neque in æternum erit, vt ex eo ſit perſpicuum, quod ab aliquo principio quæ ſunt in rerum natura cœperunt, & in aliquod extremum prorſus deſinent. Diuina autem natura nulla parte terminata, ſed vndique in infinitum omnem terminum permeans, longè abeſt ab his ſignis & notis quæ in creatura inueniuntur. Etenim dimenſionis expers, ſine quantitate & incircunſcripta potentia, in ſeipſa complectens ſecula, & omnem quæ in ipſis continetur creaturam, atque omni ex parte ſeculorum infinitatem propriæ naturæ æternitate exſuperans, vel nullum habet

A τὰς ὑψηλοτέρας παρίημι* φωνάς, τό, ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί, καὶ ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα, καὶ οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ. εἰ μὲν οὖν εἶχε τὰ τοιαῦτα καὶ τηλικαῦτα προσμαρτυρεῖν ὁ λόγος τῇ κτίσει, καλῶς ἂν τὰ περὶ ταύτην θεωρούμενα καὶ τῆς περὶ τοῦ μονογενοῦς ὑπολήψεσιν ἐφαρμόζειν ᾤετο δεῖν, ἐκ τῶν ὁμοφύλων πρὸς τὸ συγγενὲς γινομένης τῆς παραθέσεως. εἰ δὲ πάντα τὰ τοιαῦτα νοήματά τε καὶ ὀνόματα πρὸς μὲν τὸν πατέρα τὴν κοινωνίαν ἔχει, τῆς δὲ περὶ τὴν κτίσιν
B ὑπονοίας ὑπέρκειται· ἆρ' οὐ καταδύεται ὑπ' αἰσχύνης ὁ σοφὸς καὶ ἀγχίνους διὰ τῶν ἐν τῇ κτίσει θεωρουμένων φυσιολογῶν τὸν κτίσεως κύριον, οὔπω συνιεὶς ὅτι ἄλλα τῆς κτίσεως ἐστὶ τὰ γνωρίσματα; τῶν γὰρ ὄντων πάντων ἡ ἀνωτάτω διαίρεσις εἰς τὸ κτιστὸν καὶ ἄκτιστον τὴν τομὴν ἔχει· τὸ μὲν, ὡς αἴτιον τοῦ γεγονότος· τὸ δὲ, ὡς ἐκεῖθεν γενόμενον. διῃρημένης τοίνυν τῆς τε κτιστῆς φύσεως καὶ τῆς θείας οὐσίας, καὶ οὐδεμίαν ἐπιμιξίαν ἐχούσης κατὰ τὰς γνωριστικὰς ἰδιότητας, ἀνάγκη πᾶσα μὴ διὰ τῶν ὁμοίων ἑκάτερον νοεῖν, μηδὲ τὰ αὐτὰ γνωρίσ-
C ματα τῶν διεστηκότων κατὰ τὸν τῆς φύσεως λόγον ἀναζητεῖν. τῆς τοίνυν ἐν τῇ κτίσει φύσεως, καθώς φησι τῆς παναρέτου σοφίας ὁ λόγος, ἀρχὴν καὶ τέλος καὶ μεσότητα χρόνων ἐφ' ἑαυτῆς δεικνυούσης, καὶ πᾶσι συμπαρατεινομένης τοῖς χρονικοῖς διαστήμασι ταύτην τὴν ἰδιότητα, οἷόν τινα χαρακτῆρα τοῦ ὑποκειμένου λαμβάνομεν, ἐν τῷ πάντως καὶ ἀρχὴν αὐτοῦ τινα τῆς συστάσεως βλέπειν καὶ πρὸς τὸ μέσον ὁρᾶν, καὶ πρὸς τὸ πέρας ταῖς ἐλπίσι συμπαρατείνεσθαι. μεμαθήκαμεν γὰρ ὅτι οὔτε ἐξ ἀϊδίου ἦν ὁ οὐρανὸς, καὶ ἡ γῆ, οὔτε εἰς τὸ ἀΐδιον ἔσται,
D ὡς ἐκ τούτου δῆλον εἶναι, ὅτι καὶ ἀπὸ ἀρχῆς τινος τὰ ὄντα ἤρξατο, καὶ εἴς τι πάντως καταλήξει πέρας. ἡ δὲ θεία φύσις κατ' οὐδὲν μέρος περατουμένη, ἀλλὰ πανταχόθεν ἐν τῷ ἀορίστῳ πᾶν πέρας διαβαίνουσα, πόρρωθέν ἐστι τῶν ἐπὶ τῆς κτίσεως εὑρισκομένων σημείων. ἡ γὰρ ἀδιάστατος καὶ ἄποσος καὶ ἀπερίγραπτος δύναμις, ἐν ἑαυτῇ τοὺς αἰῶνας καὶ πᾶσαν τὴν ἐν τούτοις ἔχουσα κτίσιν, καὶ πανταχόθεν τὴν τῶν αἰώνων ἀπειρίας τῇ ἀϊδιότητι τῆς ἰδίας ὑπερεκπίπτουσα φύσεως, ἢ οὐδὲν ἔχει

σημεῖον τὸ καταμηνύον τὴν φύσιν, ἢ ἄλλο τι πάντως, καὶ οὐχ ὅπερ ἡ κτίσις ἔχει. ἐπεὶ οὖν ἴδιον τῆς κτίσεως τὸ ἀρχὴν ἔχειν· ἀλλότριον ἂν εἴη τῆς ἀκτίστου φύσεως τὸ τῆς κτίσεως ἴδιον. εἰ γὰρ καθ' ὁμοιότητα κτίσεως καὶ τὴν τοῦ μονογενοῦς ὕπαρξιν ἔκ τινος καταλαμβανομένης ἀρχῆς ὑποτίθεσθαί τις ἀξιώσειε, κατ' ἀνάγκην πάντα καὶ τὴν τῶν λοιπῶν ἀκολουθίαν τῷ περὶ τούτου λόγῳ συνεφαρμόσει. οὐ γὰρ ἔστι τῆς ἀρχῆς δοθείσης μὴ συνομολογῆσαι καὶ τὸ ἑπόμενον. ὥσπερ γὰρ εἴ τις ἄνθρωπον εἶναι δοίη, τὸν τὰ τῆς φύσεως διὰ τῆς ὁμολογίας ταύτης συνήρτησε, καὶ ζῶον αὐτὸν καὶ λογικὸν εἶναι λέγων, καὶ εἴ τι ἄλλο νοεῖται περὶ τὸν ἄνθρωπον. κατὰ τὸν αὐτὸν λόγον, εἰ ἕν τι τῶν περὶ τὴν κτίσιν ἰδιωμάτων ἐπὶ τῆς θείας οὐσίας κατανοήσαιμεν, οὐκέτ' ἐφ' ἡμῖν ἔσται, τὸν λόγον τῶν ἐπ' αὐτῆς θεωρουμένων, μὴ ἐφαρμόσαι τῇ ἀκηράτῳ φύσει. ἡ γὰρ ἀρχὴ βιαίως τι καὶ ἀναγκαίως τὸ μεθ' ἑαυτὴν ἀκόλουθον ἐπιζητήσει, ἡ γὰρ οὕτω νοουμένη ἀρχὴ τῶν μετ' αὐτὴν ἐστὶν ἀρχή. ὥστε εἰ ἐκεῖνα εἴη, καὶ ταύτην εἶναι· εἰ δὲ ἀναιροῖτο τὰ συνημμένα, μηδὲ τὸ προηγούμενον μένειν. τῆς τοίνυν σοφίας, καὶ μεσότητα καὶ τέλος τῇ ἀρχῇ προστιθείσης, εἰ λάβοιμεν ἐπὶ τῆς τοῦ μονογενοῦς φύσεως ἀρχήν τινα ἀπό τινος σημείου ὁριζομένην τῆς ὑποστάσεως, καθὼς δογματίζει ἡ αἵρεσις, οὐ συγχωρήσει πάντως ἡ σοφία, μὴ καὶ τὸ πέρας καὶ τὸ μέσον τῇ ἀρχῇ συναρτῆσαι. εἰ δὲ τοῦτο γένοιτο, εὑρεθήσεται ἡμῖν ὁ θεόλογος, θνητὸν τοῖς ἐπιχειρήμασιν ἀποδεικνύων τὸ θεῖον. εἰ γὰρ τῇ ἀρχῇ τὸ τέλος κατὰ τὸν τῆς σοφίας λόγον ἀναγκαίως ἐφέπεται, καὶ τὸ μέσον ἐνθεωρεῖται τοῖς πέρασιν. ὁ τὸ ἓν δούς, τῇ δυνάμει καὶ τὰ ἄλλα συγκατεσκεύασε, μέτρα καὶ πέρας ζωῆς ὁρίζων τῇ ἀορίστῳ φύσει. εἰ δὲ τοῦτο ἀσεβές τε καὶ ἄτοπον, τῆς ἴσης, ἢ καὶ μείζονος ἄξιον κατηγορίας ἐστί, τὸ ἀρχὴν δοῦναι τῷ λόγῳ τῷ ἀσεβείᾳ λήγοντι· ἀρχὴ δὲ τῆς τοιαύτης ἀτοπίας ἐφάνη, τὸ ἐν ἀρχῇ τινι περιγεγραμμένην τοῦ υἱοῦ τὴν ζωὴν νομίσαι. ὥστε δυοῖν θάτερον, ἢ μεταθήσονται πρὸς τὸν ὑγιαίνοντα λόγον ὑπὸ τῶν εἰ-

A ſignum quod naturam eius ſignificet, vel aliud quiddam omnino, & quod creatura non habet. Quoniam igitur proprium creaturæ eſt, principium habere: alienum prorſus ab increata natura, quod creaturæ eſt proprium. Si enim ad ſimilitudinem creaturæ etiam vnigeniti exiſtentiam ab aliquo comprehenſibili principio cœpiſſe, ſupponere quis cenſuerit, neceſſariò & reliquorum quæ in creatura inueniuntur, rationi eius accommodauerit. Non enim integrum eſt dato principio non ſimul confiteri quod ſequitur. Quemadmodum enim ſi quis hominem eſſe conceſ-
B ſerit, quæ ſunt naturæ humanæ eum habere per hanc confeſſionem annexuit, & animal ipſum & rationale dicens, & ſi quid aliud in homine intelligitur. Eadem ratione ſi vnum quid eorum quæ propriè creaturæ attribuuntur, in diuina eſſentia intellexerimus, iam non nobis liberum erit amplius rationem eorum quæ in ipſa conſiderantur naturæ immortali non applicare. Principium enim violentè & neceſſariò quod poſt ipſum ſequitur exiget: principium enim quod
C ſic intelligitur eorum quæ poſt ipſum ſunt principium eſt. Quare ſi illa fuerint, & hoc eſſe neceſſe eſt: ſi verò illa ſublata fuerint, neque quod antecedit manere. Cùm igitur ſapientia, & medietatem & finem principio præponat, ſi in vnigeniti natura principium aliquod eius ſubſiſtentiæ ab aliquo puncto determinatum ſumpſerimus, ſicut dogmatizat hæreſis, proculdubio concedet ſapientia, & finem & medium principio copulare. Quod ſi hoc fiat, inuenietur nobis Theologus iſte argumentis demonſtrare Deum mortalem
D eſſe. Si enim principium finis ſecundum rationem ſapientiæ neceſſariò ſequitur; medium etiam inter extrema conſideratur. Qui vnum dederit, poteſtate & alia ſimul aſtruit menſuras & extremum vitæ finem, naturæ infinitæ determinans. Quod ſi hoc impium eſt & abſurdum, æquali, vel etiam maiore accuſatione dignum eſt, principium dare ſermoni in impietatem deſinenti: huius autem abſurditatis principium inde elucet, quòd exiſtiment vitam filij aliq circumſcripto principio eſſe concluſam. Quare duorum alterum, vel mutabuntur ad ſanum ſermonem per ea quæ dicta

ſunt coacti, & cum patris æternitate A eum qui ex illo eſt, contemplabuntur: vel niſi hoc velint, vtroque extremo terminabunt filij æternitatem, nempe principio & fine, infinitatem vitæ ipſius ad id quod non exiſtit adducentes. quod ſi & animorum & angelorum natura fine caret, neque prohibetur in æternum perpetuari, quia ſit creata & ab aliquo principium ſuæ ſubſiſtentiæ habeat, ita vt per hoc aduerſarij poſſint in Chriſto idem dicere, quod quamuis non ſit ab æterno, tamen in æternum ſe protendat. Qui hæc profert, etiam illa ſecum reputet, quantum diſtet diuinitas B à creatura, per proprietates quæ in ea ſunt. Nam diuinitatis quidem proprium eſt, nulla quæ ſecundum bonum ſpectetur notione indigere: creatura vero melioris participatione in pulchro fit, quæ quidem non ſolum eſſe cœpit, ſed etiam ſemper deprehenditur incipere in pulchro eſſe, propter incrementum quo ſemper tendit in melius. Quare nunquam in comprehenſione totius boni conſiſtit: ſed omne quod creatum eſt per participationem principium fit ad ſcenſus ad id quod melius eſt. Et iuxta Pauli vocem, nunquam ceſſat ad an- C teriora extendere ſe & obliuiſci eorum quæ ſunt retro. Quoniam igitur diuinitas, ipſa vita eſt, Deus autem vnigenitus Deus & vita, & veritas, & quodcunque excelſum, & Deo decorum cogitari poteſt. Creatura verò illinc bonorum ſubminiſtrationem capit. Ex his manifeſtum eſſe poſſit, quod ſi quia particeps eſt vitæ, verum eſt eam viuere: ſi participare ceſſaret, proculdubio deſineret etiam viuere. Si igitur & de vnigenito Deo hæc dicere audent, quæcunque de creatura verum eſt dicere, illud etiam his omnibus quæ dicunt ad- D dant, quòd ſimiliter cum creatura eſſe cæpit, & in vita inſtar animarum permanet. Quod ſi ille quidem eſt ipſamet vita, nec neceſſe eſt eũ aliunde in ſe vitã aduentitiam habere: alia autem omnia non vita ſunt, ſed vitæ participia fiunt. Quæ igitur neceſſitas cogit, ex iis quæ in creatura cernuntur æternitatem vitæ vnigenito præſcribere. Quod enim ſemper eodem modo natura ſe habet, con-

A ρημένων ἀναγκαζόμενοι, καὶ τῇ τοῦ πατρὸς ἀϊδιότητα, τὸν ἐξ ἐκείνου συνθεωρήσουσιν· ἢ εἰ μὴ τοῦτο βούλοιντο, καθ' ἑκάτερον περατώσουσι τοῦ υἱοῦ τὸ ἀΐδιον, τῇ ἀρχῇ καὶ τῷ τέλει τὸ ἄπειρον αὐτοῦ τῆς ζωῆς εἰς τὸ ἀνύπαρκτον ἄγοντες. εἰ δὲ ἀτελεύτητος καὶ τῶν ψυχῶν καὶ τῶν ἀγγέλων ἡ φύσις, καὶ οὐδὲν κωλύεται εἰς τὸ ἀΐδιον παριέναι, διὰ τὸ καὶ κτιστὴ εἶναι, καὶ ἀπό τινος τὴν ἀρχὴν τῆς συστάσεως ἐσχηκέναι, ὡς διὰ τούτου δύνασθαι ἂν καὶ ἐπὶ τοῦ Χριστοῦ τὸ ἴσον τοὺς ὑπεναντίους εἰπεῖν· ὡς μήτε ἐξ ἀϊδίου ὄντος καὶ εἰς τὸ ἀτελεύτητον B παρατείνοντος. ὁ ταῦτα προφέρων κἀκεῖνα λογιζέσθω, ὅσον μεταξὺ τῆς κτίσεως ἡ θεότης ἔστηκε τοῖς ἰδιώμασι. τῆς μὲν γὰρ θεότητος ἴδιον τὸ ἀνενδεὲς πάντως τοῦ κατὰ τὸ ἀγαθὸν θεωρουμένου νοήματος· ἡ δὲ κτίσις ἐκ μετοχῆς τοῦ βελτίονος ἐν τῷ καλῷ γίνεται· ἥ τις οὐ μόνον τοῦ εἶναι ἤρξατο, ἀλλὰ καὶ τοῦ ἐν τῷ καλῷ εἶναι πάντοτε διὰ τῆς πρὸς τὸ κρεῖττον ἐπαυξήσεως, ἐν τῷ ἄρχεσθαι καταλαμβάνεται. διό τι οὐδέποτε ἐπὶ τοῦ κατειλημμένου ἵσταται· ἀλλὰ πᾶν τὸ κτηθὲν διὰ τῆς C μετουσίας, ἀρχὴ τῆς πρὸς τὸ μεῖζον ἀνόδου γίνεται. καὶ κατὰ τὴν Παύλου φωνήν, οὐδέποτε παύεται τοῖς ἔμπροσθεν ἐπεκτεινομένη, καὶ λήθην ποιουμένη τῶν ὄπισθεν. ἐπεὶ οὖν ἡ μὲν θεότης αὐτὸ ζωή ἐστι· Θεὸς δὲ ὁ μονογενής, Θεὸς καὶ ζωή, καὶ ἀλήθεια, καὶ πᾶν εἴ τι ὑψηλὸν καὶ θεοπρεπές ἐστι νόημα. ἡ δὲ κτίσις ἐκεῖθεν τῶν ἀγαθῶν λαμβάνει τὴν χορηγίαν, φανερὸν ἐκ τούτων ἂν εἴη, ὅτι εἴπερ μετέχουσα τῆς ζωῆς, ἐν τῷ ζῆν ἐστι. καὶ εἰ παύσαιτο τῆς μετουσίας, καὶ τοῦ D ἐν τῷ ζῆν εἶναι παύσεται πάντως. εἰ μὲν οὖν καὶ περὶ τοῦ μονογενοῦς Θεοῦ ταῦτα λέγειν τολμῶσιν, ὅσα περὶ τῆς κτίσεως ἀληθές ἐστι λέγειν, καὶ τοῦτο μετὰ πάντων λεγέτωσαν, ὅτι ὁμοίως τῇ κτίσει καὶ τοῦ εἶναι ἄρχεται, καὶ ἐν τῷ ζῆν καθ' ὁμοιότητα τῶν ψυχῶν διαμένει. Εἰ δὲ ὁ μὲν αὐτὸ ζωή ἐστι, καὶ τοῦ ἐπείσακτον ἔχειν ἐν ἑαυτῷ τὴν ζωὴν οὐ προσδέεται· τὰ δὲ ἄλλα πάντα οὐχὶ ζωή ἐστιν, ἀλλὰ μετικτικὰ τῆς ζωῆς γίνεται. τίς ἀνάγκη διὰ τῶν ἐν τῇ κτίσει βλεπομένων παραγράφεσθαι τῷ μονογενεῖ τὸ ἀΐδιον; τὸ μὲν γὰρ ἀεὶ ὡσαύτως κατὰ τὴν φύσιν ἔχον, ἀπαράδεκτον

ἐστι τοῦ ἐναντίου, καὶ τῆς πρὸς τὸ ἕτερον μεταβολῆς ἀνεπίδεκτον. οἷς δὲ ἡ φύσις μεθόριος, τούτοις ἐπαμφοτερίζει πρὸς ἑκάτερον ἡ ῥοπὴ, κατ' ἐξουσίαν τοῖς κατὰ γνώμην προσκινουμένοις. εἰ οὖν ἡ ὄντως ζωὴ ἐν τῇ θείᾳ τε καὶ ὑπερκειμένῃ θεωρεῖται φύσει, ἡ ἀπόπτωσις ταύτης πρὸς τὸ ἀντικείμενον πάντως κατὰ τὸ εἰκὸς καταλήξει. πολύσημος δὲ τῆς ζωῆς καὶ τοῦ θανάτου ἡ ἔννοια, καὶ οὐ κατὰ τὸν αὐτὸν νοουμένη τρόπον. ἐπὶ μὲν γὰρ τῆς σαρκὸς, ἡ τῶν σωματικῶν αἰσθήσεων ἐνέργειά τε καὶ κίνησις ζωὴ λέγεται· καὶ τὸ ἔμπαλιν ἡ σβέσις αὐτῶν καὶ διάλυσις, θάνατος ὀνομάζεται. ἐπὶ δὲ τῆς νοερᾶς φύσεως, ἡ πρὸς τὸ θεῖον οἰκείωσις, ἡ ἀληθής ἐστι ζωή· καὶ ἡ τούτου ἀπόπτωσις, θανάτου ἔχει τὸ ὄνομα. διὸ καὶ τὸ ἀρχέγονον κακὸν ὁ διάβολος, καὶ θάνατος λέγεται, καὶ εὑρετὴς θανάτου· ἀλλὰ καὶ κράτος ἔχειν θανάτου παρὰ τοῦ ἀποστόλου λέγεται· οὔσης οὖν διπλῆς, καθὼς εἴρηται, τῆς τοῦ θανάτου σημασίας ἐκ τῆς γραφῆς νοουμένης. ὁ μὲν ἀληθῶς ἄτρεπτός τε καὶ ἀναλλοίωτος, μόνος ἔχει τὴν ἀθανασίαν, καὶ φῶς οἰκεῖ τῷ ζόφῳ τῆς κακίας ἀπρόσιτόν τε καὶ ἀπροσπέλαστον. ὅσα δὲ τοῦ θανάτου μετέχει, τῆς ἀθανασίας διὰ τῆς ἐπὶ τὸ ἐναντίον ῥοπῆς πόρρω γινόμενα· εἰ δὲ ἀποῤῥυῇ τῆς τοῦ ἀγαθοῦ μετουσίας, δέξαιτο ἂν τῷ τρεπτῷ τῆς φύσεως τὴν κοινωνίαν τοῦ χείρονος· ὅπερ οὐδὲν ἕτερόν ἐστιν, ἢ θάνατος· ἀναλογίαν τινὰ πρὸς τὸν σωματικὸν θάνατον ἔχων. ὡς γὰρ ἐνταῦθα τῶν τῆς φύσεως ἐνεργημάτων ἡ σβέσις θάνατος κέκληται, οὕτως καὶ ἐπὶ τῆς νοερᾶς οὐσίας, ἡ πρὸς τὸ ἀγαθὸν ἀκινησία θάνατός ἐστι, καὶ ζωῆς ἀναχώρησις. ὡς μὴ ἀντιπίπτειν τῷ λόγῳ τὴν αἱρετικὴν ἀτοπίαν ἐλέγχοντι τὸ περὶ τὴν ἀσώματον κτίσιν νοούμενον. ὁ γὰρ κατάλληλος τῇ νοερᾷ φύσει θάνατος, τοῦτ' ἔστιν ὁ χωρισμὸς τοῦ Θεοῦ, ὃν οὐ ζωὴν ὀνομάζομεν, οὐδὲ ταύτης τῆς φύσεως τῇ δυνάμει κεχώρισται. ἡ γὰρ ἐκ τοῦ μὴ ὄντος πρόοδος, τὸ τρεπτὸν καταμηνύει τῆς φύσεως. ᾧ δὲ συγγενὴς ἡ ἀλλοίωσις, τοῦτο χάριτι τοῦ ἐνισχύοντος τῆς τοῦ ἐναντίου μετουσίας ἀπείργεται, οὐχὶ δυνάμει τῆς ἰδίας φύσεως ἐν τῷ ἀγαθῷ μένει. τὸ δὲ τοιοῦτον οὐκ ἀΐδιον. εἰ οὖν

A trarij capax non eſt, neque in alterum mutationis eſt particeps. Quibus verò natura eſt contermina, ſeu in confinio boni & mali conſtituta, horum propenſio anceps in alterutrum vergit, pro libera poteſtate eorum qui ex animi ſententia mouentur. Si igitur vera vita in diuina & ſupereminenti natura ſpectatur, huius dilapſio ad oppoſitum prorſus vt conſentaneum eſt deſinet. Multiplex autem vitæ & mortis ſignificatio, neque modo eodem intelligitur. Nam in carne, corporeorum ſenſuum functio & motio vita dicitur: contra ipſorum
B extinctio & diſſolutio mors nominatur. In intellectuali verò natura approximatio ad Deum vera eſt vita, auerſio autem & lapſus à Deo, mortis nomine appellatur. Quapropter princeps malum, id eſt primus mali autor diabolus, & mors vocatur, & mortis inuentor: ſed & mortis imperium habere ab Apoſtolo dicitur: Cùm igitur ſicut dictum Rom. 6. eſt mortis duplex ſignificatio in ſcripturis intelligatur: is quidem qui verè immutabilis eſt atque inalterabilis, ſolus habet immortalitatem, & lucem habitat
C caligini vitioſitatis inacceſſam & inuiam. Quæcunque autem morti ſunt obnoxia, cùm ab immortalitate ob propenſionem quam habent in contrarium procul abſint, ſi à boni participatione defluant, ob naturæ mutabilitatem deterioris communionem poſſunt accipere: 1. Tim. 6. quod quidem nihil aliud eſt, quam mors, proportionem quandam cum morte corporali habens. Quemadmodum enim in corporibus, naturalium functionum extinctio mors vocata eſt: ſic in ſpirituali eſſentia, ad bonum non moueri, mors eſt & vitæ ſeceſſus. Quare
D hæretica abſurditas non aduerſetur ſermoni arguenti quod intelligitur in creatura incorporea. Mors enim quæ naturæ ſpirituali competit, hæc eſt à Deo ſeparatio, quam non vitam nominamus, neque ab hac natura potentia ſeparata eſt. Nam entis à non ente proceſſio naturæ mutabilitatem indicat. Cui autem cognata eſt alteratio, hoc gratia & fauore corroborantis à contrarij conſortio arcetur, non propriæ naturæ virtute in bono manet. Quod autem tale eſt, non eſt æternum. Si ergo

verum eſt dicere, diuinam eſſentiam & creatam naturam per eadem non eſſe dimetiendam: neque etiam conueniens eſt, per aliquod principium eſſentiam filij circumſcribere, vt non hoc dato, & reliquæ creaturæ proprietates vnius confeſſione, ſimul adeſſe concedantur. Apertè enim redarguitur abſurditas eius qui vnigenitum Deum per ea quæ de creatura dicuntur, à patris æternitate abſcindit: vt enim nihil aliud eorum quæ notis ſignant creaturam in factore creaturæ conſpicitur, ſic neque ex eo quòd hæc ſit ab aliquo principio demonſtrari poteſt, ſemper in patre eſſe filium: qui eſt ſapientia & virtus, & lux, & vita, & omnia quæ in paterno ſinu conſiderantur.

A καὶ ἀληθεύει λέγων, μὴ δεῖν διὰ τῶν αὐτῶν τήν τε θείαν οὐσίαν καὶ τὴν κτιστὴν φύσιν ἀναλογίζεσθαι· μηδὲ διά τινος ἀρχῆς περιγράφειν τοῦ υἱοῦ τὸ εἶναι, ὡς ἂν μὴ τούτου δοθέντος, καὶ τὰ λοιπὰ τῆς κτίσεως ἴδια, τῇ τοῦ ἑνὸς ὁμολογίᾳ συμπαρεισελθεῖν. ἐλέγχεται γὰρ προδήλως ἡ ἀτοπία τοῦ τὸν μονογενῆ Θεὸν διὰ B τῶν περὶ τῆς κτίσεως λεγομένων τῆς τοῦ πατρὸς ἀϊδιότητος ἀποσχίζοντος. ὡς γὰρ οὐδὲν ἄλλο τῶν χαρακτηριζόντων τὴν κτίσιν περὶ τὴν ποιητὴν καθορᾶται τῆς κτίσεως, οὕτως οὐδὲ τὸ ἀπ᾽ ἀρχῆς τινὸς εἶναι ταύτην, ἀπόδειξις γίνεται καὶ πάντοτε εἶναι ἐν τῷ πατρὶ τὸν υἱόν· ὅς ἐστι σοφία τε καὶ δύναμις, καὶ φῶς, καὶ ζωή, καὶ πάντα ὅσα ἐν τῷ πατρικῷ θεωρεῖται κόλπῳ.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Η.

ἈΛΛ' ἐπὶ τοὺς ὑψηλοτέρους μετέρχεται λόγους, καὶ μετεωρίσας ἑαυτὸν καὶ ὀγκώσας ἐν διακένῳ φυσήματι, λέγειν ἐπιχειρεῖ τι τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας ἐπάξιον. ὁ δὲ λέγει τοιοῦτόν ἐστι· Θεὸς γὰρ ὤν, φησι, τὸ πάντων ἐξοχώτατον ἀγαθόν, καὶ πάντων κράτιστον, καὶ πάσης ἀνάγκης ἐλεύθερον. καλῶς ὁ γεννάδας· καθάπερ τι πλοῖον ἀνερμάτιστον αὐτομάτως ὑπὸ τοῦ τῆς ἀπάτης κύματος τῷ λιμένι τῆς ἀληθείας ἐγκαθορμίζει τὸν λόγον. πάντων τῶν ἀγαθῶν ἐξοχώτατόν ἐστιν ὁ Θεός. ὑπερβολή γε τῆς ὁμολογίας; πάντως δὲ τὸν μέγαν Ἰωάννην οὐκ ἂν γράψαιτο παρανόμου γραφῆς, παρ' οὗ Θεὸς ὁ μονογενὴς ἐν ὑψηλῷ τῷ κηρύγματι διαγγέλλεται· ὁ καὶ πρὸς τὸν Θεὸν ὤν, καὶ Θεὸς ὤν. οὐκοῦν εἰ ἀξιόπιστος τῆς τοῦ μονογενοῦς θεότητος κῆρυξ ἐκεῖνος· ὁ δὲ Θεὸς τὸ ἐξοχώτατόν ἐστιν ἀγαθόν, ὁ υἱὸς ἄρα τὸ ἐξοχώτατον ἀγαθὸν παρὰ τοῦ ἐχθροῦ τῆς δόξης αὐτοῦ μεμαρτύρηται. τῆς δὲ τοιαύτης φωνῆς καὶ ἐπὶ τοῦ πατρὸς ἁρμοζούσης, τὸ ὑπερθετικὸν τῆς τοῦ ἐξοχωτάτου ἐμφάσεως, οὐδεμίαν ἐκ συγκρίσεως παραδέχεται μείωσιν ἢ ὑπέρθεσιν. τούτων δὲ ἡμῖν παρὰ τῆς τῶν ἐχθρῶν μαρτυρίας πρὸς ἀπόδειξιν τῆς τοῦ μονογενοῦς δόξης περιειλημμένων, προσθετέον εἰς συμμαχίαν τοῦ ὑγιαίνοντος λόγου, καὶ τὸν ἐφεξῆς αὐτοῦ λόγον. φησὶ γάρ, ὅτι τὸ ἐξοχώτατον ἀγαθὸν ὁ Θεός, ἅτε μήτε φύσεως ἐμποδιζούσης, μήτε αἰτίας ἀναγκαζούσης, μήτε χρείας κατεπειγούσης, γεννᾷ τε καὶ δημιουργεῖ κατὰ τὴν τῆς ἰδίας ἐξουσίας ὑπεροχήν, τὴν βούλησιν ἀρκοῦσαν ἔχων δύναμιν πρὸς τὴν τῶν γινομένων σύστασιν. Εἰ τοίνυν

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM,

ORATIO VIII.

SED ad altiores tranſit ſermones, in B ſublime ſeſe efferens, & inani flatu intumeſcens, quod Dei magnificentia dignum ſit, dicere aggreditur. Quod autem ait tale eſt. [Deus, inquit, cum ſit omnium eminentiſſimum bonum, & omnium optimum ac potentiſſimum, & ab omni neceſſitate liberum.] *Verba Eunomij.* Præclarè generoſus hic, veluti nauigium quoddam non ſaburratum temerè & fortuitò à fluctibus erroris in portum veritatis ſermonem appellit, [omnium bonorum eminentiſſimum eſt Deus.] O egregiam confeſſionem! *Ioan. 1.* planè magnum Ioannem C non accuſabit legis perperam latæ, à quo Deus vnigenitus in excelſo præconio annuntiatur, qui apud Deum erat, & Deus erat. *Verba Eunomij.* Ergo ſi fide dignus vnigeniti deitatis præco ille: Deus autem eſt eminentiſſimum bonum: filius igitur ſummum bonum, ab inimico eius gloriæ probatus eſt. Cùm hæc vox etiamſi patri accommodet ſuperlatiuum ſignificationis eius, quod eſt eminentiſſimum, nullam tamen ex comparatione admittit imminutionem vel ſuperlationem. His D igitur nobis ex teſtimonio inimicorum, ad demonſtrationem gloriæ vnigeniti, aſſumptis, ad auxilium ſani ſermonis adijciendum eſt etiam quod ipſe deinceps dicit: inquit enim, [eminentiſſimum bonum, vtpotè neque natura impediente, neque cauſa cogente, neque indigentia vrgente, generat & creat per ſuperexcellentiam ſuæ poteſtatis, voluntatem ſufficientem habens potentiam, ad eorum quæ facta ſunt conſtitutionem. *Verba Eunomij.* SI

igitur omne bonum, ſecundum huius voluntatem, non ſolum factum definit bonum, verumetiam quando factum eſt bonum: ſiquidem imbecillitatis facere quod non vult.] Huc vſque aſſumendus nobis, ad ſtabiliendam piorum dogmatum veritatem, ex ſordidis & penitus interciſis dictiunculis infibulatus aduerſariorum ſermo, ſi ſecundum propriæ poteſtatis ſuperexcellentiam, voluntatem ſufficientem habens potentiam ad eorum quæ fiunt conſtitutionem, qui omnia condidit, neque natura impediente, neque cauſa cogente, definit non ſolum bonum factum eſſe, ſed etiam aliquando factum eſſe bonum. Qui autem facit omnia vnigenitus eſt Deus, quemadmodum prædicat Euangelium: hic quando voluit, tunc & creaturam fecit: tunc cœleſti corpore per eſſentiam quæ in orbem fertur, omnem in figura intus comprehenſum complexus eſt mundum: quando præclare habere hoc ita factum putauit: tum aridam patefecit, tunc aquas in cauitatibus ſeorſim incluſit: tunc extiterunt germina, tunc fructus, tunc animalium ortus, tunc hominis fictio: quando horum vnumquodque oportunum videbatur ſapientiæ eius qui creauit. Qui autem fecit omnia (rurſus enim eundem reſumemus ſermonem) vnigenitus eſt Deus, qui fecit ſecula: interualli enim ſæculorum, iis quæ facta ſunt præſuppoſiti, non tempus fas eſt dicere, hoc temporale aduerbium, quando voluit, tunc etiam fecit. Cùm autem non eſſet ſeculum, neque vlla interuallis diſtincta notio circa diuinam naturam quantitatis expertem, & dimenſione carentem intelligatur: neceſſe eſt omnino aduerbiorum temporalium ſignificationes iacere otioſas & inanes. Quare creaturæ quidem temporale principium, vt placuit ſapientiæ eius qui omnia fecit, datum eſſe dicere, non extra veriſimilitudinem eſt. Sed ipſam diuinam naturam in aliqua extenſione interuallata ſpeculari, eorum tantum eſt qui nouam ſapientiam edocti ſunt. Quale enim & illud quod dictis appoſitum eſt ſponte prætergreſſus ſum, ad propoſitum feſtinans, quod nunc ad demonſtrationem ſolertiæ ſcriptoris repetens recitabo.

Verba Eunomij. [Eminentiſſimus enim ipſe Deus ante alia quæcumque ſunt genita, inquit,

A πᾶν καλὸν κατὰ τὴν τούτου βούλησιν, οὐ μόνον γενόμενον ὁρίζει καλὸν, ἀλλὰ καὶ ὅτε γενέσθαι καλόν. εἴπερ ἄρα ἀσθενείας, τὸ ποιεῖν ὃ μὴ βούλεται. μέχρι τούτου παραληπτέος ἡμῖν πρὸς σύστασιν τῶν εὐσεβῶν δογμάτων ὁ ἐκ ῥυπαρῶν τε καὶ πάντως κεκομμένων λεξειδίων διαπεπορπημένος τῶν ἐναντίων λόγος· εἰ γὰρ κατὰ τὴν τῆς ἰδίας ἐξουσίας ὑπεροχὴν τὴν βούλησιν ἀρκοῦσαν ἔχων δύναμιν, πρὸς τὴν τῶν γινομένων σύστασιν, ὁ τὰ πάντα κτίσας, μήτε φύσεως ἐμποδιζούσης, μήτε αἰτίας ἀ-

B ναγκαζούσης, οὐ μόνον τὸ γενόμενον ὁρίζει καλὸν, ἀλλὰ καὶ ὅτε γενέσθαι καλόν. ὁ δὲ πάντα ποιῶν, ὁ μονογενής ἐστι Θεὸς, καθὼς κηρύσσει τὸ εὐαγγέλιον· οὗτος ὅτε ἠθέλησε, τότε καὶ τὴν κτίσιν ἐποίησεν· τότε περιέσχε τῷ οὐρανίῳ σώματι διὰ τῆς κυκλοφορουμένης οὐσίας πάντα τὸν ἐντὸς τοῦ σχήματος ἀπειλημμένον κόσμον· ὅτε καλῶς ἔχειν ᾤετο τοῦτο γενέσθαι, τότε ἀνέδειξε τὴν ξηράν, τότε τὰ ὕδατα ταῖς κοίλαις ἐγκατέκλεισε χώραις· τότε καὶ βλαστήματα, τότε καρποὶ, τότε ζώων γενέσεις, τότε ἀνθρώ-

C που πλάσις· ὅτε τούτων ἕκαστον εὔκαιρον ἐδόκει τῇ σοφίᾳ τοῦ κτίσαντος. ὁ δὲ τὰ πάντα ποιήσας, πάλιν γὰρ τὸν αὐτὸν ἐπαναλήψομαι λόγον, ὁ μονογενής ἐστι Θεὸς, ὁ τοὺς αἰῶνας ποιήσας, τοῦ γὰρ τοῦ διαστήματος τῶν αἰώνων προκαταβεβλημένου τῶν ὄντων, οὐ καιρόν ἐστιν εἰπεῖν τὸ χρονικὸν τοῦτο ἐπίρρημα, ὅτι τότε ἐβουλήθη καὶ τότε ἐποίησεν. αἰῶνος δὲ οὐκ ὄντος, οὐδέ τινος διαστηματικῆς ἐννοίας περὶ τὴν θείαν φύσιν, τὴν ἄποσόν τε καὶ ἀδιάστατον θεωρουμένης· ἀργεῖν ἀνάγκη πάν-

D τως τὰς τῶν χρονικῶν ἐπιρρημάτων ἐμφάσεις. ὥστε τῇ μὲν κτίσει τὴν χρονικὴν ἀρχὴν κατὰ τὸ ἀρέσαν τῇ σοφίᾳ τοῦ τὰ πάντα πεποιηκότος δεδόσθαι λέγειν, οὐκ ἔξω τοῦ εἰκότος ἐστίν. αὐτὴν δὲ τὴν θείαν φύσιν ἐν παρατάσει τινὶ διαστηματικῇ θεωρεῖν, μόνων τῶν τὴν νέαν σοφίαν πεπαιδευμένων ἐστίν. οἷον γὰρ κἀκεῖνο τοῖς εἰρημένοις ἐγκείμενον ὑπερέβην, ἑκὼν πρὸς τὸ προκείμενον σπεύδων, ὃ νῦν εἰς ἀπόδειξιν τῆς ἀγχινοίας τοῦ λογογράφου ἐπαναλαβὼν ἀναγνώσομαι. ὁ γὰρ ἐξοχώτατος αὐτὸς Θεὸς πρὸ τῶν ἄλλων, φησὶν, ὅσα γεννητά,

τῆς αὐτῆς κρατεῖ δυνάμεως. ὁ μὲν λόγος ἐπ' αὐτῆς τῆς λέξεως ἀπὸ τοῦ Φίλωνος τοῦ Ἑβραίου μετενήνεκται παρὰ τοῦ λογογράφου ἐπὶ τὸν ἴδιον λόγον. καὶ ὅτῳ φίλον, ἐξ αὐτῶν τῶν πεπονημένων τῷ Φίλωνι καταφωρὸς ἡ κλοπὴ τοῦ Εὐνομίου γενήσεται. ἐγὼ δὲ τοῦτο προσεσημηνάμην ἐπὶ τοῦ παρόντος, οὐ τοσοῦτον τὴν πτωχείαν τῶν ἰδίων λόγων τε καὶ νοημάτων τῷ λογογράφῳ ἐπονειδίζων, ὅσον δεῖξαι τοῖς ἐντυγχάνουσι θέλων τὴν οἰκειότητα πρὸς τοὺς Ἰουδαίων λόγους τῶν Εὐνομίου δογμάτων. οὐ γὰρ ἂν ἐπ' αὐτῆς τῆς λέξεως τοῖς τούτου νοήμασιν ὁ τοῦ Φίλωνος ἐνηρμόσθη λόγος, εἰ μή τις ἦν καὶ τῆς διανοίας τούτου πρὸς τὴν ἐκείνου συγγένεια. οὕτω γάρ ἐστιν εὑρεῖν κείμενον παρὰ τῷ Ἑβραίῳ τὸν λόγον. τό, ὁ Θεὸς πρὸ τῶν ἄλλων ὅσα γεννητά. τὸ δὲ ἐφεξῆς ἐκ τῆς νέας Ἰουδαϊκῆς* προσερρίφη. τό, τῆς ἰδίας κατακρατεῖ δυνάμεως. τοῦτο δὲ ὅσην τὴν ἀτοπίαν ἔχει, δείξει σαφῶς ὁ λόγος ἐξεταζόμενος. ὁ Θεός, φησί, κρατεῖ τῆς ἰδίας δυνάμεως. τί ὢν εἰπέ μοι, τίνος κρατεῖ; ἄλλό τι παρὰ τὴν δύναμιν ὢν αὐτός, ἄλλό τι οὔσης κατακρατεῖ τῆς ἰδίας δυνάμεως; οὐκοῦν ἡττᾶται τῆς ἀδυναμίας ἡ δύναμις. τὸ γὰρ ἄλλό τι παρὰ τὴν δύναμιν ὄν, δύναμις πάντως οὐκ ἔστιν. καὶ οὕτως εὑρίσκεται καθὸ δύναμις οὐκ ἔστιν, κατ' ἐκεῖνο κρατῶν τῆς δυνάμεως. ἀλλὰ δύναμις ὢν ὁ Θεός, πάλιν ἄλλην ἐν ἑαυτῷ δύναμιν ἔχει, καὶ ταύτῃ κατακρατεῖ τῆς ἑτέρας. καὶ τίς ἡ μάχη καὶ ἡ διάστασις, ὥστε μερίσαντα τὸν Θεὸν τὴν ἐνυπάρχουσαν ἰσχὺν ἑαυτῷ, τῷ ἑνὶ τμήματι τῆς δυνάμεως καταπαλαίειν τὸ ἕτερον. οὐ γὰρ ἂν κρατήσειε τῆς δυνάμεως ἑαυτοῦ, μὴ συμμαχούσης αὐτῷ πρὸς τοῦτο μείζονός τινος καὶ βιαιοτέρας δυνάμεως. τοιοῦτος ὁ Εὐνομίου Θεός, διφυής τις ἢ πολυσύνθετος, αὐτὸς πρὸς ἑαυτὸν μεριζόμενος, ἀσύμφωνον ἔχων τῇ δυνάμει τὴν δύναμιν· ὡς ταύτῃ μὲν πρὸς ἀταξίαν ἐκφέρεσθαι, τῇ δὲ ἑτέρᾳ κωλύειν τὸ πλημμελὲς τῆς κινήσεως. τί δὲ καὶ βουλόμενος κρατεῖ πρὸς γένεσιν ὁρμῶσαν τὴν δύναμιν, μή τι γένηται κακὸν ἐκ τοῦ μὴ κωλυθῆναι τὴν γέννησιν, μᾶλλον δὲ περὶ τούτου τι τῇ φύσει, τὸ κρατούμενον ἐστὶν ἑρμηνευσάτω. τὸ γὰρ λεγόμενον, ὁρμητικὴν

A ſuiipſius dominatur potentiæ.] Sermo quidem ad verbum ex Philone Hebræo tranſlatus eſt à ſcriptitore in proprium ſermonem. Et cui cordi eſt, ex ipſis Philonis operibus furtum Eunomij manifeſtum fiet. Ego autem hoc notaui in præſens, non tantum vt verborum propriorum & notionum penuriam ſcriptitori probro vertam, quantum legentibus oſtendere cupio Eunomij dogmatum cum Iudæorum ſermonibus affinitatem: non enim eius oratio notionibus Philonis ad verbum congruiſſet, niſi quædam eſſet etiam intelligentiæ huius cum illo cognatio & ſocietas. Sic enim ſermonem inuenire licet poſitum apud *Philonem Iudæum æmulatus Eunomius.*

B Hebræum. [Deus ante alia quæcunque genita.] quod autem ſequitur ex nupera Iudæorum doctrina proiectum eſt, nempe [propriæ dominatur potentiæ.] Hoc autem quantam abſurditatem habet, apertè oſtendet ſermo cùm diſcuſſus fuerit. Deus, ait, propriæ dominatur potentiæ. Dic mihi quid exiſtens cui dominatur? an aliud quid præter potentiam ipſe exiſtens, propriæ dominatur potentiæ, quæ quidem ſit aliud quid quam quod ipſe eſt? Ergo ab impotentia ſuperatur potentia. Quod enim aliud quid eſt propter potentiam, non eſt penitus potentia. Et ſic inueni- *Verba Philonis.*

C tur quatenus non eſt potentia, ſecundum illud potentiæ dominari. Sed Deus cum ſit potentia, rurſus aliam in ſeipſo potentiam haberet, & per hanc alteri dominatur. Et quæ pugna & diſſentio, vt Deus in ſeipſo exiſtentem fortitudinem partitus, vno ſegmento potentiæ alterum proſternat. Non enim in ſeipſo retineret potentiam niſi maior aliqua & violentior potentia cum ipſo aduerſus præliaretur. Talis Eunomij Deus neſcio quis biformis ſiue duplicis naturæ,

D vel multum compoſitus, ipſe ſecum in partes diuiſus, diſcordem habens potentiæ potentiam: vt hac quidem ad confuſionem & inordinationem efferatur, altera verò prohibeat motus exceſſum. Quid autem quod volens retinet ad generationem erumpentem potentiam, ne quid mali naſcatur, ex hoc quod non prohibita ſit generatio, imò vero ante hoc quid ſit, quod natura tenetur explicet, quod enim dicitur impultricem

quandam & ſpontaneam oſtendit motionem quæ in ſeipſa peculiariter conſideretur: aliud enim quid hoc quod retinet, & alterum neceſſario quod retinetur. Retinet igitur Deus potentiam quæ eſt aliquid liberæ & ſuæ ſpontis naturæ: vel quæ ſit aliud quid præter hoc, quæ vel ruat ad actum, vel quæ quieſcat: ſi enim quieſcere ſupponatur, quod quietum eſt non eget retinente. Si autem retinere dicit, videlicet quod mouetur & ruit, tenet: hoc autem quid aliud natura quam ille qui retinet prorſus dicet. Quid igitur intelligit, hoc explanet ſermone: quid aliud quam Deum qui in hypoſtaſi cernitur, quomodo in Deo quid erit alienum? an habitum aliquem ſecundum id quod nequit ſubſiſtere in diuina natura conſideratum? ſed non hoc dixerit. Quod enim non ſubſiſtit, non eſt. Quod autem non eſt, neque tenetur, neque dimittitur. Quæ igitur potentia illa quæ tenetur & quæ prohibetur, ne ad actum erumpat, donec generationis Chriſti tempus inſtet, & vrgeat potentiā liberam miniméque impeditam dimittere, vt ad naturalem actum feratur. Quæ verò intericcta dilationis cauſa, per quam Deus vnigeniti diſtulit generationem, nōdum bonū eſſe ratus patrem fieri? Quódnam hoc medium inter patris & filij vitam inſeritur, non tempus, non locus, non vlla interuallata notio, nihil aliud eiuſmodi. Ad quid igitur acutus iſte & perſpicax oculus contuens vitæ filij diſtantiam à patris vita conſpicit? Sed vndique dum compellitur & perluſtrat, nihil eſſe interiectum ipſe neceſſario adſtipulatur. Cùm autem nullum ſit interiectum medium, immediatam & continuam communionem eſſe non admittit, ſed ad noſtras cognitionis menſuras deſcendit, & humano more vt vnus noſtrum & ipſe diſſerit, ſubconfitens ſenſim ratiocinationum imbecillitatem, & ſubterfugiens ad rationem quam Ariſtoteles & eius ſectatores non docuerunt. [Tunc enim, inquit, bonum & decens generare filium, quando voluit. Neque vlla apud prudentes de ea re ſit quæſtio, cur non prius?] Quorſum iſta ô Eunomi, tu etiam

Verba Eunomij.

A ἰδίαν καὶ προαιρετικὴν ὑποδείκνυσι κίνησιν, ἐφ' ἑαυτῆς ἰδιαζόντως θεωρουμένην. ἄλλο γάρ τι τὸ κρατοῦν, καὶ ἕτερον ἐξ ἀνάγκης ἐστὶ τὸ κρατούμενον. κρατεῖ τοίνυν ὁ Θεὸς τῆς δυνάμεως· τί οὔσης, αὐτοπροαιρέτου τινὸς φύσεως, ἢ ἄλλο τι παρὰ τοῦτο ὁρμώσης πρὸς ἐνέργειαν, ἢ ἀτρεμούσης. εἰ μὲν γὰρ ἠρεμεῖν ὑποτίθεται, τὸ ἡσυχάζον τοῦ κρατοῦντος οὐκ ἐπιδέεται. εἰ δὲ κρατεῖν φησὶ, δηλονότι κινουμένης τε καὶ ὁρμώσης κρατεῖ. τοῦτο δὲ ἄλλο τι τῇ φύσει παρὰ τὸν ἐπικρατοῦντα πάντως ἐρεῖ. τί οὖν ἐστι, τοῦτο φανερωσάτω τῷ B λόγῳ· ἄλλο τι παρὰ τὸν Θεὸν ἐν ὑποστάσει θεωρούμενον. καὶ πῶς ἂν εἴη ἐν τῷ Θεῷ τὸ ἀλλότριον; ἢ ἕξιν τινὰ κατὰ τὸ ἀνυπόστατον ἐν τῇ θείᾳ φύσει θεωρουμένην; ἀλλ' οὐκ ἂν εἴποι τοῦτο. τὸ γὰρ μὴ ὑφεστὼς οὐκ ἔστι, τὸ δὲ μὴ ὂν, οὐδὲ κρατεῖται, οὔτε ἀφίεται. τίς οὖν ἡ κρατουμένη δύναμις ἐκείνη καὶ κωλυομένη πρὸς τὴν ἰδίαν ἐνέργειαν, ἕως ἔμελλεν ὁ καιρὸς τῆς τοῦ Χριστοῦ γεννήσεως, ἐπιστὰς ἀκώλυτον ἀφιέναι τὴν δύναμιν πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν φέρεσθαι. τίς δὲ ἡ ἐν τῷ μέσῳ C τῆς ἀναβολῆς αἰτία, δι' ἣν ὁ Θεὸς τὴν τοῦ μονογενοῦς ὑπερέθετο γέννησιν, οὔπω καλὸν εἶναι οἰόμενος τὸ γενέσθαι πατήρ; τί δὲ τὸ μέσον τοῦτο ὃ μεταξὺ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ζωῆς παρενείρεται, οὐ χρόνος, οὐ τόπος, οὐ διαστηματικόν τι νόημα, οὐκ ἄλλο τοιοῦτον οὐδέν. πρὸς τί τοίνυν ὁ ὀξὺς καὶ διορατικὸς ὀφθαλμὸς ἀτενίζων, ἐνορᾷ τῆς ζωῆς τοῦ υἱοῦ πρὸς τὴν τοῦ πατρὸς ζωὴν, τὴν διάστασιν; ἀλλὰ πανταχόθεν συνελαυνόμενος, οὐδὲ μὴν εἶναι τὸ μεταξὺ καὶ αὐτὸς ἐξ ἀνάγκης συντίθεται. μηδενὸς δὲ ὄντος τοῦ μεσιτεύοντος, ἄμεσον καὶ D συναφῆ τὴν κοινωνίαν εἶναι οὐ καταδέχεται. ἀλλ' ὑποκαταβαίνει πρὸς τὰ ἡμέτερα τῆς γνώσεως μέτρα, καὶ ἀνθρωπικῶς ἡμῖν ὡς εἷς ἡμῶν καὶ αὐτὸς διαλέγεται· ὑφομολογῶν ἠρέμα τῶν λογισμῶν τὴν ἀσθένειαν, καὶ καταφεύγων ἐπὶ τὸν λόγον ὃν Ἀριστοτέλης τε καὶ οἱ κατ' αὐτὸν οὐκ ἐδίδαξαν. τότε γάρ, φησι, καλὸν καὶ πρέπον γεννῆσαι τὸν υἱὸν ὅτε ἐβούλετο. μηδεμιᾶς ἐκ τούτου ζητήσεως ἐγγινομένης τοῖς σώφροσι· τοῦ, διὰ τί μὴ πρότερον. τί ταῦτα Εὐνόμιε, καὶ σὺ

πρεσβεύεις

πεζεύεις κατὰ τοὺς ἰδιώτας ἡμᾶς, καὶ καταλιπὼν τὰς τεχνικὰς περιόδους, ἐπὶ τὴν ἄλογον συγκατάθεσιν καὶ αὐτὸς καταφεύγεις, ὁ πολλὰ τοῖς ἄνευ λογικῆς ἐντρεχείας ἐπιχειροῦσι τῷ γράφειν ἐπονειδίσας; ὁ πρὸς Βασίλειον λέγων. ὅτι δι' ὧν ἀδύνατον τοῖς ἀνθρώποις εἶναι λέγεις τὰς ὑπὲρ τῶν πνευματικῶν λόγων εὐθύνας, τὴν ἰδίαν ἐλέγχεις ἄγνοιαν. καὶ πάλιν ἑτέρωθι τὸ ἴσον προσφέρων· ὅτι τὴν ἰδίαν ἀσθένειαν κοινοποιεῖς, τὸ σοὶ μὴ δυνατὸν, πᾶσιν ἀδύνατον ἀποφαινόμενος, ὁ ταῦτα καὶ τὰ τοιαῦτα λέγων, οὕτω προσσαίνει τὴν ἀκοὴν τοῦ ἐπιζητοῦντος τὴν αἰτίαν, καθ' ἣν ἀναβάλλεται τοιούτου γενέσθαι πατὴρ ὁ πατήρ· ἀρκεῖν οἴεται πρὸς ἀπόδειξιν τὸ εἰπεῖν, ὅτι τότε ἐγέννησεν ὅτε ἐβούλετο, καὶ μηδεμία ἔστω περὶ τούτου ζήτησις. οὕτως σοι πρὸς τὴν κατασκευὴν τῶν δογμάτων ἠσθένησεν ἡ καταληπτικὴ φαντασία; ποῦ αἱ διλήμματοι προτάσεις; ποῦ αἱ βίαιοι κατασκευαί; πῶς σοι φροῦδα καὶ ἀνυπόστατα διαρρυέντα τῆς τέχνης οἴχεται τὰ φοβερά τε καὶ ἄφυκτα τῶν συλλογισμῶν συμπεράσματα; τότε ἐγέννησε τὸν υἱὸν ὅτε ἐβούλετο, καὶ μηδὲ ἔστω περὶ τούτου ζήτησις· ταῦτα τῶν πολλῶν ἱδρώτων, ταῦτα τῶν ὑπερόγκων ἐπαγγελμάτων ἀποτελέσματα; τί τὸ ἐρώτημα ἦν; εἰ καλὸν καὶ πρέπον Θεῷ, τοιοῦτον ἔχειν υἱὸν, διὰ τί μὴ ἀεὶ τὸ καλὸν μετ' αὐτοῦ εἶναι πιστεύεται; τίς ἡ ἀπόκρισις ἣν ἐξ αὐτῶν ἡμῖν τῶν ἀδύτων τῆς φιλοσοφίας πεποίηται, ταῖς ἀλύτοις ἀνάγκαις διασφίγξας τὸν λόγον; τότε ἐποίησε τὸν υἱὸν ὅτε ἐβούλετο, μηδεμία καὶ περὶ τούτου ζήτησις ἔστω, διὰ τί μὴ πρότερον. Εἰ δὲ περὶ τῶν ἀλόγων τινὸς ἡ σκέψις προέκειτο τῶν κατά τινα φυσικὴν ὁρμὴν ἐνεργούντων, διὰ τί μὴ πρότερον τὸ δοκοῦν κατειργάσατο, ἢ ἀράχνη τὰ νήματα, ἢ τὸ κηρίον ἡ μέλιττα, ἢ τὴν καλιὰν ἡ τρυγών. τί ἂν ἕτερον εἰπεῖν εἶχες; οὐκ αὐτὴ πρόχειρος ἂν ἦν ἡ ἀπόκρισις; ὅτι τότε ἐποίησεν ὅτε ἐβούλετο, καὶ μηδεμία ἔστω περὶ τούτου ζήτησις. ἀλλὰ καὶ περὶ πλάστου τινὸς ἢ ζωγράφου τὸ δοκοῦν διὰ τῆς μιμητικῆς ἐνεργοῦντος τέχνης, ἢ ἐν γραφαῖς, ἢ ἐν πλάσμασιν, ὅταν μὴ ὑποχείριος ὢν

A pedibus incedis aduerſus nos rudes & indoctos; & relictis artificioſis circuitibus ad aſſenſionem ratione carentem & ipſe confugis, qui multa his qui abſque rationali diligentia ſcribere aggrediuntur, probra obiecisti? Qui ad Baſilium dicis, Quòd per quæ dicis fieri non poſſe, vt homines pro ſpiritualibus ſermonibus rationes reddant, propriam arguis ignorantiam. Ac rurſus alibi ſimile quid proferens: quòd propriam infirmitatem communem facis; dum quod tibi poſſibile non eſt, omnibus impoſſibile pronun-
B tias. Qui hæc & talia dicis, ſic auditum allicis eius qui cauſam inquirit, propter quam pater differt vt talis filij ſit pater, ſufficere putas ad demonſtrationem, dicere: Quòd tunc genuit, quando voluit, ac de eo quidem nulla ſit quæſtio. Sic tibi ad dogmatum adſtructionem infirma eſt comprehenſiua viſio ſiue imaginatio? quò propoſitiones vtrinque vincentes & conſtringentes? quò violentæ præſtructiones? quò tibi euanidæ & non ſubſiſtentes dilapſæ abeunt artis for-
C midabiles & ineuitabiles ratiocinationum concluſiones? Tunc genuit filium quando voluit, neque ſit de hoc quæſtio: hæc multorum ſudorum, hæc prætumidorum promiſſorum effecta? Quænam erat interrogatio? Si bonum & decorum Deo talem habere filium, cur non ſemper bonum cum ipſo eſſe creditur? Quæ reſponſio, quam ex ipſis adytis ſiue ſacrariis philoſophiæ nobis fecit, inſolubilibus neceſſitatibus conſtringens ſermonem? tunc fecit filium cùm voluit, neque de hoc vlla ſit quæſtio, cur non prius.
D Quod ſi de aliquo eorum quæ rationis ſunt expertia, quæ naturali impulſione operantur, proponeretur conſideratio, quam ob cauſam non prius quod libebat effecit, vel aranea telas, vel apis fauum, vel turtur nidum. Quid aliud diceres? Non hæc in promptu eſſet reſponſio? quòd tunc fecit cùm voluit, nulláque ſit de eo inquiſitio. Quinetiam de fictore aliquo vel pictore, per artem imitatricem quodlibet operante, vel in picturis, vel figmentis dici poteſt, qui cùm non ſit alicui poteſtati mancipatus & addi-

ctus ad operationem artem impellit: hanc talem vocem & congruere arbitror apud eum qui vult diſcere, cur non prius artem efficacem fecit. Quia nulla neceſſitate coactus, operationis tempus, electionem ſiue propoſitum fecit: homines enim propterea quòd non ſemper eadem volunt, neque plerumque habent facultatem cum voluntate operantem, tunc aliquid ex ſententia efficiunt, cùm ipſis propoſitum & libera voluntas ad opus propendet, nihilque extrinſecus prohibet. Quod autem ſemper eodem modo habet, cuique nihil bonorum aduentitium eſt, in quo omnis differentia conſiliorum, quæ in contrarium ob aliquem errorem vel ignorantiam innaſcitur, locum non habet; cui nihil ex mutatione fit, quod à principio non vt bonum nouerit, de hoc dicere non ſemper ipſum honeſtum habere, ſed poſtea elegiſſe aliquid habere quod non prius elegerat: hæc ſunt ſapientiæ nos ſuperantis propria. Nos enim didicimus, Deum ſemper omni bono plenum eſſe, imò verò ipſam bonorum plenitudinem, etiamſi nulla acceſſione ad profectionem eget, ſed ipſe eſt ſui natura boni perfectio. Quod autem perfectum eſt, ex æquo ab incremento & decremento alienum eſt, eámque ob cauſam, quæ in diuina natura conſideratur, bonorum perfectionem ſemper eamdem eſſe dicimus: ad quodcumque noſtram cogitationem extenderimus, illic eamdem perfectionem comprehendentes. Numquam igitur bono vacuum numen manet. Atqui omnis boni plenitudo eſt filius: ſemper igitur filius in patre cernitur, cui natura eſt, in omni bono perfectio. Sed, inquit, nulla ſit inquiſitio cur non prius. Ad quem nos dicemus: aliud eſt, ô ſapientiſſime, ex mandato aliquid eorum quæ fert animus, lege ſancire & edicere: aliud verò ratione de dubiis & controuerſis fidem facere. Quamdiu ergo nullam cauſam poteris reddere, propter quam pium eſt dicere filium poſterius à patre genitum eſſe, iners & irritum erit tibi edictum, apud ſobrios & prudentes. Sic igitur nobis artificioſa inſinuatione veritatem in lucem profert Eunomius.

A ἐξουσίᾳ τινὶ πρὸς ἐνέργειαν ἄγει τὴν τέχνην·
ἁρμόζειν οἶμαι τὴν τοιαύτην φωνὴν ἐπὶ τοῦ
μαθεῖν ἐθέλοντος, διὰ τί οὐ πρότερον ἐνεργὸν
τὴν τέχνην ἐποίησεν· ὅτι οὐκ ἔχων ἀνάγκην,
καιρὸν τῆς ἐνεργείας πεποίηται τὴν προαίρεσιν·
ἄνθρωποι γὰρ διὰ τὸ μήτε ἀεὶ ταὐτὰ
βούλεσθαι, μήτε συνεργοῦσαν ἔχειν ὡς τὰ πολλὰ
τῇ βουλήσει τὴν δύναμιν, τότε ποιοῦσί τι
τῶν κατὰ γνώμην, ὅταν αὐτοῖς ἥ τε προαίρεσις
πρὸς τὸ ἔργον ῥέψῃ, καὶ μηδὲν κωλύῃ τῶν ἔξωθεν.
τὸ δὲ ἀεὶ ὡσαύτως ἔχον, ᾧ ἐπίκτητον τῶν
B ἀγαθῶν ἐστιν οὐδὲν, ἐν ᾧ πᾶσα διαφορὰ
βουλημάτων, ἡ κατὰ τὸ ἐναντίον κατά τινα
πλάνην καὶ ἄγνοιαν ἐγγινομένη, χώραν οὐκ
ἔχει, ᾧ οὐδὲν ἐκ μεταβολῆς γίνεται, ὃ μὴ
ἐξ ἀρχῆς, ὡς ἀγαθὸν κατενόησε. περὶ τούτου
λέγειν μὴ ἀεὶ τὸ καλὸν ἔχειν, ἀλλ' ὕστερον
ἑλέσθαι τι ἔχειν ὃ μὴ πρότερον εἵλετο·
ταῦτα τῆς ὑπερβαλλούσης ἡμᾶς σοφίας ἐστίν.
ἡμεῖς γὰρ ἐμάθομεν ὅτι τὸ θεῖον ἀεὶ παντὸς
ἀγαθοῦ πλῆρές ἐστι· μᾶλλον δὲ αὐτὸ τῶν ἀγαθῶν
ἐστι τὸ πλήρωμα, εἰ καὶ οὐδεμιᾶς
C προσθήκης εἰς τελείωσιν δεῖται, ἀλλ' αὐτὸ τῇ
ἑαυτοῦ φύσει, ἡ τοῦ ἀγαθοῦ τελειότης ἐστί. τὸ δὲ
τέλειον ἐπίσης αὐξήσεώς τε καὶ μειώσεως ἠλλοτρίωται.
καὶ διὰ τοῦτο τὴν ἐπιθεωρουμένην
τῇ θείᾳ φύσει τῶν ἀγαθῶν τελειότητα,
πάντοτε φαμὲν τὴν αὐτὴν εἶναι· καθ' ὅπερ
ἂν τὴν διάνοιαν ἑαυτῶν ἐπεκτείνωμεν, ἐκεῖ
τοιαύτην καταλαμβάνοντες. οὐκοῦν οὐδέποτε
κενὸν ἀγαθοῦ τὸ θεῖον. ἀλλὰ μὴν ἀγαθοῦ
παντὸς πλήρωμα ὁ υἱός· πάντοτε ἄρα ἐν τῷ
πατρὶ θεωρεῖται, ᾧ φύσις ἡ ἐν παντὶ ἀγα-
D θῷ τελειότης. ἀλλὰ, φησὶ, μηδεμία ἔστω
ζήτησις διὰ τί μὴ πρότερον. πρὸς ὃν ἐροῦμεν
ἡμεῖς· ὅτι ἄλλο ἐστὶν, ὦ σοφώτατε, νομοθετεῖν
τι τῶν κατὰ γνώμην ἐξ ἐπιτάγματος,
καὶ ἕτερον τῷ λόγῳ περὶ τῶν ἀμφιβαλλομένων
προσσάγεσθαι. ἕως ἂν τοίνυν μηδεμίαν
ἔχῃς αἰτίαν εἰπεῖν, καθ' ἣν εὐσεβές ἐστιν ὕστερον
τοῦ πατρὸς τὸν υἱὸν προσγεγενῆσθαι λέγειν,
ἀργήσει σοι τὸ ἐπίταγμα παρὰ τοῖς σωφρονοῦσιν.
οὕτω μὲν οὖν ἡμῖν ἐκ τῆς τεχνικῆς ἐφόδου
τὴν ἀλήθειαν Εὐνόμιος εἰς τὸ ἐμφανὲς ἄγει.

ἡμεῖς δὲ κατὰ τὸ συνήθες ἡμῖν τὸν ἐκείνου λόγον πρὸς κατασκευὴν τῶν τῆς ἀληθείας δογμάτων οἰκειωσόμεθα. ὡς ἂν καὶ διὰ τούτου γένηται δῆλον, ὅτι πανταχοῦ κατὰ τὸ ἀκούσιον ὑπ' αὐτῆς τῆς ἀληθείας βιαζόμενοι, τῷ καθ' ἡμᾶς συναγορεύουσι λόγῳ. εἰ γὰρ τότε ἐγέννησε τὸν υἱὸν, ὅτε ἐβούλετο καθώς, φησὶν ὁ ἀντίπαλος, ἐβούλετο δὲ τὸ ἀγαθὸν ἀεὶ, σύνδρομος δὲ τῇ βουλήσει ἡ δύναμις, ἀεὶ ἄρα ὁ υἱὸς μετὰ τοῦ πατρὸς νοηθήσεται, τοῦ ἀεὶ καὶ βουλομένου τὸ καλὸν, καὶ δυναμένου ἔχειν ὃ βούλεται. εἰ δὲ χρὴ καὶ τὸν ἐφεξῆς αὐτοῦ λόγον προσαγαγεῖν τῇ ἀληθείᾳ, ῥᾴδιόν ἐστι καὶ τοῦτον τῷ καθ' ἡμᾶς συναρμόσαι δόγματι. ὅτι μηδεμία περὶ τούτου ζήτησις ἔστω τοῖς σώφροσι, διὰ τί μὴ πρότερον. ἡ γὰρ τοῦ πρότερον λέξις χρονικήν τινα τὴν ἔνδειξιν ἔχει, ἀντιδιαστελλομένη πρὸς τὸ μετὰ ταῦτα καὶ ὕστερον· ὅταν δὲ χρόνος μὴ ᾖ, συναναιρεῖται πάντως καὶ τῆς χρονικῆς διαστάσεως τὰ ὀνόματα. ἀλλὰ μὴν πρὸ χρόνων καὶ πρὸ αἰώνων ὁ κύριος· ἄχρηστος ἄρα τοῖς νοῦν ἔχουσιν ἐπὶ τοῦ ποιητοῦ τῶν αἰώνων, ἡ τοῦ πρότερον καὶ ὕστερον ζήτησις. κενὰ γὰρ πάσης διανοίας ἐστὶ τὰ τοιαῦτα τῶν ὀνομάτων μὴ ἐπὶ χρόνου λεγόμενα. ἐπεὶ οὖν πρὸ τῶν χρόνων ὁ κύριος, τὸ πρότερον πάντως καὶ τὸ ὕστερον ἐπὶ αὐτοῦ χώραν οὐκ ἔχει. τάχα μὲν ἀπαρκεῖ καὶ ταῦτα πρὸς ἀνατροπὴν τῶν οὐ δεομένων τοῦ προσπαλαίοντος, ἀλλ' ὑπὸ τῆς ἰδίας αὐτῶν ἀτονίας καταπιπτόντων. τίς γὰρ τοσοῦτον σχολὸς ἐκ τῶν τοῦ βίου φροντίδων, ὡς ἐπὶ τοσοῦτον ἑαυτὸν δοῦναι τῇ ἀκροάσει, τῆς τε ματαιότητος τῶν ὑπεναντίων λόγων, καὶ τῆς ἡμετέρας πρὸς τὰ μάταια πράγματα μάχης. ἀλλ' ἐπειδὴ τοῖς προειλημμένοις τῇ ἀσεβείᾳ, καθάπερ τις δευσοποιὸς βαφὴ, καὶ δυσέκνιπτος ἡ ἀπάτη, καὶ διὰ βάθους ταῖς καρδίαις ἐγκέκαυται, μικρὸν ἔτι τῷ λόγῳ προσδιατρίψωμεν, εἴ πως δυνηθείημεν τῆς πονηρᾶς ταύτης κηλῖδος αὐτῶν τὰς ψυχὰς ἀπορρύψαι. εἰπὼν γὰρ τὰ εἰρημένα, καὶ ἐπαγαγὼν τούτοις κατὰ τὸν παιδευτὴν αὐτοῦ Προύνικον, ἀσυναρτήτους τινὰς καὶ ἀναρμόστους ὕβρεών τε καὶ λοιδορημάτων ὀκτάδας, ἐπὶ τὸν κολοφῶνα τῶν ἐπιχειρημάτων μετέρχεται,

A Nos autem ſicut eſt moris noſtri illius ſermonem ad extructionem documentorum veritatis applicabimus. Vt etiam ex hoc perſpicuum fiat, eos vbique etiam ſponte, ab ipſa veritate coactos, noſtro patrocinari ſermoni. Si enim tunc genuit filium cùm voluit, ſicut dicit refractarius, voluit autem ſemper bonum, concurrit autem voluntati potentia, ſemper igitur filius cum patre intelligetur, qui ſemper vult bonum, & poteſt habere quod vult. Quòd ſi oportet ſequentem eius ſermonem ad veritatem adducere, B non eſt arduum etiam hunc noſtro dogmati adaptare, quòd nulla de hoc apud modeſtos ſit controuerſia, cur non prius? Dictio enim prius, temporalem quemdam habet indicationem, quæ opponitur his vocibus, poſtea & poſterius. Cùm autem tempus non fuerit, temporalis diſcretionis nomina prorſus ſimul tolluntur. Atqui ante tempora & ante ſecula Dominus: inutilis igitur mente præditis in factore ſeculorum prioris & poſterioris quæſtio. Sunt enim omnis in- C telligentiæ inania talia nomina, cùm de tempore non dicuntur. Quoniam igitur ante tempora Dominus, prius certè & poſterius nullum prorſus in ipſo locum habent. Fortaſſe hæc ſufficiunt ad euerſionem eorum quæ colluctatore non indigent; ſed quæ ſua imbecillitate corruunt. Cui enim tantum ab re ſua & curis otij eſt, vt ſeipſum auditorem præbeat vanitatis ſermonum ſibi repugnantium, atque etiam noſtræ contra res vacuas & futiles pugnæ ſeu diſputationis. Sed D quoniam impietate præoccupatis, velut quædam quæ non poteſt elui tinctura, & fraus inexpiabilis & profundum cordibus inuſta eſt, paululum adhuc in hoc ſermone immorabimur, ſi quo modo ab hac labe ipſorum animas poſſimus eluere & detergere. Cùm enim protuliſſet ea quæ ſunt dicta, atque etiam ſubiungens induxiſſet ſecundùm inſtitutorem ſuum Prunicum, inconcinnas quaſdam ineptáſque, & incongruas contumeliarum &conuitiorum octadas, tum demùm ad colophonem argumentationũ tranſit,

& relicta ratiocinatione carente vanitatis expoſitione, rurſus aculeis dialecticæ ſermone armato, ſyllogiſticè vt putat, contra nos hoc abſurdum præſtruit. Sic enim habet dictio. [Cùm omnis generatio non extendatur in infinitum, ſed in aliquem finem deſinat: neceſſe eſt omnino eos qui filij generationem admiſerunt, tunc ceſſaſſe generari, neque ad principium incredibiliter ſe habere eorum, quæ deſierunt generari, quies firmat generationis & generandi principium: nec his fidem detrahere licet, cùm ex ipſa natura, tum etiam ex diuinis legibus.] Quoniam igitur ſecundùm ſapientiam eorum qui talium periti ſunt, vniuerſali propoſitione præmiſſa, per inductionem præſtruere conatur id quod proponitur, generali propoſitione particularem demonſtrationem comprehendens: prius quod vniuerſale eſt intelligamus: deinde ſic eorum quæ inducuntur vim examinemus. An pium eſt ex omni generatione etiam filij anteæternam generationem indicare? An etiam vnigeniti exiſtentiæ communem naturam magiſtram proponere oportet? Ego quidem neminem eo inſaniæ venturum eſſe ſperauerim, vt tale quid contra diuinam generationem cogitatione informet. Omnis, inquit, generatio in infinitum non extenditur. Quódnam eſt generationis ſignificatum? An carneam & corpoream conceptionem dicit, vel inanimatorum conſtructionem? ſed corporalium generationum manifeſti ſunt affectus, quos nullus ad diuinam generationem transferret. Atque vt non naturæ opera deſcribendo ſermo ſuperuacaneus eſſe videatur, hæc talia ſilentio inuoluta præteribimus: cuiuſuis enim mente præditi eſſe arbitror, à ſeipſo cognoſcere cauſas, ſecundùm quas generatio extenditur, ea nempe quæ incipit & deſinit: longum enim eſſet & ſuperfluum ſimul omnia accurata ſubtilitate & diligentia exponere, generantium congreſſum, & in viſceribus, eius qui generatur formationem, acres parientis dolores, partum, locum, tempus, ſine quibus corporis generatio conſtare non poteſt. Quæ omnia æqualiter ab vnigeniti generatione diuina ſunt aliena.

Verba Eunomij.

A καὶ καταλιπὼν τὴν ἀσυλλόγιστον τῆς ματαιότητος ἔκθεσιν, πάλιν τοῖς κέντροις τῆς διαλεκτικῆς καθοπλίσας τὸν λόγον, συλλογιστικῶς ὡς οἴεται καθ' ἡμῶν κατασκευάζει τὸ ἄτοπον· ἔχει δὲ οὕτως ἡ λέξις, πάσης γεννήσεως οὐκ ἐπ' ἄπειρον ἐκτεινομένης, ἀλλ' εἴς τι τέλος καταληγούσης, ἀνάγκη πᾶσα καὶ τοὺς παραδεξαμένους τοῦ υἱοῦ τὴν γέννησιν, τότε πεπαῦσθαι τοῦτον γεννώμενον, μηδὲ πρὸς τὴν ἀρχὴν ἀπίστως ἔχειν τῶν πεπαυμένων τοῦ γεννᾶσθαι, παῦλα πιστοῦται τῆς τε γεννήσεως καὶ τοῦ B γεννᾶσθαι τὴν ἀρχὴν, καὶ τούτοις ἀπιστεῖν οὐκ ἔστιν, ἔκ τε τῆς φύσεως αὐτῆς, ἔπι δὲ καὶ τῶν θείων νόμων. ἐπεὶ τοίνυν κατὰ τὴν σοφίαν τῶν τὰ τοιαῦτα δεινῶν, τὸ καθόλου προθεὶς, ἐπαγωγικῶς κατασκευάζειν ἐπιχειρεῖ τὸ προκείμενον, ἐμπεριλαμβάνων τῇ γενικῇ προτάσει τὴν ἐπὶ μέρους ἀπόδειξιν, πρότερον τὸ καθόλου κατανοήσωμεν· εἶθ' οὕτως τὴν τῶν ἐπαγομένων ἐξετάσωμεν δύναμιν. ἆρ' εὐσεβές ἐστιν ἐκ πάσης γεννήσεως καὶ τοῦ υἱοῦ τεκμήρασθαι τὴν προαιώνιον γέννησιν; καὶ τὴν κοινὴν φύσιν διδά- C σκαλον τῆς τοῦ μονογενοῦς ὑπάρξεως προβάλλεσθαι χρή; ἐγὼ μὲν οὐκ ἂν ἐπὶ τοσοῦτον ἐλθεῖν τινὰ μανίας ἐλπίσαιμι, ὡς τοιοῦτό τι κατὰ τῆς θείας καὶ ἀκηράτου φαντασθῆναι γεννήσεως. πᾶσα, φησὶ, γέννησις οὐκ ἐπ' ἄπειρον ἐκτείνεται. τί δὲ τῆς γεννήσεώς ἐστιν σημαινόμενον; τὴν σαρκώδη καὶ σωματικὴν ἀποκύησιν λέγει; ἢ τὴν κατασκευὴν τῶν ἀψύχων; ἀλλὰ τῶν μὲν σωματικῶν γεννήσεων, φανερὰ τὰ παθήματα, ἅπερ οὐκ ἄν τις ἐπὶ τὴν θείαν γέννησιν μεταφέροι. καὶ ὡς ἂν μὴ D τὰ τῆς φύσεως ἔργα διαγράφων ὁ λόγος παρέλκειν δοκοίη, σιωπῇ τὰ τοιαῦτα παρελευσόμεθα. παντὸς οἶμαι τοῦ γε νοῦν ἔχοντος, ἀφ' ἑαυτοῦ γινώσκοντος τὰς αἰτίας καθ' ἃς ἡ γέννησις παρατείνεται, καὶ ἀρχομένη καὶ λήγουσα· μακρὸν γὰρ ἂν εἴη καὶ περιττὸν ἅμα πάντα δι' ἀκριβείας ἐκτίθεσθαι, τὴν σύνοδον τῶν γεννώντων, τὴν ἐν τοῖς σπλάγχνοις τοῦ γεννωμένου διάπλασιν, τὴν ὠδῖνα, τὸν τόκον, τὸν τόπον, τὸν χρόνον, ὧν ἄνευ οὐκ ἔστι συστῆναι σώματος γέννησιν. ἅπερ ἐπίσης πάντα τῆς θείας γεννήσεως τοῦ μονογενοῦς ἀλλοτρίωται.

εἰ γὰρ ἕν τι τούτων δοθείη, καὶ τὰ λοιπὰ κατ᾽ ἀνάγκην συνεφελκυσθήσεται. ὡς ἂν οὖν οὕτω καθαρεύοι πάσης ἐμπαθοῦς διανοίας ἡ θεία γέννησις, μηδὲ τὴν διαστηματικὴν παράτασιν ἐπ᾽ ἐκείνης νοήσωμεν. τὸ γὰρ ἀρχόμενον καὶ παυόμενον ἐν παρατάσει τινὶ θεωρεῖται πάντως. πᾶσα δὲ παράτασις χρόνῳ διαμετρεῖται· χρόνου δὲ μὴ ὄντος, ᾧ καὶ τέλος τοῦ τόκου καὶ ἀρχὴν σημειούμεθα, μάταιον ἂν εἴη τέλος καὶ ἀρχὴν ἐπὶ τῆς ἀδιαστάτου γεννήσεως ἐννοεῖν· οὐδενὸς εὑρισκομένου σημειωτικοῦ νοήματος, οὔτε ἐν ᾧ ἄρχεται, οὔτε εἰς ὃ καταλήγει. εἰ δὲ πρὸς τὰ ἄψυχα τῶν κτισμάτων ὁρᾷ, κἀπ᾽ ἐκείνων ὡσαύτως, καὶ τόπος, καὶ χρόνος, καὶ ὕλη, καὶ παρασκευὴ, καὶ δύναμις τοῦ τεχνιτεύοντος, καὶ πολλὰ τοιαῦτα συνδραμόντα τελεσιουργεῖ τὸ γινόμενον. καὶ ἐπεὶ πᾶσι τοῖς γινομένοις συμπαρατείνεται πάντως ὁ χρόνος, καὶ αἱ κατασκευαστικαὶ πρὸς τὸ γινόμενον ἀφορμαὶ συνεπινοοῦνται παρ᾽ αὐτὸ τῷ κτιζομένῳ· κἂν ἔμψυχόν τι, κἂν ἄψυχον ᾖ, φανερόν ἐστιν εὑρεῖν καὶ τὰς ἀρχὰς ἐπὶ τούτων καὶ τὰς τελευτὰς τῆς συστάσεως. καὶ γὰρ καὶ ὕλης πορισμὸς ἀρχὴ τοῦ κατασκευάσματος γίνεται, καὶ τοπικόν τι σημεῖον καὶ ἀκόλουθον χρόνου. πάντα ταῦτα τὰς ἀρχὰς καὶ τὰ τέλη τοῖς γινομένοις ὁρίζει, καὶ οὐκ ἄν τις εἴποι κοινωνίαν ἔχειν τινὰ ταῦτα πρὸς τὴν προαιώνιον τοῦ μονογενοῦς Θεοῦ ὕπαρξιν. ὥστε διὰ τῶν ὧδε θεωρουμένων, ἀρχήν τινα καὶ τέλος ἐπὶ τῆς γεννήσεως ἐκείνης ἀναλογίζεσθαι. τούτων οὖν ἡμῖν οὕτω διηρημένων, πάλιν τὸν λόγον τῶν ἐναντίων κατανοήσωμεν. πάσης, φησί, γεννήσεως οὐκ ἐπ᾽ ἄπειρον ἐκτεινομένης, ἀλλ᾽ εἴς τι τέλος καταληγούσης. ἐπειδὴ τοίνυν νενόηται τὸ τῆς γεννήσεως σημαινόμενον, καθ᾽ ἑκατέραν ἔννοιαν, εἴτε τὴν ἀποκύησιν τῶν σωματικῶν, εἴτε τὴν κατασκευὴν ἐθέλοι τῶν κτισμάτων τῷ τοιούτῳ σημαίνειν ὀνόματι· ὧν οὐθ᾽ ἕτερον ἐπὶ τῆς ἀκηράτου φύσεως τὴν κοινωνίαν ἔχει, ἀλλοτρία δέδεικται τοῦ προκειμένου ἡ πρότασις· οὐ γὰρ ἐπειδὴ πᾶσα ποίησίς τε καὶ γέννησις εἴς τι καταλήγει πέρας, ἀνάγκη πᾶσα καθὼς ἐκεῖνος κατασκευάζει καὶ τοὺς παραδεξαμένους τοῦ υἱοῦ τὴν γέννησιν, διπλοῖς αὐτὴν πέρασι περιγράφειν,

A Si enim vnum quid horum datum eſſet, reliqua omnia neceſſario conſequentur. Vt igitur omni cogitatione affectibus immerſa expurgetur diuina generatio: neque interuallis diſtinctam in illa extenſionem intelligamus. Quod enim incipit & deſinit, in quadam extenſione prorſus ſpectatur. Omnis autem extenſio temporis menſura cōpræhenditur. Cùm autem tempus non ſit, quo & finem & principium partus notamus, vanum fuerit finē & principium in generatione dimenſione carente intelligere, cùm nulla inueniatur quæ ſi- B gnet notio, neque in quo incipit, neque ad quod deſinit. Quòd ſi ad inanimatas creaturas cernit, & in illis eodem modo & locus, & tempus, & materia, & apparatus, & facultas arte operantis, multáque talia concurrentia, id quod fit ad perfectionem adducunt. Et quoniam omnibus quæ per generationem fiunt, omnino ſimul extēditur tempus, & præſtructiuæ etiam ad id quod efficitur occaſiones ſimul intelliguntur, cùm eo quod creatur, ſiue quid animatum, ſiue animatum ſit, manifeſta licet inuenire, & principia in his, & extrema conſtitu- C tionis. Etenim materiæ copia, principium eius quod conſtruitur efficitur, & locale quoddam ſignum quod tempus conſequitur. Hæc omnia principia & fines his quæ fiunt determinant, nullúſque dixerit, hæc aliquam habere communionem cum anteæterna vnigeniti ſubſiſtentia. Ita vt per hæc quæ ſic ſpectantur principium aliquod & finem in illa generatione oporteat animo cogitare. His igitur à nobis ſic diſtinctis, rurſus refractariorum ſermonem penſitemus. Cùm omnis, inquit, generatio non in infinitum extēdatur, ſed in aliquem finem deſinat. Quo- D niam igitur generationis ſignificatum in vtraque ſenſu intellectum eſt, ſiue corporalium conceptum, ſiue eorum quæ arte fiunt, velit hoc tali nomine conſtructionē ſignificare: quorum neutrum in immortali natura communionem habet, aliena prorſus à ſubiecto propoſitio eſt demonſtrata: non enim quoniam omnis effectio & generatio in aliquem deſinunt terminum, omnino neceſſe eſt, ſicut ille præſtruit, & eos qui filij generationem approbarunt, duabus ipſam terminis circumſcribere,

principium & finem mente concipientes. Ea enim ſola quæ quantitate aliqua circumſcribuntur, & incipiunt fieri, & in terminum deſinunt. Et quæ tempore conſtat menſura, dum quãto eius quod generatur, extenditur, principium à fine intermedio interuallo diſtinguit. Quod autem quantitatis eſt expers, & dimenſione caret, quomodo quis vel metietur vel diſtinguet? Quámnã in non quanto menſuram, vel quódnam in eo quod nullam habet dimenſionẽ, interuallum inuenerit? Quomodo quod infinitũ eſt, fine & principio diſpeſcet? Nam principium & finis, ſunt de genere terminorũ quę interuallis diſtinguuntur. Vbi autẽ nulla eſt dimenſio, neque terminus eſt. Atqui diuina natura caret dimenſione. Cùm autem ſit interminata & dimenſionis expers, finem non habet. Quod enim interminatum eſt, infinitum eſt & dicitur. Vanum eſt igitur principio & fine quod infinitũ eſt circumſcribere. Quod enim circumſcriptum eſt, infinitum eſſe non poteſt. Vnde igitur hic Phœdrus Platonicus, quæ de animo illic Philoſophicè tractata ſunt à Platone, ſuis decretis ineptè & incongruenter aſſuit: vt enim ille notionis pauſam, id eſt, quietem illic dixit, ſic etiam iſte generationis requiem ſiue finem dicere concupiuit, vt horum rudes & ignaros his elegantibus Platonicis vocibus bombilaret. Atque his fidẽ derogare non licet, inquit, cùm ex ipſa natura, tum ex diuinis legibus. Sed natura, ex his quę dicta ſunt, teſtis nõ fide digna ad diuinæ naturæ doctrinam à nobis demonſtrata eſt. Neque ſi quis mundum ipſum afferat in exemplũ horum de quibus eſt ſermo, quoniam cum huius oratione, ſicut in libro Geneſeos à Moſe didicimus, tẽporis mẽſura ſimul excurrit dictis diebus & noctibus, cuiq. naſcentium attributis quodã ordine & conſequentia diſtributa. Quod in vnigeniti ſubſiſtentia, neque ipſe aduerſariorum admittit ſermo: confitens ante tempora ſecularia Dominũ eſſe. Reſtat vt patrocinium quod ex diuinis legibus ad probationẽ rei propoſitæ adducere conatur, dignoſcamus, quo pollicetur & finẽ & principiũ filij generationis demonſtrare. [Diem, inquit, operis ſui cõſummationi depoſuit, vt eſſet principij fides & documentũ. Nõ enim primum generationis diem, ſed ſeptimũ, in quo

Quædam deſunt.

Verba ſunt Eunomij.

A ἀρχὴν καὶ τέλος ἐπ' αὐτῆς ἐννοοῦντας. μόνα γὰρ τὰ πηλικότητι γεγραμμένα τινὶ, καὶ ἄρχεται γινόμενα, καὶ εἰς πέρας λήγει. καὶ τὸ ἐκ τοῦ χρόνου μέτρον τῷ ποσῷ τοῦ γινομένου παρατεινόμενον, τὴν ἀρχὴν παρὰ τοῦ τέλους διΐστησι τῷ μεταξὺ διαστήματι. τὸ δὲ ἄποσον καὶ ἀδιάστατον, πῶς ἄν τις ἢ μετρήσειεν ἢ διαστήσειεν; ποῖον ἐπὶ τοῦ ἀπόσου μέτρον εὑρὼν, ἢ ποῖον ἐπὶ τοῦ ἀδιαστάτου διάστημα; πῶς δέ τις τὸ ἀόριστον τέλει καὶ ἀρχῇ διαλήψεται. ἀρχὴ γὰρ καὶ τέλος, τῶν διαστηματικῶν περάτων. B διαστάσεως δὲ μὴ οὔσης, οὐδὲ τὸ πέρας ἐστίν. ἀλλὰ μὴν ἀδιάστατος ἡ θεία φύσις· ἀδιάστατος δὲ οὖσα, πέρας οὐκ ἔχει. τὸ δὲ ἀπεράτωτον, ἄπειρον ἐστί τε καὶ λέγεται. μάταιον ἄρα τὸ ἄπειρον ἀρχῇ καὶ τελευτῇ περιγράφειν· τὸ γὰρ περιγεγραμμένον ἄπειρον εἶναι οὐ δύναται. πόθεν οὖν ὁ Πλατωνικὸς οὗτος Φαῖδρος, τὰ περὶ ψυχῆς ἐκεῖ φιλοσοφηθέντα τῷ Πλάτωνι τοῖς ἰδίοις δόγμασιν ἀσυναρτήτως ἐκράπτει; ὡς γὰρ ἐκεῖνος ἐκεῖ παῦσιν εἶπε κινήσεως, οὕτω παῦσιν καὶ οὗτος C γεννήσεως εἰπεῖν ἐπεθύμησεν, ὡς ἂν τοὺς ἀπείρους τούτων ταῖς Πλατωνικαῖς καλλιφωνίαις περιβομβήσειεν. καὶ τούτοις ἀπιστεῖν οὐκ ἔστι, φησί, ἔκ τε τῆς φύσεως αὐτῆς· ἔτι δὲ καὶ τῶν θείων ὀνομάτων. ἀλλ' ἡ μὲν φύσις ἐκ τῶν εἰρημένων οὐκ ἀξιόπιστος εἰς διδασκαλίαν τῆς θείας γεννήσεως ἡμῖν ἀναπέφηνεν. οὐδὲ εἴ τὸν κόσμον τις αὐτὸν εἰς ὑπόδειγμα φέρει τοῦ λόγου· ἐπεὶ καὶ τῇ τούτου κτίσει καθὼς ἐν τῇ κοσμογονίᾳ παρὰ τοῦ Μωσέως ἐμάθομεν, συνδιεξήει τὸ ἐκ τοῦ χρόνου μέτρον. D ῥηταῖς ἡμέραις τε καὶ νυξὶν ἑκάστῳ τῶν γινομένων κατά τινα τάξιν καὶ ἀκολουθίαν παραμετρούμενον. ὅπερ ἐπὶ τῆς τοῦ μονογενοῦς ὑποστάσεως οὐδὲ αὐτὸς ὁ τῶν ἐναντίων δέχεται λόγος· ὁμολογῶν πρὸ χρόνων αἰωνίων εἶναι τὸν κύριον. ὑπόλοιπον δ' ἂν εἴη τὴν ἐκ τῶν θείων νόμων συνηγορίαν τοῦ προκειμένου κατανοῆσαι, δι' ἧς ἐπαγγέλλεται καὶ τέλος καὶ ἀρχὴν τῆς τοῦ υἱοῦ γεννήσεως. ἡμέραν τῷ τέλει τῆς δημιουργίας ἐναπέθετο, καὶ τῆς ἀρχῆς τὴν πίστιν. οὐ γὰρ τὴν πρώτην τῆς γεννήσεως ἡμέραν, ἀλλὰ τὴν ἑβδόμην ἐν ᾗ κατέπαυσεν

ἀπὸ τῶν ἔργων, ἔδωκε τὴν ὑπόμνησιν τῆς δημιουργίας. ἆρα τις πεισθήσεται παρ' ἐκείνου ταῦτα γεγράφθαι, καὶ οὐχὶ παρ' ἡμῶν ἐπὶ διαβολῇ τοῦ συγγράμματος παρεντεθεῖσθαι τὰ εἰρημένα, ὡς ἂν καταγέλαστος δοκοίη τοῖς ἐντυγχάνουσιν; τὰ μηδὲν κοινωνοῦντα τοῖς ζητουμένοις εἰς ἀπόδειξιν τῶν προκειμένων ἐπισυρόμενος. ὃ γὰρ ζητούμενον ἦν, δεῖξαι καθὼς ἐπηγγείλατο μὴ ὄντα τὸν υἱὸν γεγεννῆσθαι· ἀλλ' ἀρχήν τι λαβεῖν γεννήσεως καὶ λήξεως, γινόμενον, διά τινος ὠδῖνος χρόνῳ παρατεινούσης τὴν γέννησιν. ἡ δὲ εἰς τοῦτο κατασκευή τίς, τὸ σαββατίζειν ἐκ νόμου κατὰ τὴν ἑβδόμην ἡμέραν τὸν Ἑβραίων λαόν. ὢ πόση συμφωνία τῆς μαρτυρίας πρὸς τὸ προκείμενον. ἐπειδὴ τιμᾶται τῇ ἀργίᾳ παρὰ τοῦ Ἰουδαίου τὸ σάββατον, ἀποδέδεικται τὸ τὸν κύριον, καθὼς ἐκεῖνος λέγει, ἀρχήν τι λαβεῖν τοῦ τόκου, καὶ τικτόμενον παύσασθαι. πόσαι καὶ ἄλλαι πρὸς τοῦτο μαρτυρίαι τῷ λογογράφῳ παρείθησαν, οὐδὲν τῆς εἰρημένης πρὸς σύστασιν τοῦ ζητουμένου λειπόμεναι; ἡ κατὰ τὴν ὀγδόην περιτομή· ἡ τῶν ἀζύμων ἑβδομάς· τὸ ἐν τεσσαρεσκαιδεκάτῃ τοῦ σεληνιακοῦ δρόμου μυστήριον· αἱ τοῦ καθαρισμοῦ θυσίαι· ἡ περὶ τῶν λεπρῶν παρατήρησις, ὁ κριός, ὁ μόσχος, ἡ δάμαλις, ὁ ἀποπομπαῖος, ὁ χίμαρος. Εἰ δὲ ταῦτα πόρρω τῶν προκειμένων ἐστίν, πῶς ἐντὸς ἐκεῖνο τοῦ ζητουμένου, λεγέτωσαν οἱ ζηλωταὶ τῶν Ἰουδαϊκῶν μυστηρίων. ἡμεῖς γὰρ μικροπρεπές τε καὶ ἄνανδρον τὸ τοῖς προκειμένοις ἐπεμβαίνειν νομίζοντες, ἀναζητήσομεν ἐκ τῆς τῶν γεγραμμένων ἀκολουθίας, εἴ τι τοιοῦτόν ἐστιν, δι' ἱδρῶτα κινῆσαι τῷ προσπαλαίοντι. ὅσα τοίνυν ἐν τοῖς ἐφεξῆς περὶ τοῦ μηδὲν μέσον τι τοῦ υἱοῦ καὶ πατρὸς ἐννοεῖν, κατασκευάζων διέξεισιν, ὡς συμβαίνοντά πως τῷ καθ' ἡμᾶς δόγματι, παρελεύσομεν. ἀδιακρισίας γὰρ ἂν εἴη καὶ ἀγνωμοσύνης ἅμα, μὴ διακρίνειν ἐν τοῖς λεγομένοις τὸ ἀθῷόν τε καὶ τὸ ὑπαίτιον. ἐπειδὴ τοῖς Ἰουδαίοις μαχόμενος, οὐκ ἀκολουθῶν τοῖς ὁμολογουμένοις, καὶ τὸ ἄμεσον λέγων, καὶ τὸ συναφὲς οὐ δεχόμενος, καὶ τὸ μὴ εἶναί τι πρὸ τοῦ μονογενοῦς ἐννοῶν, καὶ τὸ εἶναι υἱὸν ὑπονοῶν, ἀλλὰ περὶ τοῦ μὴ ὄντα γεγενῆσθαι διαμαχόμενος. μικρὸν ἐν τούτοις ἀσχοληθέντες, διὰ τὸ τοῖς φθάσασιν ἱκανῶς ἤδη προ-

A ab operibus quieuit, in memoriã mũdi creationis dedit.] An aliquis perſuadebitur ab illo hæc ſcripta eſſe, & nõ à nobis in calumniam ſcripti interpoſita eſſe illa dicta, vt videretur ridiculus lectoribus? dum quæ nullam habent communionem, cum his quæ in quæſtionem vocantur, ad demonſtrationem pertrahit. Etenim quod quærebatur hoc erat, vt nempe demonſtraret ſicut ipſe profeſſus fuerat, filium cùm non eſſet, genitum eſſe, ſed generationis principium accepiſſe, & ceſſationis cùm genitus eſt, veluti quodã partu qui generationem B tempore protrahat. Ad id probandum talis eſt eius præſtructio. Populum videlicet Hebræum, ex lege ſeptimo quoq. die ſabbatizare. O quãta eſt ad id quod probãdum proponitur, teſtimonij conſonantia: quãdoquidem quiete & otio ſabbatum à Iudæo celebratur, demonſtratũ eſt, vt iſte autumat, dominũ partus principiũ habuiſſe, & partum quieuiſſe. Quot alia ad hoc teſtimonia huic ſcriptori prętermiſſa sũt, nihilo eo quod dictum eſt ad quæſiti conſtitutionẽ inferiora? quæ octauo die fiebat circumci- C ſio: azymorum, id eſt, infermentatorum panum hebdomas: myſterium quod decimaquarta lunaris curſus celebrabatur: purgationis ſacrificia: leprarum obſeruatio, aries, vitulus, iuuenca, hircus emiſſarius, caper. Quòd ſi hæc à propoſito longè remota ſunt, quomodo illud intra quæſitum, dicant æmulatores Iudaïcorum myſteriorum. Nos enim parum decorum & viris indignum exiſtimãtes, propoſitis inſidere: ex ſcriptorum conſecutione inquiremus, ſi quid D tale eſt, quale poſſit colluctatori ſudorẽ mouere. Quæ igitur in ſequentibus de eo quod non oporteat, quiddã medium inter patrem & filium cogitare, præſtruens perſequitur, vt quodam modo noſtro dogmati conueniẽtia præteribo. Eſſet enim mentis inconſideratæ & iniquæ ſimul & ſæuæ, in his quæ dicuntur, non diſcernere quod innoxium eſt & ſine crimine, & quod criminoſum eſt. Siquidẽ cum Iudæis pugnans conceſſis non acquieſcit, immediatum dicens, & connexum non admittens, & non eſſe aliquid ante vnigenitum cogitãs, & eſſe filium ſuſpicans, ſed de eo qui non erat genitum eſſe decertans. Parum in his immorantes, quia in antecedentibus

abundè ſatis iam ſermo præſtructus eſt, in propoſitis hærebimus. Non eſt eiuſdem & nihil ſuperius ſubſiſtētia vnigeniti ponere, & ante generationem non eſſe dicere, ſed tunc genitum fuiſſe cùm pater voluit. Hæc enim aduerbia tūc & quando, ad temporalem demonſtrationem propriè & naturaliter ſignificantiam referunt, ſecundùm communem ſanè loquentiū conſuetudinē, & ſecundùm vſitatam in ſcriptura ſignificationem. Tunc dicēt in gentibus: &, Quando miſi vos: &, Tūc aſſimilabitur regnū cœlorum. Et ſexcenta eiuſmodi per omnem ſcripturam ad propoſiti cōfirmationem licet ſumere, quod talibus orationis particulis ſcripturæ & conſuetudo tempus denotat. Si igitur tempus non erat, ſicut refractarius aſſentitur, funditus ſimul tollitur temporalis ſignificatio, qua ſublata, æternitas neceſſario omnino menti & cogitationi occurret. Voci enim [non eſſe,] vox illa, quando, prorſus ſubauditur. Si enim abſq. hac particula [quando] non eſſe diceret, neque nunc eſſe daret. Si enim nunc dans cum æterno pugnat prorſus non in vniuerſum non eſſe: ſed aliquando non fuiſſe, intelligitur. Cùm autem hæc vox nullo modo poſſit ſubſiſtere, niſi temporis ſignificantia innixa firmetur, ſtultum & vanum neque quid ante filium eſſe dicere, neque ſemper filium eſſe adſtruere. Nam ſi neque locus, neque tempus, neque vlla creatura eſt alia in qua non eſt qui in principio erat verbum, vndique è dogmate pietatis exemptum eſt hoc, nempe aliquādo nō fuiſſe Dominum. Non igitur nobis, ſed ſibi ipſi repugnat, qui & non eſſe, & eſſe docet. Nam dum confitetur, nullo medio filij cum patre connexionem diuidi, ei omnino ſuo teſtimonio æternum attribuit. Quod ſi in patre dicat non eſſe filium, tali ſermoni non ipſi nos contradicemus, ſed ſcripturam opponemus, quæ aſſerit in patre eſſe filium, & in filio patrem: particulā aliquando, vel quando, vel tunc, orationi non adijciens, ſed hac affirmatiua & abſoluta voce æternum ipſi aſſignans. Quod autē ipſe adſtruit, ingenitum à nobis vnigenitum Deum dici, æquale eſt ac ſi dicat, quod etiam patrem genitū eſſe definimus. Eiuſdem enim abſurditatis, vel potius blaſphe-

A κατεσκευάσθαι τὸν λόγον, τῶν προκειμένων ἑξόμεθα. Οὐκ ἔστι τοῦ αὐτοῦ καὶ μηδὲν ὑποτιθέναι τῆς τοῦ μονογενοῦς ὑποστάσεως, καὶ μὴ εἶναι λέγειν πρὸ τῆς γεννήσεως, ἀλλὰ τότε γεγεννῆσθαι, ὅτε ὁ πατὴρ ἠβουλήθη. τὸ γὰρ τότε καὶ ὅτε, κυρίως καὶ προσφυῶς ἐπὶ τὴν χρονικὴν δεῖξιν τὴν σημασίαν φέρει, κατά τε τὴν κοινὴν τῶν ὑγιῶς φθεγγομένων συνήθειαν, καὶ κατὰ τὴν ἐν τῇ γραφῇ σημασίαν· τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσι. καί, ὅτε ἀπέστειλα ὑμᾶς· καί, τότε ὁμοιωθήσεται ἡ βασιλεία. καὶ μυρία τοιαῦτα διὰ πάσης ἐστὶν B γραφῆς εἰς ἀπόδειξιν τοῦ προκειμένου λαβεῖν, ὅτι τοῖς τοιούτοις τοῦ λόγου μορίοις τὸν χρόνον ἐπισημαίνεται τῆς γραφῆς ἡ συνήθεια. εἰ οὖν χρόνος οὐκ ἦν, καθὼς ὁ ἀντιλέγων συντίθεται, συναναιρεῖται πάντως καὶ ἡ χρονικὴ σημασία· ταύτης δὲ μὴ οὔσης, τὸ ἀΐδιον τῆς ἐννοίας κατὰ πᾶσαν ἀνάγκην ἀντεισελεύσεται. τῇ γὰρ τοῦ μὴ εἶναι φωνῇ, καὶ τὸ πότε πάντως συνυπακούεται. εἰ γὰρ χωρὶς τοῦ ποτὲ τὸ μὴ εἶναι λέγοι, οὐδὲ νῦν εἶναι δώσει. εἰ δὲ τὸ νῦν διδοὺς πρὸς τὸ ἀΐδιον μάχεται, πάντως οὐ τὸ καθόλου μὴ εἶναι, C ἀλλὰ τὸ ποτὲ μὴ εἶναι διακρινόνται. τῆς δὲ φωνῆς ταύτης ἀνυποστάτου παντάπασιν οὔσης, εἰ μὴ πρὸς τὴν τοῦ χρόνου σημασίαν ἐρείδοιτο, ἀνόητον ἂν εἴη καὶ μάταιον τὸ μήτε τι πρὸ τοῦ υἱοῦ εἶναι λέγειν, μήτε πάντοτε τὸν υἱὸν εἶναι κατασκευάζειν. Εἰ γὰρ μήτε τόπος, μήτε χρόνος, μήτε τις ἑτέρα κτίσις ἐστίν, ἐν ᾗ οὐκ ἔστιν ὁ ἐν ἀρχῇ ὢν λόγος, πανταχόθεν τοῦ δόγματος τῆς εὐσεβείας ἐξῄρηται, τὸ ποτὲ μὴ εἶναι τὸν κύριον. Οὐκοῦν οὐχ ἡμῖν, ἀλλ' ἑαυτῷ διαμάχεται, ὁ καὶ μὴ εἶναι καὶ εἶναι τὸν μονογενῆ δογματίζων. ἐν γὰρ τῷ ὁμολογεῖν μηδενὶ τὴν τοῦ υἱοῦ D πρὸς τὸν πατέρα διαιρεῖσθαι συνάφειαν, τὸ ἀΐδιον αὐτῷ πάντως προσεμαρτύρηκεν. Εἰ δὲ ἐν τῷ πατρὶ λέγοι μὴ εἶναι τὸν υἱόν, τῷ τοιούτῳ λόγῳ οὐκ ἀντεροῦμεν αὐτοί, ἀλλὰ τὴν γραφὴν ἀντιθήσομεν, ἥ φησι, ἐν τῷ πατρὶ τὸ εἶναι τὸν υἱόν, καὶ ἐν τῷ υἱῷ τὸν πατέρα· τὸ πότε, ἢ ὅτε, ἢ τότε, μὴ προστιθεῖσα τῷ λόγῳ, ἀλλὰ τῇ ἀποφαντικῇ ταύτῃ καὶ ἀπολύτῳ φωνῇ, τὸ ἀΐδιον αὐτῷ μαρτυρήσασα. τὸ δὲ κατασκευάζειν αὐτόν, ἀγέννητον παρ' ἡμῶν λέγεσθαι τὸν μονογενῆ Θεόν, ἴσον ἐστὶ τῷ λέγειν ὅτι καὶ γεννητὸν εἶναι τὸν πατέρα διοριζόμεθα. τῆς γὰρ αὐτῆς ἀτοπίας, μᾶλλον δὲ

βλασφημίας ἑκάτερον. ὥστε εἰ μὲν συκοφαντεῖν ἔγνωκε, προσθήτω καὶ τὸ ἕτερον ἔγκλημα, μηδενὸς φειδόμενος, δι' ὧν ἂν ᾖ δυνατὸν χαλεπώτερον ἐκτραχύνειν καθ' ἡμῶν τοὺς ἀκούοντας. εἰ δὲ τὸ ἕτερον τούτων διὰ τὸ περιφανὲς τῆς συκοφαντίας οὐκ αἰτιᾶται, ἀφιέτω καὶ τὸ λειπόμενον. ἴσον γὰρ εἰς ἀσέβειαν καθὼς εἴρηται καὶ τὸν υἱὸν ἀγέννητον λέγειν, ἢ καὶ γεννητὸν τὸν πατέρα. εἰ μὲν οὖν εὑρίσκεταί τις ἐν τοῖς παρ' ἡμῶν γεγραμμένοις φωνὴ τοιαύτη, δι' ἧς ἀγέννητος ὁ υἱὸς ὀνομάζεται, καθ' ἡμῶν αὐτῶν τὴν ἐσχάτην ψῆφον ἐξοισόμεθα. εἰ δὲ ψευδεῖς αἰτίας τε καὶ συκοφαντίας κατ' ἐξουσίαν συμπλάσσει, τὸ δοκοῦν ἐπὶ διαβολῇ τῶν καθ' ἡμῶν δογμάτων λογοποιῶν, γένοιτ' ἂν ἴσως τοῖς γε νοῦν ἔχουσι καὶ αὕτη τῆς ἐν ἡμῖν εὐσεβείας ἀπόδειξις. ὅτι τῆς ἀληθείας ἡμῖν ὑπερμαχούσης, τὸ ψεῦδος εἰς κατηγορίαν τοῦ δόγματος ἡμῶν προεστήσατο, ἀλλοτρίαν τοῦ ἡμετέρου λόγου κατασκευάζων τὴν τῆς ἀσεβείας γραφήν. ἀλλ' ἔστιν ἐν συντόμῳ πρὸς τὰς αἰτίας ταύτας ἀπολογήσασθαι. ὡς γὰρ ἡμεῖς τὸν ἀγέννητον εἶναι λέγοντα τὸν μονογενῆ Θεὸν ἐπάρατον κρίνομεν, οὕτω κἀκεῖνος ἐπαράσθω τὸν μὴ εἶναί ποτε τὸν ἐν ἀρχῇ ὄντα διοριζόμενον. ἐκ γὰρ τοῦ ἴσου δειχθήσεται ὅ τε εἰπὼν ὅτι κατὰ ἀλήθειαν, καὶ ὁ συκοφαντικῶς τὰς αἰτίας ἐπάγων. εἰ δὲ ἡμεῖς ἀρνούμεθα τὰ ἐγκλήματα, καὶ πατέρα λέγοντες, υἱὸν τῇ φωνῇ συνεπινοοῦμεν, καὶ υἱὸν ὀνομάσαντες, ἀληθῶς εἶναι φαμὲν ὃ λέγεται, γεννητῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἀπαυγασθέντα, πῶς οὐ πρόδηλος ἡ συκοφαντία τῶν ἀγέννητον λέγειν ἡμᾶς τὸν μονογενῆ διαθρυλλούντων; οὐ μὴν ἐπεὶ γεννητῶς αὐτὸν εἶναι φαμέν, τὸ μὴ εἶναι αὐτόν ποτε, διὰ τούτου παραδεξόμεθα. τίς γὰρ οὐκ οἶδεν ὅτι ἄμεσός ἐστιν ἡ κατὰ τὸ σημαινόμενον ἐναντίωσις τοῦ ὄντος καὶ τοῦ μὴ ὄντος. ὥστε τὴν τοῦ ἑτέρου τῶν εἰρημένων θέσιν, ἀναίρεσιν τοῦ ἐναντίου γενέσθαι πάντως. καὶ ὅτι καθάπερ τὸ εἶναι κατὰ παντὸς χρόνου ταὐτόν ἐστιν, ἐν ᾧπερ ἄν τις ὑφεστάναι τι τῶν ὄντων ὑποθῆται. οὐ γὰρ μᾶλλον νῦν ἐστιν οὐρανὸς καὶ ἄστρα, καὶ ἥλιος, καὶ τὰ λοιπὰ τῶν ὄντων ἢ χθὲς καὶ πρώην, καὶ ἐν παντὶ τῷ προάγοντι χρόνῳ. τὸν αὐτὸν τρόπον καὶ τοῦ μὴ εἶναι τὸ σημαινόμενον ἐπίσης ἐν παντὶ τὸ ἀνύπαρκτον ἔχει. εἴ τι κατὰ τὸ πρότερόν τις,

A miæ vtrumque. Quare ſiquidem nouit calumniari, adijciat & alterum crimen nihil parcendo, quò poſſit acerbius exaſperare contra nos auditores. Quòd ſi horum alterius, quia ſit manifeſta calumnia, nos non accuſat, alterum etiam quod ſupereſt dimittat. Æqualis enim eſt impietas, ſicut dictum eſt, filium ingenitum dicere, vel etiam patrem genitum. Si igitur aliqua in noſtris ſcriptis vox talis inuenitur, qua filius ingenitus nominetur, contra nos extremum calculum emittemus. Quòd ſi falſas accuſationes & calumnias ad libitum confingit, B quidlibet in noſtrorum decretorum calumniam conſcribens, fortaſſe apud prudentes, & hæc noſtræ pietatis fuerit demonſtratio. Quia veritate pro nobis propugnante, mendacium in noſtri dogmatis accuſationem in medium protulit, alienam à noſtro ſermone, impietatis ſcripturam conſtruens. Sed aduerſus has criminationes paucis verbis licet defendere. Vt enim nos ingenitum eſſe vnigenitum Deum qui autumat, eum execrabilem iudicamus, ſic & ille abominabilis eſto, qui non fuiſſe aliquando eum qui erat in principio C determinat. Nam eodem modo demonſtrabitur, quique ſecundum veritatem, & qui calumniosè criminationes inducit. Quòd ſi nos inficiamur crimina, & patrem dicentes, ſimul etiam filium hac voce mente concipimus, & filium nominantes, verè eſſe dicimus id quod dicitur, per modum generationis ab ingenita luce effulgentem: quomodo non propalatur calumnia eorum, qui vnigenitum ingenitum nos dicere diuulgant. Non tamen quoniam per modum generationis ipſum eſſe dicimus, eum non fuiſſe aliquando per hoc D approbabimus. Quis enim neſcit immediatã eſſe ſecundùm ſignificatum contrarietatem entis & non entis? Ita vt alterius dictorum affirmatio contrarij prorſus ſit negatio. Et quemadmodum eſſe, idem eſt, per omne tempus, in quo quidem aliquis ſubſiſtere quid eorum quæ ſunt, ſuppoſuerit. Non enim magis nunc eſt cœlum & ſidera, & ſol, & reliqua eorum quæ ſunt, quam heri & nudius tertius, atque in omni antecedente tempore: eodem modo ſignificatum eius, quod dicitur non eſſe, ſemper in omni ex æquo id quod non exiſtit continet. Siue quis ſecundum prius, ſiue

A εἴ τε κατὰ τὸ ὕστερον λέγοι. οὐ γὰρ μᾶλλον νῦν, τί τῶν ὑφεστώτων οὐκ ἔστιν, ἢ εἰ πρότερον ἀνύπαρκτον ἦν, ἀλλὰ εἷς ὁ τοῦ μὴ εἶναι λόγος, ἐπὶ τοῦ μὴ ὄντος ἐν παντὶ χρονικῷ διαστήματι. διὸ καὶ ἐπὶ τῶν ζώων τήν τε τοῦ γενομένου εἰς τὸ μὴ ὂν ἀνάλυσιν· καὶ τοῦ μηδέπω τὴν εἰς τὸ γενέσθαι πρόοδον ἐσχηκότος, ὀνόμασι μὲν διαφόροις τὴν ἀνυπαρξίαν σημαινόμενοι, ἢ μὴ γεγενῆσθαι τὴν ἀρχὴν, ἢ τεθνάναι τὸ γενόμενον λέγοντες. ἐπίσης δὲ δι' ἑκατέρας φωνῆς τὸ ἀνύπαρκτον παριστῶμεν τῷ λόγῳ. ὥσπερ γὰρ ἡ ἡμέρα νυκτὶ περιέχεται καθ' ἑκάτερον μέρος, λέγεται δὲ οὐχ ὡσαύτως τὰ περιέχοντα, ἀλ-

B λὰ τὸ μὲν μετὰ τὴν ἑσπέραν, τὸ δὲ πρὸ τοῦ ὄρθρου, νὺξ δὲ τὸ δηλούμενον ἐστὶν κατ' ἀμφότερα. τὸν αὐτὸν τρόπον εἰ ἐκ τῆς παραλλήλου πρὸς τὸ ὂν ἀντιθεωροίη τις τὸ μὴ ὂν, κατονομάσει μὲν διαφόρως τό τε πρὸ τῆς συστάσεως καὶ τὸ μετὰ τὴν τοῦ συστάντος διάλυσιν, ἓν δὲ νοήσει δι' ἀμφοτέρων τὸ σημαινόμενον. τό τε πρὸ τῆς συστάσεως, καὶ τὸ μετὰ τὴν τοῦ συστάντος διάλυσιν. τὸ γὰρ μὴ εἶναι, τοῦ τε μὴ γεννηθέντος καὶ τοῦ τεθνηκότος, πλὴν τῆς διαφορᾶς τῶν ὀνομάτων, ἴσον ἐστὶν, ὑπεξῃρημένου τοῦ κατὰ τὴν ἐλπίδα τῆς ἀναστάσεως λόγου. ἐπεὶ τοίνυν ἀρ-

C χηγὸν ζωῆς καὶ αὐτοζωὴν τὸν μονογενῆ Θεὸν παρὰ τῆς γραφῆς μεμαθήκαμεν, καὶ φῶς, καὶ ἀλήθειαν, καὶ πᾶν ὅτι πρόσεστιν ἐν ὀνόματι καὶ νοήματι τίμιον, ἄτοπον καὶ δυσσεβὲς εἶναι φαμὲν, τῷ ὄντως ὄντι συνθεωρεῖν τὸ ἐξ ἐναντίου νοούμενον, ἢ διάλυσιν εἰς φθορὰν, ἢ ἀνυπαρξίαν πρὸ τῆς συστάσεως, ἀλλὰ πανταχόθεν πρὸς τὸ προαιώνιον ἐπεκτείνοντες ἑαυτῶν τὴν διάνοιαν, οὐδαμοῦ πρὸς τὸ μὴ ὂν ταῖς ἐννοίαις λήγομεν. ἴσον εἰς ἀσέβειαν κρίνοντες οἱῳ-

D δήποτε χρόνῳ δι' ἀνυπαρξίας περικόπτειν τὸ θεῖον. ταὐτὸν γάρ ἐστι καὶ θνητὴν εἰπεῖν τὴν ἀθάνατον ζωὴν, καὶ ψευδῆ τὴν ἀλήθειαν, καὶ σκοτεινὸν τὸ φῶς, καὶ μὴ εἶναι τὸ ὄν. ὁ τοίνυν τὸ μὴ ἔσεσθαί ποτε μὴ διδοὺς, οὐδὲ τὸ μὴ εἶναί ποτε συνθήσεται, κατὰ τὸν ἡμέτερον λόγον, τὴν αὐτὴν ἀτοπίαν φεύγων καθ' ἑκάτερον μέρος· ὡς γὰρ τὸ ἀτελεύτητον τῆς ζωῆς

A dum eſt. Quod cœlo quidem nihil eſt oppoſitum, niſi fortè quis ipſum nõ eſſe ipſius eſſe oppoſitum dicat. Virtuti autem, quod ſecundùm vitium eſt prorſus aduerſatur. Virtus autẽ Dominus. quare cœlum ſi non erat, nihil erat, bonum autem ſi non erat contrarium erat. Qui igitur bonũ non eſſe aſſerit, malum eſſe inuitus fatebitur. Atqui, Pater, inquit, omnino perfecta eſt virtus, & vita, & lux inacceſſa: omniáq. excelſa mentis ſenſa & nomina, ita vt non ſit neceſſarium, quãdo vnigenita lux nõdum erat, quod ex aduerſo occurrit ex contrario intelligi, nempe tenebras. Sed hic meus eſt ſermo, quòd neque vnquam tenebræ B erant. Neque enim vnquã non fuit lux: ſemper enim in luce omnia ſunt lux, ſicut prophetia dicit: Quòd ſi ſecũdùm ſermonẽ hæreſeos alia quidẽ eſt lux ingenita, & hæc ab æterno; alia verò quæ poſtea generatur; neceſſe eſt penitus æternæ luci numquã locum inuenire aduerſari oppoſitũ: ſemper enim luce lucente, in ea tenebrarũ operatio tempus nõ habet. In ea autẽ quę poſtea facta eſt, ſicut illi aiunt, non poſſe fieri, non ex tenebris lucẽ ſplẽdere: ſed paſſim & omninò æternæ luci & ei quæ poſterior facta eſt, medias interceſſiſſe tenebras depræhendetur. Non enim opus fuiſſet poſte- C riorem hanc lucẽ condere, niſi ad aliquã vtilitatem comparatum eſſet, id quod creatur. Vna autem lucis vtilitas, vt caligo prępualens ab ipſa diſſipetur: ſed lux quidem increata, ipſa eſt per ſe quod quidem eſt natura: at quæ creata eſt, propter aliquid proculdubio efficitur. Ergo neceſſe erat tenebras præexiſtere, quarum gratia neceſſario lux conditur & creatur. Neque vllo ſermone ſolari & emollire fas eſt, quin tenebræ luce genita ſint priores, cùm poſtea effectam D eſſe perſuaſum fuerit. Atqui hoc tale eſt, quod ſuperet omnem impietatem. Apertè igitur & liquido declaratũ eſt, patrem veritatis non feciſſe veritatem antè non exiſtentem. Sed cùm ſit fons lucis & veritatis, omniſque boni, ex ſeipſo vnigenitam lucem veritatis ſplendeſcere fecit, per quam ſemper ſubſtantiæ ipſius gloria figuratur. Ita vt vndique eorum qui per creationem filium poſteriorem Deo genitum fuiſſe autumant, blaſphemia redarguatur.

X

A

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM.

ORATIO IX.

SED propoſitis hæreamus, paulùm enim progreſſus aduerſus eos qui humanam naturá ad incomprehenſibilium plenam intelligentiam infirmam atque imbecillam eſſe confitentur, acriter decertat, & ſe magnificè iactans, talia quædam enarrat, hiſque verbis noſtrum dogma extenuat ac deterit. [Neque enim ſi mens alicuius propter maleuolentiam tenebris offuſa eſt, ita vt nec ea quæ ſunt ante pedes videat, idcirco conſequens eſt, neque ab aliis hominibus eorum quæ ſunt inuentionem attingi poſſe.] Verùm huic dixerimus, quòd qui aſſerit, rerum inuentionem comprehendi poſſe, via quadam & conſecutionis ſerie per rerum cognitionem, ſuam intelligentiam prouexit. Et per ea quæ facilius percipi poſſunt & minora exercitatus per comprehenſionem: ſic tandem & his quæ omnem notitiam ſuperant, ſuam comprehenſiuam viſionem ſiue imaginationem applicuit. Qui igitur gloriatur iactabundus, ſe eorum quæ ſunt ſcientiam adeptum eſſe, quòd minimum eſt eorum quæ nobis ante oculos apparent, quæ ſit eius natura nobis explanet. Vt ex eo quod notum eſt de eo etiam quod occultum eſt & incognitum fidem faciat. Ecquænam ſit formicæ natura ſermone explicet, vtrum ſpiritu & halitu eius vita continetur, vtrum viſceribus diſpenſatur, ſimiliter atque aliis animalibus, vtrum oſſibus corpus conſtructum eſt, vtrum medulla oſſium cauitates intus plenæ ſunt, an neruis & vinculis compages contenta eſt? an muſculorum amictibus? & adenum ſiue glandularum neruorum ſitus continetur? an

Verba ſunt Eunomij.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Θʹ.

B ΑΛΛΑ τῶν προκειμένων ἐχώμεθα, μικρὸν γὰρ προελθὼν διαμάχεται πρὸς τοὺς ὁμολογοῦντας ἀσθενεῖν τὴν ἀνθρωπίνην φύσιν πρὸς τὴν τῶν ἀλήπτων περίνοιαν, καὶ τοιαῦτά τινα μεγαλαυχούμενος διεξέρχεται, τὸ καθ' ἡμᾶς εὐτελίζων τούτοις τοῖς ῥήμασιν. Οὐδὲ γὰρ εἴ τινος ὁ νοῦς διὰ κακόνοιαν ἐσκοτισμένος, καὶ διὰ τοῦτο μηδὲν, C μήτε τῶν πρόσω, μήτε τοῖς ἄλλοις ἀνθρώποις ἐφικτὴν εἶναι τὴν τῶν ὄντων εὕρεσιν. Ἀλλ' εἴποιμ' ἂν πρὸς αὐτὸν, ὅτι ὁ ἐφικτὴν εἶναι λέγων τῶν ὄντων τὴν εὕρεσιν, ὁδῷ τινι πάντως καὶ ἀκολουθίᾳ διὰ τῆς τῶν ὄντων γνώσεως προήγαγεν ἑαυτοῦ τὴν διάνοιαν. καὶ τοῖς εὐλήπτοις τε καὶ μικροτέροις ἐγγυμνασθεὶς διὰ τῆς καταλήψεως· οὕτως καὶ τοῖς ἐπέκεινα πάσης ἐννοίας, ἐπέβαλεν ἑαυτοῦ τὴν καταληπτικὴν φαντασίαν. Οὐκοῦν ὁ τὴν περὶ τῶν ὄντων εἴδησιν κατειληφέναι μεγαλαυχούμενος· τὸ μικρότατον τῶν προφαινομένων ἡμῖν, ὅπως D ἔχοι φύσεως ἑρμηνευσάτω. ὡς ἂν διὰ τοῦ γνωρίμου καὶ περὶ τοῦ κεκρυμμένου πιστώσαιτο. καὶ τίς ἡ τοῦ μύρμηκος φύσις ἑρμηνευσάτω τῷ λόγῳ, εἰ πνεύματι καὶ ἄσθματι συνέχεται αὐτοῦ ἡ ζωὴ, εἰ σπλάγχνοις οἰκονομεῖται παραπλησίως τοῖς ἄλλοις ζώοις. Εἰ ὀστέοις τὸ σῶμα περιείληπται· Εἰ μυελῷ τὰ κοῖλα τῶν ὀστέων κατὰ τὸ ἐντὸς, Εἰ νεύροις καὶ συνδέσμοις ταῖς ἁρμονίας τετόνωται; Εἰ μυῶν περιβολαῖς, καὶ ἀδένων ἡ τῶν νεύρων περικρατεῖται θέσις; Εἰ τοῖς νωταίοις σπονδύ-

λοις ἐκ τοῦ βρέγματος ἐπὶ τὸ οὐραῖον ὁ μυελὸς παρατείνεται; εἰ τῇ περιοχῇ τοῦ νευρώδους ὑμένος, τοῖς κινουμένοις μέλεσι τὴν ὁρμητικὴν ἐνδίδωσι δύναμιν. εἰ ἔστιν ἐν αὐτῷ τὸ ἧπαρ, καὶ τὸ χοληδόχον ἀγγεῖον ἐπὶ τοῦ ἥπατος, νεφροί τε καὶ καρδία, καὶ ἀρτηρίαι καὶ φλέβες, ὑμένες τε καὶ φρένες, καὶ διαφράγματα. καὶ εἰ ψιλόν ἐστιν, ἢ τετρίχωται, καὶ εἰ πρὸς τὸ ἄρρεν τε καὶ θῆλυ διαμερίζεται, ἐν τίνι τε μέρει τοῦ σώματος ἡ ὀπτικὴ ἐγκαθίδρυται. καὶ εἰ τῆς ὀσφραντικῆς μετέχει αἰσθήσεως, εἰ μονώνυχόν τι ἐστὶν, ἢ πολυσχιδεῖς ἔχει τὰς βάσεις· πόσον δὲ βιοῖ χρόνον; καὶ τίς ὁ τρόπος αὐτῆς τῆς ἐξ ἀλλήλων γενέσεως, ἐπὶ πόσον δὲ κυΐσκεται τὸ τικτόμενον. καὶ πῶς οὔτε πεζοὶ πάντες οἱ μύρμηκες, οὔτε ὑπόπτεροι πάντες; ἀλλ' οἱ μὲν, τῶν χαμαὶ ἑρπυζόντων εἰσίν· οἱ δὲ διαέριοι φαίνονται. ὁ τοίνυν τῶν ὄντων κατειληφέναι τὴν γνῶσιν κομπάζων, τέως ἡμῖν τὴν τοῦ μύρμηκος φύσιν φανερωσάτω. εἶθ' οὕτω φυσιολογείτω τὴν πάντα νοῦν ὑπερέχουσαν δύναμιν. εἰ δὲ τοῦ βραχυτάτου μύρμηκος οὔπω περιέλαβε τῇ φύσει τὴν γνῶσιν, πῶς τὸν ἐν ἑαυτῷ πᾶσαν περικρατοῦντα τὴν κτίσιν ὡς καταληπτικῷ περιειληφέναι λόγῳ μεγαλαυχεῖται, καὶ τοὺς τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης φύσεως ἐφ' ἑαυτῶν ὁμολογοῦντας ἐσκοτῶσθαι λέγει τὰ τῆς ψυχῆς αἰσθητήρια, καὶ μήτε τινὸς τῶν προπόδων, μήτε τῶν ὑπὲρ κεφαλῆς ἐφικνεῖσθαι. ἀλλ' ὁ τὴν γνῶσιν ἔχων τῶν ὄντων, ἴδωμεν τί παρὰ τοὺς ἄλλους ἐπίσταται. ἀκούσωμεν τῆς ὑπερόγκου φωνῆς· ἢ μάτην ἂν ὁ κύριος ἑαυτὸν ὠνόμασεν θύραν, φησὶ, μηδενὸς ὄντος τοῦ διϊόντος πρὸς κατανόησιν καὶ θεωρίαν τοῦ πατρὸς, μάτην δ' ἂν ὁδὸς, μηδεμίαν παρέχων εὐμάρειαν τοῖς ἐλθεῖν πρὸς τὸν πατέρα βουλομένοις. πῶς δ' ἂν εἴη φῶς μὴ φωτίζων τοὺς ἀνθρώπους, μὴ καταλάμπων τὸ τῆς ψυχῆς ὄμμα πρὸς κατανόησιν ἑαυτοῦ τε καὶ τοῦ ὑπερκειμένου φωτός; εἰ μὲν οὖν οἴκοθέν τινας λογισμοὺς διεξῄει, ἐκφεύγοντας τῇ λεπτότητι τὴν τῶν ἀκουόντων διάνοιαν, δυνατὸν ἂν ἦν ἴσως παρακρουσθῆναι τῇ περινοίᾳ τοῦ λόγου διαδιδράσκοντος πολλάκις τοῦ ἐγκειμένου νοήματος τὸν ἀκούοντα. ἐπεὶ δὲ τὰ θεῖα προβάλλεται ῥήματα, πάντως οὐδεὶς καταμέμφεται τοὺς τὴν θεόπνευστον διδασκαλίαν πᾶσι κοινὴν προκεῖσθαι πεπιστευκότας. ἐπειδὴ τοίνυν ὁ θύ-

A dorſalibus vertebris è bregmate ad caudam medulla protenditur? an complexu neruoſæ membranæ membris quæ mouentur vim impultricem inſerit. An in ipſa eſt iecur & folliculus fellis, id eſt, expurgatæ è iecore flauæ bilis receptaculum: reneſque & cor, & arteriæ & venæ, membraneq. & precordia, ſiue ſeptum trãſuerſum: vtrum glabra & pilis obducta? an in marem & fœminã diſtinguitur? in qua parte corporis vis videndi inſidet? an odorãdi ſenſu prædita eſt? an vnã habeat vngulam vel multifidas, ſiue in multos digitos diſcretas baſes: quãdiu B viuit? Et quis ex ſeſe generationis modus: & quantò tempore fœtus concipitur, & quomodo neque formicæ omnes pedeſtres, neque volucres omnes? Sed aliæ humi reptant, aliæ aëriæ videntur. Qui igitur ſe iactat eorum quæ ſunt naturam adeptum eſſe, nobis primùm formicæ naturam declaret. Deinde potentiam illam quæ omnem intellectũ ſuperat, phyſicè tractet. Quod ſi breuiſſimæ formicæ cognitionẽ nondum in natura conſecutus eſt, quomodo eum qui in ſeipſo omnem com- C plectitur creaturam compræhenſiua ratione ſe complexum eſſe gloriabundus iactitat? & eos interim qui humanæ naturæ infirmitatem in ſemetipſis ſentiunt & fatentur, animi ſentiendi inſtrumenta tenebris & caligine obſita & offuſa habere dicit, neque quicquam eorum quæ ſunt ante pedes, neque ſupra caput attingere. Sed qui eorum quę ſunt cognitionẽ habet, videamus quid ſupra alios ſcit. Eius tumidam & inflatam vocem audiamus. [Vel, inquit, fruſtra Dominus ſeipſum oſtium nominauit: Si nullus eſt qui ingrediatur ad pa- D tris cognitionem & contemplationem: fruſtra etiam via, nullam præbens facilitatem volentibus ad patrem venire: *Verba ſunt Eunomij.* quomodo eſſet lux non homines illuſtrans, non illuminans animi oculum ad cognitionem ſuique & ſupereminentis lucis?] Siquidem quaſdam ratiocinationes domo allatas explicaret ſubtilitate ſua audientium intelligentiam effugientes, fortaſſe decipi & falli contingeret ſolertia ſermonis, notionis ſubiectæ auditorẽ ſæpè præteruolantis. Sed quoniã diuina proponit vocabula, nullus profectò culpat eos qui doctrinã diuinitùs inſpiratam omnibus cõmunem proponi crediderunt. Quoniam igitur

ait, Dominus nominatus eſt oſtium, ex eo præſtruit comprǽheſibilem eſſe Dei eſſentiam; Sed Euangelium hunc ſenſum non admittit. Ipſam enim diuinam vocem audiamus. *Ioan. 10.* Ego ſum, inquit, oſtiũ: per me ſi quis intrabit, ſaluus erit: & ingredietur, & egredietur, & paſcua inueniet. Ex his quænam diuinæ eſſentiæ cognitio elicitur? cùm enim plura ſint dicta, & horum quódq. ſecundùm ſuum ſignificatum propriam habeat intelligentiã: neq. omnia poſſunt ſubſtantiæ rationi applicari, ne quid cõmixtum ex differentibus natura diuina intelligatur. Et quod propriè magis rei propoſitę cõgruere poteſt, non licet facilè ex collectis inuenire: Dominus oſtiũ: Per me, inquit, ſi quis intrauerit, ſeruabitur, & ingredietur, & egredietur, & paſcua inueniet: ingreſſum dixerimus, pro eſſentia ipſum dicere, an ſalutem ingredientium, vel egreſſum, vel paſcuum, vel inuentionem? horum enim quodque peculiari & proprio ſignificatu diſtinguitur, neque cum alio cõſonat. Nam intus eſſe, ei quod eſt exire, contrarium ex primo occurrente ſignificatu videtur, & alia ſimiliter. Aliud enim eſt proprio ſermone paſcuũ, aliud verò quiddã præter hoc inuentio. Quid igitur ex his patris eſſentia cenſetur? Neque enim omnia ſi quis dixerit, non inter ſe ſignificatione concordantia, ſimplicem & incompoſitam eſſentiam per hæc inconcinna & diſcordantia indicabit. Quomodo autẽ verum diceret ſermo, quòd nemo *Ioan. 4.* Deum vidit vnquam: & quem homi- *1. Tim. 6.* num nullus vidit, neque poteſt videre. Et quòd nullus viuet & videbit faciem *Exod. 33.* Domini. Siquidem vel quod intra oſtium eſt vel extra, & inuentio paſcui, eſsẽtia patris exiſtimatur. Sed quoniam hoc non eſt, non tamen hoc nomen oſtij in Domino otioſum & ſignificationis expers ſuſpicabimur. Verè enim ipſe eſt & oſtium circumſtantiæ, & domus *Pſal. 140.* refugij, ſicut Dauid nominat, & per ipſum ingrediẽtes admittit, & in ſeipſo eos qui ſunt intus ſeruat, & rurſus per ipſum ad virtutum paſcua educit. Et his qui ſalui fiunt, omnia fit, vt vnicuique ſeipſum commodum & idoneum reddat: & via, & viæ dux, & oſtium circumſtantiæ, & domus refugij, & aqua requiei, & locus herbæ viridis, quam in Euangelio paſcuum nominat: hic autem nouitius theologus,

A ρα φησὶν ὠνομάσθη ὁ κύριος, ἐκ τούτου κατασκευάζεται τὸ καταληπτὴν εἶναι τοῦ Θεοῦ τὴν οὐσίαν· ἀλλ' οὐ δέχεται τὴν διάνοιαν ταύτην τὸ εὐαγγέλιον. αὐτῆς γὰρ ἀκούσωμεν τῆς θείας φωνῆς. ἐγώ εἰμι, φησὶν, ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. τί τοίνυν ἐκ τούτων ἡ γνῶσις τῆς οὐσίας ἐστίν; πλειόνων γὰρ ὄντων τῶν εἰρημένων, καὶ ἰδίαν ἑκάστου διάνοιαν κατὰ τὸ σημαινόμενον ἔχοντος· οὔτε πάντα δυνατόν ἐστιν τῷ τῆς οὐσίας ἐντίθεσθαι λόγῳ, ὡς ἂν μὴ σύμ- B μικτόν τι ἐκ διαφόρων νοηθείη τὸ θεῖον. καὶ τὸ μᾶλλον κυρίως ἐφαρμόσαι τῷ προκειμένῳ δυνάμενον, οὐκ ἔστιν εὐκόλως ἐκ τῶν κατειλεγμένων εὑρεῖν· ἡ θύρα ὁ κύριος· δι' ἐμοῦ, φησὶν, ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει, τὴν εἴσοδον εἴπωμεν αὐτὴν τῆς οὐσίας λέγειν αὐτὸν, ἢ τὴν σωτηρίαν τῶν εἰσιόντων, ἢ τὴν ἔξοδον, ἢ τὴν νομὴν, ἢ τὴν εὕρεσιν; ἕκαστον γὰρ τούτων ἰδιάζει τῷ σημαινομένῳ, καὶ οὐ συμφωνεῖ πρὸς τὸ ἕτερον. τὸ γὰρ ἐν τῷ γενέσθαι τῷ ἐξελθεῖν ἐναντίον ἐκ τοῦ προχείρου δοκεῖ, C καὶ τὰ ἄλλα ὡσαύτως. ἄλλο γάρ τι τῷ ἰδίῳ λόγῳ ἐστὶν ἡ νομὴ, ἕτερον δέ τι παρὰ τοῦτο ἡ εὕρεσις. τί οὖν ἐκ τούτων ἡ τοῦ πατρὸς οὐσία νομίζεται; οὐ γὰρ δὴ τὰ πάντα τις εἰπὼν μὴ συμφωνοῦντα τῇ σημασίᾳ πρὸς ἄλληλα, τὴν ἁπλῆν τε καὶ ἀσύνθετον οὐσίαν διὰ τῶν ἀσυμφώνων ἐνδείξεται. πῶς δ' ἂν ἀληθεύοι ὁ λόγος, ὅτι Θεὸν οὐδεὶς ἑώρακε πώποτε· καὶ ὃν εἶδεν ἀνθρώπων οὐδεὶς, οὔτε ἰδεῖν δύναται. καὶ ὅτι οὐκ ἔστιν, ὃς ὄψεται πρόσωπον κυρίου καὶ ζήσεται. εἴπερ ἢ τὸ ἐντὸς τῆς θύρας ἢ τὸ ἐκτὸς τῆς νομῆς D ἡ εὕρεσις, οὐσία πατρὸς νομίζεται. οὐ μὴν ἐπειδὴ τοῦτο οὐκ ἔστιν, ἀργόν τε καὶ ἄσημον ἐπὶ τοῦ κυρίου τὸ ὄνομα τῆς θύρας ὑποπτεύσομεν. ἀληθῶς γὰρ ὁ αὐτός ἐστι καὶ θύρα περιοχῆς, καὶ οἶκος καταφυγῆς, καθὼς ὁ Δαβὶδ ὀνομάζει. καὶ δι' ἑαυτοῦ τοὺς εἰσιόντας δέχεται, καὶ ἐν ἑαυτῷ τοὺς ἔνδον γενομένους σώζει, καὶ πάλιν δι' ἑαυτοῦ πρὸς τὴν νομὴν τῆς ἀρετῆς περάγει. καὶ πάντα γίνεται τοῖς σωζομένοις, ἵνα ἑκάστῳ πρόσφορον ἑαυτὸν ποιήσῃ· καὶ ὁδὸς, καὶ ὁδηγὸς, καὶ θύρα περιοχῆς, καὶ οἶκος καταφυγῆς, καὶ ὕδωρ ἀναπαύσεως, καὶ τόπος χλόης, ἣν ἐν τῷ εὐαγγελίῳ νομὴν ὀνομάζει· ὁ δὲ καινὸς θεολόγος,

διὰ τὴν γνῶσιν τῆς τοῦ πατρὸς οὐσίας, θύραν φησὶν ὀνομάσθαι τὸν κύριον. τί οὖν οὐχὶ καὶ τὴν πέτραν, καὶ τὸν λίθον, καὶ τὴν πηγὴν, καὶ τὸ ξύλον, καὶ τὰ λοιπὰ τῶν ὀνομάτων πρὸς τὴν αὐτὴν ἕλκει διάνοιαν; ὡς ἂν τῷ πλήθει τῶν ἀλλοκότων μαρτυριῶν τὸ ἑαυτοῦ δόγμα πιστώσαιτο, δυνάμενος ἑκάστῳ τούτων τὸν αὐτὸν ἐφαρμόσαι λόγον, ὃν περὶ τῆς ὁδοῦ, καὶ τῆς θύρας, καὶ τοῦ φωτὸς διεξῆλθε. ἐγὼ δὲ τοῦτο παρὰ τῆς θεοπνεύστου γραφῆς διδαχθεὶς, θαρρῶν ἀποφαίνομαι· ὅτι ὁ ὑπὲρ πᾶν ὄνομα ὢν, ἡμῖν πολυώνυμος γίνεται, κατὰ τὴν τῶν εὐεργεσιῶν ποικιλίας ὀνομαζόμενος· φῶς μὲν, ὅταν ἐξαφανίζῃ τῆς ἀγνοίας τὸν ζόφον· ζωὴ δὲ, ὅταν τὴν ἀθανασίαν χαρίζεται· ὁδὸς δὲ, ὅταν πρὸς τὴν ἀλήθειαν ἀπὸ τῆς πλάνης χειραγωγήσῃ· οὕτω καὶ πύργος ἰσχύος, καὶ πόλις περιοχῆς, καὶ πηγὴ, καὶ πέτρα, καὶ ἄμπελος, καὶ ἰατρὸς, καὶ ἀνάστασις, καὶ πάντα τὰ τοιαῦτα πρὸς ἡμᾶς ὀνομάζεται· ποικίλως ἑαυτὸν ταῖς ἡμετέραις εὐεργεσίαις καταμερίζων. τὰς δὲ οὐσίας διὰ τῶν ὀνομάτων ἑρμηνεύουσιν οἱ ὑπὲρ τὴν ἀνθρωπίνην φύσιν ὀξυωποῦντες, οἱ τὸ μὲν ἀκατάληπτον βλέποντες, τὸ δὲ καταληπτὸν παραβλέποντες. ὃν γὰρ οὔτε εἶδέ τις ἀνθρώπων, οὔτε ἰδεῖν δύναται, τοῦτον οὐ μόνον ὁρᾶν, ἀλλὰ καὶ μετρεῖν διαβεβαιοῦνται· τὴν δὲ πίστιν οὐ βλέπουσι τῷ τῆς ψυχῆς ὀφθαλμῷ, ὅπερ δὴ μόνον σύμμετρόν ἐστι τῇ ἡμετέρᾳ καταλήψει· τὴν ἐκ τῶν λογισμῶν ἐπίγνωσιν ἐπίπροσθεν ταύτης ποιούμενοι. οὕτως ἤκουσα τῆς ἱστορίας τῶν υἱῶν Βενιαμὶν κατηγορούσης, οἱ πρὸς μὲν τὸν νόμον οὐκ ἔβλεπον, κατὰ δὲ τριχὸς ἐτοξάζοντο· δηλοῦντος, οἶμαι, τοῦ λόγου τὴν περὶ τὸ μάταιον αὐτῶν ἀσχολίαν· ὅτι τῶν μὲν ἀνωφελῶν καὶ ἀνυποστάτων, ἐκηβόλοι τινὲς ἦσαν καὶ εὐφυεῖς στοχασταί· τῶν δὲ προδήλως ὠφελούντων, ἀμαθεῖς τε καὶ ἀμελέτητοι· ἐπάγει γὰρ τοῖς εἰρημένοις ἱστορία, τὴν κατ' αὐτοὺς συμφορὰν, ὅπως πρὸς τὴν Σοδομιτικὴν παρανομίαν λυσσήσαντες, πανστρατιᾷ τοῦ Ισραηλίτου λαοῦ κατ' αὐτῶν ὁπλισθέντος, ἐξεπορθήθησαν. καί μοι δοκεῖ φιλάνθρωπον εἶναι γνώμην εἰσηγήσασθαι τοῖς νέοις τοξόταις, μὴ κατὰ τριχὸς ἐθέλειν τοξάζεσθαι, τὴν δὲ θύραν μὴ βλέπειν τῆς πίστεως, ἀλλὰ

A propter cognitionem eſſentiæ patris, ait Dominum oſtium nominari. Cur non etiam rupem & lapidem, & fontem, & lignum, & reliqua nomina ad eamdem trahit intelligétiam? vt portentoſorum teſtimoniorum multitudine ſuum placitum probet, cùm poſſit cuique horum eamdem rationem adaptare, quàm de via & oſtio & luce receſuit. Ego autem à ſcriptura diuinitùs inſpirata hoc edoctus affirmare audeo, quòd qui ſupra omne eſt nomen, nobis multis nominibus dicitur ſecundùm varias & multas beneficiorum differentias, dum nomi-
B natur; lux quidem cùm ignorantiæ caliginem diſpellit & diſcutit; vita verò cùm immortalitatem gratificatur, via, cùm ab errore ad veritatem tamquam manu ducit: ſic etiã turris fortitudinis, & ciuitas complexionis, & fons, & rupes, & vitis, & medicus, & reſurrectio; & omnia talia noſtri ratione nominatur: vario modo ſeipſum ſuis erga nos beneficiis diſttibuens. Hi verò per hæc nomina eſſentias interpretãtur, qui ſuper humanam naturam acutè cernunt: qui quod eſt incomprehenſibile vident,
C & quod poteſt compræhendi deſpiciunt. Quem enim neque hominum quiſquam vidit vnquam, neque poteſt videre, hunc non ſolùm ſe intueri, ſed etiam metiri affirmant: fidem verò non animæ oculo cernunt, quod quidem ſolum eſt noſtræ cognitioni commenſum & accommodatum: cognitionem quæ ex rationibus procedit, huic præponunt & pluris faciunt. Sic audiui hiſtoriam filios Benjamin accuſantem, *Iudic. 18.*
qui quidem ad legem non reſpiciebant,
D ad capillum autem capitis funda iaculabantur: ſermone, opinor, declarante in re vana & futili ipſorum occupationem: quòd inutilium & inanium, neque ſubſiſtentium iaculatores quidam erant & periti collimatores; vtilium verò & manifeſtè iuuãtium imperiti & neglectores: dictis enim ſubinde addit hiſtoria calamitatem quæ ipſis accidit, quòd ad Sodomiticum ſcelus rabie concitati, ab vniuerſis copiis Iſraëlitici populi contra ipſos armati funditùs euerſi ſunt. Ac mihi videtur humanum eſſe iunioribus ſagittariis ſuadere, ne contra pilum velint ſagittam arcu immittere, oſtium verò fidei non videre, ſed

A vt relicto vano illo labore, quem in eo quod non poteſt compræhendi inſumunt, illius lucri quod in promptu parari poteſt, iacturam non faciant, quod per ſolam fidem inuenitur. Sed reliqua inanis illius ſcripti cōſiderans, piget me ſermonem vlteriùs prouehere, horrore quodam ex his quæ dicūtur, cor meum percurrente: vult enim aliud quiddam oſtendere præter vitam æternam eſſe filium, quæ quidem niſi in vnigenito ſpectetur, vana fides demōſtrabitur, inanis prædicatio, ſuperfluum baptiſma, martyrum labores & cruciatus incaſſum ſuſcepti & tolerati, inutiles & infructuoſi B hominum vitæ Apoſtolorum ſudores. Cur enim Chriſtum annunciarunt, in quo æternæ vitæ, vt cenſet Eunomius, non eſt poteſtas? Quorſum eos qui crediderunt, Chriſti nomine appellant, ſi non per hunc vitam æternam conſecuturi ſunt? [Mens enim, ait, eorum qui in Dominum crediderūt ſuper omnem ſenſibilem & intelligibilem eſſentiam cùm ſeſe extulit, neque in filij generatione ſubſiſtere poteſt: vltra hanc geſtit ire, vitæ æternæ deſiderio primo occurrere eóque potiri cupiens.] Quid magis C in his dictis deplorem? an quòd in filio vitam æternam non eſſe miſeri cenſent, an quòd ſic humilem & abiectam & terreſtrem reſpiciant vnigeniti ſubſiſtentiam, ita vt principium ipſius mentis agitationibus ſupergreſſi, ſeſe extollere ſupra filij vitam ſua ipſorum cogitatione, fingant & ſomnient, & relicta neſcio quò deorſum Domini generatione, ſupra hanc efferri deſiderio vitæ æternæ: quæ enim ab eo dicta ſunt hanc habent ſententiã. Quòd humana mens eorum quæ ſunt cognitionem perſcrutans, & ſupra ſenſibilem & intelligibi- D lem creaturam ſeſe cùm extulit, inſtar reliquorum inferiorem ſeipſo eum qui in principio erat Verbum, Deum relinquet: & in quo non erat Deus Verbum, in illo ipſe efficitur per curioſitatem mentis, in his quæ filij vitam supereminent incedens, illic æternam vitam ſcrutans, vbi vnigenitus Deus non eſt. Deſiderio enim, ait, vitæ æternæ ſupra & vltra filium mente fertur, vt qui in filio prorſus quod quæritur, non inuenerit. Si igitur non eſt in filio vita æterna, mendax depræhenditur ille qui dixit, Ego ſum vi-

Verba impia Eunomij.

A παρέντας τὴν περὶ τὸ ἄληπτον ματαιοπονίαν, μὴ ζημιοῦσθαι τὸ πρόχειρον κέρδος, τὸ διὰ μόνης τῆς πίστεως εὑρισκόμενον. ἀλλὰ τὰ λειπόμενα τῆς λογογραφίας ἐπισκεψάμενος, ὀκνῶ προαγαγεῖν περαιτέρω τὸν λόγον, φρίκης τινὸς οἷον τὴν λεγομένην τὴν καρδίαν ὑποδραμούσης. βούλεται γὰρ ἄλλο τι δεῖξαι παρὰ τὴν αἰωνίαν ζωὴν τὸν υἱὸν ὄντα, ἥ τις εἰ μὴ ἐν τῷ μονογενεῖ θεωροῖτο, ματαία μὲν ἡ πίστις ἀποδειχθήσεται, κενὸν δὲ τὸ κήρυγμα, περιττὸν δὲ τὸ βάπτισμα, εἰς οὐδὲν δὲ τῶν μαρτύρων οἱ πόνοι, B ἄχρηστοι δὲ καὶ ἀνόνητοι τῇ ζωῇ τῶν ἀνθρώπων οἱ τῶν ἀποστόλων ἱδρῶτες. τί γὰρ κατήγγελλον τὸν Χριστόν, ἐν ᾧ τῆς αἰωνίας ζωῆς κατ' ΕΥνόμιον οὐκ ἔστιν ἡ δύναμις; εἰς τί δὲ τῷ ὀνόματι Χριστοῦ τοὺς πεπιστευκότας κατονομάζουσιν, εἰ μὴ διὰ τούτου τῆς αἰωνίας μέλλουσι μετέχειν ζωῆς; ὁ γὰρ νοῦς, φησι, τῶν εἰς τὸν κύριον πεπιστευκότων, πᾶσαν αἰσθητὴν καὶ νοητὴν οὐσίαν ὑπερκύψας, οὐδὲ ἐπὶ τῆς τοῦ υἱοῦ γεννήσεως ἵστασθαι πέφυκεν· ἐπέκεινα δὲ ταύτης ἵεται πόθῳ τῆς αἰωνίου ζωῆς ἐντυχεῖν C τῷ πρώτῳ γλιχόμενος. τί τῶν εἰρημένων πλέον ὀδύρωμαι, τὸ μὴ εἶναι τὴν αἰώνιον ζωὴν ἐν τῷ υἱῷ τοὺς ἀθλίους νομίζειν, ἢ τὸ χαμαιλὴν οὕτω καὶ περίγειον βλέπειν τὴν τοῦ μονογενοῦς ὑπόστασιν, ὥστε τῆς ἀρχῆς αὐτοῦ τοῖς λογισμοῖς ἐπιβάντας, ὑπερκύπτειν ἄνω τῆς τοῦ υἱοῦ ζωῆς τῇ ἑαυτῶν διανοίᾳ φαντάζεσθαι, καὶ καταλιπόντας κάτω που τοῦ κυρίου τὴν γέννησιν, ἐπέκεινα ταύτης ἵεσθαι πόθῳ τῆς αἰωνίου ζωῆς. ταύτην γὰρ τὰ εἰρημένα τὴν διάνοιαν ἔχει, ὅτι ὁ ἀνθρώπινος νοῦς τὴν τῶν ὄν- D των γνῶσιν διερευνώμενος, καὶ τῆς αἰσθητῆς τε καὶ νοητῆς κτίσεως ἑαυτὸν ὑπεράρας, καθ' ὁμοιότητα τῶν λοιπῶν, κατώτερον ἑαυτοῦ τὸν ἐν ἀρχῇ ὄντα λόγον Θεὸν καταλείψει· καὶ ἐν ᾧ οὐκ ἦν ὁ Θεὸς λόγος, ἐν ἐκείνῳ αὐτὸς γίνεται διὰ τῆς πολυπραγμοσύνης τοῦ νοῦ τοῖς ὑπερκειμένοις τῆς τοῦ υἱοῦ ζωῆς ἐμβατεύων, ἐκεῖ τὴν αἰώνιον ζωὴν ἐρευνώμενος, ὅπου ὁ μονογενὴς Θεὸς οὐκ ἔστι. πόθῳ γὰρ τῆς αἰωνίας, φησί, ζωῆς εἰς τὰ ἐπέκεινα τοῦ υἱοῦ τῷ νῷ φέρεται, ὡς ἐν τῷ υἱῷ πάντως μὴ εὑρὼν τὸ ζητούμενον. εἰ οὖν οὐκ ἔστιν ἐν τῷ υἱῷ ἡ αἰώνιος ζωή, ἄρα ψευδὴς ἁλίσκεται ὁ εἰπών· ὅτι

ἐγώ εἰμι ἡ ζωή. ἡ ζωὴ μέν ἐστιν, οὐκ αἰώνιος δέ· ἀλλὰ τὸ μὴ αἰώνιον πρόσκαιρον πάντως. τὸ δὲ τοιοῦτο τῆς ζωῆς εἶδος, κοινὸν καὶ τῶν ἀλόγων ἐστί. ποῦ τοίνυν τὸ μεγαλεῖον τῆς ὄντως ζωῆς, εἰ μετέχοι ταύτης καὶ ἡ ἄλογος φύσις; πῶς δὲ ταὐτὸν ἔσται τῇ ζωῇ ὁ λόγος, εἰ τῇ ἀλόγῳ φύσει διὰ τῆς προσκαίρου ζωῆς εἰσοικίζοιτο; εἰ γὰρ κατὰ τὸν μεγάλον Ἰωάννην, ζωὴ μέν ἐστιν ὁ λόγος, πρόσκαιρος δὲ αὕτη καὶ οὐκ αἰώνιος, καθὼς τῇ αἱρέσει δοκεῖ· γίνεται δὲ καὶ ἐν τοῖς ἄλλοις ἡ πρόσκαιρος, τί κατὰ τὸ ἀκόλουθον συμπεραίνεται, ἢ λογικὰ εἶναι τὰ ἄλογα, ἢ ἄλογον ὁμολογεῖσθαι τὸν λόγον. ἆρα ἔτι λόγων πρὸς ἔλεγχον τῆς ἐξαισίου καὶ πονηρᾶς αὐτῶν βλασφημίας δεόμεθα; μὴ γὰρ τοιαῦτα λεγόμενα ὡς κεκρυμμένην ἔχει τὴν συμβουλὴν τῆς τοῦ κυρίου ἀρνήσεως; εἰ γὰρ φανερῶς μὲν ὁ ἀπόστολος λέγει· τὸ μὴ αἰώνιον πρόσκαιρον· οὗτοι δὲ ἐν μόνῃ τῇ οὐσίᾳ τοῦ πατρὸς τὴν αἰώνιον ὁρῶσι ζωήν, τὸν δὲ υἱὸν τῆς τοῦ πατρὸς φύσεως ἀλλοτριοῦντες, συναποτέμνουσι καὶ τῆς αἰωνίου ζωῆς· τί ἄλλο καὶ οὐχὶ ἄρνησίς ἐστιν περιφανής, καὶ ἀθέτησις τῆς εἰς τὸν κύριον πίστεως, σαφῶς τοῦ ἀποστόλου λέγοντος, τοὺς ἐν τῇ ζωῇ ταύτῃ μόνον ἐν Χριστῷ ἠλπικότας ἐλεεινοτάτους ἁπάντων εἶναι. εἰ οὖν ζωὴ μὲν ὁ κύριος, οὐκ αἰώνιος δέ, πρόσκαιρος πάντως ἐστὶν ἡ ζωὴ καὶ ἡ ἐφήμερος, ἢ κατὰ τὸν παρόντα χρόνον ἐνεργουμένη, ἢ τοὺς ἐλπίζοντας ὁ ἀπόστολος κατοικτίζεται, ὡς τῆς ἀληθινῆς ἀφαμαρτόντας ζωῆς. ἀλλὰ μὴν τούτους διαβαίνοντες οἱ κατ' Εὐνόμιον πεφωτισμένοι, εἰς τὸ ἐπέκεινα τοῦ υἱοῦ τοῖς λογισμοῖς φέρονται, ἐν τῷ ἔξω τοῦ μονογενοῦς θεωρουμένην τὴν αἰώνιον ἀναζητοῦντες ζωήν. τί χρὴ λέγειν ἐπὶ τῶν τοιούτων κακῶν ἄλλο, πλὴν εἴ τι θρήνων ἐκκαλεῖται καὶ δάκρυον. ὢ πῶς ἂν ἐπιστενάξαιμεν τῇ δειλαίᾳ ταύτῃ καὶ ἐλεεινῇ γενεᾷ, τοιούτων κακῶν ἐξενεγκούσῃ φοράν. ἐθρήνησέ ποτε τὸν Ἰσραηλίτην λαὸν ὁ ζηλωτὴς Ἱερεμίας ὅτε τῷ Ἰεχονίᾳ τῆς εἰδωλολατρείας καθηγουμένῳ, πρὸς τὸ κακὸν συνεφέροντο· καὶ ἀντὶ τῆς εἰς τὴν θρησκείαν παρανομίας, τὴν εἰς Ἀσσυρίους αἰχμαλωσίαν κατεδικάσθησαν, ἐξοικισθέντες τοῦ ἁγιάσματος, καὶ πόῤῥω τῆς τῶν πατρῴων κληρονομίας γενόμενοι. ταῦτά μοι δο-

A ta: vel vita quidem eſt, ſed non æterna. At quod non ęternum eſt proculdubio ad tempus eſt, & momentaneum. Talis autem vitæ ſpecies communis eſt belluarũ. Vbinam igitur vitæ veræ prærogatiua, ſi eius particeps eſt rationis expers natura? quomodo Verbum idem erit cum vita? ſi cum rationis experte natura, per vitam quæ eſt ad tempus in eandem domũ introducatur? Si enim, vt ait magnus Ioannes, vita quidem eſt verbum, temporalis autem hæc nec æterna, ſicut hæreſi videtur: gignitur autem etiam in aliis vita ad tempus, quid B ex conſequente conficitur? vel bruta eſſe rationis capacia, vel verbum confiteri rationis expers. An adhuc rationibus ad refutationem eorum improbæ & ſceleratæ blaſphemiæ indigemus? Nunquid enim talia cùm dicuntur, ſic occultum habent conſilium abnegationem Domini? Si enim apertè quidem dicit Apoſtolus, Quod non æternũ eſt, momẽtaneum eſt: iſti autem in ſola patris eſſentia vitam ęternã vident: Filium verò à Patris natura dum abalienant, & ab æterna vita aſcindũt: quid hoc aliud eſt quàm manifeſta negatio & contem- C ptus fidei in Dominum: cùm apertè dicat Apoſtolus, eos qui in hac vita ſolum in Chriſto ſperauerunt, omnium eſſe miſerrimos. Si igitur vita quidem eſt Dominus, non autem æterna, planè eſt momentanea vita, etiam vnius diei quę ſecundùm præſens tempus munere ſuo fungitur, vel ſperantes Apoſtolus miſerè deplorat, vt qui vera vita exciderint. Verumtamen qui ſecundùm Eunomium illuminati, ſunt hunc ſupergreſſi ad illa quę ſunt, ſuprà filium mentis acie efferuntur, in eo quod extra vnigenitum ſpectatur, æternam quærentes vitam. Quid in talibus malis D aliud eſt dicendum, quàm ſi quid ad lamentum & lacrymas excitat. O quomodo ingemuerimus, in hac infœlici & miſerabili generatione, quæ talia inuexit mala! Quondam Hieremias zelo accenſus, Iſraëliticum populum deplorauit lamentans, cùm Iechoniæ idololatriæ duci conſenſit, & pro violata ſceleratè religione in captiuitatem ad Aſſyrios condemnati ſunt, extorres & è ſanctuario, & patrum hæreditate procul deiecti. Hæc lamenta mihi

Ioan. 1.

1. Cor. 15.

Hierem.

nunc videntur propriùs & conuenien-
tiùs cantare, quando Iechoniæ imita-
tor ad hanc nouam idololatriæ ſpe-
ciem delinitos abſtrahit, à paterna hæ-
reditate, id eſt fide, exterminans.
Quibus admodum ſecundùm hiſto-
riam ad Babylonios fit tranſmigratio,
à ſuperna Hieruſalem, hoc eſt, à Dei
Eccleſia ad hanc confuſionem ſcele-
ratorum placitorum tranſmigrantibus.
Confuſio enim Babylon interpreta-
tione explicatur: & ſecundùm muti-
latum Iechoniam, & hic ſponte ſua
lucis veritate priuatus, factus eſt præda
& ſpolium Babylonij tyranni: quia
non didicit miſer, quòd vitam æter-
nam ex æquo in Patre & Filio & Spi-
ritu ſancto inſpicere docet Euange-
Ioan. 17. lium: de Patre quidem ſic dicente
ſermone, quòd ipſum cognoſcere æter-
na eſt vita: de Filio autem, quòd o-
mnis qui credit in ipſum habet vitam
æternam: de Spiritu ſancto, quòd ei
qui gratiam accepit, erit fons aquæ ſa-
lientis in vitam æternam. Ergo omnis
qui deſiderat vitam æternam, poſt-
quam nactus erit filium, verum dico &
non falſinominem, totum inuenit in
ipſo quod quidem deſiderauit. Quia &
ipſe eſt vita, & in ſeipſo vitã habet. Sed
hic ſubtili mente præditus & corde per-
ſpicaci inſignis, præ multa videndi acie
in filio non reperit vitam æternam, ſed
ſupergreſſus, & hunc relinquens velut
quoddam impedimentum, ad id quod
quæritur, illic perſcrutatur vitam æter-
nam, vbi non eſſe putat veram vitam.
Quídnam horum quis cogitauerit, vel
ad blaſphemiam horribilius, vel ad la-
mentationum occaſionem triſtius? ve-
rumtamen ſi quis dixerit dogma Sa-
bellij & Montani noſtris decretis in-
uulgari, perinde eſt ac ſi quis etiam Eu-
nomij blaſphemiam nobis affricaret.
Nam ſi quis accuratè perſpexerit hanc
hæreſe n fallaciam, magnam cum Eu-
nomij errore familiaritatem habere
inueniet: vtérque enim Iudaiſſat ipſo
dogmate, neque vnigenitum Deum
neque Spiritum ſanctum ad deitatis
communionem magni apud ipſos &
primi dicti Dei admittens. Quem enim
Sabellius dicit trinominem, hunc Eu-

A καὶ νῦν τοὺς θρήνους οἰκειότερον ᾄδεσθαι, ὅτε
ὁ μιμητὴς τοῦ Ἰεχονίου πρὸς τὸ καινὸν τοῦτο τῆς
εἰδωλολατρείας εἶδος, τοὺς ἀπαγομένους ἐφέλ-
κεται, τῆς πατρικῆς ἐξοικίζων κληρονομίας, τῆς
πίστεως λέγω. οἷς ἀτεχνῶς κατὰ τὴν ἱστορίαν εἰς
Βαβυλωνίους ἡ μετανάστασις γίνεται, ἀπὸ τῆς
ἄνω Ἱερουσαλὴμ, τουτέστιν, ἀπὸ τῆς τοῦ Θεοῦ ἐκ-
κλησίας ἐπὶ τὴν σύγχυσιν ταύτην τῶν πονη-
ρῶν δογμάτων μεθισταμένοις. σύγχυσις γὰρ
ἡ Βαβυλὼν ἑρμηνεύεται, καὶ κατὰ τὸν πηρωθέν-
τα Ἰεχονίαν, καὶ οὗτος ἑαυτὸν ἑκουσίως τοῦ φω-
τὸς τῆς ἀληθείας στερήσας, λάφυρον γέγονε τοῦ
Βαβυλωνίου τυράννου, μὴ καταμαθὼν ὁ δεί-
B λαιος, ὅτι τὴν αἰώνιον ζωὴν, ἐπίσης πατρί τε
καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ τὸ εὐαγγέλιον ἐνο-
ρᾷν δογματίζει. περὶ μὲν τοῦ πατρὸς, οὕτως
εἰπόντος τοῦ λόγου· ὅτι τὸ γινώσκειν αὐτὸν ἡ αἰώ-
νιός ἐστι ζωή· περὶ δὲ τοῦ υἱοῦ, ὅτι πᾶς ὁ πι-
στεύων εἰς αὐτὸν τὴν αἰώνιον ἔχει ζωήν· περὶ
δὲ τοῦ πνεύματος τοῦ ἁγίου, ὅτι τῷ δεξαμέ-
νῳ τὴν χάριν, ἔσται πηγὴ ὕδατος ἁλλομένου
εἰς ζωὴν αἰώνιον. οὐκοῦν πᾶς ὁ ποθῶν τὴν
αἰώνιον ζωὴν, ἐπειδὰν εὕρῃ τὸν υἱὸν, τὸν ἀλη-
θῆ λέγω καὶ οὐ ψευδώνυμον, ὅλον εὑρεῖ ἐν ἑ-
αυτῷ ὅπερ ἐπεπόθησε. διότι καὶ αὐτός ἐστιν ἡ
C ζωὴ, καὶ ἐν ἑαυτῷ τὴν ζωὴν ἔχει. ἀλλ' ὁ λε-
πτὸς οὗτος τὸν νοῦν, καὶ διορατικὸς τὴν καρ-
δίαν, ὑπὸ πολλῆς ὀξυωπίας τῷ υἱῷ τὴν αἰω-
νίαν οὐκ ἐνευρίσκει ζωήν· ἀλλ' ὑπερβὰς τοῦ-
τον καὶ καταλιπὼν, οἷον ἐμπόδιόν τι πρὸς τὸ
ζητούμενον, ἐκεῖ διερευνᾶται τὴν αἰώνιον ζωὴν,
ὅπου μὴ εἶναι οἴεται τὴν ὄντως ζωήν. τί ἄν τις
ἐπινοήσειε τούτων ἢ εἰς βλασφημίαν φρικτό-
τερον, ἢ εἰς θρήνων ἀφορμὴν σκυθρωπότε-
ρον; ἀλλὰ μὴν τὸ Σαβέλλιόν τε καὶ Μοντανὸν,
D τοῖς ἡμετέροις δόγμασιν ἐπιθρυλλεῖσθαι, τοι-
οῦτόν ἐστιν οἷον εἴ τις καὶ τὴν κατ' Εὐνόμιον ἡ-
μῖν βλασφημίαν προσετρίβετο. εἰ γάρ τις ἐ-
πισκεψάμενος τὴν τῶν αἱρέσεων ταύτην ἀπά-
την διεξετάσειεν, εὑρήσει πολλὴν ἔχοντα πρὸς
τὴν κατ' Εὐνόμιον πλάνην, τὴν οἰκειότητα.
Ἰουδαΐζει γὰρ ἑκάτερος αὐτῷ δόγματι, οὔτε
τὸν μονογενῆ Θεὸν, οὔτε τὸ πνεῦμα τὸ ἅγιον εἰς
κοινωνίαν τῆς θεότητος τοῦ μεγάλου παρ' αὐτοῖς
καὶ πρώτου λεγομένου Θεοῦ προσδεχόμενος. ὃν γὰρ Σαβέλλιος λέγει τριώνυμον, τοῦτον Εὐ-

νόμιος ὀνομάζει ἀγέννητον· οὐδέτερος δὲ τούτων ἐν τῇ τριάδι τῶν ὑποστάσεων θεωρεῖ τὴν θεότητα. τίς τοίνυν οἰκείως ἔχει πρὸς τὸν Σαβέλλιον, ἡ τῶν ἐντυγχανόντων τῷ λόγῳ κρίσις ἀποφηνάσθω. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. ἐπεὶ δὲ πολύς ἐστιν ἐν τοῖς ἐφεξῆς τῶν βδελυρῶν ἐπιχειρημάτων ἀνακινῶν τὴν δυσωδίαν, δι' ὧν μὴ εἶναί ποτε τὸν μονογενῆ κατασκευάζει Θεόν, καλῶς ἔχειν φημὶ διὰ τῶν προλαβόντων μετρίως τῆς περὶ τούτων ἡμῖν διανοίας ἐκκαθαρθείσης, μηκέτι συνδιαπλίζειν τὸν λόγον τοῖς ὁμοίοις κακοῖς, πλὴν τοῦτο μόνον οὐκ ἄκαιρον ἴσως προστεθεῖναι τῶν πολλῶν ἐκλεξάμενον. φησὶ κατὰ τὸ ἴσον, καὶ τῇ τοῦ πατρὸς οὐσίᾳ συνεζεῦχθαι τινὸς τὴν ἀγεννησίαν εἰπόντος· διὰ τῶν ὁμοίων ὁ λόγος προέρχεται, καθὼς ἐπὶ τοῦ υἱοῦ συνεπέρανεν, σαφῶς διὰ τῆς τῶν ἐναντίων κατασκευῆς, τὸ δόγμα τῆς εὐσεβείας κρατύνεται, τὸ μὴ ταὐτὸν οἴεσθαι εἶναι τῇ οὐσίᾳ τὴν ἀγεννησίαν τε καὶ τὴν γέννησιν. ἀλλ' ἐπιθεωρεῖσθαι μὲν ταῦτα τῷ ὑποκειμένῳ, ἄλλο δέ τι παρὰ ταῦτα εἶναι τῷ ἰδίῳ λόγῳ τὸ ὑποκείμενον, ἐφ' οὗ μηδεμιᾶς διαφορᾶς εὑρισκομένης, διὰ τὸ κεχωρίσθαι τῆς οὐσίας τὴν κατὰ τὸ γεννητόν τε καὶ ἀγέννητον διαφοράν· λείπεται κατὰ πᾶσαν ἀνάγκην τὸ ἀπαράλλακτον ἐπ' ἀμφοῖν τὴν οὐσίαν συντίθεσθαι. ἔτι καὶ τοῦτο τοῖς εἰρημένοις προσεξετάσωμεν. πῶς κεχωρίσθαι τοῦ πατρὸς λέγει τὴν γέννησιν; οὐσίαν αὐτὴν νοῶν, ἢ ἐνέργειαν. ἀλλ' εἰ μὲν ἐνέργειαν οἴεται ταύτην, ἐπίσης πάντως τῷ τε ἐνεργηθέντι, καὶ τῷ ἐνεργοῦντι συνάπτεται. ὥσπερ ἐπὶ πάσης κατασκευῆς, ὁμοίως ἐπί τε τοῦ γινομένου καὶ τοῦ ποιοῦντος ἐστὶν ἰδεῖν τὴν ἐνέργειαν, μήτε τοῦ τεχνιτεύοντος χωριζομένην, καὶ τῇ κατασκευῇ τῶν ἀποτελεσμάτων ἐμφαινομένην. εἰ δὲ οὐσίαν αὐτὴν λέγοι, τὴν τοῦ πατρὸς οὐσίας κεχωρισμένην, ἐκ ταύτης ὁμολογῶν εἶναι τὸν κύριον, δῆλός ἐστι ταύτην ἀντὶ τοῦ πατρὸς ἐπὶ τοῦ μονογενοῦς βλέπων, ὡς δύο πατέρας ἐπὶ τοῦ υἱοῦ νοεῖσθαι· τὸν μὲν ὀνομαζόμενον μόνον, ὃν δὴ καὶ ἀγέννητον λέγει, μὴ κοινωνοῦντα δὲ τῆς γεννήσεως· τὴν δέ, τὰ τοῦ πατρὸς ἐπὶ τοῦ μονογενοῦς ἐνεργοῦσαν, ἣν γέννησιν ὀνομάζει. καὶ τοῦτο μᾶλλον δι' αὐτῶν τῶν ΕΥνομίου λόγων, ἢ διὰ τῶν ἡμετέρων ἐλέγχεται. λέγει γὰρ ἐν τοῖς ἐφεξῆς,

A nomius nominat ingenitum. Horum autem neuter in Trinitate perſonarum contemplatur deitatem. Quis igitur adhæreat Sabellio, eorum qui hunc ſermonem legerint, iudicium definiat. Sed hæc quidem hactenus. Quoniam verò prolixus eſt in ſequentibus, abominabilium argumentorum tetrum commouens odorem, quibus vnigenitũ Deum non aliquando fuiſſe aſtruit: præclarè habere dico, cùm iam ex iis quæ præceſſerunt ab iſtorum lue ſatis ſit expurgata noſtra mens, ſi non amplius ſimilibus malis ſermonẽ noſtrum tingamus, præ- B ter hoc ſolùm quod ex multis ſelectum adieciſſe fortaſſe non erit importunum. Idem dicit æqualiter cum eo qui aſſerit cũ patris eſſentia copulatã eſſe ἀγεννησίαν: per ſimilia ſermo procedit, ſicut in filio concluſit. Apertè per cõtrarium ea quæ aduerſarij aſtruunt, pietatis decretum confirmatur: non idẽ putare cum eſſentia ingeniti rationem & generationem, ſed hæc in eodem ſubiecto conſiderari. Subiectum autem propria ratione eſſe quid aliud præter iſta, in quo cùm nulla inueniatur differentia, qua ab eſſentia ſeparetur differentia quæ eſt ſecundùm C genitum & ingenitum; reſtat neceſſariò in ambobus eſſentiam eamdem & minimè differentem eſſe confiteri. Illud etiam præter ea quæ iam dicta ſunt, examinemus: quomodo hic aſſerit à patre generationem ſeparatam eſſe, eſſentiam ipſam intelligens an verò operationem. Sed ſi operationem eam eſſe putat, hanc ex æquo prorſus cum operato & operante coniungit, quemadmodum in omni operis ſtructura, ſimiliter in eo quod fit & in efficiente operationem licet videre, neque ab artifice ſeparatam & in ope- D rum ſtructura apparentem. Quòd ſi (generationem videlicet) eſſentiam ipſam dicat, ab eſſentia patris ſeparatam, ex hac Dominum eſſe confitens: hanc manifeſtò loco patris in filio reſpicit, ita vt duos patres in filio intelligat, illum quidem nomine ſolùm, quem etiam ingenitum dicit, cum generatione nullam communionem habentem: hanc verò quæ ſunt patris in vnigenito operantem: quam generationem nominat. Atque hoc magis ex ipſis Eunomij verbis quàm noſtris depræhenditur: dicit enim in ſequentibus:

Deus autem qui eſt ſine generatione, etiam eſt ante id quod genitum eſt: & paulò pòſt. Cui enim eſt eſſe ex eo quod ſit genitus, hic priuſquam eſſet genitus non erat. Ergo ſi generatio à patre eſt ſeparata: filio autem eſſe eſt ex eo quod ſit genitus: igitur Pater in vnigeniti ſubſiſtantia otioſus eſt, nihilque operans, cùm ſit à generatione ſeparatus à qua filius eſſe habet. Si igitur Pater à Filij generatione alienatus eſt, vel alium quemdam filij patrem per nomen generationis confingunt, vel ex ſe genitum aliquem & cui ipſi à ſeipſo genus eſt, filium iſti ſapientes per ea quæ ſunt dicta demõſtrant: vides intelligentiam velut in furto depræhenſam eius, qui nobis inſcitiam ſurſum & deorſum ſuis ſermonib. profert & obijcit, quàm multis viis oberrat, vel potius inuiis ſiue deuiis locis blaſphemia nullo firmo & certo gradu ad ſuum ſcopum progrediens. Atq. vt in infantibus licet videre, cùm præ ætate luſitantes in arena quadam ædificiorum ſtructuras imitantur, quibus non ad aliquem ſcopum imitatio, ſecundùm artis regulas ad archetypum aſſimilatur: ſed prius præ amentia ex euentu aliquid extruxerunt: deinde deliberant quid nominare oporteat quod extructum eſt. Eamdem in ſcriptore ſolertiam perſpicio: velut enim arenæ aceruum, prout ei in mentẽ venit, impietatis verba congerens, poſtea inſanam blaſphemiam non animaduertit, abſque vlla rationali conſecutione fortuitò & caſu per ea quę ab eo ſunt dicta pullulãtem. Non enim arbitror ex propoſito generationis ſubſiſtentiã ab ipſo confictam eſſe, loco patris eſſentiæ filij accedentem. Neque patrem à filij generatione alienum demonſtrare, fuit hic, ſicut reor, ſcopus oratori propoſitus: neque hoc à ſeipſo genus habens portentum, per aliquam antecedentem deliberationem illatum eſt. Sed omnia talia abſque ſenſu per vomitum ab hoc ſcriptitatore ſunt egeſta, vt in his non lõga ſit accuſatione dignus qui errat in documentis, neque ſciat, ſicut loquitur Apoſtolus, neque quod dicit, neque de quibus affirmat. Cui enim, inquit, eſſe contingit ex eo quod ſit genitus, hic ante generationem non erat: ſi pro patre intelligens generationem dicit, ego quoque aſſentior, & non eſt qui contradicat: idem enim per vtramque

A ὁ δὲ Θεὸς χωρὶς γεννήσεως ὢν, καὶ πρὸ τοῦ γεννηθέντος ἐστί· καὶ μετ' ὀλίγον. ᾧ γὰρ ἐκ τοῦ γεννηθῆναι τὸ εἶναι, τοῦτο πρὶν γεννηθῆναι οὐκ ἦν: οὐκοῦν εἰ ἡ γέννησις μὲν κεχώρισται τοῦ πατρὸς, τῷ δὲ υἱῷ ἐκ τοῦ γεννηθῆναι τὸ εἶναί ἐστιν· ἄρα ἀνενέργητος ὁ πατὴρ ἐπὶ τῆς τοῦ μονογενοῦς ὑποστάσεως, ὁ κεχωρισμένος τῆς γεννήσεως, ἀφ' ἧς ὁ υἱὸς τὸ εἶναι ἔχει. εἰ οὖν ἠλλοτρίωται τῆς υἱοῦ γεννήσεως ὁ πατὴρ, ἢ ἄλλον τινὰ πατέρα τοῦ υἱοῦ διὰ τοῦ τῆς γεννήσεως ὀνόματος ἀναπλάσσουσιν, ἢ αὐτογέννητόν τινα καὶ αὐτογένεθλον τὸν υἱὸν οἱ σο-
B φοὶ διὰ τῶν εἰρημένων ἀποδεικνύουσιν. ὁρᾷς τὸ πεφωραμένον τῆς διανοίας· τοῦ τὴν ἀμαθίαν ἡμῶν ἄνω καὶ κάτω διὰ τῶν ἰδίων λόγων προφέροντος· ὡς διαπλανᾶται ταῖς πολυοδίαις, μᾶλλον δὲ ταῖς ἀνοδίαις ἡ βλασφημία. δι' οὐδενὸς βεβαίου πρὸς τὸν σκοπὸν ἑαυτῆς προϊοῦσα, καὶ ὡς ἐστιν ἐπὶ τῶν νηπίων ἰδεῖν, ὅταν ὑφ' ἡλικίας ἀθύροντες, ἐν ψάμμῳ τινὶ μιμῶνται τὰς τῶν οἰκοδομημάτων κατασκευὰς οἷς οὐ κατὰ σκοπὸν ἡ μίμησις, τεχνικῶς πρὸς τὸ ἀρχέτυπον ὁμοιοῦται· ἀλλὰ πρότερον ὑπ' ἀνοίας τι κατὰ τὸ συμβὰν ἐξεργάσαντο· εἶτα βουλεύονται τί
C χρὴ ὀνομάσαι τὸ κατασκεύασμα. ταύτην καὶ ἐπὶ τοῦ λογογράφου τὴν ἀγχίνοιαν βλέπω. οἷον γάρ τινα ψάμμου σωρείαν κατὰ τὸ ἐπελθὸν αὐτῷ τὰ τῆς ἀσεβείας ῥήματα συμφορήσας, μετὰ ταῦτα λογίζεται τὴν ἀδιανόητον βλασφημίαν, πρὸς ὅτι βλέπει, δίχα τινὸς λογικῆς ἀκολουθίας ἐκ τοῦ αὐτομάτου διὰ τῶν εἰρημένων ἀναφυεῖσαν. οὐ γὰρ οἶμαι κατὰ πρόθεσιν αὐτῷ τὴν τῆς γενέσεως ὑπόστασιν ἀναπεπλάσθαι, ἀντὶ πατρὸς τῇ οὐσίᾳ τοῦ υἱοῦ γινομένην. οὐδὲ τὸ ἀλλότριον ἀποδειχθῆναι τῆς γεννήσεως τοῦ υἱοῦ τὸν πατέρα, ὁ σκοπὸς ἦν, ὡς οἶμαι τῷ ῥήτορι, οὐ-
D δὲ ἡ αὐτογένεθλος τερατεία, διά τινος προβουλεύσεως ἐπεισηνέχθη. ἀλλὰ πάντα τὰ τοιαῦτα διανοίας χωρὶς, ἀπημέσθη τῷ λογογράφῳ. ὡς μηδὲ πολλῆς ἄξιον ἐν τούτοις κατηγορίας εἶναι, τὸν πλημμελοῦντα μὲν ἐν τοῖς δόγμασιν, οὐκ εἰδότα δὲ, καθὼς φησὶν ὁ ἀπόστολος, οὔτε ὃ λέγει, οὔτε περὶ τίνων διαβεβαιοῦται. ᾧ γὰρ ἐκ τοῦ γεννηθῆναι, φησὶ, τὸ εἶναι, τοῦτο πρὸ τῆς γεννήσεως οὐκ ἦν. εἰ ἀντὶ τοῦ πατρὸς νοεῖν τὴν γέννησιν λέγει, κἀγὼ συντίθεμαι καὶ ὁ ἀντιλέγων οὐκ ἔστιν. ταὐτὸν γάρ ἐστι δι' ἑκα-

πέρας σημειῶσαι τῆς λέξεως, ἐκ τοῦ εἰπεῖν, ὅτι Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, καὶ ἀντὶ τοῦ ἐγέννησεν, ὅτι πατὴρ ἐγένετο τοῦ Ἰσαάκ. ἐπεὶ οὖν ταὐτόν ἐστι τῷ γεγεννηκέναι τὸ πατέρα εἶναι. εἴ τις πρὸς ἕτερον τύπον μεταλάβοι τὰ ῥήματα, ταὐτὸν οὖσα τῇ γεννήσει ἡ πατρότης ἀναδειχθήσεται. εἰ μὲν οὖν οὕτω φησὶν ὁ Εὐνόμιος, ὅτι ᾧ γὰρ ἐκ τοῦ πατρὸς τὸ εἶναι, οὗτος πρὸ τοῦ πατρὸς οὐκ ἦν, ὑγιαίνει ὁ λόγος, καὶ ἡμεῖς τοῖς εἰρημένοις ἐπιψηφιζόμεθα. εἰ δὲ πρὸς ἐκείνην ἀνατρέχει τῷ λόγῳ τὴν γέννησιν, καὶ κεχωρίσθαι μὲν φησὶ τοῦ πατρός, συνεζεῦχθαι δὲ τῷ υἱῷ, ματαίαν ἡγοῦμαι τῇ τῶν ἀδιανοήτων ἐμφιλοχωρεῖν θεωρίᾳ. οὔτε γὰρ εἰ πρᾶγμα καθ' ἰδίαν ὑπόστασιν θεωρούμενον, τὴν γέννησιν οἴεται, οὔτε εἰ πρὸς τὸ ἀνυπόστατον ταῖς ἐννοίαις διὰ τοῦ ὀνόματος ὑποσύρεται, μέχρι τοῦ νῦν ἐκ τῶν εἰρημένων κατιδεῖν δεδυνήμεθα. φέρεται γὰρ ὁμοίως πρὸς ἑκατέραν τῶν ὑπολήψεων, τὸ ἀπαγὲς τοῦ λόγου καὶ ἄρριζον, πρὸς τὸ δοκοῦν τῷ νοοῦντι παρεκκλινόμενον. ἀλλ' οὔπω τὰ χαλεπὰ τῆς βλασφημίας ἐξήτασται· ἅπερ ἤδη τῶν γεγραμμένων ἡ ἀκολουθία προστίθησι, καὶ δὴ τὰ εἰρημένα κατὰ λέξιν διασκεψώμεθα. οἶδα δὲ πῶς ἐστι τολμῆσαι προσενεγκεῖν διὰ στόματος τὴν φρικώδη τε καὶ ἄθεον τοῦ χριστομάχου λογογραφίαν. δέδοικα γὰρ μήποτε καθ' ὁμοιότητα τῶν δηλητηρίων φαρμάκων ἐναποθῆται τῷ στόματι, δι' οὗ τὸ ῥῆμα παρέρχεται, τῆς φθοροποιοῦ πικρίας τὸ λείψανον. πιστεῦσαι δεῖ τὸν προσερχόμενον Θεῷ, φησὶν, ὁ ἀπόστολος, ὅτι ἔστιν. οὐκοῦν ἴδιον θεότητος γνώρισμα, τὸ ἀληθῶς εἶναι· ὁ δὲ κατασκευάζει τὸν ἀληθῶς ὄντα, ἢ μὴ κυρίως εἶναι, ἢ μὴ καθόλου εἶναι, ὅπερ ἴσον ἐστὶ τῷ μηδὲ ὅλως εἶναι. ὁ γὰρ μὴ κυρίως ὤν, οὐδὲ ἔστιν ὅλως, οἷον τρέχειν λέγεται κατὰ τὴν ἐνύπνιον φαντασίαν, ὁ τῇ σπουδῇ τοῦ δρόμου ἐμφανταζόμενος. ἀλλ' ὅτι τε ψευδῶς τὴν δόκησιν τοῦ ἀληθοῦς ὑποκρίνεται δρόμου, διὰ τοῦτο ἡ φαντασία δρόμος οὐκ ἔστιν. ἀλλὰ κἂν οὕτως ἐκ καταχρήσεως λέγηται, ψευδωνύμῳ τῇ κλήσει κατονομάζεται. οὐκοῦν ὁ τολμῶν τὸν μονογενῆ Θεὸν λέγειν ἢ μὴ εἶναι, ἢ μὴ κυρίως εἶναι, σαφῶς τὴν εἰς αὐτὸν πίστιν διαγράφει τοῦ δόγματος. τίς γὰρ ἂν ἔτι μὴ ὄντι πιστεύσειεν, ἢ τίς ἂν προσθοῖτο τούτῳ, οὗ τὸ εἶναι ἄκυρον ἀπο-

A dictionem licet ſignificare: & ex eo quod quis dicat, quòd Abraham genuit Iſaac: & pro genuit, quòd pater fuit Iſaac: quoniam igitur idem eſt genuiſſe & patrem eſſe, ſi quis in altera forma accipiat verba, idem eſſe cum generatione paternitas demonſtrabitur. Si igitur ſic loquitur Eunomius: quòd cui ex patre eſt eſſe, hic ante patrem non erat, ſanus eſt ſermo, & nos dictis calculum album adijcimus. Quòd ſi ad illam ſermone recurrit generationem, & ſeparatam eſſe à patre contendit, & cum filio copulatam, vanum & caſſum B eſſe arbitror in rerum inanium & futilium, & à ratione deuiarum ſpeculatione diutiùs immorari. Neque enim ſiue rem in propria ſubſiſtencia ſpectatam generationem putat, neque ſi ad aliquid quod non ſubſiſtat, notionibus per hoc nomen pertrahitur, hactenus ex dictis conſpicere potuimus: fertur enim in vtramque opinionem non bene compactus nec firmis radicibus innixus ſermo, inclinans ad id quod intelligenti magis placuerit. Sed nondum blaſphemiæ acerbitates examinatæ ſunt, quas in ſequentibus ſcriptis adijcit: ſed iam C eius dicta ad verbum conſideremus. Haud ſcio ſanè quomodo horrificam & impiam Chriſti oppugnatoris hæretici ſcriptionem audere licet ore proferre: vereor ne ori per quod verbum tranſit, lethalium venenorũ more mortiferæ amaritudinis reliquias indat. Oportet, inquit Apoſtolus, accedentem ad Deum credere quia eſt. Igitur deitatis proprium indicium eſt verè eſſe. Hic autem eum qui verè eſt, aſtruit vel non propriè eſſe, vel non in vniuerſum eſſe: quod idem eſt ac ſi dicat quis, omnino & penitus non eſſe: qui enim propriè non eſt, neque eſt funditùs. Quem- D admodum is dicitur per phantaſiam, ſiue imaginationem in ſomnis currere, qui curſus ſtudio currere imaginatur. Sed quoniam falsò veri curſus imaginationem ſibi fingit, ideo imaginatio non eſt curſus. Sed etiam ſi abuſiuè ita dicatur, falſa tamen nominis appellatione vocatur. Ergo qui audet vnigenitum Deum, vel non eſſe, vel non propriè eſſe dicere, apertè in ipſum fidem abrogat dogmatis. Quis enim amplius ei qui non eſt, crediderit? vel huic aſſenſerit, cuius eſſe

impropriũ & quod ſubſiſtere nequeat, ab inimicis veri Domini demonſtratum fuerit. At ne cui videatur calumnia quadam contra aduerſarios, id à nobis proferri, ipſam apponam impiorum dictionem ſic habentem. [Qui non eſt (inquit) neque propriè eſt, qui eſt in ſinibus eius qui eſt, & qui in principio eſt, & apud Deum eſt: etſi Baſilius hac definitione & adiectione neglecta, mutet entis appellationem præter veritatem.] Quid dicis? Qui eſt in patre non eſt, qui in principio eſt, & in patris ſinibus, propterea non eſt, quia in principio eſt, & in patre eſt, & in ſinibus eius qui eſt conſpicitur: propterea propriè non eſt, quia eſt in eo qui eſt? O vana futiliáque & abſurda dogmata! Nuſquam antea hanc vocis inanitatem ſiue vaniloquentiam audiuimus. Quòd Dominus, per quem omnia, propriè non eſt. Nec adhuc hoc graue eſt, ſed illud etiam multò eſt abſurdius, non ſolum non eſſe ipſum dicere, vel non propriè eſſe: ſed etiam in compoſita variáque conſpici natura: non enim, ait, ens, neque ſimplex ens. Cui autem ſimplicitas non adeſt, quod eſt varium nempe attribuitur, & quod compoſitum. Quomodo igitur idem & non eſt omnino, & compoſitum ſecundùm eſſentiam eſt? horum duorum alterum oportet, vel omnino ei aſſignantes quod non exiſtit, neque compoſitum dicere, vel compoſitum in ipſo vocantes, non eximere ex eo quod eſt. Sed vt multiformiter & variè ab ipſis fiat blaſphemia, omnibus hallucinatur impiis notionibus. Nam ad ens cõparatione facta, non eſſe Dominum dicit: & relatione cum eo quod ſimplex eſt, eum ſimplicitate priuat & deſtituit. Non ens, inquit, neque ſimpliciter, neque propriè ens. Quis eorum qui ſermonem tranſgreſſi ſunt & fidem eiurarunt, tam largus eſt & liberalis in profundẽdis vocibus, quibus Dominus negatur? Ambitioſa contentione ex aduerſo repugnat huic diuino Ioannis præconio. Quoties enim ille quod erat, verbo attribuit, toties hic opponere non erat, ei qui eſt, pertinaciter obnixus eſt. Et ori ſancto patris noſtri repugnat hęc aduerſus eum proferens crimina. Quòd nimirum Baſilius has definitiones negligit, dicens eum eſſe qui eſt in patre,

Verba Eunomij.

A διελέγχεται παρὰ τῶν ἐχθρῶν τοῦ ἀληθινοῦ κυρίου καὶ ἀνυπόστατον. καὶ ὡς ἂν μὴ δόξειεν διά τινος συκοφαντίας κατὰ τῶν ὑπεναντίων ὁ παρ' ἡμῶν γίνεσθαι λόγος, αὐτὴν παραθήσομαι τὴν ἀσεβῆ τὴν λέξιν ἔχουσαν οὕτως· οὐκ ὤν, οὐδὲ κυρίως ὤν, φησιν, ὁ ἐν κόλποις ὢν τοῦ ὄντος, καὶ ἐν ἀρχῇ ὤν, καὶ πρὸς τὸν Θεὸν ὤν, κἂν Βασίλειος τοῦ διορισμοῦ τούτου καὶ τῆς προσθήκης ἀμελήσας, ἀπαλλάττῃ τὴν τοῦ ὄντος προσηγορίαν παρὰ τὴν ἀλήθειαν. τί λέγεις; ὁ ἐν τῷ πατρὶ ὢν οὐκ ἔστιν, καὶ ὁ ἐν ἀρχῇ ὤν, καὶ ὁ ἐν
B τοῖς κόλποις ὤν, διὰ τοῦτο οὐκ ἔστιν, ὅτι ἐν ἀρχῇ ἐστι, καὶ ἐν τῷ πατρί ἐστι, καὶ ἐν τοῖς κόλποις καθορᾶται τοῦ ὄντος, καὶ διὰ τοῦτο κυρίως οὐκ ἔστιν, ὅτι ἐν τῷ ὄντι ἐστίν; ὢ κενῶν τε καὶ παραλόγων δογμάτων· νῦν πρώτως τῆς κενοφωνίας ταύτης ἠκούσαμεν. ὅτι ὁ κύριος δι' οὗ τὰ πάντα, κυρίως οὐκ ἔστι, καὶ οὔπω τοῦτο δεινόν, ἀλλ' ἔτι καὶ τούτου παραλογώτερον, τὸ μὴ μόνον μὴ εἶναι αὐτὸν λέγειν, ἢ μὴ κυρίως εἶναι, ἀλλὰ καὶ τῇ συνθέτῳ τε καὶ ποικίλῃ ἐνθεωρεῖσθαι φύσει· οὐκ ὢν γάρ, φησιν, οὐδὲ ἁπλῶς
C ὤν. ᾧ δὲ τὸ ἁπλοῦν οὐ πρόσεστιν, τὸ ποικίλον δηλονότι προσμαρτυρεῖται, καὶ σύνθετον. πῶς οὖν ὁ αὐτὸς καὶ οὐκ ἔστιν ὅλως καὶ σύνθετος κατὰ τὴν οὐσίαν ἐστί; χρὴ γὰρ τῶν δύο τὸ ἕτερον, ἢ καθόλου προσμαρτυροῦντας αὐτῷ τὸ ἀνύπαρκτον, μηδὲ σύνθετον λέγειν, ἢ τὸ σύνθετον ἐπικαλοῦντας αὐτῷ, μὴ ἐξαιρεῖν τοῦ ὄντος. ἀλλ' ὡς ἂν πολυειδῶς τε καὶ ποικίλως γένοιτο παρ' αὐτῶν ἡ βλασφημία, πᾶσι σφάλλεται τοῖς ἀθέοις νοήμασι. τῇ μὲν πρὸς τὸ ὂν συγκρίσει, μὴ εἶναι κύριον λέγουσα· τῇ δὲ
D πρὸς τὸ ἁπλοῦν σχέσει, ἀμοιρεῖν τῆς ἁπλότητος· οὐκ ὤν, οὐδὲ ἁπλῶς, οὐδὲ κυρίως ὤν. τίς τῶν παραβεβηκότων τὸν λόγον καὶ τὴν πίστιν ἐξομοσαμένων τοσοῦτον ἐνεδαψιλεύσατο ταῖς ἀρνητικαῖς τοῦ κυρίου φωναῖς, ἀντεφιλοτιμήθη τῷ θείῳ τοῦ Ἰωάννου κηρύγματι. ὁσάκις γὰρ ἐκεῖνος τὸ ἦν τῷ λόγῳ προσεμαρτύρησε, τοσαυτάκις οὗτος ἀντιθεῖναι τὸ οὐκ ἦν τῷ ὄντι ἐφιλονείκησε. καὶ τῷ ἁγίῳ στόματι τοῦ πατρὸς ἡμῶν διαμάχεται ταῦτα προφέρων κατ' αὐτοῦ τὰ ἐγκλήματα. ὅτι ἀμελεῖ τῶν διορισμῶν τούτων Βασίλειος, ὄντα λέγων τὸν ἐν τῷ πατρί,

καὶ ἐν

καὶ ἐν τῇ ἀρχῇ, καὶ ἐν τοῖς κόλποις ὄντα ὡς τῆς τοιαύτης προσθέσεως τὸ κατὰ τὴν ἀρχὴν καὶ τὸν κόλπον, περιγραφομένης τὸ ὄντως τὴν ὕπαρξιν. ὢ κενῶν μαθημάτων· οἷα παιδεύουσιν οἱ παιδευταὶ τῆς ἀπάτης· οἵων δογμάτων εἰσηγηταὶ τοῖς ἀκούουσι γίνονται. τὸ ἔν τινι ὂν μὴ εἶναι διδάσκουσιν. οὐκοῦν, ἐπειδὴ ἐντός σου ἐστὶν Εὐνόμιε ἡ καρδία καὶ ὁ ἐγκέφαλος, οὐκ ἔστι κατὰ τὸν σὸν διαχωρισμὸν τούτων ἑκάτερον. εἰ γὰρ διὰ τοῦτο κυρίως ὁ μονογενὴς Θεὸς οὐκ ἔστιν, διότι ἐν τοῖς τοῦ πατρὸς ἐστὶ κόλποις, πᾶν δὲ τὸ ἔν τινι ὂν, τοῦ εἶναι πάντως ἐξήρτηται. ἀλλὰ μὴν ἐν σοὶ ἡ καρδία καὶ οὐ καθ' ἑαυτήν ἐστιν· ἄρα κατὰ τὸν σὸν λόγον ἢ καθόλου χρὴ μὴ εἶναι λέγειν αὐτήν, ἢ μὴ κυρίως εἶναι. ἀλλὰ τὸ μὲν ἀπαίδευτον ἐν τοῖς εἰρημένοις παρ' αὐτοῦ καὶ τὸ βλάσφημον, τοσοῦτόν τε καὶ τοιοῦτον, ὡς καὶ πρὸ τῶν ἡμετέρων λόγων καταφανὲς εἶναι τοῖς νοῦν ἔχουσιν, ὡς δ' ἂν μᾶλλον ἐπίδηλος αὐτοῦ γένοιτο μετὰ τῆς ἀσεβείας ἡ ἄνοια, τοῦτο τοῖς προειρημένοις προσθήσομεν. εἰ μόνον ἐστὶ κυρίως εἶναι λέγειν, ᾧ τῆς γραφῆς ὁ λόγος ἀπολελυμένον τε καὶ ἄσχετον μαρτυρεῖ τὸ εἶναι, διὰ τί καθάπερ οἱ ὑδροφοβοῦντες ἐν ἐξουσίᾳ τοῦ πιεῖν τῇ δίψῃ φθείρονται, καὶ οὗτος πρόχειρον ἔχων τῆς κατὰ τοῦ υἱοῦ βλασφημίας τὸ ἀντιφάρμακον, ἐπιμύσας παρέδραμεν, ὥσπερ τὸ σωθῆναι φοβούμενος. καὶ ἀδικεῖν αἰτιᾶται Βασίλειον, ὅτι τοὺς προσδιορισμοὺς σιωπήσας, μόνον ἐφ' ἑαυτοῦ τὸ ἦν ἐπὶ τοῦ μονογενοῦς διηγήσατο. καί τοί γε δυνατὸν ἦν, ἃ ἐκεῖνος οἶδε, καὶ ἕκαστος τῶν ὀφθαλμοὺς ἐχόντων ὁρᾷ, καὶ τοῦτον ἰδεῖν. ὅ μοι δοκεῖ προφητικῶς κινηθεὶς ὁ ὑψηλὸς Ἰωάννης, ὡς ἂν ἐμφράξειε τὰ στόματα τῶν χριστομαχούντων διὰ τὰς προσθήκας ταύτας ἀθετούντων τοῦ Χριστοῦ τὸ κυρίως εἶναι. ἁπλῶς καὶ ἀδιορίστως εἰπεῖν, ὅτι Θεὸς ἦν ὁ λόγος, καὶ ζωὴ ἦν, καὶ φῶς ἦν, οὐ μὴν ἐν ἀρχῇ, καὶ πρὸς τὸν Θεὸν, καὶ ἐν κόλποις τοῦ πατρὸς ὤν· ὥστε διὰ τῆς τοιαύτης σχέσεως ἀναιρεῖσθαι τοῦ κυρίου τὸ κυρίως εἶναι. ἀλλὰ τὸ εἰπεῖν ὅτι Θεὸς ἦν, τῇ ἀσχέτῳ ταύτῃ καὶ ἀπολύτῳ φωνῇ, πᾶσαν περιδρομὴν τῶν εἰς ἀσέβειαν τρεχόντων τοῖς λογισμοῖς ἀποτέμνεται. καὶ ἔτι πρὸς τούτοις ὃ καὶ μᾶλλον ἐλέγχει τὴν τῶν ἀντικειμένων κακόνοιαν. εἰ γὰρ τὸ ἔν τινι εἶναι σημεῖον ποιοῦνται τοῦ μὴ κυρίως εἶναι, οὐδὲ τὸν πατέρα κυρίως εἶναι

A & in principio & in ſinibus: quaſi nimirum eiuſmodi additio, in principio, & in ſinu, præſcribat ac definiat eius qui eſt exiſtentiam. O inania & nugacia documenta! qualia præcipiunt erroris magiſtri! Qualium decretorum authores auditoribus fiunt! quod in aliquo eſt, non eſſe docent. Ergo, quoniam intra te, ô Eunomi, eſt cor & cerebrum, ſecundum tuam diſtinctionem horum vtrumque non eſt. Si enim ob eam cauſam vnigenitus Deus propriè non eſt, quia in patris eſt ſinibus: quicquid eſt in aliquo, funditus è rerum natura ſublatum eſt. Atqui in te cor eſt & non per ſe, igitur ſecundum tuam rationem vel
B omnino dicendum eſt non eſſe ipſum, vel non propriè eſſe. Sed quod indoctum & blaſphemum, id eſt impiè & ſceleratè prolatum, in eius dictis tantum eſt & tale, vt etiam ante noſtros ſermones mẽte præditis ſit perſpicuum & manifeſtum: vt autẽ magis eius cum impietate coniuncta dementia innoteſcat, hoc iis quæ antè diximus adijciemus. Si ſolum propriè eſſe licet dicere, cui ſcripturæ ſermo abſolutum & liberum attribuit eſſe: quamobrem veluti aquarij habẽtes poteſtatem bibendi, ſiti enecãtur? & hic in promptu habens aduerſus blaſphemiam in filium præſentaneum remedium, conniuens prętercurrit, velut ſeruari metuens. Et Baſilium
C turpi fama differt quòd diſtinctiones ſilentio tacitus præteriens, ſolum in ſe ipſo verbum, erat, in vnigenito expoſuit. Atqui poterat, quæ ille vidit, & eorum qui habent oculos vnuſquiſque videt, & luc etiam videre. Quod mihi videtur diuino inſtinctu afflatúque concitatus excelſus Ioannes, vt ora eorum qui Chriſtum oppugnant obſtrueret, quique propter has acceſſiones, Chriſti
D verum eſſe & proprium irritũ facere conarentur, ſimpliciter, abſolutè, & interminatè dixiſſe: Deus erat verbũ, & vita erat, & lux erat, & non ſolùm qui eſt in principio, & apud Deũ, & in ſinibus patris: ita vt per talem relationem propriè eſſe Domini tollatur: ſed dicendo quòd Deus erat, hac libera & ſoluta voce omnem circuitũ ad impietatem currentiũ cogitationibus intercidit. Præterea quod etiam magis aduerſariorum malignitatem refellit. Si enim in aliquo eſſe argumentum faciunt, quod non ſit propriè, neque patrem propriè eſſe

omnino confitentur qui in Euangelio didicerunt, quòd quemadmodum filius in patre, ſic & pater in filio manet, ſecundùm Domini vocem. Æquale eſt enim in ſinibus patris eſſe filium, & in filio patrem eſſe dicere. Obiter etiam hoc examinemus. Quãdo, vt inquiunt, non erat filius, quid continebat patris ſinus? Prorſus enim vel plenum dabunt ipſum fuiſſe, vel inanem ponent. Si igitur plenus erat ſinus: filius omnino erat ſinus plenitudo. Quòd ſi aliquam in patris ſinibus ſpectant inanitatem, nihil aliud quàm ex incremento perfectionem ei aſſignant: quia ab inani & deficiente ad plenum & perfectum tranſmigret. Sed non cognouerunt, neque intellexerunt, ait Dauid, de his qui in tenebris ambulant; qui enim veræ luci bellũ intulit, in luce animum habere non poteſt. Ideo adiacet ex conſequenti, quod hanc impietatem caſtigat, tamquã cæcitate perculſi velut Sodomitæ non intellexerunt. Quinetiam à patre filij eſſentiam imperio regi ſiue patris dominio ſubijci autumat, ſic dicens ad verbum.

Verba Eunomij.

[Non enim hanc ſibi vt propriam vendicat dignitatem, qui per patrem eſt & viuit: cùm etiam huius dominatrix eſſentia ad ſeipſam trahat entis notionem.] Si quidẽ alicui externorum ſapientum hæc probantur, nihil interturbentur Euangelia, neq. reliqua diuinitùs inſpiratæ ſcripturæ doctrina. Quæ enim communicatio Chriſtianorum ſermoni, cùm ſtulta & fatua ſapientia? Quòd ſi ſcriptis innititur, oſtendat talem ex ſanctis ſcripturis vocem, & nos tacebimus. Clamantem audio Paulum: Quòd vnus Dominus Ieſus Chriſtus. Sed Paulo reclamat & aduerſatur Eunomius, Chriſtum ſeruũ nominãs. Non enim aliud nos ſeruitutis indiciũ & certum ſignũ agnoſcimus, quàm ſubditum eſſe & imperium pati; qui talis eſt, certè ſeruus eſt. Seruus autẽ natura Dominus eſſe nõ poteſt, quãuis abuſione dicatur. Quid mihi neceſſe eſt Pauli voces ad demonſtrandã Domini dominationem in teſtimoniũ adferre? Ipſe enim Pauli Dominus ad diſcipulos ait ſeuerè Dominũ eſſe: approbans horum confeſſionẽ qui

Ioan. 13.

ipſum magiſtrum & Dominum nominabant, dicit enim: vos vocatis me Dominum & magiſtrum, benè quidem dicitis: ſum enim. Hoc idem & patrem ab ipſis iuſſit appellari, cùm dixit,

A πάντως συντίθενται, μεμαθηκότες ἐν τῷ εὐαγγελίῳ, ὅτι ὥσπερ ὁ υἱὸς ἐν τῷ πατρὶ, οὕτω καὶ ὁ πατὴρ ἐν τῷ υἱῷ μένει, κατὰ τὴν τοῦ κυρίου φωνήν. ἴσον γάρ ἐστι τὸ ἐν κόλποις εἶναι τοῦ πατρὸς τὸν υἱὸν, τὸ ἐν τῷ υἱῷ τὸν πατέρα εἶναι λέγειν. ἐν παρόδῳ δὲ καὶ τοῦτο προσεξετάσωμεν· ὅτε οὐκ ἦν, ὥς φασιν, ὁ υἱὸς, τί περιεῖχε τοῦ πατρὸς ὁ κόλπος; πάντως γὰρ ἢ πλήρη δώσουσιν αὐτὸν εἶναι, ἢ κενὸν ὑποθήσονται. Εἰ μὲν οὖν πλήρης ἦν ὁ κόλπος, ὁ υἱὸς πάντως ἦν τοῦ κόλπου τὸ πλήρωμα. εἰ δὲ τινα κενότητα τοῖς τοῦ πατρὸς

B ἐνθεωροῦσι κόλποις, οὐδὲν ἕτερον ἢ ἐκ προσαυξήσεως αὐτῷ προσμαρτυροῦσι τὴν τελειότητα, ἀπὸ τοῦ κενοῦ τε καὶ λείποντος ἐπὶ τὸ πλῆρες μεθισταμένου καὶ τέλειον. ἀλλ' οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, φησὶν ὁ Δαβὶδ, περὶ τῶν ἐν σκότει διαπορευομένων. ὁ γὰρ ἐκπεπολεμωμένος τῷ ἀληθινῷ φωτὶ, ἐν φωτὶ τὴν ψυχὴν ἔχειν οὐ δύναται. διὰ τοῦτο προσκείμενον ἐκ τῆς ἀκολούθου τὸ τῆς ἀσεβείας ταύτην ἐπανορθούμενον. ὥσπερ ἀορασίᾳ πληγέντες κατὰ τοὺς Σοδομίτας οὐ κατενόησαν. ἀλλὰ καὶ κυριεύεσθαι λέγει παρὰ τοῦ πατρὸς

C τοῦ υἱοῦ τὴν οὐσίαν, οὕτω λέγων τῷ ῥήματι. οὐ γὰρ οἰκειοῦται ταύτην τὴν ἀξίαν ὁ διὰ τὸν πατέρα ὢν καὶ ζῶν, τῆς καὶ τούτου κυριευούσης οὐσίας πρὸς ἑαυτὴν ἑλκούσης τὴν τοῦ ὄντος ἔννοιαν. εἰ μὲν οὖν τινὶ τῶν ἔξω σοφῶν ταῦτα δοκεῖ, μηδὲν ἐνοχλείσθω τὰ εὐαγγέλια, μηδὲ ἡ λοιπὴ τῆς θεοπνεύστου γραφῆς διδασκαλία. τίς γὰρ κοινωνία τῷ Χριστιανῷ λόγῳ πρὸς τὴν μωρανθεῖσαν σοφίαν; Εἰ δὲ τοῖς γραφικοῖς ἐπερείδεται, δειξάτω τοιαύτην ἐκ τῶν ἁγίων φωνὴν, καὶ ἡμεῖς σιωπήσομεν. βοῶντος ἀκούω τοῦ Παύλου· ὅτι εἷς κύριος Ἰησοῦς Χρι-

D στός. ἀλλ' ἀντιβοᾷ τῷ Παύλῳ Εὐνόμιος, δοῦλον ὀνομάζων τὸν Χριστόν. ἄλλο γάρ τι δουλείας ἡμεῖς οὐκ ἐπιγινώσκομεν γνώρισμα, πλὴν τὸ ὑποχείριον εἶναι καὶ κυριεύεσθαι, δοῦλος πάντως ἐστίν. ὁ δὲ δοῦλος τῇ φύσει κύριος εἶναι οὐ δύναται, κἂν ἐκ καταχρήσεως λέγηται. καὶ τί μοι φέρειν εἰς μαρτυρίαν τὴν τοῦ κυρίου κυριότητα εἰς τὰς τοῦ Παύλου φωνάς; αὐτὸς γὰρ ὁ Παύλου δεσπότης πρὸς τοὺς μαθητὰς φησίν· ἀληθῶς εἶναι κύριος, ἀποδεχόμενος τὴν ὁμολογίαν τῶν διδάσκαλον αὐτὸν καὶ κύριον ὀνομαζόντων, λέγει γάρ· ὅτι ὑμεῖς καλεῖτέ με κύριον καὶ διδάσκαλον, καὶ καλῶς λέγετε· εἰμὶ γάρ· τὸ δὲ αὐτὸ τοῦτο καὶ τὸν πατέρα παρ' αὐτῶν ἐνομοθέτησε λέγεσθαι,

εἶπεν μὴ καλέσητε καθηγητὴν ἐπὶ τῆς γῆς· εἷς γὰρ ὑμῶν καθηγητής, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς. τίνι τοίνυν προσεκτέον ἡμῖν ἐν μέσῳ τούτων ἀπειλημμένοις ἐκεῖθεν; αὐτός τε ὁ κύριος, καὶ ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, τὸ μὴ χρῆναι δοῦλον αὐτὸν ἐννοεῖν ἐγκελεύεται, ἀλλ' οὕτω τιμᾶν αὐτὸν, καθὼς τιμᾶται ὁ πατήρ. ἐντεῦθεν Εὐνόμιος δουλείας ἐπάγει τῷ κυρίῳ γραφὴν, κυριεύεσθαι λέγων τὸν τοῦ παντὸς ἐξηρτημένον τὸ κράτος. ἆρα ἀμφίβολος ἡμῖν τοῦ πρακτέου ἡ αἵρεσις, ἢ παρ' ὀλίγον ἐστὶν ἡ τοῦ λυσιτελεστέρου διάκρισις; ἀτιμάσω Παύλου τὴν συμβουλὴν ὦ Εὐνόμιε· μὴ πιστοτέραν ἡγήσομαι τὴν σῆς ἀπάτης τῆς τῆς ἀληθείας φωνήν; ἀλλ' εἰ μὴ ἦλθον καὶ ἐλάλησα, φησὶν αὖθις, ἁμαρτίαν οὐκ εἶχον. ἐπεὶ οὖν αὐτοῖς ἐλάλησεν αὐτὸς, ἀληθῶς λέγων ἑαυτὸν εἶναι κύριον, οὐχὶ ψευδῶς ὀνομάζεσθαι. εἰ μὴ γὰρ, φησὶν, οὐχὶ ὀνομάζομαι, τί ἀναγκαῖον ποιεῖν; ᾧ ἀναπόδραστός ἐστιν ἐκ τοῦ προεγνῶσθαι ἡ τιμωρία. ἀλλ' ἴσως πάλιν ἡμῖν πρὸς ταῦτα τὴν συνήθη σοφίαν ἀντιπροβάλλεται, καὶ λέξει τὸν αὐτὸν καὶ δουλεύειν καὶ κύριον εἶναι, ὑπὸ μὲν τοῦ κρατοῦντος κυριευόμενον, τῶν δὲ λοιπῶν κυριεύοντα. λέγεται δὲ τὰ σοφὰ ταῦτα, κατὰ τὰς τριόδους παρὰ τῶν ἐραστῶν τῆς ἀπάτης περιφερόμενα, οἳ διὰ τῶν ἀνθρωπίνων περιστάσεων τὰς ματαίας ἑαυτῶν ὑπολήψεις περὶ τὸ θεῖον κρατύνουσιν. ἐπειδὴ γὰρ αἱ κατὰ τὸν βίον τοῦτον συντυχίαι, τῶν τοιούτων ἡμῖν πραγμάτων τὰ ὑποδείγματα φέρουσιν, οἷα ἐπ' οἰκίας ἐστὶν εὐπορωτέρας ἰδεῖν, τὸν δραστικώτερόν τε καὶ εὐνούστερον τῶν ὁμοδούλων προτεταγμένον τῶν πραγμάτων τοῦ δεσπότου, τὴν κατὰ τῶν ὁμοτίμων ὑπεροχὴν λαχόντα, ταύτην μετάγουσιν ἐπὶ τὰ θεῖα δόγματα τὴν διάνοιαν. ὥστε τὸν μονογενῆ Θεὸν ὑπεζευγμένον τῇ δυναστείᾳ τοῦ ὑπερέχοντος, μηδὲν ἐμποδίζεσθαι τῇ τοῦ δυναστεύοντος ἐξουσίᾳ πρὸς τὴν τῶν καταδεεστέρων ἡγεμονίαν. ἀλλ' ἡμεῖς ἐρρῶσθαι φράσαντες τῇ τοιαύτῃ σοφίᾳ κατὰ τὸ ἡμέτερον τῆς διανοίας μέτρον τὸν περὶ τούτου λόγον διασκεψώμεθα. ἆρα τὸν πατέρα φύσει κύριον ὁμολογοῦσιν, ἢ διὰ χειροτονίας τινὸς πρὸς τοῦτο ἥκειν; ἀλλ' οὐκ οἶμαι, εἰς τοῦτο μανίας ἥκειν, τὸν καὶ ὁπωσοῦν διανοίας μετέχοντα, ὡς μὴ τῇ φύσει προσμαρτυρεῖν τῷ Θεῷ τῶν ὅλων τὴν κυριότητα. ὃ γὰρ ἁπλοῦν τῇ φύσει καὶ ἀμερὲς καὶ ἀσύνθετον, ὅπερ ἂν τύχῃ ὂν, ὅλον δι' ὅλου τοῦτό ἐστιν, οὐκ ἐκ

A neque vocaueritis magiſtrum in terra; vnus enim magiſter veſter, Pater qui in cœlis. Cuinā igitur nobis in medio horum interceptis adhærendum eſt? illinc ipſe Dominus, & qui in ſeipſo habet loquentē Chriſtum, non oportere ipſum ſeruum animo cōcipere præcipit, ſed ſic ipſum colere ſicut colitur pater: iſtinc Eunomius Domino ſeruitutis actionem intendit, dum aſſerit eum qui vniuerſi imperiū adeptus eſt, dominationi ſubijci. An ambigua nobis eius quod agendū eſt electio? an parum intereſt vtilioris diſcretio? Conſilium Pauli, ô Euno-
B mi, contemnam: veritatis vocem tuo errore credibiliorem non arbitrabor? niſi veniſſem ait, & eos allocutus eſſem, peccatum non haberent. Quoniam igitur ipſe loquutus eſt ipſis, verè dicens ſeipſum eſſe Dominum, non falsò nominari. Niſi enim, inquit, non nominor, * quid neceſſe eſt facere cui ex eo quod prænouit ineuitabile eſt ſupplicium? Sed fortaſſe ad hæc rurſus vſitatam ſapientiam nobis refractarius opponet, & dicet eūdem & ſeruire & Dominum eſſe: præpotenti quidem ſubiectum, reliquis verò dominātem. Hęc autem do-
C ctè dicuntur in triuiis ab amatoribus erroris circumferri, qui per humanas circūſtantias vanas ſuas de Deo opiniones confirmant. Quandoquidē enim qui in hac vita cōtingunt caſus talium rerum nobis exēpla adferunt, cuiuſmodi in familia copioſiore licet videre, ex conſeruis ad agendum promptiorē magiſque beneuolum, rebus ſui Domini pręfectū, contra æquales gradum altiorem ſortitum: hunc ad diuina dogmata conceptum transferunt, ita vt vnigenitum Deum poteſtati ſupereminentis ſubiugatum nihil eſt quod impediat, quin do-
D minantis authoritate inferiorum præfecturam obtineat. Sed nos tali ſapientiæ cùm dixerimus valere, pro noſtra intelligentiæ mediocritate de hac re ſermonem conſideremus. An Patrem natura dominū confitentur, an alicuius ſuffragio ad hoc veniſſe? Sed neminē eo amētiæ & infamiæ proceſſiſſe arbitror, qui modo quocūque mentis & intelligētiæ ſit cōpos: vt non Deo vniuerſorū dominationem natura ineſſe teſtetur. Quod enim natura eſt ſimplex & partium expers & incompoſitum, quod quidem fuerit, totum per totum hoc eſt, non ex

Ioan. 15.

Videtur quippiam adeſſe in Græco.

mutatione alicuius alterius factum:
ſed in quo eſt, permanens in æternum.
Quid igitur & de vnigenito exiſtima-
runt? vtrum ſimplicem & eius eſſen-
tiam confitentur, an aliquam in ea
compoſitionem intelligunt? Si igitur
aliquid varium & multiplex multiſque
partibus conſtans hunc eſſe arbitran-
tur: neque planè deitatis nomen ei
concedent, ad materiales quaſdam &
corporales opiniones decretũ de Chri-
ſto traducentes. Quòd ſi ſimplicem eſſe
conſentiunt, quomodo in ſimplicitate
ſubiecti, contrariorum concurſum licet
intueri? vt enim vitæ & mortis in con-
trarium immediata eſt oppoſitio, ſic
cum ſeruitute dominatio nullum ha-
bet conſortium, & propriis affectioni-
bus alienata eſt. Si quis enim horum
vtrumque in ſeipſis conſideret: non æ-
qualem ambobus aptauerit definitio-
nem. Quorum autem definitio non ea-
dem, horum etiam natura omnino dif-
fert: ſi igitur ſimplex ſecundùm natu-
ram Dominus, quomodo in ſubiecto
contrariorum duplicitas eſſe poſſit, ſer-
uitute nimirum cum dominatione con-
temperata? Sed ſi Dominus ſecundùm
ſanctorum doctrinam cõceditur, ipſum
expertem eſſe contrarij ſimplicitas ſub-
iecti teſtatur. Quòd ſi ipſum ſeruire de-
nuntiant, fruſtra ei nomen dominatio-
nis attribuunt. Quod enim ſimplex &
ſincerum natura, ad contrarias proprie-
tates non diſcinditur. quod ſi illud qui-
dem ipſum eſſe dicunt, hoc verò dici:
Natura quidem ſeruum, nomine verò
dominum, oſtendant liberè eiuſmodi
vocem, & nos à contradictionis labori-
bus longis requieſcere facient. Quis e-
nim in vanis tam otio abundans, vt a-
perta clara & indubitata rationibus re-
darguat? Neque enim ſi quis ſui ipſius
cædis ſcelus indicauerit, accuſatori-
bus labor relinquitur, certis vt demon-
ſtrationibus cædem ad probationem
adducant, eámque factam eſſe conuin-
cant. Sic nos non amplius argumentis
certa ratione exquiſitis aduerſarios re-
prehendemus, cum hucuſque impieta-
te proceſſerint. Qui enim vnigenitum
Deum ſeruũ natura aſſerit, hunc ſibi cõ-
ſeruũ per quæ ait, adſtruit: ex eoque du-
plex abſurditas neceſſariò inferetur; vel
enim cõſeruũ contẽnet & fidẽ negabit,
iugo dominationis Christi excuſſo: vel
ſeruum venerabitur, & naturã ſui iuris

A μεταβολῆς τινὸς ἑτέρου γινόμενον. ἀλλ' ἐν ᾧ
ἐστὶν, διαμένον πρὸς τὸ ἀΐδιον. τί οὖν καὶ πε-
ρὶ τοῦ μονογενοῦς ὑπειλήφασιν; ἆρα ἁπλῆν αὐ-
τοῦ τὴν οὐσίαν ὁμολογοῦσιν, ἢ τινὰ καὶ σύνθε-
σιν περὶ αὐτὴν ἐννοοῦσιν. εἰ μὲν οὖν ποικίλον
τι χρῆμα καὶ πολυμερὲς εἶναι τοῦτον νομίζουσιν,
οὐδὲ τὸ ὄνομα πάντως τῆς θεότητος αὐτῷ συγ-
χωρήσουσιν, εἰς ὑλώδεις τινὰς καὶ σωματικὰς ὑπο-
λήψεις τὸ περὶ τοῦ Χριστοῦ δόγμα μετάγοντες.
εἰ δὲ ἁπλοῦν εἶναι συντίθενται, πῶς ἐστὶ τῇ ἁ-
πλότητι τοῦ ὑποκειμένου τὴν τῶν ἐναντίων συν-
B δρομὴν ἐνθεωρῆσαι; ὡς γὰρ τῆς ζωῆς καὶ τοῦ θα-
νάτου ἄμεσός ἐστιν ἡ πρὸς τὸ ἐναντίον ἀντιδιά-
στασις, οὕτως ἡ κυριότης πρὸς τὴν δουλείαν, ἄμι-
κτός ἐστι καὶ ἠλλοτριωμένη τοῖς ἰδιάζουσιν. οὐ γὰρ
ἄν τις ἑκάτερον τούτων ἐφ' ἑαυτῶν θεωρῶν, τὸν
ἴσον ἀμφοτέροις ἁρμόσειε λόγον. ὧν δὲ ὁ λόγος
οὐχ ὁ αὐτὸς, τούτων καὶ ἡ φύσις πάντως διά-
φορος. εἰ οὖν ἁπλοῦς κατὰ τὴν φύσιν ὁ κύριος, πῶς
ἂν γένοιτο περὶ τὸ ὑποκείμενον ἡ τῶν ἐναντίων
διπλόη, δουλείας συνανακιρναμένης τῇ κυριό-
τητι; ἀλλ' εἰ κύριος κατὰ τὴν τῶν ἁγίων διδασκα-
λίαν ὁμολογεῖται, ἀμέτοχον αὐτὸν εἶναι τοῦ ἐναν-
C τίου ἡ ἁπλότης τοῦ ὑποκειμένου μαρτύρεται. εἰ
δὲ δουλεύειν αὐτὸν ἀποφαίνονται, μάτην αὐτοῦ
τὸ ὄνομα προσμαρτυροῦσι τῆς κυριότητος. τὸ γὰρ
ἁπλοῦν τῇ φύσει πρὸς τὰ ἐναντία τῶν ἰδιω-
μάτων οὐ διασχίζεται. εἰ δὲ τὸ μὲν εἶναι φασὶν αὐ-
τὸν, τὸ δὲ λέγεσθαι· τῇ φύσει μὲν δοῦλον, τῷ ὀνό-
ματι δὲ κύριον, δειξάτωσαν ἐν παρρησίᾳ ταύ-
την φωνὴν, καὶ ἀναπαύσουσιν ἡμᾶς τῶν μακρῶν
περὶ τὴν ἀντίρρησιν πόνων. τίς γὰρ οὕτως ἐν τοῖς
ματαίοις εὔσχολος, ὡς τὰ φανερά τε καὶ ἀναμ-
φίβολα διὰ λογισμῶν ἐξελέγχειν. οὐδὲ γὰρ εἴ τις
ἑαυτοῦ καταμηνύσειε τοῦ φόνου τὸ μίασμα, πόνος
D τις ὑπολείπεται τοῖς κατηγόροις, δι' ἀποδεί-
ξεων τινῶν ἄγειν τὴν μιαιφονίαν εἰς ἔλεγχον. οὕτω
καὶ ἡμεῖς οὐκέτι τὸν ἐκ τῆς ἐξετάσεως ἔλεγχον τοῖς
ἐναντίοις ἐποισόμεθα, ὅταν μέχρι τούτου τῆς ἀσε-
βείας προέλθωσιν. ὁ γὰρ δοῦλον τῇ φύσει λέγων
τὸν μονογενῆ Θεὸν, ὁμόδουλον ἑαυτοῦ τοῦτον δι' ὧν
λέγει κατασκευάζει, ἐκ δὲ τούτου διπλῆ ἡ ἀ-
τοπία κατ' ἀνάγκην συνενεχθήσεται. ἢ γὰρ κατα-
φρονήσει τοῦ ὁμοδούλου καὶ τὴν πίστιν ἀρνήσεται, τὸν ζυ-
γὸν τῆς τοῦ Χριστοῦ δεσποτείας ἀποσεισάμενος, ἢ
ὑποκύψει τῷ δούλῳ, καὶ ἀποστραφεὶς τὸν αὐτοκράτη

τε καὶ ἀδέσποτον φύσιν, τρόπον τινὰ ἑαυτὸν ἀντὶ A
Θεοῦ σεβασθήσεται. Εἰ γὰρ ἐν δουλείᾳ μὲν
ἑαυτόν, ἐν δουλείᾳ δὲ ὁρᾷ καὶ τὸ σέβασμα, πρὸς
ἑαυτὸν ἀτεχνῶς βλέπει, ὁ ἄλλον ἑαυτὸν ἐν τῷ
σεβάσματι βλέπων. ἀλλὰ μὴν τὰ ἄλλα πάν-
τα ὅσα κατ' ἀνάγκην τῇ κακίᾳ ταύτῃ συν-
θεωρεῖται τοῦ δόγματος, τίς ἂν ἐξαριθμήσαιτο
λόγος; τίς γὰρ οὐκ οἶδεν ὅτι ὁ δοῦλος τῇ φύσει
καὶ πρὸς δεσποτικὴν ἀνάγκην ἠσχολημένος,
οὐδὲ τοῦ κατὰ τὸν φόβον πάθους ἐκτὸς ἂν εἴη;
συνέζευκται γάρ πως τῇ φύσει τῆς δουλείας
ὁ φόβος. καὶ τούτου μάρτυς ὁ θεῖος ἀπόστολος εἰ- B
πών, ὅτι οὐκ ἐλάβετε πνεῦμα δουλείας πά-
λιν εἰς φόβον. ὥστε καθ' ὁμοιότητα τῶν ἀνθρώ-
πων καὶ τὸ κατὰ τὸν φόβον πάθος ἐπιθρυλλήσου-
σι τῷ ὁμοδούλῳ Θεῷ. ἀλλ' ὁ μὲν τῆς αἱρέ-
σεως Θεός, τοσοῦτον. ἡμεῖς δὲ οἱ κατὰ τὸν ἀπόστο-
λον, ἐπ' ἐλευθερίᾳ παρὰ Χριστοῦ κληθέντες τοῦ
τῆς δουλείας ἡμᾶς ἐλευθερώσαντος, ὅσα φρονεῖν
παρὰ τῶν γραφῶν ἐδιδάχθημεν, δι' ὀλίγων
ἐκθήσομαι. ἐγὼ γὰρ ἐκ τῆς θείας διδασκα-
λίας ἐρρωμένος, θαρρῶν ἀποφαίνομαι, ὅτι οὐ-
δὲ ἡμᾶς, δούλους ὁ θεῖος βούλεται λόγος, με- C
τασκευασθείσης ἡμῖν πρὸς τὸ κρεῖττον τῆς φύ-
σεως. καὶ ὁ πάντα λαβὼν τὰ ἡμέτερα, ἐφ' ᾧ
τε ἀντιδοῦναι τὰ ἴδια, ὡς τὰς νόσους, καὶ τὸν θά-
νατον, καὶ τὴν κατάραν, καὶ τὴν ἁμαρτίαν, οὕτω
καὶ τὴν δουλείαν ἔλαβεν· οὐχ ὡς αὐτὸς ἔχειν
ἃ ἔλαβεν, ἀλλ' ὡς ἐκκαθᾶραι τῶν τοιούτων
τὴν φύσιν, ἐξαφανισθέντων ἐν τῇ ἀκηράτῳ
φύσει τῶν ἡμετέρων. ὡς οὖν οὐκ ἔσται κατὰ τὴν
ἐλπιζομένην ζωὴν οὐ νόσος, οὐ κατάρα, οὐχ
ἁμαρτία, οὐ θάνατος, οὕτως εἰς ἀφανισμὸν καὶ D
ἡ δουλεία μετὰ τούτων διελεύσεται. καὶ ὅτι ταῦ-
τα ἀληθῆ λέγω, αὐτὴν πρὸς μαρτυρίαν κα-
λῶ τὴν ἀλήθειαν, ἥ φησι πρὸς τοὺς μαθητάς.
ὅτι οὐκέτι καλῶ ὑμᾶς δούλους, ἀλλὰ φίλους.
εἰ οὖν τὸ καθ' ἡμᾶς, ἔσται ποτὲ τοῦ τῆς δουλείας
ὀνείδους ἐλεύθερον, πῶς ὁ τοῦ παντὸς δεσπότης
παρὰ τῆς παραπληξίας τε καὶ μανίας τῶν ἐξεστη-
κότων τούτων καταδουλοῦται; οἱ κατὰ τὸ ἀκόλουθον
πάντως, οὐδὲ γινώσκειν αὐτὸν τὰ τοῦ πατρὸς διο-
ρίζονται, διὰ τὴν περὶ τῶν δούλων ἀπόφασιν,
ἥ φησιν, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος
αὐτοῦ. ἀλλ' ὅταν ταῦτα λέγωσιν, ἀκουσάτωσαν
ὅτι πάντα ἐν ἑαυτῷ τὰ τοῦ πατρὸς ὁ υἱὸς ἔχει, καὶ

A & liberam auerſatus, quodam modo
ſeipſum pro Deo colet. Si enim in ſer-
uitute quidem ſeipſum, in ſeruitute
autem videt etiam id quod colitur, in
ſeipſum planè intuetur, qui alium ſe-
ipſum in eo quod adoratur videt. Enim-
uerò alia omnia quæ neceſſariò in hu-
ius dogmatis peruerſitate ſpectantur,
quis ſermo enumerauerit? Quis enim
ignorat quòd natura ſeruus & Domi-
ni neceſſitate occupatus, neque per-
turbationis metus & timoris fuerit ex-
pers? timor enim quodam modo cum
B natura ſeruitutis coniunctus eſt & iu-
gatus. Huius rei teſtis diuinus Apo-
ſtolus, cùm dixit: non accepiſtis ſpiri-
tum ſeruitutis iterum in timorem. Ita
vt ad ſimilitudinem hominum, atque
affectum timoris de conſeruo Deo præ-
dicauerint. Sed hæreſeos quidē Deus,
hactenus. Nos autem ſecundùm Apo-
ſtolum, qui in libertatem à Chriſto Galat. 5.
ſumus vocati, qui nos à ſeruitute li-
berauit, quæ ſapere & ſentire ex ſcri-
pturis edocti ſumus, paucis exponam.
Ego enim ex diuina doctrina impul-
ſus confidens pronuntio, quòd neque
C nos diuinus ſermo ſeruos eſſe vult, cùm
noſtra ſit in melius reparata natura.
Et qui omnia noſtra ſumpſit, vt ſua
nobis refunderet, vt morbos & mor-
tem & maledictionem, & peccatum,
ſic & ſeruitutem cepit: non quòd ipſe
haberet ea quæ cepit, ſed vt naturam
talibus expiaret, obſoletis & expunctis
in natura incorruptibili ijs quæ noſtra
ſunt. Sicut igitur in vita quæ ſperatur,
non erit morbus, non maledictum, non
peccatum, non mors; ſic ad abolitionem
D cum his etiam ſeruitus deueniet. Quod
autem hæc vera dico, ipſam ad teſti-
monium veritatem voco, quæ ait ad
diſcipulos. Iam non dicam vos ſer- Ioan. 15.
uos, ſed amicos. Si igitur quod ſecun-
dùm nos aliquando à ſeruitutis oppro-
brio erit liberum, quomodo vniuerſi
Dominus à percuſſione & inſania ho-
rum furioſorum & mentis impotum
in ſeruitutem redigitur? qui ſecun-
dùm id quod conſequitur prorſus
ipſum non cognoſcere quæ ſunt patris
determinat: propter illam de ſeruis
ſententiam quæ ait, quòd ſeruus neſcit
quid Dominus ſuus facit. Sed cùm
hæc dicunt, audiant quòd omnia in
ſeipſo quæ ſunt patris, filius habet, &

omnia reſpicit quę pater facit, nihilque paternorum bonorum eſt extra vnigeniti cognitionem. Quomodo enim aliquid patris non habeat, qui totum in ſeipſo patrem habet? Ergo ſi ſeruus non cognoſcit quid faciat Dominus, hic autem omnia in ſeipſo quæ ſunt patris habet: ſobrij ſint tamdem qui ebrietate capti inſaniunt, & nunc in veritatem oculos conuertant. Quòd qui omnem habet in ſeipſo characterem, & qui vniuerſi rex eſt, non honore parem habet in ſeipſo formam: vel quomodo ignominia à vera gloria ſplendere poteſt? Ignominia enim eſt ſeruitus. Quomodo autem regis filius in ſeruitutem gignitur? hæc non ſunt, non ſunt hæc: ſed lux de luce, vita de vita, & ex veritate veritas: ſic ex Domino Dominus, Rex ex Rege, ex Deo Deus, ex libero liber, totum habens in ſeipſo patrem, ſi quid pater in ſeipſo habet, prorſus omnia habet. Et quoniam omnia ſunt patris quæcumque habet filius, neceſſe eſt omnino ab inimicis gloriæ Dei, ſi quidem ſeruus eſt, etiam patrem in ſeruitutem redigi. Nihil enim eſt eorum quæ in filio ſpectantur, quod prorſus non ſit patris. Omnia enim, ait, mea tua ſunt, & tua mea. Quid igitur miſelli
Ioan.17. dicent? Quid igitur magis conſentaneum filium regia patris poteſtate clarificari, qui dixit, omnia tua mea ſunt, & clarificatus ſum in ipſis, vel patrem ignominia ob ſeruitutem filij contumelioſè affici. Non enim par eſt eum qui omnia quæ ſunt filij in ſeipſo complectitur, & qui ipſe eſt in filio, non etiam in ſeruitute filij prorſus eſſe, atque in ſeipſo ſeruitutem habere. Hæc ſunt præclara Eunomij ſapientiæ documenta, per quę dum ſeruitute contumelioſè deformat Dominum, eamdem ignominiam incorruptibili glorię patris inurit. Sed rurſus ad ea quę in ſcriptis ſequuntur recurramus. Quid dicit de vnigenito Eunomius? quòd ſibi nō hanc dignitatem vendicat: dignitatem enim nominat eius qui eſt appellationem. O admirabilem philoſophiam! Quis vnquam poſt hominum memoriam, ſiue apud Græcos, ſiue apud Barbaricam philoſophiam: quis noſtrum? quis omnium ætatum hominum, nomen dignitatis enti impoſuit? Quidquid enim exiſtens in rerum natura conſideratur, commu-

A πάντα βλέπει ὅσα ὁ πατὴρ ποιεῖ, καὶ οὐδὲν τῶν πατρικῶν ἀγαθῶν ἔξω τῆς τοῦ μονογενοῦς ἐστὶ γνώσεως. πῶς γὰρ ἄν τι τοῦ πατρὸς μὴ ἔχοι, ὅλον ἔχων ἐν ἑαυτῷ τὸν πατέρα; οὐκοῦν εἰ δοῦλος μὲν οὐ γινώσκει τί ποιεῖ ὁ δεσπότης, ὁ δὲ πάντα ἐν ἑαυτῷ τὰ τοῦ πατρὸς ἔχει, νηψάτωσάν ποτε οἱ τῇ μέθῃ παραφορεῖ, καὶ ἀναβλεψάτωσαν νῦν γοῦν πρὸς τὴν ἀλήθειαν. ὅτι ὁ πάντα ἔχων ἐφ' ἑαυτοῦ χαρακτῆρα, καὶ ὁ τοῦ παντὸς βασιλεύων, μὴ ὁμότιμον ἔχει ἐν ἑαυτῷ τὴν μορφήν. ἢ πῶς ἡ ἀτιμία τῆς ἀληθινῆς ἀπαυγά-
B ζεται δόξης; ἀτιμία γάρ ἐστιν ἡ δουλεία. πῶς δὲ ὁ τοῦ βασιλέως υἱὸς εἰς δουλείαν γεννᾶται; οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀλλ' ὡς φῶς ἐκ φωτὸς, καὶ ζωὴ ἐκ ζωῆς, καὶ ἐξ ἀληθείας ἀλήθεια, οὕτω καὶ ἐκ κυρίου κύριος, βασιλεὺς ἐκ βασιλέως, ἐκ Θεοῦ Θεὸς, ἐξ ἀδεσπότου ἀδέσποτος· ὅλον γὰρ ἔχων ἐν ἑαυτῷ τὸν πατέρα, εἴ τι ὁ πατὴρ ἔχει ἐν ἑαυτῷ πάντως ἔχει, καὶ ἐπειδὴ πάντα τοῦ πατρός ἐστιν, ὅσα καὶ ὁ υἱὸς ἔχει, ἀνάγκη πᾶσα παρὰ τῶν ἐχθρῶν τῆς τοῦ Θεοῦ δόξης, εἴπερ ὁ υἱὸς δοῦλος, καὶ τὸν πατέρα εἰς
C δουλείαν κατάγεσθαι. οὐδὲν γάρ ἐστι τῶν ἐν τῷ υἱῷ θεωρουμένων, ὃ μὴ τοῦ πατρός ἐστι πάντως. πάντα γάρ, φησι, τὰ ἐμὰ σά, καὶ τὰ σὰ ἐμά. τί οὖν ἐροῦσιν οἱ δείλαιοι; τί οὖν εὐλογώτερον τὸν υἱὸν τῇ βασιλείᾳ τοῦ πατρὸς ἐνδοξάζεσθαι τὸν εἰπόντα, ὅτι τὰ σὰ ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς· ἢ τὸν πατέρα τῇ ἀτιμίᾳ τῆς δουλείας τοῦ υἱοῦ καθυβρίζεσθαι. οὐ γάρ ἐστι τὸν πάντα τὰ τοῦ υἱοῦ ἐν ἑαυτῷ περιέχοντα, καὶ αὐτὸν ἐν τῷ υἱῷ ὄντα, μὴ καὶ ἐν τῇ δουλείᾳ τοῦ υἱοῦ πάντως εἶναι, καὶ ἐν αὐτῷ τὴν δου-
D λείαν ἔχειν. ταῦτα κατορθοῖ διὰ τῆς σοφίας ΕΥνόμιος, δι' ὧν καθυβρίζει τῇ δουλείᾳ τὸν κύριον, τὴν αὐτὴν ἀτιμίαν τῇ ἀκηράτῳ δόξῃ τοῦ πατρὸς προστριβόμενος. ἀλλ' ἐπαναδράμωμεν πάλιν ἐπὶ τὴν τῶν γεγραμμένων ἀκολουθίαν. τί λέγει περὶ τοῦ μονογενοῦς ὁ ΕΥνόμιος; ὅτι οὐκ οἰκειοῦται ταύτην τὴν ἀξίαν. ἀξίαν γὰρ ὀνομάζει τὴν τοῦ ὄντος προσηγορίαν. ὢ παραλόγου φιλοσοφίας· τίς τῶν πώποτε γεγονότων ἀνθρώπων, εἴ τε παρ' Ἕλλησιν, εἴ τε παρὰ τῇ βαρβαρικῇ φιλοσοφίᾳ· τίς τῶν καθ' ἡμᾶς; τίς τῶν ἐν παντὶ τῷ χρόνῳ, ἀξίας ὄνομα τῷ ὄντι ἔθετο; πᾶν γὰρ τὸ ἐν ὑποστάσει θεωρούμενον, ἢ

κοινὴ τῶν λόγῳ κεχρημένων συνήθεια τὸ εἶναι λέγει. παρὰ δὲ τὸ εἶναι, ἡ τοῦ ὄντος ἐπωνυμία παρεσχημάτισται. ἀλλὰ νῦν χειροτονεῖται κατὰ τῆς τοῦ ὄντος σημασίας, ἡ τῆς ἀξίας φωνή. λέγει γὰρ τὸν υἱὸν μὴ οἰκειοῦσθαι τὴν τοῦ ὄντος ἀξίαν, τὸν διὰ τὸν πατέρα ὄντα καὶ ζῶντα, οὔτε γραφὴν ἔχων τῷ λόγῳ προστήσασθαι, οὔτε διά τινος ἀκολουθίας πρὸς τὴν ἄνοιαν ταύτην προαγαγὼν τὸν λόγον· ἀλλ' ὥς τινα φυσώδη τροφὴν τοῖς σπλάγχνοις ἐνθέμενος, ἀκατάσκευόν τε καὶ ἀσυλλόγιστον, οἷόν τι πνεῦμα δυσῶδες, τὴν βλασφημίαν ἐρεύγεται. Οὐκ οἰκειοῦται, φησί, ταύτην τὴν ἀξίαν, δεδόσθω τὸ ὂν ἀξίαν κατονομάζεσθαι. τί οὖν; ὁ ὢν οὐκ οἰκειοῦται τὸ εἶναι; ὅτι, φησί, διὰ τὸν πατέρα ἐστίν. οὐκοῦν μὴ εἶναι λέγεις τὸν τὸ εἶναι μὴ οἰκειούμενον; τὸ γὰρ μὴ οἰκειοῦσθαι τῷ ἀλλοτριοῦσθαι ταὐτὸν σημαίνει, καὶ πρόδηλος ἡ τῶν σημαινομένων ἀντιδιαίρεσις. τό τε γὰρ οἰκεῖον οὐκ ἀλλότριον, καὶ τὸ ἀλλότριον οὐκ οἰκεῖον. ὁ οὖν μὴ οἰκειούμενος τὸ εἶναι, ἀλλοτριοῦται πάντως τοῦ εἶναι. ὁ δὲ τοῦ εἶναι ἀλλότριος, ἐν τῷ εἶναι οὐκ ἔστιν. ἀλλὰ τὴν ἀνάγκην τῆς ἀτοπίας ταύτης ἐπήγαγεν εἰπών, τῆς καὶ τούτου κυριευούσης οὐσίας πρὸς ἑαυτὴν ἑλκυσάσης τὴν τοῦ ὄντος ἔννοιαν. τούτου δὲ τὸ μὲν κατὰ τὴν σύμφρασιν ἀσυνάρτητον, σιωπάσθω· τὸ δὲ σπουδαζόμενον ἐν τοῖς λεγομένοις ἐξεταζέσθω. τίνος ἀποδείξαντος λόγου τὸ κυριεύειν τοῦ μονογενοῦς τὴν τοῦ πατρὸς οὐσίαν; * πάλιν ἐκ τῆς πληθώρας ἡμῖν προσερεύγεται. τίς εὐαγγελιστὴς τούτου προέστη τοῦ λόγου. τίς ἔφοδος διαλεκτική; ποῖαι προτάσεις; τίνες κατασκευαὶ τὸ κυριεύεσθαι τὸν μονογενῆ Θεὸν διά τινος ἀκολουθίας ἀπέδειξαν; ἀλλὰ πρὸς ἑαυτὴν ἕλκει, φησίν, ἡ τοῦ υἱοῦ κυριεύουσα οὐσία τὴν τοῦ ὄντος ἔννοιαν. τί βούλεται αὐτῷ ὁ ἑλκηθμὸς τοῦ ὄντος; καὶ πῶς προσερρίφη τοῖς εἰρημένοις ἡ τοῦ ἕλκειν λέξις; κρινεῖ πάντως ὁ ἐπεσκεμμένος δύναμιν λόγων. ἀλλὰ καὶ τοῦτο σιγήσομεν. ἐκεῖνον δὲ πάλιν τὸν λόγον ἀναληψόμεθα. ὅτι οὐ δίδωσιν εἶναι κατ' οὐσίαν ᾧ τὸ ὄνομα τοῦ ὄντος οὐ καταλείπει. καὶ τί μάτην σκιομαχεῖ περὶ τοῦ μὴ ὄντος μαχόμενος, ὡς τοιοῦδε ὄντος. τὸ γὰρ μὴ ὄν, οὔτε

A nis loquendi conſuetudo, eſſe dicit: A verbo autem eſſe, entis denominatio formata eſt. Sed nunc nouo loquutionis genere, pro entis ſignificatione, vox dignitatis vſurpatur: dicit enim filium non ſibi entis vendicare dignitatem, qui per patrem eſt & viuit: qui neque ſcripturam habet ad ſermonis patrocinium & defenſionem, neque per aliquam conſequentiam ad hanc amentiam ſermonem produxit, ſed veluti flatulentum alimentum viſceribus ingerens, indigeſtum nec ratione concluſum velut quemdam tetrum flatum, blaſphemiam eructat. B Non, inquit, talem dignitatem ſibi attribuit: concedatur ipſi, ens dignitatem nominari. Quid igitur? qui eſt, eſſe non ſibi proprium facit? quoniam inquit, per patrem eſt. Ergo non eſſe dicis eum, qui eſſe ſibi non vendicat? Nam non eſſe proprium; & alienũ eſſe idem ſignificant. & manifeſta ſignificatorum contraria differentia. Quod enim proprium non eſt, alienum; & quod alienum, non eſt proprium: qui igitur non ſibi proprium eſſe aſſerit, alienatus eſt prorſus ab eo quod dici- C tur eſſe. Qui autem ab eo quod eſt, alienus eſt, non eſt in eſſe. Sed huius abſurditatis neceſſitatem ſubinde addidit cum dixit, [cùm huius dominatrix eſſentia ad ſeipſam traxerit entis notitiam: huius autem inconcinna quidem loquutio ſilentio prætereatur, ſed quod in ſuis dictis contendit, id verò exquiratur. Quinam eſt tandem ſermo qui demonſtret patris eſſentiam vnigenito dominari? Rurſus ex nimia repletione nobis eructat. Quis Euangeliſta huius ſermonis eſt author? Quæ incurſio dialectica? quæ propoſitio- D nes, quæ probationes vnigenitũ Deum imperio ſubijci, per quam conſequentiam demonſtrarunt? Verùm, inquit, filij dominatrix eſſentia, ad ſeipſam trahit entis notionem. Quid ſibi vult tractus eius qui eſt? quomodo verbum trahendi ad ea quæ dicta ſunt proiectum eſt? Iudicabit planè qui vim ſermonum conſiderarit: ſed hoc ſilentio prætereamus. Illum autem ſermonem rurſus reſumamus. Quòd non dat eſſe ſecundum eſſentiam ei, cui nomen entis non relinquit. Et cur fruſtra vmbratilem pugnam exercet, de eo qui non eſt, decertans, vt de tali ente. Quod enim

non eſt, neque alicui ſimile eſt prorſus A neque diſſimilè. Sed dans eſſe, prohibet dici. O inanem ſubtilitatem! Qui quod maius eſt liberaliter concedit, auarus eſt & parcus circa inanem verbi ſtrepitum. Quomodo ille qui dominatur, vt ait, filio ad ſeipſum trahit entis notitiam? ſiquidem aſſerit patrem ſuam trahere eſſentiam, ſuperfluus hic tractus. Adeſt enim ei eſſe, etiamſi non trahatur. Quod ſi filij eſſe ait à patre trahi, quomodo auelletur ab ente eſſe, & ad trahentem tranſmigrabit? Intelligere non queo. An non B Sabellij errorem ſomniat? quòd filius non ſit per ſe, ſed cum patris ſubſiſtentia, ſiue perſona confuſus. Et hoc ſibi vult attrahi entis notitiam à filij dominatrice eſſentia, vel eſſe ſecundùm propriam ſubſiſtentiam ſiue perſonam filium non negans, ipſum ab entis ſignificantia ſecerni aſſerit. Et quomodo poteſt, id quod eſt, ab intelligentia eius quod eſt diſiungi? Quamdiu enim fuerit quicquid fuerit, non eſſe id quod eſt, rerum natura non patitur.

A ὅμοιόν τινι παντελῶς ἐστὶν, οὔτε ἀνόμοιον. ἀλλὰ διδοὺς τὸ εἶναι ἀπαγορεύει τὸ λέγεσθαι. ὢ κενῆς ἀκριβείας· ἐν τῷ μείζονι συγχωρῶν τε, μικρολογεῖσθαι περὶ τὸν ψόφον τοῦ ῥήματος. πῶς δὲ ὁ κυριεύων, ὥς φησι, τοῦ υἱοῦ πρὸς ἑαυτὸν ἕλκει τοῦ ὄντος τὴν ἔννοιαν; εἰ μὲν γὰρ τὴν ἑαυτοῦ οὐσίαν ἕλκειν φησὶ τὸν πατέρα, περιττός ἐστιν ὁ ἑλκυσμός. πάρεστι γὰρ αὐτῷ τὸ εἶναι καὶ μὴ ἑλκόμενον. εἰ δὲ τοῦ υἱοῦ τὸ εἶναι παρὰ τοῦ πατρός φησιν ἕλκεσθαι, πῶς ἀποσπασθήσεται τοῦ ὄντος τὸ εἶναι καὶ πρὸς B τὸν ἕλκοντα μεταχωρήσει; κατιδεῖν οὐκ ἔχω. ἆρα μὴ τὴν Σαβελλίου πλάνην φαντάζεται, ὡς οὐκ ὄντος τοῦ υἱοῦ καθ' ἑαυτόν· τῇ δὲ τοῦ πατρὸς ὑποστάσει συναλειφθέντος. καὶ τοῦτο βούλεται αὐτῷ τὸ ἕλκεσθαι τὴν τοῦ ὄντος ἔννοιαν παρὰ τῆς τοῦ υἱοῦ κυριευούσης οὐσίας, ἢ εἶναι καθ' ὑπόστασιν τὸν υἱὸν οὐκ ἀρνούμενος, τῆς τοῦ ὄντος αὐτὸν φησι σημασίας ἀπομερίζεσθαι. καὶ πῶς ἐστι διαζευχθῆναι τῆς τοῦ εἶναι διανοίας τὸ ὄν; ἕως γὰρ ἂν ᾖ ποτε ὅπερ ἂν ᾖ, μὴ εἶναι ὅ ἐστι, φύσιν οὐκ ἔχει.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ Ι'.

ΑΛΛΑ καὶ πρὸς τὸ ἐφεξῆς τοῦ λόγου προϊθώμεθα. αὐτοῦ, φησί, τοῦ μονογενοῦς ἀποδιδόντος τῷ πατρὶ τὴν μόνῳ κατ' ἀξίαν ὀφειλομένην ἐπωνυμίαν. ὁ γὰρ τὴν τοῦ ἀγαθοῦ προσηγορίαν μόνῳ προσήκειν διδάξας ἐκείνῳ ὃ καὶ τῆς σφετέρας καὶ πάσης ἀγαθότητος αἰτίῳ. καὶ πᾶν τό τε ὂν καὶ γινόμενον ἀγαθὸν ἐπ' ἐκεῖνον φέρει. σχολῇ γὰρ τῶν τότε γινομένων ᾠκειώσατο τὴν ἐξουσίαν καὶ τὴν τοῦ ὄντος ἐπωνυμίαν. ἕως μὲν οὖν τισι παρακαλύμμασιν ὑπέκρυπτε τὴν βλασφημίαν ταῖς τῶν λογισμῶν περιόδοις, κατὰ τὸ λεληθὸς τοὺς ἀπατωμένους προσήγετο, προσέχειν ᾤμην δεῖν τὸν νοῦν τοῖς κατὰ τὸ λανθάνον κακουργουμένοις, καὶ ὡς ἦν οἷόν τε διαγυμνοῦν τῷ λόγῳ τὸν ὄλεθρον. ἐπεὶ δὲ παντὸς ἀπατηλοῦ προσωπείου τὸ ψεῦδος ἀπογυμνώσας, λαμπρῶς ἐπὶ λέξεως τὴν βλασφημίαν ἐκτίθεται, περιττὸν ἡγοῦμαι τοῖς οὐκ ἀρνουμένοις τὴν ἀσέβειαν τοὺς διὰ τῶν λογισμῶν ἐλέγχους ἐπάγων, μάταιον ὑπομένειν ὄχλον. τί γὰρ ἂν πλέον εὑρεθείη παρ' ἡμῶν, εἰς τὴν τῆς κακονοίας ἀπόδειξιν, οἷόν ἐστι, τὸ ἐκ τοῦ προχείρου παρ' αὐτῶν ἐν τοῖς γεγραμμένοις ἐπιδεικνύμενον, μόνον ἄξιον τῆς τοῦ ἀγαθοῦ προσηγορίας, φησί, τὸν πατέρα. μόνῳ ἐκείνῳ τὴν τοιαύτην ἐπωνυμίαν ὀφείλεσθαι. ὡς καὶ τοῦ υἱοῦ συντιθεμένου τὸ μόνῳ προσήκειν ἐκείνῳ τὴν ἀγαθότητα. ἀπολελόγηται ὑπὲρ ἡμῶν ὁ κατήγορος· τάχα γάρ τις ἐπηρεαστὴς ἐν τοῖς κατόπιν ἐνομιζόμην τοῖς ἐντυγχάνουσιν, ἐν οἷς ἀπεδείκνυον ἀλλότριον τῆς πατρικῆς ἀγαθότητος τοὺς χριστομάχους κατα-

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM.

ORATIO X.

B ENIMVERO ad ea quæ deinceps ſequuntur, pergamus. [Cùm ipſe vnigenit⁹ (inquit) reddat patri quæ ſoli pro dignitate debetur cognominationem. Qui enim boni appellationem illi ſoli conuenire docuit, qui & ſuæ & omnis bonitatis eſt autor, etiam quodcúmque bonum & quod eſt, & quod fit, in illum refert: vix enim eorum quæ fiunt, poteſtatem & entis nomen C ſibi vendicauit.] Quo vſque igitur quibuſdam velamentis ſuboccultans blaſphemiam ratiocinationum ambagibus & circuitibus ſenſim & latenter in errorem & fraudem incautos pellexit, mentem oportere adhibere putaui his quæ clàm & doloſè, malignè ageret: & quoad fieri poteſt, oratione interitũ & perniciem nudare ac detegere. Quoniam autem omni fallaci larua mendacio detecto, claram in dictione blaſphemiam exponit; ſuperuacaneum arbitror aduerſus eos qui impietatem non negant, per ratiocinationes factas repræhen- D ſiones inducendo, fruſtra ſuſtinere turbam. Quid enim amplius à nobis inueniri poſſit ad maleuolentiæ demonſtrationem, quàm quod in promptu ab ipſis in ſcriptis oſtenditur, ſolum appellatione boni dignum patrem eſſe? Illi ſoli (ait) talem appellationem deberi: vt filio etiam aſtipulante illi ſoli bonitas competat. Pro nobis cauſam egit accuſator: fortaſſis enim ſycophanta quidam & calumniator lectoribus exiſtimabar, in his quæ prius à me ſcripta ſunt, in quibus Chriſti oppugnatores Dominum alienum & ſemotum eſſe à paterna bonitate præ-

Verba Eunomij.

ſtruere demonſtrabam. Sed nunc opinor per aduerſariorum confeſſionem demonſtratum eſſe, non malitioſè & calumnioſè nos tale crimen inimicis inferre. Qui enim ſoli patri pro dignitate boni appellationem deberi aſſerit, & talem vocem illi ſoli conuenire qui dixit, contractam in præcedentibus improbitatem nunc aperto & reuelato ſermone publicat. Soli, inquit, patri conuenire boni nominationem. Vtrum cum inſita voci ſignificatione, an verò diſiunctam à proprio ſignificato? Si igitur ſolum boni nomen patri attribuit per excellentiam, miſerabilis fuerit ob dementiam, inanis verbi ſtrepitum Patri gratificans. Quòd ſi notionem quæ boni nomine ſignificatur, ſoli Deo & patri conuenire putat, execrabilis & abominandus fuerit impietatis cauſa, vt qui Manichæorum morbum in ſuis decretis renouet: vt enim ſanitas & morbus, ſic bonitas & improbitas mutuis ſublationibus ſubſiſtunt: ita vt vnius abſentia, alterius exiſtentia fiat. Ergo ſi patri ſoli bonitatem autumat conuenire, ab hac excludit quicquid in rerum natura intelligitur, excepto patre. Ita vt cum omnibus etiam vnigenitus Deus à bono excludatur: vt enim qui dicit ſolum hominem riſui aptum eſſe natura, nullum reliquorum animalium huius proprietatis particips eſſe ſimul demonſtrauit; ſic qui in patre ſolo bonum eſſe pronuntiauit, omnia ſeparat à proprietate boni. Si igitur ſolus pater pro dignitate debitam habet boni nominationem, ſicut ait Eunomius, nulli aliorum vox talis propriè applicabitur. Omnis autem electio quæ motu voluntario fertur, vel ſecundùm bonum prorſus operatur, vel ad contrarium fertur. Nam ad neutrum propendere, vel eorum quæ carent anima proprium eſt, vel eorum quæ ſenſu priuantur. Si igitur ſolus pater bonus, non aduentitiam, ſed natura inſitam habens bonitatem, non communem autem cum patre obtinet naturam filius, ſicut vult hæreſis: qui bonæ eſſentiæ eſt exſors, & à boni etiam nominatione prorſus eſt alienus. Qui autem neque boni naturæ, neque appellationis eſt particeps, non profectò igno-

A σκευάζειν τὸν κύριον. ἀλλὰ νῦν, οἶμαι, διὰ τῆς τῶν ἐναντίων ὁμολογίας ἀποδεδεῖχθαι τὸ μὴ συκοφαντικῶς ἡμᾶς τὸ τοιοῦτον ἔγκλημα τοῖς ἐχθροῖς ἐπιφέρειν. ὁ γὰρ μόνῳ τῷ πατρὶ κατ' ἀξίαν ὀφείλεσθαι τὴν τοῦ ἀγαθοῦ ἐπωνυμίαν λέγων, κἀκείνῳ μόνῳ προσήκειν εἰπὼν τὴν τοιαύτην φωνὴν, τὴν παρεισαλλομένην ἐν τοῖς προάγουσι πονηρίαν νῦν ἀνακεκαλυμμένῳ δημοσιεύει τῷ λόγῳ. μόνῳ, φησὶ, τῷ πατρὶ προσήκειν τὴν τοῦ ἀγαθοῦ ἐπωνυμίαν. ἆρα μετὰ τῆς ἐγκειμένης τῇ φωνῇ σημασίας, ἢ διεζευγμένην τῆς οἰκείας ἐμφάσεως; εἰ μὲν οὖν τὸ ὄνομα τοῦ ἀγα-
B θοῦ μόνον ἀνατίθησι τῷ πατρὶ κατ' ἐξαίρετον, ἐλεεινὸς ἂν εἴη τῆς ἀλογίας, ῥήματος διακενοῦ ψόφον τῷ πατρὶ χαριζόμενος. εἰ δὲ τὸ νόημα τὸ διὰ τοῦ ἀγαθοῦ σημαινόμενον, μόνῳ προσήκειν οἴεται τῷ Θεῷ καὶ πατρὶ, βδελυκτὸς ἂν εἴη τῆς ἀσεβείας, τὴν Μανιχαίων τὴν νόσον ἐπὶ τῶν ἰδίων δογμάτων ἀνανεούμενος. ὡς γὰρ ὑγεία καὶ νόσος, οὕτως καὶ ἀγαθότης καὶ πονηρία ταῖς ἀλλήλων ἀναιρέσεσι παρυφίστανται· ὥστε τὴν τοῦ ἑνὸς ἀπουσίαν, ὕπαρξιν τοῦ ἑτέρου γίνεσθαι. Εἰ
C οὖν μόνῳ τῷ πατρὶ προσήκειν λέγει τὴν ἀγαθότητα, ἀποκλείει ταύτης πᾶν ὅτι περ ἔστιν ἐν τοῖς οὖσι παρὰ τὸν πατέρα νοούμενον. ὥστε τοῖς πᾶσι καὶ τὸν μονογενῆ Θεὸν τοῦ ἀγαθοῦ συναπείργεσθαι. ὡς γὰρ ὁ μόνον γελαστικὸν εἶναι λέγων τὸν ἄνθρωπον, τὸ μηδὲν τῶν λοιπῶν ζώων τῆς ἰδιότητος ταύτης μετέχειν συνενεδείξατο· οὕτως ὁ ἐν μόνῳ τῷ πατρὶ τὸ ἀγαθὸν εἶναι ἀποφηνάμενος, χωρίζει τὰ πάντα τῆς κατὰ τὸ ἀγαθὸν ἰδιότητος. εἰ οὖν μόνος ὁ πατὴρ κατ' ἀξίαν ὀφειλομένην ἔχει τὴν τοῦ ἀγαθοῦ ἐπωνυμίαν, καθώς φησιν ὁ Εὐνόμιος, οὐδενὶ τῶν ἄλλων ἡ τοιαύτη
D φωνὴ κυρίως ἐφαρμοσθήσεται. πᾶσα δὲ προαίρεσις ὁρμητικὴ, ἤτοι κατὰ τὸ ἀγαθὸν ἐνεργεῖται πάντως, ἢ πρὸς τὸ ἀντικείμενον φέρεται. τὸ γὰρ πρὸς οὐδέτερον ἐπιρρεπῶς ἔχειν, ἢ τῶν ἀψύχων ἴδιον, ἢ τῶν ἀναισθήτων ἐστίν. εἰ τοίνυν μόνος ὁ πατὴρ ἀγαθὸς, οὐκ ἐπίκτητον ἔχων ἀλλ' ἐν τῇ φύσει τὴν ἀγαθότητα, οὐ κοινωνεῖ δὲ τῷ πατρὶ τῆς φύσεως ὁ υἱὸς, καθὼς ἡ αἵρεσις βούλεται· ὁ τῆς ἀγαθῆς οὐσίας ἀμέτοχος, καὶ τῆς τοῦ ἀγαθοῦ πάντως ἐπωνυμίας συναλλοτριοῦται. ὁ δὲ μήτε τῆς φύσεως τοῦ ἀγαθοῦ, μήτε τῆς ἐπωνυμίας μετέχων, οὐκ ἀγνοεῖται πάντως

ὅστις ἐστὶ, κἂν ἐγὼ φείδωμαι τοῦ βλασφήμου ὀνόματος. παντὶ γὰρ δῆλον ἐστὶν, ὅτι τὸ πονηρόν τι καὶ ἀντικείμενον εἰς τὴν τοῦ υἱοῦ ἔννοιαν ὑποβληθῆναι φιλονεικεῖ ὁ Εὐνόμιος. ὁ γὰρ μὴ ἀγαθὸς, πρὸς ποῖον ὄνομα οἰκείως ἔχει, παντὶ φανερὸν τῷ διανοίας μετέχοντι. ὡς γὰρ ὁ μὴ ἀνδρεῖος, δειλὸς, καὶ ὁ μὴ δίκαιος, ἄδικος, καὶ ὁ μὴ σοφὸς ἄφρων ἐστίν· οὕτως καὶ ὁ μὴ ἀγαθὸς πρόδηλον ἔχει τὸ ἀντιφατούμενον ὄνομα· πρὸς ὃ τὴν τοῦ μονογενοῦς ἔννοιαν ἐξωθεῖν ὁ χριστομάχος βιάζεται· ἄλλος Μάνης, ἢ Βαρδησάνης τῇ ἐκκλησίᾳ γενόμενος. Ταῦτά ἐστιν ἐν οἷς οὐδὲν τὸν λόγον ἡμῶν εἶναι φαμὲν τῆς σιωπῆς ἐνεργέστερον. μυρία τις εἰπὼν καὶ πάντας λογισμοὺς ἀνακινήσας οὐκ ἂν εἴποι τοιοῦτον εἰς κατηγορίαν οὐδὲν, οἷον παρ' αὐτῶν ἐκείνων ἐν παρρησίᾳ κηρύσσεται. τί γὰρ ἂν τις πρὸς κακίαν εὕροι πικρότερον, ἢ τὸ μὴ λέγειν ἀγαθὸν εἶναι τὸν ἐν μορφῇ Θεοῦ ὑπάρχοντα, καὶ οὐχ ἁρπαγμὸν ἡγησάμενον τὸ εἶναι ἴσα Θεῷ; ἀλλ' ἐπὶ τὸ ταπεινὸν τῆς ἀνθρωπίνης καταβάντα φύσεως διὰ μόνην φιλανθρωπίαν τοῦτο πεποιηκότα. ἀντὶ τίνος οὖν εἰπέ μοι ταῦτα τῷ κυρίῳ ἀνταποδίδοτε; χρήσομαι γὰρ τῇ μωσέως πρὸς τοὺς Ισραηλίτας φωνῇ. οὐκ ἀγαθὸς, ὅστις σε χόνιν ἄψυχον ὄντα θεοειδεῖ κάλλει κατακοσμήσας, ἔμψυχον εἰκόνα τῆς ἑαυτοῦ δυνάμεως ἀνεστήσατο; οὐκ ἀγαθὸς, ὁ διὰ σε μορφὴν δούλου λαβὼν, καὶ ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς τὰ παθήματα τῆς σῆς ἁμαρτίας ἀναμαξάμενος, καὶ δοὺς ἑαυτὸν ἀντάλλαγμα τοῦ σοῦ θανάτου, καὶ ὑπὲρ ἡμῶν κατάρα καὶ ἁμαρτία γενόμενος. οὐδὲ Μαρκίων ὑμᾶς ὁ τῶν ὑμετέρων δογμάτων προστάτης, κατὰ τοῦτο μέρος ἐπηνωρθώσατο· ᾧ κοινὸν μὲν πρὸς τὸ ὑμέτερον φρόνημα τῶν Θεῶν ἡ δυὰς, καὶ τὸ παρηλλάχθαι κατὰ τὴν φύσιν ἑκάτερον πρὸς τὸ ἕτερον οἴεσθαι, φιλανθρωπότερον δὲ τὸ τὴν ἀγαθότητα τῷ Θεῷ τοῦ εὐαγγελίου προσμαρτυρεῖν· ὑμεῖς δὲ καὶ τῆς τοῦ ἀγαθοῦ φύσεως τὸν μονογενῆ Θεὸν ἀφορίζετε, ὡς ἂν καὶ τὸν Μαρκίωνα τῇ κακίᾳ τοῦ δόγματος ὑμῶν παραδράμοιτε. ἀλλ' ἀντιλαμβάνονται τῶν γεγραμμένων, καὶ οὔ φασι δίκαια πάσχειν, ὑπὲρ τῶν τῆς γραφῆς ῥημάτων κατηγορούμενοι. αὐτὸν γὰρ λέγουσιν εἰρηκέναι τὸν κύριον τὸ, οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός. οὐκοῦν ὡς

A ratur quiſnam eſt, etiamſi ego maledico & impio nomini parcam: Cuiuis enim manifeſtum eſt, quòd improbum quiddam & contrarium in filij notionem ſubmittere malignè contendit Eunomius. Qui enim non bonus eſt, quo nomine ſit propriè appellandus, cuiuis rationis diſcurſus participi perſpicuum eſt. Sicut enim qui non eſt fortis, timidus eſt: qui non iuſtus, iniuſtus; qui non ſapiens, amens eſt: Sic qui non bonus, perſpicuum eſt quòd ex aduerſo reſpondens habet nomen: ad quod vnigeniti notionem extrudere B Chriſti oppugnator violentus nititur: alius Manes, vel Bardeſanes eccleſiæ factus: Hæc ſunt in quibus nihil eſſe noſtrum ſermonem dicimus ſilentio efficaciorem. Infinita quis proloquutus, quique omnes ratiocinationes commouerit, nihil tale ad accuſationem dixerit, quale ab illis ipſis liberè prædicatur. Quid enim ad improbitatem quis inuenerit acrius, quàm negare bonum eſſe eum qui in forma Dei eſt, quique non eſt arbitratus rapinam eſſe Deo æqualem? ſed qui ad humilitatem naturæ humanæ deſcenderit. Idque pro C ſola ſua in genus humanum beneuolentia hoc fecerit? Cuius cauſa dic mihi hæc Domino redditis? vtar enim Moſeos ad Iſraëlitas voce. Non bonus, qui te cùm puluis inanimus eſſes, diuina forma exornatum, animatam imaginem ſuæ potentiæ erexit? Non bonus qui propter te forma ſerui ſumpta & pro gaudio præſente, tui peccati afflictiones & cruciatus abſterſit, & pro tua morte ſe pretium dedit, & pro nobis maledictum ſiue execratio & peccatum factus eſt. Neque Marcion veſtrorum decretorum præſes, nos in hac parte e- D mendauerit: cui cum veſtra ſententia communis eſt deorum dualitas, commune etiam alterum ab altero ſecundùm naturam differre, putare. Sed hoc humanius eſt, quòd Deo euangelij bonitatem attribuit: vos autem vnigenitum Deum à boni natura ſecernitis, vt etiam ipſum Marcionem dogmatis veſtri prauitate præcedatis. Sed ſua ſcripta defendunt, & negant ſe iuſta perpeti, dum pro verbis ſcripturæ accuſantur. Ipſum enim aſſerunt Dominum dixiſſe: Nullus bonus eſt niſi vnus Deus. Ergo

In Cantico Moſis, Deuter. 32.

ne aduerſus diuina verba calumnia vim
Matth. 19. habeat, ipſum Euangelicum ſermonem breuiter diſpeſcamus. Iuuenem hunc nouit hiſtoria diuitem, ad quem hanc vocem dixit Dominus: opinor hunc fuiſſe aliquem qui his vitæ commodis iucundè frueretur, quique ſuas opes amaret: ipſum enim doluiſſe ſcriptura teſtatur ad conſilium derelictionis diuitiarum, quas ipſe poſſidebat, & noluiſſe permutare ſuas opes cum vita æterna. Hic quoniam vitæ æternæ aliquem magiſtrum aduenisſe audierat, ſpe perpetuò fruendi delitiis, ſi in infinitum vita ſibi extenderetur, boni appellatione Dominum blandè captans nominauit, imò verò non eum quem intelligeret eſſe Dominum: ſed eum quem in forma ſerui videret: non enim is erat, qui carnis operimentum poſſet diffindere, & diuinitatis adytum introſpicere. Qui igitur corda intuetur Dominus, ſciebat ad quid ſpectans iuuenis ille ſupplex orauerat, quòd non vtique ad diuinitatem mentis aciem intentam haberet, ſed hominem tantum rogabat, magiſtrum bonum appellans: ſpe diſcendi talem doctrinam qua mortem impediri & arceri poſſe crederet. Meritò igitur qui vocatus erat ab ipſo, hic etiam reſpondet: quoniam non ad Deum verbum facta erat collocutio, conſequenter etiam ab humanitate ad ſupplicantem fit reſponſio, duplicem iuueni inſtitutionem inducens: Per eumdem enim ſermonem docet, quòd non bonis verbis, ſed recta vita Deum colere & honorare conuenit, in exequendis eius mandatis, & in vendendis omnibus facultatibus, vt inde vitam æternam poſſet emere. tùm etiam quod humana natura in malo per peccatum conſtituta à vera & propria boni appellatione ſecernitur. Et præterea dicit: Quid me dicis bonum? Cùm dixit, me, humanam naturam quæ ipſum circumdabat oſtendit; at cùm ſermone diuinitati bonitatem attribuit, ſeipſum è veſtigio bonum pronuntiauit, qui verè ab Euangelio Deus prædicatur. Si enim tamquam funiculo diuelleretur à Dei appellatione vnigenitus filius, non eſſet abſurdum fortaſſe, ipſum à boni appellatione putare alienum. Quòd ſi Prophetæ, & Euangeliſtæ, & Apoſtoli

A αὖ μὴν καὶ κατὰ τῶν θείων ῥημάτων ἡ συκοφαντία τὴν ἰσχὺν ἔχοι, αὐτὸν τὸν εὐαγγελικὸν λόγον ἐν ὀλίγῳ διαληψόμεθα. νέον οἶδε τοῦτον ἡ ἱστορία τὸν πλούσιον, πρὸς ὃν φησι τὴν φωνὴν ταύτην ὁ κύριος, ἀπολαυστικὸν εἶναι ἵνα τὸν κατὰ τὸν βίον ἡδέων, καὶ φιλοκτήμονα· λυπεῖσθαι γὰρ αὐτόν φησι πρὸς τὴν συμβουλὴν τῆς τῶν προσόντων αὐτῷ ἀποκτήσεως, καὶ μὴ θελῆσαι τῶν κτημάτων τὴν ζωὴν ἀνταλλάξασθαι. ἐπεὶ ἐπειδή τινα ζωῆς αἰωνίας ἐπιδεδημηκέναι διδάσκαλον ἤκουσεν, ἐλπίδι τοῦ εἰς ἀεὶ τρυφήσειν,
B παρατεινομένης αὐτῷ τῆς ζωῆς εἰς ἀτελεύτητον, προσίει θωπεύων τῇ τοῦ ἀγαθοῦ προσηγορίᾳ τὸν κύριον, μᾶλλον δὲ οὐχὶ τὸν νοούμενον κύριον ἀλλὰ τὸν φαινόμενον ἐν τῇ τοῦ δούλου μορφῇ. οὐ γὰρ τοιοῦτος, οἷος διασχεῖν τὸ καταπέτασμα τῆς σαρκὸς, καὶ διιδεῖν ἰσχύσαι τὸ τῆς θεότητος ἄδυτον. ὁ τοίνυν τὰς καρδίας ὁρῶν κύριος, εἶδε πρὸς ὅ,τι βλέπων ὁ νέος ἱκετεύει, ὅτι οὐχὶ πρὸς τὸ θεῖον εἶχε τὴν ψυχὴν ἀτενίζουσαν, ἀλλὰ τὸν ἄνθρωπον ἐλιπάρει διδάσκαλον ἀγαθὸν ὀνομάζων· διὰ τὴν ἐλπίδα τοῦ μαθεῖν
C τὸ τοιοῦτο μάθημα, δι' οὗ κωλυθήσεται προσδόκιμον τὸν θάνατον. οὐκοῦν εἰκότως ὁ παρακληθεὶς παρ' αὐτοῦ, ἐπεὶ καὶ ἀποκρίνεται. τῆς γὰρ ἐντεύξεως οὐ πρὸς τὸν Θεὸν λόγον γεγενημένης, ἀκολούθως καὶ ἡ ἀπόκρισις ἐκ τοῦ ἀνθρωπίνου πρὸς τὸν ἱκετεύοντα γίνεται, διπλῆν ἐπάγουσα τῷ νέῳ τὴν παίδευσιν. διδάσκει γὰρ κατὰ ταὐτὸν, ὅτι τε τῷ βίῳ προσήκει, καὶ οὐχὶ ῥημάτων εὐφημίᾳ θεραπεύειν τὸ θεῖον, ἐν τῷ τὰς ἐντολὰς ποιεῖν, καὶ προσόντων πάντων ὠνεῖσθαι τὴν αἰώνιον ζωὴν, καὶ ὅτι τὸ ἀνθρώπι-
D νον ἐν πονηρίᾳ διὰ τὴν ἁμαρτίαν γενόμενον, ἀποκέκριται τῆς κυρίας τοῦ ἀγαθοῦ κλήσεως. καὶ διὰ τοῦτο φησί. τί με λέγεις ἀγαθόν; διὰ τοῦ εἰπεῖν, ἐμὲ, τὴν ἀνθρωπίνην φύσιν τὴν περὶ αὐτὸν ὑποδεικνύων τῷ λόγῳ. τῇ δὲ θεότητι προσμαρτυρήσας τὴν ἀγαθότητα, ἑαυτὸν ἄντικρυς ἀγαθὸν ἀπεφήνατο, τὸν ἀληθῶς ὑπὸ τοῦ εὐαγγελίου Θεὸν κηρυσσόμενον. Εἰ μὲν γὰρ ἀπεσχοινίζετο τῆς τοῦ Θεοῦ προσηγορίας ὁ μονογενὴς υἱὸς, οὐκ ἂν ἄτοπον ἴσως τὸ ἀλλότριον αὐτὸν καὶ τῆς τοῦ ἀγαθοῦ προσηγορίας οἴεσθαι. Εἰ δὲ δὴ καὶ προφῆται, καὶ εὐαγγελισταὶ, καὶ ἀπόστολοι διαβοῶσι τῷ μο-

νογενοῦς

νογενοῦς τὴν θεότητα· μαρτυρεῖται δὲ παρ' αὐτοῦ A τοῦ κυρίου τῷ Θεῷ προσήκειν τὸ τῆς ἀγαθότητος ὄνομα, πῶς οὐ κοινωνοῖ τῆς ἀγαθότητος ὁ κοινωνῶν τῆς θεότητος; ὅτι γὰρ καὶ προφῆται Θεὸν ὁμολογοῦσι τὸν κύριον, καὶ εὐαγγελισταὶ, καὶ μαθηταὶ καὶ ἀπόστολοι, οὐδεὶς οὕτω τῶν θείων ἀμύητος, ὡς λόγῳ δεῖσθαι περὶ τούτων μαθεῖν. τίς γὰρ οὐκ οἶδεν ἐν τῇ τεσσαρακοστῇ καὶ τεσσαρακοστῇ ψαλμῳδίᾳ, ὅτι Θεὸν παρὰ Θεοῦ χριόμενον, τὸν Χριστὸν ὁ προφήτης διακηρύσσει τῷ λόγῳ. καὶ πάλιν τὸν Ησαΐαν οὕτω περιφανῶς βοῶντα τοῦ υἱοῦ τὴν θεότητα, τίς ἀγνοεῖ τῶν B καθωμιληκότων τῇ προφητείᾳ, ἐν οἷς μετὰ τῶν ἄλλων καὶ τοῦτο φησὶν, ὅτι Σαβαεὶμ, ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ ὁ Θεός, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ. σὺ γὰρ εἶ ὁ Θεός. τίς γὰρ ἄλλος Θεὸς ὁ ἐν ἑαυτῷ Θεὸν ἔχων, καὶ αὐτὸς ὢν Θεός, πλὴν τοῦ μονογενοῦς, εἰπάτωσαν οἱ τῆς προφητείας ἀνήκοοι· τὴν δὲ τοῦ Εμμανουὴλ ἑρμηνείαν, καὶ τὴν τοῦ Θωμᾶ μετὰ τὴν ἐπίγνωσιν ὁμολογίαν, C τήν τε τοῦ Ιωάννου μεγαλοφωνίαν, ὡς πρόδηλοι οὖσαν καὶ τοῖς ἔξω τῆς πίστεως, σιωπήσομεν. ἀλλ' οὐδὲ τὰς Παύλου φωνὰς δι' ἀκριβείας οἶμαι δεῖν παρατίθεσθαι, πᾶσιν οὔσας σχεδὸν διὰ στόματος. ὃς οὐ μόνον Θεὸν, ἀλλὰ καὶ μέγαν Θεὸν, καὶ ἐπὶ πάντων Θεὸν ὀνομάζει τὸν κύριον, πρὸς μὲν Ρωμαίους λέγων· ὅτι ὧν οἱ πατέρες καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. πρὸς δὲ τὸν μαθητὴν ἑαυτοῦ Τίτον γράφει, κατὰ τὴν ἐπιφά- D νειαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ. Τιμοθέῳ δὲ διαρρήδην βοᾷ· ὅτι ὁ Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι. πανταχόθεν τοίνυν ἀποδειχθέντος τοῦ Θεοῦ, εἶναι τὸν μονογενῆ Θεὸν, πῶς ὁ τῷ Θεῷ προσήκειν τὴν ἀγαθότητα λέγων, τῆς ἐπωνυμίας ταύτης ἀλλοτρίαν ἀποδείκνυσι τοῦ υἱοῦ τὴν θεότητα; καὶ ταῦτα αὐτῆς τοῦ κυρίου τὸ ἀγαθὸν ἑαυτῷ προσμαρτυροῦντος ἐν τῇ τῶν μεμισθωμένων εἰς τὸν ἀμπελῶνα παραβολῇ. ἐκεῖ γὰρ τῶν προκεκμηκότων δυσχεραινόντων, τῇ τῶν μισθωμάτων ἰσομοιρίᾳ, καὶ ζημίαν κρινόντων ἰδίαν τὴν τῶν τελευταίων τὴν εὐπραγίαν, φησὶ, πρὸς ἕνα τῶν χαλεπαινόντων ὁ δίκαιος κριτής. ὅτι ἑταῖρε οὐκ ἀδικῶ σε,

A vnigeniti diuinitatem celebrāt: ipſe autem Dominus teſtatur bonitatis nomen Deo cōuenire: quomodo non particeps eſt bonitatis qui diuinitatis conſors eſt & particeps? Quod enim etiam Prophetæ Dominū Deum confitētur, & Euangeliſtæ, itē diſcipuli & Apoſtoli, nullus vſque adeò rudis & ignarus diuinorum & non initiatus, vt de his erudiri ſermone indigeat. Quis enim ignorat in quarto & quadrageſimo Pſalmo, quòd Deū à Deo vnctum Chriſtum Propheta prędicat? Et rurſus Eſaiam, tam apertè & B clarè clamantem filij diuinitatem, quis eorum qui in prophetia verſati ſunt, neſcit? in quibus cum aliis hoc etiam effatur: Sabaim viri ſublimes ad te tranſibunt, & tui erunt ſerui. Poſt te ambulabunt, vincti manicis pergēt, & te adorabunt, téque deprecabuntur. Tantum in te eſt Deus, & non eſt abſque te Deus. Verè enim tu es Deus. Quis enim alius Deus qui in ſeipſo Deum habet, & ipſe eſt Deus, pręter vnigenitum, dicant qui prophetiā non audierunt. At verò Emmanuel interpretationem, & Thomæ poſt agnitionem confeſſionē, & Ioannis C vocis ſublimitatem, vt notā etiā his qui ſunt extra fidē reticebo. Sed neq. Pauli voces exacta ſubtilitate apponēdas eſſe arbitror, vt quæ propemodum ſint in ore omnium, qui non ſolum Deum, ſed etiā magnū Deum, & in omnib. Deum nominat Dominum: ad Romanos quidem dicens, Quorū patres, & ex quibus eſt Chriſtus ſecundùm carnē, qui eſt in omnib. benedictus Deus in ſæcula. Ad diſcipulum ſuum Titum ſcribit, Secundùm apparitionē magni Dei & ſaluatoris noſtri Ieſu Chriſti. Ad Timotheū ve- D rò apertè clamitat: quòd Deus manifeſtatus eſt in carne, iuſtificatus in ſpiritu. Cùm igitur vbique demōſtratū ſit, vnigenitum Deum eſſe Deum, quomodo is qui Deo bonitatē conuenire dicit, ab hac appellatione filij diuinitatē alienā eſſe demōſtrat? prę̨ſertim cùm Dominus ſibi bonū attribuat, in parabola eorum qui mercede cōducti ſunt in vineā. Cùm enim illic qui prius conducti labore defeſſi erant, indignarētur ob mercedis æqualitatē, mulctámq. & dānum propriū iudicarēt, rē à cęteris operariis proſperè geſtā, eorū qui ægrè ferebant vni dixit iuſt⁹ iudex, Amice, nō facio tibi iniuriā;

Eſai.45.
Rom.9.
Tit.2.
1.Tim.3.
Matth.20.

nónne denario diurno tecum conueni? Ecce habes quod tuum eſt: volo autem & huic vltimo tantum dare quantum tibi. An non habeo poteſtatem in meis faciendi quod volo? An oculus tuus nequã eſt, quia ego bonus ſum? Nullus prorſus de hoc ambitioſè contendet, quòd ea quæ pro meritis & dignitate fit diſtributio, proprium iudicis munus eſt: vnigenitũ autem Deum iudicem eſſe omnes Euangelij diſcipuli adſtipulãtur. Pater (inquit) non iudicat quemquam, ſed omne iudicium dedit filio. Sed non reſiſtunt ſcriptis: dicunt enim vnius adiectionem propriè ad patrem reſpicere. Nullus enim, ait bonus,
Matth. 19. niſi vnus Deus. An igitur ad ſui patrocinium langueſcet veritas? An multis locis minimo negotio hanc fallacẽ & captioſam ratiocinationem erroris licet refellere? Qui enim hæc de patre dixit, & illa ad patrem dicit, Quòd omnia mea tua ſunt: &, In ipſis glorificatus ſum. Si autem omnia quæ ſunt patris dicit filij eſſe, vnum autem eorum quæ in patre ſpectantur eſt bonitas, vel omnia non habet, ſi quidem hoc non habet, & mentiri dicent veritatem: vel ſi nefas eſt veritatem ipſam ſuſpicari in mendacium ferri, qui omnia quæ ſunt patris ſua eſſe dicit, neque extra bonitatem eſſe confeſſi ſunt. Qui enim patrem in ſemetipſo habet, & quæ ſunt patris complexus omnia, cum omnibus videlicet bonitatem etiam habet: bonus igitur filius. Sed nullus (inquit) bonus niſi vnus Deus. Hoc ab aduerſariis profertur, neque ipſe ſermonem reijcio: non tamen propterea filij bonitatem nego. Qui enim Dominum Deum eſſe confitetur, & quod bonum eſt, ei omnino hac confeſſione attribuit. Si enim bonitas propria eſt Dei, & Dominus eſt Deus, bonus itaque per hæc quæ poſita ſunt filius oſtenditur. Sed ait vnius dictio filium boni communione ſecernit: ſed eſt facile demonſtrare quòd neque hoc à filio patrẽ diſſipat. Etenim in omnibus alijs quod vnum eſt, incopulatam habet ſignificationem: in patre verò & filio, quod vnum eſt non in ſolitudine ſiue ſingularitate conſpicitur. Ego enim (inquit) & pater vnum ſumus. Si igitur vnus quidem bonus: vnitas autem quædam in filio & patre intelligitur: ergo Dominus qui vni bonitatem attribuit,

A οὐχὶ δηναρίου συνεφώνησά σοι τὴν ἡμέραν; ἰδοὺ ἔχεις τὸ σόν· θέλω δὲ καὶ τῷ ἐσχάτῳ χαρίσασθαι ὥσπερ καὶ σοί. μόνον οὐκ ἔχω ἐξουσίαν ἐν τοῖς ἐμοῖς ποιεῖν ὃ θέλω; ἢ ὁ ὀφθαλμός σου πονηρὸς, ὅτι ἐγὼ ἀγαθός εἰμι; πάντως δὲ οὐδεὶς περὶ τούτου φιλονεικήσει, ὅτι ἡ τοῦ κατ' ἀξίαν διανομὴ ἴδιον τοῦ κριτοῦ ἔργον ἐστὶ, κριτὴν δὲ τὸν μονογενῆ Θεὸν εἶναι πάντες οἱ μαθηταὶ τοῦ εὐαγγελίου συντίθενται. ὁ γὰρ πατὴρ, φησι, κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ. ἀλλ' οὐ καθίσανται τῶν γε-
B γραμμένων. φασὶ γὰρ τὴν τοῦ ἑνὸς προσθήκην κυρίως εἰς τὸν πατέρα βλέπειν. οὐδεὶς γὰρ, φησὶν, ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός. ἆρ' οὖν ἀπορήσει πρὸς συνηγορίαν ἑαυτῆς ἡ ἀλήθεια, ἢ πολλαχόθεν ἐστὶν ἐν εὐκολίᾳ πολλῇ καὶ τοῦτον ἐξελέγξαι τὸν παραλογισμὸν τῆς ἀπάτης. ὁ γὰρ ταῦτα περὶ τοῦ πατρὸς εἰπὼν, κἀκεῖνα πρὸς τὸν πατέρα φησίν· ὅτι πάντα τὰ ἐμὰ, σά ἐστι· καὶ, δεδόξασμαι ἐν αὐτοῖς. εἰ δὲ πάντα τὰ τοῦ πατρὸς τοῦ υἱοῦ φησὶν εἶναι· ἓν δὲ τῶν ἐν τῷ πατρὶ θεωρουμένων ἡ ἀγαθότης, ἢ
C πάντα οὐκ ἔχει, εἴπερ τοῦτο οὐκ ἔχει. καὶ ψεύδεσθαι φήσουσι τὴν ἀλήθειαν; ἢ εἴπερ ἀθέμιτον καθυπονοεῖσθαι τὴν ὄντως ἀλήθειαν, ὡς εἰς ψεῦδος ἐκφερομένην, ὁ πάντα τὰ τοῦ πατρὸς ἑαυτοῦ λέγων, οὐδὲ τῆς ἀγαθότητος ἐκτὸς εἶναι συνωμολόγησεν. ὁ γὰρ ἐν ἑαυτῷ τὸν πατέρα ἔχων, καὶ τὰ τοῦ πατρὸς ἐμπεριειληφὼς πάντα, μετὰ πάντων δηλονότι καὶ τὴν ἀγαθότητα ἔχει. οὐκοῦν ἀγαθὸς ὁ υἱός. ἀλλ' οὐδεὶς, φησὶν, ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. τοῦτο παρὰ τῶν ἐναντίων προφέρεται, οὐδὲ αὐτὸς ἀποβάλλω τὸν λόγον. οὐ μὴν ἀρνοῦμαι διὰ τοῦτο τοῦ υἱοῦ τὴν θεότητα. ὁ δὲ ὁμολογῶν Θεὸν εἶναι τὸν κύ-
D ριον, καὶ τὸ ἀγαθὸν αὐτῷ πάντως διὰ τῆς ὁμολογίας ταύτης συνεμαρτύρησεν. εἰ γὰρ ἴδιον Θεοῦ ἡ ἀγαθότης, Θεὸς δὲ ὁ κύριος, ἀγαθὸς ἄρα διὰ τῶν τεθέντων ὁ υἱὸς ἀναπέφηνεν. ἀλλὰ, φησὶ, τοῦ ἑνὸς ἡ λέξις, ἀποκρίνει τὸν υἱὸν τῆς τοῦ ἀγαθοῦ κοινωνίας. ἀλλὰ ῥᾴδιον δεῖξαι ὅτι οὐδὲ τὸ ἓν τοῦτο διαχωρίζει τοῦ υἱοῦ τὸν πατέρα. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων, τὸ ἓν ἀσυνδύαστον ἔχει τὴν σημασίαν. ἐπὶ δὲ τοῦ πατρὸς τε καὶ τοῦ υἱοῦ, τὸ ἓν οὐκ ἐν μονότητι καθορᾶται. ἐγὼ γὰρ, φησι, καὶ ὁ πατὴρ ἕν ἐσμεν. εἰ οὖν εἷς μὲν ὁ ἀγαθὸς, ἑνότης δέ τις ἐν τῷ υἱῷ καὶ τῷ πατρὶ θεωρεῖται· ἄρα ὁ κύριος ἑνὶ μαρτυρήσας τὴν ἀγαθότητα,

καὶ ἑαυτῷ διὰ τῆς ἑνὸς τὴν ἐπωνυμίαν ταύτην προσεμαρτύρησε, τῷ ἓν ὄντι πρὸς τὸν πατέρα, καὶ οὐκ ἀπορρηγνυμένῳ τῆς κατὰ φύσιν ἑνότητος. ἀλλ' ὅπως ἂν διὰ πάντων ἔκδηλος γένοιτο τοῦ σεμνοῦ λογογράφου τὸ φιλομαθὲς καὶ ἀπαίδευτον, καὶ αὐτὴν καταμηνύσωμεν ἐπὶ λέξεως τὴν γεγραμμένην τῶν σύνταξιν. Οὐκ οἰκειοῦται, φησί, τὴν τοῦ ὄντος ἀξίαν ὁ υἱός, ἀξίαν ὀνομάζων, αὐτὸ τὸ εἶναι. πῶς οἶδε κυρίως τοῖς πράγμασιν ἐφαρμόζειν τὰ ῥήματα· καὶ ὅτι διὰ τὸν πατέρα ἐστὶν, ἀλλοτριοῦσθαι αὐτὸν ἑαυτοῦ λέγει. ὡς καὶ τῆς τούτου κυριευούσης οὐσίας πρὸς ἑαυτὴν ἑλκούσης τὴν τοῦ ὄντος ἔννοιαν. τοῦτο δὲ τοιοῦτόν ἐστιν, ὡς ἂν εἴ τις λέγοι, ὅτι ὁ ἀργυρώνητος καθό ἐστι, κατὰ τὴν ἰδίαν ὑπόστασιν, οὐκ ἐκεῖνός ἐστιν. ἀλλ' ὁ ἐωνημένος, τῆς καὶ οὐσίας ἑαυτοῦ ὑποστάσεως εἰς τὴν τοῦ κυριεύοντος φύσιν ἀναληφθείσης. ταῦτα τὰ ὑψηλὰ τοῦ θεολόγου νοήματα, ἡ δὲ τῶν προειρημένων ἀπόδειξις οἵα. αὐτοῦ φησὶ τοῦ μονογενοῦς ἀποδιδόντος τῷ πατρὶ, τῷ μόνῳ καὶ ἀξίαν ὀφειλομένην ἐπωνυμίαν. καὶ ταῦτα εἰπὼν ἐπάγει, τὸ μόνον εἶναι ἀγαθὸν πατέρα. ποῦ τοίνυν ἐν τούτοις ἀρνεῖται ὁ υἱὸς τὴν ἐπωνυμίαν τοῦ ὄντος; ὅπερ κατασκευάζει ΕΥνόμιος, ταῦτα προσθεὶς ἐπὶ λέξεως. ὁ γὰρ τὴν τοῦ ἀγαθοῦ πρόσρησιν μόνῳ προσήκειν διδάξας ἐκείνῳ ᾧ καὶ τῆς σφετέρας, καὶ πάσης ἀγαθότητος αἰτίῳ, καὶ πάντοτε ὄντι, καὶ τὸ γινόμενον ἀγαθὸν ἐπ' ἐκεῖνον φέρων. σχολῇ γ' ἂν τὴν ποτὲ γινομένων ᾠκειώσατο τὴν ἐξουσίαν καὶ τὴν τοῦ ὄντος ἐπωνυμίαν. τί κοινωνεῖ τοῖς εἰρημένοις ἡ ἐξουσία; πῶς δὲ μετὰ ταύτης καὶ τῆς τοῦ ὄντος ἐπωνυμίας ὁ υἱὸς ἠλλοτρίωται; ἀλλ' οὐκ οἶδα τί χρὴ πλέον ἐν τούτοις ποιεῖν· γελᾶν τὴν ἀμαθίαν, ἢ ἐλεεῖν τὴν ἀπώλειαν, ἤ τι γὰρ τῆς σφετέρας λέξις, οὐχ οὕτως ἐκληφθεῖσα ὡς πέφυκέ τε καὶ εἴωθεν ἐν χρήσει γίνεσθαι παρὰ τοῖς εἰδόσι χρῆσθαι λόγῳ, πολλὴν αὐτῷ μαρτυρεῖ τῆς ἀντονομαστικῆς τεχνολογίας τὴν ἐπιστήμην, ἣν καὶ τὰ παιδάρια παρὰ τοῖς γραμματισταῖς ἀμογητὶ διεξέρχεται. καὶ τὸ παρενεχθῆναι τοῦ προκειμένου γελοίως αὐτὸν πρὸς τὰ μηδὲν ἐπικοινωνοῦντα τῷ λόγῳ καὶ τῷ σχήματι συμπερασικῷ. τὸ μὴ κοινωνεῖν τὸν υἱὸν τῆς ἐπωνυμίας τοῦ ὄντος, ταῖς ἀλλοκότοις ἐφαρμοζόμενον κατασκευαῖς· καὶ πάντα τὰ τοιαῦτα καθάπερ ἐξεπίτηδες ἐπὶ γέλωτι σύγκειται.

A & ſibi ipſi per vnius cognominationem aſſignauit: vtpotè qui ſit vnus cum patre, neque à patris vnitate ſecundùm naturam diuulſus. Sed vt per omnia huius grauis ſcriptoris ineruditio & inſcitia manifeſtè pateat, ſcriptorum ad verbum ſyntaxin conſideremus: filius (inquit) eius qui eſt dignitatem non ſibi vendicat: dignitatem nominans ipſum eſſe. Quomodo nouit propriè verba rebus accommodare! Et quoniam per patrem eſt, illum ab ipſo alienatum eſſe dicit: quia nimirum huius dominatrix eſſentia ad ſeipſam trahat entis B notionem: hoc autem tale eſt ac ſi quis dicat, quòd argento emptus, qua eſt, ſecundùm ſuam ſubſiſtentiam non ille eſt, ſed qui emptus eſt, ſubſiſtentia ſecundùm ſui eſſentiam ad dominantis naturam aſſumpta: hæ ſunt altæ huius theologi notiones: ſed antè dictorum demonſtratio qualis? Cùm ipſe (inquit) vnigenitus reddat patri ſoli ſecundùm dignitatem debitam cognominationem, & hæc locutus ſubiunxit, ſolum bonum eſſe patrem: vbi igitur in his filius ſibi denegat entis appellationem? C quod quidem aſtruit Eunomius hæc adijciens ad verbum. Qui enim boni appellationem ſoli conuenire docuit, illi ſuæ omniſque bonitatis autori & omnino enti, & quod fit bonum, in illum refert: vix eorum quæ fiunt, poteſtatem & entis nomen ſibi applicauit. Quid habet commune cum dictis poteſtas? Quomodo cum hac & ab entis nominatione filius alienatus eſt? Sed quid potius in his agendum ſit neſcio, an ridenda ſit inſcitia, an miſeranda perditio! Etenim eius dictio non aſſumpta vt D in vſu natura ſolet vſurpari apud eos qui oratione vti ſciunt, valde peritum eſſe teſtatur in eo rhetorices artificio quo nomina alia pro aliis ponuntur, quam gloriolam paruuli apud Grammatiſtas ſine labore ſectantur. Et quòd ipſe à propoſito ridiculè transferatur ad ea quæ nullam habent communionem cum ratione & figura qua concludi deberet, filio non eſſe communem entis appellationem, quod abſurdis & portentoſis nititur accommodare probationibus. Hæc & eiuſmodi quæ veluti de induſtria ad riſum excitandum conflata ſunt.

Ita vt fieri poſſit vt etiam ſtupidiores quid perpetiantur & rideant ob inconcinnitatem eius ſermonum. Verumenimuerò quòd Deus Verbum non ſit, vel quòd omnino non ſit bonus: hæc enim præſtruit, per quæ & entis nominationem & boni appellationem dicit non filio poſſe propriè conuenire. Et quòd præſtruit eorum quæ fiunt poteſtatem non ipſi competere: hæc lacrymis digna & flebili contibicinio ſiue lamento. Neque enim præcipiti quodam atque inconſiderato impetu, ſemel alicubi tale quiddam perperam locutus, in ſequentibus deinde erratũ emendat: ſed in prauitate immoratur, ac ſecundis ambitioſè contendit priora ſuperare:

Verba Eunomij.

dicit enim progrediens. [Ipſum tantò eſſe diuina natura inferiorem, quantò ab illo ad humilius Angelorum natura deſcendit] quod quidem non iiſdem verbis ſcribit, ſed per ea quę dicit talem ſententiã aſtruit: lectoribus autem ſermonẽ licet dijudicare: ſic enim ſcripta verba habent.

Verba Eunomij.

[qui ex eo quòd Angelus nominatus eſt, hoc quidem apertè docuit, per quem ſermones annuntiauit, & quis eſt: ex eo verò quòd Deus nominatus eſt, oſtendit eam quæ ipſi propria eſt ſuper omnia eminentiam. Qui enim eorum quæ per ipſum facta ſunt, Deus eſt, Angelus eius eſt, qui eſt in omnibus Dei.] Medium intercidit ſermonem ira in cor illapſa, & ad perturbationẽ effuſa eſt ratio ad irã, per ea quæ dicta, fuerunt commota. Ac mihi fortaſſe talis animi perturbatio non venia indigna videtur. Cui enim ex his ira nõ incanduerit? pręſertim cùm Apoſtolus omnẽ angelicam

Hebr. 1.

naturam Domino mancipatam eſſe clamet: ad teſtimoniũ dogmatis aſſumens propheticam altiloquentiã. Cum enim ait, primogenitum in orbem terrarum

Pſal. 103.

inducit, dicit, & adorabunt eum omnes Angeli eius: & illud, Thronus tuus Deus in ſæculum ſæculi: & hoc, Tu autem idem ipſe es, & anni tui non deficient. Omnia ad demonſtrationem vnigeniti Dei hæc cùm Apoſtolus recenſet, quid patior cùm ex Chriſti hoſte Angelorum Dominum Ange-

Pſal. 109.

lum eſſe audio, qui non temerè & fortuitò talem ſermonem proijciat, ſed qui in abſurditate anxius laboret: vt nihil amplius Ioanne & Moſe ipſum habere præſtruat. Dicit enim de illo ſermo, hic eſt de quo ſcriptum eſt.

A ὥστε τι καὶ παθεῖν τυχὸν τοὺς ἀμελεστέρους καὶ ἐπιγελάσαι τῷ ἀσυναρτήτῳ τῶν λόγων. ἀλλὰ τὸ μὴ εἶναι τὸν Θεὸν λόγον, ἢ ἀγαθὸν πάντως μὴ εἶναι· ταῦτα γὰρ κατασκευάζει δι' ὧν τήν τε τοῦ ὄντος ἐπωνυμίαν καὶ τὴν τοῦ ἀγαθοῦ μὴ οἰκειοῦσθαι λέγει. καὶ τὸ κατασκευάζειν τὴν τῶν γινομένων ἐξουσίαν μὴ προσήκειν αὐτῷ, ταῦτα δακρύων ἄξια καὶ θρηνητικῆς συναυλίας. οὐδὲ γὰρ κατά τινα προπετῆ καὶ ἀπερίσκεπτον ὁρμὴν ἅπαξ πού τὸ τοιοῦτον παραφθεγξάμενος, εἶτα ἐπανορθοῦται τοῖς ἐφεξῆς τὸ

B πλημμέλημα, ἀλλ' ἐμφιλοχωρεῖ τῇ κακίᾳ, τοῖς δευτέροις φιλονεικῶν ὑπερβάλλεσθαι τὰ φθάσαντα· λέγει γὰρ προϊών, τοσοῦτον αὐτὸν εἶναι κάτω τῆς θείας φύσεως, ὅσον ἀπ' ἐκείνου πρὸς τὸ ταπεινότερον ἡ τῶν ἀγγέλων ἀποβέβηκε φύσις. οὐ τούτοις γράφων τοῖς ῥήμασιν, ἀλλὰ κατασκευάζων δι' ὧν λέγει τὴν τοιαύτην διάνοιαν. ἔξεστι δὲ κρῖναι τὸν λόγον τοῖς ἐντυγχάνουσιν. ἔχει γὰρ οὕτω τὰ γεγραμμένα· ὃς τὸ μὲν ἄγγελος ὠνομάσθαι, σαφῶς ἐδίδαξε, δι' ὅτου διήγγειλε τοὺς λόγους, καὶ τίς ὁ ὤν. τῷ δὲ καὶ Θεὸς προσειρῆσθαι,

C τὴν ἰδίαν ἔδειξε κατὰ πάντων ὑπεροχήν. ὁ γὰρ τῶν δι' αὐτοῦ γινομένων Θεός, ἄγγελος τοῦ ἐπὶ πάντων Θεοῦ. ἐξέκοψε μεταξὺ τὸν λόγον, θυμὸς ἐμπεσὼν τῇ καρδίᾳ, καὶ συγκέχυται πρὸς τὸ πάθος ὁ λογισμὸς εἰς ὀργὴν ὑπὸ τῶν λεγομένων παρακινούμενος, καὶ τάχα μοι τὸ τοιοῦτο πάθος τῆς ψυχῆς οὐκ ἀσυγγνωστον. τίνι γὰρ οὐκ ἂν ἐκ τούτων ὁ θυμὸς ἐπιζέσειε; τοῦ μὲν ἀποστόλου πᾶσαν ἀγγελικὴν φύσιν ὑποχείριον εἶναι τοῦ κυρίου βοῶντος, συμπαραλαμβάνοντος δὲ εἰς μαρτυρίαν τοῦ δόγματος, καὶ τὴν προφητικὴν

D μεγαλοφωνίαν. ὅταν γάρ, φησιν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι αὐτοῦ, καὶ τό, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ τό, σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. πάντα πρὸς ἔνδειξιν τοῦ μονογενοῦς Θεοῦ ταῦτα τοῦ ἀποστόλου διεξιόντος. τί πάθω τὸν τῶν ἀγγέλων κύριον ἄγγελον εἶναι παρὰ τοῦ χριστομάχου ἀκούων, οὐ κατὰ τὸ συμβὰν τὸν τοιοῦτον ἀπορρίψαντος λόγον, ἀλλ' ἐναγωνιζομένου τῇ ἀτοπίᾳ. ὡς μηδὲν πλέον Ἰωάννου καὶ Μωσέως τὸν ἔχειν κατασκευάζεσθαι. λέγει γὰρ περὶ ἐκείνου ὁ λόγος, οὗτός ἐστι περὶ οὗ γέγραπται.

ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου. ἄγγελος οὗτος Ἰωάννης. ἀλλὰ καὶ Θεὸν ὀνομάζῃ τὸν κύριον ὁ ἐχθρὸς τοῦ κυρίου, ἀναλογεῖν αὐτὸν κατασκευάζει τῇ Μωσέως θεότητι, ἐπειδὴ κἀκεῖνος τῶν μὲν ἐπὶ πάντων Θεοῦ θεραπόντων, τῶν δὲ Αἰγυπτίων ἐτάχθη Θεός. καί τοι τὸ ἐπὶ πάντων, καθὼς ἐν τοῖς κατόπιν εἴρηται, κοινὸν τοῦ υἱοῦ πρὸς τὸν πατέρα, τοῦ ἀποστόλου τὴν τοιαύτην αὐτῷ προσμαρτυρηκότος φωνὴν, ἐν οἷς φησιν. ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός. ἀλλ' οὗτος εἰς ἀγγέλου τάξιν κατάγει τὸν τῶν ἀγγέλων κύριον· ὥσπερ οὐκ ἀκηκοὼς, ὅτι οἱ ἄγγελοι λειτουργικὰ πνεύματα, καὶ πυρὸς φλόγες εἰσί. διὰ τούτων γὰρ ὁ ἀπόστολος ἀσυγχύτως, καὶ σαφῆ ποιεῖται τὴν τῶν ὑποκειμένων διάκρισιν. τὴν μὲν ὑποχείριον φύσιν, πνεύματα εἶναι καὶ πῦρ ὁριζόμενος· τὴν δὲ κυριεύουσαν δύναμιν τῷ τῆς θεότητος διασημαίνων ὀνόματι. καὶ τοσούτων ὄντων τὴν δόξαν τοῦ μονογενοῦς Θεοῦ διαγγελλόντων; μόνος τοῖς πᾶσιν ἀντιβοᾷ ὁ Εὐνόμιος, ἄγγελον αὐτὸν τοῦ ἐπὶ πάντων λέγων Θεοῦ· τῇ μὲν πρὸς τὸν ἐπὶ πάντων ἀντιδιαστολῇ, ἕνα τῶν πάντων εἶναι δεικνύμενος. τῇ δὲ πρὸς τοὺς ἀγγέλους τοῦ ὀνόματος κοινωνίᾳ, τὸ μηδὲν ἐκείνων παρηλλάχθαι τῇ φύσει κατασκευάζων. πολλάκις γὰρ τὸ τοιοῦτον ἐν τοῖς κατόπιν φησὶν, ὅτι ὅσα τῆς αὐτῆς κοινωνεῖ προσηγορίας, οὐδ' ἂν κατὰ τὴν φύσιν ἑτέρως ἔχοι. ἆρ' οὖν ἔτι τῶν ἀντιλεγόντων ὁ λόγος προσδεῖται· περὶ τοῦ διαῤῥήδην βοῶντος τὸν ἄγγελον μὴ τὸν ἴδιον, ἀλλὰ τὸν τοῦ ὄντος ἀπαγγέλλειν λόγον. διὰ γὰρ τούτου δείκνυται τί ὁ ἐν ἀρχῇ ὢν λόγος· Θεὸς λόγος, οὐκ αὐτὸς λόγος ἐστὶν, ἀλλ' ἑτέρου τινὸς λόγου γίνεται λόγος, διάκονός τε καὶ ἄγγελος ἐκείνου γενόμενος· κἀκεῖνο δὲ τίς ἀγνοεῖ τῶν πάντων, ὅτι τῷ ὄντι τὸ μὴ ὂν ἀντιδιαιρεῖται μόνον. ὥστε ὁ τὸν υἱὸν ἀντιδιαστείλας τῷ ὄντι, σαφῶς ἰουδαΐζει, τὴν τοῦ μονογενοῦς ὑπόστασιν ὑποκλέπτων τοῦ δόγματος. ὃν γὰρ ἔξω τῆς τοῦ ὄντος ἐπωνυμίας λέγει, καὶ τοῦ εἶναι πάντως ἐξῃρῆσθαι κατασκευάζει. οὐ γὰρ δὴ τὸ εἶναι διδοὺς πρὸς τὸν τοῦ ῥήματος ἦχον διενεχθήσεται. ἀλλὰ καὶ τῇ γραφῇ κρατύνειν ἐπιχειρεῖ τὴν ἀτοπίαν, καὶ προβάλλεται τὸν Μωσέα συνήγορον κατὰ τῆς ἀληθείας.

A Ecce ego mitto Angelum meum ante faciem tuam. *Marc 1.* *Eſa. 40.* Angelus igitur Ioannes. Tametſi autem hic Domini inimicus, Dominum Deum nominat, ipſum tamen proportione quadam Moſis diuinitati reſpondere autumat: quoniam & ille eius qui eſt in omnibus Dei famulus, Ægyptiorum verò ordinatus eſt Deus. Quinetiam quod in omnibus ſit Deus (ſicut & in præcedentibus dictum eſt) commune eſt filio cum patre, id verò Apoſtoli teſtimonio probari poteſt, qui ei talem vocem attribuit, dùm dicit. Ex quibus Chriſtus ſecundùm B carnem qui eſt in omnibus Deus. Sed hic in Angeli ordinem redigit eum qui eſt Angelorum Dominus: perinde ac ſi non audiiſſet, quòd Angeli ſpiritus *Hebr. 1.* ſunt adminiſtratorij, & ignis flammæ. *Pſal. 44.* Per hæc enim Apoſtolus inconfuſè, atque manifeſtam facit ſubiectorum diſtinctionem. Naturam quidem ſubditam atque mancipatam, ſpiritus eſſe & ignem definiens: dominantem verò potentiam, diuinitatis ſignificans nomine. Et cùm tot ſint qui gloriam vnigeniti annuntient, ſolus his omnibus reclamat C Eunomius, dum dicit ipſum eſſe Angelum Dei qui eſt ſuper omnia, hac differentia qua eũ ab eo qui eſt ſuper omnia diſcernit, vnum omniũ eſſe determinãs: dum vero Angelorũ nomen illi cõmunicat, nihil ab illis diſſidere natura præſtruẽs. Sæpe enim in præcedẽtibus tale quid aſſerit, quod quæcũque eamdem appellationẽ habent cõmunem, neq. ſecundùm naturã ſunt diuerſa. An igitur amplius redarguentib. ſermo indiget: in eo quòd præfractè clamitat, Angelũ eũ D eſſe qui non propriũ, ſed eius qui eſt ſermonẽ annuntiat. Per hoc enim demonſtratur, quòd qui in principio erat verbum, Deus verbum, non ipſum verbum eſt, ſed alterius alicuius Verbi fit verbum, miniſter & Angelus, id eſt, nuntius, illius factus. Illud autem quis omniũ ignorat quòd enti ſolum opponitur non ens. Quare qui filium ab eo qui eſt, diſtinguit, manifeſtè iudaïzat, vnigeniti perſonam à dogmate ſubripiens. Quem enim extra entis nominationem dicit, ex rerum natura funditus exemptum eſſe adſtruit. Non enim qui dat eſſe, de nudo vocabuli ſono litigabit. Verùm enimuerò ſcripturæ teſtimonio abſurditatem confirmare molitur. Ac Moſem proponit contra veritatem

patronum: vt enim illic diſſerens ſuas A fabulas pro animi arbitrio nobis enarrat, dum dicit. *Verba Eunomij.* [Quòd ille qui Moſem miſit, ipſe erat qui eſt: per quem & mittebat & loquebatur: eius quidem qui eſt, Angelus: aliorum autem omnium Deus.] Sed quòd hæc non ſint ſcripturæ verba, licet ex ipſa ſcriptura perſpicere. Quòd ſi hanc dicit eſſe mentem literæ, ipſe nobis primigenius ſcripturæ ſermo examinandus eſt. Et primùm quidem illud abominabimur, quòd cùm poſteriorem Deum nominauit Eunomius dominum, nihil ei amplius quàm naturam angelicam attri- B buit. Neque enim Moſes cum audiit *Exod. 7.* Deus eſſe Pharaonis, humanitatem exuit: ſed eamdem naturam habens, poteſtatis prærogatiua his qui erant eiuſdem generis ſuperexaltatus eſt. Nihilque vetuit ipſum eſſe hominem, quòd vocatus ſit Deus. Sic & hìc vnum angelorum ipſum eſſe cum aſſeruit Eunomius, tale peccatum ſanat, diuinitatis appellatione ſecundum rationem redditam, dum homonymia quadam ipſi Dei appellationem communem facit. Rurſus hæc eadem verba examinemus cum blaſphemia exponentes. Qui C miſit Moyſem (inquit) ipſe erat qui eſt, per quem autem miſit, eius qui eſt erat Angelus, ſic nominans Dominum. Verùm ab ipſa ſcriptura vani huius ſcriptoris abſurditas repræhenditur: in qua Moſes ſupplex Dominum orat vt non Angelum ducatui populi præficiat, ſed ipſemet itineris ipſorum ducem ſe præberet. Sic enim habet contextus ex *Exod. 33.* perſona Dei: vade, deſcende, & duc hunc populum in locum quẽ tibi dixi: & ecce Angelus meus ante te pergit qua die conſiderauero: ac paulò pòſt ait, rurſus. Et ſimul mittam ante te An- *Exod. 32.* gelum meum. Deinde paulò pòſt, con- D ſequenter fit ſupplicatio miniſtri ad *Exod. 33.* Deum quæ ad hunc modum habet. Si inueni gratiam coram te, ſimul proficiſcatur Dominus meus nobiſcum: & rurſus, Niſi ipſe nobiſcum venias, ne me inde abducas. Deinde Dei reſponſio ad Moſem. Et hunc tibi ſermonem quem dixiſti faciã: inueniſti enim gratiam corã me. Et noui te ſupra omnes. Ergo ſi Moyſes recuſat Angelum; ipſe autem qui loquitur cum ipſo, fit comes

A ὡς γὰρ ἐκεῖθεν ἡμῖν διαλεγόμενος τοὺς οἰκείους μύθους κατ' ἐξουσίαν διέξεισι λέγων. ὅτι ὁ μὲν ἀποστέλλων Μωσῆν, αὐτὸς ἦν ὁ ὤν, δι' οὗ καὶ ἀπέστελλε καὶ ἐλάλει· τοῦ μὲν ὄντος ἄγγελος, τῶν δὲ ἄλλων ἁπάντων Θεός. ἀλλ' ὅτι μὲν οὐκ ἐκ τῶν γεγραμμένων ἐστὶν ἡ ῥῆσις, ἐξ αὐτῆς ἔστι τῆς γραφῆς εἰδέναι. Εἰ δὲ τὸν νοῦν φησὶ τοῦτον εἶναι τοῦ γράμματος, αὐτὸς ἡμῖν ἐξεταστέος ὁ πρωτότυπος τῆς γραφῆς λόγος. καὶ πρῶτός γε καταράσωμεν, ὅτι τὸν μετ' αὐτὸν Θεόν, ὁ ΕΥνόμιος ὀνομάσας τὸν κύριον, οὐδὲν B αὐτῷ πλέον παρὰ τὴν ἀγγελικὴν δίδωσι φύσιν. οὐδὲ γὰρ ὁ Μωϋσῆς ἀκούσας Θεὸς εἶναι τοῦ Φαραώ, ἐξέβη τὴν ἀνθρωπότητα· ἀλλ' ἐν τῇ φύσει τὸ ὁμότιμον ἔχων, τῇ τῆς ἐξουσίας ὑπεροχῇ τῶν ὁμογενῶν ὑπερήρθη, καὶ οὐδὲν ἐκώλυσεν αὐτὸν πρὸς τὸ μὴ εἶναι ἄνθρωπον, τὸ κληθῆναι Θεόν. οὕτω καὶ ἐνταῦθα ἕνα τῶν ἀγγέλων ὁ ΕΥνόμιος αὐτὸν εἶναι κατασκευάσας θεραπεύει τὸ τοιοῦτο πλημμέλημα τῆς θεότητος κλήσει κατὰ τὸν ἀποδοθέντα λόγον, ὁμωνυμίᾳ τινὶ πρὸς αὐτὸν τὴν τοῦ Θεοῦ προσηγορίαν κοινοποιήσας. ἐξετάσωμεν πάλιν αὐτὰ τὰ ῥήματα C τῆς βλασφημίας ἐκθέμενοι. ὁ ἀποστέλλων, φησί, τὸν Μωϋσέα, αὐτὸς ἦν ὁ ὤν, δι' οὗ δὲ ἀπέστελλεν, ὁ τοῦ ὄντος ἄγγελος ἦν, οὕτως ὀνομάζων τὸν κύριον. οὐκοῦν ὑπ' αὐτῆς ἐλέγχεται τῆς γραφῆς ἡ ἀτοπία τοῦ λογογράφου, ἐν οἷς ὁ Μωϋσῆς ἱκετεύει τὸν κύριον μὴ ἄγγελον τῇ ἡγεμονίᾳ τοῦ λαοῦ ἐπιστῆσαι, ἀλλ' αὐτὸν τῆς πορείας αὐτῶν ἀφηγήσασθαι. ἔχει δὲ οὕτως ἡ λέξις ἐκ προσώπου τοῦ Θεοῦ· βάδιζε, κατάβηθι, καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον ὃν εἶπόν σοι· καὶ ἰδοὺ ἄγγελός μου, προπορεύεταί σου ᾗ ἂν ἡμέρᾳ ἐπισκέπτωμαι. καὶ μετ' ὀλίγα πάλιν φη- D σί. καὶ συναποστελῶ προτερόν σου τὸν ἄγγελόν μου. εἶτα μικρὸν μετὰ τὴν ἀκολουθίαν, γίνεται παρὰ τοῦ θεράποντος πρὸς τὸν Θεὸν ἱκετηρία τοῦτον ἔχουσα τὸν τρόπον. εἰ εὕρηκα χάριν ἐναντίον σου, συμπορευθήτω ὁ κύριός μου μεθ' ἡμῶν. καὶ πάλιν, Εἰ μὴ αὐτὸς συμπορεύῃ ἡμῖν, μή με ἀναγάγῃς ἐντεῦθεν. εἶτα ἀπόκρισις τοῦ Θεοῦ πρὸς τὸν Μωϋσέα. καὶ τοῦτόν σοι τὸν λόγον ὃν εἴρηκας ποιήσω. εὕρηκας γὰρ χάριν ἐνώπιόν μου. καὶ οἶδά σε παρὰ πάντας. οὐκοῦν Εἰ Μωσῆς μὲν παραιτεῖται τὸν ἄγγελον, αὐτὸς δὲ ὁ χρηματίζων αὐτῷ συνέμπορος γίνεται, καὶ

καθηγεμὼν τῆς στρατιᾶς, φανερῶς ἀποδείκνυται διὰ τούτων, ὅτι ὁ τῇ τοῦ ὄντος ἐπωνυμίᾳ ἑαυτὸν γνωρίσας, ὁ μονογενής ἐστι Θεός. Εἰ δὲ πρὸς τοῦτό τις ἀντιλέγοι, τῆς Ἰουδαϊκῆς ὑπολήψεως ἔσται συνήγορος, τὸν υἱὸν μὴ συμπαραλαμβάνων εἰς τὴν τοῦ λαοῦ σωτηρίαν. Εἰ γὰρ ἄγγελος μὲν τοῖς Ἰσραηλίταις οὐ συναπέρχεται, ὁ δὲ διὰ τῆς τοῦ ὄντος ἐπωνυμίας δηλούμενος, ὁ μονογενὴς οὐκ ἔστι, καθὼς Εὐνόμιος βούλεται, οὐδὲν ἄλλο, ἢ τὰ ἐκ τῆς συναγωγῆς δόγματα πρὸς τὴν ἐκκλησίαν τοῦ Θεοῦ μεταφέρεται. Οὐκοῦν τῶν δύο τὸ ἕτερον ἐξ ἀνάγκης ὁμολογήσουσιν, ἢ μηδαμοῦ παρεῖναι τῷ Μωϋσῇ τὸν μονογενῆ Θεόν, ἢ αὐτὸν τὸν υἱὸν εἶναι τὸν ὄντα, παρ' οὗ ὁ λόγος πρὸς τὸν θεράποντα γίνεται. Ἀλλ' ἀντιλέγει τοῖς εἰρημένοις αὐτὴν τὴν γραφὴν προτεινόμενος λέγουσαν, ἀγγέλου προτετάχθαι φωνήν, καὶ οὕτως ἐπῆχθαι τὸν τοῦ ὄντος διάλογον. τοῦτο δὲ οὐκ ἀντίρρησις, ἀλλὰ βεβαίωσις τῶν ἡμετέρων ἐστίν. καὶ ἡμεῖς γὰρ φαμὲν ἐναργῶς τὸν προφήτην τὸ περὶ τοῦ Χριστοῦ μυστήριον ἐμφανὲς ποιῆσαι τοῖς ἀνθρώποις βουλόμενον, ἄγγελον τὸν ὄντα προσαγορεῦσαι· ὡς ἂν μὴ μόνης τῆς τοῦ ὄντος ἐπωνυμίας κατὰ τὸν διάλογον εὑρισκομένης, πρὸς τὸν πατέρα ὁ νοῦς τῶν λεγομένων ἐπαναφέροιτο. ἀλλ' ὥσπερ ὁ ἡμέτερος λόγος τῶν τοῦ νοῦ κινημάτων μηνυτής τε καὶ ἄγγελος γίνεται, οὕτω φαμὲν καὶ τὸν ἀληθινὸν λόγον τὸν ἐν ἀρχῇ ὄντα διαγγέλλοντα τοῦ ἰδίου πατρὸς τὴν βουλὴν τῇ ἐνεργείᾳ τῆς ἀγγελίας ἐπονομαζόμενον, ἄγγελον λέγεσθαι. Καὶ ὥσπερ ὁ ὑψηλὸς Ἰωάννης πρότερον αὐτὸν λόγον εἰπὼν, οὕτως ἐπάγει τὸν Θεὸν εἶναι τὸν λόγον ὡς ἂν μὴ προηγησαμένης τῆς τοῦ Θεοῦ προσηγορίας πρὸς τὸν πατέρα τὰς ὑπονοίας ἀπευθυνθείημεν, οὕτω καὶ ὁ μέγας Μωϋσῆς ἄγγελον προονομάσας αὐτὸν εἶναι τὸν ὄντα τοῖς ἐφεξῆς ἐκδιδάσκει λόγοις, ὡς ἂν φανερῶς τὸ κατὰ τὸν Χριστὸν προαγγελθείη μυστήριον διὰ μὲν τοῦ ἀγγέλου, τὸν ἑρμηνέα τοῦ πατρικοῦ βουλήματος λόγον τῆς γραφῆς διδασκούσης· διὰ δὲ τῆς τοῦ ὄντος προσηγορίας τὴν κατ' αὐτὸ τὸ εἶναι τοῦ υἱοῦ πρὸς τὸν πατέρα φυσικὴν οἰκειότητα. εἰ δὲ καὶ τὸν Ἡσαΐαν προβάλλοιτο, ὡς εἰπόντα κληθήσεσθαι τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελον, οὐδὲ οὕτως ἀνατρέψει τὸν ἡμέτερον λόγον. Σαφὲς γὰρ ἐκεῖ καὶ ἀναντίρρητον ὡς ἡ κατὰ τὸ ἀνθρώ-

A & dux exercitus, per hæc manifeſtè demonſtratur, quòd ille qui eius qui eſt, nomine ſeipſum notum fecit, vnigenitus eſt Deus. Quòd ſi quis his contradixerit, Iudaicę opinionis erit patronus, filium ad populi ſalutem non ſimul aſſumens. Si enim Angelus cum Iſraëlitis non pergit: qui autem per eius qui eſt denominationem declaratur, non eſt vnigenitus; (ſicut vult Eunomius) nihil aliud quam ex Synagoga decreta in Eccleſiam Dei transfertis. Igitur duorum alterum neceſſariò confitebuntur, vel nuſquam Moſi adfuiſſe vnigeni- B tum Deum, vel ipſum filium eſſe cum qui eſt, à quo ad miniſtrum fit ſermo. Sed contradicit dictis ipſam ſcripturam prætendens, quæ ſic ait, Angeli vocem præceſſiſſe, ac poſtea eius qui eſt colloquium ſubſequutum fuiſſe: hoc non eſt contradictio ſed noſtrorum confirmatio. Nam & nos clarè dicimus prophetam de Chriſto myſterium manifeſtum facere hominibus volentem, Angelum, eum qui eſt, appellaſſe: ne ſi ſola eius qui eſt, nominatio in colloquio inueniretur, ad patrem ſenſus eorum quæ dicuntur referatur. Sed quemad- C modum noſter ſermo mentis impulſionum iudex eſt & internũtius: ſic etiam dicimus, verum verbum quod eſt in principio, nuntians proprij patris conſilium, ob nuntiandi munus quo ipſe fungitur, Angelum dicit. Et quemadmodum ſublimis Ioannes qui prius ipſum verbum dixerat; ita ſubiungit, Deum eſſe verbum: ne ſi Dei appellatio præceſſiſſet, ad Patrem cogitationibus impelleremur: ſic & magnus Moſes cùm eum Angelum prius nominaſſet, ipſum eſſe eum qui eſt verbis ſequentibus edocet; vt manifeſtè myſterium Chriſti prænuntiaretur. Si D quidem per Angelum paterni conſilij interpres Verbum ſcriptura docet: & per appellationem eius qui eſt, eam quæ eſt ſecundùm eſſentiam filij cum patre naturalem proprietatem. Quòd ſi etiam Eſaiam velit obijcere, qui dixit, nomen eius vocari magni conſilij Angelum, neque ſic noſtrum euerterit ſermonem. Perſpicuum enim quòd illic nulla eſt contradictio, quia incar-

Eſai. 9 nationis myſterium per vaticinium ſignificatur. Paruulus, inquit, natus eſt nobis, & filius datus eſt nobis, cuius imperium ſuper humerum eius, & vocatur nomen eius magni conſilij Angelus. At quod Dauid opinor reſpexiſſe, dum regni eius conſtitutionem enarrat. Non quòd non eſſet rex, ſed quod ſeruilis humilitas, quam per incarnationem ſubierat Dominus, ad regiam poteſtatem aſſumi deberet. Conſtitutus ſum, inquit, rex ab eo Pſal. 2. ſuper Sion montem ſanctum eius, nuntians præceptum Domini. Ergo & Angelus & Verbum, ſigillum & imago, & omnia eiuſmodi, eodem ſenſu dicitur: qui paternam bonitatem per ſeipſum notam facit. Quando enim Angelus, nuntius alicuius efficitur: ſimiliter Verbum, mentis notionem inuolutam explicat: & ſigillum in propria forma archetypum, id eſt, principem formam, demonſtrat, & imago eius qui depictus eſt pulchritudinem per ſe interpretatur. Ita vt hæc omnia ſignificatu inter ſe æquipolleant. Ob eam cauſam Angelus eius qui eſt appellationi præpoſitus fuit. Angelus quidem dicitur tamquam index & nuntiator patris: qui eſt autem vt non habens nomen, quod eſſentiam eius notam faciat, ſed qui ſit ſupra omnem nominum ſignificantiam. Quocirca & nomen eius ſuper omne nomen eſſe ab Apoſtoli ſcriptura confirmatum eſt. Non vt vnum quid aliis honore prælatum: ſed quia ſuper omne nomen eſt, Philip. 2. ille qui vere eſt. Sed video me in immẽſum ſermonem iam protrahere, ac vereor ne videar garrulus quidã & nugator eſſe, & ſuperfluus vocem, in turbam nimium producta contradictione. Attamen, multa quæ paſſim aduerſarius in ſcriptis inſerit, conſulto prætermiſi, ne in verſus innumerabiles ſermo extenderetur. Nam qui quidem laborioſiores & magis induſtrij, quod non conciſum eſt & breue, in calumniam vertunt: ita vt oporteat non ad neceſſitatem, ſed ad otioſorum & inertium cupiditatem reſpicere, quibus per votum licet paucis paſſibus longum iter perficere. Quid igitur agendum, cùm nos prorſum trahat blaſphemia? An fortaſſe ſuperuacaneum eſt & nugatorium ſimilibus argumentationibus contendere? Omne enim ipſorum ſtu-

A πινον οἰκονομία διὰ τῆς προφητείας σημαίνεται. παιδίον γάρ, φησιν, ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. πρὸς ὃ καὶ τὸν Δαβὶδ οἶμαι βλέποντα, τὴν τῆς βασιλείας κατάστασιν διηγεῖσθαι. οὐχ ὡς οὐκ ὄντος βασιλέως, ἀλλ᾽ ὡς τῆς δουλικῆς ταπεινότητος ἣν ὑπῆλθε κατ᾽ οἰκονομίαν ὁ κύριος, εἰς τὴν τῆς βασιλείας ἀξίαν ἀναληφθείσης. κατεστάθην γάρ, φησι, βασιλεὺς ὑπ᾽ αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων B τὸ πρόσταγμα κυρίου. οὐκοῦν ἄγγελός τε καὶ λόγος, σφραγίς τε καὶ εἰκών, καὶ πάντα τὰ τοιαῦτα κατὰ τὴν αὐτὴν ἔννοιαν λέγεται· ὁ τὴν πατρικὴν ἀγαθότητα δι᾽ ἑαυτοῦ γνωρίζων. ὅτι γὰρ ἄγγελος, μηνυτής τινος γίνεται· καὶ ὁ λόγος ὡσαύτως ἐκκαλύπτει τὸ ἐγκείμενον νόημα, καὶ ἡ σφραγὶς ἐν τῷ ἰδίῳ τύπῳ τὸ ἀρχέτυπον δείκνυσι, καὶ ἡ εἰκών, τὸ τοῦ ἀπεικονισθέντος κάλλος δι᾽ αὐτῆς ἑρμηνεύει· ὡς ἰσοδυναμεῖν ταῦτα πάντα τῷ σημαινομένῳ πρὸς ἄλληλα. διὰ τοῦτο ἄγγελος τῆς τοῦ ὄντος ἐπωνυμίας προτέτακται, ἄγγε-C λος μὲν λεγόμενος ὡς μηνυτὴς τοῦ πατρός· ὢν δέ, ὡς οὐκ ἔχων ὄνομα γνωριστικὸν τῆς οὐσίας, ἀλλὰ πάσης ὑπερκείμενος τῆς ὀνομαστικῆς σημασίας. διὸ καὶ τὸ ὄνομα αὐτοῦ ὑπὲρ πᾶν εἶναι ὄνομα παρὰ τῆς τοῦ ἀποστόλου γραφῆς μεμαρτύρηται. οὐχ ὡς ἕν τι προτετιμημένον τῶν ἄλλων, ἀλλ᾽ ὡς ὑπὲρ πᾶν ὄνομα ὄντος τοῦ ὄντως ὄντος. ἀλλ᾽ ὁρῶ γὰρ εἰς ἄμετρον ἤδη τὸν λόγον παρατεινόμενον, καὶ δέδοικα τὸ δοκεῖν ἀδόλεσχός τις εἶναι καὶ περιττὸς τὴν φωνήν, εἰς πλῆθος προαγαγὼν τὴν ἀντίρρησιν. καί τοι πολλὰ τῆς διὰ μέσου γραφίας τοῦ ἀντιπάλου D παραδραμὼν προμηθῶς, τοῦ μὴ πρὸς πολλὰς ἐπῶν μυριάδας, ἐκταθῆναι τὸν λόγον. τοῖς γὰρ φιλοπονωτέροις καὶ τὸ μὴ σύντομον, διαβολῆς ἐστιν ἀφορμή. ὡς δέον μὴ πρὸς τὴν χρείαν, ἀλλὰ πρὸς τὴν τῶν ἀργῶν τε καὶ ἀσπούδων ἐπιθυμίαν βλέπειν, οἷς δι᾽ εὐχῆς ἐστιν, ὀλίγοις βήμασι πολλὰ τὰ διὰ τῆς ὁδοῦ διανύειν. τί οὖν χρὴ προστῆναι ἐφελκομένης ἡμᾶς ἐπὶ τὸ πρόσω τῆς βλασφημίας; ἢ τάχα περιττόν ἐστι καὶ ὄντως ἀδόλεσχον τοῖς ὁμοίοις τῶν ἐπιχειρημάτων ἐναγωνίζεσθαι; πᾶσα γὰρ αὐτῶν ἡ σπουδὴ καὶ κατὰ

τὸ ἐφεξῆς αὐτοῦ λόγου σύμφωνος τοῖς προεξητασμένοις ἐστίν, οὐδὲν καινὸν εἰς κατασκευὴν παρὰ τὰ προλαβόντα τῶν ἐπιχειρημάτων ἔχουσα. εἰ τοίνυν ἔρρωται ἡμῖν ἡ τῶν προεκτεθέντων ἀνατροπή, καταλίπωμεν ἃ τοῖς προεξητασμένοις συναπελήλεκται. εἰ δὲ τοῖς ἐριστικοῖς καὶ ἀντιτύποις ἐν τῷ παραλειφθέντι τὸ κράτιστον εἶναι δοκεῖ, ἀναγκαῖον ἂν εἴη τούτων ἕνεκεν διὰ βραχέων ἐπιδραμεῖν τὸ ὑπόλοιπον. λέγει μὴ εἶναι τὸν κύριον πρὸ τῆς ἰδίας γεννήσεως. ὁ μηδενὶ τοῦ πατρὸς αὐτὸν διειργόμενον ἐπιδεῖξαι ἔχων. καὶ τοῦτο φησίν, οὐκ ἀπὸ γραφῆς τὸν λόγον πιστούμενος, ἀλλ' ἐκ τῶν ἰδίων λογισμῶν κατασκευάζων τὸ λῆμμα. ὅτι δὲ κοινὸν πρὸς ἅπαντα τὰ τῆς κτίσεως ἀποδέδεικται μέρη. οὐ βάτραχος, οὐ σκώληξ, οὐ κάνθαρος, οὐ πόα, οὐκ ἄκανθα, οὐκ ἄλλο τι τῶν εὐτελεστάτων πρὸ τῆς ἰδίας συστάσεως ἦν. ὥστε ὅπερ διὰ τῆς λογικῆς τεχνολογίας ἐπὶ τοῦ υἱοῦ σὺν ἱδρῶτι καὶ πόνῳ κατασκευάζει, τοῦτο καὶ ἐπὶ τῶν τυχόντων τῆς κτίσεως μορίων προωμολόγηται, καὶ ὁ πολὺς ἐστὶ πόνος τῷ λογογράφῳ, δεῖξαι τοῖς ἐσχάτοις τῶν ἐν τῇ κτίσει τὸν μονογενῆ Θεὸν ἐν τῇ κοινωνίᾳ τῶν ἰδιωμάτων ὁμότιμον. οὐκοῦν ἱκανὸν τεκμήριον τοῦ κακῶς αὐτοὺς περὶ τῶν δογμάτων φρονεῖν, τὸ συμβαίνειν αὐτοῖς τὰς ὑπολήψεις τήν τε περὶ τοῦ μονογενοῦς Θεοῦ, καὶ τὴν περὶ τῆς τῶν βατράχων γενέσεως. εἶτα, φησίν, ἴσον κατὰ ἀλήθειαν καὶ δύναμιν τῷ ἀγέννητον μὴ εἶναι, τὸ πρὸ γεννήσεως μὴ εἶναι· πάλιν ὁ αὐτὸς ἁρμόσει καὶ πρὸς τοῦτό μοι λόγος. ὅτι καὶ ἐπὶ κυνὸς καὶ ψύχης, καὶ ὄφεως, καὶ οὗτινος οὖν τῶν ἐσχάτων, τὸ ἴσον εἰπών τις οὐχ ἁμαρτήσεται. ἐπείπερ ἴσον κατὰ ἀλήθειαν καὶ δύναμιν τῷ ἀγέννητον μὴ εἶναι τὸν κύνα, τὸ πρὸ τῆς γεννήσεως αὐτὸν μὴ εἶναι. εἰ δὲ κατὰ τὸν διορισμὸν αὐτῶν, ὃν πολλαχῆ διωρίσαντο, ὅσα κοινωνεῖ τῶν ἰδιωμάτων, κοινωνεῖ καὶ τῆς φύσεως· ἴδιον καὶ τοῦ κυνὸς καὶ τῶν καθ' ἕκαστον τὸ πρὸ τοῦ γενέσθαι μὴ εἶναι. ὅπερ καὶ ἐπὶ τοῦ υἱοῦ κατασκευάζειν οἴεται χρῆναι· τὸ λειπόμενον τῆς κατασκευῆς ὁ ἀκροατὴς πάντως ἐκ τοῦ

A dium & in his quæ deinceps ſequuntur, his quæ prius examinata & diſquiſita ſunt, conſentaneum eſt & conſonum: nihil noui habens ad probationem priorum argumentorum præter antecedentia. Si igitur firma nobis eſt & valida eorum quæ prius expoſita ſunt euerſio: reliquerimus ea quæ cum his quæ antè fuerunt diſquiſita, ac refutata. Quòd ſi contentioſis & refractariis in eo quod prætermiſſum eſt, valentiſſimum quid & potentiſſimum eſſe videtur, neceſſarium fuerit horum cauſa quod reſtat paucis per-

B currere: dicit Dominum non fuiſſe ante ſuam generationem, qui nulla re à patre diſcluſum eſſe demonſtrare poteſt. Et hoc aſſerit non ex ſcriptura ſermonem confirmans, ſed ex propriis rationibus ſumptum adſtruens. Hoc autem eſſe commune cum omnibus creaturæ partibus demonſtratum eſt: non rana, non vermis, non ſcarabeus, non herba, non ſpina, non aliud eorum quæ in rerum natura ſunt viliſſima, ante ſuam conſtitutionem quidquam erat. Quare quod diſſerendi artificio, in filio cum ſudore & labore

C aſtruere nititur, hoc etiam in quibuſlibet creaturæ portionibus ante conceſſum eſt, multúſque labor eſt huic ſcriptitatori, vt oſtendat infimis creaturis vnigenitum Deum proprietatum communione æqualem eſſe. Quamobrem certiſſimum eſt iudicium, de decretis ipſos malè ſentire, quòd ipſis eædem opiniones accidant & de vnigenito Deo & de ranarum generatione. Deinde ait, idem eſſe ſecundùm veritatem & potentiam ingenitum non eſſe, & ante generationem non eſſe. Rurſus huic etiam eadem quadrabit

D ratio. Quòd etiam in cane & papilione & ſerpente, & in quolibet infimorum animalium, idem ſi quis dixerit non errabit: quandoquidem idem eſt ſecundùm veritatem & potentiam cum eo quod eſt canem non ingenitum eſſe, ipſum non eſſe ante generationem. Quòd ſi ſecundùm ipſorum definitionem, quam multis in locis determinarunt, quæcumque proprietatum habent cõmunionem, etiam naturæ communionem habere, proprium etiam canis & ſingulorum aliorum ante generationem non eſſe: reliquum argumentationis, quod etiam in filio aſtruendum eſſe arbitratur, auditor planè ex conſequen-

tia conſpiciet. Sed magis moderatè loquitur, humanitatis aliquid ei tribuens, & ait: [Nō ſolum entem & ſuper omnia entia filium eſſe dicimus.] Qui paulò antea ipſum ab entis nomine diſiungit: ſed & Dominum ipſum, inquit, & opificem & Deum omnis ſenſibilis & intelligibilis eſſentiæ dicimus. Quam quid eſſe autumat? creatam eſſe vel increatam? Si enim omnis intelligibilis eſſentiæ Dominum & Deum & opificem eſſe Ieſum confitetur: neceſſe eſt omnino ſi hanc dicit eſſe increatam, ipſum mentiri, qui naturæ increatæ opificium filio attribuit. quòd ſi creatam credit, idem ſuiipſius creatorem eſſe præſtruit. Niſi enim per id quod per ſe creatum eſt, & ab intelligibili eſſentia abſtraheretur: nihil amplius quod poſſit eum diſcernere relinquetur: quia & ſenſibilis creatura & intelligens eſſentia communi mentis notione conciperetur. Sed his ſubiungit, quòd in rerum creatione à patre demandata eſt ei omnium viſibilium & inuiſibilium effectio, & eorum quæ facta ſunt prouidentia: quæ ſufficiat ei diſtributa potentia ad eorum quæ ſunt producta generationes: hæc quidem ſcriptorum congeries curſim cogit percurrere. Sed interim ſermonem detinet blaſphemia, denſum notionum velut venenum iaculantium veſparum examen complectens. Commiſſa eſt ei, inquit, à patre rerum creatio. Quòd ſi de aliquo artifice qui ſuis manibus opus conficit, ſermo haberetur, ad mentem conducentis opificium tractantis, an non iiſdem verbis vſus eſſet? Etenim de Beſeleele, Exod. 31. idem dicentes non aberraremus, quia à Moſe commiſſus ad tabernaculi fabricationem, opifex eorum quæ illic commemorata ſunt, factus eſt. Qui ad operis confectionem non venerit niſi prius plenam omnis opificij peritiam diuino afflatu adeptus, & Moſis mandato opus aggreſſus eſt. Igitur verbum, commiſſum eſſe, aduentitiam ei factam fuiſſe vim & poteſtatem operādi demonſtrat: vt priuſquam commiſſum eſſet opificium, neque auderet, neque poſſet: poſtquam verò operum faciendorum poteſtatem accepit, & ſufficientem ad opera efficienda potentiam: tunc verò eorum quæ ſunt, opifex & conditor factus eſt. Cùm ei ſufficiat, ſicut loquitur

A ἀκολούθου κατόψεται. ἀλλὰ πρὸς τὸ μετριώτερον μετάγει τὸν λόγον, νέμων τι καὶ φιλανθρωπίας αὐτῷ, καί φησιν· οὐ μόνον ὄντα καὶ ὑπὲρ πάντα τὰ ὄντα φαμὲν εἶναι τὸν υἱόν. ὁ μικρὸν ἐν τοῖς κατόπιν τῆς τοῦ ὄντος ἐπωνυμίας αὐτὸν ἀποχωρίζων· ἀλλὰ καὶ κύριον αὐτόν, φησι, καὶ δημιουργὸν καὶ Θεὸν πάσης αἰσθητῆς τε καὶ νοητῆς οὐσίας λέγομεν. ταύτην τί οἴεται; κτιστὴν εἶναι, ἢ ἄκτιστον; εἰ γὰρ πάσης νοητῆς οὐσίας ὁμολογεῖ κύριον καὶ Θεὸν καὶ δημιουργὸν εἶναι τὸν Ἰησοῦν· ἀνάγκη πᾶσα εἰ μὲν ἄκτιστον εἶναι λέγει ταύτην, ψεύδεσθαι τῆς ἀκτίστου φύσεως τὴν B δημιουργίαν τῷ υἱῷ προσμαρτυροῦντα. εἰ δὲ κτιστὴν πιστεύοι, τὸ αὐτὸν ἑαυτοῦ κτίστην εἶναι κατασκευάζει. εἰ γὰρ μὴ τῷ καθ' ἑαυτὸν κτιστῷ, τῆς νοητῆς οὐσίας ἀφορίζοιτο, οὐδὲν ἔτι τὸ διακρῖνον ὑπολειφθήσεται, τῆς τε αἰσθητῆς κτίσεως καὶ τῆς νοερᾶς οὐσίας ἐπὶ κοινῆς νοουμένης. ἀλλ' ἐπάγει τούτοις, ὅτι ἐν τῇ τῶν ὄντων κτίσει παρὰ τοῦ πατρὸς ἐπιτέτραπται, τὴν τῶν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργίαν, καὶ τῶν γενομένων τὴν πρόνοιαν, ἀρκούσης αὐτῷ τῆς ἀναλόγως ἀποκληρωθείσης δυνάμεως πρὸς τὰς C γενέσεις τῶν δημιουργηθέντων. ταῦτα βιάζεται μὲν τὸ πλῆθος τῶν γεγραμμένων ἐν συντόμῳ παραδραμεῖν· παρακατέχει δέ πως ἡ βλασφημία τὸν λόγον· πολὺν ἑσμὸν νοημάτων οἷόν τινων ἰοβόλων σφηκῶν περιέχουσα. ἐπετράπη, φησί, παρὰ τοῦ πατρὸς τὴν δημιουργίαν. εἰ δὲ περὶ χειροτέχνου τινὸς ὁ λόγος ἐγίνετο, κατὰ γνώμην τοῦ μισθουμένου μεταχειριζομένου τὴν ἐργασίαν, ἆρ' οὐκ ἂν τοῖς αὐτοῖς ἐχρήσατο λόγοις; καὶ γὰρ περὶ τοῦ Βεσελεὴλ τὸ ἴσον οὐχ ἁμαρτανόμεθα λέγοντες, ὅτι ἐπιτραπεὶς παρὰ τοῦ Μωσέως τὴν σκηνοποιΐαν, δημιουργὸς τῶν ἐκεῖ μνη-D μονευθέντων ἐγένετο, οὐκ ἂν ἐπὶ τὴν πρᾶξιν ἐλθών, μὴ πρότερον θείᾳ τινὶ δυνάμει τὴν ἐπιστήμην κτησάμενος, καὶ τῇ τοῦ Μωσέως ἐπιτροπῇ τῆς ἐνεργείας κατατολμήσας. οὐκοῦν ἡ τοῦ ἐπιτετράφθαι λέξις ἐπίκτητον αὐτῷ γεγενῆσθαι τὴν δημιουργικὴν ἐνδείκνυται δύναμίν τε καὶ ἐξουσίαν· ὡς πρὶν ἐπιτραπῆναι μήτε θαρσοῦντα, μήτε δυνάμενον· ἐπεὶ δὲ τὴν τῶν ἔργων ἐξουσίαν ἔλαβε, καὶ ἀποχρῶσαν πρὸς τὰ ἔργα τὴν δύναμιν, οὕτω γεγενῆσθαι δημιουργὸν τῶν ὄντων. ἀρκούσης αὐτῷ, καθώς φησιν ὁ ΕΥ-

νόμιμος τῆς ἄνωθεν ἀποκληρωθείσης δυνάμεως. ἆρα μὴ κατά τινα περατείαν τῶν γενεθλιακῶν λόγων, καὶ ἐν εἱμαρμένῃ τὴν τοῦ υἱοῦ τὴν γέννησιν τίθεται, καθάπερ φασὶν οἱ τὴν ματαίαν ταύτην ἐξησκηκότες ἀπάτην, κατὰ τὰς ποιὰς τῶν ἀστέρων ἐπιπλοκάς τε καὶ ἀποστάσεις, τὰς ἀποκληρώσεις τῶν βίων τοῖς τικτομένοις συμβαίνειν τῆς ἄνωθεν εἱρμῷ τινὶ φερομένης δινήσεως, τὰς περί τι δυνάμεις τοῖς γινομένοις ἐπικλωθούσης. τάχα τι τοιοῦτον ὁ σοφὸς ἐννοεῖ καὶ φησί, τῷ ὑπεράνω πάσης ἀρχῆς, καὶ ἐξουσίας, καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, καθάπερ ἐν κοίλοις τισὶ καθειργμένῳ χωρίοις. ἄνωθεν ἀποκεκληρῶσθαι διαμεμετρημένην πρὸς τὴν ποσότητα τῶν γινομένων τὴν δύναμιν. παραδραμούμεθα καὶ τοῦτον διὰ συντομίας τὸν λόγον, ἐξ ὀλίγης τῆς τῶν ἐξετασθέντων ἀρχῆς σπέρματα πρὸς τὴν κατανόησιν τῆς βλασφημίας τοῖς συνετωτέροις τῶν ἐντυγχανόντων καταβαλλόμενοι. εἶτα διὰ τῶν ἐφεξῆς ἀπολογία τις ὑπὲρ ἡμῶν αὐτῷ γέγραπται. οὐ γὰρ ἂν ἔτι δοκοίημεν τοῖς ἐντυγχάνουσι παραστοχάζεσθαι τῆς διανοίας τοῦ λόγου, καὶ πρὸς τὸ ὑπεύθυνον μεθερμηνεύειν τὰ ῥήματα, αὐτῆς τῆς ἐκείνου φωνῆς ὁμολογούσης τὴν ἀτοπίαν. ἔχει γὰρ οὕτω τὰ γεγραμμένα. ἦ γὰρ οὐχὶ γῆ μὲν καὶ ἄγγελος οὐκ ὄντα γέγονεν; ὁρᾶτε τὸν ὑψηλὸν θεολόγον, ὡς οὐκ αἰσχύνεται τὸν αὐτὸν γῇ τε καὶ ἀγγέλοις, καὶ αὐτῷ τῷ ποιητῇ τοῦ παντὸς ἐφαρμόζων τὸν λόγον; οὐκοῦν εἰ τὰ αὐτὰ πρέπειν οἴεται περί τε τῆς γῆς καὶ τοῦ κυρίου λέγειν, ἢ καὶ ταύτην πάντως θεοποιήσει, ἢ κἀκεῖνον ταύτῃ συνατιμάσει. εἶτα προστίθησι τούτοις δι' ὧν ἀπογυμνοῦται πλέον ἡ βλασφημία· ὡς μηδὲ παισὶ δυσκατανόητον εἶναι τὸ ἄτοπον. φημὶ γάρ, ὅτι μακρὸν ἂν εἴη πάσας ἐπεξιέναι νοητῶν τὰς γενέσεις, ἢ τὰς οὐσίας, αἷς ἁπάσαις οὐχὶ κοινή τις ἡ τοῦ μὲν ὄντος φύσις· ἀλλὰ κατὰ τὰς τοῦ δημιουργήσαντος ἐνεργείας, ἡ παραλλαγή· ταῦτα γὰρ καὶ σιωπώντων ἡμῶν, ἀείδηλον ἔχει καὶ περιφανῆ τὴν κατὰ τοῦ υἱοῦ βλασφημίαν, ὅταν ὁμολογῇ τὸ κατὰ πάσης γενέσεως καὶ οὐσίας λεγόμενον, μηδὲν ἀπᾴδειν τοῦ περὶ τῆς θείας τοῦ μονογενοῦς ὑποστάσεως λόγου. ἀλλά μοι δοκεῖ

A Eunomius, ſupernè demādata poteſtas. An non ſecundùm determinationem Genethliacorum ſermonum, filij quoque generationem fato quodam ſubditam eſſe ſupponit, vt aiunt qui vanam hanc profitentes impoſturam, ſecundùm quaſdam ſtellarum coniunctiones & diſtantias ſortitiones vitæ generum naſcentibus contingere, ſerie quadam & nexu ſupernæ vertiginis vires ſiue potentias ad aliquid naſcentibus nentis: fortaſſe quid tale hic ſapiens commentatur & autumat. Qui B ſupereminenti omni principatu & poteſtate & dominatione, & omni nomine quod nominatur, non ſolùm in hoc ſæculo, ſed etiam in futuro, tamquam in cauis quibuſdam locis coërcito deſuper quaſi ſortitò obtigiſſe, ad quantitatem eorum quæ fiunt demenſam potentiam. Et hunc conciſè & breuiter ſermonem prætercurram, cùm ex illo exiguo principio eorum quæ iam diſcuſſa fuerunt, ſemina ad blaſphemiam dignoſcendam, his qui intelligentiores hæc legunt, diſperſerim. Deinde in ſequentibus defenſio quædam pro nobis C ipſis ſcripta eſt. Non enim amplius legentibus videremur rectè conijcere ſenſum orationis: ſed in crimen eius verba interpretari, niſi ipſius vox abſurditatem palàm confiteretur. Sic enim habent ſcripta. An non, inquit, terra quidem & Angelus cùm nō eſſent, facta ſunt? Videte ſublimem theologum, qui non erubeſcit eumdem ſermonem terræ & Angelis, atque vniuerſi factori appingere. Igitur ſi eadem dicere putat, de terra & de Domino aſſerere, vel etiam hanc planè deificabit, vel illum D cum hac ſimul dedecorabit. Deinde his adijcit per quæ denudatur planiùs blaſphemia, ita vt neque puero abſurditas ſit perceptu difficilis. Dico enim quòd longum eſſet, omnes recenſere intelligibilium generationes, vel eſſentias quibus omnibus non communis eſt quædam entis natura: ſed per conditoris operationes ineſt differentia: hæc enim etiam nobis tacentibus penitus perſpicuam & euidentem habent contra filium blaſphemiam. Cùm fateatur quod de omni generatione & eſſentia dicitur, nihil diſcrepare ab iis quæ de diuina vnigeniti ſubſiſtentia dicuntur. Sed operæpretium mihi videtur præ-

tergreſſa ea quam per medium blaſphemiæ aſtruere nititur probatione, quam quidem in his quæ prius examinata ſunt quodam modo confutauimus, ad ſumma capita dogmatis ipſorum accuſationis deuenire. Inuenietur enim myſterium regenerationis vanum demonſtrare, vilem etiam myſticam donorum oblationem, eiúſque participationem nihil amplius participantibus conferentem: dicit enim poſt continua illa ſæcula, in quibus Valentinos & Cerinthos, & Baſilidas,& Montanos,& Marcionas ad calumniam noſtri dogmatis præpoſuit, & inde præſtruens, neque vllam cum Chriſtianorum appellatione affinitatem habere, eos qui incognitam diuinam naturam aſſeuerant, incognitum etiam generationis modum. Et nos etiam connumerans cum his qui calumniati ſunt, ſic ſubiungit ſuum ſermonem his verbis. Nos autem ſanctis & beatis viris obtemperantes, neque nominum grauitate, neque rituum & myſticorum ſymbolorum proprietate dicimus pietatis myſterium confirmari, ſed dogmatum accurata expenſione. Quòd igitur neque tùm ab Euāgeliſtis, neque Apoſtolis, neque ab vllo eorum qui vetuſtioris ſcripturæ fuerunt magiſtri, perſuaſus hæc ſcribit, cuiuis planum eſſe arbitror qui ſacram & diuinam non ignorauerit ſcripturam. Conſequens ergo fuerit dicere ipſum exiſtimare ſanctos & beatos viros fuiſſe Manichæum, Nicolaum, Acoluthum, Aëtium, Arium & omnes eiuſdem chori, quos ſequens hæc decernit. Quòd neque nominum confeſſio, neque ritus eccleſiæ, neque myſtica ſymbola confirmant pietatem. Nos autem qui didicimus à ſancta voce, quòd niſi quis denuò fuerit natus deſuper ex aqua & ſpiritu, non ingredietur in regnum Dei, & quòd, qui manducat meam carnem, & qui bibit meum ſanguinem, ille viuet in æternum. Credimus diuinorum nominum confeſſione, Patris dico & Filij, & Spiritus ſancti, ratum fieri pietatis myſterium: & myſticorum rituum & ſymbolorum communione ſalutem confirmari. Dogmata autem accuratè ab his etiam qui ſunt extra myſterium, ſæpe examinantur & ſubtiliter diſcutiuntur: multos etiam licet audire qui pro hypotheſi, ſiue diſputationis ſubiecto ſibi ad ſermonum

Ioan. 3. *Ioan. 6.*

A καλῶς ἔχειν ὑπερβαίνοντα τὴν διὰ μέσου τῆς βλασφημίας κατασκευὴν, τρόπον τινὰ προδιελεγχθεῖσαν ἐν τοῖς ἐξητασμένοις, ἐπὶ τὰ κεφάλαια τῆς τοῦ δόγματος αὐτῶν κατηγορίας ἐλθεῖν. εὑρεθήσεται γὰρ μάταιον μὲν ἀποδεικνὺς τὸ τῆς παλιγγενεσίας μυστήριον, ἀνόνητον δὲ τὴν μυστικὴν δωροφορίαν, τήν τε μετουσίαν εἰς οὐδὲν πλέον τοῖς μετέχουσι γινομένην· φησὶ γὰρ μετὰ τοὺς συντόνους ἐκείνους αἰῶνας, ἐν οἷς Οὐαλεντίνους τε καὶ Κηρίνθους, καὶ Βασιλείδας, καὶ Μοντανοὺς, καὶ Μαρκίωνας, εἰς διαβολὴν τοῦ B καθ' ἡμᾶς προεστήσατο δόγματος, καὶ κατασκευάσας τὸ μηδὲ πρὸς τὴν τῶν Χριστιανῶν προσηγορίαν οἰκείως ἔχειν, τοὺς ἄγνωστον ἀποφαινομένους τὴν θείαν φύσιν, ἄγνωστον δὲ καὶ τὸν τῆς γεννήσεως τρόπον. καὶ συναριθμήσας τοῖς διαβεβλημένοις ἡμᾶς, οὕτως ἐπάγει τὸν περὶ ἑαυτοῦ λόγον ἐν τούτοις τοῖς ῥήμασιν. ἡμεῖς δὲ πειθόμενοι τοῖς ἁγίοις καὶ μακαρίοις ἀνδράσιν, οὔτε τῇ σεμνότητι τῶν ὀνομάτων, οὔτε ἐθῶν καὶ μυστικῶν συμβόλων ἰδιότητι, κυροῦσθαί φαμεν τὸ τῆς εὐσεβείας μυστήριον· τῇ δὲ τῶν δογμάτων ἀκριβείᾳ. ὅτι μὲν οὖν οὐδὲ πό- C τε τοῖς εὐαγγελισταῖς, οὔτε τοῖς ἀποστόλοις, οὔτε τινὶ τῶν τῆς ἀρχαιοτέρας γραφῆς καθηγησαμένων πεισθεὶς, ταῦτα γράφει, παντὶ δῆλον ἐστὶ τὴν ἱεράν τε καὶ θείαν οὐκ ἀγνοοῦντι γραφήν. ἀκόλουθον δὴ ἂν εἴη ἁγίους αὐτὸν καὶ μακαρίους ἄνδρας οἴεσθαι λέγειν, Μανιχαῖον, Νικόλαον, Ἀκόλουθον, Ἀέτιον, Ἄρειον, καὶ πάντας τοὺς τοῦ αὐτοῦ χοροῦ, οἷς ἀκολουθῶν ταῦτα νομοθετεῖ. ὅτι οὔτε τῶν ὀνομάτων ἡ ὁμολογία, οὔτε τὰ ἔθη τῆς ἐκκλησίας, οὔτε τὰ μυστικὰ σύμβολα κυροῖ τὴν εὐσέβειαν. ἡμεῖς δὲ μεμαθηκότες παρὰ τῆς ἁγίας φωνῆς, ὅτι ἂν μή τις γεννηθῇ ἄνωθεν D δι' ὕδατος καὶ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ὅτι ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐκεῖνος ζήσεται εἰς τὸν αἰῶνα. πεπείσμεθα τῇ ὁμολογίᾳ τῶν θείων ὀνομάτων, πατρὸς λέγω καὶ υἱοῦ, καὶ πνεύματος ἁγίου, κυροῦσθαι τὸ τῆς εὐσεβείας μυστήριον, καὶ τῇ τῶν μυστικῶν ἐθῶν τε καὶ συμβόλων κοινωνίᾳ τὴν σωτηρίαν κρατύνεσθαι. δόγματα δὲ δι' ἐπιμελείας καὶ τοῖς ἔξω τοῦ μυστηρίου πολλάκις ἐξήτασται· καὶ πολλῶν ἐστιν ἀκοῦσαι ὑπόθεσιν ἑαυτοῖς εἰς λόγων ἅμιλλαν, τὸ ἡμέ-

τερον

περὶ δόγμα προβαλλομένων. καὶ τινας αὐτῶν, καὶ κατ' ἐπιτυγχάνοντας τῆς ἀληθείας πολλάκις, καὶ οὐδὲν ἧττον ἠλλοτριωμένους τῆς πίστεως. ἐπεὶ τοίνυν καταφρονεῖ μὲν τῶν σεμνῶν ὀνομάτων, δι' ὧν τῆς θειοτέρας γεννήσεως ἡ δύναμις τοῖς διὰ πίστεως μετιοῦσι τὴν χάριν νέμει, παρορᾷ δὲ τὴν τῶν μυστικῶν συμβόλων τε καὶ ἐθῶν κοινωνίαν, ἐν οἷς ὁ Χριστιανισμὸς τὴν ἰσχὺν ἔχει, εἴπωμεν τὸ τοῦ προφήτου, μικρὸν παραδύσαντες πρὸς τοὺς ἀκροατὰς τῆς ἀπάτης, ὅτι ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε τὴν ἀπώλειαν, καὶ ζητεῖτε ψεῦδος; πῶς οὐχ ὁρᾶτε τὸν διώκτην τῆς πίστεως, εἰς παράβασιν τοῦ Χριστιανισμοῦ, τοὺς πειθομένους αὐτῷ προσκαλούμενον; Εἰ γὰρ ἄχρηστος μὲν ἡ τῶν σεμνῶν τε καὶ τιμίων τῆς ἁγίας τριάδος ὀνομάτων ὁμολογία, ἀνόητα δὲ τὰ ἔθη τῆς ἐκκλησίας, ἐν δὲ τοῖς ἔθεσι τούτοις ἐστὶν ἡ σφραγίς, ἡ προσευχή, τὸ βάπτισμα, ἡ τῶν ἁμαρτιῶν ἐξαγόρευσις, ἡ περὶ τὰς ἐντολὰς προθυμία, ἡ περὶ τὸ ἦθος κατόρθωσις, τὸ κατὰ σωφροσύνην βιοῦν, τὸ πρὸς τὸ δίκαιον βλέπειν, τὸ μὴ ταῖς ἐπιθυμίαις ἐθίζεσθαι, μήτε ἡδονῆς ἡττᾶσθαι, μήτε ἀρετῆς ἀπολείπεσθαι. εἰ οὖν μηδὲν τῶν τοιούτων ἐθῶν ἐπ' ἀγαθῷ κατορθοῦσθαι λέγει, μηδὲ τὰ μυστικὰ σύμβολα φυλακτήρια μὲν τῶν περὶ τὴν ψυχὴν ἀγαθῶν, καθὼς πεπιστεύκαμεν, γίνεσθαι· ἀποτρόπαια δὲ τῶν κατ' ἐπιβουλὴν τοῦ πονηροῦ τοῖς πεπιστευκόσιν ἐπαγομένων. τί ἄλλο καὶ οὐχὶ φανερῶς ἐμβοᾷ τοῖς ἀνθρώποις, λῆρον ἡγεῖσθαι τὸ Χριστιανῶν τὸ μυστήριον, καταγελᾶν τῆς σεμνότητος τῶν θείων ὀνομάτων. παίγνιον οἴεσθαι τὰ τῆς ἐκκλησίας ἔθη, φλυαρίαν τινὰ καὶ μωρίαν τὰ κατὰ τὸ μυστήριον ἐνεργούμενα πάντα. τί πλέον οἱ τῷ Ἑλληνισμῷ παραμένοντες εἰς διαβολὴν τοῦ καθ' ἡμᾶς προφέρουσι δόγματος; οὐχὶ κἀκεῖνοι γέλωτος ἀφορμὴν τὸ σεμνὸν ποιοῦνται τῶν ὀνομάτων, ἐν οἷς ἡ πίστις κρατύνεται, καὶ διαχλευάζουσι τὰ μυστικὰ σύμβολα, καὶ τὰ διατηρούμενα παρὰ τῶν μεμυημένων ἔθη; τὸ δὲ ἐν δόγμασι δεῖν μόνοις οἴεσθαι τὴν εὐσέβειαν εἶναι, τίνος οὕτως ἴδιον ὡς τῶν Ἑλλήνων; ἐπεὶ κἀκεῖνοι φασίν, εἶναί τι κατὰ τὴν ἑαυτῶν ὑπόληψιν τοῦ κηρύγματος ἡμῶν πιθανώτερον, καὶ τινὰ μέγαν ἐξ αὐτῶν τινὲς ὑποτίθενται Θεόν, ὑπερανεστηκότα τῶν ἄλλων,

A concertationem noſtrum dogma proponunt: quoſdam etiam ipſorum ſæpe in veritatè incidere, nihilominus à fide alienatos eſſe. Quoniam igitur auguſta & veneranda nomina aſpernatur, per quæ diuinioris generationis virtus participantibus per fidem gratiam tribuit: deſpicit autem myſticorum ſymbolorum & rituum communionem, in quibus Chriſtianiſmus robur habet. Illud prophetæ dicamus, paululum digreſſi ad auditores erroris & impoſturæ, Quouſque tandem graui corde? vt quid Pſal. 4 diligitis vanitatem & quæritis menda-
B cium? Quomodo non videtis fidei perſecutorem ad Chriſtianiſmi tranſgreſſionem eos qui ei credunt prouocantem? Si enim venerandorum & honorabilium nominum ſanctæ Trinitatis confeſſio eſt inutilis, inutiles etiam ſunt Eccleſiæ ritus, in his autem ritibus eſt ſigillum, deprecatio, baptiſma, peccatorum confeſſio, ad mandata promptitudo, morum emendatio, temperanter & ſobriè viuere, ad id quod iuſtum eſt reſpicere, cupiditatibus non aſſueſcere, neque à voluptate vinci, neque à virtute deficere. Si igitur nihil ta-

Valde notandus eſt hic locus.

C lium inſtitutorum ad vitam bene inſtituendam conferre autumat, neque myſtica ſymbola eſſe optima remedia ad cōſeruāda, ſicuti credimus, animi bona: auerruncamenta autem & depulſiones illectamentorum, quæ credentibus à maligno inſidioſè ſtruuntur: quid aliud hominibus, idque palàm inclamat, nugas exiſtimari debere Chriſtianorū myſterium: deridere dignitatem diuinorum nominum: ludibrium putare eccleſiæ ritus & inſtituta: nugas, neſcio quas, & ſtultitiam omnia quæ circa myſterium efficiuntur? Quid amplius illi qui in helleniſmo permanent, ad ca-
D lumniam noſtræ doctrinæ proferunt? Non & illi riſus occaſionem nominum venerādam dignitatem faciunt, in quibus fides confirmatur, & ſubſannāt myſtica ſymbola, ritúſque & inſtituta quæ ab initiatis obſeruantur? Quòd autem in decretis oporteat ſolis putare pietatem conſiſtere, cuius ſic proprium ſicut Græcorum eſt? Quoniā etiam illi aiunt, ſecundùm ſuam opinionem aliquid eſſe noſtra prædicatione probabilius: quemdam magnum ex ipſis quidam Deū ſupponunt, aliis ſupereminentem,

atque ſubiectas illi quaſdam poteſtates confitentur ordine quodam & ſerie inter ſe ſecundùm maius, vel inferius differentes, ſubiectas autem omnes æqualiter ei qui ſupereminet. Hæc quidem nouæ idololatriæ magiſtri prædicant: neque verentur docere illi qui hæc ſequuntur, tranſgreſſoribus condemnationem imminere. Quaſi non intelligant, quòd aliquid abſurdum facto perpetrare, multò grauius eſt quam verbo ſolo peccare. Qui igitur facto quidem fidem negant, & inſtituta ac ritus parui faciunt, & nominum confeſſionem deſpiciunt, & ex myſticis ſymbolis ſanctificationem pro nihilo ducunt, ad docta verba reſpicere perſuaſi, & in geniti atque ingeniti artificioſo ſermone ſalutem conſiſtere opinantes, quid aliud ſunt, quàm tranſgreſſores documentorum ſalutis? Quòd ſi quis putat hæc à nobis calumnia quadam ipſis inferri, quæ ab ipſo ſcripta ſunt, per ſe ipſe conſideret, & quæ nobis ad examen propoſita ſunt, & quæcumque ex conſecutione dictis ſubiunguntur. Ait enim Domini legem peruertens (lex enim eſt diuinæ inſtitutionis traditio) non in Patrem & Filium & Spiritum ſanctum baptiſma fieri, ſicut præcepit diſcipulis tradens myſterium: ſed in opificem & creatorem, & non ſolum patrem (inquit) vnigeniti ſed etiam Deum. Proh, qui proximum ſuum potare facit euerſionem turbidam, quo modo turbat cœnoſa adiectione & inquinat veritatem! quomodo non extimuit impoſitam execrationem aduerſus eos qui diuinis vocibus aliquid adijciunt,
Matth.vlt. vel qui ſubſtrahere audent. Legamus in eo verborum vocem Domini. Euntes, inquit, docete omnes gentes, baptizantes eos in nomine Patris, & Filij, & Spiritus ſancti: vbi filium creaturam appellauit? vbi patrem, creatorem & conditorem Vnigeniti eſſe ſermo docuit? vbi in his quæ dicta ſunt filius eſſe ſeruus Dei docetur? vbi Deus filij in myſterij traditione prædicatur? Ergo cognoſcite & intelligite qui errore & impoſtura pertracti ad interitum eſtis, quem animarum veſtrorum magiſtrum præfeciſtis, qui adulterat ſcripturas ſacras,

A καὶ ὑποχειρίους τινὰς δυνάμεις ὁμολογοῦσι, διά τινος τάξεως καὶ ἀκολουθίας, ἀλλήλων μὲν πρὸς τὸ μεῖζον, ἢ καταδεέστερον διαφερούσας, ὑπεζευγμένας δὲ πάσας ἐπίσης τῷ ὑπερέχοντι. ταῦτα τοίνυν καὶ οἱ καθηγηταὶ τῆς νέας εἰδωλολατρείας κηρύσσουσι· καὶ οὐ δεδοίκασιν οἱ ἑπόμενοι τὴν ἐπικειμένην τοῖς παραβεβηκόσι κατάκρισιν. ὥσπερ οὐ συνιέντες, ὅτι τὸ ἔργῳ τι ποιῆσαι τῶν ἀτόπων, τοῦ διὰ ῥήματος ἐξαμαρτεῖν μόνον παρὰ πολὺ χαλεπώτερον. οἱ τοίνυν ἔργῳ μὲν τὴν πίστιν ἀρνούμενοι, καὶ τὰ ἔθη φαυ-
B λίζοντες, καὶ τὴν τῶν ὀνομάτων ὁμολογίαν παρορῶντες, καὶ τὸν ἐκ τῶν μυστικῶν συμβόλων ἁγιασμὸν αὐτ' οὐδενὸς εἶναι κρίνοντες· πρὸς δὲ τὰ σεσοφισμένα ῥήματα βλέπειν ἀναπεισθέντες, καὶ ἐν τῇ τοῦ γεννητοῦ καὶ ἀγεννήτου τεχνολογίᾳ τὴν σωτηρίαν εἶναι νομίζοντες, τί ἄλλο καὶ οὐχὶ παραβάται τῶν τῆς σωτηρίας δογμάτων εἰσίν; εἰ δέ τις οἴεται ταῦτα κατά τινα συκοφαντίαν παρ' ἡμῶν αὐτοῖς ἐπιφέρεσθαι, καθ' ἑαυτὸν διασκεψάσθω τὰ παρ' αὐτοῦ γεγραμμένα, τά τε προτεθέντα ἡμῖν εἰς ἐξέτασιν, καὶ
C ὅσα κατὰ τὸ ἀκόλουθον τοῖς εἰρημένοις ἐπάγεται). φησὶ γὰρ τὸν τοῦ κυρίου νόμον παραγραφόμενος. νόμος γάρ ἐστιν ἡ τῆς θείας μυσταγωγίας παράδοσις, μὴ εἰς πατέρα τε καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τὸ βάπτισμα γίνεσθαι, καθὼς ἐνετείλατο τοῖς μαθηταῖς παραδιδοὺς τὸ μυστήριον· ἀλλ' εἰς δημιουργὸν καὶ κτίστην, καὶ οὐ μόνον πατέρα φησὶ τοῦ μονογενοῦς, ἀλλὰ καὶ Θεόν. ὢ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν. πῶς ἀναταράσσει τῇ ἰλυώδει προσθήκῃ καὶ ἀναθολοῖ τὴν ἀλήθειαν. πῶς οὐ δέδοικε τὴν ἐπικειμένην ἀρὰν, κατὰ τῶν
D προστιθέντων τι ταῖς θείαις φωναῖς, ἢ ὑφαιρεῖν τολμώντων. ἀναγνῶμεν ἐπ' αὐτοῦ τῶν ῥημάτων τὴν τοῦ κυρίου φωνήν, πορευθέντες, φησί, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ποῦ κτίσμα τὸν υἱὸν προσηγόρευσε; ποῦ κτίστην καὶ δημιουργὸν τοῦ μονογενοῦς τὸν πατέρα ὁ λόγος ἐδίδαξε; ποῦ δοῦλος Θεοῦ ἐν τοῖς εἰρημένοις ὁ υἱὸς εἶναι διδάσκεται; ποῦ Θεὸς τοῦ υἱοῦ ἐν τῇ παραδόσει τοῦ μυστηρίου κηρύσσεται; ἄρα νοεῖτε καὶ συνίετε, οἱ δι' ἀπάτης κατασυρέντες πρὸς τὴν ἀπώλειαν. τίνα τῶν ἰδίων ψυχῶν καθηγητὴν προεστήσασθε, τὸν νοθεύοντα τὰς ἁγίας γραφάς,

τὸν μεταποιοῦντα τὰς θείας φωνὰς, τὸν ἀναθολοῦντα τῷ ἰδίῳ βορβόρῳ τὸ καθαρὸν τῶν τῆς εὐσεβείας δογμάτων, τὸν μὴ μόνον καθ' ἡμῶν τὴν ἑαυτοῦ γλῶσσαν ὁπλίζοντα, ἀλλὰ καὶ αὐτὰς μετασκευάζειν ἐπιχειροῦντα τὰς ἁγίας φωνάς, τὸν κυριωτέραν τὴν ἰδίαν διαστροφὴν τῆς τοῦ κυρίου διδασκαλίας ἀποδεῖξαι φιλονεικοῦντα, οὔπω καθορᾶτε ὅτι ἀντεγείρει ἑαυτὸν τῷ προσκυνουμένῳ ὀνόματι; ὥστε σιωπηθῆναι μὲν τῷ χρόνῳ τὸ τοῦ κυρίου ὄνομα· ἀντικαταστῆναι δὲ ταῖς ἐκκλησίαις ἀντὶ τοῦ Χριστοῦ τὸν Εὐνόμιον; οὔπω λογίζεσθαι ὅτι μελέτη καὶ παρασκευὴ καὶ προοίμιον τῆς τοῦ ἀντιχρίστου παρουσίας τὸ ἄθεον τοῦτο παρὰ τοῦ διαβόλου προκαταβέβληται κήρυγμα. ὁ γὰρ τῶν τοῦ Χριστοῦ λόγων κυριωτέρας τὰς ἰδίας φωνὰς ἀποδεῖξαι φιλονεικῶν, καὶ μεταλλάξαι τὴν πίστιν ἀπὸ τῶν θείων ὀνομάτων, καὶ τῶν μυστικῶν ἐθῶν, καὶ συμβόλων εἰς τὴν ἰδίαν ἀπάτην, τί δὴ ἄλλο κυρίως ἢ οὐχὶ ἀντίχριστος λέγοιτο.

A qui tranſmutat diuinas voces, qui proprio luto & cœno pura dogmata pietatis inquinat, qui non ſolum contra nos ſuam linguam armat, ſed etiam ipſas ſanctas voces peruertere conatur? Quiſnam peruerſionem Domini doctrina magis ratam & firmiorem eſſe demonſtrare ambitioſè contendit. Non videris, quòd ſeipſum excitat contra nomen quod adoratur: ita vt temporis lapſu Domini nomen ſilentio inuolutum exoleſcat, & pro Chriſto Eunomius celebretur. Nondum rationis iudicio intelligitis, quòd meditatio & B præparatio & exordium Antichriſti aduentus hoc impium dogma & præconium à diabolo velut quoddam fundamentum prius factum eſt. Nam qui ſuas voces Chriſti ſermonibus plus habere autoritatis & imperij oſtendere ambitioſè obnititur, & à diuinis nominibus fidem demutare, & à myſticis ritibus & ſacramentis ad ſuum errorem traducere cupidè conatur, quid aliud propriè, quam Antichriſtus dicatur?

A

Sanċti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMIVM.

ORATIO XI.

SED quod blaſphemiæ ex cõſequenti adiacet videamus, quod quidẽ patrocinij & defenſionis dogmatis ipſorum præcipuum eſt argumentum. Putant enim valentiſſimam demonſtrationem eorum quæ aſſerunt habere, qui vnigeniti gloriæ majeſtatem ad humiles & ſeruiles opiniones redigunt, verbum Domini ad Mariam, quod poſt reſurrectionem ante aſcenſionem fecit dicens: Noli me tangere, nondũ enim aſcendi ad Patrem meum: ſed vade ad fratres meos & dic eis, Aſcendo ad Patrem meum & Patrem veſtrum, Deum meum, & Deum veſtrum. Piam igitur horum dictorum ſententiam, ſecundùm quam credidimus hæc dicta eſſe ad Mariam, præcognitum his qui in veritate fidem acceperunt arbitror: nihilominus tamen quid de eo dicendum ſit ac ſentiendum, loco congruo proponemus. Interea autem ab his qui has tales voces nobis proferunt, operæpretium eſt diſcere: an id quod aſcendit & quod videtur, quodque tactu dignoſcitur, præterea quod hominibus per fraternitatem cognatum eſt, diuinæ, vel humanæ naturæ proprium eſſe rentur: Si enim quod tractatur & videtur, & cibo & potu miniſtratur, & hominibus cognatum & germanum: & quæcumque in corporale natura cernũtur, hæc omnia etiam in diuinitate ſpectant, de vnigenito Deo hæc etiam dicant, & quæcumque volunt ei attribuant: & ambulandi actum & localem migrationem, quod quidem eſt proprium eorum quæ in

Ioan. 20.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΚΑΤΑ ΕΥΝΟΜΙΟΥ,

ΛΟΓΟΣ ΙΑ'.

B

ΑΛΛ' ἴδωμεν καὶ τὸ ἐκ τοῦ ἀκολούθου τῇ βλασφημίᾳ προκείμενον, ὅπερ ἐστὶν αὐτὸ τὸ κεφάλαιον τῆς τοῦ δόγματος αὐτῶν συνηγορίας. οἴονται γὰρ ἰσχυροτάτην ἀπόδειξιν ὧν λέγουσιν ἔχειν οἱ τὸ μεγαλεῖον τῆς τοῦ μονογενοῦς δόξης εἰς ταπεινὰς καὶ δουλοπρεπεῖς ὑπολήψεις κατάγοντες, τὸν πρὸς τὴν Μαρίαν τοῦ κυρίου λόγον, ὃν μετὰ τὴν ἀνάστασιν περὶ τῆς ἀνόδου πεποίηται λέγων, μή

C

μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου· πορεύθητι δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· ὅτι ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. τὴν μὲν οὖν εὐσεβῆ τῶν εἰρημένων διάνοιαν καθ' ἣν πεπιστεύκαμεν εἰρῆσθαι ταῦτα πρὸς τὴν Μαρίαν πρόδηλον οἶμαι τοῖς παραδεξαμένοις ἐν ἀληθείᾳ τὴν πίστιν. προστεθήσεται δὲ ὅμως καὶ παρ' ἡμῶν ὁ περὶ τούτου λόγος ἐν τῷ καθήκοντι τόπῳ· τέως δὲ μαθεῖν ἄξιον παρὰ τῶν προφερόντων ἡμῖν τὰς τοιαύτας

D

φωνάς, ὅτι τὸ ἀναβαῖνον καὶ τὸ ὁρώμενον, καὶ τὸ διὰ τῆς ἁφῆς γνωριζόμενον, καὶ ἔτι πρὸς τούτοις τὸ τοῖς ἀνθρώποις διὰ τῆς ἀδελφότητος οἰκειούμενον, ἆρα τῆς θείας, ἢ τῆς ἀνθρωπίνης φύσεως ἴδιον εἶναι νομίζουσιν· εἰ μὲν γὰρ ψηλαφητὸν καὶ ὁρατὸν, καὶ βρώσει καὶ πόσει διοικούμενον, καὶ τοῖς ἀνθρώποις ὁμογενὲς καὶ ἀδελφὸν, καὶ ὅσα περὶ τὴν σωματικὴν καθορᾶται φύσιν πάντα ταῦτα καὶ ἐν θεότητι βλέπουσι, λεγέτωσαν περὶ τοῦ μονογενοῦς Θεοῦ καὶ ταῦτα, καὶ ὅσα βούλονται μαρτυρείτωσαν αὐτῷ, καὶ τὴν πορευτικὴν ἐνέργειαν, καὶ τὴν τοπικὴν μετάστασιν, ὅπερ ἴδιον τῶν ἐν σώματι

περιγεγραμμένων ἐστίν. εἰ δὲ ὁ μὲν διὰ τῆς Μαρίας ἀδελφοῖς διαλέγεται, ὁ δὲ μονογενὴς ἀδελφοὺς οὐκ ἔχει. πῶς γὰρ ἂν ἐν ἀδελφοῖς τὸ μονογενὲς διασώζοιτο; καὶ ὁ εἰπὼν πνεῦμα ὁ Θεός, φησὶ πρὸς τοὺς μαθητὰς ὁ αὐτός, ὅτι ψηλαφήσατέ με, ἵνα δείξῃ ὅτι ψηλαφητὴ μὲν ἡ ἀνθρωπίνη φύσις, ἀναφὲς δὲ τὸ θεῖον. καὶ ὁ εἰπών, πορεύομαι, τὴν τοπικὴν διασημαίνει μετάστασιν. ὁ δὲ τὰ πάντα συμπεριειληφώς, ἐν ᾧ, καθώς φησιν ὁ ἀπόστολος, ἐκτίσθη τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα συνέστηκεν, οὐδὲν ἐν τοῖς οὖσιν ἔξω ἑαυτοῦ ἔχει, εἰς ὃ κατά τινα κίνησιν ἡ μεταχώρησις γίνεται. οὐδὲ γάρ ἐστιν ἑτέρως ἐνεργῆσαι τὴν κίνησιν, μὴ τοῦ μεθισταμένου τὸν μὲν ἐν ᾧ ἦν ἀπολείποντος, ἕτερον δὲ ἀντιλαμβανόντος τόπον. τὸ δὲ διὰ πάντων ἥκον, καὶ πᾶσιν ὄν, καὶ πάντα περικρατοῦν, καὶ ὑπ' οὐδενὸς τῶν ὄντων περιειργόμενον, οὐκ ἔχει ὅπου μεταχωρήσῃ, τῷ μηδὲν εἶναι κενὸν τοῦ θείου πληρώματος. πῶς καταλιπόντες οὗτοι τὸ ἐκ τοῦ φαινομένου τὰς φωνὰς γίνεσθαι, ταύτας τῇ θείᾳ τε καὶ ὑπερεχούσῃ πάντα νοῦν ἐφαρμόζουσι φύσει; σαφῶς τοῦ ἀποστόλου ἐν τῇ πρὸς Ἀθηναίους δημηγορίᾳ τοιοῦτον ἀπαγορεύοντος ἐπὶ Θεοῦ νομίζειν. ὡς οὐχὶ διὰ ψηλαφήσεως εὑρισκομένης τῆς θείας δυνάμεως, ἀλλὰ διὰ νοητῆς θεωρίας καὶ πίστεως, ἢ πάλιν ὁ βεβρωκὼς ἐν ὀφθαλμοῖς τῶν μαθητῶν, καὶ ὁ ἐπαγγειλάμενος ἐν τῇ Γαλιλαίᾳ προάξειν τε καὶ ὀφθήσεσθαι, τίνα τὸν ὀφθησόμενον αὐτοῖς μηνύει; ἆρα τὸν Θεόν, ὃν οὔτε ἑώρακέ τις, οὔτε ἰδεῖν δύναται, ἢ τὸν σωματικὸν χαρακτῆρα, τουτέστι, τὴν τοῦ δούλου μορφήν, ἐν ᾗ ἦν ὁ Θεός. Εἰ τοίνυν φανερῶς διὰ τῶν εἰρημένων πρὸς τὸ βλεπόμενον, καὶ ἀντίτυπον καὶ κινούμενον, ὁμογενὲς τῇ φύσει τῶν μαθητῶν, ἡ διάνοια τῶν εἰρημένων φέρεται. τῶν δὲ τοιούτων οὐδὲν περὶ τὸν ἀόρατόν τε καὶ ἀσώματον καὶ ἀναφῆ καὶ ἀνείδεον καθορᾶται. πῶς αὐτὸν τὸν μονογενῆ Θεόν, τὸν ἐν ἀρχῇ ὄντα, καὶ ἐν τῷ πατρὶ ὄντα, εἰς τὸ ὁμότιμον Πέτρῳ, καὶ Ἀνδρέᾳ, καὶ Ἰωάννῃ, καὶ τοῖς λοιποῖς τῶν ἀποστόλων κατάγουσιν; ἐν τῷ καὶ ἀδελφοὺς αὐτοὺς λέγειν εἶναι τοῦ μονογενοῦς καὶ ὁμοδούλους. καὶ πᾶσα πρὸς τοῦτον αὐτοῖς τὸν σκοπὸν ἡ σπουδὴ βλέπει, τὸ δεῖξαι τοσοῦτον ἀφεστῶτα κατὰ τὸ μεγαλεῖον τῆς φύσεως, τὸν πα-

A corpore circumſcripta ſunt. Quod ſi ille eſt qui per Mariam cum fratribus diſſerit: vnigenitus autem fratres non habet. Ioan 4. Luc. 24. Quomodo enim in fratribus quod vnigenitum eſt conſeruaretur? Et qui dixit, Deus ſpiritus eſt, idem ait ad diſcipulos, palpate me, vt oſtenderet quod palpabilis quidem natura humana, quod autem diuinum eſt, tactu percipi nequaquam poteſt. Et qui dixit Vado, localem ſignificat profectionem. Qui autem omnia complexus eſt, in quo, ſicut ait Apoſtolus, creata ſunt omnia, & in quo conſiſtunt: nihil eorum B quæ ſunt extra ſeipſum habet, ad quod motu aliquo poſſit ſecedere. Neque enim aliter motum fieri contingit, niſi quod tranſmigrat, eum quidem in quo erat, relinquat, alterius verò locum occupet. Quod autem per omnia penetrat, & in omnibus eſt, & omnia continet, & à nullo eorum quæ ſunt circumſcribitur, non habet quo tranſmigret. Quia nihil ſit inane & diuina plenitudine vacuum. Quo modo iſti omittentes, has voces fieri ab eo quod cernitur & apparet (nempe ab humanitate Chriſti) has diuinæ & omnem intelle- C ctum ſuperanti naturæ applicant? Cùm Apoſtolus apertè in concione ad Athenienſes de Deo tale prohibeat exiſtimare. Act. 17. Quia non per palpationem & tactum vis diuina inuenitur: ſed per intellectualem contemplationem & fidem, vel rurſus qui comedit in oculis diſcipulorũ, & qui promiſit in Galilæa ſe præceſſurum & viſum iri, quem videndum ipſis ſignificat? An Deum? Ioan. 1. quem nemo vnquam vidit, neque videre poteſt: an corpoream figuram, hoc eſt, ſerui formam in qua erat Deus. Si igitur manifeſtè per ea quæ ſunt D dicta, ad id quod cernitur & palpatur, & quod mouetur, quodque naturæ diſcipulorum homogeneum, dictorum refertur intelligentia: nihil autem eiuſmodi conſpicitur in eo qui eſt inaſpectabilis & incorporeus, & qui nec tactu percipi poteſt, nec forma figurari. Quomodo ipſum vnigenitum Deum, qui erat in principio & in patre eſt, ad æqualem honorem cum Petro & Andrea & Ioanne, & reliquis Apoſtolis redigunt? dum etiã dicunt ipſos fratres eſſe, & conſeruos vnigeniti. Atq; omne ſtudium ipſorum ad hunc ſcopum ſpectat, vt demonſtrent tantum abeſſe pa-

trem ſecundùm naturæ maieſtatem ab vnigeniti dignitate & virtute & eſſentia, quantum ſupra humanam eſſentiam ſeſe extulit. Atque huius ſententiæ ſermonem hunc faciunt patronum: qui ex æquo patris & Domini, & diſcipulorum Domini communem facit naturam, vt nulla inter eos ſecundùm naturalem dignitatem intelligatur differentia, in eo quòd ſimiliter ipſe & huius & illorum Pater & Deus eſſe exiſtimetur. Et talis quædam eſt quæ ex conſequentia elicitur blaſphemiæ adſtructio. Ita vt vel etiam diſcipulis per relatiuam ſignificationem eſſentiæ communitatem cum Patre attribuat: vel neque Dominum per hanc vocem ad communionẽ naturæ patris adducat. Et quemadmodum ſeruitutem diſcipulorũ probat ex eo quod ipſorum Deus nominatus eſt, qui eſt: ſuper omnia ſimiliter etiã filium ſeruire Deo per ea quę ſunt dicta confitetur. Quòd igitur diuinitati vnigeniti verba ad Mariam facta non congruunt, ex hoc verborũ ſenſu licet percipere. Qui enim eſt per omnia cùm ad æqualitatem humanæ breuitatis ſeipſum humiliaſſet, ille eſt qui ea quæ dicta ſunt loquitur. Quænã verò ipſorum verborũ eſt intelligẽtia, exactè ſciuerint illi qui per ſpiritũ myſterij profunda perſcrutantur. Quæcumque autem ex his percipere potuimus, iuxtà patrum expoſitionem hæc paucis apponemus. Qui natura eorum quæ ſunt pater eſt, ex quo omnia ortũ habent, vnus ab Apoſtoli magniloquentia prædicatur: vnꝰ, inquit, Deus & Pater, ex quo omnia. Ergo humana natura non aliunde in creaturã venit: neque fortuitò aut propria vi in rerum naturã producta eſt: ſed factorem & naturæ ſuæ cõditorem non alium ſortita eſt omniũ Patrem. Atque ipſum diuinitatis nomen, nihil aliud ſignificat præter eã vim qua omnia contemplatur & omnibus prouidet, quam etiam propriè habuit erga genus humanum. qui enim facultatẽ & vim his quę ſunt, vt eſſent præbuit, Deus eſt & inſpector eorũ quæ ab illo facta ſunt. Sed quoniã per inſidias eius qui in nobis ſeuit cõtumaciæ ſiue rebellionis loliũ, nõ amplius paterni characteris imaginẽ na natura noſtra in ſeipſa conſeruauit, ſed ad fœditatem peccati deformata eſt. Idcirco per eam ſimilitudinem quæ per electionem fit, & à libero mẽtis arbitrio

1.Cor.8.ad Ephes.4.

A τέρα τῆς τοῦ μονογενοῦς ἀξίας τε καὶ δυνάμεως καὶ οὐσίας, ὅσον καὶ τῆς ἀνθρωπίνης οὐσίας ὑπερανέστηκε, καὶ τῆς διανοίας ταύτης τοῦτον τὸν λόγον ποιοῦνται συνήγορον. τὸν ἐκ τοῦ ἴσου τήν τε τοῦ πατρὸς καὶ τὴν τοῦ κυρίου, καὶ τῶν μαθητῶν τοῦ κυρίου φύσιν κοινοποιοῦντα. ὡς μηδεμιᾶς μεταξὺ νοουμένης κατὰ τὴν φυσικὴν ἀξίαν διαφορᾶς· ἐν τῷ παραπλησίως αὐτόν, καὶ τούτου κἀκείνων πατέρα τε καὶ Θεὸν εἶναι νομίζεσθαι. καὶ τοιαύτη τίς ἐστιν ἡ κατὰ τὸ ἀκόλουθον τῆς βλασφημίας κατασκευή, ὡς ἢ καὶ τοῖς μαθη-

B ταῖς διὰ τῆς σχετικῆς σημασίας τὸ κοινὸν τῆς οὐσίας πρὸς τὸν πατέρα συμμαρτυρεῖσθαι, ἢ μηδὲ τὸν κύριον διὰ τῆς φωνῆς ταύτης εἰς κοινωνίαν τῆς τοῦ πατρὸς ἄγειν φύσεως, καὶ ὡς τὴν δουλείαν τῶν μαθητῶν, τὸν Θεὸν αὐτῶν ὀνομασθῆναι τὸν ἐπὶ πάντων παρίστησι, κατὰ τὸν αὐτὸν λόγον, καὶ τὸν υἱὸν δουλεύειν τῷ Θεῷ διὰ τῶν εἰρημένων ὁμολογεῖσθαι. ὅτι μὲν οὖν οὐ τῇ θεότητι τοῦ μονογενοῦς ἐφαρμόζεται τὰ πρὸς τὴν Μαρίαν ῥήματα, δι' αὐτῆς ἔστι τῆς τῶν εἰρημένων διανοίας μαθεῖν. ὁ γὰρ διὰ πάντων πρὸς τὸ ὁμότιμον τῆς ἀν-

C θρωπίνης βραχύτητος ἑαυτὸν φασὶ ταπεινώσας, ἐκεῖνος φθέγγεται τὰ εἰρημένα. τίς δὲ αὐτῶν τῶν ῥημάτων ἐστὶν ἡ διάνοια τὴν μὲν ἀκρίβειαν εἰδεῖεν ἂν οἱ διὰ τοῦ πνεύματος τὰ βάθη τοῦ μυστηρίου διερευνώμενοι. ὅσα δὲ καὶ εἰς ἡμετέραν ἥκει κατάληψιν κατὰ τὴν τῶν πατέρων ὑφήγησιν, ταῦτα δι' ὀλίγων παραθησόμεθα. ὁ τῇ φύσει πατὴρ τῶν ὄντων, ἐξ οὗ τὰ πάντα τὴν γένεσιν ἔχει, εἷς παρὰ τῆς ἀποστόλου μεγαλοφωνίας ἀνακεκήρυκται. εἷς γὰρ Θεός, φησί, καὶ πατήρ, ἐξ οὗ τὰ πάντα. οὐκοῦν ἡ ἀνθρωπίνη φύσις, οὐκ

D ἀλλαχόθεν ἐπεισῆλθε τῇ κτίσει. οὐδ' αὐτομάτως ἐνεφύη τοῖς γινομένοις· ἀλλὰ τὸν ποιητὴν καὶ αὐτῆς τῆς ἰδίας συστάσεως οὐκ ἄλλον ἔσχεν, ἢ τὸν πατέρα τῶν πάντων. καὶ αὐτὸ δὲ τὸ τῆς θεότητος ὄνομα, εἴτε τὴν ἐποπτικήν, εἴτε τὴν προνοητικὴν ἐξουσίαν σημαίνει, τὴν οἰκείως εἶχε πρὸς τὸ ἀνθρώπινον. ὁ γὰρ τὴν δύναμιν παρασχὼν τοῖς οὖσι τοῦ εἶναι, Θεὸς καὶ ἐπόπτης τῶν ὑπ' ἐκείνου γεγονότων ἐστίν. ἀλλ' ἐπεὶ κατ' ἐπιβουλὴν τοῦ ἐνσπείραντος ἡμῖν τὸ τῆς ἀπειθείας ζιζάνιον, οὐκέτι τοῦ πατρικοῦ χαρακτῆρος ἡ φύσις ἡμῶν τὴν εἰκόνα ἐφ' ἑαυτῆς διεσώσατο, ἀλλὰ πρὸς τὸ αἶσχος τῆς ἁμαρτίας μετεμορφώθη. διὰ τοῦτο διὰ τῆς κατὰ τὴν προαίρεσιν ὁμοιότητος εἰς τὴν πονηρὰν

συγγένειαν τοῦ πατρὸς τῆς ἁμαρτίας εἰσεποιήθη. ὡς μηκέτι τοῦ ἀποκηρυχθέντος ἐν τῇ ἰδίᾳ κακίᾳ, τὸν ἀγαθόν τε καὶ ἀληθινὸν εἶναι πατέρα τε καὶ Θεόν· ἀλλ' ἀντὶ μὲν τοῦ φύσει ὄντος Θεοῦ, τοὺς φύσει μὴ ὄντας Θεοὺς τιμηθῆναι, καθώς φησιν ὁ ἀπόστολος, ἀντὶ δὲ τοῦ ἀληθινοῦ πατρὸς, τὴν ψευδώνυμον νομισθῆναι πατέρα. καθώς που δι' αἰνίγματος ὁ προφήτης Ἱερεμίας λέγων. ὅτι ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκεν. ἐπεὶ οὖν τὸ κεφάλαιον τῆς συμφορᾶς ἡμῶν τοῦτο ἦν, τὸ ἐξοικειωθῆναι τοῦ ἀγαθοῦ πατρὸς τὸ ἀνθρώπινον, καὶ τῆς θείας ἐποψίας τε καὶ κηδεμονίας ἔξω γενέσθαι. διὰ τοῦτο ὁ πᾶσαν τὴν κτίσιν τῶν λογικῶν ποιμαίνων, καταλιπὼν ἐν τοῖς ὑψηλοῖς τὴν ἀπλανῆ τε καὶ ὑπερκόσμιον ποίμνην, τὸ πεπλανημένον πρόβατον, τὴν ἡμετέραν λέγω φύσιν, ὑπὸ φιλανθρωπίας μετέρχεται. πολλοστὸν γάρ ἐστι καὶ ἐλάχιστον μέρος, εἰ πρὸς τὸ πᾶν κρίνοιτο ἡ ἀνθρωπίνη φύσις, ἡ μόνη κατὰ τὸ τῆς παραβολῆς αἴνιγμα, τῆς λογικῆς ἑκατοντάδος διὰ τῆς κακίας ἀποφοιτήσασα. ἐπεὶ οὖν ἀπεξενωθεῖσαν τοῦ Θεοῦ τὴν ἡμετέραν ζωὴν, δι' ἑαυτῆς πάλιν ἐπὶ τὸν ὑψηλόν τε καὶ οὐράνιον χῶρον ἀναληφθῆναι ἀμήχανον ἦν. διὰ τοῦτο, καθώς φησιν ὁ ἀπόστολος, ὁ μὴ γνοὺς ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτία γίνεται, καὶ τῆς κατάρας ἡμᾶς ἐλευθεροῖ τὴν ἡμετέραν κατάραν οἰκειωσάμενος, καὶ τὴν ἔχθραν ἡμῶν τὴν διὰ τῆς ἁμαρτίας πρὸς τὸν Θεὸν γεγενημένην ἀναλαβὼν, καὶ ἐν ἑαυτῷ ἀποκτείνας κατὰ τὸν τοῦ ἀποστόλου λόγον. ἔχθρα γὰρ ἦν ἡ ἁμαρτία, καὶ γενόμενος ὅπερ ἡμεῖς, δι' ἑαυτοῦ πάλιν συνῆψε τῷ Θεῷ τὸ ἀνθρώπινον. τὸν γὰρ καινὸν ἐκεῖνον ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα, ἐν ᾧ κατῴκησε τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, τοῦτον διὰ καθαρότητος τῇ συγγενείᾳ τοῦ πατρὸς τῆς φύσεως ἡμῶν προσοικειώσας, πᾶσαν τὴν κοινωνὸν τοῦ σώματος αὐτοῦ καὶ συγγενῆ φύσιν πρὸς τὴν αὐτὴν χάριν συνεφελκύσατο. καὶ τοῦτο διὰ τῆς γυναικὸς οὐ πρὸς ἐκείνους τοὺς μαθητὰς μόνον, ἀλλὰ καὶ πρὸς πάντας τοὺς μέχρι τοῦ νῦν μαθητευομένους λόγῳ εὐαγγελίζεται. ὅτι οὐκέτι ἐν ἀποκηρύκτοις ὁ ἄνθρωπος, οὐδὲ τῆς τοῦ θεοῦ βασιλείας ἀπόβλητος· ἀλλὰ πάλιν υἱὸς, πάλιν ὑπὸ τὸν θεὸν τεταγμένος, τῇ ἀπαρχῇ τῆς ἀνθρωπότητος συναγιασθέντος καὶ τοῦ φυράματος. ἰδοὺ γάρ, φησιν, ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός, ὅθεν ὑμᾶς ἀπεφοιτήσατε σάρκες καὶ αἷμα διὰ τῆς ἁμαρτίας γενόμενοι, ἐκεῖ πάλιν ὑμᾶς ἀναλαβὼν ἐπανήγαγεν.

A depēdet, ad improbā cognationē patris peccati adſcita eſt. Ita vt eius qui abdicatus eſt in ſuo peccato, non amplius ſit bonus & verus pater & Deus: ſed pro eo qui natura Deus eſt, illi qui natura non ſunt dij colantur, quēadmodū ait Apoſtolus, pro vero autē patre, falſus pater exiſtimetur, ſicut alicubi per ænigma propheta Hieremias dicit, Perdix vocē edidit, collegit quæ nō peperit? Quoniā igitur noſtræ calamitatis præcipuū caput hoc erat, nēpe quòd humana natura à bono patre exhæredata erat, & à diuina intuitione & cura diuina excluſa erat. Ideo qui omnē rationalē creaturā paſcit, relicto in excelſis inerrante & B ſupermūdano grege, ad errātem ouē, noſtram intelligo naturā, præ beneuolētia erga genus humanū accedit: multeſima enim & minima pars ſi cū vniuerſo conferatur, natura humana, quæ ſola ſecūdùm parabolæ ænigma rationalis cēturię propter vitiū à grege ſeceſſerat. Quoniā igitur omnino fieri non poterat, vt à Deo abalienata noſtra vita, per ſe rurſus ad excelſum & cœleſtē locū aſſumeretur. Idcirco, quēadmodum ait Apoſtolus, qui nō nouit peccatū, pro nobis peccatū fit: & nos à maledictione liberat, noſtrā maledictionē ſibi propriā faciens: & inimicitiā noſtrā per peccatū cum Deo C initā aſſumens, & in ſemetipſo interficiens ſecundùm Apoſtoli ſermonē. Inimicitia enim erat peccatū: & factus idē quod nos, per ſeipſum rurſus Deo genus humanū cōiunxit. Nouum enim illum hominē qui ſecundùm Deū creatus eſt, in quo omnis plenitudo diuinitatis corporaliter habitat, hunc per puritatē cognationi patris naturę noſtræ adiūgens: omnē corpori ſuo cōmunicantem & cognatam naturā ad eumdem gratiā vnà etiā traxit. Atq; hoc per mulierē nō ad D illos diſcipulos ſolùm ſed ad omnes ad hoc vſque tēpus qui inſtituerētur, euangelizatur: quòd nō amplius inter abdicatos homo eſt, neq. à regno Dei depulſus: ſed iterū fili⁹, rurſus Deo ſubiectus, per primitias humanitatis ſanctificato etiā fermēto. Ecce enim, inquit, ego & filioli quos mihi dedit Deus, vnde vos diſceſſiſtis, carnes & ſanguis per peccatū facti, illuc rurſus vos aſſumptos reduxit?

Rom. 1.
Hierem.
1. Cor. 5.
Rom. 8.
Gal. 3.
Coloſſ. 2.

qui propter nos carnis & ſanguinis particeps eſſe voluit. Atque ſic factus eſt etiam pater noſter, & Deus à quo prius per defectionem alienati eramus. Ergo bonum hoc beneficium per ea quæ dicta ſunt, euangelizat Dominus. Et ſunt verba hæc, non filij vilitatis argumentum, ſed noſtræ cum Deo reconciliationis euangelia. Quod enim in humanitate à Chriſto aſſumpta factum eſt, communis fidei hominum gratia eſt. Quemadmodum enim cùm illud quod ſuaptè natura deorſum tendit & ad terram pondere ſuo vergit corpus, per aërem ad cœlos ferri intuemur, credimus ſecundùm Apoſtoli ſermonem

1.Cor.15. nos raptum iri in nubibus obuiã Chriſto in aëra. Sic cùm audiuimus quod noſtrarum primitiarum Pater & Deus factus eſt, qui verus eſt Deus & Pater: non amplius ambigimus eumdem & noſtrum Patrem & Deum factum eſſe, qui didicimus quòd eamdem viam ingrediemur, quam noſter precurſor pro nobis ingreſſus eſt Chriſtus. Quòd autem per mulierem eiuſmodi gratia ſignificetur, hoc ipſum etiam conſonum eſt notioni redditæ. Quoniam ſicut ait

1.Tim.2. Apoſtolus, mulier ſeducta in præuaricatione fuit: & defectionis à Deo quæ per inobedientiam facta eſt dux fuit: Idcirco reſurrectionis prima fit teſtis, vt ruinam quæ ex præuaricatione ſequuta eſt, per fidem reſurrectionis erigeret.

Geneſ.3. Et quemadmodum ſermonum ab initio ſerpentis ad virum miniſtra & conſiliaria facta, principium mali & ſequelam, vitæ intulit: ſic eius qui morti dedit defectorem draconem, ſermones ad diſcipulos perferens hominibus, dux & princeps fidei efficeretur, per quam merito prima mortis occaſio diſſoluitur. Sed veriſimile eſt à diligentioribus vtiliorem aliquam explicationem propoſitorum poſſe inueniri. Quòd ſi etiam nihil inuoniretur, illam tamen quæ ab aduerſariis profertur, prorſus otioſam eſſe & inanem, ſi ad eam quæ inuenta eſt conferatur, quemlibet piè ſentientem aſtipulaturum eſſe arbitror. Illa quidem ad vnigeniti gloriæ deſtructionem conficta eſt, & nihil amplius: hæc verò (noſtra ſcilicet) œconomiæ ſiue diſpenſationis ſecũdùm hominem ſcopum continet. Demonſtratum eſt enim quòd non ille qui tangi non poteſt, neque tranſmutari, neque videri: ſed

A ὁ δι' ἡμᾶς κεκοινωνηκὼς σαρκός τε καὶ αἵματος. καὶ οὕτω γέγονε καὶ ἡμέτερος πατὴρ καὶ Θεὸς, οὗ πρότερον διὰ τῆς ἀποστασίας ἠλλοτριώθημεν. οὐκοῦν εὐαγγελίζεται τὴν ἀγαθὴν ταύτην εὐεργεσίαν διὰ τῶν εἰρημένων ὁ κύριος. καὶ ἔστι τὰ ῥήματα, οὐ τῆς τοῦ υἱοῦ ταπεινότητος ἔλεγχος, ἀλλὰ τῆς ἡμετέρας πρὸς τὸν Θεὸν καταλλαγῆς εὐαγγέλια. τὸ γὰρ περὶ τὸν κατὰ Χριστὸν ἄνθρωπον γεγενημένον, κοινὴ τῆς πίστεως τῶν ἀνθρώπων χάρις ἐστίν. ὥσπερ γὰρ τὸ κατωφερὲς καὶ εἰς γῆν βρῖθον τοῦ σώματος, διαφέρειν ἐπὶ τοὺς οὐρανοὺς ἰδόντες φερόμενον, πιστεύομεν

B κατὰ τὸν τοῦ ἀποστόλου λόγον, καὶ ἡμεῖς ἁρπαγήσεσθαι ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα. οὕτως ἀκηκοότες, ὅτι τῆς ἡμετέρας ἀπαρχῆς πατὴρ καὶ Θεὸς γέγονεν, ὁ ἀληθινὸς Θεὸς καὶ πατὴρ, οὐκέτι ἀμφιβάλλομεν, τὸν αὐτὸν καὶ ἡμέτερον πατέρα καὶ Θεὸν γενέσθαι, μαθόντες ὅτι εἰς τὴν αὐτὴν εἰσελευσόμεθα, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν ὁ Χριστὸς, τὸ δὲ διὰ γυναικὸς τὴν χάριν μηνύεσθαι, καὶ αὐτὸ σύμφωνόν ἐστι τῷ ἀποδοθέντι νοήματι. ἐπειδὴ

C γὰρ, καθώς φησιν ὁ ἀπόστολος, ἡ γυνὴ ἐξαπατηθεῖσα ἐν παραβάσει γέγονε, καὶ τῆς ἀποστάσεως τῆς ἀπὸ τοῦ Θεοῦ διὰ τῆς παρακοῆς προηγήσατο· διὰ τοῦτο τῆς ἀναστάσεως πρώτη γίνεται μάρτυς, ἵνα τὴν ἐκ τῆς παραβάσεως καταστροφὴν διὰ τῆς κατὰ τὴν ἀνάστασιν πίστεως ἀνορθώσῃ. καὶ ὥσπερ τῶν τοῦ ὄφεως λόγων τὸ κατ' ἀρχὰς γενομένη πρὸς τὸν ἄνδρα διάκονός τε καὶ σύμβουλος, ἀρχὴν τοῦ κακοῦ τῷ βίῳ καὶ ἀκολουθίαν εἰσήνεγκεν, οὕτω τοῦ θανατώσαντος τὸν ἀποστάτην δράκοντα τοὺς λόγους τοῖς μα-

D θηταῖς διακομίσασα, ἀρχηγὸς τοῖς ἀνθρώποις τῆς πίστεως γίνηται, δι' ἧς εἰκότως ἀναλύεται ἡ πρώτη τοῦ θανάτου ἀπόφασις. ἀλλ' εὑρεθῆναι μὲν εἰκὸς παρὰ τῶν ἐπιμελεστέρων ὠφελιμωτέραν τινὰ τῶν προκειμένων ἐξήγησιν. εἰ δὲ καὶ μηδὲν εὑρίσκοιτο, ἐκείνην πάντως ἀργὸν τὴν παρὰ τῶν ἐχθρῶν προφερομένην, συγκριθεῖσαν τῆς εὑρεθείσης, πάντα οἶμαι τὸν εὐσεβοῦντα συνθήσεσθαι. ἡ μὲν γὰρ ἐπὶ καθαιρέσει τῆς τοῦ μονογενοῦς δόξης συμπέπλασται, καὶ πλέον οὐδέν· αὕτη δὲ τῆς κατὰ τὸν ἄνθρωπον οἰκονομίας τὸν σκοπὸν περιέχει. ἐδείχθη γὰρ ὅτι οὐχ ὁ ἀναφής τε καὶ ἀμετάθετος καὶ ἀόρατος, ἀλλὰ τὸ βλε-

ὁρώμενόν τε καὶ κινούμενον καὶ ψηλαφώμενον, ὅπερ τῆς αἰσθητικῆς φύσεως ἴδιόν ἐστιν, τῇ Μαρίᾳ τὴν ἐντολὴν ἐδίδου πρὸς τοὺς ἀδελφοὺς διακονῆσαι τὸν λόγον. ἔτι δὲ τοῦτο προσεξετάσωμεν· οἵαν πεποίηται τὴν ἀπολογίαν ὑπὲρ ὧν ἀπηλέγχθη παρὰ τοῦ μεγάλου Βασιλείου, εἰς τὴν τοῦ σκότους μοῖραν τὸν μονογενῆ Θεὸν ἀφορίζων ἐν τῷ λέγειν· ὅσον διέστηκε τὸ γεννητὸν πρὸς τὸ ἀγέννητον, τοσοῦτον παρήλλακται τὸ φῶς πρὸς τὸ φῶς. δείξαντος γὰρ ἐκείνου μὴ κατὰ ὕφεσίν τινα καὶ ἐπίτασιν τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον τὴν διάστασιν εἶναι· ἀλλ' ἐκ διαμέτρου τὴν ἀντίθεσιν ἐν τοῖς σημαινομένοις ὑπάρχειν· καὶ συλλογισαμένου διὰ τῆς τῶν τεθέντων ἀκολουθίας, ὅτι ἀναλόγως τῇ ἀγεννησίᾳ καὶ τῇ γεννήσει, τοῦ πατρικοῦ φωτὸς πρὸς τὸ τοῦ υἱοῦ παραλλάσσοντος, ἀνάγκη πᾶσα μὴ ἐλάττωσιν φωτὸς ἐπὶ τοῦ υἱοῦ νοηθῆναι, ἀλλὰ παντελῆ ἀλλοτρίωσιν. ὡς γὰρ οὐκ ἔστιν εἰπεῖν ὑφειμένην ἀγεννησίαν εἶναι τὴν γέννησιν· ἀλλὰ καθόλου διέστηκεν, ἀντιθετικῶς ἀπ' ἀλλήλων τὰ σημαινόμενα τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως· οὕτως εἰ τὴν αὐτὴν φυλάσσοι παραλλαγὴν τὸ πατρικὸν φῶς πρὸς τὸ ἐν τῷ υἱῷ νοούμενον φῶς, ἐκ τῆς ἀκολουθίας οὐκέτι ὁ υἱὸς εἶναι ὑποληφθήσεται, ἐπίσης αὐτῆς τε τῆς ἀγεννησίας καὶ τοῦ κατ' αὐτὴν φωτὸς ἔξω γινόμενος· ὁ δὲ ἄλλο τι παρὰ τὸ φῶς ὤν, δηλαδὴ πρὸς τὸ ἀντικείμενον οἰκείως κατὰ τὸ ἀκόλουθον ἔχει. ταύτης τοίνυν τῆς ἀτοπίας ἐκ τῶν τεθέντων ἀναφανείσης, ἀναλύειν ἐπιχειρεῖ ὁ Εὐνόμιος ταῖς τεχνικαῖς ἐφόδοις τῶν ἀποδείξεων, οὑτωσὶ λέγων, ἴσμεν γὰρ ἴσμεν τὸ φῶς τὸ ἀληθινόν, ἴσμεν τὸν κτίσαντα τὸ φῶς μετὰ τὸν οὐρανὸν καὶ τὴν γῆν, ἠκούσαμεν αὐτῆς τῆς ζωῆς καὶ ἀληθείας Χριστοῦ λέγοντος τοῖς ἑαυτοῦ μαθηταῖς, ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου, μεμαθήκαμεν παρὰ τοῦ μακαρίου Παύλου φῶς ἀπρόσιτον ὀνομάζοντος τὸν ἐπὶ πάντων Θεόν, τῇ τε προσθήκῃ διορίζοντος, καὶ τὴν ὑπεροχὴν τοῦ φωτὸς ἐκδιδάσκοντος. εἶτα τοσαύτην φωτὸς παραλλαγὴν μεμαθηκότες, οὐκ ἀνεξόμεθα μέχρι ψιλῆς γοῦν ἀκοῆς, τὴν αὐτὴν εἶναι φωτὸς ἔννοιαν. ἆρα σπουδάζων τὰ τοιαῦτα διὰ τῶν ἐπιχειρημάτων κατὰ τῆς ἀληθείας προβάλλεται; ἢ τῆς ἀναισθησίας τῶν ἑπομένων αὐτῷ ταῖς ἀπάταις ἀποπειρώμενος; πότερον

A quod cerni & moueri & palpari poteſt, quod quidem humanæ naturæ proprium eſt, Mariæ mandatum dabat ad fratris ſermonem deferre. Præterea hoc etiam inſuper examinemus, quam defenſionem facit pro iis in quibus à magno Baſilio repræhenſus eſt: tenebrarum portionem vnigenito Deo aſſignans, dum dicit: Quantum diſtat genitum ab ingenito, tantum diſſidet lumen à lumine. Cùm enim ille demonſtraſſet non ſecundùm remiſſionem aliquam & intentionem geniti cum ingenito diſtantiam eſſe: ſed ex diametro B oppoſitionem in ſignificatis eſſe: atque ex poſitorum conſequentia confeciſſet: quòd ſi eadem proportione paternum lumen à filij lumine differt, ac ingenitum diſtat à genito: neceſſe eſt omnino non luminis imminutionem in filio intelligi, ſed abſolutam alienationem, ſiue priuationem. Vt enim non licet dicere generationē eſſe remiſſam ἀγεννησίαν, ſiue ingenerationem: ſed in vniuerſum oppoſitiuè diſtant inter ſe ſignificata ingenerationis & generationis: ſic ſi eamdem ſeruant diſcrepantiam paternum lumen cum eo lumine quod in filio in- C telligitur, ex conſequentia non amplius filius eſſe exiſtimabitur: ex æquo tā ab ipſo ingenito quàm à lumine quod in ipſo eſt, ſecluſus & extra poſitus. Qui autem aliud quid quàm lumen eſt: ex conſequētia oppoſito affine fuerit. Hac igitur abſurditate ex poſitis manifeſtò apparente, retexere conatur Eunomius artificioſis inſinuationibus demonſtrationum ſic dicens: Scimus enim & rectè ſcimus lumen verum, ſcimus eum qui creauit lucem poſt cœlum & terram: audiuimus ipſam vitam & veritatem Chriſtum dicentem ſuis diſcipulis, Vos eſtis lux mundi: didicimus ex beato D Paulo, qui lucem inacceſſibilem nominat Deum qui eſt ſuper omnia: ac eiuſmodi adiectione definiens atque ſuperexcellentiam lucis docens. Deinde cùm tantum lucis diſcrimen didicimus, non ſuſtinebimus ne quidem vſque ad exilem auditum eamdem eſſe lucis notitiam. An ſeriò agens talia per argumentationes contra veritatem proponit? an ſectatorum ſuorum ſtuporem ſuis fallaciis tentat? verum poſſint puerilem & paralo-

Geneſ.1.
Matth.5.
1.Tim 6.

giſmum ſophiſmatis percipere, an ociam ad tam perſpicuum errorem & fallaciam hebeſcunt ſenſu carentes. Equidem arbitror neminem tam amentem & ſtupidum, vt non ex æquiuocatione intelligat errorem per quem & ſeipſum ſuóſque fallaciter ſuccutit & euertit. Lux (inquit) diſcipuli nominati ſunt: lux etiam dicitur quæ in creatione facta eſt; Deinde quis non videt nomen ſolum in his eſſe commune, ſignificatum verò in vtroque differre? Nam ſolaris quidem lux, viſus eſt diſcretiua: ſermo autem doctrinæ diſcipulorum animis veritatis illuſtrationem immittit. Si igitur hanc in illa luce differentiam nouit, vt illam quidem corporis, hanc verò animæ lucem eſſe exiſtimat, nulla nobis cum ipſo erit diſputatio: cùm ipſa defenſio præ noſtris ſermonibus ipſum condemnet. Quòd ſi talem in illa luce differentiam ex operationis modo inuenire non poteſt: non enim illa quidem oculorum carnis, hæc verò mentis eſt illuminatrix: ſed vna huius & illius lucis operatio quæ in iiſdem operatur: quo modo per ſolares radios & Apoſtolicos ſermones vnigeniti lucem à luce paterna diſtare demonſtrat? Sed filius quidem vera lux dicitur, pater verò lux inacceſſa: definitiones igitur adiectæ ſecũdùm maius, differentiam paternæ lucis denotant: aliud enim quid eſſe putat verum, aliud inacceſſum. At quis ita ſtolidus eſt & vecors, vt non intelligat ſignificatorum eamdem rationem. Nam lux vera & lux inacceſſa contraria ſentientibus æqualiter eſt inacceſſa: vt enim verum falſi non admittit mixtionem, ſic & inacceſſum contrarij proximitatem non appetit. Malo enim prorſus inacceſſum, quod eſt inacceſſum. Lux autem filij mala non eſt: quo modo enim in vitio quis verum videat? quoniam igitur non malum eſt veritas, nec veritati lucem quæ in patre eſt, inacceſſam eſſe quis dixerit. Si enim veritatem arceret, mendacio certè adhæreſceret. Talis enim appoſitorum natura, vt in abſentia melioris, quod ex oppoſito intelligitur, appareat. Si igitur quis diceret procul à contraria oppoſitione lucem quæ in

A δυνάνται συνιδεῖν τὸν παιδιώδη παραλογισμὸν τοῦ σοφίσματος, ἢ καὶ πρὸς τὴν οὕτω πρόδηλον ἀπάτην ἀναισθητοῦσιν. ἐγὼ μὲν γὰρ οἶμαι μηδένα οὕτως ἀνόητον, ὡς μὴ συνιέναι τὴν ἐκ τῆς ὁμωνυμίας ἀπάτην. δι' ἧς ὁ ΕΥνόμιος ἑαυτόν τε καὶ τοὺς κατ' αὐτὸν παρακρούεται. Φῶς οἱ μαθηταί, φησίν, ὠνομάσθησαν, φῶς δὲ λέγεται καὶ τὸ ἐν τῇ κτίσει γενόμενον. εἶτα τίς οὐκ οἶδεν ὅτι ὄνομα μόνον ἐν τούτοις ἐστὶ κοινόν· τὸ δὲ σημαινόμενον ἐφ' ἑκατέρου διάφορον; τὸ μὲν γὰρ ἡλιακὸν φῶς, ὄψεώς ἐστι

B διακριτικόν, ὁ δὲ τῆς διδασκαλίας τῶν μαθητῶν λόγος, ταῖς ψυχαῖς τὸν φωτισμὸν τῆς ἀληθείας ἐντίθησιν. εἰ μὲν οὖν ταύτην καὶ ἐπ' ἐκείνου τοῦ φωτὸς τὴν διαφορὰν οἶδεν· ὡς τὸ μέν, σώματος οἴεσθαι· τὸ δὲ ψυχῆς εἶναι φῶς, οὐκέτι ἡμῖν ἔσται πρὸς αὐτὸν λόγος οὐδείς, αὐτῆς τῆς ἀπολογίας καὶ παρὰ τῶν ἡμετέρων αὐτὸν λόγων κατακρινούσης. εἰ δὲ τὴν τοιαύτην ἐπ' ἐκείνου τοῦ φωτὸς διαφορὰν κατὰ τὸν τῆς ἐνεργείας τρόπον εὑρεῖν οὐκ ἔχει· οὐ γὰρ τὸ μὲν ὀφθαλμῶν σαρκός, τὸ δὲ διανοίας ἐστὶ φωτιστικόν· ἀλλὰ μία καὶ τούτου κἀκείνου τοῦ φωτὸς ἡ ἐνέργεια

C ἐπὶ τῶν αὐτῶν ἐνεργουμένη, πῶς διὰ τῶν ἡλιακῶν ἀκτίνων καὶ τῶν ἀποστολικῶν λόγων, τὸ παρηλλάχθαι τὸ μονογενὲς φῶς πρὸς τὸ πατρικὸν φῶς ἀποδείκνυσιν; ἀλλ' ὁ μὲν υἱός, ἀληθινόν φησι, λέγεται φῶς, ὁ δὲ πατήρ, ἀπρόσιτον. οὐκοῦν οἱ προσδιορισμοὶ τὴν κατὰ τὸ μεῖζον διαφορὰν τοῦ πατρικοῦ φωτὸς ἑρμηνεύουσιν. ἄλλο γάρ τι τὸ ἀληθινόν, καὶ ἄλλο τὸ ἀπρόσιτον οἴεται. εἶτα τίς οὕτως ἠλίθιος, ὡς μὴ συνιδεῖν τὴν τῶν σημαινομένων ταὐτότητα; τὸ γὰρ ἀληθινόν τε καὶ τὸ ἀπρόσιτον, ἐπίσης τοῖς κατὰ τὸ ἐναντίον νοουμένοις ἐστὶν ἀπροσπέλαστον· ὡς γὰρ τὸ ἀληθὲς τὴν τοῦ ψεύδους οὐ

D προσδέχεται μίξιν, οὕτως καὶ τὸ ἀπρόσιτον τὸν τοῦ ἐναντίου προσεγγισμὸν οὐ προσίεται. κακῷ γὰρ πάντως ἀπρόσιτόν ἐστι τὸ ἀπρόσιτον. τὸ δὲ τοῦ υἱοῦ φῶς, κακὸν οὐκ ἔστιν· πῶς γὰρ ἐν κακίᾳ τις τὸ ἀληθινὸν βλέποι; ἐπεὶ οὖν οὐ κακὸν ἡ ἀλήθεια, οὐκ ἄν τις καὶ τῇ ἀληθείᾳ τὸ ἐν τῷ πατρὶ φῶς ἀπρόσιτον εἶναι λέγοι. εἰ γὰρ ἀποστίοιτο τὴν ἀλήθειαν, τῷ ψεύδει πάντως συνενεχθήσεται. τοιαύτη γὰρ τῶν ἀντικειμένων ἡ φύσις, ὡς ἐν τῇ ἀπουσίᾳ τοῦ κρείττονος, τὸ ἐξ ἀντιθέτου νοούμενον ἀναφαίνεσθαι. Εἰ μὲν οὖν τις λέγοι πόῤῥω τῆς ἐναντίας παραθέσεως τὸ ἐν τῷ πατρὶ φῶς

θεωρεῖσθαι, ἐστοχασμένως τοῦ ἀποστολικοῦ βουλήματος ἑρμηνευθῆναι τοῦ ἀπροσίτου τὴν λέξιν. εἰ δὲ τὴν πρὸς τὸ ἀγαθὸν ἀλλοτρίωσιν σημαίνειν τὸ ἀπρόσιτον λέγει, οὐδὲν ἕτερον ἢ αὐτὸν ἑαυτῷ ἐχθρόν τε καὶ ἀλλότριον ὑποθήσεται· ἀγαθὸν ὄντα, καὶ ἀγαθῷ ἀντικείμενον. ἀλλὰ μὴν τοῦτο τῶν ἀμηχάνων ἐστί. τὸ γὰρ ἀγαθὸν, οἰκείως ἔχει τῷ ἀγαθῷ. οὐκ ἄρα τὸ φῶς τοῦτο πρὸς ἐκεῖνο διήλλακται. ὅτε γὰρ υἱὸς φῶς ἀληθινὸν, ὅτε πατὴρ φῶς ἐστιν ἀπρόσιτον· εἴποιμι δ' ἂν καταθαρσήσας, ὅτι καὶ ὁ ὑπαλλάξας ἐφ' ἑκατέρου τὰς τοιαύτας προσηγορίας, οὐχ ἁμαρτήσεται. τότε γὰρ ἀληθινὸν ἀπρόσιτόν ἐστι τῷ ψεύδει, καὶ τὸ ἀπρόσιτόν τε πάλιν ἐν ἀκραιφνεῖ τῇ ἀληθείᾳ καταλαμβάνεται. οὐκοῦν ταὐτὸν τῷ ἀληθινῷ τὸ ἀπρόσιτον, ὅτι κατὰ τὸ ἴσον ἐστὶ τὸ ἐν ἑκατέρῳ σημαινόμενον τῷ κακῷ ἀπροσπέλαστον. τίνα οὖν ἐν τούτοις ἐπινοεῖ τὴν παραλλαγὴν ὁ διὰ τῆς τῶν φώτων ὁμωνυμίας ἑαυτόν τε καὶ τοὺς καθ' ἑαυτὸν φενακίζων; ἀλλὰ μηδὲ τοῦτο παραδραμοῦμεν ἀνεξέταστον, ὅτι παραποιήσας τὴν τοῦ ἀποστόλου ῥῆσιν κατὰ τὸ ἑαυτῷ δοκοῦν, ὡς παρ' ἐκείνου τὸν λόγον ἐκτίθεται. φησὶ γὰρ ὁ Παῦλος, ὅτι φῶς οἰκῶν ἀπρόσιτον, διαφέρει δὲ πολὺ τὸ, αὐτὸ τὸ εἶναι· καὶ τὸ ἔν τινι λέγειν εἶναι. ὁ γὰρ εἰπὼν ὅτι φῶς οἰκῶν ἀπρόσιτον, τῇ τῆς οἰκήσεως φωνῇ, οὐκ αὐτὸν ἐνεδείξατο, ἀλλὰ τὸ περὶ αὐτὸν, ὅπερ ἴσον ἐστὶ κατὰ τὸν ἡμέτερον λόγον τῷ εὐαγγελικῷ ῥήματι τῷ λέγοντι ἐν τῷ υἱῷ τὸν πατέρα εἶναι. φῶς γὰρ ἀληθινὸν ὁ υἱὸς, ἀπρόσιτος δὲ τῷ ψεύδει ἐστὶν ἡ ἀλήθεια, φῶς ἀπρόσιτον ἄρα ὁ υἱὸς, ἐν ᾧ οἰκεῖ ὁ πατὴρ, ἤτοι ἐν ᾧ ἐστιν ὁ πατήρ. ἀλλ' ἐναγωνίζεται τοῖς ματαίοις, καὶ φησὶν, ἐξ αὐτῶν τῶν πραγμάτων καὶ τῶν πεπιστευμένων λογίων παρέχομαι τῶν λεγομένων τὴν πίστιν. ἡ μὲν οὖν ὑπόσχεσις αὕτη· εἰ δὲ καὶ ἀξίαν τῶν ἐπηγγελμένων προάγει τὸν λόγον, ὁ συνετὸς πάντως ἀκροατὴς ἐπισκοπήσει. ὁ μακάριος, φησὶν, Ἰωάννης ἐν ἀρχῇ εἶναι τὸν λόγον φήσας, καὶ τοῦτον ζωὴν προσειπών· εἶτα τὴν ζωὴν, φῶς ὀνομάσας, μικρὸν ὑποβὰς, καὶ ὁ λόγος σὰρξ ἐγένετο φησίν. εἰ τοίνυν τὸ μὲν φῶς ἐστιν ἡ ζωὴ, ἡ δὲ ζωὴ ὁ λόγος, ὁ δὲ λόγος σὰρξ ἐγένετο, αὐτόθεν γὰρ φανερὸν, ὅτι τὸ φῶς ἐν σαρκὶ γέγονε. τί οὖν; ἐπειδὴ τὸ φῶς καὶ ἡ ζωὴ, καὶ ὁ Θεὸς, καὶ ὁ λόγος ἐν σαρκὶ ἐφα-

A patre eſt conſiderari, appoſitè ad Apoſtoli mentem collimans dictionem inacceſſæ lucis interpretaretur. Quòd ſi à bono alienationem τὸ ἀπρόσιτον, inacceſſum dicat ſignificare, nihil aliud quàm ipſum ſibi ipſi inimicũ & alienum ſupponet, vtpotè quod ſit & bono oppoſitum. Atqui hoc ex eorum eſt numero quæ fieri non poſſunt. Bonum enim bono familiare eſt & amicum. Hæc igitur lux cum illa non diſſidet. Nam & filius lux vera, & pater lux eſt inacceſſa. Dixerim etiam audacter quòd qui alternauerit in vtroq. tales appellationes, non B aberrabit. Nam & verum eſt falſo inacceſſum, & contra inacceſſum in ſyncera & pura veritate compræhenditur. Ergo idem eſt verum & inacceſſum. Quoniam ex æquo, quod in vtroque ſignificatur, malo eſt inacceſſum. Quam igitur in his differentiam comminiſcitur, qui per lucis æquiuocationem ſeipſum & ſuos auditores decipit? Sed neque inexcuſſum prætererimus quòd Apoſtoli verbũ pro ſuo arbitrio peruertens, vt illius ſermonem exponit. Dicit enim Paulus, qui lucem habitat inacceſſam: multum enim differt hoc ipſum C eſſe & in aliquo eſſe dicere: qui enim dixit lucem habitans inacceſſam, ipſa habitationis voce, non ipſum indicauit, ſed quod in ipſo: quod quidem ſecundùm noſtrum ſermonem, idem eſt cum verbo euangelico, quod dicit, in filio patrem eſſe: filius enim eſt lux vera: inacceſſa autem falſo eſt veritas: lux inacceſſa igitur eſt filius in quo pater habitat, vel certè in quo eſt pater. Sed in vanis & inanibus contendit & dicit: ex ipſis rebus & creditis oraculis, eorum quæ dicuntur fidem præbeo: hæc igitur eſt eius D pollicitatio. Sin autem pro dignitate eorum quæ promiſit ſermonem producit, intelligens profectò auditor explorabit. Beatus (inquit) Ioannes, in principio eſſe verbum cùm dixit, & hoc vitam cùm appellauit: tum verò vitam lucem nominauit: & paululùm progreſſus, Et Verbum caro factum eſt, ait. Si igitur eſt vita, & vita eſt Verbum, & Verbum caro factum eſt, inde manifeſtum efficitur, quòd lux in carne facta eſt. Quid igitur? quandoquidem lux & vita, & Deus, & Verbum in carne appa-

1. Tim. 6.

Ioan. 1.

ruit, ideóve ab ea luce quæ eſt in patre vera lux differt: Quinetiam ex ſacro Euangelio teſtimonium ſumitur, quòd in tenebris lux cùm eſſet, contrariæ naturæ inacceſſa manſit: lux enim in tenebris, inquit, illuxit, & tenebræ eam non compræhenderunt. Si igitur in contrarium mutata eſſet, & à caligine in poteſtatem redacta fuiſſet, lux quæ fuit in tenebris, validum eſſet ad demonſtrationem volentibus demonſtrare quantum in deterius demutata eſt hæc lux, ab ea quæ in patre conſideratur. Quòd ſi verbum etiam in carne factum, verbum manet, & lux etiamſi in tenebris luceat, nihilominus lux eſt, contrarij communionem non admittens: & vita quamuis in morte fuerit, in ſeipſa conſeruatur: & Deus etſi ſerui formam induit, non ipſe ſeruus efficitur, ſed ad dominationem & regnum extollit quod ſubijcitur, Dominum & Chriſtum faciens quod humile & humanum eſt. Quomodo iſte in deterius lucem immutatam eſſe demonſtrat, cùm vtraque nec in vitium verti nec immutari poſſit? Cùm neque hoc animaduertat, quia qui incarnatum Verbum intuitus eſt, qui erat & lux, & vita, & Deus, cognouit per gloriam quæ viſa eſt, patrem gloriæ,
Ioan. 1. cùm dixit: vidimus gloriam eius, gloriam quaſi vnigeniti à patre. Sed venit ad refractarium & contraluctantem ſermonem à nobis pridem ex conſequentia dictorum deprehenſum, nunc autem nuda voce prolatum: vult enim quandam affectibus plenam & morti obnoxiam à materiali & fluxa natura minimè differentem filij eſſentiam demonſtrare, vt per hoc cum patre differentiam oſtendat. Ait enim, ſiquidem poteſt demonſtrare & Deum qui eſt ſuper omnia, vt eſt lux inacceſſa, in carne factum eſſe, vel gigni poſſe, ſub poteſtatem veniſſe, & imperiis obediiſſe, legibus humanis paruiſſe, crucem tuliſſe: æqualem dicat luci lucem. Si hæc à nobis proferrentur, vtpotè per ea quæ prius præſtructa fuerunt ex conſecutione excogitantibus, non illius vocibus conſentientia: quis nos non accuſaret calumnijs impetere, vt verborum quadam ſolertia & vafra commentatione ad hanc abſurditatem aduerſariorum dogma propellere. Nunc autem patro-

A νεργώθη, διὰ τοῦτο παρήλλακται πρὸς τὸ ἐν τῷ πατρὶ φῶς, τὸ ἀληθινὸν φῶς. καὶ μὴν μαρτυρεῖται παρὰ τοῦ εὐαγγελίου, ὅτι καὶ ἐν τῷ σκότει γινόμενον, ἀπρόσιτον ἔμεινε τῇ ἐναντίᾳ φύσει· τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ, φησὶν, ἔλαμψε, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Εἰ μὲν οὖν ἠλλοιώθη πρὸς τὸ ἐναντίον καὶ ἐδυναστεύθη τῷ ζόφῳ τὸ φῶς ἐν τῇ σκοτίᾳ γινόμενον, ἰσχυρὸν ἂν ἦν πρὸς ἀπόδειξιν τοῖς βουλομένοις ἐπιδεικνύειν, ὅσον πρὸς τὸ χεῖρον παρήλλακται τοῦτο τὸ φῶς πρὸς τὸ ἐν τῷ πατρὶ θεωρούμενον. Εἰ δὲ καὶ ὁ λόγος,
B κἂν ἐν σαρκὶ γίνεται, λόγος μένει, καὶ τὸ φῶς κἂν ἐν τῇ σκοτίᾳ λάμψῃ, φῶς οὐδὲν ἧττον ἐστὶ, τῆς ἐναντίου τὴν κοινωνίαν οὐ προσδεχόμενον, καὶ ἡ ζωὴ κἂν ἐν τῷ θανάτῳ γένηται, ἐν ἑαυτῇ φυλάσσεται· καὶ ὁ Θεὸς κἂν τὴν τοῦ δούλου μορφὴν ὑπέλθῃ, οὐκ αὐτὸς γίνεται δοῦλος, ἀλλ' εἰς κυριότητα καὶ βασιλείαν ἐξαίρεται τὸ ὑποχείριον, κύριον καὶ Χριστὸν ποιῶν τὸ ταπεινὸν καὶ ἀνθρώπινον. πῶς διὰ τούτου πρὸς τὸ χεῖρον τὴν παραλλαγὴν τοῦ φωτὸς ἐπιδείκνυσιν, ἴσως ἑκατέρου τὸ ἄτρεπτον εἰς κακίαν, καὶ τὸ ἀναλλοίωτον
C ἔχοντος; οὐδὲ τούτῳ προσσχὼν, ὅτι ὁ πρὸς τὸν σαρκωθέντα λόγον ἰδὼν, ὃς ἦν καὶ φῶς, καὶ ζωὴ, καὶ Θεός· ἐπέγνω διὰ τῆς ὀφθείσης δόξης τὸν πατέρα τῆς δόξης εἰπὼν, ἐθεασάμεθα τὴν δόξαν αὐτῆς, δόξαν ὡς μονογενοῦς παρὰ πατρός. ἀλλ' ἦλθεν ἐπὶ τὸν ἀνταγώνιστον λόγον, τὸν πάλαι μὲν ἡμῖν ἐκ τῆς ἀκολουθίας τῶν λεγομένων πεφωραμένον, νῦν δὲ γυμνῇ τῇ φωνῇ προσφερόμενον· βούλεται γὰρ ἐμπαθῆ τινα καὶ ἐπίκηρον καὶ οὐδὲν τῆς ὑλικῆς καὶ ῥοώδους φύσεως διαφέρουσαν ἐπιδεῖξαι τοῦ υἱοῦ τὴν οὐσίαν, ὡς ἂν
D διὰ τούτου τὴν πρὸς τὸν πατέρα διαφορὰν ἀποδείξειεν. Φησὶ γὰρ, εἰ μὲν ἔχει δεικνύναι καὶ τὸν ἐπὶ πάντων Θεὸν, ὥσπερ ἐστὶν ἀπρόσιτον φῶς ἐν σαρκὶ γινόμενον, ἢ γενέσθαι δυνάμενον, ὑπ' ἐξουσίαν ἐλθεῖν, προστάγμασιν ὑπακοῦσαι, νόμοις ἀνθρωπίνοις πολιτεύεσθαι, σταυρὸν ἐνεγκεῖν, ἴσον λεγέτω τῷ φωτὶ τὸ φῶς. εἰ ταῦτα παρ' ἡμῶν προεφέρετο διὰ τῶν προκατεσκευασμένων κατὰ τὸ ἀκόλουθον ἐξευρισκόντων, μὴ συμμαρτυρούμενα ταῖς ἐκείνου φωναῖς· τίς οὐκ ἂν ἡμᾶς συκοφαντεῖν ᾐτιᾶτο· ὡς περινοίᾳ τινὶ λόγων πρὸς τὴν ἀτοπίαν ταύτην τὸ δόγμα τῶν ὑπεναντίων ἐκβάλλοντας. νυνὶ δὲ συνηγορία τίς ἐστι,

τίς ἐστι, τοῦ περιφροντισμένως ἡμᾶς μετὰ τῆς ἀληθείας εὐθύνειν τὸν τῆς αἱρέσεως λόγον, τὸ μηδὲ παρ᾽ αὐτοῖς ἐκείνοις τὴν κατὰ τὸ ἀκόλουθον ἀναφαινομένην ἀτοπίαν σιωπηθῆναι. ἰδοὺ γὰρ πῶς ἀπαρακάλυπτός ἐστι καὶ πεπαρρησιασμένη ἡ κατὰ τοῦ μονογενοῦς Θεοῦ μάχη· καὶ τὸ κατὰ φιλανθρωπίαν ἔργον διαβολὴ καὶ κατηγορία τῆς τοῦ υἱοῦ τοῦ Θεοῦ φύσεως παρὰ τῶν ἐχθρῶν ἐνομίσθη, ὡς οὐχὶ προνοητικῶς, ἀλλὰ φυσικῶς αὐτοῦ, πρὸς τὸν ἐν σαρκὶ βίον, καὶ τὸ τοῦ σταυροῦ πάθος καταλισθήσαντος. καὶ ὥσπερ φύσις ἐστὶ τῷ λίθῳ ἡ ἐπὶ τὸ κάτω φορά, καὶ τῷ πυρὶ τὸ ἔμπαλιν, καὶ οὐκ ἀντιμεταλαμβάνουσι τὰς ἀλλήλων ἰδιότητας αἱ ὕλαι, ὥστε ἀνωφερῆ μὲν εἶναι τὸν λίθον, βρίθειν δὲ τὸ πῦρ ἐπὶ τὸ κάτω φερόμενον· οὕτως κατασκευάζουσι, τῇ μὲν τοῦ υἱοῦ φύσει συνιοῦσθαι τὰ πάθη, καὶ διὰ τοῦτο πρὸς τὸ συγγενὲς ἑαυτῇ καὶ οἰκεῖον ἐλθεῖν, τὴν δὲ τοῦ πατρὸς ἐλευθέραν οὖσαν τῶν τοιούτων παθῶν, ἀπρόσιτον εἶναι τῇ τῶν κακῶν προσβολῇ. φησὶ γὰρ τὸν ἐπὶ πάντων Θεόν, ὅσπερ ἐστὶν ἀπρόσιτον φῶς, μήτε γενόμενον ἐν σαρκί, μήτε γενέσθαι δυνάμενον· ἤρκει τὸ πρότερον τῶν εἰρημένων εἰπεῖν· ὅτι ὁ πατὴρ οὐκ ἐν σαρκὶ ἐγένετο. νυνὶ δὲ διπλῆ τίς ἐστι διὰ τῆς προσθήκης ἡ τοῦ ἀτόπου κατασκευή. ἢ γὰρ τοῦ υἱοῦ κατηγορεῖ κακίαν, ἢ τοῦ πατρὸς ἀδυναμίαν. εἰ μὲν γὰρ κακὸν ἡ τῆς σαρκὸς κοινωνία, τῷ μονογενεῖ Θεῷ προσμαρτυρεῖ τὴν κακίαν. εἰ δὲ ἀγαθὸν ἡ φιλανθρωπία, ἀδύνατον εἰς τὸ ἀγαθὸν ἀποδείκνυσι τὸν πατέρα λέγων, μὴ ἂν αὐτὸν δυνηθῆναι τὴν τοιαύτην χάριν διὰ σαρκὸς ἐνεργῆσαι. καί τοι τίς οὐκ οἶδε τῶν πάντων, ὅτι ὡς ὁ πατὴρ ζωοποιός, οὕτως καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. ἡμᾶς δηλαδὴ νεκροὺς λέγων τοὺς τῆς ἀληθινῆς ἀποπεσόντας ζωῆς. Εἰ οὖν ὥσπερ ὁ πατὴρ ζωοποιεῖ, οὕτω καὶ οὐκ ἄλλως ὁ υἱὸς τὴν αὐτὴν ἐνεργεῖ χάριν. πῶς ὁ θεομάχος κατ᾽ ἀμφοτέρων κινεῖ τὴν βλάσφημον γλῶσσαν; τὸν μὲν πατέρα τῇ πρὸς τὸ ἀγαθὸν ἀδυναμίᾳ, τὸν δὲ υἱὸν τῇ πρὸς τὸ κακὸν οἰκειότητι καθυβρίζων. ἀλλ᾽ οὐκ ἔστι, φησί, τῷ φωτὶ τὸ φῶς ἴσον· διότι τὸ μὲν ἀληθινόν, τὸ δὲ ἀπρόσιτον λέγεται. τὸ οὖν ἀληθινὸν ἐλαττώσει κρίνεται; διὰ τί; καὶ μὴν ἐκείνων ἐστὶ λόγος, ὅτι διὰ τοῦτο μείζων καὶ ὑψηλοτέρα τοῦ πατρὸς ἡ θεότης παρὰ τὴν τοῦ υἱοῦ

A cinium quoddam eſt, quòd prudenter & ſollicitè nos cùm veritate hæreſeos ſermonem corrigimus: quòd neque ab illis ipſis quæ ex conſequenti apparet abſurditas ſilentio inuoluatur. Ecce enim quomodo aperta eſt, & libera contra vnigenitum Deum pugna. Opus quinetiam quod pro ſua in genus humanum beneuolentia redemptor adimpleuit, in calumniam & vituperium naturæ filij Dei ab inimicis vertitur: quaſi non ex ſua prouidentia, ſed naturali quadam propenſione in vitam corpoream, & crucis paſſionem dela-
B pſus ſit. Et quemadmodum naturale eſt lapidi vt deorſum cadat: & igni contrà vt ſurſum feratur: nec materiæ proprietates inter ſe in contrarium mutant: ita vt lapis ſurſum feratur, & ignis grauitate deorſum deprimatur. Sic præſtruunt, cum filij natura paſſiones coire, & propter hoc ad cognatum ſibiipſi & familiare venire: patris verò naturâ cùm ab huiuſmodi paſſionibus ſit libera, malorum appropinquationi inacceſſam. Dicit enim Deum qui eſt ſuper omnia, qui quidem eſt lux inacceſſa, neque factum in carne, neque fieri poſſe: quod
C prius dictum fuit, ſatis erat dixiſſe, quòd pater nõ in carne factus eſt: nunc autem duplex quædam eſt per adiectionem abſurdi adſtructio. Vel enim filij accuſat vitium, vel patris impotentiam. Si enim malum eſt, carnis communio; vnigenito Deo vitium aſſignat. Si verò bonum eſt, hæc in genus humanum beneuolentia Patrem ad bonum impotentem eſſe oſtendit, dicens ipſum non potuiſſe per carnem talem gratiam operari. At quis omnium neſcit, quòd ſicut pater viuificat, ſic vt filius quos vult viuificat. Nos videlicet mortuos dicens qui à vera vita excidimus. Si igitur
D quemadmodum pater viuificat, ſic non aliter filius eamdem operatur gratiam: quomodo Deo rebellis & pugnax aduerſus ambos impiam & maledicam vibrat linguam? patrem quidem ad bonum impotentia, filium verò ad malum prona familiaritate contumelioſè tractans. Sed non eſt, inquit, lux luci æqualis: propterea quòd illa quidem vera, hæc verò inacceſſa dicitur. Lux igitur vera imminutione cenſetur? Quamobrem? Atqui illorum eſt ſermo, quòd propterea maior & excelſior patris diuinitas quàm filij

intelligitur, eò quòd ille quidem verus A Deus in Euangelio vocatus eſt: hic autem ſine veri adiectione. Quomodo igitur eadem ratio in diuinitate quidē accretionem, in luce verò imminutionem eius quod intelligitur, ſignificat? Si enim ob eam cauſam patrem filio maiorem autumant, quia verus Deus eſt: eadem ratione patre maior filius concedatur, quia hic quidem vera lux, ille non ſic cognominatur. Sed hęc quidem lux, inquit, quæ ſunt humanitatis, operata eſt, illa verò ad talem gratiam inefficax & otioſa manſit. Nouus prælationis ſiue prærogatiuę modus. quod otioſum fuit B ad beneuolētiam in genus humanū, eo qui operatus eſt, ſuperius iudicant. Sed neque eſt, neque erit vnquā inter Chriſtianos notio, per quam præſtruatur nō omne bonū, quod quidē eſt eiuſmodi, ex patre cauſam habere. Bonorū autem noſtrorum caput, ad vitam reditio apud prudentes & rectè ſentientes creditur: hæc autem per Domini œconomiam, ſiue incarnationem optimè perfecta eſt & adimpleta, patre interim non otioſo & inefficace, ſicut hæreſis cupidè contendit, tempore œconomię ſiue diſpen- C ſationis apud ſe manēte. Non enim hoc demonſtrat qui dixit, Qui miſit me mecum eſt, & pater in me manēs hęc opera facit. Quomodo igitur hæreſis gratiam quæ noſtri cauſa facta eſt, ſoli filio attribuens, gratiarum actionis pro collatis in nos beneficiis patrem facit exortē? Solis enim benefactorib. gratiarū actionis retributio naturali ratione debetur. Qui autē ad beneficiū conferendū eſt impotens, extra numerū eſt eorum cui gratiæ pro dato beneficio agūtur. Vides vt per omnia ipſis in cōtrarium cedit blaſphemiæ ſcopus aduerſus vnigenitum, cùm D ex conſequentia in patrem tranſeat. Ac mihi videtur ex neceſſitate quid tale contingere. Si enim qui honorificat filium, honorificat & patrem, ſecundùm diuinum effatum: perſpicuū quod contrarium aduerſus filium ſtudium ad patrem habet relationē. Ego autem dico, oportere his qui ſimplicius de cruce & reſurrectione præconium acceperunt, æqualis grati animi ſignificationis erga filium & patrem, eamdem gratiam fundamentum fieri: præſertim cùm filius patris voluntatem perfecerit, quæ qui-
1.Tim.2. dem eſt, omnes homines ſaluos fieri; ſicut ait Apoſtolus: ſimiliter in hac gratia, & patrem, & filium honore afficere,

A νοεῖται· διότι ὁ μὲν ἀληθινὸς Θεὸς ἐν τῷ εὐαγγελίῳ προσείρηται, ὁ δὲ χωρὶς τῆς τοῦ ἀληθινοῦ προσθήκης. πῶς οὖν ὁ αὐτὸς λόγος, ἐπὶ μὲν τῆς θεότητος αὔξησιν, ἐπὶ δὲ τοῦ φωτὸς ἐλάττωσιν τοῦ νοουμένου σημαίνει; Εἰ γὰρ διὰ τοῦτο μείζονα τοῦ υἱοῦ τὸν πατέρα φασὶν, ὅτι ἀληθινὸς Θεός ἐστι, κατὰ τὸν αὐτὸν λόγον μείζων ἂν ὁμολογηθείη τοῦ πατρὸς ὁ υἱός· ὅτι ὁ μὲν, ἀληθινὸν φῶς, ὁ δὲ οὐχ οὕτως κατονομάζεται. ἀλλὰ τοῦτο μὲν, φησὶ, τὸ φῶς τὰ τῆς φιλανθρωπίας ἐνήργησεν· ἐκεῖνο δὲ πρὸς τὴν τοιαύτην χάριν B ἀνενέργητον ἔμεινε· καινὸς προτιμήσεως τρόπος, τὸ ἄπρακτον εἰς φιλανθρωπίαν τοῦ ἐνεργήσαντος, ὑπέρτερον κρίνουσιν. ἀλλ' οὐδέ ἐστιν οὔτε γενήσεταί ποτε ἐν Χριστιανοῖς τοιοῦτον νόημα, δι' οὗ κατασκευάζεται μὴ πᾶν ἀγαθὸν ὅτι περ ἐν τοῖς τοιούτοις ἐστὶν, ἐκ τοῦ πατρὸς τὴν αἰτίαν ἔχειν, τῶν δὲ καθ' ἡμᾶς ἀγαθῶν τὸ κεφάλαιον, ἡ πρὸς τὴν ζωὴν ἐπάνοδος παρὰ τοῖς εὖ φρονοῦσι πιστεύεται, αὕτη δὲ διὰ τῆς κατὰ ἄνθρωπον οἰκονομίας τοῦ κυρίου κατώρθωται, οὐκ ἀπράκτου καὶ ἀνενεργήτου, καθὼς ἡ αἵρεσις βού- C λεται, τοῦ πατρὸς ἐν τῷ καιρῷ τῆς οἰκονομίας ἀποδιαστάντος. οὐ γὰρ τοῦτο ἐνδείκνυται ὁ εἰπών· ὅτι ὁ πέμψας με, μετ' ἐμοῦ ἐστι, καὶ ὁ πατὴρ ἐν ἐμοὶ μένων, ποιεῖ τὰ ἔργα ταῦτα. πῶς οὖν ἡ αἵρεσις μόνῳ τῷ υἱῷ τὴν ὑπὲρ ἡμῶν χάριν προσμαρτυροῦσα, ἀπόμοιρον ποιεῖ τὸν πατέρα τῆς ἐπὶ τοῖς κατορθώμασιν εὐχαριστίας; μόνοις γὰρ κατὰ φύσιν ὀφείλεται τοῖς εὐεργέταις ἡ τῆς εὐχαριστίας ἀντίδοσις, ὁ δὲ πρὸς εὐεργεσίαν ἀδύνατος, ἔξω τῶν εὐχαριστιῶν πάντως ἐστίν. ὁρᾷς ὡς διὰ πάντων αὖθις πρὸς τοὐναντίον ὁ σκοπὸς περιτρέ- D πεται τῆς κατὰ τοῦ μονογενοῦς βλασφημίας, κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸν πατέρα μεταβαινούσης. καί μοι δοκεῖ κατ' ἀνάγκην τοιοῦτον συμβαίνειν. εἰ γὰρ ὁ τιμῶν τὸν υἱὸν, τιμᾷ τὸν πατέρα, κατὰ τὴν θείαν ἀπόφασιν, δῆλον ὅτι καὶ ἡ πρὸς τὸ ἐναντίον κατὰ τοῦ υἱοῦ σπουδὴ, ἐπὶ τὸν πατέρα τὴν ἀναφορὰν ἔχει. ἐγὼ δέ φημι δεῖν, τοῖς ἁπλούστερον δεχομένοις τὸ περὶ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν κήρυγμα, ἴσης εὐχαριστίας πρός τε τὸν υἱὸν καὶ τὸν πατέρα, τὴν αὐτὴν χάριν ὑπόθεσιν γίνεσθαι, ὡς τὸ πατρικὸν θέλημα τοῦ υἱοῦ τελειώσαντος· τοῦτο δέ ἐστι, τὸ πάντας ἀνθρώπους σωθῆναι, καθώς φησιν ὁ ἀπόστολος, ὁμοίως ἐπὶ τῇ χάριτι ταύτῃ τιμᾶν τὸν πατέρα τε καὶ τὸν υἱόν,

ὡς οὐκ ἂν γενομένης ἡμῖν σωτηρίας, εἰ μὴ τὸ ἀγαθὸν θέλημα τοῦ πατρὸς διὰ τῆς ἰδίας δυνάμεως αὐτοῦ προῆλθεν ἡμῖν εἰς ἐνέργειαν. δύναμιν δὲ τοῦ πατρὸς τὸν υἱὸν εἶναι παρὰ τῶν γραφῶν μεμαθήκαμεν. πάλιν δὲ τὰ εἰρημένα κατανοήσωμεν. εἰ μὴ ἔχει δείκνυσθαι, φησὶ, τὸν ἐπὶ πάντων θεὸν, ὥσπερ ἐστὶν ἀπρόσιτον φῶς ἐν σαρκὶ γενόμενον, ἢ γενέσθαι δυνάμενον, ἴσον λεγέτω τῷ φωτὶ τὸ φῶς. πρόδηλος γὰρ ὁ τῶν εἰρημένων σκοπὸς δι' αὐτῆς τῆς τῶν ῥημάτων κατασκευῆς· ὅτι οὐκ οἴεται τῇ παντοδυνάμῳ θεότητι τὸν υἱὸν πρὸς τὸ τοιοῦτον εἶδος τῆς φιλανθρωπίας ἰσχῦσαι· ἀλλὰ τῷ φύσεως ἐμπαθοῦς εἶναι, τὸ κατὰ τὸν σταυρὸν δέξασθαι πάθος. ἀλλά μοι σκοπουμένῳ καὶ ἀναζητοῦντι πόθεν ταῖς τοιαύταις τῶν ὑπολήψεων περὶ τὸ θεῖον συνέπεσον, ὡς τὸ μὲν ἀγέννητον φῶς ἀπρόσιτον εἶναι τῷ ἐναντίῳ, καὶ καθαρῶς ἀπαθὲς καὶ ἀκήρατον οἴεσθαι· τὸ δὲ γεννητὸν ἐπαμφοτερίζειν κατὰ τὴν φύσιν, ὡς οὐκ ἀκραιφνές τι καὶ καθαρὸν ἐν ἀπαθείᾳ φυλάσσειν τὸ θεῖον· ἀλλά τινα συμμιγῆ τε καὶ σύγκρατον ἐκ τῶν ἐναντίων τὴν οὐσίαν ἔχειν, τὴν καὶ τῆς τοῦ ἀγαθοῦ μετουσίας ὀρεγομένην, καὶ πρὸς ἐμπαθῆ διάθεσιν μεταρρέουσαν· ἐπειδὴ παρὰ τῆς γραφῆς οὐκ ἦν τῆς τοιαύτης ἀτοπίας τὰς ὑποθέσεις εὑρεῖν, ἐπῆλθέ μοι λογίσασθαι, μήποτ' ἄρα τὰς τῶν Αἰγυπτίων περὶ τὸ θεῖον μυθολογίας θαυμάσας, τὰς ἐκείνων δόξας τοῖς περὶ τοῦ μονογενοῦς ἐγκαταμίγνυσι λόγοις. φασὶ γὰρ ἐκείνους τὴν ἀλλόκοτον εἰδωλοποιΐαν, ὅταν ἀνθρωπίνοις μέλεσιν ἀλόγων ζώων μορφὰς ἐφαρμόζωσιν, αἴνιγμα λέγειν εἶναι τῆς συμμίκτου φύσεως, ἣν προσαγορεύουσι δαίμονα. ταύτην δὲ λεπτοτέραν μὲν τῶν ἀνθρώπων εἶναι καὶ πολὺ τῇ δυνάμει τὴν ἡμετέραν ὑπερφέρουσαν φύσιν, τὸ δὲ θεῖον οὐκ ἀμιγὲς οὐδὲ ἄκρατον ἔχειν, ἀλλὰ καὶ ψυχῆς φύσει καὶ σώματος αἰσθήσει συγκεκραμμένον, ἡδονήν τε καὶ πόνον ἀναδεχόμενον· ὧν οὐδὲν περὶ τὸν ἀγέννητον εἶναι Θεόν. καὶ γὰρ κἀκεῖνοι λέγουσι τοῦτο τὸ ὄνομα, τῷ ὑπερέχοντι κατὰ τὰς ὑπολήψεις αὐτῶν Θεῷ τὴν ἀγεννησίαν ἐπιφημίζοντες. ἔοικεν οὖν ἡμῖν ὁ σοφὸς θεολόγος ἐκ τῶν Αἰγυπτίων ἀδύτων Ἄνουβιν, ἢ Ἶσιν, ἢ Ὄσιριν τῷ κηρύγματι τῶν Χριστιανῶν ἐπεισάγειν. πλὴν τῆς τῶν ὀνομάτων ὁμολογίας· διαφέρει δὲ πάντως οὐδὲν εἰς ἀσέβειαν. ὅτι ὁμολογῶν τὰ τῶν εἰδώλων ὀνόματα,

A quia ſalus nobis facta non fuiſſet, niſi bona volũtas patris per virtutem ipſius ad operationem ad nos proceſſiſſet. Virtutem autem patris filium eſſe ex ſcripturis didicimus. Rurſus autem quæ dicta ſunt, diſpiciamus. Si enim poteſt demonſtrare, inquit, Deum qui eſt ſuper omnia, quemadmodum eſt lux inacceſſa, in carne factum, vel fieri potuiſſe, æqualem dicat lucem luci. Perſpicuus autem dictorum ſcopus per eamdem verborum conſtructionem. Quod non putat ex omnipotẽti deitate filium ad talẽ humanitatis ſpeciem, vim & ro- B bur habuiſſe: ſed quia naturæ patibilis eſſet, idcirco crucis paſſionem ſuſcepiſſe. Sed mihi cogitanti & diligẽter quærenti, vnde in tales de Deo opiniones inciderit: vt ingenitam quidem lucem inacceſſam eſſe contrario, & purè impaſſibilem atque incorruptibilem putaret: genitam verò in vtramque partem lapſu ancipiti vergere ſecundùm naturam, vt quæ diuinitatem ſynceram & puram in impaſſibilitate nõ conſeruet, ſed cõmixtam quamdam & contemperatam ex contrariis eſſentiã habeat, quę & boni participationem appetat, & ad C paſſibilem affectionem defluat. Quoniam ex ſcriptura talis abſurditatis fundamenta inuenire non licet, mihi in mentem venit hæc exiſtimatio: nunquid aliquando Ægyptiorum de diuinitate fabulationes admiratus, illorum opiniones de vnigenito ſermonibus immiſcet. Aiunt enim illos portentoſam ſimulachrorum fictionem, cùm humanis membris quorumdam brutorum formas accõmodant, ænigma eſſe naturæ commixtæ dicere, quam appellant dæmonem. Hanc autem hominibus ſubtiliorem & potentia multo noſtrâ ſuperiorem eſſe naturam. Diuinitatem D autem neque immixtam, neque puram & ſynceram habere, ſed cum animæ natura & corporis ſenſu contemperatam, voluptatis & laboris capacem: quorum nihil in Deo ingenito eſſe. Nam & illi hoc nomen vſurpant, ſupereminenti ſecundùm opiniones ipſorum, Deo, ingeniti rationem honorificè attribuẽtes. quãobrẽ nobis videtur iſte ſapiẽs Theolog' ex Ægyptiorũ adytis & penetralib. Anubin, vel Iſin, vel Oſirin, præconia Chriſtianorũ inducere, excepta nominũ cõfeſſione: nihil autẽ planè differt ad impietatẽ, & qui idolorũ nomina cõfitetur,

& qui opiniones in ſeipſo habens obfirmatas, nominibus abſtinet. Si igitur ex diuina ſcriptura huius impietatis patrocinium aliquod non licet inuenire: ſed ex hieroglyphis ænigmatis, ſiue inuolucris Ægyptiorum, ſermo ipſorum robur habet, profectò non obſcurũ quid benè ſentientes homines de his deceat cogitare. Quòd autem non calumnioſè & petulanter hanc criminationem inferimus, ipſe nobis teſtis ex propriis ſermonibus fiat Eunomius. Qui ingenitum quidẽ, lucem inacceſſam appellat, & ad perpeſſionum experimentum ſiue tentationem venire non valentem. In genito verò mutuã & cognatam talem diſpoſitionem eſſe definit, vt neque vnigenito Deo, quorum cauſſa paſſus eſt, homo quicquam debeat: ſiquidem caſu & fortuitò ſecũdùm ipſorum rationem ad harum perpeſſionum & cruciatuum experientiam delapſus eſt, patibili eſſentia naturaliter ad hoc pertracta: quod quidem nulla gratiarum actione dignum eſt. Quis enim in gratiæ parte ſiue beneficij loco ponat, quod neceſſario accidit, quamuis ſit lucroſum & perutile? neq; enim igni, caloris cauſa, neq; aquę, fluxus gratiã habemus, ad naturæ neceſſitatem quod fit reuocantes: quia non poſſit ignis à calorifica operatione deſtitui: neq; aqua ſtabilis in plano manere, ſponte locali inclinatione motum prorſum attrahente. Si igitur naturæ neceſſitate beneficiũ incarnationis à filio hominibus factum eſſe dicunt, nullam omnino gratiam habent: quia non ad liberam & abſolutam poteſtatem, ſed ad naturalem neceſſitatẽ quod factum eſt referunt. Quod ſi munus id eſſe ſentientęs, beneficium dedecorãt, vereor ne in contrarium retro ipſis conuertatur impietas. Atq; pluris æſtimandã patibilem filij diſpoſitionem faciant, quàm paternam impoſſibilitatem, ſiquidẽ in bono quod in eorum vtilitatem cedit, pulchri iudicium faciant. Nam ſi filium ſicut de patre decernunt & docent, perpeſſionis non capacem eſſe contigiſſet, inemẽdabilis atq; irreparabilis manſiſſet noſtra miſeria, quia non eſſet qui per propriam experiẽtiam ad incorruptionẽ ſubleuaret hominẽ. Et ſic captioſorũ ac fallaciũ magiſtrorum ſolertia nõ animaduertit, quod per ea quib⁹ deſtruere molitur ingeniti Dei majeſtatẽ, ad maiores & honorabiliores opiniones ipſũ circũagit.

A καὶ ὁ τὰς περὶ τούτων δόξας ἐν ἑαυτῷ κρατύνας,
τῶν δὲ ὀνομάτων φειδόμενος. εἰ τοίνυν ἐκ μὲν τῆς
θείας γραφῆς συνηγορίαν τινὰ τῆς ἀσεβείας ταύ-
της εὑρεῖν οὐκ ἔστιν, ἐκ δὲ τῶν ἱερογλυφικῶν αἰ-
νιγμάτων ὁ λόγος αὐτοῖς τὴν ἰσχὺν ἔχει, πάν-
τως οὐκ ἄδηλον τί προσήκει τοὺς εὖ φρονοῦν-
τας περὶ τούτων λογίσασθαι· ὅτι δὲ οὐκ ἐπη-
ρεαστικῶς ταύτην τὴν διαβολὴν ἐπιφερόμεθα,
αὐτὸς ἂν γένοιτο ἡμῖν μάρτυς διὰ τῶν ἰδίων λό-
γων ΕΥνόμιος, ὁ τὸν ἀγέννητον μὲν ἀπρόσιτον
φῶς λέγων, καὶ εἰς πεῖραν παθημάτων ἐλθεῖν μὴ
B δυνάμενον, ἐπὶ δὲ τοῦ γεννητοῦ κατάλληλόν τε
καὶ συγγενῆ τὴν τοιαύτην διάθεσιν εἶναι διοριζό-
μενος. ὡς μηδὲ χάριν τῷ μονογενεῖ Θεῷ τὸν ἄν-
θρωπον ὧν ἕνεκεν ἔπαθεν ἔχειν· εἴπερ αὐτομά-
τως κατὰ τὸν λόγον αὐτῶν πρὸς τὴν τῶν παθημάτων
κατωλίσθη πεῖραν, τῆς ἐμπαθοῦς οὐσίας φυσικῶς
πρὸς τοῦτο κατασυρείσης· ὅπερ οὐδεμιᾶς ἄξιον
εὐχαριστίας ἐστί. τίς γὰρ ἂν ἐν χάριτος δέξαιτο
μέρει, ὃ κατ' ἀνάγκην συμβαίνει, κἂν ἐπικερδὲς
καὶ ὠφέλιμον ᾖ. οὔτε γὰρ τῷ πυρὶ τῆς θερμότη-
τος, οὔτε τῷ ὕδατι τῆς ῥοῆς, χάριν γινώσκομεν· εἰς
C τὴν ἀνάγκην τῆς φύσεως ἀνάγοντες τὸ γινόμενον,
διὰ τὸ μὴ δύνασθαι τὸ πῦρ τῆς θερμαντικῆς
ἐνεργείας ἀπολειφθῆναι, ἢ στάσιμον ἐπὶ πρα-
νοῦς μεῖναι τὸ ὕδωρ, αὐτομάτως τῆς τοπικῆς ἐπι-
κλίσεως ἐφελκομένης ἐπὶ τὸ πρόσω τὴν κίνησιν.
εἰ οὖν φύσεως ἀνάγκη τὴν διὰ σαρκὸς εὐεργεσίαν
παρὰ τοῦ υἱοῦ γεγενῆσθαι τοῖς ἀνθρώποις λέγουσιν,
οὐδεμίαν πάντως χάριν γινώσκουσιν, ὅτι οὐκ εἰς
δύναμιν ἐξουσιαστικήν, ἀλλ' εἰς φυσικὴν ἀνάγ-
κην τὸ γεγονὸς ἀναφέρουσιν. Εἰ δὲ τῆς δωρεᾶς
αἰσθανόμενοι τὴν εὐεργεσίαν ἀτιμάζουσι, δέ-
D δοικα μὴ πρὸς τοὐναντίον περιτραπῇ πάλιν
αὐτοῖς ἡ ἀσέβεια, καὶ προτιμοτέραν ποιήσωνται
τὴν ἐμπαθῆ τοῦ υἱοῦ διάθεσιν, τῆς πατρικῆς
ἀπαθείας, ἐν τῷ καθ' ἑαυτοὺς ἀγαθῷ, τὴν τοῦ
καλοῦ κρίσιν ποιούμενοι. Εἰ γὰρ καὶ τὸν υἱόν,
καθὼς περὶ τοῦ πατρὸς δογματίζουσιν, ἀπαρά-
δεκτον εἶναι συνέβη τοῦ πάθους, ἀδιόρθωτος ἔμει-
νεν ἂν ἡ τῆς φύσεως ἡμῶν συμφορά, οὐκ ὄν-
τος τοῦ διὰ τῆς οἰκείας πείρας εἰς ἀφθαρσίαν
ἐξαιρουμένου τὸν ἄνθρωπον, καὶ οὕτω λανθάνει τῶν
σοφιστῶν ἡ ὀξύτης, δι' ὧν καθαιρεῖν ἐπιχειρεῖ τοῦ
μονογενοῦς Θεοῦ τὸ μεγαλεῖον, εἰς μείζονάς τε
καὶ προτιμοτέρας ὑπολήψεις αὐτὸν περιάγουσα.

ἐπείπερ ὁ δυνάμενος ἐπιδρᾶσαι, τοῦ ἀδυνατοῦντος πρὸς τὸ ἀγαθὸν προτιμότερος. ἀλλ' αἰσθάνομαι ὑπατακτοῦντος τοῦ λόγου· οὐ γὰρ ἐπιμένει τῷ καθήκοντι δρόμῳ, κατὰ τοὺς θερμούς τε καὶ θυμώδεις τῶν πώλων ταῖς τῶν ἀνταγωνιστῶν βλασφημίαις συνεκφερόμενος πρὸς τὰ τῆς ὑποθέσεως ἄτοπα. οὐκοῦν καθεκτέον αὐτὸν πέρας τοῦ μετρίου πρὸς κατασκευὴν τῶν ἀτόπων ἀφηνιάζοντα. συγγνώσεται δὲ πάντως ὁ εὐγνώμων ἀκροατὴς ἐπὶ τοῖς εἰρημένοις, οὐχ ἡμῖν τὴν ἀνακύπτουσαν ἐκ τῆς ἐξετάσεως ἀτοπίαν, ἀλλὰ τοῖς τὰς πονηρὰς ὑποτιθεμένοις ἀρχὰς λογιζόμενος. ἡμῖν δὲ πρὸς ἕτερόν τι τῶν εἰρημένων μετακτέον τὴν θεωρίαν. φησὶ γὰρ ὅτι καὶ σύνθετον ἡμῖν τὸν Θεὸν ἀπεργάζεται, τὸ κοινὸν μὲν ὑποθέσθαι τὸ φῶς, ἰδιότησι δέ τισι καὶ ποικίλαις διαφοραῖς θάτερον χωρίζειν θατέρου. σύνθετον γὰρ οὐδὲν ἧττον τὸ κοινότητι μιᾷ συνενούμενον, διαφοραῖς δέ τισι καὶ συνδρομαῖς ἰδιωμάτων χωριζόμενον. πρὸς ταῦτα δὲ βραχὺς ἡμῖν ὁ λόγος καὶ εὐαπάλλακτος. ὁ γὰρ τοῖς ἡμετέροις ἐπικαλεῖ δόγμασιν, εἰ μὴ διὰ τῶν οἰκείων κατασκευάζει λόγων, καθ' ἡμῶν αὐτῶν ὁμολογοῦμεν τὸ ἔγκλημα· σκεψώμεθα γὰρ τὰ παρ' αὐτοῦ γεγραμμένα. φῶς ἀληθινὸν ὀνομάζει τὸν κύριον, ἀπρόσιτον δὲ φῶς τὸν πατέρα. οὐκοῦν τὴν κατὰ τὸ φῶς κοινωνίαν καὶ αὐτὸς ὡμολόγησεν, οὕτως ὀνομάσας ἑκάτερον. τῶν δὲ προσηγοριῶν προσφυῶς τοῖς πράγμασιν ἐφηρμοσμένων, καθὼς πολλαχῇ διωρίσατο, οὐ ψιλὴν νοοῦμεν τοῦ φωτὸς τὴν φωνὴν δίχα τινὸς διανοίας ἐπὶ τῆς θείας φύσεως λέγεσθαι, ἀλλά τινος ὑποκειμένου κατηγορεῖσθαι. οὐκοῦν τῇ κατὰ τὸ ὄνομα κοινωνίᾳ καὶ τὴν τῶν σημαινομένων ὁμολογοῦσι ταυτότητα. ἐπείπερ ὧν τὰ ὀνόματα τὰ αὐτά, τούτων ἀπεφήναντο μηδὲ τὰς φύσεις ἑτέρας ἔχειν. ἑνὸς τοίνυν ὄντος τοῦ κατὰ τὸ φῶς σημαινομένου, ἡ τοῦ ἀπροσίτου καὶ ἀληθινοῦ προσθήκη κατὰ τὸν τῆς αἱρέσεως λόγον, τὸ κοινὸν διαιρεῖ τοῖς ἰδιάζουσιν· ὡς ἄλλο μὲν τὸ τοῦ πατρὸς φῶς, ἕτερον δὲ τὸ τοῦ υἱοῦ νοηθῆναι, τοῖς ἰδιώμασιν ἀπ' ἀλλήλων διακρινόμενα· ἢ τοίνυν ἀνατρεψάτω τὰ ἴδια, ἵνα μὴ σύνθετον δι' ὧν λέγει κατασκευάσῃ τὸ θεῖον, ἢ μηδὲ ἡμῶν ταῦτα κατηγορείτω, ἅπερ ἐν τοῖς ἰδίοις βλέπει λόγοις. οὐδὲ γὰρ τὴν ἁπλότητα διὰ τούτων ὁ λόγος λυμαίνεται· ἐπεὶ κοινότης τε καὶ ἰδιότης οὐσία οὐκ ἔστιν. ὥστε τὴν

A Siquidem qui poteſt operari bonum, eo qui ad bonum eſt impotens præſtantior eſt. Sed ſentio inordinatū ſermonis curſum: non enim manet in curſu conueniēti, ſed vt feruidis & animoſis equorū pullis ſolet contingere, ab aduerſariorū impiis cōuitiis impetuosè fertur ad inſequēdas abſurditates eorū quæ ſupponunt. Ergo ipſe cohibendus eſt & reprimēdus, ne præferox frenū reſpuēs, vltra modū in abſurdorū demōſtrationem euagetur: veniā autem dabit benignus & candidus auditor ob ea quæ dicta ſunt, nō nobis incumbentem ex inquiſitione
B abſurdorum demōſtrationē, ſed his qui maligna ponunt principia, imputās. Nobis autē ad aliud quiddā eorū quę dicta ſūt, adigēda ſpeculatio: dicit enim quòd etiā nobis Deū cōpoſitum efficit, quòd lucē quidē cōmunē ſupponere oportet, proprietatibus autē quibuſdā variiſque differentiis alterum ab altera ſeparare. Quod enim cōpoſitum eſt, nihilominus vna cōmunitate cōiungitur, differētiis tamen quibuſdā & proprietatū cōcurſibus ſeparatur. Ad hęc breuis & ſuccincta oratio cōparatur. qui enim noſtra accuſat dogmata, niſi per propria verba pro-
C cedant, cōtra nos ipſos crimen fatemur: conſideremus enim ea quæ ab ipſo ſunt ſcripta. Lucem verā Dominū nominat: Patrem verò lucē inacceſſam. Ergo ipſe etiā fatetur cōmunionem ſecūdùm lucem, ſic vtrumq. nominās. Cùm autem appellationes rebus ad rerū naturā ſint accōmodatæ, ſicut multis in locis definiuit, nō exilem & nudam vocem lucis abſq. aliqua ſententia in diuina natura dici intelligimus, ſed de quodā ſubiecto enunciari. Ergo & nominis cōmunione etiā ſignificatorū identitatē confitētur: ſiquidē quorū nomina ſunt eadē, horū neq. naturas diuerſas eſſe aſſeuerarunt.
D Cùm igitur vnū ſit quod per lucē ſignificatur, inacceſſæ & veræ additio ſecundùm hæreſeos ſermonē, quod cōmune eſt, ſuis proprietatibus diſtinguit: vt aliā quidē patris lux, alia verò filij mente & animo cōcipiatur, proprietatib. à ſe inuicem diſtincta: vel igitur ſua decreta euertat, ne per ea quæ dicit Deū compoſitū præſtruat: vel ne nos de his accuſet, quæ in ſuis ſermonibus perſpicit. Neq; enim per hæc ſimplicitatē ſermo contaminat: quoniā eſſentia non eſt cōmunitas & proprietas. Ita vt horū concurſus

compoſitum demõſtret ſubiectum. Sed A eſſentia quidẽ per ſe, quidquid tamdem ſit, ſecũdùm naturã permanet, illud exiſtens quod quidem eſt. Hęc ex eorũ numero quæ in ipſa intelliguntur & conſiderantur, eſſe, quiuis ratione & mente præditus dixerit. Quoniã etiã apud nos homines licet quiddã cõmune cum diuina natura intelligere, non tamen propterea vel humanitas eſt quod diuinum eſt, vel diuinitas quod humanũ: bonum enim Deum eſſe credentes, ſcimus etiã in homine hoc nomen eſſe à ſcriptura ordinatũ: ſed cõmunitatẽ quæ ex æquiuocatione eſt, diſtinguit, quę in vtroque B eſt ſignificationis proprietas. Ille quidẽ (Deus) fons cùm ſit bonitatis, ex ipſa denominatur: hic verò (nempè homo) bonitatis particeps, etiã nominis conſors efficitur. Non ideo tamẽ Deus eſt compoſitus, quia cum homine boni appellationis cõmunionem habet. Quãobrem ex his pro cõfeſſo habetur, quòd alia eſt communitatis, alia verò eſſentiæ ratio: nihilo magis tamen ob eã cauſam, compoſitio quædam & particularum multitudo in ſimplici & quantitatis experte natura conſtruitur: licet aliquid eorum C qua circa ipſam conſiderantur, vel in proprietate ſpectetur, vel de cõmuni aliquo ſignificantiã habeat. Sed ad aliud, ſi videtur, eorũ quæ dicta ſunt, tranſeamus, nugas quæ in medio ſunt valere ſinentes. Hic accuratè promulgãs Ariſtotelicã diuiſionẽ, noſtro ſermoni affinxit genera & ſpecies, & differẽtias, & indiuidua: & omne quod eſt in categoriis artificiũ, ad calumniã noſtrorũ decretorum in mediũ protulit. His itaq; omiſſis, ad graue & ineluctabile ipſius firmamẽtũ oratione progrediamur. Demoſthenico enim furore ſuã orationẽ conten- D dens, alius quidam nobis Exoltiſeridus Pæanienſis apparuit, Oratoris acrimoniã in certamine cõtra nos ſuſcepto imitans. Exponã ad verbum ipſa ſcriptoris dicta: ſanè, inquit, ſed ſi cùm genitũ & ingenitum cõtrario modo ſe habeat, ex æquo lux genita ad ingenitã lucem ſubiret, hæc quidẽ lux fiet, altera verò tenebræ. Acumen igitur & ſolertiã occurſionis ad oppoſitionẽ contrariorum, ex illius ſermonibus diſcat, cui otium fuerit. Ego autem noſtrorũ hiſtrionem, vel noſtra dicere ipſum cẽſuerim: vel quàm proximè ſermonis imitationem producere, vel ſicut inſtitutus eſt & poteſt,

A συνδρομὴν τούτων σύνθετον ἀποδείκνυσι τὸ ὑποκείμενον. ἀλλ' ἡ μὲν οὐσία καθ' ἑαυτὴν ὅτι ποτὲ κατὰ τὴν φύσιν ἐστὶ, διαμένει, ἐκεῖνο οὖσα ὅπερ ἐστί. ταῦτα δὲ τῶν περὶ αὐτὴν νοουμένων τε καὶ θεωρουμένων εἶναι, πᾶς τις ἂν εἴποι διανοίας μετέχων. ἐπεὶ καὶ πρὸς ἡμᾶς τοὺς ἀνθρώπους ἔστι τι κοινὸν τῆς θείας φύσεως κατανοῆσαι, ἀλλ' οὐ διὰ τοῦτο, ἢ ἀνθρωπότης τὸ θεῖον, ἢ θειότης ἐστὶ τὸ ἀνθρώπινον. ἀγαθὸν γὰρ τὸν Θεὸν εἶναι πιστεύοντες, οἴδαμεν καὶ ἐπ' ἀνθρώπου τοῦτο τὸ ὄνομα παρὰ τῆς γραφῆς τεταγμένον. ἀλλὰ διαιρεῖ τὴν ἐκ τῆς ὁμωνυμίας κοινότητα, τὸ ἰδιάζον B ἐφ' ἑκατέρου τῆς σημασίας. ὁ μὲν γὰρ πηγὴ τῆς ἀγαθότητος ὤν, ἀπ' αὐτῆς ὀνομάζεται. ὁ δὲ μετέχων τῆς ἀγαθότητος, συμμετέχει καὶ τοῦ ὀνόματος· καὶ οὐ διὰ τοῦτο σύνθετος ὁ Θεὸς, ὅτι κοινωνεῖ πρὸς τὸν ἄνθρωπον τῆς τοῦ ἀγαθοῦ προσηγορίας. οὐκοῦν φανερῶς ἐκ τούτων ὁμολογεῖται, ὅτι ἄλλος ὁ τῆς κοινότητος, καὶ ἄλλος ὁ τῆς οὐσίας ἐστὶ λόγος, καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο σύνθεσίς τις καὶ πολυμέρεια περὶ τὴν ἁπλῆν τε καὶ ἄποσον κατασκευάζεται φύσιν, εἴ τι τῶν ἐπιθεωρουμένων C ἢ ἐν ἰδιότητι βλέποιτο, ἢ κατὰ κοινοῦ τινὸς τὴν σημασίαν ἔχοι. ἀλλ' ἐφ' ἕτερον, εἰ δοκεῖ, τῶν εἰρημένων μετέλθωμεν, τὸν διὰ μέσου λῆρον χαίρειν ἐάσαντες, ὃ φιλοπόνως τὴν Ἀριστοτελικὴν τῶν ὄντων διαίρεσιν ἐπιθρυλλῶν τῷ ἡμετέρῳ λόγῳ, ἐξείργασται γένη, καὶ εἴδη, καὶ διαφορὰς, καὶ ἄτομα, καὶ πᾶσαν τὴν ἐν ταῖς κατηγορίαις τεχνολογίαν ἐπὶ διαβολῇ τῶν ἡμετέρων δογμάτων προεχειρίσατο. ταῦτα τοίνυν ἐάσαντες, ἐπὶ τὸ βαρὺ καὶ δυσανταγώνιστον αὐτοῦ τῷ λόγῳ μετέλθωμεν. Δημοσθενικῷ γὰρ θυμῷ τὸν ἑαυτοῦ λόγον τονώσας, ἄλλος τις ἡμῖν Ἐξολτισήριδος Παιανιεὺς D ἀναπέφηνε, τὸ δριμὺ τοῦ ῥήτορος ἐν τῷ καθ' ἡμῶν ἀγῶνι μιμούμενος, ἐκθήσομαι δὲ κατὰ λέξιν αὐτὰ τοῦ λογογράφου τὰ ῥήματα. ναὶ, φησιν, ἀλλ' εἰ τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἐναντίως ἔχοντος, κατ' ἴσον ὑποβαίνοι τὸ γεννητὸν φῶς πρὸς τὸ ἀγέννητον φῶς, τὸ μὲν γεννήσεται φῶς, τὸ δὲ σκότος. τὸ μὲν οὖν ὀξὺ καὶ εὔστοχον τῆς πρὸς τὴν ἀντίθεσιν ἀπαντήσεως, ὅτῳ σχολὴ, διὰ τῶν ἐκείνου μαθέτω λόγων. ἐγὼ δὲ τὸν τῶν ἡμετέρων ὑποκριτὴν ἀξιώσαιμ' ἂν, ἢ τὰ ἡμέτερα λέγειν, ἢ ὡς ἐγγυτάτω προάγειν τοῦ λόγου τὴν μίμησιν, ἢ καθὼς πεπαίδευται καὶ δύναται, κεχρη-

μένων τῷ λόγῳ ἐκ τοῦ ἰδίου προσώπου καὶ μὴ ἐξ ἡμῶν διαλέγεσθαι. μήποτε γὰρ οὕτω παραχθείη τῶν ἡμετέρων μηδεὶς, ὥστε τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον ἐναντίως κατὰ τὸ σημαινόμενον ἔχοντος, ὑπόβασιν τοῦ ἑτέρου τὸ ἕτερον οἴεσθαι. πᾶν γὰρ τὸ ἀντικείμενον, οὐκ ἐν ὑφέσει τὴν διαφορὰν, ἀλλ' ἐν παντελεῖ τῇ κατὰ τὸ σημαινόμενον ἀλλοτριώσει τὴν ἀντιδιαστολὴν ἔχει· οἷον καθεύδειν τινὰ λεγόμενον ἢ μὴ καθεύδειν· καθῆσθαι ἢ μὴ καθῆσθαι· γεγεννῆσθαι, ἢ μὴ γεγεννῆσθαι. τἄλλα πάντα κατὰ τὸν αὐτὸν τύπον, ὧν ἡ τοῦ ἑνὸς ἄρσις, θέσις τοῦ ἀντικειμένου γίνεται. ὥσπερ οὖν τὸ ζῆν, οὐχὶ ὕφεσις ἐστὶ τοῦ μὴ ζῆν, ἀλλὰ παντελὴς ἐναντίωσις, οὕτω τὸ γεγεννῆσθαι, οὐχ ὕφεσιν τοῦ μὴ γεννηθέντος ἐνοήσαμεν, ἀλλ' ἀντίθεσίν τινα καὶ ἀντιδιαστολὴν ἀμεσίτευτον, ὡς τὸ ἐν ἑκατέρῳ σημαινόμενον μηδενὶ τρόπῳ κοινωνεῖν πρὸς τὸ ἕτερον, μήτε ἐν ὀλίγῳ μήτε ἐν πλείονι. ὁ τοίνυν τὸ ἐξ ἐναντίου νοούμενον ὑποβαίνειν πρὸς τὸ ἀντικείμενον λέγων, ἐκ τοῦ ἰδίου προαγέτω προσώπου τὸν λόγον. ὁ γὰρ ἡμέτερος ἰδιωτισμὸς, τὰ τοῖς ἀντικειμένοις ἀναλογοῦντα, κατὰ τὸ ἴσον τοῖς πρωτοτύποις, καὶ πρὸς ἑαυτὰ λέγει διΐστασθαι. ὥστε εἰ καὶ τῷ φωτὶ τὴν αὐτὴν παραλλαγὴν ἣν τῷ γεννητῷ πρὸς τὸ ἀγέννητον ἐνορᾷ ὁ ΕΥνόμιος, τὸν ἡμέτερον ἐπαναλήψομαι λόγον· ὅτι ὡς ἐκεῖ ἕτερον τῆς ἀντιφάσεως μέρος ἀκοινώνητον πρὸς τὸ ἀντικείμενον μένει, οὕτως εἴπερ τῷ ἑνὶ μέρει τῶν ἀντιθέτων τὸ φῶς συναρμοσθείη, τὸ λειπόμενον συζυγὲς τῷ σκότῳ πάντως ἀναδειχθήσεται, τῆς ἀντιθετικῆς ἀνάγκης ἀναλόγως τοῖς προάγουσι καὶ τὸν τοῦ φωτὸς λόγον πρὸς τὸ ἀντικείμενον διαστελλούσης. ταῦτα ἡμεῖς, οἱ δίχα λογικῆς ἐντρεχείας ἐπιχειροῦντες τῇ γραφῇ, καθώς φησιν ὁ διαβάλλων ἡμᾶς, πρὸς τὸν νέον Παιανιέα, διὰ τῆς ἐπιχωρείου γλώττης ὑπαγροικίζομεν. πῶς δὲ πρὸς τὴν ἀντίθεσιν ταύτην διηγωνίσατο τοὺς θερμοὺς ἐκείνους καὶ πῦρ πνέοντας λόγους, κατὰ τὴν Δημοσθενικὴν εὐτονίαν καθ' ἡμῶν προβαλλόμενος· ὅσοις καθ' ἡδονήν ἐστι τὸ γελᾷν, αὐτοῖς ἐντυχέτωσαν τοῖς γεγραμμένοις τῷ ῥήτορι. τὸ γὰρ ἡμέτερον, πρὸς μὲν ἔλεγχον τῶν τῆς ἀσεβείας δογμάτων, οὐ λίαν δυσκίνητον· πρὸς δὲ τὸ κωμῳδεῖν τὴν ἀμαθίαν τῶν ἀπαιδεύτων, παντελῶς ἐστὶν ἀνεπιτήδειον.

A ſermone vtendo ex ſua perſona, & non ex nobis diſſerere. Nemo enim noſtrûm ſic vnquã decipiatur, vt, cùm genitum cum ingenito modo cõtrario ſe habeat ſecundùm ſignificatum, alterum altero inferiorẽ exiſtimet. Omne enim oppoſitum non in contẽtionis remiſſione differentiam, ſed in abſoluta ſecundùm ſignificatum cõtrarietate differẽtiam habet: vt dormire aliquẽ dicimus, vel non dormire: ſedere vel nõ ſedere: genitum eſſe vel non genitum eſſe: aliáq. omnia eadẽ forma, quorum vnius ſublatio oppoſiti eſt poſitio. Vt igitur viuere nõ eſt B remiſſio ei⁹ quod dicitur nõ viuere: ſed omnino cõtrarietas: ſic genitum eſſe nõ remiſſionẽ eius quod nõ genitum eſt animaduertimus, ſed oppoſitionẽ & contrariam differentiam medio carentem: quod in alterutro ſignificatur, nullo modo cùm altero cõmercium habeat, neque in pauco, neque in maiore. Qui igitur aſſerit, id quod ex cõtrario intelligitur, inferius eſſe eo quod ipſi eſt oppoſitũ, ex ſua perſona hunc ſermonem proferat. Noſtra enim vulgaris loquendi forma, ea quæ oppoſitis conueniunt, æqualiter dicit inter ſe diſtare, ac primi-C genia ipſa inter ſe differunt. Quare ſi etiam in luce eamdem differentiam quam quæ eſt in genito ad ingenitum inſpicit Eunomius, noſtrum repetã ſermonem. Quòd ſicut illic altera contradictionis pars incommunicabilis cum oppoſito manet: haud aliter, ſiquidem vni parti oppoſitorum lux congruat, reliquum coniugatum tenebris proculdubio demonſtrabitur: oppoſitiua neceſſitate proportione habita cum præcedentibus, & lucis rationem ad oppoſitum diſcrepare faciente. Hæc nos qui abſque ſubtili diſſerendi ratione ſcribere aggredimur, ſicut ait ille qui nos ca-D lumniis impetit ad nouum Pxaniẽſem, per indigenam linguam ſubruſticè loquimur. Quomodo autem aduerſus oppoſitionem hanc decertauit, qui calidos illos & ignem ſpirantes ſermones pro ſua Demoſthenica vehementia contra nos proiecit. quibuſcumque autem volupe eſt ridere, in ipſa oratoris ſcripta irruant. Quod enim noſtrum eſt, ad impietatis quidem decretorum refutationem non valdè eſt lentum & ſegne; ad ridendam verò & mordendã, tamquam in comœdia, indoctorũ inſcitiam planè eſt ineptum, nec vllo modo idoneum.

A

Sancti Patris noſtri

GREGORII NYSSENI CONTRA EVNOMII, ſecundam Orationem.

ORATIO XII.

Iam quidem diuino fauente auxilio ſuperioribus laboribus prima cõtra Eunomium certamina confecta ſunt: ſicut his qui voluerint, ex his operibus quæ elaborauimus; licet perdiſcere, quomodo in priore ſermonum parte error potenter refutatus eſt, neque vllum amplius robur aduerſus veritatem, in his quæ ſunt examinata & diſquiſita, habet mendacium, apud eos qui non valde animoſè contra veritatem ſunt impudentes. Quoniam verò ſecundus labor ab eo contra pietatem veluti prædatorium quoddam agmen collectus eſt: rurſus, Deo opitulante, per nos inſtructa acie contra hoſtes armatur veritas, ac ceu quædam dux noſtrorum ſermonum propugnatrix præit, atque vt ſibi videtur, contra hoſtes dirigit, quam nos è veſtigio ſequente confidenter ſecundis certaminibus audebimus, nihil reformidantes inſtructam mendacij aciem, etiamſi multitudine ſermonũ noſtram
Deut. 32. ſuperare videatur. Fidelis enim qui promiſit mille ab vno perſequendos, & decem millia à duobus profligandos eſſe: quia pietas nõ à numeroſa manu robur ad bellum obtineat. Quemadmodum ille corpulentus Goliath grauem illam in Iſraëlitas cuſpidem obuibrans, nullum incuſſit terrorem viro paſtori. bellicæ volubilitatis rudi atque imperito, à quo cõſertus in pugna capite obtruncatus eſt, in contrariũ ei ſpe conuerſa: eodem certè modo hic noſter Goliath, qui alienæ & peregrinæ cognitionis dux & autor, capulũ diſtrictũ nudúmq. velut enſem tenens ſacrilegum impiúmque

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΠΡΟΣ ΤΟΝ ΕΥΝΟΜΙΟΥ δεύτερον λόγον.

ΛΟΓΟΣ ΙΒʹ.

B Τὰ μὲν δὴ πρῶτα τῶν πρὸς Εὐνόμιον ἀγώνων, ἱκανῶς ἤδη κατὰ θείαν συμμαχίαν ἐν τοῖς φθάσασι διηνύσται πόνοις· καθὼς πάρεστι τοῖς βουλομένοις ἐξ αὐτῶν ἡμῖν τῶν πεπονημένων μαθεῖν, ὅπως ἐν τῷ προτέρῳ τῶν λόγων, ἡ ἀπάτη κατὰ κράτος ἐλήλεγκται, καὶ οὐδεμίαν ἰσχὺν ἔτι κατὰ τῆς ἀληθείας ἐν τοῖς ἐξητασμένοις τὸ ψεῦδος ἔχει, τοῖς γε μὴ λίαν ἐκθύμως ἀναισχυντοῦσι πρὸς τὴν
C ἀλήθειαν. ἐπεὶ δὲ καὶ δεύτερος αὐτῷ κατὰ τῆς ἀσεβείας, οἷόν τις λῃστρικὸς συγκεκρότηται λόγος· πάλιν τοῦ Θεοῦ συμμαχοῦντος δι' ἡμῶν ἡ ἀλήθεια τῇ παρατάξει τῶν ἐχθρῶν ἀντοπλίζεται, καθάπερ τις στρατηγὸς προκαθηγουμένη τῶν ἡμετέρων λόγων, καὶ πρὸς τὸ δοκοῦν ἑαυτῇ κατὰ τῶν πολεμίων εὐθύνουσα. ᾗ κατ' ἴχνος ἑπόμενοι, θαῤῥούντως τοῖς δευτέροις τῶν ἀγώνων ἐπιτολμήσομεν, οὐδὲν καταπλαγέντες τὴν τοῦ ψεύδους παράταξιν, κἂν ἐν πλήθει προφαίνηται λόγων. πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος χιλίους ὑφ'
D ἑνὸς διωχθήσεσθαι, καὶ μυριάδας ὑπὸ δύο μετακινηθήσεσθαι· ὡς τῆς εὐσεβείας οὐ τῆς πολυχειρίας ἐχούσης τὸ κατὰ πόλεμον κράτος. ὥσπερ ὁ πολύσαρκος Γολιὰθ, τὴν βαρεῖαν ἐκείνην τοῖς Ἰσραηλίταις ἐπισείων αἰχμὴν, οὐδεμίαν ἐπήγαγε δειλίαν ἀνδρὶ ποιμένι καὶ ἀμελετήτῳ τῆς πολεμικῆς εὐστροφίας· ᾧ συμπλακεὶς κατὰ τὴν μάχην ἀκέφαλος γίνεται, πρὸς τοὐναντίον αὐτῷ τῆς ἐλπίδος περιστραφείσης. τὸν αὐτὸν τρόπον καὶ ὁ καθ' ἡμᾶς Γολιὰθ ὁ τῆς ἀλλοφύλου καθηγούμενος γνώσεως, πρόκωπόν τε καὶ γυμνὴν οἷόν τινα ῥομφαίαν τὴν βλασφημίαν τοῖς

ἀντιπεπαιγμένοις προτείνων, καὶ στίλβων ἅμα τοῖς νεοθήκτοις σοφίσμασιν, οὐκ ἐφάνη φοβερὸς καὶ δυσάντητος τοῖς ἰδιώταις ἡμῖν, ὡς κατ' ἐξουσίαν ἔχειν αὐτὸν τῇ ἐρημίᾳ τῶν ἀντιβαινόντων ἐπικομπάζειν· ἀλλ' εὗρεν ἡμᾶς ἐκ τῆς τοῦ κυρίου ποίμνης αὐτοσχεδίους πολεμιστάς, τοὺς μήτε μαθόντας λογομαχεῖν, μήτε ζημίαν τὸ μὴ μεμαθηκέναι νομίζοντας, ἰδιωτικόν τε καὶ ἀγροικίζοντα τὸν λόγον τῆς ἀληθείας κατ' αὐτοῦ σφενδονήσαντας. ἐπεὶ τοίνυν καὶ ὁ μνημονευθεὶς ἐκεῖνος ποιμὴν τῇ σφενδόνῃ καταβαλὼν τὸν ἀλλόφυλον, ἐναπορραγείσης τοῦ λίθου τῆς περικεφαλαίας, καὶ πρὸς τὴν βίαν τῆς βολῆς πρὸς τὰ ἐντὸς διαχωρούσης, οὐ τοῦτον ἐποιήσατο τῆς ἀνδραγαθίας τὸν ὅρον, τὸ ἰδεῖν ἐν πτώματι τὸν πολέμιον· ἀλλ' ἐπιδραμὼν καὶ τῆς κεφαλῆς τὸν πολέμιον ἀποσυλήσας, τροπαιοφόρος τοῖς ἰδίοις ἐπανέεισι, τὴν μεγαλορρήμονα κεφαλὴν ἐκείνην τοῦ στρατοῦ τῶν ὁμοφύλων διαπομπεύων. διὰ τοῦτο καὶ ἡμᾶς προσήκει πρὸς τὸ ὑπόδειγμα βλέποντας, μὴ καταμαλακισθῆναι πρὸς τοὺς δευτέρους τῶν λόγων. ἀλλ' ὡς ἔνι μάλιστα μιμήσασθαι τοῦ Δαβὶδ τὴν ἀριστείαν· καὶ παραπλησίως ἐκείνῳ μετὰ τὴν προτέραν πληγὴν ἐπεμβῆναι κειμένῳ, ὡς ἂν φανείη μάλιστα τῆς κεφαλῆς ἔρημος, ὁ τῆς ἀληθείας πολέμιος. ὁ γὰρ τῆς πίστεως διεζευγμένος τὴν κεφαλὴν ἀποτέτμηται τοῦ ἀλλοφύλου μᾶλλον. ἐπεὶ γὰρ κεφαλὴ παντὸς ἀνδρὸς ὁ Χριστός, καθώς φησιν ὁ ἀπόστολος, ἄνδρα δὲ τὸν πιστὸν πάντως εἰκὸς ὀνομάζεσθαι· οὐ γὰρ δὴ καὶ τῶν ἀπίστων ἂν ἡ κεφαλὴ ὁ Χριστός, πάντως ὁ τῆς σωζούσης πίστεως ἀποτμηθείς, ἀκέφαλος ἂν εἴη κατὰ τὸν Γολιὰθ διὰ τῆς ἰδίας μαχαίρας ἣν κατὰ τῆς ἀληθείας ἐθήξατο, τῆς ἀληθινῆς κεφαλῆς μεριζόμενος, ἣν οὐχὶ τεμεῖν ἀπ' αὐτοῦ, ἀλλ' ἀποδεῖξαι τετμημένην ἔργον ἡμέτερον. καί μοι μηδεὶς οἰέσθω φιλοτιμίᾳ τινὶ καὶ δόξης ἀνθρωπίνης ἐπιθυμίᾳ πρὸς τὸν ἄσπονδον τοῦτον καὶ ἀκήρυκτον πόλεμον ἑτοίμως κατιόντα, τοῖς ἐναντίοις συμπλέκεσθαι. εἰ μὲν γὰρ ἐξῆν ἀπραγμόνως καθ' ἡσυχίαν διάγειν [illegible] βίῳ, πόρρω τοῦ καθεστῶτος ἂν ἦν ἑκουσίως ἐπιταράσσειν τὴν ἡσυχίαν αὐθαίρετον ἐκ προκλήσεως πόλεμον καθ' ἡμῶν αὐτῶν ἐπεγείρειν. ἀλλ' ἐπειδὴ πολιορκεῖται μὲν ἡ πόλις τοῦ Θεοῦ ἡ ἐκ-

A conuitium prætendit & recens acutis ſophiſmatis micans, nobis ſimplicibus & indoctis non eſt viſus terribilis, neque occurrit formidabilis, ita vt pro ſuo arbitrio ipſe repugnantium penuria poſſit inſolenter ſe iactare. Sed nos ex Domini grege quaſi tumultuarios, & ex tempore oblatos bellatores nactus eſt, qui neque verbis contendere didicimus, neque non didiciſſe mulctam vel damnũ exiſtimamus, plebeium & ruſticum ſermonem contra ipſum velut fundibularij iaculantes. Quoniam igitur ille iam commemoratus paſtor funda percuſſo alienigena, & galea contorto lapide perfracta, & ad violẽtiam iactu ad intima diſcindente, non hunc fecit
B ſtrenuitatis terminum, vt hoſtem proſtratum videret, ſed impetu facto capite aduerſarium ſpoliatũ victor trophæum ferens ad ſuos rediit, magniloquum illud caput ad ſuorum tribulium exercitum reportans. Ob eam cauſam nos etiam decet in exemplum illud intuentes non lentos ad ſecundos ſermones remolleſcere, ſed quantũ maximè licet, præſtantiſſimam illam Dauidis actionem imitari, ac ſimiliter poſt primum
C ictum in hoſtem iacentem incurrere, vt capite obtruncatus & deſtitutus, veritatis perduellis videatur. Qui enim à fide diuulſus eſt, caput magis habet abſciſſum & à ceruice reuulſum, quàm ille alienigena. Quoniam omnis viri caput eſt Chriſtus, ſicut ait Apoſtolus: virum autem fidelem 1.Cor.11. omnino veriſimile eſt nominari, non enim infidelium Chriſtus caput eſſe poteſt, qui à fide ſeruatrice prorſus reſciſſus eſt, capite caret, haud ſecus quàm ille Goliath ſuo gladio iugulatus, quem aduerſus veritatem exacuerat,
D à vero capite diremptus: quod caput non amputare, ſed ab eius humeris amputatum palam monſtrare noſtri muneris eſt. Neque verò quis me exiſtimet ambitione aliqua & humanæ gloriæ cupiditate, ad hoc perpetuum & implacabilem bellum deſcendentem cum aduerſariis conſerere. Si enim procul à negotiis curiſque vitam quietam & pacificam agere liceat, longè profectò à propoſito abeſſet vltrò tranquillitatem perturbare, ac bellum ſponte ſuſceptum aduerſum nos ex prouocatione ſuſcitare. Sed quoniam Dei quidem ciuitas, id eſt, ec-

cleſia obſidetur, magnus autem murus machinis hæreſeos quatitur, dum in circuitu agitatur: ac periculum non paruum imminet, ne à dæmonum exercitu Dei ſermo abreptus, captiuus abeat. Ob eam cauſam formidabile eſſe iudicans, anxietatis Chriſtianorum non eſſe participem & laboris ſocium, non ad otium & quietem declinaui, ſed potius ex laboribus ſudores manantes præferendos eſſe exiſtimaui, quàm ex otio & quieta vita remiſſionem, perfectè ſciens, quòd quemadmodum vnuſquiſque pro ſuo labore, vt ait Apoſtolus, mercedem accipiet: ſic etiam omnes ob labores quos pro viribus ſuſtinere potuerunt, contemptos & deſertos, ſupplicia ferent.

1.Cor.3.

Quamobrem primam ſermonis pugnam audenter ex paſtorali Cado, id eſt, Eccleſiaſticis decretis, ſuſtinui hos rudes & impolitos, & ſponte fuſos ſermones ad euerſionem & ruinam blaſphemiæ dimittens, nulla ex profanis externiſque literis ad inſtitutum certamen indigens armatura: nunc ad ſecunda certamina venire non recuſo, ſpem ponens iuxta magnum Dauid, in eo qui docet manus meas ad prælium, & digitos meos ad bellum. Siquidem nobis etiam contingat ex diuina virtute manum meam ſcribentem dirigi, ad hæreticorum dogmatum deſtructionem, digitóſque meos ſubſeruire ad improbæ aciei ſubuerſionem, peritè & fortiter contra hoſtes diſceptationem diſponentes.

Pſal.143.

Quemadmodum autē in bellis humanis, qui fortitudine & robore reliquis præſtant, armíſque præmuniti & ad ſubeunda pericula meditationibus bellandi peritiam prius adepti, in fronte phalangis proſtant, pro illis qui in profundo conſtituti ſunt, pericula ſubeuntes: reliqua verò turba ad ſolam opinionem multitudinis intuens, mutua defenſione & clypeorum obtentione communi vtilitati ſeruire & commodum afferre videtur: ſic etiam in noſtris certaminibus generoſus quidem & ſtrenuus Chriſti miles, vt acer contra alienigenas certator, ac ſancti Spiritus, velut grauioris armaturæ, miles Baſilius, Apoſtolicā omnem armaturam indutus & fidei clypeo præmunitus, telum propulſatorium, dico gladium ſpiritus, ſemper obtendens: hic quidem anteſignanus

A κλησία· καταστείεται δὲ τὸ μέγα τεῖχος τοῖς μηχανήμασι τῆς αἱρέσεως ἐν κύκλῳ περιδινούμενον. κίνδυνος δὲ οὐ μικρὸς αἰχμάλωτον οἴχεσθαι παρὰ τῆς τῶν δαιμόνων ἐπιστρατείας, ἀνάρπαστον τὸν λόγον τοῦ κυρίου γενόμενον· διὰ τοῦτο φοβερὸν εἶναι κρίνων, μὴ συμμετασχεῖν τῆς τῶν Χριστιανῶν ἀγωνίας, οὐκ ἐπὶ τὴν ἡσυχίαν ἀπέκλινα· προτιμοτέρους δὲ μᾶλλον ἐποιησάμην τοὺς ἐκ τῶν πόνων ἱδρῶτας τῆς ἐκ τοῦ ἡσυχάζειν ἀνέσεως, εἰδὼς ἀκριβῶς ὅτι ὥσπερ τὸν μισθὸν λήψεται, καθώς φησιν ὁ ἀπόστολος, κατὰ τὸν ἴδιον κόπον ἕκαστος, οὕτω πάντας καὶ τὴν ζημίαν B ἐπὶ τῇ τῶν κατὰ δύναμιν πόνων ὀλιγωρίᾳ. διὰ τοῦτο καὶ τὴν πρώτην τοῦ λόγου μάχην εὐθαρσῶς ὑπέστην ἐκ τοῦ ποιμενικοῦ Καδδοῦ, τουτέστιν, ἐκ τῶν ἐκκλησιαστικῶν δογμάτων τοὺς ἀκατασκεύους τούτους καὶ αὐτοφυεῖς λόγους εἰς ἀνατροπὴν τῆς βλασφημίας ἀφεὶς, καὶ οὐδεμιᾶς τῆς ἐκ τῶν ἔξωθεν λόγων ὁπλίσεως ἐπὶ τὸν ἀγῶνα προσδεηθεὶς, καὶ νῦν πρὸς τοὺς δευτέρους τῶν ἀγώνων οὐκ ἀναδύομαι, τὴν ἐλπίδα θέμενος κατὰ τὸν μέγαν Δαβὶδ ἐπὶ τὸν διδάσκοντα χεῖρας εἰς παράταξιν, καὶ δακτύλους εἰς C πόλεμον. εἴ πως γένοιτο καὶ ἡμῖν ἐκ θείας δυνάμεως εὐθυνθῆναι μὲν τὴν γράφουσαν χεῖρα πρὸς τὴν τῶν αἱρετικῶν δογμάτων ἀναίρεσιν· ὑπηρετεῖσθαι δὲ τοὺς δακτύλους τῇ ἀνατροπῇ τῆς πονηρᾶς παρατάξεως, ἐμπείρως καὶ ἀγωνιστικῶς διατιθέντας κατὰ τῶν πολεμίων τὸν λόγον. ὥσπερ δὲ ἐπὶ τῶν ἀνθρωπίνων πολέμων οἱ μὲν ἀνδρείᾳ τε καὶ δυνάμει τῶν λοιπῶν διαφέροντες, καὶ κατησφαλισμένοι τοῖς ὅπλοις καὶ ταῖς πρὸς τοὺς κινδύνους μελέταις, τὴν τοῦ πολεμεῖν ἐμπειρίαν προειληφότες, ἐπὶ τοῦ μετώπου D τῆς φάλαγγος ἵστανται, τῶν κατὰ τὸ βάθος ἐπιτεταγμένων προκινδυνεύοντες. ὁ δὲ λοιπὸς ὅμιλος εἰς μόνην φαντασίαν πλήθους συντείνοντες αὐτῷ τῷ συνασπισμῷ δοκοῦσί τι κέρδος τῷ κοινῷ συνεισφέρειν· οὕτως καὶ ἐπὶ τῶν ἡμετέρων ἀγώνων, ὁ μὲν γενναῖος τοῦ Χριστοῦ στρατιώτης, καὶ σφοδρὸς κατὰ τῶν ἀλλοφύλων ἀγωνιστὴς ὁ μέγας τοῦ πνεύματος ὁπλίτης Βασίλειος, ὁ τὴν ἀποστολικὴν πανοπλίαν ἐνδεδυκὼς, καὶ τῷ θυρεῷ κατησφαλισμένος τῆς πίστεως, τό τε ἀμυντήριον ὅπλον, τὴν τοῦ πνεύματος λέγω μάχαιραν, ἀεὶ προβαλλόμενος. οὗτος μὲν προπολεμεῖ

τῆς τοῦ κυρίου στρατιᾶς ἐν τῷ πονηθέντι κατὰ τῆς αἱρέσεως λόγῳ, ζέων τε καὶ ἀμυνόμενος, καὶ κατὰ τῶν ἐχθρῶν ἀριστεύων. ἡμεῖς δὲ τὸ πλῆθος τῷ θυρεῷ τοῦ προμάχου τῆς πίστεως ἑαυτοὺς ὑποκρύψαντες, καθάπερ ἂν προηγῆται πρὸς τοὺς ἐναντίους ὁ στρατηγὸς, τῶν κατὰ δύναμιν ἀγώνων οὐκ ἀφεξόμεθα. ἐπεὶ τοίνυν διελέγχων ἐκεῖνος τὴν ἀπατηλὴν τῆς αἱρέσεως καὶ ἀνυπόστατον φαντασίαν, οὐδαμῶς ἄλλως τὴν προσηγορίαν τῆς ἀγεννησίας ἢ κατ' ἐπίνοιαν, φησὶν, ἐπιλέγεσθαι τῷ Θεῷ, καὶ τὰς ἀποδείξεις ἐπήγαγε, ταῖς τε κοιναῖς ἐννοίαις, καὶ ταῖς γραφικαῖς μαρτυρίαις ἠσφαλισμένας. ὁ δὲ τῆς ἀπάτης εὑρετὴς Εὐνόμιος, οὔτε συντίθεται τοῖς εἰρημένοις, οὔτε ἀνατρέπειν δυνατῶς ἔχει, συνεχόμενος δὲ πρὸς τὴν ἀλήθειαν, ὅσῳ τηλαυγέστερον διαλάμπει τῆς εὐσεβείας τὰ δόγματα, τοσοῦτον μᾶλλον κατὰ τὰ νυκτινόμα τῶν ζώων πρὸς τὸ φῶς ἀμβλυώττων, καὶ οὐδὲ τὰς συνήθεις τῶν σοφισμάτων καταδύσεις εὑρίσκων, μάτην διαπλανᾶται· καὶ πρὸς τὸ τοῦ ψεύδους ἀδιέξοδον εἰσιὼν περὶ τὰ αὐτὰ συνειλεῖται, καὶ πᾶς αὐτῷ σχεδὸν περὶ τὴν αὐτὴν φλυαρίαν ὁ δεύτερος κατησχόληται πόνος. διὰ τοῦτο καλῶς ἔχει καὶ ἡμῖν ἐν τούτῳ γενέσθαι τὴν πρὸς τοὺς ἀντιτεταγμένους μάχην, ἐν ᾧ καὶ ὁ πρόμαχος ἡμῶν διὰ τοῦ ἰδίου καθηγήσατο λόγου. πρῶτον δὲ φημι χρῆναι πᾶσαν ἐπὶ κεφαλαίῳ τὴν ἡμετέραν περὶ τῶν δογμάτων ὑπόληψιν καὶ τὴν τῶν ἐχθρῶν πρὸς ἡμᾶς διαφωνίαν ἐπιδραμεῖν. ὡς ἂν γένοιτο καθ' ὁδὸν ἡμῖν ἡ τῶν προκειμένων σκέψις. ἔστι τοίνυν τὸ κεφάλαιον τῆς τῶν Χριστιανῶν εὐσεβείας, τὸ πιστεύειν τὸν μονογενῆ Θεὸν, ὅς ἐστιν ἀλήθεια, καὶ φῶς ἀληθινὸν, καὶ δύναμις Θεοῦ, καὶ ζωή· ἀληθῶς πάντα εἶναι ἃ λέγεται, τά τε ἄλλα καὶ πρὸ τῶν ἄλλων ταῦτα, Θεὸν καὶ ἀλήθειαν, τουτέστι, Θεὸν κατὰ ἀλήθειαν ἀεὶ ὄντα, ὅπερ νοεῖται καὶ ὀνομάζεται· καὶ οὔτε ποτὲ μὴ ὄντα, οὔτε ποτὲ μὴ ἐσόμενον. οὗ τὸ εἶναι ὅ τι ποτὲ κατ' οὐσίαν ἐστι, πᾶσαν ἐκφεύγει καταληπτικὴν ἔφοδον καὶ πολυπραγμοσύνην. ἡμῖν δὲ καθὼς φησὶ τῆς σοφίας ὁ λόγος, ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων κατά τινα τῶν γινωσκομένων ἀναλογίαν εἰς γνῶσιν ἔρχεται τοῦ εἶναι, μόνον τὴν πίστιν διὰ τῶν ἐνεργειῶν, οὐ τὴν γνῶσιν, τουτέστι χαρι-

A militiæ Domini propugnat in ſermone, quem contra hæreſim elaborauit, feruens & defendens, ac contra hoſtes fortiſſimè & optimè gerens. Nos autem ceu plebs ſine nomine, & veluti milites gregarij, clypeo illius anteſignani & propugnatoris obuelati & protecti, prout ipſe belli dux præibit aduerſus hoſtes, ab his certaminibus quę pro noſtris viribus fuerint, non abſtinebimus. Quoniam igitur ille redarguens ac refellens fallacem, & quæ non poteſt ſubſiſtere, opinionem, non aliter, inquit, ingeniti appellationẽ de Deo dici, quàm
B ex hominum commento: & demonſtrationes ſubiunxit communibus notitiis & ſacræ ſcripturæ teſtimoniis confirmatas. At erroris inuentor Eunomius neque aſſentitur dictis, neque euertere poteſt: conſtrictus autem à veritate, quantò fulgentius pietatis dogmata perlucent, tantò magis ſicut noctiuaga animalia ad lucem caligans & hallucinans, neque conſuetas captioſarum argumentationum latebras inueniens, fruſtra dubius vagatur, & ad mendacij diuerticulum exitu carens ingrediens
C circum eadẽ deuoluitur. Atque omnis eius labor ſecũdus in eadem nugatione ferè eſt occupatus. Eam ob cauſam præclarè habet, ſi in eo contra aduerſarios à nobis pugna ineatur, in quo noſter propugnator ſuo ſermone viam præmonſtrauit. Primùm autem dico oportere omnem ſummatim noſtram de decretis opinionem & inimicorum contra nos diſſenſionem percurrere, vt rectè atque ordine nobis procedat propoſitorum conſideratio. Eſt igitur Chriſtianæ pietatis caput & ſumma, vnigenitum Deum credere, qui eſt veritas,
D & lux vera, & Dei virtus, & vita, verè omnia eſſe quæ dicitur, aliáque & ante alia hæc, Deum nempe & veritatem, hoc eſt Deum in veritate ſemper eſſe, quod intelligitur & nominatur: neque vnquam non eſſe, neque vnquam non futurum: cuius eſſe, quicquid tamdem per eſſentiã eſt, omnem effugit comprehenſiuam inſinuationem & curioſitatem. Nobis autem, ſicut inquit ſapientiæ ſermo, ex rerum creatarum magnitudine & pulchritudine proportione quadam eorum quæ cognoſcuntur in cognitionem venit Rom. 1. quod ſit, ſolum fidem per operationes, non cognitionem eius quod ſit gratiſi-

cans. Cùm igitur hæc apud omnes Chriſtianos intelligentia præualeat, illos autem dico qui hac appellatione ſunt digni, qui ex lege nihil adorare quod non ſit verus Deus, didicerunt: dùm ipſi adorant vnigenitum Deum, in veritate confitentur nec falſinominem Deum eſſe, corruptrix rubigo Eccleſiæ inoleuit, quæ pia ſemina inutilia reddens, Iudaici erroris patrona, habet aliquid Græcanicæ impietatis. In eo enim quod Deum fingat creatum, Græcorum errori patrocinatur: in eo verò quod filium non ſuſcipiat, Iudaicum commendat errorem: hæc igitur hæreſis quæ obliterat veram Domini diuinitatem, & quæ ipſum non increatum exiſtimandum eſſe præſtruit, nec illud eſſe quod quidem per eſſentiam & virtutem & dignitatem eſt pater: ſiquidem vbique veritate circumfulgente nullam habent adſtructionem hæc nebuloſa commenta: omnibus poſthabitis quæ ad Deo decoram & conuenientem aliquam glorificationem à ſcriptura inuenta ſunt nomina, & quæ tàm de patre quàm de filio dicuntur; venerunt ad id quod dicitur nomen ἀγεννησίας, ab his ipſis in contemptum majeſtatis vnigeniti confictum. Cùm enim pia confeſſio fidem in vnigenitum Deum doceat, vt omnes filium honorent, ſicut patrem ipſum honore afficiunt: omnes iſtas pias voces quibus filij amplitudo, pari honore cum patris dignitate ſignificatur, propulſantes, inde ſibi ipſis nefariæ & Deum abnegantis in dogmate impietatis principia & fundamenta comminiſcuntur. Quoniam enim vnigenitus Deus, ſicut vox Euangelij docet, ex patre exiuit, & ab eo eſt: aliis nominibus intelligentiam perperam transmutantes, per illa veram fidem dilacerant. Cùm enim veritas doceat, quod Pater ex nulla ſuperiore ſit cauſa, iſti ἀγεννησίαν, id eſt, ingenerationem, nominarunt talem notionem: & ex patre vnigeniti ſubſiſtentiam generationis nomine ſignificant: deinde duas voces componentes, ἀγεννησίαν, ingenerationem, & γέννησιν generationem, contradictoriè ſibi inuicem aduerſantes, inde conſequentium ignaros & imperitos in errorem impellunt. Nam vt quis, exempli gratia, declararit, genitus eſt, & non eſt genitus, tale eſt, quale

A ζόμενος. ταύτης τοίνυν τῆς ἐννοίας παρὰ πᾶσι τοῖς Χριστιανοῖς κεκρατηκυίας, τοῖς γε τῆς ἐπωνυμίας ταύτης ἀξίοις, ἐκείνοις φημὶ, προσκυνεῖν παρὰ τοῦ νόμου μεμαθηκόσι, μηδὲν ὃ μὴ ἔστιν ἀληθινὸς Θεὸς, αὐτῷ τῷ προσκυνεῖν τὸν μονογενῆ Θεὸν, ὁμολογοῦσιν ἐν ἀληθείᾳ καὶ οὐ ψευδώνυμον εἶναι Θεὸν, ἦλθεν ἡ φθοροποιὸς ἐρυσίβη τῆς ἐκκλησίας ἡ ἀχρειοῦσα τὰ εὐσεβῆ σπέρματα, ἡ τῆς Ἰουδαϊκῆς ἀπάτης συνήγορος, ἔχουσά τι καὶ τῆς Ἑλληνικῆς ἀθεΐας· τῷ μὲν γὰρ κτιστὸν ἀναπλάττειν Θεὸν, τῆς τῶν Ἑλλήνων ἀπάτης συνήγορος γίνεται· τῷ δὲ μὴ παραδέχεσθαι τὸν υἱὸν, τὴν Ἰουδαϊκὴν συνίστησι πλάνην· B αὕτη τοίνυν ἡ αἵρεσις ἡ παραγραφομένη τὴν ἀληθινὴν τοῦ κυρίου θεότητα, καὶ παρασκευάζουσα μὴ ἄκτιστον αὐτὸν εἶναι δεῖν ὑπολαμβάνειν· καὶ μὴ ἐκεῖνο ὅπερ κατ᾽ οὐσίαν καὶ δύναμιν καὶ ἀξίαν ἐστὶν ὁ πατήρ. ἐπειδὴ πανταχόθεν τῆς ἀληθείας περιλαμπούσης, οὐδεμίαν ἔχει κατασκευὴν τὰ ζοφώδη ταῦτα νοήματα· πάντα τὰ ὀνόματα ὑπεριδόντες τὰ εἰς θεοπρεπῆ τινὰ δοξολογίαν παρὰ τῆς γραφῆς εὑρεθέντων, ὁμοίως ἐπί τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ λεγομένων, ἦλθον ἐπὶ τὸ τῆς ἀγεννησίας C ὄνομα, τὸ παρ᾽ αὐτῶν τούτων ἐπὶ ἀθετήσει τῆς μεγαλειότητος τοῦ μονογενοῦς Θεοῦ συμπεπλασμένον. τῆς γὰρ εὐσεβοῦς ὁμολογίας τὴν εἰς τὸν μονογενῆ Θεὸν πίστιν δογματιζούσης· ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα, πάσας οὗτοι τὰς εὐσεβεῖς φωνὰς, αἷς ἡ τοῦ υἱοῦ μεγαλειότης ὁμοτίμως πρὸς τὴν τοῦ πατρὸς ἀξίαν διασημαίνεται, παρωσάμενοι, ἐντεῦθεν ἑαυτοῖς τῆς ἀθέου περὶ τὸ δόγμα παρανομίας τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἐπινοοῦσιν. ἐπειδὴ γὰρ ὁ μονογενὴς Θεὸς ὡς ἡ τοῦ εὐαγγελίου διδάσκει φωνὴ, ἐκ τοῦ πα- D τρὸς ἐξῆλθε, καὶ παρ᾽ αὐτοῦ ἐστιν· ἄλλοις ὀνόμασι τὴν παρ᾽ αὐτοῦ διάνοιαν μεταβάλλοντες δι᾽ ἐκείνων τὴν ἀληθινὴν πίστιν κατασπαράττουσι. τὸ γὰρ μὴ ἔκ τινος ὑπερκειμένης αἰτίας εἶναι τὸν πατέρα, τῆς ἀληθείας διδασκούσης, οὗτοι ἀγεννησίαν ὀνομάζουσι τὸ τοιοῦτον νόημα· καὶ τὴν ἐκ πατρὸς τοῦ μονογενοῦς ὑπόστασιν, τῷ τῆς γεννήσεως διασημαίνουσι ῥήματι. εἶτα συνθέντες τὰς δύο φωνὰς, τὴν ἀγεννησίαν τε καὶ τὴν γέννησιν ἀντιφατικῶς ἐναντιουμένας ἀλλήλαις, ἐντεῦθεν τοὺς ἀνοήτους τῶν ἑπομένων αὐτοῖς παρακρούονται. τὸ γὰρ ἐγεννήθη καὶ οὐκ ἐγεννήθη, ὡς ἄν τις ὑποδείγματι σαφηνίσειε, τοιοῦτόν ἐστιν,

εἶναι καὶ τὸ κάθηται καὶ οὐ κάθηται, καὶ ὅσα τῷ τοιούτῳ λέγεται τρόπῳ. οἱ δὲ τῆς κατὰ φύσιν τῶν ῥημάτων ἐμφάσεως τὰς φωνὰς ταύτας παρακινήσαντες, ἄλλην αὐτοῖς ἐφαρμόζειν διάνοιαν ἐπὶ καθαιρέσει τῆς εὐσεβείας φιλονεικοῦσιν. ἰσοδυναμούσης γὰρ, καθὼς εἴρηται, τῆς τῶν ῥημάτων σημασίας τῷ κάθηται καὶ οὐ κάθηται· ἀναιρεῖται γάρ πως ἐν θατέρῳ τῶν σημαινομένων τὸ ἕτερον· ταύτην τὴν περὶ τὸ σχῆμα τῆς προσφορᾶς ἐναντίωσιν τῆς κατὰ τὴν οὐσίαν παραλλαγῆς ἐνδεικτικὴν εἶναι σοφίζονται. τῷ μὲν, τὴν γέννησιν· τῷ δὲ, τὴν μὴ γέννησιν οὐσίαν εἶναι διοριζόμενοι. καί τοι ὥσπερ οὐκ ἔστιν οὐσίαν ἀνθρώπου νομίσαι, τὸ καθῆσθαι καὶ μὴ καθῆσθαι τὸν ἄνθρωπον. οὐ γὰρ τὸν αὐτὸν ἄν τις ἀποδοίη λόγον, καθέδρας τε ἀνθρώπου καὶ ἄνθρωπον αὐτὸν ὁριζόμενος, οὕτως ἡ μὴ γεννηθεῖσα οὐσία κατὰ τὴν ἀναλογίαν τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος, ἄλλο τι πάντως ἐστὶ τῷ ἰδίῳ λόγῳ παρὰ τὸ ἐκ τοῦ μὴ γεννηθῆναι δηλούμενον. ἀλλ᾽ οὗτοι πρὸς τὸν πονηρὸν ἐκεῖνον σκοπὸν ἀφορῶντες, ὡς ἂν μάλιστα ἡ τοῦ μονογενοῦς θεότητος ἡ ἄρνησις αὐτοῖς κυρωθείη· οὐχὶ τὴν οὐσίαν τοῦ πατρὸς ἀγεννησίαν εἶναι λέγουσιν, ἀλλ᾽ ἀναστρέψαντες τὸν λόγον, οὐσίαν τὴν ἀγεννησίαν ὁρίζονται, ἵνα τῇ πρὸς τὸ γεννητὸν ἀντιδιαστολῇ τὸ τῆς φύσεως παρηλλαγμένον διὰ τῆς ἐναντιώσεως τῶν ὀνομάτων κατασκευάσωσι· καὶ πρὸς μὲν τὴν ἀσέβειαν μυρίοις ὀφθαλμοῖς βλέπουσι, πρὸς δὲ τὸ ἀμήχανον τῆς περὶ τοῦτο σπουδῆς, ὡς μεμυκότες τὰ ὄμματα τῆς ψυχῆς ἀμβλυώττουσι. τίς γὰρ μὴ παντάπασι λημῶν τὰ τῆς ψυχῆς αἰσθητήρια, οὐ διορᾷ τὸ τῆς τοῦ δόγματος αὐτῶν ἀρχῆς τὸ ἀπαγὲς καὶ ἀσύστατον, καὶ ὡς ἐπ᾽ οὐδενὸς βέβηκεν αὐτοῖς ὁ λόγος, ὁ τὴν ἀγεννησίαν οὐσίαν ποιῶν· οὕτω γὰρ αὐτοῖς ἡ ἀπάτη κατασκευάζεται. λέξω δὲ καθὼς ἐστὶ δυνατὸν ἰσχυρῶς τῇ ἐμαυτοῦ φωνῇ τὸν τῶν ἐχθρῶν αὐτοῖς προφέρων λόγον· φασὶν, ἀγέννητον τὸν Θεὸν ὀνομάζεσθαι. ἁπλοῦν δὲ εἶναι τῇ φύσει τὸ θεῖον· τὸ δὲ ἁπλοῦν, μηδεμίαν ἐπιδέχεσθαι σύνθεσιν· εἰ οὖν ἀσύνθετος κατὰ τὴν φύσιν ἐστὶν ὁ Θεός, ᾧ τὸ τοῦ ἀγεννήτου ἐπέστιν ὄνομα, αὐτῆς ἂν εἴη τῆς φύσεως ὄνομα τὸ ἀγέννητον. καὶ ἔστιν οὐδὲν ἕτερον εἰ μὴ ἀγεννησία, ἡ φύσις. πρὸς οὓς ἐκεῖνο φαμέν· ὅτι ἕτερον τὸ ἀσυνθέτου,

A ſedet & non ſedet, & quæcunque tali efferuntur modo: hi verò iſtas voces ab ea quæ eſt ſecundùm naturam genuina ſignificatione dimouentes ſiue detorquentes, aliam ſibi ipſis accommodare intelligentiam ad pietatis euerſionem peruersè contendunt. Cùm enim, ſicut dictum eſt, horum verborum ſignificantia æquiualeat ei quod dicitur ſedet, & non ſedet: (tollitur enim quodammodo in altero ſignificatorum alterum) hanc quæ eſt ſecùndum formam prolationis contrarietatem, eius quæ eſt ſecundùm eſſentiam differentiæ indicem eſſe ca-
B ptiosè certanſ, huic quidē, filio nempe, generationem; illi verò, patri videlicet, non generationē, eſſentiā eſſe definientes. Atqui quemadmodum nō licet exiſtimare eſſentiā hominis ſedere & nō ſedere; nullus enim eamdē definitionem crediderit, hominis cathedrā & ipsū hominē definiens. Sic non genita eſſentia, ſecundùm analogiā dicti à nobis exēpli, aliud quiddā prorſus eſt ſecundùm propriā rationem, ab eo quod per id quod non eſt genitum, ſignificatur. Sed iſti ad illum improbum ſcopum proſpectātes, vt maximè vnigeniti deitatis abnegatio
C conformetur, non eſſentiam patris eſſe ἀγεννησίαν aſſerunt: ſed inuerſa oratione ἀγεννησίαν, id eſt, ingenerationē, eſſentiam eſſe definiunt, vt per differentiā quæ eſt ad id quod genitū eſt, naturæ diuerſitatem per nominū cōtrarietatē pręſtruāt. Ac quidē ad impietatē innumerabilib. oculis proſpiciunt; ad id autem quod in propoſito ſibi ſtudio omnino fieri non poteſt, tanquā cōniuentes & mētis oculos claudētes caligāt atq. hallucināťur. Quis enim nō omnino animi viribus & ſentiendi inſtrumentis lippiens & cęcutiens, non intelligit principiū dogmatis eorum nulla compage ſolidatum, nullo
D modo poſſe ſubſiſtere, & quod eorū ratio nullo firmamēto nititur, quę ἀγεννησίαν, id eſt, ingenerationem, facit eſſentiā: ſic enim fraus eorū præſtruitur. Dicā enim quoad fieri poteſt, mea voce fortiter aduerſariorum ſermonē ſubijciēs. Aiunt, Deum ingenitum nominari: Deitatem autem ſimplicem eſſe natura, nullámq. admittere compoſitionem. Si igitur ſecundùm naturam Deus eſt ſimplex & cōcretionis expers, cui ingeniti nomen ineſt, ipſius naturæ nomen fuerit quod ingenitum eſt. Nihilque eſt aliud natura, niſi ἀγεννησία, id eſt, ingeneratio. Ad quos hoc dicimus: Quòd aliud eſt incompoſiti·

Et aliud ingeniti ſignificatum; illud quidem ſimplicitatem ſubiecti, hoc vero non ex cauſa eſſe repræſentat. Nec nominum propriæ ſignificationes inter ſe mutantur, tametſi de vno ambo dicantur. Sed ex ingeniti appellatione, abſque cauſa eſſe eum qui ſic nominatur didicimus: atque ex ſimplicis appellatione, eum ab omni concretione & compoſitione liberum & purum eſſe intelligimus: horum autem neutrum pro alio dicitur. Nullam igitur neceſſitatem habet, quoniam natura Deus ſimplex eſt, ingenerationem ἀγεννησίαν eius naturam nominari. Sed quà partium eſt expers & incompoſitus, ſimplex dicitur; quà vero non eſt genitus, ingenitus dictus eſt. Quod ſi ingeniti vox ſine cauſa eſſe non ſignificet: ſed ſimplicitas ſubingrederetur ſignificationem talis nominis: ideóque ingenitus ſecundùm rationem hæreſeos diceretur, propterea quod ſimplex eſt & incompoſitus: vna autem ſimplicis & incompoſiti ſignificantia: etiam filij ſimplicitas ἀγεννησία, prorſus nominabitur: ſimplicem enim eſſe natura vnigenitum Deum non inficiabuntur, niſi ſanè penitus ipſum Deum eſſe negent. Ergo nullam ſecundùm ſignificatum ſimplicitas cum ingenito habebit communionem: vt per id quod eſt incompoſitum ἀγεννησία, id eſt, ingeneratio natura exiſtimetur, ne duorum abſurdorum alterum contra ſeipſos eliciant: vel negantes vnigeniti deitatem, vel etiam in illo ingeniti rationem celebrent. Si enim Deus natura ſimplex, nomen autem (ſecundùm ipſos) ſimplicitatis eſt ingenitum: vel compoſitum filium eſſe adſtruent, cum quo neque Deum eſſe demonſtratur, vel ſi in ipſo deitatem confitetur; ſimplex autem ſicut dictum eſt, Deus eſt, eumdem ingenitum propter ſimplicitatẽ omnino eſſe præſtruunt. Siquidem ſimplicitas idem cum ἀγεννησίᾳ exiſtimatur: vt autem quod dicitur clarius eluceſcat, rurſus quod eſt dictũ reperam. Nos hoc dicimus, quod in vtroq. nominum ſubeſt quiddam proprium, quod ſignificatur, neq. per ingenitũ, id quod indiuiduum, ſiue quod partib. caret, ſignificatur, neq. per ſimplex quod eſt ingenitum, ſed in ſimplici quidem quod incõpoſitum eſt, mente cõplectimur, & in ingenito nõ ex aliqua cauſa eſſe ſignificari docti ſumus.

A καὶ ἕτερον τὸ τοῦ ἀγεννήτου τὸ σημαινόμενον. τὸ μὲν γὰρ, τὴν ἁπλότητα τοῦ ὑποκειμένου· τὸ δὲ, τὸ μὴ ἐξ αἰτίας εἶναι παρίστησι, καὶ οὐκ ἀπαλλάσσονται πρὸς ἀλλήλας αἱ τῶν ὀνομάτων ἐμφάσεις, κἂν περὶ τὸ ἓν, ἀμφότερα λέγηται. ἀλλ' οὐκ μὲν τῆς τοῦ ἀγεννήτου προσηγορίας, τὸ ἄνευ αἰτίας εἶναι τὸν οὕτως ὀνομαζόμενον ἐμάθομεν· οὐκ δὲ τῆς τοῦ ἁπλοῦ, τὸ καθαρεύειν συνθέσεως, οὐδέτερον δὲ τούτων ἀντὶ τοῦ ἄλλου λέγεται. οὐκοῦν οὐδεμίαν ἀνάγκην ἔχει, ἐπειδὴ ἁπλοῦν ἐστι τῇ φύσει τὸ θεῖον, ἀγεννησίαν αὐτοῦ τὴν φύσιν κατονομάζεσθαι. ἀλλὰ
B καθ' ὃ μὲν ἀμερής ἐστι καὶ ἀσύνθετος, ἁπλοῦς λέγεται, καθ' ὃ δὲ οὐκ ἐγεννήθη, ἀγέννητος. εἰ δὲ μὴ σημαίνοι τὸ ἄνευ αἰτίας εἶναι ἡ φωνὴ τοῦ ἀγεννήτου, ἀλλ' ἁπλότης ἀντεισέρχοιτο τῇ σημασίᾳ τοῦ τοιούτου ὀνόματος, καὶ διὰ τοῦτο ἀγέννητος κατὰ τὸν λόγον τῆς αἱρέσεως λέγοιτο διότι ἁπλοῦς ἐστι καὶ ἀσύνθετος, μία δὲ τοῦ ἁπλοῦ τε καὶ ἀγεννήτου ἡ σημασία, καὶ ἡ τοῦ υἱοῦ ἁπλότης ἀγεννησία πάντως ὀνομασθήσεται. ἁπλοῦν γὰρ εἶναι τῇ φύσει καὶ τὸν μονο-
C γενῆ Θεὸν οὐκ ἀρνήσονται. εἰ μὴ ἄρα καὶ τὸ Θεὸν εἶναι αὐτὸν ἀρνήσαιντο. οὐκοῦν οὐδεμίαν κατὰ τὸ σημαινόμενον κοινωνίαν ἡ ἁπλότης πρὸς τὸ ἀγέννητον ἕξει, ὡς διὰ τὸ ἀσύνθετον ἀγεννησίαν τὴν φύσιν καὶ νομίζεσθαι· ἵνα μὴ δυοῖν ἀτόποιν τὸ ἕτερον καθ' ἑαυτῶν ἐπισπάσοιντο, ἢ ἀρνούμενοι τοῦ μονογενοῦς τὴν θεότητα, ἢ κἀκείνῳ τὴν ἀγεννησίαν ἐπιφημίζοντες. εἰ γὰρ ἁπλοῦν μὲν τῇ φύσει τὸ θεῖον, ὄνομα δὲ κατ' αὐτοὺς τῆς ἁπλότητος ἐστι τὸ ἀγέννητον, ἢ σύνθετον εἶναι τὸν υἱὸν κατασκευάσουσιν, ᾧ τὸ μηδὲ
D Θεὸν εἶναι συναποδείκνυται, ἢ εἰ ὁμολογοῖεν ἐπ' αὐτοῦ τὴν θεότητα, ἁπλοῦν δὲ, καθὼς εἴρηται, τὸ θεῖόν ἐστι, τὸν αὐτὸν καὶ ἀγέννητον διὰ τὴν ἁπλότητα πάντως εἶναι κατασκευάζουσιν. εἴπερ ἡ ἁπλότης ταὐτὸν τῇ ἀγεννησίᾳ νομίζεται. ὡς δ' ἂν σαφέστερον τὸ λεγόμενον γένοιτο, πάλιν τὸ ῥηθὲν ἀναλήψομαι. ἡμεῖς τοῦτο φαμὲν, ὅτι ἐν ἑκατέρῳ τῶν ὀνομάτων, ἴδιόν τι τὸ σημαινόμενον ὕπεστι· καὶ οὔτε τῷ ἀγεννήτῳ τὸ ἀμερὲς ἑρμηνεύεται, οὔτε τῷ ἁπλῷ τὸ ἀγέννητον. ἀλλ' ἐν μὲν τῷ ἁπλῷ, τὸ ἀσύνθετον ἐνοήσαμεν. ἐν δὲ τῷ ἀγεννήτῳ, τὸ μὴ ἐξ αἰτίας εἶναί τινος ἐδιδάχθημεν.

τὸν δὲ υἱὸν ἐκ Θεοῦ Θεὸν ὄντα, καὶ αὐτὸν ἁπλοῦν πιστεύειν οἰόμεθα δεῖν· διὰ τὸ πάσης συνθέσεως καθαρεύειν τὸ θεῖον. καὶ κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τούτου, μήτε διὰ τῆς τοῦ υἱοῦ προσηγορίας τὴν ἁπλότητα τῆς οὐσίας σημαίνειν, μήτ' αὐτὴν ἁπλότητα παριστᾶν τὸ τοῦ υἱοῦ σημαινόμενον. ἀλλ' ἐκ τούτου μὲν, τὴν ἐκ τοῦ πατρὸς ὑπόστασιν φανεροῦσθαι· ἐκ δὲ τοῦ ἁπλοῦ, ὅπερ ἐμφαίνει ἡ τοιαύτη φωνή. ἐπεὶ οὖν ὁ μὲν τῆς κατ' οὐσίαν ἁπλότητος λόγος, εἷς καὶ ὁ αὐτὸς, καὶ ἐπὶ πατρὸς λέγηται καὶ ἐπὶ υἱοῦ, οὔτε ὑφέσει τινὶ, οὔτε πλεονασμῷ διαλλάττων. τὸ δὲ γεννητὸν τῷ ἀγεννήτῳ, πολλὴν κατὰ τὸ σημαινόμενον τὴν διαφορὰν ἔχει· τοῦτο γάρ ἐστιν ἐν τῷ ἑτέρῳ τῶν ὀνομάτων νοῆσαι, ὃ ἐν τῷ ἄλλῳ οὐκ ἔστι. διὰ τοῦτο φαμὲν μηδεμίαν ἀνάγκην εἶναι ἀγεννήτου ὄντος τοῦ πατρὸς. ἐπειδὴ ἁπλῆ ἐστιν αὐτοῦ ἡ οὐσία, ἀγεννησίαν λέγεσθαι αὐτοῦ τὴν οὐσίαν. οὐδὲ γὰρ ἁπλοῦ ὄντος τοῦ υἱοῦ, τοῦ αὐτοῦ καὶ γεννητοῦ εἶναι πεπιστευμένου, ἁπλότητα λέγομεν τὴν οὐσίαν. ἀλλ' ὥσπερ ἁπλῆ ἐστιν ἡ οὐσία καὶ οὐχ ἁπλότης, οὕτως καὶ ἀγέννητός ἐστιν ἡ οὐσία καὶ οὐκ ἀγεννησία. τὸν αὐτὸν τρόπον γεννητοῦ ὄντος καὶ τοῦ υἱοῦ, πάσης ἀνάγκης ὁ λόγος κεχώρισται, ἐπειδὴ ἁπλῆ ἐστιν αὐτοῦ ἡ οὐσία, γέννησιν αὐτοῦ τὴν οὐσίαν ὁρίζεσθαι. ἀλλὰ καὶ ἐν τούτῳ ἰδίαν ἔμφασιν ἑκάτερα τῶν ὀνομάτων ἔχει. ἥ τε γὰρ τοῦ γεννητοῦ προσηγορία, τὸ ἔκ τινος εἶναι παρίστησι, καὶ τῷ ἁπλοῦν, τὸ ἀπηλλάχθαι συνθέσεως. ἀλλ' οὐ ταῦτα κἀκείνοις δοκεῖ· βούλονται γὰρ ἐπειδὴ ἁπλῆ τοῦ πατρός ἐστιν ἡ οὐσία, μὴ ἄλλο τι ἢ ἀγεννησίαν αὐτὴν εἶναι νομίζεσθαι, διότι καὶ ἀγέννητος λέγεται. πρὸς οὓς καὶ τοῦτό ἐστιν εἰπεῖν, ὅτι ἐπειδὴ καὶ κτίστην τὸν πατέρα καὶ δημιουργὸν ὀνομάζουσιν· ἁπλοῦς δὲ κατ' οὐσίαν ἐστὶν ὁ ταῦτα ὀνομαζόμενος· ὥρα τοῖς σοφοῖς τούτοις κτίσιν καὶ δημιουργίαν τὴν οὐσίαν τοῦ πατρὸς ἀποφαίνεσθαι. ἐπείπερ πᾶσαν σημασίαν τοῦ περὶ αὐτὸν λεγομένου ὀνόματος, ὁ τῆς ἁπλότητος λόγος εἰς τὴν οὐσίαν ἀνάγει. ἢ τοίνυν χωρησάτωσαν τοῦ ὁρισμοῦ τῆς θείας οὐσίας τὴν ἀγεννησίαν, ἐπὶ μόνης τῆς ἰδίας ἐμφάσεως μένουσαν, ἢ εἴπερ διὰ τὴν ἁπλότητα τοῦ ὑποκειμένου τῇ ἀγεννησίᾳ τὴν οὐσίαν ὁρίζοιντο,

A filium autem ex Deo Deum eſſe, ipſumque ſimplicē credere oportere arbitramur: quia quod Deus eſt, ab omni concretione purum eſt. Atque eodem modo etiam in hoc, neque per filij appellationem ſimplicitatem eſſentiæ ſignificare, neque per ipſam ſimplicitatē filij ſignificatū repræſentare: ſed ex hoc quidem, nēpe filij nomine, quæ ex patre eſt ſubſiſtentia manifeſta fiat: ex ſimplici verò, id quod vox talis declarat. Quoniam igitur ſimplicitatis quæ eſt ſecundùm eſſentiam ratio quidem vna & eadem & in Patre, & in Filio dicatur, ne- B que imminutione aliqua, neque redundantia differens. Genitum autem ab ingenito ſecundùm ſignificatum multum differat: hoc enim in altero nominum licet intelligere, quod in altero non eſt: Propterea dicimus, nullā neceſſitatem eſſe, cùm ſit ingenitus pater, quoniā eius eſſentia ſimplex eſt, ἀγεννησίαν (ingenerationem) dici eius eſſentiā. Neque enim, ſimplex cum ſit filius, & idem genitus creditus, ſimplicitatem eius dicimus eſſentiam. Sed quemadmodum ſimplex eſt eſſentia & non ſimplicitas, ſic & eſſentia ingenita, & non ἀγεννησία, ingene- C ratio. Eodem modo cùm ſit etiam genitus filius, ab omni neceſſitate ſoluta eſt oratio: quoniam ſimplex eſt ipſius eſſentia, eſſentiam eius generationem eſſe, definire. Verùmetiā hic propriam ſignificationē vtraque nomina habent. Nam & geniti appellatio ex aliquo eſſe tibi animo ſubijcit: & quà ſimplex dicitur, id quod à compoſitione alienum eſt & liberum. Sed hæc illis non videntur: volunt enim, quoniam ſimplex eſt patris eſſentia non aliud quid, quàm ἀγεννησίαν (ingenerationem) ipſam eſſe exiſtimari. Ideóque & ingenitus dicitur. Ad quos & hoc licet dicere, quòd quo- D niam etiam patrem creatorem & conditorem nominant: ſimplex autem eſt ſecundùm eſſentiā, qui iis nominibus vocatur; iam tempus eſt vt iſti ſapientes creaturam & opificium patris eſſentiam pronuncient. Siquidem omnem ſignificantiam nominis quod in eo dicitur, ſimplicitatis oratio ad eſſentiam reducit. Vel igitur à definitione diuinæ eſſentiæ ἀγεννησίαν, id eſt, ingenerationem, ſeparent, in ſola propria & genuina ſignificatione manentem, vel ſi propter ſimplicitatem ſubiecti τῇ ἀγεννησίᾳ, non geniti ratione, eſſentiam definiant,

propter eamdem cauſam & creaturam, & opificium in patris eſſentia contemplentur, perinde ac ſi virtus quæ eſt in eſſentia, non creet & moliatur, ſed ipſa virtus & poteſtas intelligatur creatura & opificium. Quod ſi hoc abijciunt vt improbum & abſurdum, perſuadeantur ex conſecutione, etiam vna cum hoc illum ſermonem repudiare: vt enim opificium non eſt opificis eſſentia; ſic neque ἀγεννησία (ingeneratio) ingeniti eſſentia. Compendij autem & diluciditatis gratia, rurſus eumdem reſumamus ſermonem, niſi propterea quòd non genitus eſt, ſed quia ſimplex & incompoſita ſit eſſentia, Pater B ingenitus dicetur; ob eamdem cauſam etiam filius ingenitus exiſtimabitur. Eſſentia enim etiam hic eſt vniformis & compoſitionis exſors. Quòd ſi filium, quoniam genitus eſt, genitum neceſſario confitebimur, perſpicuum quod etiam patrem, quoniam non genitus eſt, dicemus ingenitum. Quod ſi hoc & veritas & poſitorum ſeries conſequens cogit, liquidò conſtat ingenitum non eſſe nomen eſſentiæ, ſed differentiæ alicuius, eorum quæ intelliguntur, ſignificatiuum, quæ quod eſt C genitum à non genito facit diſcrepare. Deinde hoc etiam præterea quæ ſunt dicta exquiramus. Si nomen hoc ingenitum ſubſtantiam aiunt ſignificare, & non abſque cauſa patrem ſubſiſtentiam habere, quo nomine abſque cauſa patrem eſſe conſtituent, cùm ἀγεννησία ad eſſentiæ indicationem ab ipſis ſit ordinata? Si enim differentiam quæ ſubſiſtentias disiungit, ingeniti voce non docemur, ſed ipſius naturæ hanc iudicem eſſe opinabimur, velut à re ſubiecta quodammodo effluentem, per ſyllabarum enunciatio- D nem explicantem quod quæritur: omninò neceſſe eſt vel non eſſe Deum ingenitum, vel non dici: cùm nulla ſit vox quæ talem ſignificationem propriè & ſeparatim in eo præbeat. Nam cùm nomen ἀγεννησίας, ſicut iſti aſſerunt, abſque cauſa eſſe non ſignificet, ſed naturam iudicet: in contrarium prorſus eorum ſophiſma ſiue cauillum contorquebitur, & inuenietur ab eorum dogmate quod ingenitum eſt in Deo effugere. Cùm enim nullum aliud verbum

A διὰ τὴν αὐτὴν αἰτίαν καὶ τὴν κτίσιν καὶ τὴν δημιουργίαν τῇ τοῦ πατρὸς οὐσίᾳ ἐνθεωρεῖσθαι. ὡς οὐχὶ κτιζούσης καὶ δημιουργούσης τῆς ἐν τῇ οὐσίᾳ δυνάμεως, ἀλλ' αὐτῆς τῆς δυνάμεως κτίσμα καὶ δημιούργημα νοουμένης. εἰ δὲ τοῦτο ἀποβάλλονται ὡς πονηρόν τι καὶ ἄτοπον, πειθέσθωσαν ἐκ τῆς ἀκολουθίας κἀκεῖνον τούτῳ συναποβάλλειν τὸν λόγον. ὡς γὰρ οὐκ ἔστι δημιούργημα τοῦ δημιουργοῦ οὐσία, οὕτως οὐδὲ ἀγεννησία ἡ τοῦ ἀγεννήτου οὐσία. συντομίας δὲ χάριν καὶ σαφηνείας, πάλιν τὸν αὐτὸν ἐπαναληψόμεθα λόγον. εἰ μὴ διὰ τὸ μὴ γεννηθῆναι, ἀλλὰ διὰ τὸ ἁπλῆ καὶ ἀσύνθετος οὐσία ὁ πατὴρ εἶναι, ἀγέννητος λέγεται. B διὰ τὴν αὐτὴν αἰτίαν καὶ ὁ υἱὸς ἀγέννητος νομισθήσεται· οὐσία γὰρ καὶ οὗτός ἐστι μονοειδὴς καὶ ἀσύνθετος. εἰ δὲ τὸν υἱὸν ἐπεὶ ἐγεννήθη γεννητὸν ἐξ ἀνάγκης ὁμολογήσομεν, δῆλον ὅτι καὶ τὸν πατέρα, ἐπεὶ οὐκ ἐγεννήθη, προσερεῦμεν ἀγέννητον. εἰ δὲ τοῦτο, ἥ τε ἀλήθεια καὶ ἡ τῶν τεθέντων ἀκολουθία καταναγκάζει, πρόδηλον ὅτι οὐχὶ οὐσίας ἐστὶ τὸ ἀγέννητον ὄνομα, ἀλλὰ διαφορᾶς τινὸς νοημάτων σημαντικόν, τῆς τὸ C γεννηθὲν τοῦ μὴ γεννηθέντος διαστελλούσης. εἶτα καὶ τοῦτο τοῖς εἰρημένοις προσεξετάσωμεν. εἰ τὸ ἀγέννητον ὄνομα φασὶ τὴν οὐσίαν σημαίνειν, καὶ μὴ τὸ ἄνευ αἰτίας τὴν ὑπόστασιν ἔχειν, ποίῳ ὀνόματι τὸ ἄνευ αἰτίας εἶναι τὸν πατέρα συστήσουσι; τῆς ἀγεννησίας εἰς τὴν τῆς οὐσίας ἔνδειξιν παρ' αὐτῶν ἀποτεταγμένης. εἰ γὰρ μὴ τὴν διασταλτικὴν τῶν ὑποστάσεων διαφορὰν διὰ τῆς τοῦ ἀγεννήτου φωνῆς διδασκόμεθα, ἀλλ' αὐτῆς τῆς φύσεως ἐνδεικτικὴν εἶναι ταύτην ὑπολαμβανόμεθα, οἷον ἀπορρέουσάν πως D τοῦ ὑποκειμένου πράγματος, καὶ διὰ τῆς τῶν συλλαβῶν ἐκφωνήσεως ἐκκαλύπτουσαν τὸ ζητούμενον, ἀνάγκη πᾶσα ἢ μὴ εἶναι τὸν Θεὸν ἀγέννητον, ἢ μὴ λέγεσθαι, μηδεμιᾶς φωνῆς τὴν τοιαύτην ἔμφασιν ἰδιαζόντως ἐπ' αὐτοῦ παρεχομένης. τῆς γὰρ ἀγεννησίας, καθὼς οὗτοι φασίν, οὐ τὸ ἄνευ αἰτίας εἶναι διασημαινούσης, ἀλλὰ τὴν φύσιν ἐνδεικνυμένης, περιτραπήσεται πάντως αὐτοῖς πρὸς τοὐναντίον τὸ σόφισμα, καὶ εὑρεθήσεται διαφεύγειν τοῦ δόγματος αὐτῶν ἐπὶ τοῦ Θεοῦ τὸ ἀγέννητον. μηδενὸς γὰρ ἑτέρου ῥήματος

ἢ ὀνόματος τὸ μὴ γεννηθῆναι τὸν πατέρα παριστῶντος, τοῦ δὲ ἀγεννήτου κατὰ τὴν σοφίαν αὐτῶν, ἄλλο τι καὶ οὐχὶ τὸ μὴ γεγεννῆσθαι διερμηνεύοντος, οἴχεται καὶ συνεῤῥύη πρὸς τὸν Σαβέλλιον αὖθις καταλισθήσας ὁ λόγος. ἀνάγκη γὰρ πᾶσα διὰ τῆς ἀκολουθίας ταύτης, τὸν αὐτὸν εἶναι νομίζεσθαι τῷ υἱῷ τὸν πατέρα, τῆς κατὰ τὸ γεννητὸν καὶ ἀγέννητον διαφορᾶς ἐκ τοῦ δόγματος αὐτῶν ἐκκλαπείσης. ὥστε δυοῖν θάτερον, ἢ μεταθήσονται τὴν περὶ τοῦ ὀνόματος δόξαν, ὡς διαφορὰν τῆς ἑκατέρου ἰδιότητος, καὶ οὐχὶ φύσιν σημαίνοντος, ἢ παραμένοντες τοῖς ἐγνωσμένοις, περὶ ταύτης τῆς φωνῆς Σαβελλίῳ συνθήσονται. οὐ γάρ ἐστιν ὅπως ἡ τῶν ὑποστάσεων διαφορὰ τὸ ἀσύγχυτον ἕξει, μὴ τοῦ γεννητοῦ διαστελλομένου πρὸς τὸ ἀγέννητον. ὥστε εἰ μὲν διαφορὰν σημαίνει τὸ ὄνομα, ἡ οὐσία ἔσται διὰ τῆς προσηγορίας ταύτης ἀσήμαντος. ἄλλος γὰρ τῆς διαφορᾶς καὶ ἕτερος τῆς οὐσίας ὁ λόγος. εἰ δὲ πρὸς τὴν φύσιν τὴν σημασίαν τῆς φωνῆς καθέλκουσιν, εἰς τὴν τῶν υἱοπατόρων λεγομένων ἀπάτην ἀκολούθως ὑποσυρήσονται, τῆς κατὰ τὰς ὑποστάσεις τρανότητος ὑποσυρείσης τοῦ λόγου. εἰ δὲ λέγοιεν κωλύειν μηδὲν καὶ τὴν πρὸς τὸ γεννητὸν ἀντιδιαστολὴν ἐκ τῆς ἀγεννησίας σημαίνεσθαι, καὶ αὐτὴν παριστᾶν τὴν οὐσίαν, διαστειλάτωσαν ἡμῖν τὰς προσφυεῖς τοῦ ὀνόματος σημασίας, ὡς δύνασθαι κυρίως ἁρμόζειν πρὸς ἑκατέραν διαχθεῖσαν τοῦ ἀγεννήτου τὴν ἔννοιαν. ἡ μὲν γὰρ τῆς διαφορᾶς ἐκ τοῦ ὀνόματος δήλωσις, ἀμφιβολίαν οὐκ ἔχει, τῷ τῆς ἀντιδιαστολῆς λόγῳ συνισταμένη. ἀντὶ γὰρ τοῦ γεγέννηται ὁ υἱός, καὶ οὐ γεγέννηται ὁ πατήρ, τὸν μὲν ἀγέννητον, τὸν δὲ γεννητὸν λέγεσθαι κατά τινα ῥημάτων παρωνυμίαν, καὶ ἡμεῖς συντιθέμεθα. ἡ δὲ τῆς οὐσίας δεῖξις ἐκ ποίας διανοίας διὰ τοῦ προς ῥήματος τούτου σαφηνισθήσεται, εἰπεῖν οὐκ ἂν ἔχοιεν· ἀλλὰ τοῦτο σιωπήσας ὁ καινὸς θεολόγος, ἑτέραις ἡμῖν φλυαρίαις ἐπὶ τῆς προλαβούσης λογογραφίας εἱρμὸν διέξεισιν. ὅτι ἁπλοῦς φησιν ὢν ὁ Θεὸς, ἀγέννητος λέγεται, διὰ τοῦτο ἀγεννησία ἐστὶν ὁ Θεός. τί κοινὸν ὁ τῆς ἁπλότητος ἔχει λόγος πρὸς τὴν τοῦ ἀγεννήτου διάνοιαν; καὶ γὰρ καὶ ὁ μονογενὴς, καὶ γεννητός ἐστι, καὶ ἁπλοῦς εἶναι οὐκ ἀμφιβάλλεται· ἀλλὰ καὶ ἀμερής φησι καὶ ἀσύνθετος. τί καὶ τοῦτο πρὸς τὸ ζητούμενον;

A vel nomen ingenitum eſſe patrem animo repræſentet, & ingeniti nomen ſecundùm ipſorum ſapiẽtiam aliud quiddam quàm non genitum eſſe ſignificet, ad Sabellium abit & confluit eorum delabens ſermo. Omnino enim neceſſe eſt ex hac conſequentia patrem cum filio eumdem eſſe exiſtimari, ſi geniti & ingeniti differentia ex eorum dogmate ſublata fuerit. Ita vt duorum alterum, vel quam habent de hoc nomine opinionem retractabunt, vtpotè quod differentiam vtriuſq. proprietatis non naturam ſignificet: vel in ſuis decretis permanentes, B circa hanc vocem Sabellio adſtipulabuntur. Non enim eſt quomodo hypoſtaſeωn differẽtia, id quod in confuſum eſt habeat, ſi ea quę eſt geniti cum ingenito differẽtia non diſtinguatur. Quare ſi nomen differẽtiam ſignat, eſſentia per appellationem iſtam minimè ſignificabitur. Alia enim differentię, & alia eſſentiæ ratio. Quod ſi ad naturam vocis ſignificantiam detorquent, ad Hæreticorum qui υἱοπάτορες dicuntur, qui filium & patrem, eamdem eſſe perſonam aſſerunt, errorem pertrahentur, ſermonis perſpicuitate quoad perſonas C diuinas, ſubtracta. Quod ſi dicant nihil prohibere per ἀγεννησίαν, ingeniti cum genito differentiã ſignificari, & eam quoque vocem eſſentiam repræſentare: nobis diſtinguant cognatas nominis ſignificationes, ita vt poſſint propriè congruere vtrique bifariam diuiſæ ingeniti notioni. Nam differentiæ quæ eſt ex nomine declaratio, ambiguitatem non habet, cùm oppoſitæ differentiæ oratione conſtituitur: ſiquidem pro eo quod dicitur genitus eſt filius, & non genitus eſt pater, hunc quidem ingenitum, illum verò genitum dici ſecundùm quandam verborum denominationem, nos etiam D aſſentimur. Eſſentiæ autẽ indicatio ex qua intelligentia per hoc verbum declarabitur, non poſſent dicere: ſed hoc ſilentio inuoluens nouus Theologus, alias nobis nugas in præcedente ſcriptione nectens perſequitur. Quia ſimplex cùm ſit Deus, ingenitus dicitur, proptereà ἀγεννησία Deus eſt. Quid habet commune ſimplicitatis ſermo cum notitia non geniti? Etenim vnigenitus & genitus eſt, & ſimplex eſſe non ambigitur: ſed etiam indiuiduus, partibus carens & incompoſitus. Quid etiam hoc ad id quod quæritur?

neque enim filius multiformis & compoſitus, non tamen propterea ingenitus. Sed, inquit, quantitatis omniſque magnitudinis expers eſt: hæc ita ſint. Etenim filius quantitate definiri non poteſt nec circumſcribi, & quantitatis omnis eſt expers, & nihilominus filius. Sed hoc non eſt quod in quæſtionem cadit: propoſitum eſt enim demonſtrare qua ingeniti ſignificatione eſſentia dignoſcitur: vt enim ex hac voce proprietatum differentiæ ratio eſt comprehenſa, ſic volebant ambiguam eſſe etiam naturæ indicationem ex aliquo eorum quæ per eamdem hanc appellationem ſignificantur. At hoc tacitus præterit. Dicit autem non ex mentis commento ingeniti vocem de Deo celebrandã eſſe. Quæ enim ſic dicta ſunt, inquit, cum vocibus ipſis diſſolui ſolent. Quid autem eorum quæ dicuntur, non ſimul ac dictum eſt etiam diſſoluitur? Non enim quemadmodum hi qui vaſa ex argilla fingunt, vel lateres, ſecundùm ſemel in ore factam orationis formationem, quæ voce proferuntur indiſſoluta ſeruabimus. Sed ſimulatque vocis ſono prolatus eſt ſermo, etiam quod dictum eſt, non eſt: rurſus enim in aërem vocis ſpiritu diſſlato nullum dictorum veſtigium impreſſum eſt in loco in quo vocis facta eſt diffuſio. Ita vt ſi ex eo ſermonem, qui fit per commentationem, figurat, quòd eiuſmodi ſermo poſt prolationem non maneat, ſed ſimul cum loquentis voce euaneſcat, non etiam effugiet, omnem ſermonem nominans commentationem, cùm nullus ſit ſermo in quo vlla poſt prolationem permaneat ſoliditas. Neque enim ipſam ἀγεννησίαν, quam ex commentatione eripit, indiſſolubilem & fixam poſt prolatum ſermonem oſtendere poterit, cùm per ſonum dictio ex ore prolata in aëre non permaneat. Et ſic dictorum eius futilitatem & inſtabilitatem quis intellexerit, quia etiamſi tacuerimus, tamen animi notiones literis mandamus: non tamen ea quæ verè ſubſiſtunt animi ſenſa, per literas ſignificationem accipient. Quod autem nequit ſubſiſtere, declaratione quæ fit per literas carebit. Quicquid enim in mentem venerit, ſiue intelligentia ſubſiſtat, ſiue aliter habeat, licet pro iure & arbitratu literis committere. Idem autem eſt ad declarationem mentis,

A οὐδὲ γὰρ ὁ υἱὸς πολυειδὴς καὶ συγκείμενος, ἀλλ' ὅμως οὐ διὰ τοῦτο ἀγέννητος. ἀλλὰ καὶ ποσότητός, φησι, καὶ πηλικότητος ἠλλοτρίωται· ἔστω καὶ ταῦτα. καὶ γὰρ καὶ ὁ υἱὸς ἀπερίοριστος τῷ πηλίκῳ καὶ ἄποσος, καὶ ὅμως υἱός. ἀλλ' οὐ τὸ ζητούμενον τοῦτό ἐστι· πρόκειται γὰρ ἀποδειχθῆναι κατά τινα τοῦ ἀγεννήτου σημασίαν ἡ οὐσία γνωρίζεται· ὡς γὰρ ἐκ τῆς φωνῆς ταύτης ὁ τῆς τῶν ἰδιωμάτων διαφορᾶς κατελήφθη λόγος, οὕτως ἠξίουν ἀμφίβολον εἶναι καὶ τοῦ εἶναι τὴν ἔνδειξιν, ἔκ τινος τῶν σημαινομένων διὰ τῆς αὐτῆς ταύτης προσηγορίας.

B ἀλλὰ τοῦτο μὲν σιωπᾷ. λέγει δὲ μὴ δεῖν κατ' ἐπίνοιαν ἐπιφημίζεσθαι τῷ Θεῷ τὸ ἀγέννητον. τὰ γὰρ οὕτω λελεγμένα ταῖς φωναῖς, φησί, συνδιαλύεσθαι πέφυκε. τί δὲ τῶν λεγομένων οὐχ ὁμοῦ τῷ λεχθῆναι καὶ διαλύεται; οὐ γὰρ ὥσπερ κεραμεύοντες ἢ πλινθευόμενοι κατὰ τὴν ἅπαξ γενομένην ἐν τῷ στόματι τοῦ λόγου τύπωσιν, ἀδιάλυτα φυλάξομεν τὰ διὰ τῆς φωνῆς προφερόμενα, ἀλλ' ὁμοῦ τε προσενήνεκται διὰ τοῦ φθόγγου ὁ λόγος, καὶ τὸ ῥηθὲν οὐκ ἔστι. πάλιν γὰρ πρὸς τὸν ἀέρα τοῦ τῆς

C φωνῆς πνεύματος ἀναχυθέντος, οὐδὲν ἴχνος τῶν εἰρημένων ἐτυπώθη τῷ τόπῳ ἐν ᾧ γέγονε τῆς φωνῆς ἡ ἀνάχυσις. ὥστε εἰ τούτῳ τὸν κατ' ἐπίνοιαν λόγον χαρακτηρίζει, τῷ μὴ μένειν λόγον, ἀλλὰ τῇ φωνῇ τοῦ φθεγγομένου συναφανίζεσθαι, οὐκ ἂν φθάνοι πάντα λόγον ὀνομάζων ἐπίνοιαν, μηδεμιᾶς ὑποστάσεως ἐν οὐδενὶ λόγῳ μετὰ τὴν προσφορὰν διαμενούσης. οὐδὲ γὰρ αὐτὴν τὴν ἀγεννησίαν ἣν ἐξαιρεῖ τῆς ἐπινοίας, ἀδιάλυτον καὶ παγίαν μετὰ τὸ προενεχθῆναι δεῖξαι δυνήσεται, τῆς προενεχθείσης διὰ τοῦ φθόγγου

D ῥήσεως ἐκ τοῦ στόματος ἐν τῷ ἀέρι μὴ συμμενούσης. καὶ οὕτω δ' ἄν τις μάθοι τὸ τῶν εἰρημένων ἀσύστατον· ὅτι κἂν σιωπῶντες τὰς τῆς ψυχῆς ἐννοίας ἀπογραφώμεθα, οὐ τὰ μὲν ὑφεστῶτα τῶν νοημάτων τὴν διὰ τῶν γραμμάτων σημείωσιν δέξεται, τὸ δὲ ἀσύστατον ἀμοιρήσει τῆς ἐν τοῖς γράμμασι σημειώσεως. ἔξεστι γὰρ πᾶν ὅτι περ ἂν ἐπὶ νοῦν ἔλθῃ, κἂν ὑφίσταται κατὰ τὴν σύνεσιν, κἂν ὡς ἑτέρως ἔχῃ κατ' ἐξουσίαν ἐναποθέσθαι τῷ γράμματι. ταὐτὸν δὲ εἰς φανέρωσιν διανοίας ὁ φθόγγος ἐστί,

τῷ γράμματι. ἐπίσης γὰρ δι' ἑκατέρου τὸ νοηθὲν ἐξαγγέλλομεν. πρὸς τί τοίνυν ὁρῶν μόνῃ συνδιαλύει τῇ φωνῇ τὴν ἐπίνοιαν, συνιδεῖν οὐκ ἔχω. παντὸς γὰρ λόγου τοῦ διά τινος ἤχου προφερομένου, τοῦ μὲν πνεύματος τοῦ τὴν φωνὴν διαπορθμεύσαντος πρὸς τὸ συγγενὲς, ἡ μεταχώρησις γίνεται. ὁ δὲ τῶν ῥηθέντων νοῦς διὰ τῆς ἀκοῆς τῷ μνημονικῷ τῆς τοῦ ἀκούοντος ψυχῆς ἐγχαράσσεται, εἴτε ἀληθὴς εἴτε διεσφαλμένος τύχοι. οὐκοῦν ψυχρὰν τῆς ἐπινοίας ὁ λογογράφος ἡμῖν τὴν ἑρμηνείαν ταύτην προτείνεται, τῇ διαλύσει τῆς φωνῆς χαρακτηρίζων καὶ ὁριζόμενος. καὶ τούτου χάριν ὁ συνετὸς ἀκροατὴς ἐκεῖνος, καθὼς φησὶν Ἡσαΐας, παραγράφεται μὲν τὴν ἀδιανόητον ταύτην τῆς ἐπινοίας φυσιολογίαν, ὄντως διαλυτὴν αὐτὴν καὶ ἀνυπόστατον ἀποδείξας κατὰ τὸν τούτου λόγον. τεχνολογεῖ δὲ περὶ τῆς ἐγκειμένης τῇ λέξει δυνάμεως διὰ τῶν γνωρίμων ὑποδειγμάτων, τῇ περὶ τῶν δογμάτων θεωρίᾳ προσβιβάζων τὸν λόγον, πρὸς ὃν ὁ ΕΥνόμιος, διὰ τῆς σεμνῆς ταύτης λογογραφίας ἑαυτὸν ἀντεπαίρων, ἀναλύειν ἐπιχειρεῖ τὰ περὶ τῆς ἐπινοίας διηρθρωμένα, τοῦτον τὸν τρόπον. ἄμεινον δὲ ἴσως πρὶν διευθῦναι τὰ γεγραμμένα, τὸν σκοπὸν ἐξετάσαι, τί βουλόμενος ἀποφεύγει τὸ κατ' ἐπίνοιαν ἐπιλέγεσθαι τῷ Θεῷ τὸ ἀγέννητον. δόγμα κοινὸν ἐπὶ πάντων τῶν παραδεδεγμένων τὸν λόγον τῆς εὐσεβείας κεκράτηκε, τὸ πᾶσαν ἐν τῷ Χριστῷ τὴν ἐλπίδα τῆς σωτηρίας δεῖν ἔχειν. ὡς οὐκ ἐνδεχόμενον ἄλλως ἐν ἀγαθοῖς γενέσθαι, μὴ τῆς εἰς Χριστὸν πίστεως παρεχούσης τὸ σπουδαζόμενον. ταύτης δὲ τῆς διανοίας παγίως ταῖς ψυχαῖς τῶν πεπιστευκότων ἐρηρεισμένης, καὶ πάσης τιμῆς τε καὶ λατρείας καὶ δόξης τῷ μονογενεῖ Θεῷ παρὰ πάντων ὡς ἀρχηγῷ τῆς ζωῆς ἀνακειμένης, τῷ ποιοῦντι τὰ τοῦ πατρὸς ἔργα, καθὼς αὐτὸς ὁ κύριος ἐν τῷ εὐαγγελίῳ φησί, καὶ μηδεμιᾶς κατὰ πᾶσαν ἀγαθοῦ πράγματος ἔννοιαν ὑπερβολῆς ἐλαττουμένῳ, οὐκ οἶδα πόθεν παρακινηθέντες δυσμενείᾳ καὶ φθόνῳ τῆς τοῦ κυρίου τιμῆς, καθάπερ ζημίαν ἑαυτοῖς κρίνοντες τὴν γινομένην τῷ μονογενεῖ Θεῷ παρὰ τῶν πεπιστευκότων προσκύνησιν, ἀντεροῦσι ταῖς θείαις τιμαῖς καὶ πείθειν ἐπιχειροῦσιν, ὡς οὐδὲν τῶν περὶ αὐτοῦ λεγομένων ἀληθῶς λέγεται. οὔτε γὰρ Θεὸς κἂν ὀνο-

A ſonus quod literæ; ex æquo enim per vtraque quod animo & mente conceptum eſt, enunciamus. Quid igitur cernens ſola cum voce animi notionem diſſoluit, nō poſſum intelligere. Omnis enim ſermonis qui aliquo ſono profertur, ſpiritus quidem qui vocem tranſmittit, ad id quod ſibi cognatum eſt, fit tranſmigratio: Dictorum autem ſententia & mens per auditum in audientis memoria imprimitur, ſiue vera, ſiue falſa fuerit. Quamobrem iſte ſcriptor nobis hanc commentationis frigidam interpretationem obtendit, dum eam vocis diſſolutione figurat & definit. B Atque huius gratia intelligens ille auditor, ſicut ait Eſaias, incogitabilem hanc ἐπινοίας (commentationis) phyſiologiam expungit, verè diſſolubilem & quę conſiſtere omnino non poteſt, demonſtrans ſecundùm eius ſermonem. Artificioſè autem de vi in dictione poſita diſſerit, exemplis notis; ac per dogmatum ſpeculationem ſermonē producit. Contra quem Eunomius, per hanc venerandam ſermonum ſcriptionē ſeipſum efferens, quę de commentatione dilucidè sūt explicata, diſſoluere conatur ad hūc C modū. Sed præſtat fortaſſe priuſquàm quæ ſunt ſcripta ad normam exigantur, ſcopum examinare, qua mente fugit ingeniti nomen de Deo dici κατ' ἐπίνοιαν, id eſt, ex mentis cōmentatione. Fides hæc communis in omnibus qui verbum acceperunt pietatis præualuit, omnem ſalutis ſpem in Chriſto habendam eſſe. Quòd non cōtingat aliter in bonis eſſe, id eſt, æternam felicitatem adipiſci, ſi in Chriſtum fides nō præbeat quod expetitur. Cùm autem hæc ſentētia firmiter credentium animis ſit defixa, & honos omnis & cultus, & gloria vnigenito Deo D vt vitæ principi ſint repoſita, qui patris opera operatur, ſicut ipſe Dominus in Euangelio dicit, quiq. nulla ſecundùm omnem rei bonæ notitiam exuperantia inferior eſt Patre: neſcio vnde cōmoti infeſto odio & inuidia honoris Domini tamquam damnū & detrimentum ſibi ipſis iudicantes, eam quę exhibetur vnigenito Deo ab his qui crediderunt adorationē, eius diuinis honoribus contradicunt, & perſuadere conantur, quod nihil eorū quæ de ipſo dicūtur, verè dicuntur. Neque enim tametſi Deus quo-

Baſilium intelligit.

Ioan. 10.

dammodo à ſcriptura nominatur, verus eſt Deus; neq. licet filius dicitur, veram habet, quæ hac appellatione declaratur, naturam: neque dignitatis, neque naturæ ipſi cum patre eſt aliqua communitas, neq. enim fieri poſſe, vt ei qui genitus eſt, cum eo qui fecit, par honor ſecundùm dignitatem, vel potentiã, vel naturã adſit. Propterea quòd patri quidem indefinita eſt vita, atque ex æternitate exiſtentia, filio verò modo quodam circumſcripta eſt vita, quia nempe principiũ illud, in quo genitus eſt, vitæ eius proceſſum in anterius terminet, & ad Patris æternitatem ſimul extendi prohibeat. Ita vt etiam huic vita imperfecta nec integra fuiſſe exiſtimetur. Et Patrem nõ ſemper fuiſſe quod nunc eſt & dicitur, ſed alter cum prius eſſet, poſtea deliberaſſe vt pater fieret, imò verò vt non fieret, ſed vt vocaretur. Neque enim filij pater ſecundùm veritatem nominatus eſt, ſed creaturæ nomen in filij appellationem ſuppoſitum eſt. Omnino enim, aiunt, quod poſterius eſt ab antiquiore; & quod definitũ eſt ab æterno; quod ſecundùm voluntatem eius', qui fecit genitum eſt, ab ipſo qui fecit & poteſtate, & dignitate, & natura præcipuóque iure temporis, omnibúſque aliis honoris prærogatiuis neceſſario ſuperari. A quo autem quod perfectum eſt in diuinioribus opinionibus abeſt, quo quis modo hoc veri Dei honoribus iure ac meritò excoluerit? Sic ex his ab ipſis præſtruitur, filium quidem imperfectum poteſtate, deſtitutum vitæ perfectione, potenti ſubiectum, nihil à ſeipſo facientem, præterquam ſi quid ſancitur dominãtis imperio: hanc in nullo eſſe honore Deo decoro & exiſtimatione Deo digna credere: ſed Deum quidem nominare, omni tamen magnifica notione vacuum nomen circumferre. Atque ad hæc ſic dicta, ſine rationum momentis & amplexibus ad iram quodammodo exacuit, & auditorem peregrinæ & inſolitæ rei nouitate horrere facit. Quis enim improbũ conſiliarium acceperit, nudè & imparatè euerſionem maieſtatis Chriſti conſulentem? propterea illecebris & lenociniis quibuſdam perſuaſibilib. & fallaciis improbas orationis inſidias circumtegentes, externis ac profanis commentationibus dementes auditores malignè decipiunt & ludificantur. Aliis enim præſtructis

A μάζηταί πως ὑπὸ τῆς γραφῆς, ἀληθινός ἐστι Θεός· οὔτε υἱὸς λεγόμενος, ἐπαληθεύουσαν ἔχει τῇ προσηγορίᾳ τὴν φύσιν, οὔτε ἀξίας, οὔτε φύσεως αὐτῷ πρὸς τὸν πατέρα ἐστὶ τις κοινωνία. μηδὲ γὰρ εἶναι δυνατὸν τῷ γεγεννημένῳ, πρὸς τὸν ποιήσαντα, τὸ κατὰ τὴν ἀξίαν, ἢ τὴν δύναμιν, ἢ τὴν φύσιν ὑπάρχειν ὁμότιμον. διότι τῷ μὲν, ἀόριστος ἡ ζωή, καὶ ἐξ ἀϊδίου ἡ ὕπαρξις. τῷ δὲ υἱῷ, τρόπον τινὰ περιγέγραπται ἡ ζωή, τῆς ἀρχῆς καθ' ἣν γέγονε περιγραφούσης ἐπὶ τὸ ἄνω τῆς ζωῆς τὴν πρόοδον,
B καὶ τῇ τοῦ πατρὸς ἀϊδιότητι συμπαρατείνεσθαι κωλυούσης· ὥστε καὶ τούτῳ τὴν ζωὴν ἐλλιπῆ νομίζεσθαι· καὶ τὸν πατέρα μὴ ἀεὶ εἶναι ὅπερ νῦν ἐστί τε καὶ λέγεται, ἀλλ' ἕτερον ἐστὶ πρότερον ὄντα, μετὰ ταῦτα βουλεύσασθαι γενέσθαι πατέρα· μᾶλλον δὲ, οὐχὶ δὲ γενέσθαι, ἀλλὰ κληθῆναι. μηδὲ γὰρ υἱοῦ κατὰ ἀλήθειαν ὀνομασθῆναι πατέρα, ἀλλὰ κτίσματος εἰς υἱοῦ κλῆσιν ὑποβληθέντος. πάντως δέ φασι τὸ μεταγενέστερον, τοῦ πρεσβυτέρου· καὶ τὸ ὡρισμένον τοῦ ἀϊδίου. καὶ τὸ κατὰ βούλησιν, τοῦ πεποιηκότος γε-
C γεννημένον, αὐτὸν τοῦ πεποιηκότος δυνάμει τε καὶ ἀξίᾳ, καὶ φύσει, καὶ τοῖς ἐκ χρόνου πρεσβείοις καὶ ἅπασι τοῖς τιμίοις ἐξ ἀνάγκης ἠλαττῶσθαι. οὗ δὲ τὸ τέλειον ἐν ταῖς θειοτέραις τῶν ὑπολήψεων ἄπεστι, πῶς ἄν τις τοῦτον ταῖς τοῦ ἀληθινοῦ Θεοῦ τιμαῖς εὐλόγως ἀποσεμνυνεῖεν; ὡς ἐκ τούτου κατασκευάζεσθαι παρ' αὐτῶν τὸν ἀτελῆ μὲν κατὰ τὴν δύναμιν, ἐλλιπῆ δὲ κατὰ τὴν τῆς ζωῆς τελειότητα, ὑποχείριον δὲ τῷ δυναστεύοντι, ποιοῦντα δὲ μηδὲν ἀφ' ἑαυτοῦ, πλὴν εἴ τι νομοθετεῖται τῷ τοῦ κρατοῦν-
D τος προστάγματι. τοῦτον ἐν μηδεμιᾷ θεοπρεπεῖ τιμῇ τε καὶ ὑπολήψει πιστεύειν εἶναι· ἀλλὰ Θεὸν μὲν ὀνομάζειν, κενὸν δὲ πάσης μεγαλοπρεποῦς ἐννοίας περιφέρειν τὸ ὄνομα. καὶ ἐπὶ ταῦτα οὕτω λεγόμενα δίχα τῆς τῶν λογισμῶν περιβολῆς παροξύνει πως εἰς ὀργήν, καὶ φρίττειν ποιεῖ τῷ ξενισμῷ τὸν ἀκούοντα. τίς γὰρ δέχεται πονηρὸν σύμβουλον, γυμνῶς τε καὶ ἀκατασκεύως τὴν καθαίρεσιν τῆς μεγαλειότητος τοῦ Χριστοῦ συμβουλεύοντα, διὰ τοῦτο παραγωγαῖς τισὶ πιθαναῖς τε καὶ ἀπάταις τὴν πονηρὰν ταύτην ἐνέδραν τοῦ λόγου περικαλύψαντες, ταῖς ἔξωθεν ἐπινοίαις τοὺς ἀνοήτους ἀκροατῶν παραχρεύονται. τὰ γὰρ ἄλλα

κατασκευάσαντες δι' ὧν αὐτὴ δυνατὸν αὐτομάτως ἐπὶ ταῦτα κατασυρῆναι τὴν τῶν ἀκουόντων διάνοιαν, τῷ ἀκροατῇ τὸ πέρας τῆς καταστροφῆς καταλείπουσιν. εἰπόντες γὰρ μὴ εἶναι ταὐτὸν κατὰ τὴν οὐσίαν τὸν μονογενῆ Θεὸν τῷ ἀληθινῷ πατρί, καὶ τοῦτο σοφιστικῶς συμπεράναντες διὰ τῆς τοῦ ἀγεννήτου πρὸς τὸ γεννητὸν ἀντιθέσεως, τὸ ἀπὸ τούτου σιωπῶντες ἐργάζονται, αὐτομάτως διὰ τοῦ ἀκολούθου τῆς ἀσεβείας κρατυνομένης. καὶ ὥσπερ τὸ δηλητήριον ὁ φαρμακεὺς εὐπαράδεκτον ποιεῖ τῷ ἐπιβουλευομένῳ, μέλιτι καταγλυκάνας τὸν ὄλεθρον. καὶ ὁ μὲν ἔδωκε μόνον. τὸ δὲ ἐγκαταμιχθὲν τοῖς σπλάγχνοις, οὐδὲν ἔτι πραγματευομένου τοῦ φαρμακέως τὴν φθορὰν κατεργάζεται. ὅμοιόν τι καὶ παρὰ τούτων γίνεται. ταῖς γὰρ κομψείαις τῶν σοφισμάτων τὸ φθοροποιὸν δόγμα οἷόν τινι μέλιτι καταχρώσαντες, ἐπειδὰν ἐγχέωσι τὴν ἀπάτην τῇ ψυχῇ τοῦ ἀκούοντος, τὴν περὶ τοῦ μὴ εἶναι Θεὸν ἀληθινὸν τὸν μονογενῆ Θεόν· τὰ ἄλλα πάντα τούτῳ καὶ σιωπῶντες συγκατειργάσαντο. τῷ γὰρ πεισθῆναι μὴ ἀληθῶς εἶναι Θεὸν ἐπακολουθεῖ τὸ μηδὲ ἄλλο τι τῶν θεοπρεπῶς περὶ αὐτοῦ λεγομένων ἐν ἀληθείᾳ λέγεσθαι. εἰ γὰρ οὔτε υἱός, οὔτε Θεὸς ἐξ ἀληθείας, ἀλλ' ἐκ καταχρήσεως τούτων ἑκάτερον, πάντως ὅτι καὶ τὰ λοιπὰ τῶν ὀνομάτων οἷς παρὰ τῆς θείας γραφῆς ὀνομάζεται, τῆς ἀληθείας κεχώρισται. οὐ γὰρ δὴ τὸ μέν, ἀληθῶς ἐπ' αὐτοῦ ῥηθήσεται, τὸ δὲ ἀμοιρήσει τῆς ἀληθείας· ἀλλὰ πάντως ἀλλήλοις ἀκολουθήσει πάντα. ὥστε εἰ μὲν ἀληθῶς εἴη Θεός, καὶ κριτήν, καὶ βασιλέα, καὶ τὰ καθ' ἕκαστον τῶν λεγομένων εἶναι ὡς λέγεται. εἰ δὲ ἡ θεότης ψεύδοιτο, μηδὲ ἄλλο τι τῶν περὶ αὐτοῦ ἀληθεύειν. πεισθέντων τοίνυν τῶν ἠπατημένων τὸ ψευδώνυμον ἐπὶ τοῦ μονογενοῦς εἶναι τὴν τῆς θεότητος κλῆσιν· τὸ μηδὲ λατρεύειν, μηδὲ σέβεσθαι, μηδὲ ὅλως τὴν Θεῷ χρεωστουμένην ἀπονέμειν τιμήν, συγκατεσκευάσθαι. ἵνα τοίνυν ἐνεργὸς αὐτοῖς ἡ κατὰ τοῦ σωτῆρος ἐπιχείρησις γένηται, ταύτην εὕροντο τῆς βλασφημίας τὴν μέθοδον, συμβουλεύουσι μὴ δεῖν τὴν ἐν τοῖς ἄλλοις ὀνόμασι κοινωνίαν ἐπισκοπεῖν, δι' ὧν τὸ ὁμότιμον τῆς ἀξίας τοῦ υἱοῦ πρὸς τὸν πατέρα διασημαίνεται· ἀλλ' ἐκ τῆς τοῦ ἀγεννήτου πρὸς τὸ γεννητὸν ἀντιθέσεως, τὸ παρηλλαγμένον τῆς φύσεως συλλογίζεσθαι· τοῦτο γὰρ εἶναι τῆς θείας φύσιν ὅταν

A quibus ſponte ad hęc pertrahi poſſit audientium intelligentia, concluſionem cataſtrophes, ſiue extremum fabulæ actum auditori relinquunt. Nam cum dixerunt non eſſe eumdem eſſentia vnigenitum Deum cum vero patre, & hoc captioſè & fallaciter concluſerunt, per ingeniti cum genito oppoſitionē: quod ex hoc ſequitur tacentes conficiunt, vltro per conſequentiæ rationem impietate præualente. Et quemadmodum veneficus lethale venenum ſumptu facili facit ei quem inſidioſè vult necare, melle exitium edulcans. Atque hic quidem ſolùm dedit: illud autem in viſceribus mixtum, etiamſi nihil aliud agat veneficus, necem operatur & interitum. Quiddam ſimile ab his conficitur: feſtiuis enim argutiarum & captionum inuitamentis dogma mortiferum velut melle quodam illitum, cum in audiētis animum ad fallendum infuderint, nempe vnigenitum Deum non eſſe verum Deum: per hoc alia omnia taciti conficiunt. Nam cùm ſemel perſuaſi fuerint, non verè Deum eſſe hinc conſequitur, neque aliud quicquam eorum quæ de ipſo Deo decorè dicuntur, in veritate dici. Si enim neque filius, neque Deus ex veritate, ſed ex abuſu horum vtrumque, omnino reliqua nomina quibus à diuina ſcriptura nominatur, à veritate ſeparata ſunt: Non ſanè illud quidem in eo verè dicetur, hoc autem veritate carebit: ſed planè omnia ſeſe cōſequentur. Quare Deus ſi hic verè fuerit, & iudicem, & regem, & quæ de ipſo ſingula dicuntur, ſicut dicuntur, eſſe neceſſariū eſt. Quod ſi deitas falsò de eo affirmaretur, neque aliud quicquam eorum quæ de ipſo dicūtur, verè enunciaretur. Perſuaſis igitur illis qui decepti fuerunt, & in fraudē inducti in vnigenito deitatis appellationem falſinominem eſſe; continuò neque eum colendum eſſe, & piè adorandum, neque ei debitum Deo honorem tribuendum eſſe, ſimul præſtructum eſt: vt igitur efficax eſſet cōtra ſaluatorem conatus & aggreſſio, hanc viam & rationem excogitarunt. Non oportere conſulunt, quæ eſt in nominibus communionem conſiderare, quibus par honor dignitatis filij cum patre ſignificatur: ſed ex ingeniti cum genito oppoſitione, naturæ differentiam & diſcrimen ratiocinatione colligere: hoc enim eſſe diuinam naturam quod ne-

men ἀγεννησίας ſignificat. Deinde cùm omnes homines mente præditi fieri non poſſe exiſtiment, vt vlla verborum poteſtate ineffabilis natura enuncietur, cùm etiam neque noſtra cognitio tantum extendatur, vt ad illa quę ſuperant omnia quę cognoſcũtur, peruenire poſſit, neque ſermonum miniſteriũ tantam in nobis poteſtatem ſortitum eſt, vt ſatis eſſe queat ad id quod mente concipitur efferendum, ſiquidem penitus quiddam excelſum & diuinum in mentem venerit. Rurſus iſti ſapientes magnæ inertiæ & diſceptatricis ſcientiæ, imperitiæ multos accuſantes, ipſi ſe hanc ſcire confirmant, & quibus velint profitentur ſe poſſe de his cognitionem inſerere. Atque idcirco dicunt nihil aliud eſſe diuinam naturam quàm ipſa ἀγεννησία, & hanc principaliſſimam & ſupremam, & in ſummo gradu prædicantes, quicquid magnificũ eſt& eximium, de deitate hac voce includunt: ita vt ex hoc conficiatur; ſi ἀγεννησία eſt, id quod principaliſſimum eſt eſſentia, & reliqua omnia quæ Deo conueniunt, hac comprehenſa ſunt & annexa, deitas, poteſtas, incorruptibilitas, & alia omnia. Si igitur hæc & huiuſmodi eſt ἀγεννησία, omnino ſi hoc non dicitur, neque eſt illa: vt enim rationale & riſibile,& ſciẽtiæ capax proprium eſt hominis: quòd ſi amplius, neque eſt homo, neque in proprietatibus naturæ erit: haud ſecus ſi ἀγεννησία eſt vera deitas, cui hoc nomen non competit, neque aliud quicquam eorum quæ deitatem exprimunt, in hoc omnino inuenietur. Si ergo ἀγεννησία de filio nõ dicitur, neq. reliqua excelſa & Deo decora nomina in eo propriè dici præſtructum eſt: hoc igitur eſſe diuinorum myſteriorum comprehenſionem definiunt, nempe filij deitatem ſperni, palam ferè & in propatulo exclamantes omni auditum præbenti, quòd licet tibi ſecundùm cognitionem perfecto eſſe, non credenti vnigenito Deo, quòd ipſe verè eſt Deus, neque filium honore afficienti & colenti, ſicut pater honoratur & colitur: non dominum, non herum, ſed ſeruum & ſubiectum. Ad hoc enim ſpectat conſilij eorum finis, tametſi verbis aliis blaſphemia contegitur. Propterea variè in priore ſcriptione tripudians argutiarum

A σημαντικὸν τὸ τῆς ἀγεννησίας ὄνομα. εἶτα πάντα τῶν ἀνθρώπων τῶν γε νοῦν ἐχόντων ἀμήχανον εἶναι λογιζομένων δυνάμει τινὶ ῥημάτων τὴν ἄφραστον φύσιν ἐξαγγελθῆναι, οὔτε τῆς γνώσεως ἡμῶν τοσοῦτον ἐκτεινομένης, ὡς εἰς τὰ ὑπερέκεινα τῶν γιγνωσκομένων φθάνειν, οὔτε τῆς τῶν λόγων ὑπηρεσίας τοσαύτην δύναμιν ἐν ἡμῖν κεκληρωμένης, ὡς ἱκανὴν εἶναι τὸ νοηθὲν ἐξαγγεῖλαι, εἴπερ τι ὅλως ὑψηλόν τε καὶ θεῖον ἐπὶ νοῦν ἔλθοι. πάλιν οἱ σοφοὶ οὗτοι πολλὴν ἀβελτηρείαν καὶ τῆς λογικῆς ἐπιστήμης ἀπειρίαν τῶν B πολλῶν καταψηφιζόμενοι, αὐτοί τε εἰδέναι διαβεβαιοῦνται ταύτην, καὶ οἷς ἂν ἐθέλωσι δύνασθαι τὴν περὶ τούτων ἐμποιῆσαι γνῶσιν, καὶ διὰ τοῦτο λέγουσι μηδὲν ἕτερον εἶναι τὴν θείαν φύσιν, πλὴν τὴν ἀγεννησίαν αὐτήν. καὶ ταύτην κυριωτάτην καὶ ἀνωτάτην, καὶ ἀνωτάτω προσαγορεύοντες ἅπαν τὸ μεγαλεῖον τῆς θεότητος τῇ φωνῇ ταύτῃ ἐγκατακλείουσιν· ὡς ἐκ τούτου κατασκευάζεσθαι· εἰ ἡ ἀγεννησία τὸ κυριώτατον τῆς οὐσίας ἐστὶ, καὶ τὰ λοιπὰ τῶν θεοπρεπῶν ὀνομάτων ταύτῃ συνήρτηται, ἡ θεότης, ἡ δύ- C ναμις, ἡ ἀφθαρσία, καὶ τὰ ἄλλα πάντα. εἰ οὖν ταῦτα καὶ τὰ τοιαῦτα ἡ ἀγεννησία ἐστὶ, πάντως εἰ τοῦτο μὴ λέγεται, οὐδὲ ἐκεῖνα ἐστίν. ὡς γὰρ τὸ λογικὸν, καὶ τὸ γελαστικὸν, καὶ τὸ ἐπιστήμης δεκτικὸν, ἴδιον τοῦ ἀνθρώπου ἐστίν· εἰ δέ τι μὴ ἐστὶν ἄνθρωπος, οὐδὲ ἐν τοῖς ἰδιώμασι πάντως ἔσται τῆς φύσεως, οὕτως εἴπερ ἀγεννησία ἐστὶν ἡ ἀληθινὴ θεότης, ᾧ τὸ ὄνομα τοῦτο μὴ πρόσεστιν, οὐδὲ ἄλλο τι τῶν τὴν θεότητα χαρακτηριζόντων τούτῳ πάντως ἐφευρεθήσεται. τῆς οὖν ἀγεννησίας περὶ τὸν υἱὸν μὴ λεγομένης, τὸ μηδὲ τὰ λοιπὰ D πάντα τῶν ὑψηλῶν τε καὶ θεοπρεπῶν ὀνομάτων, ἐπ᾽ αὐτοῦ κυρίως λέγεσθαι κατεσκευάσθη· τοῦτο οὖν εἶναι τὴν κατάληψιν τῶν θείων μυστηρίων ὁρίζονται, τὸ ἀθετεῖν τὴν τοῦ υἱοῦ θεότητα, μονονουχὶ φανερῶς ἐμβοῶντες παντὶ τῷ τὴν ἀκοὴν ὑπέχοντι, ὅτι σοὶ ἔξεστι τελείῳ κατὰ τὴν γνῶσιν εἶναι, μὴ πιστεύοντι τῷ μονογενεῖ Θεῷ, ὅτι ἐστὶ Θεὸς ἀληθῶς· μὴ τιμῶντι τὸν υἱὸν, καθὼς τιμᾶται ὁ πατὴρ, μὴ υἱὸν, ἀλλὰ κτίσμα κατὰ τὴν φύσιν εἶναι νομίζοντι· μὴ κύριον, μὴ δεσπότην, ἀλλὰ δοῦλον καὶ ὑποχείριον. πρὸς τοῦτο γὰρ βλέπει τὸ πέρας τῆς συμβουλῆς, κἂν ἑτέροις ῥήμασιν ἡ βλασφημία περικαλύπτηται. διὰ ταῦτα ποικίλως κατὰ τὴν προτέ-

ταῖς λογογραφίαις, ἐμπυρριχίζων τῇ τῶν σοφισμάτων στροφῇ, καὶ διαφόρως τεχνολογῶν τὸ ἀγέννητον, ἐκκλέπτει τὴν διάνοιαν τῶν ἐξαπατώντων, ἐν οἷς φησίν. Οὐκοῦν εἰ μήτε κατ' ἐπίνοιαν, μήτε κατὰ στέρησιν, μήτε ἐν μέρει, ἀμερὴς γάρ, μήτε ἐν αὐτῷ ἐστιν ἕτερον. εἷς γὰρ καὶ μόνος ἀγέννητος, αὐτὸς ἂν εἴη οὐσία ἀγέννητος. συνιδὼν τοίνυν ὁ διδάσκαλος ἡμῶν τὴν ἐκ τῆς ἀνάγκης ἐγγινομένην τοῖς παρακρουσθεῖσι ζημίαν, ὅτι αὐτῆς ἐστι τῆς εἰς τὸν κύριον ὁμολογίας παράβασις ἡ περὶ τοῦ μὴ εἶναι αὐτὸν ἀληθῶς Θεὸν συγκατάθεσις. εἰς ὅπερ ἡ τῶν ῥημάτων τούτων ἀκολουθία καταστρέφει τὸ δόγμα· διὰ τοῦτο τὸ μὲν ὡς μέρος μὴ ἐπιλέγεσθαι τοῦ Θεοῦ τὴν ἀγεννησίαν οὐκ ἀντιλέγει, ἁπλοῦν τε καὶ ἄποσον καὶ ἀμέγεθες καὶ ἀσύνθετον, καὶ αὐτὸς συνομολογῶν εἶναι τὸ θεῖον, τὸ δὲ κατ' ἐπίνοιαν μὴ δεῖν ἐπ' αὐτοῦ τὴν ἐπωνυμίαν λέγεσθαι ταύτην, καὶ ἀντιλέγει καὶ ἀποδείκνυσιν· οἷς οὐκ ἐμμένων ὁ λογογράφος, πάλιν ἡμῖν τὴν παρ' ἑαυτοῦ σοφίαν ἀντικαθίστησιν ἐν τῷ δευτέρῳ τῶν λόγων, τοῖς περὶ τῆς ἐπινοίας ῥηθεῖσιν ἀντιμαχόμενος. καιρὸς δ' ἂν εἴη λοιπὸν καὶ αὖθις μνησθῆναι τῆς εἰς τοῦτο κατασκευῆς, τοσοῦτον ὑπειπόντας μόνον, οὐκ ἔστιν ἐν ἀνθρωπίνῃ φύσει δύναμις εἰς ἀκριβῆ κατανόησιν Θεοῦ οὐσίας· τάχα δὲ μικρόν ἐστιν ἐπὶ μόνης ἀποφήνασθαι τοῦτο τῆς ἀνθρωπίνης δυνάμεως· ἀλλὰ καὶ τὴν ἀσώματον κτίσιν ἐλάττονά τις εἰπὼν, ἢ ὥστε χωρῆσαι καὶ περιλαβεῖν τῇ γνώσει τὴν ἀόριστον φύσιν, οὐ τοῦ πρέποντος ἁμαρτήσεται, οἷόν ἐστιν ἐπὶ τῶν καθ' ἡμᾶς ὑποδειγμάτων ὑπονοῆσαι. ὅτι πολλῶν ὄντων καὶ διαφόρων τῶν διὰ σαρκὸς τὴν ζωὴν εἰληχότων, τῶν μὲν πτηνῶν, τῶν δὲ χερσαίων, τό τε ὑπερνεφὲς ἐν τῇ τῶν πτερῶν δυνάμει γινόμενον, καὶ τὸ τοῖς κοίλοις καθιδρυμένον καὶ ἐμφωλεῦον· εἰ μὲν πρὸς ἄλληλα κρίνοιντο, οὐκ ὀλίγον ἂν ἀφεστάναι δόξῃ τοῦ χερσαίου τὸ ἐναέριον. εἰ δὲ πρὸς τὰ ἄστρα, καὶ τὴν ἀπλανῆ σφαῖραν ἡ σύγκρισις εἴη, οὐδὲν ἔλαττον κεχωρίσθαι τοῦ οὐρανοῦ τὸ μετεωροπορεῖν διὰ πτήσεως τῶν περὶ γῆν νομισθήσεται ζώων. οὕτως καὶ ἡ τῶν ἀγγέλων δύναμις, τῇ μὲν ἡμετέρᾳ συγκρινομένη, πάμπολυ προέχειν δοκεῖ, ὅτι οὐδεμιᾶς αἰσθήσεως ἐνοχλούσης, γυμνῇ τε καὶ ἀπα-

A verſutiis & varia * ingenitū arte tractās, deceptorum ſurripit intelligentiam, in quibus dicit, [Quare ſi neque ex commentatione, neque priuatione, neque in parte, eſt enim partis exſors, ſiue indiuiduus, neque in ipſo eſt alterum, vnus enim & ſolus ingenitus. Ipſe igitur ingenita erit eſſentia.] Cùm igitur doctor noſter perſpexiſſet, damnum quod ex neceſſitate conſequitur & malignè ſuccuſſis ac deceptis infertur, quod ipſius eſt in Dominum confeſſionis tranſgreſſio, nempe aſſenſio huius propoſitionis ipſum non eſſe verè Deū, B ad quod verborum horum conſecutio contorquet dogma: propterea hoc quidem vt partem non in Deo dici τὴν ἀγεννησίαν non contradicit, ſimpléxque & quantitatis magnitudiniſque expers & incompoſitum etiam ipſe Deum confitens, hoc autem neque ſecundùm commentationem oportere in ipſo hanc cognominationem dici, & contradicit & demonſtrat. Quibus non immanens neque acquieſcens iſte ſcriptitator, rurſus nobis ſuam ſapientiam in ſecundo ſermone ex aduerſo obijcit, his quæ de epinoea, id eſt, commentatione dicta C fuerunt repugnans. Sed tempus opportunum fuerit ipſis reliquum, quod ad hoc pertinet adſtructionis ipſis in memoriam reuocare, tantum hoc ſolum ſubdentes: non eſt in humana natura facultas, ad exactam cognitionem eſſentiæ Dei: fortaſſe autem hoc in ſola humana potentia affirmare parum eſt; verùm etiam incorpoream naturam inferiorem ſi quis dixerit, quàm vt poſſit capere & complecti cognitione infinitam naturam, neque omnino aberrabit, vt licet exemplis familiaribus animo percipere. Quòd cum multa ſint etiam D differentia quæ per carnem vitam ſortita ſunt animalia, quædam quidem volatilia, quædam verò terreſtria, quódque nubes ſuperat alarum virtute, & quod cauis inſidet, & in latibulis latitat: ſiquidem inter ſe comparentur, non parum diſtare videbitur aërium à terreſtri. Si verò cum ſideribus, & non errante orbe fiat comparatio, nihil minus à cœlo diſcretum eſſe quod in ſublimi per volatum fertur, ab animalibus terreſtribus putabitur. Sic Angelorum poteſtas cum noſtra collata multò plus præcellere videtur, quòd nullo ſenſu interturbata nuda & reuelata cognitrice po-

Verba Eunomij.

teſtate quæ ſunt excelſa & ſumma expetit. Quod ſi cũ majeſtate eius qui verè eſt, illorum comprehenſio examinetur, fortaſſe qui auſus fuerit dicere non longè à noſtra breuitate illorum vim à diuina cognitione diſtare, non abſque probabili ratione audebit. Multum enim quod intermedium eſt, & imperuium, quo ad creatã naturam increata natura præmunita eſt & obuallata, ipſa finita eſt & terminata, illa verò terminum non habet: hæc ſuis menſuris, ſicut eius qui fecit ſapientiæ placuit, circumprehenſa eſt, illius verò menſura infinitas ipſa: hæc interuallari quadam extenſione protenditur, temporéque & loco coercita, illa omnem interualli notionem ſuperat. Ad quod quis mentem immiſerit, ſecundùm illud curioſitatẽ effugiens: in hac vita & principium eorum quæ ſunt, & finem licet intelligere: hæc ſupra creaturam beatitudo, neque principiũ, neque finem appetit, ſed ſupra eſt quod in vtroque ſignificatur, ſemper eodem modo ſeſe habens, & in ſeipſa ingreſſa, non per interuallum ex aliquo ad aliquid in vita iter faciens: non enim vitæ alterius participatione viuendo gignitur: ita vt conſequens ſit, & terminum, & principium participationis mente & intelligentia complecti. Sed ipſum quod eſt, vita eſt in ipſo operans, quæ neque maior neque minor ex acceſſione vel ſubſtractione fit. Nam quod in maius fit incrementum, in infinito locum non habet. Quod enim ſecundùm naturam impatibile eſt, notionis quæ fit ſecundùm decrementum, non eſt capax. Quemadmodum autem cœlum intuentes, & quodammodo per viſoria inſtrumenta pulchritudinẽ quæ in ſublimi eſt, attingentes, eſſe quidem quod apparet non ambigimus; quid autem ſit interrogati definire oratione non poſſumus: ſed ſolùm circularem ambitum vniuerſi contemplantes admiramur. Atque planetarum concordem & concinnum motum in contrarium: circulúmque quemdam, qui Zodiacus dicitur, in obliquum polo inſculptum, in quo motionem eorum quæ in contrarium voluũtur, obſeruant harum rerum docti & ſapientes. Luminarium autem differentias ſecundùm magnitudines, & ipſorum proprietates, ortúſque & occaſus, ſecundùm circularem anni circuitum in iiſdẽ ſemper temporibus

A ἐγκαλύπτεται τῇ γνωστικῇ δυνάμει τῶν ὑψηλῶν ἐπορέγεται. εἰ δὲ πρὸς τὸ μεγαλεῖον τοῦ ὄντως ὄντος, καὶ ἡ ἐκείνων κατάληψις ἐξετάζοιτο, τάχα ὁ τολμήσας εἰπεῖν μὴ πόῤῥω τῆς ἡμετέρας βραχύτητος καὶ τὴν ἐκείνων δύναμιν ἀφεστάναι τῆς θείας κατανοήσεως, οὐκ ἔξω τοῦ εἰκότος ἀποτολμήσει. πολὺ γὰρ τὸ μέσον καὶ ἀδιεξίτητον ᾧ πρὸς τὴν κτιστὴν οὐσίαν ἡ ἄκτιστος φύσις διατετείχισται· αὕτη πεπεράτωται, ἐκείνη πέρας οὐκ ἔχει· αὕτη τοῖς ἰδίοις μέτροις κατὰ τὸ ἀρέσκον τῇ σοφίᾳ τοῦ πεποιηκότος ἐμπεριείληπται· τῆς δὲ μέτρον ἡ ἀπειρία. αὕτη διαστηματικῇ τινι παρατάσει συμπαρεκτείνεται,
B καὶ χρόνῳ καὶ τόπῳ περιειργομένη· ἐκείνη ὑπερεκπίπτει πᾶσαν διαστήματος ἔννοιαν. καθόπερ ἄν τις ἐπιβάλλῃ τὸν νοῦν, κατ' ἐκεῖνο τὴν πολυπραγμοσύνην ἐκφεύγουσα· ἐν ταύτῃ τῇ ζωῇ καὶ ἀρχὴν τοῖς οὖσι καὶ τέλος ἐστὶν ἐπινοῆσαι· ἡ δὲ ὑπὲρ τὴν κτίσιν μακαριότης, οὔτε ἀρχὴν οὔτε τέλος προσοίεται, ἀλλ' ὑπὲρ τὸ ἐν ἑκατέρῳ σημαινόμενον πέφυκεν ἀεὶ ὡσαύτως ἔχουσα, καὶ ἐφ' ἑαυτῆς βεβηκυῖα, οὐ δια-
C στηματικῶς ἔκ τινος εἴς τι τῇ ζωῇ διοδεύουσα. οὔτε γὰρ μετουσίᾳ ζωῆς ἑτέρας ἐν τῷ ζῆν γίνεται, ὡς ἀκόλουθον εἶναι καὶ πέρας καὶ ἀρχὴν μετουσίας νοεῖσθαι. ἀλλ' αὐτὸ ὅπερ ἐστὶ, ζωή ἐστιν ἐν αὐτῇ ἐνεργουμένη, οὔτε μείζων οὔτε ἐλάττων ἐκ προσθήκης ἢ ὑφαιρέσεως γινομένη. ἡ μὲν γὰρ εἰς τὸ μεῖζον ἐπαύξησις ἐν τῷ ἀπείρῳ χώραν οὐκ ἔχει. τῆς δὲ κατὰ τὴν ἐλάττωσιν ἐπινοίας, τὸ κατὰ φύσιν ἀπαθὲς ἀνεπίδεκτον. ὥσπερ δὲ τὸν οὐρανὸν ὁρῶντες, καὶ τρόπον τινὰ διὰ τῶν ὀργανικῶν αἰσθητηρίων τοῦ κατὰ τὸ ὕψος ἐφαπτόμενοι κάλ-
D λους, εἶναι μὲν τὸ φαινόμενον οὐκ ἀμφιβάλλομεν· τὸ δὲ τί ἐστιν ἐρωτηθέντες διερμηνεῦσαι τῷ λόγῳ τὴν φύσιν οὐκ ἔχομεν. θαυμάζομεν δὲ μόνον τὴν ἐγκύκλιον τοῦ παντὸς ὁρῶντες περιφορὰν, καὶ τῶν πλανητῶν τὴν ἐναρμόνιον ἐπὶ τὸ ἔμπαλιν κίνησιν, κύκλον τέ τινα τὸν λεγόμενον ζωοφόρον, κατὰ τὸ λοξὸν ἐγκεχαραγμένον τῷ πόλῳ, ᾧ τὴν κίνησιν τῶν κατὰ τὸ ἐναντίον εἱλουμένων παρατηροῦσιν οἱ ταῦτα σοφοί, φωστήρων τε διαφορὰς κατά τε τὰ μεγέθη καὶ τὰς αὐγῶν ἰδιότητας, ἐπιτολάς τε καὶ δύσεις κατὰ τὴν ἐγκύκλιον τοῦ ἔτους περίοδον ἐπὶ τῶν αὐτῶν

ἀεὶ

ἀεὶ καιρῶν γινομένας ἀπαραβάτως. συνόδους τε τῶν πλανωμένων, καὶ ὑποδρομὰς τῶν ὑποβεβηκότων, καὶ ἐκλείψεις τῶν ὑπερκειμένων, καὶ γῆς ἀποσκιάσεις, καὶ ἀποκαταστάσεις τῶν ἐκλειπόντων, τήν τε πολυειδῆ τῆς σελήνης ἀλλοίωσιν, καὶ τοῦ ἡλίου τὴν ἐπὶ τοῦ μέσου τῶν πόλων κίνησιν, ὡς ἀνάπλεως ὢν τοῦ ἰδίου φωτὸς καὶ ταῖς ἀκτῖσιν ἐν κύκλῳ καταστεφὴς, πάντα τε τῇ φωτιστικῇ δυνάμει περιπτυσσόμενος, ἔστιν ὅτε καὶ αὐτὸς ἐκλείπει τοῦ σεληναίου σώματος, ὥς φασιν, ἐπιπροσθοῦντος. καὶ ὡς κατὰ τὸ βούλημα τοῦ διατάξαντος ἀεὶ τὸν ἴδιον δρόμον ἀνύων, περιπορεύεται διὰ τῆς τεταγμένης περιόδου καὶ ὑποβάσεως, τὰς τέσσαρας τοῦ ἔτους ὥρας ἐν ἑαυταῖς ἀνειλίσσων. ταῦτα ὁρῶντες, εἶναι μὲν τὰ φαινόμενα δι' ὧν ὁρῶμεν οὐκ ἀμφιβάλλομεν· οὐσίας δὲ λόγον ἑκάστου τοσοῦτον τῶν ὄντων ἀπέχομεν κατανοῆσαι, ὅσον εἰ μηδὲ τὴν ἀρχὴν τῇ αἰσθήσει τὸ φανὲν ἐγνωρίσαμεν. οὕτω καὶ τὸν ποιητὴν τοῦ κόσμου, ὅτι μέν ἐστιν οἴδαμεν, τὸν δὲ τῆς οὐσίας λόγον ἀγνοεῖν οὐκ ἀρνούμεθα. οἱ δὲ γινώσκειν ταῦτα κομπάζοντες, πρότερον περὶ τῶν ὑποβεβηκότων εἰπάτωσαν. τί τὸ οὐράνιον οἴονται σῶμα; τίνα τὴν κυκλοφοροῦσαν διὰ παντὸς μηχανὴν, ἐν τίνι δὲ τὴν κίνησιν γίνεσθαι; ὅπερ γὰρ ἄν τις τῇ διανοίᾳ λογίσηται, πάντως εἰς τὸ ἀμήχανόν τε καὶ ἀκατάληπτον ὁ λογισμὸς προϊὼν καταλήξει. εἴτε γὰρ ἕτερον ὁμοιοσχημάτιστον σῶμα λέγοιτό τις ἐν τύπῳ περιηρμοσμένον περικρατεῖν τὴν φορὰν, ὡς ἀεὶ τὸν δρόμον καμπτόμενον ὁμοιοτρόπως περὶ ἑαυτὸν ἀνειλίσσεσθαι, τῇ ἀνάγκῃ τοῦ περιέχοντος ἐξενεχθῆναι πρὸς τὸ εὐθὺ κωλυόμενον· πῶς ἐρεῖ διαμένειν ταῦτα τὰ σώματα, διὰ τῆς διηνεκοῦς τρίψεως ἐν ἀλλήλοις οὐ δαπανώμενα; πῶς δὲ καὶ ἐνεργεῖται ἡ κίνησις, δύο σωμάτων ὁμοφυῶν πρὸς τύπον ἀλλήλοις ἐναρμοττομένων, ὅταν τὸ ἕτερον ἀκίνητον μένῃ. τῇ γὰρ ἀκινησίᾳ τοῦ περιδεδραγμένου τὸ ἐντὸς διασφιγγόμενον ἀδυνατήσει πάντως πρὸς τὴν ἰδίαν ἐνέργειαν. τί δὲ καὶ τὸ ἑδράζον τοῦ περιέχοντος ἐκείνου τὴν παγιότητα, ὥστε διαμένειν ἄσειστον ὑπὸ τῆς ἐνηρμοσμένης κινήσεως μὴ τινασσόμενον. εἰ δὲ κἀκείνου κατὰ τὴν πολυπραγμοσύνην τῆς διανοίας εἶναί τις ἕδρα ὑποληφθείη ἡ συντηροῦσα ἐν τῷ παγίῳ τὴν στάσιν, πάντως προϊὼν κατὰ τὸ ἀκόλουθον ὁ λόγος,

A factas ſine errore illo & euagatione, coitúſque errantium, & ſubcurſus ſubeuntium, & defectus ſupereminentum, & terræ obumbrationes, & reuolutiones deficientium, multiformémque Lunæ mutationem, ſoliſque in medio polorum motum, vt propria luce plenus eſt, ſuiſque radiis in circulo coronatus omnia ſua illuſtrante poteſtate complectens, interdum etiam ipſe deficit, lunari corpore, vt aiunt, occurſante & obumbrante. Atque vt pro voluntate ordinantis ſemper ſuum curſum conficiens, circuit & obambulat per ſibi cõ-
B ſtitutum progreſſum & ordinatum locum, quatuor anni diuerſa tempora in ſeipſis conuoluens: hæc ſuſpiciẽtes quæ apparent, eſſe quidem per ea quæ cernimus non dubitamus, ſed rationum eſſentiam cuiuſque eorum quæ ſunt, tantum abeſt, vt intelligamus, quantum ſi neque principium ſenſu quod apparuit cognouiſſemus: ſic & mundi factorem quòd certè ſit nouimus, eſſentiæ autem rationem ſiue definitionem nos ignorare non negamus. Qui autem hæc ſe ſcire iactant, prius de his quæ inferioris ſunt naturæ dicant, quid eſſe putent
C cœleſte corpus? quænam ſit quæ orbes defert per vniuerſum machina? in quo motionem fieri opinentur? quod enim quis intelligentia reputauerit, prorſus in dubium & incertum, atque incõprehenſibile ratio procedens deſinet: ſiue enim corpus ſimiliter figuratum dicat quis in forma circũaptatum lationem continere, ſic ſemper curſum flectens, conſimili modo circum ſeipſum conuolui, neceſſitate complectentis ad rectum ſurſum ferri cohibitum: quomodo dicet, hæc corpora permanere? cur non longa & continua detritione inter
D ſe abſumantur? Quomodo etiam efficitur motus, duorum corporum ſimul natorum ad formam ſibi inuicem congruentium, cùm alterum immobile maneat: immobilitate enim complectentis, quod intus conſtringitur, prorſus ad ſuum actum inualidum erit. Quid eſt quod continentis illius ſoliditatem firmat, ita vt inconcuſſum permaneat, à connexo motu non agitatum. Quod ſi etiam illius ſecundum intellectus curioſam indagationem ſedes aliqua eſſe exiſtimetur, quæ conſeruet in ſolido ſtatum, proculdubio ex conſecutione procedens ratio,

etiam illius baſeos baſin curioſè inquireret, hucuſq. aliam, & ſic deinceps aliam. Atque ita per ſimilia inquiſitio progrediens in infinitũ prodibit, & in dubium atque inextricabile deſinet, hoc vltimo corpore ad vniuerſi conſtitutionem ſubſtrato, aliquod quod ſit vlterius ſemper inueſtigans. Ita vt nuſquam ſtare poſſit ratio ſemper complectentis complexum & ambitum inquirens. Sed hæc quidẽ ita ſe habere alij negant. Vacuum autem quiddam ſecundùm vanam eorum qui in his multũ ſtudium & operã poſuerunt, ſuſpicionẽ, cœleſtibus dorſis & conuexis circumfuſum eſt. Atque in hoc labens vniuerſi vertigio in ſeipſam reflectitur, nullum ex ſolido aliquo inueniens repulſum, qui poſſit ex contraria baſi ſiſtere & incidere procedentem in orbem motionẽ. Quid igitur illud vacuum? quod neque corpus aiunt neque notio, & quouſq. ſtat? & quid quod illud ſuſcipit? Quæ autem ſolidi, & renitentis cum inani & non ſubſiſtente cognatio? quid eſt, quod ſit intermedium his quæ natura disiuncta ſunt & differunt? quomodo per ea quæ ſunt diuerſæ naturæ tanta vniuerſi compages, & apta cõpoſitio conſtituitur? quid autem cœlum ipſum eſſe quis dixerit? an quid mixtum ex elementis quæ in eo continentur, vel vnum ex omnibus, vel aliud quiddam præter hæc? Quid autẽ eſſe ſtellas ipſas? vnde ipſis ſplendorẽ affulgere dixerit? & hic ſplendor quid eſt? & quomodo conſtituitur? Differẽtiæ autem ipſorum ſecundùm pulchritudinẽ & magnitudinẽ quænam ratio? interiores autẽ circulos contrarium vniuerſo motum circumagentes, quid eſſe, vel ſub quam neceſſitatem adigi? Ille autẽ immaterialis & ætherius ignis? atq. hic infuſus per mediũ, aër, qui velut mur⁹ eſt quidã interſepiẽs naturam calefacientẽ & conſumentem ab humida natura & conſumptu facili? Atque quo modo terra in parte ima in vniuerſo firmata & ſubiecta? quidnam eſt quod in firmo ſtatũ cuſtodiat? quidnam firmat, & ſtabilit eius ad imũ lationẽ? Si hæc & talia quis nos exquirendo interroget, an quis erit ita adeò mentis impos & extra ſe deiectus, vt taliũ polliceri audeat cognitionẽ? Nihil æquis & candidis viris ad reſpõſum relinquitur, quàm quod ille qui omnia in ſapientia fecit, ſolus nouit creaturæ rationem. Non autem fide intelligimus, verbo Dei aptata eſſe ſæcula, ſicut ait Apoſtolus.

A κἀκείνης πολυπραγμονοίη τὴν βάσιν τῆς βάσεως, καὶ ταύτης ἄλλην, καὶ τῆς ἐφεξῆς ἑτέραν. καὶ οὕτω διὰ τῶν ὁμοίων ἡ ἐξέτασις ἀνιοῦσα, πρὸς τὸ ἄπειρον ἐκβήσεται, καὶ εἰς ἄπορον καταλήξει, τῷ κατὰ τὸ ἔσχατον εἰς τὴν τοῦ παντὸς σύστασιν ὑποβεβλημένου σώματος, τὸ ἐπέκεινα τούτων πάλιν κατεξετάζουσα, ὡς μηδαμοῦ στῆναι τὸν λόγον τοῦ ἀεὶ περιέχοντος τὴν περιβολὴν ζητοῦντα. ἀλλὰ τοῦτο μὲν, οὐχί· κενὸν δέ τι κατὰ τὴν ματαίαν τῶν ταῦτα πεφιλοσοφηκότων ὑπόνοιαν τοῖς οὐρανίοις περικέχυται νώτοις· καὶ
B ἐν τούτῳ ἐνολισθαίνουσα τοῦ παντὸς ἡ δίνησις, πρὸς ἑαυτὴν ἀναστρέφει, μηδεμίαν ἐκ στερεοῦ τινὸς ἀντιτυπίαν εὑρίσκουσα, τὴν δυναμένην ἐξ ἀντιβάσεως στῆσαι, καὶ ἀνακόψαι περιιοῦσαν ἐν κύκλῳ τὴν κίνησιν. τί τοίνυν ἐστὶ τὸ κενὸν ἐκεῖνο; ὃ μήτε σῶμα, φασὶ, μήτε νόημα. καὶ μέχρι τινὸς ἱστάμενον; καὶ τί τὸ διαδεχόμενον; τίς δὲ τοῦ ναστοῦ καὶ ἀντιτύπου ἡ πρὸς τὸ κενὸν καὶ ἀνυπόστατον ἐκεῖνο συγγένεια; τί τὸ μεσιτεῦον τοῖς διηλλαγμένοις τῇ φύσει; πῶς δὲ διὰ τῶν ἐναντιουμένων ἡ τοσαύτη τοῦ
C παντὸς εὐαρμοστία συνίσταται; τί δ᾽ αὖ τις εἴποι τὸν οὐρανὸν αὐτὸν εἶναι; μίγμα τι τῶν περιεχομένων στοιχείων; ἢ ἓν ἐξ ἁπάντων; ἢ ἄλλο τι παρὰ ταῦτα; τί δὲ τοὺς ἀστέρας αὐτούς; πόθεν δὲ αὐτοῖς τὴν αὐγὴν ἀποστίλβειν; τί οὖσαν, καὶ ὅπως συνισταμένην· τῆς δὲ διαφορᾶς αὐτῶν κατά τε τὸ κάλλος καὶ μέγεθος ὁ λόγος τίς; τοὺς δὲ ἐντὸς ἑπτὰ κύκλους τὴν ἐναντίαν τῷ παντὶ κίνησιν περιαγομένους; τί εἶναι ἢ ὑπὸ ποίας ἀνάγκης ἐλαυνομένους; τὸ δὲ ἄϋλον ἐκεῖνο καὶ αἰθέριον πῦρ, καὶ ὁ ἐγκεχυμένος διὰ μέσου ἀὴρ, οἷόν
D τι διατείχισμα γινόμενος τῆς θερμαντικῆς τε καὶ ἀναλωτικῆς φύσεως, πρὸς τὴν ὑγρὰν καὶ εὐανάλωτον; καὶ ὅπως κατὰ τὸ ἔσχατον ἡ γῆ τῷ παντὶ ὑποβέβληται, τί τὸ φυλάσσον ἐν τῷ βεβαίῳ τὴν στάσιν; τί τὸ ὑπερεῖδον αὐτῆς τὴν ἐπὶ τὸ κάτω φοράν; εἰ ταῦτα καὶ τὰ τοιαῦτα τὶς ἡμᾶς κατεξετάζοι, ἆρα τίς ἐστι τοσοῦτον ἀνεστηκὼς, ὥστε καθυποσχέσθαι τὴν τοιούτων τὴν γνῶσιν; οὐδὲν γὰρ εἰς ἀπόκρισιν τοῖς εὐγνώμοσιν ἢ τοῦτο λείπεται, ὅτι ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας, μόνος οἶδε τὸν λόγον τῆς κτίσεως. ἡμεῖς δὲ πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, καθώς φησιν ὁ ἀπόστολος.

A Εἰ δὲ ἡ κάτω κτίσις ἡ μέχρι τῶν αἰσθήσεων τῶν ἡμετέρων φθάνουσα, ὑπὲρ τὰ μέτρα τῆς ἀνθρωπίνης ἐστὶ γνώσεως, πῶς ὁ μόνῳ θελήματι τὸ πᾶν συστησάμενος, ἐντὸς τῆς ἡμετέρας ἐστὶ καταλήψεως; ματαιότης ταῦτα καὶ μανία ψευδὴς, καθώς φησιν ὁ προφήτης, τὸ οἴεσθαι δυνατὴν εἶναι τινὶ τὴν τῶν ἀλήπτων περίνοιαν. οὕτως ἐστὶν ἰδεῖν μικρὰ νήπια διὰ τὴν ἐκ τῆς ἡλικίας ἄγνοιαν παίζοντά τε ὁμοῦ καὶ σπουδάζοντα. πολλάκις γὰρ ἀκτῖνος ἡλιακῆς διὰ θυρίδος αὐτοῖς εἰσρυείσης περιχαρεῖ τῷ κάλλει πρὸς τὸ φαινόμενον ἵεται, καὶ B φέρειν φιλονεικεῖ διὰ χειρὸς τὴν ἀκτῖνα, καὶ διαμάχεται πρὸς ἄλληλα, καὶ περιδράσσεσθαι τοῦ φωτὸς τῇ περιβολῇ τῶν δακτύλων, ὡς οἴεται, τὴν αὐγὴν ἐνδησάμενα. ἀλλὰ διαλυθείσης τῶν δακτύλων τῆς ἐμπλοκῆς, γέλωτα ποιεῖ τοῖς νηπίοις καὶ κρότον, διαρρυεῖσα τῶν χειρῶν ἡ τῆς ἀκτῖνος λαβή. οὕτω καὶ τὰ τῆς ἡμετέρας γενεᾶς παιδία, καθώς φησιν ἡ παραβολὴ, ταῖς ἀγοραῖς ἐγκαθήμενα παίζει. οἱ τὴν θείαν δύναμιν διὰ τῶν τῆς προνοίας λόγων καὶ τῶν θαυμάτων ταῖς ψυχαῖς ἐλλάμ- C πουσαν βλέποντες, οἷον ἀκτῖνά τινα καὶ θερμότητα τῆς ἡλιακῆς ἀπορρέουσαν φύσεως, οὐχὶ θαυμάζουσι τὴν χάριν καὶ προσκυνοῦσι τὸν διὰ τούτων νοούμενον· ἀλλ' ὑπερβαίνοντες τὸ χωρητὸν τῇ ψυχῇ, ταῖς τῶν σοφισμάτων λαβαῖς, τῆς ἀναφοῦς περιδράσσονται καὶ κρατεῖν οἴονται διὰ τῶν συλλογισμῶν ἅπερ οἴονται· διασχόντος δὲ τοῦ λόγου καὶ διαπτύξαντος τὴν τῶν σοφισμάτων πλοκὴν, εὑρίσκεται τοῖς νοῦν ἔχουσι τὸ ἀπειλημμένον οὐδέν· οὕτω μικροπρεπῶς τε καὶ βρεφικῶς τοῖς ἀμηχάνοις ἐμματαιάζοντες, οἷόν τινι παλάμῃ παιδικῇ τὴν ἀπερινόητον τοῦ Θεοῦ φύσιν ταῖς D ὀλίγαις συλλαβαῖς τῆς ἀγεννησίας ἐναποκλείουσι καὶ συναγορεύουσι τῇ παρανοίᾳ, καὶ οἴονται τοσοῦτον καὶ τοιοῦτον εἶναι τὸ θεῖον, ὡς ἀνθρωπικῷ λογισμῷ δύνασθαι διὰ μιᾶς προσηγορίας ἐμπεριείργεσθαι, καὶ ταῖς μὲν τῶν ἁγίων φωναῖς ἀκολουθεῖν σχηματίζονται· αὐτοὶ δὲ ἐκείνων ὑπεραίροντες, αὐτοὺς οὐ δεδοίκασι. ἃ γὰρ οὐδεὶς τῶν μακαρίων ἀνδρῶν εἰρηκὼς ἐπιδείκνυται, ὧν τις καὶ λόγος ἐν ταῖς θείαις βίβλοις ἀνάγραπτος φέρεται, ταῦτα οὗτοι, καθώς φησιν ὁ ἀπόστολος, μὴ εἰδότες, μήτε ἃ λέγουσι ἢ περὶ ὧν διατείνονται· ὅμως αὐτοί τι εἰδέναι φασί,

A Si itaq; ima creatura quæ noſtros vſque ad ſenſus pertingit, modum humanæ cognitionis ſuperat, quomodo qui ſola voluntate vniuerſum conſtituit, in noſtra comprehenſione contineretur? Vanitas hæc & furor falſus, ſicut ait propheta, putare incomprehenſibilium cognitionem alicui conceſſam eſſe. Sic videre licet paruulos propter ætatis puerilis ignorantiam ludere ſimul & ſtudere: ſæpe enim radio ſolari per feneſtram ad illos influente, delectati pulchritudine, ad id quod apparet eunt, & B manu radium ferre contendunt, & inter ſe pugnant, atque digitorum nexu, ſicut putant, lucis fulgorem illigatum vndique apprehendunt, ſed digitorum diſſoluto complexu, riſum & plauſum paruulis facere videtur è manibus diffluens radij captio. Sic noſtræ generationis paruuli, ſicut inquit parabola, in foris conſidentes ludunt: qui diuinam potentiam per prouidentiæ rationes & miracula illucentem videntes, velut radium quemdam & calorem è ſolari natura defluentem, nec admirantur gratiam, nec adorant eum qui per hæc intelligitur: ſed animi captum ſuper- C greſſi, argutiarum prehenſionibus eum qui tactum effugit omnem complectuntur: atque ſe putant tenere ſuis argumentationibus ea quæ opinantur. Cùm autem ratio penetrauerit, & explicauerit argutiarum & captionum plexum, hi qui mente & rationis iudicio valent, nihil comprehenſum eſſe comperiunt. Sic puſillo animo & infantili, circa impoſſibilia in vanum laborantes, veluti quadam palma puerili imperceptibilem Dei naturam paucis ſyllabis huius nominis ἀγεννησίας includunt, & ſuæ dementiæ patrocinantur, atque opinantur tantum & talem eſſe Deum, D vt humana ratione per vnam appellationem poſſit coërceri. Ac ſe quidem ſanctorum voces ſequi ſimulant: ſed ſe ſupra illos ipſos extollentes, eos non verentur. Quæ enim nullus beatorum virorum dixiſſe demonſtratur, quorum aliqua in diuinis libris ſcripta ratio profertur, hæc iſti ſicut loquitur Apoſtolus, non ſcientes, neque quæ 1. Tim. 1. dicunt, neque de quibus affirmant, verumtamen ipſi ſe ſcire profitentur,

& aliis duces eſſe ſcientiæ gloriantur. A Ac per hoc vnigenitum Deum nō verè eſſe quod dicitur comprehendiſſe aſſeuerāt: neceſſitas enim ratiocinationum hoc iubet. Quàm miſeri & ſolertia deſtituti! Quàm infœlix ipſis & exitialis conſiderata Philoſophia! Quis ita data opera ſponte ſua ruit in barathrū, quàm iſti labore & ſtudio lacum blaſphemiæ ſibi ipſis foderunt? quanta menſura à ſpe Chriſtianorum fruſtrati ſunt & exciſi! quali hiatu ad ſeruatricem fidem interſepti ſunt? Quanto ſinu à fide patris Abrahæ demigrarūt? Ille (ſi oportet
Hebr. 11. ſecundùm ingenij ſublimitatem B Apoſtoli mutata voce allegoricè mentem & ſenſum hiſtoriæ intelligere, manente nimirum hiſtorica veritate) ille inquam diuino mandato exul è terra propria & cognatione ſua egreſſionem viro prophetæ decoram, ad Dei cognitionem vrgenti. Non enim mihi videtur quædam localis demigratio eorum quæ intelligibiliter inueniūtur, cōciliare comprehenſionem, ſed ipſe ex ſeipſo & propria terra, nempe ex terreno & humili ſpiritu egreſſus, vt quoad fieri poteſt, ſupra communis naturæ terminos ſuam C ipſius intelligentiam extollat, animíque cum ſenſibus cognationem relinquat: vt nullo eorum quæ ſenſui apparent, præpeditus ad cognitionem eorum quæ ſenſum oculorum effugiūt, obſcuretur & caliget: neque auditu circumſonante, neque viſu in his quæ apparent intelligētiam ſeducēte, quemadmodum ait Apoſtolus, per fidem
Ibidem. ambulans, non per ſpeciem, in tantum ſubuectus fuit cognitionis magnitudi-
Geneſ. 12. ne & excellentia, ita vt humanæ perfectionis terminus exiſtimetur: in tantum Dei cognitionem adeptus, quantum D fas eſt breuem & mortalem hanc potentiam extentam capere. Quamobrem omnis creaturæ Dominus, ac ſi aliquod inuentum, fuiſſet patriarchæ factus propriè Deus Abraham nominatur: verumtamen quid de illo ſermo dicit? quod exiuit neſciēs quò iret, ſed neque illi nomen eius quem diligebat, diſcere licuit: neque tamen ob hanc ignorantiam ægrè tulit aut erubuit: hoc igitur ipſi erat ſecura & tuta ad id quod quærebatur, deductio, quòd nullo eorum quę prompta ſunt ad cognitionem

A καὶ τοῖς ἄλλοις καθηγεῖσθαι τῆς εἰδήσεως μεγαλαυχοῦσι. καὶ διὰ τοῦτο τὸν μονογενῆ Θεὸν μὴ ἀληθῶς εἶναι ὃ λέγεται κατειληφέναι διϊσχυρίζονται. ἡ γὰρ τῶν συλλογισμῶν ἀνάγκη τοῦτο κελεύει· ὡς δείλαιοι τῆς ἀγχινοίας· ὡς δυστυχὴς αὐτοῖς καὶ ὀλέθριος ἡ κατεσκεμμένη φιλοσοφία. τίς οὕτω κατὰ σπουδὴν αὐτομολεῖ πρὸς τὸ βάραθρον, ὡς οὗτοι πόνῳ καὶ σπουδῇ τὸν λάκκον ἑαυτοῖς τῆς βλασφημίας ὠρύξαντο; ὅσῳ τῷ μέτρῳ τῆς ἐλπίδος τῶν Χριστιανῶν ἀφωρίσθησαν· οἵῳ χάσματι πρὸς τὴν σώζουσαν πίστιν διετειχίσθησαν· ὅσον τὸν κόλπον τῆς πίστεως τοῦ B πατρὸς Ἀβραὰμ ἀπῳκίσθησαν. ἐκεῖνος, εἰ δεῖ κατὰ τὴν τοῦ ἀποστόλου μεγαλοφυΐαν ἀλλάξαντα τὴν φωνὴν ἀλληγορικῶς τὸν νοῦν τῆς ἱστορίας κατανοῆσαι, μενούσης δηλαδὴ καὶ τῆς ἱστορικῆς ἀληθείας, ἐξῆλθε διὰ θείου προστάγματος τῆς ἰδίας γῆς, καὶ τῆς καθ᾽ ἑαυτὸν συγγενείας, ἔξοδον ἀνδρὶ προφήτῃ πρὸς Θεοῦ κατανόησιν ἐπειγομένῳ πρέπουσαν. οὐ γάρ μοι δοκεῖ τις τοπικὴ μετανάστασις τῶν νοητῶν εὑρισκομένων προξενεῖν τὴν κατάληψιν. ἀλλ᾽ αὐτὸς C ἑαυτοῦ καὶ τῆς ἰδίας γῆς, τοῦ γηΐνου τε καὶ ταπεινοῦ λέγω φρονήματος ἔξω γενόμενος, καὶ ὑπεράρας ὡς οἷόν τε ἦν τῶν κοινῶν τῆς φύσεως ὅρων ἑαυτοῦ τὴν διάνοιαν, καὶ καταλιπὼν τῆς ψυχῆς τὴν πρὸς τὰς αἰσθήσεις συγγένειαν. ὡς μηδενὶ τῶν κατ᾽ αἴσθησιν προφαινομένων ἐνοχλούμενος, πρὸς τὴν κατανόησιν τῶν ἀοράτων ἀμαυρωθῆναι, μήτε ἀκοῆς περιηχούσης, μήτε ὄψεως ἐν τοῖς φαινομένοις τὴν διάνοιαν διαπλανώσης, καθώς φησιν ὁ ἀπόστολος, διὰ πίστεως περιπατῶν, οὐ διὰ εἴδους, εἰς τοσοῦτον ἐπήρθη τῇ μεγαλοφυΐᾳ τῆς D γνώσεως, ὥστε ὅρος νομισθῆναι τῆς ἀνθρωπίνης τελειώσεως· τοσοῦτον γνοὺς τὸν Θεόν, ὅσον ἦν δυνατὸν τὴν βραχεῖαν καὶ ἐπίκηρον ταύτην δύναμιν ὑπερταθεῖσαν χωρῆσαι. τοιγαροῦν καὶ ὁ πάσης κτίσεως κύριος, ὥσπερ τι εὕρημα τοῦ πατριάρχου γενόμενος, ἰδίως Θεὸς τοῦ Ἀβραὰμ ὀνομάζεται. ἀλλ᾽ ὅμως τί φησι περὶ ἐκείνου ὁ λόγος; ὅτι ἐξῆλθεν, οὐκ ἐπιστάμενος ποῦ ἀπέρχεται, ἀλλ᾽ οὐδὲ τὸ ὄνομα τοῦ ἀγαπωμένου μαθεῖν χωρήσας, οὔτε μὴν τῇ ἀγνοίᾳ ταύτῃ δυσανασχετῶν τι καὶ αἰσχυνόμενος. τοῦτο μὲν οὖν αὐτῷ καὶ ἦν ἀσφαλὴς ἡ τοῦ ζητουμένου ὁδηγία, τὸ μηδενὶ τῶν προχείρων εἰς κατανόησιν

ἐν ταῖς περὶ τοῦ Θεοῦ διανοίαις χειραγωγεῖσθαι· μηδενὶ τινι ὅλως τῶν καταλαμβανομένων ἐπιστήσασθαι αὐτοῦ ποτε τὴν διάνοιαν στῆναι τῆς εἰς τὸ ἐπέκεινα τῶν γινωσκομένων πορείας. ἀλλ' ὥσπερ τὴν ἐγχώριον αὐτοῦ σοφίαν, τὴν Χαλδαϊκὴν λέγω φιλοσοφίαν, μέχρι τῶν φαινομένων ἑστῶσαν τῷ λογισμῷ διαβάς, καὶ ὑψηλότερος τῶν διὰ τῆς αἰσθήσεως γινωσκομένων γενόμενος, ἐκ τοῦ κάλλους τῶν θεωρουμένων, καὶ ἐκ τῆς ἁρμονίας τῶν οὐρανίων θαυμάτων, τὸ ἀτύπωτον κάλλος ἰδεῖν ἐπεθύμησεν. οὕτω καὶ τὰ ἄλλα πάντα ὅσα προϊὼν τῷ λογισμῷ κατελάμβανεν, εἴτε δύναμιν, εἴτε ἀγαθότητα, εἴτε τὸ ἄναρχον εἶναι, εἴτε τὸ πρὸς οὐδὲν πέρας ὁρίζεσθαι, εἴτε τι τοιοῦτον ἕτερον νόημα περὶ τὴν θείαν φύσιν εὑρίσκεται, πάντα ἐφόδια πρὸς τὴν ἄνω πορείαν, καὶ ὑποβάθρας ποιούμενος, καὶ ἀεὶ τοῖς εὑρισκομένοις ἐπερειδόμενος καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος τὰς καλὰς ἐκείνας ἀναβάσεις, καθώς φησιν ὁ προφήτης, ἐν τῇ καρδίᾳ διατιθέμενος, καὶ πᾶν τὸ καταλαμβανόμενον ὑπὸ τῆς ἰδίας δυνάμεως, ὡς τοῦ ζητουμένου μικρότερον ὑπερβαίνων. ἐπεὶ πᾶσαν ἐν ταῖς περὶ τοῦ Θεοῦ ὑπολήψεσι τὴν ἐξ ὀνομάτων γινομένην τῆς φύσεως εἰκασίαν παρέδραμεν, ἐκκαθάρας τὸν λογισμὸν τῶν τοιούτων ὑπονοιῶν, ἀμιγῆ τε καὶ καθαρὰν πάσης ἐννοίας τὴν πίστιν ἀναλαβών, τοῦτο σημεῖον ἐποιήσατο τῆς τοῦ Θεοῦ ἐπιγνώσεως ἀπλανές τε καὶ ἔκδηλον, τὸ κρεῖττον καὶ ὑψηλότερον παντὸς γνωριστικοῦ σημείου τὸν Θεὸν εἶναι πιστεῦσαι. διά τοι τοῦτο μετὰ τὴν ἐπιπεσοῦσαν ἐκείνην ἔκστασιν ἐκ τῶν ὑψηλῶν θεαμάτων πάλιν ἐς τὴν ἀνθρωπίνην κατακύψας ἀσθένειαν, ἐγὼ δὲ εἰμί, φησι, γῆ καὶ σποδός. τουτέστιν ἄφωνός τε καὶ ἀνενέργητος, ὡς πρὸς τὴν τοῦ νοηθέντος ἀγαθοῦ ἑρμηνείαν. ἡ γὰρ γῆ δοκεῖ μοι καὶ ἡ τέφρα τὸ ἄψυχον καὶ τὸ ἄγονον ἅμα διασημαίνειν, καὶ οὕτω νόμος πίστεως γίνεται τῷ μετὰ ταῦτα βίῳ. διδάσκων τῇ κατ' αὐτὸν ἱστορίᾳ τοὺς τῷ Θεῷ προσιόντας, ὅτι οὐκ ἔστιν ἄλλως προσεγγίσαι Θεῷ, μὴ πίστεως μεσιτευούσης καὶ συναπτούσης δι' ἑαυτῆς τὸν ἐπιζητοῦντα νοῦν, πρὸς τὴν ἀκατάληπτον φύσιν. καταλιπὼν γὰρ τὴν ἐκ τῆς γνώσεως πολυπραγμοσύνην, ἐπίστευσε, φησίν, Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. οὐκ ἐγράφη δὲ δι' ἐκεῖνον,

A in his notitiis quæ de Deo ſunt, quaſi manu duceretur, quódq. nullo penitus eorum quæ cõprehendi poſſunt, cõmota ipſius intelligentia progreſſum eius ſiſteret, ad id quod omnia quæ cognoſcuntur ſuperat. Sed queadmodum indigenã eius ſapientiã, Chaldaicam dico philoſophiã, vſque ad ea quæ apparent conſiſtentem ratiocinatione cum tranſiliſſet, atque his quæ ſenſu cognoſcuntur excelſior factus, ex pulchritudine eorũ quæ contẽplatione percipiuntur, atq. ex cœleſtium miraculorũ cõcinnitate formis non effictam, nec expreſſam B pulchritudinem videre expetiuit. Sic & alia omnia quæ ratiocinatione procedens cõprehendebat, ſiue potentiã, ſiue bonitatẽ, ſiue quod eſt eſſe abſque origine & principio, ſiue quod nullo definitur termino, ſiue quid aliud tale cogitatum & animo perceptũ de diuina natura inuenitur, omnia viatica ad ſupernorum perfectionẽ faciens, & quaſi fulcrum, & ſuſtẽtaculum præiaciens, ſemperque inuentis innixus & præſentibus intentus pulchras illas aſcenſiones, ſicut ait propheta in corde cõponẽs, & omne quod comprehenditur à propria facul- C tate, vt eo quod quæritur minus, ſuperaſcendens. Poſtquã omnem quæ ex nominibus poteſt ingenerari naturæ coniecturam, circa opiniones quæ de Deo ſunt, prætercurrit, talibus ſuſpicionibus rationem expurgatã habens, impermixtámque & purã ab omni notitia fidem adeptus, hoc ſignum erroris neſcium & manifeſtum de Dei cognitione fecit, quod præſtantius eſt & excelſius omni ſigno ad cognitionẽ dato, nempe credere, quia Deus eſt. Propterea poſt illam mentis commotionem quæ ex illis excelſis, ſpeculamentis inciderat rurſus ad humanam infirmitatem reuolutus, Ego D verò, inquit, ſum puluis & cinis, id eſt mutus, iners & inefficax ad explicationem boni quod mente conceperat. Terra enim mihi videtur & cinis, quod animæ expers & ſterile ſimul, ſignificare. Et ſic lex fidei fit vitæ poſteræ, docens hac hiſtoria eos qui ad Deum accedunt, quòd non aliter licet Deo appropinquare, niſi fide interueniẽte, & per ſe copulante intellectũ, qui inquirit cum natura incõprehẽſibili. Relicta enim ex cognitione curioſitate, Credidit, inquit, Abrahã Deo, & reputatum eſt ei ad iuſtitiam. Non ſcriptum eſt propter illum

(ait Apoſtolus) ſed propter nos, quòd A fidem non cognitionem Deus ad iuſtitiam hominibus reputat. Nam cognitio velut negotiatoriam quandã diſpoſitionem habet, ſoli cognito aſſentiens: ſed Chriſtianorum fides non ſic: non enim eorũ quæ cognoſcuntur, ſed quæ ſperantur eſt fundamentũ ſiue ſubſtantia. Quod verò tenetur firmiter, non ſperatur. Quod enim quis habet, ait Apoſtolus, quid etiam ſperat? Quod autem noſtram cognitionem fugit, noſtrum fides facit, ſpondens propria firmitate quod non apparet. Sic enim ait de fideli Apoſtolus, Quod inuiſibilem tanquam B videns fortiter ſuſtinuit. Vanus igitur qui per cognitionem fruſtra inflantem, diuinam eſſentiam poſſe dignoſci autumat. Non enim homo ita magnus, vt comprehenſiuã ſuam facultatẽ domino æquare audeat. Quis enim, inquit Dauid, in nubibus æquabitur domino? neque enim quod quæritur ita paruum eſt & exile, vt rationibus humanæ breuitatis poſſit comprehendi. Audi Eccleſiaſtem ſic conſulentem. Noli proferre verbum ante faciem Dei. Quia Deus, inquit, in cœlo ſurſum, & tu in terra de- C orſum. Demonſtrat autem per horum elementorum mutuam coniũctionem, imò verò diſtantiam, quantò diuina natura humanarum ratiocinationum excogitatione eſt ſublimior. quantò enim ſidera digitorum tactu ſunt altiora, tantò, imò verò multis partibus, quæ omnẽ intellectum ſuperat natura, terrenis cogitationibus & rationibus ſuperior extat. Ergo cùm didicerimus quantum naturæ diſcrimen eſt, in propriis terminis quietè & tranquillè maneamus. Tutius enim ſimul & religioſius, pluſquam quod intelligitur, Dei majeſtatẽ D & magnificentiam eſſe credere, quàm quibuſdam opinionibus gloriam ipſius circumſcribentes, nihil ſupra illam putare: præſertim neque ſi quis tutum eſſe dixerit, diuinam eſſentiam non curioſè & ſollicitè perſcrutandam, vt inenarrabilem & humanis cogitationibus incomprehẽſibilem, & intractabilẽ. Nam obſcura velle coniectura pertingere, & aliquam occultorũ cognitionem ex humanarũ rationum cõmentatione ſcrutari, falſis opinionibus & commentitiis aditum & cõſequentiã præbet: quia qui ea quæ ignorãtur cõiectauit, non ſolùm verum, ſed & ipſum mendacium ſæpe,

A ὁ ἀπόστολος λέγει, ἀλλὰ δι' ἡμᾶς, ὅτι τὴν πίστιν οὐχὶ τὴν γνῶσιν ὁ Θεὸς εἰς δικαιοσύνην λογίζεται τοῖς ἀνθρώποις. ἡ μὲν γὰρ γνῶσις ὡς ἐμπορικήν τινα τὴν διάθεσιν ἔχει, μόνῳ τῷ γινωσκομένῳ συντιθεμένη· ἡ δὲ τῶν Χριστιανῶν πίστις, οὐχ οὕτως. οὐ γὰρ τῶν γινωσκομένων, ἀλλὰ τῶν ἐλπιζομένων ἐστὶν ὑπόστασις· τὸ δὲ διακρατούμενον οὐκ ἐλπίζεται. ὃ γὰρ ἔχει τις φησί, τί καὶ ἐλπίζει; τὸ δὲ διαφεῦγον τὴν κατανόησιν ἡμῶν, ἡμέτερον ἡ πίστις ποιεῖ, διὰ τῆς ἰδίας βεβαιότητος ἐγγυωμένη τὸ μὴ φαινόμενον.
B οὕτω γάρ φησι περὶ τοῦ πιστοῦ ὁ ἀπόστολος, ὅτι τὸν ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε. μάταιος οὖν ὁ διὰ γνώσεως τῆς μάτην φυσιούσης ἐπιγνῶναι τὴν θείαν οὐσίαν δυνατὸν εἶναι λέγων. οὔτε γὰρ ἄνθρωπος οὕτω μέγας, ὥστε ἐξισῶσαι τῷ κυρίῳ τὴν καταληπτικὴν ἑαυτοῦ δύναμιν. τίς γὰρ ἐν νεφέλαις ἰσωθήσεται τῷ κυρίῳ; φησὶν ὁ Δαβίδ· οὔτε οὕτω μικρὸν τὸ ζητούμενον, ὥστε ὑπὸ λογισμῶν ἀνθρωπίνης βραχύτητος περιληφθῆναι. ἄκουε τοῦ ἐκκλησιαστοῦ συμβουλεύοντος, μὴ ἐξενεγκεῖν ῥῆμα πρὸ προσώπου
C Θεοῦ, ὅτι ὁ Θεός, φησίν, ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κάτω· δείκνυσι δὲ οἶμαι, διὰ τῆς τῶν στοιχείων τούτων πρὸς ἄλληλα οἰκειώσεως, μᾶλλον δὲ διαστάσεως· ὅσον ὑψηλοτέρα ἡ θεία φύσις τῶν ἀνθρωπίνων λογισμῶν περινοίας. ὅσον γὰρ ἀνώτερα τὰ ἄστρα τῆς τῶν δακτύλων ἀφῆς, τοσοῦτον, μᾶλλον δὲ πολλαπλάσιον καὶ ἡ πάντα νοῦν ὑπερέχουσα φύσις τῶν λογισμῶν τῶν γηΐνων ὑπερανέστηκεν. οὐκοῦν μαθόντες ὅσον τῆς φύσεως τὸ διάλλαττόν ἐστι, τοῖς ἰδίοις ὅροις δι' ἡσυχίας ἐμμένωμεν. ἀσφαλέστερον γὰρ ἅμα
D καὶ εὐσεβέστερον πλέον τοῦ νοουμένου τὸ μεγαλοπρεπὲς εἶναι τοῦ Θεοῦ πιστεύειν, ἢ τισὶν ὑπονοίαις τὴν δόξαν αὐτοῦ περιγράψαντας, μηδὲν ὑπὲρ ἐκεῖνο οἴεσθαι. καὶ ἄλλως οὐδ' ἄν τις ἀσφαλὲς εἶναι φήσειεν, ἀπολυπραγμόνητον ἐᾶν τὴν θείαν οὐσίαν ὡς ἀπόρρητον καὶ ἀνέπαφον ἀνθρωπίνοις λογισμοῖς. τὸ μὲν γὰρ τῶν ἀδήλων καταστοχάζεσθαι, καί τινα τῶν ἀποκρύφων γνῶσιν ἐξ ἐπινοίας ἀνθρωπίνων λογισμῶν ἐρευνᾶσθαι, πάροδον καὶ ἀκόλουθον ταῖς διεψευσμέναις τῶν ὑπολήψεων δίδωσιν. διότι τῶν ἀγνοουμένων ὁ στοχασμένος, οὐ μόνον τὸ ἀληθές, ἀλλὰ καὶ αὐτὸ πολλάκις τὸ ψεῦδος, ὡς

ἀληθὲς ὑπολήψεται, ὁ δὲ τῶν εὐαγγελίων καὶ τῆς προφητείας μαθητής, ὅτι μέν ἐστιν ὁ ὤν, ἐξ ὧν ἀκήκοέ τε τῶν ἁγίων, καὶ διὰ τῆς τῶν φαινομένων εὐαρμοστίας, καὶ τῶν τῆς προνοίας ἔργων πιστεύει. τί δὲ καὶ ὅπως ἐστίν, ὡς ἀνωφελὲς ἅμα καὶ ἀσύνετον οὐκ ἐξετάζων, οὐδεμίαν δώσει τῷ ψεύδει κατὰ τῆς ἀληθείας τὴν εἴσοδον. ἐν μὲν γὰρ τῷ πολυπραγμονεῖν καὶ παραλογισμὸς χώραν εὑρίσκει. πάσης δὲ πολυπραγμοσύνης ἀργούσης, συναποκόπτεται πάντως καὶ ἡ τοῦ διαμαρτεῖν ἀνάγκη. καὶ ὅτι ἀληθὴς ὁ λόγος πάρεστιν ἐκ τούτου μαθεῖν, πῶς αἱ τῶν ἐκκλησιῶν αἱρέσεις εἰς ποικίλας καὶ διαφόρους τὰς περὶ τοῦ Θεοῦ ὑπολήψεις ἀπεπλανήθησαν, ἄλλου κατ' ἄλλην τινὰ τῆς διανοίας κίνησιν ἑαυτὸν ἀπατήσαντος. πῶς αὐτοὶ οὗτοι περὶ ὧν ὁ λόγος περὶ τὸ βάραθρον τοῦτο τῆς ἀσεβείας κατωλίσθον. ἆρ' οὐχὶ πᾶσιν ἀσφαλέστερον ἦν κατὰ τὴν συμβουλὴν τῆς σοφίας μὴ ζητεῖν τὰ βαθύτερα; ἀλλὰ δι' ἡσυχίας τὴν ἁπλῆν τῆς πίστεως παρακαταθήκην ἄσυλον ἑαυτοῖς ἀσφαλίζεσθαι; ἀλλ' ἐπεὶ ὅλως ἀρχὴν ἔλαβεν ἡ τῶν ἀνθρώπων οὐδένεια, τοῖς ἀπερινοήτοις ἐμβατεύειν εἰκῆ, καὶ δόγμασι κρατύνειν τὰ τῆς ματαίας οἰήσεως αὐτῶν παρευρήματα. ἐντεῦθεν ὁ πολὺς κατάλογος τῶν τῇ ἀληθείᾳ προσπολεμούντων. καὶ αὐτοὶ οὗτοι περὶ ὧν ὁ λόγος ἐστίν, οἱ δογματισταὶ τῆς ἀπάτης ἀναπεφήνασιν, οἱ εἰς περιγραφήν τινα τὸ θεῖον ἄγοντες. μονονουχὶ φανερῶς εἰδωλοποιοῦντες ἑαυτῶν τὴν ὑπόνοιαν, ἐν τῷ τὴν ἐμφαινομένην τῇ ἀγεννησίᾳ διάνοιαν ταύτην θεοποιεῖν, ὡς οὐχὶ κατά τινα λόγον ἐπιθεωρουμένην τῇ θείᾳ φύσει, ἀλλ' αὐτὴν οὖσαν Θεὸν, ἢ οὐσίαν Θεοῦ. καὶ τοί γε ἴσως ἐχρῆν πρὸς τὸν τῶν ἁγίων χορὸν ἀποβλέποντας, τοὺς προφήτας λέγω καὶ πατριάρχας, οἷς πολυμερῶς καὶ πολυτρόπως ὁ τῆς ἀληθείας ἐνεφθέγξατο λόγος· καὶ μετὰ ταῦτα τοὺς αὐτόπτας τε καὶ ὑπηρέτας γενομένους τοῦ λόγου, καὶ δυσωπηθῆναι μὲν τὴν ἀξιοπιστίαν τῶν ὑπ' αὐτοῦ μαρτυρηθέντων τοῦ πνεύματος, ἐμμένειν δὲ τοῖς ὅροις τῆς ἐκείνων διδασκαλίας καὶ γνώσεως, καὶ μὴ ἐπιτολμᾶν τούτοις ὧν ἡ τῶν ἁγίων κατάληψις οὐκ ἐφήψατο. ἐκεῖνοι γὰρ ἀγνοούμενον τέως τῇ ἀνθρωπίνῃ ζωῇ τὸν Θεὸν διὰ τὴν ἐπικρατοῦσαν τότε περὶ τὰ εἴδωλα πλάνην ἐμφανῆ καὶ γνώριμον τοῖς

A vt verum opinabitur. Euangeliorum autē & prophetiæ diſcipulus, quod quidem eſt ille qui eſt, tam ex ſanctis Scripturis quas audiuit, quàm ex eorū quæ apparent apta concinnitate, & per prouidentiæ opera credit. Quid autem & quomodo eſt, vt inutile ſimul & ineptum non exquiret, neque vllum dabit mendacio contra veritatem introitum: nā in nimis anxiè & curioſè inquirēdo peruerſa, & fallax ratiocinatio locum inuenit, ſed omni curioſitate ceſſante prorſus omnis aberrandi neceſſitas abſcinditur. Et quod vera ratio adeſt, ex B hoc diſcendi, quomodo eccleſiarū hæreſes in varias & diſcrepantes de Deo opiniones cum errore deflexerint: cùm alius ſecundùm aliquam aliam mentis motionē ſeipſum deceperit. Vt etiam hi ipſi de quibus eſt ſermo, in hoc impietatatis barathrum lubricè corruerunt. An non omnibus eſſet tutius ſecundùm ſapientiæ conſilium non quærere profundiora? ſed in quiete ſimplex fidei depoſitum inuiolabile & intactum ſibiipſis cuſtodire? Sed poſtquam penitus cepit hominum vilitas & vanitas, temerè per ea quæ mente cōprehendi non poſſunt, C incedere, ac decretis firmare vanæ opinionis ſuæ commenta: inde longus catalogus eorum qui veritati bellum inferunt, inter quos hi etiam ipſi de quibus ſermo eſt, qui erroris & fraudis dogmatiſtæ apparuerunt, qui quod Deus eſt, circumſcriptione quadā complectēres, propemodum apertè ſuam opinionem velut idolum fingunt, dum hanc intelligentiam quæ eſt in eorum ἀγεννησίᾳ deificant, vt quæ nulla ratione in diuina natura cernatur: ſed ipſa ſit Deus, vel Dei eſſentia. Atqui fortaſſe oportebat eos ad ſanctorum chorum inſpicientes, prophetas intelligo & Patriarchas, quibus D multifariam multiſque modis veritatis ſermo inſonuit: & poſteà ipſos etiam inſpectores & miniſtros factos verbi, cùm venerari fidei dignam autoritatem eorum, quæ ab ipſo ſpiritu teſtata ſunt & confirmata, tum illorum doctrinæ & cognitionis terminis inſiſtere, neque audere in his, quæ ſanctorum comprehenſio non affirmauit. Illi enim, tunc humanæ vitæ incognitum Deum, propter præualentem circa idola errorem perſpicuum & notum homini-

bus facientes, tùm ex miraculis quæ in ipſius operibus elucent, cùm ex nominibus, quibus varietas diuinę virtutis intelligitur, ad diuinæ naturæ intelligentiam tanquã manus ducũt, magnificentiam ſolam eorũ quę de Deo cõſiderantur, hominibus notam facientes: eſſentiæ autem rationẽ, & quæ capi nullo modo poſſit, neq. quid afferat lucri & cõmodi, his qui nimis anxiè & curioſè perquirũt ineſtabilem & non perueſtigabilẽ diuiſerunt. Etenim etiã alia omnia certè facta eſſe narrauerũt, cœlum, terrã, mare, tempora, ſæcula, & quæ in eis ſunt, creaturas. quid autẽ horum vnũquodque, & quomodo, & vnde, taciti prætererunt: ſic etiã de Deo quia eſt, & quærentibus
Hebr. 11. ſe fit remunerator, cõſulũt credere: naturã autẽ ipſam quæ ſupra eſt omne nomen, neque nominarunt, neq. curarunt. Si enim nomẽ aliquod ad declarationẽ diuinæ cognitionis didicimus, hæc omnia cõmunionem habent, & proportionẽ cum eiuſmodi nominibus quę alicuius hominis proprietatẽ demõſtrant. Quemadmodũ enim hi qui quempiam ſibi incognitũ, per aliqua indicia & ſigna declarant, ipſum ex bono patre ortum & ingenuum, ſi ſic ſors tulerit, & ex nobilibus dicunt eſſe, atque diuitiis clarum & dignitate conſpicuum, ætate florentem, & in tantum corpore eminentem, & quæ ſunt eiuſmodi dum dicunt, nõ naturã eius qui declaratur, ſed quædam ſigna & notas eorum quæ in ipſo cognoſcuntur, indicarunt. Neque enim quod generoſum & nobile, neque pecunioſum, neque illuſtre dignitate, quod ætate floret, & ſpectabile eſt, ipſe homo eſt, ſed horum vnumquodque in aliquo ſpectatur. Sic etiam omnes voces ſanctæ Scripturæ ad glorificationem diuinam inuentæ, eorum quæ aliquid in Deo declarant, ſignificant, propriam ſignificationem ſingulæ præbentes, per quas, vel quod potens eſt, vel quod deterioris non eſt capax, vel quod non eſt ex cauſſa, vel quod circumſcribi non poteſt, vel quod in omnia habet imperium, vel omnino quid eorũ quæ in ipſo conſiderantur, docemur: eſſentiam autem ipſam, vt neque intelligentia perceptibilem, neq. oratione effabilem, non curioſè inquirẽdam dimiſit, ſilentio colendã eſſe ſanciens, dum vetuit profundorũ inquiſitionẽ, & dum edixit non oportere efferre verbum ante faciẽ Dei. Ob eam

A ἀνθρώποις ποιοῦντες ἔκ τε τῶν θαυμάτων ἃ τοῖς παρ' αὐτοῦ γεγενημένοις ἐμφαίνεται, καὶ ἐκ τῶν ὀνομάτων δι' ὧν τὸ ποικίλον τῆς θείας δυνάμεως κατανοεῖται, πρὸς τὴν σύνεσιν τῆς θείας φύσεως χειραγωγοῦσι, τὴν μεγαλοπρέπειαν μόνην τῶν περὶ τὸν Θεὸν θεωρουμένων τοῖς ἀνθρώποις γνωρίζοντες· τὸν δὲ τῆς οὐσίας λόγον, ὡς οὔτε δυνατὸν χωρηθῆναι, οὔτέ τι φέροντα τοῖς πολυπραγμονοῦσι τὸ κέρδος, ἄρρητον ἀφῆκαν καὶ ἀνεξέταστον. καὶ γὰρ καὶ τἄλλα πάντα ὅτι μὲν γέγονε διηγήσαντο, οὐρανόν, γῆν, θάλασσαν,
B χρόνους, αἰῶνας καὶ τὴν ἐν τούτοις κτίσιν· ὅτι δὲ τούτων ἕκαστον, καὶ ὅπως, καὶ ὅθεν, ἀπεσιώπησαν· οὕτω καὶ περὶ Θεοῦ, ὅτι μὲν ἔστι, καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται, συμβουλεύουσι πείθεσθαι, τὴν δὲ φύσιν αὐτὴν ὡς ὑπὲρ πᾶν οὖσαν ὄνομα, οὔτε ὠνόμασαν, οὔτε ἐμέλησαν. εἰ γάρ τι πρὸς δήλωσιν τῆς θείας κατανοήσεως μεμαθήκαμεν ὄνομα, πάντα ταῦτα κοινωνίαν ἔχει καὶ ἀναλογίαν πρὸς τὰ τοιαῦτα τῶν ὀνομάτων, ἃ τοῦ τινὸς ἀνθρώπου τὴν ἰδιότητα δείκνυσιν. ὡς γὰρ οἱ τὸν ἀγνοούμενον διά τινων γνωρισμάτων δηλοῦντες, εὐπατρίδα αὐτόν, εἰ οὕτω
C τύχῃ, καὶ τῶν εὐγενεστάτων λέγουσιν εἶναι, καὶ λαμπρὸν ἐν πλούτῳ καὶ ἐν ἀξίᾳ περίβλεπτον, ἀνθοῦντά τε τῇ ὥρᾳ, καὶ ἐπὶ τόσον διαφανέστατα τῷ σώματι, καὶ τὰ τοιαῦτα λέγοντες, οὐ τὴν φύσιν τοῦ δηλουμένου, ἀλλά τινα γνωρίσματα τῶν περὶ αὐτὸν γινωσκομένων ἐδηλώσαμεν. οὔτε γὰρ τὸ εὐγενές, οὔτε τὸ πολυχρήματον, οὔτε τὸ περιφανὲς τοῦ ἀξιώματος, οὔτε τὸ κατὰ τὴν ὥραν περίβλεπτον ὁ ἄνθρωπος ἐστίν, ἀλλ' ἕκαστον τούτων περὶ τὸν τινὰ θεωρεῖται· οὕτως καὶ πᾶσαι φωναὶ τῆς ἁγίας γραφῆς εἰς δοξολογίαν θείαν ἐξευρημέναι, τῶν
D περὶ τὸν Θεὸν τι δηλουμένων ἀποσημαίνουσιν, ἰδίαν ἔμφασιν ἑκάστη παρεχομένη δι' ὧν ἢ τὸ δυνατόν, ἢ τὸ τοῦ χείρονος ἀνεπίδεκτον, ἢ τὸ μὴ ἐξ αἰτίας εἶναι, ἢ τὸ μὴ εἰς περιγραφὴν τέλους ἔρχεσθαι, ἢ τὸ κατὰ πάντων ἔχειν τὸ κράτος, ἢ ὅλως τι τῶν περὶ αὐτόν, διδασκόμεθα· αὐτὴν δὲ τὴν οὐσίαν ὡς οὔτε διανοίᾳ τινὶ χωρητήν, οὔτε λόγῳ φραστήν, ἀπολυπραγμόνητον εἴασε, σιωπῇ τιμᾶσθαι νομοθετήσασα ἐν τῷ κωλύειν τῶν βαθυτέρων τὴν ζήτησιν, καὶ ἐν τῷ λέγειν μὴ δεῖν ἐξενεγκεῖν ῥῆμα πρὸ προσώπου Θεοῦ. διὰ τοῦτο

πᾶσαν τὴν θεόπνευστον φωνὴν ἐρευνώμενος, οὐκ ἂν εὕροι τῆς θείας φύσεως τὴν διδασκαλίαν, οὐδὲ μὴν ἄλλου τινὸς τῶν κατ᾽ οὐσίαν ὑφεστηκότων. ὅθεν ἐν ἀγνοίᾳ πάντων διάγομεν, πρῶτον ἑαυτοὺς ἀγνοοῦντες οἱ ἄνθρωποι, ἔπειτα δὲ καὶ τὰ ἄλλα πάντα. τίς γάρ ἐστιν ὃς τῆς ἰδίας ἑαυτοῦ ψυχῆς ἐν καταλήψει γεγένηται; τίς ὁ ἐπιγνοὺς αὐτῆς τὴν οὐσίαν; ὑλική τίς ἐστιν, ἢ ἄϋλος; καθαρῶς ἀσώματος, ἤ τι καὶ σωματοειδὲς περὶ αὐτήν; πῶς γίνεται; πῶς κιρνᾶται; πόθεν εἰσκρίνεται; πῶς ἀφίσταται; τί τὸ συνδεσμοῦν καὶ μεσιτεῦον ἔχει πρὸς τὴν τοῦ σώματος φύσιν; πῶς ἡ ἀναφής τε καὶ ἀσχημάτιστος, ἰδίᾳ τινὶ περιγραφῇ περιείληπται; τίς κατὰ τὰς ἐνεργείας διαφορά; πῶς ἡ αὐτὴ καὶ ὑπὲρ τὸν οὐρανὸν ἀνατείνεται, τῇ πολυπραγμοσύνῃ τῶν ἀοράτων καὶ πρὸς τὰ ὑλικὰ πάθη καταλισθαίνει τῷ βάρει τοῦ σώματος καθελκομένη, θυμόν τε καὶ φόβον, λύπην τε καὶ ἡδονήν, ἔλεον καὶ ἀπήνειαν, ἐλπίδα καὶ μνήμην, δειλίαν καὶ θράσος, φιλίαν καὶ μῖσος, καὶ πάντα τὰ κατὰ τὸ ἐναντίον ταῖς δυνάμεσι τῆς ψυχῆς ἐνεργούμενα. τίς ἄρα κατανοήσας οὐκ ἐλογίσατο μά τινα δῆμον ψυχῶν ἐν ἑαυτῷ συγκεκροτημένον ἔχει; πάμπολυ τῶν εἰρημένων ἑκάστου πρὸς τὰ λοιπὰ διαφέροντος; καὶ καθὸ δὴ ἐπικρατῇ τὴν κατὰ πάντων ἔχοντος δυναστείαν, ὡς καὶ αὐτὸ τὸ λογιστικὸν ταῖς ἐπικρατήσεσι τῶν τοιούτων κινημάτων ὑποπίπτειν καὶ ὑποτάσσεσθαι· καὶ τὴν παρ᾽ ἑαυτοῦ συνεργείαν πρὸς τὰς τοιαύτας ὁρμὰς οἷον δεσπότῃ τινὶ τυραννικῶς συνεισφέρειν; τὸ οὖν πολυμερὲς καὶ πολυειδὲς τοῦτο τῶν κατὰ ψυχὴν νοουμένων, τίς ὁ διδάξας ἡμᾶς ἐκ τῆς θεοπνεύστου γραφῆς λόγος; πότερον ἕν τί ἐστιν ἐξ ἁπάντων συγκεκραμένον; καὶ τίς ἡ τῶν ἐναντίων πρὸς ἄλληλα κρᾶσις καὶ σύμπνοια, ὡς ἓν πρᾶγμα τὰ πολλὰ γίνεσθαι; ἀλλ᾽ ἕκαστον τούτων κατ᾽ ἰδίαν νοούμενον οἷον ἐν πολυχώρῳ τινὶ ἀγγείῳ τῇ ψυχῇ κατακέκλεισται; καὶ πῶς οὐκ ἀεὶ πάντων ὡς ἐγκειμένων τὴν αἴσθησιν ἔχομεν, θαρροῦντες ἅμα καὶ δειλαινόμενοι, μισοῦντες τὸ κατ᾽ αὐτὸν καὶ ἡδόμενοι, καὶ τῶν ἄλλων πάντων συγκεχυμένην καὶ ἀναμεμιγμένην εἴσω τὴν κίνησιν ἔχοντες· ἀλλ᾽ ἀνὰ μέρος αὐτοῦ τὴν δυναστείαν ἐπιγινώσκομεν, ὅταν ἐπι-

A cauſam qui omnẽ diuinitùs inſpiratam vocem perſcrutari voluerit, nõ inueniet diuinæ naturæ doctrinam, nec vllius eorum quæ per eſſentiam ſubſiſtunt: vnde in rerum omnium ignorãtia & caligine degimus, primum nos ipſos ignorantes homines, deinde etiam cætera omnia. Quis enim eſt qui ſuæ propriæ animæ cognitionem perceptam habuit? quis nouit ipſius eſſentiam? an materialis eſt, an immaterialis, purè incorporea, an quid in ea corporeum? quomodo naſcitur, quomodo temperatur? vnde in corpus inſinuatur? quomodo abſcedit?
B quid habet quod colligat & intermediũ veniat ad naturã corporis? quomodo tactum fugit & figuræ omnis expers, propria quadã circumſcriptione cõprehendatur? quænam ſecundum operationes eius differẽtia? quomodo eadem etiam ſupra cœlum extẽditur, dum curioſa indagatione quæ ſunt inuiſibilia inueſtigat, atque etiam ad materiales affectus delabitur pondere corporis attracta, irámq. & metum, dolorem & voluptatem, miſericordiã & ſæuitiam, ſpem & memoriã, ignauiam & audaciam, amicitiam & odium, & omnia quæ ex contra-
C rio animi facultatibus efficiuntur: quæ quis animaduertens, non cogitauerit quendam populum animarum in ſeipſo coitione quadã coarctarum & comparatarũ habere? cùm eorũ quæ dicta ſunt vnumquodque permultum à cæteris differat? & qua parte præualeat, & in reliqua imperium habeat: vt etiam vis illa ratiocinatrix taliũ motionum dominationibus & imperiis ſuccumbat & ſubijciatur, atq. ex ſeipſa ſuam etiã operam ad tales impetus, veluti domino cuidam tyrannico conducat? hanc igitur vim multiplicem & multiformẽ eorum quæ
D in animo intelligũtur, quis ex ſcriptura diuinitùs inſpirata nos docuit? vtrum vnum quiddã eſt ex omnibus cõtemperatum? & quæ contrariorũ inter ſe temperatio & conſpiratio, vt quod vnũ eſt, multa ſit? ſed horum quicque ſeparatim intellectum, velut in amplo vaſe aliquo, nempe anima incluſum eſt? Et quomodo omniũ ſic incumbẽtium ſenſum non habemus, confidentes ſimul & formidantes, odio habentes & diligentes, dolentes & gaudentes, & aliorum omnium confuſum & permixtum intus motum habentes: ſed particulatim ipſorum potentiam cognoſcimus, cùm ali-

aliquid horum aliis quieſcentibus præualet & exuperat. Quænã penitus compoſitio hæc & diſpoſitio, atque multum inanis in nobis ſpatioſa capacitas, ita vt cuiq. proprius locus ſit aſſignatus, velut quibuſdam mediis & interiectis ſepimentis prohibito ferri ad vicini cõmercium & commixtionem? Hoc etiam ipſum ſi per eſſentiam ira ſubſiſtit, vel metus, vel reliqua quæ dicta ſunt, vel quænam motiones non ſubſiſtentes exiſtunt, quis ſermo explanauerit? Si enim per ſe ſubſiſtunt, nõ vna eſt anima, ſicut dictum eſt, ſed quædam animarum in nobis coitio comprehenſa eſt, cùm horum quicque in peculiarem, & circumſcriptam animam ſecretum ſit ac diſtinctum. Quòd ſi quãdam motionem quæ ſubſiſtere nequeat, hęc nos putare oportet: quomodo quod non eſſentialiter exiſtit, nobis dominatur & imperat, tanquam ex tyrannide nos in ſeruitutem trahens, quodcumque horum præualuerit? Et ſi anima quid eſt quod mente percipiatur, quomodo in intelligibili, quod multis conflatum eſt partibus & compoſitum, poteſt cõſiderari, cùm talis notio abſque corporeis his qualitatibus propriè ſpectari debeat? Et auctrix animæ potentia, & appetitrix, & altrix, & immutatrix, & quòd omnia quidẽ corporis membra nutriuntur, nõ tamen per omnia ſenſus penetrat, ſed æquè ac quæ ſunt inanima, nõnulla in nobis ſenſu carent, cuiuſmodi ſunt oſſa, cartilagines, vngues, & pili, quę alũtur nec ſentiunt. Semiperfectã igitur animæ operationẽ, quis eſt ille qui nouit, dic mihi? Et quid de anima loquor? ſed neq. carnis ipſius corporeas qualitates demonſtratas euidenti aliqua & clara comprehenſione venatus eſt. Si enim quis ratione, quod apparet in ea ex quibus cõponitur, diſſoluerit, & ſubiectum qualitatibus denudatum in ſeipſo cognoſcere contenderit, quid hac ſpeculatione comprehenderit non video. Cùm enim à corpore colorem & figuram abſtraxerit, grauitatem, quantitatem, ſitum in loco, motum paſſiuum & actiuum, relationem ad aliquid, quorum vnumquodque ex ſe corpus non eſt, hæc tamen omnia in corpore ſpectantur: quid reliquum erit, quod corporis rationem ſuſcipit, neque per nos ipſos intelligere poſſimus, neque ex ſcriptura didicimus. Qui autem ſeipſum ignorat, quomodo

A κρατήσῃ τι τούτων ἡσυχαζόντων τῶν ἄλλων. τίς δὲ ὅλως καὶ ἡ σύνθεσις καὶ ἡ διάθεσις αὕτη, καὶ πολύχωρος ἐν ἡμῖν εὐρυχωρία, ὥστε ἑκάστῳ τὴν ἰδίαν χώραν ἀποτετάχθαι διά τισι μέσοις καὶ διατειχίσμασι κωλυομένῳ πρὸς τὴν ἐπιμιξίαν τοῦ γείτονος; αὐτὸ δὲ τοῦτο εἰ κατ' οὐσίαν ὑφέστηκεν ὁ θυμὸς, ἢ ὁ φόβος, ἢ καὶ τὰ λοιπὰ τῶν εἰρημένων, ἢ τινες ἀνυπόστατοι κινήσεις τυγχάνουσι, τίς ὁ διερμηνεύσας λόγος; εἰ μὲν γὰρ ὑφεστήκασιν, οὐ μία ψυχὴ, καθὼς εἴρηται, ἀλλά τι σύγκρότημα ψυχῶν ἐν ἡμῖν περιεί-
B ληπται, ἑκάστου τούτων εἰς ἰδιάζουσαν καὶ περιγεγραμμένην ψυχὴν ἀποκεκριμένου. εἰ δὲ τινα κίνησιν ἀνυπόστατον οἴεσθαι χρὴ ταῦτα εἶναι, πῶς κατακρατεῖ καὶ δυναστεύει ἡμῶν τὸ ἀνύπαρκτον, καθάπερ ἐκ τυραννίδος ἡμᾶς δουλωσάμενον, ὅτι περ ἂν τούτων κατακρατῆσαι τύχῃ, καὶ εἰ νοητόν τι ἐστὶν ἡ ψυχὴ, πῶς ἐν τῷ νοητῷ θεωρεῖται τὸ πολυμερές τε καὶ σύνθετον, ἰδίως τῆς τοιαύτης ἐννοίας παρὰ τὰς σωματικὰς ταύτας ποιότητας θεωρουμένης; ἡ δὲ αὐξητικὴ δύναμις τῆς ψυχῆς, ἤ τε ὀρεκτικὴ, καὶ
C θρεπτικὴ, καὶ ἀλλοιωτικὴ, καὶ τὸ πάντα μὲν τὰ τοῦ σώματος τρέφεσθαι, μὴ διὰ πάντων δὲ διήκειν τὴν αἴσθησιν. ἀλλ' ἐπίσης τοῖς ἀψύχοις ἔνια τῶν ἐν ἡμῖν ἀμοιρεῖν τῆς αἰσθήσεως, ὀστέων καὶ χόνδρων, ὀνύχων τε καὶ τριχῶν, καὶ τρεφομένων καὶ οὐκ αἰσθανομένων. τὴν οὖν ἡμιτελῆ τῆς ψυχῆς ἐπὶ τούτων ἐνέργειαν, τίς ὁ κατανοήσας εἰπέ μοι; καὶ τί περὶ τῆς ψυχῆς λέγω; ἀλλ' οὐδὲ τῆς σαρκὸς αὐτῆς τὰς σωματικὰς ἀναδεδεγμένον ποιότητας ἐν ἀρχῇ τινι κατάληψις μέχρι τοῦ δεῦρο τεθεώρηται. ἐὰν γάρ τις τῷ λόγῳ τὸ φαινόμενον εἰς τὰ ἐξ ὧν σύγ-
D κειται διαλύσῃ, καὶ ψιλώσας τῶν ποιοτήτων ἐφ' ἑαυτοῦ κατανοῆσαι φιλονεικήσῃ τὸ ὑποκείμενον, τί καταλειφθήσεται τῇ θεωρίᾳ οὐ συνορῶ. ὅταν γὰρ ἀφέλῃ τοῦ σώματος τὸ χρῶμα, τὸ σχῆμα, τὴν ἀντιτυπίαν, τὸ βάρος, τὴν πηλικότητα, τὴν ἐπὶ τόπου θέσιν, τὴν κίνησιν, τὴν παθητικήν τε καὶ ἐνεργητικὴν, τὸ πρός τι πῶς ἔχειν· ὧν ἕκαστον οὐδὲν ἐφ' ἑαυτοῦ σῶμά ἐστι, περὶ δὲ τὸ σῶμα τὰ πάντα, τί λοιπὸν ἔσται ὃ τὸν τοῦ σώματος δέχεται λόγον; οὔτε δὲ ἑαυτῶν συνείδησιν ἔχομεν, οὔτε παρὰ τῆς γραφῆς μεμαθήκαμεν. ὁ δ' ἑαυτὸν ἀγνοῶν, πῶς ἂν τι

τὴν ὑπὲρ αὐτὸν ἐπιγνοίη; καὶ ὁ τῇ περὶ αὐτοῦ ἀγνοίᾳ προσεθισμένος, ἆρα οὐχὶ φανερῶς δι' αὐτοῦ τούτου διδάσκεται πρὸς μηδὲν τῶν ἔξωθεν ἀποκεκρυμμένων ξενίζεσθαι. διὰ τοῦτο καὶ τὰ τοῦ κόσμου στοιχεῖα, τῇ μὲν αἰσθήσει τοσοῦτον γινώσκομεν, ὅσον τὸ ἀφ' ἑκάστου χρήσιμον πρὸς τὴν ζωὴν ἡμῶν δέχεσθαι. τὸν δὲ τῆς οὐσίας αὐτῶν λόγον, οὔτε ἐμάθομεν, οὔτε τὸ μὴ εἰδέναι ζημίαν ποιούμεθα. τί γάρ μοι πολυπραγμονεῖσθαι τοῦ πυρὸς τὴν φύσιν· πῶς ἐκτείνεται, πῶς ἐξάπτεται, πῶς τῆς παρακειμένης δρασσόμενον ὕλης οὐ πρότερον ἀποχωρεῖ, πρὶν διαφθεῖραι καὶ ἐξαναλῶσαι τὸ ὑποκείμενον; πῶς λανθάνει ὁ σπινθὴρ τῷ λίθῳ ἐγκείμενος; πῶς ψυχρὸς ὢν τοῖς ἁπτομένοις ὁ σίδηρος, ἀπογεννᾷ τὴν φλόγα; πῶς τριβόμενα πρὸς ἑαυτὰ τὰ ξύλα πῦρ ἀνάπτουσι; πῶς ἀπαυγάζον ἐν ἡλίῳ τὸ ὕδωρ φλόγα ποιεῖ; τῆς τε ἐπὶ τὸ ἄνω φορᾶς τὴν αἰτίαν, καὶ τὴν ἀεικίνητον δύναμιν, καὶ πάντα τὰ τοιαῦτα παρέντες, πολυπραγμονεῖν τε καὶ ἐξετάζειν, μόνον τὸ ἀπ' αὐτοῦ χρήσιμον εἰς τὸν βίον αὐτῶν ἐνοήσαμεν. εἰδότες ὅτι οὐδὲν ἔλαττον ἔχει τοῦ πολυπραγμονοῦντος, ὁ ἀπραγμόνως τὴν ὠφέλειαν δεχόμενος. διὰ τοῦτο ὥσπερ περιττὸν ἦν καὶ ἀνωφελὲς τὸ περὶ τῆς οὐσίας τῶν γεγονότων ἀδολεσχεῖν ἡ γραφὴ παρῆκε. καί μοι δοκεῖ ὅτι ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης ὁ τῇ μεγαλοφωνίᾳ τῶν κατ' αὐτὸν δογμάτων ὑπερηχήσας τὰ προλαβόντα κηρύγματα, τοῦτο νοήσας ἐπὶ τέλει τῆς εὐαγγελικῆς ἱστορίας, εἶπεν· ὅτι πολλὰ ἔστι τὰ ὑπὸ τοῦ κυρίου γεγενημένα, ἃ ἵνα φησὶν ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. οὐ πάντα ταῦτα λέγων κατὰ τὰς ἰάσεις θαύματα, τούτων γὰρ οὐδὲν ἀφῆκεν ἀμνημόνευτον ἡ ἱστορία· εἰ καὶ μὴ ἐπ' ὀνόματος πάντων τῶν τεθεραπευμένων τὴν μνήμην πεποίηται. ὅταν γὰρ λέγῃ νεκροὺς ἐγείρεσθαι, τυφλοὺς ἀναβλέπειν, κωφοὺς ἀκούειν, χωλοὺς περιπατεῖν, καὶ πάλιν ἰάσασθαι πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, οὐδὲν διὰ τούτων ἀνιστόρητον τῶν θαυμάτων ἀπέλιπε, ταῖς καθολικαῖς ἐννοίαις ἐμπεριλαβὼν τὰ καθ' ἕκαστον. ἀλλ' ἐκεῖνο τάχα τῷ βάθει τῆς γνώσεως ὁ εὐαγγελιστὴς λέγει, ὅτι τὸ μεγαλεῖον τοῦ υἱοῦ τοῦ Θεοῦ, οὐκ ἐκ τῶν διὰ

A quidquam eorum quę ſupra ſunt, ipſum cognoſcat? Qui verò ignorantiæ ſui ipſius eſt aſſuefactus, an non per hoc ipſum docetur, ſed ad nihil eorum quæ extrinſecus ſunt occulta, & abdita diuerſari & hoſpitari? propterea & mundi elementa, ſenſu cognoſcimus tantum, quantum ex vnoquoque emolumētum ad vitam noſtram licet percipere. Eſſentiæ verò ipſorum rationem, neque didicimus, neque neſcire damnum facimus. Quid enim mihi prodeſt curioſè & anxiè perquirere ignis naturam, quomodo extenditur, quomodo accenditur, quomodo oblatam materiam auidè rapiens, B non prius abſcedit, quàm quod ſubiectum eſt, exhauſerit & abſumpſerit, quomodo latet in venis ſilicis abſtruſa ſcintilla, quomodo ferrum cùm ſit tangentibus frigidum, flāmam elicit & generat? quomodo ligna inter ſe attrita ignem accendunt? quomodo in ſole aqua reſplendens ignē facit? & lationis ſurſum quę fit, cauſam & vim ſemper mobilem, & omnia eiuſmodi curioſè indagare, & anxiè inquirere prætermittētes, tantum quod ex ipſo emolumētum capi poteſt, ad vitam noſtram cognouimus: ſcientes C quòd nihil minùs curioſo inquiſitore habet ille, qui abſque tali cura & anxietate vtilitatē capit. Quamobrem vt ſuperfluum & inutile de eſſentia eorum quæ facta ſunt nugari ſcriptura prætermiſit. Ac mihi quidem videtur quòd tonitrui filius Ioannes, cùm magna voce ſuorum dogmatum pręcedentia præconia intonuiſſet, hoc etiam nouiſſe, dum in fine Euangelicæ hiſtoriæ dixit, Quòd multa ſint alia quę à Domino ſunt facta: quæ inquit ſingula, ſi ſcriberentur, ne ipſum quidem mundum qui ſcriberentur libros poſſe capere arbitror. Hæc D omnia cum dixit, nō intelligit ægrorum ſanationum miracula, horum enim nullum non commemoratum prætermiſit hiſtoria: etſi non nominatim omnium ſanatorum mētionem fecit. Cùm enim dicit mortuos exſuſcitari, cæcos videre, ſurdos audire, claudos ambulare, & rurſus omnem morbum & languorem ſanaſſe, nullum per hæc miraculum reliquit, cuius non ſit facta in hiſtoria commemoratio, vniuerſalibus notitiis ſingularia complexus. Sed illud fortaſſe ex profunda cognitione Euangeliſta dicit, quod majeſtas filij Dei non ex miracu-

Ioan. vlti.

loſis per carnem operibus ſolum cognoſcenda eſt: hæc enim parua ſunt, ſi cum reliqua operum magnificentia exquiſitè comparentur. Tu verò reſpice in cœlum, vide in eo pulchritudines, transfer tuam cogitationem per terræ latitudinem, ad aquæ profunditates, mundum mente complexus, & tranſmundanam naturã ratiocinatione cum intellexeris, hæc noſce vera eius qui tecum in carne conuerſatus eſt opera. Quæ, inquit, ſi ſingula ſcriberentur, quid & quomodo, & vnde, & quantum, ſupra mundi capacitatem doctrinæ de ipſo mundo erit plenitudo: quoniam enim omnia Deus

Pſal.146. in ſapientia fecit; terminum autem Dei ſapientia non habet: intelligentiæ eius, inquit, non eſt numerus. Igitur propriis menſuris terminatus mundus in ſeipſo infinitæ ſapientiæ rationem non capiet. Si igitur mundus totus minor eſt, quàm vt Domini operum doctrinam poſſit capere, quot mundi de Deo vniuerſorum enarrationem capient? fortaſſe neque blaſphema & impia lingua negabit infinitis partibus maiorem eſſe factorem, & auctorem omnium quæ ſola ipſius voluntate, in rerum natura producta ſunt. Si igitur omnis creatura ſermonis de ſe ipſa facti non eſt capax; hoc enim magnus Ioannes teſtatur ſecundùm id quod diximus, quomodo humana breuitas totum de domino creaturę ſermonem capiet? dicãt magniloqui iſti, quid eſt homo vniuerſi comparatione, dum conſideratur? quale geometricum punctum, ita indiuiduum? quid Epicuri corpuſculorum ſic vanitate eorum qui hæc contemplantur extenuatur, & propè id quod non eſt fit, vt humana breuitas cum vniuerſo comparata eſt nihil.

Pſal.38. Sicut etiam magnus Dauid ait, præclarè mortalium infirmitatem meditatus, quoniam ſubſtantia mea tanquam nihilum ante te: nõ abſolutè nihilum eſſe dicens, ſed nihilo ſimilem, quod ſupra modum eſt breue cum eo quod non exiſtit facta comparatione ſignificans. Verumtamen à tali natura concitati, aduerſus ineffabilem potentiam ſua dilatant ora, & appellatione vna ineffabilem naturam metiuntur, τῆς ἀγεννησίας nomine Dei eſſentiam conſtringentes. Vt

A σαρκὸς θαυματουργηθέντων μόνον γινώσκειν χρή. μικρὰ γὰρ ταῦτα ὡς πρὸς τὴν λοιπὴν μεγαλουργίαν ἐξεταζόμενα. σὺ δὲ ἀνάβλεψον εἰς τὸν οὐρανόν, ἴδε τὰ ἐν αὐτῷ κάλλη, μετένεγκε τὴν διάνοιαν ἐπὶ τὸ πλάτος τῆς γῆς, ἐπὶ τὰ βάθη τοῦ ὕδατος, πάντα τὸν κόσμον τῇ διανοίᾳ λαβών, καὶ τὴν ὑπερκόσμιον φύσιν τῷ λογισμῷ κατανοήσας, ταῦτα γνῶθι τὰ ἀληθινὰ τοῦ ἐν σοὶ διὰ σαρκὸς ἐπιδημήσαντος ἔργα. ἅ τινα, φησίν, ἐὰν καθ' ἕκαστον γράφηται τὸ τί καὶ ὅπως, καὶ ὅθεν, καὶ πόσον, ὑπὲρ τὸ χώρημα τοῦ κόσμου τῆς περὶ αὐτοῦ τοῦ κόσμου διδασκα-

B λίας ἔσται τὸ πλῆθος. ἐπεὶ γὰρ τὰ πάντα ὁ θεὸς ἐν σοφίᾳ ἐποίησεν· ὅρον δὲ ἡ τοῦ Θεοῦ σοφία οὐκ ἔχει, τῆς γὰρ συνέσεως αὐτοῦ, φησίν, οὐκ ἔστιν ἀριθμός· ὁ τοῖς ἰδίοις μέτροις πεπερασμένος κόσμος οὐ χωρήσει ἐν ἑαυτῷ τῆς ἀορίστου σοφίας τὸν λόγον. Εἰ οὖν ὁ κόσμος ὅλος ἐλάττων ἐστίν, ἢ ὥστε τὴν διδασκαλίαν τῶν ἔργων τοῦ κυρίου χωρῆσαι, πόσοι κόσμοι χωρήσουσι τὴν περὶ τοῦ Θεοῦ τῶν ὅλων διήγησιν; τάχα γὰρ οὐδὲ ἡ βλάσφημος ἀρνήσεται γλῶσσα, τὸ ἀπειροπλασίονα εἶναι τὸν ποιητὴν τῶν πάντων,

C τῶν μόνῳ θελήματι παραχθέντων εἰς γένεσιν. εἰ οὖν ἡ κτίσις πᾶσα τοῦ περὶ αὐτῆς λόγου ἐστὶν ἀχώρητος· τοῦτο γὰρ ὁ μέγας Ἰωάννης μαρτύρεται κατά γε τὸν ἡμέτερον λόγον· πῶς δὲ ἀνθρωπίνη βραχύτης ὅλον τὸν περὶ τοῦ δεσπότου τῆς κτίσεως χωρήσει λόγον; εἰπάτωσαν οἱ τὰ μεγάλα φθεγγόμενοι, τί ἐστιν ἄνθρωπος, συγκρίσει τοῦ παντὸς θεωρούμενος; ποῖον γεωμετρικὸν σημεῖον, οὕτως ἀμερές; τί τῶν ἐπικουρείων ἀτόμων οὕτω τῇ ματαιότητι τῶν ταῦτα θεωρούντων, ἀπολεπτύνεται, καὶ ἐγγὺς τοῦ

D μὴ ὄντος γίνεται, ὡς ἀνθρωπίνη βραχύτης ἀντ' οὐδενός ἐστι πρὸς τὸ πᾶν κρινομένη, καθώς φησι καὶ ὁ μέγας Δαβίδ, καλῶς ἐπεσκεμμένος τῶν βροτῶν τὴν ἀσθένειαν. ὅτι ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου· οὐ παντελῶς εἶναι λέγων οὐδέν, ἀλλ' ὅμοιον τῷ μηδέν, τὸ κατ' ὑπερβολὴν πᾶσαν βραχὺ τῇ πρὸς τὸ ἀνύπαρκτον συγκρίσει διασημαίνων. ὅμως ἀπὸ τοιαύτης ὡρμημένοι φύσεως, πλατύνουσι κατὰ τῆς ἀφράστου δυνάμεως τὰ ἴδια στόματα, καὶ προσηγορίᾳ μιᾷ τὴν ἀόριστον φύσιν περιμετροῦσι, τῷ ὀνόματι τῆς ἀγεννησίας τὴν οὐσίαν τοῦ Θεοῦ περισφίγγοντες. ἵνα

τὴν κατὰ

τὴν κατὰ τοῦ μονογενοῦς ἑαυτοῖς βλασφημίαν διὰ τούτων ὁδοποιήσωσι· τοῦ δὲ μεγάλου Βασιλείου διορθωσαμένου τὴν ἠπατημένην ὑπόνοιαν, καί τινα περὶ τῶν ὀνομάτων διεξηγησάντος, ὡς οὐκ ἐκ φύσεως ὄντων, ἀλλὰ καὶ ἐπίνοιαν ἐπικειμένων τοῖς πράγμασι· τοσοῦτον ἀπέχουσι τοῦ αἰδοῦσαι πρὸς τὴν ἀλήθειαν, ὅτι καθάπερ ἰξῷ τινὶ προσκατέχονται τοῖς ἅπαξ παρ᾽ αὐτῶν εἰρημένοις, καὶ οὐ μεθίενται τοῦ σοφίσματος, οὐδὲ κατ᾽ ἐπίνοιαν λέγεσθαι τὸ ἀγέννητον· ἀλλὰ τῆς φύσεως εἶναι παραστατικὸν διορίζονται. τὸ μὲν οὖν πάντα διεξιέναι τὸν λόγον, καὶ τὴν ληρώδη καὶ μακρὰν ἐκείνην παραθέμενον φλυαρίαν ἐπὶ λέξεως ἀνατρέπειν πειρᾶσθαι, μακρᾶς ἂν εἴη σχολῆς καὶ χρόνου πολλοῦ καὶ πολλῆς ἀπραξίας δεόμενον. καθάπερ ἀκούω καὶ τὸν Εὐνόμιον ὑπὲρ τὸν Ἰλιακὸν πόλεμον τῇ πολυετίᾳ φιλοπόνως καὶ καθ᾽ ἡσυχίαν πολλὴν προσεδρεύσαντα, ἐν πολλῷ τῷ ὕπνῳ τὸν μακρὸν τοῦτον ὄνειρον ἑαυτῷ συμπλάσαι, ζητοῦντα φιλοπόνως, οὐχ ὅπως ἑρμηνευθείη τι τῶν νοηθέντων, ἀλλ᾽ ὅπως κατὰ τῶν λέξεων ἐπισύρηται κατηναγκασμένα νοήματα, καὶ περισυλλέγοντα τὰς εὐηχοτέρας φωνὰς ἐκ συγγραμμάτων τινῶν. καὶ ὥσπερ οἱ πτωχοὶ διὰ ἀπορίαν ἐσθῆτος, ἐκ ῥακωμάτων τινῶν τοὺς χιτῶνας ἑαυτοῖς περικεντοῦντες συρράπτουσιν· οὕτω καὶ τοῦτον ἄλλην ἀλλαχόθι λέξιν περιβοσκόμενον, διὰ τούτων ἐξυφῆναι ἑαυτῷ τοῦ λόγου τὸν κέντρωνα, οὐκ ἀταλαιπώρως διακολλῶντα τὴν συμβολὴν τῶν ῥημάτων καὶ συναρμόζοντα. οὗ τὸ γλίσχρον καὶ μειρακιῶδες τῆς φιλοτιμίας εἰς ἅμιλλαν ἀνδρὶ πρὸς ἀλήθειαν βλέποντι τοσοῦτον ἀπόβλητον, ὅσον ἀθλητῇ τινι τῶν καρτερῶν τε καὶ ἐξώρων τὸ διὰ περιεργίας κομμωτικῆς γυναικίζεσθαι. ἀλλά μοι δοκεῖ τὸν σκοπὸν τοῦ παντὸς ἐγχειρήματος δι᾽ ὀλίγων ἐπιδραμόντα, τὰς μακρὰς περιόδους χαίρειν ἐᾶσαι. οὐκοῦν εἴρηται παρ᾽ ἡμῶν, οἰκειοῦμαι γὰρ τοῦ διδασκάλου τὸν λόγον, ὅτι τῆς θείας φύσεως ἀμυδρὰν μὲν καὶ βραχυτάτην ἔχομεν διὰ τῶν λογισμῶν τὴν ἀντίληψιν, ἀποχρῶσαν δὲ ὅμως τῇ βραχύτητι τῆς δυνάμεως ἡμῶν διὰ τῶν ὀνομάτων τῶν περὶ αὐτὴν εὐσεβῶς λεγομένων τὴν γνῶσιν ἐρανιζόμεθα. τούτων δὲ φαμὲν τῶν ὀνομάτων οὐ μονοειδῆ πάντων εἶναι τὴν σημασίαν.

A aduerſus vnigenitum ſibi ipſis per hæc blaſphemiæ viam ſternant. Cùm autem magnus Baſilius emendaſſet deceptam & falſam opinionem, & quædam de nominibus expoſuiſſet, vt quæ ex natura non ſunt, ſed ex hominum inuentione ſeu commento rebus ipſis indita ſint: tantum abſunt, vt ad veritatem reuertantur, quin potius veluti viſco cuidam adhæreſcunt his quæ ab ipſis dicta ſunt, neque deſinunt à copioſa & fallaci argumentatione, neque ex commentatione mentis dici ἀγέννητον, ſed naturæ eſſe repræſentatiuum definiunt. Omnem B igitur ſermonem perſequi & recenſere, & delira prolixáque ad verbum appoſita nugatione hanc euertere conari, longi eſſet otij & temporis multi, quódque magna à negotiis vacuitate, & à rebus gerendis auocatione indigeret. Quemadmodum audio Eunomium ſuper Iliacum bellum annorum multitudine laborioſè & ſedulò, & in tranquillitate multa incumbentem, in multo ſomno hoc ſomniũ ſibi confinxiſſe, quærentem diligenter & ſolerter, non quomodo interpretetur quid eorũ quæ intelliguntur, ſed quomodo ad dictiones ſenſa co- C acta pertrahat. Atque ſonatiores voces colligentem ex quibuſdam ſcriptis, & quemadmodum mẽdici propter penuriam veſtis ex laceris & detritis quibuſdam panniculis tunicas acu pungentes conſuunt: ſic & hunc aliam alibi dictionem decerpentem, per has ſibi huius orationis centonem cõtexuiſſe, non ſine miſeria verborum commiſſuram compingentem & componentem: cuius lubrica & iuuenilis ambitio ad certamen viro ad veritatẽ ſpectanti tam repudianda eſt, quàm athletæ alicui forti & natu D grãdiori, neque amoribus amplius idoneo, ſuperfluus & cõptus muliebris cultus & ornatus eſt fugiendus. Sed totius argumentationis & conatus ſcopo breuiter percurſo, longas verborũ ambages & circuitus iubere valere cenſeo. Igitur dictum eſt à nobis (doctoris enim ſermonem mihi proprium & domeſticũ facio) de diuina natura nos perexiguam & obſcuram valdè per ratiocinationes perceptionẽ & cõprehenſionẽ habere. Verũtamen noſtræ facultatis exiguitate contentos per ea nomina quę de ipſa piè dicuntur, ſufficientẽ cognitionẽ nos colligere: horũ autẽ nominum dicimus non eſſe omniũ vniformem ſignificationem,

ſed quædam eorum quæ inſunt Deo, alia verò eorum quę ab eo abſunt, notationem habere, vt cùm iuſtum ipſum & incorruptibilem dicimus: iuſto quidem ineſſe iuſtitiã; incorruptibili verò, non ineſſe interitum demonſtramus. Licet rurſus etiam mutatis ſignificationibus vice verſa Deo nomina cohærenter accommodare, ita vt hoc quidem quod nullo modo conuenit, quod ipſi propriũ eſt; eo verò quod adeſt, quod ab eo eſt, alienũ repræſentetur. Nam cùm iniuſtitia iuſtitiæ contraria intelligatur, & interitui æternitas aduerſetur, fas eſt conuenienter vti in Deo contrariis, neque aberrare ab eo quod conuenit, dicendo ſempérque ipſum eſſe & iniuſtum non eſſe: quod huic æquale eſt, nempe dicere iuſtum eſſe nõ interitum accipere: ſic etiam reliqua nomina quadã tranſſumptione ſignificationis ad vtrámque declarationẽ aptè & congruenter ſe habere aſſerimus: vt bonũ & immortale, & omnia quæ ſimili forma efferuntur: poteſt enim vnumquódq. horũ aliter, atq. aliter tráſſumptũ, & quod ineſt & quod non ineſt in diuina natura indicare. Ita vt figura nominũ mutata pia in ſubiecto intelligẽtia maneat immobilis: idẽ enim eſt Deum improbitatis non capacem dicere, & bonum nominare: & immortalem cõfiteri, & ſemper viuentem dicere. Nullam enim in iis ſecundùm ſignificatum differentiam intelligimus, ſed vnum vtraque oratione ſignificamus: quamuis hoc quidem poſitionem, ſiue affirmationem, illud verò ablationem ſeu negationẽ alicuius habere videatur. Eodem pacto omnium principium Deum dicentes, & rurſus ἄναρχον, id eſt, carentem principio, nominantes, nihil quoad ſenſum pugnamus, vtroq. nomine principem & autorem vniuerſi declarantes. Quare ſiue principio carentẽ dixerimus, ſiue vniuerſi autorem, hoc quidẽ quod ineſt, altero verò quod non ineſt expreſſimus. Cùm fas ſit, ſicut dictum eſt, per ſignificatorum immutationem, nominum ſignificationes in contrarium transmutare, & nunc quidem diſſentaneo nomine per quandam transfigurationem quod ineſt notum fieri & altero alterum: licet enim pro eo quod diceretur, principium ipſe non habet, definire ipſum eſſe vniuerſi principium, & contra pro hoc, ipſum ſolum confiteri modo ingenito

A ἀλλὰ τὰ μὲν, τῶν προσόντων τῷ Θεῷ, τὰ δὲ τῶν ἀποπεφυκότων ἔχει τὴν ἔμφασιν· οἷον, δίκαιον αὐτὸν καὶ ἄφθαρτον λέγοντες, τῷ μὲν δικαίῳ, τὸ προσεῖναι δικαιοσύνην· τῷ δὲ ἀφθάρτῳ τὸ μὴ προσεῖναι φθορὰν ἐνδεικνύμενοι. ἔξεστι δὲ πάλιν καὶ ὑπαλλάξαντα τὰς σημασίας κατὰ τὸ ἔμπαλιν προσφυῶς ἐφαρμόσαι τῷ Θεῷ τὰ ὀνόματα. ὥστε τῷ μὲν ἀπεμφαίνοντι, τὸ οἰκεῖον, τῷ δὲ προσόντι, τὸ ἀλλότριον παρασήπτεται. τῇ γὰρ δικαιοσύνῃ τῆς ἀδικίας ἀντιθεουμένης, τῇ δὲ φθορᾷ τῆς ἀϊδιότητος ἀν-
B τικειμένης, δυνατόν ἐστι χρήσασθαι προσφόρως ἐπὶ τοῦ Θεοῦ τοῖς ἐναντίοις, καὶ μὴ διαμαρτεῖν τοῦ προσήκοντος ἐν τῷ εἰπεῖν, ἀεί τι αὐτὸν εἶναι, καὶ ἄδικον μὴ εἶναι· ὅπερ ἴσον ἐστὶ τῷ δίκαιόν τε εἶναι λέγειν, καὶ φθορὰν μὴ προσδέχεσθαι. οὕτω καὶ τὰ λοιπὰ τῶν ὀνομάτων τινὶ ποιᾷ μεταλήψει τῆς σημασίας πρὸς ἑκατέραν τὴν ἔμφασιν ἐπιτηδείως ἔχειν φαμὲν, οἷον τὸ ἀγαθὸν καὶ ἀθάνατον, καὶ πάντα τὰ κατὰ τὸν ὅμοιον ἐκφερόμενα τύπον. δύναται γὰρ ἕκαστον αὐτῶν ἄλλως καὶ ἄλλως μεταληφθὲν, καὶ τὸ
C προσὸν καὶ τὸ μὴ προσὸν ἐπὶ τῆς θείας ἐνδείξασθαι φύσεως. ὥστε τοῦ σχήματος τῶν ὀνομάτων ὑπαλλασσομένου, τὴν εὐσεβῆ περὶ τὸ ὑποκείμενον διάνοιαν μένειν ἀκίνητον. ταὐτὸν γάρ ἐστιν ἀνεπίδεκτόν τε πονηρίας τὸν Θεὸν εἰπεῖν, καὶ ἀγαθὸν ὀνομάσαι· καὶ ἀθάνατον ὁμολογῆσαι, καὶ ἀεὶ ζῶντα εἰπεῖν. οὐδεμίαν γὰρ ἐν τούτοις κατὰ τὸ σημαινόμενον διαφορὰν ἐννοοῦμεν, ἀλλ' ἓν δι' ἑκατέρων τῶν λόγων ἀποσημαινόμεθα. κἂν τὸ μὲν θέσιν, τὸ δὲ ἀναίρεσίν τινος ἔχειν δοκῇ. ὡσαύτως καὶ πάντων ἀρχὴν
D λέγοντες τὸν Θεὸν, καὶ πάλιν ἄναρχον ὀνομάζοντες, οὐδὲν κατὰ τὰς ἐννοίας μαχόμεθα, καθ' ἑκατέραν τῶν λεγομένων ἀρχηγὸν καὶ αἴτιον εἶναι τοῦ παντὸς ἀποφαίνοντες. ὥστε κἂν ἄναρχον εἴπωμεν, κἂν τοῦ παντὸς ἀρχηγέτην, τῷ μὲν, τὸ προσὸν, τῷ δευτέρῳ δὲ τὸ μὴ προσὸν παρεστήσαμεν. δυνατοῦ ὄντος, καθὼς εἴρηται, διὰ τῆς τῶν σημαινομένων ὑπαλλαγῆς, μεταλλάξαι πρὸς τὸ ἐναντίον τὰς τῶν ὀνομάτων ἐμφάσεις, καὶ τῷ νῦν ἀπεμφαίνοντί πως ὀνόματι διά τινος μετασχηματισμοῦ τὸ προσὸν γνωρισθῆναι· καὶ τῷ ἑτέρῳ τὸ ἕτερον. ἔξεστι γὰρ ἀντὶ τοῦ ἀρχὴν αὐτὸν μὴ ἔχειν εἰπεῖν, τὸ ἀρχὴν αὐτὸν τοῦ παντὸς εἶναι ὁρίσασθαι, καὶ ἀντὶ τούτου πάλιν,

τὸ μόνον αὐτὸν ἀγεννήτως ὁμολογεῖν ὑφεστάναι. ὥστε τὰ μὲν ῥήματα δοκεῖν τῇ τοῦ σχήματος ἐξαλλαγῇ διαφόρως ἔχειν πρὸς ἄλληλα, τὸν δὲ νοῦν ἐν τοῖς λεγομένοις ἕνα καὶ τὸν αὐτὸν διαμένειν. τὸ γὰρ σπουδαζόμενον ἐν τοῖς περὶ Θεοῦ λόγοις ἐστὶν, οὐχὶ ῥημάτων εὐφωνίαν εὔκρουτόν τε καὶ ἐναρμόνιον ἐπινοῆσαι. ἀλλ' εὐσεβῆ διάνοιαν ἐξευρεῖν δι' ἧς τὸ πρέπον τῇ ὑπολήψει τῇ περὶ Θεοῦ φυλαχθήσεται. ἐπεὶ τοίνυν εὐσεβὲς λογίζεσθαι τὸν τοῦ παντὸς αἴτιον, αὐτὸν αἰτίαν μὴ ἔχειν ὑπερκειμένην. ταύτης ἡμῖν τῆς διανοίας ὀρηρεισμένης, τίς ἔτι περὶ τὰ ῥήματα τοῖς νοῦν ἔχουσιν ὑπολείπεται μάχη; πάσης φωνῆς καθ' ἣν τὸ τοιοῦτον ἐξαγγέλλεται νόημα, τὸ αὐτὸ παριστώσης. εἴτε γὰρ ἀρχὴν αὐτὸν καὶ αἴτιον τοῦ παντὸς εἶναι λέγοις, εἴτε ἄναρχον αὐτὸν ὀνομάζοις, εἴτε ἀγεννήτως εἶναι, εἴτε ἐξ ἀϊδίου ὑφεστάναι, εἴτε τοῦ παντὸς αἴτιον, εἴτε ἐξ οὐδενὸς αἴτιον μόνον. πάντα τὰ τοιαῦτα ἰσοστάσια πρὸς ἀλλήλοις ἐστὶ κατὰ τὴν δύναμιν τῶν σημαινομένων, καὶ ὁμοτίμως ἔχει τὰ ῥήματα. καὶ μάταιος ὁ ζυγομαχῶν περὶ τὸν τοιόνδε τῆς φωνῆς ἦχον, ὡς οὐχὶ τῇ διανοίᾳ, ταῖς δὲ συλλαβαῖς καὶ τοῖς φθόγγοις ἐγκειμένης τῆς εὐσεβείας. ταύτης τοίνυν τῆς ἐννοίας παρὰ τοῦ διδασκάλου διηρθρωμένης, δι' ἧς ἔστι τοὺς μὴ κεκαλυμμένους τῷ αἱρετικῷ προκαλύμματι σαφῶς ἰδεῖν, ὅτι τὸ θεῖον ὅπως ἂν κατὰ τὴν φύσιν ἔχῃ, ἀνέπαφόν τέ ἐστι καὶ ἀκατανόητον, καὶ πάσης ἀντιλήψεως τῆς ἐκ τῶν λογισμῶν ὑψηλότερον· ἡ δὲ ἀνθρωπίνη διάνοια πολυπραγμονοῦσα καὶ διερευνωμένη δι' ὧν ἂν ᾖ δυνατὸν λογισμῶν, ἐπορέγεται καὶ θιγγάνει τῆς ἀπροσπελάστου καὶ ὑψηλῆς φύσεως· οὔτε τοσοῦτον ὀξυωποῦσα, ὡς ἐναργῶς ἰδεῖν τὸ ἀόρατον, οὔτε καθάπαξ ἀπεσχοινισμένη τῆς προσεγγίσεως, ὡς μηδεμίαν δύνασθαι τοῦ ζητουμένου λαβεῖν εἰκασίαν. ἀλλὰ τὸ μέν τι τοῦ ζητουμένου διὰ τῆς τῶν λογισμῶν ἐπαφῆς ἐστοχάσατο, τὸ δὲ, αὐτῷ τῷ μὴ δύνασθαι ἰδεῖν, τρόπον τινὰ κατενόησεν, οἷόν τινα γνῶσιν ἐναργῆ τὸ ὑπὲρ πᾶσαν γνῶσιν τὸ ζητούμενον εἶναι ποιησαμένη. τά τε γὰρ ἀπεμφαίνοντα περὶ τὴν θείαν φύσιν ἐνόησε, καὶ ὅσα πρέπει περὶ αὐτὴν ὑπονοεῖν οὐκ ἐνόησεν· οὐ μὴν αὐτὴν ἐκείνην ἥ τις ἐστὶ περὶ ἣν ταῦτα λογίζεται, κατιδεῖν ἠδυνήθη. ἀλλ' ἐκ

A ſiue ingenerabiliter ſubſiſtere. Ita vt verba quidem videãtur figuræ immutatione differenter ſe habere, intellectũ verò in his quę dicuntur, vnum eundémque permanere: hoc enim eſt quod ſtudioſè perquiritur in his quæ de Deo inſtituũtur ſermonibus, vt non verborũ ſuauem & dulcem ſonum, quódque cõcinnum & modulatum, attẽdamus: ſed vt piam intelligentiam excogitemus, per quam decorũ de Deo exiſtimationi conſeruetur. Quoniã igitur piũ eſt ratione complecti vniuerſi autorem, ipſum cauſam non habere ſuperpoſitam: hæc ſentẽtia nobis formata & manente, quęnam amB plius mente præditis & rectè iudicantibus verborũ cõtrouerſia & pugna relinquitur? Cùm vox omnis qua tale animi ſenſum enũciatur idẽ exprimat. Siue enim principiũ ipſum & cauſam vniuerſi eſſe dicas, ſiue principio carentẽ eſſe eũ nomines, ſiue ingenito modo eſſe, ſiue ex ęternitate ſubſiſtere, ſiue vniuerſi autorem, ſiue ex nulla cauſa ſolum: hæc omnia huiuſmodi, æqualia ſunt quodam modo inter ſe, quãtum ad ſignificatorũ vim attinet. Et vanus eſt qui reluctatur & contendit circa talem vocis ſonum, C tanquã non in mente & ſentẽtia, ſed in ſyllabis & ſonis conſiſtat pietas: hac igitur intelligentia à doctore articulatè diſtincta, per quam his qui non hæretico velamine obducti, ſũt & operti licet perſpicere, quòd numẽ quomodocumq. ſe habeat, ſecundùm naturã omnem fugit tactũ ſenſúmq., & intellectũ ſuperat, omníq. comprehenſione quæ rationibus conſtat, ſublimior eſt & altior: humana autẽ intelligẽtia curioſè & ſollicitè peruestigans & perſcrutans, quibus poteſt argumẽtationib. inacceſsã & excelſam expetit & attingit naturã, neq. tã acutè D cernẽs, vt clarè & euidẽter quod inaſpectabile eſt queat intueri, neque omnino ita ab acceſſu & propinquatione ſeiũct^{9}, vt nullã poſſit eius, quod quęritur adumbratã imaginẽ capere: ſed partim quidẽ de eo quod quæritur per ratiocinationum tactum cõiectura aſſecuta eſt, partim verò ex eo quod nequeat ipſum perſpicere, quodammodo cognouit, velut cognitionẽ euidentẽ, quod ſuper omnẽ ſcientiã ſit, id quod quæritur, ſtatuẽs: nã quæ diſſentanea ſunt, nec in diuinã naturã cadere poſſunt, intellexit: Et quæcumq. de ipſa decet opinari, non nouit. Nõ tamẽ illã ipſam quęnã ſit de qua hęc ratione colligit, cõſpicere potuit: ſed ex

eorum quæ inſunt, & quæ nō inſunt cognitione nouit, quod ſolū videri poteſt. Quod longè quidem ab omni malo firmatum eſt: in omni autem bono intelligitur. Quod quidem omnino tale eſt, quale dico ineffabile, & rationum momentis incomprehenſibile & inacceſſibile eſſe. Cùm igitur omnes indecoras notiones quas in diuina natura animus poſſet ſuſpicari, magiſter & doctor noſter perpurgauerit: quodcumque verò prædicabile & laudabile deóq; decorū in ipſa intelligere conſuluerit & docuerit: ita vt neq; corruptibiliū quicquam, neque eorum quæ per generationem in rerum naturā producta ſunt, prima cauſa ſit, ſed extra omnē talem ſuſpicionem & cogitationem intelligitur. Atque ex negatione eorum quæ non inſunt, & ex affirmatione eorum quæ piè de ipſo intelliguntur, quia eſt, comprehenditur: hic tamen vehemēs veritatis oppugnator, dictis reluctatur, atque vult talem verborum ſonū, vocem τῆς ἀφθαρσίας dico, Dei eſſentiam manifeſtè demonſtrare. At cuiuis perſpicuū & clarum, qui mediocriter vſus nominum conſiderarit, quòd incorruptibilitas per priuatiuam particulam, nihil eorum Deo adeſſe, neque interitum, neque ortum ſignificat. Quoniā & alia multa nomina quæ ſimili voce dicūtur, abſtractionem eius quod non ineſt, nō poſitionē eius quod eſt oſtendunt. Illud nempe innocens & immœſtum & innocuum, imperturbatum, impatibile, incomprehenſibile & id generis: dicuntur quidē verè hæc, & velut catalogus quidam eſſet & recenſio eorum quæ in deterius intelligūtur, à quibus numē ſeparatū eſt. Non tamen quid ſit, id de quo dicuntur, per hæc nomina ſermo exprimit. Quid enim nō ſanū, per quæ audiuimus edocti ſumus? Quid autem ſit eorū quę ſunt, dicta vis non indicauit. Quemadmodum enim ſi quis de hominis natura dicere aliquid cupiens, neque inanimum dicat, neque ſenſu carens, neque volucre, neque quadrupes, neque aquatile; quod quidem eſt non demōſtrauit, ſed quod non eſt explanauit, neque mentitur hæc de homine enarrans, neque tamen clarè ſubiectum demonſtrat. Eadem ratione multa talia cùm de diuina natura dicuntur, ea in quibus Deum eſſe opinari oportet diſcimus: ipſum autem quid tamdem eſt ſecundùm eſſentiam per dicta,

A τῆς τῶν προσόντων τε καὶ μὴ προσόντων γνώσεως εἶδεν, ὃ μόνον ὀφθῆναι δυνατόν ἐστιν. ὅτι τὸ πάντως μὲν κακοῦ πόῤῥωθεν ἱδρυμένον, ἐν παντὶ δὲ νοούμενον ἀγαθῷ. πάντως τι τοιοῦτον ἐστὶν οἷον λέγω τὸ ἄῤῥητον εἶναι, καὶ λογισμοῖς ἀνεπίβατον δὲ ὄντα. τοίνυν πάσας μὲν τὰς ἀπρεπεῖς ἐννοίας ἐν τῇ περὶ τῆς θείας φύσεως ὑπολήψει τοῦ διδασκάλου ἡμῶν ἀποκαθήραντος· πᾶν δὲ ὅσον εὔφημόν τε καὶ θεοπρεπὲς περὶ αὐτὴν νοεῖν συμβουλεύσαντος καὶ διδάξαντος, ὡς οὔτε τι τῶν φθαρτῶν οὔτε τῶν διὰ γενέσεως εἰς τὸ εἶναι παρηγμένων, τὸ πρῶτον αἴ-
B τιόν ἐστιν· ἀλλὰ πάσης τοιαύτης ὑπονοίας ἔξω νοεῖται. ἐκ δὲ τῆς ἀρνήσεως τῶν μὴ προσόντων καὶ ἐκ τῆς ὁμολογίας τῶν εὐσεβῶς περὶ αὐτὸν νοουμένων, ὅτι ἐστὶ, καταλαμβάνεται. μάχεται τοῖς εἰρημένοις ὁ σφοδρὸς κατὰ τῆς ἀληθείας ἀγωνιστὴς, καὶ βούλεται τὸν τοιόνδε τοῦ ῥήματος ἦχον, τὴν τῆς ἀφθαρσίας λέγω φωνὴν, ἐμφανῶς δεικνύναι τοῦ Θεοῦ τὴν οὐσίαν. καί τοι παντὶ πρόδηλον τῷ γε μετρίως ἐπισκεμμένῳ τὰς τῶν ὀνομάτων χρήσεις, ὅτι ἡ ἀφθαρσία διὰ τοῦ ἀφαιρετικοῦ μορίου, τὸ μηδὲν τούτων
C προσεῖναι τῷ Θεῷ, μήτε φθορὰν, μήτε γέννησιν ἀποσημαίνει. ἐπεὶ καὶ ἄλλα πολλὰ τῶν ὀνομάτων ὁμοφώνως λεγόμενα τὴν ἀφαίρεσιν τοῦ μὴ προσόντος, οὐ τὴν θέσιν τοῦ ὄντος ἐνδείκνυται· τὸ ἄκακον καὶ ἄλυπον καὶ ἀπόνηρον, καὶ ἀτάραχον καὶ ἀόργητον, ἀπαθὲς, δυσεπίληπτον, καὶ ὅσα τοιαῦτα. λέγεται μὲν γὰρ ἀληθῶς ταῦτα, καὶ οἷον κατάλογός τις ἦν καὶ ἀπαρίθμησις τῶν πρὸς τὸ χεῖρον νοουμένων, ὧν τὸ θεῖον κεχώρισται. οὐ μὴν τί περὶ οὗ λέγεται διὰ τῶν ὀνομάτων ὁ λόγος παρίστησιν. τί μὲν γὰρ οὐχ ὑγιὲς, δι' ὧν ἠκούσαμεν ἐδιδάχθημεν; τί δέ ἐ-
D στιν, ἡ τῶν εἰρημένων οὐκ ἐνεδείξατο δύναμις. ὥσπερ γὰρ εἴ τις περὶ τῆς τοῦ ἀνθρώπου φύσεως εἰπεῖν τι θέλων, τὸ μήτε ἄψυχον λέγει, μήτε ἀναίσθητον, μήτε πτηνὸν, μήτε τετράπουν, μὴ ἔνυδρον, τὸ μὲν ὂν οὐκ ἐνεδείξατο· τὸ δὲ μὴ ὂν διεσάφησε, καὶ οὔτε ψεύδεται ταῦτα περὶ τοῦ ἀνθρώπου διεξιὼν, οὔτε σαφῶς τὸ ὑποκείμενον δείκνυσιν. κατὰ τὸν αὐτὸν λόγον πολλῶν τοιούτων περὶ τὴν θείαν φύσιν λεγομένων, ἐν οἷς χρὴ τὸν Θεὸν ὑπονοεῖν εἶναι μανθάνομεν· αὐτὸ δὲ ὅτι ποτὲ ἦν κατ' οὐσίαν διὰ τῶν εἰρημένων

οὐ διδασκόμεθα. φεύγοντες δὲ παντὶ τρόπῳ τὸ ἀτόπους τινὰς νοημάτων ἐν ταῖς περὶ Θεοῦ δόξαις συνενεχθῆναι, πολλαῖς καὶ ποικίλαις ἐπωνυμίαις κατ' αὐτοῦ κεχρήμεθα, κατὰ τὴν τῶν ἐπινοιῶν διαφορὰν τὰς προσηγορίας ἁρμόζοντες. ἐπεὶ γὰρ οὐδὲν ὄνομα περιληπτικὸν τῆς θείας ἐξεύρηται φύσεως κατ' αὐτοῦ τοῦ ὑποκειμένου προσφυῶς τεταγμένον· διὰ τοῦτο πολλοῖς ὀνόμασιν ἑκάστου κατὰ διαφόρους ἐπιβολὰς ἰδιάζουσάν τινα περὶ αὐτοῦ τὴν ἔννοιαν ποιούμενοι, τὸ θεῖον προσαγορεύομεν, ἐκ τῆς πολυειδοῦς τε καὶ ποικίλης κατ' αὐτοῦ σημασίας ὀνομάτων τινὰ πρὸς τὴν κατανόησιν τοῦ ζητουμένου θηρεύοντες. ἐρωτῶντες γὰρ ἡμᾶς αὐτοὺς καὶ διεξετάζοντες τί τὸ θεῖόν ἐστι, διαφόρως ἀποφαινόμεθα, ὅτι τὸ ὑπερκείμενον τῆς τῶν ὄντων συστάσεώς τε καὶ διοικήσεως· ὃ οὐκ ἐξ αἰτίου τὴν ὕπαρξιν ἔχει, τοῖς δὲ λοιποῖς πᾶσιν αἴτιον τοῦ εἶναι καθέστηκεν· περὶ ὃ γένεσις καὶ ἀρχή, φθορὰ καὶ τέλος οὐκ ἔστιν, οὔτε πρὸς τὸ ἐναντίον τροπή, οὔτε τοῦ κρείττονος ὕφεσις. ὡς μήτε τὸ κακὸν ἐπ' αὐτοῦ χώραν ἔχειν, μήτε τὸ ἀγαθὸν ἀπεῖναι. Εἰ δέ τις τὰς τοιαύτας ἐννοίας ὀνόμασι διαλαμβάνειν ἐθέλοι, ἀνάγκη πᾶσα τὸ μὲν μὴ προσίεσθαι τὴν πρὸς τὸ χεῖρον τροπήν, ἄτρεπτόν τε καὶ ἀναλλοίωτον ὀνομάσαι. τὸ δὲ πρῶτον αἴτιον τοῦ παντὸς, ἀγέννητον προσειπεῖν· ἄφθαρτον δὲ τὸ φθορᾶς ἀπαράδεκτον· τὸ δὲ εἰς μηδὲν καταλῆγον πέρας, ἀθάνατόν τε καὶ ἀτελεύτητον· παντοκράτορα δὲ τὸ παντὸς ἐξηγούμενον. καὶ οὕτω τἄλλα πάντα κατὰ τὰς εὐσεβεῖς ὑπολήψεις ὀνοματοποιοῦντες, ταῖς τῶν ἐπινοιῶν διαφοραῖς ἄλλως καὶ ἄλλως προσαγορεύομεν, ἢ δύναμιν, ἢ κράτος, ἢ ἀγαθότητα, ἢ τὸ μὴ ἐξ αἰτίου εἶναι, ἢ τὸ εἰς ἀεὶ διαμένειν, διὰ τῶν ὀνομάτων σημαίνοντες. Φημὶ τοίνυν τῆς τοιαύτης ὀνοματοποιΐας τοὺς ἀνθρώπους εἶναι κυρίους, κατὰ τὸ φανὲν ἑκάστῳ προσφυῶς ἐφαρμόζοντας τῷ ὑποκειμένῳ τὰς κλήσεις. καὶ μηδὲν ἄτοπον εἶναι, ὅπερ ὡς φοβερόν τι καὶ φρικῶδες μορμολυττόμενος ὁ λογογράφος προτείνεται, τὸ νεωτέρας εἶναι τὰς τῶν ὀνομάτων θέσεις ὁμολογεῖν ἐπὶ παντὸς αὐτοῦ τοῦ κατονομαζομένου πράγματος, ἐπ' αὐτοῦ τοῦ Θεοῦ. οὐ γὰρ ῥῆμα ὁ Θεὸς, οὐδὲ ἐν φωνῇ καὶ φθόγγῳ ἔχει τὸ εἶναι.

A non docemur. Fugientes autem omni cautione abſurdas aliquas notiones, in his quas habere debemus de Deo opinionibus, animis inſerere, multis & variis cognominibus in ipſum vſi ſumus, ſecundùm cogitationum differentiam appellationes accommodantes. Quoniam enim nullum nomen diuinæ naturæ comprehenſiuum inuentum eſt, quod ad ipſius ſubiecti naturam declarandam ſit ordinatũ: propterea multis nominibus ſecundùm differẽtes notiones, cuiuſque peculiarẽ quandam de eo notionem facientes, numen appellamus: B ex multiformis variáq. de eo ſignificatione ad eius quod quæritur cognitionem quaſdam nomenclaturas venantes. Interrogantes enim nos ipſos & perquirentes, quid ſit Deus, differenter pronuntiamus, velut quod eſt ſuper conſtitutionem & adminiſtrationem eorum quæ ſunt: quod non ex cauſa exiſtentiam habet, ſed reliquis omnibus cauſa cur ſint exiſtit: in quo ortus & principium, interitus & finis non eſt, neque in contrarium mutatio, neque præſtantioris imminutio, neque malum in eo locum habere potest, neque bonum abeſſe. C Quod ſi quis tales notitias nominibus velit percipere, neceſſe eſt omnino vt illum in deterius mutationem non admittat, & immutabile & inuariabile nominet. Hoc autem videlicet primum vniuerſi autorem & cauſam Deum eſſe dicere, idem eſt ac ingenitum appellare, & incorruptibilem, quod interitus non eſt, immortalem autem & capax, indeficientem, quod in nullum deſinat terminum, omnipotentem autem quod vniuerſo præſit & imperet: & ſic alia omnia ſecundùm pias opiniones nomina fingentes, ſecundùm differen- D tias cogitationum aliter atque aliter nuncupamus: vel potentiam, vel imperium, vel bonitatem, vel quod non ex cauſa eſt, vel quod in perpetuum permanet, per nomina ſignificantes. Dico igitur huius nominum fictionis homines eſſe dominos, pro arbitrio iudicióque cuiuſq. cõuenienter appellationes ſubiecto accommodãtes, nihilq. abſurdum eſſe, quod quidem vt formidabile & horribile, vt nos terrificet, iſte ſcriptor obtẽdit, nempe recentiores nominũ poſitiones cõfiteri in omni re quæ cognominatur in ipſo Deo: nõ enim vocabulũ Deus eſt, neq. in voce & ſono eſſe habet,

Sed Deus quidem eſt per ſeipſum quod quidem vnquã eſſe creditus eſt: nominatur autem ab his qui inuocant, non ipſum quod eſt. (Ineffabilis enim eſt natura eius qui verè eſt) ſed ex his quæ operari & efficere in vita noſtra creditus eſt, cognomina habet, quale & hoc ipſum quod in promptu dicitur: Cùm enim Deum ipſum dicimus, inſpectorẽ & exploratorem, & abſcõditorum perſpicacem cognitorem cõmentantes vocamus. Quòd ſi operationibus prior exiſtit eſſentia, intelligimus autem operationes per ea quæ ſentimus, verbis verò quibus poſſumus enuntiamus; quis amplius relinquitur metus nomina recentiora & iuniora rebus ipſis dicere? Si enim non prius aliquid eorũ quę de Deo dicuntur interpretamur, quàm animo conceperimus, intelligimus autẽ ex his operationibus per quas docemur, præcedit autem operationem virtus, virtus verò pendet ex diuina volũtate, voluntas autem in poteſtate diuinæ naturæ repoſita eſt. Nónne igitur diſertè docemur, quod rebus adnaſcantur, eorum quæ inſunt ſignificatiuæ appellationes, & velut vmbræ rerũ ſunt voces ad motiones eorum quæ in ipſis exiſtunt figuratæ. Atque hæc ita eſſe clarè perſuadet diuina ſcriptura per magnũ Dauidem, qui veluti per quædã propria & agnata nomina, quæ ipſi ex operatione cognita erant, diuinam naturam ſic appellat. Miſericors, inquit, & miſerator Dominus, longanimis & multùm miſericors. Quid igitur dicunt? Vtrum hæc nomina operationis habent ſignificãtiam vel naturæ? non aliud quis præter actum, ſiue operationem dixerit. Quando igitur operatus miſerationes vel miſericordiã, Deus ex illa operatione, hoc nomen obtinuit? Num ante humanam vitam? & quis erat qui miſericordia indigebat? ſed poſt peccatum omnino: peccatum autem poſt hominem. Ergo poſt hominem miſerandi actus & miſericordiæ nomen. Quid igitur? nunquid & Dauidem condemnabit, qui ſuper prophetas ſapiens, quia per quę Deũ nouit, per hæc nominauit? an etiam aduerſus ipſum nobilem illam tamquam ex tragœdia dictionem protendens recalcitrabit? Quod non oportet beatiſſimam Dei vitam nominibus ex hominũ commentatione ductis exultare, quæ in ſeipſa ſola & ante intelligentium ortum

A ἀλλ' ὁ μὲν Θεὸς ἔστιν καθ' ἑαυτόν, ὅ δή ποτε καὶ εἶναι πεπίστευται. ὀνομάζεται δὲ παρὰ τῶν ἐπικαλουμένων οὐκ αὐτὸ ὅ ἐστιν. ἄφραστος γὰρ ἡ φύσις τοῦ ὄντος. ἀλλ' ἐξ ὧν ἐνεργεῖν τι περὶ τὴν ζωὴν ἡμῶν πεπίστευται τὰς ὁμωνυμίας ἔχει, οἷον καὶ αὐτὸ τοῦτο, ὃ ἐκ τοῦ προχείρου λεγόμενον· Θεὸν γὰρ αὐτὸν λέγοντες, τὸν ἔφορον καὶ ἐπόπτην, καὶ διορατικὸν τῶν κεκρυμμένων ἐπινοοῦντες, ἐπικαλούμεθα. Εἰ δὲ προϋφέστηκε τῶν ἐνεργειῶν ἡ οὐσία, νοοῦμεν δὲ τὰς ἐνεργείας δι' ὧν αἰσθανόμεθα, ῥήμασι δὲ ὅπως ἂν ᾖ δυνατὸν ἐξαγγέλλομεν. B τίς ἔτι καταλείπεται φόβος, νεώτερα τῶν πραγμάτων τὰ ὀνόματα λέγειν; εἰ γὰρ μὴ πρότερον ἑρμηνεύομέν τι τῶν περὶ Θεοῦ λεγομένων, πρὶν ἂν νοήσωμεν· νοοῦμεν δὲ δι' ὧν ἐκ τῶν ἐνεργειῶν διδασκόμεθα, προϋφέστηκε δὲ τῆς ἐνεργείας ἡ δύναμις· ἡ δὲ δύναμις ἐξήρτηται τοῦ θείου βουλήματος, τὸ δὲ βούλημα ἐν τῇ ἐξουσίᾳ τῆς θείας ἀπόκειται φύσεως. ἆρ' οὐ σαφῶς διδασκόμεθα, ὅτι ἐπιγίνονται τοῖς πράγμασιν αἱ σημαντικαὶ τῶν γινομένων προσηγορίαι, καὶ ὥσπερ σκιαὶ C τῶν πραγμάτων εἰσὶν αἱ φωναὶ πρὸς τὰς κινήσεις τῶν ὑφεστώτων σχηματιζόμεναι. καὶ ὅτι ταῦτα οὕτως ἔχει, πείθει σαφῶς ἡ θεία γραφὴ διὰ τοῦ μεγάλου Δαβίδ, τοῦ καθάπερ διά τινων ἰδίων καὶ προσπεφυκότων ὀνομάτων, τῶν ἐκ τῆς ἐνεργείας αὐτῷ νοηθέντων, τὴν θείαν φύσιν ἀνακαλοῦντος. οἰκτίρμων γάρ, φησί, καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος. ταῦτα τοίνυν τί λέγουσιν ἐνεργείας ἔχειν τὴν σημασίαν, ἢ φύσεως; οὐκ ἄν τις ἄλλο τι παρὰ τὴν ἐνέργειαν εἴποι. πότε τοίνυν ἐνεργήσας τοὺς οἰκτιρμοὺς ὁ D Θεὸς ἢ τὸν ἔλεον, ἔσχεν ἐκ τῆς ἐνεργείας τὸ ὄνομα; ἆρα πρὸ τῆς ἀνθρωπίνης ζωῆς; καὶ τίς ἦν ὁ τοῦ ἐλέους δεόμενος; ἀλλὰ μετὰ τὴν ἁμαρτίαν πάντως· ἡ δὲ ἁμαρτία μετὰ τὸν ἄνθρωπον. οὐκοῦν μετὰ τὸν ἄνθρωπον καὶ ἡ τοῦ ἐλεεῖν ἐνέργεια, καὶ τὸ τοῦ ἐλέου ὄνομα. τί οὖν ἄρα; μὴ καὶ τοῦ Δαβὶδ καταγνώσεται, ὁ ὑπὲρ τοὺς προφήτας φρονῶν· ὅτι δι' ὧν ἐνόησε τὸν Θεόν, διὰ τούτων ὠνόμασεν; ἢ καὶ πρὸς αὐτὸν ζυγομαχήσει τὴν σεμνὴν ἐκείνην ὥσπερ ἐκ τραγῳδίας προτείνων ῥῆσιν; ὅτι τὴν μακαριωτάτην τοῦ Θεοῦ ζωὴν, τοῖς περὶ τῆς ἐπινοίας ἀγάλλει ὀνόμασι, τὴν ἐφ' ἑαυτῆς μόνης καὶ πρὸ τῆς τῶν

ἐπινοουμένων γεννήσεως, ἀγαλλομένην. ἐρεῖ γὰρ πάντως ὁ ὑπὲρ τοῦ προφήτου λέγων· ὅτι ἡ μὲν θεία φύσις ἐφ' ἑαυτῇ μόνῃ ἀγάλλεται, καὶ πρὸ τῆς τῶν ἐπινοουμένων γενέσεως· ὁ δὲ ἀνθρώπινος νοῦς, ὅσον χωρεῖ διὰ τῶν ἐνεργειῶν διδασκόμενος, τοσοῦτον φθέγγεται. ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ἡ σοφία φησὶ, τὸν πάντων γενεσιουργὸν θεωρεῖσθαι. τῇ δὲ θείᾳ καὶ ὑπερεχούσῃ πάντα νοῦν οὐσίᾳ τὰς τοιαύτας προσηγορίας ἐπιφημίζομεν, οὐκ ἐκείνην ἀγάλλοντες δι' ὧν ὀνομάζομεν, ἀλλ' ἡμᾶς αὐτοὺς διὰ τῶν λεγομένων ὁδηγοῦντες B πρὸς τὴν τῶν κρυπτῶν κατανόησιν. Εἶτα τῷ κυρίῳ φησὶν ὁ προφήτης. Θεός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. πῶς οὖν τὴν μακαριωτάτην τοῦ Θεοῦ ζωὴν, ἡμεῖς οὕτως, καθώς φησιν οὗτος, ἀγάλλομεν, ἣν φησὶν ὁ προφήτης ἀπροσδεῆ τῶν ἀνθρωπίνων εἶναι καλῶν; ἢ ἀντὶ τοῦ ὀνομάζειν τὸ ἀγάλλειν ἐπενόησε. καὶ μὴν ἀκούομεν παρὰ τῶν ὀρθῶς τῇ λέξει κεχρημένων, καὶ δι' ἀκριβείας τῶν ὀνομάτων τὴν χρῆσιν πεπαιδευμένων, μὴ ἐπὶ ψιλῆς τῆς δηλώσεως τὴν τοῦ ἀγάλλειν τετάχθαι φωνήν· C ἀλλὰ τὸ μὲν τοιοῦτον ἢ γνωρίζειν, ἢ δηλοῦν, ἢ σημαίνειν, ἢ ἄλλο τι τοιουτότροπον λέγεσθαι. τὸ δὲ ἀγάλλειν ἴσον ἐστὶ, τῷ ἐπικαυχᾶσθαι, καὶ ἐνευφραίνεσθαι. καὶ εἴ τι τῆς τοιαύτης ἐμφάσεως ἔχεται. ὁ δέ φησιν ἡμᾶς ταῖς τῆς ἐπινοίας ὀνόμασι τὴν μακαρίαν ἀγάλλειν ζωήν. ἡμεῖς δὲ προσθεῖναι μέν τινα τῇ θείᾳ φύσει τιμὴν τῇ ὑπὲρ πᾶσαν οὔσῃ τιμὴν, μεῖζον ἢ κατὰ τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην οἰόμεθα· γνωρίσαι δέ τι τῶν περὶ αὐτὴν διὰ τῶν εὐσεβῶς ἐπινοουμένων ῥημάτων τε καὶ ὀνομάτων ἐπιχειρεῖν οὐκ ἀρνούμεθα. καὶ διὰ τοῦτο καθ' ὅσον δυνατὸν D ἡμῖν τὸ εὐσεβὲς ἰχνεύοντες, τὸ μὴ ἐξ αἰτίας ὑπερκειμένης τὸ πρῶτον αἴτιον τὴν ὑπόστασιν ἔχειν, καταλαμβανόμεθα. ὅπερ εἰ μὲν ὡς ἀληθὲς ἀποδέχοιτό τις, ἐπαινετὸν ἂν εἴη διὰ τὴν ἀλήθειαν μόνην. Εἰ δὲ ὡς μεῖζον τῶν λοιπῶν τῶν περὶ τὴν θείαν φύσιν νοουμένων τὸ τοιοῦτον κρίνοι, καὶ διὰ τοῦτο μόνῃ ταύτῃ τῇ ὑπολήψει λέγοι τὸν Θεὸν ἐπιγαυριῶντα καὶ εὐφραινόμενον, ὥς τινι τῶν ὑπερεχόντων ἀγάλλεσθαι, μόνης τῆς Εὐνομίου μούσης ἂν εἴη, τοῦ λέγοντος αὐτὴν ἐφ' ἑαυτῇ τὴν ἀγεννησίαν ἀγάλλεσθαι, ἣν δὲ οὐσίαν τε λέγει, καὶ μακαρίαν τε καὶ

A exultabat. Dicet enim planè qui prophetiæ cauſam agere voluerit. Quòd diuina certè natura in ſeipſa ſola exultabat, & ante intelligentium generationem: Sed mens humana, quãtum capit per has operationes edocta, tantùm alloquitur. Nam ex creaturarum magnitudine & pulchritudine, proportione quadam ſapientia dicit, omnium opificem & genitorem conſiderari. In diuina autem & exſuperãte omnem intellectum eſsẽtia, tales appellationes celebramus, non illam cum exultatione laudantes per quæ nominamus: ſed nos ipſos per ea quæ dicuntur dirigẽtes ad oculorum B cognitionem. Deinde Domino dicit Propheta, Deus meus es tu, quoniam bonorum meorum nõ eges. Quomodo igitur beatiſſimã Dei vitã ſic nos, ſicut iſte autumat, exornamus, quã propheta prædicat humanorũ bonorum non eſſe indigam? an pro verbo ὀνομάζειν, nominare, excogitauit verbum ἀγάλλειν, quod eſt exultare. Atque audimus ex his qui rectè verbo vtuntur, & qui exacta ſubtilitate verborum vſum didicerunt, non pro nuda ſignificatione hoc verbum ἀγάλλειν conſtrui: ſed hoc tale vel notum C facere, vel declarare, vel ſignificare, vel aliud quiddam tali modo dici. Verbum autẽ ἀγάλλειν idẽ eſt, quod exultare, gloriari, lætari, & ſi quid talem ſignificationem habet. Hic autẽ dicit nos nominibus, ex mẽtis cõmentatione ductis, vitã beatam ἀγάλλειν, id eſt, exultare. Nos autem diuinæ naturæ quæ omnẽ ſuperat honorem, aliquem adijcere honorem, humana infirmitate maius arbitramur: aliquid autem eorum'quę in ea cernuntur, notum facere & celebrare verbis & nominibus piè & religioſè intellectis conari non inficiamur. Ideóque quan- D tum fas eſt, pietatem ſpectantes, non ex cauſa ſupereminente primam cauſam ſubſiſtentiam habere comprehẽdimus. Quod quidem ſi vt verum quis approbet, laudabile fuerit propter ſolam veritatem. Si autem vt maius reliquis quæ de diuina natura noſcuntur, id iudicet, & propterea hac ſola opinione dicat Deum geſtientem & lætantem, vt aliquo ſupereminentium exultare, hoc ſolius Eunomij muſæ fuerit dicentis, ipſam in ſeipſa ἀγεννησίαν exultare, quam certè & eſſentiam, & beatam, & diui-

Pſal. 15.

nam vitam nominat. Sed audiamus, quomodo ſecundum vſui modum congruentem & præcedentem formam (ſic enim eodem modo formatis nominibus rurſus nobis efflorescit & ſeſe oſtentat: quomodo per hæc diſſoluere inquit de eo conceptam opinionem, ac deceptorum ignorantiam coërcere. Vtar enim ipſius Dithyrambiſtæ ſimiliter deſinentibus vocabulis: qui diximus (inquit) quæ ea quæ ex mentis commentatione dicuntur, ſolent cùm vocibus diſſolui, his addimus: Deus quidem etiam tacentibus & loquentibus iis quæ ſunt in rerũ natura, etiam antequã facta eſſent nomina, erat & eſt ingenitus. Diſcamus igitur aliquid cõmune verborũ excogitationi, vel nominũ poſitioni cũ rebus ipſis, quas aliqua nominũ & verborum voce notamus. Quare ſi Deus eſt ingenito modo ante humanam conſtitutionem, declaratiuam talis opinionis vocem tanquam ſono diffuſam impropriam oporteat iudicare, ſi ſecundùm humanam notionem fuerit nominata: haud enim eſt idem, eſſe & dici: ſed eſt quidem natura, quod quidem eſt Deus. Dicitur autem à nobis quantum fuerit poſſibile enuntiare propter naturæ noſtræ egeſtatem, quæ in anima affectus incognitos ſiue inconſpicuos habet, niſi per vocem & orationem euolutæ fuerint. Ergo ipſum non ex cauſa eſſe intelligentes, commentatione quadam hanc notionẽ per ingeniti vocem enunciamus. Quodnã igitur damnum ei qui ſic eſt, quod ſic eſt, à nobis nominari? Non enim ex eo quod dicatur ingenitus, exiſtere ingenerabiliter dicitur, ſed ex eo quod ſit, dici etiam ei aduenit. Hoc autem non intellexit ſubtilis & ſolers ingenio: neque à ſe poſita manifeſtè animaduertit. Nam vel certè ceſſaſſet eos qui per commentationem ἀγεννησίας nomen effingunt, improbè inſectari. Animaduertite enim quod ait, Quæ per commentationem efferuntur, ſimul cum vocibus diſſoluuntur. Deus autem eſt genitis prior, & priuſquã nomina impoſita eſſent, & erat & eſt ingenitus. Vides quòd eſſe, quod quidẽ eſt, habet ante omnium tacentium & loquentium exiſtentiam, neque magis neque minus quod eſt, ipſe eſt. Verborum autem & nominũ vſus poſt hominum productionem excogitatus eſt, qui à Deo rationis & orationis facultate

A θείαν ὀνομάζει ζωήν. ἀλλ' ἀκούσωμεν πῶς κατὰ τὸν ἐπιβάλλοντα τῇ χρείᾳ τρόπον, καὶ τὸν προλαβόντα τύπον· οὕτω γὰρ τοῖς ἰσοτύποις τῶν ὀνομάτων πάλιν ἡμῖν ἐνωραΐζεται· πῶς διὰ τούτων διαλύειν μὲν φησὶ τὴν περὶ αὐτοῦ γινομένην ὑπόνοιαν, περιστέλλειν δὲ τὴν τῶν ἠπατημένων ἄγνοιαν. αὐταῖς γὰρ χρήσομαι τοῦ διθυραμβιστοῦ ταῖς ὁμοιοκαταλήκτοις φωναῖς. εἰπόντες, φησίν, ὅτι τὰ κατ' ἐπίνοιαν λεγόμενα ταῖς φωναῖς συνδιαλύεσθαι πέφυκεν, ἐπηγάγομεν τούτοις. ὁ δὲ Θεὸς, καὶ σιωπώντων καὶ φθεγγομένων γεγονότων, καὶ πρὸ τοῦ γεγονέναι τὰ ὀνόματα, ἦν τε καὶ ἔστιν ἀγέννητος.
B μάθωμεν τοίνυν κοινὸν ῥημάτων ἐπινοίᾳ, ἢ ὀνομάτων θέσει, πρὸς αὐτὰ τὰ πράγματα, ἃ διὰ τῆς ποιᾶς τοῦ ὀνομάτων τε καὶ ῥημάτων φωνῆς σημειούμεθα, ὥστε εἰ ἀγεννήτως ἐστὶν ὁ Θεὸς πρὸ τῆς ἀνθρωπίνης συστάσεως, τὴν ἐμφαντικὴν τῆς τοιαύτης ὑπολήψεως φωνὴν ὡς τῷ φθόγγῳ συνδιαχεομένην ἄκυρον κρίνειν, εἰ κατ' ἐπίνοιαν ἀνθρωπίνην ὀνομασθεῖσα τύχοι. οὐ γὰρ ταὐτόν ἐστι τὸ εἶναι, τῷ λέγεσθαι. ἀλλ' ἔστι μὲν τῇ φύσει ὅπερ ἐστὶν ὁ Θεός. λέγεται δὲ παρ' ἡμῶν, ὡς ἂν ᾖ δυνατὸν ἐξαγγεῖλαι διὰ τὴν
C τῆς φύσεως ἡμῶν πτωχείαν, ἣ τὰς ἐν τῇ ψυχῇ διαθέσεις ἀδήλους ἔχει, μὴ διὰ φωνῆς ἐκκαλυπτομένας καὶ λόγου. οὐκοῦν τὸ μὴ ἐξ αἰτίας αὐτὸν εἶναι νοήσαντες, ἐπινοίᾳ τὴν νόησιν ταύτην διὰ τῆς τοῦ ἀγεννήτου φωνῆς ἐξαγγέλλομεν. τίς οὖν ἡ βλάβη τῷ οὕτως ὄντι, τὸ ὡς ἔστι παρ' ἡμῶν ὀνομάζεσθαι; οὐ γὰρ ἐκ τοῦ ῥηθῆναι ἀγέννητον καὶ τὸ ὑπάρχειν ἀγεννήτως ἐστίν· ἀλλ' ἐκ τοῦ εἶναι καὶ τὸ ῥηθῆναι προσγίνεται. τοῦτο δὲ οὐ συνῄδει ὁ λεπτὸς τὴν διάνοιαν, οὐδὲ τὰ παρ' αὐτοῦ τεθέντα σαφῶς κατενόησεν.
D ἢ γὰρ ἂν ἐπαύσατο τοὺς δι' ἐπινοίας τὴν ἀγεννησίαν ὀνοματοποιοῦντας κακίζων. σκοπεῖτε γὰρ ὅ φησι. τὰ κατ' ἐπίνοιαν λεγόμενα ταῖς φωναῖς συνδιαλύεται, ὁ δὲ Θεὸς καὶ γεγενημένων, καὶ πρὸ τοῦ γενέσθαι τὰ ὀνόματα, καὶ ἦν, καὶ ἔστιν ἀγέννητος. ὁρᾷς ὅτι τὸ μὲν εἶναι ὅπερ ἐστὶν, ἔχει πρὸ τῆς τῶν πάντων ὑπάρξεως καὶ σιωπώντων καὶ φθεγγομένων, οὔτε μᾶλλον οὔτε ἧττον ὅ ἐστιν ὤν. ἡ δὲ τῶν ῥημάτων τε καὶ ὀνομάτων χρῆσις μετὰ τὴν τῶν ἀνθρώπων κατασκευὴν ἐλογίσθη τῶν τῇ λογικῇ δυνάμει παρὰ τοῦ

Θεοῦ τιμηθέντων. εἰ οὖν ὑστέρα μὲν τοῦ πεποιηκότος ἡ κτίσις, τῆς κτίσεως δὲ πάσης ἔσχατος ὁ ἄνθρωπός ἐστιν, ἴδιον δὲ τοῦ ἀνθρώπου ὁ λόγος· λόγου δὲ μέρη ῥήματά τε καὶ ὀνόματα, ὄνομα δὲ ἡ ἀγεννησία· πῶς οὐ συνίησιν οἷς κατασκευάζει ταῦτα μαχόμενος; ἡμεῖς τε γὰρ φαμὲν ἐφευρῆσθαι τοῖς οὖσι τὰ γνωριστικὰ τῶν ὄντων ὀνόματα διὰ τῆς ἀνθρωπίνης ἐννοίας, κἀκεῖνος ὑστέρους ὁμολογεῖ τοὺς κεχρημένους τῷ λόγῳ τῆς θείας ἀναδειχθῆναι ζωῆς, εἶναι δὲ τὴν θείαν φύσιν ὡς νῦν τέ ἐστι καὶ ἀεὶ ἦν, ἀγεννήτως. εἰ οὖν ἐκεῖνος τὸ προϋπάρχειν τῶν ἀνθρώπων ὁμολογεῖ τὴν μακαρίαν ζωήν. πάλιν γὰρ ἐπαναστρέψας τῷ αὐτῷ κεχρήσομαι λόγῳ· ἡμεῖς τε τὸ χρόνοις ὕστερον φῦναι τοὺς ἀνθρώπους οὐκ ἀντιλέγομεν, ῥήμασι δὲ κεχρῆσθαι φαμὲν καὶ ὀνόμασιν ἀφ' οὗ τε συνέστημεν καὶ τὸ λογικοὶ εἶναι παρὰ τοῦ πεποιηκότος εἰλήφαμεν. ἡ δὲ ἀγεννησία ὄνομά ἐστιν ἐμφαντικὸν τοῦ ἰδίου νοήματος· πᾶν δὲ ὄνομα τοῦ ἀνθρωπίνου λόγου μέρος ἐστίν, ἄρα ὁ προϋφεστάναι τῶν ἀνθρώπων τὴν θείαν φύσιν ὁμολογῶν, μεταγενεστέραν εἶναι τὴν ἐφευρεθεῖσαν τῇ φύσει κλῆσιν συντίθεται. οὐδὲ γὰρ ἦν εἰκὸς τοῦ λόγου τὴν χρῆσιν πρὸ τῆς τῶν κεχρημένων κατασκευῆς ἐνεργεῖσθαι. ὥσπερ οὐδὲ γεωργίαν πρὸ τῶν γεωργούντων, οὐδὲ ναυτιλίαν πρὸ τῶν ναυτιλλομένων, οὐδὲ ἄλλο τι τῶν κατὰ τὸν βίον ἐνεργουμένων πρὸ τοῦ συστῆναι τὸν ἀνθρώπινον βίον. τί οὖν ἡμῖν διαμάχεται, μηδὲ τοῖς ἰδίοις αὐτοῦ λόγοις ἀκολουθίαν γινώσκων; ἦν, φησίν, ὁ Θεός, ὅπερ ἐστὶ πρὸ τοῦ γενέσθαι τὸν ἄνθρωπον. τοῦτο καὶ ἡμεῖς οὐκ ἀρνούμεθα. πᾶν γὰρ ὅπερ ἐστὶ περὶ τὸν Θεὸν νοούμενον, τοῦτο πρὸ τῆς τοῦ κόσμου συστάσεως ἦν. ἀλλ' ὀνομάζεσθαι τοῦτον φαμὲν μετὰ τὸ γενέσθαι τὸν ὀνομάζοντα. εἰ γὰρ διὰ τοῦτο χρώμεθα τοῖς ὀνόμασιν, ὥστε διδασκαλίαν ἡμῖν ἐκ τούτων τῶν πραγμάτων γίνεσθαι· μόνον δὲ τὸ ἀγνοοῦν ἐπιδεές ἐστι τοῦ διδάσκοντος, ἡ δὲ θεία φύσις διὰ τὸ πᾶσαν ἐμπεριειληφέναι τὴν γνῶσιν, κρείττων πάσης διδασκαλίας ἐστί· δείκνυται δὲ διὰ τούτων ὅτι οὐ τοῦ Θεοῦ χάριν, ἀλλ' ἡμῶν ἕνεκεν τὰ ὀνόματα πρὸς δήλωσιν τοῦ ὄντος ἐπινενόηται. οὐ γὰρ ὅπως ἂν ἐκεῖνος ἑαυτὸν μάθοι, τὸ τῆς ἀγεννησίας ὄνομα τῇ φύσει ἐφήρμοσεν. ὁ γὰρ εἰδὼς τὰ πάντα, καὶ ἑαυτὸν πρὸ πάντων συλλαβῶν καὶ ῥημάτων πρὸς τὸ μα-

A exornati fuerunt: ſi igitur creatura creatore poſterior eſt, omniúmque creaturarum homo eſt vltimus; propria autem eſt hominis oratio: orationis autem partes nomina & verba: nomen verò eſt ἀγεννησία; quomodo non intelligat, ſe his quæ præſtruit repugnare? Nos enim etiam aſſerimus nomina ad res declarandas & ſignificandas humana ſolertia inuenta eſſe: ille verò eos qui oratione vtuntur, diuina vita poſteriores demonſtrari confitetur. Diuinam autem naturā eſſe ἀγεννήτως, modo ingenerabili, ſicut nunc eſt, & ſemper erat. B Si igitur ille beatā vitam ante homines natos extitiſſe confitetur (rurſus enim reuoluens eadē vtar oratione) nos temporibus poſteriores natos eſſe non contradicimus, verbis & nominibus vſos fuiſſe aſſerimus: ἀγεννησία autē nomen eſt propriæ notionis ſignificatiuum: Omne autem nomen humanæ orationis pars eſt: Ergo qui diuinam naturam hominibus prius extitiſſe confitetur, appellationem hanc ab hominibus inuentam natura poſteriorē eſſe conſentit. Neque enim erat cōſentaneum, orationis vſum ante hominum conſtitutionem oratio- C ne vtentium operatum fuiſſe, ſicut neque agriculturam ante eos qui agros colerent, neque nauigationem ante eos qui nauigarent, neque aliud quicquam eorum quæ ad vitæ neceſſitatē efficiuntur, antequam vita humana conſiſteret. Cur igitur nobis repugnat, neque cognitas ſuas rationes ſequitur? Erat (inquit) Deus quod eſt, antequam factus eſſet homo: neque nos hoc negamus. Quicquid enim de Deo mente & animo cognoſcitur, hoc ante mundi conſtitutionem erat: ſed hoc nominari dicimus, poſteaquam qui nominaret eſſe D cœpit. Si enim nominibus ob eam cauſam vtimur, vt rerum inde nobis doctrina comparetur: ſolum autem quod ignorat, docente indiget: diuina autem natura quia omnem complectitur cognitionem, omni doctrina præſtantior eſt: per hæc autem demonſtratur quod non Dei gratia, ſed noſtri cauſa nomina ad eius qui eſt declarationem ſunt excogitata. Non enim vt ille ſeipſum diſceret, nomen ἀγεννησίας naturæ accommodauit. Qui enim nouit omnia, & ſeipſum ante omnia, ſyllabis & verbis ad ſe cognoſcendum vt

fert eius natura & dignitas, non indiget: ſed vt nos eorum quæ piè de ipſo intelliguntur, aliquam cõprehenſionem adipiſceremur, verbis quibuſdam & ſyllabis notionũ differentias efformauimus, veluti ſignacula quædam & notas per ſermonum efformationes, intelligentiæ motionibus inſcribentes: vt earum quæ adueniunt animo impulſionum per ſonos mentis conceptibus congruos vera & diſtincta atque inconfuſa fiat declaratio. Cur igitur noſtrum arguit ſermonem, quo dicimus nomen ἀγεννησίας excogitatum fuiſſe ad demõſtrandum abſq. origine & principio Deum ſubſiſtere, dum dicit, quod Deus & loquentibus, & tacentibus, & intelligentibus prior, & ante eorum quæ facta ſunt commentationem erat, & eſt ingenitus. Si enim aliquis eſſet qui aſtrueret, non prius ipſum fuiſſe ingenitum, quàm à nobis nomẽ inuẽtum eſſet, venia dignus eſſet aduerſus talem abſurditatem illa ſcribens. Quod ſi ipſum ante omnem orationem, & intelligentiã extitiſſe omnes fatentur: nominis autem poſitio qua mens enuntiatur, commentatione inuenta eſſe dicitur: ſcopus autem contra nos pugnæ ei propoſitus eſt, demonſtrare non ab hominibus excogitatum eſſe hoc nomen, ſed hoc eſſe ante noſtram conſtitutionem, neſcio à quo dictum: quid cõmune habet cum propoſito eius ſtudio, nempe dicere, ante ea quæ ſunt, Deum modo ingenito ſubſiſtere, & magno conatu cõfirmare poſteriorem eſſe commentationem, & quæ dixit, affirmare? Hominum enim eſt inſaniẽtium exiſtimare, cogitationẽ quid antiquius eſſe his qui excogitant. Eſtque prætereà quæcumque progreſſus enarrat, quemadmodum neque illud ſentientium, nempe homines, quamuis Dei opificiorum vltimos, ſuæ excogitationi præponere. Magnã vim reuera robur habuerit oratio, ſiquidem aliquis ex inſania, vel amentia Deum eſſe commentationem pronuntiaret. Si autem hęc ratio neque eſt, neque fuit: (quis enim eò ſtuporis & vecordiæ adegerit, vt eum qui verè eſt, & qui alia omnia quæcumque ſunt, ad generationem adduxit, nõ eſſe per propriam ſubſiſtentiam affirmet, ſed per nominis excogitationem pronunciet?) Cur fruſtra vmbratili certamine depugnat aduerſus ea quæ nullus aſſerit, pu-

A θεῖν ὡς ἔχει φύσεως τε καὶ ἀξίας, οὐ δεῖται. ἀλλ' ὅπως ἡμεῖς τινὰ τῶν εὐσεβῶν περὶ αὐτὸν νοουμένων κατάληψιν σχοίημεν, ῥήμασί τισι καὶ συλλαβαῖς τὰς τῶν νοημάτων διαφορὰς ἐτυπώσαμεν, οἷόν τινα σημάντρα καὶ χαρακτῆρας τὰς διὰ τῶν λόγων τυπώσεις τοῖς τῆς διανοίας κινήμασιν ἐπιγράψαντες. ὥστε τῶν ἐπιγινομένων τῇ ψυχῇ κινημάτων τρανῆ καὶ ἀσύγχυτον ποιεῖσθαι τὴν δήλωσιν, διὰ τῶν ἐφηρμοσμένων τοῖς νοήμασι φθόγγων. τί τοίνυν ἐλέγχει τὸν ἡμέτερον λόγον, καθ' ὅ φαμεν ἐπινενοῆσθαι τὸ τῆς ἀγεννησίας ὄνομα πρὸς ἔνδειξιν τοῦ ἀνάρχως τὸν Θεὸν B ὑφεστάναι, τῷ λέγειν ὅτι ὁ Θεὸς καὶ λαλούντων καὶ σιωπώντων καὶ διανοουμένων, καὶ πρὸ τῆς τῶν γινομένων ἐπινοίας ἦν τε καὶ ἐστὶν ἀγέννητος. εἰ μὲν γάρ τις ἦν ὁ κατασκευάζων μὴ πρότερον αὐτὸν ἀγέννητον εἶναι, πρὶν ἢ παρ' ἡμῶν ἐξευρεθῆναι τὸ ὄνομα, συγγνωστὸς ἂν ἦν πρὸς τὴν τοιαύτην ἀτοπίαν ἐκεῖνα γράφων. εἰ δὲ τὸ προϋφεστάναι τε λόγου καὶ διανοίας αὐτὸν περὶ πάντων ὁμολογεῖται, ἡ δὲ τοῦ ὀνόματος θέσις καθ' ἣν ὁ νοῦς ἐξαγγέλλεται, δι' ἐπινοίας C παρ' ἡμῶν εὑρῆσθαι λέγεται· ὁ δὲ σκοπὸς αὐτῷ τῆς πρὸς ἡμᾶς ἐστὶ μάχης, τὸ δεῖξαι μὴ παρὰ ἀνθρώπων ἐπινενοῆσθαι τὸ ὄνομα, ἀλλ' εἶναι τοῦτο καὶ πρὸ τῆς ἡμετέρας συστάσεως, οὐκ οἶδα παρά τινος λεγόμενον, τί κοινὸν ἔχει πρὸς τὴν προκειμένην αὐτῷ σπουδὴν, τὸ πρὸ τῶν ὄντων ὑφεστάναι τὸν Θεὸν ἀγεννήτως λέγειν, καὶ τὸ διαβεβαιοῦσθαι μεταγενεστέραν εἶναι διαγωνίζεσθαι, καὶ λέγειν ἃ εἴρηκεν; ὅτι μαινομένων ἐστὶ τὸ πρεσβυτέραν τῶν ἐπινοούντων ἡγεῖσθαι τὴν ἐπινόησιν, καὶ ἔστι πρὸς τούτοις ὅσα προβὰς D ἐξέρχεται. ὥσπερ οὐδὲ ἐκεῖνο φρονούντων, τὸ, τοὺς ἀνθρώπους καίπερ ὄντας ὑστάτους τῶν τοῦ Θεοῦ δημιουργημάτων προτάττειν τῆς σφῶν αὐτῶν ἐπινοίας. μεγάλην γὰρ τῷ ὄντι τὴν ἰσχὺν ὁ λόγος εἶχεν, εἴπερ τις ἐκ μανίας ἢ παραφροσύνης ἐπίνοιαν εἶναι τὸν Θεὸν ἀπεφαίνετο. εἰ δὲ οὔτε μὲν ὁ λόγος οὔτε ἐστὶν, οὔτε μὲν γεγένηται· τίς γὰρ ἂν εἰς τοῦτο παραπληξίας ἐλάσειεν, ὥστε τὸν ὄντως ὄντα, καὶ τὰ ἄλλα πάντα ὅσα ἐστὶν εἰς γένεσιν ἀγαγόντα, τοῦτον μὴ καθ' ὑπόστασιν ἰδίαν λέγειν εἶναι, ἀλλ' ἐπίνοιαν ὀνόματος ἀποφαίνεσθαι· τί μάτην σκιομαχεῖ, τοῖς οὐ τιθεῖσι μαχόμενος· ἢ πρόδηλος αἰτία τῆς

A ἀνοήτου ταύτης φιλονεικίας, ὅτι τοὺς ἐξαπατηθέντας διὰ τοῦ κατ᾽ ἀγεννησίαν σοφίσματος αἰσχυνόμενος, ἐπεὶ διηλέγχθη πάμπολυ τῆς κατὰ τὴν οὐσίαν σημασίας κεχωρισμένον τὸ ὄνομα, ἑκὼν ποιεῖται τῶν λεγομένων τὴν σύγχυσιν, ἀπὸ τοῦ ὀνόματος ἐπὶ τὰ πράγματα μεταβιβάζων τὴν μάχην, ὡς τοὺς ἀνεπισκέπτους εὐκόλως διὰ τῆς τοιαύτης παρακρουσθῆναι συγχύσεως, νομίζοντας ἢ ἐπίνοιαν τὸν Θεὸν παρ᾽ ἡμῶν εἰρῆσθαι, ἢ τῆς τῶν ἀνθρωπίνων ὀνομάτων εὑρέσεως δεύτερον· καὶ διὰ τοῦτο καταλιπὼν ἀνέλεγκτον τὸ ἡμέτερον, μεταφέρει τὴν μάχην. B τὸ γὰρ παρ᾽ ἡμῶν ἦν, καθὼς εἴρηται, τὸ τῆς ἀγεννησίας ὄνομα μὴ τὴν φύσιν ἐνδείκνυσθαι, ἀλλ᾽ ἐξ ἐπινοίας ἐφαρμόζειν τῇ φύσει, δι᾽ ἧς τὸ ἄνευ αἰτίας αὐτὸν ὑφεστάναι σημαίνεται. τὸ δὲ παρ᾽ αὐτῶν κατασκευαζόμενον ἦν, αὐτῆς εἶναι τῆς οὐσίας ἐνδεικτικὴν τὴν φωνήν. ποῦ τοίνυν κατεσκευάσθη τὸ οὕτως ἔχειν τὴν τοῦ ὀνόματος δύναμιν; ἀλλὰ ταῦτα μὲν ἑτέροις που πάντως τεταμίευται λόγοις. ὁ δὲ πᾶς αὐτῷ πόνος εἰς τὸ ὑφεστάναι τὸν Θεὸν ἀγεννήτως ἀνήλωται. ὅμοιον ὥσπερ ἂν εἴ τις σαφῶς περὶ τούτων ἤρετο, τίνα περὶ τοῦ ὀνόματος τῆς ἀγεννησίας ἔχει διάνοιαν, C εἴτε ὡς ἐπινοουμένου πρὸς ἔνδειξιν τοῦ ἀνάρχως εἶναι τὸ πρῶτον αἴτιον, εἴτε καὶ ὡς αὐτῆς δηλωτικοῦ τῆς οὐσίας, ὁ δὲ μάλα σεμνῶς καὶ ἐπισταμένως ἀπεκρίνετο, τὸ οὐρανοῦ καὶ γῆς τὸν Θεὸν ποιητὴν εἶναι μὴ ἀμφιβάλλειν. ὡς τοίνυν ἐστὶν ὁ λόγος ἀπᾳδὴς τοῦ προτεθέντος, καὶ οὐ συνήρτηται· κατὰ τὸν αὐτὸν τρόπον εὕροις ἂν καὶ ἐπὶ τῆς καλλιγραφείσης αὐτῷ καθ᾽ ἡμῶν μάχης τὸ πρὸς τὸν σκοπὸν ἀσυνάρτητον. οὑτωσὶ δὲ σκοπήσωμεν, ἀγέννητόν φασι τὸν Θεὸν εἶναι, τοῦτο καὶ ἡμεῖς συντιθέμεθα· ἀλλὰ D καὶ τὴν ἀγεννησίαν, οὐσίαν εἶναι, πρὸς τοῦτο παρ᾽ ἡμῶν ἡ ἀντίρρησις. ὄνομα γὰρ τοῦτο φαμὲν ἐνδεικτικὸν εἶναι τοῦ ἀγεννήτως τὸν Θεὸν ὑφεστάναι, οὐ τὴν ἀγεννησίαν εἶναι Θεόν, ἐλέγχειν ἐπαγγέλλεται τὸν ἡμέτερον λόγον. τίς οὖν ὁ ἔλεγχος; ὅτι πρὸ τῆς τῶν ἀνθρώπων συστάσεως ἦν, φησίν, ἀγέννητος. τί τοῦτο πρὸς τὸ ζητούμενον; ὃ δείξειν οὗτος κατεπαγγέλλεται; ταὐτὸν εἶναι τῷ ὑποκειμένῳ τὸ ὄνομα. οὐσίαν γὰρ εἶναι τὴν ἀγεννησίαν ὁρίζεται; τίς οὖν ἡ τῶν ἐπηγγελμένων ἀπόδειξις; τὸ δεῖξαι προϋφεστῶτα τῶν φωνῇ κεχρημένων,

A gnans? An non manifeſta cauſa huius inſanæ contentionis eſt, quod dum ob deceptos captioſo argumẽto huius nominis ἀγεννησίας eum pudet: quoniam hoc nomen non permultum ab eſſentiæ ſignificatione ſeparatum eſſe probatum eſt: ſponte dicta confundit, à homine ad res controuerſiam transferens, vt facilè incauti hac cõfuſione eludãtur, putantes vel cõmentationem Deum à nobis dictum eſſe, vel humanorum nominum inuentione poſteriorẽ: ideoque relicto noſtro irreprehenſibili argumento pugnã detorquet. Hoc enim à nobis erat, B ſicut dictum eſt, nomen ἀγεννησίας non naturam demonſtrare, ſed ex commentatione naturę cõgruere, per quam ipſum abſq. cauſa ſubſiſtere ſignificatur. quod verò ab ipſis adſtruebatur, ipſius eſſentiæ indicem vocem eſſe. Vbi igitur adſtructum eſt, vim huius nominis ita ſe habere? Sed hæc alicubi in aliis diſputationibus planè recõdita ſunt. Omnis autem ei labor occupatus eſt, vt demonſtret Deum ſubſtare ἀγεννήτως, perinde ac ſi quis disertè de his interrogaret, quám nam de nomine ἀγεννησίας intelligentiam haberet, verũ exiſtimaret excogitatum C ad demonſtrandum primã cauſam principio & origine carere, an verò ipſam eſſentiam declarare? hic autem valde grauiter & audacter reſpõderet, ſe non dubitare Deum cœli & terræ creatorem eſſe. Vt igitur hic ſermo à propoſito diſſonat, neque connexa ſerie ſequitur: eodem modo inueneris in pulchrè deſcripta contra nos pugna, quod à ſcopo diſſentaneum eſt & alienum; ſic autem perſpiciamus. Ingenitum aiunt, Deum eſſe: huic etiã nos aſſentiamur: ſed etiam ἀγεννησίαν eſſentiã eſſe, ad hoc à nobis contradictio occurrit: hoc enim nomẽ dici- D mus demonſtratiuũ eſſe, Deum ingenerabiliter ſubſtare, non ἀγεννησίαν eſſe Deũ: hunc ſermonem refellere noſtrum polli cetur. Quænam igitur refutatio? Quod ante hominum conſtitutionem erat, inquit, ingenitus. Quid hoc ad id quod quæritur, quod ſe demõſtraturum profitetur idem eſſe nomen cum ſubiecto? eſſentiam enim ἀγεννησίαν definit. Quænam igitur pollicitationum demonſtratio? Demonſtrare nempe, Deum exiſtere ante homines voce vtentes,

ô mirificam demonſtrationem, & cui contradici non poſſit! hæc eſt ex diſſerendi arte diſceptatrix ſubtilitas & argutia? in quam quis profanus nec arcanis doctrinæ initiatus obtuebitur? Sed grauiter nobis in differentiis ſiue diſtinctionibus huius nominis ἐπινοίας, cõmentationis ſiue, excogitationis ipſum nomen ἐπινοίας traducit. Eorum, inquit, quæ ſecundùm ἐπίνοιαν, id eſt, ex hominum cõmentatione dicuntur, quædam ſola prolatione cõſiſtunt, vt quæ nihil ſignificant: alia verò propria intelligentia: & horum alia quidẽ per amplificationem, vt in coloſſicis: alia per diminutionem, vt in pygmæis: alia per appoſitionem, vt in multicipitibus, vel per compoſitionem vt in ſemiferis. Vides quorſum hic ſapiens nobis in minutias diſcerptam ἐπίνοιαν vlterius eius vim procedere noluit. Nihil, inquit. ἐπίνοιαν ſignificare & ſenſu carere, ea quæ ſunt præter naturã captioſè oſtendentem, vel decurtantem, vel naturæ definitos modos ſuperextendentẽ, vel ex diuerſis formis componentem, vel alienis monſtroſiſque additionibus portẽta fingentem. In his ἐπινοίας nomen ludificatus inutilem & prorſus ac nullius commodi humanæ vitæ ex ſuis demonſtrat. Vnde igitur altiores diſciplinæ? vnde geometria, & numerandi ſcientia, ſermocinalium, & naturalium perceptorum, ſiue ſpeculamentorum doctrina? & machinamentorum inuentiones, & per æs & aquam in horoſcopiis, id eſt horarum obſeruationibus, miracula? ipſaque de eo quod eſt philoſophia? Atque intelligibiliũ contemplatio? atque vt ſummatim dicam omnis in magnis & excelſis animi occupatio? Quid autem agricultura? quid nauigandi peritia? quid reliqua in vita diſpenſatio? vnde peruium homini mare? quomodo à terreſtri quod eſt in aëre in ſeruitutem redactum eſt? quomodo quod ferum eſt cicuratur? quomodo domatur quod eſt horribilius? quomodo frenum nõ detrectat, & reſpuit quod eſt robuſtius? An nõ per ἐπίνοιαν, id eſt cõmentationem, hæc omnia vitæ humanę inuẽta ſunt? Eſt enim ſecundùm meam definitionem ἐπίνοια, ratio inuentrix eorum quæ ignorantur, per adhærentia & conſentanea primæ de eo quod ſtudioſè quæritur, notioni, quod deinceps ſequitur adinueniens. Nam cùm intelleximus aliquid de eo quod quæritur, per

Verba Eunomij.

A τὸν Θεόν. ὢ τῆς ἀναντιῤῥήτου καὶ θαυμαστῆς ἀποδείξεως· αὕτη ἐστὶν, ἡ ἐκ τῆς διαλεκτικῆς τέχνης λογικὴ τεχνουργία; πρὸς ἣν τίς ἀντιβλέψειε τῶν ἀμυήτων τῆς ἀποῤῥήτου παιδεύσεως; ἀλλὰ σεμνῶς ἡμῖν ἐν ταῖς περὶ τῆς ἐπινοίας διαφοραῖς αὐτὸ διακωμῳδεῖ τῆς ἐπινοίας τὸ ὄνομα. τῶν γὰρ οὕτω κατ' ἐπίνοιαν λεγομένων, φησί, τὰ μὲν. κατὰ τὴν προφορὰν μόνον ἔχειν τὴν ὕπαρξιν, ὡς τὰ μηδὲν σημαίνοντα· τὰ δὲ κατ' ἰδίαν διάνοιαν· καὶ τούτων τὰ μὲν, κατὰ αὔξησιν, ὡς ἐπὶ τῶν κολοσσαίων· τὰ δὲ κατὰ μείωσιν, ὡς ἐπὶ τῶν πυγμαίων· B τὰ δὲ κατὰ πρόσθεσιν ὡς ἐπὶ τῶν πολυκεφάλων, ἢ κατὰ σύνθεσιν ὡς ἐπὶ τῶν μιξοθήρων. ὁρᾷς εἰς τί τὴν ἐπίνοιαν ἡμῖν ὁ σοφὸς διακερματίσας περαιτέρω τὴν δύναμιν αὐτῆς προελθεῖν οὐκ ἠξίωσεν, ἀσήμαντον εἶναι φησὶ τὴν ἐπίνοιαν, ἀδιανόητον, τὰ παρὰ φύσιν σοφιζομένην ἢ διακολοβοῦσαν, ἢ ὑπερτείνουσαν τὰ ὡρισμένα μέτρα τῆς φύσεως, ἢ ἐξ ἑτεροφυῶν συντιθεῖσαν, ἢ τερατευομένην ταῖς ἀλλοκότοις προσθήκαις. ἐν τούτοις καταπαίξας τοῦ τῆς ἐπινοίας ὀνόματος, ἄχρηστον αὐτὴν καὶ ἀνόνητον τῷ βίῳ ὁ κατ' αὐτὸν ἀποδείκνυσιν. C πόθεν οὖν τῶν μαθημάτων τὰ ὑψηλότερα; πόθεν ἡ γεωμετρία, καὶ ἡ ἀριθμητικὴ φιλοσοφία, καὶ τῶν λογικῶν τε καὶ φυσικῶν θεωρημάτων ἡ διδασκαλία, αἱ δὲ τῶν μηχανημάτων εὑρέσεις; καὶ τὰ διὰ χαλκοῦ τε καὶ ὕδατος ἐν ὡροσκοπίοις θαύματα; αὐτὴ ἡ περὶ τοῦ ὄντος φιλοσοφία, καὶ ἡ τῶν νοητῶν θεωρία. καὶ συλλήβδην φάναι, πᾶσά τε ἡ περὶ τὰ μεγάλα τε καὶ ὑψηλὰ τῆς ψυχῆς ἀσχολία; τί δὲ ἡ γεωργία; τί δὲ ἡ ναυτιλία; τί δὲ ἡ λοιπὴ κατὰ τὸν βίον ἡμῶν οἰκονομία; πόθεν βάσιμος τῷ ἀνθρώπῳ ἡ θάλασσα; πῶς δεδούλωται τῷ χερ- D σαίῳ τὸ ἀέριον; πῶς τιθασσεύεται τὸ ἀνήμερον; πῶς δαμάζεται τὸ φοβερώτερον; πῶς οὐκ ἀφηνιάζει τὸ ἰσχυρότερον; ἆρ' οὐ δι' ἐπινοίας ἐφευρέθη, ταῦτα πάντα τῇ ἀνθρωπίνῃ ζωῇ; ἔστι γὰρ κατὰ τὸν ἐμὸν λόγον ἐπίνοια ἔφοδος εὑρετικὴ τῶν ἀγνοουμένων, διὰ τῶν προσεχῶν τε καὶ ἀκολούθων τῇ πρώτῃ περὶ τὸ σπουδαζόμενον νοήσει, τὸ ἐφεξῆς ἐξευρίσκουσα. νοήσαντες γάρ τι περὶ τοῦ ζητουμένου τῇ ἀρχῇ

τοῦ

τοῦ ληφθέντος, διὰ τῶν ἐφευρισκομένων νοημάτων συναρμόζοντες τὸ ἀκόλουθον, εἰς τὸ πέρας τῶν σπουδαζομένων τὴν ἐγχείρησιν ἄγομεν. καὶ τί με τὰ μείζω τε καὶ ὑψηλότερα τῶν τῆς ἐπινοίας κατορθωμάτων ἀριθμεῖσθαι; ἔξεστι γὰρ τῷ μὴ φιλονείκως ἔχοντι πρὸς τὴν ἀλήθειαν κατιδεῖν, ὅτι καὶ τὰ ἄλλα πάντα ὅσα βιωφελῆ τε καὶ χρήσιμα τῇ ζωῇ τῶν ἀνθρώπων ὁ χρόνος ἐφεῦρεν, οὐχ ἑτέρως, ἀλλὰ διὰ τῆς ἐπινοίας ἐξηύρηται. καί μοι δοκεῖ πάντων τῶν κατὰ τὴν ζωὴν ταύτην ἐναργουμένων ἐν ἡμῖν ἀγαθῶν τῶν τε ταῖς ψυχαῖς ἡμῶν παρὰ τῆς θείας προμηθείας ἐνυπαρχόντων, τὴν ἐπίνοιαν τις προτιμοτέραν κρίνων, μὴ ἂν τῆς πρεπούσης κρίσεως διαψευσθῆναι. λέγω δὲ ταῦτα παρὰ τοῦ Ἰὼβ διδαχθείς, ἐν οἷς ὁ Θεὸς τῷ λόγῳ πεποίηται διὰ λαίλαπος καὶ νεφῶν, τῷ θεράποντι χρηματίζων· τά τε ἄλλα λέγων ὅσα Θεῷ πρέπον ἦν λέγειν, καὶ ὅτι αὐτὸς εἴη ὁ τῶν τέχναις ἐπιστήσας τὸν ἄνθρωπον, καὶ γυναιξὶ χαρισάμενος ὑφαντικήν τε καὶ ποικιλτικὴν ἐπιστήμην. ὅτι γὰρ οὐκ ἐνεργείᾳ τινὶ τὰς τοιαύτας τέχνας ἡμᾶς ἐδίδαξεν αὐτὸς προκαθήμενος τῆς ἐργασίας, καθάπερ ἐν τοῖς σωματικῶς διδασκομένοις ἐστὶν ἰδεῖν, οὐδεὶς ἀντείποι πάντως, μὴ σαρκικὸς καὶ κτηνώδης τις ὤν. ἀλλὰ μὴν εἴρηται παρ᾽ αὐτοῦ γεγενῆσθαι ἡμῖν τῶν τοιούτων τεχνῶν ἡ καθήγησις, οὐκοῦν ὁ δοὺς τῇ φύσει τὴν ἐπινοητικὴν καὶ εὑρετικὴν τῶν ζητουμένων δύναμιν, αὐτὸς ἡμᾶς πρὸς τὰς τέχνας ἤγαγε. καὶ τῷ τῆς αἰτίας λόγῳ πᾶν τὸ ἐξ ἐπινοίας εὑρισκόμενόν τε καὶ κατορθούμενον, εἰς τὸν ἀρχηγὸν τῆς δυνάμεως ταύτης ἐπαναφέρεται. οὕτως καὶ τὴν ἰατρικὴν ὁ βίος εὗρεν· ἀλλ᾽ ὅμως Θεοῦ δῶρον τὴν ἰατρικὴν εἰπών τις οὐχ ἁμαρτήσεται. καὶ πᾶν ὅπερ ἐστὶ κατὰ τὴν ἀνθρωπίνην ζωὴν ἐξευρημένον, κατ᾽ εἰρήνην καὶ πόλεμον, πρός τι τῶν χρησίμων ἐπιτηδείως ἔχον, οὐδαμόθεν ἡμῖν ἔσχε τὴν πάροδον, ἀλλὰ τοῦ νοῦ τὰ καθ᾽ ἕκαστον ἡμῖν καταλλήλως ἐπινοοῦντος καὶ ἐφευρίσκοντος· νοῦς δὲ ἔργον Θεοῦ. οὐκοῦν ἐκ Θεοῦ πάντα ὅσα διὰ τοῦ νοῦ ἡμῖν πεπόρισται· τὸ δὲ λέγεσθαι παρὰ τῶν ὑπεναντίων τὰ μυθώδη πλάσματα, καὶ τὰ ψευδῆ τερατεύματα παρὰ τῆς ἐπινοίας λογοποιεῖσθαι καὶ πλάττεσθαι, οὐδὲ αὐτὸς ἀντιλέγω· πρὸς γὰρ τὸν ἡμέτερον σκοπὸν καὶ ὁ ἐκείνων λόγος συμφέρεται. φαμὲν γὰρ καὶ ἡμεῖς, τὴν αὐτὴν εἶναι τῶν ἐναντίων τὴν ἐπιστήμην, τῶν τε ἐπωφελῶν, καὶ τῶν ὡς ἑτέρως ἐχόντων.

A principium eius quod ſumptum eſt, per ea ſenſa quę inueniūtur, quod cōſequēs eſt adaptātes ad terminū, eorū in quibus elaboram⁹ conatū adducimus. Et quid mihi neceſſe eſt ἐπινοίας commentationes beneficia maiora & ſublimiora numerando receſſere? Licet enim homini non contētioſo ad veritatē perſpicere, quòd alia omnia quæ vitæ hominum vtilia & neceſſaria tēpus inuenit, nō aliter quàm διὰ τῆς ἐπινοίας, id eſt, cōmentatione & ſubtilitate mentis inuenta ſunt & excogitata. Ac mihi quidem videtur omnibus bonis quæ in hac vita efficiuntur in no-
B bis, quæque animis noſtris à diuina prouidentia inſunt, τὴν ἐπίνοιαν, vim commentandi, quis pretioſiorem & honorabiliorem iudicās, non à dicente & recto iudicio falſo aberraturus eſſe. Hæc autē dico à Iob edoctus, in quibus Deus ſermone per turbines & nubes ſeruo reſpondens factus eſt, tùm alia quæ Deū decet dicere proferens, cùm etiā quod ipſe ſit qui artibus hominē præfecit, & mulieri gratificatus, artem texendi & acu pingendi ſcientiam. Quòd enim non actu quodam tales artes docuit, ipſe operæ
C pręſidens, quēadmodum in his quę corporaliter edocentur videre licet, nullus planè cōtradixerit, qui carnalis & belluinus non ſit: ſed dictū eſt ab ipſo taliū artium nobis inſitā eſſe doctrinā, quia nimirum dederit naturæ excogitādi & inueniendi ea, quæ inquiruntur facultatem, ſicq; ipſe nos ad artes adduxit. Et propter cauſæ rationē quicquid ex ἐπινοίας, id eſt cōmentatione excogitatur, & inuenitur atq; perficitur, in principem huius facultatis autorē refertur: ſic medicinam vita inuenit, verumtamen Dei donū medicinā qui dixerit, non aberra- Eccleſ. 38.
rabit. Et omne quod in vita humana in-
D uentum eſt, ad aliquid eorū quæ ad pacem & bellum vtilia ſunt, cōducit: non aliūde habuit aditum, ſed mens eſt quæ ſingula nobis, prout naturæ noſtræ congruit, excogitat & inuenit. Mens autem opus Dei eſt. Igitur ex Deo omnia quæ per mētē nobis ſuppeditata ſunt. Quod autem ab aduerſariis dicitur, fabuloſa figmenta & mendacia portentoſa hac commentatione conficta eſſe & conſcripta, neque ego ipſe refragor, nam ad noſtrum ſcopum etiam illorum ratio confert. Dicimus enim nos eandē eſſe contrariorum ſcientiam, & vtilium & eorum quæ contrario modo ſe habent.

vt medicinam gubernatricem, & ſi quid aliud tale eſt. Qui enim nouit opē ferre ægrotantibus per medicamēta, nouerit etiam (ſiquidem arte in perniciem abuti velit) ſanis mortiferum venenū inferre, & qui ad portum gubernato nauigium dirigit, ad ſaxa etiā latētia & paululum eminētia, & ſcopulos appellere poterit, ſi hoc ei cordi fuerit inſidioſè perdere nauigantes. Et pictor eadem arte in tabula pulcherrimam formam oſtendit, & rurſus turpiſſimam euidenter imitatus eſt: ſic pædotriba ſiue palæſtræ magiſter, membrum luxatum ſiue ſua ſede motum, vngendi peritia congruenter reſtituit: Et quod benè habet, ſi velit eadem arte deartuabit. Et quid opus eſt ſingula recenſendo multum oratione turbam inducere? Vt igitur his quæ dicta ſunt nullus contradixerit, eum qui artem aliquam didicerit, ad id quod eſt melius efficiendum, poſſe eadem arte ad ea quæ non conueniunt efficienda vti: ſic dicimus vim ἐπινοίας, commentationis, ad bonū quidem à Deo humanæ naturæ inditam eſſe: abutentibus verò inuentrice facultate miniſtram ſæpe & inuentricem fieri inutilium inuētorum. quamobrem non quoniam falſa & non exiſtentia probabiliter poteſt ἐπίνοια confingere, ideo quæ verè ſunt & verè ſubſtant, perſcrutari non poteſt: ſed hæc ipſa aptitudo & habilitas quam habet ad eiuſmodi, æquis & bonis facultatis ad illud teſtimonium eſt. Quod enim propoſitum eſt ad pauorem, vel animi oblectationem aliquā videntibus ciendam & mouendam, commentatione non carere ad id efficiendum quod elaboratur: ſed vel multas manus & multa capita habentes homines, vel ignem ſpirantes, vel draconum ſpiris inuolutos ſimulare & fingere, vel in maius ſtaturam extollere, vel naturæ modos ad ridiculum decurtare, vel homines in fontes, & arbores, & aues transformatos narrare, per quæ licet eos qui talibus delectantur animi ſolatium aliquod & illecebram inuenire: euidentiſſimum eſſe argumentum dico, aliquem poſſe quæ maiora ſunt & præſtantiora in diſciplinis, hac inuentrice facultate excogitare. Non enim ad eorum quæ non ſubſiſtunt figmenta perfecta nobis mens, ab eo qui dedit, ingenerata eſt: ad eorū verò quę animum iuuant, inuentionem nullam

A οἷον τὴν ἰατρικήν, κυβερνητικήν, καὶ εἴ τι ἄλλο τοιοῦτόν ἐστιν· ὁ γὰρ εἰδὼς βοηθῆσαι τοῖς ἀρρωστοῦσι διὰ φαρμάκων ἐπινοοίη ἄν, εἴπερ ἐπὶ κακῷ χρῷτο τῇ τέχνῃ, καὶ τοῖς ὑγιαίνουσιν ἐντρῖψαι τὸ δηλητήριον· καὶ ὁ πρὸς τὸν λιμένα διευθύνων τῷ πηδαλίῳ τὸ σκάφος, εὐθύνειεν ἂν καὶ ἐπὶ χοιράδας ἢ σκοπέλους, εἰ τοῦτο γένοιτο φίλον αὐτῷ τὸ δι' ἐπιβουλῆς διαφθεῖραι τοὺς πλέοντας, καὶ ὁ ζωγράφος τῇ αὐτῇ τέχνῃ τήν τε καλλίστην μορφὴν ἐπὶ τοῦ πίνακος ἔδειξε, καὶ τὴν αἰσχίστην πάλιν ἐναργῶς ἐμιμήσατο. οὕτως ὁ παιδοτρίβης τὸ ἐξηρθρωμένον μέλος B διὰ τῆς ἀλειπτικῆς ἐμπειρίας ἐνήρμοσε, καὶ τὸ ὑγιαῖνον εἰ βούλοιτο διὰ τῆς αὐτῆς τέχνης ἐξήρμοσε. καὶ τί χρὴ τὰ καθ' ἕκαστον λέγοντα πολὺν ὄχλον ἐπεισάγειν τῷ λόγῳ; ὡς τοίνυν ἐπὶ τῶν εἰρημένων οὐκ ἄν τις ἀντείποι, τὸν πρὸς τὸ κρεῖττον ἐνεργεῖν μεμαθηκότα τέχνην τινὰ δύνασθαι ἂν τῇ αὐτῇ καὶ πρὸς τὰ μὴ δέοντα χρήσασθαι. οὕτως φαμὲν καὶ τῆς ἐπινοίας τὴν δύναμιν ἐπ' ἀγαθῷ μὲν ἐντεθεῖσθαι παρὰ τοῦ Θεοῦ τῇ ἀνθρωπίνῃ φύσει· καταχρωμένων δέ τινων τῇ ἐφευρετικῇ δυνάμει, διάκονον πολλάκις καὶ συνεργὸν γίνεσθαι τῶν ἀνωφελῶν εὑρημάτων. C οὐκοῦν οὐχ ἐπειδὴ δύναται τὰ ψευδῆ καὶ ἀνύπαρκτα πιθανῶς ἡ ἐπίνοια διαπλάσσειν, διὰ τοῦτο τὰ ὄντως ὄντα καὶ ἀληθῶς ὑφεστῶτα διερευνᾶσθαι οὐ δύναται. ἀλλ' ἡ πρὸς τὸ τοιοῦτον ἐπιτηδειότης, μαρτυρία τοῖς εὐγνώμοσι τῆς πρὸς ἐκεῖνο δυνάμεως γίνεται. τὸ γὰρ προκείμενον κατάπληξιν τοῖς ὁρῶσιν ἢ θυμηδίαν τινὰ μηχανήσασθαι τὸ πρὸς τὸ σπουδαζόμενον ἐπινοίας μὴ ἀπορῆσαι· ἀλλ' ἢ πολυχείρας τινὰς ἢ πολυκεφάλους, ἢ πῦρ πνέοντας, ἢ δρακόντων ὁλκοῖς συνεσπειραμένους εἰδοποιῆσαι, ἢ πρὸς τὸ μεῖζον D ἐξᾶραι τὴν συμμετρίαν, ἢ διακολοβῶσαι πρὸς τὸ γελοῖον τὰ μέτρα τῆς φύσεως, ἢ πηγὰς τοὺς ἀνθρώπους καὶ δένδρα καὶ ὄρνεα γενέσθαι διὰ μεταβολῆς διηγήσασθαι, δι' ὧν ἔστι ψυχαγωγίαν τινὰ τοῖς διὰ τῶν τοιούτων ἡδομένοις εὑρεῖν· ἐναργεστάτην ἀπόδειξιν εἶναι φημὶ τοῦ καὶ τὰ κρείττω τῶν μαθημάτων δύνασθαι ἂν διὰ τῆς εὑρετικῆς δυνάμεως κατανοῆσαι. οὐ γὰρ πρὸς μὲν τὰ τῶν ἀνυπάρκτων διαπλάσματα ἐντελὴς ἡμῖν ὁ νοῦς παρὰ τοῦ δεδωκότος ἐμπέφυκε. πρὸς δὲ τὴν τῶν ψυχωφελῶν εὕρεσιν, οὐδεμίαν

δύναμιν ποριστικὴν τῶν λυσιτελούντων κεκλήρωται. ἀλλὰ καθάπερ ἡ ὁρμητικὴ καὶ προαιρετικὴ τῆς ψυχῆς ἡμῶν δύναμις, κατὰ μὲν τὸ προηγούμενον πρὸς τὴν τῶν καλῶν τε καὶ ἀγαθῶν ἔφεσιν ἐγκατεσκευάσθη τῇ φύσει· χρήσαιτο δ' ἄν τις καὶ πρὸς τὰ μὴ δέοντα τῇ τοιαύτῃ κινήσει, καὶ οὐκ ἄν τις εἴποι τοῦ πρὸς μηδὲν ἀγαθὸν τὴν προαίρεσιν ῥέπειν, τεκμήριον εἶναι τὸ πρὸς τὰ φαῦλα ποτὲ τὴν ῥοπὴν ἔχειν· οὕτως καὶ ἡ περὶ τὰ μάταιά τε καὶ ἀσύμφορα τῆς ἐπινοίας κίνησις, οὐ κατηγορία τῆς πρὸς τὸ χρήσιμον ἀδυναμίας ἐστίν, ἀλλ' ἀπόδειξις γὰρ τοῦ καὶ πρὸς τὰ ψυχωφελῆ τε καὶ ἀναγκαῖα μὴ ἄπρακτον εἶναι. ὡς γὰρ ἐξεῦρεν ἐκεῖ τὸ πρὸς ἡδονὴν ἢ κατάπληξιν, οὕτως καὶ ἐνταῦθα τῆς πρὸς τὴν ἀλήθειαν ἐφόδου οὐχ ἁμαρτήσεται. ἓν δὲ τῶν ζητουμένων ἦν, εἰ τὸ πρῶτον αἴτιον ὅ ἐστιν ὁ Θεός, ἀνάρχως ἐστίν, ἢ τινὸς ἀρχῆς ἐξημμένον ἔχει τὸ εἶναι. καταλαβόντες δὲ τῇ διανοίᾳ, μὴ δύνασθαι πρῶτον εἶναι τὸ ἐξ ἑτέρου νοούμενον, ἐπενοήσαμεν ὄνομα τῆς τοιαύτης ἐμφατικῆς ὑπολήψεως, καὶ φαμὲν τὸν ἄνευ αἰτίας ὑπερκειμένης ὄντα, ἀνάρχως εἴτουν ἀγεννήτως εἶναι· τὸν δὲ οὕτως ὄντα, ἀγέννητον καὶ ἄναρχον ὠνομάσαμεν. οὐ τί ἐστιν, ἀλλὰ τί οὐκ ἔστι, διὰ τοῦ ὀνόματος ἐνδεικνύμενοι. ὡς δ' ἂν μάλιστα καταφανὲς τὸ ὄνομα γένοιτο, δι' ὑποδείγματος ἐναργεστέρου παραστῆσαι πειράσομαι, δεδόσθω περὶ δένδρου τινὸς εἶναι τὴν ζήτησιν, εἴτε φυτευτόν ἐστιν, ἢ αὐτομάτως γινόμενον. εἰ μὲν οὖν ἐκ φυτείας εἴη, φυτευτὸν πάντως προσεροῦμεν τὸ δένδρον, εἰ δὲ αὐτομάτως, ἀφύτευτον, τὸ δὲ τοιοῦτον ὄνομα καὶ τῆς ἀληθείας οὐ διασφάλλεται· πάντως γὰρ ἢ οὕτως ἢ ἑτέρως ἔσται τὸ δένδρον, καὶ τοῦ φυτοῦ τὴν ἰδιάζουσαν οὐκ ἐνδείκνυται φύσιν. τὸ μὲν γὰρ αὐτοφυὲς εἶναι, διὰ τοῦ ἀφυτεύτου ἐμάθομεν, εἰ δὲ πλάτανος, ἢ ἄμπελος, ἢ ἄλλο τι τῶν τοιούτων φυτῶν ἐστι τὸ δηλούμενον διὰ τῆς τοιαύτης ὀνομασίας οὐκ ἐδιδάχθημεν. εἰ δὲ νενόηται τὸ ὑπόδειγμα, καιρὸς ἂν εἴη μεταβιβάσαι τὸν λόγον ἐπὶ τὸ πρᾶγμα οὗ τὸ ὑπόδειγμα. τὸ πρῶτον αἴτιον ἐξ οὐδεμιᾶς ὑπερκειμένης αἰτίας ἔχειν τὸ εἶναι κατελαβόμεθα. τὸν οὖν ἀγεννήτως ὄντα Θεὸν εἰς ὀνόματος τύπον τὴν ἔννοιαν ταύτην παραγαγόντες, ἀγέννητον ὠνομάσαμεν. ὅτι μὲν οὖν διὰ γενέσεως οὐκ ἔστιν, ἐκ τῆς τοῦ ὀνόματος ἐμφάσεως ἐδηλώσαμεν· αὐτὴ δὲ ἡ οὐσία ἡ ἀγεννήτως οὖσα τίς κατὰ τὴν ἰδίαν φύσιν ἐστίν,

A facultatem vtilium ſuppeditatricẽ ſortita eſt. Sed quemadmodum impultrix & electrix animi noſtri facultas præcipuè ad honeſtorum & bonorum appetitum natura inſtructa eſt: nil tamẽ impedit quin aliquis tali impulſione ad ea quæ nõ decet vti poſſit. Neque quis dixerit, certum argumentũ & indubitatũ ſignũ eſſe quod electio nullũ ad bonum vergat, quia ad mala aliquãdo momentum habeat & declinet: ſic etiã licet ad inania & futilia ingenij ſolertia moueatur, inde tamẽ accuſari nõ debet impotentiæ ad id quod vtile eſt & bonũ, imò
B verò, id apertè demõſtrat, quod hæc ad ea quæ animo proſũt & neceſſaria ſunt, non ſit otioſa & iners. Vt enim illic inuenit, quod ad voluptatẽ vel ſtuporem cõfert: ſic etiã hic ab his quæ ad veritatem viã ſternunt, non aberrabit. Eorum autẽ quæ quærebãtur erat vnum: ſi prima cauſa quę Deus eſt, origine caret, vel ex aliquo principio depẽdẽs habet eſſe. At mente percipientes, nõ poſſe primã cauſam eſſe quod ex altero intelligitur, excogitauimus nomen huius expreſſæ notionis declaratiuũ, & dicimus eũ qui eſt abſq. ſupereminẽte cauſa, ſine origi-
C ne & principio, ſiue ingenito modo eſſe. Eũ autẽ qui ſic eſt, ἀγέννητον καὶ ἄναρχον, id eſt, ingenitũ & carentẽ principio, nominauimus: nõ quid eſt, ſed quid nõ eſt hoc nomine indicantes: vt autẽ hoc nomen clariſſimè eluceſcat, exemplo illuſtriore conabor docere. Detur de aliqua arbore quæſtionẽ eſſe, vtrũ ſatiua eſt an ſponte nata & agreſtis? Si igitur ex plantatione fuerit, ſatiuã prorſus arborẽ pronũciabimus, ſi ſpõte fuſa & edita, nõ ſatiuam: tale nomẽ à veritate non aberrat, omnino enim, vel ſic, vel aliter erit arbor: plantæ autẽ naturã peculiarẽ non indicat, nã ſponte natã arborẽ eſſe, quia non
D ſit ſata, ſiue plãtata didicimus: ſi autem platanus, vel vitis, vel taliũ plãtarum eſt ea quę declaratur, per talẽ nominationẽ nõ didicimus. Si iã exẽplũ intellectũ eſt, tẽpus fuerit ſermonẽ ad rẽ ipſã trãsferre, cuius eſt exẽplum. Primã cauſam ex nulla ſupereminente cauſa habere eſſe cõprehẽdimus. Ergo Deũ qui modo ingenito ſe habet, ad nominis formã notitiã hanc adducẽtes ingenitũ nominauimus. Quod igitur per generationẽ non eſt ex nominis ſignificatione declarauimus: ipſa autẽ eſſentia quæ eſt ingenita ſecundùm propriã naturã quænam eſt,

nihil ex cognominatione ad conſpi-
ciendum directi ſumus. Non enim erat
conſentaneum in tantum ratiocinatio-
num commentationem valere, vt nos
extollat ſupra naturæ modos, & ad ea
quæ comprehendi non poſſunt, aſcen-
dere faciat, & quorum non eſt acceſſus,
ad noſtram cognitionem, hæc noſtra
cognitione complecti poſſimus. Sed
noſtrum magiſtrum exagitat & ſermo-
nem quem de commentatione habet
ille diſtrahit ac lacerat, & dictis inſul-
tat, rurſus conſueto dictiuncularum ſo-
no & plauſu laſciuiens verbis & luxu-
rians, & ait. Quorum ſibi vendicat in-
terpretationem, eorum teſtimonium
præ pudore refugit. Nam cùm enun-
tiaſſet, partem aliquã eorum quæ à ma-
giſtro circa commentationem conſide-
rantur, in quibus ille nõ ſolum in vanis
efficacem dicebat eſſe commentationis
vſum, ſed etiã habere aliquã ad maiora
vim: per argumenta ſumpta à fruméto,
ſemine & cibo, inducit eum accuſans
quòd ea quæ ab illo dicta ſunt externæ
ſeu profanæ Philoſophiæ ſunt cõſequẽ-
tia & Dei curã ſeu prouidẽtiam circũci-
dere, quia nõ cõfiteatur ab illo nomina
rebus indita eſſe: quinetiam atheis ſiue
Deũ negantibus ſuppetias ferre, & ad-
uerſus prouidentiã diuinam arma ferre,
atq. illorum, nempe impiorum ſenten-
tiam pluſquã diuinas leges admirari, il-
liſq. maiorẽ ſapientiæ laudem tribuere,
vtpotè qui primos ſcripturæ ſermones
cõſideratè non perpenderit, quòd non-
dũ ad ortũ hominib. adductis fructus &
ſeminis appellatio à ſcriptura nominata
eſt. Hæc ſunt illius cõtra nos crimina,
nõ ſic illius verbis perſcripta animi ſen-
ſa, ſed tantùm à nobis locutio ſubmuta-
ta eſt, quantum ſat eſt, vt aſperitas & diſ-
ſonãtia ſyntaxeos verborum emẽdetur.
Quid igitur nos, quid ad diuinæ proui-
dentiæ procuratorem reſpondebimus?
nos iniuriã facere autumat, quod homi-
nem rationis participem à Deo factum
eſſe nõ negamus, ſed verborũ inuentio-
nes ad ratiocinandi facultatem à Deo
naturæ hominum inditam reuocamus.
Atque hoc eſt criminum acerbiſſimum,
quo ad Atheorum ſententiam transfu-
gere pietatis magiſter accuſatur, &
illicitæ conſuetudinis hęres & patronus
& omnia atrociſſima nominatur. Dicat
igitur noſtrorũ lapſuũ corrector. Deus
rebus creatis appellationes impoſuit,

A οὐδὲν ἐκ τῆς ἐπωνυμίας ταύτης πρὸς τὸ κατι-
δεῖν ὡδηγήθημεν. οὐδὲ γὰρ ἦν εἰκὸς μέχρι το-
σούτου τὴν τῶν λογισμῶν ἐπίνοιαν ἰσχύειν, ὥστε ὑ-
περαίρειν ἡμᾶς τῶν μέτρων τῆς φύσεως, καὶ τοῖς ἀ-
λήπτοις ἐπιβιβάζειν, καὶ ὧν οὐκ ἔστιν ἔφοδος εἰς
κατανόησιν ταῦτα τῇ ἡμετέρᾳ γνώσει περιλαμ-
βάνειν. ἀλλὰ διασαλεύει τὸν διδάσκαλον ἡμῶν,
καὶ περισύρει τὸν λόγον, ὃν περὶ τῆς ἐπινοίας ἐκεῖ-
νος φησί, καὶ κατορχεῖ τῶν εἰρημένων πάλιν συ-
νήθως τῷ κρότῳ τῶν λεξειδίων, ἐνσατυρίζων
τοῖς ῥήμασι, καὶ φησίν, ὧν σφετερίζεται τὴν ἑρ-
μηνείαν, τούτων ἐπαισχύνεται τὴν μαρτυρίαν.
B ἐπαγγείλας γάρ τι μέρος τῶν κατ' ἐπίνοιαν θεω-
ρηθέντων τῷ διδασκάλῳ, ἐν οἷς ἐκεῖνος οὐ μόνον
ἐπὶ τῶν ματαίων ἐνεργὸν ἔφασκε τῆς ἐπινοίας εἶναι
τὴν χρῆσιν, ἀλλ' ἔχειν τινὰ καὶ πρὸς τὰ μείζω
δύναμιν. διὰ τοῦ κατὰ τὸν σῖτον καὶ τὸ σπέρμα καὶ
τὴν τροφὴν θεωρήματος, ἐπάγει τὰ εἰρημένα τῇ
ἔξωθεν αὐτὸν φιλοσοφίᾳ κατακολουθεῖν αἰτιώ-
μενος, καὶ περικόπτειν τὴν τοῦ Θεοῦ κηδεμονίαν
φησί, μὴ ὁμολογοῦντα παρ' ἐκείνου τὰς ὀνομα-
σίας τεθεῖσθαι τοῖς πράγμασι, καὶ συμμαχεῖν
αὐτὸν τοῖς ἀθέοις, καὶ κατὰ τῆς προνοίας ὁπλίζεσθαι,
C καὶ τὴν ἐκείνων γνώμην παρὰ τῶν νόμων θαυ-
μάζειν, κἀκείνοις πλέον εἰς σοφίας νέμειν, οὐκ
ἐπισκεμμένον τοὺς πρώτους τῶν λόγων. ὅτι μή-
πω παραχθέντων τῶν ἀνθρώπων εἰς γένεσιν, ἡ
τοῦ καρποῦ καὶ τοῦ σπέρματος ἐπωνυμία παρὰ
τῆς γραφῆς ὠνομάσθη. ταῦτα καθ' ἡμῶν παρ'
αὐτοῦ τὰ ἐγκλήματα, οὐχ οὕτως γεγραμμένα
τοῖς ἐκείνου ῥήμασι τὰ νοήματα, ἀλλὰ τοσοῦτον
ὑπήλλακται παρ' ἡμῶν ἡ φράσις, ὅσον τὸ τραχύ
τι καὶ δύσηχον τῆς συντάξεως τῶν εἰρημένων ἐπα-
νορθώσασθαι. τί οὖν ἡμεῖς; τί πρὸς τὸν κηδε-
μόνα τῆς θείας προνοίας ἀποκρινόμεθα; ἀδικεῖν
D ἡμᾶς λέγει. ὅτι τὸ μὲν λογικὸν γεγενῆσθαι παρὰ
τοῦ Θεοῦ τὸν ἄνθρωπον οὐκ ἀρνούμεθα, τὰς δὲ τῶν
ῥημάτων εὑρέσεις εἰς τὴν λογικὴν δύναμιν τὴν ἐν-
τεθεῖσαν παρὰ τοῦ Θεοῦ τῇ φύσει τῶν ἀνθρώ-
πων ἀνάγομεν. καὶ τοῦτό ἐστι τὸ χαλεπώτατον τῶν
ἐγκλημάτων, δι' οὗ πρὸς τὴν τῶν ἀθέων γνώμην
αὐτομολεῖν ὁ διδάσκαλος τῆς εὐσεβείας κατηγο-
ρεῖται, καὶ συνηθείας ἐκθέσμου κληρονόμος καὶ
συνήγορος, καὶ πάντα ὀνομάζεται τὰ δεινότατα.
εἰπάτω τοίνυν ὁ διορθωτὴς τῶν ἡμετέρων πταισ-
μάτων. ὁ Θεὸς ἔθετο τὰς προσηγορίας τοῖς οὖσιν.

A τοῦτο γάρ φησιν ὁ νέος ἐξηγητὴς τῶν μυστικῶν διδαγμάτων, ὅτι βλάστην, καὶ βοτάνην, καὶ χόρτον, καὶ σπέρμα, καὶ ξύλον, καὶ τὰ τοιαῦτα κατωνόμασε πρὸ τῆς τοῦ ἀνθρώπου κατασκευῆς ὁ Θεός, ἐν τῷ παράγειν εἰς κτίσιν τὰ γεγονότα διὰ προστάγματος. οὐκοῦν εἰ ψιλῷ παραμένει τῷ γράμματι, καὶ κατὰ τοῦτο τὸ μέρος Ἰουδαΐζει τῇ γνώμῃ, καὶ οὔπω πεπαίδευται, ὅτι οὐχὶ γράμματός ἐστιν ὁ Χριστιανὸς μαθητής, ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα, φησίν, ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. προφέρει δὲ ψιλὴν ἐπὶ ῥήματος ἡμῖν τὴν τῶν γραμμάτων ἀνάγνωσιν, ὡς B Θεοῦ ταῦτα διεξελθόντος. καὶ τοῦτο πεπίστευκεν, οὐδὲν ἕτερον ἢ καθ' ὁμοιότητα τῶν ἀνθρώπων, καὶ τὸν Θεὸν διεξοδικῷ κεχρῆσθαι κατασκευάσει, καὶ φωνῇ καὶ φθόγγῳ διατυποῦντα τὰ νοήματα. εἰ τοίνυν τοῦτο νοεῖ, πάντως ὅτι καὶ τὰ τούτοις ἀκόλουθα οὐκ ἀρνήσεται. ὁ γὰρ παρ' ἡμῶν λόγος διὰ τῶν φωνητικῶν ἐκφωνεῖται μορίων, ἀρτηρίας, γλώσσης, ὀδόντων, στόματος, συνεργούσης πρὸς τὴν ἐκφώνησιν καὶ τῆς τοῦ ἀέρος ὁλκῆς καὶ τοῦ ἔνδοθεν πνεύματος. ὑπηχεῖ μὲν γὰρ ἡμῖν ἀρτηρία κάτωθεν αὐλοῦ τινος δίκην ἐνηρμοσμένη τῇ φάρυγγι· ἡ δὲ ὑπερῴα διὰ τοῦ ὑπερκειμένου C κενώματος τοῦ κατὰ τοὺς μυκτῆρας διήκοντος καθάπερ τις μαγὰς ἄνωθεν ἐπιπλατύνει τῷ ἤχῳ τὸν φθόγγον. ἀλλὰ καὶ αἱ παρειαὶ συνεργοῦσι τῷ λόγῳ, κατὰ τὰς ποιὰς τῶν ἄρθρων τυπώσεις κοιλαινόμεναί τε καὶ πλατυνόμεναι, καὶ διὰ στενοῦ πάλιν τὸν φθόγγον προάγουσαι κατὰ τὰς πολυτρόπους τῆς γλώσσης ἀναστροφάς, ἃς ποιεῖται ἄλλο τι κατ' ἄλλο μέρος ἑαυτῆς, ἢ τοῖς ὀδοῦσιν ἢ τῇ ὑπερῴᾳ τὸ δι' αὐτῆς παριὸν πνεῦμα παρατραχύνουσά πως, ἢ παραθλίβουσα. συντελεῖ δέ τι καὶ ἡ τῶν χειλέων ὑπουργία, ἐν διαφόρῳ τῷ τῆς κινήσεως τρόπῳ ποικίλως συνεφαπτομένη D τοῦ φθόγγου, καὶ τὸν τῶν ῥημάτων τύπον συναπαρτίζουσα. εἰ τοίνυν ὁ Θεὸς τὰ ὀνόματα τοῖς πράγμασι τίθεται, καθὼς ὁ νέος τῆς θείας ἱστορίας ἐξηγητὴς διεσάφησε, βλάστην καὶ βοτάνην, καὶ ξύλον καὶ καρπὸν ὀνομάζων, ἀνάγκη πᾶσα μὴ ἄλλως τούτων ἕκαστον εἰπεῖν αὐτόν, ἢ ὡς λέγεται, κατὰ τὰς τῶν συλλαβῶν φημὶ συμπλοκάς, ὧν αἱ μὲν διὰ χειλέων, αἱ δὲ διὰ γλώσσης, αἱ δὲ δι' ἑκατέρων ἀποτυποῦνται. εἰ οὖν οὐκ ἂν ἑτέρως ἐκφωνηθείη τὸ ὄνομα, μὴ

hoc enim ait myſticorum documentorum nouus explanator; quia germen & herbam, & fœnum, & ſemen, & lignum, & quæ ſunt huiuſmodi ante hominis formationem Deus nominauit, cùm ad creationem ea quæ ſunt facta, iuſſu ſuo adduceret. Igitur ſi in nuda litera permanet; & in hac parte Iudaïſſat, id eſt, Iudæorum hæret ſententiæ, neque adhuc didicit, quia non literæ Chriſtianus eſt diſcipulus, ſed ſpiritus: litera enim, inquit Apoſtolus, occídit, ſpiritus autem viuificat. Nobis enim nudam ad verbum profert literarũ lectionem, ac ſi Deus hæc exponeret. Et hoc credidit, nihil aliud; quàm ſecundùm ſimilitudinem hominum, Deum etiam ſermone fuſo & diſcurſiuo vſum fuiſſe, voce ſonóque ſua cogitata formantem. Si igitur hoc intelligit & ſentit, omnino quæ his conſentanea ſunt & ſequuntur, non negabit. Noſter enim ſermo per particulas pronuntiationi ſeruientes profertur, arteriam, linguam, dentes, os, adiuuante ad pronunciationem aëris tractu & interiore ſpiritu. Arteria enim ab imò nobis ſuccinit cuiuſdam tibiæ inſtar gutturi accommodata. Palatum verò per ſuperpoſitam inanitatem ad nares penetrantem velut lyræ hemiſphærium è ſuperiore loco vocem ſono dilatat: quinetiam genæ ſermonem adiuuant per quoſdam articulorum formationes, dum cauantur & dilatantur, ac rurſus per anguſtum propellentes ſonum ſecundùm multimodas linguæ conuerſiones, quas facit alia atque alia ſui parte; vel dentibus, vel palato ſpiritum per eam prætereuntem quodammodo exaſperans & atterens. Confert autem aliquid labiorum miniſterium differente motionis modo variè contrectante ſonum, ac verborum formam componens. Si igitur Deus rebus nomina imponit, ſicut hic nonus diuinæ hiſtoriæ expoſitor explanauit, germẽ, herbam & lignum & fructum nominans; omnino neceſſe eſt non aliter horum quicque ipſum dixiſſe quàm ſecundùm ſyllabarum complexus, quarum aliæ per labra, aliæ per linguam, aliæ per vtraque efformantur. Si igitur non aliter enunciatum fuerit nomen, niſi

Cor. 3.

niſi partes voci inſeruientes per aliquem motum ſyllabas & orationem efformauerint, omnino hæc Deo adijcit, & propter orationis neceſſarium vſum Deum etiam figurabit. Nam quælibet partium vocem perficiétium confirmatio, prorſus in figura eſt: figura autem, corporis terminus: omne vero corpus compoſitum eſſe non fugit. Vbi autem cernitur compoſitio, illic omnino etiam compoſiti diſſolutio comprehenditur: diſſolutio verò ſecundùm notitiam idem eſt cum interitu. Hic igitur victoriæ contra nos ſcriptori terminus, vt demonſtret ſuum Deum, quem per nomen ἀγεννησίας confinxit, loquentem quidem, ne nominum inuentione careat, membris etiam vocalibus figuratum, vt loquatur: Naturæ etiam corporeæ propter figurarum neceſſitatem non expertem. Non enim in ſeipſa vlla figura ſpectari poſſit, niſi in corpore planè formatur: paulatim autem progrediendo ad congenitos corporis affectus, per compoſitionem quidem ad diſſolutioné, per hanc ad interitum deſinientem. Talis igitur noui Dei natura ex dictorum conſecutione ab hoc nouo Dei fictore apparuit. Sed vindicat ſcripta, & aſſerit Moſem apertè clamare: quod dixit Deus, & verba adijcit: fiat lux, & fiat firmamentum, & cogantur aquæ, & appareat arida, & germinet terra, & producant aquæ, & omnia quæ deinceps ſcribuntur. Quamobrem dictorum intelligentiam examinemus. Quis ita ſtolidus & vecors, qui neſciat auditum & ſermonem naturalem inter ſe habere relationem: nec auditum poſſe fungi ſuo munere nullo loquente, ſic nec ſermonem efficacem eſſe qui non ad auditum dirigitur. Si igitur aſſerit Deum dixiſſe, oſtendat nobis etiam auditum ad quem dixit: an ad ſe hæc dicere reſpondebit? Ergo ſibi ipſi imperabit, hæc iubens. Ecquis hoc probabit, Deum ſedere quod agendum eſt ſibi imperantem, & ſe miniſtro mandatorum & executore vtentem? Quod ſi quis hoc pium eſſe dicere conceſſerit, quis in ſeipſo verbis &

Geneſ. 1.

A. τῶν φωνητικῶν μορίων διά τινος ποιᾶς κινήσεως ἀποτελούντων τὰς συλλαβὰς καὶ τὸν λόγον, πάντως ὅτι καὶ ταῦτα προστίθησι τῷ Θεῷ, καὶ διὰ τὴν τοῦ λόγου χρείαν διασχηματίσει τὸ θεῖον. εἰ γὰρ ποιά τις τῶν τὴν φωνὴν ἐκτελούντων μορίων διάπλασις, ἐν σχήματι πάντως ἐστί· σχῆμα δὲ, σώματος πέρας· πᾶν δὲ σῶμα τὸ σύνθετον εἶναι οὐ διαπέφευγεν. ὅπου δὲ θεωρεῖται σύνθεσις, ἐκεῖ καταλαμβάνεται πάντως καὶ ἡ τοῦ συνθέτου διάλυσις. ἡ δὲ διάλυσις, ταὐτὸν κατὰ τὴν ἔννοιαν ἐστὶ τῇ φθορᾷ. οὐκοῦν τοῦτο B τῆς καθ' ἡμῶν νίκης τῷ λογογράφῳ τὸ πέρας, τὸ δεῖξαι τὸν ἴδιον ἑαυτοῦ Θεὸν, ὃν διὰ τοῦ ὀνόματος τῆς ἀγεννησίας ἀνέπλασε, φθεγγόμενον μὲν, ἵνα μὴ ἀμοιρήσῃ τῆς τῶν ὀνομάτων εὑρέσεως· σχηματιζόμενον δὲ τοῖς φωνητικοῖς μέρεσιν, ἵνα τὰ ὀνόματα φθέγξηται· τῆς δὲ τοῦ σώματος φύσεως διὰ τὴν τῶν σχημάτων ἀνάγκην, οὐκ ἄμοιρον. οὐ γὰρ ἂν ἐφ' ἑαυτοῦ τι θεωρηθείη σχῆμα μὴ ἐν σώματι πάντως τυπούμενον, κατ' ὀλίγον δὲ προϊόντα πρὸς τὰ συμφυῆ τοῦ σώματος πάθη, διὰ μὲν τοῦ συνθέτου πρὸς C τὴν διάλυσιν· διὰ δὲ ταύτης εἰς φθορὰν καταλήγοντα. τοιαύτη τοῦ προσφάτου Θεοῦ ἡ φύσις διὰ τῆς ἀκολουθίας τῶν εἰρημένων ὑπὸ τοῦ νέου θεοποιοῦ ἀναπέφηνεν. ἀλλ' ἀντιλαμβάνεται τῶν γεγραμμένων, καί φησι ταῦτα τὸν Μωσέα διαῤῥήδην βοᾷν· ὅτι εἶπεν ὁ Θεὸς καὶ προστίθησι τὰ ῥήματα, τὸ γενηθήτω φῶς, καὶ γενηθήτω στερέωμα, καὶ συναχθήτω τὰ ὕδατα, καὶ ὀφθήτω ἡ ξηρὰ, καὶ βλαστησάτω ἡ γῆ, καὶ ἐξαγαγέτω τὰ ὕδατα, καὶ πάντα ὅσα καθεξῆς ἀναγέγραπται. οὐκοῦν ἐξετάσωμεν τὴν τῶν εἰρη- D μένων διάνοιαν. τίς οὐκ οἶδε καὶ τῶν κομιδῇ νηπίων, ὅτι φυσικὴν ἔχει πρὸς ἄλληλα σχέσιν ἀκοή τε καὶ λόγος, καὶ ὡς οὐκ ἔστιν ἀκοὴν ἐνεργῆσαι μηδενὸς φθεγγομένου, οὕτως οὐδὲ λόγον ἐνεργὸν εἶναι μὴ πρὸς ἀκοὴν εὐθυνόμενον. εἰ οὖν λέγει τὸ εἰρηκέναι τὸν Θεὸν, ὑποδειξάτω ἡμῖν καὶ τὴν ἀκοὴν πρὸς ἣν εἴρηκεν. ἢ πρὸς ἑαυτὸν ταῦτα λέγειν φησί; οὐκοῦν ἑαυτῷ προστάσσει ταῦτα ἐγκελευόμενος. καὶ τίς τοῦτο δέξεται καθῆσθαι τὸν Θεὸν τὸ πρακτέον ἑαυτῷ διατάττοντα, καὶ ἑαυτῷ διακόνῳ τῶν προσταγμάτων καὶ ὑπηρέτῃ χρώμενον; εἰ δὲ καὶ τοῦτο δοίη τις εὐαγὲς εἶναι λέγειν, τίς ἐφ' ἑαυτοῦ ῥημάτων ἐδεήθη καὶ

λόγων καὶ ἄνθρωπος ᾖ; ἀρκεῖ γὰρ ἑκάστῳ τῆς διανοίας ἡ κίνησις τὴν τῆς προαιρέσεως ὁρμὴν ἐμποιῆσαι. ἀλλὰ πρὸς τὸν υἱὸν διαλέγεσθαι πάντως ἐρεῖ. καὶ τίς ἦν χρεία πρὸς τοῦτο φωνῆς; ἴδιον γὰρ τῆς ἐνσωμάτου φύσεως, τὸ διὰ ῥημάτων ἐξαγγέλλειν τὰ τῆς καρδίας κινήματα· ὅθεν καὶ ἰσοδυναμοῦσα τῇ χρήσει τῆς φωνῆς, ἡ διὰ τῶν γραμμάτων ἐξεύρηται δήλωσις. ἐπίσης γὰρ φθεγγόμενοί τε καὶ γράφοντες, τὸ νοηθὲν ἐξαγγέλλομεν. ἀλλ' ἐπὶ μὲν τῶν μὴ λίαν ἀφεστηκότων, φωνῇ τῆς ἀκοῆς καθικνούμεθα· πρὸς δὲ τοὺς πόρρωθεν, γράμμασι δηλοῦμεν τὴν γνώμην, καὶ ἐπὶ τῶν παρόντων πρὸς λόγον τῆς ἀποστάσεως, ἢ ἐπιτείνομεν τὸν τόνον τῆς φωνῆς, ἢ ὑφίεμεν. ἔστι δὲ ὅτε καὶ διὰ νεύσεως μόνον τὸ πρακτέον τοῖς πέλας διεσαφήσαμεν, καὶ τὴν ἐν τῇ ψυχῇ προαίρεσιν καὶ ὀφθαλμὸς τοιῶσδε διατεθεὶς ἐνεδείξατο, καὶ χειρὸς ποιὰ κίνησις, ἢ ἀπεῖπέ τι τῶν γινομένων, ἢ κατεδέξατο. εἰ τοίνυν οἱ σώμασι περιειλημμένοι τὰ κρυπτὰ τῆς διανοίας κινήματα καὶ δίχα φωνῆς, ἢ ῥήματος, ἢ τῆς ἐν γράμμασιν ὁμιλίας πολλάκις τοῖς πέλας γνωρίζουσι, καὶ οὐδεμίαν ἤνεγκε τῷ σπουδαζομένῳ πράγματι ζημίαν ἡ σιωπή· ἆρα ἐπὶ τῆς ἀΰλου καὶ ἀναφοῦς, καὶ ὥς φησιν ὁ Εὐνόμιος, ἀνωτάτω καὶ πρώτης οὐσίας, ῥημάτων χρεία τῶν τοῦ πατρὸς διασαφούντων τὸ νόημα, καὶ τῷ μονογενεῖ γνωριζόντων τὸ βούλημα; ῥημάτων, καθώς αὐτός φησι, τῇ φωνῇ πεφυκότων συνδιαλύεσθαι. οὐκ οἶδα εἴ τις τῶν νοῦν ἐχόντων ταῦτα ὡς ἀληθῆ παραδέξεται, ἄλλως τε παντὸς φθόγγου εἰς ἀέρα πάντως προχεομένου. οὐδὲ γὰρ δυνατὸν γενέσθαι φωνὴν μὴ ἐν ἀέρι συνισταμένην, ἀνάγκη πᾶσα μέσον τι τῶν φθεγγομένων καὶ τοῦ πρὸς ὃν ὁ λόγος γίνεσθαι καὶ αὐτοὺς ὑποθέσθαι. μὴ γὰρ ὄντος τοῦ μεσιτεύοντος, πῶς οὐκ ἐκ τοῦ λαλοῦντος ἡ φωνὴ διοδεύσει πρὸς τὸν ἀκούοντα; τί οὖν ἐροῦσι τὸ μέσον ᾧ τὸν υἱὸν ἐκ τοῦ πατρὸς διορίζουσι; τῶν μὲν γὰρ σωμάτων, ὁ κατὰ τὸν ἀέρα τόπος γίνεται μέσος, ἄλλο τι ὢν κατὰ τὴν ἰδίαν φύσιν παρὰ τὴν τῶν ἀνθρωπίνων σωμάτων οὐσίαν. ὁ δὲ ἀναφὴς καὶ ἀνείδεος καὶ πάσης συνθέσεως καθαρεύων Θεός, πρὸς τὸν μονογενῆ Θεὸν παραπλησίως, μᾶλλον δὲ ὡσαύτως ἀΰλως τε καὶ ἀσωμάτως τῶν ἰδίων κοινωνῶν βουλημάτων, εἴπερ διὰ φωνῆς ἐποιεῖτο τὴν κοινωνίαν, τί τὸ μεσιτεῦον εἶχε, δι' οὗ ῥέπων ὁ λόγος καὶ μεθιστάμενος ταῖς ἀκοαῖς τοῦ μονογενοῦς

A ſermonibus indiguerit, quamuis homo ſit? cuique enim mentis agitatio ſufficit ad electionis impulſionem excitandam. Sed cum filio diſſerere proculdubio dicet. Et quod opus erat ad hoc voce: proprium enim corporeæ naturæ per verba, cordis ſiue animi ſenſa enunciare: vnde etiam æquipollens vſui vocis per literas inuenta eſt declaratio: ex æquo enim loquẽtes & ſcribentes quod mente conceptum eſt enuntiamus: ſed eorum qui non valde diſtant, voce auditum pertingimus: ad longè abſentes literis ſententiam declaramus: iis verò
B qui præſentes adſunt, pro ratione diſtantiæ, vel vocis tonum intendimus, vel remittimus: interdum etiam ſolo nutu, quid agendum ſit, his qui propè ſunt ſignificamus, & quod in animo eſt conſilium patefacimus: & oculus tali quodã modo affectus indicauit, & manus quædam motio rem geſtam probari vel reprobari demonſtrauit: ſi igitur qui corporibus concluſi ſunt, mentis abdita ſenſa nutibus abſque voce vel verbo, vel colloquio literis comprehenſo, ſæpe his qui prope ſunt, nota faciũt, nullúmque rei gerendæ detrimentum attulit
C ſilentium; an immateriali & intactili, & vt loquitur Eunomius, ſuprema & prima eſſentia verbis opus fuit, quæ patris notionem declararent, & vnigenito voluntatẽ notam facerẽt? verbis, inquam, ſicut ait ipſe Eunomius, quæ ſimul cum voce ſolent diſſipari: haud ſcio ſi quis mentis cõpos, hæc vt vera admittet, præſertim cùm ſonus omnis in aëre prorſus profundatur. Neque enim vox alibi niſi in aëre fieri poteſt. Neceſſe eſt prorſus medium quiddã etiã ipſos ſupponere, inter loquentẽ & eum ad quẽ fit ſermo: niſi enim medium interiectum fuerit, quomodo ex loquente vox ad audien-
D tem permeabit: Quid igitur dicent medium, quo filium ex patre diſterminant? Corporum enim in aëre locus efficitur medius, qui eſt aliud quid ſecũdùm propriam naturã præter humanorum corporum ſubſtantiam. Qui autem tactus expers, & informis ab omni cõcretione purus & immunis Deus, cum vnigenito Deo perſimiliter, imò verò eodẽ modo, immateriali incorporeo propriorũ cõſiliorũ particeps & cõſors: ſiquidẽ per vocem cõmunionẽ haberet, quid intermedium haberet, per quod repens ſermo & dimanãs in aures vnigeniti influeret,

& admitteretur? ſiquidem hoc vt conſideratione indignũ præterire oportet, Deum operationibus comprænhenſiuis non eſſe diſpertitum, ſicut apud nos ſeparatim ſentiendi inſtrumẽtorum vnũquodque, quod ſibi cognatum percipit, viſibile quidem videndi facultas, audibile audiendi ſenſus:. Neque tactus guſtat, neq. auditus vapores & ſapores percipit, ſed vnumquodq. in vna operatione, permanet ad quam à natura ordinatũ eſt, ac quodãmodo ſenſu caret ad id quod nõ à natura cõparatum eſt, nec eius ſuauitatis guſtum habet, cuius vicinus ſenſus voluptatẽ capit. Illic autem non ſic, ſed tantus per totum Deus eſt, viſus & auditus & cognitio. Non enim iam fas eſt naturæ immortali ſenſus magis animales attribuere, niſi cum oportet aliquid humile ſupponere: & ad humi depreſſas opiniones quod diuinum eſt deducere. Quare ſi putemus patrem per os verba fundere, auditúmque filij audiendi fungi munere: quid medium ſupponemus? quod ad filij auditum paternã vocem deducit? hoc oportet creatum eſſe vel increatũ: ſed creatũ dicere fas non eſt: priuſquã enim creatura cõſiſteret, Verbum erat. Increatum autem nihil eſt præterquam diuina natura. Si igitur non erat creatura, ſermo cuius facta eſt mentio in mundi creatione, antiquior erat creatura. Ergo qui verba dicit & vocis ſonum per ſermonem ſignificari, quod medium inter patrem & filium ſubijciet, quo vox & verba efformabantur? Si enim eſt medium, in peculiari & ſeparata natura eſt proculdubio. Ita vt contingat, neque cum patre idem eſſe, neque cum filio ſecundùm naturam, ſed quid omnino diuerſum quod patrem & filium à ſe diſtinguit, quod inter duos inſeritur. Quid igitur hoc fuerit? non eſt creatum: iunior enim verbo creatura: vnigenam Deum genitum eſſe edocti ſumus: ingenitum autem patre excepto, nihil eſt. Neceſſario igitur nihil inter patrem & filium medium eſſe cogitare ſermo veritatis adigit. Vbi verò diſtantia non intelligitur, hoc compactum & connexum prorſus conceditur. Quod autem per omnia compactum eſt, media voce & ſermone non vtitur. Compactum autem dico quod in omnibus eſt inſeparabile: non enim corporalem aliquam compagem in intelligente natura nomen compa-

A εἰσοικίζεται; εἴγε χρὴ καὶ τοῦτο παραδραμεῖν ἀθεώρητον. τὸ μὴ μεμερίσθαι τὸ θεῖον ταῖς ἀντιληπτικαῖς ἐνεργείαις, ὡς παρ' ἡμῖν διῃρημένως ἕκαστον τῶν αἰσθητηρίων τοῦ συγγενοῦς ἐπιδράσσεται, τοῦ ὁρατοῦ μὲν ἡ ὅρασις, τοῦ ἀκουστοῦ δὲ ἡ κατὰ τὴν ἀκοὴν αἴσθησις· καὶ οὔτε γεύεται ἡ ἁφὴ, οὔτε ἡ ἀκοὴ τῶν ἀτμῶν ἢ τῶν χυμῶν ἀντίληψιν ἔχει, ἀλλὰ παραμένει ἕκαστον τῇ μιᾷ ἐνεργείᾳ εἰς ἣν ἐτάχθη παρὰ τῆς φύσεως, ἀναίσθητον τρόπον τινὰ πρὸς ὃ μὴ πέφυκε διαμένον, καὶ ἄγευστον τῆς ἀπολαύσεως ἧς καρποῦται ἡ γείτων αἴσθησις· ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' B ὅλον δι' ὅλου τὸ θεῖον ὅρασίς ἐστι καὶ ἀκοὴ καὶ γνῶσις. οὐ γὰρ δὴ θέμις καὶ τὰς ζωωδεστέρας τῶν αἰσθήσεων ἐφαρμόζειν τῇ ἀκηράτῳ φύσει, πλὴν εἰ χρή τι καὶ ταπεινὸν ὑποθέσθαι καὶ καταγαγεῖν εἰς χαμαιζήλους ὑπολήψεις τὸ θεῖον· ὥστε λαλεῖν μὲν οἴεσθαι ῥήματα διὰ στόματος τὸν πατέρα, ἐνεργεῖν δὲ τὴν ἀκοὴν τοῦ υἱοῦ, τί τὸ μέσον ὑποτιθέμεθα τὸ διάγον τὴν πατρικὴν φωνὴν εἰς τὴν τοῦ υἱοῦ ἀκοήν; κτιστὸν εἶναι χρὴ τοῦτο ἢ ἄκτιστον. ἀλλὰ κτιστὸν μὲν οὐκ ἔστιν εἰπεῖν. πρὸ γὰρ τοῦ συστῆναι τὴν κτίσιν ὁ λόγος C ἐγένετο. ἄκτιστον δὲ πλὴν τῆς θείας φύσεως, ἔστιν οὐδέν. εἰ οὖν κτίσις οὐκ ἦν, ὁ δὲ μνημονευθεὶς ἐν τῇ κοσμογενείᾳ λόγος τῆς κτίσεως, πρεσβύτερος ἦν, ἄρα ὁ λέγων ῥήματα καὶ φωνῆς ἦχον διὰ τοῦ λόγου σημαίνεσθαι, τί τὸ μεταξὺ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ὑποθήσεται, ᾧ διετυποῦτο ἡ φωνὴ καὶ τὰ ῥήματα. εἰ γάρ ἐστι μέσον, ἐν ἰδιαζούσῃ φύσει πάντως ἐστὶν, ὡς μήτε τῷ πατρὶ ταὐτὸν εἶναι, μήτε τῷ υἱῷ κατὰ τὴν φύσιν συμβαίνειν. ἀλλ' ἕτερόν τι πάντως ὂν διΐστησιν ἀπ' ἀλλήλων τὸν πατέρα καὶ τὸν υἱὸν, μεταξὺ τῶν δύο παρενειρόμενον. D τί οὖν τοῦτο; κτιστὸν οὐκ ἔστι, νεωτέρα γὰρ ἡ κτίσις τοῦ λόγου. γεννητὸν τὸν μονογενῆ ἐδιδάχθημεν, ἀγέννητον πλὴν τοῦ πατρὸς ἐστὶν οὐδέν. οὐκοῦν ἐξ ἀνάγκης τὸ μηδὲν εἶναι μέσον τοῦ πατρὸς καὶ τοῦ υἱοῦ νοεῖν, ὁ τῆς ἀληθείας λόγος συναναγκάζει. ὅπου δὲ διάστασις οὐκ ἐπινοεῖται, τὸ συνημμένον πάντως ὁμολογεῖται· τὸ δὲ διὰ πάντων συνημμένον, φωνῇ καὶ λόγῳ οὐ μεσιτεύεται. συνημμένον δὲ λέγω τὸ ἐν πᾶσιν ἀχώριστον· οὐ γὰρ σωματικήν τινα συμφυΐαν ἐπὶ τῆς νοερᾶς φύσεως τὸ ὄνομα τῆς συνα-

φύσας ἐνδείκνυται, ἀλλὰ τὴν τοῦ νοητοῦ πρὸς τὸ νοητὸν διὰ τῆς ταυτότητος τῶν θελημάτων, ἕνωσίν τε καὶ ἀνάκρασιν. διότι οὐδὲ ἐστὶ διαφορὰ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς ἐν θελήματι. ἀλλὰ κατὰ τὸ ἀρχέτυπον τῆς ἀγαθότητος κάλλος, καὶ ἡ εἰκών ἐστι τῆς ἀγαθότητος. καὶ ὥσπερ εἴ τις ἑαυτὸν ἐν κατόπτρῳ βλέποι. κωλύει γὰρ οὐδὲν σωματικοῖς ὑποδείγμασι παραστῆσαι τὸ νόημα. κατὰ πάντα πρὸς τὸ πρωτότυπον καὶ ἡ εἰκὼν μορφωθήσεται, ὡς αἰτίαν τῆς ἐν τῷ κατόπτρῳ μορφῆς εἶναι τὴν ἐνορῶσαν μορφήν· καὶ μήτε κινεῖσθαι, μήτε ἐπικλίνεσθαι καθ' ἑαυτὴν τὴν εἰκόνα, μὴ τοῦ ἀρχετύπου τῆς ἐπικλίσεως ἢ τῆς κινήσεως ἄρξαντος. εἰ δὲ κινηθείη τὸ προηγούμενον, συγκινεῖσθαι πάντως καὶ τὸ ἐν τῷ κατόπτρῳ δεικνύμενον. οὕτω φαμὲν καὶ τὴν εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου, τὸν κύριον, πρὸς πᾶσαν θελήματος κίνησιν, ἀμέσως τε καὶ ἀδιαστάτως συνδιατίθεσθαι τῷ πατρί. ἠθέλησέ τι ὁ πατήρ, καὶ ὁ ἐν τῷ πατρὶ ὢν υἱός, εἶδε τὸ θέλημα τοῦ πατρός· μᾶλλον δὲ αὐτὸς τοῦ πατρὸς ἐγένετο θέλημα. ὁ γὰρ πάντα τὰ τοῦ πατρὸς ἔχων ἐν ἑαυτῷ, οὐκ ἔστιν ὅ τι τῶν τοῦ πατρὸς οὐκ ἔχει. Εἰ δὴ πάντα ἔχει ἐν ἑαυτῷ τὰ πατρῷα· μᾶλλον δὲ καὶ αὐτὸν τὸν πατέρα πάντως μετὰ τοῦ πατρὸς καὶ τῶν τοῦ πατρός, ὅλον τὸ θέλημα ἐν ἑαυτῷ ἔχει τὸ πατρῷον. οὐ χρήζει τοίνυν λόγῳ μαθεῖν τοῦ πατρὸς τὸ θέλημα, αὐτὸς ὢν τοῦ πατρὸς ὁ λόγος κατὰ τὴν ὑψηλοτέραν σημασίαν τοῦ λόγου. τίς οὖν ἐκεῖνος ὁ λόγος ὁ πρὸς τὸν ὄντως λόγον γινόμενος; καὶ πῶς ὁ ὄντως λόγος λόγου πάλιν ἑτέρου πρὸς διδασκαλίαν προσδέεται; ὃ ἐν τῷ Θεῷ ἐστί, καθώς φησιν ὁ ἀπόστολος, καὶ πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. Εἰ οὖν ῥήματι φθέγγεται ὁ Θεός, πᾶς δὲ λόγος ἐπὶ ἀκοῆς ἐνεργεῖται, οἱ δημιουργεῖν τὸν Θεὸν διεξοδικοῖς λόγοις ἀποφαινόμενοι, γνωρισάτωσαν ἡμῖν καὶ τὸ τῶν θείων λόγων ἀκροατήριον. πρὸς ἑαυτὸν λαλεῖν οὐκ ἐνδέεται. ὁ υἱὸς ἀπροσδεὴς ἦν τῆς ἐκ ῥημάτων διδασκαλίας. τὸ πνεῦμα πάντα, φησίν, ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ, ἡ κτίσις οὔπω ἦν· πρὸς τίνα ὁ λόγος ἐγίνετο; ἀλλ' οὐ ψεύδεται, φησίν, ἡ τοῦ Μωσέως γραφή, δι' ἧς τὸ εἰρηκέναι τι τὸν Θεὸν ἀκηκόαμεν. οὐδὲ γὰρ ὁ μέγας Δαβὶδ τῶν ψευδομένων ἐστί, λέγει δὲ σαφῶς οὕτως κατὰ λέξιν. ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ ποίησιν χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. ἡμέρα τῇ ἡμέρᾳ

A gis indicat, ſed intelligibilis cum intelligibili, per identitatem voluntatum, vnionémque & temperationem. Quocirca neque eſt differentia filij & patris in voluntate: ſed ſecundùm primigeniam bonitatis pulchritudinem, etiam imago eſt bonitatis. Et quemadmodum ſi quis ſeipſum in ſpeculo contemplaretur (nihil enim vetat corporeis exemplis notionem repræſentare) per omnia ad exemplar imago formabitur, vt cauſa ſit formæ quæ eſt in ſpeculo, forma quæ intuetur: ita vt neque moueatur, neque inclinetur per ſeipſam imago, niſi exemplar principium dederit inclinationis vel motionis. B Quod ſi quod præit motum fuerit, ſimul etiã moueri planè quod in ſpeculo repræſentatur. Sic dicimus imaginem Dei inuiſibilis, dominum, ad omnem voluntatis motionem immediatè & abſque interuallo cum patre affici: Voluit aliquid pater, & qui in patre eſt filius patris voluntatem nouit: imò verò ipſe patris voluntas eſt. Qui enim omnia quæ ſunt patris in ſeipſo habet, nihil eſt eorum quæ ſunt quod non habeat. Si iam omnia habet in ſeipſo quæ paterna ſunt; imò verò & C ipſum patrem omnino cum patre & his quæ ſunt patris, totam voluntatem paternam in ſeipſo habet. Non eget igitur patris voluntatem per ſermonem diſcere, ipſe cum ſit patris ſermo, ſublimiore ſermonis ſignificatione. Quis igitur ille ſermo qui fit ad eum qui verè eſt ſermo, & quomodo qui verè eſt ſermo, rurſus alio ſermone ad doctrinam indiget? qui in Deo eſt, ſicut ait Apoſtolus, & omnia ſcrutatur, etiam profunda Dei. Si igitur verbum aliquod Deus profert, omnis autem ſermo in auditu operatur, illi qui Deum operari ſermonibus diſcurſiuis D aſſerunt, notum faciant nobis diuinorum ſermonũ auditorium. Ad ſeipſum loqui non indiget, nec erat filius indigus eius doctrinæ quæ conſtat verbis. Spiritus, inquit, omnia perſcrutatur, etiam profunda Dei: creatura nondum erat. Ad quẽ ſermo factus eſt? ſed non, ait, Moſis ſcriptura mentitur, per quam Deũ aliquid dixiſſe audiuimus. Neque magnus Dauid eſt è numero mentientium: dicit enim manifeſtè ſic ad verbum, quòd cœli enarrant gloriam Dei, & opus manuum eius annunciat firmamentum. Dies diei eructat verbum: &

Cor. 2.

Pſal. 18.

nox nocti indicat ſcientiam; Et cum dixit cœlos & firmamentum, & à die, & à nocte cognitionem & verba annunciari, rurſus dictis ſubiungit, quod hæc non ſint loquelæ neque ſermones, neque voces horum audiuntur. Quomodo igitur enarrationes, nunciationes, & verba, loquelæ non ſunt, neque vox quæ audiendi ſenſu percipitur? An ſibi ipſi aduerſatur propheta? An aliquid eorum quæ non contingunt explicat, verbũ ſoni expers & enarrationem ſine loquela & nunciationem abſque voce docens? an potius penitus verum eſt vaticinium quod per dicta hoc inſtruit, quod enarratio cœleſtis & verbũ quod à die clamatur, vox quidem articulata non eſt, neque loquela per os, ſed doctrina diuinæ poteſtatis fit iis qui audire ſciunt tacẽte voce. Quid igitur de his exiſtimauimus? (fortaſſe enim ſi hoc nouerimus, & quæ à Moſe ſcripta ſunt intelligemus) ſæpe ſcriptura ad claram cognitionem rei quæ declaratur, corporalium eorum quæ intelligentia percipiuntur contemplationem præſtant, quale iam hoc eſt decretum, quod quidem mihi videtur Dauid declarare, hoc per ea quæ dixit, docens, nihil eorum quæ ſunt, ex aliquo fortuito caſu exiſtere, quemadmodum quidam opinati ſunt fortuitas & ratione carentes primorum elementorũ connexiones mundum totum & quę in ipſo ſunt effeciſſe, nulla prouidentia per ea quæ ſunt penetrante: ſed quædam eſt vniuerſi conſtitutionis & adminiſtrationis cauſa, ex qua omnis dependet natura, atq; illinc principia & cauſas habet, & ad illum nutat & conuertitur, & in eo permanet. Ac quoniam, ſicut ait Apoſtolus, ſempiterna virtus & deitas à mundi creatura dum intelligitur, conſpicitur: propterea omnis creatura, & ante omnia, ſicut dicit ſermo, in cœlis ornatus, per artem quæ in his quæ facta ſunt apparet, eius qui condidit ſapientiam demonſtrat. Atque hoc mihi videtur velle ex his quæ apparent teſtimonium exhibere, quod ea quæ ſunt ſapienter & artificioſè conſtructa, permanẽt in perpetuum, in virtute eius qui omnia gubernat. Ipſos (inquit) cœlos, per quæ ſapientiam eius qui condidit demonſtrant, propemodum vocem emittentes clamare &

Rom. 1.

A ἐρεύγεται ῥῆμα, καὶ νὺξ ἀναγγέλλει γνῶσιν νυκτί. καὶ εἰπὼν διηγεῖσθαι τοὺς οὐρανοὺς καὶ τὸ στερέωμα, καὶ παρὰ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἀπαγγέλλεσθαι γνῶσιν καὶ ῥήματα, πάλιν ἐπάγει τοῖς εἰρημένοις ὅτι ταῦτα λαλιαὶ οὐκ εἰσὶν οὐδὲ λόγοι, οὐδὲ φωναὶ τούτων ἀκούονται. πῶς οὖν διηγήματα καὶ ἀναγγελίαι καὶ ῥήματα λαλιαὶ οὐκ εἰσὶν, οὐδὲ φωνὴ διὰ τῆς ἀκουστικῆς αἰσθήσεως ἐγνωσμένη; ἆρα μάχεται πρὸς ἑαυτὸν ὁ προφήτης; ἆρα τι τῶν οὐκ ἐνδεχομένων διέξεισι; ἄφθογγον ῥῆμα, καὶ διήγησιν ἄλαλον καὶ ἀγγελίαν δίχα φωνῆς διδάσκων, ἢ πάντως μᾶλλον ἀληθὴς ἡ προφητεία B ἣν τοῦτο διὰ τῶν εἰρημένων παιδεύουσα; ὅτι τὸ διήγημα τὸ οὐράνιον, καὶ τὸ ῥῆμα τὸ παρὰ τῆς ἡμέρας βοώμενον, φωνὴ μὲν ἔναρθρος οὐκ ἔστιν· οὔτε λαλιὰ διὰ στόματος· διδασκαλία δὲ τῆς θείας δυνάμεως γίνεται τοῖς ἐπαΐειν ἐπισταμένοις σιωπώσης φωνῆς. τί οὖν περὶ τούτων ὑπειλήφαμεν; τάχα γὰρ ἐὰν τοῦτο νοήσωμεν, καὶ τὰ παρὰ Μωσέως νενοηκότες ἐσόμεθα. πολλάκις ἡ γραφὴ πρὸς ἐναργῆ κατανόησιν τοῦ δηλουμένου πράγματος σωματικώτερον διασκευάζει τὴν τῶν νοητῶν θεωρίαν, οἷον δὴ καὶ τοῦτο τὸ C δόγμα ἐστὶν ὅπερ δοκεῖ μοι ὁ Δαβὶδ ἀποφαίνεσθαι. τοῦτο δι' ὧν εἶπε διδάσκων, οὐδὲν τῶν ὄντων ἔκ τινος αὐτομάτου συντυχίας τὴν ὑπόστασιν ἔχειν, καθάπερ ᾠήθησάν τινες, τυχαίας τε καὶ ἀλόγους τῶν πρώτων στοιχείων ἀντιπλοκὰς, τὸν κόσμον ἡμῖν ὅλον καὶ τὰ ἐν αὐτῷ κατεργάσασθαι, οὐδεμιᾶς προνοίας διὰ τῶν ὄντων ἡκούσης· ἀλλ' ἔστι τι τῆς τοῦ παντὸς συστάσεώς τε καὶ διοικήσεως αἴτιον, οὗ πᾶσα ἐξῆπται ἡ φύσις. κἀκεῖθεν τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχει, καὶ πρὸς ἐκεῖνο νένευκέ τε καὶ ἐπιστρέφεται καὶ ἐν αὐτῷ διαμένει. καὶ ἐπεὶ, καθώς D φησιν ὁ ἀπόστολος, ἡ ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης ἀπὸ τῆς τοῦ κόσμου κτίσεως νοουμένη καθορᾶται, διὰ τοῦτο πᾶσα ἡ κτίσις, καὶ πρό γε πάντων, καθώς φησιν ὁ λόγος, ἡ ἐν τοῖς οὐρανοῖς διακόσμησις, διὰ τῆς ἐμφαινομένης τοῖς γεγονόσι τέχνης, τὴν τοῦ πεποιηκότος σοφίαν ἐνδείκνυται, καὶ τοῦτό μοι δοκεῖ παραστῆσαι θέλων τὴν ἐκ τῶν φαινομένων μαρτυρίαν, τοῦ σοφῶς καὶ ἐντέχνως τὰ ὄντα κατεσκευάσθαι, καὶ εἰσαεὶ διαμένειν τῇ δυνάμει τοῦ τὸ πᾶν οἰακίζοντος. αὐτούς, φησι, τοὺς οὐρανοὺς δι' ὧν τὴν σοφίαν τοῦ πεποιηκότος δεικνύουσι, μονονουχὶ φωνὴν ἀφιέντας, βοᾶν καὶ

διακηρύσσειν τοῦ δημιουργοῦ τὴν σοφίαν δίχα
φωνῆς· ἔξεστι γὰρ οἱονεὶ λόγῳ ταῦτα διδασκόν-
των ἀκούειν, ὅτι πρὸς ἡμᾶς ὁρῶντες ὦ ἄνθρω-
ποι, καὶ τὸ ἐν ἡμῖν κάλλος καὶ μέγεθος καὶ τὴν ἀει-
κίνητον ταύτην περιφορὰν, καὶ τὴν διατακτόν τε
καὶ ἐναρμόνιον καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως
ἔχουσαν κίνησιν, νοήσατε τὸν ἐπιστατοῦντα τῆς
ἡμετέρας συστάσεως. καὶ διὰ τοῦ φαινομένου κάλ-
λους, τὸ πρωτότυπον καὶ ἀόρατον κάλλος ἀνα-
λογίσασθαι. οὐδὲν γὰρ ἐν ἡμῖν ἀδέσποτον ἢ αὐ-
τοκίνητον, ἢ αὐτόματον· ἀλλὰ πᾶν τὸ φαινόμενον
τε περὶ ἡμᾶς καὶ νοούμενον, τῆς ὑψηλῆς τε καὶ
ἀφράστου δυνάμεως ἤρτηται. ταῦτα λόγος μὲν
ἔναρθρος οὐκ ἔστιν, ἐντίθησι δὲ διὰ τῶν φαι-
νομένων ταῖς ψυχαῖς τὴν γνῶσιν τῆς θείας δυ-
νάμεως μᾶλλον ἢ εἰ διὰ φωνῆς ὁ λόγος ἐκή-
ρυσσεν. ὥσπερ τοίνυν διηγεῖται ὁ οὐρανὸς καὶ οὐ
φθέγγεται, καὶ ἀναγγέλλει τὸ στερέωμα τὴν τοῦ
Θεοῦ ποίησιν καὶ φωνῆς οὐ προσδέεται, καὶ ῥῆ-
μα οὐ προΐεται ἡ ἡμέρα, καὶ λαλιὰ οὐκ ἔστιν·
καὶ οὐκ ἄν τις εἴποι διεσφάλθαι τὴν προ-
φητείαν· κατὰ τὸν αὐτὸν τρόπον ἐπειδὴ εἷς ἀμφοτέ-
ροις τῷ Μωσῇ καὶ τῷ Δαβὶδ ὁ διδάσκαλος τὸ
πνεῦμα λέγω τὸ ἅγιον, ὁ τὸ πρόσταγμα καθη-
γήσασθαι τῆς κτίσεως λέγων, οὐ ῥημάτων ἡμῖν δη-
μιουργὸν τὸν Θεὸν ὑποτίθεται, ἀλλὰ πρα-
γμάτων διὰ τῆς τῶν ῥημάτων σημασίας γνωρι-
ζομένων. ἵνα γὰρ μὴ ἀδέσποτά τινα καὶ αὐτοφυῆ
τὴν κτίσιν εἶναι νοήσωμεν, καὶ γεννητὴν ταύτην
παρὰ τῆς τάξεως φιλοσοφῇ τῆς κατὰ τὴν κοσμο-
ποιΐαν ὑπὸ τοῦ Μωσέως ἐν ἱστορίας χαρακτῆρι
δογματικῶς εἰρημένων. ἔνι γὰρ ἀπὸ μᾶλλον δι' ἑ-
κάστου τῶν γεγραμμένων, τὸ πεπλανημένον τε
καὶ μάταιον τῆς τῶν ἐναντίων ὑπολήψεως φα-
νερῶς διελέγχεσθαι. ἔξεστι δὲ τῷ βουλομένῳ τοῖς
εἰς τὴν γένεσιν πεποιημένοις ἡμῖν ἐντυχόντι,
δοκιμάσαι τῶν τε ἡμετέρων καὶ τῶν ὑπεναντίων
δογμάτων τὸν ἀκολουθότερον λόγον. ἀλλ' ἐπὶ
τὴν προκειμένην ἡμῖν σπουδὴν ἐπαναπτέον
τὸν λόγον. ὅτι οὐ πάντως ἐπὶ Θεοῦ φωνὴν καὶ
ῥῆμα ἡ τοῦ εἰπεῖν λέξις ἐνδείκνυται, ἀλλὰ τῷ
βουλήματι τοῦ Θεοῦ σύνδρομον ἀποφαίνουσα
τὴν δύναμιν, αἰσθητικώτερον ἡμῖν τὴν νοητὴν
ὑποδείκνυσι θεωρίαν. ἐπειδὴ γὰρ θελήματι τοῦ
Θεοῦ συνέστη τὰ πάντα, συνήθες δὲ τοῖς ἀν-
θρώποις λόγῳ πρῶτον διασημαίνειν τὸ βούλη-

A prædicare ſine voce, opificis ſapiētiam.
Licet enim velut ſermone hæc docētes
audire, quod in nos cernentes, ô homi-
nes, & quæ in nobis eſt pulchritudinem
& magnitudinem, ſempérque mobi-
lem hanc in orbem lationem, & be-
nè ordinatum, ac concinnum per ea-
dem ſemper & eodem modo haben-
tem motum. Animis aduertite noſtræ
conſtitutionis auctorem & præſidem,
& per apparentem pulchritudinem
primariam & exemplarem, atque in-
uiſibilem pulchritudinem ratione per-
pendite: nihil in nobis abſque Domino
B & certo autore, nihil per ſe mobile vel
caſu & fortuitò incitatū: ſed quicquid
in nobis apparet & intelligitur, ex ſubli-
mi, & inexplicabili potētia pendet. Hęc
quidem non ſunt ſermo articulatus: ſed
per ea quę apparent magis inſerunt ani-
mis diuinę virtutis cognitionem, potius
quàm ſi per vocem ſermo prædicaret.
quemadmodum igitur cœlum enarrat,
nec loquitur: & annuntiat firmamentū
Dei operationem, neque voce indiget:
nec verbum dies proijcit, & non eſt lo-
quela: neque dixerit quiſquam vatici-
nium erraſſe. Eodem modo quoniam
C vnus ambobus Moſi & Dauid ſpiritus,
dico, ſanctus doctor fuit, qui iuſſum
creaturæ præfuiſſe dicit, non verborum
nobis opificem Deum ſubijcit, ſed re-
rum quę verborum ſignificatione inno-
teſcunt. Ne enim quædā ſine certo au-
tore & ſpōte ſua edita eſſe, quoad crea-
tionem, animo caperemus, etiam hanc
genitam eſſe ab ordine eorum quæ in
mūdi creatione à Moſe in hiſtoriæ cha-
ractere dogmaticè dicta ſunt, diſcere li-
cet. Etenim ex vnoquoque ſcripturæ
loco vana & erronea aduerſariorum o-
pinio magis apertè redarguitur. Licet
autem cuilibet legere volenti quæ ſcri-
D pſimus in Geneſim, perpendere, nun-
quid ſit noſtrorum decretorum ratio
magis conſentanea, an aduerſariorum.
Sed ad propoſitum nobis ſtudium re-
uocanda eſt oratio. Quod in Deo vo-
cem & verbum dictio hæc, dixit, mi-
nimè demonſtrat: ſed Dei voluntati
comitem potentiam declarans, ſenſibus
accommodatiùs intelligibilem oſtendit
contēplationem. Quoniam igitur Dei
voluntate cōſiſtunt omnia; hominibus
autem conſuetum & familiare ſermo-
ne primum voluntatem ſignificare,

& ſic opus voluntati conſonũ inducere: ſcriptura autẽ de mundi creatione quodammodo ad Dei cognitionẽ incipientibus introductoria eſt, per ea quæ ſunt prõptiora ad cognitionem, robur & potentiã diuinę naturæ repręſentat, promptior autẽ eſt ad eorum quæ intelliguntur cognitionem, ea quæ fit per ſenſum compræhenſio: huius cauſa Moſes per id quod dixit Deũ iuſſiſſe fieri, excitantẽ voluntatis poteſtatem exprimit: cùm adiecit, & ita factum eſt, nullam eſſe voluntatis & actus in diuina potentia differentiam oſtendit, ſed docet in Deo intellectum actui præire, non tamen actum cognito poſteriorem eſſe. Sed ſimul dico & ſecundùm idem cõſiderari, & electiuam mentis motionem & perfectiuam rei potentiam. Nullum enim dedit medium intelligendum ratio electionis & actionis: ſed quemadmodum cum accenſione flammæ etiam fulgor apparet, qui ex illa eſt, & cum ipſa effulget, eodem modo opus quidem diuinæ voluntatis eſt, eorum quæ facta ſunt ſubſtantia, non tamen ordine ſecundo ſequitur poſt voluntatem. Non enim quemadmodum in aliis, quibus aliqua potentia actiua eſt à natura, hoc quidem potentia cernitur, illud verò ſecundùm actus complementum: exempli gratia ſemper quidem dicimus eſſe nauium fabricatorem in potentia habentem artem nauium fabricandarum, operari autem cùm in operibus ſcientiam oſtendit: non ſic in beata vita: ſed totum quod quidem in illa intelligitur, efficax eſt, & actus eſt, voluntate ſine medio ad finem ſibi propoſitum tranſeunte. Vt igitur qui in cœlorum ornatus opifici gloriam teſtificatur, & eum qui fecit confitetur, nec tamen voce indiget: ſic contra quis ſumpto ex Moſis ſcriptura loco, mecum reputet, quod Deus qui ſuo iuſſu, vniuerſa in rerum naturam produxit, mundum dicit ſuã eſſe creaturam, nec verbis ad huius notitiæ declarationem indiget. Vt igitur qui audiuit cœlum enarrare, ſermonem enarratiuum non quæſiuit: mundus enim mente prædito loquitur per ea quæ fiunt, declarationem quæ fit verbis valere ſinens: ſic &

A μα, καὶ οὕτως ἐπάγει τὸ ἔργον συμφωνοῦν τῷ
βουλήματι. ἡ δὲ γραφὴ τῆς κοσμογενείας εἰσα-
γωγική πως εἰς θεογνωσίαν τοῖς ἀρχομένοις ἐ-
στὶ, διὰ τῶν ἑτοιμοτέρων εἰς κατανόησιν τὴν ἰσχὺν
τῆς θείας παριστῶσι φύσεως, προχειρότερον δὲ
εἰς γνῶσιν τῶν νοουμένων ἡ διὰ τῆς αἰσθήσεως κα-
τάληψις γίνεται. τούτου χάριν ὁ Μωϋσῆς διὰ τοῦ
εἰπεῖν τὸν Θεὸν τόδε γενέσθαι προστάξαι, τὴν ὁρ-
μητικὴν τοῦ θελήματος ἐξουσίαν παρίστησι· διὰ
δὲ τοῦ προσθεῖναι τὸ καὶ ἐγένετο οὕτως, τὸ μηδε-
μίαν εἶναι διαφορὰν βουλήματός τε καὶ ἐνερ-
γείας ἐπὶ τῆς θείας ἐνδείκνυται φύσεως· ἀλλὰ
B διδάσκει καθηγεῖσθαι μὲν ἐπὶ τοῦ Θεοῦ τῆς ἐνερ-
γείας τὴν νόησιν, οὐκ ἐφυστερίζειν δὲ μετὰ τὸ νοηθὲν,
τὴν ἐνέργειαν, ἀλλ' ἅμα τὰ δύο καὶ κατὰ ταὐ-
τὸν θεωρεῖσθαι, τήν τε προαιρετικὴν τοῦ νοῦ κίνη-
σιν, καὶ τὴν ἀποτελεστικὴν τοῦ πράγματος δύ-
ναμιν. οὐδὲν γὰρ ἔδωκεν ἐννοῆσαι μέσον ὁ λόγος
τῆς προαιρέσεως, καὶ τῆς πράξεως. ἀλλ' ὥσπερ
τῇ ἐξάψει τῆς φλογὸς καὶ ἡ αὐγὴ συνεκφαίνε-
ται, καὶ ἐξ ἐκείνης οὖσα καὶ μετ' αὐτῆς συνεκ-
λάμπουσα, κατὰ τὸν αὐτὸν τρόπον ἔργον μὲν τοῦ
θείου θελήματος, ἡ τῶν γεγονότων ἐστὶν ὑπόστα-
C σις. οὐ μὴν δευτερεύει τῇ τάξει μετὰ τὸ βούλη-
μα. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ἄλλων οἷς τις πρα-
κτικὴ δύναμις ἐκ φύσεως ἐστὶ, τὸ μὲν δυνάμει
θεωρεῖται· τὸ δὲ κατὰ τὴν τῆς ἐνεργείας ἐκπλή-
ρωσιν· ὡς φέρε εἰπεῖν ἀεὶ μὲν εἶναι ναυπηγὸν φα-
μὲν τῇ δυνάμει τὸν τὴν ναυπηγικὴν ἔχοντα
τέχνην· ἐνεργεῖν δὲ τότε ὅταν ἐπὶ τῶν ἔργων
δείξῃ τὴν ἐπιστήμην· οὐχ οὕτως καὶ ἐπὶ τῆς μα-
καρίας ζωῆς, ἀλλ' ὅλον ὅπερ ἐστὶν ἐν ἐκείνῃ
νοούμενον, ἐνεργὲς, καὶ πρᾶξίς ἐστιν ἀμέσως τοῦ
βουλήματος πρὸς τὸ κατὰ πρόθεσιν τέλος μεθι-
D σταμένου. ὡς τοίνυν μαρτυρεῖ τῷ δημιουργῷ τὴν
δόξαν ἡ ἐν τῷ οὐρανῷ διακόσμησις, καὶ ὁμολο-
γεῖ τὸν πεποιηκότα, καὶ φωνῆς οὐ προσδεῖται, οὕτω
μοι τὸ ἔμπαλιν ἐκ τῆς τοῦ Μωϋσέως γραφῆς με-
ταλαβών ἄν τις λογίσαιτο, ὅτι καὶ ἑαυτοῦ κτίσμα
ὁ Θεὸς λέγει τὸν κόσμον ὁ τῷ προστάγματι τὸ
πᾶν οὐσιώσας, καὶ ῥημάτων προσδήλωσιν τῆς
ἐννοίας ταύτης οὐκ ἐπιδέεται. ὡς οὖν ὁ ἀ-
κούσας οὐρανοῦ διηγουμένου διεξοδικὸν οὐκ ἐ-
ζήτησε λόγον. λαλεῖ γὰρ τῷ νοῦν ἔχοντι διὰ
τῶν γινομένων ὁ κόσμος τὴν διὰ τῶν ῥημάτων δήλωσιν χαίρειν ἐάσας. οὕτω καὶ τοῦ

Μωϋσέως

Μωϋσέως λέγοντος τις ἀκούσῃ, ὡς τοῦ Θεοῦ ὀνομαστὶ περὶ τῶν καθ' ἕκαστον τοῦ κόσμου μερῶν διατάττοντός τι καὶ κελεύοντος, μήτε ψεύδεσθαι τὸν προφήτην ὑπονοείτω, μήτε μικροῖς καὶ χαμαιζήλοις νοήμασι καταμικρυνέτω τὴν τῶν ὑψηλῶν θεωρίαν, οἷον ἐξανθρωπίζων διὰ τῶν τοιούτων τὸ θεῖον, καὶ κατὰ τὴν ἡμετέραν συνήθειαν, φωνῇ τὰ προστάγματα διεξοδεύειν ὑποτιθέμενος. ἀλλὰ τὸ μὲν πρόσταγμα δηλούτω τὴν βούλησιν, τὰ δὲ τῶν κτισθέντων ὀνόματα, αὐτὴν ἐξοσημαινέτω τὴν τῶν γεγονότων ὑπόστασιν· ὥστε τὰ δύο διὰ τῶν εἰρημένων μαθεῖν, καὶ ὅτι βουληθεὶς ὁ Θεὸς τὰ πάντα κατείργασται, καὶ ὅτι ἀπραγμόνως τε καὶ ἀκόπως τὸ θεῖον βούλημα φύσις ἐγένετο. εἰ δέ τις τὸ, εἶπεν ὁ Θεός, σαρκικώτερον ἑρμηνεύοι, ὡς διὰ τούτου τὸ ἔναρθρον λόγον παρ' αὐτοῦ γεγενῆσθαι κατασκευάζειν, ὁ αὐτὸς οὗτος καὶ τὸ, εἶδεν ὁ Θεός, κατὰ τὴν ἀντιληπτικὴν ἡμῶν αἴσθησιν διὰ τῆς τῶν ὀφθαλμῶν ἐνεργείας γινώσκειν πάντως ὑπονοήσει. καὶ τὸ ἤκουσε κύριος καὶ ἠλέησέ με, καὶ ὠσφράνθη ὀσμὴν εὐωδίας, καὶ ὅσα περὶ κεφαλῆς θείας ἢ ποδὸς, ἢ χειρὸς, ἢ βλεφάρων, ἢ δακτύλων, ἢ ὑποδήματος ἡ γραφὴ σωματικώτερον διεξέρχεται, πάντα κατὰ τὸ πρόχειρον σημαινόμενον ἐκλαβὼν· ἀνθρωποειδὲς ἡμῖν διαγράψει τὸ θεῖον, καθ' ὁμοιότητα τῶν ἐν ἡμῖν φαινομένων. εἰ δὲ δακτύλων τις ἔργα τοὺς οὐρανοὺς ἀκούων, καὶ χεῖρα κραταιὰν, καὶ βραχίονα ὑψηλὸν, καὶ ὀφθαλμὸν, καὶ βλέφαρα, καὶ πόδα, καὶ ὑποδήματα, θεοπρεπεῖς ἐννοίας δι' ἑκάστου τῶν εἰρημένων ἀναλογίζεται, καὶ οὐ διαμολύνει τὸν περὶ τῆς καθαρᾶς φύσεως λόγον ταῖς σωματικαῖς ὑπολήψεσι καταρυπαίνων, ἀκόλουθον ἂν εἴη καὶ τὰς τῶν ῥημάτων ἐκφωνήσεις ἐνδεικτικὰς μὲν ἡγεῖσθαι τοῦ θείου βουλήματος, μὴ μέντοι φωνὰς ἐνάρθρους ὑπολαμβάνειν· ἀλλ' ἐκεῖνο λογίζεσθαι, ὅτι ὁ τῆς λογικῆς φύσεως δημιουργὸς ἀναλογοῦντα τῷ μέτρῳ τῆς φύσεως τὸν λόγον ἡμῖν δεδώρηται, ὡς ἂν ἔχοιμεν ἐξαγγέλλειν δι' αὐτοῦ τῆς ψυχῆς τὰ κινήματα. ὅσον δὲ ἀπέχει ἡ φύσις τῆς φύσεως, ἡ θεία λέγω τῆς ἡμετέρας, κατὰ τὸ ἴσον μέτρον τῆς ὑποστάσεως, πάντα τὰ περὶ αὐτὴν ὄντα τῶν ἐν ἡμῖν θεωρουμένων, πρὸς τὸ μεγαλειότερόν τι καὶ θεοπρεπέστερον τὴν παραλλαγὴν ἔχει· καὶ ὡς ἡ δύναμις ἡ καθ' ἡμᾶς πρὸς τὴν τοῦ Θεοῦ κρινομένη τὸ μηδέν ἐστι,

A Moſem dicentem ſi quis audierit, Deum nominatim de ſingulis mundi partibus edicentem & iubentem, neque prophetam mentiri ſuſpicetur, neque exilibus & humilibus notionibus deterat ſublimium ſpeculationem, quaſi diuinitatem per huiuſmodi ad hominis modum transferens. Et noſtro more emiſſa mandata & iuſſa percenſere ſupponens. Sed iuſſum explicet voluntatem: rerum autem creatarum nomina, ipſam rerum factarum ſubſiſtentiam ſignificent: ita vt duo per hæc dicta diſcat, & quod Deus omnia B volens operatus eſt: & quod abſque opera & labore diuina voluntas, natura fiebat. Quod ſi quis illud, dixit Deus, carnaliùs & craſſiùs interpretetur, vt per hoc articulatum ſermonem ab eo factum eſſe adſtruat, hic idem & hoc, vidit Deus, prout ſenſus noſter percipit, per oculorum actionem cognoſcere, prorſus ſuſpicabitur: & illud, audiuit Dominus, & mei miſertus eſt: &, odoratus eſt odorem ſuauitatis, & quæcumque de capite diuino, vel pede, vel manu, vel palpebris, vel digitis, vel calceamento ſcri- C ptura corporalius narrat, omnia prompto & vulgari ſignificato accipiens: nobis humana ſpecie præditum numen depinget, per ſimilitudinem eorum quæ in nobis apparent. Quod ſi digitorum opera cœlos audiens, & manum firmam, & brachium excelſum, & oculum, & palpebras, & pedem, & calceamenta, Deo decoras notitias per horum quæ dicta ſunt vnumquodque reputat, nec polluit de pura natura ſermonem corporeis opinionibus inquinans: conſequens fuerit etiam verborum enunciationes quidem diuinæ D voluntatis indices eſſe exiſtimare, non certè voces articulatas opinari: ſed illud ratione complecti quod naturæ rationalis opifex naturæ modo proportionatum ſermonem nobis donauit, vt per eum animi motus poſſemus enunciare. Quantum autem natura abeſt à natura, diuina dico à noſtra, tantùm quæ circa noſtram ſubſiſtentiam conſiderantur, differunt ab eo quod eſt in Deo magnificentius & ipſi conuenientius: & vt noſtra poteſtas cum Dei potentia collata,

nihil eſt: & vita cum vita, & alia omnia noſtra cum his quæ in illo ſunt comparata, vt nihilum coram ipſo, ſicut ait prophetia: ſic etiam noſter ſermo cum eo qui verè eſt ſermo, comparatus, nihil eſt. hic enim in principio non erat, ſed cum noſtra natura conſtructus eſt: neque ſecundùm propriam ſpectatur ſubſiſtentiam, ſed ſicut alicubi dicit magiſter, cum linguæ ſtrepitu euaneſcit: neque huius ſermonis opus aliquod licet intelligere, ſed in ſola voce & litera ſubſiſtentiam habet. Sed qui ex Deo eſt ſermo, Deus eſt, Verbum quod eſt in principio & in perpetuum permanet, per quem omnia & ſunt, & conſtant: & vniuerſo præſidet, omnémque habet eorum quæ ſunt in cœlo & in terra poteſtatem, vita & veritas, iuſtitia & lux, & omne bonum exiſtens, & omnia in natura, vt ſint, continens. Talis igitur & tantus ſermo cùm ſit & in Deo intelligatur, iſte ſermonem qui in nominibus & verbis & coniunctionibus compingitur, velut quid magnum Deo largitur, ignorans quod quemadmodum qui actiuam potentiam naturæ noſtræ gratificatus eſt, non quæ ſunt in quoque noſtrûm opera efficere dicitur: ſed ille quidem noſtræ naturæ vim dedit, à nobis verò domus efficitur, & ſcamnum, & gladius, & aratrum, & quodcumque opus quo vita noſtra indigeat: Quorum ſingula ſunt quidem opera noſtra, ſed ad noſtrum ipſorum autorem relationem habent, qui omnia ſcientiæ capacem naturam noſtram condidit, ſic etiam ſermonis potentia opus quidem eſt eius, qui talem noſtram fecit naturam; inuentio verò verborum ſingulorum ad rerum ſignificantiæ vſum à nobis ipſis excogitata eſt. Quod hinc manifeſtè apparet, quia quamplurima quæ dicuntur turpia & indecora prorſus eſſe cenſentur, quorum nullus mente præditus inuentorem Deum ſuſpicatus fuerit. Quare tametſi ex Dei perſona quædam à ſacra ſcriptura verba nobis familiaria & aſſueta dicantur, cognoſcendũ eſt quod Spiritus ſanctus ex noſtris nobiſcum diſſerit: quemadmodum in actorũ hiſtoria didicimus, quod vnuſquiſque in ſua lingua in qua natus erat, doctrinam accipiebat, per ſibi cognita verba vim ſermonum audiens.

D. Baſilius

Leuit. c. 2.

A καὶ ἡ ζωὴ πρὸς τὴν ζωήν, καὶ τὰ ἄλλα πάντα τὰ ἡμέτερα πρὸς τὰ ἐν ἐκείνῳ κρινόμενα, ὡς οὐδὲν ἐνώπιον αὐτοῦ, καθὼς ἡ προφητεία φησίν· οὕτως καὶ ὁ ἡμέτερος λόγος πρὸς τὸν ὄντως ὄντα λόγον κρινόμενος ἐστὶν οὐδέν. οὐκ ἦν μὲν γὰρ ἐν ἀρχῇ οὗτος, ἀλλὰ τῇ ἡμετέρᾳ συγκατεσκευάσθη φύσει· οὔτε κατ' ἰδίαν θεωρεῖται ὑποστάσει, ἀλλ' ὥς φησί που ὁ διδάσκαλος, τῷ ψόφῳ τῆς γλώσσης συναφανίζεται, οὔτε ἔργον ἐστὶ τούτου νοῆσαι τοῦ λόγου, ἀλλ' ἐν μόνῃ φωνῇ καὶ γράμματι τὴν ὑπόστασιν ἔχει. ὁ δὲ ἐκ τοῦ Θεοῦ λόγος, Θεός ἐστι, λόγος ἐν ἀρχῇ B ὢν καὶ εἰσαεὶ διαμένων, δι' οὗ τὰ πάντα καὶ ἐστὶ καὶ συνέστηκε, καὶ τοῦ παντὸς ἐπιστατεῖ, καὶ πᾶσαν ἔχει τὴν ἐξουσίαν τῶν ἐν οὐρανῷ, καὶ τῶν ἐπὶ τῆς γῆς, ζωὴ καὶ ἀλήθεια, καὶ δικαιοσύνη, καὶ φῶς, καὶ πᾶν ἀγαθὸν ὤν, καὶ τὰ πάντα ἐν τῷ εἶναι διακρατῶν. τοιούτου τοίνυν ὄντος καὶ τοσούτου τοῦ λόγου τοῦ περὶ τὸν Θεὸν νοουμένου, οὗτος τὸν ἐν ὀνόμασι καὶ ῥήμασι καὶ συνδέσμοις συναπαρτιζόμενον λόγον, ὥς τι μέγα χαρίζεται Θεῷ, ἀγνοῶν ὅτι ὥσπερ ὁ τὴν πρακτικὴν τῇ φύσει ἡμῶν χαρισάμενος δύναμιν, οὐ τὰ καθ' ἕκα- C στον ἡμῶν ἔργα δημιουργεῖν λέγεται. ἀλλ' ὁ μὲν ἔδωκε τῇ φύσει τὴν δύναμιν, ἐνεργεῖται δὲ παρ' ἡμῶν οἰκία, καὶ βάθρον, καὶ ῥομφαία, καὶ ἄροτρον, καὶ ὅτουπερ ἂν ὁ βίος τύχῃ δεόμενος, ὧν τὰ καθ' ἕκαστον ἐστὶ μὲν ἔργα ἡμέτερα· εἰς δὲ τὸν ἡμῶν αὐτῶν αἴτιον, τὴν ἀναφορὰν ἔχει, τὸν δεκτικὴν πάσης ἐπιστήμης τὴν φύσιν ἡμῶν δημιουργήσαντα. οὕτως καὶ ἡ τοῦ λόγου δύναμις, ἔργον μὲν ἐστὶ τοῦ τοιαύτην ἡμῶν πεποιηκότος τὴν φύσιν, ἡ δὲ τῶν καθ' ἕκαστον ῥημάτων εὕρεσις, πρὸς τὴν χρείαν τῆς τῶν ὑπο- D κειμένων σημασίας παρ' ἡμῶν αὐτῶν ἐπινοηθεῖσα. τεκμήριον δὲ ὅτι πολλὰ τῶν λεγομένων αἰσχρά τε καὶ ἀπρεπῆ παντάπασιν εἶναι νενόμισται, ὧν οὐκ ἄν τις τῶν νοῦν ἐχόντων εὑρετὴν τὸν Θεὸν ὑπολάβοι. ὥστε κἂν ἐκ προσώπου τοῦ Θεοῦ λέγηταί τινα παρὰ τῆς θείας γραφῆς τῶν ἡμῖν συνήθων ῥημάτων, γνωστέον ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τῶν ἡμετέρων ἡμῖν διαλέγεται. καθάπερ καὶ ἐπὶ τῆς τῶν πράξεων ἱστορίας ἐμάθομεν, ὅτι ἕκαστος ἐν τῇ ἰδίᾳ διαλέκτῳ ἐν ᾗ ἐγεννήθη τὴν διδασκαλίαν ἐδέχετο, διὰ τῶν γνωρίμων αὐτῷ ῥημάτων τὴν δύναμιν ἐπαΐων τῶν λόγων.

καὶ ὅτι ἀληθῆ ταῦτα, μᾶλλον ἄν τις μάθοι φιλοπονώτερον τὴν Λευιτικὴν νομοθεσίαν κατεξετάζων. τηγάνου γὰρ ἐκεῖ, καὶ λαγάνου καὶ σεμιδάλεως καὶ τῶν τοιούτων μέμνηται ὀνομάτων ἐν ταῖς μυστικαῖς ἱερουργίαις, συμβολικῶς καὶ δι' αἰνίγματος ψυχωφελῆ τινὰ δόγματα ὑφηγούμενος. καὶ μέτρα τινὰ κατονομάζει κατὰ τὴν τότε συνήθειαν, Ὕφι τί λέγων, καὶ Νέβελ, καὶ Ἰν, καὶ πολλὰ τοιαῦτα. ἆρα ποιήσας τὰς προσηγορίας ταύτας καὶ ὀνομασίας, καὶ τὴν ἀρχὴν οὕτω διαταξάμενος γίνεσθαι καὶ λέγεσθαι, ὥστε τὸ μὲν τοιοῦτον σπέρμα, σῖτον εἰπεῖν· τούτου δὲ τὴν ἐντεριώνην ὀνομάσαι σεμίδαλιν, καὶ τὰ ἐπιπόλαια καὶ ὑμενώδη καὶ διηπλωμένα τῶν πεμμάτων, λάγανα προσειπεῖν. καὶ τὸ τοιόνδε σκεῦος ἐν ᾧ τὸ ὑγρὸν τοῦ φυράματος ἐξοπτᾶται καὶ ἐξικμάζεται, τήγανον ὀνομασθῆναι προστάξαι. τοῦτο ὑγροῦ τὴν τοσήνδε ποσότητα τῷ τοῦ Ἰν, ἢ Νέβελ, ὀνόματι διαγορεύειν, καὶ τοὺς ξηροτέρους καρποὺς διαμετρεῖσθαι τῷ Γόμορ; φλυαρία ταῦτα καὶ ματαιότης Ἰουδαϊκὴ πάμπολυ τῆς τῶν Χριστιανῶν μεγαλοφυΐας ἐκπεπτωκυῖα, τὸ οἴεσθαι τὸν μέγαν καὶ ὕψιστον καὶ ὑπὲρ πᾶν ὄνομά τε καὶ νόημα Θεὸν, τὸν μόνῃ τῇ τοῦ βουλήματος δυνάμει τὸ πᾶν διακρατοῦντα καὶ εἰς γένεσιν ἄγοντα, καὶ ἐν τῷ εἶναι διατηροῦντα, τοῦτον ὥς τινα γραμματιστὴν ταῖς τοιαῖσδε τῶν ὀνομάτων θέσεσι διαλεπτουργοῦντα καθῆσθαι. ἀλλ' ὥσπερ τοῖς κωφοῖς διασημαινόμενοι καὶ χειρονομοῦντες τὸ πρακτέον ὑποσημαινόμεθα, οὐχὶ τῷ μὴ ἔχειν ἰδίαν αὐτοὶ φωνὴν, ὅταν τοῦτο ποιῶμεν, ἀλλὰ τῷ παντάπασιν ἄχρηστον εἶναι τοῖς οὐκ ἀκούουσι τὴν διὰ τῶν ῥημάτων ὑφήγησιν· οὕτω καὶ τῆς ἀνθρωπίνης φύσεως κωφευούσης τρόπον τινὰ, καὶ οὐδὲν τῶν ὑψηλῶν ἐπαιούσης, τὴν τοῦ Θεοῦ χάριν φαμὲν πολυμερῶς καὶ πολυτρόπως ἐν τοῖς προφήταις λαλοῦσαν, κατὰ τὸ ἡμῖν δυνατόν τε καὶ σύνηθες τὰς τῶν ἁγίων προφητῶν διασχηματίζουσαν γλώσσας, διὰ τούτων ἡμᾶς εἰς τὴν τῶν ὑψηλῶν χειραγωγεῖν κατανόησιν, οὐ κατὰ τὴν ἰδίαν μεγαλοφυΐαν ποιουμένην τὴν διδασκαλίαν. πῶς γὰρ ἂν ἐν τῷ μικρῷ χωρηθείη τὸ μέγα; ἀλλὰ τῇ βραχύτητι τῆς ἡμετέρας συγκαθιοῦσαν δυνάμεως. καὶ ὥσπερ τὴν κινητικὴν τῷ ζώῳ δύναμιν δοὺς ὁ Θεὸς, οὐκέτι δημιουργεῖ καὶ τὰ καθ' ἕκαστον διαβήματα

A Et quod hæc vera ſint, magis didicerit, qui diligentius & accuratius Leuiticam legum ſanctionē perpenderit: illic enim ſartaginis, & lagani ſiue planetę, & ſimilæ, & eiuſmodi nominum meminit in myſticis ſacrificiis, ſymbolicè & per ænigmata animæ vtilia quædā dogmata ſubindicans. Quinetiā menſuras quaſdam nominat ſolito tum more, Hyphi quoddā dicens & Nebel, & In, & multa eius generis. Num has appellationes impoſuit & nominationes, & à principio ſic præſcripſit fieri & dici, ita vt hoc quidem ſemen frumentum diceret, huius autem medullam nominaret ſimilam. Quæ verò in ſuperficie apparent, B & ſunt membranoſa & ſupernatāt bellaria, lagana appellaret. Et vas tale in quo maſſa humida exaſſatur, atque exſiccatur, ſartaginem iuſſerit nominari. Humidi verò tantam quantitatem, In vel Nebel nomine appellat: & fructus aridiores metiri menſura dicta Gomor? Nugæ & vanitas Iudaïca, quæ permultum à Chriſtianorum ſublimi natura & excellentia excidit: nimirum putare, magnum & excelſiſſimum, & ſupra omne nomen & animi cogitationem, Deum, qui ſola voluntatis poteſtate vniuerſum creat, & ad generationem adducit, & in ſua natura ipſum conſeruat, C vt aliquem Grammatiſtam, id eſt ludi literarij magiſtrū, eiuſmodi nominum poſitiones inaniter operantem, ſedere: ſed quemadmodum ſurdis ſignis & geſtibus quid agere debeant, indicamus, non quia ipſi vocem non habeamus, cùm hoc facimus: ſed quia omnino ſit inutilis non audientibus quæ fit verbis enarratio: ſic natura humana cùm ſit quodammodo ſurda & nihil excelſum & ſublime audiat, Dei gratiam dicimus multifariam multiſque D modis in prophetis loquentem, pro captu noſtro & ſecundum id quod nobis eſt conſuetum & familiare ſanctorum prophetarum linguas conformantem, per hæc nos ad ſublimium cognitionem velut manu ducere, non verò ſecundùm ſuam magnitudinem & ſublimitatem doctrinam facere. Quomodo enim in exiguo quod magnum eſt caperetur? Sed quia ad paruitatem noſtram ſe vis diuina demittit. Et quemadmodum motricem animali facultatem Deus cum dedit, non ampliùs ſingulos greſſus efficit,

A ſemel enim principium ab eo qui fecit adepta natura, ſeipſam mouet & deducit, ad quodcumq. libitum eſt motum efficiens, (niſi fortè greſſus hominis à Domino dirigi dicātur.) Sic loqui poſſe, & ſonos edere ac per vocem volūtatem enuntiare, à Deo cùm accepit, viam pergit natura per res, ſigna quædam rebus certa quadam ſonorum differentia imponens. Et hæc ſunt quæ à nobis dicuntur verba & nomina, quibus rerum vim ſignificamus. Et licet à Moſe ante fructuum generationem dicitur fructus, & B ante ſeminum ortum, ſemina: non tamen hoc noſtrum refellit ſermonē, neq. his quæ dicta ſunt de commentatione repugnat legiſlatoris ſententia. Quod enim nos terminū agriculturæ præteritæ fructum nominamus, principiū vero futuræ ſemē appellamus, hanc rem quæ nominibus ſubijcitur, ſiue frumentum, ſiue aliquid eorum quæ per ſationem multiplicantur, docet non caſu & fortuitò gigni, ſed eius qui fecit voluntate cum hac vi productam eſſe, ita vt idem fructus naſcatur, ſeipſúmq. rurſus producat, cum ſit ſemen, & eo quod exuperat, hominem alat: diuina autem vo- C luntate res non nomen naſcitur. Quare res quidem quę ſubſtat conditoris opus eſt virtutis: voces verò quæ res ipſas notificant, per quas ſingula ad exactam & inconfuſam doctrinam ſermo deſignat, hæ ſunt logicæ facultatis opera & inuenta. Hæc autem ipſa differendi & ratiocinandi facultas & natura, Dei eſt opus. Et quoniam omnibus hominibus ratiocinandi facultas ineſt, neceſſariò ſecundùm gentium varietates, etiā nominum differentiæ ſpectantur. Quòd ſi quis humanitus, lucem, vel cœlum, D vel terram, vel ſemina à Deo appellata fuiſſe aſſerat, proculdubio ſecundùm vnam aliquam linguæ proprietatem factum eſſe ſermonem adſtruet. Quænam igitur hæc? demonſtret. Eum enim qui illud cognoſcit, & hoc non ignorare planè eſt veriſimile. Etenim in Iordane poſt ſpiritus potentiam, & rurſus in auribus Iudæorum, atque in transfiguratione vox fit deſuper docens homines, ne quod apparebat figuram eſſe ſimplicem exiſtimarent; ſed etiam dilectum filium Dei verum

Matth. 3. & 17. Marc. 9. Luc. 9.

A ἅπαξ γὰρ τὴν ἀρχὴν λαβοῦσα παρὰ τοῦ πεποιηκότος ἡ φύσις, ἑαυτὴν κινεῖ τε καὶ διεξάγει πρὸς τὸ ἑκάστῳ τὸ δοκοῦν ἐνεργοῦσα τὴν κίνησιν. πλὴν παρὰ κυρίου λέγεται τὰ διαβήματα τῷ ἀνδρὶ κατευθύνεσθαι, οὕτως καὶ τὸ δύνασθαι λαλεῖν τε καὶ φθέγγεσθαι καὶ τὸ διὰ φωνῆς ἐξαγγέλλειν τὸ βούλημα παρὰ τοῦ Θεοῦ λαβοῦσα, ὁδῷ πορεύεται διὰ τῶν πραγμάτων ἡ φύσις, σημεῖα τινὰ τοῖς οὖσι διὰ τῆς ποιᾶς τῶν φθόγγων διαφορᾶς ἐπιβάλλουσα. καὶ ταῦτά ἐστι τὰ παρ' ἡμῶν λεγόμενα ῥήματά τε καὶ ὀνόματα, οἷς τὴν δύναμιν τῶν B πραγμάτων διασημαίνομεν. κἂν λέγηται παρὰ τοῦ Μωϋσέως πρὸ τῆς τῶν καρπῶν γενέσεως ὁ καρπὸς, καὶ πρὸ τῶν σπερμάτων τὰ σπέρματα, οὐκ ἐλέγχει τὸν ἡμέτερον λόγον, οὐδὲ μάχεται τοῖς περὶ τῆς ἐπινοίας εἰρημένοις ἡ τοῦ νομοθέτου διάνοια. ὃ γὰρ ἡμεῖς πέρας ὀνομάζομεν, τῆς προηγησαμένης γεωργίας καρπὸν λέγοντες, ἀρχὴν δὲ τῆς μελλούσης σπέρμα προσαγορεύοντες, τοῦτο τὸ πρᾶγμα τὸ τοῖς ὀνόμασιν ὑποκείμενον, εἴτε σῖτος εἴτε τι ἄλλο τῶν διὰ σπορᾶς πληθυνόντων, διδάσκει μὴ αὐτομάτως γενέσθαι, ἀλλ' ἐν θελήματι τοῦ πε- C ποιηκότος μετὰ τῆς δυνάμεως ταύτης ἀναφῦναι. ὥστε τὸν αὐτόν τε γενέσθαι καρπὸν, ἑαυτόν τε πάλιν ἄγειν σπέρμα γινόμενον, καὶ τῷ περιττεύοντι τρέφειν τὸν ἄνθρωπον. φύεται δὲ κατὰ τὸ θεῖον βούλημα πρᾶγμα οὐκ ὄνομα· ὥστε τὸ μὲν καθ' ὑπόστασιν ὂν πρᾶγμα τῆς τοῦ πεποιηκότος δυνάμεως ἔργον εἶναι, τὰς δὲ γνωριστικὰς τῶν ὄντων φωνὰς, δι' ὧν τὰ καθ' ἕκαστον πρὸς ἀκριβῆ τε καὶ ἀσύγχυτον διδασκαλίαν ἐπισημειοῦται ὁ λόγος, ταῦτα τῆς λογικῆς δυνάμεως ἔργα τε καὶ εὑρήματα. αὐτὴν δὲ ταύτην τὴν λογικὴν δύναμίν D τε καὶ φύσιν, ἔργον Θεοῦ. καὶ ἐπειδὴ τὸ λογικὸν ἐν πᾶσιν ἀνθρώποις, ἀναγκαίως κατὰ τὰς τῶν ἐθνῶν διαφορὰς, καὶ αἱ τῶν ὀνομάτων διαφοραὶ θεωροῦνται. εἰ δέ τις ἀνθρωπικῶς τὸ φῶς, ἢ τὸν οὐρανὸν, ἢ τὴν γῆν, ἢ τὰ σπέρματα παρὰ τοῦ Θεοῦ προσειρῆσθαι λέγοι, πάντως ὅτι κατὰ μίαν τινὰ γλώσσης ἰδιότητα γεγενῆσθαι κατασκευάσει τὸν λόγον. τίς οὖν αὕτη; δειξάτω. τὸν γὰρ ἐκεῖνο γινώσκοντα καὶ τοῦτο μὴ ἀγνοεῖν, πάντως οὐκ ἔξω τοῦ εἰκότος ἐστί. καὶ γὰρ καὶ ἐν τῷ Ἰορδάνῃ μετὰ τὴν τοῦ πνεύματος δύναμιν καὶ πάλιν ἐν ἀκοαῖς τῶν Ἰουδαίων, καὶ ἐν τῇ μεταμορφώσει, φωνὴ γίνεται ἄνωθεν διδάσκουσα τοὺς ἀνθρώπους, καὶ σχῆμα τι μὴ τὸ φαινόμενον εἶναι μόνον, ἀλλὰ καὶ τὸν ἀγαπητὸν υἱὸν τοῦ Θεοῦ πιστεύειν

εἶναι ἀληθῆ. τοιαύτη φωνὴ πρὸς τὴν τῶν ἀκουόντων σύνεσιν ἐν τῷ ἀερίῳ σώματι παρὰ τοῦ Θεοῦ διετυπώθη κατὰ τὴν ἐπικρατοῦσαν τῶν φθεγγομένων συνήθειαν γινομένη. οὕτω τοῦ Θεοῦ τοὺς πάντας θέλοντος σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, πρὸς τὸν σκοπὸν τῆς σωτηρίας τῶν ἀκουόντων ἐν τῷ ἀέρι τὸν λόγον διαρθρώσαντος, καθώς φησι, καὶ πρὸς τοὺς Ἰουδαίους ὁ κύριος τοὺς οἰομένους βροντὴν γεγενῆσθαι διὰ τὸ ἐν ἀέρι συστῆναι τὸν ἦχον· ὅτι οὐ δι' ἐμὲ ἡ φωνὴ αὕτη γέγονεν, ἀλλὰ δι' ὑμᾶς. πρὸ δὲ τῆς τοῦ παντὸς συστάσεως οὐδενὸς ὄντος τοῦ ὑποδεξομένου τὸν λόγον, ἢ σωματώδους στοιχείου πρὸς τὸ τυπῶσαι τὴν ἔναρθρον δυναμένου φωνήν, ὁ λέγων ῥήμασι τὸν Θεὸν κεχρῆσθαι, πῶς ἀποδώσει τὸ εἰκὸς τῷ λόγῳ; αὐτὸς ἀσώματος, ἡ κτίσις οὐκ ἦν, οὐδὲν περὶ αὐτὸν ὑλῶδες ὁ λόγος ἐννοεῖν δίδωσιν, οἱ ὠφεληθέντες ἂν διὰ τῆς ἀκοῆς, οὔπω συνέστησαν. ἀνθρώπων δὲ μὴ ὄντων, οὐδὲ διαλέκτου τρόπος κατά τινα ἐθνῶν ἰδιότητα τετύπωτο πάντως. ὁ τοίνυν πρὸς τὸ γράμμα ψιλὸν βλέπων, τίσι λογισμοῖς τῇ τοιαύτῃ διανοίᾳ παρίσταται ὡς τοῦ Θεοῦ ταῦτα φθεγγομένου τὰ ῥήματά τε καὶ τὰ ὀνόματα; καί τοι καὶ διὰ τούτων γνοίη τις ἂν τὸ μάταιον τῶν τὰ τοιαῦτα λεγόντων. ὥσπερ γὰρ αἱ τῶν στοιχείων φύσεις ἔργον οὖσαι τοῦ πεποιηκότος, πᾶσιν ὡσαύτως φαίνονται, καὶ οὐδεμία κατὰ τὴν αἴσθησιν τοῖς ἀνθρώποις ἐστὶ διαφορὰ ἐν τῇ τοῦ πυρός, ἢ τοῦ ἀέρος, ἢ τοῦ ὕδατος μετουσίᾳ. ἀλλὰ μία ἐστὶ καὶ ἀκίνητος ἐπὶ πάντων ἡ φύσις, ὡσαύτως ἐνεργοῦσα καὶ οὐδὲν πρὸς τὰς διαφορὰς τῶν μετεχόντων ἀλλοιουμένη. οὕτως καὶ ἡ τῶν ὀνομάτων θέσις, εἴπερ ἦν ἐκ τοῦ Θεοῦ τοῖς πράγμασιν ἐφηρμοσμένη, πᾶσιν ἂν ἡ αὐτὴ ἦν. νυνὶ δὲ τῶν μὲν πραγμάτων ἡ φύσις ἅτε δὴ παρὰ τοῦ Θεοῦ πεπηγυῖα, μένει ἀκίνητος, αἱ δὲ σημαντικαὶ τούτων φωναὶ πρὸς τοσαύτας γλωσσῶν διαφορὰς διεσχίσθησαν, ὡς μηδὲ ἀριθμήσασθαι τὸ πλῆθος εὔκολον εἶναι. εἰ δέ τις τὴν ἐπὶ τῆς πυργοποιΐας σύγχυσιν, ὡς ἐναντιουμένην τοῖς εἰρημένοις προφέρει, οὐδὲ ἐκεῖ ποιεῖν λέγεται γλώσσας ὁ Θεὸς τῶν ἀνθρώπων, ἀλλὰ συγχέαι τὴν οὖσαν ὡς ἂν μὴ πάντες πάντων ἀκούοιεν. ἕως γὰρ ἦν πᾶσι καθ' ἑαυτὸν ἡ ζωή, καὶ οὔπω πρὸς πολλὰς ἐθνῶν διαφορὰς ἐμερίσθησαν, μιᾷ συνέζων φωνῇ πάντων ἀνθρώπων τὸ πλήρωμα.

A esse crederent. Huiuſmodi vox ad audientium intelligentiam in aëreo corpore à Deo formata eſt, ſecundùm inualeſcentem loquentium conſuetudinem facta. Sic etiam cùm Deus qui omnes vult ſaluos fieri, & ad agnitionem veritatis venire, ad ſcopum ſalutis audientium in aëre ſermonem articulaſſet, quemadmodum ait, ad Iudæos dominus tonitru eſſe factum putátes, quia in aëre ſonus ſteterat: quia non propter me hæc vox facta eſt, ſed propter vos. Ante verò vniuerſi conſtitutionem cum nullus eſſet qui ſermonem ſuſciperet, vel corporeum elementum quod poſſet vocem articulatam exprimere: qui dicit Deum verbis vſum fuiſſe, quomodo quod rationi conſentaneum eſt, ſermoni ſuo reddet? ipſe incorporeus eſt, creatura non erat, nihil circa ipſum materiale ratio permittit intelligere, nondum qui per auditum adiuuarétur vlli erant, hominibus autem nõ exiſtentibus, neque vllus loquendi modus ſecundùm gentis alicuius proprietaté efformatus erat prorſus. Qui igitur ad exilem & nudã literã ſpectat, quibus rationibus hunc ſenſum fulcit, ac ſi Deus hæc verba & ſenſa loqueretur? Quinetiam ex his cognoſcere licet, vanitatem eorum qui talia loquuntur. Quemadmodum enim elementorũ naturæ quæ ſunt opus eius qui fecit omnibus eodé modo apparent, nulláq. ſecundùm ſenſum hominib. eſt differẽtia in ignis, vel aëris, vel aquæ participatione, ſed vna eſt & immobilis in omnib. natura, eodẽ modo operans, & in nulla re propter eorum qui participant differentias immutata: ſic & nominum poſitio, ſiquidem à Deo eſſet rebus applicata, omnib. eſſet eadem: nunc auté rerum natura, vtpotè à Deo fixa, manet immobilis: voces autem horũ ſignificatiuæ ad tot linguarũ differentias diuiſæ ſunt, vt neque multitudiné numerare facile ſit. Quod ſi quis confuſioné quę in extructione turris accidit, vt dictis contrariã profert, neque illic linguas hominũ facere Deus dicitur, ſed quę erat, eam cõfundere, vt non omnes vnã omniũ audirent. Quamdiu enim erat eadé vita, & nondum in multas gentiũ differẽtias diſpertiti fuerunt, vna voce eodémq. ſermone vtens ſimul viuebat omnium hominum plenitudo.

(Margin: B, C, D; 1. Tim. 2.; Geneſ. 11.)

Poſtquam verò diuina voluntate oportuit omnem ab hominibus terram habitari, tunc diuulſi ſecũdum vocis communionem alij alio diſperſi fuerunt, & cum aliis & aliò verborum & vocis charactere coniuncti & accommodati fuerunt, conciliatricem quandam mutuæ concordiæ ſermonis conſonantiam ſortiti, in rerum quidem cognitione non diſcordantes, ſed in nominum forma differentes. Non enim quid aliud apud alios lapis, vel lignum videtur, ſed apud ſingulos materiæ nomina differunt. Quare ſermo nobis fixus manet, qui voces humanas noſtræ mentis ſiue intelligentiæ inuẽta eſſe definit. Neque enim à principio quamdiu conſonum ſibiipſi humanum genus vniuerſum fuit, verborum Dei aliquam doctrinam factam eſſe hominibus ex ſcriptura didicimus: neque poſtquam in varias linguarum differentias diſpertiti fuerunt homines, quomodo quiſque loqueretur, diuina lex præſtituit: ſed volens Deus homines diuerſis vti linguis, naturam dimiſit, vt pergeret pro arbitrio apud ſingulos ſonum articulare ad explanationem nominum. Itaque Moſes, multis ſæculis poſt turris ædificationem natus, vna ex poſterioribus lingua vſus eſt, hiſtoricè nobis mundi creationem exponens, atque aliquas voces Deo applicat, ſua ipſius voce in qua inſtitutus fuit & aſſuetus, hæc enarrans, nec Dei voces immutans alio quodam & peregrino vocis charactere, ita vt peregrinis & inuſitatis nominibus ipſius Dei voces eſſe præſtruat: ſed familiari vtens lingua, ſimiliter & quæ ſua ſunt, & quæ ipſius Dei, enarrat. Quidam autem qui exactiorem ſcripturarum cognitionem ſunt aſſequuti, aſſerunt linguam Hebraïcam non ita vetuſtatem redolere ſicut reliquæ: ſed cum aliis miraculis & hoc Iſraëlitis miraculosè accidiſſe, nempe linguam hanc confertim ſimul poſt egreſſionem ex Ægypto genti ex temporalem factam fuiſſe. Et neſcio quis prophetæ ſermo tale quid confirmat: nam dum ex Ægypto ipſe egrederetur, tunc, inquit, linguam quam non nouerat audiuit. Si igitur Moſes, Hebræus; aliis autem poſterior eſt Hebrçorum lingua, qui longè poſt mundi conſtitutionem natus eſt, & qui propria lingua Dei lo-

Nota de lingua Hebraica origine.

A ἐπεὶ δὲ κατὰ θείαν βούλησιν ἔδει πᾶσαν ὑπὸ τῶν ἀνθρώπων κατοικηθῆναι τὴν γῆν, τότε διασπασθέντες κατὰ τὴν τῆς φωνῆς κοινωνίαν, ἄλλος ἀλλαχῆ διεσπάρησαν, καὶ πρὸς ἄλλοις καὶ ἄλλον χαρακτῆρα ῥημάτων καὶ φωνῆς μεθηρμόσθησαν. συνδετικήν τινα τῆς πρὸς ἀλλήλους ὁμονοίας τὴν ὁμοφωνίαν λαχόντες. πρὸς μὲν τὴν τῶν πραγμάτων οὐ διαφωνοῦντες γνῶσιν, πρὸς δὲ τὸν τῶν ὀνομάτων τύπον διαφερόμενοι. οὐ γὰρ ἄλλο τι παρ' ἄλλοις ὁ λίθος, ἢ τὸ ξύλον δοκεῖ. διαφορεῖ δὲ παρ' ἑκάστοις τὰ τῆς ὕλης ὀνόματα. ὥστε μένει B παγίως ἡμῖν ὁ λόγος, ὁ τὰς ἀνθρωπίνας φωνὰς τῆς ἡμετέρας διανοίας εὑρήματα εἶναι διοριζόμενος. οὔτε γὰρ ἐξ ἀρχῆς ἕως ὁμόφωνον ἅπαν ἦν ἑαυτῷ τὸ ἀνθρώπινον, Θεοῦ ῥημάτων τινὰ διδασκαλίαν γεγενῆσθαι τοῖς ἀνθρώποις παρὰ τῆς γραφῆς μεμαθήκαμεν. οὔτε εἰς ποικίλας γλωσσῶν διαφορὰς διατμηθέντων, ὅπως ἂν ἕκαστος φθέγγοιτο θεῖος ἐπεστάτησε νόμος. ἀλλὰ θελήσας ὁ Θεὸς τοὺς ἀνθρώπους ἐν ἄλλαις γενέσθαι γλώσσαις, ἀφῆκεν ὁδῷ τὴν φύσιν πορεύεσθαι, κατὰ τὸ ἀρέσκον διαρθροῦσαν παρ' ἑ- C κάστοις τὸν ἦχον πρὸς τὴν τῶν ὀνομάτων σαφήνειαν. ὁ γοῦν Μωϋσῆς πολλαῖς ὕστερον γενεαῖς τῆς πυργοποιίας γενόμενος, μιᾷ τῶν μετὰ ταῦτα κέχρηται γλώσσῃ, ἱστορικῶς τὴν κοσμογένειαν ἡμῖν διηγούμενος, καί τινας τῷ Θεῷ περιάπτει φωνάς, τῇ ἑαυτοῦ γλώσσῃ καθ' ἣν πεπαίδευτό τε καὶ συνείθιστο, ταῦτα διεξιών, καὶ οὐκ ἀλλάσσων τὰς τοῦ Θεοῦ φωνὰς ἀλλοιοτρόπῳ τινὶ καὶ ξενίζοντι φωνῆς χαρακτῆρι. ὥστε διὰ τοῦ ξένου τῆς συνηθείας καὶ παρηλλαγμένου τῶν ὀνομάτων, αὐτοῦ τοῦ D Θεοῦ εἶναι τὰς φωνὰς κατασκευάζειν. ἀλλὰ τῇ συνήθει χρώμενος γλώσσῃ, ὁμοίως τά τε ἑαυτοῦ καὶ τὰ τοῦ Θεοῦ διεξέρχεται. φασὶ δέ τινες τῶν ἐπιμελέστερον ταῖς γραφαῖς ἐπηκολουθηκότων, μηδὲ ἀρχαΐζειν τὴν Ἑβραΐαν φωνὴν καθ' ὁμοιότητα τῶν λοιπῶν, ἀλλὰ μετὰ τῶν ἄλλων θαυμάτων, καὶ τοῦτο τοῖς Ἰσραηλίταις θαυματοποιηθῆναι, τὸ τὴν γλῶσσαν ταύτην ἀθρόως μετὰ τὴν Αἴγυπτον σχεδιασθῆναι τῷ ἔθνει. καί τις ἐστὶ τοῦ προφήτου λόγος τὸ τοιοῦτον πιστούμενος. ἐν γὰρ τῷ ἐξιέναι αὐτόν, φησιν, ἐκ γῆς Αἰγύπτου, τότε γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν. εἰ οὖν Ἑβραῖος Μωϋσῆς, τελευταία δὲ τῶν ἄλλων ἡ τῶν Ἑβραίων φωνή, ὁ μετὰ τὴν τοῦ κόσμου σύστασιν ὕστερον γεγονώς, καὶ τῇ καθ' ἑαυτὸν φωνῇ τὰς τοῦ Θεοῦ διηγούμενος

ῥήσεις, ἆρ' οὐχὶ σαφῶς διδάσκει τὸ μὴ τοιαύτην φωνὴν τὴν κατὰ ἀνθρώπους σχηματιζομένην ἀναγράφειν ἐπὶ Θεοῦ· ἀλλὰ ταῦτα μὲν λέγειν διὰ τὸ μηδὲ δυνατὸν εἶναι τὸ νοηθὲν ἑτέρως εἰπεῖν ἢ ἀνθρωπίναις φωναῖς· σημαίνειν δὲ διὰ τῶν λεγομένων θεοπρεπῆ τινα καὶ μεγαλοφυεστέραν διάνοιαν. τὸ γὰρ οἴεσθαι τῇ Ἑβραΐδι γλώσσῃ τὸν Θεὸν κεχρῆσθαι, μηδενὸς ὄντος τοῦ τοιαύτης φωνῆς ἐπαΐοντος, οὐκ οἶδα πῶς ὁ λελογισμένος συνθήσεται. ἐν ταῖς πράξεσι μεμαθήκαμεν, διὰ τοῦτο τὴν θείαν δύναμιν εἰς πολλὰς διαχεῖσθαι φωνάς, ὡς ἂν μηδεὶς τῶν ἑτερογλώσσων ἀποστεροῖτο τῆς ὠφελείας. εἰ δὲ ὁ Θεὸς πρὸ τῆς κτίσεως ἀνθρωπικῶς διελέγετο, τίνα ὠφελησομένων ἐκ τῆς τοιαύτης φωνῆς; τὸ μὲν γὰρ συνδιατίθεσθαι τῇ τῶν ἀκουόντων δυνάμει τὸν λόγον πρὸς τὸν τῆς ὠφελείας σκοπόν, οὐδεὶς ἄν τις ἀνάξιον τῆς θείας εἶναι φιλανθρωπίας ὑποτοπήσειεν· ἐπεὶ καὶ Παῦλος ὁ μιμητὴς τοῦ κυρίου πρὸς τὰς τῶν ἀκουόντων ἕξεις, οἶδεν ἁρμοδίως τὸν λόγον μεταχειρίζεσθαι· γάλα τοῖς νηπίοις γινόμενος, καὶ στερεὰ τοῖς τελείοις τροφή. τὸ δὲ μηδενὸς κατορθουμένου σκοποῦ διὰ τῆς τοῦ λόγου τοιαύτης χρήσεως, ἔπειτα κατασκευάζειν ταυτὶ τινὰ ῥήματα τὸν Θεὸν ἐφ' ἑαυτοῦ ῥαψῳδεῖν, οὐκ ὄντος τοῦ δεομένου τῆς διὰ τῶν τοιούτων φωνῶν σημασίας, οὐκ οἶδα πῶς ἐστι μὴ καταγέλαστον ἅμα καὶ βλάσφημον τὸ τοιοῦτον οἴεσθαι. οὔτε οὖν Ἑβραΐα τοῦ Θεοῦ ἡ φωνή, οὔτε καθ' ἑκατέραν τινὰ τύπον τῶν ἐν τοῖς ἔθνεσι νενομισμένων προφερομένη· ἀλλ' ὅσοι τοῦ Θεοῦ λόγοι παρὰ τοῦ Μωϋσέως, ἢ τῶν προφητῶν ἀνεγράφησαν, ἐνδείξεις εἰσὶ τοῦ θείου θελήματος, ἄλλως καὶ ἄλλως κατὰ τὴν ἀξίαν τῶν μετεχόντων τῆς χάριτος τῷ καθαρῷ τε καὶ ἡγεμονικῷ τῶν ἁγίων ἐλλάμπουσαι. οὐκοῦν ἐφθέγγετο μὲν ὁ Μωϋσῆς ὡς ἐπεφύκει τε καὶ πεπαίδευτο· προσετίθει δὲ τῷ Θεῷ τὰς φωνὰς ταύτας, καθὼς εἴρηται πολλάκις, διὰ τὸ νηπιῶδες τῶν ἔτι τῇ θεογνωσίᾳ προσαγομένων, πρὸς ἐναργῆ τε παράστασιν τοῦ θείου βουλήματος, καὶ ὡς ἂν εὐπειθεστέρους ἀπεργάσαιτο τοὺς ἀκούοντας τῇ ἀξιοπιστίᾳ τοῦ εἰρηκότος δυσωπουμένους. ἀλλ' οὔ φησιν ὁ Εὐνόμιος, ὁ τοιαύτας καθ' ἡμῶν τὰς λοιδορίας προφέρων. ὁ τῆς ἐκθέσμου συνηθείας κληρο-

quutiones enarrat, an nõ ñ clarè docet, hanc talem vocem ad humanum modum figuratam Deo non adſcribere: ſed hæc quidem dicere, quia fieri non poſſit, vt quod cogitatum eſt, aliter quam vocibus humanis exprimatur: Per ea autem quæ dicuntur Deo decoram & magnificam quamdam intelligentiam ſignificare. Siquidem putare Deũ lingua Hebraica vſum fuiſſe, cum nullus eſſet qui talem vocem audiret, neſcio quomodo qui recta ratione vſus fuerit aſſentietur. In actis Apoſtolorum didicimus, idcirco vim diuinam in multas linguas diuiſam fuiſſe, vt nullus eorum qui diuerſis linguis vterentur, vtilitate priuaretur. Deus autem ante creationem humano more diſſerebat, quemnam hac tali voce adiuturus? ſermonem enim affectionem quandam habere cum audientium facultate ad vtilitatis ſcopum, nullus diuina beneuolentia erga genus humanum eſſe indignum ſuſpicatus fuerit. Quoniam Paulus Domini imitator ad audiẽtium habitus nouit conuenienter & accommodatè ſermonem adminiſtrare, lac quidem paruulis factus, adultis verò & perfectis cibus ſolidus. Quod ſi nullus dirigatur ſcopus per talem ſermonis vſum, quis adſtruat Deum in ſeipſo certa quædam verba conſuere, ſi non eſt qui egeat ſignificatione quæ fit per eiuſmodi voces, haud ſcio quomodo non hoc liceat ridiculum ſimul & impium conuitium putare. Neque igitur Hebræa Dei vox, neque ſecundũ aliam formam eorum quæ in gentibus vſu receptæ ſunt, proferebatur: ſed quicumque Dei ſermones à Moſe vel prophetis deſcripti ſunt, diuinæ voluntatis ſunt indicationes, Aliter atque aliter pro ratione eorum qui gratiæ fiunt participes, ſanctorum puro & rationis tenenti principatum intellectu illuceſcentes. Ergo loquebatur Moſes ſicut natus erat & eruditus. Deo autem attribuebat has voces, vt dictum eſt, ſæpius propter puerilem imbecillitatem eorum qui ad Dei cognitionem adducebantur, & ad euidentem & claram diuinæ voluntatis expreſſionem, & vt obedientiores, & ad parendum faciliores efficeret auditores, veritos autoritatem & dignitatem eius qui ipſos eſſet alloquutus. Sed negat Eunomius, qui talia in nos conuitia profert, qui illicitæ & nefariæ con-

Hebr. 5.

ſuetudinis eſt hæres & patronus: con-
Verba Eunomij. uerſa enim contumelia in ipſius igno-
miniam propriis eum verbis excipiam.
Sed ipſum ſibi Moſem teſtimonio ſuo
patrocinari confirmat. Quòd videlicet
à Deo qui naturam condidit, & eorum
quę nominantur; & nominum vſus ho-
minibus datus eſt, & quod eorum quæ
data ſunt appellatio vtentium genera-
tione eſt ſuperior, ſic omnia ad verbum
locutus: ſiquidem proprium nactus eſt
aliquem Moſem, à quo hæc erudita do-
cetur, atque illinc incitatus talibus con-
fidit ſermonibus, quòd Deus lege ſan-
cit, ſicut hic ipſe dicit, hominum dictio-
nes, ſic iubens & aliter prohibens re-
bus voces imponi, vtatur pro ſuo arbi-
tratu nugis, adiutorem habens ſermo-
nis occultum iſtum Moſem. Quod ſi
ſolus eſt Moſes, cuius ſcriptura commu-
nis eſt diſciplina his qui diuinum ſer-
monem docti ſint, condemnationem
accipiemus, ſi à Moſis lege redargui-
mur. Vbinam ergo de verbis & nomini-
bus legem inuenit? in eius ſcriptis expo-
nitur mundi creatio, & deinceps homi-
num generationum receſſio, & quarum-
dam rerum hiſtoria, & varia legiſlatio,
déque his quæ ad verum Dei cultum
pertinent, & quæ in vitæ ratione ſunt
obſeruanda, hæc ſunt Moſis ſcripturæ
præcipua capita. Quòd ſi hic autumat
eſſe aliquam verborum legiſlationem,
oſtendat legem & ego tacebo. Sed non
poſſet dicere: non enim clarioribus o-
miſſis cõfirmationibus, illa perſequere-
tur quibus ridiculus magis, quàm pro-
babilis videretur his qui mẽte ſunt præ-
diti & ſapiunt. Nam hoc putare eſſe pie-
tatis caput, nempe verborum inuentio-
nem Deo attribuere, cui paruus ad ce-
lebrationem totus mundus, & quæ in
ipſo ſunt miracula; quomodo non ex-
tremæ eſt fatuitatis, magnis omiſſis ex
humanis Deum magnificare. Iuſſum
creationem præceſſit, dictum quidem
à Moſe, humano more Deo verò con-
uenienter & decorè factum. Eorum igi-
tur quæ diuina potentia ſunt cõſtituta,
voluntas eſt effectrix: hanc verborum
doctrinam accuratus & diligens ſcri-
pturarum cognitor pronuntiat. Et per-
inde ac ſi Deus dixiſſet, fiat verbum,
vel ſermo cõſtituatur, vel hoc talem
quandam ſortiatur appellationem, ſic
ad patrocinium ſuarum nugarum pro-
ponit motionem illam quæ eſt in di-

A νόμος τε καὶ συνήγορος. ἀποδηάξας γὰρ τὴν
ὕβριν εἰς ἀτιμίαν τοῖς ἰδίοις αὐτὸν δεξιώσομαι.
ἀλλ' αὐτὸς αὐτῷ μαρτυρεῖν τὸν Μωϋσέα διϊσχυ-
ρίζεται, παρὰ τοῦ δημιουργήσαντος τὴν φύ-
σιν δεδωρῆσθαι τοῖς ἀνθρώποις τήν τε ὀνομα-
ζομένων καὶ τῶν ὀνομάτων τὴν χρῆσιν, καὶ τήν
γε τῶν δεδομένων κλῆσιν ἀνωτέραν εἶναι τῆς τῶν
χρωμένων γενέσεως, οὑτωσὶ πάντα κατὰ λέξιν
εἰπών. εἰ μὲν οὖν ἴδιον κέκτηταί τινα Μωϋσέα
παρ' οὗ τὰ σοφὰ ταῦτα διδάσκεται, κἀκεῖθεν
ὁρμώμενος τοῖς τοιούτοις ἐπιθαρσεῖ τῷ λόγῳ,
B ὅτι Θεὸς διαθεσμοθετεῖ, καθώς ἐστιν αὐτός φη-
σι, τῶν ἀνθρώπων τὰς ῥήσεις, οὑτωσί τε κελεύων,
καὶ ἑτέρως ἀπαγορεύων τὰς ἐπὶ τῶν πραγμάτων
κεῖσθαι φωνάς, κεχρήσθω πρὸς τὸ δοκοῦν τοῖς
λήροις, σύμμαχον ἔχων τοῦ λόγου τὸν κρυπτὸν
Μωϋσέα. εἰ δὲ μόνος ἐστὶ Μωϋσῆς οὗ ἡ γραφὴ
κοινὸν μάθημα τοῖς τὸν θεῖον λόγον παιδευομέ-
νοις ἐστὶ, δεξόμεθα τὴν καταγνωσιν, εἰ ὑπὸ τῶν
Μωϋσέως ἐλεγχόμεθα νόμων. ποῦ τοίνυν τὸν πε-
ρὶ ῥημάτων τε καὶ ὀνομάτων εὕρατο νόμον; ἐπ' αὐ-
τῶν ἐκκεῖσθαι τῶν γεγραμμένων, κοσμογένεια,
C καὶ ἡ καθεξῆς ἀνθρώπων γενεαλογία καὶ πραγ-
μάτων τινῶν ἱστορία, καὶ ἡ ποικίλη νομοθεσία,
περί τε τὴν κατὰ τὴν λατρείαν, καὶ τὴν κατὰ τὸν
βίον παρατήρησιν. ταῦτα τῆς Μωσέως γραφῆς
τὰ κεφάλαια. εἰ δέ, φησίν, ἔστιν εἶναί τινα ῥημάτων
νομοθεσίαν, δειξάτω τὸν νόμον, κἀγὼ σιωπήσο-
μαι· ἀλλ' οὐκ ἂν εἰπεῖν ἔχοι. οὐ γὰρ ἂν τὰς
ἐναργεστέρας ἀφέμενος ἀποδείξεων, ἐκεῖνα διε-
ξῄει δι' ὧν καταγέλαστος μᾶλλον, ἢ πιθανὸς ἐδό-
κει τοῖς τε νοῦν ἔχουσι. τὸ γὰρ οἴεσθαι τοῦτο εἶναι
τὸ τῆς εὐσεβείας κεφάλαιον, τὸ, ῥημάτων εὕρεσιν προσ-
D μαρτυρεῖν τῷ Θεῷ, ᾧ μικρὸς εἰς εὐφημίαν ὅλος
ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ θαύματα, πῶς οὐ τῆς
ἐσχάτης εὐηθείας ἐστὶ, τῶν μεγάλων ἀφέμενον
ἐκ τῶν ἀνθρωπίνων σεμνύνειν τὸ θεῖον. πρό-
σταγμα τῆς κτίσεως καθηγήσατο. ῥηθὲν μὲν πα-
ρὰ τοῦ Μωϋσέως ἀνθρωπικῶς, θεοπρεπῶς δὲ
γινόμενον. τὸ τοίνυν ποιητικὸν τῶν θείᾳ δυνάμει
συνεστηκότων θέλημα, τοῦτο ῥημάτων διδα-
σκαλίαν ὁ ἀκριβὴς ἐπιστὰς τῶν γραφῶν ἀπο-
φαίνεται. καὶ ὥσπερ εἰπόντος τοῦ Θεοῦ γενηθήτω
ῥῆμα, ἢ συστήτω λόγος, ἢ τόδε τοιάνδε λαχέτω
τὴν κλῆσιν, οὕτως εἰς συνηγορίαν προβάλλεται
τῶν ἰδίων λήρων τὴν ὑποστατικὴν τῆς κτίσεως

A ἐν τῷ θείῳ θελήματι κίνησιν, ὑπὸ πολλῆς προσοχῆς τῶν γραφῶν καὶ ἐμπειρίας, οὐδὲ τοῦτο εἰδώς, ὅτι καὶ ὁρμὴ διανοίας φωνὴ πολλάκις παρὰ τῆς γραφῆς ὀνομάζεται. καὶ τούτου μάρτυς Μωϋσῆς αὐτὸς ὃν πολλαχοῦ παρασύρων κατὰ τοῦτο τὸ μέρος ἠγνόησε. τίς γὰρ οὐκ οἶδε τῶν ὁπωσοῦν καθωμιληκότων τῇ βίβλῳ, ὅτι κατεπλάγησαν μὲν ἀθρόως ἐν τῇ ἐρήμῳ τῶν Αἰγυπτίων τὴν ἔφοδον ὁ Ἰσραηλίτης λαός, ἄρτι τὴν Αἴγυπτον ἀποδράντες. πανταχόθεν δὲ προσφερομένων αὐτοῖς τῶν δεινῶν, ἐκεῖθεν τῆς θαλάσσης ἀποτειχιζούσης τὴν πάροδον, κατόπιν τῶν πολεμίων τὴν φυγὴν κωλυόντων, συστάντες πρὸς τὸν προφήτην τῆς ἀμηχανίας ταύτης ἐκεῖνον ἐπῃτιῶντο· B τοῦ δὲ παραμυθουμένου τοὺς καταπεπληγότας τῷ φόβῳ, καὶ εἰς προθυμίαν παραθαρσύνοντος, γίνεται θεόθεν φωνὴ ὀνομαστὶ τὸν προφήτην προσκαλουμένη. τί βοᾷς πρός με; καίτοι γε περὶ τῶν εἰρημένων οὐδεμιᾶς ὁ λόγος ἐπιμέμνηται) Μωϋσέως φωνῆς, ἀλλ' ἡ πρὸς τὸν Θεὸν τοῦ προφήτου διάνοια, φωνή τις ὠνομάσθη κατὰ τὸ σιωπώμενον ἐν τῷ κρυπτῷ τῆς καρδίας νοήματι βοωμένη. εἰ δὲ Μωϋσῆς βοᾷ μὴ φθεγγόμενος C ὑπὸ μάρτυρι τῷ τῶν ἀλαλήτων στεναγμῶν ἐπαΐοντι, τί καινόν, εἰ καὶ τὸ θεῖον βούλημα γνοὺς ὁ προφήτης ὡς δυνατὸν ἦν εἰπεῖν τε αὐτῷ καὶ ἡμῖν ἀκοῦσαι, διὰ τῶν γνωρίμων ἡμῖν καὶ συνήθων ἐφανέρωσε λόγων. διάλογον Θεοῦ σωματικώτερον διαγράφων, οὐ ῥήμασι γινόμενον, ἀλλὰ διὰ τῶν ἔργων αὐτῶν ἐκφωνούμενον; ἐν ἀρχῇ ἐποίησε, φησίν, ὁ Θεὸς οὐ τὸ ὄνομα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἀλλὰ τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ εἶπε, γενηθήτω φῶς, οὐχὶ προσηγορία φωτός, καὶ διακρίνας τὸ φῶς ἀπὸ τοῦ σκότους, ἐκάλεσε, φησὶν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκό- D τος ἐκάλεσε νύκτα· τούτοις εἰκός ἐστι τοὺς ἐναντιουμένους ἡμῖν ἐπιστηρίζεσθαι. συστήσομαι γὰρ ὑπὲρ αὐτῶν τῷ λόγῳ, καὶ τὰ παρ' ἐκείνων ἀνθυποίσω τῇ ἀκολουθίᾳ τῆς ἐξετάσεως, ὡς ἂν ἰσχυρότερον ἡμῖν βεβαιωθείη τὸ δόγμα, μηδεμιᾶς ἀντιθέσεως ἀνεξετάστου παραληφθείσης. ἐκάλεσε, φησίν, ὁ Θεὸς τὸ στερέωμα οὐρανόν, καὶ τὴν ξηρὰν ἐκάλεσε γῆν· καὶ τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. πῶς οὖν ἐροῦσι, τῆς γραφῆς ὁμολογούσης παρὰ τοῦ Θεοῦ τεθεῖσθαι τούτοις τὰς κλήσεις, ὑμεῖς ἀνθρωπίνης ἐπινοίας

A uina voluntate rerum conditricem, præ multa attentione ſcripturarum & experientia, neque hoc ſciens, quod intellectus impulſio vox ſæpe à ſcriptura ſancta nominatur. Atque huius teſtis Moſes, ipſe quem paſſim detorquens in hac parte ignorauit. Quis enim vel tantillum in eius librorum lectione verſatus ignorat, quod populus Iſraëliticus, qui nuper ex Ægypto fugerat, *Exod. 14.* Ægyptiorum incurſum confertim in deſerto vehementer extimuit. Cùm autem vndique grauia ipſis pericula obijcerentur, illinc mari tranſitum ob- B uallante, à tergo hoſtibus fugam impedientibus, prophetam circunſtantes propter illam difficultatem & conſilij inopiam, illum incuſabant. Ipſe verò cùm attonitos & metu perculſos conſolaretur, & ad alacritatem animi, & fiduciam exhortaretur, à Deo fit vox nominatim prophetam appellans. Quid clamas ad me? atqui anteà nullius vocis quam Moſes protuliſſet ſcripturæ ſermo mentionem fecit: ſed cogitatio quam propheta ad Deum erexerat, vox quædam nominata eſt, per ſilentium in abſcondito cordis ſenſu cla- C mans. Quòd ſi Moſes clamat non loquens, eo teſte qui gemitus audit inenarrabiles; quid noui, ſi etiam propheta cùm diuinam voluntatem nouiſſet, quantum fas ei fuit & ei dicere & nobis audire, ſermonibus nobis notis & conſuetis patefecit, dialogum Dei corporalius deſcribens, non verbis factum, ſed per opera ipſa enuntiatum? In principio (inquit) fecit Deus non nomen cœli & terræ, *Gen. 1.* ſed cœlum & terram: & dixit, fiat lux, non appellatio lucis: & diſcernens lucem à tenebris, vocauit, inquit, Deus D lucem diem, & tenebras noctem: his veriſimile eſt aduerſarios noſtros inniti, aſſentiar pro ipſis ſermoni, & ab illis poſita poſtquam examinata fuerint, ſubinferam, vt validius nobis confirmatum ſit dogma, nulla oppoſitione indiſcuſſe relicta, vocauit (inquit) Deus firmamentum cœlum, & aridam vocauit terram, & lucem diem, & tenebras vocauit noctem. Quomodo igitur (dicent) ſcriptura confitente à Deo his rebus inditas eſſe appellationes, vos humanæ commentationis

eſſe dicitis nomina? quid igitur nos ad hæc? rurſus ad noſtrum ſimplicem confugimus ſermonem, & dicimus, quod is qui omnem creaturam ex nihilo produxit, rerum eſt opifex & conditor quæ in ſubſtantia cernuntur, non nominum quæ ſubſiſtere nequeunt, quæque in vocis ſono & linguæ ſtrepitu ſolum conſiſtunt, res autem ſecundùm naturam, & vim cuique inditam ſignificatiua voce aliqua nominantur, ſecundùm vſitatam in quaque gente conſuetudinem appellatione ſubiectis congruente. Sed quoniam multa ſunt quæ creata cernuntur, quæ ſimplicem non habent naturam, ita vt vno verbo ſubiectum poſſit comprehendi: velut in igne, aliud quidem eſt natura res ſubiecta, aliud verò nomen rei ſignificatiuum: hoc enim eſt quid lucidum & quod vrendi vim habet, ſiccum & calfaciens, & quod materiam quam apprehenderit, conſumit: nomen verò vox quędã breuis eſt, quæ vna ſyllaba enũtiatur: huius cauſa ſermo qui diuidit voces & qualitates quæ in igne cernuntur, vnamquámque propriè nominat, ſicut prædiximus, nec quiſquam nomen ſolum igni impoſitum eſſe dixerit, cum quis vel lucidum, vel conſumptorium, vel aliud quid eorum quæ in ipſo ſpectantur, nominauerit: facultatum enim quæ in ipſo naturaliter inſunt, ſignificatiuæ ſunt tales voces. Eodem modo & in cœlo, & in firmamento, quamuis vna natura in vtroque nomine ſignificetur, tamen proprium quiddam eorum quæ in hac creatura fiunt, nominum differentia exprimit. Quare nos ad hoc intuentes, aliud quid diſcimus cœli appellatione, aliud verò firmamenti. Cùm enim ſenſibilis creaturę terminum deſcribit ſermo, poſt quam intelligibilis & transmundana creatura ſuccedens deſinit, comparatione eius

Quid firmamentum.

quod tangi non poteſt & incorporeum eſt, & forma caret, firmamentum dicitur, principium & finis omnis materialis ſubſtantiæ. Cùm autem inferio-

Quid cœlum.

rum corporum ambitum exquirimus, quo omnis materialis continetur natura, hoc cœlum appellamus, quod viſibilium omnium terminus efficitur. Eodem modo, & in terra arida, quoniam in hæc duo elementa deorſum vergit,

εἶναι φατὲ τὰ ὀνόματα; τί οὖν πρὸς ταῦτα ἡμεῖς; πάλιν ἐπὶ τὴν ἰδιῶτιν καταφεύγομεν λόγον, καὶ φαμὲν, ὅτι ὁ πᾶσαν τὴν κτίσιν ἐκ τοῦ μὴ ὄντος ἀγαγὼν εἰς οὐσίαν, πραγμάτων ἐστὶ δημιουργὸς, ἐν ὑποστάσει θεωρουμένων, οὐκ ὀνομάτων ἀνυποστάτων ἐν φωνῆς ἤχῳ καὶ ψόφῳ γλώττης συνισταμένων· τὰ δὲ πράγματα κατὰ τὴν ἐγκειμένην ἑκάστῳ φύσιν καὶ δύναμιν διά τινος σημαντικῆς φωνῆς ὀνομάζεται, κατὰ τὴν ἐπιχωριάζουσαν ἐν ἑκάστῳ ἔθνει συνήθειαν τῆς προσηγορίας τοῖς ὑποκειμένοις ἁρμοζομένης. ἀλλ᾽ ἐπειδὴ τὰ πολλὰ τῶν ἐν τῇ κτίσει θεωρουμένων, οὐχ ἁπλῆν ἔχει τὴν φύσιν, ὡς ῥήματι δυνατῶς ἔχειν ἐμπεριληφθῆναι τὸ ὑποκείμενον· οἷον ἐπὶ τοῦ πυρὸς ἄλλο μέν ἐστι τῇ φύσει τὸ ὑποκείμενον πρᾶγμα· ἕτερον δὲ τὸ σημαντικὸν τοῦ πράγματος ὄνομα. τὸ μὲν γάρ ἐστιν ἐκλαμπτικὸν, καὶ καυστικὸν, ξηρόν τε καὶ θερμαντικὸν, καὶ ἀναλωτικὸν τῆς ὕλης ἧς ἂν περιδράξηται· τὸ δὲ ὄνομα φωνή τις βραχεῖα διὰ μιᾶς συλλαβῆς ἐκφωνουμένη. τούτου ἕνεκεν ὁ διαιρῶν λόγος τὰς ἐν τῷ πυρὶ θεωρουμένας δυνάμεις τε καὶ ποιότητας ἑκάστην ἰδίως κατονομάζει, καθὼς φθάσαντες εἴπομεν· καὶ οὐκ ἄν τις ὄνομα μόνον ἐπιβεβλῆσθαι τῷ πυρὶ εἴποι, ὅταν τις ἢ φανὸν, ἢ ἀναλωτικὸν, ἢ ἄλλο τι τῶν περὶ αὐτὸ θεωρουμένων κατονομάσῃ. τῶν γὰρ ἐν αὐτῷ φυσικῶς ἐγκειμένων δυνάμεων, σημαντικαί εἰσιν αἱ τοιαῦται φωναὶ, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ οὐρανοῦ, καὶ τοῦ στερεώματος, μιᾶς φύσεως ἐν ἑκατέρῳ τῶν ὀνομάτων σημαινομένης, ἴδιόν τι τῶν ἐν τῇ κτίσει ταύτῃ γινομένων ἡ διαφορὰ τῶν ὀνομάτων παρίστησιν. ὥστε πρὸς τοῦτο βλέποντας ἡμᾶς, ἄλλο τι μαθεῖν διὰ τῆς τοῦ οὐρανοῦ προσηγορίας, ἕτερον δὲ διὰ τῆς τοῦ στερεώματος. ὅταν μὲν γὰρ τὸ πέρας τῆς αἰσθητῆς κτίσεως ὑπογράφῃ ὁ λόγος, μεθ᾽ ἣν ἡ νοητή τε καὶ ὑπερκόσμιος διαδέχεται λῆξις, συγκρίσει τῇ πρὸς τὸ ἀναφὲς καὶ ἀσώματον καὶ ἀνείδεον, στερέωμα λέγεται, ἡ ἀρχή τε καὶ τὸ πέρας πάσης τῆς ὑλικῆς ὑποστάσεως. ὅταν δὲ τῶν ὑποκειμένων περιοχὴν ἐξετάζωμεν, ᾧ πᾶσα ἡ ὑλικὴ περικρατεῖται φύσις, οὐρανὸν τοῦτο προσαγορεύομεν, τὸν τῶν ὁρατῶν πάντων ὅρον γινόμενον. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς γῆς καὶ τῆς ξηρᾶς, ἐπειδὴ πρὸς δύο ταῦτα στοιχεῖα ἡ καταφερὴς καὶ βα-

ρεῖα φύσις διεχωρίσθη, πρός τε τὴν γῆν φημὶ καὶ τὰ ὕδατα, ἡ μὲν τῆς ξηρᾶς προσηγορία, διαστολτική πως τῆς ἀντιστοιχούσης ποιότητος. τῇ γὰρ πρὸς τὸ ὑγρὸν ἀντιπαραθέσει, ξηρὰ κατωνόμασται, ὅτε ἀποδυσαμένη θείῳ προστάγματι τὸ περικεχυμένον ὕδωρ, ἐπὶ τῆς ἰδίας ποιότητος ἐφάνη. τὸ δὲ τῆς γῆς ὄνομα, οὐκέτι μιᾶς τινὸς τῶν περὶ αὐτὴν ποιοτήτων τὴν σημασίαν ἐνδείκνυται. ἀλλὰ πᾶν ἐμπεριλαμβάνει διὰ τῆς ἐγκειμένης ἐμφάσεως τὸ ἐν τῷ στοιχείῳ νοούμενον· οἷον τὸ ναστὸν, τὸ πυκνὸν, τὸ ἐμβριθὲς, τὸ ἀντίτυπον, τὸ πρὸς πᾶσαν καρπῶν τε καὶ ζῴων ἀνατροφὴν ἐπιτήδειον. οὐκοῦν, οὐ μετωνομάσθη παρὰ τοῦ λόγου ἡ ξηρὰ πρὸς τὸ τελευταῖον ἐπικληθὲν αὐτῇ ὄνομα. οὐ γὰρ ἀπέθετο διὰ τοῦ δευτέρου ὀνόματος, τὸ ξηρὰ καὶ εἶναι καὶ λέγεσθαι, ἀλλὰ μενούσης τῆς κλήσεως καὶ ταύτης κἀκείνης, ἑκατέρῳ τῶν ὀνομάτων ἰδία τις ὑπέστη σημασία. ἡ μὲν, ἀντιδιαιρετικὴ τῆς ἑτερογενοῦς φύσεώς τε καὶ ἰδιότητος, ἡ δὲ περιεκτικὴ πάσης τῆς ἐν αὐτῇ θεωρουμένης δυνάμεως· οὕτως καὶ ἐπὶ τοῦ φωτὸς καὶ τῆς ἡμέρας, καὶ πάλιν ἐπὶ τῆς νυκτὸς καὶ τοῦ σκότους εὑρίσκομεν, οὐ συλλαβῶν ἦχον παρὰ τοῦ ποιητοῦ τῶν ὅλων ἐπὶ τούτων δημιουργούμενον, ἀλλὰ πραγμάτων ὑπόστασιν διὰ τῶν προσηγοριῶν τούτων γινώσκομεν, λύεται κατὰ τὸ θέλημα τοῦ Θεοῦ τῇ εἰσόδῳ τοῦ φωτὸς τὸ ἐπικρατοῦν σκότος παρὰ τὴν πρώτην κτίσιν· τῆς δὲ γῆς ἐν τῷ μέσῳ περισχεθείσης, καὶ τῇ πανταχόθεν τῶν ἑτεροφυῶν στοιχείων περιβολῇ ἑαυτὴν ἀνεχούσης, καθώς φησιν ὁ Ἰώβ· ὅτι κρεμάζων γῆν ἐπὶ μηδενὸς, ἐπάναγκες ἦν, καθ' ἓν μέρος τοῦ φωτὸς διαδύοντος ἀντιφραττούσης κατὰ τὸ ἀντικείμενον ἐν τῷ ἰδίῳ ὄγκῳ τῆς γῆς, ὑπολειφθῆναί τινα διὰ τοῦ ἀποσκιάσματος μοῖραν τοῦ σκότους, τῆς δὲ ἀεικινήτου περιφορᾶς τοῦ πόλου συμπεριαγούσης ἑαυτῇ κατ' ἀνάγκην καὶ τὸν ἐκ τοῦ ἀποσκιάσματος ἐπισυμβαίνοντα ζόφον, τὴν ἐγκύκλιον ταύτην περίοδον τάξαι τὸν Θεὸν εἰς τὸ γενέσθαι μέτρον τῆς χρονικῆς παρατάσεως. τὸ δὲ μέτρον τοῦτο ἐστὶν, ἡμέρα καὶ νύξ. διὰ τοῦτο κατὰ τὴν ἑαυτοῦ σοφίαν ἱστορικώτερον τὰ τοιαῦτα τῶν δογμάτων ὁ Μωϋσῆς ἡμῖν σαφηνίζων, τὸν ἐξ ἀντιφράξεως ἐπισυμβαίνοντα ζόφον, χωρὶς μὲν φωτὸς καὶ σκότους ὀνόμασι καὶ τὴν ἀεὶ γινομένην

A & grauis natura diſtributa eſt, terram dico & aquas, hæc quidem aridæ appellatio diſtinguit quodammodo ab ea qualitate quæ ex aduerſo ipſi reſpondet: oppoſitione enim ad id quod eſt humidum, arida cognominata eſt. Cùm diuino mandato aquam circumfuſam exuens in propria qualitate apparuit. Nomen autem terræ non amplius vnius alicuius earum qualitatum quæ in ipſa ſunt, ſignificantiam demonſtrat, ſed per vim ſignificatiuam quæ huic dictioni ineſt, omne complectitur, quod in hoc elemento intelligitur: vt quod durum, B quod denſum, quod graue, quod reſiſtit, quod ad omnem fructuum & animalium nutritionem aptum eſt. Igitur non à ſermone cognominata eſt arida, vt ſit hoc poſtremum ei nomen inditum. Non enim depoſuit per ſecundum nomen vt arida ſit & dicatur: ſed manente appellatione & hac & illa, vtique nominum propria quædam ſubeſt ſignificatio: hæc quidem quæ diuidit ac diſtinguit à diuerſi generis natura & proprietate; illa verò quæ omnem quæ in ipſa ſpectatur potentiam com- C plectitur: ſic & in luce & die: ſic rurſus in nocte & tenebris inuenimus, non ſyllabæ ſonum ab vniuerſi conditore factum, ſed rerum ſubſtantiam quas per has appellationes cognoſcimus: ſoluuntur Dei voluntate lucis ingreſſu tenebræ præualentes per primam creaturam: ſed quoniam terra in medio comprehenditur, ac vndique eam diuerſorum elementorum ambitus ſuſtinet, ſicut ait Iob: Qui appendit terram ſuper nihilum; neceſſe erat cùm per vnam partem lux obiret, & oppoſitam partem mole ſua terra obſtrueret, D vt relinqueretur aliqua pars tenebrarum per obumbrationem. Quoniam verò perpetuo motu circa ſe polus circumagit iſtam quæ ex obumbratione aduenit caliginem, neceſſe fuit Deum hunc circularem ambitum ordinaſſe, vt menſura temporalis extenſionis fieret: hæc autem menſura eſt, nox & dies. Propterea pro ſua ſapientia hiſtoricè talia dogmata Moſes nobis declarãs, hanc ex obſtructione ſubeuntem caliginem, abſque luce quidem & tenebris nominauit: & eam quæ fit continuò circum locum terreſtrem, lucis

Quid terrã & aqua.

ad tenebras menſuratam ſucceſſionem, diem & noctem appellauit. Quare non quæ iam vocata fuerat lux, dies appellata eſt; ſed ſicut facta eſt lux, neque nuda lucis appellatio, ſic etiam facta eſt temporis mẽſura: menſuram autem ſequutum eſt nomen, nõ ex verborũ ſono à conditore factum, ſed ipſa rei natura trahente ſibi eam quæ ineſt voci ſignificationem. Ac velut ſi à legiſlatore hoc apertè dictũ eſſet, quod omne quod apparet & nominatur, non ſponte natum neque non factum eſt, ſed ex Deo ſubſiſtentiam habet: ex nobis ipſis cõponere facile potuiſſemus, nempe vniuerſum mundũ, & omnes quæ in eo ſunt partes, & qui in ipſo cernitur ordinem & vim, quæ notificat ea quæ ſunt, Deũ feciſſe: ſic quoq. per ea quæ dixit, ad hanc nos inducit intelligentiã, vt credamus nihil eorum quæ ſunt, principio carere. Et ad hoc reſpiciens via & ordine ea quæ deinceps ſequũtur enarrat, productorum ſeriem enumerans. Hæc autẽ non aliter quis ſermone exprimere poterat, niſi hęc per nomina quę rem indicant, ſignificaret. Quoniã igitur ſcriptũ eſt, quod Deus vocauit lucem, diem, intelligendum eſt Deum ex luce diem feciſſe, quę eſt quid alterum ſecũdum propriam rationem: non enim eandem reddideris lucis & diei definitionẽ: ſed lux quidem eſt, quod ex cõtrario tenebris oppoſitũ intelligitur; dies vero menſura tanta interualli quod eſt in luce. Similiter noctem & tenebras per eandẽ definitionis diuiſionem cognoſces, ſi tenebras quidem definieris, quod ex contrario luci oppoſitum intelligitur, noctem verò, tantam tenebrarum circũſcriptionem nominaueris. Quare per omnia nobis confirmata eſt oratio, licet non artificioſè per figuras artis differendi conſtructa eſt: demonſtrans quod Deus rerum eſt opifex & conditor, non verborum nudorum: non enim illius gratia, ſed noſtri cauſa rebus ſunt impoſita nomina. Quoniam enim non ſemper poſſumus omnia quæ ſunt, præ oculis habere, ſemper quidem eorum quæ adſunt aliquid cognoſcimus, alia verò in memoria inſcribimus. Alioquin memoria inconfuſa aliter conſeruari non poſſet, niſi nominum ſignificatio res quæ in mente conſignatæ ſunt, à ſe inuicem diſtingueret

A περὶ τὴν περίγειον χώραν τοῦ φωτὸς πρὸς τὸ σκότος ἐμμέτρων διαδοχὴν, ἡμέραν καὶ νύκτα προσεῖπεν. ὥστε οὐχὶ ἐπίκλητον τὸ φῶς ἡμέρα προσηγορεύθη, ἀλλ᾽ ὥσπερ ἐγένετο φῶς, καὶ οὐχὶ ψιλὴ προσηγορία φωτὸς, οὕτως καὶ ἐγένετο τοῦ χρόνου τὸ μέτρον, ἐπηκολούθησε δὲ τῷ μέτρῳ τὸ ὄνομα, οὐκ ἐν ῥημάτων ψόφῳ παρὰ τοῦ πεποιηκότος γινόμενον, ἀλλ᾽ αὐτῆς τῆς τοῦ πράγματος φύσεως ἐπισπασαμένης τὴν διὰ τῆς φωνῆς σημασίαν. καὶ ὥσπερ εἰ τοῦτο σαφῶς εἴρητο παρὰ τοῦ νομοθέτου, ὅτι πᾶν τὸ
B φαινόμενον καὶ ὀνομαζόμενον, οὐκ αὐτοφυές ἐστιν, οὐδὲ ἀποίητον, ἀλλ᾽ ἐκ Θεοῦ τὴν ὑπόστασιν ἔχει, ἀφ᾽ αὐτοῦ ἂν συνεθέμεθα, τὸ πάντα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ μέρη καὶ τὴν ἐνθεωρουμένην τάξιν, καὶ τὴν γνωριστικὴν τῶν ὄντων δύναμιν τὸν Θεὸν πεποιηκέναι· οὕτως καὶ δι᾽ ὧν εἶπε πρὸς ταύτην ἐνάγει ἡμᾶς τὴν διάνοιαν, εἰς τὸ πιστεύειν τὸ μηδὲν τῶν ὄντων ἄναρχον εἶναι. καὶ πρὸς τοῦτο βλέπων, ὁδῷ καὶ τάξει τὰ καθεξῆς διεξέρχεται, τὴν τῶν γεγονότων ἀκολουθίαν ἀπαριθμούμενος. ταῦτα δὲ οὐκ ἦν ἄλλως παραστῆσαι τῷ λό-
C γῳ, μὴ διὰ τῶν γνωριστικῶν ὀνομάτων τὴν σημασίαν ποιούμενον. ἐπεὶ οὖν γέγραπται ὅτι ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, νοητέον, ὅτι ἐποίησεν ὁ Θεὸς ἐκ τοῦ φωτὸς ἡμέραν, ἕτερόν τι ὂν κατὰ τὸν ἴδιον λόγον. οὐ γὰρ ἂν τὸν αὐτὸν ἀποδοίης φωτὸς καὶ ἡμέρας λόγον, ἀλλὰ φῶς μὲν, τὸ ἐκ τοῦ ἐναντίου πρὸς τὸ σκότος νοούμενον· ἡμέραν δὲ, τὸ τοσόνδε τοῦ ἐν τῷ φωτὶ διαστήματος μέτρον. ὡσαύτως καὶ νύκτα καὶ σκότος κατὰ τὴν αὐτὴν τοῦ λόγου διαίρεσιν καταμαθήσῃς· σκότος μὲν τὸ ἐξ ἐναντίου πρὸς τὸ φῶς νοούμενον ὁριζόμενος· νύκτα δὲ τὴν
D τοσήνδε τοῦ σκότους περιγραφὴν ὀνομάζων. οὐκοῦν ἔρρωται διὰ πάντων ἡμῖν ὁ λόγος, εἰ καὶ μὴ τεχνικῶς κατὰ τὰ σχήματα τῆς διαλεκτικῆς συγκρότηται. δεικνὺς ὅτι Θεὸς πραγμάτων ἐστὶ δημιουργὸς, οὐ ῥημάτων ψιλῶν. οὐ γὰρ ἐκείνου χάριν, ἀλλ᾽ ἡμῶν ἕνεκεν ἐπίκειται τοῖς πράγμασι τὰ ὀνόματα. διὰ γὰρ τὸ μὴ πάντοτε δυνατὸν ἡμῖν εἶναι πάντα ἐν ὀφθαλμοῖς ἔχειν τὰ ὄντα, τὸ μέν τι τῶν ἀεὶ παρόντων γινώσκομεν, τὰ δὲ τῇ μνήμῃ ἐναπογραφόμεθα. ἄλλως δὲ οὐκ ἔστιν ἀσύγχυτον φυλαχθῆναι ἡμῖν τὴν μνήμην, μὴ τῆς τῶν ὀνομάτων σημασίας διαστελλούσης ἀπ᾽ ἀλλήλων τὰ ἐναποκείμενα τῇ διανοίᾳ πράγματα.

Θεῷ

Θεῷ δὲ πάντα πάρεστι, καὶ οὐδὲν δεῖ μνήμης αὐτῷ, πάντων τῇ ἐξεταστικῇ δυνάμει περικρατουμένων τε καὶ θεωρουμένων. τίς οὖν ἐπ' αὐτοῦ χρεία ῥήματος ἢ ὀνόματος, αὐτῆς τῆς ἐν αὐτῷ σοφίας τε καὶ δυνάμεως, ἀσύγχυτόν τε καὶ διακεκριμένην τὴν τῶν ὄντων φύσιν περιεχούσης; οὐκοῦν παρὰ Θεοῦ μὲν τὰ ὄντα καὶ ὑφεστῶτα πάντα, τῆς δὲ ἡμετέρας ἕνεκεν ὁδηγίας, ἐπίκειται τοῖς οὖσι τὰ σημαντικὰ τῶν πραγμάτων ὀνόματα. ταῦτα δὲ κατὰ τὸ ἀρέσκον ταῖς τῶν ἀνθρώπων συνηθείαις γίνεσθαί τις εἰπὼν, οὐδὲν εἰς τὸν τῆς προνοίας πλημμελήσει λόγον. οὐ γὰρ τὴν φύσιν τῶν ὄντων γίνεσθαι παρ' ἡμῶν, ἀλλὰ τὰ ὀνόματα λέγομεν. ἄλλως ὀνομάζει τὸν οὐρανὸν ὁ Ἑβραῖος, καὶ ἑτέρως ὁ Χαναναῖος· νοεῖ δὲ ὡσαύτως ἑκάτερος, οὐδὲν τῇ διαφορᾷ τῶν φθόγγων περὶ τὴν κατανόησιν τοῦ ὑποκειμένου διασφαλλόμενος. ἡ δὲ λίαν εὐλαβὴς τῶν σοφῶν τούτων ἐθελοθρησκεία, δι' ὧν εἰ δοθείη παρὰ ἀνθρώπων εἶναι τοῖς πράγμασι τὰς φωνὰς, τὸ ἀρχηγικωτέρους εἶναι τοῦ Θεοῦ τοὺς ἀνθρώπους κατασκευάζει, ἐλέγχεται ματαία τις οὖσα καὶ ἀνυπόστατος, καὶ δι' αὐτοῦ τοῦ κατὰ τὸν Μωϋσέα μνημονευθέντος ἡμῖν ὑποδείγματος. αὐτῷ γὰρ τῷ Μωϋσῇ τίς ἔθετο τὴν προσηγορίαν; οὐχ ἡ θυγάτηρ τοῦ Φαραὼ ἐκ τοῦ συμβαίνοντος ἐπονομάσασα; Μωϋσῆς γὰρ τὸ ὕδωρ λέγεται τῇ τῶν Αἰγυπτίων φωνῇ. ἐπεὶ οὖν κατὰ τὸ πρόσταγμα τοῦ τυράννου, κιβωτῷ τὸ βρέφος ἐνθέντες οἱ γεννησάμενοι τοῖς ῥείθροις ἐξέδοντο. οὕτω γάρ τινες τῶν ἱστορικῶν τὰ κατ' αὐτὸν διηγήσαντο. ἡ δὲ κατὰ θεῖον βούλημα ὑπὸ τῆς δίνης τῶν κυμάτων ἐγκυμανθεῖσα προσηνέχθη τῇ ὄχθῃ, καὶ εὕρημα τῆς βασιλίδος κατ' ἐκεῖνο τοῦ λουτροῦ τὸ σῶμα φαιδρυνομένης ἐγένετο, ὡς ἐξ ὕδατος αὐτῇ τοῦ παιδὸς κτηθέντος, μνημόσυνον τῆς συντυχίας λέγεται τῷ παιδὶ θεῖναι τὸ ὄνομα, ᾧ καὶ αὐτὸς ὁ Θεὸς ἐπὶ τοῦ θεράποντος χρήσασθαι οὐκ ἀπηξίωσεν, οὐδὲ ἀνάξιον ἔκρινε τὴν τῆς βαρβάρου κλῆσιν ἐπὶ τοῦ προφήτου κυρίαν ἐᾶσαι· οὕτως πρὸ τούτου ὁ Ἰακὼβ, τῆς τοῦ συζύγου πτέρνης ἐπειλημμένος, πτερνιστὴς ἐκ τοῦ σχήματος ᾧ συναπεκυήθη, προσηγορεύθη. εἰς τοῦτο γὰρ φέρειν τὴν τοῦ Ἰακὼβ ἑρμηνείαν εἰς Ἑλλάδα φωνὴν μεταληφθεῖσαν οἱ τὰ τοιαῦτα πεπονηκότες διδάσκουσι· καὶ τὸν Φαρὲς ἡ μαῖα πάλιν ἐκ τοῦ περὶ τὸν τόκον συμβαίνοντος ὠνόμασε.

A Deo autē adſunt omnia, neque ei opus eſt memoria, cùm eius perſpicace potētia omnia contineantur, & cernantur. Quis igitur in eo verbi vel nominis vſus, cùm ipſa quæ in eo eſt ſapientia & potentia inconfuſam & diſtinctam eorum quæ ſunt naturam contineat? Quamobrem à Deo quidem ſunt ea quæ ſunt, queque ſubſiſtunt omnia: ſed noſtræ deductionis cauſa his quæ ſunt ſignificatiua rerum imponuntur nomina. Hæc autem vt hominū vſui & conſuetudini placet, ſi quis dixerit fieri, nihil in prouidentiæ rationem peccauerit. B Non enim eorum quæ ſunt naturam, ſed nomina fieri à nobis aſſerimus. aliter Hebræus cœlum nominat, aliter Chananæus; ſed eodem modo intelligit vterque, nihil propter ſonorum differentiam, in ſubiecti cognitione aberrans. Sed horum ſapientum nimium cauta & timida ſuperſtitio, per ea quæ aſſerit, quòd ſi datum fuerit ab hominibus inditas eſſe rebus voces, homines Deo principaliores eſſe, vana eſſe redarguitur, & quæ ſubſiſtere nequit, ac per ipſum Moſis exemplum quod nobis in ſcriptura commemoratur. *Exod. 2.* C Quis enim ipſi Moſi indidit nomen? nónne filia Pharaonis, quæ ex euentu nominauit? Moſes enim Ægyptiorum lingua dicitur aqua, quoniam igitur ſecundum tyranni edictum in capſa ſiue ciſta impoſitum infantem parentes fluentis dederant: (ſic enim quidam hiſtoricorum de ipſo narrauerunt) hæc verò ciſta diuina voluntate vndarum vortice fluctuans, ripæ admota eſt, & à filia Regis inuenta, quæ tunc in illo flumine corpus abluebat; & quòd *Ibid.* ex aqua puer ipſi acquiſitus eſſet, monumētum fortuiti euentus puero dicitur impoſuiſſe nomen: D quo etiam Deus ipſe in ſuo famulo vti non dedignatus eſt, neque indignum iudicauit barbaræ vocationem in propheta propriam ſinere. Sic ante hunc Iacob fratris planta manu apprehenſa, ſupplantator ex figura qua editus eſt in lucem, appellatus eſt. Ad hoc enim ferre nominis Iacob interpretationem in Græcam vocem *Gen. 25.* tranſſumptam illi qui talia nouerunt docent: & Phares obſtetrix rurſus ex euentu qui accidit in partu nominauit.

Et nullus ideo ſecundum Eunomium, ſibi principatum Dei poteſtate antiquiorẽ ambitioſè voluit arrogare. Sed & patriarchis matres nomina imponũt; Ruben, Simeon, Leui, & reliquis omnibus deinceps ſimiliter. Et nullus ſecundum hunc nugatorem in illis temporibus diuinæ prouidentiæ ſollicitus curator extitit, qui prohiberet ne per hanc nominum impoſitionem mulierculæ Deo principaliores fierent. Quis autem ſingula quæ ex ſacra ſcriptura depromi poſſunt, valeat recenſere? aquam contradictionis, & locum luctus, & collem præputiorũ, & vallem racemi, & agrum ſanguinis, & omnia huiuſmodi nomina, quæ quidem ab hominibus impoſita, ſæpe etiam ex perſona Dei commemorantur, per quæ licet diſcere, quod neque ſupra humanam dignitatem eſt ea quæ fit de rebus per verba declaratio, neque per hæc diuinæ naturæ potentia plus autoritatis habet. Sed alias quidem nugas quas contra veritatem nugatus eſt delirus, vt nullum contra dogmata robur habentes, ſilentio præteribo, ſuperuacuum eſſe iudicans, in vanis diutius immorari. Quis enim ita demens & melioribus curis vacuus, vt operam & ſtudium in ſermonibus amentibus & inſanis perdere velit, & altercari aduerſus eos qui aſſerũt nos affirmare, quòd hominum cura Dei ſollicitudine & cura principalior eſt, & potiorem autoritatem habet, & quod negligentiam quæ ſolutiores animos diſturbat, ad illius transferimus prouidentiam. Hæc ad verbum vox calumniantis nos protulit. Ego autem æquale arbitror in talibus ſtudium & operam ponere, ac anicularum ſomniis occupari. Nam in forma ſonorum quorumdam putare diuinæ naturæ principatus & dominationis maieſtatem conſeruare, & magnam Dei potentiam in hoc eſſe poſitam demonſtrare, rurſúſque nos Deum negligere ac pro nihilo habere, ipſi conuenientem prouidentiam, itémque calumniari, quod ratiocinãdi facultatem à Deo homines adepti, exinde pro arbitrio ſermonibus ad rerum declarationem vſi ſunt; quid aliud hoc eſt niſi anilis fabula vel ebrioſorum ſomnium? Vera enim Dei virtus & poteſtas, & principatus & dominatio ſecundũ noſtrum ſermonem non in ſyllabis eſſe habet,

Geneſ. 38.

A καὶ οὐδεὶς κατὰ Εὐνόμιον, ὡς ἀρχηγικωτέραν αὐτὴν τῆς τοῦ Θεοῦ ἐξουσίας ἐζηλοτύπησεν. ἀλλὰ καὶ τοῖς πατριάρχαις αἱ μητέρες τὰ ὀνόματα τίθενται, Ῥουβίμ, Συμεὼν, καὶ Λευὶ, καὶ τοῖς καθεξῆς πᾶσιν ὁμοίως. καὶ οὐδεὶς κατὰ τὸν πολυλογογράφον ἐν τοῖς τότε χρόνοις τῆς θείας προνοίας κηδεμὼν ἀνεφάνη, ὥστε κωλῦσαι διὰ τῆς τῶν ὀνομάτων θέσεως, ἀρχηγικωτέρα τοῦ Θεοῦ γενέσθαι τὰ γύναια. τὸ δ᾽ αὖ τίς τὰ καθ᾽ ἕκαστον ἐκ τῆς ἱστορίας λέγοι, ὕδωρ ἀντιλογίας, καὶ τόπον πένθους, καὶ βουνὸν ἀκροβυστιῶν, καὶ φάραγγα βότρυος, καὶ ἀγρὸν αἵματος, καὶ τὰ τοιαῦτα B πάντα τῶν ὀνομάτων, τεθέντα μὲν παρὰ τῶν ἀνθρώπων, μνημονευόμενα δὲ πολλάκις καὶ ἐκ προσώπου τοῦ Θεοῦ. δι᾽ ὧν ἔστι μαθεῖν, ὡς οὔτε ὑπὲρ τὴν ἀνθρωπίνην ἀξίαν ἐστὶν ἡ διὰ ῥημάτων γινομένη κατὰ τῶν πραγμάτων σημείωσις, οὔτε ἡ τῆς θείας φύσεως δύναμις διὰ τούτων τὴν μαρτυρίαν ἔχει. ἀλλὰ τὰς μὲν ἄλλους φλυαρίας, ἃς κατὰ τῆς ἀληθείας ἐλήρησεν, ὡς οὐδεμίαν ἔχοντας κατὰ τῶν δογμάτων ἰσχὺν, ὑπερβησόμεθα, περιττὸν εἶναι κρίνων ἐμφιλοχωρεῖν τοῖς ματαίοις. τίς γὰρ οὕτως ἄφρων, τίς τῶν σπουδαιοτέρων C φροντίδων ἄγευστος, ὥστε τοῖς ἀνοήτοις τῶν λόγων προσαναλίσκειν τὴν σπουδὴν, καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας, ὅτι ἀρχηγικωτέραν μὲν καὶ κυριωτέραν ἀποφαινόμεθα τὴν τῶν ἀνθρώπων φροντίδα, τῆς τοῦ Θεοῦ κηδεμονίας· τὴν δὲ τοὺς ἀμελεστέρους ἐνοχλοῦσαν ὀλιγωρίαν, εἰς τὴν ἐκείνου μεταφέρομεν πρόνοιαν. ταῦτα ἐπὶ λέξεως ἡ τοῦ διαβάλλοντος ἡμᾶς ἔχει φωνή. ἐγὼ δὲ ἴσον ἡγοῦμαι περί τι τὰ τοιαῦτα σπουδάζειν, καὶ γραϊδίων ὀνείροις ἀπασχολεῖσθαι. τὸ γὰρ ἐν τύπῳ φθόγγων τινῶν οἴεσθαι τῇ θείᾳ φύσει τὸ τῆς D ἀρχῆς καὶ κυριότητος ἀξίωμα διαφυλάσσειν, καὶ τὴν μεγάλην τοῦ Θεοῦ δύναμιν ἐν τούτῳ δεικνύειν, αἰτιᾶσθαί τε πάλιν τὸν Θεὸν καὶ ὀλιγωρεῖν τῆς προσηκούσης αὐτῷ προνοίας, ἡμᾶς τε διαβάλλειν, ὅτι τὴν λογικὴν δύναμιν παρὰ τοῦ Θεοῦ λαβόντες οἱ ἄνθρωποι, ἔπειτα κατ᾽ ἐξουσίαν ταῖς λέξεσι πρὸς τὴν τῶν πραγμάτων δήλωσιν κέχρηνται. τί ἄλλο ἢ οὐχὶ γραώδης μῦθος, ἢ κραιπαλώντων ὄνειρος τὸ τοιοῦτόν ἐστιν; ἡ γὰρ ἀληθὴς τοῦ Θεοῦ δύναμίς τε καὶ ἐξουσία, καὶ ἀρχὴ καὶ κυριότης κατά γε τὸν ἡμέτερον λόγον, οὐκ ἐν συλλαβαῖς τὸ εἶναι ἔχει.

ἢ οὕτως ἂν εἰς ὁμότιμον ἔλθοι τῷ Θεῷ πᾶς ὁστισοῦν εὑρετὴς ῥημάτων γινόμενος· ἀλλ' αἰῶνες ἄπειροι, καὶ κόσμου κάλλη, καὶ φωστήρων αὐγαί, καὶ τὰ ἐπὶ γῆς καὶ θαλάττης θαύματα, ἀγγέλων τε στρατιαί, καὶ ὑπερκόσμιοι δυνάμεις, καὶ εἴ τι ἄλλο κατὰ τὴν ἄνω λῆξιν παρὰ τῆς γραφῆς ἐστι δι' αἰνιγμάτων ἀκούομεν· ταῦτά ἐστι τὰ μαρτυροῦντα τῷ Θεῷ τὴν ὑπὲρ πάντα δύναμιν. Φωνῆς δὲ ἤχους τοῖς πεφυκόσι φθέγγεσθαι μαρτυρεῖν τις, οὐδὲν εἰς τὸν δεδωκότα τὴν φωνὴν ἀσεβήσει. οὐδὲ γὰρ μέγα τι τοῦτο οἰόμεθα, τὸ σημαντικὰς τῶν πραγμάτων ἐξευρίσκειν B φωνάς. ᾧ γὰρ ἡ γραφὴ κατὰ τὴν ἱστορικὴν κοσμογένειαν, ἀνθρώπου ὄνομα τῷ καθ' ἡμᾶς ἔθετο πλάσματι, τοῦτον ὁ Ἰὼβ βροτὸν ὀνομάζει· καί τινες τῶν ἔξωθεν φῶτα, καὶ μέροπα ἕτεροι, ἵνα ἐάσω τὰς κατὰ ἔθνος τούτου διαφοράς. ἆρ' οὖν εἰς ἴσον ἄγομεν τῷ Θεῷ καὶ τὰς ἐκείνων τιμάς, ὅτι ἴσον δυναμούσας τῇ τοῦ ἀνθρώπου προσηγορίᾳ κἀκεῖνοι τινὰς ἐξεῦρον φωνάς, δι' ὧν ὁμοίως δηλοῦται τὸ ὑποκείμενον· ἀλλὰ ταύτην μὲν τὴν ματαιολογίαν ἐατέον ἡμῖν, καθὼς προεῖπον, καὶ τὰς ἐφεξῆς λοιδορίας ἐν οὐδενὸς μέρει θετέον. C ἐν αἷς καταψεύδεσθαι τῶν θείων ἡμᾶς λογίων φησί, καὶ κατὰ πᾶσαν ἄδειαν συκοφαντεῖν, τά τε ἄλλα πάντα, καὶ αὐτὸν τὸν Θεόν. μετέλθωμεν δὲ τῷ λόγῳ πρὸς τὰ λειπόμενα. προτίθησι πάλιν τοῦ διδασκάλου ῥῆσιν ἔχουσαν οὕτως, παραπλησίως δὲ καὶ οὐδὲν ἀλλοιότερον τὴν τῆς ἐπινοίας χρῆσιν παρὰ τοῦ θείου δεδιδάγμεθα λόγου. ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, τὴν φύσιν τῆς θεότητος τοῖς ἀνθρώποις παραδηλῶν, ἰδιώμασι τισὶ τοῖς θεωρουμένοις περὶ αὐτὸν ἀποσημαίνει ταύτην. θύραν ἑαυτὸν λέγων καὶ ἄρτον, καὶ ὁδόν, καὶ ἄμπελον, καὶ ποιμένα, καὶ φῶς. D τὰ μὲν οὖν ἐφ' ὕβρει ῥηθέντα καθ' ἡμῶν παρ' αὐτοῦ ἐπὶ τούτοις· οὕτω γὰρ αὐτὸν ἡ διαλεκτικὴ μάχεσθαι τοῖς ἀντιλέγουσιν ἐδίδαξε, παριδεῖν οἶμαι πρέπειν, καὶ μηδὲν πρὸς τὰς μειρακιώδεις ἀνοίας ὑποθορυβεῖσθαι. ἀλλὰ τὸ δριμὺ τοῦτο καὶ ἄφυκτον ῥῆμα κατεξετάσωμεν, ὅπερ εἰς ἀνατροπὴν τοῦ καθ' ἡμᾶς προτείνεται λόγου. τίς, φησί, τῶν ἁγίων ἐστίν, ὃς κατ' ἐπίνοιαν λέγεσθαι τῷ κυρίῳ ταῦτα μαρτυρεῖ τὰ ὀνόματα; τίς δὲ ἀπαγορεύει, πρὸς αὐτὸν εἴποιμ' ἄν, βλάσφημον εἶναι κρίνων τὸ ἐν ἐπινοίᾳ θεωρεῖν τῶν ὀνομάτων τὴν χρῆσιν;

A vel ita certè ad parem honorẽ cum Deo venerit quicumque verborum fuerit inuentor, ſed infinita ſæcula, & mũdi pulchritudo, & luminariũ ſplẽdores, & quæ ſunt in mari & terra miracula, angelorúmq. militiæ, & ſupermundiales virtutes; & ſi quid eſt aliud quod in ſuperna ſede à ſcriptura per ænigmata audimus, hæc ſunt quæ teſtificantur Deo quæ eſt ſupra omnia virtutem. Vocis autem ſonum his qui naturaliter loquuntur, qui attribuit, nihil in eum qui vocem dedit impiè dicet: neque enim magnũ aliquid putamus, nempe ſignificatiuas rerum B voces excogitare. Cui enim ſcriptura ſecundum hiſtoriam mũdi creationem humano huic figmento ἀνθρώπου, hominis nomen indidit, hunc Iob βροτὸν mortalem nominat, & quidam externi φῶτα, quaſi dicas hominem loquentem & alij μέροπα, id eſt, diuerſilinguem, vel diuerſam & articulatã vocem habentem, vt omittã ſecũdum ſingulas gentes huius nominis differentias. Num igitur adæquamus Deo etiam illorum honores, quia æquiualẽtes hominis appellationi etiam illi voces inuenerũt, quibus ſimiliter declaratur ſubiectũ. Sed hæc vani- C loquentia omittẽda eſt nobis, ſicut prædixi, & quæ deinceps ſequũtur cõuitia pro nihilo ſunt reputãda, quibus nos cõtra diuina oracula mẽtiri autumat, atq. omni metu ſublato calumniari, aliaque omnia & ipſum Deũ. Sed ad reliqua pergamus. Proponit rurſus magiſtri verba quæ ita ſe habent. Perſimiliter autẽ & non diuerſiori modo commentationis vſum ex verbo diuino docti ſumus. Dominus noſter Ieſus Chriſtus naturam deitatis hominibus declarans, proprietatibus quibuſdam quæ in ipſo peculiariter ſpectantur, hanc deſignat: oſtium ſeipſum dicens, & panem, & viam, & D vitem, & paſtorem, & lucem. Quæ igitur per contumeliam contra nos ab ipſo ob hæc dicta ſunt (ſic enim ipſum dialectica cõtradicentibus decertare docuit) deſpicere arbitror decere, & nihil ad iuueniles amentias ſubturbari; ſed hoc acre verbũ & ineuitabile examinemus, quod ad euerſionem noſtri ſermonis protendit. Quis ſanctorum, inquit, eſt, qui per commentationem hæc nomina Domino attribui teſtetur? Quis autem prohibet, ad ipſum hercle dixerim, blaſphemum eſſe iudicans in commentatione ſpectare nominum vſum?

D. Baſilius contra Eunomiũ, l. i.

Si enim quia dictum non eſt, id argumentũ eſſe aſſerit, quod ſit prohibitum; etiam quia vetitum non eſt, id ſignum cōceſſum eſſe proculdubio aſſentietur. His nominibus Dominus nominatur, an etiam hæc negabit Eunomius? ſed ſi neget has de Chriſto voces eſſe dictas, ſine pugna vicimus. Quænã enim illuſtrior fiat victoria quàm quæ demonſtret aduerſarium Deo rebellare, quia diuinas Euãgelij voces irritas facit & peruertit? Quod ſi verè confitetur Chriſtum his nominibus appellari, dicat modum quo piè vnigenito accommodantur hæc nomina. Num naturæ eius lapidem eſſe indicem definit? num eſſentiam ipſius per aſciam ſiue ſecurim intellexit? num per oſtium vnigeniti deitatis proprietas ſignificatur? vel per vnumquódque aliorum (ne multam turbam ſermoni inferamus omnia recenſentes nomina) non natura vnigeniti vnumquódq. horum nominum eſt, non deitas, non eſſentiæ proprietas. Verumtamen his nominibus vocatur, & appellatio aliquid proprium in ſe continet. Nihil enim otioſum, nihil quod non ſignificet, in diuinis vocibus pium eſt & ſanctum exiſtimare. Ergo rationem dicat ſi aſpernatur, nempe ſecundũ commẽtationem dici, vnde hæc nomina Chriſto congruũt. Nos quidem dicimus quod cùm multiformiter Dominus humanæ vitæ prouideat, quęque beneficij ſpecies per vnumquodque talium nominum congruenter dignoſcitur, prouidẽtia & operatione quę in ipſo ſpectatur, in nominis formã tranſeunte. Nomen autẽ huiuſmodi dicitur mentis excogitatione ſiue commentatione nominari. Quod ſi hoc aduerſariis nō placet, quomodo cuique videatur, ſic ſe habeat. Sed his quæ dicuntur aduerſatur, qui nominum quę in ſcripturis Deo attribuũtur, rudis eſt & ignarus. Si enim diuinas voces didiciſſet, vtique noſſet quod etiam maledictum & peccatum, & iuuenca œſtro percita, & catulus leonum, & vrſa dubia, & Pardalis, & quæ eiuſmodi ſecundum diuerſas commentationes à ſcriptura Dominus dicitur, per quæ nomina ſancti & præſtãtes viri ſcopũ notionis, in quem directò aſpiciebant, clarè explanãt. Etiã ſi paſſim vſurpata videantur quodãmodo hæc nomina, ſecũdùm promptam & tritam ſignificationem, quæ quidẽ ſingula niſi quis

A εἰ γὰρ τὸ οὐ μὴ εἰρῆσθαι τοῦ κεκωλῦσθαι λέγει
τεκμήριον εἶναι, καὶ τὸ μὴ κεκωλῦσθαι τοῦ συγ-
κεχωρῆσθαι σημεῖον εἶναι πάντως συνθήσεται. ὀ-
νομάζεται τοῖς ὀνόμασι τούτοις ὁ κύριος, ἢ καὶ
περὶ τούτων ἔξαρνος ὁ Εὐνόμιος γίνεται; ἀλλ'
εἰ μὲν ἀρνεῖται τὸ λέγεσθαι ταύτας ἐπὶ Χρι-
στοῦ τὰς φωνὰς, ἀμαχητὶ κεκρατήκαμεν. τίς
γὰρ ἂν περιφανεστέρα γένηται νίκη τοῦ δεῖξαι
φανερῶς θεομαχοῦντα τὸν ἀντικείμενον, διὰ
τοῦ τὰς θείας τοῦ εὐαγγελίου φωνὰς παραγρά-
φεσθαι; εἰ δὲ ἀληθῶς ὁμολογεῖ ταῦτα τὸν Χρι-
B στὸν ὀνομάζεσθαι, λεγέτω τὸν τρόπον καθ' ὃν εὐ-
σεβῶς ἐφαρμόζεται τῷ μονογενεῖ Θεῷ τὰ ὀνό-
ματα· μὴ τῆς φύσεως αὐτοῦ τὸν λίθον ἐνδεικτι-
κὸν ὁρίζεται; μὴ τὴν οὐσίαν αὐτοῦ διὰ τῆς
ἀξίνης ἐνόησεν, μὴ διὰ τῆς θύρας ἢ τῆς θεό-
τητος τοῦ μονογενοῦς ἰδιότης σημαίνεται; ἢ δι'
ἑκάστου τῶν ἄλλων, ἵνα τὸ μὴ πολὺν ἐπάγωμεν
ὄχλον τῷ λόγῳ πάντα καταλέγοντες τὰ ὀνό-
ματα; οὐ φύσις τοῦ μονογενοῦς ἕκαστον τούτων
τῶν ὀνομάτων ἐστὶν, οὐ θεότης, οὐκ οὐσίας ἰδίωμα.
ἀλλὰ μὴν ὀνομάζεται ταῦτα, καὶ ἡ κλῆσις τὸ
C κύριον ἔχει. οὐδὲν γὰρ ἀργὸν καὶ ἀσήμαντον ἐν
ταῖς θείαις φωναῖς εὐαγές ἐστιν οἴεσθαι. οὐκοῦν
εἰπάτω τὸν λόγον εἰ ἀθετεῖ τὸ κατ' ἐπίνοιαν λέ-
γεσθαι, πόθεν ἐφαρμόζεται ταῦτα τῷ Χριστῷ
τὰ ὀνόματα. ἡμεῖς μὲν γὰρ τοῦτο φαμὲν, ὅτι
πολυειδῶς τοῦ κυρίου τῆς ἀνθρωπίνης προνοοῦν-
τος ζωῆς ἕκαστον εὐεργεσίας εἶδος δι' ἑκάστου τῶν
τοιούτων ὀνομάτων καταλλήλως γνωρίζεται,
τῆς θεωρουμένης αὐτῷ προνοίας καὶ ἐνεργείας
εἰς ὀνόματος τύπον μεταβαινούσης. τὸ δὲ τοιοῦ-
τον ὄνομα παρ' ἡμῶν ἐπινοίᾳ λέγεται ὀνομά-
D ζεσθαι. εἰ δὲ μὴ τοῦτο φίλον τοῖς ἀντιλέγουσιν,
ὅπως αὐτοῖς δοκῇ, ἐχέτω. ἀλλ' ἀντιλέγει τοῖς
λεγομένοις ὁ τῶν γραφικῶν ὀνομάτων ἀνήκοος. εἰ
γὰρ πεπαίδευτο τὰς θείας φωνὰς, ἔγνω πάντως
ἂν ὅτι καὶ κατάρα καὶ ἁμαρτία, καὶ παροιστρῶσα
δάμαλις, καὶ σκύμνος λεόντων, καὶ ἄρκτος ἀπο-
ρουμένη, καὶ πάρδαλις, καὶ τὰ τοιαῦτα κατὰ δια-
φόρους ἐπινοίας παρὰ τῆς γραφῆς ὁ κύριος λέγεται.
τῶν ἁγίων τε καὶ διαφόρων ἀνδρῶν τὸν σκοπὸν τοῦ
νοήματος, πρὸς ὃν ἀφεώρων, εὐθυβόλως τοῖς ὀνό-
μασι τούτοις διαπεραινόντων. εἰ δὲ καὶ διαβεβλῆ-
σθαι ταῦτα δοκεῖ πως κατὰ τὴν παράχρησιν ἔνδει-
ξιν τὰ ὀνόματα, ἅπερ ἕκαστον εἰ μὴ κατά τινα τίς

ἐπινοίας εὐαγῶς ἐπιλέγεσθαι τῷ Θεῷ συγχωρήσειεν, οὐ καθαρεύσει τῆς ἀσεβεστέρας ὑπονοίας ἡ λέξις. καὶ μακρὸν ἂν εἴη περὶ πάντων παραστῆσαί τε καὶ ἀπογυμνῶσαι τὴν διάνοιαν, πῶς ταῦτα καὶ διαβέβληται κατὰ τὴν κοινὴν ὑπόληψιν ἐκ τῆς προχείρου ἐμφάσεως· καὶ ὁ τῆς ἐπινοίας λόγος, οἰκειοῖ τῇ εὐσεβείᾳ τοῦ Θεοῦ τὰ ὀνόματα. ἀλλὰ πρὸς τὸ συνεχὲς τῆς ἀκολουθίας προελευσόμεθα· πάλιν ἐπαναλαβόντες τὸν λόγον, λέγεται τὰ τοιαῦτα τῶν ὀνομάτων ἐπὶ τοῦ κυρίου, καὶ οὐκ ἄν τις ἀντείποι τῶν καθωμιληκότων ταῖς θεοπνεύστοις γραφαῖς ταῦτα μὲν λέγεσθαι. τί οὖν ἄρα αὐτῆς τῆς φύσεως σημαντικὰς φωνὰς διορίζεται; οὐκοῦν πολυειδῆ τινα, φησί, τὴν θείαν φύσιν, καὶ πολυσχήμονα κατὰ τὰς διαφορὰς τῶν ἐν τοῖς ὀνόμασι σημαινομένων, τὸ ποικίλον ἐνδεικνυμένην. οὐ γὰρ ἡ αὐτὴ τοῦ ἄρτου καὶ τοῦ λέοντος σημασία, οὐδὲ θύρας τε καὶ δαμάλεως, οὐδὲ ἀξίνης καὶ ὕδατος. ἀλλ' ἑκάστου τῶν ὀνομάτων ἴδιον ἐστὶν ὁρισμὸν ἀποδοῦναι, κατ' οὐδὲν ἐπικοινωνοῦντα τοῖς ἄλλοις. οὐκοῦν φύσιν μὲν οὐ σημαίνουσιν· ἄκυρον δέ τις καὶ ἀσήμαντον εἰπεῖν τὴν κλῆσιν τῶν ὀνομάτων, οὐκ ἂν τολμήσειε. εἰ τοίνυν λέγεται μὲν, οὐ κατὰ φύσιν δέ· πᾶν δὲ τὸ παρὰ τῆς γραφῆς λεγόμενον κύριον πάντως ἐστὶ καὶ προσφυῶς ἐπιλέγεται. τίς ἕτερος ὑπολείπεται λόγος τοῦ ἁρμοζόντως τῷ μονογενεῖ Θεῷ τὰς τοιαύτας τετάχθαι φωνὰς, πλὴν τοῦ κατ' ἐπίνοιαν τρόπου. δῆλον γὰρ ὅτι πρὸς τὸ ποικίλον τῶν ἐνεργειῶν κατὰ διαφόρους σημασίας ὀνοματοποιεῖται τὸ θεῖον, ὅπως ἂν νοήσωμεν οὕτως ὀνομαζόμενον. τί οὖν λυμαίνεται τοῖς εὐσεβεστέροις ἡ τοῦ νοῦ ἡμῶν πρὸς τὴν κατανόησιν τῶν γινομένων ἐνέργεια, ἣν ἡμεῖς μὲν ἐπίνοιαν λέγομεν, εἰ δέ τις ἕτερόν τι καλεῖν ἐθέλει, οὐ διοισόμεθα. ἀλλ' οὐ μεθίησι, καθάπερ οἱ δεινοὶ τῶν ἀγωνιστῶν, τὴν ἄφυκτον ταύτην καθ' ἡμῶν λαβὴν, καί φησιν, οὕτως κατὰ λέξιν, ὅτι ταῦτα δι' ἐπινοίας ἀνθρωπίνης ἐστὶ τὰ ὀνόματα, καὶ κατ' ἐπίνοιαν λέγεται τινῶν, ἃ οὐδεὶς ἀποστόλων οὔτε τῶν εὐαγγελιστῶν ἐδίδαξε. καὶ μετὰ τὴν ἄμαχον ταύτην ἐπιχείρησιν, ἐπιφέρει τὴν ἱερὰν ἐκείνην φωνὴν, τῇ πεπαιδευμένῃ τὰ τοιαῦτα φωνῇ τὴν δυσώδη πάλιν καθ' ἡμῶν λοιδορίαν ἐκπτύων. τὸ γάρ τοι φησί, τὴν ἐξ ἀναλογίας ὁμωνυμίαν

A per commentationem in Deo piè dici conceſſerit, non pura erit dictio ab impia ſuſpicione. Ac prolixum quidem eſſet omnium repræſentare & denudare ſiue aperire ſenſum, quomodo hæc etiam vulgo vſurpata ſunt ſecundum communem exiſtimationem ex prompta ſignificatione. Quinetiam ratio commentationis pietati Dei nomina conciliat. Sed ad ea quæ deinceps ſequuntur, progredimur. Rurſus repetito ſermone, eiuſmodi nomina in Domino dicuntur, nec eorum quiſquam B qui in diuinitùs inſpiratis ſcripturis verſatus fuerit, inficias ibit, hæc dici. Quid igitur, num ipſius naturæ ſignificatiuas voces definiunt? Ergo, inquit, multiformem quamdam diuinam naturam, multiplicémque ſecundum differentias ſignificatorum quæ ſunt in his nominibus quod varium eſt demonſtrantem. Non enim eadem panis & leonis ſignificātia, neq. oſtij & vitulæ, neque aſciæ & aquę, ſed cuiuſq. nominis propria definitio reddenda eſt, quæ nulla in re aliis conuenire poſſit. Ergo naturam quidem non ſignificāt, impropriam autem C & nihil ſignificantē nominum appellationem dicere non auſus fuerit. Si itaq. dicuntur quidem, non autem ſecundum naturam; quicquid autem à ſcriptura dicitur, propriū eſt omnino & naturæ conuenienter dicitur. Quęnam igitur alia relinquitur ratio cur eiuſmodi voces Deo vnigenito cōgruenter attributæ ſint, præter modum qui dicitur ſecundum cōmentationem. Perſpicuum enim eſt quod pro varietate operationū ſecundū differentes ſignificantias Deus nominatur, vt intelligamus eum ſic nominatum. quid igitur piis mentibus no- D cet noſtri intellectus operatio ad cognitionē eorum quæ ſunt, quā nos quidem ἐπίνοιαν dicimus, id eſt commentationem. Quod ſi quis aliter velit vocare, nō refragabimur: ſed nō remittit, quēadmodū vehemēter certatores, ineluctabilem hanc cōtra nō anſam & prahenſionē. & dicit ſic ad verbū. [quod hæc per cōmētationē humanā ſunt nomina & per cōmentationē quorūdā dicūtur, quæ nullus Apoſtolorū neque Euangeliſtarum docuit.] Et poſt hanc inexpugnabilem aggreſſionē, ſacram illam infert vocem, erudita ad hæc voce fœtidum contra nos conuitium exſpuens. Nam, inquit, homonymiam ex aliqua analogiæ

Verba Eunomij.

deſumptam in medium proferre ad ſtabiliendam humanam hanc commentationem, animi opus eſt, mente quidem valida in iudicio ſpoliati: infirma verò intelligentia & deprahenſa quadã conſuetudine Domini ſermones explorantis. Papæ, quænã hæc dialectica demonſtratio? ſiccine artificioſè ei ratio ad ſcopum concluditur? Quiſnam ampliùs probare voluerit ſermonem commentationis, tam graui odore ex ore eius in eos qui aliquid dicere aggrediũtur, profluente? Quin etiam nobis propterea quid dicere aggredientibus abſtinendum eſt ab examinando & diſcutiendo eius ſermone, ne contra nos cloacã conuitij commoueat, vel ne puſilli animi eſſe videatur ad puerilia deliria contraexaſperari. Ergo contumelioſo comitiatori concedẽdum eſt, pro libidini vti ſuo modo. Reſumendus eſt autem illius ſermo, vt etiam illinc veritati feratur auxilium. Analogiæ meminit & ex ea homonymiam, ſiue nominis cõmunionem nouit. Vnde didicit & à quo verba hæc? Moſes non dixit, Prophetas & Apoſtolos his vocibus vtentes non audiuit. Euangeliſtę tales voces ſilentio inuoluũt: neque ex vlla ſcriptura hęc docẽte licet percipere: vnde igitur accidit ei ſic dicere? An nõ inuentũ intelligentiæ eius qui eum protulit, talis eſt ſermo, qui talem quandã notionis ſignificantiam analogiam appellat? Quomodo igitur non intelligit quos oppugnat, his auxiliatoribus ad bellũ vti? bellum autẽ gerit ipſe contra ſermonẽ, qui eſt ſecũdum commẽtationẽ per ſermones qui ſunt commentationis, nõ oportere per cõmentationẽ aliquid dicere, dum adſtruit. Sed nullus, inquit, ſanctorũ hoc docuit. Tu verò in quẽ veterũ referre potes ἀγεννησίας vocẽ, & quod tale nomẽ de Dei eſſentia prædicatur: imò verò ipſum ingenitum eſt eſſentia? an tibi quidẽ licet, in quibus aliquid impiũ cõcludendũ eſt, placẽtes voces innouare & excogitare; ſi autem aliquid ad impietatis euerſionẽ ab alio dicatur, contradicenti hanc poteſtatem auferre, ſæuæ tyrannidis reus deprehenſus fueris, ſi hanc tibi ipſi poteſtatẽ vendices, vt quæ in aliis prohibes hæc facere ſoli tibi licere exiſtimes: & quæ ipſe pro licentia audes, ab his alios arcere. Quaſi per edictũ abrogas hæc per excogitationẽ dici de Chriſto nomina, quia

A προσφέρειν εἰς ἀνθρωπίνην ἐπίνοιαν, ψυχῆς ἔργον τὸν μὲν ἐρρωμένον νοῦν κατὰ δίκην παρῃρημένης· ἀρρώστῳ δὲ διανοίᾳ καὶ πεφωρημένῃ τινὶ συνηθείᾳ τοὺς τοῦ κυρίου λόγους ἐπισκοπούσης. βαβαὶ τῆς διαλεκτικῆς ἀποδείξεως, ὡς τεχνικῶς ὁ λόγος αὐτῷ πρὸς τὸν σκοπὸν συμπεραίνεται; τίς δὲ ἔτι συστήσεται τὸν κατ' ἐπίνοιαν λόγον, τοσαύτης ὀσμῆς ἐκ τοῦ στόματος αὐτοῦ τοῖς ἐπιχειροῦσί τι λέγειν προσχεομένης; ἆρ' οὖν ἀφεκτέον καὶ ἡμῖν διὰ τοῦτο τοῖς ἐπιχειροῦσί τι λέγειν τῆς πρὸς αὐτὸν τοῦ λόγου συνεξετάσεως, ὡς B ἂν μὴ καθ' ἡμῶν τὴν ἀμάραν ταύτην τῆς λοιδορίας ὑποκινήσειεν, ἢ μικροψύχων ἐστὶ τὸ πρὸς τὰς νηπιώδεις παραφροσύνας ἀντιπαροξύνεσθαι. οὐκοῦν συγχωρητέον τῷ ὑβριστῇ κεχρῆσθαι πρὸς τὸ δοκοῦν τῷ τρόπῳ. ἐπαναληπτέον δὲ τὸν ἐκείνου λόγον, ὡς ἂν κἀκεῖθεν γένοιτο συμμαχία πρὸς τὴν ἀλήθειαν. ἀναλογίας ἐμνήσθη, καὶ τὴν ἐκ ταύτης ὁμωνυμίαν ἐνόησε. πόθεν ταῦτα μαθὼν, καὶ παρὰ τίνος τὰ ῥήματα; Μωϋσῆς οὐκ εἶπε, προφητῶν καὶ ἀποστόλων οὐκ ἤκουσεν, εὐαγγελισταὶ τὰς τοιαύτας φωνὰς σεσιγήκασιν. οὐδεμιᾶς ἐστὶ γραφῆς C ταῦτα διδασκούσης μαθεῖν. πόθεν οὖν αὐτῷ τὸ οὕτως εἰπεῖν; ἆρ' οὐχὶ τῆς τοῦ εἰπόντος διανοίας εὕρημα, ὁ τοιοῦτος λόγος ἐστὶν, ὁ τὴν ποιὰν τοῦ νοήματος σημασίαν ἀναλογίαν προσαγορεύων; πῶς οὖν οὐ συνίησιν οἷς πολεμεῖ, τούτοις συμμάχοις πρὸς τὸν πόλεμον χρώμενος; πολεμεῖ δὲ κατ' ἐπίνοιαν λόγῳ αὐτὸς, διὰ τῶν τῆς ἐπινοίας λόγων, τὸ μὴ δεῖν κατ' ἐπίνοιάν τι λέγειν κατασκευάζων. ἀλλ' οὐδεὶς, φησι, τοῦτο τῶν ἁγίων ἐδίδαξεν. σὺ δὲ εἰς τίνα τῶν ἀρχαίων ἀναφέρειν ἔχεις τὴν τῆς ἀγεννησίας φωνὴν, καὶ ὅτι αὐτῆς κατηγορεῖται τὸ ὄνομα τοῦ Θεοῦ τῆς οὐσίας, D μᾶλλον δὲ αὐτὸ ἐστὶ ἀγέννητος ἡ οὐσία; ἢ σοὶ μὲν ἔξεστιν ἐν οἷς δὲ μέλλῃ τι τῶν ἀσεβῶν συμπεραίνεσθαι, καινοτομεῖν τι καὶ προσευρίσκειν τὰς ἀρεσκούσας φωνάς. εἰ δέ τι πρὸς τὴν τῆς ἀσεβείας καθαίρεσιν παρ' ἑτέρου λέγοιτο, περιαιρεῖσθαι τῆς ἐξουσίας τὸν ἀντιλέγοντα; μεγάλης τ' ἂν εἴης τυραννίδος ἐπειλημμένος, ἐπὶ ταύτην σεαυτῷ τὴν ἐξουσίαν κρατυνεῖς· ὡς ἅπερ ἐπὶ τῶν ἄλλων κωλύεις, σοὶ ταῦτα ποιεῖν ἐξεῖναι μόνῳ, καὶ ἅπερ αὐτὸς κατ' ἐξουσίαν τολμᾷς, τούτων ἀπείργειν τοὺς ἄλλους. διὰ προστάγματος ἀθετεῖς τὸ κατ' ἐπίνοιαν λέγεσθαι ταῦτα τῷ Χριστῷ τὰ ὀνόματα,

ὅτι μηδεὶς τῶν ἁγίων τὸ δεῖν οὕτω λέγεσθαι διετάξατο. πῶς οὖν τῇ τοῦ ἀγεννήτου φωνῇ νομοθετεῖς τὴν ῥημάτων ὀρθότητα, τὸ μόνον ἐκεῖνα φθέγγεσθαι ἅπερ ἂν ὁ θεόπνευστος λόγος τῆς γραφῆς ὑφηγήσηται. ἐξαιρετέον οὖν εἴη τῶν συγγραμμάτων σου, τὸ ἀγέννητον ὄνομα, μηδενὸς τῶν ἁγίων τὴν φωνὴν ταύτην νομοθετήσαντος. ἀλλὰ διὰ τὴν ἐγκειμένην τῷ προσρήματι τούτῳ νοῦν προσδέχῃ τὴν λέξιν; καὶ ἡμεῖς ὡσαύτως διὰ τὴν ἐγκειμένην ἔννοιαν, τὴν φωνὴν τῆς ἐπινοίας προσεδεξάμεθα. οὐκοῦν ἢ τὰ δύο τῆς χρήσεως ἐξαιρήσομεν, ἢ οὐθ' ἕτερον· ὅτι δ' ἂν γένηται τούτων, δι' ἑκατέρων νικήσομεν. σιωπηθείσης μὲν γὰρ καθόλου τῆς ἀγεννησίας, πᾶσα συγκατασβεσθήσεται τῶν ἐναντίων ἡ κατὰ τῆς ἀληθείας φωνή, καὶ πρέπουσα τῷ μονογενεῖ Θεῷ δόξα παρὰ πάντων ἐκλάμψει. μηδενὸς ὄντος ὀνόματος τοῦ ἐξ ἀντιδιαιρέσεως τὸ μεγαλεῖον τοῦ κυρίου κατασμικρύνοντος, εἰ δὲ μένοι ἀμφότερα, καὶ οὕτως ἐπικρατήσει μεθ' ἡμῶν ἡ ἀλήθεια εἰς τὴν ἐπίνοιαν ἐκ τῆς οὐσίας μετατεθέντος τοῦ τῆς ἀγεννησίας ὀνόματος. ἀλλ' ἕως οὐκ ἐξαιρεῖ τῶν ἰδίων λόγων τὴν τοῦ ἀγεννήτου φωνήν, νουθετησάτω ἑαυτὸν καθ' ἡμᾶς Φαρισαῖος, μὴ πρότερον πρὸς τὸ ἡμέτερον διαβλέπειν κάρφος, πρὸς τὴν ἐγκειμένην αὐτοῦ δοκὸν ἀποβαλεῖν τῶν ὀμμάτων. ἀλλ' ὁ Θεός φησι, καὶ τοῖς ἀσθενεστάτοις τῶν περὶ γῆν, τιμιωτάτων μεταδέδωκεν ὀνομάτων, μὴ συμμεταδοὺς τῆς τῶν ἀξιωμάτων ἰσομοιρίας· καὶ τοῖς κυριωτάτοις, τῶν εὐτελεστάτων, μὴ συμφερομένης ἀπὸ τῶν ὀνομάτων τῆς φυσικῆς εὐτελείας. ταῦτα κατ' αὐτὴν εἴρηται τὴν λέξιν, οὕτω παρ' αὐτοῦ ὡς παρ' ἡμῶν ἀναγέγραπται. εἰ μὲν τινα κατὰ τὸ βάθος ἐγκεκρυμμένην ἔχει διάνοιαν τὴν ἡμᾶς διαφεύγουσαν, λεγέτωσαν οἱ κατειληφότες τὰ πόρρω τῆς ἡμετέρας ἐπόψεως, οἱ μεμυημένοι παρ' αὐτοῦ τὴν ἐσωτερικήν τε καὶ ἀπόρρητον μύησιν. εἰ δὲ πλέον οὐδὲν τῶν ἐκ τοῦ προχείρου νοουμένων διερμηνεύουσιν, οὐκ οἶδα ποτέρους ἂν τις ἐλεεινοτέρους τῶν ἑτέρων λογίσαιτο, τοὺς τὰ τοιαῦτα λέγοντας, ἢ τοὺς τὰς ἀκοὰς τοῖς τοιούτοις ὑπέχοντας. τοῖς ἀσθενεστάτοις, φησί, τῶν περὶ γῆν, τῶν τιμιωτάτων μεταδέδωκεν ὀνομάτων, μὴ μεταδοὺς τῆς τῶν ἀξιωμάτων ἰσομοιρίας. οὐκοῦν σκοπήσωμεν τὴν τῶν εἰρημένων διάνοιαν. τὰ ἀσθενέστατα, φησί, ψιλῆς ἀξιοῦνται τῆς τῶν

A nullus ſanctorum oportere ſic dici edixerit. Quomodo igitur per ingeniti vocem velut legem promulgas de verborum rectitudine, vt ea ſola proferantur quæ à Deo inſpiratus ſermo ſcripturæ expoſuerit. Ex tuis igitur ſcriptis ingeniti nomen delendum eſt; quia nullus ſanctorum vocem hanc autoritate ſua probauit. Sed propter intellectum qui huic vocabulo ſubeſt, dictionem approbas. Nos ſimili modo propter ſenſum in ea incluſum, vocem hanc ἐπινοίας, id eſt, commentationis admiſimus. Quamobrem vel duo ex vſu credemus, vel neu-B trum horum: quia ſi fiat per vtraque vincemus. Nam ſi penitus dictio ἀγεννησίας, ſilentio obruatur, omnis aduerſariorum contra veritatē vox extincta eſt. Atque vnigenito Deo gloria ab omnibus effulgebit, quia nullum erit nomen ex contraria oppoſitione, quod Domini majeſtatem imminuat. Si ambo maneant, & ſic nobiſcum vincet veritas, ad ἐπίνοιαν, id eſt, commentationem ex eſſentia tranſlato ἀγεννησίας nomine. Sed quamdiu ex ſuis ſcriptis ingeniti vocem non eximit, ſeipsū adhortetur qui nos laceſſit Phariſæus, ne prius ad noſtrā feſtucam per-C ſpiciat, quam trabem ſibi incumbentem & moleſtam ex oculis eijciat. Si Deus, inquit, & infirmiſſimis eorum quæ in terra exiſtunt, pretioſiſſima tribuit nomina, non dignitatum æqualitatem impertitus: & principaliſſimis viliſſima, non tamen ex nominibus collata naturali vilitate. Hæc ad verbum dicta ſunt, ſicut ab ipſis, ſic à nobis deſcripta ſunt. Si aliquā in profundo abſtruſam habet intelligentiā quæ nos fugiat, dicant qui compræhenderunt ea quæ longiùs abſunt à noſtro cōſpectu, qui initiati ſunt & edocti intimam iſtam, & ineffabilem initiationem. Quod ſi nihil amplius his D quę in promptu intelliguntur interpretantur: haud ſcio vtros alteris miſerabiliores reputauerim, an eos qui talia dicūt, an eos qui aures talibus præbent. Infirmiſſimis ait terreſtrium precioſiſſima tribuit nomina, non ſimul dignitatum æqualitatem largitus. Ergo dictorum ſenſum cōſideremus. Infirmiſſima (inquit) digna cenſentur exili honora-

Matth. 7.

bilium appellatione, cùm non ſint naturâ ſicut nominantur. Ac Dei opus hoc eſſe, ait, appellatione honorabiliore naturam deteriorem ementiri, ac rurſus voces minus honorabiles, naturâ præſtantioribus Deum attribuere dicit, natura per appellationem minimè immutata. Vt autem quod dicitur, maximè perſpicuum nobis fiat, in ipſis rebus demõſtrabitur abſurditas. Si quis omni virtutis laude cumulatum, intemperantem dicat: vel è contrario, æquali vitio damnatum, bonum & modeſtum dixerit, vtrum ſanæ mentis homo talis eſſe, vel aliquam veritatis curam habere apud mentis compotes cenſebitur, in contrarium appellationem commutans, ſignificantia nominum non conueniẽte naturæ? Ego equidem non arbitror. Hæc igitur de Deo fieri hic dicit, quæ neque communibus notitiis, neque ſcripturæ teſtimoniis cõgruunt. Nam in conſuetudine noſtræ vitæ ſolorum eſt ebrietate vel phrenetide deſipientium, in nominibus errare; & non ſecundùm ſignificatum in rebus vti vocibus: ſed canem quidem dicere hominem; cani verò contra hominis appellationem accommodare. Tantum autem abeſt vt diuina ſcriptura huic confuſioni aſſentiatur, vt etiã manifeſtè audire liceat prophetam ob hæc dolentem. Eſa. 5. Væ (inquit) qui dicit lucẽ tenebras, & tenebras lucem, & qui ponit amarum dulce, & dulce amarum. Quid igitur ſpectans hanc tantam abſurditatem putat oportere Deo attribuere? dicant qui eius arcanis initiati ſunt, quidnam in terra infirmiſſimum iudicant, quod honorabiliſſimis appellationibus à Deo nobilitatur. Infirmiſſima eorum quæ ſunt ea ſunt animalia, quibus generatio à putredine humidorum conſiſtit. honorabiliſſima verò eorum quæ ſunt, virtus & ſanctitas, & ſi quid Deo carum. An igitur, muſcæ, culices, ranæ & quibus è ſtercore ortus, hæcne ſancti & virtutis appellatione honorata ſunt, ita vt honorabilibus nominibus illuſtrentur, minimè vero æqualem æqualitatem dignitatum participent, quemadmodum ait Eunomius? Sed nondum tale quid audiuimus, quòd ea quæ ſunt infirma magnificentioribus nominibus appellata ſint, vel quod magnum &

A τιμίων προσηγορίας, οὐκ ὄντα τὴν φύσιν ἀφ' ὧν κατονομάζεται. καὶ τοῦτο ἔργον εἶναι λέγει Θεοῦ, τὸ διαψεύδεσθαι τῇ τιμιωτέρᾳ κλήσει τὴν χείρονα φύσιν, καὶ τὸ ἔμπαλιν τὰς ἀτιμοτέρας φωνὰς τοῖς κατὰ φύσιν προέχουσι τὸν Θεὸν ἐφαρμόζειν λέγει, μὴ συμμεταβαλλομένης τῇ κλήσει τῆς φύσεως. ὡς δ' ἂν μάλιστα καταφανὲς ἡμῖν τὸ λεγόμενον γένοιτο, ἐπ' αὐτῶν δειχθήσεται τῶν πραγμάτων ἡ ἀτοπία. εἴ τις τὸν διὰ πάσης ἀρετῆς εὐδόκιμον, ἀκόλαστον λέγοι· ἢ ἀναστρέψας, τὸν ἴσῃ κακίᾳ διαβεβλημένον, ἀγαθὸν εἴποι καὶ κόσμιον· ἆρα σωφρονεῖν ὁ τοιοῦτος, ἢ τινὰ τῆς ἀληθείας ἔχειν B φροντίδα παρὰ τοῖς νοῦν ἔχουσι νομισθήσεται, ἐπηλλαγμένας πρὸς τοὐναντίον τὰς προσηγορίας ποιούμενος μὴ συμμαρτυρούσης τῇ σημασίᾳ τῶν ὀνομάτων τῆς φύσεως; ἐγὼ μὲν οὐκ οἶμαι, ταῦτα τοίνυν περὶ τοῦ Θεοῦ γίνεσθαί φησιν ὅσα, ἃ οὔτε τῆς κοινῆς τὴν ἔννοιαν, οὔτε ταῖς γραφικαῖς μαρτυρίαις συμβαίνει. ἐν μὲν γὰρ τῇ κατὰ τὸν βίον ἡμῶν συνηθείᾳ, μόνων τῶν ἐκ μέθης ἢ φρενίτιδος παραπαιόντων ἐστὶ, τὸ διαπλανᾶσθαι πρὸς τὰ ὀνόματα, καὶ μὴ κατὰ τὸ σημαινόμενον ταῖς ἐπὶ τῶν πραγμάτων κεχρῆσθαι φωναῖς· ἀλλὰ κύνα μὲν C λέγειν, ἂν οὕτως ἔχῃ, τὸν ἄνθρωπον· κυνὶ δὲ πάλιν ἐφαρμόζειν ἀνθρώπου προσηγορίαν. ἡ δὲ θεία γραφὴ τοσοῦτον ἀπέχει τοῦ τῇ συγχύσει ταύτῃ συντίθεσθαι, ὥστε καὶ φανερῶς ἐστι τῆς προφητείας ἐπὶ τούτοις σχετλιαζούσης ἀκούειν. ὁ λέγων, φησι, τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, ὁ τιθεὶς τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. πρὸς τί τοίνυν βλέπων τὴν ἀτοπίαν ταύτην προσμαρτυρεῖν οἴεται δεῖν τῷ ἰδίῳ Θεῷ; εἰπάτωσαν οἱ μυσταγωγηθέντες παρ' αὐτοῦ τὰ ἀπόρρητα. τί τῶν περὶ γῆν ἀσθενέστατον κρίνουσιν, ὃ ταῖς τιμιωτάταις τῶν D ἐπωνυμιῶν παρὰ τοῦ Θεοῦ σεμνύνεται. ἀσθενέστατα τῶν ὄντων τὰ τοιαῦτα τῶν ζώων ἐστὶν, οἷς ἡ γένεσις ἀπὸ σήψεως ὑγρῶν τὴν σύστασιν ἔχει. τιμιώτατα δὲ τῶν ὄντων ἀρετή τε καὶ ἁγιότης, καὶ εἴ τι φίλον τῷ Θεῷ. ἆρ' οὖν μυῖαι, καὶ κνῖπες καὶ βάτραχοι, καὶ οἷς ἐκ κόπρου ἡ γένεσις, ταῦτα τῇ τοῦ ἁγίου, καὶ τῇ τῆς ἀρετῆς ἐπωνυμίᾳ τετίμηται, ὥστε σεμνύνεσθαι μὲν τοῖς τιμίοις τῶν ὀνομάτων, μὴ συμμετέχειν δὲ τῆς τῶν ἀξιωμάτων ἰσομοιρίας, καθώς φησιν ὁ Εὐνόμιος, ἀλλ' οὔπω τὸ τοιοῦτον ἠκούσαμεν, ὅτι τὰ ἀσθενῆ ταῦτα ταῖς μεγαλοφυεστέραις τῶν προσηγοριῶν κατωνόμασται, ἢ ὅτι τὸ μέγα τῇ

φύσει καὶ τίμιον, τῇ ἑνὸς τούτων καθυβρίζεται προσηγορίᾳ. δίκαιος ἦν ὁ Νῶε, φησὶν ἡ γραφή, πιστὸς Ἀβραάμ, καὶ πραῢς Μωϋσῆς, καὶ σοφὸς Δανιήλ, καὶ σώφρων ὁ Ἰωσήφ, καὶ ἄμεμπτος Ἰώβ, καὶ μακροθυμίαν κατωρθωκὼς ὁ Δαβίδ. εἰπάτωσαν τοίνυν, εἴ πη τούτων ἕκαστος ἐκ τῶν ἐναντίων τὰς ἐπωνυμίας ἔσχεν, ἢ καὶ ἐπὶ τῶν παρὰ τῆς γραφῆς μαρτυρουμένων ἐπὶ κακίᾳ Νάβαλ ὁ Καρμήλιος, καὶ Φαραὼ ὁ Αἰγύπτιος, καὶ Ἀβιμέλεχ ὁ ἀλλόφυλος, καὶ πάντες οἱ ἐπὶ κακίᾳ μνημονευόμενοι, εἰ ταῖς δεξιωτέραις τῶν ἐπωνυμιῶν παρὰ τῆς θείας φωνῆς ἐτιμήθησαν. οὐκ ἔστι ταῦτα, ἀλλ' ὡς ἔχει φύσις τε καὶ ἀλήθεια, οὕτω τὰ ὄντα παρὰ τοῦ Θεοῦ κρίνεταί τε καὶ λέγεται, οὐκ ἐναντίως τοῖς οὖσιν ὀνομαζόμενα, ἀλλ' ὡς ἂν μάλιστα καταφανῆ γένοιτο τὰ σημαινόμενα ταῖς οἰκείαις προσηγορίαις ἐξαγγελλόμενα. ταῦτα ὁ εὐσθενὴς τὴν διάνοιαν, ὁ τῆς πεφωραμένης συνηθείας κατήγορος, ὁ τοὺς παρῃρημένους ἐν δίκῃ τὸν λογισμὸν διασύρων, ταῦτα γινώσκειν περὶ τῆς θείας ὑποτίθεται φύσεως, ταύτας περὶ Θεοῦ τὰς δόξας ἐκτίθεται· ὡς κατειρωνευομένου τῶν πραγμάτων ταῖς ψευδωνύμοις φωναῖς, καὶ τοῖς ἀσθενεστάτοις τὰς τιμιωτάτας χαριζομένου προσηγορίας, καὶ τὰ τίμια καθυβρίζοντος τῇ πρὸς τὰ φαῦλα τῶν ὄντων ὁμωνυμίᾳ. καὶ ἄνθρωπος μέν τις τῶν πρὸς ἀρετὴν βλεπόντων ἔξω τι τῆς ἀληθείας καὶ ἀκουσίως πολλάκις περιενεχθείς, ὑπ' αἰδοῦς καταδύεται. Θεῷ δὲ πρέπουσαν ἡγεῖται τιμὴν τὸ φαίνεσθαι διαψευδόμενον ταῖς ἐπωνυμίαις τὰ πράγματα. οὐ ταῦτα μαρτυροῦσιν αἱ προφητεῖαι τῇ θείᾳ φύσει. μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινὸς Θεός, φησὶν ὁ Δαβίδ. πῶς οὖν ἀληθινὸς ὁ τῶν πραγμάτων καταψευδόμενος, καὶ ἀπαλλάσσων ἐν ταῖς τῶν ὀνομάτων ἐμφάσεσι τὴν ἀλήθειαν; εὐθὺς κύριος ὁ Θεὸς παρὰ τοῦ αὐτοῦ πάλιν προσαγορεύεται. ἆρ' οὖν εὐθύτητός ἐστι τὸ σεμνύνειν τοῖς τιμιωτάτοις τῶν ὀνομάτων τὰ ἄτιμα, καὶ τὴν ἐπωνυμίαν διδόντα ψιλὴν τῆς ἐμφαινομένης ἀξίας τῷ ῥήματι βασκαίνειν τῷ μετειληφότι τῆς κλήσεως. αὕτη τῶν θεολόγων τούτων ἡ περὶ τοῦ νέου Θεοῦ μαρτυρία· τοῦτο τῆς πολυθρυλλήτου διαλεκτικῆς ἀγχινοίας τὸ πέρας, τὸ δεῖξαι τὸν Θεὸν αὐτῶν καὶ τῇ ἀπάτῃ περιτερπόμενον, καὶ τοῦ κατὰ τὸν φθό-

A honorabile natura, horum vnius appellatione contumelioſa fuerit affectum. Iuſtus erat Noë, inquit ſcriptura, fidelis Abraham, & manſuetus Moſes, & ſapiens Daniel, & temperans Ioſeph, & inculpatus Iob, & qui partes omnes æquanimitatis ſiue manſuetudinis impleuit, Dauid. Dicant igitur, ſi alicubi horum quæque ex contrariis nomina ſortiti ſint? an etiam hi quorum vitium ſcriptura teſtatur, velut Nabal Carmelius, & Pharao Ægyptius, & Abimelech alienigena, atque omnes qui ob vitia commemorati ſunt: an inquam, B fauorabilioribus & fauëtioribus nominibus à diuina voce honeſtati ſunt, non hæc ita eunt, ſed vt ſe habet natura & veritas, ſic res à Deo iudicantur & dicuntur, non vt contrario modo ſe habent nominata, ſed vt quæ ſignificantur manifeſta fiant, propriis ſibi & congruentibus appellationibus enunciantur. Iſte verò qui mente firma præditus eſt, qui vſitatæ conſuetudinis accuſator eſt, qui in iudicio ratiocinatione ſpoliatos conuitiatur, hæc de diuina natura cognoſcere ſupponit, has de Deo opiniones exponit, quaſi C res ipſas falſinominibus vocibus derideat, & infirmiſſimis honorabiliſſimas appellationes largiatur, & honorabilia probro afficiat, rerum vilium nomina ipſis communicans. Fieri quidem poteſt vt homo etiamſi fuerit ex eorum numero qui in veritatem intuentur, extra veritatem plerumque abductus præ pudore abſorbeatur. At iſte Deo decorum honorem exiſtimat videri res appellationibus falſis ementiri. Non hæc diuinæ naturæ oracula tribuunt. Longanimis & multum miſericors & verus Deus, ait Dauid, quo- *Pſal. 85. & 144.*
D modo igitur verus, qui res ementitur, quique nominum ſignificationibus immutat veritatem? Rectus Dominus Deus ab eodem rurſus appellatur. *Pſal. 91.*
Vtrum igitur rectitudinis eſt honorabiliſſimis nominibus honeſtare ignobilia, exilémque nominationem tribuere, & apparentem in verbo dignitatem inuidere ei qui appellationem accepit? Hoc Theologorum iſtorum de nouo Deo teſtimonium: hoc permulgatæ dialecticæ ſolertiæ terminus, demonſtrare Deum ipſorum fraudibus delectari, nec inuidiæ vitio purum eſſe.

Fraudis eſt enim, non vt ſe habet natura & dignitas res infirmas nominare; ſed ex præcellentibus deſumptas appellationes ipſis fruſtra largiri, non cum appellatione rerum quæ nominantur virtute collata: inuidiæ autem vt qui poſſit honorabilius nomen rebus, ſecundùm id quod præſtantius eſt nominatis, gratificari, ipſum gratiam dare pigeat, ac ſi proprium damnum iudicaret infirmiorum fœlicitatem. Sed ego prudentibus conſuluerim, tametſi horum gnoſticorum Deus talis eſſe rationum violentia cogitur, non ſic verum Deum vnigenitum Deum putare, ſed ipſum ad ſubiectorum veritatem cernere, & cuique pro merito tribuere, atque ex rebus cognominare. Venite (inquit) benedicti: &, Ite maledicti: neque eum qui maledictione dignus eſt, benedictionis nomine honorans, neque contra eum qui benedictionem ſibi theſaurizauit, cum ſceleratis abijciens. Sed quid dicta ſcriptori volunt? & ad quem ſcopum ſpectat eius ratio? Ne verò quiſquam hoc ſuſpicetur, quod verborum inopia laborans, vt quam maximè videatur in latitudinem extendere orationem, in quibuſdam ſenſu carentibus deblaterans, garrulitatem extendit. Sed etiam aliquid habet quod etiã dictorum amentiam redolet, & ad hæreſim ſuſpectum eſt. Nam aſſerere nomina honorabiliſſima dici de infirmiſſimis, quamuis æqualem ſecundum dignitatem naturam non habeant, quædam eſt aſtructio latenter blaſphemiæ conſecutionem præparans, vt hoc ab ipſo diſcant qui illius dogmata percipiunt, quoniam etſi Deus vnigenitus nominatur, & ſapientia, & virtus, & lux, & veritas, & iudex, & rex, & in omnibus Deus, & magnus Deus, & princeps pacis, & pater futuri ſæculi, & omnia quæ ſunt iſtiuſmodi, nominetenus ipſi ſolùm eſt honor. Non enim eſt particeps dignitatis quam oſtendit nominum vis. Et quod Babyloniis faciebat ſapiens Daniel, ipſorum circa idola errorem emendans, ne æs vel draconem colerent, nomen Dei, quod à vanis iſtis hominibus de ipſis celebrabatur, reuerentes, & apertè per ea quæ fecit oſtendit, quod excelſum diuinitatis no-

νον πάθοις οὐ καθαρεύοντα. ἀπάτης μὲν γάρ ἐστι, τὸ μὴ ὡς ἔχει φύσεώς τε καὶ ἀξίας τὰ ἀσθενῆ τῶν πραγμάτων κατονομάζειν· ἀλλ' ἐκ τῶν ὑπερεχόντων τὰς ἐπωνυμίας αὐτοῖς μάτην χαρίζεσθαι, μὴ συμμεταδιδόντα τῇ κλήσει τῆς κατονομαζομένης τὴν δύναμιν. φθόνου δὲ τὸ δυνάμενον τὴν τιμιωτέραν λέξιν τοῖς πρὸς τὸ κρεῖττον ὀνομασθεῖσι χαρίζεσθαι ὀκνεῖν τὴν χάριν, οἱονεὶ ζημίας ἰδίας κρίνοντα τὴν τῶν ἀσθενῶν εὐπραγίαν. ἀλλ' ἐγὼ συμβουλεύσαιμ' ἂν τοῖς γε νοῦν ἔχουσι, κἂν ὁ τῶν γνωστικῶν τούτων Θεὸς τοιοῦτος εἶναι ὑπὸ τῆς τῶν λογισμῶν βίας καταναγκάζηται, μὴ οὕτω καὶ τὸν ἀληθινὸν Θεὸν τὸν μονογενῆ Θεὸν οἴεσθαι· ἀλλὰ πρὸς τὴν ἀλήθειαν τῶν ὑποκειμένων ὁρᾶν, καὶ τὸ κατ' ἀξίαν ἑκάστῳ προσμαρτυρεῖν, καὶ ἐκ τῶν πραγμάτων κατονομάζειν. δεῦτε, φησίν, οἱ εὐλογημένοι, καὶ πορεύεσθε οἱ κατηραμένοι, οὔτε τὸν κατάρας ἄξιον τῷ τῆς εὐλογίας τιμήσας ὀνόματι, οὔτε τὸ ἔμπαλιν τὸν τὴν εὐλογίαν ἑαυτῷ θησαυρισάμενον μετὰ τῶν ἐναγίστων ἀποπεμψάμενος. ἀλλὰ τί βούλεται τῷ λογογράφῳ τὰ εἰρημένα, καὶ πρὸς τίνα βλέπει σκοπὸν ὁ λόγος αὐτοῦ; μὴ γὰρ δὴ τοῦτό τις ὑπονοείτω, ὅτι δι' ἀπορίαν ῥημάτων ὡς ἂν μάλιστα δόξειεν εἰς πλάτος ἐκτείνειν τὸν λόγον, ἀδιανοήτοις τισὶν ἐμβατταρίζων, τὴν φλυαρίαν ἐξέτεινεν. ἀλλ' ἔχει τι καὶ τὸ ἀνόητον τῶν εἰρημένων ὡς πρὸς τὴν αἵρεσιν ὕποπτον. τὸ γὰρ εἰπεῖν τὰ τιμιώτατα τῶν ὀνομάτων καὶ τοῖς ἀσθενεστάτοις ἐπιλέγεσθαι, κἂν μὴ ἰσομοιροῦντα τύχῃ κατὰ τὴν φύσιν τοῦ ἀξιώματος, κατασκευή τίς ἐστιν αὐτῷ κατὰ τὸ λεληθὸς τῇ βλασφημίᾳ τὴν ἀκολουθίαν ὑπευτρεπίζουσα. ὡς ἂν τοῦτο παρ' αὐτοῦ μάθοιεν οἱ τὰ ἐκείνου μυθεύοντες, ὅτι κἂν Θεὸς ὁ μονογενὴς ὀνομάζηται, καὶ σοφία, καὶ δύναμις, καὶ φῶς, καὶ ἀλήθεια, καὶ κριτής, καὶ βασιλεύς, καὶ ἐπὶ πάντων Θεός, καὶ μέγας Θεός, καὶ ἄρχων εἰρήνης, καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος, καὶ πάντα τὰ τοιαῦτα, μέχρις ὀνόματος αὐτῷ μόνος ἐστὶν ἡ τιμή. οὐ γὰρ συμμετέχει καὶ τῆς ἀξίας ἣν ἐμφαίνει τῶν ὀνομάτων ἡ δύναμις. καὶ ὅπερ ἐποίει τοῖς Βαβυλωνίοις ὁ σοφὸς Δανιήλ, διορθούμενος αὐτῶν τὴν περὶ τὰ εἴδωλα πλάνην, ὡς ἂν μὴ τὸν χαλκὸν, ἢ τὸν δράκοντα σέβοιεν, τὸ ὄνομα τοῦ Θεοῦ, τὸ παρὰ τῶν ματαίων αὐτοῖς ἐπιπεφημισμένον αἰδούμενοι, καὶ σαφῶς δι' ὧν ἐποίησεν ἔδειξεν, ὅτι οὐ συμβαίνει τὸ

ὑψηλὸν τῆς θεότητος ὄνομα πρὸς τὸ ἑρπετὸν θηρίον, καὶ πρὸς τὸ σχῆμα τὸ χαλκοῦ ἐντετύπωτο. ταῦτα πρὸς τὸ ἐναντίον καὶ ὁ ἐχθρὸς τοῦ Θεοῦ ἐπὶ τοῦ μονογενοῦς Θεοῦ κατασκευάζειν διὰ τῶν δογμάτων φιλονεικεῖ, τοῦτο βοῶν διὰ ταύτης τῆς προκειμένης αὐτοῦ ῥήσεως· ὅτι μὴ πρὸς τὰ ὀνόματα τοῦ κυρίου βλέπετε ὧν μετείληφεν, ὡς ἐκ τούτων τὸ ἄφραστον αὐτοῦ καὶ ὑψηλὸν τῇ ἐννοίᾳ λογίζεσθαι. πολλὰ γὰρ καὶ ἄλλα τῶν ἀσθενεστάτων ταῖς ὑπερεχούσαις ἐπωνυμίαις τετίμηται, ὧν ἡ μὲν κλῆσις τὸ ὑψηλὸν ἔχει, ἡ δὲ φύσις πρὸς τὸ μεγαλεῖον τῆς προσηγορίας οὐκ ἐξισάζεται. διὰ τοῦτο λέγει μέχρις ὀνομάτων ψιλῶν γίνεσθαι παρὰ τοῦ Θεοῦ τοῖς ὑποβεβηκόσι τὴν τῆς τιμῆς μετουσίαν, μὴ συνακολουθούσης τῇ κλήσει τῆς κατὰ τὴν ἀξίαν ἰσότητος. ὥστε πάντα περὶ τοῦ υἱοῦ μαθόντας, ὅσα τῆς ὑψηλῆς ἐστι σημασίας, μέχρις ὀνόματος οἴεσθαι τὴν ἐν ταῖς φωναῖς τιμὴν προσμαρτυρεῖσθαι αὐτῷ· τῆς δὲ κατὰ τὴν ἀξίαν ἰσομοιρίας ἀμέτοχον κατὰ τὴν ἐν τοῖς εἰρημένοις τεχνολογίαν. ἀλλὰ γὰρ ἐνσχολάζων τοῖς ἀνοήτοις, ἔοικά τι κατὰ τὸ λεληθὸς τοῖς ἐναντίοις χαρίζεσθαι. πρὸς γὰρ τὰ μάταια τῶν εἰρημένων ἀντιτιθεὶς τὴν ἀλήθειαν, ἀποκναίειν μοι δοκῶ τοὺς καθομιλοῦντας τῷ λόγῳ πρὸ τῆς τῶν καρτερωτέρων μάχης. ἐν κοινῷ ταῦτα ὅπως ἂν ἔχῃ, τοῖς ἐπιστημονικωτέροις τῶν ἀκροατῶν ἐατέον, ἡμῖν δὲ πρὸς τὰ προκείμενα μετακτέον τὸν λόγον. σιγάσθω δὲ καὶ τὸ προσεχὲς τοῖς ἐξητασμένοις προκείμενον, ὅτι ταῦτα μὲν τὸν τρόπον διατέτακται τὸν εἰπεῖν, οὐ τῆς ἐπινοίας τῶν ἀνθρώπων λαχούσης τὴν ἐξουσίαν τῶν ὀνομάτων. τίς γὰρ τοῦτό φησιν, τὸ μὴ κατ' ἰδίαν ὑπόστασιν θεωρούμενον, ἐν ἐξουσίᾳ πράγματος εἶναι τινός. μόνων γὰρ τῶν οἰκείᾳ τινὶ προαιρέσει διοικουμένων, τὸ κατ' ἐξουσίαν τι πράττειν ἐστίν, ἡ δὲ ἐπίνοια τῆς ἡμετέρας διανοίας ἐστὶν ἐνέργεια, καὶ τῇ τῶν φθεγγομένων ἤρτηται προαιρέσει, οὐ καθ' ἑαυτὴν ὑφεστῶσα, ἀλλ' ἐν τῇ τῶν λεγομένων ὁρμῇ τὴν ὑπόστασιν ἔχουσα. ἀλλ' αὐτά, φησί, ταῦτα πάντα δημιουργήσαντος Θεοῦ, σχέσεώς τε καὶ ἐνεργείας, καὶ ἀναλογίας καὶ νόμοις προσφυῶς ἑκάστῳ τῶν ὀνομαζομένων τὰς προσηγορίας συναρμόζοντος. ταῦτα δὲ, ἢ καθόλου νοῦν οὐκ

A meri in reptilem feram non cadit; & in figuram quã æs efformatum erat. Hæc in contrarium etiam Dei inimicus in vnigenito Deo præſtruere per dogmata magnopere contendit, hoc clamitans per hanc ipſi propoſitam dictionem: ne reſpiciatis ad nomina Domini quorum eſt particeps, ita vt ex his ineffabilem eius & excelſam eſſentiam cogitatione percipere liceat. Multa enim etiam alia quæ ſunt infirmiſſima ſupereminentibus appellationibus honorata ſunt, quorum appel- B latio quidem ſublimitatem in ſe continet, natura autem in dignitatem appellationis non immutatur. Propterea dicit nominibus exilibus tenus à Deo inferioribus creaturis honoris participationem fieri, quamuis æqualitas dignitatis appellationem non ſequatur. Quare licet de filio didicerimus, omnia quæcumque excelſæ ſunt ſignificationis, tamen nomine tenus oportet putare honorem vocibus comprehenſum ipſi aſſignari, æqualitatis verò ſecundum dignitatem expertem eſſe, ſecundum artificium quod in dictis il- C lorum apparet. Sed enim in futilibus & ſententia carentibus immorans videor aliquid clã aduerſariis gratificari. Nam vanis & inanibus dictis veritatem opponens, tędium mihi videor adferre iis qui præſentes adſunt huic diſputationi, antequã ad fortiorum pugnam deueniamus. Hæc igitur quomodocumque ſe habeant, doctioribus auditoribus relinquenda ſunt: nobis autem ad propoſita transferenda eſt oratio. Quinetiam ſilentio prætereamus, quod proximè & coniunctim cum his quæ iam ſunt examinata proponitur, quod hæc quidem D ad hunc modum ordinata ſunt, vt non dicamus commentationem hominum ſortitam eſſe nominũ poteſtatem. Quis enim hoc dicit, vt id quod nõ in propria ſubſtantia conſideratur, rei alicuius habeat poteſtatẽ? Eorum enim eſt ſolum qui propria quadam electione & voluntate regũtur, pro arbitrio aliquid agere: *Ἐπίνοια* autem, id eſt cõmentatio, mẽtis eſt operatio, atq. ex electione ſiue conſilio loquentiũ pendet, non per ſe ſubſiſtẽs, ſed in eorũ quę dicũtur impulſione ſubſiſtentiam habens. Sed (inquit) hæc ipſa omnia Dei ſunt vniuerſorum cõditoris, atq. ipſius relationis & operationis, & proportionis, & qui legibus congruẽter, cuique eorum quæ nominantur, appellationes accommodat. Hæc autem vel omnino ſenſum

non habent; vel his quæ prius ab ipſo expoſita ſunt aduerſantur. Si enim rebus conueniēter aptare nomina Deum modò profitetur, quomodo in ſuperioribus aſſerit, ignobilibus Deum ſublimiora nomina gratificari, non tamen dignitatis quæ in nominum ſignificatione declaratur, ipſos participes facere: & contrà quæ magna ſunt naturâ, ignobilibus vocibus dedecorare, licet cum vilitate verborum natura non immutetur. Verùm fortaſſe eius amentiam iniuria afficimus, hanc verborum compagem talibus accuſationibus inſectātes. Hæc enim omnia ab omni ſenſu ſunt aliena, non ſolum dico à recta in Deum pietate, ſed neque quocumque modo vllius rationis eſſe participia, ab his qui ad amuſſim examinare ſciuerint, inuenientur. Quoniam igitur inſtar pulmonum marinorum, tumorem quemdam habere videntur, tumor autem eſt phlegma ſiue humor quidam ſpumeus, viſu quidem abominabilis, ſed abominabilior, ſi in manus accipiatur, propterea ad hæc vana decentiſſimum ſilentium iudicans, quæ dicta ſunt tacitus prætereibo. Quanam enim lege reguntur [hæc nomina ab eo prolata?] operatio, proportio, & relatio? & quis proportionis & relationis leges & modos Deo imperat? Hoc melius fuerit manere inexcuſſum, quam per ſtudium in his nauſeam audientibus mouere, & à maiore ſtudio dignis ſermonem auocare. Sed vereor ne omnia identidem quæ ex ſcriptione Eunomij ſunt propoſita, nobis ſint quædam phlegmata & marini pulmones. Quare neceſſariò nobis in his quæ dicta ſunt, diſputatio deſinat, vt quæ nullam ex ſcriptis materiam ad operādum inueniat. Vt enim fumus, vel caligo craſſum quidem facit & turbidum reddit aërem: in quo ſi conſtiterit, etiam naturalem viſus operationem impedit: non tamen ita denſatur in ſe, vt qui velit carpat & palmis contineat, & reniti percutienti poſſit. Tale quid etiam de hac graui ſcriptione ſi quis dixerit, à veri coniectura non aberrauerit. Multæ autem in hoc tumido & æſtuante ſermone nugæ ſunt elaboratæ, & ei præſertim qui non eſt animo valde perſpicaci, veluti caligo è longinquo cernenti conſiſtētiam quandam & imaginationem habere videtur. Quod ſi quis ſui compos fiat &

A ἔχει, ἢ ἐναντίως τοῖς προεκτεθεῖσιν ἔχει. εἰ γὰρ προσφυῶς ἁρμόζειν τοῖς ὑποκειμένοις μαρτυρεῖ νῦν τῷ Θεῷ τὰ ὀνόματα, πῶς ἐν τοῖς ἀνωτέροις κατασκευάζει τὸν Θεὸν τοῖς ἀτίμοις τὰ ὑψηλότερα τῶν ὀνομάτων χαρίζεσθαι, μὴ συμμεταδιδόντα τῆς ἐμφαινομένης τῇ σημασίᾳ τῶν ὀνομάτων ἀξίας· καὶ πάλιν τὰ μεγάλα κατὰ τὴν φύσιν καθυβρίζειν ταῖς ἀτίμοις φωναῖς, τῇ ταπεινότητι τῶν ῥημάτων οὐ συμμεταιθεμένης τῆς φύσεως. ἀλλ' ἀδικοῦμεν τάχα τὴν ἀδιανόητον αὐτοῦ ταύτην τῶν ῥημάτων

B συνθήκην, ταῖς τοιαύταις κατηγορίαις ὑπάγοντες. ταῦτα γὰρ καθόλου πάσης ἐστὶ διανοίας ἀλλότρια, οὐ μόνον τῆς ὀρθῆς λέγω τῆς εἰς εὐσέβειαν, ἀλλ' οὐδὲ ὁπωσοῦν μετέχοντα τινὸς λογισμοῦ τοῖς ἐξετάζειν ἀκριβῶς ἐπισταμένοις εὑρίσκεται. ἐπεὶ οὖν καθ' ὁμοιότητα τῶν θαλασσίων πνευμόνων, ὄγκον μέν τινα ὁ φαινόμενος ἔχειν δοκεῖ, ὁ δὲ ὄγκος φλέγμα ἐστί, βδελυκτὸν μὲν ἰδεῖν, βδελυκτότερον δὲ εἰς χεῖρας λαβεῖν. διὰ τοῦτο πρεπωδεστάτην πρὸς τὰ μάταια τὴν σιωπὴν κρίνων παραδραμοῦμαι τὰ εἰρη-

C μένα σιγῇ. τίνι γὰρ διοικεῖται νόμῳ; ἐνέργειά τε καὶ ἀναλογία, καὶ σχέσις; καὶ τίς ὁ νομοθετῶν τῷ Θεῷ τοὺς τῆς ἀναλογίας καὶ σχέσεως νόμους καὶ τρόπους; κρεῖττον ἂν εἴη μένειν ἀνεξέταστον, ἢ διὰ τῆς περὶ ταῦτα σπουδῆς, ναυτίαν τε ποιεῖν τοῖς ἀκούουσι, καὶ ἀπάγειν τῶν σπουδαιοτέρων τὸν λόγον. ἀλλὰ δέδοικα, μὴ πάντα ἡμῖν ἐπίσης τὰ ἐκ τῆς λογογραφίας τοῦ Εὐνομίου προκείμενα, φλέγματά τινα ἢ καὶ θαλάσσιοι πνεύμονες. ὥστε κατ' ἀνάγκην ἡμῖν τὸν λόγον τοῖς εἰρημένοις ἐναπολῆξαι, μηδεμίαν ἐκ τῶν γεγραμμένων

D ὕλην εἰς ἐργασίαν εὑρίσκοντα. ὡς γὰρ τις καπνὸς ἢ ὁμίχλη βαθύνει μὲν καὶ ἀναθολοῖ τὸν ἀέρα· ἐν ᾧπερ ἂν τὴν σύστασιν λάβοι, καὶ πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν κωλύει τὴν ὅρασιν, οὐ μὴν οὕτω καταπυκνοῦται πρὸς ἑαυτήν, ὡς καὶ δράξασθαι τὸν βουλόμενον, καὶ περιέχειν ταῖς παλάμαις, καὶ ἀντιτυπῆσαι τῷ πλήττοντι. τοιοῦτόν τι καὶ περὶ τῆς σεμνῆς ταύτης λογογραφίας εἰπών τις, οὐκ ἂν τῆς ἀληθοῦς εἰκασίας ἁμάρτοι. πολὺς ὁ ὕθλος ἐν οἰδοῦντι καὶ φλεγμαίνοντι λόγῳ πεποιημένος, καὶ τῷ μὴ λίαν διορατικῷ τὴν ψυχήν, ὥσπερ ἀχλὺς τῷ πόρρωθεν βλέποντι, σύστασιν ἔχειν τινὰ καὶ φαντασίαν δοκεῖ. εἰ δέ τις

κατ'

κατ' αὐτὸν ῥέοιτο καὶ τῇ ἐξεταστικῇ διανοίᾳ τῶν εἰρημένων ἐφάπτοιτο, καπνοῦ δίκην διαφεύγει τῆς λαβῆς τὰ νοήματα· καὶ εἰς τὸ μὴ ὂν διασκίδναται, καὶ οὐ δέχεται διά τινος στερρότητος καὶ ἀντιτυπίας τὸν πλήττοντα λόγον. τί οὖν χρὴ ποιεῖν ἄπορον· εὐσυκοφάντητος γὰρ πρὸς ἑκάτερον παρὰ τοῖς φιλαιτίοις ἡ αἵρεσις, εἴτε καθάπερ τινὰ φάραγγα διαπηδήσαντες τὴν κενοφωνίαν, ἐπὶ τὰ πρόχειρα καὶ ἐπίδρομα τὸν λόγον εὐθύνοιμεν τοῖς δοκοῦσί τινα κατὰ τῆς ἀληθείας ἰσχὺν ἔχειν, συστάντες διὰ τῆς ἀντιρρήσεως· εἴ τε καὶ πάσης συμπαρατείνοιμεν τῇ φλυαρίᾳ τὴν πρὸς τὰ μάταια μάχην· οὕτω μὲν γὰρ ἐπαχθὴς ἔσται τοῖς ἀφιλοπόνοις ἡ σπουδὴ καὶ ἀνόνητος, ἐν πολλαῖς ἐπῶν χιλιάσιν ἐπ' οὐδενὶ χρησίμῳ μηκυνομένη. εἰ δὲ τῶν δοκούντων ἔχειν τινὰ κατὰ τῆς ἀληθείας ἰσχὺν μόνων ἀντιλαβοίμεθα, κατηγορίας ἀφορμὴν τοῖς ὑπεναντίοις παρέξομεν, ὡς παρεικότες τινὰ τῶν οὐ δεχομένων ἀντίρρησιν. ἐπεὶ τοίνυν δύο προκειμένων ἡμῖν, τοῦ τε διὰ πάντων τὸν λόγον ἐλθεῖν, καὶ τοῦ τοῖς ἀναγκαιοτέροις μόνοις ἐπιδραμεῖν. τὸ μὲν ἐπαχθὲς τοῖς ἀκούουσι, τὸ δὲ τοῖς βάλλουσιν ὕποπτον, καλῶς ἔχειν φημὶ μέσην τινὰ τραπομένους ἐκφυγεῖν ἑκατέρωθεν ὡς οἷόν τε τὸ ἐπαίτιον. τίς οὖν ἡ μέθοδος; πάντων τῶν κατὰ τὸ μάταιον πεποιημένων αὐτῷ συντεμόντες ὡς οἷόν τε τὸν πολὺν συρφετόν, δι' ὀλίγων ἐπιδραμούμεθα κεφαλαιωδῶς τὰ νοήματα. ὡς μήτε τοῖς ἀνοήτοις ἐμβαθύνειν εἰκῆ, μήτε τι τῶν εἰρημένων καθάπαξ παριδεῖν ἀνεξέταστον. ἅπας τοίνυν ὁ λόγος αὐτῷ ἆθλος ἐστὶ πρὸς ταύτην τὴν σπουδήν, δεῖξαι φιλονεικῶν ἀνθρωπικῶς τὸ θεῖον διαλεγόμενον, καὶ τὰς σημαντικὰς τῶν πραγμάτων φωνὰς αὐτὸν τοῖς οὖσι τὸν τῶν πραγμάτων δημιουργὸν ἐφαρμόζοντα. καὶ διὰ τοῦτο μαχόμενος πρὸς τὸν εἰπόντα τῆς λογικῆς εἶναι φύσεως, ἣν θεόθεν ἐλάβομεν, τὰ τοιαῦτα τῶν ὀνομάτων, καὶ τῆς ἀληθείας διαμαρτάνειν φησί, καὶ τῆς ἰδίας αὐτὸν μὴ κρατεῖν ὑποθέσεως, καὶ ταύτην ἐπαγαγὼν τὴν μέμψιν αὐτῷ, τοιούτοις κέχρηται λογισμοῖς πρὸς ἀπόδειξιν. εἶπε, φησίν, ὁ Βασίλειος, μετὰ τὸ πρῶτον ἐγγενόμενον ἡμῖν περὶ τοῦ πράγματος νόημα, τὴν λεπτοτέραν καὶ ἀκριβεστέραν τοῦ νοηθέντος ἐξέτασιν, ἐπίνοιαν λέγεσθαι.

A diligenti inquiſitione & intelligentia quæ dicta ſunt attingat, fumi inſtar apprehenſionem effugiũt notiones: atque in nihilum diſſipantur: neque vlla ſoliditate & renitentia ferientem recipiunt ſermonem. Quid igitur agendum ſit, dubium & incertum. Eſt enim apud querulos in vtramq. partem calumniæ expoſita optio: ſiue enim veluti per vallem ſalientes iſtam vocum inanitatem ad liberum planúmque campum ſermonem dirigamus, aduerſus ea quæ videntur vim aliquam habere contra veritatem, ſtantes per contradictionem: B ſiue etiam omni garrulitate pugnam ad vana & futilia contendamus: ſic quidem his qui laborem detrectant, ſtudium moleſtum erit & inutile, in multis verſuum millibus nihil profuturum, ſi protrahatur. Quod ſi ea quæ robur aliquod putantur habere contra veritatem, ſola corripuerimus, accuſationis occaſionem aduerſarijs præbebimus, vt prætermiſerimus quædam eorum quæ contradictionem non admittunt. Quoniam igitur duo nobis ſunt propoſita; & vt ad omnia ſermo noſter occurrat, C & vt ſola magis neceſſaria percurrat: illud quidẽ auditoribus moleſtum, hoc vero iaculantibus ſuſpectum. Præclarè actum erit, ſi mediam quandam viam ingreſſi, vtrinque quod crimini eſt obnoxium, quantùm fieri poterit, effugiamus. Quęnam igitur erit methodus? Ex iis omnibus quæ ab ipſo incaſſum elaborata ſunt, amputantes quod fieri poterit, ſordium illuuiem, paucis & ſummatim notiones & ſententias percurremus: ita vt neque in ſenſu carentibus temerè immoremur, neque quicquam dictorũ prorſus neglexiſſe inexcuſſum videamur. Quemadmodum igitur eius D ſermo in eo potiſſimùm verſatur, vt demõſtrare ambitioſè contẽdat humano more Deum diſſerere, & rerum ſignificatiuas voces ipſum rerũ opificem & autorem his quæ ſunt applicare. Ideoque pugnãs cum eo qui dixit rationalis eſſe naturæ, quam à Deo accepimus, talia nomina, cum à veritate aberrare dicit, & ſuum non tenere fundamẽtum: & hanc querelã in ipſum cum adduxit talibus rationib. ad demonſtrationẽ vſus eſt: dixit, ait, Baſili⁹, poſt primã quę de aliqua re nobis ingeneratur notionẽ, quòd ſubtilior & accuratior rei intellectæ indagatio ἐπίνοια ſiue commentatio dicitur.

Et hæc pręſtructione ſermonem arguit, vt putat Eunomius, quod in quibus non eſt prima & ſecunda notio, neque ſubtilior altera, neque accuratior, non haberet (inquit) locum quod per commentationem dicitur: tunc igitur & hoc doloſè abripuiſſe ab his qui non auditu carent deprehēditur. Non enim omnis cōmentationis hanc fecit definitionem doctor noſter, ſed velut ſpeciali quadam eorum quæ per commentationem ſpectantur ſubdiuiſione facta, ne multam orationi turbam induceret, hac parte dilucidiùs explicata, dimiſit mente præditos ex parte totum ratiocinando colligere. Atque vt de pluribus & ſpecie differentibus animal enunciari ſi quis dixerit, non à veritate aberraſſe reprehenſus fuerit, ſi ſpecialiter hominem in exemplum adduxit. Neque quis ipſum, vt à vero deuiantem in viam rectam reduxerit, niſi de volatili & quadrupede & de aquatili ipſam definitionem reddiderit, quam de homine protulerat. Sic multipliciter & variè cum ſpectetur ἐπίνοια, commentatio, non argumentum fuerit illam non eſſe propriè ἐπίνοιαν, quia dixerit etiam aliud quid eſſe. Quare etiam ſi alia quædam ſpecies ἐπινοίας conſiderata fuerit, quæ prius reddita eſt, non falſa fuerit. Si igitur (inquit) Apoſtolorum vel Prophetarum aliquis his vſus in Chriſto nominibus demonſtraretur; mendacium haberet conſolationem. Quantum ex ſuis dictis ſcriptor hic in diuinis ſcripturis verſatus intelligitur! Nullus Prophetarum vel Apoſtolorum dixit, panem, vel lapidem, vel fontem, vel ſecurim, vel lucem, vel paſtorem Dominum. Quid igitur Dauid & de quo dicit, Dominus paſcit me: Et qui paſcis Iſraël intende. Et quid differt paſtorem dicere, vel qui paſcis. Et apud te fons vitæ. Igitur admittit Dominum dictum eſſe fontem. Et lapidem quem reprobauerunt ędificantes. Ioannes autem Domini virtutem vitiorum amputatricem, ſecuris nomine ſignificans, vbi ait, Ecce ſecuris radici arboris admota eſt; non locuples & fide dignus teſtis dictorum videtur? Moſes in luce Deum videns, & Ioannes veram lucem nominans: hoc eodem etiam Paulus in prima Dei apparitione luce circumfuſus, & poſtea lucis voces audiens.

Pſal.22. Pſal.79. Pſal.35. Matth 21. ex Pſ 118. Matth.3. Ioan 1. Act.9. Ioan.6.

A καὶ τῇ τοιαύτῃ κατασκευῇ διελέγχει τὸν λόγον, ὡς οἴεται Εὐνόμιος, ὅτι ἐν οἷς οὐκ ἔστι πρότερον καὶ δεύτερον νόημα, οὔτε λεπτότερον ἕτερον ἑτέρου καὶ ἀκριβέστερον, οὐκ ἂν ἔχοι, φησί, χώραν τὸ κατ' ἐπίνοιαν, τότε μὲν οὖν καὶ τοῦτο δολερῶς ὑφαρπάσας παρὰ τῶν ἐχόντων ἀκοὴν φωραθήσεται. οὐ γὰρ πάσης ἐπινοίας τοῦτον πεποίηται τὸν ὁρισμὸν ὁ διδάσκαλος ἡμῶν, ἀλλ' οἷον ἰδικήν τινα τῶν κατ' ἐπίνοιαν θεωρουμένων ὑποδιαίρεσιν ποιησάμενος, ὡς ἂν μὴ πολὺν ὄχλον ἐπεισαγάγοι τῷ λόγῳ, τὸ μέρος τοῦτο δια- B σαφήσας, ἀφῆκε τοῖς νοῦν ἔχουσιν ἐκ τοῦ μέρους τὸ ὅλον ἐπιλογίζεσθαι. καὶ ὡς κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖσθαι τὸ ζῶον εἰπὼν, οὐκ ἂν ὡς διαμαρτὼν τῆς ἀληθείας διελεγχθείη, ἰδίως τὸν ἄνθρωπον εἰς ὑπογραφὴν ἀγαγών. οὐδ' ἄν τις αὐτὸν ὡς ἀποσφαλέντα τοῦ ὄντος εὐθύνοι ἄν, εἰ μὴ κατὰ πτηνοῦ τε καὶ τετράποδος, καὶ ἐνύδρου τὸν αὐτὸν ἀποδιδοίη λόγον, ὃν ἐπὶ τοῦ κατὰ τὸν ἄνθρωπον ἀπεφήνατο. οὕτω πολυμερῶς καὶ ποικίλως τοῦ κατ' ἐπίνοιαν θεωρουμένου λόγου, οὐκ ἂν ἔλεγχος εἴη τὸ ἐκεῖ- C νο μὴ εἶναι κυρίως ἐπίνοιαν, τῷ καὶ ἕτερον εἶναι εἰπεῖν. ὥστε κἂν ἄλλο τι ἐπινοίας εἶδος θεωρηθῇ, τὸ προαποδοθὲν οὐχ ἡμάρτηται. εἰ μὲν οὖν τίς, φησι, τῶν ἀποστόλων ἢ τῶν προφητῶν τούτοις χρησάμενος ἐπὶ τοῦ Χριστοῦ τοῖς ὀνόμασιν ἀπεδείκνυτο, εἶχεν ἂν παραμυθίαν τὸ ψεῦδος. ὅσον μαρτυρεῖ τῷ λογογράφῳ τὰ εἰρημένα, τὴν ἐν ταῖς γραφαῖς τοῦ Θεοῦ φιλοπονίαν· οὐδεὶς εἶπε τῶν προφητῶν ἢ τῶν ἀποστόλων, ἄρτον ἢ λίθον, ἢ πηγὴν, ἢ ἀξίνην, ἢ φῶς, ἢ ποιμένα τὸν κύριον. τί οὖν ὁ Δαβὶδ, καὶ περὶ τίνος φησὶν, ὅτι D κύριος ποιμαίνει με, καὶ ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες. ἆρα τί διαφέρει ποιμένα εἰπεῖν ἢ ποιμαίνοντα. καὶ παρὰ σοὶ πηγὴ ζωῆς. ἆρα δέχεται τὸ πηγὴν εἰρῆσθαι τὸν κύριον. καὶ λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες. ὁ δὲ Ἰωάννης τὴν ἀναιρετικὴν τῆς κακίας δύναμιν τοῦ κυρίου τῷ τῆς ἀξίνης διασημαίνων ὀνόματι, ἐν οἷς φησὶν, ἤδη ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. οὐκ ἀξιόπιστος τούτῳ μάρτυς τῶν εἰρημένων δοκεῖ; ὁ δὲ Μωϋσῆς ἐν φωτὶ τὸν Θεὸν βλέπων, καὶ Ἰωάννης φῶς ἀληθινὸν ὀνομάζων. τῷ δὲ αὐτῷ τούτῳ καὶ Παῦλος ἐν τῇ πρώτῃ θεοφανείᾳ περιλαμφθεὶς τῷ φωτὶ, καὶ μετὰ ταῦτα παρὰ τοῦ φωτὸς ἀκούσας φωνάς.

ὅτι ἐγώ Ἰησοῦς, ὃν σὺ διώκεις· οὐχ ἱκανὸς ἀξιόπιστος μαρτυρίαν ἐστί; περὶ δὲ τοῦ ἄρτου ἀναγνώτω τὸ εὐαγγέλιον. ὅτι ἡ παρὰ τοῦ Μωϋσέως τροφή, ἡ οὐρανόθεν τῷ Ἰσραὴλ χορηγουμένη, εἰς τὸν τοῦ κυρίου τύπον ὑπ' αὐτοῦ τοῦ κυρίου μετείληπται. οὐ γὰρ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον· ἀλλ' ὁ πατήρ μου δίδωσι τὸν ἄρτον τὸν ἀληθινόν, ἑαυτὸν λέγων, τὸν ἐκ τοῦ οὐρανοῦ καταβαίνοντα, καὶ ζωὴν διδόντα τῷ κόσμῳ. ἀλλ' ὁ γνήσιος ἀκροατὴς τοῦ νόμου, μηδένα φησὶ τῶν προφητῶν ἢ τῶν ἀποστόλων, ταῦτα ἐπιτεθεικέναι τῷ Χριστῷ τὰ ὀνόματα. τί οὖν τὸ ἐφεξῆς, εἰ αὐτὸς ἑαυτὸν τούτοις ὠνόμασε κύριος· ἐπειδή γε τῶν τοῦ σωτῆρος ὀνομάτων, οὐκ ἔστι τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, οὔτε λεπτότερον ἕτερον τοῦ ἑτέρου καὶ ἀκριβέστερον· ὁμοῦ δὲ τὰ πάντα, καὶ μετὰ τῆς ἴσης ἀκριβείας γινώσκοντος, οὐδὲ τούτων οὐδενὶ δυνατὸν συναρμόσαι τὸν περὶ τῆς ἐπινοίας αὐτῷ ῥηθέντα λόγον, πολλὰ ἐπιπλήσας τῷ λόγῳ τῶν ἐκεῖθεν λήρων· ἀλλὰ παραιτοῦμαι τοὺς ἐντυγχάνοντας συγγνώμην ἔχειν, εἰ μηδὲ τὰ πρόδηλα τῶν ματαίων παρορῶμεν ἀκαταμώκητα. οὐχ ὡς ἐμφαιδρυνόμενοι τῇ ἀσχημοσύνῃ τοῦ λογογράφου. τί γὰρ φέρει κέρδος ἡμῖν ἐλεγχομένη τῶν ἐναντίων ἡ ἄνοια; ἀλλ' ὡς ἂν ὁδῷ προΐοι συνιστῶσα δι' ἁπάντων ἑαυτὴν ἡ ἀλήθεια. ἐπειδή, φησιν, ἑαυτῷ ταύτας προσέθηκε τὰς προσηγορίας ὁ κύριος, οὔτε τι πρῶτον ἐννοῶν, οὔτε δεύτερον, οὔτε λεπτότερον ἢ ἀκριβέστερον, οὐκ ἔστιν ἐξ ἐπινοίας εἶναι ταῦτα εἰπεῖν τὰ ὀνόματα. πῶς μέμνηται τοῦ ἰδίου σκοποῦ; πῶς οἶδε τοὺς λόγους καθ' ὧν τὸν πόλεμον ἐνεστήσατο; ἐμνήσθη τινὸς τῶν ἐντρεχόντων τῇ συνηθείᾳ πρὸς τὴν ἑρμηνείαν τῆς ἐπινοίας ὁ καθηγητὴς ὁ ἡμέτερος, καὶ ἐν τοῖς κατωτέροις τῶν ὑποδειγμάτων τὸν νοῦν διασαφήσας, οὕτως προβιβάζει τοῖς ἄνω τὴν θεωρίαν τοῦ λόγου. εἶπε γὰρ ὅτι καθ' ἑαυτὸν ὁ σῖτος ἕν τι πρᾶγμα κατὰ τὴν ὑπόστασιν φαίνεται· πρὸς δὲ τὰς ἐπιθεωρουμένας αὐτῷ ποικίλας ἰδιότητας, ἐξαλλάσσει τὰς κλήσεις, καὶ σπέρμα γινόμενος, καὶ καρπός, καὶ τροφή, καὶ ὅσα γίνεται, τοσαῦτα ὀνομαζόμενος. παραπλησίως δέ, φησι, καὶ ὁ κύριος, ἔστι μὲν καθ' ἑαυτὸν ὅτι ποτὲ κατὰ τὴν φύσιν ἐστί· ταῖς δὲ τῶν ἐνεργειῶν διαφοραῖς συνονομαζόμενος, οὐ μίαν ἐπὶ πάντων ἔχει προσηγορίαν· ἀλλὰ καθ' ἑκάστην ἔννοιαν τὴν ἐξ ἐνεργείας ἐγγινομένην ἡμῖν μεταλαμβάνει τὸ ὄνομα. τί οὖν ὁ λόγος ἡμῶν διὰ

A Ego ſum Ieſus, quem tu perſequeris: non ad teſtimoniũ idoneus eſt? de pane verò legat Euangelium. Quod à Moſe cibus qui de cœlo Iſraëlitis ſuppeditabatur, in Domini figurã ab ipſo Domino tranſſumptus eſt. Non enim Moſes vobis dedit panem: ſed pater meus dat panem verũ, ſeipſum dicẽs, qui de cœlo deſcendit, & qui mũdo dat vitã: ſed ingenuus legis auditor, nullũ dicit vel Apoſtolorũ vel Prophetarũ Chriſto impoſuiſſe hæc nomina. Quid igitur quod deinceps ſequitur? Etſi ipſe ſeipſum dominus his nominibus vocauit: quandoquidẽ B de nominibus ſeruatoris non eſt aliud quidem primum, aliud verò ſecundum; neque ſubtilius aliud alio, neque exquiſitius: ſed ſimul omnia & cum æquali ſubtilitate cognoſcit: horum nominum nulli accommodari poteſt, quæ de commentatione reddita eſt ab ipſo definitio. Multas ex eius ſermone nugas exhauſi: ſed lectores precor veniam dare, ſi neque ea quæ apertè vana ſunt inexplorata præterimus, non vt dedecore huius ſcriptoris & impudentia nitentes exhilareſcamus (quid enim lucri nobis affert palàm reprehenC ſa aduerſariorum amentia?) ſed vt via procedat per omnia ſeipſam confirmans veritas. Quoniam (inquit) ſibi ipſi has dominus appellationes attribuit, neque quid primum intelligens, neque ſecundum, neque ſubtilius, neq. exactius; non licet hæc nomina eſſe à commẽtatione aſſerere. quomodo meminit ſui ſcopi? quomodo rationes quibus bellum inſtituit, nouit? horũ alicuius quæ in cõſuetudinem cadunt, ad interpretationẽ τῆς ἐπινοίας magiſter noſter mentionẽ fecerat, & in exemplis poſterioribus mẽtem explicans, ſic ſermonis contemplationẽ ad ſuperiora prouehit: D dixit enim quod hoc nomen σῖτος per ſe vna quędã res ſecundũ ſubſiſtẽtiam apparet, ſed ad varias proprietates, quæ in ipſo conſiderãtur, immutat appellationes, dum fit & ſemen, & fructus, & cibus, & quæcũque fit, totidem nominatur: ſimiliter (inquit) etiam dominus: eſt enim ſecundum ſeipſum quodcumque tandem eſt ſecundùm naturã: operationum verò differentiis cùm nominatur, non vnã in omnibus retinet appellationem: ſed ſecundũ quãque notitiam quę ex operatione nobis ingeneratur, nomẽ aſſumit. In quo igitur ratio noſtra pex

Verba Eunomij.

D Baſilius lib. 1. contra Eunomium.

ea quæ ab ipſo dicta ſunt, redarguitur? qui dixit fieri poſſe vt multæ appellationes ſecundùm operationum differentias, & relationem ad ea quæ ex operatione fiunt, congruant vni ſecundùm ſubiectum exiſtenti Dei filio, ſicut nomen σῖτος cum ſit vnum, ex variis notionibus quæ de ipſo formantur, in diuerſa nomina diuiditur. Quomodo igitur quæ dicta ſunt euertit, qui ait de ſeipſo hæc Chriſtum nomina dicere? non enim quis ille eſt qui nominauit, quærebatur: ſed de notitia nominum conſideratio proponebatur: vtrum natura demonſtratur an per commẽtationem ex operationibus nominatur. Sed hic acer & magnus & ſolers ad excogitandum, euertens aſſignatam ἐπινοίας definitionem, quæ dixit, poſſibile eſſe vni ſubiecto multas comminiſci appellationes, ſecundùm operationum ſignificationes, contra nos pugna fortiter vſus eſt, dicens non ab aliquo inditas eſſe domino tales voces. Quid igitur ad propoſitum ſtudium? quoniam à domino hæc nomina non dicuntur, neque nomina dabit hæc eſſe, neque appellationes, neque voces notionum ſignificatiuas: ſi enim non admittit eſſe hæc nomina, appellationum ſublatione etiam ἡ ἐπίνοια ſimul ſublata eſt. Quod ſi non contradicit voces has nomina eſſe, in quo lædit id quod de commentatione dicitur, ex eo quod demonſtrat non ab alio aliquo, ſed ab ipſo domino tales impoſitas eſſe nomenclationes? Quod enim dicebatur, id erat, quod quemadmodum in exẽplo huius nominis σῖτος, vnum ſecundùm ſubiectũ cum ſit Dominus, operationib. cõgrua habet etiã nomina. Cùm autẽ ſit cõfeſſum σῖτος ſecundùm cõmentationẽ eorũ quæ in ipſo ſpectantur, appellationes habere, ſimul etiã conſtruebatur has in domino voces non eſſe naturæ ſignificatiuas, ſed ratione cõmentationis in his quæ de ipſo intelliguntur cõſiſtere. qui autẽ cõtradicit præ multa attẽtione, nõ aduerſus poſita pugnã cõmittit: ſed inquit, ipſum à ſeipſo his nominib. appellari: ſimile ac ſi quis nominis Iſaac interpretationẽ quærẽs, vtrum riſus, vt aiũt quidã, exponitur, an aliud quid ſignificat hoc nomen: aliquis autem eorũ qui ſtant à parte Eunomij, inſtanter reſponderet, à matre puero impoſitum eſſe hoc nomen: ſed aliquis dixerit, non hoc erat quod quçrebatur,

Geneſ. 17.

A τῶν εἰρημένων ἐλέγχεται. ὁ εἰπὼν δυνατὸν εἶναι πολλὰς ἐφαρμόζεσθαι προσηγορίας κατὰ τὰς τῶν ἐνεργειῶν διαφοράς, καὶ τὴν πρὸς τὰ ἐνεργούμενα σχέσιν, ἑνὶ κατὰ τὸ ὑποκείμενον ὄντι τῷ υἱῷ τοῦ Θεοῦ. ὡς καὶ ὁ σῖτος εἷς ὢν ἐκ τῶν ποικίλων περὶ αὐτοῦ νοημάτων, διαφόροις ἐπωνυμίαις ἐπιμερίζεται. πῶς οὖν ἀνατρέπει τὰ εἰρημένα, ὁ λέγων περὶ ἑαυτοῦ ταῦτα τὸν Χριστὸν τὰ ὀνόματα λέγειν; οὐ γὰρ ὅστις ὁ κατονομάσας, τὸ ζητούμενον ἦν· ἀλλὰ περὶ τῆς τῶν ὀνομάτων ἐννοίας ἡ θεωρία προέκειτο· πότερον φύσιν ἐνδείκνυται, ἢ ἐπινοητικῶς ἐκ τῶν ἐνεργειῶν ὀνομάζεται. ἀλλ' ὁ B δριμὺς οὗτος καὶ ἀμφιλαφὴς τὴν διάνοιαν, ἀνατρέπων τὸν ἀποδοθέντα περὶ τῆς ἐπινοίας λόγον, τὸν εἰπόντα, δυνατὸν εἶναι ἑνὶ τῷ ὑποκειμένῳ πολλὰς ἐξευρεῖν προσηγορίας κατὰ τῶν ἐνεργειῶν τὰς σημασίας, ἰσχυρῶς κέχρηται καθ' ἡμῶν τῇ μάχῃ, λέγων μὴ παρ' ἑτέρου τινὸς τεθεῖσθαι τῷ κυρίῳ τὰς τοιαύτας φωνάς. τί οὖν ταῦτα πρὸς τὴν προκειμένην σπουδήν, μὴ ἐπειδὴ παρὰ τοῦ κυρίου τὰ ὀνόματα λέγεται, οὐδὲ ὀνόματα δώσει ταῦτα εἶναι, οὔτε προσηγορίας, οὐδὲ φωνὰς νοημάτων σημαντικάς. εἰ μὲν γὰρ οὐ δέχεται τὸ εἶναι ταῦτα C ὀνόματα, τῇ τῶν προσηγοριῶν ἀναιρέσει καὶ ἡ ἐπίνοια συνανῄρηται· εἰ δὲ οὐκ ἀντιλέγει τὸ τὰς φωνὰς ταύτας ὀνόματα εἶναι, τί βλάπτει τὸν κατ' ἐπίνοιαν λόγον διὰ τοῦ δεῖξαι μὴ παρ' ἑτέρου τινός, ἀλλὰ παρ' αὐτοῦ τοῦ κυρίου τὰς τοιαύτας τεθεῖσθαι κλήσεις; τὸ γὰρ λεγόμενον ἦν, ὅτι παραπλησίως τῷ κατὰ τὸν σῖτον ὑποδείγματι, ἓν κατὰ τὸ ὑποκείμενον ὁ κύριος ὤν, προσφόρως ταῖς ἐνεργείαις ἔχει καὶ τὰ ὀνόματα· τοῦ δὲ σίτου κατὰ τὴν περὶ αὐτὸν θεωρουμένων, ἐπίνοιαν τὰς ὀνομασίας ἔχειν ὁμολογουμένου, συγκατεσκευάζετο D καὶ τὸ μὴ φύσεως εἶναι ταύτας ἐπὶ τοῦ κυρίου σημαντικὰς τὰς φωνάς, ἀλλὰ τῷ λόγῳ τῆς ἐπινοίας ἐν τοῖς περὶ αὐτὸν νοουμένοις συνίστασθαι. ὁ δὲ ἀντιλέγων ὑπὸ πολλῆς προσοχῆς, οὐ πρὸς τὰ τεθέντα ποιεῖται τὴν μάχην. ἀλλά φησιν, αὐτὸν ὑφ' ἑαυτοῦ ταῦτα κατονομάζεσθαι. ὅμοιον ὥσπερ ἂν εἴ τις τοῦ κατὰ τὸν Ἰσαὰκ ὀνόματος τὴν ἑρμηνείαν ζητῶν, πότερον γέλως, ὥς φασί τινες, ἑρμηνεύεται, ἢ ἄλλο τι σημαίνει τὸ ὄνομα, ὁ δέ τις τῶν κατὰ Εὐνόμιον ἐπιστατικῶς ἀποκρίνοιτο παρὰ τῆς μητρὸς τεθεῖσθαι τῷ παιδὶ τὴν κλῆσιν· ἀλλ' οὐ τοῦτο, φαίη τις ἄν, τὸ ζητούμενον ἦν,

παρὰ τίνος ἡ ἐπωνυμία πεπόρισται, ἀλλὰ τί σημαίνει μεταληφθεῖσα πρὸς τὴν ἡμετέραν γλῶτταν ἡ τοῦ ὀνόματος ἔννοια. καὶ ἐνταῦθα τοίνυν τῆς ζητήσεως οὔσης, εἰ τὰ ποικίλως ἐπιλεγόμενα τῷ κυρίῳ κατ' ἐπίνοιαν λέγεται, καὶ οὐχὶ τῆς φύσεως τὴν ἔνδειξιν ἔχει, ὁ τοιαύτην ἐπάγων τὴν ἀπόδειξιν, τοῦ μὴ ἐπινοίᾳ θεωρεῖσθαι τὰς προσηγορίας, τῷ παρ' αὐτοῦ τοῦ κυρίου λέγεσθαι ταύτας, πῶς μετὰ τῶν σωφρονούντων ἀριθμηθήσεται, ὁ καὶ πολεμῶν τῇ ἀληθείᾳ, καὶ τοιαύταις πρὸς τὸν πόλεμον συμμαχίαις χρώμενος, δι' ὧν ἰσχυρότερον ἀποφαίνει τὸν πολεμούμενον; εἶτα προϊὼν ὡς δὴ κατὰ σκοπὸν αὐτῷ συμπερανθέντος τοῦ λόγου, ἕτερα προσχειρίζεται καθ' ἡμῶν χαλεπώτερα τῶν εἰρημένων, ὥς φησι, τὰ ἐγκλήματα, καὶ πολλὰ προσχετλιάσας καὶ προδιαβαλὼν τὸν λόγον, καὶ σφοδρῶς τὸν ἀκροατὴν ἐπὶ τοῖς μέλλουσι ῥηθήσεσθαι παροξύνας, ἐν οἷς δυσσεβέστερα τινὰ παρ' ἡμῶν αἰτιᾶται κατασκευάζεσθαι· ὡς μὴ μόνον τὰς ἀποκληρωθείσας παρὰ τοῦ Θεοῦ προσηγορίας ταῖς ἐπινοίαις ἡμῶν προσαπτόντων· οὐκ εἰπὼν, τίς ἡ τῶν προσηγοριῶν ἀποκλήρωσις, καὶ πότε καὶ πῶς γεγενημένη, καὶ ὡς πάντα φυρόντων τὰ πράγματα, καὶ εἰς ταυτὸν ἀγόντων τοῦ μονογενοῦς τήν τε οὐσίαν καὶ τὴν ἐνέργειαν. οὐδὲν περὶ αὐτοῦ τούτου διαλεχθεὶς, οὐδὲ ἀποδείξας, πῶς ταυτὸν εἶναι κατασκευάζεται τῇ οὐσίᾳ παρ' ἡμῶν ἡ ἐνέργεια, τέλος ἐπάγει καὶ τὸν αὐτὸν κολοφῶνα τῶν ἐγκλημάτων, οὑτωσὶ λέγων τοῖς ῥήμασιν. ἤδη δὲ, φησι, μεταβαίνων ἀπὸ τούτων, καὶ τὸν ἐπὶ πάντων Θεὸν ταῖς ἐσχάταις περιβάλλει βλασφημίαις. καὶ λόγοις ἀπορρώγασιν οἱ ἡμέτεροι λόγοι, καί τινας ἀποστατεῖ τὰ παρ' ἡμῶν παραδείγματα, οὐ πάντως τοῦ μαθεῖν ταῦτα δεόμενος, ἀλλ' ἢ δεῖξαι τὸ συρφετῶδες τῶν ῥημάτων τοῦ λογογράφου καὶ ἀκριτόμυθον, οἷς περικτυπῶν τὰ ἐν ἀνδράσι γραΐδια, καὶ τῷ στόμφῳ τῆς λέξεως ἐν ταῖς ἀκοαῖς τῶν ταῦτα θαυμαζόντων καλλωπιζόμενος, στήλην καθ' ἑαυτοῦ τὸν λόγον τοῖς πεπαιδευμένοις προτιθεὶς οὐ συνίησιν. ἀλλ' οὐδὲν τοῦτο πρὸς τὸν σκοπὸν τὸν ἡμέτερον. εἴθε γὰρ μέχρι τούτων ἦν κατ' αὐτοῦ τὰ ἐγκλήματα, καὶ μηδὲν περὶ τὴν πίστιν ἐξαμαρτάνων, περὶ μόνην τοῦ λόγου τὴν προφορὰν πλημμελεῖν ἐνομίζετο. ὡς ἂν τ' οὐδενὸς ἂν ἦν αὐτῷ πρὸς ἔπαινον ἢ διαβολὴν, τὸ οὕτως ἢ ὡς ἑτέρως τὴν λέξιν ἔχειν. ἦν δ' οὖν

A à quo hæc nominatio tributa eſt, ſed quid ſignificet in noſtram linguam traducta nominis notitia. Atque hic igitur cùm quæſtio conſiſtat, vtrum quę in domino variè dicuntur, per commentationem dicũtur, nec naturæ indicationem habent: qui talem demonſtrationem inducit, quòd non per commentationem ſpectentur appellationes, quia hæ ab ipſo domino dicantur, quomodo inter ſobrios cenſebitur, qui veritati bellũ infert, & talibus ad bellum auxiliis vtitur, quibus fortiorem eſſe oſtendit eum qui bello laceſſitur? Deinde progre-
B diens vt iam ad ſcopum ipſi concluſa oratione, alia cõtra nos dictis acerbiora molitur, vt inquit, crimina, & multùm flebiliter lamentatus, & præmiſſa oratione qua nos calumniatur, atque auditorem ob dicenda efflictim exacerbat, in quibus quædam magis impia criminatur à nobis aſtrui: quod non ſolùm nos diſtributas à Deo rebus appellationes commentationibus noſtris adaptemus: cùm nec dixiſſet, quænam appellationum diſtributio, & quando, & quomodo facta, ſed etiam quod omnia confundamus, & ad idem vnigeniti & eſſentiã & operationem pertrahamus. Cùm nihil, inquam, de hoc ipſo diſſeruiſſet, neque demonſtraſſet, quomodo à nobis idem eſſe cum eſſentia operatio præſtruitur, tandem ſubiungit iſtum colophonem criminum, ſic verbis dicens: [Iam (inquit) tranſiens ab his, *Verba Eunomij.* *Et Deum qui eſt in omnibus, extremis blaſphemiis, id eſt, impiis & ſceleratis conuitiis, circumducit.] Et ſermonibus *Videtur aliquid deeſſe.* ſermones noſtri abrupti fuerunt & interciſi, & quoſdam deficere faciunt à nobis propoſita exempla, non omnino tam didiciſſe indigens, quàm demon-
D ſtrare verborum colluuiem & vaniloquentiam huius ſcriptoris, quibus blaterans & obſtrepens quæ inter viros anilia, & vocularum graui ſono in auribus hæc demirantiũ fucum facere dum ſtudet, contra ſeipſum cippum, id eſt, infamię notã, proponere apud eruditos & ſermonẽ callentes non intelligit. Sed hoc nihil ad noſtrũ inſtitutum. vtinam quidem hucuſque progrederentur quæ ſunt cõtra ipſum crimina, & nihil circa fidem errãs in ſola ſermonis prolatione peccare putaretur Ita pro nihilo ducendum eſſet ad laudẽ vel calũniã ſic vel aliter dictionẽ habere. Conſecutio igitur

& ſeries eorum quæ ab ipſo contra nos dicta ſunt, etiam hoc proponit. [In frugibus (inquit) & domino, variis modis cum exercuit commentationes, perſimiliter & ſanctiſſimam Dei eſſentiam differentes admittere commentationes dicit.] Hoc eſt crimінū acerbiſſimum, & ob id grauia contra nos illa tragicè ante exaggerauit, impietatem & abſurditatem, & omnia talia dictis crimini vertens. Quænam ergo impietatis demonſtratio? dixit Eunomius, [quædam de frugibus cõmunia hæc, & omnibus in promptu cognita diſcernens, & quomodo naſcuntur, & quomodo perfectæ ſeu maturæ per fructum alunt, naturalibus quibuſdam facultatibus, dum naſcuntur & augentur & diſpenſantur: & hæc cùm diſſeruit, etiam vnigenitum Deum nihil diſſentaneum eſſe ait, differentes accipere cõmentationes, cùm propter notiones, tum propter diuerſitates actionum, & proportiones, & habitudines. Hæc enim ad ſatietatẽ vſque in ipſo peruulgat nomina. Sed, inquit, quomodo non abſurdum, vel potius nefas comparare ingenitum his, neſcio quibus, nempe frugibus (inquit) & vnigenito Deo? Vides hominis circumſpectionem ſeu pietatem, æqualiter diſtare à dignitate ingeniti Dei adſtruit, vile frumentum & vnigenitum Deum. Et quod non calumniamur ſermonem, ex ipſis ſcriptis licet eius intelligentiam percipere. Quomodo (inquit) non abſurdum, imò verò nefarium his comparare ingenitum? & hæc locutus ſubiungit parem de frumento & de domino ſermonem, æqualem abſurditatem iudicans, cum horum altero Deum conferre. Cuius enim notum & planum prorſum illud eſt, quod quæ æquali mẽſura ab aliquo diſtant, & ipſa inter ſe æqualem habent menſuram. Quare ſicut cenſet hic ſapiẽs theologus, ſeculorum conditor, omnémq. eorũ quæ ſunt, naturam cõplexus, ęqualis minimo ſemini demõſtratus eſt, ſiquidẽ ęqualiter diſtat à Dei cõparatione & ipſe & frumẽtum. Atque huius quidẽ ſermonis impietas tanta eſt. Verùm iam tempus fuerit examinare blaſphemiæ aſtructionẽ, in quo ad ipſam ſermone per conſequentiã annexa pendet. Cùm enim dixiſſet, abſurdum eſſe frumento & Chriſto Deum componere. De frumento, inquit, quod non eſt Deus, horum inſtar mutationis capax: de vnigenito autem

Verba Eunomij. (beside: dicta ſunt)

Verba Eunomij aduerſus Baſilium. (beside: monſtratio? dixit Eunomius)

A ἀκολουθία τῶν παρ' αὐτοῦ καθ' ἡμῶν, καὶ τοῦτο προστίθησιν. ἐπὶ τοῦ σίτου, φησί, καὶ τοῦ κυρίου, διαφόρως γυμνάσας τὰς ἐπινοίας, παραπλησίως καὶ τὴν ἁγιωτάτην οὐσίαν τοῦ Θεοῦ διαφόρους δέχεσθαι τὰς ἐπινοίας φησί. τοῦτο ἐστὶ τὸ χαλεπώτατον τῶν ἐγκλημάτων, καὶ ἐπὶ τούτῳ τὰ βαρέα καθ' ἡμῶν ἐκεῖνα προεπετραγῴδησε, δυσσέβειαν καὶ ἀτοπίαν καὶ πάντα τὰ τοιαῦτα τοῖς εἰρημένοις ἐπικαλῶν. τίς οὖν ἡ τῆς ἀσεβείας ἀπόδειξις; εἶπεν ὁ ΕΥνόμιος, τινὰ περὶ τοῦ σίτου, τὰ κοινὰ ταῦτα, καὶ πᾶσιν ἐκ τοῦ προχείρου
B γνώριμα διευκρινούμενος, ὅπως τε γίνεται καὶ ὅπως τελειωθεὶς διὰ τοῦ καρποῦ τρέφει, φυσικαῖς τισι δυνάμεσι φυόμενός τε καὶ αὔξων καὶ διοικούμενος. καὶ ταῦτα εἰπὼν καὶ τὸν μονογενῆ Θεὸν οὐδὲν ἀπεικὸς εἶναι φησι, διαφόρους δέχεσθαι ἐπινοίας διά τε τὰς ἐννοίας, διά τε τὰς ἑτερότητας τῶν ἐνεργειῶν, καὶ ἀναλογίας τινὰς καὶ σχέσεις. ταῦτα γὰρ καταχόρως ἐπ' αὐτοῦ διαθρυλεῖ τὰ ὀνόματα. ἀλλὰ πῶς, φησιν, οὐκ ἄτοπον ἀθέμιτον δὲ μᾶλλον τούτοις παραβάλλειν τὸν ἀγέννητον, τίσι τούτοις, τῷ σίτῳ φησὶ, καὶ τῷ μονογενεῖ Θεῷ. ὁρᾷς
C τὴν εὐλάβειαν, ἴσον ἀπέχειν τῆς ἀξίας τοῦ ἀγεννήτου Θεοῦ κατασκευάζει τὸν βραχὺν σῖτον, καὶ τὸν μονογενῆ Θεόν· καὶ ὅτι οὐ συκοφαντοῦμεν τὸν λόγον, παρ' αὐτῶν ἔστι τῶν γεγραμμένων μαθεῖν αὐτοῦ τὴν διάνοιαν. πῶς γάρ, φησιν, οὐκ ἄτοπον, ἀθέμιτον δὲ μᾶλλον τούτοις παραβάλλειν τὸν ἀγέννητον. καὶ ταῦτα εἰπὼν ἐπάγει κατὰ τὸ ὁμότιμον τὸν περὶ τοῦ σίτου καὶ τοῦ κυρίου λόγον. ἴσον εἰς ἀτοπίαν κρίνων, ἑνὶ τούτων παραβάλλειν τὸν Θεόν· παντὶ δὲ γνώριμον πάντως τὸ
D τοιοῦτον ἐστὶν, ὅτι τὰ ἴσῳ μέτρῳ τινὸς ἀφεστηκότα καὶ αὐτὰ πρὸς ἄλληλα τὸ ἴσον ἔχει· ὥστε κατὰ τὸν σοφὸν θεολόγον ὁ τῶν αἰώνων ποιητὴς, καὶ πάσης περιδεδραγμένος τῶν ὄντων φύσεως, ἰσοστάσιος ἀνεδείχθη τῷ βραχυτάτῳ σπέρματι, εἴπερ ἐπίσης ἀπολείπεται τῆς πρὸς τὸν Θεὸν συγκρίσεως καὶ αὐτὸς καὶ ὁ σῖτος. ἀλλ' ἡ μὲν ἀσέβεια τοῦ λόγου τοσαύτη· καιρὸς δ' ἂν εἴη καὶ αὐτὴν ἐξετάσαι τὴν ἐς τῆς βλασφημίας κατασκευὴν, ἐν τίνι πρὸς ἑαυτὴν τῷ λόγῳ δι' ἀκολουθίας συνήρτηται. εἰπὼν γὰρ, ἄτοπον εἶναι τῷ σίτῳ καὶ τῷ Χριστῷ τὸν Θεὸν παραβάλλειν. περὶ τοῦ σίτου, φησὶν, ὅτι οὐκ ἔστιν ὁ Θεὸς καθ' ὁμοιότητα τούτων πρὸς μεταβολὴν ἐπιτήδειος· περὶ δὲ

τοῦ μονογενοῦς τὸ μὴ εἶναι αὐτὸν πρὸς μεταβολὴν ἐπιτήδειον σιωπήσας, καὶ διὰ τούτου σαφῶς ἐνδειξάμενος τὸ ταπεινὸν τῆς ἀξίας, ἐν τῷ μὴ δεῖν αὐτὸν ὡς καὶ τὸν σῖτον τῷ Θεῷ συγκρίνεσθαι, ἀφῆκε τὸν λόγον μετέωρον, οὐδενὶ ἄλλῳ λογισμῷ κατασκευάσας, ἐν τῷ μέρει τούτῳ τὸ πρὸς τὸν πατέρα τοῦ υἱοῦ ἀπαράθετον, ὡς ἱκανῶν ὄντων τῶν περὶ τὸν κόκκον θεωρηθέντων, καὶ τοῦ υἱοῦ τὴν πρὸς τὸν πατέρα κατὰ τὸ ταπεινότερον παραλλαγὴν συνενδείξασθαι. ἀλλὰ περὶ τῆς ἀφθαρσίας τοῦ πατρὸς διαλέγεται, ὡς οὐκ ἐξ ἐνεργείας προσούσης αὐτῷ. ἐγὼ δὲ εἰ μὲν ἐνέργειά τίς ἐστιν ἡ ὄντως ζωὴ, ἑαυτὴν ἐνεργοῦσα, καὶ εἰ ταὐτόν ἐστι τῷ σημαινομένῳ τό τε ἀεὶ ζῆν, καὶ τὸ μηδέποτε εἰς φθορὰν διαλύεσθαι, οὔπω τῷ λόγῳ προσίεμαι, ἀλλὰ τοῖς ἰδίοις ταμιεύσομαι τόποις. ὅτι μέντοι μία τῆς ἀφθαρσίας ἐστὶ διάνοια, ὡσαύτως ἐπί τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ νοουμένη, καὶ κατ' οὐδὲν τὸ τοῦ πατρὸς ἄφθαρτον τῆς ἀφθαρσίας τοῦ υἱοῦ παραλλάσσει, οὔτε ὑφέσει τινὶ καὶ ἐπιτάσει, οὔτε τινὶ ἄλλῳ διαφθορᾶς τρόπῳ τῆς κατὰ τὴν ἀφθαρσίαν παραλλαγῆς εὑρισκομένης, τοῦτο καὶ νῦν φημὶ εὔκαιρον εἶναι καὶ ἀεὶ λέγειν, ὡς οὐ μηδεμίαν ἔχοι διὰ τούτου χώραν ὁ λόγος αὐτοῦ τῇ κατὰ τὴν ἀφθαρσίαν ἐννοίᾳ τῷ πατρὶ προσμαρτυρῶν τὸ πρὸς τὸν υἱὸν ἀκοινώνητον. ὡς γὰρ περὶ τὸν πατέρα ἡ ἀφθαρσία καταλαμβάνεται, οὕτως καὶ ἐπὶ τοῦ μονογενοῦς εἶναι οὐκ ἀμφιβάλλεται. τὸ γὰρ τῆς φθορᾶς ἀπαράδεκτον ὅπερ ἀφθαρσία καὶ ἐστὶ καὶ λέγεται, ἴσον μᾶλλον δὲ τὸν αὐτὸν ἔχει λόγον ἐφ' οὗπερ ἂν λέγηται. τί οὖν μαθὼν μόνῳ προσμαρτυρεῖ τῷ ἀγεννήτῳ Θεῷ, τὸ μὴ ἐξ ἐνεργείας εἶναι τὴν ἀφθαρσίαν αὐτοῦ, ὡς διὰ τούτου τὴν κατὰ τοῦ μονογενοῦς παραλλαγὴν πατρὸς δεικνύων· εἰ μὲν γὰρ φθαρτὸν ὑποτίθεται τὸν κτιστὸν ἑαυτοῦ Θεὸν, καλῶς τῇ τοῦ φθαρτοῦ πρὸς τὸ ἄφθαρτον διαφορᾷ τὴν κατὰ τὴν φύσιν παραλλαγὴν ἀποδείκνυσιν. εἰ δὲ ἀνεπίδεκτος φθορᾶς ὡσαύτως ἑκάτερος, καὶ οὔτε τὸ μᾶλλον, οὔτε τὸ ἧττον, ἐν τῇ κατὰ φύσιν ἀφθαρσίᾳ καταλαμβάνεται, πῶς δείκνυσι τοῦ πατρὸς πρὸς τὸν μονογενῆ υἱὸν τὸ ἀσύγκριτον; ἢ τί βούλεται τὸ μὴ ἐξ ἐνεργείας προσμαρτυρεῖσθαι τῷ πατρὶ τὸ ἄφθαρτον; ἀλλ' ἐκκαλύπτει τὸν σκοπὸν ἐν τῷ μετὰ ταῦτα λόγῳ· οὐκ ἐξ ἐνεργειῶν, φησίν,

A quod non ſit ipſe ad mutationem aptus cùm reticuit: Etiam per hoc apertè indicauit dignitatis humilitatem, in eo quod non oporteat ipſum, ſicut & frumentum, cum Deo cōparare, ſuſpēſum ſermonē dimiſit, nulla ratione alia præſtruens in hac parte filij cum patre diſparitatem, quaſi ea quæ in grano conſiderantur, idonea eſſent ad filij cum patre, ſecundū id quod eſt humilius, differentiam demonſtrandam. Sed de patris incorruptibilitate diſſerit, quod nō inſit ei ex actu. Ego autem, ſiquidē actus quidam eſt vera & eſſentialis vita, ſeipſam B efficiens, & ſi idem eſt ſecundum ſignificationē, & ſemper viuere, & nunquam in interitum diſſolui, nondum rationi aſſentior, ſed propriis locis reſeruabo. Quod quidē vna eſt notio incorruptibilitatis, quæ eodem modo in patre & filio intelligitur. Et nulla re quod in patre incorruptibile eſt, à filij incorruptibilitate differt, neque remiſſione aliqua, neque intentione: cùm nec aliquo alio corruptionis modo differentia, quæ ſecundùm incorruptibilitatem inueniatur, hoc etiam nunc dico opportunū eſſe & ſemper dicere, quod C nullum per hoc locū habet eius ſermo, per incorruptionis notionē, filium cum patre nullam habere eſſentiæ communionem aſſerens. Sicut enim in patre incorruptibilitas cōprehenditur, ſic & in vnigenito eſſe non ambigitur. Quod enim interitus non eſt capax, quod quidem incorruptibilitas & eſt & dicitur, æqualem, vel potius eandem habet rationem, in quocumque dicitur. Quid igitur didicit, cur ſoli ingenito Deo attribuit, non ex actu eſſe ipſius incorruptibilitatem, tanquam per hoc patris à filio diſcrepantiam demōſtrans? ſi enim corruptibilem ſupponit creatum ſuum D Deum, præclarè corruptibilis cum incorruptibili differentia, eam quæ ſecundùm naturam eſt, diſcrepantiam oſtendit. Quod ſi interitus non capax eodem modo eſt vterque: neque magis, neque minus in incorruptibilitate, quæ ſecundùm naturam eſt, comprehenditur. Quomodo patrem cum vnigenito filio non poſſe comparari demonſtrat? vel quod vult non ex actu aſſerere patri quod incorruptibile eſt? ſed ſcopum euoluit & explicat ſermone ſequente, non ex operationibus, inquit, in-

corruptibilis eſt, & ingenitus, ſed vt pater & mundi opifex. Hîc mihi attentas aures præbere auditorem maximè poſtulo. Quomodo idem eſſe putat duorum horum nominum ſignificatum, creationis inquam & paternitatis: operationem enim eſſe horum vtrumque ex æquo definit, diſertè ſic ſermone pronuncians [incorruptibilis non eſt ex operatione, pater autem & mundi opifex ex operationibus nominatur.] Si igitur idem eſt patrem & mundi opificē ipſum dici, quia operatio ſit ei amborum nominum cauſa; neceſſe eſt omnino operationum effecta congenerè ſe habere inter ſe, ex eo ipſo quòd ex operatione ſimiliter ſint. Hoc autem ad quem blaſphemię terminum per conſequentiam effertur, cuiuis perſpicuum eſt ſcienti cernere quid cuique conſequatur. Ego verò quæcūque de his ratione colligo, ſermonum diſquiſitioni volo adijcere. Fieri nō poteſt, vt operatio rei alicuius effectrix ipſa per ſe ſubſiſtat, ſi non ſubeſt aliquid quod operationis motum ſuſcipiat, veluti operari dicimus eum qui æs procudit, effici vero materiā quæ arti ſubiecta eſt. Ergo hæc inter ſe neceſſariam quādam relationem habent, efficax & patibilis facultas, quorum ſi ratione alterum fuerit ſeparatum, non in ſeipſo per ſe alterum conſtiterit. Si enim nō fuerit quod patitur, quod agat non erit. Quid igitur ex hoc conficitur? ſi non per ſe conſiſtit operatio rei alicuius effectrix, ſi non adſit ſubiectum patiens. Pater autem, ſicut iſti aiunt, nihil aliud eſt quam operatio: patibilis igitur per hæc vnigenitus filius demonſtratur, ad motionem operationis quæ ipſū ſubſiſtere facit efformatus. Quemadmodum enim vniuerſi conditorem dicimus, patibilem aliquā & facilè cedentem materiam ſubieciſſe, ſicque efficacem ſuiipſius operatricē eſſentiam effeciſſe: in ſenſibilibus quidem varias & multiformes ſubiecto qualitates ad cuiuſque eorum quæ fiunt effectionem artificioſè inſerentem: at verò in intelligibilibus altero modo, non qualitatibus ſed electiuis impulſionibus conformantem ſubiectum. Sic neceſſario ſi efficaciam quis definiat paternitatem, non aliter demonſtrabit eſſe filij ſubſiſtentiam, niſi per aliquam patibilem materiam omnino abſolutam. Si enim impatibilis exiſtimaretur, renitēs planè

Verba Eunomij.

A ἄφθαρτος ἐστὶ καὶ ἀγέννητος, ὡς πατὴρ δὲ καὶ δημιουργός. τούτῳ μοι προσέχειν μάλιστα τὸν ἀκροατὴν ἀξιῶ. πῶς ταυτὸν οἴεται, τὴν δύο τούτων ὀνομάτων τὸ σημαινόμενον, τῆς δημιουργίας λέγω καὶ τῆς πατρότητος· ἐνεργείας γὰρ εἶναι τούτων ἑκάτερον ἐπίσης ὁρίζεται, σαφῶς οὕτως διαγορεύων τῷ λόγῳ, ὅτι ἄφθαρτος μὲν οὐκ ἐνεργείᾳ ἐστὶν, πατὴρ δὲ καὶ δημιουργὸς ἐξ ἐνεργειῶν ὀνομάζεται. εἰ τοίνυν ταυτόν ἐστι πατέρα τε καὶ δημιουργὸν αὐτὸν λέγεσθαι, τῷ τὴν ἐνέργειαν ἀμφοτέρων αὐτῷ γίνεσθαι τῶν ὀνομάτων αἰτίαν, ἀνάγκη B πᾶσα καὶ τὰ τῶν ἐνεργειῶν ἀποτελέσματα ὁμογενῶς ἔχειν ἀλλήλοις, κατ' αὐτὸ τὸ ἐξ ἐνεργείας ὁμοίως εἶναι. τοῦτο δὲ πρὸς ποῖον βλασφημίας πέρας διὰ τῆς ἀκολουθίας ἐκφέρεται, πᾶσι δῆλόν ἐστι τῷ ἐπισταμένῳ βλέπειν πρὸς τὸ ἀκόλουθον. ἐγὼ δ' ὅσα περὶ τούτων λογίζομαι, βούλομαι προσθεῖναι τῇ συνεξετάσει τῶν λόγων. οὐκ ἔστιν ἐνέργειαν ἀπεργαστικήν τινος πράγματος αὐτὴν ἐφ' ἑαυτῆς συστῆναι, μή τινος ὑποδεχομένου τῆς ἐνεργείας τὴν κίνησιν. οἷον ἐνεργεῖν τι φαμὲν τὸν χαλκεύοντα, ἐνεργεῖσθαι δὲ τὴν C ἐγκειμένην ὕλην τῇ τέχνῃ. οὐκοῦν ἀναγκαίαν ἔχει τινὰ σχέσιν ταῦτα πρὸς ἄλληλα, ἡ ἐνεργητικὴ καὶ ἡ παθητικὴ δύναμις, ὧν εἰ χωρισθείη τῷ λόγῳ τὸ ἕτερον, οὐκ ἂν ἐφ' ἑαυτοῦ συσταίη καὶ τὸ λειπόμενον. εἰ γὰρ μὴ τὸ πάσχον εἴη, τὸ ἐνεργοῦν οὐκ ἔσται. τί οὖν ἐκ τούτου κατασκευάζεται; εἰ οὐ συνίσταται καθ' ἑαυτὴν ἡ ἐνέργεια, ἡ ἀποτελεστικὴ τινὸς πράγματος, μὴ ὑποκειμένου τοῦ πάσχοντος. ὁ πατὴρ δὲ, καθὼς οὗτοι φασίν, οὐδὲν ἕτερόν ἐστιν ἢ ἐνέργεια, παθητὸς ἄρα διὰ τούτων ὁ μονογενὴς υἱὸς ἀποδείκνυται, πρὸς D τὴν κίνησιν τῆς ὑφιστώσης αὐτὸν ἐνεργείας τυπούμενος. ὡς γὰρ τὸν τοῦ παντὸς δημιουργὸν φαμὲν παθητικήν τινα καὶ εὔεικτον ὕλην ὑποβαλλόμενον ἐνεργὸν ἑαυτοῦ τὴν δημιουργικὴν οὐσίαν ποιῆσαι. ἐπὶ μὲν τῶν αἰσθητῶν, τὰς ποικίλας τε καὶ πολυειδεῖς τῷ ὑποκειμένῳ ποιότητας πρὸς τὴν ἑκάστου τῶν γινομένων ἀπεργασίαν τεχνικῶς ἐπιβάλλοντα· ἐπὶ δὲ τῶν νοητῶν ἑτέρῳ τρόπῳ οὐχὶ ποιότησιν, ἀλλὰ προαιρετικαῖς ὁρμαῖς διαμορφοῦντα τὸ ὑποκείμενον. οὕτως ἐξ ἀνάγκης εἰ ἐνέργειάν τις ὁρίζοιτο τὴν πατρότητα, οὐκ ἄλλως ἀποδείξει τὴν τοῦ υἱοῦ τὴν ὑπόστασιν, μὴ κατά τινα παθητὴν πάντως ἀπεργασθεῖσαν ὕλην. εἰ γὰρ ἀπαθὴς νομισθείη,

ἀνεπίτυπος πάντως ἡ ἀπάθεια τῷ ἐνεργοῦντι γενήσεται, κωλυομένης δὲ τῆς ἐνεργείας, οὐκ ἔσται πάντως τὸ ἐνεργούμενον. ὡς δυοῖν θάτερον, ἢ παθητικὴν διὰ τούτων τοῦ μονογενοῦς τὴν οὐσίαν ποιήσουσιν, ἵνα τὴν ἐνέργειαν δέξηται, ἢ τοῦτο διὰ τὸ προφανὲς τῆς ἀσεβείας ὀκνοῦντες, τὸ μηδὲ ὅλως αὐτὴν εἶναι κατασκευάζουσιν. ὃ γὰρ πάσχειν ἀποπέφυκεν, οὐδὲ τὴν ποιητικὴν ἐνέργειαν ἐφ' ἑαυτοῦ πάντως προσίεται. ὁ τοίνυν ἐνεργείας τινὸς ἀποτέλεσμα τὸν υἱὸν διορίζων, ἕν τι καὶ τοῦτον τῶν παθητῶν διορίζεται, ὅσα δι' ἐνεργείας ἔχει τὴν πρόοδον, ἢ εἴπερ ἀρνοῖτο τὸ πάθος, καὶ τὴν ὑπόστασιν αὐτοῦ μετὰ τοῦ πάθους ἀρνήσεται. ἀλλ' ἐπειδὴ καθ' ἑκάτερον τῶν κατὰ τὸ δίλημμα τοῦτο προφαινομένων ἡ ἀσέβεια, καὶ τὸ μὴ εἶναι λέγειν, καὶ τὸ παθητὸν αὐτὸν οἴεσθαι, πρόδηλος ἡ ἀλήθεια, διὰ τῆς τῶν ἀτόπων ἀναιρέσεως ἀναφαινομένη. εἰ γὰρ καὶ ἀληθῶς ἐστιν, καὶ παθητὸς οὐκ ἔστιν, δῆλον ὅτι οὐκ ἐξ ἐνεργείας ἐστὶν, ἀλλ' ὡς εἰκὸς ἀληθινὸν εἶναι Θεὸν ἐκ τοῦ ἀληθινοῦ Θεοῦ τοῦ πατρὸς, ἀπαθῶς ἐξ ἀϊδίου ἀπαυγασθέντα τε καὶ ἐκλάμψαντα. ἀλλὰ κατ' αὐτὴν τὴν οὐσίαν, φησὶν, ἄφθαρτος ἐστὶν ὁ Θεός· τί δὲ ἄλλο τῶν θεοπρεπῶν νοημάτων οὐκ αὐτῆς ἔχεται τοῦ υἱοῦ τῆς οὐσίας; τὸ δίκαιον, τὸ ἀγαθὸν, τὸ ἀΐδιον, τὸ τοῦ κακοῦ παντὸς ἀνεπίδεκτον, τὸ ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν νοουμένῳ ἀπεριόριστον. ἆρα τίς ἐστιν ὁ λέγων, ἐπίκτητόν τι τῶν καλῶν εἶναι τῇ θείᾳ φύσει, καὶ οὐ πᾶν ὅτι περ ἐστὶ καλὸν ἐκεῖθεν τε ἀφορμᾶσθαι, καὶ ἐν αὐτῇ θεωρεῖσθαι; οὕτω τοῦ προφήτου λέγοντος, ὅτι εἴ τι καλὸν, αὐτοῦ, καὶ εἴ τι ἀγαθὸν, παρ' αὐτοῦ ἐστί. συνάπτει δὲ τούτῳ, τὸ καὶ ἀγέννητον κατ' οὐσίαν εἶναι. ἐγὼ δὲ εἰ μὲν οὕτω νοῶν τοῦτο λέγει, ὅτι ἀγέννητός ἐστι τοῦ πατρὸς ἡ οὐσία, συντίθεμαι τῷ λεγομένῳ, καὶ οὐκ ἀντιβαίνω τῷ δόγματι. οὐδεὶς γάρ τις ὅλως τῶν εὐσεβούντων γεννητὸν εἶναι τὸν πατέρα τοῦ μονογενοῦς ὑποτίθεται. εἰ δὲ τοῦτο μὲν ἐνδείκνυται κατὰ τὸ σχῆμα τοῦ λόγου, κατασκευάζει δὲ τὸ αὐτὴν τὴν ἀγεννησίαν οὐσίαν εἶναι, τοῦτό φημι δεῖν μὴ παραδραμεῖν ἀνεξέταστον, ὡς ἂν μὴ λάθοι τοὺς εὐεξαπατήτους πρὸς τὴν συγκατάθεσιν τῆς βλασφημίας ὑποποιούμενος. ὅτι τοίνυν ἄλλο τι τὸ ἀγεννησίας ἐστὶ καὶ ἀγέννητος, ἀμιγῆ καὶ καθαρὰν οὖσαν πάσης ἑτερότητος καὶ διαφορᾶς. περὶ τοῦ Θεοῦ ταῦτα λέγει, οὗ τὴν οὐσίαν ἀφθαρ-

A impatibilitas operanti foret: impedita autem operatione non erit omnino quod efficitur. Ita vt duorum alterum, vel patibilem per hæc vnigeniti eſſentiam facient, vt operationem capiat: vel hoc propter euidentem impietatem verentes, neque penitus ipſam eſſe præſtruunt. Quod enim pati natura abhorret, neque effectricem efficaciam in ſeipſum omnino admittit. Qui igitur alicuius operationis effectum filium definit, hunc etiam vnum quid eorum quæ pati nata ſunt, definit, quæcumque per operationẽ proceſſum habent, vel ſiquidem perpeſſionẽ neget, etiam ipſius ſubſiſtentiam cum perpeſſione

B negabit. Sed quoniã ſecundum vtrumque eorum quæ per dilemma demonſtrantur, impietas eſt, & nõ eſſe dicere, & ipſum patibilem eſſe putare: manifeſta veritas quæ per falſorum abolitionem elucet. Si enim etiam verè eſt, & patibilis non eſt, perſpicuum ex operatione ipſum non eſſe. Sed ſicut conſentaneum eſt, verum eſſe Deum ex vero Deo patre, impatibiliter ex æterno ſplendeſcentem & irradiantem. Sed (inquit) ſecundùm eſſentiam incorruptibilis eſt Deus: quid aliud eorum quę Deum decere intelliguntur non ipſam filij eſſentiã poſſident? Iuſtum, bonum,

C æternum, nullius mali capax, in omni eo, quod ſecundùm bonum intelligitur, infinitum. Verum quis eſt qui dicat aliquid eorum, quæ ſunt pulchra & præclara, diuinæ naturæ eſſe aduentitium, & non quicquid eſt pulchrum illinc proficiſci, & in ea conſiderari, ſic dicente Propheta, quòd ſi quid pulchrum eſt, ipſius, & ſi quod bonum, ab ipſo eſt. Cum hoc autem copulat ingenitum etiam ſecundùm eſſentiam eſſe. Ego equidem ſi ita ſentiens hoc dicit,

D quod ingenita eſt patris eſſentia, dicto aſſentior, neque dogmati reſiſto. Nullus enim prorſus piè viuẽtium patrem vnigeniti eſſe genitum ponit. Quod ſi hoc quidem demonſtratur ſecundùm figuram ſermonis; adſtruit autem ἀγεννησίαν, & eſſentiam idem eſſe, hoc non prætereundum eſſe inexcuſſum dico, vt non lateat decepta faciles ad aſſenſionem blaſphemiæ pellicere. quòd igitur aliud quid ab ingeniti actione eſt etiam ingenitus * immixtam & puram ab omni diuerſitate & differentia. De Deo hæc dicit, cuius eſſentiam incorruptibilita-

Videtur aliquid deeſſe.

tem, & ingenerabilitatem eſſe aſſerit. A Tria igitur in Deo dixit nomina, eſſentiam, incorruptibile, ingenitum. Si horum trium nominum in Deo eſt vna eademque notio, deitas hæc tria prorſus eſt. Vt ſi quis diceret, hominem exprimere volens, rationalem ipſum eſſe, riſibilémque & latiunguem. In quo propterea quod nulla eſt ſecundùm naturam in vnoquoque differentia, hæc nomina inter ſe vim æqualem habere dicimus, & vnum eſſe in ſubiecto hæc tria, nempe humanitatem per nomina deſcriptã. Si ergo hoc eſt deitas, nempe ἀγεννησία & incorruptibilitas & eſſentia, B omni neceſſitate horum vno ſublato ſimul etiam deitas tollitur. Vt enim ſi quis dixerit, neque rationis participem, neque ad ridendum aptum natura; neque hominem eſſe aſſeruerit. Ita & in his tribus nominibus, ingenito dico, & incorruptibili, & eſſentia, ſi per hæc deitas notificatur, quando vnũ aliquod horum trium non adeſt, proculdubio in eo quod ſupereſt abolita eſt deitatis ratio. Ergo reſpondeat, quam de Deo vnigenito habet opinionem: genitum ipſum, an ingenitum putet: genitum C dicet omnino, ſiquidem ſuis dictis non repugnet. Si igitur idem eſt cum ingenito, eſſentiáque & incorruptibile, per quæ diuinitas dignoſcitur; cui non adeſt ingenitum, ſimul ab hoc ablata eſt planè eſſentia & quod incorruptibile, quibus remotis deitas neceſſariò eximetur. Quamobrem ad duplicem terminum ſecundùm eorum blaſphemiam conſequentiæ ratio peruenit: ſi enim ſecundum idem ſignificatum in Deo dicitur eſſentia & incorruptibilitas & ingenitum, manifeſtè demonſtratus eſt hic nouus Dei fabricator, filium ab eo D creatum, corruptibilem etiam cognoſcere, quia non ingenitum noſcat: nec hoc ſolum ſed etiam funditus non ſubſiſtentem, quia non poſſit ipſum in deitate intueri, in quo ingenitum non cernitur: ſiquidem idem ingenitum & incorruptibile cum eſſentia opinatur. Quoniam verò in his perſpicua eſt pernicies, miſeris aliquis conſulat, vt ad id quod ſupereſt ratione conuertantur, nec reluctentur ex manifeſto contra veritatem: ſed aſſentiantur horum ſingulorum nominum proprium eſſe ſignificatum, quod quidem magis quis per ea quæ opponuntur intellexerit. Nam

A σίαν τε καὶ ἀγεννησίαν εἶναι φησί. τρία τοίνυν ἐπὶ Θεοῦ εἶπεν ὀνόματα, τὴν οὐσίαν, τὸ ἄφθαρτον, τὸ ἀγέννητον. εἰ μία τῶν τριῶν τούτων ὀνομάτων ἐπὶ Θεοῦ ἐστὶν ἡ ἔννοια, ἡ θεότης ταῦτα τὰ τρία πάντως ἐστίν. ὡς εἴ τις λέγοι τὸν ἄνθρωπον χαρακτηρίσαι βουλόμενος λογικὸν αὐτὸν εἶναι, γελαστικόν τε καὶ πλατυώνυχον, ἐφ' ᾧ διὰ τὸ μηδεμίαν κατὰ τὴν φύσιν ἐν ἑκάστῳ διαφορὰν εἶναι ἰσοδυναμεῖν τε ἀλλήλοις τὰ ὀνόματα λέγομεν, καὶ ἓν εἶναι τῷ ὑποκειμένῳ τὰ τρία, τὴν ἀνθρωπότητα, τὴν διὰ τῶν ὀνομάτων ὑπογραφεῖσαν. εἰ τοίνυν τοῦτό ἐστιν ἡ θεότης, ἡ ἀγεννησία τε B καὶ ἡ ἀφθαρσία καὶ ἡ οὐσία, κατὰ πᾶσαν ἀνάγκην ἐν τῇ τοῦ ἑνὸς τούτων ἀφαιρέσει, συναναιρεῖ καὶ τὴν θεότητα. ὡς γὰρ τὸν μὴ λογικὸν οὐδὲ γελαστικὸν εἴποι τις ἄν, οὐδὲ ἄνθρωπον· οὕτως καὶ ἐπὶ τούτων τῶν τριῶν ὀνομάτων, τοῦ τε ἀγεννήτου φημὶ καὶ τοῦ ἀφθάρτου καὶ τῆς οὐσίας, εἰ διὰ τούτων ἡ θεότης χαρακτηρίζεται, ὅταν ἕν τι τῶν τριῶν μὴ ὑπάρχῃ, διεγράφη πάντως τῷ λείποντι καὶ ὁ τῆς θεότητος λόγος. οὐκοῦν ἀποκρινάσθω, τίνα περὶ τοῦ μονογενοῦς Θεοῦ ἔχει τὴν δόξαν, γεν- C νητὸν αὐτὸν ἢ ἀγέννητον οἴεται; γεννητὸν ἐρεῖ πάντως, εἴπερ τοῖς ἰδίοις μὴ μάχοιτο. εἰ οὖν ταὐτόν ἐστι τῷ ἀγεννήτῳ ἡ οὐσία τε καὶ τὸ ἄφθαρτον, δι' ὧν ἡ θεότης γνωρίζεται, ᾧ μὴ πρόσεστιν τὸ ἀγέννητον, συναφήρηται τούτου πάντως ἡ οὐσία τε καὶ τὸ ἄφθαρτον, ὧν μὴ παρόντων, καὶ ἡ θεότης κατὰ πᾶσαν ἀνάγκην ἐξαιρεθήσεται. οὐκοῦν εἰς διπλοῦν πέρας τῆς κατὰ τὸ βλάσφημον αὐτῶν ἀκολουθίας ὁ λόγος κατήντησεν. εἰ γὰρ κατὰ τὸ αὐτὸ σημαινόμενον λέγεται ἐπὶ τοῦ Θεοῦ ἡ οὐσία τε καὶ ἡ ἀφθαρσία, καὶ τὸ ἀγέννητον, σαφῶς ἀ- D ποδέδεικται ὁ καινὸς οὗτος θεοποιὸς τὸν παρ' αὐτοῦ κτισθέντα υἱὸν, φθαρτόν τε γινώσκων, διὰ τὸ μὴ γινώσκειν ἀγέννητον, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ παντελῶς ἀνυπόστατον, διὰ τὸ μὴ δύνασθαι αὐτὸν ἐν θεότητι βλέπειν, ᾧ οὐκ ἐνθεωρεῖται τὸ ἀγέννητον. εἴπερ ταὐτὸν τὸ ἀγέννητόν τε καὶ ἄφθαρτον τῇ οὐσίᾳ οἴεται. ἐπεὶ δὲ πρόδηλος ἐν τούτοις ἐστὶν ἡ ἀπώλεια, συμβουλευσάτω τις τοῖς δειλαίοις ἐπὶ τὸ λειπόμενον τραπῆναι τῷ λόγῳ, καὶ μὴ ζυγομαχεῖν ἐκ τοῦ προδήλου πρὸς τὴν ἀλήθειαν· ἀλλὰ συντίθεσθαι ἴδιον ἑκάστου τούτων εἶναι τῶν ὀνομάτων τὸ σημαινόμενον, ὅπερ μᾶλλον ἄν τις διὰ τῶν ἀντιδιαστελλομένων νοήσειε.

τό τε γὰρ ἀγέννητον τῇ πρὸς τὸ γεννητὸν ἀντιδιαστολῇ ἐξευρίσκομεν, καὶ τὸ ἄφθαρτον τῇ πρὸς τὸ φθαρτὸν παραθέσει γνωρίζεται, καὶ ἡ οὐσία τῇ πρὸς τὸ ἀνυπόστατον παραλλαγῇ θεωρεῖται. ὡς γὰρ τὸ μὴ γεννηθὲν, ἀγέννητον λέγεται, καὶ τὸ μὴ φθείρεται, ἄφθαρτον· οὕτως καὶ τὸ μὴ ἀνύπαρκτον, οὐσίαν κατονομάζομεν, καὶ τὸ ἔμπαλιν ὡς τὸ γεννητὸν οὐκ ἀγέννητον λέγομεν, καὶ τὸ φθαρτὸν οὐκ ἄφθαρτον ὀνομάζομεν. οὐκοῦν οὐσία μὲν ἐν τῷ εἶναί τι καταλαμβάνεται· τὸ δὲ ἀγαθὸν ἢ τὸ φθαρτὸν, ἐν τῷ ποταπὸν εἶναι. ἄλλος οὖν ὁ τοῦ εἶναι λόγος, καὶ ἕτερος ὁ τὸ πῶς, ἢ τὸ ποῖον δι' ἑαυτοῦ σημαίνων. καί μοι δοκεῖ καλῶς ἔχειν ὑπερβαίνειν τὴν διὰ μέσου ναυτίαν. οὕτω γὰρ οἶμαι χρῆναι τὰς ἀνοήτους αὐτοῦ κατὰ τῆς ἐπινοίας ἐπιχειρήσεις κατονομάζειν, τοῖς προκειμένοις ἡμῖν ἐμφιλοχωρῆσαι νοήμασι. τὰ γὰρ ὅσα πρὸς ἀνατροπὴν τῶν περὶ τῆς ἐπινοίας τοῦ διδασκάλου τεθεωρημένων ὑπὸ τοῦ λογογράφου, καθάπερ τις χυμὸς φλεγματώδης ἐξήμεσται, τοιαῦτα ἐστὶν ὡς μηδένα κίνδυνον παρέχειν τοῖς ἐντυγχάνουσι, κἂν σφόδρα τις ἠλίθιος ὢν καὶ εὐπαράγωγος τύχῃ. τίς γὰρ οὕτως ἔξω διανοίας ἐστὶν, ὥστε τὰ ὑποδειγματικῶς περὶ τοῦ σίτου παρὰ τοῦ διδασκάλου τεθέντα, δι' ὧν οἱονεὶ τέχνην τινὰ καὶ ἔφοδον πρὸς τὴν τῶν ὑψηλῶν θεωρίας τῷ ἀκροατῇ ὑπετίθετο, ταῦτα ψιλῶς τοῦ Εὐνομίου τοῖς περὶ τῆς οὐσίας τοῦ Θεοῦ τῶν ὅλων ἐφαρμόζοντος λόγοις, οἰηθῆναι τι λέγειν αὐτὸν, καὶ μετά τινος ἀγχινοίας κατὰ τῆς ἀληθείας τεχνάζεσθαι. τὸ γὰρ φάσκειν αὐτὸν θεοπρεπεστάτην αἰτίαν ἐπὶ τοῦ Θεοῦ τοῦ γεννῆσαι τὸν υἱὸν εἶναι τὴν ἀδέσποτον ἐξουσίαν, καὶ τὴν ἀνυπέρβλητον δύναμιν, ὅπερ οὐ περὶ τοῦ κόσμου μόνον καὶ τῶν ἐν αὐτῷ στοιχείων, ἀλλὰ καὶ περὶ τῶν ἑρπετῶν καὶ θηρίων ἐστὶν εἰπεῖν καὶ τοῦτο ὡς πρέπον ἐπὶ τῆς τοῦ μονογενοῦς Θεοῦ ὑπολήψεως τὸν σεμνὸν θεολόγον ἐκτίθεσθαι, ἢ τὸ λέγειν καὶ πρὸ τῆς τῶν ὀνομαζόντων γενέσεως ἀγέννητον, ἢ πατέρα, ἢ τὰ λοιπὰ τῶν ὀνομάτων προσαγορεύεσθαι τὸν Θεόν. καθάπερ δεδιότα, μὴ τοῦ ὀνόματος παρὰ τοῖς μήπω γεγονόσι σιωπηθέντος, ἑαυτὸν ἀγνοήσῃ, ἢ εἰς λήθην ἑαυτοῦ πέσοι, τῇ σιωπῇ τοῦ ὀνόματος ὅ ἐστιν ἀγνοήσας. ἡ δὲ χλευαστικὴ τῶν ἡμετέρων λόγων καταδρομὴ, ὅσον τὸ δριμύ τε καὶ ἀγχίνουν ἔχει, δι' ὧν κατασκευάζει τὸ ἄτοπον, ὅτι ὁ πρὸ πάντων

A & ingenitum per geniti oppoſitionem inuenimus, & incorruptibile per corruptibilis appoſitionem cognoſcitur, & eſſentia per diſcrimen cum eo quod nõ ſubſiſtit ſpectatur. Sicut enim quod non genitum eſt, ingenitum dicitur, & quod non corrumpitur, incorruptibile: ſic quod non eſt non exiſtens, eſſentiam nominamus. Et contra ſicut genitum non dicimus ingenitum, ſic quod corruptibile eſt, non incorruptibile nominamus. Ergo eſſentia quidem in eo quod eſt aliquid, intelligitur: bonum autem, vel corruptibile quale quid eſſe B indicat. Alia igitur eſſentię ratio, & alia quæ quomodo, vel quale per ſe declarat. Ac mihi præclarè habere videtur, ſi intermediam nauſeam ſuperauero, (ſic enim arbitror oportere amentes eius contra commentationem aggreſſiones nominare,) dũ cupidus immoror in propoſita nobis notione. Quæcumque enim ad euerſionem eorum quę de commentatione à magiſtro cõſiderata ſunt, veluti quidam ſuccus pituitoſus ab hoc ſcriptore euomita ſunt, talia ſunt vt nihil periculi legentibus præbeant, C etſi admodum aliquis fuerit ſtolidus, & cui verba dare ſit facile. quis enim ita mentis inops & vecors, vt quæ exempli gratia de frumento à doctore poſita ſunt, quibus velut artem quandam & aditum ad ſublimium contemplationem auditori ſupponebat, hæc dum exiliter Eunomius de eſſentia Dei vniuerſorum ſermonibus accommodat, arbitretur ipſum aliquid dicere, & cum aliqua ſolertia contra veritatem architectari. Nam quod ipſe aſſerat cauſam in Deo decentiſſimam filium gignendi, eſſe liberam poteſtatem & virtutem D ſuperexcellentem, quod quidem non ſolum de mundo & de elementis in ipſo contentis, ſed etiam de reptilibus & feris licet dicere. Et hoc vt decorum in vnigeniti Dei exiſtimatione grauem & venerandum theologum exponere. Vel dum dicit etiam ante ortum eorum qui nominant ingenitum, vel patrẽ, vel reliqua nomina, Deum appellari, quaſi metuat ne nomine apud res nõdũ natas tacito ſeipsũ ignorarit, vel in ſui ipſius obliuionem inciderit, ſilentio nominis quid ſit neſciens. At illa cauillatoria noſtrorum ſermonum inſectatio, quãtum acrimoniæ & ſolertiæ habet, quibus abſurdum cõſtruit, quod qui ante omnia

ſecula & tempora, & omnē ſenſibilem & intelligibilem naturam, fuit pater, quomodo homines expectat, vt per cōmentationem his appellationibus nominetur, qui non nominabatur, vt ait ille, neque à filio, neq. ab vllis per illum ætatis rebus intelligibilibus? Nullum enim ita profunda grauedine oppletum puto, vt ignoret quod vnigenitus Deus, qui in patre eſt, & in ſeipſo patrē videt, nomine vel verbo ad ſubiecti cognitionem non indiget: neque Spiritus ſanctus, qui etiam Dei abditiſſima rimatur, per nominatiuam appellationem ad eius quod quæritur cognitionem adducitur. Neque incorporea tranſmundanarum virtutum natura voce & lingua numen nominat. Nam in natura immateriali & intelligente, actus qui fit ſecundum mentem, ſermo eſt, nihil materiali inſtrumentorū miniſterio vtens. Etenim in humana natura, non nobis verborum & nominum vſu opus eſſet, ſi poſſemus nudas mentis impulſiones, & animi ſenſa patefacere. Nunc autem cum in nobis notiones ingenerentur, propterea quod carnali amictu natura prępedita eſt, cùm nō poſſint declarari, neceſſariò tanquam ſignis & notis quibuſdā nominibus impoſitis illas mentis notiones viciſſim expromimus. Quod ſi aliquo modo liceret cogitationis agitationes renudare, periodicam nominum operam valere iubentes, fulgentius & purius inter nos conuerſaremur, ipſam rerum naturam, in qua mens occupatur, cogitationis impulſionibus recludentes. Nunc autem huius gratia ſingulis rebus nomen poſuimus, alij quidem cœlum, alij verò terram, & alij quid aliud. Et quoniam aliud ad aliquid relationem habet, vel agit vel patitur; omnia hæc peculiaribus vocibus ſignificamus, ne incommunicabilis & incognita mentis notio in nobis reſideret. Illa verò ſupermundialis & immaterialis natura, quæ ab omni concretione corporea libera eſt & ſoluta, neque in ſeipſa, neque in ſupereminente natura nominibus vel verbis indiget, ſed ſicubi à natura intelligente profectus memoratur ſermo aliquis in ſacris libris deſcriptus, illud noſtri cauſa, qui audimus dicitur, qui non

1. Cor. 2.

A αἰώνων καὶ χρόνων καὶ πάσης αἰσθητῆς τε καὶ νοητῆς φύσεως γεγονὼς πατήρ, πῶς περιμένει τοὺς ἀνθρώπους, ἵνα διὰ τῆς τούτων ὀνομασθῇ ἐπινοίας, οὐκ ὀνομαζόμενος, ὥς φησιν ἐκεῖνος, οὔτε ὑπὸ τοῦ υἱοῦ, οὔτε ὑπὸ τῶν δι' ἐκείνου γενομένων νοητῶν ὑποστάσεων; οὐδένα γὰρ οὕτως οἶμαι κορύζης εἶναι βαθείας μεστόν, ὡς ἀγνοεῖν ὅτι ὁ μονογενὴς Θεός, ὁ ἐν πατρὶ ὤν, καὶ ἐν αὐτῷ τὸν πατέρα βλέπων ὀνόματος ἢ ῥήματος πρὸς τὴν τοῦ ὑποκειμένου γνῶσιν οὐκ ἐπιδέεται, οὔτε τὸ πνεῦμα τὸ ἅγιον, τὸ τὰ τοῦ Θεοῦ βάθη διερευ-
B νώμενον, διὰ τῆς ὀνομαστικῆς προσηγορίας πρὸς τὴν τοῦ ζητουμένου γνῶσιν ἐνάγεται. οὔτε ἡ ἀσώματος τῶν ὑπερκοσμίων δυνάμεων φύσις, φωνῇ καὶ γλώττῃ κατονομάζει τὸ θεῖον. ἐπὶ γὰρ τῆς ἀΰλου καὶ νοερᾶς φύσεως, ἡ κατὰ τὸν νοῦν ἐνέργεια λόγος ἐστίν, οὐδὲν τῇ ὑλικῇ τῶν ὀργάνων ὑπηρεσίᾳ συγχρώμενος. καὶ γὰρ ἐπὶ τῆς ἀνθρωπίνης φύσεως, οὐδὲν ἂν ἐδέομεν ἡμεῖς τῆς τῶν ῥημάτων τε καὶ ὀνομάτων χρήσεως, εἰ δυνατὸν ἦν γυμνὰ προδεικνύειν ἀλλήλοις τὰ τῆς διανοίας κινήματα· νυνὶ δὲ τῶν ἐγγινομένων ἡμῖν νοημάτων,
C διὰ τὸ τῇ σαρκίνῃ περιβολῇ τὴν φύσιν ἡμῶν περιείργεσθαι, φανερωθῆναι μὴ δυναμένων, ἀναγκαίως καθάπερ σημεῖα τοῖς πράγμασι τὰς ποιὰς τῶν ὀνομάτων θέσεις ἐπιβαλόντες, δι' ἐκείνων τὰς τοῦ νοῦ κινήσεις ἀλλήλοις δημοσιεύομεν. εἰ δέ πως ἦν ἀπογυμνοῦν ἑτέρως τὰ τῆς διανοίας κινήματα, χαίρειν τὴν περιοδικὴν τῶν ὀνομάτων ὑπηρεσίαν ἐάσαντες, τηλαυγέστερον ἂν καὶ καθαρώτερον ἀλλήλοις συνεγινόμεθα, αὐτὴν τὴν τῶν πραγμάτων φύσιν, περὶ ἣν ὁ νοῦς καταγίνεται, ταῖς τῆς διανοίας ὁρμαῖς ἐκ-
D καλύπτοντες· νυνὶ δὲ τούτου χάριν τῷ μέν τινι τῶν ὄντων ὄνομα οὐρανὸν ἐθέμεθα, ἑτέρῳ δὲ γῆν, καὶ ἄλλῳ ἄλλο τι, καὶ τὸ πρός τι πῶς ἔχειν, ἢ τὸ ἐνεργεῖν, ἢ τὸ πάσχειν, πάντα ταῦτα ἰδιαζούσαις ἐπισημαινόμεθα ταῖς φωναῖς. ὡς ἂν μὴ ἀκοινώνητός τε καὶ ἄγνωστος, ἡ τοῦ νοῦ κίνησις ἐν ἡμῖν μένοι· ἡ δὲ ὑπερκόσμιος ἐκείνη καὶ ἄϋλος φύσις τῆς σωματικῆς περιοχῆς ἐλευθέρα οὖσα καὶ ἄνετος, οὔτε ἐπὶ τῆς ὑπερκειμένης φύσεως ὀνομάτων δέεται ἢ ῥημάτων. ἀλλ' εἴπου καὶ μνημονεύεται παρὰ τῆς νοερᾶς φύσεως λόγος τις ἐν ἱεραῖς βίβλοις ἀναγεγραμμένος, ἡμῶν ἕνεκεν τῶν ἀκουόντων τὸ τοιοῦτον λέγεται, τῶν ἀδυ-

A τούτων ἄλλῳ τρόπῳ μαθεῖν τὸ δηλούμενον, μὴ διὰ φωνῶν καὶ ῥημάτων ἐξαγγελλόμενον. καὶ ὁ Δαβὶδ ἐν πνεύματι λέγει τῷ κυρίῳ παρὰ τοῦ κυρίου τι λέγεσθαι. Δαβίδ ὁ λέγων ἐστὶν, ὁ μὴ δυνάμενος ἑτέρως ἡμῖν τὴν τοῦ νοηθέντος διδασκαλίαν ποιήσασθαι, εἰ μὴ διὰ φωνῶν καὶ ῥημάτων τὴν ἐγγενομένην αὐτῷ θεόθεν τῶν μυστηρίων κατανόησιν ἑρμηνεύσειε. πάντα τοίνυν τὰ κατὰ τῆς ἐπινοίας αὐτῷ φιλοσοφηθέντα ῥήματα, παραδραμεῖν οἶμαι καλῶς ἔχειν· κἂν μανίαν ἐπικαλῇ τοῖς τὸ τῆς θεότητος ὄνομα πρὸς δήλωσιν τῆς ὑπερεχούσης δυνάμεως παρὰ τῶν ἀνθρώπων οἰομένοις δι' ἐπινοίας λέγεσθαι. B τί μὲν γὰρ συννοῶν, διασύρειν οἴεται δεῖν τὴν ἐπίνοιαν, ἐκ τῶν ἐκείνου πάρεστι λόγων τοὺς βουλομένους διδάσκεσθαι. οἷα δὲ ἡμεῖς ὑπολαμβάνομεν περὶ τῆς τῶν ὀνομάτων χρήσεως, ἐν τοῖς κατόπιν εἰρήκαμεν. ὅτι τῶν πραγμάτων ἐχόντων ὡς ἔχει φύσεως, τὰς ἑρμηνευτικὰς τῶν ὄντων φωνὰς, ἡ τεθεῖσα παρὰ τοῦ Θεοῦ τῇ φύσει ἡμῶν λογικὴ δύναμις εὕρατο. ὧν εἰ μέν τις τὴν αἰτίαν εἰς τὸν δεδωκότα τὴν δύναμιν ἀναφέρει, οὔτε ἡμεῖς ἀντιλέγομεν· ὥσπερ καὶ τὸ κινεῖσθαι καὶ τὸ ὁρᾷν, καὶ τὰ C λοιπὰ διὰ τῶν αἰσθήσεων ἐνεργεῖν παρ' ἐκείνου λέγομεν γίνεσθαι παρ' οὗ τὴν τοιαύτην ἐσχήκαμεν δύναμιν. οὕτως οὖν καὶ τοῦ ὀνομάζειν Θεὸν τὸν ὄντα κατὰ τὴν φύσιν ὅπερ ἐστὶν, ἡ μὲν αἰτία κατὰ τὸν κοινὸν λόγον εἰς αὐτὸν ἐκεῖνον τὴν ἀναφορὰν ἔχει, ἡ δὲ ἐξουσία τοῦ τὰ νοηθέντα πάντα τοιῶσδε ἢ ὡς ἑτέρως κατονομάζειν, ἐν τῇ φύσει κεῖται· ἣν εἴ τε τις ἐπίνοιαν, εἴ τε ἄλλο τι βούλοιτο λέγειν, οὐ διοισόμεθα. τεκμήριον δὲ τοῦ λόγου τοῦτο ποιούμεθα, D τὸ μὴ παρὰ πᾶσιν ὁμοίως τὸ θεῖον κατονομάζεσθαι, ἀλλὰ κατὰ τὸ δοκοῦν ἑκάστοις τὸ νοηθὲν ἑρμηνεύεσθαι. οὐκοῦν πᾶσαν τὴν συρφετώδη περὶ τῆς ἐπινοίας αὐτοῦ φλυαρίαν σιγήσαντες, τῶν δογμάτων ἑξόμεθα, τοσοῦτον ἡμῖν παρασημηνάμενοι ἔκ τινων τῶν κατὰ τὸ μέσον αὐτῷ τῆς κενοφωνίας παρεντιθέντων, ὅπου οἴεται τὸν Θεὸν τοῖς πρωτοπλάστοις, καθάπερ τινὰ παιδαγωγὸν ἢ γραμματιστὴν παρακαθήμενον, ῥημάτων τε καὶ ὀνομάτων ὑφηγεῖσθαι διδασκαλίαν· ἐν οἷς φησιν, αὐτοὺς τοὺς πρώτους ὑπὸ τοῦ Θεοῦ πλασθέντας, ἢ τοὺς προσεχῶς ἐξ ἐκείνων φύντας, εἰ μὴ ἐδιδάχθησαν ὡς ἕκαστα τῶν πραγμάτων λέγεταί τε καὶ ὀνομάζεται, ἀφωνίᾳ καὶ ἀλογίᾳ συζῆν, καὶ οὐδὲν ἂν φησιν

alio modo poſſumus quod declaratur percipere, quod non per voces & verba enunciatur. Et ſi Dauid in ſpiritu dicit Domino à Domino aliquid dici, eſt Dauid qui loquitur, qui non poteſt aliter nobis rei intellectæ doctrinam tradere, niſi per voces & verba myſteriorum cognitionem à Deo in ipſo ingeneratam interpretetur. Omnia igitur quæ contra commẽtationem ipſe diſſeruit verba, optimũ præterire arbitror. Tametſi inſaniæ accuſet eos qui deitatis nomẽ ad declarationẽ ſupereminẽtis virtutis putant ab hominib. per cõmentationẽ dici. Quid enim hic intelligens putat oportere cõmentationẽ conuitiis inceſſere, ex illius ſermonibus licet, qui volunt, doceri. Qualia autẽ nos exiſtimamus de nominum vſu, in ſuperioribus diximus. Quod cùm ita ſe res habeant vt earũ fert natura, voces rerum interpretes rationalis facultas à Deo inſita in natura noſtra excogitauit. Quarum ſi quis cauſam in eum qui facultatem dedit, referat, neque nos repugnabimus: ſicut moueri & videre, & reliqua per ſenſus efficere ab illo fieri dicimus, à quo talem adepti ſumus facultatem. Sic igitur cauſa quidem nominandi Deum qui eſt ſecundum naturam quod quidem eſt, ſecundum communem rationem in illum ipſum debet referri: poteſtas autẽ libera, ſenſa animi omnia & cogitata ſic vel aliter nominandi, in natura ſita eſt, quam ſiue quis ἐπίνοιαν commentationem, ſiue alio aliquo nomine velit appellare, non contẽdemus. Huius ſermonis certiſſimum argumentum facimus, quòd non apud omnes ſimiliter quod Deus eſt nominetur, ſed vt cuique videtur, quod intellectum eſt, interpretetur. Quamobrem omnem ipſius vilem & abiectam de commentatione garrulitatem ſilentio prætereuntes, decreta tenebimus, tantum nobis adnotantes ex quibuſdam eorum, quæ in medio futilitatis ſiue vaniloquij interiecta ſunt, vbi putat Deum primis formatis parentibus, veluti aliquem pædagogum vel grammatiſtam præſidentem, verborum & nominum doctrinam tradidiſſe: in quibus ait, ipſos primos à Deo effectos, vel continua ſerie ex illis genitos, niſi edocti fuiſſent, quomodo res quæque dicuntur & nominantur, mutos & orationis expertes victuros fuiſſe, nihilque ait

eorum quæ vitæ humanæ ſunt vtilia peragere potuiſſe : quia incognita fuiſſet cuiuſque & incerta ſententia, penuria ſignificantium, nempe verborum & nominum. Tanta eſt huius ſcriptoris amentia, vt non ei ſatis ſit exiſtimare naturæ inditam à Deo facultatem ad omnem methodũ rationalis functionis. Sed niſi ſingula didiciſſet, tanquam qui Hebræorum vel Romanorum linguam ad verbum doceantur, res ipſas quid ſunt ignorare, neque ignem, neque aquam, neque aërem, neque reliqua quæ ſunt, cognoſcentes, niſi per impoſita ipſis nomina de his cognitionem eſſent adepti. Nos autem dicimus quod ille qui omnia in ſapientia fecit, & qui rationalem hanc creaturam effinxit, hoc ſolo quod in eius natura ratio ineſt, omnem rationalem facultatem indidit. Et quemadmodum in ſentiendi inſtrumentis facultatem ab eo qui finxit oculum, & ab eo qui plantauit aurem in natura habentes, ab ipſis ad quod inſtrumentorum ſentiendi vnumquodque natura comparatum eſt, ad hoc vſi ſumus, neque egemus eo qui colores nominet, quorum viſus perceptionem habet : ſufficit enim quod oculus ſibi ſit talium magiſter : Neque eorum quæ per auditum, vel per guſtum, vel per tactum ſentimus, alienis ad cognitionem doctoribus indigemus, è domo habentes cuiuſque eorum quæ per ſenſum ingenerantur nobis iudicandi inſtrumentum. Sic dicimus etiam intellectualem animi facultatem talem à Deo factam, à ſeipſa cæterùm moueri, & ad res contueri : Atque vt nullam confuſionem cognitio pateretur, veluti ſignacula quædam, notas quæ per voces fiũt, cuique rei indere. Hoc dogma confirmat etiam magnus Moſes, cum dixit ab Adamo brutis animantibus nomina fuiſſe impoſita, ſic ſcribens ad verbum : Et formauit Deus amplius ex terra omnes beſtias agri, & omnia volatilia cœli, & adduxit ad Adamum vt videret quomodo ea nuncuparet: & omne quod vocaſſet Adamus animam viuentem, hoc nomen ipſi. Et indidit Adamus nomina beſtiis terræ, & iumentis & omnibus belluis agri. Sed videtur velut quoddam viſcoſum lutum, & gluten habens ab eo contra commentationem effictum

A τῶν βιωφελῶν κατεπράξαντο, ἀδήλου ἑκάστου διανοίας ὑπαρχούσης δι' ἀπειρίαν τῶν σημαινόντων, ῥημάτων δηλαδὴ καὶ ὀνομάτων. τοσαύτη παραφροσύνη τοῦ λογογράφου, ὡς μὴ ἐξαρκεῖν ἡγεῖσθαι τὴν ἐνθεῖσαν τῇ φύσει παρὰ τοῦ Θεοῦ δύναμιν πρὸς πᾶσαν μέθοδον λογικῆς ἐνεργείας. ἀλλ' εἰ μὴ τὰ καθ' ἕκαστον μάθοι, καθάπερ οἱ τὴν τῶν Ἑβραίων ἢ τῶν Ῥωμαίων φωνὴν διὰ λέξεων διδασκόμενοι, ἀγνοεῖν τὰ πράγματα ὅτι ἐστὶ, μὴ τὸ πῦρ, μὴ τὸ ὕδωρ, μὴ τὸν ἀέρα, μὴ τὰ λοιπὰ τῶν ὄντων ἐπιγινώσκοντας,
B εἰ μὴ διὰ τῶν ἐπικειμένων αὐτοῖς ὀνομάτων τὴν περὶ τούτου γνῶσιν ἐκτήσαντο. ἡμεῖς δὲ φαμὲν ὅτι ὁ τὰ πάντα ἐν σοφίᾳ ποιήσας, καὶ τὸ λογικὸν τοῦτο πλάσμα ζωοπλαστήσας, μόνῳ τῷ ἐνθεῖναι τῇ φύσει τὸν λόγον, πᾶσαν τὴν δύναμιν τὴν λογικὴν ἐναπέθετο. καὶ ὥσπερ τὴν ἐν τοῖς αἰσθητηρίοις δύναμιν παρὰ τοῦ πλάσαντος τὸν ὀφθαλμὸν, καὶ φυτεύσαντος τὴν ἀκοὴν ἐν τῇ φύσει ἔχοντες, παρ' αὐτῶν πρὸς ὃ πέφυκε τῶν αἰσθητηρίων ἓν ἕκαστον, πρὸς τοῦτο κεχρήμεθα, καὶ οὐ δεόμεθα, οὔτε τοῦ τὰ χρώματα κατονομάσαντος, ὧν
C ἡ ὅρασις τὴν ἀντίληψιν ἔχει· ἀρκεῖ γὰρ ὁ ὀφθαλμὸς ἑαυτῷ γενέσθαι τῶν τοιούτων διδάσκαλος· οὔτε ὧν διὰ τῆς ἀκοῆς, ἢ διὰ τῆς γεύσεως, ἢ διὰ τῆς ἁφῆς αἰσθανόμεθα, ἀλλοτρίων πρὸς τὴν γνῶσιν διδασκάλων δεόμεθα, οἴκοθεν ἔχοντες ἑκάστου τῶν κατ' αἴσθησιν γινομένων ἡμῖν τὸ κριτήριον. οὕτω φαμὲν καὶ τὴν διανοητικὴν τῆς ψυχῆς δύναμιν τοιαύτην παρὰ τοῦ Θεοῦ γενομένην, ἀφ' ἑαυτῆς τὸ λοιπὸν κινεῖσθαι, καὶ πρὸς τὰ πράγματα βλέπειν, καὶ ὡς ἂν μηδεμίαν σύγχυσιν ἡ γνῶσις πάθοι, καθάπερ σημαντρά τινα ταῖς διὰ τῶν φω-
D νῶν ἐπισημειώσεις ἑκάστῳ τῶν πραγμάτων ἐπιβάλλειν. πιστοῦται δὲ τὸ τοιοῦτον δόγμα καὶ ὁ μέγας Μωϋσῆς, εἰπὼν παρὰ τοῦ Ἀδὰμ ἐπιτεθῆναι τοῖς ἀλόγοις τῶν ζώων τὰς ἐπωνυμίας, οὑτωσὶ γράψας τῷ ῥήματι· καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά. καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ. καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ κτήνεσι, καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ. ἀλλ' ἔοικε καθάπερ τις γλοιώδης πηλὸς, καὶ ἐγκέκολλος, ὁ κατὰ τῆς ἐπινοίας αὐτοῦ

συντεθεὶς λήροις παρατρέχειν ἡμᾶς, καὶ μὴ ἐᾶν τῶν χρησιμωτέρων προσάψασθαι. πῶς γὰρ ἄν τις παραδράμοι τὴν σπουδαίαν ἐκείνην καὶ περιφερομένην φιλοσοφίαν, ἐν οἷς φησι, μὴ μόνον τοῖς ποιήμασιν ἐμφαίνεσθαι τὴν τοῦ Θεοῦ μεγαλοπρέπειαν, ἀλλὰ κἂν τοῖς ὀνόμασι διαδείκνυσθαι τὴν τοῦ Θεοῦ σοφίαν, οἰκείως καὶ προσφυῶς ἑκάστῳ τῶν δημιουργηθέντων τὰς προσηγορίας ἁρμόσαντος, ταῦτα Κρατύλῳ τάχα τῷ Πλατωνικῷ διαλόγῳ, ἢ αὐτὸς ἐντυχὼν, ἢ τινὸς τῶν ἐντετυχηκότων ἀκούσας, διὰ τὴν πολλὴν οἶμαι πτωχείαν τῶν νοημάτων ἐρράπτει τοῖς ἰδίοις λήροις τὰς ἐκεῖ φλυαρίας. ὅμοιον ποιῶν τοῖς τὴν τροφὴν ἐκ προσαιτήσεως ἑαυτοῖς συναγείρουσιν. ὡς γὰρ ἐκεῖνοι βραχύ τι παρ' ἑκάστου τῶν ὀρεγόντων δεχόμενοι, ἐκ ποικίλων τε καὶ πολυειδῶν τὴν τροφὴν ἑαυτοῖς ἐρανίζουσιν, οὕτως καὶ ὁ τοῦ Εὐνομίου λόγος διὰ τὴν τοῦ ἀληθινοῦ ἄρτου πενίαν, τὰς πανταχόθεν ψιχὰς ῥημάτων τε καὶ νοημάτων, τῷ ἰδίῳ συνερανίζει πόνῳ. καὶ τούτου χάριν περιεκτυπηθεὶς τῇ καλλιφωνίᾳ τῆς Πλατωνικῆς λέξεως, πρέπον οἴεται δόγμα τῆς ἐκκλησίας τὴν ἐκείνου φιλοσοφίαν ποιήσασθαι. πόσαις γὰρ, εἰπέ μοι, φωναῖς κατὰ τὰς τῶν ἐθνῶν διαφορὰς ἡ τοῦ στερεώματος κατονομάζεται κτίσις; ἡμεῖς οὐρανὸν αὐτὸ λέγομεν, Σαμαὶμ ὁ Ἑβραῖος, ὁ Ῥωμαῖος Κελοὺμ, καὶ ἄλλως ὁ Σύρος, ὁ Μῆδος, ὁ Καππαδόκης, ὁ Μαυρούσιος, ὁ Σκύθης, ὁ Θρᾷξ, ὁ Αἰγύπτιος, οὐδὲ ἀριθμῆσαι ῥᾴδιον τὰς τῶν ὀνομάτων διαφορὰς, ὅσαι κατὰ ἔθνος περί τε οὐρανοῦ καὶ τῶν λοιπῶν πραγμάτων οὖσαι τυγχάνουσιν. ποῖον οὖν εἰπέ μοι τούτων προσφυές ἐστιν ὄνομα, ᾧ ἡ μεγαλοπρεπὴς σοφία τοῦ Θεοῦ διαδείκνυται; ἂν γὰρ τὸ Ἑλληνικὸν τῶν λοιπῶν προτιμήσῃς, ἀντιφήσεταί σοι τυχὸν ὁ Αἰγύπτιος τὸ ἑαυτοῦ προβαλλόμενος. κἂν τῷ Ἑβραϊκῷ τὰ πρωτεῖα νείμῃς, ἀντιπαρεξάγει ὁ Σύρος τὴν ἰδίαν φωνὴν, οὐδὲ ὁ Ῥωμαῖος τούτοις τῶν πρωτείων ὑφήσεται. καὶ ὁ Μῆδος οὐ δέξεται μὴ τὰ ἑαυτοῦ προτερεύειν. καὶ ἐκ τῶν λοιπῶν ἐθνῶν ἕκαστον τὰ ἑαυτοῦ ἀξιώσει πρωτεύειν. τί οὖν οὐ πείσεται τὸ δόγμα πρὸς τοσαύτας φωνῶν διαφορὰς ὑπὸ τῶν ἀμφισβητούντων διαρπαζόμενον; ἀλλ' ἐκ τούτων, φησί, καθάπερ νόμων ἐμφανῶς κειμένων, δηλοῦται τὸ τὸν Θεὸν τοῖς φύσεσι πρεπούσας καταλλήλους ποιεῖσθαι τὰς κλήσεις. ὢ τῆς μεγαλοφυΐας τοῦ δόγματος· οἵας ὑπολήψεις ταῖς θείαις διδασκαλίαις ὁ θεολόγος χαρίζεται.

A commentum ſiue deliramentum nos detinere, nec ſincere nos ad ea quę plus vtilitatis habitura ſunt, pertingere. quomodo enim quis illam bonam & accuratam philoſophiam præteriret, in quibus ait, non ſolum in creaturis Dei magnificentiam apparere, ſed etiam in nominibus Dei ſapientiam demonſtrari, qui propriè & ad naturam accommodatè ſingulis rebus ab ipſo creatis appellationes aptauit, hæc fortaſſe cum in Cratylum Platonis dialogum vel ipſe incidiſſet, vel ex aliquo eorum qui legerunt cum audiuiſſet, ob multam vt B opinor notionum mendicitatem ſuis nugis aſſuit, quæ illic ſunt nugamenta: ſimile quid faciens his qui alimentum ex mendicitate ſibi ipſis congerunt. Vt enim illi modicum quid à ſingulis porrigentibus accipientes, ex variis & multiformis alimentum ſibi ipſis corrogant, ſic Eunomij ſermo propter veri panis inopiam vndique verborum & notionum micas proprio labore corrogat: huiuſque cauſa ob Platonicæ dictionis elegantiam attonitus, decere opinatur decreta eccleſiæ philo- C ſophiam facere. Quot enim, dic mihi, vocibus ſecundum gentium differentias firmamenti natura nominatur? Nos (Græci videlicet) οὐρανὸν dicimus, Samaim Hebræus, Romanus cœlum, & aliter Syrus, Medus, Cappadox, Mauruſius, Scyta, Thrax, Ægyptius. Neque numerare facile eſt nominum differentias, quot ſunt ſecundum ſingulas gentes de cœlo & reliquis rebus. Quódnam igitur, dic, horum natiuum & genuinum eſt nomen, quo magnifica Dei ſapientia demonſtratur? Si Gręcum reliquis præferas, tibi reſiſtet fortaſſe Ægyptius ſuum præponens. Et ſi He- D braico primas deferas, Syrus ſuam vocem ex aduerſo opponet, neque Romanus his de primatu cedet. Et Medus non admittet ſua non priores partes ferre. Et ex reliquis gentibus quæque ſuum primas obtinere volet. Quid igitur non patietur dogma ad tot vocum differentias à controuerſantibus diſciſſum? ſed ex his, inquit, tanquam legibus in aperto poſitis declaratur Deum naturis congruentes inter ſe appellationes facere. O magnificentia dignitatis! quales opiniones diuinis doctrinis theologus gratificatur,

quas neque balneatoribus inuident homines: Etenim illis concedunt nomina fingere operationibus, quibus elaborãtes occupantur, & nullus ipſos Deo æqualibus honoribus nobilitauit, quãdo pollubra ſiue pelluuia, & pſilethera, ſeu vnguẽta depilatoria, & mantilia, & talia multa his quæ ab ipſis fiunt, imponuntur, quæ cõuenienter verborum ſignificatione rem apertè declarãt. Sed & hæc prætcribo, & Epicuream ipſorum naturalem ſcientiã deinceps poſitam, quam æquiualere commentationi dicit, qui inane & indiuiduũ corpuſculum & fortuitas rerum generationes cognationẽ quandam habere aſſerit cum eo, quod per commentationem eſſe declaratur. En quomodo Epicurum nouit, dicentes arguimur: taceatur etiam eius præſes & dogmatum adiutor Ariſtoteles, cuius opinionem deinceps inquit commentationis ſermonibus cõferri. Illius enim, inquit eſſe dogma, non per omnia penetrare prouidentiam, neque vſque ad res terrenas permeare: quod quidem hic conſonum his quæ per commentationem exquiſita ſunt, confirmat, ſic conſideratè per accuratam ſubtilitatem dogmata dijudicat. Sed progrediens, oportere dicit, vel neque ortum eorum quæ ſunt, Deo concedere, vel ſi hunc dederimus, non auferri nominum poſitionem. Quinetiam de brutis & rationis expertibus, ſicut ante diximus, contrarium à ſcriptura docemur, quod neque fecit Adam animalia, neque nominauit Deus; ſed à Deo quidem ortus, ab homine verò factorum nuncupatio, ſicut à Moſe literis proditum eſt. Deinde ſermonum nobis encomium proprio ſermone perſequitur, ac ſi quis ignominia afficeret vim & facultatem ſermonis, & ait poſt illam ſtolidam & inanem atque inſolentem verborum ſtructuram, prouidentiæ lege & menſura perfectè copulare cum cognitione & vſu neceſſariorum, nominum traditionem, multáque eiuſmodi in profundo ſomno cum delirauit, ad inexpugnabilem atque ineluctabilem neceſſitatem ſermone pertranſit. Dicam autem non ad verbum, ſed ſolam tantummodò ſententiam ſermonum illius exponens: non, inquit, Poëtis aſſignanda eſt verborum inuentio, qui mentiti ſunt in opinionibus de Deo.

A ὧν οὐδὲ τοῖς βαλανεῦσι φθονοῦσιν οἱ ἄνθρωποι· καὶ γὰρ ἐκείνοις συγχωρεῖται ὀνοματοποιεῖν ἐνεργείας περὶ ἃς πονοῦντες τυγχάνουσι, καὶ οὐδεὶς αὐτοὺς ἰσοθέοις τιμαῖς ἀποσεμνύνει, ὅτε ποδόνιπτρα, καὶ ψιλέθρα, καὶ χειρόμακτρα, καὶ τοιαῦτα πολλὰ τοῖς γινομένοις παρ' αὐτῶν τίθενται, προσφυῶς δηλοῦντα τῇ ἐμφάσει τῶν ῥημάτων τὸ ὑποκείμενον. ἀλλὰ παραδραμοῦμαι καὶ ταῦτα, καὶ τὴν Ἐπικούρειον αὐτῶν φυσιολογίαν ἐφεξῆς κειμένην, ἣν ἰσοδυναμεῖν τῇ ἐπινοίᾳ φησίν, ὁ δὲ κενὸν καὶ ἄτομον, καὶ τὰς τυχαίας τῶν ὄντων γε- B νέσεις, συγγενῶς ἔχειν λέγων πρὸς τὸ διὰ τῆς ἐπινοίας δηλούμενον. ὢ πῶς ἐνόουν τὸν Ἐπίκουρον λέγοντες ἐλεγχόμεθα· σιγάσθω καὶ ὁ προστάτης αὐτοῦ καὶ σύμμαχος τῶν δογμάτων Ἀριστοτέλης, οὗ τὴν δόξαν ἐν τοῖς ἐφεξῆς φησὶ, τοῖς τῆς ἐπινοίας λόγοις συμφέρεσθαι. ἐκείνου γάρ φησιν εἶναι τὸ δόγμα, τὸ μὴ διὰ πάντων τῶν ὄντων διήκειν τὴν πρόνοιαν, μηδὲ μέχρι τῶν περιγείων διαβαίνειν πραγμάτων. ὅπερ ἐστὶ σύμφωνον τοῖς κατὰ τὴν ἐπίνοιαν ἐξητασμένοις εἶναι διϊσχυρίζεται, οὕτως ἐπὶ κρίνειν ἐπεσκεμμένως δι' ἀκριβείας τὰ δόγματα. ἀλλὰ προϊὼν C χρῆναί φησιν, ἢ μηδὲ τὴν γένεσιν τῶν ὄντων τῷ Θεῷ συγχωρεῖν, ἢ δόντας ταύτην μὴ περιαιρεῖσθαι τὴν τῶν ὀνομάτων θέσιν. καὶ μὴν καὶ περὶ τῶν ἀλόγων, καθὼς φθάσαντες εἰρήκαμεν, τὸ ἐναντίον παρὰ τῆς γραφῆς διδασκόμεθα, ὅτι οὔτε ἐποίησεν ὁ Ἀδὰμ τὰ ζῶα, οὔτε ὠνόμασεν ὁ Θεός· ἀλλὰ παρὰ τοῦ Θεοῦ μὲν ἡ γένεσις· παρὰ δὲ τοῦ ἀνθρώπου τῶν γεγονότων ἡ κλῆσις, ὡς ὑπὸ τοῦ Μωϋσέως ἱστόρηται. εἶτα λόγων ἡμῖν ἐγκώμιον τῷ ἰδίῳ διέξεισι λόγῳ, ὥσπερ ἀτιμάζοντός τινος τοῦ λόγου τὴν δύναμιν, καὶ φησὶ μετὰ τὴν ἀσύφηλον ἐκείνην καὶ στομφώδη τῶν D ῥημάτων συνθήκην, προνοίας νόμῳ καὶ μέτρῳ τελείως συνάψαι τῇ γνώσει, καὶ τῇ χρήσει τῶν ἀναγκαίων τὴν παράδοσιν τῶν ὀνομάτων, καὶ πολλὰ τοιαῦτα ἐν βάθει τοῦ ὕπνου ληρήσας, ἐπὶ τὴν ἄμαχόν τε καὶ τὴν ἀνανταγώνιστον ἀνάγκην μεταβαίνει τοῦ λόγου. λέξω δὲ, οὐκ ἐπὶ ῥημάτων, ἀλλ' ἐπὶ μόνης τῆς διανοίας τὸν παρ' ἐκείνου λόγον ἐκθέμενος· οὐ ποιηταῖς, φησιν, ἀναθετέον τὴν τῶν ῥημάτων εὕρεσιν, τοῖς διεψευσμένοις ἐν ταῖς περὶ Θεοῦ ὑπολήψεσιν.

οἷα χαρίζεται τῷ Θεῷ ὁ γεννάδας, τὰ τῆς ποιητικῆς ἐξουσίας εὑρήματα τῷ Θεῷ προσάπτων. ὥστε διὰ τούτου σεμνότερον τοῖς ἀνθρώποις καὶ ὑψηλότερον τὸν Θεὸν δοκεῖν εἶναι, ὅταν πιστεύωσιν οἱ Εὐνομίῳ μαθητευόμενοι, τὸ Λικριφὶς, καὶ τὸ Κάρκαιρε, καὶ τὸ Εὔραξ, καὶ τὸ Κέχηρε, καὶ τὸ Φοχεῖ, καὶ Σίζε, καὶ Πούδησε, καὶ Καναχίζε, καὶ σμερδαλέον κονάβιζε, καὶ Λίγξε, καὶ Ἴαχε, καὶ μερμήριζε, καὶ πάντα τὰ τοιαῦτα. ὅτι οὐ κατ' ἐξουσίαν τινὰ πρὸς τὸ δοκοῦν οἱ ποιηταὶ διεξέρχονται, ἀλλὰ παρ' αὐτοῦ τοῦ Θεοῦ τὰ ῥήματα ταῦτα μυσταγωγούμενοι, τοῖς μέτροις ἐνείρουσι. παρείσθω δὲ ταῦτα, καὶ τὸ σοφὸν ἐκεῖνο καὶ ἄμαχον ἐπιχείρημα, τὸ τοὺς ἁγίους τῶν ἀνδρῶν μὴ ἔχειν ἡμᾶς ἐπιδεικνῦναι τὴν γραφικὴν ἱστορίαν, καινὰς ἐπεξευρόντας φωνάς. εἰ μὲν γὰρ ἀτελὴς ἦν μέχρι τῆς ἀναδείξεως τῶν ἀνδρῶν ἐκείνων ἡ ἀνθρωπίνη φύσις, καὶ οὔπω τῇ χάριτι τῇ λογικῇ συμπεπλήρωτο, καλῶς ἔδει παρ' αὐτῶν ἐπιζητεῖσθαι τὴν τοῦ λείποντος πλήρωσιν. εἰ δὲ εὐθὺς παρὰ τὴν πρώτην ἀπροσδεὴς καὶ τελεία, κατὰ τὴν λογικήν τε καὶ διανοητικὴν ἐνέργειαν ἡ φύσις ὑπέστη, πῶς ἄν τις ἔτι κατὰ τὸ εὔκολον ἐπιζητοίη πρὸς σύστασιν τοῦ κατὰ τὴν ἐπίνοιαν λόγου, τὸ τοὺς ἁγίους κατάρξαι φωνῶν ἢ ῥημάτων; ἢ εἰ μὴ τοῦτο ἔχομεν ἀποδεῖξαι, ἱκανὴν ἑαυτῷ κρίνειν ἀπόδειξιν τοῦ τὸν Θεὸν ἡμῖν νενομοθετηκέναι τὰς τοιάσδε συλλαβὰς καὶ τὰ ῥήματα. ἀλλ' ἐπειδὴ, φησὶν, οὐκ ἀπαναίνεται τὴν πρὸς τοὺς ἑαυτοῦ θεράποντας ὁ Θεὸς ὁμιλίαν, ἀκόλουθόν ἐστιν οἴεσθαι αὐτὸν, ἐξ ἀρχῆς τὰς προσφυεῖς τῷ πράγματι τεθεῖσθαι προσηγορίας. τί οὖν καὶ πρὸς τοῦτο ἡμεῖς; τοῦ μὲν καταδέχεσθαι τὸν Θεὸν τὴν πρὸς ἀνθρώπους ὁμιλίαν, αἰτίαν εἶναι τὴν φιλανθρωπίαν διοριζόμεθα. ἐπεὶ δὲ οὐκ ἐνδέχεται τὸ τῇ φύσει βραχὺ τῶν ἰδίων μέτρων ὑπεραρθῆναι, καὶ τῆς ὑπερεχούσης φύσεως τοῦ ὑψίστου ἐφάψασθαι, τούτου χάριν αὐτὸς πρὸς τὸ ἡμέτερον ἀσθενὲς κατάγων τὴν φιλάνθρωπον δύναμιν, ὡς ἡμῖν δυνατὸν ἦν δέξασθαι, οὕτω τὴν παρ' ἑαυτοῦ χάριν καὶ ὠφέλειαν νέμει. καθάπερ γὰρ κατὰ τὴν θείαν οἰκονομίαν ὁ ἥλιος τὸ σφοδρὸν τῶν ἀκτίνων καὶ ἄκρατον τῷ διὰ μέσου κατακεράσας ἀέρι, σύμμετρον ἐπάγει τοῖς δεχομένοις τήν τε αὐγὴν καὶ τὴν θερμότητα, καθ' ἑαυτὸν ὢν τῇ ἀσθενείᾳ τῆς φύσεως ἡμῶν ἀπροσπέλαστος,

A Qualia Deo hic generoſus gratificatur, poëtices facultatis inuenta Deo adoptans. Ita vt per hoc hominibus auguſtior & excelſior Deus eſſe videatur. Cum credunt Eunomij diſcipuli hæc verba *Licriphis, & Karkaire, & Eurax, & Kechære, & Phocheiri, & Size, & Poudeſe, & Kanachize, &, intonüere poli, & crebris micat ignibus æther, & Linxe, & Iſche*, & alia eiuſmodi poëtarũ figmenta. Quod non per licentiam aliquam ad arbitrium poëtæ perſequuntur, ſed ab ipſo Deo hæc verba myſticè edocti verſibus ſuis inſerunt. Sed & hęc prætermittantur, &
B doctum illud & inexpugnabile epicherema, nos non poſſe demõſtrare ex ſcripta hiſtoria, ſanctos viros nouas voces excogitaſſe. Si enim imperfecta erat vſque ad manifeſtationem virorum illorum humana natura, & nondum gratia rationali completa erat, præclarè oportebat ab ipſis exquirere defectus expletionem. Quod ſi ſtatim ab initio non indiga, ſed perfecta ſecundum ratiocinatricem & excogitatricem operationem natura ſubſiſtit, quomodo quis amplius facile inquirat ad
C conſtitutionem ſermonis ſecundum commentationem, quod ſancti vocum vel verborum primi autoris fuerunt? Vel ſi non hoc poſſumus demonſtrare, idoneum ſibi ipſi iudicare monſtrationem, quod Deus nobis eiuſmodi ſyllabas & verba ſanxerit. Sed quoniam (inquit) non aſpernatur Deus cum ſuis famulis colloquium, conſequens eſt ipſum putare ab initio rei congruas indidiſſe appellationes. Quid igitur ad hoc nos reſpondebimus? Quod Deus cum homine in congreſſum colloquiúmque veniat, cauſam eſſe
D in humanum genus beneuolentiam definimus. Quoniam verò quod natura breue eſt, non poteſt ſupra proprios modos ſuſtolli, & ſupereminentem naturam altiſſimi attingere. Huius gratia ipſe ad noſtram infirmitatem, potentiam hominum generi beneuolam adducens, quantum capere poſſumus, ſic ſuam nobis gratiam & vtilitatem diſtribuit. Quemadmodum enim ſecundum diuinam diſpenſationem ſol ſuorum radiorum vigorem & ſinceritatem cum aëre interiecto contemperans, moderatum accipientibus ſplendorem & calorem immittit, quamuis ſit per ſe imbecilitati noſtræ inacceſſus:

Verba Eunomij.

ſic & diuina natura, dicti à nobis exempli ſimilitudine, infinitis partibus noſtram naturam ſuperans, & inacceſſa ad participationem cum ſit, veluti mater benigna & miſericors ſenſu & intelligentia carentibus infantium vagitibus vna balbutiens, hoc humanę tribuit naturæ, quod capere poteſt: proptereáque in variis ad homines Dei apparitionib⁹, & ſecundum hominem figuratur, & humanitus loquitur, & iram & miſericordiam, & eiuſmodi induit affectus: vt per omnia quæ naturæ noſtræ ſunt congrua, infantilis noſtra vita tanquam manu ducatur, per prouidentiæ ſermones diuinam naturam attingens. Quod enim nulli affectui eorum quæ per voluptatem, vel miſericordiam, vel iram contingunt, Deum obnoxium eſſe, ſanctum eſt exiſtimare, nullus qui vel mediocriter rerum veritatem conſiderarit, contradixerit. Verumtamen etiam delectari Dominus dicitur in ſeruis ſuis, & iraſci animo in populum qui lapſus fuerat, & miſereri rurſus eius cuius miſertus fuerit, & ſimiliter miſereri, vnoquoque talium verborum plauſibili ſermone nos inſtruente, quod per noſtra idiomata ſeu proprietates Dei prouidentia infirmitati noſtræ admiſcetur. Vt qui ad peccatum procliues ſunt, terrore ac metu à malis abſtineant, & qui in peccatis præhenſi ante fuerint, non deſperent reditum per pœnitentiam, in Dei miſericordiam reſpicientes: qui verò ad exactam normam vitam ſuam dirigunt, & rectè conformant, magis virtutibus exultent: vt qui ſua vita ipſum bonorum inſpectorem delectent. Quemadmodum autem non licet mutum nominare eum qui per figuras & geſtus cum ſurdo, quatenus audire poteſt, colloquitur: ſic neque humanum ſermonem in Deo exiſtimare debemus, quoniam ad homines per diſpenſationem eo vſus eſt. Etenim nos clyogmo, id eſt, ſono acutiore palati ſeu gutturis, & poppyſmo, ſono quodã qui labris compreſſis editur, & ſibilo brutas animantes dirigere cõſueuimus. At hoc nobis ſermo non eſt, quo brutorum animalium aures penetramus: ſed apud nos ipſos naturali quidem ſermone vtimur, verùm apud bruta animantia congruus ſtrepitus & qualiſcumque per geſtum ſonitus ad neceſſarium vſum ſatis fuit. Verùm hic reli-

A οὕτω καὶ ἡ θεία δύναμις καθ' ὁμοιότητα τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος ἀπειροπλασίως ὑπεραίρουσα τὴν φύσιν ἡμῶν, καὶ ἀπρόσιτος εἰς μετουσίαν οὖσα, οἷά τις μήτηρ εὔσπλαγχνος τοῖς ἀσήμοις τῶν νηπίων κνυζήμασι συμψελλιζομένη, τοῦτο νέμει τῇ ἀνθρωπίνῃ φύσει, ὃ λαβεῖν δυνατῶς ἔχει· καὶ διὰ τοῦτο ἐν ταῖς ποικίλαις πρὸς τοὺς ἀνθρώπους θεοφανείαις καὶ κατὰ ἄνθρωπον σχηματίζεται, καὶ ἀνθρωπικῶς φθέγγεται, καὶ ὀργὴν καὶ ἔλεον, καὶ τὰ τοιαῦτα ὑποδύεται πάθη, ὡς ἂν διὰ πάντων τῶν καταλλήλων ἡμῖν χειραγωγοῖτο ἡ νηπιώδης ἡμῶν B ζωή, διὰ τῶν τῆς προνοίας λόγων τῆς θείας φύσεως ἐφαπτομένη. ὅτι γὰρ οὐδενὶ πάθει τῶν καθ' ἡδονὴν, ἢ κατ' ἔλεον, ἢ ὀργὴν συμβαινόντων εὐαγές ἐστιν ὑποκεῖσθαι τὸ θεῖον οἴεσθαι, οὐδεὶς ἀντείποι τῶν καὶ μετρίως ἐπεσκεμμένων τὴν περὶ τῶν ὄντων ἀλήθειαν· ἀλλ' ὅμως καὶ εὐφραίνεσθαι κύριος λέγεται ἐπὶ τοῖς δούλοις αὐτοῦ, καὶ ὀργίζεσθαι θυμῷ ἐπὶ τὸν ἐπταικότα λαόν, καὶ ἐλεεῖν πάλιν ὃν ἂν ἐλεήσῃ, καὶ οἰκτείρειν ὡσαύτως, δι' ἑκάστου οἶμαι τῶν τοιούτων ῥημάτων τοῦ C κροτοῦ λόγου ἡμᾶς παιδεύοντος, ὅτι διὰ τῶν ἡμετέρων ἰδιωμάτων ἡ τοῦ Θεοῦ πρόνοια τῇ ἀσθενείᾳ ἡ ἡμῶν ἐπιμίγνυται, ὡς ἂν οἵ τε πρὸς ἁμαρτίαν ῥέποντες, φόβῳ τῆς τιμωρίας ἑαυτοὺς τῶν κακῶν ἀνέχοιεν, οἵ τε προειλημμένοι μὴ ἀπογινώσκοιεν τὴν ἐκ μετανοίας ἐπάνοδον, πρὸς τὸν ἔλεον βλέποντες, καὶ οἱ δι' ἀκριβοῦς πολιτείας κατορθοῦντες τὸν βίον, μᾶλλον ταῖς ἀρεταῖς ἐπαγάλλοιντο, ὡς εὐφραίνοντες τῷ ἰδίῳ βίῳ τὸν τῶν ἀγαθῶν γινόμενον ἔφορον. ὥσπερ δὲ οὐκ ἔστιν κωφὸν ὀνομάσαι τὸν διὰ σχημάτων τῷ κωφῷ D καθὼς ἐπαΐειν πέφυκεν ὁμιλοῦντα· οὕτως οὐδὲ ἀνθρώπινον λόγον περὶ τὸν Θεὸν οἰηθῆναι, ἐπειδὴ πρὸς ἀνθρώπους αὐτῷ κατ' οἰκονομίαν ἐχρήσατο. καὶ γὰρ ἡμεῖς κλωγμῷ, καὶ ποππυσμῷ καὶ συριγμῷ τὰ ἄλογα διευθύνειν εἰώθαμεν. ἀλλ' οὐ τοῦτο ἡμῖν ὁ λόγος ἐστὶν, ᾧ τῆς τῶν ἀλόγων ἀκοῆς καθικνούμεθα, ἀλλὰ πρὸς μὲν ἡμᾶς αὐτοὺς τῇ φύσει κεχρήμεθα, τοῖς δὲ ἀλόγοις, ὅτι κατάλληλος ψόφος καὶ ὁποῖος διὰ τοῦ σχήματος ἦχος πρὸς τὴν χρείαν ἐξήρκεσεν. ἀλλ' οὐ

βούλεται τοῖς ἡμετέροις ὁ εὐλαβὴς οὗτος τὸν Θεὸν κεχρῆσθαι, διὰ τὴν πρὸς κακίαν ἡμῶν ῥοπήν, ἀγνοῶν ὁ φίλτατος, ὅτι δι' ἡμᾶς οὔτε κατάρα καὶ ἁμαρτία ἀπηξίωσε γενέσθαι. τοσοῦτον αὐτῷ περίεστι τῆς φιλανθρωπίας, ὡς οὐχὶ τῶν ἀγαθῶν μόνον, ἀλλὰ καὶ τῶν κακῶν τῶν ἡμετέρων ἑκουσίως εἰς πεῖραν ἐλθεῖν· ὁ δὲ τῶν κακῶν τὴν κοινωνίαν δεξάμενος, πῶς ἂν τοῦ καλλίστου τῶν ἡμετέρων, φημὶ δὲ τοῦ λόγου, τὴν μετουσίαν ὤκνησεν. ἀλλὰ τὸν Δαβὶδ εἰς συνηγορίαν προβάλλεται. καὶ φησὶν ἐκεῖνον λέγειν, παρὰ τοῦ Θεοῦ τοῖς πράγμασι τὰ ὀνόματα τεθεῖσθαι. διὰ τὸ γεγράφθαι τοῦτον τὸν τρόπον. ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. ἐγὼ δὲ πρόδηλον μὲν ἡγοῦμαι παντὶ τῷ νοῦν ἔχοντι τὸν περὶ τούτων λόγον, ὡς οὐδεμίαν ἔχει κοινωνίαν πρὸς τὸ προκείμενον. ἐπεὶ δέ τινας εἰκὸς ἀνεπισκέπτως τῷ λόγῳ προσίστασθαι, βραχέα περὶ τούτων διαληψόμεθα. οἶδε πολλάκις ἡ θεία γραφὴ τοιαύτας τῷ Θεῷ περιτιθέναι φωνάς, ὡς μηδὲν ἀπᾳδούσας τῶν ἡμετέρων δοκεῖν. οἷον τό, ὠργίσθη θυμῷ κύριος, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ αὐτῶν, καὶ μετεμελήθη χρίσαι τὸν Σαοὺλ εἰς βασιλέα. καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος. καὶ ἔτι πρὸς τούτοις, καθέδραν καὶ στάσιν, καὶ κίνησιν, καὶ πολλὰ τοιαῦτα διέξεισιν. ἃ φύσει μὲν περὶ τὸν Θεὸν οὐκ ἔστι. πρὸς δὲ τὴν οἰκονομίαν τῶν παιδευομένων, οὐκ ἀχρήστως ἔχει. τοῖς τε γὰρ ἐκλυτωτέροις ἡ τῆς ὀργῆς ἔνδειξις συστέλλει τῷ φόβῳ, καὶ τοῖς δεομένοις τοῦ τῆς μετανοίας φαρμάκου, συμμετανοεῖν ἐπὶ τῇ κακίᾳ λέγει τὸν κύριον· τοῖς δ' αὖ ἐν εὐπραγίαις τισὶ πρὸς ὕβριν ἐκφερομένοις, τὸ μὴ παραμένειν αὐτοῖς τὴν εὐημερίαν, κἂν ἐκ Θεοῦ τὸ τοιοῦτον εἶναι δοκῇ, διὰ τῆς ἐπὶ τοῦ Σαοὺλ μεταμελείας προδείκνυσι. τοῖς τε μὴ ἐμβαθύνουσι τῷ πτώματι τῆς ἁμαρτίας, ἀλλὰ καθάπερ ἐξ ὕπνου τινὸς τοῦ ματαίου διανιστᾶσι, συνανίστασθαι τὸν Θεὸν καὶ συναφυπνίζεσθαι λέγει· ἑστάναι δὲ τοῖς ἀκλινῶς ἐπὶ τοῦ καλοῦ βεβηκόσι, καὶ καθέζεσθαι τοῖς ἐν τῷ καλῷ καθιδρυμένοις, κινεῖσθαι δ' αὖ πάλιν καὶ περιπατεῖν ἐπὶ τῶν μετακινηθέντων ἀπὸ τῆς ἐν τῷ καλῷ παγιότητος. ὡς ἐπὶ τοῦ Ἀδὰμ ἡ ἱστορία διέξεισι περιπατοῦντα τὸ δειλινὸν ἐν τῷ παραδείσῳ τὸν Θεὸν διαγράφουσα,

A gioſus non vult Deum noſtris vſum fuiſſe, propter noſtram ad vitium propenſionem, ignorans hic amiciſſimus, quod propter nos neque maledictum & execratio, & peccatum fieri renuit: tantùm eſt ei beneuolentiæ & amoris erga homines, vt non bonorum ſolum, ſed etiam malorum noſtrorum ſponte ad experientiam venerit. Qui autem malorum quidem noſtrorum communicationẽ accepit, quomodo eum pulcherrimi noſtrorum bonorum (ſermonem intelligo) participem fieri piguit? Sed ad patrocinium Dauid proponit, & Pſal.146.
B ait illum dicere à Deo rebus nomina indita eſſe, quia ſcriptum eſt ad hunc modum. Qui numerat multitudinem ſtellarum, & omnibus eis nomina vocat. Ego autem cuiuis mentis compoti perſpicuum eſſe arbitror, quòd eiuſmodi ſermo qui de iſtis habetur, nullam habet cum his de quibus agitur communionem. Quoniam verò probabile eſt quoſdam huic ſermoni inconſideratè aſtipulari: pauca quædam de his diſſeremus. Nouit ſæpe diuina ſcriptura huiuſmodi voces Deo attribuere, vt ipſæ à noſtris nihil diſſonare videantur:
C vt, Iratus eſt furore Dominus, & pœnituit, ob peccata ipſorum, & Deus pœnituerat, quod vnxiſſet Saulem in regem (ſuper Iſraël.) Et experrefactus eſt 1.Reg.15.
Dominus tanquam ſoporatus. Præterea cathedram, ſtatum, motum, & multa eiuſmodi commemorat, quæ natura quidem non ſunt in Deo, ad diſpenſationem autem eorum qui erudiuntur, non ſunt inutilia. Nam diſſolutiores iræ indicatio metu contrahit: & pœnitentiæ pharmaco indigẽtibus dicit Dominum ob peccatum etiam ſimul pœnitere: qui autẽ proſperis rebus inſoleſcunt, & efferũtur, proſperitatem non eis per-
D manere, tametſi ex Deo eſſe videatur, per pœnitentiã ſuper Saule oſtendit. Et qui non diuerſi ſunt in profundo lapſu peccati, ſed tanquã ex ſomno quodam vanæ vitæ exſurgunt, Deum dicit conſurgere & ſimul expergiſci, ſtare iis qui ad bonum ſtabiliter aſcenderunt, & ſedere iis qui in bono collocati ſunt: moueri contra & ambulare in his qui à firmitate quæ eſt in bono, dimoti ſunt. Vt in Adamo hiſtoria enarrat Deũ deſcribens deambulantem ad occaſum poſt Geneſ.3.

meridie, per occaſum ad tenebroſa protoplaſti hominis lapſum ſignificans, per motum verò hominis, in bono infirmitatem & inſtabilitatem. Sed hæc multis longiùs fortaſſe videbuntur eſſe producta, quam propoſita contemplatio exigat. Illud autem nullus à re propoſita diſcrepare dixerit, quòd plerique exiſtiment, quod ſibi ipſis eſt incomprehenſibile, neque à Deo comprehendi poſſe. Et quod quidem effugerit ſuam ipſorum cognitionem, hoc exuperantius diuina potentia eſſe putent. Quoniam igitur nos quanti menſuram numerum fecimus; numerus autem nihil aliud, quàm vnitatum compoſitio eſt, cum variè vnitas in multitudinem excreſcat. Vnitas enim & decas per compoſitionem vnitatum ad hoc progrediens: vnitas rurſus centuria quæ ex denariis numeris componitur. Similiter & chilias alia vnitas, & myrias pariter, proportione habita ex multiplicationibus, illa quidem ex chiliadibus, hæc verò quæ centuriis ſummatim colligitur: ſuper omnia de ſubiectis definientes, ſi qua quantitatis rerum quæ numerantur facimus. Vt igitur à diuina ſcriptura inſtituti eſſemus, nihil Deo incognitum eſſe, ab ipſo dicit ſtellarum multitudinem numerari. Non ad hunc modum numerationis quæ fit à nobis. Quis enim ita ſtolidus & ſimplex qui Deum numero impari & pari, ea quæ ſunt, comprehendere putet: & per vnitatum compoſitionem ad ſummã quantitatis aceruatæ numerum complecti? Sed quoniam in nobis exacta quanti cognitio ex numero fit, vt de Deo inſtructi eſſemus, quòd omnia cognitione ipſius ſapientiæ cõprehenſa ſunt, nihílque eius accuratam effugit cognitionem. Huius gratia Deum aſtra numerare definiuit, per ea quæ dicit, hoc intelligere cõſulens, non ad menſuram noſtræ cognitionis Deum opinari ea quæ ſunt attingere, ſed quæ nobis incomprehenſa, nec intellecta, omnia diuinæ ſapientiæ cognitione concludi. Cùm enim ſtellæ propter multitudinẽ fugiant numerum, quantùm ad humanam commentationem: à parte totum docet ſermo, ex eo quod dicat hæc à Deo numerari, nihil eorum quæ à nobis ignorantur, Dei cognitionem fuge-

A τοῦ μὲν δεξιοῦ πρὸς τὰ σκοτεινὰ τοῦ πρωτοπλάστου ῥοπὴν διασημαίνουσα, τῇ δὲ κινήσει τὸ ἀπαγὲς τοῦ ἀνθρώπου περὶ τὸ καλὸν καὶ τὸ ἄστατον. ἀλλὰ ταῦτα μὲν τοῖς πολλοῖς πόρρωθεν ἴσως ὡς πρὸς τὴν προτεθεῖσαν ἡμῖν θεωρίαν εἶναι δόξει, ἐκεῖνο δὲ οὐκ ἄν τις ἀπᾴδειν εἴποι τοῦ προκειμένου· ὅτι πολλοὶ τὸ ἑαυτοῖς ἄληπτον, οὐδὲ Θεῷ ληπτὸν εἶναι νομίζουσιν, καὶ ὅπερ ἂν ἐκφύγῃ τὴν ἑαυτῶν κατανόησιν, περαιτέρω εἶναι τοῦτο καὶ τῆς θείας δυνάμεως οἴονται. ἐπειδὴ τοίνυν τὸ ποσοῦ μέτρον ἡμεῖς τὸν ἀριθμὸν πε-B ποιήμεθα, ὁ δὲ ἀριθμὸς οὐδὲν ἕτερον, ἢ σύνθεσις μονάδων ἐστί. ποικίλως τῆς μονάδος εἰς πλῆθος ἐπαυξομένης. μονὰς γὰρ καὶ ἡ δεκὰς κατὰ σύνθεσιν μονάδων πρὸς τοῦτο περαιουμένη· μονὰς πάλιν ἡ ἑκατοντὰς ἐκ δεκάδων συντιθεμένη, ὡσαύτως καὶ ἡ χιλιὰς ἄλλη μονάς, καὶ ἡ μυριὰς ὁμοίως ἀναλόγως ἐκ πολλαπλασιασμοῦ, ἡ μὲν ἐκ χιλιάδων, ἡ δὲ ἐξ ἑκατοντάδων πρὸς τοῦτο κεφαλαιουμένη, ὑπὲρ ἅπαντα τοῖς ὑποκειμένοις περιορίζοντες, σημεῖα τῆς ποσότητος τῶν ἀριθμουμένων πρα-C γμάτων ποιούμεθα. ὡς ἂν οὖν παιδευθείημεν παρὰ τῆς θείας γραφῆς τὸ μηδὲν ἄγνωστον εἶναι τῷ Θεῷ, ἐξαριθμεῖσθαι παρ' αὐτῷ λέγει τῷ Θεῷ τὸ πλῆθος τῶν ἄστρων, οὐ τὸν τρόπον τοῦτον γινομένης τῆς ἀριθμήσεως. τίς γὰρ οὕτως εὐήθης ὡς τῷ περιττῷ καὶ ἀρτίῳ τὸν Θεὸν οἴεσθαι διαλαμβάνειν τὰ ὄντα, καὶ διὰ τῆς τῶν μονάδων συνθέσεως, πρὸς τὸ κεφάλαιον τῆς ἀθροιζομένης ποσότητος τὸν ἀριθμὸν συμπεραίνειν; ἀλλ' ἐπειδὴ ἐν ἡμῖν ἡ ἀκριβὴς τοῦ ποσοῦ γνῶσις ἐκ τοῦ ἀριθμοῦ γίνεται, ὡς ἂν καὶ περὶ τοῦ Θεοῦ παιδευ-D θείημεν, ὅτι πάντα τῇ γνώσει τῆς σοφίας αὐτοῦ περιείληπται, καὶ οὐδὲν ἐκφεύγει τὴν ἀκριβῆ κατανόησιν. τούτου χάριν ἀριθμεῖν τὰ ἄστρα τὸν Θεὸν διωρίσατο, τοῦτο, δι' ὧν λέγει, νοεῖν συμβουλεύων, μὴ κατὰ τὸ μέτρον τὸ τῆς ἡμετέρας γνώσεως καὶ τὸ θεῖον οἴεσθαι τῶν ὄντων ἐφάπτεσθαι· ἀλλὰ τὰ ἡμῖν ἄληπτα καὶ ἀνεπινόητα πάντα τῇ γνώσει τῆς θείας σοφίας ἐμπεριείργεσθαι. τῶν γὰρ ἄστρων διὰ τὸ πλῆθος ἐκφευγόντων τὸν ἀριθμόν, ὡς πρὸς ἀνθρωπίνην ἐπίνοιαν, ἀπὸ μέρους τὸ πᾶν ἐκδιδάσκων ὁ λόγος, ἐκ τοῦ ταῦτα καταριθμεῖσθαι παρὰ τοῦ Θεοῦ λέγειν, τὸ μηδὲν τῶν ἡμῖν ἀγνώστων ἐκφεύγειν τοῦ Θεοῦ

τὴν γνῶσιν διαμαρτύρεται. διὰ τοῦτο φησίν, ὁ ἀριθμῶν πλήθη ἄστρων, οὐκ ἀγνοῶν δηλαδὴ πρὶν ἐξαριθμήσασθαι τὴν τῶν ἄστρων ποσότητα. πῶς γὰρ εἰκὸς αὐτὸν ἀγνοεῖν ὃ ἐποίησεν; ὁ γὰρ τοῦ παντὸς ἐπιστάτης, οὐκ ἂν ἀγνοοίη τὸ ἐμπεριειλημμένον τῇ περιεκτικῇ τῶν ὅλων δυνάμει. τί δήποτε οὖν ἀριθμεῖ, ὅπερ ἐπίσταται; τῶν γὰρ ἀγνοούντων ἐστὶ, τὸ τῷ ἀριθμῷ διαμετρεῖν τὴν ποσότητα. ὁ δὲ τὰ πάντα εἰδὼς πρὸ γενέσεως, ἀριθμοῦ διδασκάλου πρὸς τὴν τῶν ὑποκειμένων γνῶσιν οὐκ ἐπιδέεται. ἀλλὰ μὴν ἀριθμεῖν λέγεται παρὰ τοῦ Δαβὶδ, δηλονότι πρὸς τὴν ἡμετέραν διδασκαλίαν κατὰ τὸ ἡμῖν χωρητὸν τοῦ λόγου πρὸς σαφήνειαν κατιόντος, τὸ ἀκριβῶς εἰδέναι τὰ ἡμῖν ἄγνωστα, διὰ τῆς τοῦ ἀριθμοῦ σημασίας ὁ Δαβὶδ ἐνεδείξατο. ὥσπερ οὖν ἀριθμεῖν λέγεται, οὐδὲν τῆς ἀριθμητικῆς περιόδου πρὸς τὴν τῶν ὄντων γνῶσιν ἐπιδεόμενος, οὕτως καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλεῖν ἡ προφητεία λέγει· οὐ ταύτην, οἶμαι, τὴν διὰ τῆς φωνῆς κλῆσιν ὑποσημαίνουσα. ἢ γὰρ ἂν εἰς ἄτοπόν τι καὶ ἀνάξιον τῆς περὶ Θεοῦ ὑπολήψεως ὁ λόγος προϊὼν κατέληγεν, εἴπερ ταῦτα λέγει τὰ ὀνόματα παρὰ τοῦ Θεοῦ τεθεῖσθαι τοῖς ἄστροις τὰ ἐν τῇ συνηθείᾳ ἡμῶν ἀναστρεφόμενα. εἰ γὰρ ταῦτά τις δοίη ἐκεῖθεν ἐπικεκλῆσθαι, ἀνάγκη πᾶσα καὶ τῶν Ἑλληνικῶν εἰδώλων ἐκεῖθεν οἴεσθαι τὴν κλῆσιν ἐπιπεφημίσθαι τοῖς ἄστροις, καὶ ὅσα τῆς μυθικῆς ἱστορίας ἐπιλέγεται τοῖς ἀστρῴοις ὀνόμασι, ἀληθῆ νομίσαι, ὡς τοῦ Θεοῦ τὰς τοιαύτας αὐτοῖς ἐπικυροῦντος φωνάς. οὕτως ἡ ἑβδομὰς τῶν περιεχομένων τῷ παντὶ πόλῳ, τοῖς Ἑλληνικοῖς εἰδώλοις ἐπιμερισθεῖσα, ἔξω μέμψεως τοὺς πρὸς ταῦτα πεπλανημένους ποιήσει, εἴπερ ἐκ Θεοῦ πιστευθείη τοῦτο διατετάχθαι. οὕτως ὁ κατὰ τὸν Ὠρίωνα καὶ Σκορπίον μῦθος εἰς πίστιν ἄγεται, καὶ τὰ περὶ τῆς Ἀργοῦς διηγήματα, καὶ ὁ κύκνος, καὶ ὁ ἀετὸς, καὶ ὁ κύων, ἥ τε κατὰ τὸν στέφανον τῆς Ἀριάδνης μυθοποιΐα, καὶ τοῦ ζωηφόρου κύκλου τὸ κατά τινα σχηματισμὸν ἐπινοηθέντων τοῖς φαινομένοις ὀνομάτων, Θεὸν εὑρετὴν ὑπονοεῖσθαι παρασκευάσει· εἴπερ καλῶς ὁ Εὐνόμιος οἴεται τὸν Δαβὶδ λέγειν. ὅτι ταῦτα αὐτοῖς τὰ ὀνόματα ὁ Θεὸς ἐπιτίθησι. ἐπεὶ οὖν ἄτοπον τῶν τοιούτων ὀνομάτων τὸν Θεὸν εὑρετὴν οἴεσθαι, ὡς ἂν μὴ καὶ τὰ τῶν

A re teſtatur. Propterea dicit, qui numerat multitudinem ſtellarum, non ignorans numerum priuſquam ſtellarum quantitatem numeraſſet. Quomodo enim conſentaneum eſt, ipſum ignorare quod fecit? Qui enim vniuerſi præſes eſt, non quod eius potẽtia ſummam rerum continente comprehenſum eſt ignorat. Quid igitur tandem quod ſcit, numerat? Eſt enim ignorantium, numero quantitatem dimetiri: qui autem antequam orta eſſent omnia ſciuit, ad rerum cognitionem numero non indiget magiſtro. Verùm à Dauide dicitur numerare, quia videlicet ad noſtram doctrinam pro captu noſtro, ad perſpi-B cuam explanationem ſermo deſcendat, perfectè ſcire ea quæ nobis ſunt incognita, per numeri ſignificationẽ Dauid demonſtrauit. Quemadmodum igitur numerare dicitur, nihil arithmetica periodo ad rerum creatarum cognitionem indigens, ſic etiam omnibus ipſis nomina vocare Propheta dicit: Non hanc, opinor, quæ fit per vocem, nuncupationem ſubſignificans: vel enim ad abſurdum quiddã, & indignum, quod de Deo in ſuſpicionem veniat, progrediens ſermo deſineret, ſiquidem hæc dicit nomina ſtellis à Deo impoſita quę in conſuetudine noſtra vſurpantur. Si C enim daret aliquis hæc à Deo vocata eſſe, neceſſe eſſet omnino Græcorum ſimulachrorum illinc putare appellationem in ſtellis peruulgatam eſſe, & quæcumque fabuloſæ hiſtoriæ in ſtellis feruntur nomina, vera exiſtimare, tanquam Deo tales in ipſis voces ratas habente. Sic ſeptenarius ſtellarum numerus, quę in polo continentur, inter Græcorum idola diſtributus, culpa vacare eos, qui in his errauerunt, oſtendet, ſiquidem hoc à Deo ordinatum eſſe cre-D ditum ac perſuaſum fuerit. Itaque de Orione & Scorpio fabula ad fidem adducitur, & quæ de Argo narrantur, & cycnus, & aquila, & canis, & de corona Ariadnes fabulatio. Quinetiam ſuſpicandum aſtruet, Deum inuẽtorem eſſe eorum nominum, quæ in orbe ſignifero ob quandam figuræ ſimilitudinem, quam cum apparentiis habent, excogitata ſunt: ſi quidem præclarè Eunomius putat Dauidem dicere, hæc ipſis nomina Deum impoſuiſſe. Quoniam igitur talium nominum Deum putare inuentorem eſſe abſurdum eſt, ne ſi-

mulachrorũ nomina inde principium obtinuiſſe videantur, optimũ erit quod dictum eſt non ſine habita quæſtione approbare, ſed inſtar eorum quæ de numero à nobis intellecta ſunt, huius etiam dicti ſententiam percipere. Siquidem inter nos teſtimonium exactæ eſt cognitionis, quod à nobis cognitum eſt proprio nomine vocari, per hæc nos docet, quòd eorum quæ à nobis comprehendi non poſſunt, non ſolum in ſumma aceruatæ quantitatis plenitudinem comprehendit, qui vniuerſum continet, ſed etiam ſingula ſcit exactè & perfectè. Huius rei cauſa non ſolùm enumerari ſtellarum multitudines ſermo dicit, ſed etiam nominatim ſingulas vocare, quod quidem ſignificat ipſius accuratam diligentiam, etiam ſubtiliora & partium tenuiorum penetrare: & ſic exactè ſingularia cognoſcere, vt homo per nomen vocat eum qui ſibi notus eſt & familiaris. Quod ſi quis dicat alias eſſe à Deo ſtellis appellationes impoſitas, quas putat humanam naturam ignorare, de quibus exiſtimat Dauidem dixiſſe, longè à veritate talis aberrat. Si enim alia eſſent ſtellis indita nomina, diuina ſcriptura horum vtique mentionem nominum non feciſſet, quæ in abuſu Græcæ ſunt conſuetudinis. Eſaia dicente, qui facit Pleidas,
Eſ. 13. 62. & Veſperum, & Arcturum, & promptuaria noti.
Iob. 9. Iob nempe Orionem & Aſeroth nominante. Ita vt ex hoc ſit perſpicuum, quod in vita tritis nominibus ad noſtram doctrinam vſa eſt diuina ſcriptura: ſic & Amaltheæ cornu, in Iob audiuimus. Et apud Eſaiã Sirenes. Illo quidem, nempe Iob, bonorum omnem affluentiam ex Græcanica opinione ſic denominante, Eſaia verò voluptatẽ ex auditu perceptam Sirenum nomine declarante. Quemadmodum igitur nominibus ex fabuloſis narrationibus ſermo diuinitus inſpiratus illic vſus eſt, ad audientium vtilitatem ſpectans, ſic etiam hîc ex humana commentatione ſtellis impoſitas appellationes dixit inuerecundè ſermo, docens rem omnem, quæ ab hominibus nominatur, à Deo exiſtẽtiam habere, nempe rem non nomen. Non enim dicit qui nominat, ſed qui facit Pleiada & Veſperum, & Arcturum. Quamobrem abundè per dicta & Dauidem noſtræ opi-

A εἰδώλων ὀνόματα ἐκεῖθεν τὴν ἀρχὴν ἐσχηκέναι δοκεῖν, καλῶς ἂν ἔχοι μὴ ἀνεξετάστως τὸ ῥηθὲν παραδέξασθαι, ἀλλὰ καθ' ὁμοιότητα τὴν κατὰ τὸν ἀριθμὸν ἡμῖν νενοημένων, καὶ τὸν ἐν τούτῳ νοῦν κατανοῆσαι. ἐπειδὴ γὰρ ἐν ἡμῖν μαρτύριον τῆς ἀκριβοῦς ἐστὶ γνώσεως, τὸ ἐξ ὀνόματος παρ' ἡμῶν προσκαλεῖσθαι τὸ γνώριμον, διδάσκει διὰ τούτων ἡμᾶς, ὅτι τῶν ἡμῖν ἀλήπτων, οὐ μόνον τὸ πλήρωμα τῆς ἐν κεφαλαίῳ ἀθροιζομένης ποσότητος περιλαμβάνει τῇ γνώσει ὁ τὸ πᾶν περιέχων, ἀλλὰ καὶ τὰ καθ' ἕκαστον δι' ἀκριβείας ἐπί-
B σταται. τούτου χάριν οὐ μόνον ἐξαριθμεῖσθαι τὰ πλήθη τῶν ἄστρων αὐτὸν ὁ λόγος φησὶν, ἀλλὰ καὶ ἐξ ὀνόματος ἕκαστον ἀποκαλεῖσθαι, ὅπερ σημαίνει, τὸ μέχρι τῶν λεπτομερεστέρων διήκειν αὐτοῦ τὴν ἀκρίβειαν, καὶ οὕτως ἀκριβῶς ἐπιγινώσκειν τὰ καθ' ἕκαστον, ὡς ὁ ἄνθρωπος τὸν δι' ὀνόματος αὐτῷ γνωριζόμενον. εἰ δέ τις λέγοι ἄλλας εἶναι τὰς παρὰ τοῦ Θεοῦ τοῖς ἄστροις ἐπικειμένας φωνὰς, ἃς ἀγνοεῖν οἴεται τὴν ἀνθρωπίνην φύσιν, περὶ ὧν ὑπολαμβάνει τὸν Δαβὶδ εἰρηκέναι, πόῤῥω τῆς ἀληθείας ὁ τοιοῦτος ἀποπλανᾶται. εἰ
C γὰρ ἦν ἕτερα ἐπὶ τῶν ἄστρων ὀνόματα, οὐκ ἂν ἡ θεία γραφὴ τούτων ἐποιεῖτο μνήμην τῶν ὀνομάτων, ἃ ἐν τῇ καταχρήσει τῆς Ἑλληνικῆς συνηθείας ἐστίν. Ἡσαΐου μὲν λέγοντος, ὁ ποιῶν Πλειάδας, καὶ Ἕσπερον, καὶ Ἀρκτοῦρον, καὶ ταμεῖα νότου. τοῦ δὲ Ἰὼβ τὸν Ὠρίωνα, καὶ τὴν Ἀστρὼθ ὀνομάζοντος. ὡς ἐκ τούτου δῆλον εἶναι, ὅτι τοῖς ἐν τῷ βίῳ τετριμμένοις ὀνόμασι πρὸς διδασκαλίαν ἡμῶν συγκέχρηται ἡ θεία γραφή· οὕτω καὶ ἀμαλθείας κέρας ἐν τῷ Ἰὼβ ἀκηκόαμεν. καὶ παρὰ τῷ Ἡσαΐᾳ Σειρῆνας. τοῦ μὲν τὸ πάμφο-
D ρον τῶν ἀγαθῶν ἐκ τῆς Ἑλληνικῆς ὑπονοίας οὕτω κατονομάζοντος· Ἡσαΐου δὲ τὴν ἐξ ἀκοῆς ἡδονὴν διὰ τῶν Σειρήνων παραδηλοῦντος ὀνόματι. ὥσπερ οὖν ἐνταῦθα τοῖς ἐκ τῶν μυθικῶν διηγημάτων ὀνόμασιν ὁ θεόπνευστος συνεχρήσατο λόγος, πρὸς τὸ τῶν ἀκουόντων χρήσιμον βλέπων, οὕτω κἀκεῖ τὰς ἐκ τῆς ἀνθρωπίνης ἐπινοίας τοῖς ἄστροις ἐπικληθείσας φωνὰς εἶπεν ἀνεπαισχύντως ὁ λόγος, διδάσκων ὅτι πᾶν πρᾶγμα παρὰ τοῖς ἀνθρώποις ὀνομαζόμενον, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχει, τὸ πρᾶγμα οὐχὶ τὸ ὄνομα. οὐ γὰρ ὁ ὀνομάζων, ἀλλ' ὁ ποιῶν φησι Πλειάδα, καὶ Ἕσπερον, καὶ Ἀρκτοῦρον. οὐκοῦν ἱκανῶς εἶναι διὰ τῶν εἰρημένων καὶ τοῦ Δαβὶδ

τῆς ὑμετέρας ὑπολήψεως σύμμαχον ἀποδεδεῖχθαι, οὐ τὸ καλονομάζειν τὸν Θεὸν τὰ ἄστρα διὰ τῆς προφητείας διδάσκοντα, ἀλλὰ τὸ ἀκριβῶς γινώσκειν κατὰ τὴν τῶν ἀνθρώπων συνήθειαν τῶν ἐκείνοις μάλιστα δι' ἀκριβείας ἐπισταμένων, οὓς καὶ ὀνόμασι προσκαλεῖσθαι διὰ πολλὴν συνήθειαν δύνανται. εἰ δὲ χρὴ καὶ τὴν παρὰ τῶν πολλῶν ἐπὶ τοῖς ῥητοῖς τούτοις τῆς ψαλμῳδίας ἐκτίθεσθαι διάνοιαν, πολὺ μᾶλλον ἀπελεγχθήσεται τὸ μάταιον τῆς Εὐνομίου περὶ τούτων οἰήσεως. λέγουσι γὰρ οἱ ἐπιμελέστερον ἐξητακότες τὸν νοῦν τῆς θεοπνεύστου γραφῆς, ὅτι οὐ πάντα τὰ ὄντα τῆς θείας ἐστὶν ἐξαριθμήσεως ἄξια. ἔν τε γὰρ τοῖς εὐαγγελικοῖς σιτίοις τοῖς γεγενημένοις κατὰ τὴν ἔρημον, οὔτε τὸ νηπιῶδες, οὔτε τὸ γυναικεῖον ἀριθμοῦ ἄξιον ἐνομίσθη. καὶ ἐν τῇ ἐξόδῳ τοῦ Ἰσραηλίτου λαοῦ, μόνοι τῷ ἀριθμῷ κατελέγησαν οἱ ἤδη κατὰ τῶν ἐχθρῶν ὅπλα φέρειν καὶ ἀριστεύειν δυνάμενοι. οὔτε γὰρ πάντων τὰ ὀνόματα τοιαῦτα ἐστίν, ὡς διὰ τοῦ θείου στόματος φέρεσθαι· ἀλλ' ἀριθμεῖται μὲν εἴ τι καλόν τε καὶ οὐράνιον· ὃ διὰ τὸ ὕψος τῆς πολιτείας ἀμιγὲς μένον τῆς πρὸς τὸν ζόφον ἐπιμιξίας, ἄστρον λέγεται· ὀνομάζεται δὲ εἴ τι κατ' αὐτὸν τὸν λόγον τοῦ ἐγγραφῆναι ταῖς θείαις δέλτοις ἄξιον γίνεται. περὶ γὰρ τῶν ὑπεναντίων φησίν, ὅτι οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. ὀνόματα δέ, οἷα τοῖς τοιούτοις ἐπιβάλλει ἄστροις ὁ κύριος, σαφῶς παρὰ τῆς Ἡσαΐου προφητείας ἐμάθομεν, ἥ φησιν, ἐκάλεσά σε τὸ ὄνομά σου, ἐμὸς εἶ σύ. ὥστε εἴ τις ἑαυτὸν κτῆμα ποιεῖ τοῦ Θεοῦ, ὄνομα τούτῳ τὸ ἔργον γίνεται. ἀλλὰ ταῦτα μὲν ἐχέτω ὅπως ἂν ἔχειν δόξῃ τοῖς ἐντυγχάνουσιν. ὃ δὲ προστίθησι τοῖς εἰρημένοις, τὰ προοίμια τῆς κοσμογενείας εἰς μαρτυρίαν τοῦ παρὰ τοῦ Θεοῦ τοῖς οὖσι τὰς φωνὰς κεῖσθαι. ὧν περ ἐν τοῖς κατόπιν ἐξητασμένων ἱκανῶς περιττὴν κρίνων τὴν ἐπανάληψιν, καὶ τὴν τοῦ Ἀδὰμ φωνήν, ἣν προφητικῶς εἰς Χριστόν, καὶ τὴν ἐκκλησίαν γεγενῆσθαι φησὶν ὁ ἀπόστολος, ἑρμηνευέτω κατ' ἐξουσίαν οὗτος ὡς βούλεται. οὐδεὶς γὰρ οὕτως ἠλίθιος, ὡς Παύλου τὰ κεκρυμμένα τῶν μυστηρίων ἐν τῇ δυνάμει τοῦ πνεύματος ἡμῖν ἐκκαλύπτοντος, ἀξιοπιστότερον ἑρμηνέα τῶν θείων ποιήσασθαι τὸν Εὐνόμιον, τὸν φανερῶς ταῖς φωναῖς τῆς θεοπνεύστου μαρτυρίας ἀντιμαχόμενον. καὶ τὸ μὴ κατωνομάσθαι παρὰ τοῦ Ἀδὰμ τῶν ἀλόγων τὰ εἴδη, διὰ τῆς παρεξηγήσεως τοῦ ῥητοῦ τούτου

A nioni fauere opinor eſſe demõſtratum, docentem per vaticinium Deum non ſtellas nominare, ſed exactè cognoſcere ſecundum hominum conſuetudinem, qui hos maximè & perfectè norunt, quos etiã nominatim propter multam conſuetudinẽ appellare poſſunt. Quod ſi oportet etiam in his dictis huius cantici à multis traditam ſententiam explanare, multò magis vanitas opinionis, quam de his habet Eunomius, refelletur. Nam qui diligentiùs ſcripturæ diuinitùs inſpiratæ mentem exquiſiuerunt, dicunt: quod non omnia quę ſunt, B diuina numeratione ſunt digna. Siquidem in Euangelicis cibationibus in deſerto factis, neque puerilis ætas, neque muliebris ſexus numero digna exiſtimata ſunt. Et in egreſſu populi Iſraëlitici, ſoli numero collecti ſunt, qui iam contra hoſtes arma ferre & fortiſſimè pugnare poterant. Neque enim omniũ nomina talia ſunt vt ore diuino efferantur, ſed numeratur ſi quid pulchrum & cœleſte: quod propter altitudinem ſtatus ſiue gubernationis ab omni conſortio caliginis & obſcuritatis ſincerum immixtúmque manet, ſtella dicitur, nominatur C autem ſi quid eadem ratione in diuinis libris ſcriptu dignum inuenitur. Nam de aduerſariis ait, quod non meminero nominum ipſorum per labia mea. Nomina autẽ qualia talibus imponit ſtellis dominus, manifeſtè ex Eſaiæ vaticinio didicimus quod dicit, Vocaui te nomine tuo, meus es tu. quare ſi quis ſeipſum poſſeſſionem Dei facit, huic nomen opus efficitur. Sed hæc quidem habeant, quomodo habere videantur legentibus. Quod autem adijcit dictis, exordia mundi creationis teſtari à Deo rebus voces impoſitas fuiſſe, quorum quidem in præcedentibus abundè ſatis D examinatorum ſuperuacaneam iudico repetitionem. Et Adami vocem quam prophetice in Chriſtum, & Eccleſiam factam dicit Apoſtolus, interpretetur pro arbitrio hic ſicut vult. Nullus enim ita ſtolidus & fatuus, vt cum Paulus myſteriorum occulta in virtute ſpiritus nobis reuelauerit, Eunomium diuinorum interpretem fide digniorem faciat, apertè à Deo inſpirati teſtimonij vocibus repugnantem. Et non ab Adamo belluarum ſpecies nominatas eſſe, per huius dicti explanationem adſtruant

extorquentem. Ipſius quoque contumelioſa verba prætereantur, atque illa ingrata inſcitia, & veluti fimo & ſtercore macerata vox cum conſueta oris feſtiuitate, hæc contra noſtrum doctorem diſſerens, loliorum ſatorem appellans, & fructus putredinem, & Valentini perniciem, & ab illo fructum, quem in animo autoris aceruatum eſſe autumat, & reliqua dictorum inſuauitas ſilentio inuoluatur, quemadmodum corpora putri tabo liquentia terra obruta, ne multis per turbam tetrum odorem emittant. Sed ad ea quæ ab eo deinceps dicta ſunt, transferenda eſt oratio. Rurſus enim quandam doctoris dictionem tractat, quæ ita habet. Incorruptibilem enim & ingenitum Deum vniuerſorum dicimus, ſecundũ diuerſos mentis conceptus his nominibus vtentes. Cùm enim ad retrò lapſa ſecula intuemur, Dei vitam omnem circumſcriptionem, vel omne principium ſuperantem inuenientes, ipſum ingenitũ dicimus. Cùm verò in ſecula ſuperuenientia mentem intendimus, eum qui ſit infinitus & interminatus, nullóque fine comprehenſibilis, incorruptibilem appellauimus. Vt igitur quod vitæ nullum habet terminũ incorruptibile, ſic quod eius principio caret, ingenitum denominatum eſt, dum hæc per commentationem ita contẽplamur. Conuitium igitur quod procemium dictorum contemplationis fecit, item prætcribo, ſeminis alicuius immutationẽ, & ſationis magiſtrum, & illud reprehenſionis quod nulla ratiocinatione concluſum eſt, & alia quęcumque inſatiabili lingua per inania & vacua vadens perſequitur: propter quod autem criminari aggreditur ſermonem calumniãdo, ad hoc nos conuertemur. Nos arguere pollicetur, vt dicẽtes Deũ nõ incorruptibilẽ eſſe natura: ſed nos à natura illa ſola putamus aliena, quæcũque quibuſdã aduentitia inſunt, & quæ amitti poſsũt: ſine quibus verò ſubiectũ mẽte percipi natura nõ poteſt, quomodo quis culpari poſſit, vt ipsã à ſeipſa naturã ſeparans? Si igitur Deo incorruptibilitatem agnatã & aſcititiã noſter aſſereret ſermo, vt quæ in ipſo nõ aliquãdo fuiſſet, vel vt non aliquando futura eſſet hæc contra nos per calumniam dicendi occaſionẽ haberet. Quòd ſi eodẽ modo ſemper ſe habet, & quod nũc eſt ſemper eſſe Deũ, noſter definit ſermo, nihilq. ex

Verba D. Baſilij cõtra Eunomium lib. 1.

A καταςκευάζειν ἐκβιαζόμενον. παρείσθω καὶ τὰ τῆς ὕβρεως αὐτοῦ ῥήματα, καὶ ἡ ἄχαρις ἀμουσία ἐκείνη, καὶ ἡ κοπροφόρος αὐτοῦ καὶ βεβολβιτωμένη φωνὴ δεξιοῦσα μετὰ τῆς συνήθους εὐστομίας ταῦτα κατὰ τοῦ διδασκάλου ἡμῶν, τὸν σπορέα τῶν ζιζανίων, καὶ τὴν τοῦ καρποῦ προσσῆψιν, καὶ Οὐαλεντίνου παραφθοράν, καὶ τὸν παρ' ἐκείνου καρπὸν ὃν ἐν τῇ ψυχῇ λέγει σεσωρεῦσθαι τοῦ διδασκάλου, καὶ ἡ λοιπὴ τῶν εἰρημένων ἀηδία συγκαλυφθήτω τῇ σιωπῇ, καθάπερ καὶ τὰ μεμυδηκότα τῶν σωμάτων τῇ γῇ καταχρυπτόμενα, ὡς μὴ πολλῆς δι' ὄχλου τὴν
B δυσωδίαν γίνεσθαι. πρὸς δὲ τὴν ἀκολουθίαν τῶν εἰρημένων μετοιστέον τὸν λόγον. πάλιν γὰρ ἐκτίθεται τινὰ ῥῆσιν τοῦ διδασκάλου ἔχουσαν οὕτως· ἄφθαρτον γὰρ καὶ ἀγέννητον τὸν Θεὸν τῶν ὅλων λέγομεν, κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι τούτοις χρώμενοι. ὅταν μὲν γὰρ εἰς τοὺς κατόπιν αἰῶνας ἀποβλέψωμεν, ὑπερεκπίπτουσαν πάσης περιγραφῆς εὑρίσκοντες τὴν ζωὴν τοῦ Θεοῦ, ἀγέννητον αὐτὸν λέγομεν· ὅταν δὲ τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν ἐπιβάλλωμεν, τὸ ἀόριστον καὶ ἄπειρον καὶ οὐδενὶ τέλει καταληπτὸν προσαγο-
C ρεύσαντες ἄφθαρτον. ὡς οὖν τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον, οὕτω τὸ ἄναρχον αὐτῆς ὠνομάσθη ἀγέννητον, τῇ ἐπινοίᾳ ἡμῶν ἐπιθεωρουμένων ταῦτα. τὴν μὲν οὖν λοιδορίαν ἣν προοίμιον τῆς τῶν εἰρημένων θεωρίας πεποίηται, πάλιν παρήσομεν, σπέρματος τινὸς ὑπαλλαγὴν καὶ σπορᾶς καθηγητὴν, καὶ τὸ τῆς μέμψεως ἀσυλλόγιστον, καὶ ὅσα ἄλλα τῇ ἀκρήτῳ γλώσσῃ κενεμβατῶν διεξέρχεται· ἐφ' ᾧ δὲ διαβάλλειν ἐπιχειρεῖ, συκοφαντῶν τὸν λόγον, πρὸς τοῦτο καὶ ἡμεῖς τραπησόμεθα. ἐλέγχειν ἡμᾶς ἐπαγγέλλεται
D ὡς μὴ φύσει λέγοντας ἄφθαρτον εἶναι τὸ θεῖον· ἡμεῖς δὲ μόνα τῆς φύσεως ἀλλοτριοῦμεν ἐκεῖνα ὅσα ἐπίκτητα γίνεταί τισι καὶ ἀπόκτητα. ὧν δὲ ἄνευ τὸ ὑποκείμενον νοηθῆναι φύσιν οὐκ ἔχει, πῶς ἄν τις ἐν αἰτίᾳ γένοιτο, ὡς αὐτὴν ἑαυτῆς διαχωρίζων τὴν φύσιν; εἰ μὲν οὖν ἐπιγεννηματικὴν τῷ Θεῷ τὴν ἀφθαρσίαν ὁ ἡμέτερος λόγος ἐπρέσβευεν, ὡς ποτὲ περὶ αὐτὸν μὴ οὖσαν, ἢ ὡς οὐκ ἐσομένην ποτέ, τάχα ἂν εἶχε ταῦτα ἐπὶ διαβολῇ καθ' ἡμῶν λέγειν. εἰ δὲ ἀεὶ ὡσαύτως ἔχει, καὶ ὃ νῦν ἐστι πάντοτε εἶναι τὸ θεῖον ὁ ἡμέτερος διορίζεται λόγος, καὶ οὐδὲν ἐκ

προσγι-

A προσαυξήσεως αὐτῷ τινὸς ἢ προσθήκης τῶν μὴ προσόντων προσγίνεσθαι· ἀλλ' ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν νοουμένῳ καὶ λεγομένῳ πάντοτε εἶναι, πῶς μὴ κατὰ φύσιν αὐτῷ προσμαρτυρεῖν τὴν ἀφθαρσίαν διαβαλλόμεθα; ἀλλ' ἐκ τῆς προαναγνωσθείσης τοῦ διδασκάλου ῥήσεως τῆς τοιαύτης τοῦ λόγου διαβολῆς εἰληφέναι τὰς ἀφορμὰς σχηματίζεται, ὡς ἐκ τῆς παραθέσεως τῶν αἰώνων, τῷ Θεῷ τὴν ἀφθαρσίαν ἡμῶν πορίζόντων. εἰ μὲν οὖν παρ' ἡμῶν τὸ ἡμέτερον ῥητὸν προεφέρετο, ὕποπτος ἂν ἦν ἴσως εἰς ἀπολογίαν ὁ λόγος, ὡς νῦν ἡμῶν ἐπιδιορθουμένων, καὶ πρὸς τὸ ἀνεύθυνον μετατιθέντων τὰς ὑπαιτίους φωνάς. B ἐπεὶ δὲ παρὰ τοῦ ἐχθροῦ τὰ ἡμέτερα λέγεται, τίς ἂν ἰσχυροτέρα γένοιτο τῆς ἀληθείας ἀπόδειξις, αὐτῆς τῆς τῶν ἀντιδικούντων ἡμῖν μαρτυρίας; πῶς τοίνυν ὁ παρ' ἡμῶν ἔχει λόγος ὃν ἐπὶ διαβολῇ προχειρίζεται καθ' ἡμῶν ὁ Εὐνόμιος; ὅταν, φησί, τοῖς ὑπερκειμένοις αἰῶσι τὸν νοῦν ἐπιβάλλωμεν, τὸ ἀόριστον καὶ ἄπειρον καὶ οὐδενὶ τέλει καταληπτὸν, προσηγορεύσαμεν ἄφθαρτον. ἆρα τὸ πορίσαι τὸ προσαγορεῦσαι ταὐτὸν ὁ Εὐνόμιος οἴεται; καὶ τίς οὕτως ἔξω τοῦ καθεστηκότος ἐστὶν ὡς τὰς ἰδιαζούσας τούτων τῶν ῥημάτων ἀγνοεῖν ἐμφάσεις; C πορίζει μὲν γὰρ ὁ τὸ μὴ προσὸν αὐτῷ κτησάμενος, προσαγορεύει δὲ ὁ τὸ ὂν σημαντικῶς ὀνομάζων. πῶς οὖν ἐπὶ τούτοις ὁ τῆς ἀληθείας φωτιστὴς οὐκ αἰσχύνεται, ἐν προδήλῳ τῇ συκοφαντίᾳ τὴν διαβολὴν συμπεραίνων; καὶ καθάπερ οἱ ἔκ τινος πάθους μὴ βλέποντες, ἐν ὄψεσι τῶν βλεπόντων ἀσχημονοῦσι, τὸ παρ' αὐτῶν μὴ ὁρώμενον, καὶ παρὰ τῶν ὑγιαινόντων ἀγνοεῖσθαι νομίζοντες, τοιοῦτόν τι πέπονθεν ὁ ὀξυδερκὴς οὗτος καὶ ταχὺς τὴν διάνοιαν, τὴν ἰδίαν πρὸς τὴν ἀλήθειαν πήρωσιν, καὶ ἐν τοῖς ἀκούουσιν οἴεται. καὶ τίς οὕτως ἠλίθιος, ὡς μὴ παραθεῖναι τῇ διαβολῇ τὰ συκοφαντούμενα ῥήματα, καὶ ἐκ τῆς ἑκατέρων ἀντιπαραγνώσεως τὴν κακουργίαν τοῦ λογογράφου φωρᾶσαι; D ὁ ἡμέτερος λόγος, προσαγορεύει τὸ ἄφθαρτον, ἐκεῖνος κατηγορεῖ τοῦ τὴν ἀφθαρσίαν πορίζοντος. τί κοινὸν ἔχει τῷ λέγειν; ἀπὸ τῶν ἰδίων ἕκαστον εὐθύνεσθαι δίκαιον, οὐκ ἐκ τῶν ἀλλοτρίων ὑπέχειν τὰς μέμψεις. νυνὶ δὲ κατηγορεῖ μὲν ἡμῶν, καὶ ἡ πικρία πρὸς ἡμᾶς βλέπει, καταχρίνει δὲ οὐδένα κατά γε τὸν ἀληθῆ λόγον ἢ ἑαυτόν. εἰ γὰρ τὸ πορίζειν τῷ Θεῷ τὴν ἀφθαρσίαν ὑπαίτιον.

A incremento aliquo & adiectione eorum quæ non inſunt ei aduenire: ſed in omni quod ſecundum bonum intelligitur & dicitur ſemper eſſe: quomodo non ſecundum naturam ipſi incorruptibilitatem attribuere per calumniam accuſamur? ſed ex prius recitata dictione doctoris ſermonem ita calumniandi occaſiones cepiſſe fingit, quaſi ex appoſitione ſæculorũ, nos Deo incorruptibilitatem tribueremus. Si igitur à nobis noſtrum dictũ proferretur, fortaſſe ad defenſionem ſuſpectus eſſet ſermo, vt qui videremur emendare, quod non rectè B dictum fuiſſet, & voces crimini obnoxias immutando inculpabiles efficere. Sed quoniam ab aduerſario noſtra proferuntur, quænã firmior eſſe queat veritatis demõſtratio, quam aduerſariorum teſtimonium? Quomodo igitur noſter habet ſermo, quem cõtra nos in calumniã pertractat Eunomius? Cùm, inquit, ad ſupereminentia ſæcula mentem intendimus, quod eſt indeterminatum & infinitum, & nullo fine comprehẽſum, appellauimus incorruptibile. An tribuere & appellare idem putat Eunomius? Et quis ita mentis impos eſt & C extra ſe depulſus, vt claras peculiares horum verborũ ſignificationes ignoret. Tribuit enim qui quod nõ adeſt ipſi acquiſiuit; appellat autẽ qui id quod eſt, ſignificãter nominat. Quomodo igitur in his veritatis illuminator nõ erubeſcit, in aperta obtrectatione calumniam cõcludere? Ac velut qui ex aliquo morbo non vident in oculis videntium indecorè ſe gerunt, quod ab ipſis non videtur, etiam à bene valẽtibus ignorari putant: tale quid vſu venit huic acutè cernenti, celerique ingenio prædito, qui ad veritatem cæcutiens, illud etiam vitium audientibus ineſſe exiſtimat. Ac quis ita D hebes & ſtolidus, vt non calumniæ apponat verba, quę per inuidiam & obtrectationem proferuntur, atque ex vtrorumq. oppoſita lectione, ſcriptoris malitiam non deprehẽdat? Noſter ſermo appellat incorruptibile, ille inſimulat, quaſi qui incorruptibilitatem tribuit. Quid cõmune habere & dicere? de ſuis vnuſquiſque iure arguitur & iudicatur, non ex alienis accuſari ſolet. Nunc autẽ nos quidem accuſat, & in nos acerbitas ſpectat; neminẽ verò condemnat ſecũdum verã rationẽ, quã ſeipſum. Si enim Deo incorruptibilitatẽ tribuere crimen eſt,

hoc autem à nullo alio præterquam ab ipſo ſolo dicitur. Ergo ipſe ſycophanta ſui ipſius accuſator eſt, quod ſuum eſt calumnians, non quod noſtrum. Et de nomine ἀγεννησίας nos dicimus, quod quẽadmodum quod nullum vitę habet terminum incorruptibile, ſic quod eius origine & principio caret ingenitum nominatum eſt: hic autem à ſæculis nos ipſi conciliare & attribuere primatum in omnia quæ genita ſunt affirmat. Impium cõuitium taceo, quod Deum vnigenitum cum omni genito facit communem, & eadem voce ipſum complectens, eandem quam de cæteris opinionem ingenerat, Dei filiũ ad omne quod per generationem ſubſiſtit adducens. Sed veſanam eius malitiam in gratiam auditorum intelligentiorum adijciam orationi. A ſæculis Baſilius conciliat ac tribuit Deo in omnia genita primatum. (*Verba Eunomij.*) Quænã hæc vox inanis & ſenſu carens? homo fit Dei conciliator & per ſæcula ei conciliat iura primigenia? Quænam horum verborũ, quę ſubſiſtere nequeũt, vana & inanis iactantia? Si quod in diuina eſſentia ex vtraq. parte exuperat ſæculorum interuallarem extenſionem, ſignificatiuis quibuſdã nominib. doctor dixit declarari: in eo qui, vt Apoſtolus dixit, neque principium dierum, neque vitæ finẽ habet: vt differentibus verbis opinionis differẽtia ſignificetur. (*Hebr. 7.*) Et propterea quod omni principio antiquius, ἄναρχον, id eſt, principio carens dici & ingenitum: Quod vero nullo fine circumſcriptũ eſt, immortale & incorruptibile nominari, hæc attributionẽ & conciliationem, atque eiuſmodi delireamẽta ſcribere nõ eum pudet. Quinetiam à nobis ſæcula dicit bifariam diuidi, vt qui non relegit quæ appoſuit: vel vt apud obliuioſos eorum quæ dixit ſermonem habeat. Quid ait doctor? ſi quæ ante creaturam mente concipiamus, & ſęcula ratiocinando prætergreſſi, incircumſcriptam vitam æternam ratione complexi fuerimus, eiuſmodi mentis conceptum ingeniti nomine ſignificamus: & ſi ad id quod deinceps ſequitur, cogitationem verterimus, & ſæculis abundantiorem Dei vitam comprehenderimus, voce infiniti & incorruptibilis hanc cogitationem interpretamur. Vbinam in dictis ſermo diuidit ſæcula, ſi æternitatem Dei ſecundùm omnem mentis conceptum ex æquo ante apparentem

A τοῦτο δὲ παρ' οὐδενὸς ἄλλου πλὴν παρ' αὐτοῦ λέγεται μόνου. ἄρα αὐτὸς ἑαυτοῦ γέγονεν ὁ συκοφάντης κατήγορος, τὸ ἑαυτοῦ διαβάλλων, οὐ τὸ ἡμέτερον. καὶ περὶ τοῦ κατὰ τὴν ἀγεννησίαν ὀνόματος ἡμεῖς μὲν φαμὲν, ὅτι ὥσπερ τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον, οὕτως τὸ ἄναρχον αὐτῆς ἀγέννητον ὠνομάσθη· οὗτοσὶ δὲ παρὰ τῶν αἰώνων ἡμᾶς λέγει κατὰ πάντων τῶν γεννητῶν προξενεῖν αὐτῷ τὰ πρεσβεῖα. σιωπῶ τὸ βλάσφημον ὅτι κοινοποιεῖ πρὸς πᾶν γεννητὸν τὸν μονογενῆ Θεὸν, τῇ περιληπτικῇ φωνῇ πρὸς ὁμοτίμους ὑπολήψεις, B παντὶ τῷ διὰ γενέσεως ὑφεστῶτι τὸν υἱὸν τοῦ Θεοῦ κατάγων. ἀλλὰ τὴν ἀδιανόητον αὐτοῦ κακουργίαν, τοῖς συνετωτέροις τῶν ἀκροατῶν προσθήσω τῷ λόγῳ. παρὰ τῶν αἰώνων προξενεῖ Βασίλειος κατὰ πάντων τῶν γεννητῶν τῷ Θεῷ τὰ πρεσβεῖα. τίς ἡ ἀδιανόητος αὕτη κενοφωνία; πρόξενος Θεοῦ ἄνθρωπος γέγονε, καὶ προξενεῖ διὰ τῶν αἰώνων αὐτῷ τὰ πρεσβεῖα; τίς ἡ ματαία τῶν ἀνυποστάτων τούτων ῥημάτων κενεμβασία, εἰ τὸ ὑπερεκπῖπτον τὴν διαστηματικὴν τῶν αἰώνων παράτασιν, ἐφ' ἑκάτερα τῆς θείας οὐσίας ἐμφαντικοῖς τισὶν ὀνόμασιν ὁ διδάσκαλος εἶπεν σημαίνε- C σθαι ἐπὶ τοῦ, καθὼς εἶπεν ὁ ἀπόστολος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς ἔχοντος τέλος· ὡς διαφόροις τοῖς ῥήμασι τὸ διάφορον σημαίνεσθαι τῆς ὑπολήψεως. καὶ διὰ τοῦτο τὸ μὲν πάσης ἀρχῆς ἀνώτερον, ἄναρχον λέγεσθαι καὶ ἀγέννητον· τὸ δὲ μηδενὶ τέλει περιγραφόμενον ἀθάνατον ὀνομάζεσθαι καὶ ἄφθαρτον· ταῦτα προεισμὸν καὶ προξένησιν καὶ τὰ τοιαῦτα ληρήματα οὐκ αἰσχύνεται γράφων. ἀλλὰ καὶ διχοτομεῖσθαι παρ' ἡμῶν φησὶ τοὺς αἰῶνας, ὥσπερ οὐκ ἀνεγνωκὼς ἃ παρέθετο· ἢ ὡς ἐν ἐπιλήσμοσι τῶν λεγομένων, τὸν ἑαυτοῦ λόγον διατιθείς. τί φησὶν ὁ διδάσκαλος; D ἐὰν τὰ πρὸ τῆς κτίσεως ἐννοήσωμεν καὶ τοὺς αἰῶνας τῷ λογισμῷ διαβάντες, τὸ ἀπερίγραπτον τῆς ἀϊδίου ζωῆς λογισώμεθα, τῇ τοῦ ἀγεννήτου προσηγορίᾳ, τὸ τοιοῦτον διασημαίνομεν νόημα· κἂν εἰς τὸ ἐφεξῆς τὴν διάνοιαν τρέψωμεν, καὶ περιουσιοτέραν τῶν αἰώνων τὴν ζωὴν τοῦ Θεοῦ καταλάβωμεν, διὰ τοῦ ἀτελευτήτου καὶ ἀφθάρτου φωνῆς τὴν διάνοιαν ταύτην διερμηνεύομεν. ποῦ τέμνει τοὺς αἰῶνας ἐν τοῖς εἰρημένοις ὁ λόγος, εἰ τὴν ἀϊδιότητα τοῦ Θεοῦ κατὰ πᾶσαν ἐπιβολὴν ἐπίσης προφαινομένην,

καὶ πανταχόθεν ὡσαύτως ἔχουσαν, καὶ μηδενὶ διαστήματι μετρουμένην, τοῖς κατὰ δύναμιν ἐξαγγέλλομεν ῥήμασί τε καὶ ὀνόμασιν; ἐπειδὴ γὰρ ἡ ἀνθρωπίνη ζωὴ διαστηματικῶς κινουμένη, ἀπό τινος ἀρχῆς εἴς τι τέλος πορεύουσα διέξεισι, καὶ μεμέρισται πρὸς τὸ παρῳχηκός τε καὶ προσδοκώμενον ὁ τῇδε βίος, ὡς τὸ μὲν ἐλπίζεσθαι, τὸ δὲ μνημονεύεσθαι· τούτου χάριν ὡς πρὸς τὴν ἡμετέραν σχέσιν τό τε παρῳχηκὸς καὶ τὸ προσδοκώμενον, τῆς διαστηματικῆς παρατάσεως ἐννοοῦντες· οὕτως καὶ ἐπὶ τῆς ὑπερκειμένης φύσεως ἐκ καταχρήσεως λέγομεν, οὐχ ὡς τοῦ Θεοῦ διὰ τῆς ἰδίας ζωῆς κατόπιν ἑαυτοῦ τι καταλιπόντος διάστημα, καὶ πρὸς τὸ προκείμενον πάλιν ἐν τῷ ζῆν διοδεύοντος· ἀλλ' ὡς τῆς ἡμετέρας κατανοήσεως, πρὸς τὴν ἰδίαν ἡμῶν φύσιν περινοούσης τὰ πράγματα, καὶ τὸ ἀΐδιον ἐν τῷ παρῳχηκότι καὶ μέλλοντι διαμετρούσης. ὅταν μήτε τὸ κατόπιν περικόπτῃ πορευομένην εἰς τὸ ἄπειρον τοῦ ἀορίστου τὴν ἔννοιαν, μήτε τὸ ἔμπροσθεν σύστασίν τινα καὶ ὅρον τῆς ἀπείρου ζωῆς ἐπαγγέλληται. εἰ ταῦτα καὶ νοοῦμεν καὶ λέγομεν, πῶς ἡμῖν ἡ τῶν αἰώνων ἐπιθρυλλεῖται τομή; εἰ μὴ καὶ τὴν ἁγίαν γραφὴν διχοτομεῖν τοὺς αἰῶνας ὁ Εὐνόμιος λέγει, τῇ αὐτῇ διανοίᾳ τῆς θείας ζωῆς τὴν ἀπειρίαν διασημαίνουσαν. τοῦ μὲν Δαβὶδ τὴν πρὸ τῶν αἰώνων βασιλείαν ὑπομνήσαντος· τοῦ δὲ Μωϋσέως τὴν ὑπὲρ τοὺς αἰῶνας ἐκτεινομένην τοῦ Θεοῦ βασιλείαν δείξαντος. ὡς ἐξ ἀμφοτέρων ἡμᾶς διδαχθῆναι, ὅτι πᾶν διαστηματικὸν διανόημα, ἐντὸς τῆς θείας φύσεως περιείληπται τῇ ἀπειρίᾳ τοῦ τὸ πᾶν περιέχοντος, ἁπανταχόθεν ἐμπερατούμενον. ὁ μὲν γὰρ Μωϋσῆς εἰς τὸ ἑξῆς βλέπων, βασιλεύειν αὐτόν φησι τὸν αἰῶνα καὶ ἐπ' αἰῶνα καὶ ἔτι. ὁ δὲ μέγας Δαβὶδ πρὸς τὸ κατόπιν ἀναγαγὼν τὴν διάνοιαν, εἶπεν· ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων. καὶ πάλιν· εἰσακούσεται, ὁ Θεὸς ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. ἀλλ' ὁ σοφὸς Εὐνόμιος ἐρρῶσθαι φράσας τοῖς τηλικούτοις καθηγηταῖς, ἄλλην φησὶν ἡμᾶς λέγειν τὴν ἄναρχον ζωὴν, ἑτέραν δὲ τὴν ἀτελεύτητον. πάλιν καὶ αἰώνων τινῶν ἑτερότητας καὶ διαφορὰς, συνδιασχιζούσας τῇ ἑτερότητι ἑαυτῶν καὶ τὴν περὶ Θεοῦ φαντασίαν. ἀλλ'

A & vndique eodem modo habentem, & nullo interuallo dimenſam, verbis & nominibus pro facultate noſtra enuntiamus? Quoniam enim vita humana quæ interuallis mouetur, ab aliquo principio ad finem aliquem progrediendo peruenit, & quæ hîc vita eſt, in id quod præteriit, & quod expectatur eſt diſtributa, vt hoc quidem in ſpem, illud verò in memoriam cadat: huius gratia prout noſtra fert habitudo, & quod prçteriit, quódque expectatur, interuallata extenſione intelligimus: ſic
B & in ſupereminente natura ex abuſu dicimus, non quaſi Deus per propriam vitam à tergo aliquod relinquat interuallum, & ad id quod præiacet rurſus viuendo pergat: ſed ſicut noſtra fert intelligentia, quæ ſecundum propriam noſtram naturam res concipit, & æternum præterito & futuro dimetitur: Quando neque quod à tergo eſt, intercidit notionem in infiniti immenſitatem progredientem, neque quod ante eſt, ſtationem aliquam & terminum infinitæ vitæ denunciat. Si hæc & mente concipimus & dicimus, quomodò
C nobis peruulgatam aſſerit ſæculorum diſſectionem? niſi etiam ſacram ſcripturam ſecula diuidere Eunomius dicat, quæ eadem intelligentia diuinæ vitæ infinitatem ſignificat: cùm Dauid regnũ, ante ſecula quod fuit, commemorauerit: & Moſes ſuper ſecula Dei regnum oſtendi demonſtrarit. Ita vt ex ambobus nos ſimus edocti, quod omne quod interuallis diſtinctum animo concipitur, intra diuinam naturam comprehenſum eſt infinitate,
D eius qui vniuerſum continet, omni ex parte terminatum: Moſes enim in id quod deinceps ſequitur intuens, ipſum regnare dicit ſæculum & in ſæculum, & vltra. Magnus autem Dauid ad id quod retro eſt cogitatione adducta, dixit, Deus rex noſter ante ſæcula. Et rurſus, Audite, Deus qui eſt ante ſæcula. Sed ſapiens Eunomius tantis magiſtris valere dicens, aliam ait nos aſſerere vitam principio carentem, aliam verò fine carentem. Rurſus & ſæculorum quorumdam varietates, & differentias quæ ſua diuerſitate ſimul etiam de Deo imaginationem diſcindunt. Sed Pſal. 47.

ne longius noſtra aduerſus dicta protrahatur pugna ipſam adijciemus nondum exagitatam, neque examinatam in his Eunomij induſtriam, quæ ſatis eſt idonea, per quæ ſtudioſè occupatur in mendacio, ad illuſtriorem intelligentibus faciendam veritatem. Nos enim progrediens ſermone interrogat. Quidnam tandem ſecula putamus? Atqui erat iuſtius à nobis ipſi tales quæſtiones proponi. Ipſe enim eſt qui Dei eſſentiam ſe cognouiſſe profitetur, quique ea quæ nobis attingere non licet, intellectu ſuo comprehendi determinat. Igitur ipſe nobis ediſſerat ſeculorum eſſentiam, qui illa ſuperna ſe comprehendiſſe iactitat. Atque hoc vtrinque præceps & dilemmaticum reſponſionis in nos imperitos ne nimis terribiliter quatiat: vt ſi hoc ſecula eſſe arbitremur, hæc abſurditas ſuboccurrat, & ſi hoc alterum, altera. Si enim, inquit, ſempiterna dicatis Græci eritis, & Valentini & barbari. Quod ſi genita, non amplius, inquit, confitebimini in Deo quod eſt ingenitum. O inexpugnabilem & ineluctabilem aggreſſionem! Si quid genitum, ô Eunomi, conceſſum fuerit, ingeniti confeſſio abolebitur. Et quo tibi effluxerunt geniti cum ingenito tanto artificio pronuntiata, per quę diſſimile eſſentię filij cum eo qui genuit præſtruitis? Videtur enim ex quibus nunc docemur, non diſſimili modo habere pater, ſecundùm eſſentiam, vt cum genito conſideratur: ſed in vniuerſum ingeniti confeſſione ad id quod non eſt, reſolui: ſiquidem genita ſecula dixerimus, ad confitendum non amplius eſſe ingenitum impellemur. Sed videamus neceſſitatem per quam nos ad aſſenſionem abſurditatis huius neceſſariò cogit. Quorum enim appoſitione, inquit, Deo aduenit id quod principio caret. Si hæc non fuerint, non erit quod adijcitur: ô validam hanc & ineuitabilem luctam: vt ex mediis nos inſolubilibus nexibus athleticè conſtrictos tenet! ſeculorum appoſitione dicit Deo aduenire ingenitum: à quo aduenire? quis hoc ait? quòd ei qui eſt abſque principio, ex acquiſitione per appoſitionem aliquorum accedit ingenitum. Neque dictio, neque ſententia huius abſurditatis in noſtris libris deprehenditur.

A ὡς ἂν μὴ διὰ μακροῦ γίνοιτο ἡμῖν ἡ πρὸς τὰ εἰρημένα μάχη, αὐτὴν προσθήσομεν ἀβασάνιστον καὶ ἀνεξέταστον τὴν ἐν τούτοις τοῦ Εὐνομίου φιλοπονίαν, ἱκανὴν οὖσαν δι' ὧν σπουδάζει περὶ τὸ ψεῦδος ἐκδηλοτέραν ποιῆσαι τοῖς συνετοῖς τὴν ἀλήθειαν. ἐρωτᾷ γὰρ ἡμᾶς προϊὼν τῷ λόγῳ. τί ποτε τοὺς αἰῶνας οἰόμεθα; καί τοι γε δικαιότερον ἦν παρ' ἡμῶν αὐτῷ τὰ τοιαῦτα προτείνεσθαι τῶν ἐρωτημάτων. αὐτὸς γάρ ἐστιν ὁ τοῦ Θεοῦ τὴν οὐσίαν ἐπεγνωκέναι λέγων, ὁ τὰ ἡμῖν ἀνέφικτα καταληπτὰ τῇ ἰδίᾳ συνέσει διοριζόμενος. οὐκοῦν
B αὐτὸς ἡμῖν φυσιολογείτω τὴν τῶν αἰώνων οὐσίαν, ὁ τὰ ἐπέκεινα κατειληφέναι κομπάζων. καὶ τὸ ἀμφίκρημνον τοῦτο καὶ διλήμματον τῆς ἀποκρίσεως, μὴ λίαν φοβερῶς ἐπισειέτω τοῖς ἰδιώταις ἡμῖν· ὡς εἰ τόδε τοὺς αἰῶνας εἶναι νομίσαιμεν, τῆσδε τῆς ἀτοπίας ὑπαπαντώσης, καὶ εἰ τὸ ἕτερον, τῆς ἑτέρας. εἰ μὲν γὰρ ἀϊδίους, φησί, λέγοιτε, Ἕλληνες ἔσεσθε καὶ Οὐαλεντῖνοι καὶ βάρβαροι. εἰ δὲ γεννητούς, οὐκέτι, φησίν, ὁμολογήσετε τῷ Θεῷ τὸ ἀγέννητον. ὢ τῆς ἀμάχου ταύτης καὶ ἀνανταγωνίστου ἐπιχειρήσεως· ἐάν τι γεννητὸν ὁμολογη-
C θῇ, ὦ Εὐνόμιε ἡ τοῦ ἀγεννήτου ὁμολογία περιγραφήσεται. καὶ ποῦ σοι διερρήκασιν αἱ τοῦ γεννητοῦ πρὸς τὸ ἀγέννητον τεχνολογίαι, δι' ὧν τὸ ἀνόμοιον τῆς τοῦ υἱοῦ πρὸς τὸν γεγεννηκότα οὐσίας κατασκευάζετε; ἔοικε γὰρ ἀφ' ὧν νῦν διδασκόμεθα, μὴ ἀνομοίως ἔχειν ὁ πατὴρ κατὰ τὴν οὐσίαν, ὡς πρὸς τὸ γεννητὸν θεωρούμενος· ἀλλὰ καθόλου τῇ τοῦ ἀγεννήτου ὁμολογίᾳ εἰς τὸ μὴ ὂν ἀναλύεσθαι, εἴπερ ἂν γεννητοὺς εἴπωμεν τοὺς αἰῶνας, εἰς τὸ μηκέτι τὸν ἀγέννητον ὁμολογεῖν ἐναγόμεθα. ἀλλ' ἴδωμεν τὴν ἀνάγκην δι' ἧς ἡμᾶς πρὸς
D τὴν συγκατάθεσιν τῆς ἀτοπίας ταύτης συναναγκάζει. ὧν γὰρ τῇ προσθέσει, φησί, προσγίνεται τῷ Θεῷ τὸ ἄναρχον, τούτων οὐκ ὄντων, οὐκ ἔσται τὸ προστιθέμενον· ὢ τῆς ἰσχυρᾶς ταύτης καὶ ἀφύκτου λαβῆς· ὡς ἐκ τῶν μέσων ἡμᾶς τοῖς ἀλύτοις ἅμμασιν ἀθλητικῶς διασφίγξας ἔχει. τῇ προσθέσει τῶν αἰώνων προσγίνεσθαι λέγει τῷ Θεῷ τὸ ἀγέννητον· παρὰ τίνος προσγίνεσθαι; τίς τοῦτό φησιν; ὅτι τῷ ἀνάρχῳ ὄντι ἐξ ἐπικτήσεως διὰ προσθέσεως τινῶν προσγίνεται τὸ ἀγέννητον· οὔτε ἡ λέξις, οὔτε ἡ διάνοια τῆς ἀτοπίας ταύτης ἐν τοῖς ἡμετέροις ἐλέγχεται λόγοις.

ἡ μὲν γὰρ λέξις, ἑαυτῆς ἔσται συνήγορος, οὐδὲν ἔχουσα τοιοῦτον οἷον καθ' ἡμῶν προενήνεκται· τῆς δὲ τῶν εἰρημένων ἐμφάσεως, τίς ἂν ἐξηγητὴς ἀξιοπιστότερος νομισθείη αὐτῶν τῶν πατέρων τοῦ λόγου. οὐκοῦν ἡμεῖς δικαιότεροι λέγειν ὃ νοοῦμεν· ὅταν ἐπέκεινα τῶν αἰώνων τὴν ζωὴν τοῦ Θεοῦ εἶναι διοριζόμεθα, λέγομεν δὲ ταῦτα ἅπερ ἐν τοῖς φθάσασιν εἴρηται. ἀλλά, φησί, τῆς προσθέσεως τῶν αἰώνων οὐκ οὔσης, ἀδύνατόν ἐστι τὸ ἐκ ταύτης τῷ Θεῷ προστιθέμενον. προστεθεῖσαν δὲ τὴν ἀγεννησίαν λέγει. λεγέτω καὶ παρ' ὅτου τῷ Θεῷ τὸ τοιοῦτον προστέθειται. εἰ μὲν οὖν παρ' ἑαυτοῦ, γελοῖος ἂν εἴη, τὴν ἰδίαν ἄνοιαν ἐγκαλῶν τοῖς ἡμετέροις λόγοις. εἰ δὲ παρ' ἡμῶν, ὑπαναγνώτω τὴν λέξιν, καὶ τὴν κατηγορίαν δεξόμεθα. ἀλλὰ παραδραμεῖν οἶμαι χρῆναι καὶ ταῦτα, καὶ ὅσα τούτων κατὰ τὸ ἀκόλουθον ἔχεται. παιδίων γὰρ ἀτεχνῶς ἐστὶν ἀθύρματα, κατασκευάς τινας οἰκοδομημάτων ἐν ψάμμῳ διαπλαττόντων. συνθεὶς γάρ τινα κώλου περίοδον, καὶ μόλις ἐπὶ τὸ πέρας διεξῆλθεν, τὴν αὐτὴν ζωὴν ἀποδείκνυσιν ἄναρχόν τε εἶναι καὶ ἀτελεύτητον, ἡμετέραν εὐχὴν πληρῶν ἐν τῇ τοιαύτῃ σπουδῇ. οὐδὲ γὰρ παρ' ἡμῶν ἄλλο τι λέγεται, ἢ ὅτι μία ἐστὶ καὶ συνεχὴς αὐτὴ πρὸς ἑαυτὴν ἡ θεία ζωή, ἄπειρός τε καὶ ἀΐδιος, καὶ οὐδαμόθεν οὐδενὶ πέρατι κωλυομένη πρὸς τὸ ἄπειρον· μέχρι τούτων ὁ λογογράφος τοὺς ἑαυτοῦ πόνους καὶ τοὺς ἱδρῶτας τῇ καθ' ἡμᾶς ἀληθείᾳ χαρίζεται, δεικνὺς τὴν αὐτὴν ζωὴν κατ' οὐδέτερον μέρος περατουμένην, οὔτε εἰ τὸ πρὸ αἰώνων τις ἐξετάζοι, οὔτε εἰ τὸ μετὰ τοῦτο λογίζοιτο. ἀλλ' ἐν τοῖς ἐφεξῆς πάλιν πρὸς τὴν ἰδίαν ἐπανέρχεται σύγχυσιν. εἰπὼν γὰρ τὴν αὐτὴν εἶναι ζωὴν ἄναρχόν τε καὶ ἀτελεύτητον, ἀφεὶς τὸν περὶ τῆς ζωῆς λόγον, τὰς ἐπιθεωρουμένας ὑπολήψεις τῇ θείᾳ ζωῇ εἰς μίαν τὰς πάσας ἐννοίας συντάξας ἓν τὰ πάντα ἐποίησεν. εἰ γὰρ ἡ ζωή, φησίν, ἄναρχός τε καὶ ἀτελεύτητος καὶ ἄφθαρτος ἐστὶ καὶ ἀγέννητος, ταὐτὸν ἂν εἴη τῷ ἀγεννήτῳ ἡ ἀφθαρσία, καὶ τῷ ἀτελευτήτῳ τὸ ἄναρχον, καὶ προστίθησι τούτοις τὴν ἐκ τῶν λογισμῶν συμμαχίαν. οὐ γὰρ δυνατόν φησι τὴν μὲν ζωὴν εἶναι μίαν, τὸν δὲ τοῦ ἀφθάρτου λόγον μὴ τὸν αὐτὸν εἶναι τῷ τοῦ ἀγεννήτου λόγῳ, καλῶς ὁ γενναῖος προστίθησιν. δοκεῖ δὲ μηδὲ τὸν τῆς δικαιοσύνης λόγον ἕτερον παρὰ τὰ εἰρημένα

A Dictio quidem ſuiipſius erit patrona, nihil tale habens quale contra nos prolatum eſt, dictorum autem ſignificationis, quis fide dignior exiſtimatus fuerit explanator, quam ipſi parentes ſermonis? Iuſtius eſt igitur vt nos quid animo ſentimus dicamus: Cùm vltra & ante ſecula Dei vitam fuiſſe & eſſe aſſeueramus, dicimus hæc ſicut in præcedentibus dicta ſunt. Sed, ait, ſi ſeculorum non eſt appoſitio, nullo modo poteſt eſſe id quod Deo ex hac adijcitur: appoſitam dicit eſſe ἀγεννησίαν: dicat & à quo tale quid Deo appoſitum eſt. Si igitur
B à ſeipſo, ridiculus fuerit ſuam amentiam crimini vertens noſtris ſermonibus; ſi autem à nobis, dictionem recitet, & accuſationem admittemus. Sed hæc prætereunda eſſe arbitror, & quæcumque hæc conſequuntur: proculdubio hæc ſunt puerulorum ludicra, ex arena extructiones quaſdam ædificiorum componentium. Conſtructa enim quadam membri periodo, vix ad finem peruenit, cum ipſam vitã demonſtrat principij exortem eſſe, & nullo fine terminatum, noſtrum votum implens in tali
C ſtudio. Neque enim à nobis aliud quid aſſeritur, quàm quod vna eſt & cõtinua ipſa per ſeipſam diuina vita, infinita & ſempiterna, nullo aliquo termino vnquam prohibita ad infinitum: hactenus ſcriptor ſuos labores & ſudores veritati, quæ eſt ſecundum nos, largitur, demonſtrans ipſam vitam neutra parte terminari, neque ſi quis quod eſt ante ſecula exquirat, neque ſi quod erit poſt, ratiocinetur. Sed in ſequentibus rurſus ad ſuam reuoluitur confuſionem: cùm enim dixiſſet eandem eſſe vitam principio & fine carentem, omiſſo de vita
D ſermone, notiones quæ in diuina vita conſiderãtur, ad vnam omnes notitiam cum redegit, vnum omnia fecit. Si enim vita, inquit, principij expers & fine carens, atque incorruptibilis eſt & ingenita, idem eſſet cum ingenito incorruptibilitas, & quod principij eſt exors cum eo quod finem & terminum non habet. Atque his adijcit ex ratiocinationibus auxilium: non enim fieri poteſt, vt vna quidem ſit vita, incorruptibilis verò ratio non ſit eadem cum ratione ingeniti, præclarè hic generoſus addit. Putat autem neque iuſtitiæ rationem diuerſam eſſe ab his quæ dicta ſunt,

exiſtere, neque ſapientiæ rationem & A potentiæ & bonitatis, & vniuſcuiuſque nominum quæ Deo decorè congruunt. Nulla quoque ſit ratio quæ peculiariter & ſeparatim intelligatur, ſed in omni nominum recenſione vnum ſubijciatur quod ſignificatur: atque vna deſcriptionis ratio de vnoquoque eorum quæ dicuntur, definitionem expleat. Et ſi interrogatus fuerit quódnam ſit iudicis ſignificatũ, interpretationem τῆς ἀγεννησίας, id eſt, ingeniti rationis reſponde. Et ſi iuſtitiæ definitionem te reddere oporteat, quod eſt incorporeum tibi ſit in promptu ad reſponſionem. Quid autem B ſignificet incorruptibilitas, quod miſericordiæ omnino dices, vel iudicij ſignificatio repræſentat: ſic & ſingula omnia inter ſe percurre, nulla propria & peculiari ſignificatione alteram ab altero diſtinguente. Et ſi hæc ſtatuit Eunomius, cur fruſtrà ſcripturæ multis nominibus diuinam naturam vocant, Deum, iudicem, iuſtum, fortem, longanimem, verum, miſericordem, aliiſque multis eiuſmodi nominibus appellant? Si enim nullum horum nominum in aliqua propria, & ab aliis ſecreta notitia comprehenditur, ſed omnia inter ſe per ſigni- C ficatorum confuſionem permixta ſunt & conturbata, vanum fuerit multis in eodem vti appellationibus, ſi nulla ſecundum ſignificatum differentia à ſe diſtinguat nomina. Quis ita ſtupidus & attonitus vt ignoret, quod diuina quidem natura ſecundum eſſentiam quicquid eſt, vna eſt, ſimplex quædam & vniformis, & incompoſita, & quæ nullo modo in aliqua varia concretione cernatur: humana autem anima humi iacens, & in hac terrena vita obruta, quia non poſſit quod quæritur clarè & dilucidè perſpicere, multis no- D titiis ineffabilem naturam multis modis & multifariam expetit, non vna aliqua intelligentia, quod abſtruſum eſt, venans. Nam ſanè facilis eſſet comprehenſio, ſi vnus quidam nobis ad diuinam cognitionem aditus ſecretus eſſet: Nunc autem per apparentem in vniuerſo orbe ſapientiam, id ſapiens eſſe, quod vniuerſo præſidet, intelleximus. Sed per mirabilium mirificentiam potentiæ ſignificationem accepimus. Ex illo autẽ vniuerſum pendere quod credamus, certiſſimum fit argumentum, nullam eſſe eius exiſtentiæ cauſam.

τυγχάνειν, μηδὲ τὸν τῆς σοφίας καὶ τὸν τῆς δυνάμεως καὶ τὸν τῆς ἀγαθότητος, καὶ ἑκάστου τῶν θεοπρεπῶν ὀνομάτων. καὶ μηδεὶς ἔστω λόγος κατὰ τὸ ἰδιάζον νοούμενος, ἀλλ' ἐπὶ πάντη τῷ καταλόγῳ τῶν ὀνομάτων, ἓν ὑποκείσθω τὸ σημαινόμενον· καὶ εἷς ὑπογραφῆς λόγος τὸν περὶ ἑκάστου τῶν λεγομένων ὅρον ἀποπληρούτω. κἂν ἐρωτηθῇς τὸ τοῦ κριτοῦ σημαινόμενον, τὴν τῆς ἀγεννησίας ἑρμηνείαν ἀπόκριναι. κἂν τῆς δικαιοσύνης δέῃ τὸν ὁρισμὸν ἀποδοῦναι, τὸ ἀσώματον ἐν προχείρῳ εἰς τὴν ἀπόκρισιν ἔστω. τί δὲ σημαίνει ἡ ἀφθαρσία, ὅπερ ἡ τοῦ ἐλέους πάντως ἐρεῖς, ἢ ἡ τῆς κρίσεως σημασία παρίστησιν, οὕτω καὶ τὰ καθ' ἕκαστον πάντα πρὸς ἄλληλα μεταχωρείτω, μηδεμιᾶς ἰδιαζούσης ἐμφάσεως τὸ ἕτερον τοῦ ἑτέρου διαστελλούσης. καὶ εἰ ταῦτα νομοθετεῖ ὁ Εὐνόμιος, τί μάτην αἱ γραφαὶ πολυωνύμως τὴν θείαν φύσιν ἀνακηρύσσουσι, Θεόν, κριτήν, δίκαιον, ἰσχυρόν, μακρόθυμον, ἀληθινόν, ἐλεήμονα, καὶ ἄλλα πολλὰ τοιαῦτα κατονομάζουσιν; εἰ γὰρ οὐδὲν τῶν ὀνομάτων ἐπί τινος ἰδιαζούσης ἐννοίας καταλαμβάνεται, πάντα δὲ ἀλλήλοις διὰ τῆς κατὰ τὸ σημαινόμενον συγχύσεως ἀναπέφυρται, μάταιον ἂν εἴη πολλαῖς ἐπὶ τοῦ αὐτοῦ ταῖς ἐπωνυμίαις κεχρῆσθαι, μηδεμιᾶς τῆς κατὰ τὸ σημαινόμενον διαφορᾶς ἀπ' ἀλλήλων τὰ ὀνόματα διαστελλούσης. τίς ἀπόπληκτος οὕτως ὡς ἀγνοεῖν, ὅτι ἡ μὲν θεία φύσις ὅ τί ποτε κατ' οὐσίαν ἐστί, μία ἐστίν, ἁπλῆ τις καὶ μονοειδὴς καὶ ἀσύνθετος, καὶ κατ' οὐδένα τρόπον ἐν ποικίλῃ τινὶ συνθέσει θεωρουμένη· ἡ δὲ ἀνθρωπίνη ψυχὴ χαμαὶ κειμένη, καὶ ἐν τῷ γηΐνῳ τούτῳ βίῳ κατορωρυγμένη, τῷ μὴ δύνασθαι τηλαυγῶς κατιδεῖν τὸ ζητούμενον, πολλαῖς ἐννοίαις τῆς ἀφράστου φύσεως πολυτρόπως τε καὶ πολυμερῶς ἐπορέγεται, οὐ κατὰ μίαν τινὰ διάνοιαν τὸ κεκρυμμένον θηρεύουσα. ἦ γὰρ ἂν εὔκολος ἦν ἡ κατάληψις, εἰ μία τις ἡμῖν ἔφοδος πρὸς τὴν θείαν ἀπεκέκριτο γνῶσιν· νυνὶ δὲ διὰ μὲν τῆς ἐμφαινομένης τῷ παντὶ σοφίας, σοφὸν εἶναι τὸ τῷ παντὶ ἐπιστατοῦν ἐνοήσαμεν. διὰ δὲ τῆς τῶν θαυμάτων μεγαλουργίας, δυνάμεως ἔμφασιν ἐδεξάμεθα. τὸ δὲ ἐξ ἐκείνου τὸ πᾶν ἐξῆφθαι πιστεύειν, τοῦ μηδεμίαν αὐτῷ τῆς ὑπάρξεως αἰτίαν εἶναι τεκμήριον γίνεται.

πάλιν τὸ βδελυκτὸν τῆς κακίας νοήσαντες, τὸ ἀναλλοίωτον αὐτοῦ καὶ ἀμιγὲς πρὸς κακίαν καταλαμβανόμεθα. τήν τε τοῦ θανάτου διαφθορὰν κακῶν ἔσχατον εἶναι νομίσαντες, ἀθάνατόν τε καὶ ἄφθαρτον τὸν ἀλλότριον παντὸς τοιούτου νοήματος ὠνομάσαμεν, οὐ τὸ ὑποκείμενον ταῖς ἐννοίαις ταύταις συνδιασχίζοντες, ἀλλ' ὅτι ποτὲ κατ' οὐσίαν ἐστὶν, ἓν εἶναι πεπιστευκότες πρὸς πάσας τὰς τοιαύτας ὑπολήψεις, τὸ νοηθὲν οἰκείως ἔχειν ὑπειλήφαμεν. οὐ γὰρ μάχεται πρὸς ἄλληλα τὰ ὀνόματα κατὰ τὴν τῶν ἀντιθέτων φύσιν, ὡς εἰ τὸ ἓν ὑπάρχει, μὴ δύνασθαι περὶ τὸ αὐτὸ συνθεωρηθῆναι τὸ ἕτερον, ὡς οὐκ ἐνδέχεται ζωὴν ἅμα καὶ θάνατον περὶ τὸν αὐτὸν νοηθῆναι, ἀλλὰ τοιαύτη ἐστὶν ἑκάστου τῶν ἐπὶ τῆς θείας φύσεως λεγομένων ἡ ἔμφασις, ὥστε κἂν ἰδιάζῃ τῷ σημαινομένῳ μηδεμίαν ἔχειν πρὸς τὸ συνονομαζόμενον ἐναντίωσιν. τί γὰρ ἐναντιοῦται τῷ ἀσωμάτῳ τὸ δίκαιον, κἂν μὴ συμβαίνῃ κατὰ τὴν ἔννοιαν ἀλλήλοις τὰ ῥήματα; ποίαν δὲ μάχην ἡ ἀγαθότης ἔχει πρὸς τὸ ἀόρατον; οὕτως οὐδὲ τὸ ἀΐδιον τῆς θείας ζωῆς διπλοῖς ὀνόμασί τε καὶ νοήμασι γνωριζόμενον, τῷ ἀτελευτήτῳ καὶ τῷ ἀνάρχῳ τῇ διαφορᾷ τῶν ὀνομάτων συνδιατέμνεται· καὶ οὐδὲ ταὐτό ἐστι τῷ ἑτέρῳ κατὰ τὴν σημασίαν τὸ ἕτερον ὄνομα. τὸ μὲν γὰρ, τὴν τῆς ἀρχῆς, τὸ δὲ τὴν τοῦ τέλους ἀλλοτρίωσιν ἔδειξεν, οὔτε μερισμόν τινα τοῦ ὑποκειμένου ἡ τῶν ἐπιθεωρουμένων αὐτῷ ὀνομάτων διαφορὰ παρεσκεύασε. τὰ μὲν δὴ παρ' ἡμῶν ταῦτα, τὰ δὲ παρὰ τοῦ πολεμοῦντος ἡμῖν κατ' αὐτὴν μὲν τὴν τῆς λέξεως σύμφρασιν, τοιαῦτά ἐστιν, ὡς μηδεμίαν τὴν ἐκ τῶν λογισμῶν συμμαχίαν ἔχειν, ἀλλοκότως αὐτοῦ τὰς τοιαύτας στομφώδεις καὶ ἀδιανοήτους φωνὰς ἐν κώλων καὶ περιόδων σχήματι πρὸς τὸ συμβὰν ἀποπτύοντος· ὁ δὲ σκοπὸς τῶν λεγομένων οὗτός ἐστι. τὸ μηδεμίαν εἶναι τῶν ποικίλων ὀνομάτων κατὰ τὰς ἐμφάσεις διαφορὰν, τῷ τι τῶν οὐ προσόντων δοκοίημεν. τῶν γὰρ ἀληθῶν, φησὶ, λόγων ἐκ τῶν ὑποκειμένων καὶ δηλουμένων πραγμάτων λαμβανόντων τὴν ἐπίκρισιν, καὶ τῶν ἑτέρων ἑτέροις πράγμασι συναρμοζομένων, ὥσπερ αὖ καὶ τῶν αὐτῶν τοῖς αὐτοῖς, ἐξ ἀνάγκης δεῖν δυοῖν εἶναι θάτερον, ἢ καὶ τὸ πρᾶγμα τὸ δηλούμενον πάντως ἕτερον, ἢ μηδὲ τὸν δηλοῦντα λόγον ἕτερον.

A Rurſus abominationem & execrationem peccati cùm animaduertimus, incommutabilẽ eius naturam & ab omni labe peccati ſeparatam comprehendimus: & mortis perniciem malorum extremum arbitrati, immortalem & incorruptibilem, alienum ab omni tali notione nominauimus, non ſubiectum his notitiis diſcindentes, ſed quod ſecundum eſſentiam eſt, vnum eſſe credentes, id quod intellectum eſt, aliquid proprij habere cum omnibus hiſce notionibus exiſtimauimus. Nõ enim inter ſe nomina pugnant, ſecundum oppoſi-
B torum naturam, vt ſi vnum adeſt, non in eodem intelligatur alterum: ſicut in eodem vitam ſimul & mortem intelligi non contingit: ſed talis eſt vniuſcuiuſque eorum nominum, quæ de diuina natura dicuntur, ſignificatio, vt tametſi ſignificatu ſeparatum ſit, nullam tamen aduerſus aliud, quod ſimul cum eo nominatur, habeat contrarietatem. Quid enim incorporeo aduerſatur iuſtum? etſi inter ſe ſecundum notitiam verba non conueniant: quam autem habet cum inuiſibili repugnantiam bonitas?
C ſic neque diuinæ vitæ æternitas licet duobus nominibus & notionibus dignoſcatur, ab eo quod terminum non habet, & principio caret, nominum differentia diſcinditur: neque idẽ eſt cum altero ſecundum ſignificãtiam alterum nomen, hoc quidem principij, illud verò finis alienationem oſtendit, neque partitionem aliquam ſubiecti ipſorum nominum, quæ in eo conſiderãtur, differentia præſtruxit. Hæc quidem ſunt quæ à nobis dicuntur, quæ verò ab aduerſario noſtro ſecundum ipſam dictionis loquutionem, talia ſunt, vt nullum
D ex ratiocinationibus auxilium habeãt, cùm interim ipſe prodigioſè voces huiuſmodi arrogantes ſenſu omni carentes, in membrorum & periodorum figura temerè ac fortuitò expuat: dictorum autem eius hic ſcopus eſt. Nullam eſſe diuerſorum nominum ſecundum ſignificationes differentiã, vt aliquid eorum quę nõ inſunt, ipſi attribuere videamur. Nam cùm, inquit, veri ſermones ex ſubiectis & ſignificatis rebus iudicium ſumant, & alia aliis rebus conueniant, ſicut & eadem iiſdem, neceſſariò oportet duorum alterum eſſe, vel rem quæ declaratur prorſus diuerſam, vel neque orationem quæ rem declarat diuerſam.

Hæc & alia multa ad propoſiti ſcopi adſtructionem perſequitur; poſtquam orationis quaſdam relationes & appoſitiones,& ſpeciem & menſuram,& partem & tempus, & locum in medium protulit: vt per horum ſubſtractiones, ſiue exceptiones eſſentiæ indicatrix ἀγεννησία fiat. Huius autem aſtructio ad hunc ſe habet modum: mea autem dictione ſentẽtiam exprimam. Non aliud quid, inquit, eſt vita quàm eſſentia, ne aliqua compoſitio in ſimplici natura intelligatur,in id quod participat &quod participatur notione diuiſa. Sed idem, inquit, quod eſt vita, eſt etiam eſſentia, præclaram iſtam philoſophiam tradens. Nullus enim eorum qui mentis ſunt compotes, contradixerit,hæc non ita ſe habere. Sed quomodo orationem ad ſcopũ concluſit, ſi quod principio caret ſignificantes, inquit, vitam ſignificamus, hanc autem vitam eſſentiam dicere veritatis ſermo compellit,ipſius diuinæ eſſentiæ, inquit, ſignificatiuum eſſe ingenitum.Nos autem quòd genita non ſit ab alio, diuinam vitam (quod quidem ſignificat principio carentis notio) & ipſi aſſentimur. Ipſum autem quod ſignificatur per verbum non genitum eſſe, exiſtimare eſſentiam, ſolorum qui furore concitantur,eſſe arbitramur. Quis enim ita demens & à ratione auius, vt definitionem eſſentiæ, non eſſe genitum, pronuntiet. Vt enim generatio cognationem habet cum eo quod genitum eſt, ita nimirum ingenito non generatio congruet. Cùm igitur id quod non eſt in patre ἀγεννησία demonſtret, quomodo nos demonſtrationem eius quod nõ ineſt, ad eſſentiam facere confitebimur? ſed ſibi ipſi cum dedit quod neque à nobis, neque ex poſitorum conſequẽtia ipſi conceditur, nempe ἀγεννησίαν Dei diuinæ vitæ eſſe ſignificatiuam, concluſit. Vt autem clariſſimum fiat in hoc loco ipſius deliramentum, ſic ſermonem conſideremus, per quæ enim in patre ad ἀγεννησίας eſſentiæ circumduxit rationem, examinemus, num etiã pariter per eaſdem argumentationes & filij eſſentiam ad ἀγεννησίας adducemus. Oportet, inquit, eiuſdem vitę & ſimpliciter vnius,vnum & eundem eſſe ſermonem,quamuis nominibus, & modo & ordine videatur eſſe diuerſus: cùm enim veri ſermones ex ſubiectis & rebus quæ declarantur dijudicationem

A Ταῦτα καὶ πολλὰ ἐπὶ τούτοις ἄλλα τοιαῦτα πρὸς τὴν τοῦ προτεθέντος αὐτῷ σκοποῦ κατασκευὴν διεξέρχεται, ἐκβαλὼν τοῦ λόγου σχέσεις τινὰς καὶ παραθέσεις, καὶ εἶδος, καὶ μέτρον, καὶ μέρος, καὶ χρόνον, καὶ τόπον· ὡς διὰ τῆς τούτων ὑπεξαιρέσεως τῆς οὐσίας ἐνδεικτικὴν τὴν ἀγεννησίαν γενέσθαι. ἡ δὲ κατασκευὴ τοῦτον ἔχει τὸν τρόπον, λέξω δὲ τῇ ἐμαυτοῦ λέξει τὸ νόημα· οὐκ ἄλλο τι, φησίν, ἡ ζωὴ παρὰ τὴν οὐσίαν ἐστίν. ὡς ἂν μή τις σύνθεσις περὶ τὴν ἁπλῆν νοοῖτο φύσιν, πρὸς τὸ μετέχον καὶ μετεχόμενον τῆς ἐννοίας μεριζομένης· ἀλλ' αὐτό, φησιν, ὅπερ ἐστὶν ἡ ζωή, οὐσία ἐστί, καλῶς B τὰ τοιαῦτα φιλοσοφῶν. οὐ γὰρ ἄν τις ἀντείποι τῶν νοῦν ἐχόντων, μὴ ταῦτα οὕτως ἔχειν. ἀλλὰ πῶς τὸν λόγον ἐπὶ τὸν σκοπὸν συνεπέρανεν, εἰ τὸ ἄναρχον σημαίνοντές φησι, τὴν ζωὴν ἐσημαίναμεν, ταύτην δὲ τὴν ζωὴν οὐσίαν λέγειν ὁ τῆς ἀληθείας ἀναγκάζει λόγος, αὐτῆς εἶναι τῆς θείας οὐσίας, φησί, σημαντικὸν τὸ ἀγέννητον. ἡμεῖς δὲ τὸ μὲν μὴ γεγενῆσθαι παρ' ἑτέρου τὴν θείαν ζωήν, ὅπερ σημαίνει ἡ τοῦ ἀνάρχου διάνοια, καὶ αὐτοὶ συντιθέμεθα. αὐτὸ δὲ τὸ διὰ τῆς τοῦ μὴ γεγεννῆσθαι λέξεως σημαινόμενον, οὐσίαν νομίζειν μόνων C τῶν ἐκ μανίας παραφερομένων οἰόμεθα. τίς γὰρ οὕτως ἐξέστηκεν, ὡς ὁρισμὸν οὐσίας τὴν μὴ γέννησιν ἀποφήνασθαι. ὡς γὰρ οἰκείως ἔχει πρὸς τὸ γεννητὸν ἡ γέννησις, οὕτω δηλαδὴ καὶ τῷ ἀγεννήτῳ ἐφαρμοσθήσεται ἡ μὴ γέννησις. ὃ τοίνυν οὐκ ἔστι περὶ τὸν πατέρα τῆς ἀγεννησίας ἐνδεικνυμένης, πῶς ἡμεῖς εἰς οὐσίαν τὴν τοῦ μὴ προσόντος ἔνδειξιν συντιθέμεθα; ἀλλ' ἑαυτῷ δούς, ὃ μήτε παρ' ἡμῶν μήτε ἐκ τῆς τῶν τεθέντων ἀκολουθίας αὐτῷ συγχωρούμενον, τὸ σημαντικὸν τῆς θείας ζωῆς τὴν ἀγεννησίαν εἶναι τοῦ D Θεοῦ συνεπέρανεν. ὡς δ' ἂν μάλιστα καταφανὴς ὁ περὶ τὸν τόπον τοῦτον αὐτοῦ γένοιτο λῆρος, οὑτωσὶ τὸν λόγον διασκοπήσωμεν. δι' ὧν γὰρ ἐπὶ τοῦ πατρὸς εἰς τὴν ἀγεννησίαν τὸν τῆς οὐσίας περιήγαγε λόγον, ἐξετάσωμεν. εἰ μὴ κατὰ τὸ ἴσον διὰ τῶν αὐτῶν ἐπιχειρημάτων καὶ τοῦ υἱοῦ τὴν οὐσίαν, εἰς τὴν ἀγεννησίαν ἀνάξομεν. δεῖ, φησι, τῆς αὐτῆς ζωῆς καὶ τῆς εἰλικρινοῦς μιᾶς, ἕνα καὶ τὸν αὐτὸν εἶναι λόγον, κἂν τοῖς ὀνόμασι καὶ τῷ τρόπῳ καὶ τῇ τάξει φαίνηται διάφορος. τῶν γὰρ ἀληθῶς λόγων ἐκ τῶν ὑποκειμένων καὶ δηλουμένων πραγμάτων λαμβανόντων τὴν

ἐπίκρισιν, καὶ τῶν ἑτέρων ἑτέροις πράγμασι συναρμοζομένων, ὥσπερ αὖ καὶ τῶν αὐτῶν τοῖς αὐτοῖς, ἐξ ἀνάγκης δεῖν δυοῖν εἶναι θάτερον, ἢ καὶ τὸ πρᾶγμα τὸ δηλούμενον πάντως ἕτερον, ἢ μηδὲ τὸν δηλοῦντα λόγον ἕτερον· μηδενὸς ὑποκειμένου πράγματος παρὰ τὴν τοῦ υἱοῦ ζωήν, ᾧ τις αὖ ἢ τὴν διάνοιαν ἐναπερείσειεν, ἢ τὸν ἕτερον λόγον ἐπιρρίψειε. μή τις ἐστὶν ἐν τοῖς εἰρημένοις ἀναρμοστία, ὡς οὐ δέον ἐπὶ τοῦ μονογενοῦς τὰ τοιαῦτα λέγειν ἢ γράφειν; οὐχὶ καὶ ὁ υἱὸς αὐτὸς ἐστὶ ζωὴ εἰλικρινῶς μία; οὐχὶ καὶ ἐπ' αὐτοῦ ἕνα καὶ τὸν αὐτὸν εἶναι προσήκει λόγον, κἂν τοῖς ὀνόμασιν ἢ τῷ τρόπῳ καὶ τῇ τάξει φαίνηται διαφέρειν; οὐχὶ καὶ ἐπ' ἐκείνου τῶν δύο τὸ ἕτερον ἐξ ἀνάγκης στήσεται, ἢ καὶ τὸ πρᾶγμα τὸ δηλούμενον πάντως ἕτερον, ἢ μηδὲ τὸν δηλοῦντα λόγον, μηδενὸς ὑποκειμένου πράγματος περὶ τὴν ζωὴν αὐτοῦ, ᾧ τις αὖ ἢ τὴν διάνοιαν ἐναπερείσειεν, ἢ τὸν ἕτερον λόγον ἐπιρρίψειεν; οὐδὲν παρ' ἡμῶν τοῖς περὶ τοῦ πατρὸς εἰρημένοις παρὰ τοῦ Εὐνομίου ἐμμέμικται. ἀλλ' ἐπ' αὐτῆς ἤλθομεν τῆς ὁμολογίας καὶ τῆς ἀκολουθίας, μόνον τὸ τοῦ υἱοῦ παρενθέντες τὸ ὄνομα. εἰ οὖν καὶ αὐτὸς μία ζωὴ εἰλικρινὴς πάσης συνθέσεως καὶ πλοκῆς κεχωρισμένη, καὶ οὐδὲν ἀπόκειται πρᾶγμα παρὰ τὴν τοῦ υἱοῦ ζωήν. πῶς γὰρ ἐν τῷ ἁπλῷ μίξις ἀλλοτρίου πράγματος ὑποπτεύοιτο; οὐ γὰρ αὖ ἔτι ἁπλοῦν εἴη τὸ μεθ' ἑτέρου νοούμενον, ἁπλῆ δὲ ζωὴ καὶ ἡ τοῦ πατρὸς οὐσία· ἁπλῆς δὲ ζωῆς κατ' αὐτὸν τόν τε τῆς ζωῆς, καὶ τὸν τῆς ἁπλότητος λόγον, οὐδεμία τίς ἐστι διαφορά, οὔτε ἐπιτάσεως, οὔτε ὑφέσεως, οὔτε τῆς κατὰ τὸ ποσόν, ἢ ποιὸν ἑτερότητος τὴν παραλλαγὴν ἐμποιούσης, ἀνάγκη πᾶσα τὰ ταῖς αὐταῖς ἐννοίαις συμβαίνοντα, καὶ ἀπὸ τῆς αὐτῆς προσηγορίας ὀνομάζεσθαι. εἰ οὖν ἓν τὸ πρᾶγμα τὸ κατὰ τὴν ἁπλότητα τῆς ζωῆς ἐν πατρὶ καὶ υἱῷ καταλαμβάνεται, οὐδεμίαν τοῦ τῆς ἁπλότητος λόγου, καθὼς εἴρηται, παραλλαγὴν δεχομένου, ἀνάγκη πᾶσα τὸ τῷ ἑνὶ ἐφαρμοζόμενον ὄνομα, καὶ πρὸς τὸ ἕτερον προσφυῶς ἔχειν. ὥστε εἰ ἡ ἁπλότης τῆς τοῦ πατρὸς ζωῆς τῷ τῆς ἀγεννησίας ὀνόματι διασημαίνεται, μηδὲ πρὸς τὴν τοῦ υἱοῦ ἁπλότητα τὴν φωνὴν ἀνοικείως ἔχειν· ὥσπερ γὰρ τὸ λογικὸν καὶ θνητόν, καὶ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἄνθρωπος ὀνομάζεται, ὁμοίως ἐπί τε τοῦ Ἀδὰμ καὶ τοῦ Ἄβελ· καὶ οὐδὲν τὴν τῆς φύσεως ἐπωνυμίαν ὑπήμειψεν, οὔτε ἐπὶ τοῦ Ἄβελ τὸ διὰ γεννήσεως, οὔτε ἐπὶ τοῦ Ἀδὰμ

A ſumant: cúmque alij aliis rebus congruant, ſicut iidem iiſdem: neceſſariò duorum alterum eſſe oportere, vel rem quæ declaratur, omnino diuerſam, vel neque orationem quæ declarat diuerſam eſſe: cum nulla res alia ſubiecta ſit præter filij vitam, cui quiſpiam poſſit cogitationem figere, vel alterum ſermonem proijcere. Num aliqua eſt in dictis inconcinnitas, quod non oporteat de vnigenito talia proferre, vel ſcribere? numquid etiam filius ipſe eſt, vita ſincere & ſimpliciter vna? numquid etiam in ipſo vnam & eandem conuenit eſſe orationem: tametſi nominibus & ordine, vel modo videatur differre?
B Nunquid in illo duorũ alterum neceſſario ſtatuetur, vel rem quæ declaratur, omninò diuerſam, vel neq. orationem quæ declarat, nulla re ſubiecta præter vitam ipſius in quo quis cogitationem firmare poſſit, vel alteram orationem abijcere. Nihil à nobis his quæ de patre ab Eunomio dicta ſunt, immixtum eſt. Sed ad eandem confeſſionem & conſecutionem venimus, ſolum filij nomen interponentes. Si igitur etiam ipſe vna vita ſincera, ab omni compoſitione & plexa ſeparata, & nulla res reponitur præter filij vitam. Quomodo enim in re ſimplici res alienæ mixtio in ſuſpicio-
C nem caderet? Non enim amplius ſimplex fuerit, quod cum altero intelligitur: ſimplex autem vita & patris eſſentia, ſimplicis autem vitæ ſecundum eandem vitæ & ſimplicitatis rationẽ, nulla eſt differentia, cùm nulla ſit intentio, neque remiſſio, neque ſecundum quantum vel quale diuerſitas, quæ aliquam diſcrepantiam faciat; neceſſarium eſt omnino quæ iiſdem notionibus conueniunt, etiam iiſdem appellationibus nominari. Si ergo res vna ſecundum vi-
D tæ ſimplicitatem in patre & filio comprehenditur, cùm nullam ſimplicitatis oratio, ſicut dictum eſt, differentiam accipiat, neceſſe eſt penitus vt nomen quod vni congruit etiam alteri conueniat. Ita vt ſi ſimplicitas vitæ patris nomine τῆς ἀγεννησίας ſignificatur, neque ad filij ſimplicitatem vocem impropriè, ſiue conuenienter ſe habuerit: quemadmodum enim rationale & mortale, & quod mentis & ſcientiæ capax, homo nominatur, ſimiliter & in Adamo, & in Abele: & nihil naturæ cognominationẽ immutauit, neque in Abele quod per generationem, neque in Adamo

quòd ſine generatione ad vitam prodierit, neque ſiquidem ſimplex & compoſitionis expers vita patris nomen τὸ ἀγεννησίας habet: eodem pacto & in filij vita eadem notio eidem voci neceſſariò congruet. Siquidem, ſicut dicit Eunomius, duorum alterum, vel & res quæ declaratur omnino diuerſa, vel neque quæ declarat, orationem diuerſam eſſe. Sed quid in caſſum & temerè vanis immoramur? cùm oporteret diligentioribus ad refutandam ſermonum ipſius amentiam, Eunomij librum protendere, & abſque corrigentibus, ſiue redarguentibus, inde non ſolum dogmatis blaſphemiam, verum etiam conſuetudinis languorem & torporem intelligentibus demonſtrare: multifariam enim non ſecundum noſtram ſententiam, ſed ſecundum quod ei videtur, nomen ἐπινοίας perperam interpretans, tanquam in nocturna pugna, nullo diſcernente quod amicum eſt, & quod alienum, per quæ nobis bellum inferre arbitratur, ſuum dogma ſe punctim ferire non intelligit. Quod enim maximè ab Eccleſia piorum ſeipſum alienare oportere putat, hoc eſt, quòd videlicet aſtruit, tandem aliquando Deum, patrem eſſe factum; & paternitatis nomen reliquis nominibus recentius eſſe, quæcumque de ipſo dicuntur. Ex illo enim tempore ipſum patrem vocatum fuiſſe, à quo pater propoſuit fieri & factus eſt. Quoniam igitur in hoc ſermone conſtruit, omnes quæ de diuina natura dicuntur appellationes ſecundùm ſignificatum inter ſe mutuò conferri, nullámque in ipſis eſſe differentiam. Vnum autem nominum, quæ de ipſo dicũtur, eſt pater: vt enim incorruptibilis & æternus, ſic & pater nominatur, vel etiam in hac voce, eam quam de reliquis habet nominibus ſententiam confirmabit, & primam opinionem corrumpet, ſiquidem cum omnibus appellationibus etiam paternitatis notitia comprehenſa fuerit. Perſpicuum enim, quod ſi idem fuerit incorruptibilis & patris ſignificatum, vt ſemper incorruptibilis, ſic ſemper etiam pater communi conſenſu dicetur, cùm ſit, vt ait, vna omnibus nominibus ſignificatio: vel ſi metuat Deo attribuere ex omni æternitate paternitatem, argumentationem neceſſariò diſſoluet, cuique nomini propriam & peculiarem ineſſe ſignificationem con-

A τὸ ἄνευ γεννήσεως εἰς ζωὴν παρῆχθαι, οὔτε εἴπερ τὸ ἁπλοῦν καὶ ἀσύνθετον τῆς τοῦ πατρὸς ζωῆς ὄνομα τὴν ἀγεννησίαν ἔχει, ὡσαύτως καὶ ἐπὶ τῆς τοῦ υἱοῦ ζωῆς ἡ αὐτὴ ἔννοια τῇ αὐτῇ φωνῇ κατ' ἀνάγκην ἐφαρμοσθήσεται. εἴπερ δή, καθὼς φησὶν ὁ Εὐνόμιος, δυοῖν θάτερον, ἢ καὶ τὸ πρᾶγμα τὸ δηλούμενον πάντως ἕτερον, ἢ μηδὲ τὸν δηλοῦντα λόγον ἕτερον εἶναι. ἀλλὰ τί τοῖς ματαίοις ἐμφιλοχωροῦμεν εἰκῇ; δέον αὐτὴν τοῖς φιλοπονωτέροις εἰς ἔλεγχον τῆς ἀνοίας τῶν λόγων προτείνειν τοῦ Εὐνομίου τὴν βίβλον, καὶ δίχα
B τῶν εὐθυνόντων αὐτόθεν οὐ μόνον τὸ τοῦ δόγματος βλάσφημον, ἀλλὰ καὶ τὸ τῆς συνηθείας ἄτοπον τοῖς συνετοῖς ἐπιδεικνύναι. πολυτρόπως γὰρ οὐκ ἐπὶ τῆς ἡμετέρας ἐννοίας, ἀλλὰ κατὰ τὸ αὐτῷ δοκοῦν τὸ τῆς ἐπινοίας ὄνομα παρερμηνεύων, καθάπερ ἐν νυκτομαχίᾳ μηδενὸς διακρίνοντος τὸ φιλόπονόν τε καὶ ἀλλότριον, δι' ὧν ἡμῖν προσπολεμεῖν οἴεται, τὸ ἴδιον δόγμα κατακεντῶν οὐ συνίησιν. ὃ γὰρ μάλιστα τῆς ἐκκλησίας τῶν εὐσεβούντων ἑαυτὸν ἀλλοτριοῦν οἴεται δεῖν, τοῦτό ἐστι, τὸ κατασκευάζειν, ὀψέ ποτε τὸν Θεὸν
C γεγενῆσθαι πατέρα, καὶ τὸ τῆς πατρότητος ὄνομα νεώτερον εἶναι τῶν λοιπῶν ὀνομάτων, ὅσα περὶ αὐτὸν λέγεται. ἐξ ἐκείνου γὰρ αὐτὸν κληθῆναι πατέρα, ἀφ' οὗ προέθετο γενέσθαι πατήρ, καὶ ἐγένετο. ἐπεὶ τοίνυν ἐν τῷ λόγῳ τούτῳ κατασκευάζει πάσας τὰς ἐπιλεγομένας τῇ θείᾳ φύσει προσηγορίας κατὰ τὸ σημαινόμενον ἀλλήλαις συμφέρεσθαι, καὶ μηδεμίαν ἐν αὐταῖς εἶναι διαφοράν. ἓν δὲ τῶν ἐπιλεγομένων ἐστὶν ὀνομάτων, καὶ ὁ πατήρ. ὡς γὰρ ἄφθαρτός τε καὶ ἀΐδιος, οὕτω καὶ πατὴρ ὀνομά-
D ζεται, ἢ κυρώσει καὶ ἐπὶ τῆς φωνῆς ταύτης τὴν περὶ τῶν λοιπῶν ὀνομάτων δόξαν, καὶ διαφθερεῖ τὴν προτέραν ὑπόληψιν, εἴπερ πάσαις ταῖς προσηγορίαις καὶ ἡ τῆς πατρότητος ἔννοια συμπεριειλημμένη τύχοι. δῆλον γὰρ ὅτι εἰ ταὐτὸν εἴη τὸ σημαινόμενον ἀφθάρτου τε καὶ πατρός, ὡς ἀεὶ ἄφθαρτος, οὕτως ἀεὶ καὶ πατὴρ ὁμολογηθήσεται μιᾶς, ὥς φησι, πᾶσι τοῖς ὀνόμασι τῆς σημασίας οὔσης, ἢ εἰ φοβοῖτο ἐξ ἀϊδίου προσμαρτυρεῖν τῷ Θεῷ τὴν πατρότητα, λύσει κατ' ἀνάγκην τὸ ἐπιχείρημα, ἑκάστῳ τῶν ὀνομάτων ἐνυπάρχειν ἰδιάζουσαν ὁμολογῶν ση-

A fitendo, & ſic multæ ipſi de nominibus nugæ bullæ inſtar confractæ extinguuntur. quòd ſi contrarias eſſe harum vocum ſignificationes reſpondeat, quia videlicet ſola patris & opificis appellatio generatiuè Deo adueniat, quandoquidem ex operatione, vt ipſe loquitur, vtræque voces de Deo prædicentur, nos cohibebit multùm in hoc ſubiecto immorari, dum hæc confitetur, quæ multis eſſent laboribus à nobis redarguenda. Si enim vna eſt conditoris & patris vocis ſignificatio, (ex operatione enim vtraque) æquiualent omnino in-
B ter ſe etiam quæ per voces ſignificantur: quorum enim idem ſignificatum horum neque ſubiectum prorſus diſcrepat. Si ergo ex operatione & pater, & opifex nominatur, planè licet immutare volenti his nominibus per conuerſionem vti, & dicere, quod opifex filij, & pater lapidis eſt Deus, ſiquidem patris appellatio nullam naturæ relationem ſignificat. Quod autem per hoc præſtruitur, non amplius habet abſurditatem ambiguam, apud eos qui mente & intelligentia ſunt prædití: vt enim
C abſurdum eſt lapidem putare Deum, vel aliud quicquam eorum quæ per creationem ſubſtiterunt, ſic pro confeſſo habebitur, neque oportere vnigenito deitatem attribuere, cùm vna eadémque ſecundum operationem ſignificatio vtraſque Deo appellationes, vt opinatur Eunomius, attribuat, ſecundum quam & pater, & opifex nominatur. Sed propoſita teneamus. Noſtrum enim ſermonem calumnians, qui ſecundum differentes intellectus applicationes aſſerit Dei cognitionem in nobis excitari: ait non amplius ipſum à nobis
D ſimplicem eſſe præſtrui: quia videlicet notiones quæ per quamque appellationem ſignificantur, alias poſt alias aſſumat, & per illarum participationem ſibi ipſi perfectionem eſſentiæ compleat: Hæc propriis verbis recitaui, concidens eius prolixam nugationem ſiue garrulitatem. Sed ad hanc vanam & inualidam ſuperuacaneámque loquentiam, neque quemquam qui rectè ſapiat, debere contradicendo reſpondere, ſine accuſatione amētiæ arbitror. Si enim quid tale in noſtris dictis eſſet, oporteret nos vel male dicta retractare, vel quod ambiguam ſententiam habet, ad interpretationis cenſuram & exá-

μασίας, καὶ οὕτως ὁ πολὺς αὐτῷ περὶ τῶν ὀνομάτων ὕθλος, πομφόλυγος δίκην ἀπορραγεὶς καταςβέννυται. εἰ δὲ ἀπολογοῖτο περὶ τῆς ἐναντιότητος, ὡς μόνης τῆς τοῦ πατρὸς καὶ τῆς τοῦ δημιουργοῦ προσηγορίας ἐπιτηδευματικῶς τῷ Θεῷ προσγινομένης, διὰ τὸ ἐξ ἐνεργείας, ὡς αὐτός λέγει, ἑκατέρας ἐπιλέγεσθαι τῷ Θεῷ τὰς φωνὰς, περιγράψει τὴν πολλὴν ἡμῶν περὶ τὸ προκείμενον ἀσχολίαν, ταῦτα ὁμολογῶν, ἃ πολλοῖς ἔδει πόνοις παρ' ἡμῶν διελέγχεσθαι. εἰ γὰρ μία ἐστί τε τοῦ δημιουργοῦ καὶ τῆς τοῦ πατρὸς φωνῆς ἡ σημασία, ἐξ ἐνεργείας γὰρ ἑκάτερα, ἰσοδυναμοῖ πάντως ἀλλήλοις καὶ τὰ διὰ τῶν φωνῶν σημαινόμενα. ὧν γὰρ τὸ σημαινόμενον τὸ αὐτὸ, τούτων οὐδὲ τὸ ὑποκείμενον πάντως διαφέρει. εἰ οὖν ἐξ ἐνεργείας ὅ τε πατὴρ, ὅ τε δημιουργὸς ὀνομάζεται, ἔξεστι πάντως ὁ ὑπαλλάξαντι κατὰ τὸ ἀντιστρέφον τοῖς ὀνόμασι χρήσασθαι καὶ εἰπεῖν, ὅτι καὶ δημιουργὸς τοῦ υἱοῦ, καὶ πατὴρ τοῦ λίθου ἐστὶν ὁ Θεός, εἴπερ ἄμοιρόν ἐστιν τὸ τοῦ πατρὸς ὄνομα τῆς κατὰ φύσιν σχετικῆς σημασίας. τὸ δὲ διὰ τούτου κατασκευαζόμενον, οὐκ ἔτ' ἀμφίβολον ἔχει τὴν ἀτοπίαν τοῖς γε νοῦν ἔχουσιν· ὡς γὰρ ἄτοπόν ἐστι λίθον ἡγεῖσθαι Θεὸν, ἢ ἄλλο τι τῶν διὰ κτίσεως ὑποστάντων, οὕτως ὁμολογηθήσεται, μηδὲ τῷ μονογενεῖ Θεῷ δεῖν προσμαρτυρεῖν τὴν θεότητα, μιᾶς καὶ τῆς αὐτῆς κατὰ τὴν ἐνέργειαν σημασίας ἀμφοτέρας τῷ Θεῷ τὰς κλήσεις κατὰ τὸν Εὐνομίου λόγον προσμαρτυρούσης, καθ' ἣν καὶ πατὴρ, καὶ δημιουργὸς ὀνομάζεται. ἀλλὰ τῶν προκειμένων ἐχώμεθα. διαβάλλων γὰρ τὸν ἡμέτερον λόγον τὸν κατὰ διαφόρους ἐπιβολὰς λέγοντα τὴν περὶ Θεοῦ γνῶσιν ἡμῖν συναγείρεσθαι, φησὶ μηκέτ' αὐτὸν παρ' ἡμῶν ἁπλοῦν εἶναι κατασκευάζεσθαι· ὡς μεταλαμβάνοντα τῶν νοημάτων τῶν δι' ἑκάστης προσηγορίας σημαινομένων, καὶ διὰ τῆς ἐκείνων μετουσίας συμπληροῦντα ἑαυτῷ τὴν κατὰ τὸ εἶναι τελείωσιν. ταῦτα διὰ τῆς ἐμαυτοῦ λέξεως συντεμνὼν αὐτοῦ τὴν μακρὰν ἀδολεσχίαν· ἀλλὰ πρὸς τὴν ματαίαν ταύτην οἶμαι καὶ ἄπονον περιττολογίαν, οὐδὲ τὴν ἀντίρρησιν ἄν τινα τῶν εὖ φρονούντων, ἔξω τῆς κατὰ τῆς ἀνοίας κατηγορίας ποιήσασθαι. εἰ μὲν γὰρ τι τοιοῦτον ἐν τοῖς παρ' ἡμῶν εἰρημένοις ἦν, ἔδει πάντως ἡμᾶς ἢ ἀναθέσθαι τὰ κακῶς εἰρημένα, ἢ τὸ ἀμφίβολον τῆς διανοίας πρὸς τὸ ἀληθινὸν τῆς ἑρ-

men reuocare. Sed quoniam nihil quic- A quam tale à nobis dictum eſt, neque dictorum conſecutio ad talem neceſſitatem compellit cogitationem, quid opus eſt in manifeſtis & confeſſis immorantem lectores tædio afficere ſermonis protractione? Quis enim ita extra mentem eſt, vt cùm audierit, per multas notiones de Deo pias opiniones aceruari, ex diuerſis numen conflatum eſſe putet, vel ex tranſſumptione quorumdam ſibi ipſi perfectionem congerere? Ponamus aliquem inueniſſe geometriam, hic idem exiſti- B metur aſtronomiæ inuentor eſſe, medicinæ rurſus & grammaticæ, & agriculturæ, & aliorum quorumdam talium ſtudiorum. An cùm multa & differentia nomina ſtudiorum, in vna conſiderantur anima, propter hoc anima compoſita exiſtimabitur? Atqui plurimùm differt medicinæ ſignificatum ab Aſtronomica ſcientia, & Grammatica cum Geometria nullam ſecundum ſignificatum communionem habet, neque rurſus nauigatio & agricultura: verumtamen fieri poteſt vt in C vna eadémque anima harum omnium ſcientiarum ratio congeratur, neque propterea anima fit compoſita, neque omnia diſciplinarum & ſtudiorum nomina in vno ſignificatu commiſcentur. Si igitur humana mens per totidem quæ de ipſa dicuntur, nihil in ſua ſimplicitate læditur: quomodo quis Deum putauerit, ſi ſapiens, & iuſtus, & bonus, & ſempiternus, & omnibus Deo decoris vocetur nominibus, ſi non omnibus hiſce nominibus vna exiſtimata fuerit eſſe ſignificatio, multis partibus conſtare, vel ex horum D participatione naturæ perfectionem ſibi accumulare? Sed eius vehementiorem contra nos accuſationem examinemus, quæ ſic habet. Quod ſi, inquit, ad ſeueriorem oportet orationem venire, neque eſſentiam ipſam impermixtam & à deterioribus, & contrariis puram ſeruat. Hæc igitur accuſatio contra nos, criminum autem probatio quæ? Videamus eius vehementem ipſam & oratoriam contra nos aggreſſionem. Si, inquit, ſecundum id quod vitæ fine caret ſolùm eſt incorruptibilis: & ſecundum quod principij eſt expers ſolùm eſt ingenitus, quatenus non eſt incorruptibilis,

Verba Eunomij.

A μανίας ἄγειν. ἐπεὶ δὲ οὔτε εἴρηταί τι παρ' ἡμῶν τοιοῦτον οὐδέν, οὔτε ἡ τῶν εἰρημένων ἀκολουθία πρὸς τὴν τοιαύτην ἀνάγκην ἐξωθεῖ τὴν διάνοιαν, τί δεῖ τοῖς ὁμολογουμένοις ἐνδιατρίβοντα ἀποκναίειν τοὺς ἐντυγχάνοντας τῇ παρατάσει τοῦ λόγου; τίς γὰρ οὕτως ἔξω διανοίας ἐστίν, ὡς ἀκούσας διὰ πολλῶν νοημάτων τὰς εὐσεβεῖς περὶ Θεοῦ ὑπολήψεις ἀθροίζεσθαι, σύνθετον ἐκ διαφόρων τὸ θεῖον οἴεσθαι, ἢ ἐκ μεταλήψεως τινῶν ἑαυτῷ συνεγείρειν τὴν τελειότητα; εὑρέτω τις καθ' ὑπόθεσιν γεωμετρίας, ὁ δὲ αὐτὸς οὗτος ὑπει- B λήφθω καὶ ἀστρονομίας εὑρετὴς εἶναι, ἰατρικῆς τε πάλιν καὶ γραμματικῆς, καὶ γεωργίας, καὶ ἄλλων τοιούτων ἐπιτηδευμάτων τινῶν. ἆρ' ἐπειδὴ πολλὰ καὶ διάφορα τὰ ὀνόματα τῶν ἐπιτηδευμάτων περὶ τὴν μίαν θεωρεῖται ψυχήν, σύνθετος διὰ τοῦτο ἡ ψυχὴ νομισθήσεται; καίτοι γε πλεῖστον διαφέρει τὸ κατὰ τὴν ἰατρικὴν σημαινόμενον τοῦ ἀστρονομικῆς ἐπιστήμης, καὶ ἡ γραμματικὴ πρὸς τὴν γεωμετρίαν, οὐδὲ μίαν κατὰ τὸ σημαινόμενον τὴν κοινωνίαν ἔχει· οὐδ' αὖ πάλιν ἡ ναυτιλία, καὶ ἡ γεωπονία· ἀλλὰ μὴν C περὶ τὴν ψυχήν, τούτων ἑκάστης τὸν λόγον δυνατὸν ἀθροισθῆναι, καὶ οὐ διὰ τοῦτο πολυσύνθετος ἡ ψυχὴ γίνεται, οὐδὲ πάντα τὰ ὀνόματα τῶν ἐπιτηδευμάτων πρὸς ἓν σημαινόμενον ἀνακιρνᾶται. Εἰ τοίνυν ὁ ἀνθρώπινος νοῦς διὰ τοσούτων περὶ αὐτοῦ λεγομένων, οὐδὲν εἰς τὴν ἁπλότητα βλάπτεται· πῶς ἄν τις οἰηθείη τὸν Θεόν, εἰ σοφός, καὶ δίκαιος, καὶ ἀγαθός, καὶ ἀΐδιος, καὶ πάντα τὰ θεοπρεπῆ καλοῖτο ὀνόματα, εἰ μὴ μία πᾶσι νομισθείη τοῖς ὀνόμασι σημασία, ἢ πολυμερῆ γίνεσθαι, ἢ ἐκ D μετουσίας τούτων τὸ τέλειον ἑαυτῷ συνεγείρειν τῆς φύσεως; ἀλλ' ἐξετάσωμεν αὐτοῦ καὶ τὴν σφοδροτέραν καθ' ἡμῶν κατηγορίαν ἔχουσαν οὕτως. εἰ δὲ δεῖ, φησίν, ἐπὶ τὸν ἀποτομώτερον χωρῆσαι λόγον, οὐδὲ τὴν οὐσίαν αὐτὴν ἀνεπίμικτον καὶ καθαρὰν φυλάσσει τῶν χειρόνων καὶ τῶν ἐναντίων. ἡ μὲν οὖν κατηγορία τοσαύτη, ὁ δὲ τῶν ἐγκλημάτων ἔλεγχος τίς; ἴδωμεν αὐτὴν τὴν σφοδρὰν αὐτοῦ καὶ ῥητορικὴν καθ' ἡμῶν ἐπιχείρησιν. εἰ κατὰ τὸ ἀτελεύτητον, φησί, τῆς ζωῆς μόνον ἐστὶν ἄφθαρτος, καὶ κατὰ τὸ ἄναρχον μόνον ἀγέννητος, καθ' ὃ μή ἐστιν ἄφθαρτος,

φθαρτὸς

φθαρτὸς ἔσται, καὶ καθὸ μὴ ἔστιν ἀγέννητος, γεννητὸς ἔσται, καὶ ἐπαναλαβὼν πάλιν τὸ αὐτό φησιν· ἔσται ἄρα κατὰ μὲν τὸ ἄναρχον, ἀγέννητος ὁμοῦ καὶ φθαρτὸς, κατὰ δὲ τὸ ἀτελεύτητον, ἄφθαρτος ὁμοῦ καὶ γεννητός. ὁ μὲν οὖν ἀποτομώτερος αὐτοῦ λόγος οὗτός ἐστιν, ὃν καθ' ἡμῶν προοίσειν ἠπείλησεν, εἰς ἔλεγχον τοῦ τὴν οὐσίαν τοῦ Θεοῦ λέγειν ἡμᾶς ἐπιμεμίχθαι τοῖς ἐναντίοις τε καὶ τοῖς χείροσιν. ἐγὼ δὲ φανερὸν μὲν ἡγοῦμαι τοῖς ἐρρωμένον ἔχουσιν ἐν ἑαυτοῖς τὸ τῆς ἀληθείας κριτήριον, ὅτι οὐδεμίαν ἐν τοῖς εἰρημένοις δεδωκότος τοῦ διδασκάλου τὴν συκοφάντῃ λαβὴν, παραποιήσας οὗτος πρὸς τὸ δοκοῦν τὰ εἰρημένα, τὴν μειρακιώδη ταύτην τοῦ σοφίσματος παιδιὰν συνδιεπέρανε. πλὴν ὡς ἂν ἐκδηλότερον πᾶσι γένοιτο τοῖς ἐντυγχάνουσιν, ἐκεῖνό τε πάλιν ἐπὶ λέξεως ἀναγνώσομαι, καὶ αὐτίκα παραθήσω τούτοις τὰ Εὐνομίου ῥήματα. ἄφθαρτον, φησὶν ὁ διδάσκαλος, καὶ ἀγέννητον Θεὸν τῶν ὅλων λέγομεν, κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι τούτοις χρώμενοι. ὅταν μὲν γὰρ εἰς τοὺς κατόπιν αἰῶνας ἀποβλέψωμεν, ὑπερεκπίπτουσαν πάσης περιγραφῆς εὑρίσκοντες τὴν ζωὴν τοῦ Θεοῦ, ἀγέννητον αὐτὸν λέγομεν. ὅταν δὲ τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν ἐπιβάλλωμεν, τὸ ἀόριστον καὶ ἄπειρον, καὶ οὐδενὶ τέλει καταληπτὸν, προσηγορεύσαμεν ἄφθαρτον. ὡς οὖν τὸ ἀτελεύτητον τῆς ζωῆς ἄφθαρτον, οὕτω καὶ τὸ ἄναρχον αὐτῆς ἀγέννητον ὠνομάσθη, τῇ ἐπινοίᾳ θεωρούντων ἡμῶν ταῦτα. οὗτος τοῦ διδασκάλου ὁ λόγος, τοῦτο παιδεύων ἡμᾶς διὰ τῶν εἰρημένων, ὅτι μία οὖσα τῇ φύσει καὶ συνεχὴς πρὸς ἑαυτὴν ἡ θεία ζωὴ, οὔτε ἀπὸ ἀρχῆς τινὸς ἄρχεται, οὔτε πέρατί τινι περιγράφεται. καὶ ὅτι τὰς ἐπιθεωρουμένας τῇ ζωῇ ταύτῃ ἐννοίας ἔξεστι δι' ὀνομάτων τινῶν φανερὰς καταστῆσαι. τό τε γὰρ μὴ ἐξ αἰτίας εἶναι τινὸς, διὰ τῆς τοῦ ἀνάρχου τε καὶ ἀγεννήτου φωνῆς ἐξαγγέλλομεν, καὶ τὸ μηδενὶ περιγράφεσθαι τέλει, μηδὲ εἰς φθορὰν διαλύεσθαι, τοῦτο ἡ τοῦ ἀφθάρτου τε καὶ ἀτελευτήτου διασημαίνει λέξις. καὶ τοῦτο διορίζεται, τὸ δεῖν ἐπὶ τῆς θείας ζωῆς τὸ μὲν τὴν ἀρχὴν μὴ ἔχειν, ἀγεννήτως εἶναι λέγειν, τὸ δὲ ἀτελευτήτως εἶναι, ἄφθαρτον κατονομάζειν. ἐπειδὴ πᾶν τὸ τοῦ εἶναι παυσάμενον, ἐν ἀφανισμῷ γίνεται πάντως·

A corruptibilis erit, & qua non eſt ingenitus, erit genitus: & eodem rurſus reſumpto infit: erit igitur ſecundum id quod principij eſt expers, ingenitus ſimul & corruptibilis: & ſecundum quod finem non habet, incorruptibilis ſimul & genitus. Eſt igitur hæc ſeuerior eius oratio; quam contra nos ſe prolaturum eſſe minatus eſt, vt arguat & conuincat nos dicere Dei eſſentiam deterioribus & contrariis immixtam eſſe. Ego verò apertum & clarũ exiſtimo, his qui in ſeipſis habent firmum & validum veritatis iudicium, nullam in his dictis ſycophantæ B huic magiſtrum noſtrum anſam dediſſe, ſed hunc pro ſua libidine dicta diſtorſiſſe, atque hunc puerilem ſophiſmatis ſiue cauilli locum concluſiſſe. Verumtamen vt omnibus manifeſtius hoc legentibus fiat, illud iterum ad verbum recitabo, & his Eunomij verba apponam. Incorruptibilem, ait doctor, & ingenitum Deum vniuerſorum dicimus, ſecundum differentes intellectus applicationes & conceptus his nominibus vtentes. Cùm enim retro ante ſæcula inſpicimus, ſuperantem omnem circumſcriptionem inuenientes Dei vi- C vitam, ipſum ingenitum dicimus. Cùm vero mentem ad ſuperuenientia ſæcula intendimus, quod indeterminatum, infinitum, nullóque fine comprehenſum, appellamus incorruptibile. Vt igitur quod vitæ finem nõ habet, incorruptibile; ſic quod principio vitæ caret, ingenitum nominatum eſt cõmentatione noſtra, qui hæc contemplamur. Hic ſermo noſtri doctoris eſt, hoc docens nos per ea quæ ſunt dicta, quod vita diuina cum ſit natura vna & in ſe continua, neque à principio aliquo incipit, neque termino circumſcribitur. Et quòd notiones quæ in hac diuina D vita conſiderantur, nominibus quibuſdam licet declarare. Quod enim non eſt ex aliqua cauſa, ἀνάρχου, id eſt, principio carentis, & ἀγεννήτου ingeniti voce enuntiamus: quódque nullo fine poteſt circumſcribi, neque in interitum diſſolui, hoc incorruptibilis & ἀτελευτήτου finem non habentis ſignificat dictio. Atque hoc definit oportere in diuina vita quod principium non habet, ingeniti nomine exprimere: quod verò fine caret, incorruptibile nominare. Quoniam quicquid eſſe deſiit, in abolitionem cadit penitus:

Verba Baſilij lib. 1. contra Eunomium.

abolitionem autem eius quod eſt, cum audiuimus, eius quod cōſtitit interitum intelleximus. Eum igitur qui nunquam eſſe deſinit, alienúſque ab omni diſſolutione quæ fit per corruptionem, incorruptibilem ait nominari. quid igitur ad hæc Eunomius? Si, inquit, quà vitæ fine caret, eſt incorruptibilis, & qua principij eſt expers, ſolùm eſt ingenitus, quatenus non eſt ingenitus, genitus erit. quis hæc ô Eunomi tibi dedit? non in omni vita Dei incorruptibilitatem conſiderari? Quis in duo partitus diuinam vitam vocibus ſeparatim ſignificantibus ſemiſectorum vtrumque nominat? Ita vt quemadmodum ſi vni ſegmento hoc ineſſet nomen, eidem alterum non eſſe dicat? hæc tuæ dialecticæ ſubtilitas, vitam quæ eſt abſque principio corruptibilem eſſe dicere? & cum incorruptibili quod principij eſt expers non conſiderari. Similiter ac ſi quis quod rationis eſt particeps, mentis & ſcientiæ capax, hominē eſſe diceret, vtrumque nomen ſubiecto accommodans ſecundum differentem mentis conceptum & excogitationem. Deinde à neſcio quo ſubſannaretur hæc & ſimilia exponēte. Quod ſi mentis & ſcientiæ capax homo, rationis particeps ſecundum idipſum eſſe non poteſt, ſed quatenus ſcientiæ eſt particeps hoc ſolum erit, alterum verò non admittet natura: & rurſus, ſi rationis participem definias hominem non amplius ipſum mentis eſſe capacē concedis: quâ enim rationis eſt particeps, intelligentiæ expers demonſtrabitur. Quod ſi planum eſt cuiuis quod in his eſt ridiculum & amens, neque in illo prorſus erit ambiguum. Nam ſi doctoris dictionem legeris, vmbram inuenies cauilli iocum. Neque enim in exemplo de homine ſcientię capax à ratione prohibetur, vel à mentis capaci ratio. Neq; diuinæ vitæ æternitas vel incorruptibile non habet, ſi principij expers fuerit, vel ſi incorruptibilitatem quis ipſi attribuerit, natura principio carente ſpoliabitur. Sed dū dialecticæ ſolertiæ arte veritatem exquirit, ex ſuis noſtro ſermoni quę voluit interpoſitis, ſecū ipſe pugnat, ſeq. ipſum euertit, noſtra nō attingens. Quod enim aſſerebamus, nō aliud erat, quàm vitā principio carentē, ingenitam per cōmentationem nominari non gigni, & quæ in infinitum procedit, incorruptibilis appellatione ſignificare non

A ἀφανισμὸν δὲ τοῦ ὄντος ἀκούσαντες, τὴν τοῦ συνεστῶτος φθορὰν ἐνοήσαμεν. τὸν οὖν μηδέποτε τοῦ εἶναι παυόμενον, ἀλλότριόν τι τῆς κατὰ φθορὰν διαλύσεως ὄντα, ἄφθαρτον ὀνομάζεσθαι λέγει. τί οὖν πρὸς ταῦτα ὁ Εὐνόμιος; εἰ κατὰ τὸ ἀτελεύτητον, φησί, τῆς ζωῆς μόνον ἐστὶν ἄφθαρτος, καὶ κατὰ τὸ ἄναρχον μόνον ἀγέννητος, καθ' ὃ μὴ ἐστὶν ἀγέννητος, γεννητὸς ἔσται. τίς ταῦτά σοι δέδωκεν ὦ Εὐνόμιε; ὡς μὴ πάσῃ συνθεωρεῖσθαι τῇ ζωῇ τοῦ Θεοῦ τὴν ἀφθαρσίαν; τίς διελὼν εἰς δύο τὴν θείαν ζωὴν ἰδιαζούσαις φωναῖς ἐπονομάζει
B τῶν ἡμιτόμων ἑκάτερον, ὥστε ὥσπερ ἂν τμήματι τούτῳ προσεῖναι τὸ ὄνομα, μὴ προσεῖναι λέγειν αὐτῷ καὶ τὸ ἕτερον; τῆς σῆς αὕτη διαλεκτικῆς ἡ δριμύτης, τὸ τὴν ἀνάρχως οὖσαν ζωὴν, φθαρτὴν εἰπεῖν εἶναι, καὶ τῷ ἀφθάρτῳ μὴ συνθεωρεῖσθαι τὸ ἄναρχον. ὅμοιον, ὥσπερ ἂν εἴ τις λογικόν τε καὶ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τὸν ἄνθρωπον εἶναι λέγοι, ἑκάτερον ἐφαρμόζων τούτων τῶν ὀνομάτων τῷ ὑποκειμένῳ, κατὰ διάφορον ἐπιβολήν τε καὶ ἔννοιαν. ἔπειτα παρά τινος τοιούτου καταχλευάζοιτο, διεξιόντος τὰ ὅμοια· ὅτι εἰ δεκτικὸς νοῦ καὶ
C ἐπιστήμης ὁ ἄνθρωπος, λογικὸς κατὰ τοῦτο εἶναι οὐ δύναται, ἀλλὰ καθὸ δεκτικός ἐστιν ἐπιστήμης, τοῦτο μόνον ἔσται, τὸ δὲ ἕτερον οὐ χωρήσει ἡ φύσις· καὶ πάλιν, εἰ λογικὸν ὁρίζῃ τὸν ἄνθρωπον, οὐκέτι αὐτῷ τὸ δεκτικὸν τοῦ νοῦ συγχωρήσεις. καθὸ γὰρ λογικός ἐστιν, ἀμέτοχος διανοίας ἀναδειχθήσεται. εἰ δὲ πρόδηλον ἐν τούτοις ἐστὶ, παντὶ τὸ γελοῖόν τε καὶ ἀνόητον, οὐδὲ ἐπ' ἐκείνου πάντως ἀμφίβολον. ἀναγνοὺς γὰρ τὴν διδασκάλου τὴν ῥῆσιν, σκιὰν εὑρήσεις τὴν παιδιὰν τοῦ σοφίσματος. οὔτε γὰρ ἐν τῷ κατὰ τὸν ἄνθρωπον ὑποδείγματι
D τὸ δεκτικὸν τῆς ἐπιστήμης ὑπὸ τοῦ λόγου κωλύεται, ἢ ὑπὸ τοῦ δεκτικοῦ τῆς διανοίας ὁ λόγος. οὔτε τὸ ἀΐδιον τῆς θείας ζωῆς, ἢ τὸ ἄφθαρτον οὐκ ἔχει, ἐὰν ἄναρχον ᾖ, ἢ εἴπερ τὴν ἀφθαρσίαν τις αὐτῇ μαρτυρήσειε, τὸ ἀνάρχως εἶναι ἀφαιρεθήσεται. ἀλλ' ὁ τῇ τέχνῃ τῆς διαλεκτικῆς ἀγχινοίας ἀναζητῶν τὴν ἀλήθειαν, ἐκ τῶν ἰδίων τῷ ἡμετέρῳ λόγῳ παρενθεὶς ἃ ἐβούλετο, ἑαυτῷ μάχεται καὶ ἑαυτὸν ἀνατρέπει, τῶν ἡμετέρων οὐ προσαπτόμενος. τὸ γὰρ παρ' ἡμῶν οὐδὲν ἦν ἕτερον, ἢ τὸ τὴν ἀνάρχως οὖσαν ζωὴν, ἀγέννητον δι' ἐπινοίας ὀνομάζεσθαι, οὐχὶ γίνεσθαι, καὶ τὴν εἰς τὸ ἀόριστον περιοδοῦσαν, τῇ τοῦ ἀφθάρτου σημαίνειν προσηγορίᾳ, οὐ

A ποιεῖν ἄφθαρτον, ἀλλὰ σημαίνειν οὖσαν τοιαύτην. ὥστε τὸ μὲν ἀόριστον καθ' ἑκάτερον εἶναι τὴν θείαν ζωὴν, τοῦ ὑποκειμένου ἴδιον εἶναι· τὸ δὲ οὕτως ἢ οὕτως τὰ ἐπιθεωρούμενα τῷ ὑποκειμένῳ νοήματα λέγεσθαι, περὶ τὴν φωνὴν ἐστὶ μόνην τὴν ἐνδεικτικὴν τοῦ σημαινομένου νοήματος. ἓν νόημα περὶ τὴν θείαν ζωὴν, τὸ μὴ ἐξ αἰτίας αὐτὴν εἶναι, τοῦτο ἡ τοῦ ἀγεννήτου λέξις ἐνδείκνυται. ἕτερον νόημα περὶ τὴν αὐτὴν ζωὴν τὸ ἀόριστον αὐτὴν εἶναι καὶ ἀτελεύτητον, τοῦτο ἡ τοῦ ἀφθάρτου προσηγορία παρίστησιν. ὥστε τὸ μὲν ὑποκείμενον ἄναρχον εἶναι καὶ ἀτελεύτητον, ὅπερ ἐστὶν ὑπὲρ πᾶν ὄνομά τε καὶ νόημα· τὸ δὲ μήτε ἐξ αἰτίας αὐτὸ εἶναι, B μήτε εἰς τὸ ἀνύπαρκτόν ποτε περιίστασθαι, ταῦτα διὰ τῆς τῶν ὀνομάτων τούτων ἐπινοίας σημαίνεται. τί τοίνυν ἐκ τῶν ἡμετέρων αὐτὸν πρὸς τὴν ἀνόητον ταύτην παραδρομὴν παρεκίνησεν, ὥστε πάλιν ἐπαναλαμβάνοντα τὸ ἴσον εἰπεῖν τούτοις τοῖς ῥήμασιν. ἔστι γὰρ, κατὰ μὲν τὸ ἄναρχον, ἀγέννητος ὁμοῦ καὶ ἄφθαρτος· κατὰ δὲ τὸ ἀτελεύτητον, ἄφθαρτος ὁμοῦ καὶ γεννητός· τοῦτο δὲ κἂν μὴ παρ' ἡμῶν διακρινηθῇ τῷ λόγῳ, παντὶ πρόδηλόν ἐστι τῷ καὶ ὁπωσοῦν διανοίας μετέχοντι, ὅπως ἐστὶ καταγέλαστόν τε καὶ ἀνόητον, μᾶλλον δὲ ἀσεβὲς καὶ κατάκριτον. ᾧ γὰρ λόγῳ C κατασκευάζει τὴν τοῦ ἀφθάρτου πρὸς τὸ ἄναρχον συζυγίαν, τῷ αὐτῷ τρόπῳ παντὸς εὐσεβοῦς τε καὶ θεοπρεποῦς καταπαίζει ὀνόματος. οὐ γὰρ μόνον τὰ δύο ταῦτα περὶ τὴν θείαν θεωρεῖται ζωὴν, τὸ ἄναρχός τε εἶναι, καὶ φθορὰν μὴ προσίεσθαι· ἀλλὰ καὶ ἄϋλός τε καὶ ἀόργητος λέγεται, ἄτρεπτός τε καὶ ἀσώματος, ἀόρατός τε καὶ ἀσχημάτιστος, ἀληθής τε καὶ δίκαιος, καὶ ἄλλα μυρία περὶ τὴν θείαν ζωὴν ἐστὶ νοήματα, ὧν ἕκαστον ἐφ' ἑαυτοῦ κατά τινα ἰδιάζουσαν ἔννοιαν τῇ σημαντικῇ φωνῇ ἐξαγγέλλεται. παντὶ τοίνυν ὀνόματι, D τῷ σημαντικῷ τῆς θεοπρεποῦς ὑπολήψεως ἔξεστι συμπλέξαι τὴν ἐπινοηθεῖσαν παρὰ τοῦ Εὐνομίου κατὰ τὸ ἀλλόκοτον συζυγίαν. οἷον, τὸ ἄϋλόν τε καὶ τὸ ἀόργητον, ἀμφότερα λέγεται περὶ τὴν θείαν ζωὴν, ἀλλ' οὐ κατὰ τῆς αὐτῆς διανοίας ἑκάτερον. τὸ μὲν γὰρ καθαρεύειν ὑλικῆς ἐπιμιξίας τὸ θεῖον, διὰ τῆς ἀΰλου ἐννοίας ἐνοήσαμεν. ἐν δὲ τῷ ἀοργήτῳ ἡ ἀλλοτρίωσις τοῦ κατὰ τὴν ὀργὴν πάθους σημαίνεται. ἐπιδραμεῖται τοίνυν καὶ τούτοις κατὰ τὸ εἰκὸς,

A incorruptibilem facere, ſed eam talem eſſe ſignificare. Quare quòd quidem infinita eſt ex vtraque parte diuina vita, hoc ſubiecti eſt proprium. Quod autem ſic vel ſic, quæ in ſubiecto conſpiciuntur, notiones dicantur, hoc in ſola voce conſiſtit quæ notionem ſignificatam indicat. Vna in diuina vita notio eſt, quòd ipſa non ſit ex cauſa, hanc autem ingeniti dictio demonſtrat: Altera notio de eadem vita, quod ipſa ſit infinita & fine careat, hanc autem incorruptibilis appellatio repræſentat. Ita vt ſubiectum quidem principio & fine careat; quod & ſuper omne nomen & notionem: quod autem ipſum neque ex cauſa eſt; B neque ad id quod non eſt, vnquam deueniet, hæc per nominum horum commentationē ſignificantur. Quid igitur ex noſtris ipſum ad hunc amentem & ſtultum locum commouit? vt rurſus reſumens, idem etiam dicat his verbis. Eſt enim ſecundum quod caret principio ingenitus ſimul & incorruptibilis; ſecundum verò quod finem non habet, incorruptibilis ſimul & genitus: hoc autem, etſi non à nobis ſermone dijudicatum eſt, cuius tamen vel quocumque modo mentis compoti perſpicuum eſt, quomodo ridiculum eſt, & amētiæ plenum, imò verò impiū & condēnandum. C Quo enim ſermone conſtruit incorruptibilis coniugationē cum eo quod eſt principij expers: eodē modo omne piū & Deo decorū nomen habet ludibrio. Non enim ſolū hæc duo in diuina vita ſpectātur, eſſe ſine principio, & interitū nō appetere: ſed etiā materiæ expers & iræ neſcius dicitur, immutabiliſque & incorporeus, inaſpectabilis & figura carēs, veruſq. & iuſtus, & aliæ innumerabiles quę in diuina vita notiones cōſiderātur, quarū quęq. in ſeipſa ſecundū peculiarē & ſeparatā notitiā ſignificatiuis D vocib. enūtiatur. Quouis igitur nomine quod Deo decoram & conuenientem opinionē ſignificet, licet iuxta illā prodigioſā ab Eunomio excogitatā cogitationē cōnectere: exēpli gratia quod immateriale eſt, & quod iræ expers, ambo de diuina vita dicūtur, ſed nō in eadem ſententia vtrumque. Nam à materiali permixtione numen purum eſſe, per immaterialis notionem cognouimus. In eo verò quod iræ eſt expers, alienatio ab iræ perturbatione ſignificatur. Per hæc igitur, vt eſt veriſimile,

curet Eunomius, eodémque modo in hæc dicta inſultabit: dicet enim pari nexu abſurditatem connectens: ſi quà à materiali permixtione ſegregatus eſt, immaterialis dicitur, ſecũdum hoc non erit iræ expers, & ſi quis non iracũdiam appetit, eſt iræ exors, non amplius in eo poteſt quod eſt immateriale concedi, ſed omni neceſſitate eo quod ſit à materia purus, immaterialis ſimul & iracundus demonſtratur; & quà in iram non incidit, non iracundus & materialis eodem modo inuenietur: ſic & in aliis omnibus inuenies. Et ſi placet, alteram cõiugationẽ talem proponamus, quod immutabile eſt, dico & incorporeum. Cùm enim horum duorum nominum vtrumque ſecundum propriam & diſtinctam ſignificationem de diuina vita dicatur, ſimiliter & in his Eunomij ſapientia conſtruet abſurditatem. Si enim quod ſemper eodẽ modo ſe habet, voce immutabilis ſignificatur: & incorporei appellatio materiã abſtractam & intellectualem eſſentiam repræſentat, dicet profectò eadem in his Eunomius, quod diſſident & aliena ſunt, nullámq. inter ſe cõmunionem & ſocietatem habent, quæ in his nominibus conſiderãtur, notiones. In eo enim quod numen eodem modo ſe habet, ſolum immutabile erit & non incorporeum: in intellectuali verò & informi eſſentia, quod incorporeum eſt, habet: ab immutabili autem ſeparatum eſt. Ita vt cum quidem quod immutabile eſt, in diuina vita conſideratur, cum immutabili accidat ipſam etiam corpus eſſe adſtrui. Cum verò intellectuale exquiritur, ſiue quod à materia abſtractum eſt, ſimul eſſe incorpoream & mutabilem definiri. Hæc ſunt Eunomij docta contra veritatem commenta. Quid enim opus eſt omnia perſequentẽ in nugatoria garrulitate producere? ſiquidem in omnibus ſimilem hanc licet amentiã & rationis defectum præſtrui obſeruare? Etenim & quod verum, & quod iuſtũ, ſimiliter inter ſe ſecundum præcedentem complexum pugnabunt. Aliud enim veritatis, & aliud iuſti ſignificatũ. Ita vt Eunomius ex cõſequẽtia etiã de his dicat, iuſto quidem verum non adeſſe, à veritate autẽ abeſſe iuſtũ: & contingere, vt cùm quod ab iniuſtitia eſt alienũ, in DEO quis cogitat, iuſtum & mẽdacem Deũ eſſe eodẽ modo pronũtiat. Si verò à mẽdacio alienationẽ

A ὁ Εὐνόμιος, καὶ τὸ ἴσον ἐν τοῖς εἰρημένοις ὀρχήσεται. λέξει γὰρ κατὰ τὸν αὐτὸν εἱρμὸν τὴν ἀτοπίαν συμπλέκων. εἰ καθὸ κεχώρισται τῆς ὑλικῆς ἐπιμιξίας, ἄϋλος λέγεται, κατὰ τοῦτο οὐκ ἔσται ἀόργητος, καὶ εἰ τῷ μὴ προσίεσθαι τὴν ὀργὴν ἐστὶν ἀόργητος, οὐκέτι δυνατὸν ἐπ' αὐτοῦ ὁμολογεῖσθαι τὸ ἄϋλον, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην ἐν μὲν τῷ καθαρεύειν ὕλης, ἄϋλος ὁμοῦ καὶ ὀργίλος ἀναδειχθήσεται, ἐν δὲ τῷ τὴν ὀργὴν μὴ προσίεσθαι, ἀόργητός τε καὶ ὑλικὸς κατὰ ταὐτὸν εὑρεθήσεται· οὕτως καὶ ἐπὶ τῶν ἄλλων εὑ-
B ρήσεις πάντων. καὶ εἰ δοκεῖ, προθῶμεν ἑτέραν συζυγίαν ὀνομάτων τοιαύτην, τὸ ἄτρεπτον λέγω καὶ τὸ ἀσώματον. τῶν γὰρ δύο τούτων ὀνομάτων, ἑκατέρου κατὰ τὴν ἰδιάζουσαν ἔμφασιν ἐπὶ τῆς θείας λεγομένων ζωῆς, ὁμοίως καὶ ἐπ' αὐτῶν ἡ τοῦ Εὐνομίου σοφία κατασκευάσει τὴν ἀτοπίαν. εἰ γὰρ τὸ ἀεὶ ὡσαύτως ἔχον τῇ φωνῇ τοῦ ἀτρέπτου σημαίνεται· καὶ τὸ νοερὸν τῆς οὐσίας, ἡ τοῦ ἀσωμάτου προσηγορία παρίστησιν, ἐρεῖ πάντως τὰ αὐτὰ καὶ ἐπὶ τούτων ὁ Εὐνόμιος, ὅτι ἀσύμβατά ἐστι καὶ ἀλλότρια, καὶ ἀκοινωνήτως ἔχει πρὸς ἄλληλα τὰ τοῖς ὀνόμασιν
C ἐνθεωρούμενα τούτοις νοήματα. ἐν μὲν γὰρ τῷ πάντοτε ὡσαύτως ἔχειν τὸ θεῖον, μόνον ἄτρεπτον ἔσται καὶ οὐκ ἀσώματον· ἐν δὲ τῷ νοερῷ τε καὶ ἀειδεῖ τῆς οὐσίας, τὸ μὲν ἀσώματον ἔχει, τοῦ δὲ ἀτρέπτου κεχώρισται. ὥστε συμβαίνειν, ὅταν μὲν τὸ ἀναλλοίωτον ἐπὶ τῆς θείας θεωρῆται ζωῆς, μετὰ τοῦ ἀτρέπτου καὶ σῶμα αὐτὴν εἶναι κατασκευάζεσθαι. ὅταν δὲ τὸ νοερὸν ἐξετάζηται, ὁμοῦ τε ἀσώματον αὐτὴν εἶναι καὶ τρεπτὴν διορίζεσθαι. ταῦτα τοῦ Εὐνομίου τὰ σοφὰ κατὰ τῆς ἀληθείας εὑρήματα. τί γὰρ δεῖ πᾶσιν ἐπεξιόντα παρατείνειν ἐν ἀδολεσχίᾳ τὸν λόγον; ἔστιν γὰρ ὁμοίως ἐπὶ
D πάντων τὴν ἀλογίαν ταύτην κατασκευαζομένην θεάσασθαι. καὶ γὰρ καὶ τὸ ἀληθινὸν καὶ τὸ δίκαιον ὁμοίως ἀλλήλοις κατὰ τὴν προαποδοθεῖσαν πλοκὴν μαχεσθήσεται. ἄλλο γὰρ τῆς ἀληθείας, καὶ ἕτερον τοῦ δικαίου τὸ σημαινόμενον, ὥστε εἰπεῖν ἂν ἐκ τοῦ ἀκολούθου καὶ περὶ τούτων Εὐνόμιον, τῷ μὲν δικαίῳ τὸ ἀληθὲς μὴ παρεῖναι, τῇ δὲ ἀληθείᾳ λείπειν τὸ δίκαιον· καὶ συμβαίνειν, ὅταν τὸ τῆς ἀδικίας ἀλλότριον ἐπὶ τοῦ Θεοῦ τις λογίζηται, δίκαιον καὶ ψευδὲς εἶναι τὸ θεῖον κατὰ ταὐτὸν ἀποφαίνεσθαι, ἐὰν δὲ τὸ πρὸς τὸ ψεῦδος αὐτοῦ

ἀλλοτρίωσιν λογιζώμεθα, εὐήθης ἅμα καὶ ἄ- A δικον κατασκευάζει τὸ θεῖον. οὕτως τὸ ἀόρατον, οὕτως τὸ ἀσχημάτιστον. ἐξέσται γὰρ διὰ τὴν κατὰ τὴν ὁμοιότροπον προεκτεθεῖσαν σοφίαν, μήτε τῷ ἀσχηματίστῳ τὸ ἀόρατον εἶναι λέγειν, μήτε ἐν τῷ ἀοράτῳ λέγειν τὸ ἀσχημάτιστον. ἀλλὰ τῷ μὲν ἀοράτῳ συμπλέξει τὸ σχῆμα, ὁρατὸν δὲ διὰ τῆς ἀναστροφῆς κατασκευάσει τὸ ἀσχημάτιστον. ταῦτα καὶ ἐπὶ τούτων εἰπὼν, ἃ περὶ τοῦ ἀφθάρτου τε καὶ ἀνάρχου ἐτεχνολόγησεν. ὅτι ὅταν τὸ ἀσύνθετον τῆς θείας ζωῆς λογιζώμεθα, ἀσχημάτιστον μὲν αὐτὴν ὁμολογοῦμεν, οὐ μὴν B καὶ ἀόρατον· καὶ ὅταν περὶ τοῦ μὴ δύνασθαι σωματικοῖς ὀφθαλμοῖς τὸν Θεὸν ἰδεῖν ἐννοήσωμεν, τὸ ἀόρατον αὐτῷ συγχωρήσαντες, τὸ ἔξω σχήματος εἶναι οὐ συνθησόμεθα. εἰ δὲ ταῦτα καταγέλαστα πᾶσιν ὁμοίως δοκεῖ καὶ ἀνόητα, πολὺ μᾶλλον ἐκείνων τὴν ἀτοπίαν ὁ νοῦν ἔχων καταψηφίσεται. ὅθεν ὁρμηθεὶς ὁ λόγος ἐπὶ ταῦτα δι' ἀκολούθου τὴν ἀτοπίαν προήγαγεν. ἀλλ' ἐπιλαμβάνεται τῆς τοῦ διδασκάλου φωνῆς, ὡς οὐ δεόντως ἐν τῷ ἀτελευτήτῳ θεωρούσης τὸ ἄφθαρτον, καὶ ἐν τῷ ἀφθάρτῳ νοούσης τὸ ἀτε- C λεύτητον. οὐκοῦν τι παραπλήσιον τῇ ἀγχινοίᾳ τοῦ Εὐνομίου καὶ ἡμεῖς γελοιάσωμεν. ἐξετάσωμεν γὰρ τὴν τοιαύτην αὐτοῦ γνώμην περὶ τῶν ὀνομάτων τούτων, ἥ τίς ἐστιν. ἄλλο τι, φησὶ, τῷ σημαινομένῳ τὸ ἀτελεύτητον εἶναι παρὰ τὸ ἄφθαρτον, ἢ ἓν τὰ δύο συνθήσεται. ἀλλ' εἰ μὲν ἓν ἀμφότερα λέγοι, τῷ ἡμετέρῳ συναγορεύσει λόγῳ. εἰ δὲ ἄλλο, φησὶ, τοῦ ἀφθάρτου εἶναι, καὶ ἕτερον τοῦ ἀτελευτήτου τὸ σημαινόμενον· ἀνάγκη πᾶσα ἐπὶ τῶν ἀλλοτρίως ἐχόντων πρὸς ἄλληλα, μὴ τὸ D αὐτὸ εἶναι κατὰ τὴν δύναμιν τῷ ἑτέρῳ τὸ ἕτερον. οὐκοῦν εἰ ἄλλη τοῦ ἀφθάρτου ἡ ἔννοια, καὶ τοῦ ἀτελευτήτου πάλιν ἑτέρα, καὶ ἔστι τούτων ἑκάτερον ὅπερ οὐκ ἔστι τὸ ἕτερον· οὔτε τὸ ἄφθαρτον ἀτελεύτητον εἶναι δώσει, οὔτε ἀτελεύτητον ἄφθαρτον· ἀλλὰ φθαρτὸν μὲν ἔσται τὸ ἀτελεύτητον, τελευτητὸν δὲ τὸ ἄφθαρτον. ἀλλὰ παραιτοῦμαι τοὺς ἐντυγχάνοντας, μὴ καθ' ἡμῶν τρέψαι τὴν ἐπὶ τῷ γελοίῳ κατάγνωσιν. ταῦτα γὰρ ἡμεῖς πρὸς τὸν γελοιαστὴν ὑπ' ἀνάγκης ἐπαίξαμεν, ἵνα διὰ τῆς ὁμοίας παιδιᾶς, τὴν μειρακιώδη τοῦ σοφίσματος αὐτοῦ πλοκὴν διαλύσωμεν. ἀλλ' εἰ μὴ βαρύ τι καὶ ὀχληρὸν τοῖς ἐντυγχάνουσι φαίνοιτο,

A eius ratiocinemur, verũ ſimul & iniuſtũ Deum adſtruamus. Sic inuiſibile, ſic quod figuræ eſt expers; licebit enim per hæc ſecũdùm ſimilem his quæ prius expoſita ſunt, ſapientiam dicere, neque ei quod figura caret, inuiſibile ineſſe: neque viſibili quod figura caret: ſed quidem in inuiſibili figuram complectetur; viſibile autem per eiuſmodi inuerſionem, quod figuræ eſt expers, conſtruet. Hæc etiam de his cum dixerit, quæ de incorruptibili & principio carente excogitauit. Quod, quãdo in diuinæ vitæ quod eſt inconcretum ratione contem- B plamur, ipſam figuræ expertem confitemur, nõ item inaſpectabilem. Et cùm cogitabimus neminẽ Deum corporeis oculis videre poſſe, inuiſibile & concedentes, extra figuram eſſe non conſentiemus. Quòd ſi hæc omnibus ridicula videntur ſimiliter & à mente & ratione deuia & aliena, multò magis illorum abſurditatem, qui mente valet, ſuo ſuffragio condemnabit, vnde incitata oratio ad hæc per conſecutionem abſurditatem adduxit. Sed doctoris vocẽ mordicus carpit, quod non conuenienter in C eo, quod fine caret, ſpectet, quod eſt incorruptibile; & in incorruptibili non rectè intelligat quod infinitũ eſt. Ergò quod non abſimile eſt ab Eunomij ſolertia, nos etiã riſerimus. Examinemus enim ipſius ſentẽtiam de his nominibus, quæ talis eſt. Aliud quid, inquit, per ſignificatum infinitum eſſe, aliud incorruptibile, vel vnum ambo hæc eſſe fatebitur. Sed ſi vnum ambo dicat, noſtro ſermoni aſtipulabitur: ſi autem alterum dicit eſſe incorruptibilis, & alterum in- D finiti ſignificatum; neceſſarium eſt omnino in his quæ diuerſa ſunt inter ſe, non idem eſſe ſecundùm potentiam cum altero alterum. Ergo ſi alia incorruptibilis notio, & fine carentis rurſus alia, & horum eſt vtrumque quod non eſt alterum; neque incorruptibile dabit eſſe quod fine caret, neque quod eſt finis expers incorruptibile: ſed corruptibile quidem erit quod finem non habet, & finem habens quod eſt incorruptibile. Sed lectores deprecor ne nos ob iſthæc ridenda condemnet: hæc enim nos aduerſus irriſorem præ neceſſitate luſimus, vt per ſimilem luſum, iuuenilem eius ſophiſmatis nexum diſſoluamus. Sed ſi non legentibus graue & moleſtum videatur,

haud fuerit intempeſtiuum, iterum ad verbum exponere Eunomij dicta. Si (inquit) quà vitæ finis eſt expers, ſolum eſt incorruptibilis, & quà principio caret, ſolum eſt ingenitus, quatenus nõ eſt incorruptibilis, genitus erit: & poſtquã idem reſumpſit, ruſus inquit. Erit igitur, quatenus eſt principij exors, ingenitus ſimul & corruptibilis: per id verò quod ſine caret incorruptibilis ſimul & genitus. Nam quæ ineptè & importunè ſuperuacua interſerit, vtpote quę nihilo plus ad ſermonis præſtructionẽ conferunt, prætereo. Sed noſtrorum ſermonum ſententiam, ex quibus hic ipſe appoſuit, cuius puto facile eſſe intelligere, quod nullam habet communionem cum ea accuſatione quæ contra nos ab ipſo præſtructa eſt: incorruptibilẽ enim, & ingenitũ Deum vniuerſorũ dicimus, (ait magiſter) ſecundum diuerſos mentis conceptus his nominibus vtentes. Nam in eo, inquit, quòd omnẽ circumſcriptionem ſæculorũ exuperet, ſecundùm omnem diſtantiam temporalis extenſionis, ſiue quod eſt à principio, ſiue quod deinceps ſequitur, ratiocinemur, quod ſecũdum vtramque notionem in æternæ vitæ infinitúmque & incircumſcriptum eſt, hoc quidem incorruptibilitatis, illud verò ingeniti nomine ſignificamus. Iſte verò ait nos docere quòd illud quod principio caret, eſt eſſentia; & quod finem non habet ruſus eſt eſſentia, quaſi duo ſegmenta eſſentiarum ex contrario dicta à nobis conferantur. Atque ita quod abſurdum eſt conficit, ſua ipſius ponens, & cum ſuis cõgreſſus, & à ſeipſo compoſitas cogitationes ad abſurdum compellens, nihil noſtrorum attingit. quod enim ait Deum incorruptibilem eſſe, ſecundum id ſolum quo finem non habet, huius eſt, nõ noſtrum. Eodem pacto & incorruptibilem, principij exortem non eſſe, eiuſdem ſolertiæ commentum eſt, quę quod non ineſt ad eſſentiæ rationem redigit. Nos enim nihil eorum quæ nõ inſunt, eſſentiam eſſe definimus. Atqui Deo non ineſt neque ad interitum vitam deſinere, neque à generatione eſſe incipere. Quod quidem per hæc duo nomina incorruptibilitatis ſcilicet, & ingeniti exprimitur. hic autem ſuas nugas cum noſtris decretis diuulgans, ſeipſum diffamare per accuſationem cõtra nos inſtitutam non intelligit. Qui enim eſſentiam ἀγεννησίαν

A οὐκ ἄκαιρον ἂν εἴη πάλιν ἐπὶ λέξεως ἐκθέσθαι τοῦ Εὐνομίου τὰ ῥήματα. εἰ κατὰ τὸ ἀτελεύτητον φησὶ, τῆς ζωῆς μόνον ἐστὶν ἄφθαρτος, καὶ κατὰ τὸ ἄναρχον μόνον ἀγέννητος, καθὸ μὴ ἐστὶν ἄφθαρτος, φθαρτὸς ἔσται. καὶ καθὸ μὴ ἐστὶν ἀγέννητος, γεννητὸς ἔσται· καὶ ἐπαναλαβὼν τὸ αὐτὸ πάλιν φησίν. ἔσται ἄρα κατὰ μὲν τὸ ἄναρχον, ἀγέννητος ὁμοῦ καὶ φθαρτὸς, κατὰ δὲ τὸ ἀτελεύτητον, ἄφθαρτος ὁμοῦ καὶ γεννητός. τὰς γὰρ ἀκαίρους ἐν τῷ μέσῳ τῶν περιττῶν προσθήκας, ὡς οὐδὲν πλέον εἰς τὴν τοῦ λόγου κατασκευὴν συντελούσας

B παρίημι. ἀλλὰ τὴν μὲν διάνοιαν τῶν ἡμετέρων λόγων, ἀφ᾽ ὧν αὐτὸς ἐκεῖνα προέθετο, πάνυ ῥᾴδιον οἶμαι κατανοῆσαι, ὡς οὐδεμίαν ἔχουσαν κοινωνίαν, πρὸς τὴν κατασκευασθεῖσαν αὐτῷ καθ᾽ ἡμῶν κατηγορίαν. ἄφθαρτον γὰρ καὶ ἀγέννητον τὸν Θεὸν τῶν ὅλων λέγομεν, φησὶν ὁ διδάσκαλος, κατὰ διαφόρους ἐπιβολὰς τοῖς ὀνόμασι τούτοις χρώμενοι. τῷ γὰρ ὑπερεκπίπτειν αὐτὸν, φησὶ, τὴν τῶν αἰώνων περιγραφὴν κατὰ πᾶν διάστημα τῆς χρονικῆς παρατάσεως, εἴτε τὸ ἐξ ἀρχῆς, εἴτε τὸ ἐφεξῆς λογιζόμεθα, τὸ καθ᾽ ἑκατέραν ἔννοιαν

C τῆς ἀϊδίου ζωῆς ἀόριστόν τε καὶ ἀπερίγραπτον, τὸ μὲν τῷ τῆς ἀφθαρσίας ὀνόματι, τὸ δὲ τῷ τῆς ἀγεννησίας διασημαίνομεν. οὗτος δέ φησι λέγειν ἡμᾶς ὅτι τὸ ἄναρχον οὐσία ἐστὶ, καὶ ἀτελεύτητον οὐσία πάλιν ἐστίν· ὡς δύο τμήματα οὐσιῶν κατὰ τὸ ἐναντίον λεγόμενα παρ᾽ ἡμῶν συμβάλλεσθαι. καὶ οὕτω κατασκευάζει τὸ ἄτοπον, τὰ ἑαυτοῦ τιθεὶς, καὶ τοῖς ἑαυτοῦ συμπλεκόμενος, καὶ τὰς παρ᾽ ἑαυτοῦ συντεθείσας διανοίας ἐξωθῶν εἰς τὸ ἄτοπον, καὶ οὐδὲν δὲ τῶν ἡμετέρων προσάπτεται. τὸ γὰρ κατὰ τὸ ἀτελεύτητον τῆς ζωῆς μό-

D νον τὸν Θεὸν ἄφθαρτον εἶναι, τούτου ἐστὶ, καὶ οὐχ ἡμέτερον. ὡσαύτως καὶ τὸ ἄφθαρτον, ἄναρχον μὴ εἶναι, τῆς αὐτῆς ἀγχινοίας τὸ εὕρημα, τῆς τὸ μὴ προσὸν εἰς τὸν τῆς οὐσίας λόγον καταστησάσης. ἡμεῖς γὰρ οὐδὲν τῶν μὴ προσόντων οὐσίαν εἶναι διοριζόμεθα. οὐ πρόσεστι δὲ τῷ Θεῷ, οὔτε τὸ εἰς φθορὰν τὴν ζωὴν καταλῆξαι, οὔτε τὸ ἀπὸ γεννήσεως τὸ εἶναι ἄρξασθαι. ὅπερ διὰ τῶν δύο τούτων ὀνομάτων τῆς τε ἀφθαρσίας καὶ τῆς ἀγεννησίας παρίσταται. ὁ δὲ τὸν ἴδιον λῆρον τοῖς ἡμετέροις δόγμασιν ἐπιθρυλλήσας, ἑαυτὸν στηλιτεύων διὰ τῆς κατηγορίας τῆς καθ᾽ ἡμῶν οὐ συνίησιν. ὁ γὰρ οὐσίαν τὴν ἀγεννησίαν

εἶναι διοριζόμενος, εἰς τοσαύτην κατὰ τὸ ἀκόλουθον τὴν ἀτοπίαν ἐκβήσεται, ὅσην τοῖς ἡμετέροις δόγμασιν ἐπιφέρει. ἄλλο γὰρ τῆς ἀρχῆς, καὶ ἄλλο τοῦ τέλους κατὰ τὴν διαστηματικὴν παράστασιν νοουμένων, εἰ μὲν τὴν ἑνὸς τούτων στέρησιν οὐσίαν τις εἶναι δοίη, ἐξ ἡμισείας αὐτοῦ τὴν ζωὴν ὑποστήσει μόνῳ τῷ ἀνάρχῳ ὑφεστῶσαν, πρὸς δὲ τὸ ἀτελεύτητον, οὐκέτι διὰ τῆς φύσεως ἐπεκτείνουσαν, εἴπερ φύσις ἡ ἀγεννησία νομίζοιτο. εἰ δὲ ἀμφότερα τις οὐσίαν εἶναι βιάζοιτο, ἀνάγκη πᾶσα κατὰ τὸν ἀποδοθέντα τοῦ Εὐνομίου λόγον ἑκάτερον τῶν ὀνομάτων κατὰ τὴν ἐγκειμένην ἔμφασιν καὶ ἐν τῷ τῆς οὐσίας λόγῳ τὸ εἶναι ἔχειν, τοσοῦτον ὑπάρχον μόνον, ὅσον ἡ σημασία τῆς προσηγορίας ἐνδείκνυται· καὶ οὕτως ἰσχυρὸς ὁ τοῦ Εὐνομίου λόγος γενήσεται, οὔτε τοῦ ἀνάρχου τὸ ἀτελεύτητον ἔχοντος, οὔτε τοῦ ἀτελευτήτου τὸ ἄναρχον. ἐπεὶ κατὰ τὸν λόγον αὐτοῦ καὶ οὐσία τῶν εἰρημένων ἐστὶν ἑκάτερον, καὶ ἀμίκτως τὰ δύο ταῖς ἐννοίαις ἔχει πρὸς ἄλληλα, καὶ οὔτε ἡ ἀρχὴ πρὸς τὸ τέλος τὸν αὐτὸν ἔχει λόγον, οὔτε τὰ ἀναιρετικὰ τούτων ὀνόματα πρὸς ἄλληλα ταῖς σημασίαις συμφέρεται. ὡς δ' ἂν καὶ αὐτὸς ἐπιγνοίη τὸν ἴδιον λῆρον, ἐκ τῶν παρ' ἐκείνου ῥηθέντων ἔσται ὁ ἔλεγχος. λέγει γὰρ τοῖς ἡμετέροις μαχόμενος, ὅτι ὁ Θεὸς καὶ κατὰ τὸ ἀτελεύτητον ἐστὶν ἀγέννητος, καὶ κατὰ τὸ ἀγέννητον ἀτελεύτητος, ὡς μιᾶς τῶν ὀνομάτων ἐν ἑκατέροις οὔσης ἐμφάσεως. εἰ τοίνυν καὶ κατὰ τὸ ἀτελεύτητον ἐστὶν ἀγέννητος, καὶ ταὐτόν ἐστι κατὰ τὸ σημαινόμενον τὸ ἀτελεύτητόν τε καὶ ἀγέννητον, ἀτελεύτητον δὲ καὶ τὸν υἱὸν εἶναι συντίθεται, ἀγέννητον ἐκ τῆς ἀκολουθίας ταύτης καὶ τὸν υἱὸν κατ' ἀνάγκην συνθήσεται, εἴπερ ταὐτόν ἐστι, καθὼς εἴρηκε, τῷ ἀνάρχῳ τὸ ἀτελεύτητον. ὡς γὰρ ἐν τῷ ἀγεννήτῳ βλέπει τὸ ἀτελεύτητον, οὕτως ὁμολογεῖ νενοηκέναι καὶ ἐν τῷ ἀτελευτήτῳ τὸ ἄναρχον. οὐ γὰρ ἂν ἐν τῷ ἴσῳ τὴν τῶν ὀνομάτων ἀναστροφὴν ἐποιήσατο. ἀλλὰ φύσει καὶ οὐ παραθέσει τῶν αἰώνων, φησὶν, ὁ Θεός ἐστιν ἀγέννητος· τίς δὲ ὁ περὶ τούτου μαχόμενος, τὸ μὴ φύσει τὸν Θεὸν πᾶν εἶναι ὅτι καὶ λέγεται; καὶ γὰρ καὶ δίκαιον, καὶ δυνατὸν, καὶ πατέρα, καὶ ἄφθαρ-

A eſſe definit, in tantam per conſecutionem abſurditatem euadet, quantam noſtris decretis inurit. Aliud enim principij, & aliud finis nomen ſecundum rerum intellectarum diſtinctricem ſignificationem: ſiquidem vnius horum priuationem, ſi quis eſſentiam eſſe daret, ex dimidia parte ſuiipſius vitã ſoli principio carenti ſubſiſtentem ſupponeret, ad id verò quod finem non habet, non amplius per naturam ſe extendentem, ſiquidem natura, ingeniti ratio putaretur. Quod ſi vtraque eſſentias eſſe quis cogeret, omnino neceſſarium eſſet, ſe-
B cundum traditam ab Eunomio definitionem, vtrumque nomen ſecundum impoſitam ſignificationem, & in eſſentiæ ratione eſſe habere, tantum illud exiſtens, quantum ſignificantia appellationis demonſtrat: & ſic valida fiet Eunomij ratio, quia neque quod principij expers eſt, habet id quod fine caret, neque quod finem non habet, contineret id quod principij eſt expers. Quoniam ſecundum eius rationem eorum quæ dicta ſunt, vtrumque eſt eſſentia, & duo hęc inter ſe mutuis notionibus non per-
C miſceantur, neque principium cum fine eandem rationem habet, neque quæ hæc vim auferendi habent nomina, inter ſe ſignificantiis componuntur. Vt autem ſuas ipſe nugas agnoſcat, ex illius dictis erat refutatio: dicit enim noſtris pugnans, quod Deus & ſecundum id quod fine caret, eſt ingenitus: & ſecundum quod ingenitum eſt, eſt finis expers. Ac ſi vtriuſque nominis eſſet vna ſignificatio. Si igitur & ſecundum id quod finem non habet eſt, ingenitus, & idem ſecundum ſignificatum τὸ ἀτελεύτητον quod finem non habet, & ἀγέννητον quod
D eſt ingenitum, filium autem etiam ἀτελεύτητον finem non habere aſſentitur, ex hac conſequendi neceſſitate etiam filium ingenitum eſſe neceſſariò confitebitur, ſiquidem idem eſt, ſicut dixit, finem non habere, cum eo quod eſt principio carere. Vt enim in ingenito videt quod finem non habet, ſic confitetur in eo quòd finem habet intellexiſſe, id quod principij eſt expers, non enim in æquali nominũ conuerſionem feciſſet. Sed natura, inquit, & non ſæculorum appoſitione Deus eſt ingenitus: quis de eo contendat, Deum non natura id omne eſſe quod etiam dicitur? Etenim & iuſtum, & potentem, & patrem, & in-

corruptibilem: neque ſæculorum appoſitione Deum eſſe dicimus, neque cum altero eorum quæ ſunt relatione; ſed in ipſo ſubiecto, quicquid tandem ſecundùm naturam eſt, omnem piam opinionem contemplamur. Vt ſi ex ſuppoſitione neque ſæculum, neque aliud quicquam eorum, quæ ſecundùm creationem intelliguntur, eſſet conditum, nihilominus eſſet Deus, quod nũc eſſe creditũ eſt, nihil, vt ſit quod eſt, ſæculis indigens. Sed ait neque aduentitiam, neque compoſitam, neque differentem habere vitam. Ipſe enim eſt æterna vita, ſecundùm ipſam vitam immortalis, ſecundum immortalitatem incorruptibilis. Hæc etiam de vnigenito didicimus. Nec eſt qui cõtradicat, niſi Ioãnis vocibus ex propatulo repugnet. Neque enim filio vita aliundè aſcita eſt. Ego enim ſum, inquit, vita. neque eius vita compoſita, neque differens, ſed ſecundùm hanc vitam eſt immortalis. In quo enim alio quod immortale eſt, præterquam in vita, contemplaretur? & ſecundùm ipſam immortalitatem incorruptibilis & morte potentior, atque prorſus interitus omnis eſt expers. Hactenus ſermo noſter dictis aſſentitur. Aſcriptũ autem in ſequentibus griphum interpretentur, qui in Prunici ſapientia ſunt exercitati: ex illo enim apparatu mihi videtur quæ dicta ſunt protuliſſe. Quid enim ait? Cùm ſit principij expers ſine principio, ingenitus eſt ingenitè, interminatus interminatè, quod neque ſecundùm alterum, neque propter alterum, neque ad alterum dicitur. Qui autem purgatam habet, & intelligentia eſt ſolers ac perſpicax, antequam quicquam dixerim, nouit præter verborum ſtrepitum, quæ mõſtroſo ipſorum complexu crepuit, nullum ſciẽtiam gignentis intelligentiæ veſtigium in his dictis inueniri. Quod ſi aliqua notionis vmbra in hoc verborum ſtrepitu inuenta fuerit, vel quod inuentum fuerit, omnino impium erit, vel ridiculum. Quid enim intelligens hoc dicit, dic mihi? Quod principij expers ſine fine eſt, & fine carens abſque principio. An idem putas eſſe principium cum fine? Et de vno ſenſu duas voces poſitas eſſe, vt Petri & Simonis appellationes vnum quoddam ſubiectum declarant, huiuſque gratia quemadmodum principium

Ioan. 11.

A τον, οὔτε τῇ πρὸς τοὺς αἰῶνας παραθέσει λεγόμενον τὸν Θεὸν εἶναι, οὔτε τῇ πρὸς ἕτερόν τι τῶν ὄντων διαφορᾷ, ἀλλὰ περὶ αὐτὸ τὸ ὑποκείμενον, ὅτι ποτὲ κατὰ τὴν φύσιν ἐστὶ, πᾶσαν εὐσεβῆ θεωροῦμεν ὑπόληψιν. ὡς εἴγε καθ' ὑπόθεσιν μήτε αἰὼν, μήτε τι ἄλλο τῶν κατὰ τὴν κτίσιν νοουμένων δεδημιούργητο, οὐδὲν ἧττον ἦν ἂν ὁ Θεὸς, ὅπερ νῦν εἶναι πεπίστευται, οὐδὲν τῶν αἰώνων εἰς τὸ γενέσθαι ὅ ἐστι, προσδεόμενος. ἀλλ' οὐκ ἐπείσακτον φησὶν οὐδὲ σύνθετον, οὐδὲ διάφορον ἔχει ζωήν· αὐτὸς γάρ ἐστιν ἡ ἀΐδιος ζωὴ, κατ' αὐτὴν τὴν ζωὴν ἀθάνατος, B κατ' αὐτὴν τὴν ἀθανασίαν ἄφθαρτος. ταῦτα καὶ περὶ τοῦ μονογενοῦς μεμαθήκαμεν, καὶ ὁ ἀντιλέγων οὐκ ἔστι. εἰ μή τις ἄρα ταῖς Ἰωάννου φωναῖς ἐκ τοῦ προφανοῦς διαμάχοιτο. οὔτε γὰρ ἐπείσακτος τῷ υἱῷ ἡ ζωή. ἐγὼ γάρ εἰμι, φησιν, ἡ ζωή· οὔτε σύνθετος αὐτοῦ ἡ ζωὴ, οὔτε διάφορος, ἀλλὰ κατὰ ταύτην τὴν ζωήν ἐστιν ἀθάνατος. τίνι γὰρ ἄν τις ἄλλῳ τὸ ἀθάνατον πλὴν ἐν ζωῇ θεωρήσειε; καὶ κατ' αὐτὴν τὴν ἀθανασίαν, ἄφθαρτος. τὸ γὰρ θανάτου κρεῖττον, καὶ φθορᾶς πάντως ἐστὶν ἀνεπίδεκτον. μέχρι τούτου καὶ ὁ C ἡμέτερος ἕπεται λόγος. τὸν δὲ συγγεγραμμένον τοῖς εἰρημένοις γρῖφον, ἑρμηνευέτωσαν οἱ τῇ Προυνίκου σοφίᾳ ἐγγυμνασθέντες· ἐξ ἐκείνης γὰρ δοκεῖ μοι τῆς παρασκευῆς, τὰ εἰρημένα προενηνοχέναι. τί γάρ, φησιν, ἄναρχος ὢν ἀνάρχως, ἀγέννητός ἐστιν ἀγεννήτως, ἀτελεύτητός ἐστιν ἀτελευτήτως, οὔτε καθ' ἕτερον, οὔτε δι' ἕτερον, οὔτε πρὸς ἕτερον λεγόμενον. ὁ γὰρ κεκαθαρμένος τὴν ἀκοὴν, καὶ διεγερτικὸς τὴν διάνοιαν, οἶδε καὶ πρὸ τῶν ἐμῶν λόγων, ὅτι πλὴν τοῦ πατάγου τῶν ὀνομάτων, ἃ τῇ ἀλλοκότῳ αὐτῶν συμπλοκῇ κα- D τεκρότησεν, οὐδὲν ἴχνος ἐπιστημονικῆς διανοίας ἐν τοῖς εἰρημένοις εὑρίσκεται. εἰ δὲ ἄρα τις καὶ σκιὰ νοήματος, τῷ ψόφῳ τῶν ῥημάτων ἐνευρεθείη, ἢ ἀσεβὲς τὸ εὑρεθὲν ἔσται πάντως, ἢ καταγέλαστον. τί γὰρ νοῶν τοῦτο λέγεις; εἰπέ μοι. ὅτι ἄναρχός ἐστιν ἀτελευτήτως, καὶ ἀτελεύτητος ἀνάρχως. ἆρα ταὐτὸν οἴει τὴν ἀρχὴν εἶναι τῷ τέλει; καὶ καθ' ἑνὸς κεῖσθαι νοήματος τὰς δύο φωνάς, ὡς Πέτρου καὶ Σίμωνος αἱ προσηγορίαι ἕν τι τὸ ὑποκείμενον δι' ἑαυτῶν δηλοῦσι, καὶ τούτου χάριν ὥσπερ τὴν ἀρχὴν τῷ τέλει ταὐτὸν

ταὐτὸν εἶναι νομίζεις, οὕτως συνάψας πρὸς μίαν σημασίαν τὰς δύο φωνὰς τὰς ἑκατέρου τούτων ἀναιρετικάς, τοῦ τέλους λέγω καὶ τῆς ἀρχῆς, ἐκ τοῦ ἀντιστρόφου νοήσας τῷ ἀνάρχῳ ταὐτὸν εἶναι τὸ ἀτελεύτητον, μίαν τὰς δύο φωνὰς συγχύσας ἀλλήλαις ἐποίησας. καὶ τοῦτό σοι βούλεται τῶν ὀνομάτων ἡ μίξις, ἐν τῷ λέγειν ἀγέννητον εἶναι ἀτελευτήτως, καὶ ἀτελεύτητον ἀγεννήτως. καὶ πῶς οὐκ εἶδες τὸ ἀσεβὲς ἐν τοῖς λεγομένοις ἅμα καὶ καταγέλαστον; εἰ γὰρ ἐκ τοῦ ἴσου γίνεται διὰ τῆς καινῆς ταύτης μίξεως ἡ τῶν ὀνομάτων ἀναστροφή, ὡς τὸ ἀγέννητον ἀτελευτήτως εἶναι ἀγέννητον, καὶ τὸ ἀτελεύτητον ἀγεννήτως εἶναι ἀτελεύτητον, ἀνάγκη πᾶσα ἀτελεύτητον μὴ ἄλλως εἶναι, εἰ μὴ ἀγεννήτως εἴη. καὶ οὕτως εὑρίσκεταί σοι, ὦ φίλτατε, ὁ πολυθρύλλητος ἀγεννησία, ἡ μόνη κατά σε τοῦ πατρὸς τὴν οὐσίαν χαρακτηρίζουσα, κοινοποιουμένη πρὸς πᾶν τὸ ἀθάνατον, καὶ πάντα ποιοῦσα τῷ πατρὶ ὁμοούσια, διὰ τὸ πᾶσιν ὁμοίως ἐμφαίνεσθαι, οἷς διὰ τῆς ἀθανασίας προεῖσιν ἡ ζωὴ πρὸς τὸ ἄπειρον, ἀρχαγγέλοις, ἀγγέλοις, ἀνθρωπίναις ψυχαῖς· τάχα δὲ καὶ αὐτῇ τῇ ἀποστατικῇ δυνάμει, τῷ διαβόλῳ τε καὶ τοῖς δαίμοσιν. εἰ γὰρ τὸ ἀτελεύτητόν τε καὶ ἄφθαρτον ἀγεννήτως κατὰ τὸν σὸν λόγον πάντως ἐστί, παντὶ τῷ ἀτελευτήτῳ τε καὶ ἀφθάρτῳ συνθεωρεῖσθαι πάντως χρὴ τὸ ἀγέννητον. τούτοις περιπίπτουσιν, οἱ πρὶν μαθεῖν ἃ προσήκει μαθεῖν, δι' ὧν διδάσκειν ἐπιχειροῦσι τὴν ἑαυτῶν ἀμαθίαν δημοσιεύοντες. εἰ γὰρ εἶχέ τινα διακριτικὴν ἐπιστήμην, οὐκ ἂν ἠγνόησε τὴν ἰδιαζόντως ἐγκειμένην τῷ τε ἀνάρχῳ καὶ τῷ ἀτελευτήτῳ διάνοιαν. καὶ ὅτι τὸ μὲν ἀτελεύτητον, κοινὸν πάντων ἐστίν, ὅσα διαρκεῖν πεπίστευται τῇ ζωῇ πρὸς τὸ ἄπειρον· τὸ δὲ ἄναρχον, μόνου ἐστὶ τοῦ ἄνευ αἰτίας ὄντος. πῶς οὖν ἐστι τὸ πάντων κοινόν, ἰσοδύναμον ἐκείνῳ νομίσαι· ὃ μόνου τοῦ θεοῦ κατ' ἐξαίρετον εἶναι παρὰ πάντων πεπίστευται, ὥστε διὰ τούτου, ἢ κοινοποιῆσαι πρὸς πάντα τὰ τῆς ἀθανασίας μετέχοντα τὸ ἀγέννητον, ἢ μηδὲν ἀθάνατον συγχωρεῖν εἶναι, εἴπερ μόνου ἐστὶ τοῦ ἀγεννήτου τὸ ἀτελευτήτως εἶναι, καὶ τὸ ἔμπαλιν, εἰ τοῦ ἀτελευτήτου μόνου ἐστὶ τὸ ἀγεννήτως εἶναι. οὕτω γὰρ ἂν εἶναι νομισθείη τὰ ἀτελεύτητα πάντα ἀγέννητα. ἀλλ' ἐάσθω καὶ ταῦτα, καὶ ἡ συνήθης αὐτοῦ λοιδο-

A cum fine idem eſſe putas, ſic copulans ad vnam ſignificantiam duas voces horum vtriuſque tollentes, finis dico & principij, ex conuerſo intelligens idem eſſe cum principij experte, id quod fine caret, duas voces cõfuſas inter ſe vnam feciſti. Atque hæc tibi nominum vult commixtio, cum dicis ingenitum eſſe ſine fine, & fine carens ingenitè. Quomodo in his dictis non aduertiſti, quod impium eſt ſimul & quod ridiculum? Si enim ex æquo per hanc nouam mixtionem nominum fit inuerſio. Ita vt ingenitum ſit interminatè, ſiue ſine fine
B ingenitum, & interminatum ſiue fine carens ſit ingenitè interminatum ſiue fine carens, omnino neceſſe eſt omne interminatum non aliter eſſe niſi ingenitè fuerit. Et ſic tibi inuenitur, ô amiciſſime, peruulgata & multum trita ἀγεννησία, quæ ſola tuo iudicio patris eſſentiam notat & exprimit, communis facta cum omnibus quæ interitu carent, & omnia faciens patri conſubſtantialia, propterea quod omnibus ſimiliter appareat, quibus per immortalitatem vita in infinitum procedit, archangelis, an-
C gelis, humanis animis: fortaſſe etiam ipſi poteſtati quæ defecit, diabolo & dæmonibus. Si enim interminatum ſiue fine carens, & incorruptibile, ingenitè, vt tu loqueris, planè eſt; in omni interminato & incorruptibili omnino oportet ingenitum conſiderari. In hæc incidunt & reuoluuntur abſurda, qui priuſquam didicerint quæ diſcere decet, per quæ docere aggrediuntur ſuam inſcitiam publicantes. Si enim aliquam diiudicandi ſcientiam haberet, non ignoraret ſenſum peculiariter reconditum
D in eo quod principij eſt expers, & quod fine caret. Et quod quidem interminatum ſiue fine carens, cõmune eſt omniũ quæcumque credita ſunt poſſe vitam in infinitum protendere; principij vero expers ſolius eſt qui abſque cauſa eſt. Quomodo igitur quod omnium commune eſt, æquiualere illi licet exiſtimare, quod ſolius Dei nempe præcipua quadã ratione eſſe ab omnibus creditum eſt. Ita vt per hoc vel ingenitũ cõmune faciat omnibus immortalitatis participibus, vel nihil immortale eſſe concedat, ſiquidẽ ſolius eſt fine carentis ingenitè eſſe: & contra, ſi ſolius eſt fine carentis ingenitè eſſe: ſic enim exiſtimarẽtur interminata omnia eſſe ingenita. Sed hęc omittantur, & eius conuitiandi

A conſuetudo quam in ſua dicta infudit, cum his ſilentio inuoluatur. Ad lectionem conſequentem pergamus. fortaſſe autem mihi videtur præclarè habere etiam plurima quæ deinceps ſequũtur, inexcuſſa prætercurrere. In omnibus enim idem eſt, non cum iis quæ à nobis dicuntur, manum conſerens, ſed ſanè ſibi ipſi dãs velut ex noſtro ſermone ad opponendum ſe occaſiones, quibus ſubtiliter tractandis operam ponere quiſpiam eorum qui conſideratè nouerunt iudicare, vanum & ſuperfluum eſſe dixerit, cum vnuſquiſque eorum qui in B eius ſcripta inciderint, ex ipſis dictis calumniam poſſit arguere. Hic Dei dignitatem doctoris noſtri commentatione antiquiorem autumat. Neque nos contradicimus: ſiquidem Dei dignitas, quam quidem etiam hanc exiſtimare oportet, non ſolum ętate noſtra prior eſt, ſed etiam omni creatura, & ipſis ſæculis ſuperior eminet. Quid igitur ex his ſermoni accidit, ſi non Baſilio ſolum ſed etiam omnibus rebus ſuperior & antiquior Dei cenſetur dignitas? Næ (inquit) ſed hoc nomen dignitas eſt. Et C quis demonſtrauit idem eſſe cum dignitate appellationem, vt etiam nos dicto aſſentiamur? Noſtræ naturæ, ait, lex docet in rebus quæ nominantur, non in nominantium poteſtate nominum dignitatem eſſe poſitam. Quænam hæc naturæ lex? & quomodo non in omnibus ſancta & rata eſt habita? Si enim natura quid tale lege ſanxit: de omnibus ratum eſt. Si enim natura tale quid edixit, in omnia ipſam habere imperium oportet, quæ naturã participant, quemadmodum alia omnia quæ ſunt naturæ propria. Si igitur naturæ lex ex rebus D appellationes enaſci faceret, ſicut ex ſeminibus vel radicibus germina; nec hominum inſtituto & arbitrio qui res ipſas declarant, ſignificatiuas rerum nominationes permitteret, omnes homines eſſemus inter nos vnius & eiuſdem linguæ. Si enim nomina rebus impoſita non diſcreparent, neque nos in ſermonis ſpecie diſſonaremus. Sanctum (inquit) eſſe, & prouidentiæ legi cognatiſſimum, voces deſuper rebus imponi. quomodo igitur Prophetę hoc ipſum ſanctum ignorarunt, nec prouidentiæ legem didicerunt illi qui nun-

A εἰα ἣν τοῖς εἰρημένοις ἐπιπέπλησε, μετὰ τούτων σιγάσθω. πρὸς δὲ τὸ ἀκόλουθον ἔλθωμεν τῆς ἀναγνώσεως. τάχα δέ μοι δοκεῖ καλῶς ἔχειν, καὶ τὰ πλεῖστα τῶν ἐφεξῆς παραδραμεῖν ἀνεξέταστα. ἐν πᾶσι γὰρ ὁ αὐτός ἐστιν οὐ τοῖς παρ' ἡμῶν συμπλεκόμενος, ἀλλ' ἑαυτῷ διδοὺς ὡς ἐκ τοῦ ἡμετέρου λόγου δῆθεν τὰς πρὸς ἀντίθεσιν ἀφορμὰς, οἷς τὸ δι' ἀκριβείας ἐπεξιέναι, μάταιον ἄν τις εἴποι τῶν κρίνειν ἐπεσκεμμένων ἑκάστου τῶν μετὰ διανοίας ἐντυγχανόντων αὐτοῦ τῷ συγγράμματι, ἐξ αὐτῶν τῶν λεγομένων τὴν B συκοφαντίαν καταλαμβάνοντος. πρεσβυτέραν λέγει τοῦ Θεοῦ τὴν ἀξίαν, τῆς τοῦ ἡμετέρου καθηγητοῦ ἐπινοίας. οὐδὲ ἡμεῖς ἀντιλέγομεν. ἣν γὰρ τοῦ Θεοῦ ἀξία ἐστίν τινα χρὴ καὶ ταύτην νομίζειν εἶναι, οὐ τῆς καθ' ἡμᾶς μόνον γενεᾶς προτερεύει, ἀλλὰ καὶ πάσης τῆς κτίσεως καὶ αὐτῶν ὑπέρκειται τῶν αἰώνων. τί οὖν ἐκ τούτων τῷ λόγῳ προσγίνεται, εἰ μὴ Βασιλείου μόνον, ἀλλὰ καὶ πάντων τῶν ὄντων αἰωνιωτέρα ὁμολογεῖται τοῦ Θεοῦ ἡ ἀξία; ναὶ, φησὶν, ἀλλὰ τὸ ὄνομα ἡ ἀξία ἐστίν. καὶ τίς ἀπέδειξε, ταὐτὸν εἶναι τῇ ἀξίᾳ C τὴν προσηγορίαν, ἵνα καὶ ἡμεῖς τῷ λεγομένῳ συνθώμεθα; φύσεως ἡμῶν, φησὶ, διδάσκει θεσμὸς, ἐν τοῖς ὀνομαζομένοις πράγμασι, οὐκ ἐν τῇ τῶν ὀνομαζόντων ἐξουσίᾳ κεῖσθαι τὴν τῶν ὀνομάτων ἀξίαν. τίς ἐστιν ὁ τῆς φύσεως νόμος; καὶ πῶς οὐ κατὰ πάντων κεκυρωμένος; εἰ γὰρ φύσις τὸ τοιοῦτον ἐνομοθέτησε, κατὰ πάντων κεκυρωμένος. εἰ γὰρ φύσις τὸ τοιοῦτον ἐνομοθέτησε, κατὰ πάντων αὐτὴν ἔδει τὸ κράτος ἔχειν τῶν κοινωνούντων τῆς φύσεως, ὥσπερ καὶ τὰ ἄλλα πάντα ὅσα τῆς φύσεως ἴδια. εἰ οὖν νόμος τῆς φύ- D σεως ἐκ τῶν πραγμάτων ἡμῖν ἀναφύεσθαι τὰς προσηγορίας ἐποίει, ὥσπερ ἐκ τῶν σπερμάτων ἢ τῶν ῥιζῶν τὰ βλαστήματα· καὶ μὴ τῇ προαιρέσει τῶν δηλούντων τὰ πράγματα τὰς σημαντικὰς τῶν ὑποκειμένων ἐπωνυμίας ἐπέτρεπε, πάντες ἂν ἦμεν οἱ ἄνθρωποι, πρὸς ἀλλήλους ὁμόγλωσσοι. μὴ γὰρ παρηλλαγμένων τῶν ἐπικειμένων τοῖς πράγμασιν ὀνομάτων, οὐκ ἂν πρὸς ἀλλήλους κατὰ τὸ εἶδος διεφωνοῦμεν τοῦ λόγου. ὅσιον, φησὶν, εἶναι, καὶ τῷ τῆς προνοίας νόμῳ προσφυέστατον, ἄνωθεν ἐπικεῖσθαι τοῖς πράγμασι τὰς φωνάς. πῶς οὖν ἠγνόησαν οἱ προφῆται τὸ ὅσιον, καὶ τὸν τῆς προνοίας νόμον οὐκ ἐπαιδεύθησαν, οἱ μηδα-

μιῶς κατὰ τὸν σὸν λόγον, τὴν ἀγεννησίαν θεοποιήσαντες. πῶς δὲ καὶ αὐτὸς ὁ Θεὸς ἀγνοεῖ τὸ τοιοῦτον εἶδος τῆς ὁσιότητος, ὅς γε οὐκ ἄνωθεν ἐπιτίθησι τοῖς παρ' αὐτοῦ πλασθεῖσι ζώοις τὰς προσηγορίας· ἀλλὰ τῷ Ἀδὰμ τὴν ἐξουσίαν τῆς ὀνοματοποιΐας χαρίζεται. εἰ γὰρ προσφυὲς τῷ τῆς προνοίας νόμῳ, καθώς φησιν ὁ Εὐνόμιος, καὶ ὅσιον ἐστὶ τὸ ἄνωθεν ἐπικεῖσθαι τοῖς πράγμασι τὰς φωνὰς, ἀνόσιον πάντως καὶ ἀνάρμοστον παρὰ τῶν κάτω τοῖς οὖσιν ἐφαρμοσθῆναι τὰς κλήσεις. ἀλλ' ὁ πάντων κηδεμὼν φησὶ, δημιουργίας νόμῳ ταῖς ἡμετέραις ἐγκαταμῖξαι ψυχαῖς ἐ-
B δικαίωσε. καὶ εἰ ταῦτα ταῖς τῶν ἀνθρώπων ψυχαῖς κατέσπαρη, πῶς ἀπὸ Ἀδὰμ μέχρι τῆς σῆς παραβάσεως ὁ τῆς ματαιότητος ταύτης καρπὸς οὐκ ἐβλάστησε ταῖς ψυχαῖς, ὡς φῆς, τῶν ἀνθρώπων ἐγκείμενος, ὥστε ὄνομα τῆς τοῦ πατρὸς οὐσίας τὴν ἀγεννησίαν κληθῆναι· εἶπε γὰρ ἂν τοῦτο καὶ ὁ Ἀδὰμ, καὶ οἱ καθεξῆς ἀπ' ἐκείνου πάντες, εἴπερ παρὰ τοῦ Θεοῦ τῇ φύσει τὸ τοιοῦτον κατέσπαρτο. ὥσπερ γὰρ τὰ νῦν ἐκ τῆς γῆς φυόμενα ἐκ τῆς σπερματικῆς διαδοχῆς ἀπὸ τῆς πρώτης κτίσεως εἰς ἀεὶ διαμένει, καὶ οὐδὲν ἐν τῷ παρόντι σπέρμα καινοτο-
C μεῖται παρὰ τῆς φύσεως, οὕτως καὶ ὁ λόγος οὗτος εἴπερ ἦν, καθὼς σὺ φῄς, θεόθεν κατεσπαρμένος τῇ φύσει, τῇ πρώτῃ ἂν τῶν πρωτοπλάστων φωνῇ συνεβλάστησε, καὶ τῇ διαδοχῇ τῶν ἐπιγινομένων συνδιεξήρχετο. ἀλλ' ἐπεὶ οὖν παρὰ τὴν πρώτην οὐκ ἦν, οὐδεὶς γὰρ τῶν πρώτων μέχρι τῶν νῦν ἀνθρώπων πρὸς οὓς τὸ τοιοῦτον ἐφθέγξατο, δῆλον ὅτι νόθον τι καὶ παρευρημένον ἐκ τῆς ζιζανιώδους ἀνέφυ σπορᾶς, οὐκ ἐκ τῶν καλῶν ἐκείνων σπερμάτων, ἃ τῷ ἀγρῷ τῆς φύσεως εὐαγγελικῶς εἰπεῖν ὁ Θεὸς κατεβάλετο. ὅσα γὰρ ἐν τῇ κοινῇ φύσει
D πάντως ἐστὶν, οὐ νῦν τοῦ εἶναι τὴν ἀρχὴν ἔχει, ἀλλ' ἐκ τῆς πρώτης συστάσεως συναναφαίνεται τῇ φύσει· ὡς ἥ τε τῶν αἰσθητηρίων ἐνέργεια, καὶ τὸ πρός τι τὸν ἄνθρωπον ἐπιθυμητικῶς, ἢ ἀλλοτρίως ἔχειν, καὶ εἴ τι ἄλλο τοιοῦτον ὁμολογεῖται, κοινὸν τῆς φύσεως ὧν οὐδὲν ἐν τοῖς ἐπιγινομένοις ὁ βίος ἐκαινοτόμησεν, ἀλλ' ἐν τοῖς αὐτοῖς ἰδιώμασιν ἀπὸ τῶν πρώτων μέχρι τῶν ἐσχάτων συντηρεῖται διὰ παντὸς τὸ ἀνθρώπινον· οὐδὲν τῆς φύσεως οὔτε τῶν ἐξ ἀρχῆς προσόντων ἀποβαλλούσης, οὔτε τῶν μὴ προσόντων προσλαμβανούσης. ὥσπερ γὰρ τὸ μὲν ὁρᾶν κοινὸν ὁμολογεῖται τῆς φύσεως, τὸ δὲ τεχνι-

A quam ſecundum tuum ſermonem τὴν ἀγεννησίαν deificarunt. Quomodo & ipſe Deus talem ſanctitatis ſpeciem ignorat, qui non deſuper animalibus à ſe creatis appellationes imponit, ſed Adamo fingendi nomina poteſtatem gratificatur? Si enim prouidentiæ legi cognatum, ſicut loquitur Eunomius, & ſanctum eſt deſuper rebus voces impoſitas eſſe: profanum prorſus & impium atque incongruum ab his qui ſunt infra vocabula rebus accommodari. Sed (inquit) omnium curator, opificij lege noſtris animis eas inſerere æquum cenſuit. Etſi
B hæc animis hominum ſunt inſperſa, quomodo ab Adamo vſque ad tuam tranſgreſſionem huius vanitatis fructus non prodiit, animis hominum vt tu loqueris inſitus, vt nomen eſſentiæ vocaretur ἀγεννησία: Illud quippe dixiſſet etiam Adamus, & qui deinceps ab illo exorti ſunt omnes, ſiquidem à Deo tale naturæ inſitum erat. Quemadmodum enim quæ ex terra funduntur, ex ſeminali ſucceſſione à prima creatione ſemper permanent, nullúmque ſemen à natura in præſentia innouatur, ſic & hic
C ſermo ſiquidem eſſet, vt tu ais, à Deo inſitus, cum prima parentum primigenarium voce pullulaſſet, & cum poſterorum ſucceſſione prodiiſſet. Sed quoniam hoc ab initio non erat, nullus enim primorum fuit vſque ad homines huius ætatis, ad quos tale locutus eſt; perſpicuum planè eſt quòd adulterum quid & perperam inuentum ex hoc loliorum ſatu enatum eſt: non ex pulchris illis ſeminibus quæ naturæ agro, vt cum euangelio loquar, Deus mandauit: quæ enim planè ſunt in communi natura, non nunc vt ſint, principium ha-
D bent, ſed ex prima conſtitutione cum natura apparuerunt: ſicut ſentiendi inſtrumentorum functio, & cum ad aliquid homo cupiditate incitatur, vel alienatur, & ſi quid aliud tale conceditur commune naturæ, quorum nihil in poſteris vita innouauit, ſed in ipſis proprietatibus à primis vſque ad vltimos conſeruatur ſemper quod humanum eſt: nihil natura neque eorum quæ à principio inſunt abijciente, neque eorum quæ non inſunt aſſumente. Sicut videre, naturæ quidem munus eſſe nemo non confitetur: ſed artificioſè vi-

dere ex induſtria, & artificio iis qui ſcientiis & diſciplinis operam impendio dederunt, aduenit. Non enim eſt omnium dioptræ ſcientifica cognitio, vel Geometricam linearum demonſtratiua contemplatio, vel ſi quid tale aliud à quibus non videre, ſed ad aliquid vti videndi actu, ab arte inuentum eſt: ſic ratione vtendi munus commune quidem eſſe humanæ naturę dixerit & proprium, deſuper cum natura & ſubſtantia conſitum. Sed rebus quæ ſunt, voces inuenire, & appellationes rerum ſignificatiuas, hominum eſſe qui ratiocinandi facultatem à Deo in ſeipſis habent, qui ſemper vt ipſis placet ad eorum quę declarantur explanationem dictiones aliquas rerum ipſarum indices & notas excogitauit. Sed ſi hæc robur habeant, duorum, inquit, alterum adſtrui, vel his qui comminiſcuntur commẽtationem antiquiorem, vel Deo ſecundum naturam conuenientes appellationes & omnibus præexiſtentes hominum generatione poſteriores. Ergo talibus repugnandum eſt & obſtandum, & ad tam moleſtam amentiam per rationem conſerendum. Ecquis ita ſimplex vt per talia lædi putet & exiſtimet, ſi verba ratiocinatricis eſſe facultatis credantur. Ideo etiam cõfiteatur verborum voces loquentibus eſſe antiquiores: vel in Deum ſe peccare exiſtimet, ſi homines, poſtquam geniti ſunt, pro captu ſuo Deum nominãt. Quod enim ſupereminẽs natura nõ indigeat verbis, quę voce & lingua exprimuntur, iam dictum eſt. Atque ſuperfluum fuerit per hæc moleſtiam & faſtidium orationi inſerere. Nam quod natura nullius rei indigum eſt, & perfectum nec redundans, nihil non habet eorum quæ ſunt neceſſaria, neque quicquam habet eorum quæ non ſunt neceſſaria. Quoniam igitur non ei opus eſt nominatiua appellatione, ex præcedentibus ſermonibus demonſtratum eſt, atque ex communi ſapientium conſenſu & confeſſione comprobatur, nullus contradixerit, extremę impietatis eſſe Deo attribuere, ea quæ non conueniunt. Sed in his moram facere & tempus terere non oportere arbitror: neque deinceps quæ ſunt dicta ſubtiliter redarguere: abundè enim attentioribus ſermo ab aduerſario elaboratus decretorum impietatis patronus eſſe manifeſtabitur. Aſſerit enim ipſam

A καὶ ὁρᾶν ἐξ ἐπιτηδεύσεως τοῖς ἐσπουδακόσι περὶ τὰς ἐπιστήμας προσγίνεται. οὐ γὰρ πάντων ἐστὶν ἡ διὰ τῆς διόπτρας ἐπιστημονικὴ κατανόησις, ἢ τῶν γεωμετρικῶν γραμμῶν ἡ ἀποδεικτικὴ θεωρία, ἢ εἴ τι τοιοῦτον ἕτερον, ἀφ' ὧν οὐ τὸ βλέπειν, ἀλλὰ τὸ πρός τι κεχρῆσθαι τῷ βλέπειν διὰ τῆς τέχνης ἐφεύρηται· οὕτω καὶ τὸ λογικὸν μὲν εἶναι, κοινὸν ἄν τις εἴποι τῆς ἀνθρωπίνης οὐσίας καὶ ἴδιον ἄνωθεν συγκατεσκευασμένον τῇ φύσει. τὸ δὲ τοῖς οὖσι σημαντικὰς φωνὰς ἐφευρίσκειν προσηγορίας, τῶν ἀνθρώπων εἶναι τῶν τὴν λογικὴν δύναμιν
B θεόθεν ἐν ἑαυτοῖς κεκτημένων, τῶν ἀεὶ κατὰ τὸ ἀρέσκον αὐτοῖς πρὸς τὴν τῶν δηλουμένων σαφήνειαν λέξεις τινὰς τῶν πραγμάτων ἐμφαντικὰς ἐφευρισκόντων. ἀλλ' ἐὰν ταῦτα κρατῇ, δυοῖν φησὶ κατασκευάζεσθαι θάτερον, ἢ τῶν ἐπινοούντων τὴν ἐπίνοιαν πρεσβυτέραν, ἢ τὰς τῷ Θεῷ κατὰ φύσιν προσηκούσας προσηγορίας καὶ πάντων προϋπαρχούσας, τῆς τῶν ἀνθρώπων γενέσεως ὑστέρας. ὁ ἆρά γε πρὸς τὰ τοιαῦτα διαμάχεσθαι χρή, καὶ πρὸς τὴν οὕτως ἔκδηλον ἄνοιαν, διὰ τοῦ λόγου συμπλέκεσθαι. καὶ τίς οὕτως
C εὐτελὴς ὡς διὰ τῶν τοιούτων βλαβῆναι καὶ νομίσαι, εἰ τῆς λογικῆς δυνάμεως εἶναι πιστευθείη τὰ ῥήματα, καὶ πρεσβυτέρας τῶν λαλούντων ὁμολογεῖν εἶναι τὰς τῶν ῥημάτων φωνάς, ἢ πλημμελεῖν εἰς τὸ θεῖον οἴεσθαι. τῶν ἀνθρώπων, καθὼς χωροῦσι μετὰ τὸ γενέσθαι ἄνθρωποι, τὸ θεῖον ὀνομαζόντων. τὸ γὰρ μὴ δεῖσθαι τὴν ὑπερέχουσαν φύσιν ῥημάτων διὰ φωνῆς καὶ γλώττης ἐκφωνουμένων, ἤδη τε εἴρηται, καὶ περιττὸν ἂν εἴη διὰ τῶν αὐτῶν ὄχλον ἐντιθέναι τῷ λόγῳ. τὸ γὰρ ἀπροσδεὲς τῇ φύσει καὶ τέλειον καὶ ἀπερίττον, οὔτε τι τῶν
D δεόντων οὐκ ἔχει, οὔτε τῶν μὴ δεόντων τι ἔχει. ἐπεὶ οὖν τὸ μὴ δεῖν αὐτῷ τῆς ὀνομαστικῆς κλήσεως τῶν φθασάντων ἀποδέδεικται λόγων, καὶ ἐκ τῆς κοινῆς τῶν νοῦν ἐχόντων συγκαταθέσεως ὁμολογεῖται, οὐδεὶς δ' ἂν ἀντείποι τῆς ἐσχάτης ἀσεβείας εἶναι τὸ προσμαρτυρεῖν τῷ Θεῷ τὰ μὴ δέοντα. ἀλλ' οὐδὲν οἶμαι τούτοις χρῆναι καὶ τοῖς τοιούτοις ἐνδιατρίβειν· οὐδὲ τὰ καθεξῆς εἰρημένα δι' ἀκριβείας ἐλέγχειν. ἱκανῶς γὰρ τοῖς ἐπιστατικωτέροις αὐτὸς ὁ ἀντιδικῶν ποιηθεὶς λόγος, συνήγορος τῶν τῆς ἀσεβείας δογμάτων ἀναφανήσεται. φησὶ γὰρ τὴν

οὐσίαν

οὐσίαν αὐτὴν ἀφθαρσίαν εἶναι καὶ ἀθανασίαν, ὡσαύτως. ἐγὼ δέ, εἴ τε προσεῖσι ταῦτα τῇ θείᾳ φύσει, εἴ τε αὐτὰ ταῦτα κατὰ τὸ σημαινόμενον ἡ οὐσία ἐστίν, οὐδὲν οἶμαι χρῆναι πρὸς αὐτὸν διαμάχεσθαι· ὅτι γὰρ ἂν νικήσῃ τῶν εἰρημένων, τὸν ἡμέτερον πάντως συστήσει λόγον. Εἰ μὲν γὰρ προσείη τῇ οὐσίᾳ τὸ μὴ φθείρεσθαι, προσέσται αὐτῇ πάντως καὶ τὸ μὴ διὰ γεννήσεως εἶναι. καὶ οὕτως ὁ τῆς ἀγεννησίας λόγος ἔξω τῆς κατὰ τὴν οὐσίαν σημασίας ἀπωθήσεται. εἰ δέ, ὅτι οὐ φθείρεται ὁ Θεός, ἀφθαρσίαν τις λέγει τὴν οὐσίαν εἶναι, καὶ ὅτι θανάτου κρείττων ἐστί, διὰ τοῦτο αὐτὴν τὴν φύσιν ἀθανασίαν εἶναι ὁρίζοιτο· ἄφθαρτος δὲ ὁ υἱὸς καὶ ἀθάνατος, ἀφθαρσία ἂν εἴη καὶ ἀθανασία καὶ τοῦ μονογενοῦς ἡ οὐσία. εἰ οὖν ἀφθαρσία μὲν ὁ πατήρ, ἀφθαρσία δὲ ὁ υἱός, οὐσία δὲ τούτων ἑκάτερον, οὐδεμία δὲ κατὰ τὴν τῆς ἀφθαρσίας ἔννοιαν ἐπινοεῖται διαφορά, κατ' οὐδὲν πάντως ἡ οὐσία τῆς οὐσίας διενεχθήσεται· εἴπερ ἐπίσης ἐπ' ἀμφοτέρων ἡ φύσις ἠλλοτρίωται. κἂν τὰ αὐτὰ πάλιν ἐπαναλαμβάνων ταῖς ἀφύκτοις ἡμᾶς, ὡς οἴεται, τῶν διλημμάτων ἀνάγκαις καταδῇ, λέγων· Εἰ μὲν διαιρεῖτο παρ' ἡμῶν τὸ προσὸν τοῦ ὄντος, σύνθετον τὸ θεῖον κατασκευάζεσθαι· εἰ δὲ ἡ ἁπλότης, ὁμολογεῖ τὸ τῆς οὐσίας σημαντικὴν τὴν ἀφθαρσίαν, καὶ τὴν ἀγεννησίαν πάντως ἀναφανήσεσθαι. πάλιν αὐτὸν σύμμαχον τῶν ἡμετέρων ἀποδείξομεν λόγων. Εἰ γὰρ πάντη σύνθετον ποιεῖ τὴν θείαν οὐσίαν, τῷ προσεῖναί τι λέγειν αὐτῇ, οὐδὲ τὴν πατρότητα πάντως ἐκτὸς τῆς οὐσίας ἀποποιήσεται· ἀλλὰ φύσει πατέρα ὁμολογήσει, ὡς ἄφθαρτόν τε καὶ ἀθάνατον. καὶ οὕτω μὴ βουλόμενος, εἰς τὴν τῆς φύσεως οἰκειότητα τὸν υἱὸν καταδέξεται. οὐ γὰρ ἔσται δυνατὸν ἐκείνου φύσει πατρὸς ὄντος, τῆς φυσικῆς πρὸς αὐτὸν σχέσεως τὸν υἱὸν ἀφορίζεσθαι. εἰ δὲ ἔξω τῆς φύσεως προσεῖναι λέγει τῷ πατρί, ὡς οὐδὲν τῆς ἁπλότητος ἀδικουμένης, εἰ ἔξω τῆς οὐσίας τὸ κατὰ τὴν ἀγεννησίαν σημαίνοιτο. εἰ δὲ αὐτῆς φησι τῆς οὐσίας σημαντικὸν τὸ ἄφθαρτον καὶ τὸ ἀγέννητον, καὶ ἰσοδυναμεῖν ἀλλήλοις ἑκάτερα τῶν ὀνομάτων διισχυρίζοιτο, ὡς μηδεμίαν ἐπ' αὐτῶν εἶναι διαφοράν, τῷ ταὐτὸν ἑκατέροις ἐγκεῖσθαι τὸ σημαινόμενον, καὶ μίαν λέγοι τοῦ ἀφθάρτου καὶ τοῦ ἀγεννήτου τὴν ἔννοιαν, ὁ δὲ ἓν τούτων ὤν,

A eſſentiam incorruptibilitatem eſſe & immortalitatem ſimiliter. Ego verò, ſiue hæc diuinæ naturę inſunt, ſiue hæc ipſa ſecundum ſignificatum ſunt ipſamet eſſentia, nihil arbitror oportere cum ipſo pugnare: quodcumque enim dictorum vicerit, noſtrum omnino ſermonem confirmabit. Si enim eſſentiæ adfuerit, non poſſe corrumpi, ipſi proculdubio aderit, & non per generationem eſſe. Et ſic ἀγεννησίας ſermo extra ſignificantiam, quæ eſt ſecundum eſſentiam, repudiabitur. Quod ſi, quoniam non corrumpitur Deus, incorruptibi- B litatem quis dicit eſſentiam eſſe, & quia morte potentior eſt, idcirco ipſam naturam immortalitatem eſſe definiat: incorruptibilis autem eſt filius & immortalis; igitur incorruptibilitas & immortalitas fuerit vnigeniti eſſentia. Si igitur incorruptibilitas quidem pater, incorruptibilitas verò filius, eſſentia autem horum vtrumque; nulla autem ſecundum incorruptibilitatis notionem intelligitur differentia, nulla in re prorſus eſſentia ab eſſentia differt: ſiquidem ex æquo in vtriſque natura aliena- C ta eſt. Etſi eadem rurſus reſumens ineuitabilibus, vt putat, dilemmatum neceſſitatibus irretit, dicens: Si diſcerneretur à nobis quod ineſt ab ente, compoſitum numen id eſſet adſtruere: quod ſi ſimplicitas eſt, eſſentiæ ſignificatiuam incorruptibilitatem & ἀγεννησίαν prorſus manifeſtum fore. Rurſus ipſum noſtrorum ſermonum auxiliatorem demonſtrabimus. Si enim omnino diuinam eſſentiam facit compoſitam, quia dicat aliquis ipſi ineſſe aliquid, neque pater- D nitatem penitus extra eſſentiã reijciet: ſed natura patrem confitebitur, vt incorruptibilem & immortalem. Et ſic etiam inuitus filium ad naturæ ſimilitudinem admittet. Nam fieri non poterit, ſi illius naturâ ſit pater, vt à naturali cum ipſo relatione filius ſeparetur. Quod ſi extra naturam patri adeſſe dicit, quia in hoc ſimplicitas eius minimè læditur, ſi extra eſſentiam, quod ſecundum ἀγεννησίαν ſignificetur. Quod ſi incorruptibile & ingenitum ipſam eſſentiam ſignificare, & vtraque nomina eadem vim ac ſignificationem habere contendat, quaſi nulla in ipſis ſit differentia, quia idem vtriſque inſit ſignificatum, & vnam dicat incorruptibilis & ingeniti notitiam, qui eſt horum vnum

NN

& alterum prorſus eſt. Verumtamen incorruptibilis filius eſſe & ab his non dubitabitur,ingenitus igitur ſecundum Eunomij rationem & hic eſt, ſiquidem idem ſignificat incorruptibile quod ingeniti ratio. Ita vt duorum alterum,vel aliud quippiam præter incorruptibilitatem ingeniſũ ſignificare aſſentietur: vel manens in decretis, multifariam de vnigenito Deo impiè & irreligioſè loquetur, vel corruptibilẽ ipſum faciens, ne ingenitum dicat: vel ingenitum eſſe aſtruens, ne corruptibilem demonſtret. Sed neſcio quid conuenit agere. Vtrum ordine ſingula quæ ab eo propoſita ſunt ſtylo perſequi,an his contentus,aduerſus vana iſta pugnã terminare debeam. Quemadmodum enim his qui lethalia vendunt venena, in exiguo facta experientia,totius medicamẽti vim ac facultatem ad interitũ & necem inferendam facilè ſpondet:nec vllus eſt qui dubitet, cùm ex aliqua parte perniciẽ illatã experiẽtia didicit, quin totum quod venditur lethale ſit ac mortiferum pharmacum. Sic oportere puto, hoc ſermonis mortiferum veneficiũ, per ea quæ ſunt ſuperius examinata,demõſtratum, non amplius ambiguum eſſe his qui mentis ſint compotes, quin ſit per omnia tale quale per præcedentia eſt oſtenſũ. Quocirca expetibilius eſſe duco, in his vanitatibus diutius immorando, non prolixius ſermonẽ producere. Sed quoniam multis ex locis,quod eos perſuadere poteſt, erroris præſides ſibi ipſis comminiſcuntur,ac metus eſt,ne quia aliquid ex his quæ ab ipſis ſunt elabarata,deſpectũ fuerit,ſpecioſa calumniandi contra nos occaſio præbeatur, vt qui quod fortius eſt & valentius reliquerimus. Idcirco oratos velim eos, qui nobiſcum in hoc ſtudio verſantur,nulla neglecta garrulitate,alacri animo promptè ſequi orationem, quocũq. neceſſariò aduerſus mendacij aggreſſiones cõtra ſeſe ferat. Quoniam igitur vix tandem de commentatione ſomniũ in profundo ſomno confingere deſiit, abſurdis illis & inſanis argumẽtis ſeipſum armans,ſermonẽ ad alterũ ſomniũ transfert, multò præcedẽte viſione abſurdius & amentius. Laboris autem vanitatẽ & abſurditatem licet dignoſcere, & qui de priuatione captioſũ eius ſermonẽ dignouerit. Sed vniuerſæ huic garrulitati & nugationi conſeri & implicari, hoc propriũ Eunomij fuerit,

A καὶ τὸ ἕτερον πάντως ἐστίν. ἀλλὰ μὴν ὅτι ἄφθαρτος ὁ υἱός ἐστι καὶ παρὰ τούτων οὐκ ἀμφιβάλλεται; ἀγέννητος ἄρα κατὰ τὸν τοῦ Εὐνομίου λόγον καὶ οὗτός ἐστιν, εἴπερ ταὐτὸν σημαίνει τῇ ἀγεννησίᾳ τὸ ἄφθαρτον. ὥστε δυοῖν θάτερον, ἢ ἄλλο τι παρὰ τὴν ἀφθαρσίαν τὸ ἀγέννητον σημαίνειν συνθήσεται, ἢ ἐπιμένων τοῖς δεδογμένοις πολλαχῶς περὶ τὸν μονογενῆ Θεὸν βλασφημήσει, ἢ τὸν φθαρτὸν αὐτὸν ποιῶν, ἵνα μὴ ἀγέννητον λέγῃ, ἢ ἀγέννητον εἶναι κατασκευάζων, ἵνα μὴ φθαρτὸν ἀποδείξῃ. ἀλλ' οὐκ οἶδ' ὅτι προσήκει πράττειν, εἴτε δι' ἀκολουθίας ἐπεξιέναι πᾶσι τοῖς προκειμένοις, B εἴτε καὶ τούτοις περιορίσαι τὴν πρὸς τὰ μάταια μάχην. καθάπερ γὰρ ἐπὶ τῶν τὰ δηλητήρια πωλούντων, ἡ ἐν ὀλίγῳ πεῖρα παντὸς τοῦ φαρμάκου τὴν πρὸς τὸν ὄλεθρον δύναμιν τοῖς ὠνουμένοις κατεγγυᾶται· καὶ οὐδεὶς ἀμφιβάλλει τὴν ἐκ τοῦ μέρους διαφθορὰν διά τινος πείρας καταμαθών, μὴ ὅλον εἶναι τὸ πωλούμενον ὀλέθριον φάρμακον· οὕτως οἶμαι δεῖν καὶ τὴν δηλητηριώδη ταύτην φαρμακείαν τοῦ λόγου διὰ τῶν ἐξητασμένων ἐπιδειχθεῖσαν, μηκέτι ἀμφίβολον εἶναι τοῖς γε νοῦν ἔχουσι, τὸ διὰ πάντος εἶναι τοιαύτην, C οἵα διὰ τῶν φθασάντων ἐλήλεγκται. καὶ τούτου χάριν τὸ μὴ παράγειν εἰς μῆκος τοῖς ματαίοις ἐμφιλοχωρεῖν, αἱρετώτερον εἶναι λογιζόμεθα. ἀλλ' ἐπειδὴ πολλαχόθεν τὸ πιθανὸν ἑαυτοῖς οἱ προστάται τῆς ἀπάτης εὑρίσκουσι, καὶ δέος μὴ τὸ παροφθὲν ἕν τι τῶν πεποιημένων αὐτοῖς, εὐπρόσωπος καθ' ἡμῶν γένηται διαβολῆς ἀφορμή, ὡς τὸ ἰσχυρότερον ἐλλελοιπότων, τούτου χάριν παραιτησαίμην τοὺς καθομιλοῦντας ἡμῶν τῇ σπουδῇ, μηδεμίαν καταγνόντας ἀδολεσχίαν, ἕπεσθαι προθύμως τῷ λόγῳ, πανταχοῦ D κατ' ἀνάγκην πρὸς τὰς τοῦ ψεύδους ἐπιχειρήσεις ἑαυτὸν ἀντεξάγοντι. ἐπειδὴ τοίνυν μόγις ποτὲ τὸν περὶ τῆς ἐπινοίας ὄνειρον ἐν βαθεῖ τῷ ὕπνῳ διαπλάσσων ἐπαύσατο, τοῖς ἀτόποις ἐκείνοις καὶ ἀδιανοήτοις τῶν ἐπιχειρημάτων ἑαυτὸν καθοπλίζων, μετάγει τὸν λόγον ἐπὶ ἕτερον ὄνειρον, πολὺ τῆς προλαβούσης φαντασίας ἀνοητότερον. ἔξεστι δὲ γνῶναι τοῦ πόνου τὸ μάταιον, τὴν περὶ τῆς στερήσεως αὐτοῦ τεχνολογίαν κατανοήσαντι. ἀλλὰ τὸ πάσῃ τῇ φλυαρίᾳ συμπλέκεσθαι, αὐτοῦ δὴ εἴη τοῦ Εὐνομίου,

καὶ τὴν κατ' αὐτὸν, τὴν μηδεμίαν πρὸς τὰ σπουδαιότερα τῶν πραγμάτων φροντίδα. ἡμεῖς δὲ διὰ συντόμων ἐπὶ κεφαλαίων τοῖς εἰρημένοις ἐπιδραμούμεθα. ὡς ἂν μήτε τι τῶν ὑπαιτίων παραλειφθείη, μήτε τι τῶν ματαίων εἰς ἀνόνητον μῆκος παραγάγοι τὸν λόγον. μέλλων γὰρ προθήσειν τὴν περὶ τῶν στερητικῶν ὀνομάτων τεχνολογίαν, ἐπήγγελται δεῖξαι τῶν ἡμετέρων δογμάτων ἀτοπίαν, ὡς αὐτός φησιν ἀνήκεστον, καὶ εὐλάβειάν τινα προσποίητον καὶ ἐπίληπτον. ἡ μὲν οὖν ὑπόσχεσις, αὕτη· ὁ δὲ τῶν ἐγκλημάτων τούτων ἔλεγχος, τίς; εἰπόντων, φησὶ, τινῶν, στερήσει γεννήσεως εἶναι τὸν Θεὸν ἀγέννητον, ἡμεῖς ἐπ' ἐλέγχῳ τούτων, μηδαμῶς ἁρμόζειν τῷ Θεῷ μήτε τὴν φωνὴν ταύτην, μήτε τὴν ἔννοιαν εἴπομεν· δειξάτω τὸν πρωτοστάτην τοῦ λόγου, εἴ τις τῶν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι μέχρι τοῦ νῦν, εἴ τι παρὰ βαρβάροις εἴ τι παρ' Ἕλλησι τὸ τοιοῦτον προφθεγξάμενος δείκνυται, καὶ ἡμεῖς σιωπήσομεν· ἀλλ' οὐκ ἂν ἐλεγχθείη τῶν ἐν παντὶ χρόνῳ γεγενημένων ἀνθρώπων οὐδεὶς τὸ τοιοῦτον εἰπὼν, πλὴν εἴ τις μαίνοιτο. τίς γάρ ἐστιν ἐκ μέθης παράφορος, τίς οὕτως ὑπὸ μανίας ἢ φρενίτιδος ἐξεστηκὼς τὴν διάνοιαν, ὡς τοῦτον εἰπεῖν τὸν λόγον; ὅτι τῷ ἀγεννήτῳ Θεῷ κατὰ φύσιν μέν ἐστιν ἡ γέννησις, στερηθεὶς δὲ τοῦ κατὰ φύσιν, ἐκ γεννητοῦ τοῦ πρόσθεν, γέγονε μετὰ ταῦτα ἀγέννητος. ἀλλὰ ταῦτα τῆς ῥητορικῆς τὰ τεχνάσματα, τὸ, ἐν οἷς ἐλέγχονται προσώπων τινῶν ὑποβολαῖς τὴν ἐκ τῶν ἐλέγχων αἰσχύνην διαδιδράσκειν· οὕτω καὶ περὶ τῆς ἀπολογίας ἐκείνης ἀπολελόγηται. δικασταῖς καὶ κατηγόροις ἀνατιθεὶς τῆς ἐπιγραφῆς τὴν αἰτίαν, οὐ κατηγόρους, οὐ κρίσιν, οὐ δικαστήριον ἐπιδεῖξαι δυνάμενος. καὶ νῦν ὡς ἀλλοτρίαν μωρίαν ἐπανορθούμενος, εἰς ἀνάγκην φησὶ τοῦ οὕτως εἰπεῖν ἐληλυθέναι. ἐστὶν ὁ ἔλεγχος τῆς ἀνηκέστου ἡμῶν ἀτοπίας, καὶ τῆς προσποιήτου καὶ ἐπιλήπτου εὐλαβείας. ἀλλ' ἀπορεῖν μὲν ἡμᾶς φησὶν οὐκ ἔχειν ὅτι χρησόμεθα τοῖς παροῦσι καὶ τὴν ἀπορίαν ἐπικρυπτομένους. ἐκείνου μὲν ἐκ τῶν ῥημάτων εἰς τὴν τοῦ κόσμου διαβάλλειν σοφίαν· αὐτοὺς δὲ τὴν τοῦ ἁγίου πνεύματος οἰκειοῦσθαι διδασκαλίαν. ἄλλος ὄνειρός ἐστι, τοσοῦτον ἑαυτῷ προσεῖναι τῆς ἔξω σοφίας οἴεσθαι, ὡς φοβερὸν Βασιλείῳ διὰ τοῦτο δοκεῖν. οὕτω

A & eius ſectatorũ, qui nullam rebus maximè ſeriis & ſtudio digniſſimis curam & operam adhibent. Nos autem cõciſè & ſummatim dicta percurremus. Vt neque quicquã criminum relinquatur, neque quid inane & vanum ad inutilem prolixitatẽ ſermonẽ producat. Etenim propoſiturus hanc præclarè contextam orationẽ, de his nominibus quæ priuationẽ ſignificant, ſe demonſtraturũ profeſſus eſt noſtrorũ decretorum abſurditatẽ, vt ipſe loquitur, inſanabilem; & religionem quandã ſimulatam ac reprehenſibilem: pollicitatio igitur hæc eſt: horum autem criminum demonſtratio, quæ? cum quidam dixerint, inquit, pri-
B uatione generationis Deum eſſe ingenitum, nos ad reprehenſionem horum neque Deo congruere vllo modo hanc vocem, neque notionẽ diximus: demonſtret ſermonis primum autorem, ſi quis poſt homines natos, ſiue apud barbaros ſiue Græcos, quid tale locutus demonſtratur, & nos tacebimus: ſed poſt hominum memoriam nullus deprehenſus fuerit, tale quid dixiſſe, niſi quis inſaniret. Quis enim hic temulentus, quis adeò vel inſania, vel phrenetide ſiue delirio è ſede mentis ſuæ depulſus, vt hunc ſermonem proferat? Quod ingenito Deo ſecũdum naturam quidem
C eſt generatio, priuatus autem eo quod eſt ſecundum naturam, ex genito Deo quod prius erat, factus eſt poſtea ingenitus. Sed hæc ſunt rhetoricæ artificia, nempe in his in quibus reprehenduntur quibuſdam accerſitis perſonis reprehenſionum dedecus ſubterfugere; ſic & de illa defenſione defendit, iudicibus & accuſatoribus accuſationis culpam & cauſam adſcribens, non accuſatores, non iudiciũ, non iudiciale forum valens oſtendere. Et nunc vt alienam
D ſtultitiam & fatuitatem corrigens, ſe in neceſſitatem ſic loquendi veniſſe dicit. Hæc eſt reprehenſio noſtræ inſanabilis abſurditatis, & ſimulatæ atque reprehenſibilis religionis. Sed nos indigos dicit non habere quid in præſentia agamus, & quo nos vertamus; quin etiam penuriam noſtram occultare. Ac illum quidem ex verbis ob mundi ſapientiam calumniari: ipſos verò ſancti Spiritus doctrinam nobis vendicare. Aliud hoc ſomnium, tantum ſibi ipſi adeſſe æternæ ſapientiæ putare, vt propterea terribilis Baſilio videatur.

Sic quidam etiam cum regibus ſimul eodem in ſolio ſedere, & altiore dignitate eſſe ſæpe ſe dignos ſomniarunt, falſa ſomniorum imagine ex vera cupiditate hanc ipſis opinionem inſerente: non habentem, ait, Baſilium quid ad dicta reſpondeat criminari ipſum ob mundi ſapientiam. Magni quidem talem criminationem fecit, vt exiſtimetur terribilis verborum copia cuilibet, nedum Baſilio & alicui diſcipulorum, ſiquidem quis penitus eſt ſecundũ ipſum vel fuit. Sed intermedium ſermonem, ſiquidem ſermo eſt ſeruile ipſius conuitium, & indocta atque inepta ſcommata, per quæ in noſtra incurrere arbitratur, omnia prætermittam, execrabile & abominandum exiſtimans, tot tantiſque pollutionibus ſermonẽ noſtrum inferciri: quemadmodum qui prætumida & tetra vlcera abominantur, ægréque ferunt ſpectaculum eorum quæ ex aliqua grauis humoris repletione per verrucas & clauos immutata ſunt, in cutis ſuperficie. Senſum ipſorum cum paucis expoſuero multam ipſorum graueolentiam prætercurram. Erit autem mihi pro libertate ſermo qui producitur, qui non ad calumnioſè diſcerpendum quicquam eorum quæ dicuntur, conuertitur. Omnis ſermo qui verè eſt ſermo, ſignificatiua eſt vox impulſionum quæ in mente fiunt. Omnis autem ſanæ cogitationis functio & agitatio ad rerum cognitionem & contemplationem quoad poteſt, ſpectat. Rerum autem natura bipertita eſt: altera mente cernitur, ſenſu altera percipitur: ſed eius quæ ſenſui patet, quia ſit in ſenſu & facile cognoſcatur, communis omnibus proponitur cognitio, nullam de ſubiecto ambiguitatem faciente ſenſuum iudicio. Colorum enim differentias, & reliquarum qualitatum varietates per viſum & auditum, vel odoratum, vel tactum, vel guſtatum dijudicamus, vnanimi conſenſu omnes qui naturæ communis ſunt participes cognoſcimus & nominamus. Et reliqua quæcumque comprehenſionem exteriorem, magiſque per ſumma apparentem habere videntur, quæ in vita noſtra verſantur, & quæ ad ciuilem vitam & ad moralem vitæ ſcopum pertinent. At verò in contemplatione naturæ intelligentis,

A τινὲς καὶ βασιλεῦσιν ὁμόθρονοι, καὶ τῆς ὑψηλοτέρας ἀξίας εἶναι πολλάκις ἑαυτοὺς ἐφαντάσθησαν, τῆς ἠπατημένης τὴν ἐνυπνίαν ὄψεως ἐκ τῆς καθ' ὕπαρ ἐπιθυμίας, τὴν περὶ τούτου δόκησιν ἐντιθείσης· οὐκ ἔχοντά, φησι, Βασίλειον, ὅτι τοῖς εἰρημένοις χρήσεται, διαβάλλειν αὐτὸν ἐπὶ τῇ τοῦ κόσμου σοφίᾳ. πολλοῦ μὲν τοι τὴν τοιαύτην ἂν διαβολὴν ἐτιμήσατο, ὁ φοβερὸς νομισθῆναι τῇ περιουσίᾳ τῶν λόγων, ἐν τῷ ἐπιτυχόντι τινί. μή τί γε Βασιλείῳ καὶ τινι τῶν κατ' αὐτόν, εἴπερ τις ὅλως ἐστὶ κατ' αὐτὸν ἢ ἐγένετο. B ἀλλὰ τὸν μὲν διὰ μέσου λόγον, εἴπερ λόγος ἐστὶν ἡ ἀνδραποδώδης αὐτοῦ λοιδορία, καὶ τὰ ἄμουσα σκώμματα, δι' ὧν καταπρέχειν τῶν ἡμετέρων οἴεται, πάντα παρήσω, βδελυκτόν τι καὶ ἀηδὲς ποιούμενος τοσούτοις μολύσμασι τὸν ἡμέτερον ἐμφορυνέσθαι λόγον, ὥσπερ οἱ τὰ ὀγκώδη τε καὶ ὀδυνῶντα τῶν ἑλκῶν μυσαττόμενοι, καὶ δυσχεραίνοντες τὴν θέαν τῶν ἀπὸ πληθωρικῆς τινος βαρυχυμίας δι' ἀκροχορδόνων, καὶ ἥλων ἀλλοιωθέντων τὴν ἐπιφάνειαν. τὸν δὲ νοῦν αὐτοῦ δι' ὀλίγων ἐκθέμενος, τὴν πολλὴν τῶν εἰρημένων C παραδραμοῦμαι δυσωδίαν. ἔσται δέ μοι τέως κατ' ἐλευθερίαν ὁ λόγος διεξαγόμενος, οὐδὲν πρὸς τὸ ἐπηρεαστικῶς ἀποσχίζειν τι τῶν λεγομένων ἐπιστρεφόμενος. πᾶς λόγος ὅγε ἀληθῶς λόγος, σημαντική τίς ἐστι τῶν κατ' ἔννοιαν κινημάτων φωνή. πᾶσα δὲ τῆς ὑγιοῦς διανοίας ἐνέργειά τε καὶ κίνησις, πρὸς τὴν τῶν ὄντων γνῶσίν τε καὶ θεωρίαν, ὡς ἂν οἷόν τε ᾖ, βλέπει. διχῇ δὲ μεμέρισται τῶν ὄντων ἡ φύσις, εἴς τε τὸ νοητὸν καὶ τὸ αἰσθητὸν διαιρουμένη· ἀλλὰ τῶν μὲν κατ' αἴσθησιν φαινομένων, διὰ τὸ πρόχειρον τῆς κατανοήσεως, κοινὴ πρόκειται πᾶσιν ἡ γνῶσις, οὐ-D δεμίαν περὶ τὸ ὑποκείμενον ἀμφιβολίαν ἐμποιούσης τῆς αἰσθητικῆς ἐπικρίσεως. ταῖς τε γὰρ τῶν χρωμάτων, καὶ τῶν λοιπῶν ποιοτήτων διαφορὰς, ὅσας διά τε τῆς ὄψεως καὶ δι' ἀκοῆς, ἢ ὀσφρήσεως, ἢ τῆς κατὰ τὴν ἁφὴν, ἢ τὴν γεῦσιν αἰσθήσεως ἐπικρίνομεν, ὁμοφώνως πάντες οἱ τῆς αὐτῆς κοινωνοῦντες φύσεως, γινώσκομέν τε καὶ ὀνομάζομεν, καὶ ὅσα τῶν λοιπῶν τὴν κατάληψιν ἐπιπολαιοτέραν ἔχειν δοκεῖ κατὰ τὸν βίον ἀναστρεφομένων πραγμάτων. ἃ πρός τε τὸ πολιτικὸν, καὶ τὸν ἠθικὸν τοῦ βίου σκοπὸν καταγίνεται. ἐν δὲ τῇ θεωρίᾳ τῆς νοερᾶς φύσεως,

διὰ τὸ ὑπερκεῖσθαι αὐτὴν τῆς αἰσθητικῆς καταλήψεως, στοχαστικῶς τῆς διανοίας ὀρεγομένης τῶν ἐκφυγόντων τὴν αἴσθησιν, ἄλλοι ἄλλως κινούμεθά τι περὶ τὸ ζητούμενον, καὶ κατὰ τὴν ἐγγινομένην ἑκάστῳ περὶ τὸ ὑποκείμενον διάνοιαν, ὅπως οἷόν τε ᾖ, τὸ νοηθὲν ἐξαγγέλλομεν, ἐγγίζοντες ὡς ἔνι μάλιστα τῇ δυνάμει τῶν νοηθέντων διὰ τῆς τῶν ῥημάτων ἐμφάσεως. ἐν δὲ τούτοις ἔστι μὲν πολλάκις καὶ δι' ἀμφοτέρων κατορθωθῆναι τὸ σπουδαζόμενον, τῆς τε διανοίας οὐχ ἁμαρτανούσης τοῦ ζητουμένου, καὶ τῆς φωνῆς εὐθυβόλως τὸ νοηθὲν διὰ τῆς προσφυοῦς ἑρμηνείας ἐξαγγελλούσης, ἔστι δὲ τυχὸν καὶ ἀμφοτέρων, ἢ τοῦ ἑτέρου γε τούτων ἀποτυχεῖν, ἢ τῆς καταληπτικῆς διανοίας, ἢ τῆς ἑρμηνευτικῆς δυνάμεως τοῦ προσήκοντος παρενεχθείσης. δύο τοίνυν ὄντων δι' ὧν ἅπας εὐθύνεται λόγος, τῆς τε κατὰ τὸν νοῦν ἀσφαλείας, καὶ τῆς ἐν ῥήμασι προφορᾶς, κρεῖττον μὲν ἂν εἴη τὸ δι' ἀμφοτέρων εὐδόκιμον. οὐχ ἧττον δὲ ἀγαθὸν, τῆς προσηκούσης μὴ διαμαρτεῖν ὑπολήψεως, κἂν ὁ λόγος ἐλάττων τῆς διανοίας τυγχάνῃ. ὅταν τοίνυν περὶ τῶν ὑψηλῶν καὶ ἀθεάτων ἡ διάνοια τὴν σπουδὴν ἔχῃ, ὧν οὐκ ἐφικνεῖται ἡ αἴσθησις· λέγω δὲ περὶ τῆς θείας καὶ ἀφράστου φύσεως, ἐν οἷς τολμηρὸν ἂν εἴη καὶ τὸ προχείρως τι τῇ διανοίᾳ λαβεῖν, τολμηρότερον δὲ ταῖς ἐπιτυχούσαις ἐπιτρέπειν φωναῖς, τὴν τῆς ἐγγινομένης ἡμῖν ὑπολήψεως ἑρμηνείαν, τότε χαίρειν ἐάσαντες τὸν ἐν τοῖς ῥήμασιν ἦχον, οὕτως ἢ ἑτέρως κατὰ τὴν δύναμιν τῶν φθεγγομένων ἐξαγγελλόμενον, μόνην ἐξετάζομεν τὴν διάνοιαν τὴν ἐμφαινομένην τοῖς ῥήμασιν, εἴ τι ὑγιῶς, εἴ τε καὶ ἄλλως ἔχει, τὰς ῥηματικὰς ταύτας ἢ ὀνοματικὰς ἀκριβολογίας γραμματιστῶν τέχναις παραχωρήσαντες. ἐπεὶ τοίνυν μόνα τὰ γινωσκόμενα διὰ τῆς ὀνοματικῆς σημειούμεθα κλήσεως, τὰ δὲ ὑπὲρ τὴν γνῶσιν ὄντα σημαντικαῖς τισι προσηγορίαις διαλαμβάνειν οὐχ οἷόν τε. πῶς γὰρ ἄν τις τὸ ἀγνοούμενον σημειώσαιτο; διὰ τοῦτο μηδεμιᾶς ἐπ' αὐτῶν προσφυοῦς εὑρισκομένης προσηγορίας, ἣ τὸ ὑποκείμενον ἱκανῶς παραστήσει, πολλοῖς καὶ διαφόροις ὀνόμασιν, ὅπως ἂν ᾖ δυνατὸν, ἀνακαλύψαι βιαζόμεθα τὴν ἐγγενομένην ἡμῖν περὶ τοῦ θείου ὑπόνοιαν. ἀλλὰ μὴν τὰ ὑπὸ κατάληψιν ἡμετέραν ἐρχόμενα, τοιαῦτά

A ſoláque mente perceptibilis quia ipſa ſupra ſenſuum cõprehenſionem ſita eſt, coniecturaliter intelligentia appetente ea quæ ſenſum effugiunt, alij aliter ad id quod quæritur mouemur, ſecundum eam quæ ingeneratur cuiq. de ſubiecto intelligentiã, quoad fieri poteſt mentis conceptũ enunciamus, appropinquantes, vt licet maximè, ad intellectorum facultatem per verborum dilucidam ſignificationem. In his autẽ ſæpe licet per vtraque quod quæritur obtineri, cùm nec intelligentia aberret à re quæſita, & vox directò mentis conceptum per B natiuam interpretationem enunciet, interdum fortaſſe accidit, ab vtriſque vel horum altero aberrare, cùm vel comprehenſiua intelligentia, vel interpretatiua facultas ab eo quod cõuenit, tranſuerſim & perperam fertur. Cum igitur duo ſint, quibus omnino oratio dirigitur, nempe certa confirmatio ſiue ſecuritas, quæ fit in mente & intelligentia, & quæ eſt in verbis prolatio, præſtantius ſemper quidẽ fuerit quod per vtrumque probatur. Non minus autem bonum à conuenienti opinione non aberrare, quamuis intelligentia oratio ſit C inferior. Cùm igitur in excelſis & aciem oculorum effugientibus intelligentia ſtudium & operam ponit, ad quæ ſenſus non peruenit: loquor autem de diuina & ineffabili natura, in quibus audax facinus eſſet promptè & citò intelligentia quid capere: ſed audacius quibuſlibet vocibus committere eius quæ nobis ingeneratur opinionis interpretationem, tunc valere iubentes, qui eſt in verbis ſonum, ſic vel aliter loquentium viribus enuntiatum; ſolam quæ verbis ſignificatur intelligentiam exquirimus, vtrum ſanè, ſiue aliter D habet has verbales vel nominales ſubtilitates grammatiſtarum artibus concedentes. Quoniam igitur ſola quæ cognoſcuntur, per nominalem appellationem ſignamus: quæ verò cognitionem ſuperant, notiuis quibuſdam appellationibus complecti fas non eſt. Quomodo enim quod ignoratur notaretur? propterea cum nulla in ipſis natiua inueniatur appellatio, quæ ſubiectum planè exprimat, multis & diuerſis nominibus, quoad fieri poteſt, de diuinitate innatam nobis opinionem reuelare cogimur, verumtamẽ quæ in noſtram cõprehenſionẽ cadunt, talia ſunt,

vt omnino, vel in aliqua interuallis diſtincta extenſione conſiderentur, vel localis capacitatis notitiam præbeant, in qua ſingularia eſſe comprehenduntur; vel principij & finis deſcriptione in noſtro conſpectu fiunt, ex æquo ſecūdum vtrumq. terminum eo quod non eſt incipit, & in id quod non eſt deſinit: vel quod omnium eſt poſtremū, per corporalium qualitatum compoſitionē, quod apparet, cōprehēdimus, cui & interitus & perpeſſio, & cōuerſio, & immutatio, & quæ huiuſmodi, copulata ſunt. Quāobrem vt nullam cum rebus his infimis cognationem habere ſupereminēs illa natura videatur, notionibus, & verbis, quæ à talibus ſecernāt, in diuina vſi ſumus natura. Quod ſupra & ante ſæcula eſt, hoc προαιώνιον, æternum dicentes, & quod ſupra principium, ἄναρχον principij expers; & quod nullo fine terminatur, ἀτελεύτητον interminatum; incorporeúmq. quod abſque corpore ſubſiſtit; & quod non interit ἄφθαρτον, incorruptibile ſiue interitus expers: & quod conuerſionis vel perpeſſionis, vel immutationis ſiue alterationis non eſt capax, impatibile, inuertibile, inuariabile, immutabile. Talia autem nomina ſolerti artificio confingant qui volunt, vt ipſis cordi fuerit, aliáque nomina nominibus his applicent, priuandi vel auferendi vim habentia, vel quod ipſis lubebit, nominantes. Nos autem docendi vel diſcendi talia percupidis libertatem concedentes, ſolam mentem exquiramus; ſi piam & Deo decoram opinionem in ſe contineat, vel contra. Si igitur vel non erat prius Deus, vel non erit aliquando, non propriè neque ἀτελεύτητος, id eſt, interminatus, ſiue fine carens, neque ἄναρχος principij expers dicatur. Eodem modo neque immutabilis, neque incorporeus, neque incorruptibilis; ſiquidem in ipſo cogitetur, vel corpus, vel interitus, vel immutatio, vel quid tale. Quod ſi ſanctum eſt, nihil horum in ipſo cogitare, impium eſſet prorſus verbis quæ diſſentanea & abhorrentia ab ipſo ſeparant, vti, & hæc dicere quæ iam ſæpe diximus, incorruptibile & interminatum ſiue infinitum, & ingonitum, & quæcumque huius talis ſpeciei, cùm impoſita cuique eorum nominum ſignificatio, ſeparationem eorum quæ nobis prompta ſunt ad cognitionem doceat; non

A ἐστιν, ὥστε πάντως, ἢ ἐν διαστηματικῇ τινι παρατάσει θεωρεῖσθαι τὰ ὄντα, ἢ τοπικοῦ χωρήματος παρέχειν τὴν ἔννοιαν, ἐν ᾧ τὰ καθ' ἕκαστον εἶναι καταλαμβάνεται, ἢ τῇ κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος περιγραφῇ ἐντὸς γίνεται τῆς ἡμετέρας ἐπόψεως, ἐπίσης καθ' ἑκάτερον πέρας, τῷ μὴ ὄντι περιγραφόμενα· πᾶν γὰρ τὸ ἀρχήν τε καὶ τελευτὴν ἔχον τοῦ εἶναι, ἐκ τοῦ μὴ ὄντος ἄρχεται, καὶ εἰς τὸ μὴ ὂν καταλήγει· ἢ τὸ πάντων ἔσχατον, διὰ τῆς σωματικῆς τῶν ποιοτήτων συνθήκης καταλαμβανόμενον τὸ φαινόμενον, ᾧ φθορά, καὶ πάθος, καὶ τροπή, καὶ ἀλλοίωσις, καὶ τὰ τοιαῦτα συνέζευκται. B διὰ τοῦτο ὡς ἂν μηδεμίαν οἰκειότητα πρὸς τὰ κάτω πράγματα ἡ ὑπερκειμένη φύσις ἔχειν δοκοίη, τοῖς ἀποχωριστικοῖς τῶν τοιούτων νοήμασί τε καὶ ῥήμασιν ἐπὶ τῆς θείας κεχρήμεθα φύσεως. τὸ ὑπὲρ ἄνω τῶν αἰώνων, προαιώνιον λέγοντες, καὶ τὸ ὑπὲρ ἀρχήν, ἄναρχον, καὶ τὸ μὴ τελειούμενον, ἀτελεύτητον, ἀσώματόν τε τὸ χωρὶς σώματος τὴν ὑπόστασιν ἔχον, καὶ τὸ μὴ φθειρόμενον ἄφθαρτον, καὶ τὸ τροπῆς ἢ πάθους, ἢ ἀλλοιώσεως ἀνεπίδεκτον, ἀπαθὲς καὶ ἄτρεπτον καὶ ἀναλλοίωτον. C τὰ δὲ τοιαῦτα τῶν ὀνομάτων, τεχνολογούντων μὲν ὅπως ἂν ᾖ φίλον αὐτοῖς οἱ βουλόμενοι, καὶ ὀνόματα ἄλλα τοῖς ὀνόμασι τούτοις ἐφαρμοζόντων, στερητικά, ἢ ἀφαιρετικά, ἢ ὅτι φίλον αὐτοῖς ὀνομάζοντες· ἡμεῖς δὲ τοῦ διδάσκειν ἢ μανθάνειν τὰ τοιαῦτα τοῖς φιλοτίμοις παραχωρήσαντες μόνον τὸν νοῦν ἐξετάσωμεν. εἰ τὸ εὐσεβοῦς τε καὶ θεοπρεποῦς ὑπολήψεως ἐντός ἐστιν, ἢ κεχώρισται. εἰ μὲν οὖν ἢ οὐκ ἦν πρότερον ὁ Θεός, ἢ οὐκ ἔσται ποτέ, οὐκ ἂν κυρίως οὔτε ἀτελεύτητος, οὔτε ἄναρχος λέγοιτο. ὡσαύτως δέ, οὔτε D ἀναλλοίωτος, οὔτε ἀσώματος, οὔτε ἄφθαρτος, εἴπερ ὑπονοοῖτο περὶ αὐτὸν, ἢ σῶμα, ἢ φθορά, ἢ ἀλλοίωσις, ἢ τι τοιοῦτον. εἰ δὲ τούτων εὐαγές ἐστιν οὐδὲν περὶ αὐτὸν ἐννοεῖν, ἀσεβὲς ἂν εἴη πάντως τοῖς χωριστικοῖς τῶν ἀπεμφαινόντων ῥήμασιν ἐπ' αὐτοῦ κεχρῆσθαι καὶ λέγειν ταῦτα ἃ ἤδη πολλάκις εἰρήκαμεν, ἄφθαρτόν τε καὶ ἀτελεύτητον καὶ ἀγέννητον, καὶ ὅσα τοῦ τοιούτου εἴδους ἐστὶ τῆς ἐγκειμένης ἑκάστῳ τούτων τῶν ὀνομάτων ἐμφάσεως, μόνον τὸν χωρισμὸν τῶν ἡμῖν προχείρων εἰς κατανόησιν διδασκούσης, οὐκ

αὐτὴν τὴν φύσιν τὴν τῶν ἀπεμφαινόντων κεχωρισμένην ἑρμηνευούσης. τί γὰρ οὐκ ἔστι τὸ θεῖον τῆς τῶν ὀνομάτων τούτων σημασίας προδεικνυούσης, τί ἐστιν ἐκεῖνο κατὰ τὴν φύσιν ὃ ταῦτα οὐκ ἔστιν, ἐν ἀδήλῳ μένει. ἀλλὰ καὶ τὰ λοιπὰ τῶν ὀνομάτων, ὧν ἡ σημασία θέσεώς τινος ἐστὶν ἐνδεικτικὴ καὶ ὑπάρξεως, οὐκ αὐτῆς τῆς θείας φύσεως, ἀλλὰ τῶν περὶ αὐτὴν εὐσεβῶς θεωρουμένων τὴν ἔνδειξιν ἔχει. νοήσαντες γὰρ ὅτι οὐδὲν τῶν ὄντων, τῶν τε φαινομένων καὶ τῶν νοουμένων αὐτόματόν τινα καὶ τυχαίαν ἔχει τὴν σύστασιν· ἀλλὰ ὅτι περ ἐν τοῖς οὖσι καταλαμβάνεται, τῆς πάντων τῶν ὄντων ὑπερκειμένης φύσεως ἐξήπτηται, κἀκεῖθεν τὴν αἰτίαν τῆς ὑπάρξεως ἔχει, τό τε κάλλος καὶ τὸ μέγεθος τῶν ἐν τῇ κτίσει θαυμάτων καταμανθάνοντες, ἐκ πάντων τούτων καὶ τῶν τοιούτων ἄλλα νοήματα περὶ τὸ θεῖον λαμβάνοντες, ἰδίοις ὀνόμασιν ἕκαστον τῶν ἐγγινομένων ἡμῖν νοημάτων διερμηνεύομεν· ἀκολουθοῦντες τῇ συμβουλῇ τῆς σοφίας, ἥ φησιν, ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως δεῖν τὸν πάντων γενεσιουργὸν θεωρεῖσθαι. δημιουργὸν μὲν τὸν ποιητὴν τῶν θνητῶν προσαγορεύομεν, δυνατὸν δὲ τὸν τῆς τοσαύτης περικρατήσαντα κτίσεως, ᾧ ἐξήρκεσεν ἡ δύναμις οὐσίαν ποιῆσαι τὴν βούλησιν. τό τε τῆς ζωῆς ἡμῶν ἀγαθὸν ἐννοήσαντες, ἀκολούθως τὸν ταύτης καθηγησάμενον, τῇ τοῦ ἀγαθοῦ προσηγορίᾳ κατονομάζομεν. τῆς τε μελλούσης κρίσεως τὸ ἀδέκαστον παρὰ τῆς θείας παιδευθέντες γραφῆς, κριτὴν αὐτὸν καὶ δίκαιον διὰ τούτων προσαγορεύομεν. καὶ πάντα συνελόντι φάναι, τὰ περὶ τῆς θείας φύσεως ἐγγινόμενα ἡμῖν νοήματα, εἰς ὀνομάτων τύπον μεταλαμβάνομεν. ὡς μηδεμίαν κλῆσιν δίχα τινὸς ἰδιαζούσης ἐννοίας ἐπὶ τῆς θείας λέγεσθαι φύσεως. ἀλλὰ καὶ τὴν Θεὸς φωνὴν, ἐκ τῆς ἐποπτικῆς ἐνεργείας κεκρατηκέναι κατελαβόμεθα. πᾶσι γὰρ παρεῖναι τὸ θεῖον, καὶ πάντα θεᾶσθαι. καὶ διὰ πάντων ἥκειν πεπιστευκότες, τὴν τοιαύτην διάνοιαν τῷ ὀνόματι τούτῳ διασημαινόμεθα, πρὸς τοῦτο παρὰ τῆς ἁγίας ὁδηγηθέντες φωνῆς. ὁ γὰρ εἰπὼν, ὁ θεός μου πρόσχες μοι, καὶ ἴδε ὁ θεὸς, καὶ τὸ ὁ θεὸς γινώσκει τὰ κρύφια τῆς καρδίας, σαφῶς τὴν ἐγκειμένην τῇ φωνῇ ταύτῃ διάνοιαν ἑρμηνεύει, ὅτι ἐκ τοῦ θεᾶσθαι, θεὸς ὀνομάζεται. διαφέρει γὰρ οὐδὲν, πρόσχες εἰπεῖν, καὶ ἴδε, καὶ θέασαι. ἐπεὶ οὖν

A verò ipſammet naturam quę à non conuenientibus ſecreta eſt, interpretetur. Nam cùm eiuſmodi nominũ ſignificatio quid Deus non ſit præmõſtret, quid illud eſt ſecundum naturam, quod hæc non eſt, in obſcuro manet. Sed reliqua nomina quorũ ſignificatio alicuius poſitionis & exiſtẽtiæ index eſt, nõ eiuſdem diuinæ naturæ, ſed eorũ quæ in ipſa piè cernuntur, demonſtrationẽ habet. Cogitantes enim quod nihil eorũ quę ſunt, & quę apparent & intelliguntur, fortuitam & temerariã quandam habet ſubſiſtentiam: ſed quicquid in rerum natura
B cõprehenditur ex ſupereminẽte omniũ quæ ſunt natura dependet, & illinc exiſtentiæ cauſam habet, pulchritudinémque & magnitudinem miraculorũ quæ ſunt in creatura animaduertentes, ex omnibus & talibus alias notiones in Deo animo capiẽtes, propriis nominibus notiones, quę in nobis concipiũtur, ſingulas interpretamur: ſapientiæ conſilium ſequentes, quæ dicit, ex magnitudine & ſpecie rerum creatarum, proportione habita omnium genitorẽ oportet contemplari. Opificem quidem factorem mortaliũ appellamus: potentem autem
C eum qui tantam creaturã ſuo dominio continet, cui ſatis fuit potentia, vt eſſentiam faceret voluntatem. Atque etiam vitæ noſtrę bonum mente contemplati, conſequenter huius ducem & autorem boni appellatione nominamus. Iudicij quoq. futuri quod incorruptum eſt & integrum, à diuina ſcriptura inſtituti, iudicem ipſum & iuſtum per hæc nomina vocamus. Atque vt in pauca cõtraham, omnes quæ de diuina natura in noſtris animis ingenerantur notiones, in nominum formam reuocamus. Ita vt nullum vocabulum abſque propria & peculiari aliqua notitia in diuina natura dicatur.
D Quinetiam hanc vocem Θεὸς ex inſpectrice operatione ſiue contemplandi actu inualuiſſe comprehẽdimus. Omnibus enim τὸ θεῖον Deum adeſſe, omnia videre, omnia penetrare perſuaſi, talem cogitationẽ hoc nomine ſignificamus: ad hoc à ſancta voce deducti: qui enim dixit, Deus meus intende mihi, &, vidit Deus, &, Deus cognoſcit cordis abdita, manifeſtè huic voci impoſitam ſententiam interpretatur, quod Θεὸς nominatur ἀπὸ τοῦ θεᾶσθαι, à vidẽdo ſiue ſpeculando. Nihil autẽ differt dicere intende, & vide, & ſpeculare. Quoniam igitur

quod ſpectabile qui ſpectat videt, Deus meritò eius quod videtur, qui ſpectat dicitur. Quare per hoc etiam particularem quandam diuinæ naturæ operationem edocti, eſſentiæ ipſius per hanc vocem intelligentes non facti ſumus: non tamen quoniam nominis congruentis penuria laboramus, Deum idcirco gloriæ detrimenti aliquid paſſum eſſe non exiſtimemus: impotentia enim enuntiationis eorum quæ enuntiari nequeunt, accuſans nobis natura innatā penuriam, maiorem gloriæ Dei demonſtrationem habet: docens nos, ſicut inquit Apoſtolus, quod ſolum eſt Dei nomen congruens, ipſum credere eſſe quod eſt ſupra omne nomen. Quod enim ipſe omnē cogitationis motū ſuperet, extraq. nominalem cōprehenſionem inueniatur, certiſſimū argumētū inexplicabilis maieſtatis hominibus conſtituitur. Hęc quidē de nominibus, quæ de Deo quacumque forma proferuntur, cognoſcimus: quorum expoſitionē rudem & ſimplicem benignioribus auditoribus appoſuimus, contra imbelles Eunomij aduerſum hæc pugnas, turpe ſimul & indecorum nobis ipſis iudicātes animoſè & validè reſiſtere. Quid enim quis diceret ei, qui ait nos formā nominū fingere maiorem & potentiorē rerum quæ nominātur dignitate, nominibus cōtra res donātes prærogatiuā, & inæqualibus æqualem honorē tribuētes. Hæc ſic illius voce dicta ſunt. Iudicet autē qui iudicare conſideratè poteſt, ſi quid opportunum cōtra nos habet vehementer inſtituta contra nos ſycophantæ accuſatio, ob quod etiam defendere dignum ſit, quod nominibus contra res ipſas priuilegium indulgemus, omnibus cum ſit perſpicuum, quod nullum nomē eſſentialem per ſe ſubſiſtentiam habet: ſed omne nomen quoddam eſt alicuius eſſentiæ & ſententię iudicium & ſignum, quod ipſum per ſe neque exiſtit, neque intelligitur. Ei autem quod non per ſe ſubſtat, quomodo licet dona tribuere, doceat erroris diſcipulos, qui nominibus & verbis adhæſè & congruenter ſe vſum fuiſſe cenſet. Horum autem nullam omnino mentionem feciſſem, niſi per ipſa imbecillitas tam mentis quam dictionis huius ſcriptoris eſſet demonſtranda. Quæcumque autem à diuinitus inſpirata ſcriptura inconcinnè & ineptè nec ad ſcopum pertrahit,

A τὸ θεατὸν ὁ θεώμενος βλέπει, Θεὸς εἰκότως τοῦ ὁρωμένου ὁ θεώμενος λέγεται. ὥστε καὶ διὰ τούτου μερικήν τινα τῆς θείας φύσεως ἐνέργειαν διδαχθέντες, τῆς οὐσίας αὐτῆς ἐν περινοίᾳ διὰ τῆς φωνῆς ταύτης οὐκ ἐγινόμεθα. οὐ μὴν ἐπειδὴ ὀνόματος προσφυοῦς ἀποροῦμεν, ζημιοῦσθαί τι τὸ θεῖον εἰς δόξαν ὑπολαμβάνομεν. ἡ γὰρ ἀδυναμία τῆς τῶν ἀνεκφωνήτων ἐξαγορεύσεως κατηγοροῦσα τῆς κατὰ τὴν φύσιν ἡμῶν πτωχείας, μείζονα τὴν τοῦ Θεοῦ δόξης τὴν ἀπόδειξιν ἔχει, διδάσκουσα ἡμᾶς, καθώς φησιν ὁ ἀπόστολος, B ὅτι μόνον ἐστὶ Θεοῦ προσφυὲς ὄνομα τὸ ὑπὲρ πᾶν αὐτὸν εἶναι πιστεύειν ὄνομα. τὸ γὰρ ὑπερβαίνειν αὐτὸν πᾶσαν διανοίας κίνησιν, καὶ ἐξώτερον εὑρίσκεσθαι τῆς ὀνοματικῆς περιλήψεως, τεκμήριον τῆς ἀφράστου μεγαλειότητος τοῖς ἀνθρώποις καθίσταται. περὶ μὲν δὴ τῶν ὀνομάτων τῶν ἐπὶ Θεοῦ, καθ' ὃν δήποτε τύπον ἐκφωνουμένων ταῦτα γινώσκομεν, ὧν τὴν ἔκθεσιν ἀκατασκεύαστόν τι καὶ ἁπλῆν τοῖς εὐγνωμονεστέροις τῶν ἀκροατῶν παρεθέμεθα· πρὸς τὰς ἀτόνους τοῦ Εὐνομίου περὶ τούτων μάχας αἰσχρὸν C ἅμα καὶ ἀπρεπὲς ἡμῖν αὐτοῖς κρίναντες ἐκθύμως ἀντικαθίστασθαι. τί γὰρ ἄν τις εἴποι τῷ λέγοντι τύπον τῶν ὀνομάτων κυριώτερον ἡμᾶς ποιεῖσθαι τῆς τῶν ὀνομαζομένων ἀξίας, τοῖς ὀνόμασι τὴν κατὰ τῶν πραγμάτων δωρουμένοις προνομίαν, καὶ τοῖς ἀνίσοις ἰσοτιμίαν. ταῦτα οὕτως εἴρηται παρὰ τῆς ἐκείνου φωνῆς. κρινέτω δὲ ὁ κρίνειν ἐπισκεμμένος, εἴ τι καίριον ἡ σφοδρὰ τοῦ συκοφάντου κατηγορία καθ' ἡμῶν ἔχει ἐφ' ᾧ καὶ ἀπολογήσασθαι ἄξιον, ὅτι δωρούμεθα τοῖς ὀνόμασι τὴν κατὰ τῶν πραγμάτων προνομίαν, πᾶ- D σιν ὄντος προδήλου, ὅτι οὐδὲν τῶν ὀνομάτων οὐσιώδη καθ' ἑαυτὸ ὑπόστασιν ἔχει· ἀλλὰ γνώρισμά τι καὶ σημεῖον οὐσίας τινὸς καὶ διανοίας ἐστὶ πᾶν ὄνομα, αὐτὸ ἐφ' ἑαυτοῦ μήτε ὑπάρχον, μήτε νοούμενον. τῷ δὲ μὴ ὑφεστηκότι πῶς ἔστι νέμειν τὰς δωρεάς, διδασκέτω τοὺς μαθητὰς τῆς ἀπάτης ὁ προσφυῶς κεχρῆσθαι τοῖς ὀνόμασιν ἀξιῶν, καὶ τοῖς ῥήμασιν. τούτων δὲ οὐδ' ἂν ἐπεμνήσθην ὅλως, εἰ μὴ δι' αὐτῶν ἔδει τὴν ἀπόδειξιν τῆς κατά τε τὸν νοῦν τι καὶ τὴν λέξιν ἀτονίας τοῦ λογογράφου ποιήσασθαι. καὶ ὅσα τῆς θεοπνεύστου γραφῆς ἀναρμόστως καὶ οὐ κατὰ σκοπὸν ἐπισύρεται, διαφορῶν ἀθανασίας

A ἀγγέλων τε καὶ ἀνθρώπων τεχνολογῶν, οὐκ οἶδα πρὸς ὅ,τι βλέπων, καὶ τί διὰ τούτου κατασκευάζων, καὶ ταῦτα παρήσω. τὸ γὰρ ἀθάνατον ἕως ἀθάνατον ᾖ, τὸ μᾶλλον καὶ ἧττον συγκριτικῶς οὐ προσδέχεται. εἰ γὰρ ὑποστολήν τινα κατὰ σύγκρισιν τὸ ἕτερον τῶν παρατιθεμένων μέρος ἐν τῷ τῆς ἀθανασίας ἔχοι λόγῳ· ἀνάγκη πᾶσα μηδὲ ἀθάνατον τὸ τοιοῦτον κατονομάζεσθαι. πῶς γὰρ ἂν ἔτι κυρίως λέγοιτο ἀθάνατον, οὗ τὸ θνητὸν ἡ διὰ συγκρίσεως ἀντιπαράθεσις κατηγόρησε; καὶ τὴν λεπτὴν ἐκείνην ἀκρίβειαν τὸ μὴ κελεύειν ἀδιάφθορον εἶναι, καὶ μέ- B σην τὴν τῆς στερήσεως ἔννοιαν· ἀλλὰ τὴν μὲν τῶν κρειττόνων χωρισμὸν, στέρησιν λέγειν, τὴν δὲ τῶν χειρόνων ἀπόστασιν, μὴ δεῖν τῷ ὀνόματι τούτῳ διασημαίνειν, ὡς εἰ ταῦτα κρατήσειε, μηκέτι κατ' αὐτὸν τῆς ἀποστολικῆς ἀληθευούσης φωνῆς, ἥ φησι μόνον αὐτὸν ἔχειν ἀθανασίαν, καὶ τοῖς ἄλλοις παρέχειν. τί γὰρ ἔχει κοινὸν ἡ ἐπαχθεῖσα ῥῆσις αὐτῷ πρὸς τὸν προαχθέντα λόγον; οὔτε ἡμῖν, οὔτε ἄλλοις τισὶ τῶν νοῦν ἐχόντων δυνατὸν ἐννοῆσαι. καὶ ἐπειδὴ τὰ σοφὰ ταῦτα καὶ λεπτὰ κατιδεῖν οὐκ ἰσχύσαμεν, ἀνεπιστήμονας ὀ- C νομάζει, καὶ τῆς τῶν πραγμάτων κρίσεως, καὶ τῆς τῶν ὀνομάτων χρήσεως, οὑτωσὶ τοῖς ῥήμασι γράφων, καὶ πάντα τὰ τοιαῦτα, ὡς οὐδεμίαν ἔχοντα κατὰ τῆς ἀληθείας ἰσχὺν, παραδραμοῦμαι ἀνεξετάστως, καὶ τὸ διαβάλλειν αὐτὸν τὴν ἐκτεθεῖσαν παρ' ἡμῶν τοῦ ἀφθάρτου τε καὶ ἀσωμάτου διάνοιαν, ὡς ἑκατέρας τῶν προσηγοριῶν τούτων, τῆς μὲν, τὸ ἀδιάστατον, ᾧ ἡ τριμερὴς τῶν σωμάτων οὐκ ἐνθεωρεῖται διάστασις· τῆς δὲ, τὸ φθορᾶς ἀνεπίδεκτον σημαινούσης· καὶ τὸ λέγειν D αὐτὸν, οὑτωσὶ τοῖς ῥήμασιν, ὅτι οὐ δικαιούμενοι τὸν τῶν ὀνομάτων τύπον, εἰς ἀναρμόστους ἐκπεσεῖν ἐννοίας. καὶ τὸ μὴ εἶναι ἢ μὴ προσεῖναι σημαντικὸν ὑπολαμβάνειν τούτων ἕκαστον, ἀλλ' αὐτὸ τὸ εἶναι, καὶ ταῦτα σιγῆς ἄξια, καὶ βαθείας λήθης εἶναι κρίνας, παρήσω, τοῖς ἐντυγχάνουσιν ἐφ' ἑαυτῶν φωρᾶσθαι τὴν μεμιγμένην μετὰ τῆς ἀνοίας ἀσέβειαν. ὃς ἀξιοῖ, μὴ ἀντιδιαστέλλεσθαι τὸ φθαρτὸν τῷ ἀφθάρτῳ, μηδὲ ἀπόστασιν σημαίνειν τοῦ χείρονος τὴν ἀφαιρετικὴν σημασίαν, ἀλλ' αὐτὸ τὸ εἶναι διὰ τοῦ ὑποκειμένου σημαίνεσθαι. εἰ τοίνυν οὐκ ἀφαιρετικὴ φθορᾶς ἡ τοῦ ἀφθάρτου σημασία παρὰ τοῦ κενῶς ταῦτα τεχνολογοῦντος νομίζεται,

Angelorum & hominũ immortalitatis differentiam pertractans, neſcio quò ſpectans, & quid per hoc præſtruens, etiã hæc dicere ſuperſedebo. quod enim immortale, quandiu immortale fuerit, magis & minus cõparatiuè non accipit. Si enim ſubſtractionẽ aliquam per comparationem eorũ quæ apponuntur pars altera in ratione immortalitatis haberet; neceſſe omnino eſſet neque quod tale eſt, immortale appellari. quomodo enim amplius propriè diceretur immortale, cuius mortalitatẽ facta per cõparationẽ contraria oppoſitio accuſauit? Et illam accuratã ſubtilitatẽ, quod non iubeat incorruptibilẽ eſſe, & mediã priuationis notitiã ſed præſtantiorũ quidem ſeparationẽ priuationẽ dicere; deteriorum verò abſceſſionẽ, ſiue diſtantiã non oportere hoc nomine ſignificare. quod ſi hæc præualeant, nõ amplius ſecũdum ipſum vox apoſtolica vera probabitur, quæ dicit ſolũ ipſum habere immortalitatẽ & aliis præbere. Quid enim habet cõmune ab ipſo inducta dictio ad eum quẽ inducit ſermonẽ? neque nobis, neq. aliis quibuſdam qui mente ſunt præditi, intelligere cõceſſum eſt? Et quoniã iſta docta & ſubtilia non potuimus perſpicere, rerũ iudicij & vſus nominũ inſcios & ignaros nominat, ſic ad verbũ ſcribẽs, & omnia quę ſunt eiuſmodi, vt quę nullam contra veritatẽ vim habeant, indiſcuſſa prætercurrã, & quod à nobis expoſitã incorruptibilis & incorporei intelligentiã calũnietur, quòd vtraq. horũ appellationũ vna quidẽ, quod dimẽſione caret, in quo tripertita corporũ nõ cernitur diſtantia, altera verò quod interitus nõ eſt capax, ſignificet. Et quod ipſe dicat his verbis, propterea quod iuſtè nõ accipimus nominum formam, in abſurdas & inconcinnas notiones excidimus. Et quod nõ eſſe vel adeſſe horum vnumquodq. exiſtimemus ſignificare, ſed ipſum eſſe, hæc etiam ſilentio & profunda obliuione digna eſſe iudicans, prætermittã ipſis legentibus in ſeipſis deprehendere mixtã cum amentia impietatẽ. Vt qui cenſeat corruptibile ab incorruptibili nõ differre, neque abſceſſionẽ ſignificare deterioris abſtractiuam ſignificationem, ſed ipſum eſſe per ſubiectum ſignificari. Si igitur incorruptibilis ſignificatio interitum non abſtrahit, ab eo qui hæc inaniter & incaſſum arte ſua confingit exiſtimatur,

1. Tim. 6.

contrarium omnino per omnem neceſſitatem demonſtrabit eiuſmodi nominis forma. Si enim incorruptibilitas non interitus eſt alienatio, profectò aſſenſio erit diſſentanei: hæc enim eſt oppoſitorum natura, vt vnius ablatione alterius oppoſiti poſitio conſequatur. Sed & acerbam illam adſtructionem quod Deus natura nõ ſit capax mortis, vt qui contrariam de his habeat opinionem, valere ſinamus. Nos enim in oppoſitis nihil differre putamus, vel dicere aliquid eſſe, vel contrarium non eſſe: vt iam in præſenti ſermone vitam aſſerentes Deum eſſe, huius confeſſionis vi ac poteſtate vetamus mortem in ipſo cogitare, etſi non per vocem enuntiamus: Et cum ipſum mortis non capacem confeſſi fuerimus, eadem oratione ipſum vitam eſſe affirmauimus. Sed non video, inquit, quomodo ex his quæ non inſunt, Deus ſuper ſuas creaturas emineat. Et hoc erudito argumento ſiue conatu cum impietate bardum ſiue ſtolidum nominat magnum Baſilium, qui talibus verbis vti auſus eſt, aduerſus quem dixerim non valde effuſè contra eos, qui hęc dicunt, contumeliis vſum fuiſſe, ne iiſdem imprudens ſeipſum probris afficiat: fortaſſe enim neque ipſe contradixerit, in hoc diuinæ naturæ maieſtatẽ cognoſci, in quo nullam habet cum his cõmunionem, quorum natura infima particeps oſtenditur. Si enim vnum quid horum eſſet, neque plus haberet, ſed idẽ prorſus eſſet cum vnoquoque eorum quæ proprietatis communionem habent. Quòd ſi ſupra hæc eſt, quia nimirum hæc non habeat, ſuper ea quę hæc habẽt, eminet: quemadmodũ dicimus peccati expertem pręſtantiorem eſſe his qui peccatis contaminantur. Nam à malo ſeparatũ eſſe, in optimis diuitem eſſe, demõſtratio efficitur. Sed hic quidem cõtumelioſus conuitiator ſua natura vtatur: nos autem cum exiguũ quid eorũ ſignificauerimus quę ſunt in hac parte dicta, ad propoſita orationẽ reducem⁹. Similiter, ait, ipſum ſuperare quæ ſunt mortalia vt immortalem, & corruptibilia vt incorruptibilem, & his quæ ſunt genita ſupereminere, vt ingenitum. An non omnibus perſpicua eſt huius Deo rebellis impietatis aſſertio, an oratione improbitatem conuenit reuelare? Quis ignorat quæ eadem menſura ſuperata ſunt,

A τοὐναντίον πάντως κατὰ πᾶσαν ἀνάγκην ὁ τοιοῦτος ἐνδείξεται τοῦ ὀνόματος τύπος. εἰ γὰρ οὐκ ἔστι φθορᾶς ἀλλοτρίωσις ἡ ἀφθαρσία, συγκατάθεσις ἔσται πάντως τοῦ ἀπεμφαίνοντος· αὕτη μὲν γὰρ τῶν ἀντιθέτων ἡ φύσις, ὡς τῇ τοῦ ἑνὸς ἀφαιρέσει, τὴν τοῦ ἀντικειμένου θέσιν ἀντεισιέναι. ἀλλὰ καὶ τὴν δριμεῖαν ἐκείνην κατασκευὴν τοῦ φύσει τὸν Θεὸν ἀνεπίδεκτον εἶναι θανάτου, ὥσπερ ὄντος τοῦ τὴν ἐναντίαν περὶ τούτων ἔχοντος δόξαν, χαίρειν ἐάσωμεν. ἡμεῖς γὰρ ἐν τοῖς ἀντιθέτοις οὐδὲν διαφέρειν ἡγούμεθα, B ἢ τὸ δὲ λέγειν τι εἶναι, ἢ τὸ ἐναντίον μὴ εἶναι. οἷον δὴ καὶ ἐπὶ τοῦ παρόντος λόγου ζωὴν εἰπόντες τὸν Θεὸν εἶναι, ἀπαγορεύομεν τῇ δυνάμει διὰ τῆς ὁμολογίας ταύτης τὸν θάνατον περὶ αὐτὸν ἐννοεῖν, κἂν μὴ διὰ τῆς φωνῆς ἐξαγγέλλωμεν· καὶ ὅταν ἀνεπίδεκτον αὐτὸν θανάτου ὁμολογήσωμεν, τῷ αὐτῷ λόγῳ τὸ ζωὴν αὐτὸν εἶναι κατεσκευάσαμεν. ἀλλ᾽ οὐχ ὁρῶ, φησί, πῶς ἂν ἐκ τῶν μὴ προσόντων ὑπερέχει τῶν αὐτοῦ ποιημάτων ὁ Θεός. καὶ ἐπὶ τῷ σοφῷ τούτῳ ἐπιχειρήματι, μετὰ ἀσεβείας ἠλίθιον ὀνομάζει τὸν μέγαν Βασίλειον, τὸν τοῖς τοιούτοις ἐπιτολμήσαντα λό- C γοις· πρὸς ὃν εἴποιμι ἄν, μὴ λίαν ἀφειδῶς κατὰ τῶν ταῦτα λεγόντων κεχρῆσθαι ταῖς ὕβρεσι, μήπως καὶ ἑαυτὸν λάθῃ τοῖς ἴσοις καθυβρίζων. τάχα γὰρ οὐδ᾽ ἂν αὐτὸς ἀντείποι, ἐν τούτῳ τὸ μεγαλεῖον τῆς θείας γνωρίζεσθαι φύσεως, ἐν ᾧ μηδεμίαν ἔχει πρὸς ταῦτα κοινωνίαν, ὧν ἡ κάτω φύσις μετέχουσα δείκνυται. εἰ γὰρ ἕν τι τούτων εἴη, οὐδ᾽ ἂν τὸ πλέον ἔχοι, ἀλλὰ ταὐτὸν ἂν εἴη πάντως ἑκάστῳ τῶν ἐπικοινωνούντων τοῦ ἰδιώματος. εἰ δὲ ὑπὲρ ταῦτά ἐστι, τῷ μὴ ἔχειν δηλαδὴ ταῦτα, τῶν ἐχόντων ὑπερανέστηκε· καθάπερ φαμὲν κρείττονα τῶν ἐν ἁμαρτίαις ὄντων εἶναι, τὸν ἀναμάρτητον. τὸ γὰρ D τοῦ κακοῦ κεχωρίσθαι, τοῦ πλουτεῖν ἐν τοῖς ἀρίστοις ἀπόδειξις γίνεται. ἀλλ᾽ ὁ μὲν ὑβριστὴς κεχρήσθω τῇ φύσει. ἡμεῖς δὲ μικρόν τι παρασημηνάμενοι τῶν ἐν τῷ μέρει τούτῳ ῥηθέντων, πρὸς τὰ προκείμενα τὸν λόγον μετάξομεν. ὁμοίως, φησίν, αὐτὸν ὑπερέχειν τῶν μὲν θνητῶν ὡς ἀθάνατον, τῶν δὲ φθαρτῶν ὡς ἄφθαρτον, τῶν δὲ γεννητῶν ὡς ἀγέννητον. ἆρα πᾶσιν ἐστὶ πρόδηλος ἡ τοῦ θεομάχου τῆς ἀσεβείας κατασκευή, ἢ λόγῳ προσήκει διανακαλύψαι τὴν πονηρίαν; τίς οὐκ οἶδεν ὅτι τὰ τῷ αὐτῷ μέτρῳ ὑπερεχόμενα,

να πάντως ἀλλήλοις ἐστίν. εἰ οὖν ὁμοίως ὑπερέχεται παρὰ τοῦ Θεοῦ τὸ φθαρτὸν καὶ γεννητὸν, γεννητὸς δὲ καὶ ὁ κύριος, Εὐνόμιος συμπερανάτω τὸ ἐκ τῶν τεθέντων ἀνακύπτον ἀσέβημα. δῆλον γὰρ ὅτι ταὐτὸν ἡγεῖται τῇ φθορᾷ καὶ τῷ θανάτῳ, τὴν γέννησιν. ὡς ταὐτὸν ἐν τοῖς περὶ τούτου λόγοις ἐν τῷ ἀφθάρτῳ, τὸ ἀγέννητον ἀπεφήνατο. εἰ οὖν ἐν ἴσῳ βλέπει τὴν φθορὰν καὶ τὴν γέννησιν, καὶ ὁμοίως λέγει τὸν Θεὸν ἀφεστάναι τῶν δύο· γεννητὸς δὲ ὁ κύριος, μηδεὶς παρ' ἡμῶν ἀπαιτείτω προστεθεῖναι τὸ ἐκ τοῦ λόγου ἀκόλουθον, ἀλλ' ἀφ' ἑαυτοῦ συλλογισάσθω τὸ πέρας. εἴπερ ἐπίσης καὶ κατὰ τὸν αὐτὸν λόγον τοῦ γεννητοῦ καὶ τοῦ φθαρτοῦ ἡ τοῦ Θεοῦ φύσις ἀφέστηκεν. ἀλλ' οὐκ ἔστι, φησὶν, ἀπουσίᾳ θανάτου καὶ φθορᾶς, λέγειν ἄφθαρτον αὐτὸν καὶ ἀθάνατον. πειθέσθωσαν τοῖς εἰρημένοις, οἱ τῶν ῥινῶν ἑλκόμενοι, καὶ πρὸς τὸ δοκοῦν ἑκάστῳ περιαγόμενοι, καὶ λεγέτωσαν παρεῖναι τῷ Θεῷ τὴν φθορὰν καὶ τὸν θάνατον, ἵνα ἀθάνατός τε καὶ ἄφθαρτος λέγηται. εἰ γὰρ οὐχὶ τὴν ἀπουσίαν τοῦ θανάτου καὶ τῆς φθορᾶς, καθώς φησιν ὁ Εὐνόμιος, αἱ ἀφαιρετικαὶ τούτων προσηγορίαι σημαίνουσι, πάντως τὸ παρεῖναι αὐτῷ τὰ ἐναντία τε καὶ ἀλλότρια διὰ τῆς τεχνολογίας ταύτης κατασκευάζεται. ἕκαστον γὰρ τῶν νοουμένων ἢ ἄπεστι πάντως τινὸς, ἢ οὐκ ἄπεστιν. οἷον, φῶς, σκότος, ζωὴ, θάνατος, ὑγεία, νόσος, καὶ ὅσα τοιαῦτα· ἐφ' ὧν εἰ τὸ ἕτερόν τις τῶν νοουμένων ἀπεῖναι λέγοι, τὴν τοῦ ἑτέρου πάντως παρουσίαν κατασκευάσει. εἰ οὖν φησὶ μὴ τῇ τοῦ θανάτου ἀπουσίᾳ τὸν Θεὸν ἀθάνατον λέγεσθαι, δῆλος ἂν εἴη παρουσίαν αὐτῷ θανάτου κατασκευάζων, καὶ διὰ τοῦτο τὴν ἀθανασίαν ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων ἀρνούμενος. πῶς γὰρ ἂν ἔτι ἀθάνατος ἀληθῶς εἴη καὶ ἄφθαρτος, οὗ μὴ ἀπεῖναι λέγει τὴν φθορὰν καὶ τὸν θάνατον; ἀλλ' ἴσως ἐρεῖ τις ἡμᾶς ἐπηρεαστικώτερον τῷ λόγῳ προσφύεσθαι. μὴ γὰρ δὴ οὕτω μανῆναί τινα, ὡς κατασκευάσαι τὸν Θεὸν μὴ εἶναι ἀθάνατον. ἀλλὰ τῶν μὲν ἐν τῷ κρυπτῷ τισὶ νοουμένων, οὐδεὶς ἀνθρώπων τὴν γνῶσιν ἔχει, διὰ δὲ τῶν λεγομένων ὁ στοχασμὸς ἡμῖν τῶν κεκρυμμένων γίνεται. οὐκοῦν πάλιν τὸ ῥητὸν ἀναλάβωμεν. οὐκ ἀπουσίᾳ θανάτου, φησὶν, ὁ Θεὸς ἀθάνατος λέγεται. πῶς δεξόμεθα τὸ λεγόμενον; ὅτι οὐκ ἄπεστι τοῦ Θεοῦ ὁ θάνατος, κἂν ἀθάνατος λέγηται. οὐκοῦν εἰ τοῦτο

A æqualia omnino eſſe inter ſe. Si igitur ſimiliter à Deo ſuperantur corruptibile & genitum: genitus autem eſt etiam dominus; Eunomius concludat expoſitis emergens inexpiabile ſcelus. Perſpicuum enim eſt quod generationem idem exiſtimat cum interitu & morte. Vt idem in paulò ſuperioribus ſermonibus cum incorruptibili ingenitum pronuntiauit, Si ergo in æquali cernit interitum & generationem, & ſimiliter aſſerit, ab his duobus Deum abeſſe; genitus autem Dominus; nullus à nobis exigat, quod ex hac oratione con- B ſequitur, proponere, ſed ex ſeipſo concluſionem colligat. Siquidem ex æquo & ſecundum eandem rationem à genito & corruptibili Dei natura diſtat. Sed non licet, inquit, mortis & interitus abſentia, dicere incorruptibilem ipſum & immortalem. Fidem habeant dictis, qui naribus trahuntur, & ad id quod cuique videtur circumaguntur, & dicant Deo interitum & mortem adeſſe, vt immortalis & incorruptibilis dicatur. Si enim mortis & interitus abſentiam, ſicut ait Eunomius, ſubſtractiuæ C horum appellationes non ſignificant, omnino ei adeſſe contraria & aliena hoc artificio adſtruitur. Vnumquodque enim eorum quæ intelliguntur, vel abeſt prorſus ab aliquo, vel non abeſt: vt lux, tenebræ, vita, mors, ſanitas, morbus, & quæcumque eiuſmodi: in quibus ſi alterum eorum quæ intelliguntur abeſſe quis dicat, proculdubio alterius præſentiam conſtruet: Si igitur aſſerit mortis abſentia Deum non dici immortalem, manifeſtè adſtruet mortis præſentiam ei adeſſe. Atque idcirco immortalitatem in Deo vniuer- D ſorum negabit. Quomodo enim verè immortalis & incorruptibilis ille fuerit, à quo ille non abeſſe interitũ & mortem autumat? Sed dicet aliquis, nos infeſtius & calumnioſius ſermoni adhęreſcere. Non enim ſic quẽquam inſanire, vt Deum nõ eſſe immortalem adſtruat. Sed eorum quidẽ quæ in occulto à quibuſdam intelligũtur, nullus hominum cognitionẽ habet, ſiquidem per ea quæ dicuntur in nobis abditorũ ſit cõiectura. Ergo iterum quod dictũ eſt reſumamus. Non abſentia mortis (inquit) Deus immortalis dicitur. quomodo quod dicitur accipiem⁹? quod à Deo mors nõ abeſt, etſi immortalis dicitur. Igitur ſi hoc

iubet intelligere, erit penitus mortalis Eunomij Deus, & interitui obnoxius, à quo enim mors non abeſt, immortalis vt ſit, naturam non habet. Verumtamen ſi neque mortis neq. corruptionis abſentiam hæ appellationes (priuatiuę) ſignificant, vel fruſtra de Deo vniuerſorum dicuntur, vel alium quendam intellectum in ipſis complectuntur. Quis igitur intellectus? interpretetur artifex. Sed nos, vt inquit Eunomius, ſumus & rerum iudicij expertes, & nominum vſus inſcij, ſanum dicere didicimus, non à quo robur, ſed à quo morbus ſeparatus eſt: & incolumem, non eum qui eſt extra cõuiuia, ſed qui nullã in ſeipſo habet mutilationem: & cætera omnia ſimiliter, vel ex præſente, vel ex non pręſente nominamus, fortem, effœminatum, ſomnolentum, inſomnem, & quæcumque ſunt conſuetudinis. Sed haud ſcio quid lucri adferat, has nugas animaduerſione dignas cenſere: viro enim in canitie viuenti, & ad veritatem reſpicienti, non parua ad condemnationem culpa, ridicula & perfidias aduerſarij ambitioſa contione maledictis inſectari: quapropter & illa prætermittam, & quæ deinceps illis adiacent. Nulla, inquit, veritate Deo naturalem coniunctionem attribuente. Si enim hoc dictum non eſſet, quis Deum eſſe biformem diceret præter te, qui omnem nominis notitiam patris eſſentiæ coaleſcere facis, nihilque extra adeſſe dicis, ſed ſingula nomina de Deo celebrata, in Dei eſſentia velut in centrum adducens. Deinde (inquit) neque certè extrinſecus & à nobis confictam talem notitiam pietate legibus inſcribente. Sed de dictis rurſus precabor, vt credãt, me non vt legentibus riſum mouerem, has ridiculas voces expoſuiſſe: ſed vt auditori perſuaderem, à quo iſte apparatu ſermonum incitatus, noſtram ſimplicitatem diluit, deinde contra veritatem audacter loquitur. Quiſnam ratione & qualia profert, auditoribus elephantino corio obductis vſque ad delitias oſtentabundus & iactabundus, qui eius arrogantes has ſicci oris voces mala compoſitione traijcientes, tanquam omnium dicendi facultate victorem prædicant. Sed ipſam immortalitatem eſſe dicit eſſentiam, vnigeniti autem eſſentiam: Quid ais? ad ipſum dixerim, immortalitatem, an non? quo-

A κελεύει νοεῖν, θνητὸς ἔσται πάντως ὁ Εὐνομίου Θεὸς, καὶ φθορᾷ ὑποκείμενος. οὗ γὰρ οὐκ ἄπεστι θάνατος, ἀθάνατον εἶναι φύσιν οὐκ ἔχει. ἀλλὰ μὴν εἰ μήτε θανάτου μήτε φθορᾶς ἀπουσίαν αἱ προσηγορίαι σημαίνουσιν, ἢ μάτην ἐπιλέγονται τῷ ἐπὶ πάντων Θεῷ, ἢ ἕτερόν τινα νοῦν ἐν αὐταῖς περιέχουσι. τίς οὖν οὗτος, ἑρμηνευσάτω ὁ τεχνολόγος. ἀλλ' ἡμεῖς οἱ, καθώς φησιν ὁ Εὐνόμιος, ἀνεπιστήμονες καὶ τῆς τῶν πραγμάτων κρίσεως, καὶ τῆς τῶν ὀνομάτων χρήσεως, ἄνοσον λέγειν ἐμαθήκαμεν, οὐχ οὗ τὸ κράτος,
B ἀλλ' οὗ ἡ νόσος κεχώρισται· καὶ ἄπηρον οὐ τὸν ἔξω τῶν συμποσίων ὄντα, ἀλλὰ τὸν μηδεμίαν ἐν ἑαυτῷ πήρωσιν ἔχοντα· καὶ τὰ ἄλλα πάντα ὡσαύτως, ἢ ἐκ τοῦ παρόντος ἢ ἐκ τοῦ μὴ παρόντος κατονομάζομεν, ἀνδρεῖον, ἄνανδρον, ὑπνώδη, ἄυπνον, καὶ ὅσα τῆς συνηθείας ἔχεται ταύτης. ἀλλ' οὐκ οἶδα τί φέρει κέρδος τὸ τὰς φλυαρίας ταύτας ἀξιοῦν ἐξετάσεως· ἀνδρὶ γὰρ ἐν πολιᾷ ζῶντι, καὶ πρὸς ἀλήθειαν βλέποντι, οὐ μικρὰ πρὸς κατάκρισιν αἰτία, τὸ γελοῖά τινα καὶ ἄσπουδα τῆς τοῦ ἀντιπάλου φιλονεικίας διὰ στόματος φέρειν·
C διὸ παρήσω κἀκεῖνα, καὶ τὰ ἑξῆς ἐκείνοις προσκείμενα. ἔστι δὲ ταῦτα. μηδεμίαν, φησὶ, τῆς ἀληθείας, μήτε τῷ Θεῷ συμφυΐαν προσμαρτυρούσης. εἰ γὰρ μὴ εἴρητο τοῦτο, τίς ἂν ὁ διφυᾶ τὸν Θεὸν εἶναι λέγων, πλὴν σοῦ, τοῦ πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ πατρὸς οὐσίᾳ συμφύοντος, καὶ μηδὲν ἔξω προσεῖναι λέγοντος, ἀλλ' ἕκαστον τῶν περὶ τὸ θεῖον ὀνομάτων, τῇ οὐσίᾳ τοῦ Θεοῦ ἐγκεντρίζοντος. εἶτα, φησὶ, μήτε μὴν ἔξωθεν καὶ παρ' ἡμῶν πλαττομένην τοιαύτην ἔννοιαν εὐσεβείας νόμοις ἐγγραφούσης. ἀλλὰ παραιτήσομαι πάλιν περὶ τῶν
D εἰρημένων, ὡς οὐχὶ γελωτοποιῶν τοῖς ἐντυγχάνουσι τὰς ἐπιγελάστους ταύτας ἐξεθέμην φωνάς· ἀλλ' ὡς ἂν πείσαιμι τὸν ἀκροατὴν, ἀφ' οἵας οὗτος παρασκευῆς τῶν λόγων ὁρμώμενος, ὁ τὸν ἡμέτερον ἰδιωτισμὸν διαπλύνων, ἔπειτα τῆς ἀληθείας καταθρασύνεται. τίς ὢν κατὰ τὸν λόγον καὶ οἷα φθεγγόμενος, ὁ τοῖς παχυδέρμοις τῶν ἀκροατῶν ἐντρυφῶν τε καὶ ἐμπομπεύων, οἳ τὰς στομφώδεις αὐτοῦ ταύτας ξηροστομίας κακοσυνθέτως διαπείροντες, ὡς κεκρατηκότα τῶν πάντων τῇ δυνάμει τῶν λόγων ἀνακηρύσσουσιν. ἀλλ' αὐτὴν εἶναί φησι τὴν οὐσίαν ἀθανασίαν, τὴν δὲ τοῦ μονογενοῦς οὐσίαν· τί φῄς; πρὸς αὐτὸν εἴποιμι ἄν, ἀθανασίαν, ἢ οὐχί;

ὅπερ

ἐπεὶ καὶ ἐπὶ ταύτης ἡ ἁπλότης, οὐδεμίαν καθώς φῄς, συμφυΐαν προσίεται. Εἰ μὲν οὖν ἀρνεῖται τὸ ἀθανασίαν εἶναι τοῦ υἱοῦ τὴν οὐσίαν, δῆλον εἰς ὅτι βλέπει. τὸ γὰρ ἀντιδιαστελλόμενον τῷ ἀθανάτῳ, οὐ λίαν ἐστὶ λεπτῆς κατανοῆσαι φρενός. ὡς γὰρ τὸ μὴ ἄφθαρτον φθαρτὸν ἡ ἀκολουθία τῆς ἀντιδιαιρέσεως δείκνυσι, καὶ τρεπτὸν τὸ μὴ ἄτρεπτον· οὕτω καὶ θνητὸν πάντως, τὸ μὴ ἀθάνατον. τί οὖν ὁ τῶν καινῶν δογμάτων ἐξηγητής; τί περὶ τῆς τοῦ μονογενοῦς οὐσίας ἡμῖν κυριολογήσει; πάλιν γὰρ τὴν αὐτὴν προσοίσω τῷ λογογράφῳ ἐρώτησιν. δώσει καὶ ταύτην ἀθανασίαν εἶναι, ἢ οὐ συνθήσεται. Εἰ μὲν οὖν μὴ δέχοιτο τοῦ υἱοῦ τὴν οὐσίαν ἀθανασίαν εἶναι, ἀναγκαίως τῷ ἐναντίῳ συνθήσεται, διὰ τῆς τοῦ κρείττονος ἀφαιρέσεως θάνατον αὐτὴν εἶναι κατασκευάζων. Εἰ δὲ φεύγων τὸ ἄτοπον, ἀθανασίαν καὶ τοῦ μονογενοῦς τὴν οὐσίαν κατονομάζοι, οὐδεμίαν ἐξ ἀνάγκης διὰ τοῦτο κατὰ τὴν οὐσίαν διαφορὰν εἶναι συνθήσεται. Εἰ γὰρ ἐπίσης ἥτε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ φύσις ἀθανασία ἐστίν, ἀθανασία δὲ πρὸς ἑαυτὴν οὐδενὶ λόγῳ διαφορᾶς διασχίζεται, ἆρα καὶ παρ' αὐτῶν τῶν ἐχθρῶν ὁμολογεῖται, τὸ μηδένα διαφορᾶς λόγον ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ κατὰ τὴν οὐσίαν εὑρίσκεσθαι; ἀλλὰ καιρὸς ἂν εἴη τὴν χαλεπὴν αὐτοῦ καθ' ἡμῶν προθεῖναι κατηγορίαν, ἣν ἐπὶ τέλει τοῦ λόγου πεποίηται. λέγων ἡμᾶς ἐκ τοῦ πάντη μὴ ὄντος τὸν πατέρα λέγειν· κλέψας τινὰ λέξιν ἐκ τῆς συμφράσεως, καὶ ψιλὴν αὐτὴν καὶ ἀσύντακτον ἐκ τοῦ λοιποῦ σώματος ἀφελκύσας, κνίζειν ἐπιχειρεῖ τοῖς ἐκπλήκτοις ὀδοῦσι κατασπαράσσων, μᾶλλον δὲ κατασιελίζων τὸν λόγον. λέξω δὲ πρότερον μὲν τὴν διάνοιαν τῶν παρὰ τοῦ διδασκάλου περὶ τούτου διευκρινηθέντων ἡμῖν. εἶθ' οὕτω τὸν λόγον αὐτὸν ἐπὶ λέξεως παραθήσομαι, ὡς ἂν πᾶσι γένοιτο φανερὸς ὁ ἐπὶ λύμῃ τῆς ἀληθείας ταῖς τῶν εὐσεβούντων σπουδαῖς εἰσφθειρόμενος. προσάγων γὰρ ἡμᾶς τῇ τοῦ ἀγεννήτου σημασίᾳ διὰ τῶν καθ' ἑαυτὸν λόγων ὁ διδάσκαλος ἡμῶν, τοιαύτην ἡμῖν ἔφοδον πρὸς τὴν τοῦ ζητουμένου γνῶσιν ὑπέθετο, δεικνὺς πόῤῥω τῆς κατ'

A niam etiam in hac ſimplicitas, nullam, ſicut ais, connexionem naturæ appetit. Siquidem negat immortalitatem eſſe eſſentiam, perſpicuum ad quid reſpicit. Quod enim immortali ex aduerſo opponitnr, non eſt ſubtilis mentis cogitare. Vt enim quod non corruptibile, corruptibile conſequentia oppoſitæ diuiſionis demonſtrat, & mutationi eſt obnoxium quod non eſt immutabile; ſic etiam mortale prorſus, quod non immortale. Quid igitur nouorum dogmatum explanator? Quid de vnigeniti eſſentia, nobis proprio nomine dicet? B Rurſus enim eandem ſcriptori interrogationem proferam: dabit & hanc immortalitatem eſſe, vel non aſſentietur. Si igitur non approbet filij eſſentiam immortalem eſſe, neceſſariò contrario adſtipulabitur, per præſtantioris ablationem, ipſam eſſe mortem præſtruens. Quod ſi abſurdum fugiens immortalitatem etiam vnigeniti eſſentiam nominet, nullam ex neceſſitate propterea ſecundum eſſentiam differentiam eſſe confitebitur. Si enim ex æquo & patris & filij C natura immortalis eſt, immortalitas autem in ſeipſam nulla ratione differentiæ diſcinditur, nunquid etiam ab ipſis inimicis conceditur, nullam differentiæ rationem in patre & filio ſecundum eſſentiam definiri? ſed iam tempus fuerit acerbam ipſius contra nos proponere orationem, quam in fine orationis fecit: dicens nos ex nihilo penitus patrem dicere, dictionem aliquam ex contextu ſuffuratus, ipſamque exilem & inordinatam ex reliquo corpore detractam vellicare conatur, & ſtomachum facere inſanis dentibus D dilacerans, vel potius ſaliuans, id eſt, velut ſaliuam ſermonem expuens, primum quidem dicam ſententiam eorum quæ à doctore de hoc præclarè ſunt oratione diſtincta. Deinde ipſum ſermonem ad verbum apponam, vt omnibus fiat manifeſtarius in contumeliam veritatis in ſtudia piorum perniciosè irrepere. Nos enim adducens ad ingeniti ſignificationem per ſuos ſermones doctor noſter, talem nobis inſinuationem ad cognitionem eius quod quæritur, ſubiecit, demonſtrans longè à notitia quæ eſt ſecundum eſ-

ſentiam, eſſe ingeniti ſignificatum. A

Luc. 3. Cum Euangeliſta (inquit) genealogiæ quæ eſt ſecundum carnem ex Ioſeph principium feciſſet, deinde ſemper progrediens ad tempore antiquiorem, terminum genealogiæ in Adamo definiſſet. Et quia non primo formato ſuperior eſſet corporeus pater, hunc Dei eſſe dixit. Promptum eſſe inquit, cuiuſque notioni de Deo illud accipere. Quod Deus eſt, ex quo Adamus, non ad ſimilitudinem eorum quorum genealogia humano more deſcripta eſt, ipſe ex alio ſubſtantiam habet. B Quoniam enim omnia percurrentes narrando Deum poſt omnia mente capimus, omnium principium intelleximus. Principium autem omne ſiquidem ex alio quodam pendeat, principium non eſt. Igitur principium vniuerſi Deus. Neque quicquam eſt quod ſupra principium omnium conſtitui poſſit: hæc doctoris de ingeniti ſignificatione expoſitio. Et quod nihil extra veritatem ipſi à nobis attributum eſt, ipſam de hoc ad verba dictionem exponam.

Ibidem. Lucas Euangeliſta, inquit, genealogiam ſecundum carnem, Dei C & ſeruatoris noſtri Ieſu Chriſti exponens, & à poſtremis ad primum repedans ſiue retrogradiens, à Ioſepho quidem orſus eſt: cum dixiſſet autem hunc Helei, & hunc Mattath, & ſic per aſcenſum ad Adamum narrationem abducens, deinde cum veniſſet ad ſummos, & dixiſſet Sethum ex Adamo, ipſum autem Adamum ex Deo, hîc aſcendendi finem fecit. Quemadmodum igitur ille dixit, Adamum ex Deo, nos ipſum interrogabimus, ipſe verò Deus ex quo? An non promptum eſt cuiuſque cogitationi quod D ex nullo? Quod autem ex nullo eſt, id videlicet principij expers. Quod autem principij expers, ingenitum eſt. Vt igitur in hominibus eſſentia quod eſt ex aliquo, ſic neque in Deo vniuerſorum eſſentiam licet dicere, quod ingenitum. Quibus oculis adhuc ad ducem veſtrum adſpicitis, ad vos dico, pereuntium gregem. Quomodo aures inclinatis ei qui talem columnam ſuæ impudentiæ per hos ſermones ſtatuit? Non etiam vos pudet nunc ſanè, ſi etiam non prius tali manuductore

A τὴν οὐσίαν ἔννοιας ἐν τοῦ ἀγεννήτου τὸ σημαινόμενον. τοῦ εὐαγγελιστοῦ, φησι, τῆς κατὰ σάρκα τοῦ κυρίου γενεαλογίας ἐκ τοῦ Ἰωσὴφ τὴν ἀρχὴν ποιησαμένου, εἶτα προϊόντος ἐπὶ τὸν ἀεὶ χρόνῳ πρεσβύτερον, καὶ εἰς τὸν Ἀδὰμ τὸ πέρας τῆς γενεαλογίας ὁρίσαντος. καὶ διὰ τὸ μὴ ὑπάρχειν αὐτῷ τοῦ πρωτοπλάστου σωματικὸν πατέρα, τοῦ Θεοῦ φήσαντος. πρόχειρον εἶναι, φησι, τῇ ἑκάστου διανοίᾳ περὶ τοῦ Θεοῦ τοῦτο λαβεῖν· ὅτι ὁ Θεὸς ἐξ οὗ ὁ Ἀδὰμ, οὐ καθ' ὁμοιότητα τῶν ἀνθρωπικῶς γενεαλογηθέντων καὶ αὐτὸς ἐξ ἑτέρου τὴν ὑπόστασιν ἔχει. B ἐπειδὴ γὰρ πάντα διεξελθόντες τὸν Θεὸν μετὰ πάντα τῷ νῷ λάβωμεν, τὴν πάντων ἀρχὴν ἐνοήσαμεν. ἀρχὴ δὲ πᾶσα εἴπερ ἐξ ἑτέρου τινὸς ἐξημμένη τύχοι, ἀρχὴ οὐκ ἔστιν. οὐκοῦν εἰ ἀρχὴ τοῦ παντὸς ὁ Θεός. οὐθ' ὁτιοῦν ἔσται τῆς τῶν πάντων ἀρχῆς ὑπερκείμενον, αὕτη τοῦ διδασκάλου περὶ τῆς τοῦ ἀγεννήτου σημασίας ἡ ἔκθεσις· καὶ ὅτι οὐδὲν ἔξω τῆς ἀληθείας αὐτῷ παρ' ἡμῶν μεμαρτύρηται, αὐτὴν ἐπὶ ῥημάτων τὴν περὶ τούτου ῥῆσιν C ἐκθήσομαι. ὁ εὐαγγελιστὴς, φησι, Λουκᾶς, τὴν κατὰ σάρκα γενεαλογίαν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκτιθέμενος, καὶ ἀπὸ τῶν τελευταίων ἐπὶ τοὺς πρώτους ἀναποδίζων, ἤρξατο μὲν ἀπὸ τοῦ Ἰωσὴφ, εἰπὼν δὲ τοῦτον τοῦ Ἠλεὶ, τὸν δὲ τοῦ Ματθὰθ, καὶ οὕτω κατὰ ἀνάβασιν πρὸς τὸν Ἀδὰμ τὴν ἐξήγησιν ἐπαναγαγών. εἶτα ἐλθὼν ἐπὶ τοὺς ἄνω καὶ εἰπὼν, ὅτι ὁ Σὴθ ἐκ τοῦ Ἀδάμ· ὁ δὲ Ἀδὰμ ἐκ τοῦ Θεοῦ, ἐνταῦθα τῆς ἀναβάσεως ἔληξεν. ὥσπερ οὖν ἐκεῖνος εἶπεν, ὅτι ὁ Ἀδὰμ D ἐκ τοῦ Θεοῦ, ἡμεῖς ἑαυτὸν ἐρωτήσωμεν. ὁ δὲ Θεὸς ἐκ τίνος; ἆρ' οὐχὶ πρόχειρόν ἐστι τῇ ἑκάστου διανοίᾳ ὅτι ἐξ οὐδενός, τὸ δὲ ἐξ οὐδενὸς τὸ ἄναρχόν ἐστι δηλονότι. τὸ δὲ ἄναρχον, τὸ ἀγέννητον. ὡς οὖν ἐπὶ τῶν ἀνθρώπων οὐσία τὸ ἔκ τινος· οὕτως οὐδὲ ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων, οὐσίαν ἐστὶν εἰπεῖν τὸ ἀγέννητον. τίσιν ὀφθαλμοῖς ἔτι πρὸς τὸν ὁδηγὸν ὑμῶν ἀποβλέπετε, πρὸς ὑμᾶς λέγω, τὴν τῶν ἀπολλυμένων ἀγέλην. πῶς ἔτι τὴν ἀκοὴν ὑποκλίνετε τῷ τοιαύτην στήλην τῆς ἰδίας ἀναιδείας διὰ τῶν λόγων στήσαντι; οὐκ αἰσχύνεσθε νῦν γοῦν εἰ καὶ μὴ πρότερον τοιούτῳ χειραγωγῷ πρὸς

τὴν ἀλήθειαν χρώμενοι; οὐ σημείῳ χρήσεσθε τούτῳ τῆς περὶ τῶν δογμάτων αὐτοῦ μανίας, τῷ οὕτω πρὸς τὴν ἀλήθειαν αὐτὸν τῶν γεγραμμένων ἀναισχύντως ἀντικαθίστασθαι; οὕτως ἡμῖν καὶ τὰς θείας ἑρμηνεύει φωνάς; οὕτω τῆς τῶν δογμάτων ἀληθείας προΐσταται; ὡς ἀπελέγχειν Βασίλειον ἐκ τοῦ πάντη μὴ ὄντος γενεαλογοῦντα τὸν ἐπὶ πάντων Θεόν· εἴπω τὴν παρ' αὐτοῦ ῥῆσιν, ἐκθῶμαι τῆς ἀναισχυντίας τὰ ῥήματα, παρίημι τὰς ὕβρεις, οὐ μέμφομαι ταῖς λοιδορίαις· οὐ γὰρ αἰτιῶμαι τὸν δυσωδοῦντα τῷ στόματι, ὅτι ὀδωδεν· οὐδὲ τὸν τῷ σώματι λελωβημένον, ὅτι λελώβηται. τὰ γὰρ τοιαῦτα, φύσεως ἐστὶν ἀτυχήματα, τὴν παρὰ τῶν νοῦν ἐχόντων μέμψιν ἐκφεύγοντα. οὐκοῦν ἡ τοῦ ὑβρίζειν σπουδὴ, λογισμοῦ ἐστὶν ἀρρωστία, καὶ δυσκληρία ψυχῆς, τὸν ὑγιαίνοντα λογισμὸν λελωβημένης. οὐδεὶς οὖν μοι λόγος ὧν λελοιδόρηται, ἀλλὰ τὴν σφοδρὰν ἐκείνην καὶ ἄμαχον τοῦ συλλογισμοῦ πλοκὴν, δι' ἧς τὴν καθ' ἡμῶν κατηγορίαν πρὸς τὸν σκοπὸν ἑαυτοῦ συνεπέρανε, διαρρήδην γράψω κατ' αὐτὰ τὰ ῥήματα. ἵνα γὰρ, φησὶ, μὴ κωλυθῇ τὸν υἱὸν ἐκ μετουσίας εἰπεῖν τοῦ ὄντος, λέληθεν ἑαυτὸν, τὸν ἐπὶ πάντων Θεὸν ἐκ τοῦ πάντη μὴ ὄντος εἰπών. εἰ γὰρ τὸ μηδὲν τῷ πάντη μὴ ὄντι, ταυτὸν κατὰ τὴν ἔννοιαν, τῶν δὲ ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις, ὁ λέγων ἐξ οὐδενὸς εἶναι τὸν Θεὸν, ἐκ τοῦ πάντη μὴ ὄντος εἶναι λέγει τὸν Θεόν. πρὸς τι τῶν εἰρημένων πρότερον ἴδωμεν. ὅτι ἐκ μετουσίας τοῦ Θεοῦ τὸν υἱὸν οἴεται, καὶ τοῖς μὴ τοῦτο δεχομένοις ἐπισκεδάζει τοῦ στόματος ἑαυτοῦ τὴν δυσωδίαν, εἴτε τὴν ψυχρὰν καὶ ὀνειρώδη τοῦ σοφίσματος σύνθεσιν διεξετάσομεν. ἀλλ' ὅτι μὲν τὸ ἐκ μετουσίας τῇ θείᾳ φύσει προσάπτειν υἱοὺς, ποιητῶν μόνων καὶ μυθοπλαστῶν ἐστὶν, οὐκ ἂν ἀγνοοίη τις τῶν ὁπωσοῦν μετεχόντων φρονήσεως. καὶ οὕτω γὰρ οἱ τοῖς μέτροις τοὺς μύθους ἐνείροντες, Διονύσους τινὰς καὶ Ἡρακλέας, καὶ Μίνωας, καὶ ἄλλους τοιούτους ἐκ δαιμονίας εἰς ἀνθρώπινα σώματα συμπλοκῆς διαπλάσσουσι, καὶ ὑπεραίρουσι τῶν λοιπῶν ἀνθρώπων τοὺς τοιούτους τῷ λόγῳ, ὡς τῇ μετουσίᾳ τῆς κρείττονος φύσεως, τὸ πλέον ἔχοντας. οὐκοῦν τοῦτον μὲν τὸν λόγον ὡς οἴκοθεν τὸν τῆς ἀνοίας

A ad veritatem vtentes? non hoc vtemini ſigno inſaniæ de decretis ipſius, quod ſic aduerſus veritatem ſcriptorum impudenter ſe ipſe opponat? ſic nobis diuinas voces interpretatur? ſic veritatis decretorum defenſor & aſſertor proſtat? vt Baſilium reprehendat, qui ex eo quod omnino non eſt genealogiam Dei, qui eſt in omnibus, recenſeat? Dixerim ipſorum dictionem, expoſuerim impudentiæ verba, prætereo contumelias, non accuſo conuitia & probra, non culpo eum qui olet ore, quod oleuit: neque corpore vitiatum & mutilatum quod mutilus eſt. Talia enim ſunt naturæ infortu-
B nia, quæ vituperium à prudentibus effugiunt. Ergo contumelia afficiendi ſtudium rationis eſt inſania, atque animi ſana ratione vitiati infortunium. Nulla igitur mihi ſit ratio eius conuitiorum. Sed vehementem illum & inexpugnabilem ratiocinationis nexum, per quem contra nos accuſationem ad ſcopum perduxit, iiſdem verbis apertè ſcribam. Vt enim, inquit, non prohibitum ſit filium dicere ex participatione eius qui eſt, latuit ipſum dicere Deum, qui eſt in omnibus ex eo quod penitus non eſt. Si enim nihil idem eſt cum eo quod prorſus non eſt,
C ſecundum ſignificatum; eorum autem quæ æqualiter pollent libera eſt tranſſumptio, neque prohibetur: qui dicit Deum ex nullo, ex eo quod funditus non eſt dicit Deum eſſe. Ad aliquod eorum quæ ſunt dicta prius oculos conuertamus. Quod ex participatione Dei filium putat, his etiam qui non hoc accipiunt oris ſui graueolentiam inſpergit, vel turpem & ſomnioſam, ſiue turbulentam ſophiſmatis compoſitionem, ſiue ſtructuram diſquiremus. Sed
D quidem ex participatione diuinæ naturæ aſciſcere filios, ſolorum poëtarum & fabulatorum eſſe nemo qui vel paululum prudentiæ & mentis habeat, ignorat. Sic enim qui carminibus fabulas cõnectunt, Dionyſos quoſdam & Hercules, & Minoës ex dæmoniorum complexu in humana corpora confingunt, atque cæteris hominibus tales ſuperiores & auguſtiores ſuo carmine celebrant: vt participatione præſtantioris naturæ plus habentes. Ergo vt hunc quidem ſermonem vt è domo amentiæ

& impietatis reprehenſionem habentem ſilentio inuoluere decet. Sed potius inexpugnabilē illum ſyllogiſmum adijcere, vt noſtri ſimplices & imperiti diſcant, quale & quantum qui artificioſas inſinuationes non didicerunt, damnum & detrimentum paſſi ſunt. Si enim nihil (inquit) cum eo quod prorſus non eſt, idem eſt ſecundum ſenſum. Æquipollentium autē non prohibetur transſumptio: qui dicit ex nullo eſſe Deum, ex eo quod non omnino eſt dicit eſſe Deum. Quis dedit ei qui in nos Ariſtotelicam cuſpidem vibrat, dicere aliquem patrem non habere idem eſſe cum eo quod eſt ex eo quod nullo modo eſt ipſum eſſe. Qui enim eos qui in genealogia recēſentur à ſacra ſcriptura ordine numerauit, ſemper eius qui memoratus fuit, ſuperiorem patrem eſſe nimirum intelligit. Quid enim erat Heli Ioſepho, quid autem Mattathus Heli, quid etiam Adamus Seth, an non etiam puerulis valde manifeſtum & notum, quod patrum eſt enumeratio eorum qui memorati ſunt, horum nominum recenſio? Si enim Sethus filius Adami, pater eius qui ex ipſo genitus eſt proculdubio eſt Adamus. Sic dic mihi, Quis pater Dei qui eſt ſuper omnia, dic interroganti, rumpe vocem, reſponde, omnem diſſerendi tuam artem ad hanc interrogationem commoue. An inuenies aliquam rationem quę ſophiſmatis tui captionē effugiat? Quis ingeniti pater? Potéſne dicere quis? Non igitur ingenitus. Sed contritus dices prorſus, quod etiam neceſſe eſt, quod nullus. Quod igitur amiciſſime, an tibi ſic ſoluta eſt hæc mollis ſophiſmatis complexio, non intellexiſti te in tuos ſinus conſpuiſſe, quod ait magnus Baſilius. Quòd ingenitus ex nullo eſt patre. Nam ex patribus iis qui prius in genealogiæ deſcriptione ſunt recenſiti, conſequentia per id quod ſiletur, dat patris additionem pro confeſſo haberi. Tu ex nullo patre, nihil feciſti. Et contrà nihil ad id quod omnino non eſt complexus, ſolutum illum ſyllogiſmum confeciſti. Hæc igitur docta ſolertiæ artificioſæ ad te transferentur. Quis ingeniti pater interrogo? nullus dices neceſſario. Qui enim ingenitus, patrem omnino non habet. Si igitur nullus ingeniti pater, hoc autem, nempe nullus

A ἅμα καὶ ἀσεβείας ἔλεγχον ἔχοντα, σιωπῆσαι προσήκει. προσθεῖναι δὲ μᾶλλον τὸν ἄμαχον ἐκεῖνον συλλογισμὸν ὡς ἂν μάθοιεν οἱ καθ' ἡμᾶς ἰδιῶται, οἵων καὶ ὅσων οἱ τὰς τεχνικὰς ἐφόδους μὴ παιδευθέντες, ἐζημιώθησαν. εἰ γὰρ τὸ μηδὲν, φησι, τῷ πάντη μὴ ὄντι ταὐτὸν κατὰ τὴν ἔννοιαν, τῶν δὲ ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις· ὁ λέγων ἐξ οὐδενὸς εἶναι τὸν Θεὸν, ἐκ τοῦ πάντη μὴ ὄντος εἶναι λέγει τὸν Θεόν. τίς ἔδωκε τῷ τὴν Ἀριστοτελικὴν ἡμῖν αἰχμὴν ἐπισείοντι, ὅτι τὸ λέγειν τινὰ
B πατέρα μὴ ἔχειν, ταὐτόν ἐστι τῷ ἐκ τοῦ πάντη μὴ ὄντος αὐτὸν γεγενῆσθαι. ὁ γὰρ τοὺς γενεαλογουμένους παρὰ τοῦ λόγου καθεξῆς ἀριθμήσας, ἀεὶ τοῦ μνημονευθέντος ὑπερκείμενον πατέρα δηλονότι νοεῖ. τί γὰρ ἦν ὁ Ἡλεὶ τοῦ Ἰωσὴφ, τί δὲ ὁ Ματθὰθ τοῦ Ἡλεὶ, τί δὲ ὁ Ἀδὰμ τοῦ Σὴθ, ἆρ' οὐχὶ πρόδηλον καὶ τοῖς ἄγαν νηπίοις ὅτι πατέρων ἐστὶν ἀπαρίθμησις ὁ τῶν μνημονευθέντων τούτων ὀνομάτων κατάλογος; Εἰ γὰρ ὁ Σὴθ τοῦ Ἀδὰμ υἱὸς, πατὴρ τοῦ ἐξ αὐτοῦ γεγεννημένου πάντως Ἀδάμ. οὕ-
C τως εἰπέ μοι, καὶ τοῦ ἐπὶ πάντων Θεοῦ πατὴρ τίς; εἰπὲ τῷ ἐρωτῶντι, ῥῆξον φωνὴν, ἀπόκρινε, πᾶσαν τὴν λογικήν σου τέχνην πρὸς τὴν πεῦσιν ταύτην συγκίνησον· ἆρ' εὑρήσεις τινὰ λόγον τὴν τοῦ σοφίσματός σου λαβὴν διαφεύγοντα; τίς ὁ τοῦ ἀγεννήτου πατήρ; ἔχεις εἰπεῖν ὅς τις; οὐκοῦν οὐκ ἀγέννητος. ἀλλὰ συνθλιβόμενος ἐρεῖς πάντως, ὃ δὴ καὶ εἰπεῖν ἐστιν ἐπάναγκες, ὅτι οὐδείς. τί οὖν, ὦ φίλτατε, ἆρά σοι οὕπω λέλυται ἡ μαλθακὴ τοῦ σοφίσματος αὕτη διαπλοκή; ἆρα συνῆκας τοῖς ἰδίοις κόλποις ἐμπτύσας, τί φησὶν ὁ μέγας Βασίλειος.
D ὅτι ὁ ἀγέννητος, ἐξ οὐδενός ἐστι πατρός. ἐκ γὰρ τῶν προγενεαλογηθέντων πατέρων, ἡ ἀκολουθία κατὰ τὸ σιωπώμενον, συνομολογεῖσθαι δίδωσι τοῦ πατρὸς τὴν προσθήκην. σὺ τὸ ἐξ οὐδενὸς πατρὸς τὸ μηδὲν ἐποίησας. καὶ πάλιν τὸ μηδὲν, εἰς τὸ πάντη μὴ ὂν καταλαβὼν τὸν λελυμένον ἐκεῖνον συλλογισμὸν συνεπέρανας. οὐκοῦν τὰ σοφὰ ταῦτα τῆς τεχνικῆς ἀγχινοίας πρὸς σε μεταχθήσεται. τίς τοῦ ἀγεννήτου πατὴρ, ἐρωτῶ; οὐδεὶς ἐρεῖς κατὰ πᾶσαν ἀνάγκην. ὁ γὰρ ἀγέννητος, πατέρα πάντως οὐκ ἔχει. εἰ τοίνυν οὐδεὶς τοῦ ἀγεννήτου πατὴρ, τὸ δὲ οὐδεὶς

A παρὰ σοῦ πρὸς τὸ μηδὲν μεταληφθέν. τὸ δὲ μηδὲν κατὰ τὸν σὸν λόγον τῷ πάντη μὴ ὄντι ταὐτόν ἐστι κατὰ τὴν ἔννοιαν. ἀκώλυτος δὲ τῶν ἰσοδυναμούντων, καθὼς φῇς, ἡ μετάληψις. καὶ εἰπὼν ὅτι οὐδείς ἐστι τοῦ ἀγεννήτου πατὴρ, ἐκ τοῦ πάντη μὴ ὄντος λέγει τὸν ἐπὶ πάντων Θεόν. τοιοῦτον ὡς ἔοικέν ἐστιν, ὦ ΕΥνόμιε, κακὸν, τοῖς σοῖς γὰρ χρήσομαι λόγοις· οὐ τὸ δοκεῖν εἶναι σοφὸν, πρὸ τοῦ εἶναι τετιμηκέναι· μικρὸν ἴσως τὸ τοιοῦτον εἰς δυστυχίαν, ἀλλὰ τὸ ἑαυτὸν ἀγνοεῖν, καὶ μὴ γινώσκειν ὅσον ἐστὶ τὸ διάφορον τὸ ὑψιπετοῦς Βασιλείου καὶ τοῦ χερσαίου θηρίου. B Εἰ γὰρ ἐφεώρα τὸν βίον ἡμῶν τὸ ὀξὺ καὶ θεῖον ὄμμα ἐκεῖνο, εἰ περιεπόλει τὴν ἀνθρωπίνην ζωὴν τῷ τῆς σοφίας πτερῷ, ἔδειξεν ἂν καταπτὰς ἐπὶ σὲ τῷ ῥοίζῳ τῶν λόγων, οἵῳ τῷ ὀστράκῳ τῆς ἀνοίας συμπέφυκας, πρὸς τίνα δι' ἀπάτης σεαυτὸν ἀντεπήγειρας, ὕβρεσι ταῖς κατ' αὐτοῦ καὶ λοιδορίαις. τὸ δοκεῖν τις εἶναι παρὰ τοῖς γραϊδίοις καὶ τοῖς ἐκτομίαις θηρώμενος. πλὴν ἀλλ' οὐκ ἀπελπιστέον σοι καὶ τῶν ὀνύχων ἐκείνου. τὸ γὰρ ἡμέτερον, ὡς μὲν πρὸς ἐκεῖνον, ὄνυχος μοῖρα κρινόμενον, πολὺ ἂν εἴη. πρὸς δέ σε τοσοῦτόν ἐστιν, ὅσον ἱκανὸν εἶναί σοι περιρρῆξαι τῆς ἀπάτης τὸ ἔλυτρον, καὶ δεῖξαι τὴν ἐγκεκρυμμένην τῷ ὀστράκῳ ἀσχημοσύνην.

A à te ad nihil tranſſumptum eſt, hoc autem nihil ſecundum tuam rationem idem eſt cum eo quod non eſt ſecundum ſenſum: minimè autem prohibetur æqualiter pollentium, ſicut loqueris, tranſſumptio. Et qui dixit nullum eſſe ingeniti patrem, ex eo quod non eſt prorſus dicit Deum, qui eſt ſuper omnia. Tale vt par eſt, ô Eunomi, malum (tuis enim vtar verbis) non videri eſſe ſapientem, antequam talis habeatur & honoretur: paruum fortaſſe hoc eſt infortunium. Sed ſeipſum ignorare, & non cognoſcere quantum ſit diſcrimen inter Baſilium in ſublime volantem, & terreſtrem beſtiam. Si enim vitam noſtram exploraret acutus ille & diuinus oculus, ſi vitam humanam circumuolaret ſapientiæ ala, in te inuolans impetu & ſtridore ſermonum, oſtenderet quali teſta dementiæ congenitus, in quem per errorem teipſum concitaſti, contumeliis & probris in ipſum cōiectis, dum apud aniculas & ſpadones venaris, vt aliquis eſſe videaris. Verumtamen non tibi deſperandum eſt ab vnguibus illius. quod enim noſtrum eſt, vt quidem cum illo ſi vnguis portio iudicetur multum fuerit. Tecum autem tantum eſt quantum ſatis eſſe poſſit ad erroris inuolucrum prorumpendum, & ad abſtruſam in teſta demonſtrandam inuerecundiam.

A

Sancti Patris noſtri
GREGORII NYSSENI
AD EVSTATHIVM, DE ſancta Trinitate, & in aduerſarios Spiritus ſancti, quod Spiritus ſanctus ſit Deus.

Inter epiſtolas Baſilij M. legitur lxxx. ordine.

Ex Laurentij Siſani interpretatione, à Fed. Morello Prof. Regio recognita, à quo Græca etiam recenſita & cum MS. collata ſunt.

B

EST ſanè vobis etiam omnibus, qui medicinā tractatis, humanitas curæ: ac mihi ſi quis veſtrā ſcientiam omnibus rebus, quæ in vita expetuntur, antepoſuerit, rectum iudicium aſſequuturus, & ab eo quod antecellat, non eſſe aberraturus videtur: ſi modò vita alioquin omnium C maximi facienda, fugienda & doloribus obnoxia res eſt, ſi cum ſanitate, cuius veſtra ars ſubminiſtratrix eſt, ea frui non liceat: tibi verò præ cæteris egregiè inſtructa ſcientia, & quaſi præ dextera eſt, latioréſque tibi humanitatis terminos proponis: ac non intra corporum curam contines beneficium artis, verumetiam animi morborum excogitas correctionem. Hæc autem dico non ſolùm vulgi rumoribus adductus, verumetiam meo periculo doctus, cùm in multis aliis, tum maximè nunc in hac inimicorum noſtrorum inenarrabili malitia, quam in modum D mali fluxus aduerſus vitam noſtram affluens commodè diſiecisti, ac grauem hanc cordis noſtri phlegmonem conſolatoriorum quaſi affuſione verborum diſcuſſam aboleuiſti. Ego enim ad crebros & varios inimicorum aduerſum nos conatus reſpiciens, tacendum eſſe putabam, ſilentióque excipienda quæ inueherentur, ac ne contradici quidem iis oportere, qui mendacio, peſſimo telo, armati, ſæpe etiam per ipſam veritatem cuſpidem adigerent. Tu verò rectè feciſti, qui me hortatus es, ne

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν
ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ
ΠΡΟΣ ΕΥΣΤΑΘΙΟΝ, ΠΕΡΙ τῆς ἁγίας τριάδος, καὶ κατὰ τῶν πνευματομάχων, ὅτι Θεὸς τὸ πνεῦμα τὸ ἅγιον.

ΕΣΤΙ μὲν οὖν καὶ πᾶσιν ὑμῖν τοῖς τὴν ἰατρικὴν μετιοῦσι, φιλανθρωπία τὸ ἐπιτήδευμα· καί μοι δοκεῖ τὴν κατὰ τὸν βίον σπουδαζομένων ἁπάντων, ὁ τὴν ὑμετέραν προτιθεὶς ἐπιστήμην, ἐπιτυχεῖν ἂν τῆς πρεπούσης κρίσεως, καὶ μὴ διαμαρτεῖν τοῦ προσήκοντος· εἴπερ τὸ πάντων προτιμότατον ἡ ζωὴ φευκτόν ἐστι καὶ ἐπώδυνον, ἐὰν μὴ μετ᾽ ὑγείας ἐξῇ ταύτην ἔχειν· ὑγείας δὲ χορηγὸς, ἡ ὑμετέρα τέχνη· ἀλλά σοι διαφερόντως ἀμφιδέξιός ἐστιν ἡ ἐπιστήμη, καὶ μείζονας ποιεῖς σεαυτῷ τῆς φιλανθρωπίας τοὺς ὅρους· οὐδὲ μέχρι τῶν σωμάτων περιορίζων τὴν ἐκ τῆς τέχνης χάριν, ἀλλὰ καὶ τῶν ψυχικῶν ἀῤῥωστημάτων ἐπινοῶν τὴν διόρθωσιν. Ταῦτα δὲ λέγω οὐ μόνον ταῖς τῶν πολλῶν φήμαις ἑπόμενος, ἀλλὰ καὶ τῇ κατ᾽ ἐμαυτὸν διδαχθεὶς πείρᾳ, ἐν πολλοῖς τε ἄλλοις, καὶ διαφερόντως νῦν ἐν τῇ τῶν ἐχθρῶν ἡμῶν ἀνεκδιηγήτῳ κακίᾳ, ἣν ῥεύματος πονηροῦ δίκην κατὰ τῆς ζωῆς ἡμῶν ἐπιῤῥυεῖσαν εὐμηχάνως διέχεες, τὴν βαρεῖαν ταύτην φλεγμονὴν τῆς καρδίας ἡμῶν τῇ ἐπαντλήσει τῶν παρηγορικῶν λόγων διαφορήσας. ἐγὼ γὰρ πρὸς τὴν ἐπάλληλον τῶν ἐχθρῶν ἡμῶν καὶ ποικίλην καθ᾽ ἡμῶν ἐπιχείρησιν ἀποβλέπων, σιωπᾶν ᾤμην δεῖν, καὶ δέχεσθαι καθ᾽ ἡσυχίαν τὰ ἐπαγόμενα, καὶ μηδὲ ἀντιτείνειν τοῖς καθωπλισμένοις τῷ ψεύδει τῷ πονηροτάτῳ ὅπλῳ· καὶ δι᾽ αὐτῆς τῆς ἀληθείας πολλάκις τὴν αἰχμὴν εἰσωθοῦσιν. σὺ δὲ καλῶς ποιῶν μὴ καταπροδιδόναι τὴν

ἀλήθειαν ἐγκαταλείπω, ἀλλὰ διελέγχειν τοὺς συκοφάντας, ὡς ἂν μὴ πολλοὶ παραβλαβεῖεν, κατευημεροῦντος τῆς ἀληθείας τοῦ ψεύδους. ἔδοξαν οὖν μοι παραπλήσιόν τι ποιεῖν τῷ Αἰσωπείῳ μύθῳ, οἱ τὸ ἀπροφάσιστον καθ' ἡμῶν ἀναλαβόντες μῖσος. ὡς γὰρ ἐκεῖνος ἐγκλήματά τινα τῷ ἀρνίῳ τὸν λύκον προφέρειν ἐποίησεν, αἰσχυνόμενον δῆθεν τὸ δοκεῖν ἄνευ δικαίας προφάσεως ἀναιρεῖν τὸν μηδὲν προλελυπηκότα· τοῦ δὲ ἀρνίου πᾶσαν τὴν ἐκ συκοφαντίας ἐπαγομένην αἰτίαν εὐχερῶς διαλύοντος, μηδὲν μᾶλλον ὑφίεσθαι τῆς ὁρμῆς τὸν λύκον, ἀλλὰ τοῖς μὲν δικαίοις ἡττᾶσθαι, τοῖς δὲ ὀδοῦσι νικᾶν. οὕτως οἷς τὸ καθ' ἡμῶν μῖσος, ὥς τι τῶν ἀγαθῶν ἐσπούδασται, ἐρυθριῶντες γὰρ τάχα δοκεῖν ἄνευ αἰτίας μισεῖν, αἰτίας πλάττουσι καθ' ἡμῶν καὶ ἐγκλήματα, καὶ οὐδενὶ τῶν λεγομένων μέχρι παντὸς ἐπιμένουσιν, ἀλλὰ νῦν μὲν τοῦτο, μετ' ὀλίγον δὲ ἄλλο, καὶ αὖθις ἕτερον τῆς καθ' ἡμῶν δυσμενείας τὸ αἴτιον λέγουσιν· βέβηκε δὲ αὐτοῖς ἐπ' οὐδενὸς ἡ κακία. ἀλλ' ὅταν τούτου τοῦ ἐγκλήματος ἀποσεισθῶσιν, ἑτέρῳ προσφύονται· καὶ ἀπ' ἐκείνου πάλιν καταλαμβάνουσιν ἕτερον, κἂν πάντα διαλυθῇ τὰ ἐγκλήματα, τοῦ μισεῖν οὐκ ἀφίστανται. τρεῖς Θεοὺς πρεσβεύεσθαι παρ' ἡμῶν αἰτιῶνται· καὶ περιηχοῦσι τὰς ἀκοὰς τῶν πολλῶν, καὶ πιθανῶς κατασκευάζοντες τὴν διαβολὴν ταύτην οὐ παύονται. ἀλλ' ὑπερμάχεται ἡμῶν ἡ ἀλήθεια, καὶ ἐν κοινῷ πρὸς πάντας, καὶ ἰδίᾳ πρὸς τοὺς ἐντυγχάνοντας δεικνύντων ἡμῶν, ὅτι ἀναθεματίζεται παρ' ἡμῶν πᾶς ὁ τρεῖς λέγων θεοὺς, καὶ οὐδὲ Χριστιανὸς εἶναι λέγεται. ἀλλ' ὅταν αὖ τοῦτο ἀκούσωσι, πρόχειρος αὐτοῖς καθ' ἡμῶν ὁ Σαβέλλιος, καὶ ἡ ἐξ ἐκείνου νόσος ἐπιθρυλλεῖται τῷ ἡμετέρῳ λόγῳ. καὶ πάλιν πρὸς τοῦτο ἡμεῖς τὸ σύνηθες ὅπλον τὴν ἀλήθειαν προβαλλόμεθα, δεικνύντες ὅτι ἐπίσης τῷ Ἰουδαϊσμῷ καὶ τὴν τοιαύτην αἵρεσιν φρίττομεν. τί οὖν ἄρα μετὰ τοσαύτας ἐγχειρήσεις ἀποκάμνοντες ἡσύχασαν; οὐκ ἔστι ταῦτα· ἀλλὰ καινοτομίαν ἡμῖν προφέρουσιν, οὑτωσὶ τὸ ἔγκλημα καθ' ἡμῶν συνθέντες. τρεῖς ὑποστάσεις ὁμολογούντων, μίαν ἀγαθότητα, μίαν δύναμιν, καὶ μίαν θεότητα λέγειν ἡμᾶς αἰτιῶνται. καὶ οὐκ ἔξω τοῦτο τῆς ἀληθείας φασίν. λέγομεν γάρ, ἀλλ' ἐγκαλοῦντες τοῦτο

A veritatem deſererem, ſed confutarem calumniatores, ne multi interim læderentur, dum veritati mendacium inſultaret. Viſi ſunt igitur mihi, qui nulla de cauſa, nullóue prætextu aduerſus nos odium ſuſceperunt, haud diuerſum facere ab eo, quod eſt in Æſopica fabula. Nam ille fingit lupum, dum puderet eum, nimirum, ſi abſque iuſta cauſa videretur occidere eum, à quo nulla vnquam iniuria laceſſitus, crimina quædam obijcere agnello: atque illo omnem facilè calumnioſè illatam criminationem diluente, nihilo magis im-
B petum remittere lupum, ſed iure quidem vinci, dentibus verò ſuparare. Itidem illi, qui odium noſtri quaſi aliquam bonam rem expetiuerunt, erubeſcentes enim fortaſſe, ſi abſque cauſa odiſſe videantur, cauſſas aduerſum nos & crimina fingunt, nec in vllis ſuis dictis vſquequaque manent, ſed nunc hoc, mox illud, rurſus aliud inimicitiarum aduerſum nos cauſſam eſſe dicunt, vt nuſquam firmiter conſiſtit eorum malitia. Sed cùm ab vno aliquo crimine repulſi fuerint, alteri adhærent: & ab illo rurſus aliud arri-
C piunt, & ſi omnia crimina diſſoluta fuerint, odiſſe non deſiſtunt. Treis deos à nobis coli cauſantur, & multitudinis aures circumſonant, eamque calumniam probabiliter ſtruere non intermittunt. Sed veritas pugnat pro nobis, & publicè ad omneis, & priuatim in quoſcumque inciderimus demonſtrantibus, quòd extrema deteſtatione & execratione dignus cenſeatur à nobis, ac ne Chriſtianus quidem eſſe dicatur, quicumque treis deos eſſe dicat. Sed vbi hoc audiuerint, in promptu eſt illis aduerſum nos Sabellius, & qui ex illo or-
D tus eſt (animi) morbus noſtro ſermoni obiectatur. Ac rurſum aduerſus hoc nos conſuetum veritatis telum obijcimus, oſtendentes quòd non aliter atque Iudaiſmum huiuſmodi quoque hæreſim horremus. Quid igitur, nunquid poſt tot conatus defeſſi quieuerunt? Non ita eſt: ſed nouarum rerum ſtudium nobis obijciunt, ita crimen aduerſum nos componentes. Cùm treis hypoſtaſeis ſiue perſonas confiteamur, vnam potentiam, vnam bonitatem, & vnam Deitatē à nobis dici cauſantur. Atque id non extra veritatem dicunt. Dicitur enim à nobis, ſed criminantes hoc

A obijciunt, quòd conſuetudo eorum id non habeat, nec ſcriptura concordet. Quid igitur nos item aduerſus hoc? Non arbitramur æquum eſſe, vt conſuetudo quæ apud ipſos obtinet, pro lege ac norma rectæ rationis & orationis habeatur. Nam ſi cõſuetudo res valida eſt ad rectitudinem rationis atque ſermonis probandam, prorſus etiam nobis licebit contrà prætendere conſuetudinem, quæ apud nos inualuit: ſin autem hanc illi præſcribunt & reijciunt, ne nos quidem illos omnino ſequi oportet. Igitur diuino ſpiritu prodita ſcriptura, arbitra controuerſiam inter nos B dirimat, & apud vtroſcumque inuentæ fuerint ſententiæ conſonæ verbis diuinis, ad hos prorſus ſuffragium veritatis accedat. Quódnam igitur crimen eſt? Duo enim ſimul accuſando nobis obiecta ſunt. Vnum quidem, quod diuidamus hypoſtaſeis, (id eſt, perſonas ſiue proprietates) alterum verò, quòd non amplius vllam ex nominibus, quæ Deo conueniant, pluraliter numeremus, ſed vnam vt dictum eſt, bonitatem & potentiam & Deitatem, & omnia talia ſingulariter enuntiemus. Quantum igi- C tur attinet ad diuiſionem hypoſtaſeωn, in diuerſa opinione non fuerint, qui diuerſitatem eſſentiarum eſſe in diuina natura tradunt. Non enim par eſt, eos qui treis dicunt eſſentias, non etiam treis prorſus dicere hypoſtaſeis. Ergo hoc ſolùm crimini datur, quòd ea, quæ de diuina natura dicuntur nomina, ſingulariter enuntiemus. Sed in promptu nobis etiam aduerſus hoc manifeſta oratio eſt. Nam qui damnat eos, qui vnam profitentur Deitatem, neceſſariò vel ei qui plures profitetur, vel ei D qui nullam admittit, aſſentietur. Fieri enim non poteſt, vt aliquid aliud præter id quod dictum eſt, excogitetur. At neque plures dicere permittit doctrina ſcripturæ, quæ ſicubi meminit, etiam ſingulariter Deitatis mentionem

Coloſſ. 2. facit. Quale eſt illud: *In eo inhabitat omnis plenitudo Deitatis.* Et alibi: *Nam inuiſibilia eius à creatione mundi, dum per opera intelliguntur, perſpiciuntur, ſempiternaque eius potentia & diuinitas.* Si igitur in multitudinem extendere numerum Deitatum, eorum dumtaxat eſt, qui laborant errore multitudinis Deorum,

προσφέρουσιν, ὅτι ἡ συνήθεια αὐτῶν τοῦτο οὐκ ἔχει, καὶ ἡ γραφὴ οὐ συντίθεται. τί οὖν καὶ πρὸς τοῦτο ἡμεῖς; οὐ νομίζομεν δίκαιον εἶναι τὴν παρ' αὐτοῖς ἐπικρατοῦσαν συνήθειαν νόμον καὶ κανόνα τοῦ ὀρθοῦ ποιεῖσθαι λόγου. Εἰ γὰρ ἰσχυρόν ἐστι εἰς ὀρθότητα λόγου ἡ συνήθεια, ἔξεσται καὶ ἡμῖν πάντως ἀντιπροβάλλεσθαι τὴν παρ' ἡμῖν ἐπικρατοῦσαν συνήθειαν· Εἰ δὲ παραγράφονται ταύτην ἐκεῖνοι, οὐδὲ ἡμῖν πάντως ἀκολουθητέοι ἐκείνοις. Οὐκοῦν ἡ θεόπνευστος ἡμῖν διαιτησάτω γραφή, καὶ παρ' οἷς ἂν εὑρεθῇ τὰ δόγματα συνῳδὰ τοῖς θείοις λόγοις, ἐπὶ τούτοις ἥξει πάντως τῆς ἀληθείας ἡ ψῆφος. τί οὖν ἐστι τὸ ἔγκλημα; δύο γὰρ κατὰ ταὐτὸν ἐν κατηγορίᾳ τῇ καθ' ἡμῶν προενήνεκται. ἓν μὲν τὸ διαιρεῖν τὰς ὑποστάσεις· ἕτερον δὲ τὸ μηκέτι μηδὲν τῶν θεοπρεπῶν ὀνομάτων πληθυντικῶς ἀριθμεῖν, ἀλλὰ μίαν, καθὼς προείρηται, τὴν ἀγαθότητα, καὶ τὴν δύναμιν, καὶ τὴν θεότητα, καὶ πάντα τὰ τοιαῦτα μοναδικῶς ἐξαγγέλλειν. πρὸς μὲν οὖν τὴν διαίρεσιν τῶν ὑποστάσεων, οὐκ ἂν ἔχοιεν ἀλλοτρίως οἱ τὴν ἑτερότητα τῶν οὐσιῶν ἐπὶ τῆς θείας δογματίζοντες φύσεως. οὐ γὰρ εἰκός ἐστι τοὺς τρεῖς λέγοντας οὐσίας, μὴ καὶ τρεῖς πάντως ὑποστάσεις λέγειν. Οὐκοῦν τοῦτο μόνον ἐστὶν ἐν ἐγκλήματι, τὸ τὰ ἐπιλεγόμενα τῇ θείᾳ φύσει ὀνόματα μοναδικῶς καταγγέλλειν. ἀλλ' ἕτοιμος ἡμῖν πρὸς τοῦτο καὶ σαφὴς ὁ λόγος. οὐ γὰρ καταγινώσκων τῶν μίαν λεγόντων θεότητα ἐξ ἀνάγκης ἢ τῷ πολλὰς λέγοντι, ἢ τῷ μηδεμίαν συνθήσεται. οὐ γάρ ἐστι δυνατὸν ἕτερόν τι παρὰ τὸ εἰρημένον ἐπινοῆσαι. ἀλλ' οὔτε πολλὰς λέγειν συγχωρεῖ ἡ τῆς γραφῆς διδασκαλία, εἴπου καὶ μέμνηται μοναχῶς τῆς θεότητος μνημονεύουσα. ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος. καὶ ἑτέρωθι· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις, καὶ θειότης. εἰ οὖν εἰς πλῆθος ἐκτείνειν τὸν ἀριθμὸν τῶν θεοτήτων μόνων τῶν τὴν πολυθεΐαν πλάνην νενοσηκότων ἐστί· τὸ δὲ καθόλου ἀρνεῖσθαι τὴν θεότητα, τῶν ἀθέων ἂν εἴη.

(plures Deos nimirum eſſe ſuſpicantes) in vniuerſum verò negare Deitatem, eorum fuerit, qui nullum numen eſſe credunt, Græcis ἄθεοι, quaſi ſine Deo dicti:

τίς λόγος ἐστὶν ὁ διαβάλλων ἡμᾶς ἐπὶ τῷ μίαν ὁμολογεῖν τὴν θεότητα; ἀλλ' ἐκκαλύπτουσι φανερώτερον τὸν τοῦ λόγου σκοπόν· ἐπὶ μὲν τοῦ πατρὸς καταδέχεσθαι τὸν Θεὸν εἶναι, καὶ τὸν υἱὸν ὡσαύτως τιμᾶσθαι τῷ τῆς θεότητος ὀνόματι συντιθέμενοι· τὸ δὲ πνεῦμα πατρὶ καὶ υἱῷ συναριθμούμενον, μηκέτι καὶ τῇ τῆς θεότητος ἐννοίᾳ συμπεριλαμβάνεσθαι, ἀλλ' ἐκ τοῦ πατρὸς μέχρι τοῦ υἱοῦ, ἱσταμένην τὴν τῆς θεότητος δύναμιν, ἀποκρίνειν τῆς θεϊκῆς δόξης τὴν φύσιν τοῦ πνεύματος. Οὐκοῦν ἀπολογητέον καὶ ἡμῖν, ὡς ἂν οἷοί τε ὦμεν διὰ βραχέων καὶ πρὸς ταύτην τὴν ἔννοιαν. τίς οὖν ὁ ἡμέτερος λόγος; παραδιδοὺς ὁ κύριος τὴν σωτήριον πίστιν τοῖς μαθητευομένοις τῷ λόγῳ, τῷ πατρὶ καὶ τῷ υἱῷ συνάπτει καὶ τὸ πνεῦμα τὸ ἅγιον. τὸ δὲ συνημμένον ἅπαξ, διὰ πάντων φαμὲν τὴν συνάφειαν ἔχειν. οὐ γὰρ ἔν τινι συντεταγμένον, ἐν ἑτέροις ἀποχωρίζεται, ἀλλ' ἐν τῇ ζωοποιῷ δυνάμει, καθ' ἣν ἐκ τοῦ φθαρτοῦ βίου εἰς ἀθανασίαν ἡ φύσις ἡμῶν μετασκευάζεται, συμπαραληφθεῖσα ἡ τοῦ πνεύματος δύναμις πατρὶ καὶ υἱῷ, καὶ ἐν πολλοῖς ἑτέροις, οἷον ἐν τῇ κατὰ τὸ ἀγαθὸν ἐννοίᾳ, καὶ τὸ ἅγιόν τε καὶ ἀΐδιον, σοφόν, εὐθές, ἡγεμονικόν, δυνατόν, καὶ πανταχοῦ δηλονότι τὸ ἀχώριστον ἔχει ἐν πᾶσι τοῖς πρὸς τὸ κρεῖττον ὑπειλημμένοις ὀνόμασιν. Οὐκοῦν ἡγούμεθα καλῶς ἔχειν τὸ ἐν τοσαύταις ἐννοίαις ὑψηλαῖς τε καὶ θεοπρεπέσι συναπτόμενον πατρὶ καὶ υἱῷ ἐν οὐδενὶ ἀποκεχωρίσθαι νομίζειν. οὐδὲ γὰρ οἴδαμέν τινα τῶν περὶ τὴν θείαν φύσιν ἐπινοουμένων ὀνομάτων τὴν κατὰ τὸ κρεῖττον καὶ χεῖρον διαφοράν, ὡς εὐαγὲς εἶναι οἴεσθαι τὴν ἐν τοῖς καταδεεστέροις τῶν ὀνομάτων κοινωνίαν συγχωροῦντας τῷ πνεύματι, τῶν ὑπεραιρόντων κρίνειν ἄξιον. πάντα γὰρ τὰ θεοπρεπῆ ὀνόματά τε καὶ νοήματα, ὁμοτίμως ἔχει πρὸς ἄλληλα, τῷ μηδὲν περὶ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν. οὐ γὰρ ἐπ' ἄλλο τι ὑποκείμενον χειραγωγεῖ τὴν διάνοιαν ἡ τοῦ ἀγαθοῦ προσηγορία, ἐφ' ἕτερον δὲ ἡ τοῦ σοφοῦ, καὶ τοῦ δυνατοῦ, καὶ τοῦ δικαίου, ἀλλ' ὅσαπερ εἴπῃς ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον· κἂν Θεὸν εἴπῃς, τὸν αὐτὸν ἐνεδείξω, ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας.

A quænam eſt illa oratio, qua traducimur, idcirco quòd vnam profitemur Deitatem? Sed apertius detegunt, quò ſpectet oratio (nempe) in patre quidem admittere ſe, quòd Deus ſit, filium quoque ſimiliter honorari Deitatis nomine aſſentientes: ſpiritum verò, qui cum patre & filio numeratur, non etiam amplius vnà comprehendi Deitatis conſideratione, ſed ex patre vſque ad filium, nec vltra progreſſam Deitatis potentiam à diuina gloria naturam ſpiritus ſegregare. Igitur ad hanc quoque opinionem nobis etiam paucis reſpondendum erit, B vtcumque poterimus. Quænam eſt igitur oratio noſtra? Cùm traderet Dominus ſalutarem fidem diſcipulis, qui verbo docebantur, Patri & Filio coniunxit etiam Spiritum ſanctum. Quod autem ſemel coniunctum eſt, id per omnia dicimus habere coniunctionem. Non enim quod in (vno) aliquo coniunctum eſt, in aliis ſeparatur. At in viuifica potentia, per quam ex materiali vita in immortalitatem natura noſtra transformatur, vnà cum Patre & Filio ſpiritus aſſumpta virtus, etiam in multis aliis, vt in notione bonitatis, ſanctitudi- C nis, æternitatis, ſapientiæ, rectitudinis, principalis virtutis, potétiæ, atque adeò vbique ius inſeparabile habet in omnibus nominibus, quæ ad ſuperiorem virtutem pertinentia, ratione ac mente concipiuntur. Quocirca rectum eſſe arbitremur, vt eum, qui in tot ſublimibus, Deumque decentibus notionibus patri filioque coniungitur, in nulla re ſeparatum eſſe exiſtimemus. Neque enim nouimus eorum nominum, quæ circa diuinam naturam excogitãtur, ratione melioris deteriorisve aliquam differentiam, vt pium ſit putare, qui ſpiritui D concedant in inferioribus nominibus ſocietatem, ab iis ſuperiorum illum dignum iudicari. Nam omnia tum nomina tum notiones & mentis conceptus Deum decentes eiuſdem ac patris adinuicem conditionis ſunt, & idem inter ſe valent in hoc, vt nihil circa ſubiecti ſignificationem diſcrepẽt atque diſcordent. Non enim ad aliud quoddam ſubiectum boni appellatio, ad aliud ſapientis, potentis & iuſti mentem ducit, ſed quæcumque nomina protuleris, vnum eſt quod per omnia ſignificatur: & ſi Deum dixeris, eundem iudicaſti, quem per reliqua nomina intellexiſti.

Quoniam igitur omnia nomina, quę de diuina natura dicuntur, parem inter ſe vim habent, quãtum ad ſubiecti attinet demonſtrationem, alia ſecundum aliam ſignificationẽ mentem ad eandem rem deducentia: qua ratione qui in aliis nominibus ſpiritui cum patre & filio communionem & ſocietatem concedunt, à ſola cum Deitate alienum ducũt? Prorſus enim neceſſe eſt, aut etiam in hoc dare, aut nec in reliquis quidem concedere cõmunionem & ſocietatẽ. Nam ſi illis dignus, vtique ne hoc quidem indignus eſt, quod ſi, vt illorum opinio fert, minor eſt adeò, vt à patre & filio, quod attinet ad communionem nominis Deitatis, ſeparatus ſit, nec reliquorum quidem cuiuſquam Deum decentium nominum particeps eſſe dignus eſt. Nam ſi conſiderentur & comparentur adinuicem nomina per eam, quæ in vnoquoque conſideratur, latentem ſignificationem, reperietur, quòd nihilo inferius, infirmiúſve in ſe contineant indicium atque argumentum, quàm appellatio Dei, quandoquidem hoc nomine multa quoque inferiora nuncupantur; quinimò ne in diſſimilibus quidem rebus ſcriptura ſacra abſtinet ab hac æquiuocatione, cum ſimulachra Dei appellatione deſignat. *Dei enim,* inquit, *qui non fecerunt cœlum & terram, tollantur, & infra ſub terram abijciantur.* Item, *Omnes*, inquit, *Dij gentium dæmonia.* Et Pythoniſſa ventriloqua diuinationibus ſuis & animarum euocationibus oblectans Saulem, animas, quæ requirebantur, Deos vidiſſe ſe ait. Quinetiam Balaam, qui augur quidam & vates erat, & vaticinia tractabat & exercebat, vt ait ſcriptura, & à dæmonibus proditam doctrinam auguralémque ſibi curioſitatem confecerat, à ſcriptura Deum conſulere memoratur. Ac talia multa ex ſcripturis diuinis colligere, & in medium afferre licet, adſtruẽdo & arguendo, quòd hoc nomẽ nihil ſupra reliquas Deum decentes appellationes præcipuum habeat: quia ſicut dictũ eſt, etiam in diſſimilibus eodem nomine ſcriptura abutitur. Sancti autem nomen & immortalis, & recti, & boni nuſquam cum quibus non oportet communicari à ſcriptura didicimus. Quamobrem ſi in prę cipuis nominibus, quæ de ſola diuina natura piè dicuntur, ſocietatem cum Patre & Filio Spiritum ſanctum habere

Iere. 10.
Pſal. 65.
1. Reg. 28.
Num. 22.

A ἐπεὶ δὲ πάντα τὰ ὀνόματα, τῇ θείᾳ φύσει ἐπιλεγόμενα, ἰσοδυναμεῖ ἀλλήλοις κατὰ τὴν τοῦ ὑποκειμένου ἔνδειξιν, ἄλλα κατ᾽ ἄλλην ἔμφασιν ἐπὶ τὸ αὐτὸ τὴν διάνοιαν ὁδηγοῦντα, τίς ὁ λόγος τὴν ἐν τοῖς ἄλλοις ὀνόμασι κοινωνίαν πρὸς πατέρα τε καὶ υἱὸν συγχωροῦντας τῷ πνεύματι, μόνης δὲ ἀλλοτριοῦν αὐτὸ τῆς θεότητος; ἀνάγκη γὰρ πᾶσα, ἢ καὶ ἐν τούτῳ διδόναι τὴν κοινωνίαν, ἢ μηδὲ τὴν ἐν τοῖς λοιποῖς συγχωρεῖν. εἰ γὰρ ἐν ἐκείνοις ἄξιον, οὐδὲ ἐν τούτῳ πάντως ἀνάξιον, εἰ δὲ μικρότερον, κατὰ τὸν ἐ-

B κείνων λόγον ἐστὶν, ὥστε τοῦ τῆς θεότητος ὀνόματος πρὸς πατέρα τε καὶ υἱὸν, τῆς κοινωνίας κεχωρίσθαι, οὐδὲ ἄλλου τινὸς τῶν θεοπρεπῶν ὀνομάτων μετέχειν ἄξιον. θεωρούμενα γὰρ καὶ συγκρινόμενα πρὸς ἄλληλα τὰ ὀνόματα διὰ τῆς ἐν ἑκάστῳ θεωρουμένης ἐμφάσεως, εὑρεθήσεται μηδὲν τῆς τοῦ Θεοῦ προσηγορίας, ἔλαττον ἔχοντα τεκμήριον, ὅτι τούτῳ μὲν τῷ ὀνόματι, πολλὰ καὶ τῶν καταδεεστέρων ἐπονομάζεται· μᾶλλον δὲ οὐ φείδεται ἡ θεία γραφὴ τῆς ὁμωνυμίας ταύτης· οὐδὲ ἐπὶ τῶν ἀπεμφαινομένων

C πραγμάτων, ὅταν τὰ εἴδωλα τῇ τοῦ Θεοῦ προσηγορίᾳ κατονομάζῃ. Θεοὶ γὰρ, φησιν, οἳ οὐκ ἐποίησαν τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀρθήτωσαν, καὶ ὑποκάτω τῆς γῆς βληθήτωσαν. καὶ πάντες, φησὶν, οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια. καὶ ἡ ἐγγαστρίμυθος ἐν ταῖς μαντείαις αὐτῆς ψυχαγωγοῦσα τὸν Σαοὺλ τὰς ἐπιζητουμένας ψυχὰς, Θεοὺς ἑωρακέναι φησίν. ἀλλὰ καὶ ὁ Βαλαὰμ οἰωνιστής τις ὢν, καὶ μάντις, καὶ διὰ χειρὸς τὰ μαντεῖα φέρων, καθὼς φησὶν ἡ γραφὴ, καὶ τὴν ἐκ δαιμόνων διδασκαλίαν καὶ οἰωνιστικὴν

D περιεργείαν ἑαυτῷ κατορθώσας, παρὰ Θεοῦ συμβουλεύεσθαι ὑπὸ τῆς γραφῆς ἱστόρηται· καὶ πολλὰ τοιαῦτα ἔστι συλλεξάμενον ἐκ τῶν θείων παραθέσθαι γραφῶν, ὅτι τὸ ὄνομα τοῦτο, οὐδὲν ὑπὲρ τὰς λοιπὰς τὰς θεοπρεπεῖς προσηγορίας προτιμᾶ, ὅτι καθὼς εἴρηται, καὶ ἐπὶ τῶν ἀπεμφαινόντων ὁμωνύμως παρὰ τῆς γραφῆς λέγεται. τὸ δὲ τοῦ ἁγίου ὄνομα, καὶ τοῦ ἀφθάρτου, καὶ τοῦ εὐθέος, καὶ τοῦ ἀγαθοῦ, οὐδαμοῦ κοινοποιούμενον πρὸς τὰ μὴ δέοντα παρὰ τῆς γραφῆς ἐδιδάχθημεν. οὐκοῦν εἰ ἐν τοῖς ἐξαιρέτως ἐπὶ μόνης τῆς θείας φύσεως εὐσεβῶς λεγομένοις, ὀνόμασι κοινωνεῖν τὸ ἅγιον πνεῦμα πρὸς τὸν υἱὸν καὶ τὸν πατέρα

οὐκ ἀντιλέγουσι, τίς ὁ λόγος, τούτῳ μόνῳ κατασκευάζειν ἀκοινώνητον εἶναι, οὗ μετέχειν ἐδείχθη κατὰ ἴσα ὁμώνυμον χρῆσιν καὶ τὰ δαιμόνια, καὶ τὰ εἴδωλα; ἀλλὰ λέγουσι φύσεως ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην. ἀκοινώνητον δὲ εἶναι πρὸς πατέρα καὶ υἱὸν τὴν τοῦ πνεύματος φύσιν. καὶ διὰ τοῦτο μηδὲ τῆς κατὰ τὸ ὄνομα τούτου κοινωνίας μετέχειν. οὐκοῦν δειξάτωσαν, διὰ τίνων τὸ τῆς φύσεως παρηλλαγμένον ἐπέγνωσαν. εἰ μὲν γὰρ ἦν δυνατὸν αὐτὴν ἐφ' ἑαυτῆς τὴν θείαν φύσιν θεωρηθῆναι, καὶ τό τε οἰκείως ἔχον καὶ τὸ ἀλλοτρίως διὰ τῶν φαινομένων εὑρεῖν, οὐκ ἂν πάντως ἐδεήθημεν λόγων ἢ τεκμηρίων ἑτέρων πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν· ἐπειδὴ δὲ ἡ μὲν ὑψηλοτέρα τῆς τῶν ζητουμένων ἐστὶ κατανοήσεως, ἐκ δὲ τεκμηρίων τινῶν περὶ τῶν διαφευγόντων τὴν γνῶσιν ἡμῶν λογιζόμεθα, ἀνάγκη πᾶσα διὰ τῶν ἐνεργειῶν ἡμᾶς χειραγωγεῖσθαι πρὸς τὴν τῆς θείας φύσεως ἔρευναν. οὐκοῦν ἐὰν ἴδωμεν διαφερούσας ἀλλήλων τὰς ἐνεργείας, τὰς παρὰ τοῦ πατρός τε, καὶ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος ἐνεργουμένας, διαφόρους εἶναι καὶ τὰς ἐνεργούσας φύσεις ἐκ τῆς ἑτερότητος τῶν ἐνεργειῶν στοχασόμεθα. οὐδὲ γὰρ ἐνδέχεται τὰ διεστῶτα κατὰ τὸν τῆς φύσεως λόγον, πρὸς τὸ τῶν ἐνεργειῶν εἶδος, ἀλλήλοις συνενεχθῆναι· οὔτε ψύχει τὸ πῦρ, οὔτε θερμαίνει ὁ κρύσταλλος· ἀλλὰ τῇ τῶν φύσεων διαφορᾷ συνδιαχωρίζονται ἀπ' ἀλλήλων καὶ αἱ παρὰ τούτων ἐνέργειαι. ἐὰν δὲ μίαν νοήσωμεν τὴν ἐνέργειαν πατρός τε, καὶ υἱοῦ, καὶ πνεύματος ἁγίου, ἐν μηδενὶ διαφέρουσάν τι ἢ παραλλάσσουσαν, ἀνάγκη τῇ ταυτότητι τῆς ἐνεργείας, τὸ ἡνωμένον τῆς φύσεως συλλογίζεσθαι. ἁγιάζει, καὶ ζωοποιεῖ, καὶ φωτίζει, καὶ παρακαλεῖ, καὶ πάντα τὰ τοιαῦτα ὁμοίως ὁ πατήρ, καὶ ὁ υἱός, καὶ τὸ πνεῦμα τὸ ἅγιον· καὶ μηδεὶς κατεξαίρετον ἀπονεμέτω τῇ ἐνεργείᾳ τοῦ πνεύματος τὴν ἁγιαστικὴν ἐξουσίαν, ἀκούσας τοῦ σωτῆρος ἐν τῷ εὐαγγελίῳ περὶ τῶν μαθητῶν πρὸς τὸν πατέρα λέγοντος· πάτερ, ἁγίασον αὐτοὺς ἐν τῷ ὀνόματί σου. ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα κατὰ τὸ ἴσον ἐνεργεῖται τοῖς ἀξίοις παρὰ τοῦ πατρός τε, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, πᾶσα χάρις, καὶ δύναμις, ἡ ὁδηγία, ἡ ζωή, ἡ παράκλησις,

A non negant: qua ratione huius ſolius, quod communi quodam vocabulorum vſu, demonſtratum eſt etiam dæmoniis atque ſimulachris accommodari, illum expertem eſſe affirmant? At hanc appellationem naturæ demonſtratricem vim habere aiunt: aliam autem à patre & filio ſpiritus eſſe naturam, atque idcirco nec huius quidem nominis ſocietatem quicquã ad eum pertinere. Oſtendant igitur, quibus argumentis diuerſitatem naturæ deprehenderint. Nam ſi quidem poſſet ipſa per ſe diuina natura cerni, & quid eius proprium, quid ab ea B alienum ſit, per ſigna apparentia reperiri, rationibus argumentiſve aliis ad eorum, quæ in quæſtionem veniunt, comprehenſionem prorſus non opus haberemus: ſed quoniam illa quidem ſublimior eſt, quàm vt à quærentibus poſſit animaduerti: atque ex certis quibuſdam ſignis, de iis, quæ noſtram effugiunt cognitionem, per coniecturas ratiocinamur: prorſus neceſſe eſt, per efficientias & actiones nos deduci ad naturæ diuinæ ſcrutationem. Quocirca ſi viderimus operationes, quæ & à Patre, & à Filio, & à Spiritu ſancto profi- C ciſcuntur inter ſe differentes, differentes operatrices quoque naturas eſſe ex diuerſitate actionum & operationum exiſtimabimus. (Neque enim probabile eſt, nec fieri ſolet, vt quę ratione naturæ diſſident, in forma operationis inter ſe conueniant: nec ignis vtique refrigerat, nec glacies calefacit: ſed pro differẽtia naturarum, operationes quoque inde procedentes ſimul adinuicem ſeparantur.) Sin autem vnam & Patris, & Filij, & Spiritus ſancti intellexerimus eſſe efficaciam & operationem in nulla re quicquam differentem aut variantem, neceſſe eſt, vt ex pari eademque D efficacia atque operatione vnitionem naturæ ratione colligamus. Sanctificat, viuificat, conſolatur, & omnia talia pariter Pater, & Filius, & Spiritus ſanctus (operantur:) nec quiſquã præcipuè Spiritus ſancti tribuat efficaciæ ſanctificatricem poteſtatẽ, cùm audiuerit ſeruatorem in Euangelio de diſcipulis ad patrem dicentem: Pater, ſanctifica eos in nomine tuo. Ioan. 17. Item cætera quoq; omnia eodem modo pariter & ex æquo iis qui digni ſunt, præſtantur & à Patre, & à Filio, & à Spiritu ſancto, omnis gratia, virtus, deductio, vita, conſolatio,

in immortalitatem commutatio, in libertatem traductio, & ſi quod aliud bonum eſt ad nos vſque deſcendens. Quæ autem ſupra nos eſt circa vtramq. creaturam, quæ partim mēte ac ratione percipitur, partim ſenſu deprehenditur, gubernatio, ſi per ea, quę à nobis intelliguntur & iudicantur, etiam de ſupernis aliquam facere coniecturā oportet, nec hæc quidē efficaciæ atque virtutis Spiritus ſancti expers eſt, vnoquoque pro ſua dignitate, atque neceſſitate & vſu partem cōmoditatum & vtilitatum capiente. Nam etſi ſenſum noſtrum effugit noſtræ naturæ in ſupernis cōſtitutio atque adminiſtratio: tamen ex conſequentia meliori ratione aliquis per ea, quæ nobis nota ſunt, adduceretur ad conſentiendum etiam in illis operibus virtutem Spiritus verſari (potius) quàm penitus eum eſſe ſummotum à gubernatione eorū, quæ ſuprà ſunt. Nam qui illud quidē dicit, nudum nullaque probatione ſubnixum maledictum profert, nulla ratione confirmās abſurdam opinionem: qui verò aſſenſerit etiam ea, quæ ſupra nos ſunt, vnà cum Patre & Filio virtute Spiritus gubernari, eo quòd in vita ſua animaduertit, euidenti ac perſpicuo ſigno innixus, de his rebus affirmat. Cùm enim natura quidem humana ex animo & corpore conflata, angelica verò incorpoream vitam ſortita ſit, ſi quidem in ſolis corporibus efficax Spiritus ſanctus eſſet, animus verò gratiæ, quæ ab eo proficiſcitur, capax non eſſet: fortaſſis aliquis ex hoc colligeret, ſi ea quæ in nobis eſt, intellectualis & mente comprehēſibilis incorporeáque natura ſupra virtutem Spiritus eſſet, ne angelicā quidem vitam gratia illius indigere: ſin autem primaria ac præcipua ratione Spiritus ſancti donū animi beneficium eſt, animiq. noſtri compoſitio per eam ſui partem, quæ ratione quidem intelligitur, non autem videtur, cum angelica atque incorporali vita aliquo modo coniuncta eſt: quis ex iis, qui conſentanea videre ſciat, ad aſſentiendum non adducatur, quòd omnis ea quæ ratione ac mente comprehenditur, natura ſancti Spiritus diſpoſitione gubernetur. Nam quoniam dictum eſt, quod angeli ſemper vident faciem patris mei in cœlis, neque verò aliter videre licet hypoſtaſin ſiue perſonam patris, niſi quis per characterem in eum intuitus fuerit: character autem pa-

Matth. 18.

A ἡ πρὸς τὸ ἀθάνατον μεταβολή, ἡ εἰς ἐλευθερίαν μετάστασις, καὶ εἴ τι ἄλλο ἐστὶν ἀγαθόν, ὃ μέχρις ἡμῶν καταβαίνει. ἡ δὲ ὑπὲρ ἡμᾶς οἰκονομία ἔν τε τῇ νοητῇ κτίσει καὶ τῇ αἰσθητῇ, εἴ τι χρὴ διὰ τῶν γινωσκομένων ἡμῖν καὶ περὶ τῶν ὑπερκειμένων στοχάζεσθαι, οὐδὲ αὐτὴ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας καὶ δυνάμεως ἔξω καθέστηκεν, ἑκάστου κατὰ τὴν ἰδίαν ἀξίαν τε καὶ χρείαν τῆς ὠφελείας μεταλαμβάνοντος. Εἰ γὰρ καὶ ἄδηλος τῇ αἰσθήσει τῇ ἡμετέρᾳ ἡ περὶ τῶν ἄνω τῆς ἡμετέρας φύσεως διάταξίς
B τε καὶ διοίκησις, ὅμως ἐκ τῆς ἀκολουθίας εὐλογώτερον ἄν τις συνθοῖτο διὰ τῶν ἡμῖν γνωρίμων ἐνεργὸν εἶναι καὶ ἐπ' ἐκείνων τὴν τοῦ πνεύματος δύναμιν, ἢ ἀπεξενῶσθαι τῆς ἐν τοῖς ὑπερκειμένοις οἰκονομίας. ὁ μὲν γὰρ ἐκεῖνο λέγων, ψιλὴν καὶ ἀκατάσκευον τὴν βλασφημίαν προβάλλεται, οὐδενὶ λογισμῷ κατασκευάζων τὴν ἀτοπίαν, ὁ δὲ συντιθέμενος καὶ τὰ ὑπὲρ ἡμᾶς μετὰ πατρὸς καὶ υἱοῦ τῇ δυνάμει τοῦ πνεύματος οἰκονομεῖσθαι, ἐναργεῖ τῷ τεκμηρίῳ τῷ κατὰ τὴν ἰδίαν ζωὴν ἐπερειδόμενος, περὶ
C τούτων διισχυρίζεται. τῆς γὰρ ἀνθρωπίνης φύσεως ἐκ ψυχῆς τε καὶ σώματος συγκεκραμένης, τῆς δὲ ἀγγελικῆς ἀσώματον τὴν ζωὴν κεκληρωμένης, εἰ μὲν ἐπὶ μόνων τῶν σωμάτων ἐνεργὸν ἦν τὸ πνεῦμα τὸ ἅγιον, ἡ δὲ ψυχὴ τῆς παρ' αὐτοῦ χάριτος ἀνεπίδεκτος ἦν· ἴσως ἄν τις ἐκ τούτου συνελογίσατο τῆς ἐν ἡμῖν νοερᾶς τε καὶ ἀσωμάτου φύσεως ὑπὲρ τὴν τοῦ πνεύματος δύναμιν οὔσης, μηδὲ τὴν ἀγγελικὴν ζωὴν ἐπιτηδεία τῆς ἐκείνου χάριτος εἶναι, εἰ δὲ κατὰ τὸ προηγούμενον ἡ τοῦ ἁγίου πνεύματος δωρεὰ τῆς ψυ-
D χῆς χάρις ἐστί, τῷ δὲ νοερῷ τε καὶ ἀειδεῖ συνῆπταί πως πρὸς τὴν ἀγγελικήν τε καὶ ἀσώματον ζωὴν ἡ τῆς ψυχῆς ἡμῶν κατασκευή· τίς οὐκ ἂν συνθοῖτο τῶν τὸ ἀκόλουθον βλέπειν ἐπισταμένων, ὅτι πᾶσα νοερὰ φύσις τῇ τοῦ ἁγίου πνεύματος οἰκονομεῖται διαταγῇ; ἐπειδὴ γὰρ εἴρηται, ὅτι διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου ἐν τοῖς οὐρανοῖς οἱ ἄγγελοι, οὐκ ἔστι δὲ ἄλλως ἰδεῖν τὴν τοῦ πατρὸς ὑπόστασιν ἢ μὴ διὰ τοῦ χαρακτῆρος εἰς αὐτὴν ἀτενίσαντα· ὁ δὲ χαρακτὴρ τῆς τοῦ πα-

τρὸς

τῆς ὑποστάσεως, ὁ μονογενής ἐστι. τούτῳ δὲ πάλιν οὐκ ἄν τις προσπελάσειε, μὴ τῷ ἁγίῳ πνεύματι καταυγασθεὶς τὴν διάνοιαν. τί ἐκ τούτων ἀποδείκνυται, ἢ ὅτι οὐδεμιᾶς ἐνεργείας τῆς παρὰ πατρὸς καὶ υἱοῦ ἐνεργουμένης τὸ ἅγιον πνεῦμα διακεχώρισται. οὐκοῦν ἡ τῆς ἐνεργείας ταυτότης ἐπὶ πατρός τε καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον· ὥστε κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ πνεύματι τὴν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συνθήσεται. ἀλλ' οὐκ οἶδ' ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρὰ τῆς θείας γραφῆς, ὅτι χειροτονητὴ ἡ φύσις οὐ γίνεται. Μωϋσῆς δὲ τῶν Αἰγυπτίων ἐχειροτονήθη Θεός, οὕτω πρὸς αὐτὸν εἰπόντος τοῦ χρηματίζοντος, ὅτι Θεόν σε δέδωκα τῷ Φαραώ. οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς, εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθώς ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. εὐεργέτην γὰρ καὶ κριτήν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν· τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν, οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. ὅταν γὰρ ἀποδιδῷ τις λόγον, ἑκάστου τε τούτων τῶν ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδίδωσι λόγον· ὧν δὲ ὁ λόγος, τούτων καὶ ἡ φύσις διάφορος. οὐκοῦν ἄλλο μέν τί ἐστιν ἡ οὐσία ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη· ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. τὸ μὲν οὖν ἐν ταῖς ἐνεργείαις μηδεμίαν εἶναι διαφορὰν ἐκ τῆς ὀνομάτων κοινωνίας εὑρίσκομεν· τὸ δὲ τὸ κοινὸν τῆς φύσεως ἐναργῶς ἀποδείκνυται, διὰ τῆς τῶν ἐνεργειῶν ταυτότητος συνιστάμενον.

A tris hypoſtaſeos ſiue perſonæ vnigenitus filius eſt: huic verò rurſus nemo appropinquare poſſit, cuius mens Spiritu ſancto non fuerit illuſtrata atque illuminata: quid ex his demonſtratur aliud, præterquam quod à nulla actione, quæ à Patre & Filio proueniat, Spiritus ſanctus ſeparatus ſit? Igitur par eadémque efficacia atque operatio, & in Patre, & in Filio, & in Spiritu ſancto clarè ac perſpicuè demonſtrat, quod nulla ſit differentia variatió ve naturæ: itaque etiamſi naturam ſignificet nomen Deitatis, propriè B (tamen) hanc appellationem Spiritui quoque ſancto conuenire ex eſſentiæ communione colligetur. Verum neſcio quomodó ad demonſtrationem naturæ appellationem Deitatis afferunt, qui omnia confingunt & comminiſcuntur, quaſi non audiuerint ex ſcriptura diuina, quòd natura non ſit eius conditionis, vt conſtitui, eligi, deſignaríve poſſit; At Moyſes conſtitutus ac deſignatus eſt Ægyptiorum Deus, cùm ita dixerit ad eum, is qui oraculum edebat, Deum te dedi Pharaoni. *Exod. 7.* Quocirca hæc appellatio poC teſtatis cuiuſdam, ſiue inſpectricis, ſiue operatricis demonſtrationem affert. Ac diuina natura in omnibus quæ excogitantur nominibus ſicut eſt, ita manet eius conditionis, vt nulla ſignificatione exprimi & efferri poſſit, vt noſtra opinio fert. Nam cùm benefactorem & iudicem, bonumque & iuſtum, & quotquot ſunt alia talia (nomina) didicerimus, operationum differentias didicimus: eius autem qui operatur naturam, nihilo magis per efficaciarum & operationum animaduerſionem cognoſcere poſſumus. Cùm enim aliquis & vniuſcuiuſque horum D nominum, & ipſius naturæ circa quam ea nomina intelliguntur, rationem reddit ac definitionem, non eandem reddit vtrorumque rationem, quorum autem ratio, definitió ve diuerſa, eorum natura quoque differens eſt. Igitur aliquid aliud quidem eſſentia, cuius nondum oratio index cogitata atque inuenta eſt: alia verò nominum quæ circa eam proferuntur, quæ vel ex efficacia atque actione aliqua, vel dignitate indita ſunt, ſignificatio eſt. Ac quòd nulla quidem in efficaciis & operationibus differentia ſit, ex communione nominum deprehendimus: communio verò naturæ manifeſtè demonſtratur, dum per paritatem operationum oſtenditur atque comprobatur.

Siue igitur efficaciæ atque actionis & officij nomen Deitas eſt, ſicut vnam efficaciam & operationem Patris & Filij, & Spiritus ſancti, ita etiam vnam dicimus eſſe Deitatem: ſiue iuxta vulgi opiniones naturæ indicatiuum nomen Deitatis eſt, quoniam nullam inuenimus in natura variationem ac diuerſitatem ex identitate efficaciarum & operationum, non incõuenienter neque abſurdè vnius Deitatis ſtatuimus & cenſemus eſſe ſanctam Trinitatem. Sin autem aliquis ſtatuat hanc appellationem dignitatis eſſe demonſtratiuam, equidem haud ſcio, qua ratione illud nomen ad eam ſignificationem trahat. Verumetiam quoniam multos licet audire talia dicentes, ne alicunde locum & aditum aduerſus veritatem aduerſariorum ſtudium inueniat, ad talem quoque opinionem vnà cum iis qui ita ſuſpicantur, circumacti atq. euagati dicimus, quòd etiamſi dignitatem hoc nomen ſignificaret, ſecundum hanc quoque denotationem propriè Spiritui ſancto ea appellatio accõmodabitur. Nam omnem quidem dignitatem regni nomen denotat: Deus autem noſter Rex, inquit, ante ſeculum: quinetiam Regis filius, qui omnia quæ patris ſunt habet, etiam ipſe à ſancta ſcriptura Rex pronũciatur. Spiritũ verò ſanctũ vnigeniti vnctionẽ eſſe diuina ſcriptura dicit, ex trãſlatione eorum, quæ hîc (in terra) fieri conſueuerunt, dignitatẽ Spiritus explicans atque deſignãs. Quemadmodũ enim antiquitùs in iis qui ad regnũ promouebantur, ſignum dignitatis huius erat vnctio, quę eis adhibebatur: quo facto ex illo tẽpore traductio & trãſitus quidã erat à priuata & humili fortuna ad principatus faſtigiũ & celſitudinẽ, atque aliud nomen poſt vnctionẽ accipiebat is, qui hac gratia ac decore dignus erat iudicatus, & pro cõmuni homine Chriſtus Domini nominabatur: idcirco, quo maximè Spiritus ſancti dignitas hominibus oſtẽderetur, ſignum regni & vnctio à ſcriptura nominatus eſt, nimirum, vt nos doceremur, quòd vnigeniti filij Dei gloriæ ac regni particeps & ſocius ſit Spiritus ſanctus. Nam vt in Iſraële nõ licebat regnũ ſuſcipere, niſi vnctio præceſſiſſet: ita ex tranſlatione nominum, quę apud nos in vſu fiunt, parẽ vim ſcriptura oſtẽdit: nimirum quòd nec filij quidẽ regnũ abſq. ſancti Spiritus dignitate accipiatur:

A εἴτε οὖν ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος, οὕτω φαμὲν εἶναι καὶ μίαν θεότητα· εἴτε κατὰ τὰς τῶν πολλῶν δόξας, φύσεως ἐνδεικτικόν ἐστι τὸ τῆς θεότητος ὄνομα, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν ἐκ τῆς τῶν ἐνεργειῶν ταὐτότητος, οὐκ ἀπεικότως μιᾶς θεότητος τὴν ἁγίαν τριάδα ὁριζόμεθα. εἰ δέ τις ἀξίας ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην ὀνομάζοιτο, οὐκ οἶδα μὲν τίνι λόγῳ πρὸς τὴν τοιαύτην σημασίαν ἕλκει τὸ ὄνομα. πλὴν
B ἐπειδὴ πολλῶν ἐστι τὸ τοιοῦτον λεγόντων, ὡς ἂν μηδαμόθεν χώραν κατὰ τῆς ἀληθείας ἡ τῶν ἀντικειμένων εὑρίσκοι σπουδὴ, καὶ πρὸς τὴν τοιαύτην ὑπόληψιν συμπεριενεχθέντες τοῖς οὕτω δοξάζουσι φαμὲν, ὅτι κἂν ἀξίαν σημαίνῃ τὸ ὄνομα, καὶ κατὰ τοῦτο κυρίως τῷ ἁγίῳ πνεύματι ἡ προσηγορία ἐφαρμοσθήσεται. πᾶσαν μὲν γὰρ ἀξίαν ἐνδείκνυται τῆς βασιλείας τὸ ὄνομα· ὁ δὲ Θεὸς ἡμῶν, φησὶ, βασιλεὺς πρὸ αἰῶνος· ἀλλὰ καὶ τοῦ βασιλέως ὁ υἱὸς ὁ πάντα τοῦ πατρὸς ἔχων, καὶ αὐτὸς βασιλεὺς παρὰ τῆς
C ἁγίας γραφῆς ἀνακηρύττεται. τὸ δὲ πνεῦμα τὸ ἅγιον χρίσμα τοῦ μονογενοῦς εἶναί φησιν ἡ θεία γραφὴ, ἐκ μεταφορᾶς τῶν τῇδε νενομισμένων τὴν ἀξίαν τοῦ πνεύματος ἑρμηνεύουσα. ὡς γὰρ ἐν τοῖς ἀρχαίοις τοῖς εἰς βασιλείαν παραγομένοις σύμβολον ἦν τῆς ἀξίας ταύτης, τὸ ἐπαγόμενον αὐτοῖς χρίσμα, οὗ γινομένου τὸ ἀπ᾽ ἐκείνου μετάστασίς τις ἦν ἀπὸ τῆς ἰδιωτικῆς ταπεινότητος ἐπὶ τὴν τῆς δυναστείας ὑπεροχὴν, καὶ ἕτερον μετελάμβανεν ὄνομα μετὰ τὴν χρῖσιν ὁ τῆς χάριτος ταύτης ἀξιού-
D μενος, ἀντὶ τοῦ κοινοῦ ἀνθρώπου, χριστὸς κυρίου ὀνομαζόμενος. διὰ τοῦτο ὡς ἂν μάλιστα ἡ τοῦ ἁγίου πνεύματος ἀξία τοῖς ἀνθρώποις παραδειχθῇ, σύμβολον βασιλείας καὶ χρίσμα παρὰ τῆς γραφῆς ὠνομάσθη, διδασκομένων ἡμῶν ὅτι τῆς τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ δόξης καὶ βασιλείας κοινωνὸν τὸ πνεῦμα τὸ ἅγιον. ὡς γὰρ ἐν τῷ Ἰσραὴλ οὐκ ἦν προσελθεῖν εἰς βασιλείαν, μὴ προκαθηγησαμένου τοῦ χρίσματος· οὕτω τὴν ἴσην ἐνδείκνυται δύναμιν ἐκ μεταφορᾶς τῶν ἐν ἡμῖν ὀνομάτων ὁ λόγος, ὅτι οὐδὲ ἡ τοῦ υἱοῦ βασιλεία δίχα τῆς τοῦ ἁγίου πνεύματος ἀξίας καταλαμβάνεται·

διὸ κυρίως Χριστὸς λέγεται, τῆς ἀχωρίστου καὶ ἀδιαστάτου πρὸς τὸ ἅγιον πνεῦμα συναφείας τοῦ ὀνόματος τούτου παρεχομένου τὴν ἔνδειξιν. εἰ οὖν Χριστὸς μὲν ὁ μονογενὴς Θεὸς, χρίσμα δὲ τὸ πνεῦμα τὸ ἅγιον· ἡ δὲ τοῦ Θεοῦ προσηγορία τὴν βασιλικὴν ἐξουσίαν ἐνδείκνυται, σύμβολον δὲ τῆς βασιλείας ἡ χρίσις ἐστὶν, ἄρα κοινωνὸς καὶ τῆς ἀξίας τὸ πνεῦμα τὸ ἅγιον. εἰ οὖν φασί τινες τὸ τῆς θεότητος ὄνομα τοῦ ἀξιώματος εἶναι δηλωτικὸν, ἀπεφάνθη δὲ κοινωνὸν ἐν τούτῳ τὸ πνεῦμα τὸ ἅγιον, ἄρα τὸ κοινωνοῦν τῆς ἀξίας, κοινωνήσει πάντως καὶ τοῦ παραστατικοῦ ταύτης ὀνόματος. B

A idcirco propriè Chriſtus, id eſt, vnctus dicitur, inſeparabilis & indiuiſibilis cum Spiritu ſancto coniunctionis hoc nomine præbente demonſtrationem. Si igitur Chriſtus quidem vnigenitus Deus, vnctio verò Spiritus eſt: Dei autem appellatio regiam poteſtatem oſtendit, ſignum item & omen regni vnctio eſt, vtique particeps etiam dignitatis Spiritus ſanctus eſt. Quocirca ſi qui aiunt Deitatis nomen dignitatis eſſe ſignificatiuum: & demonſtratum eſt etiam in hac communionem habere Spiritum ſanctum, vtique qui dignitatis particeps eſt, prorſus etiam particeps erit nominis, quo B hæc ſignificatur.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ μὴ οἴεσθαι λέγειν τρεῖς Θεοὺς, πρὸς Ἀβλάβιον.

ΥΜΑΣ μὲν δίκαιόν ἐστι τοὺς ἀκμάζοντας ἐν πάσῃ δυνάμει κατὰ τὸν ἔσω ἄνθρωπον πρὸς τοὺς ἐναντίους τῆς ἀληθείας διαγωνίζεσθαι, καὶ μὴ C κατοκνεῖν πρὸς τοὺς πόνους, ὅπως ἂν ἡμεῖς οἱ πατέρες τοῖς γενναίοις ἱδρῶσι τῶν τέκνων ἐπευφραινώμεθα· τοῦτο γὰρ ὁ τῆς φύσεως ὑποτίθεται νόμος· ἐπεὶ δὲ ἀναστρέψας τὴν τάξιν ἐφ' ἡμᾶς πέμπεις τὰς προσβολὰς τῶν ἀκίδων, ἃς οἱ ἀντικείμενοι τῇ ἀληθείᾳ βάλλουσι, καὶ κελεύεις τῷ θυρεῷ τῆς πίστεως παρ' ἡμῶν τῶν γερόντων κατασβέννυσθαι τοὺς ἐρημικοὺς ἄνθρακας, καὶ τὰ ἠκονημένα διὰ τῆς ψευδωνύμου γνώσεως βέλη, δεχόμεθα τὸ ἐπίταγμα, καὶ τύπος τῆς εὐπειθείας γινόμεθα, ὡς ἂν καὶ αὐτὸς ἡμῖν ἀντιπαρέχοις τὴν ἴσην ἐπὶ τῶν ὁμοίων ἐπιταγμάτων ἀντίδοσιν, εἴποτέ σε πρὸς τοὺς τοιούτους ἄθλους διαναστήσαιμεν, ὦ γενναῖε τοῦ Χριστοῦ στρατιῶτα Ἀβλάβιε. ἔστι δὲ οὐ μικρὸς οὗτος ὁ λόγος ὃν προετείνας ἡμῖν, οὐδὲ τοιοῦτος ὡς ὀλίγην φέρειν ζημίαν, εἰ μὴ τῆς προσηκούσης ἐξετάσεως τύχοι. ἀνάγκη γὰρ ἐκ τῆς βίας τοῦ θεωρήματος, ἓν πάντως τῶν ἀπεμφαινόντων συνεισενεχθῆναι κατὰ τὸν πρόχειρον νοῦν, ἢ τρεῖς λέγειν Θεοὺς, ὅπερ ἀθέμιτον, ἢ μὴ προσμαρτυρεῖν

EIVSDEM DE EO QVOD non putandum ſit treis dici Deos oportere, ad Ablabium.

Laurentio Siſano interprete.

VOS quidem, qui iuxta internum hominem omni robore vigetis, æquum erat cum aduerſariis veritatis decertare, eumque haud grauatim ſuſcipere laborem, vt nos patres præclaris filiorum ſudoribus oblectaremur (hoc enim ſuggerit lex naturæ) ſed quoniam inuerſo ordine ad nos mittis impetus cuſpidum, quibus aduerſarij veritatem petunt, poſtuláſque à nobis ſenibus clypeo fidei extingui carbones deſolatorios, & retundi tela per falſam ſcientiam acuta, ſuſcipimus onus iniunctum, ac tibi ad propenſam obedientiam exemplo ſumus, vt etiam ipſe nobis inuicem D parem præbeas in ſimilibus iuſſis retributionem, ſi quando te ad talia certamina excitauerimus, ô ſtrenue Chriſti miles Ablabie. Eſt autem haud parua quæſtio hæc, quam propoſuiſti nobis, neque eiuſmodi, quę ſi non conuenienter ac dignè tractata & examinata fuerit, non parum detrimenti allatura ſit. Neceſſe eſt enim ex vi theorematis, ſecundum eum, qui prima fronte offert intellectum, in alterutrum prorſus diſſimilium duorum incidere errorem, & vel treis dicere Deos (quod nefas eſt) vel teſtimonio noſtro non comprobare,

quòd filio Spirituíque ſancto Deitas adſit: quod & impium eſt & abſurdum. Porrò quod abs te dicitur, tale eſt: Petrus, & Iacobus, & Ioannes, cum in vna ſint humana natura, tres homines dicuntur. Ac nullo modo abſurdum eſt, natura coniunctos, ſi plures ſint, ex nomine naturæ pluraliter numerari. Si igitur illic hoc conſuetudo concedit, ac nemo vetat duos dicere, qui duo ſunt, & treis eos, qui ſupra duos ſunt: quo pacto in myſticis decretis treis hypoſtaſeis confitẽtes, & nullam in iis circa naturam differentiam agnoſcentes, aduerſamur quodammodo confeſſioni, vnam quidem Deitatem Patris & Filij & Spiritus ſancti dicentes, treis autem Deos dicere vetantes. Igitur quęſtio quidem, quemadmodũ modò dicebam, tractatu multum difficilis eſt: nobiſcum verò, ſi quidem aliquid tale poſſimus inuenire, per quod mentis noſtræ ambiguitas firmaretur, & non amplius ad abſurdum dilemma dubia vacillaret atque penderet, præclarè ageretur: ſin autem noſtra oratio propoſita quæſtione infirmior arguatur, traditionem quidem, quam à patribus per ſucceſſionem accepimus, ſeruabimus in perpetuum firmam & immotã: orationem verò, quæ fidei patrocinetur, à Domino requiremus: quæ ſi ab aliquo eorum, qui gratia præditi ſunt, inuenta fuerit, gratias agemus ei, qui gratiam dederit: ſin minus id nobis contigerit, nihilo ſecius in iis quæ decreta atque ſtatuta ſunt, fidem ſtabilem & firmam retinebimus. Cur igitur tandem in noſtra conſuetudine cùm ſigillatim numerauerimus eos, qui in vna natura demonſtrantur, plurali nomine vtimur, tot homines, & nõ vnũ omneis eſſe dicẽtes, in diuina verò natura ratio decreti Deorum multitudinem expellit, & hypoſtaſeis numerãs, & pluralem ſignificationẽ non admittens? Et quidem aliquid dicere videatur, ſi quis ſimplicioribus id quod in promptu eſt, dicat, quòd ratio decreti Deorum quæ à Græcis celebratur, multitudinis ſimilitudinem vitans, deos plures numerare noluerit, ne qua decretorum quoque exiſtimetur eſſe communio, ſi non ſingulariter, ſed pluraliter etiam à nobis numen numeraretur ad ſimilitudinem conſuetudinis apud illos obtinentis; atque hoc, ſiquidem integrioribus ac ſyncerioribus dicatur, forſitan

A τῷ υἱῷ καὶ ἁγίῳ πνεύματι τῆς θεότητος· ὅπερ ἀσεβές τι καὶ ἄτοπον. τὸ δὲ λεγόμενον, παρά σου τοιοῦτόν ἐστι· Πέτρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, ἐν μιᾷ ὄντες τῇ ἀνθρωπότητι, τρεῖς ἄνθρωποι λέγονται. καὶ οὐδὲν ἄτοπον τοὺς συνημμένους κατὰ τὴν φύσιν, εἰ πλείους εἶεν, ἐκ τοῦ τῆς φύσεως ὀνόματος, πληθυντικῶς ἀριθμεῖσθαι. εἰ οὖν ἐκεῖ τοῦτο δίδωσιν ἡ συνήθεια, καὶ ὁ ἀπαγορεύων οὐκ ἔστι δύο λέγειν τοὺς δύο, καὶ τρεῖς τοὺς ὑπὲρ δύο· πῶς ἐπὶ τῶν μυστικῶν δογμάτων τὰς τρεῖς ὑποστάσεις ὁμολογοῦντες, καὶ οὐδεμίαν ἐπ' αὐ-

B τῶν τὴν κατὰ φύσιν διαφορὰν ἐννοοῦντες, μαχόμεθα τρόπον τινὰ τῇ ὁμολογίᾳ, μίαν μὲν τὴν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος λέγοντες, τρεῖς δὲ θεοὺς λέγειν ἀπαγορεύοντες. ὁ μὲν οὖν λόγος, καθὼς προέφην, πολὺ τὸ δυσμεταχείριστον· ἡμεῖς δὲ εἰ μέν τι τοιοῦτον εὕροιμεν δι' οὗ τὸ ἀμφίβολον τῆς διανοίας ἡμῶν ἐρεισθείη, μηκέτι πρὸς τὸ δίλημμα τὸ τῆς ἀτοπίας ἐπιδιστάζον καὶ κραδαινόμενον, εὖ ἂν ἔχοι· εἰ δὲ καὶ ἀτονώτερος ἐλεγχθείη τοῦ προβλήματος ὁ ἡμέτερος λόγος, τὴν

C μὲν παράδοσιν ἣν παρὰ τῶν πατέρων διεδεξάμεθα, φυλάξομεν εἰς ἀεὶ βεβαίαν τε καὶ ἀκίνητον· τὸν δὲ συνήγορον τῆς πίστεως λόγον, παρὰ τοῦ κυρίου ζητήσομεν· ὃς εἰ μὲν εὑρεθείη παρά τινος τῶν ἐχόντων τὴν χάριν, εὐχαριστήσομεν τῷ διδόντι τὴν χάριν· εἰ δὲ μή, οὐδὲν ἧττον ἐπὶ τῶν ἐγνωσμένων τὴν πίστιν ἀμετάθετον ἕξομεν. τί δήποτε τοίνυν ἐν τῇ καθ' ἡμᾶς συνηθείᾳ καθ' ἕνα τοὺς ἐν τῇ φύσει τῇ αὐτῇ δεικνυμένους ἀπαριθμήσαντες πληθυντικῶς ὀνομάζομεν, τόσους λέγοντες τοὺς ἀνθρώ-

D πους, καὶ οὐχὶ ἕνα τοὺς πάντας, ἐπὶ δὲ τῆς θείας φύσεως ἐκβάλλει τὸ πλῆθος τῶν θεῶν ὁ τοῦ δόγματος λόγος, καὶ ἀριθμῶν τὰς ὑποστάσεις, καὶ τὴν πληθυντικὴν σημασίαν οὐ προσδεχόμενος; ἔστι μὲν οὖν κατὰ τὸ πρόχειρον, τοῦτο τοῖς ἁπλουστέροις εἰπόντα, δόξαι τι λέγειν ὅτι φεύγων ὁ λόγος τῆς Ἑλληνικῆς πολυθείας τὴν ὁμοιότητα, θεοὺς ἐν πλήθει ἀριθμεῖν παρῃτήσατο, ὡς ἂν μή τις καὶ τῶν δογμάτων νομισθείη κοινότης, εἰ μὴ μοναδικῶς, ἀλλὰ πληθυντικῶς καὶ παρ' ἡμῖν ἀριθμοῖτο τὸ θεῖον, καθ' ὁμοιότητα τῆς παρ' ἐκείνοις συνηθείας· τοῦτο δὲ τοῖς μὲν ἀκεραιοτέροις λεγόμενον, ἴσως

ἄν τι δόξειε λέγεσθαι, ἐπὶ δέ γε τῶν ἄλλων τὸ ἕτερον αὐτοῖς τῆς προτάσεως στῆναι ζητούντων, ἢ μὴ ὁμολογεῖν ἐπὶ τῶν τριῶν τὴν θεότητα, ἢ τρεῖς πάντως ὀνομάζειν τοὺς τῆς αὐτῆς κεκοινωνηκότας θεότητος, οὔπω τοιοῦτόν ἐστι τὸ εἰρημένον, οἷον ἐμποιῆσαί τινα λύσιν τοῦ ζητήματος. Οὐκοῦν ἐπάναγκες διὰ πλειόνων ποιήσασθαι τὴν ἀπόκρισιν, ὅπως ἂν οἷόν τε ᾖ τὸ ἀληθὲς ἀνιχνεύοντας. οὐ γὰρ περὶ τῶν τυχόντων ὁ λόγος. Φαμὲν τοίνυν πρῶτον καταχρηστικήν τινα συνηθείας εἶναι τὸ τοὺς μὴ διῃρημένους τῇ φύσει κατ' αὐτὸ τὸ τῆς φύσεως ὄνομα πληθυντικῶς ὀνομάζειν καὶ λέγειν, ὅτι πολλοὶ ἄνθρωποι· ὥσπερ ὅμοιόν ἐστι τὸ λέγειν, ὅτι πολλαὶ φύσεις ἀνθρώπιναι. καὶ ὅτι ταῦτα οὕτως ἔχει, δῆλον ἂν ἡμῖν ἐντεῦθεν γένοιτο. προσκαλούμενοι γάρ τινα, οὐκ ἐκ τῆς φύσεως αὐτὸν ὀνομάζομεν, ὡς ἂν μή τινα πλάνην ἡ κοινότης τοῦ ὀνόματος ἐμποιήσειεν, ἑκάστου τῶν ἀκουόντων ἑαυτὸν εἶναι τὸν προσκληθέντα νομίζοντος, ὅτι μὴ τῇ ἰδιαζούσῃ προσηγορίᾳ, ἀλλ' ἐκ τοῦ κοινοῦ τῆς φύσεως ὀνόματος ἡ κλῆσις γίνεται, ἀλλὰ τὴν ἰδίαν ἐπικειμένην αὐτῷ τὴν σημαντικὴν λέγω τοῦ ὑποκειμένου φωνὴν εἰπόντες, οὕτως αὐτὸν τῶν πολλῶν ἀποκρίνομεν. ὥστε πολλοὺς μὲν εἶναι τοὺς μετεσχηκότας τῆς φύσεως, φέρε εἰπεῖν μαθητάς, ἢ ἀποστόλους, ἢ μάρτυρας, ἕνα δὲ ἐν πᾶσι τὸν ἄνθρωπον. ἐπείπερ, καθὼς εἴρηται, οὐχὶ τοῦ καθ' ἕκαστον, ἀλλὰ τοῦ κοινοῦ τῆς φύσεώς ἐστιν ὁ ἄνθρωπος. ἄνθρωπος γὰρ ὁ Λουκᾶς, ἢ ὁ Στέφανος· οὐ μὴν εἴ τις ἄνθρωπος, πάντως καὶ Λουκᾶς ἐστιν ἢ Στέφανος. ἀλλ' ὁ μὲν τῶν ὑποστάσεων λόγος διὰ τὰς ἐνθεωρουμένας ἰδιότητας ἑκάστῳ τὸν διαμερισμὸν ἐπιδέχεται, καὶ κατὰ σύνθεσιν ἐν ἀριθμῷ θεωρεῖται· ἡ δὲ φύσις μία ἐστίν, αὐτὴ πρὸς ἑαυτὴν ἡνωμένη, καὶ ἀδιάτμητος ἀκριβῶς μονάς, οὐκ αὐξανομένη διὰ προσθήκης, οὐ μειουμένη δι' ὑφαιρέσεως, ἀλλ' ὅπερ ἐστὶν ἓν οὖσα, κἂν ἐν πλήθει φαίνηται ἄσχιστος, καὶ συνεχής, καὶ ὁλόκληρος, καὶ τοῖς μετέχουσιν αὐτῆς τοῖς καθ' ἕκαστον οὐ συνδιαιρουμένη. καὶ ὥσπερ λέγεται, λαός, καὶ δῆμος, καὶ στράτευμα, καὶ ἐκκλησία μοναχῶς πάντα, ἕκαστον δὲ τούτων ἐν πλήθει νοεῖται· οὕτω κατὰ τὸν ἀκριβέστερον λόγον καὶ ἄνθρωπος

A aliquid dici videatur, apud alios autem, qui alterũ ex propoſitione ſibi firmum ac ſtabile manere deſiderant, aut non confiteri videlicet Deitatem in tribus, aut treis prorſus nominare eos, qui eiuſdem participes & ſocij ſint Deitatis, nondum tale eſt id, quod diximus, vt generare & inducere poſſit aliquam quæſtionis ſolutionem. Quocirca neceſſe eſt pluribus reſpondere, quomodocumque poterimus inueſtigando rei veritatem. Non enim de rebus friuolis ac vulgaribus quæſtio eſt. Dicimus igitur primum abuſum quẽdam eſſe conſuetudinis, vt eos qui natura diuiſi non ſunt, per ipſum naturæ nomen plurali-
B ter nominemus ac dicamus, Multi homines: cui ſimile eſt, ſi quis dicat, multæ naturæ humanæ. Quòd autem hæc ita ſe habeant, hinc nobis planum fieri poſſit. Cùm enim appellamus aliquem, non ex natura eum nominamus, ne fortè errorem communio nominis inducat, vnoquoque qui audiat ſeipſum appellatum eſſe exiſtimante, quòd non propria appellatione, ſed ex communi nomine naturæ vocatio fiat: ſed propriam ei impoſitam (ſignificatricem dico ſubiecti) vocem proferentes, ita eum à vulgo ac multitudine ſeparamus. Vt multi quidem ſint eandem
C ſortiti naturam, verbi gratia, diſcipuli, vel Apoſtoli, vel martyres, vnus verò in omnibus ſit homo. Quoniam, vt dictum eſt, non ſingularis (alicuius) ſed communitatis naturæ eſt homo. Homo enim eſt vel Lucas, vel Stephanus: non tamen ſi quis homo eſt, prórſus etiam Lucas vel Stephanus eſt. Sed hypoſtaſeωn quidem ratio per eas, quæ in vnoquoque conſiderantur proprietates, diſpertitionem admittit, & iuxta compoſitionem in numero conſidera-
D tur. Natura verò vna eſt, ipſa ſecum vnita, penitúſque ac prorſus vnitas indiuidua eſt, quæ neque adiectione augetur, neque ſubtractione diminuitur, ſed quod eſt, vnum ens & vnum permanens, etiamſi in multitudine eſſe videatur, ſectionis expers, continua, integra atque perfecta eſt, quæ non vnà cum ſingularibus qui eius participes ſunt diuiditur. Ac quemadmodum plebs populus, exercitus, concio, ſingulariter omnia dicuntur, vnumquodque autem horum in multitudine eſſe intelligitur: eodem modo ſecundum exactiorem & exquiſitiorem rationem homo

quoque vnus propriè dici poſſet, etiamſi hi, qui in eadem natura demonſtrantur, multitudo ſint, vt multo rectius fuerit, lapſam in nobis corrigere conſuetudinem, & non amplius naturæ nomen ad multitudinem extendere, quàm conſuetudini ſeruientes, errorem qui hîc latet, etiam ad diuinum dogma transferre. Sed quoniam conſuetudinis correctio difficilis eſt (quî enim alicui perſuaderi poſſit, vt non multos dicat homines qui in eadem natura demonſtrantur? etenim in omni re conſuetudo mutatu difficilis eſt) quantum attinet ad hanc infernam quidem naturam, ſi obtinenti conſuetudini non aduerſemur, nequaquam tantum peccauerimus, cùm nullum exiſtat detrimentum ex prauo nominum vſu. In diuino verò decreto non amplius æquè tutus & à periculo vacuus, promiſcuus & indifferens nominum vſus eſt. Non enim paruum hic quod per paruum eſt. Igitur vnus nobis confitendus eſt Deus iuxta ſcripturæ teſtimonium: Audi Iſraël, Dominus

Exod. 20. Deus tuus Dominus vnus eſt: etiam ſi vox Deitatis permeat ſanctam Trinitatem. Hæc autem dico ſecundum rationem redditam in humana natura: qua didicimus non oportere plurali deſignatione dilatare appellationem naturæ. Sed exactius nobis excutiendum eſt ipſum nomen Deitatis, vt per eam, quæ ineſt voci, ſignificationem aliquod nobis adiumentum accedat ad declarationem propoſitæ quæſtionis. Vox igitur Deitatis vulgi quidem opinione naturæ peculiariter indita eſſe videtur, ac quemadmodum vel cœlum, vel ſol, vel aliud quippiam ex mundi elementis peculiaribus vocibus ſubiectorum ſignificatricibus denotatur: ita aiunt in ſuprema quoque atque diuina natura tanquam proprium quoddam nomen vocem Deitatis aptè accommodatam eſſe ei, quod (per eam) declaratur. Nos verò ſcripturæ documenta ſequentes innominabilem & inexplicabilem eam eſſe didicimus: & omne nomen ſiue ab humana conſuetudine adinuentum, ſiue à ſcripturis traditum fuerit, aliquid denotandi vim habere dicimus eorum, quæ circa diuinam naturam eſſe intelliguntur, ipſius verò naturæ non continere ſignificationem.
Atque hæc ita eſſe, haud magno negocio demonſtrari poteſt. Nam cætera quidem

A εἷς κυρίως ἂν ῥηθείη, κἂν οἱ ἐν τῇ φύσει τῇ αὐτῇ δεικνύμενοι πλῆθος ὦσιν, ὡς πολὺ μᾶλλον καλῶς ἔχειν τὴν ἐσφαλμένην ἐφ' ἡμῶν ἐπανορθοῦσθαι συνήθειαν εἰς τὸ μηκέτι τὸ τῆς φύσεως ὄνομα πρὸς πλῆθος ἐκτείνειν, ἢ ταύτῃ δουλεύοντας τὴν ὧδε πλάνην καὶ ἐπὶ τὸ θεῖον δόγμα μὴ μεταβιβάζειν. ἀλλ' ἐπειδὴ ἀμήχανος τῆς συνηθείας ἡ ἐπανόρθωσις. πῶς γὰρ ἄν τις πεισθείη, εἰ μὴ πολλοὺς λέγειν ἀνθρώπους τοὺς ἐν φύσει τῇ αὐτῇ δεικνυμένους; δυσμετάθετον γὰρ ἐπὶ παντὸς ἡ συνήθεια· ἐπὶ μὲν τῆς κάτω
B φύσεως τῇ κρατούσῃ συνηθείᾳ μὴ ἀντιβαίνοντες, οὐδὲν ἂν τοσοῦτον ἁμαρτοίημεν, μηδεμιᾶς οὔσης ζημίας ἐκ τῆς ἡμαρτημένης τῶν ὀνομάτων χρήσεως. ἐπὶ δὲ τοῦ θείου δόγματος, οὐκέτι ὁμοίως ἀκίνδυνος ἡ διάφορος χρῆσις τῶν ὀνομάτων. οὐ γὰρ μικρὸν ἐνταῦθα τὸ παρὰ μικρόν. οὐκοῦν εἷς ἡμῖν ὁμολογητέος Θεὸς κατὰ τὴν γραφικὴν μαρτυρίαν· ἄκουε Ἰσραὴλ, κύριος ὁ Θεός σου κύριος εἷς ἐστι· κἂν ἡ φωνὴ τῆς θεότητος διήκει διὰ τῆς ἁγίας τριάδος. ταῦτα δὲ λέγω κατὰ τὸν ἀποδοθέντα ἡμῖν ἐπὶ τῆς
C ἀνθρωπίνης φύσεως λόγον· ἐν ᾧ μεμαθήκαμεν μὴ δεῖν πληθυντικῷ χαρακτῆρι τὴν προσηγορίαν πλατύνειν τῆς φύσεως. ἀκριβέστερον δὲ ἡμῖν αὐτὸ τὸ ὄνομα τῆς θεότητος ἐξεταστέον, ὅπως ἂν διὰ τῆς ἐγκειμένης τῇ φωνῇ σημασίας, γένοιτό τις συνεργία πρὸς τὴν τοῦ προκειμένου σαφήνειαν. δοκεῖ μὲν οὖν τοῖς πολλοῖς ἰδιαζόντως κατὰ τῆς φύσεως ἡ φωνὴ τῆς θεότητος κεῖσθαι, καὶ ὥσπερ ἢ ὁ οὐρανὸς, ἢ ὁ ἥλιος, ἢ ἄλλο τι τῶν τοῦ κόσμου στοιχείων ἰδίαις φω-
D ναῖς διασημαίνεται ταῖς τῶν ὑποκειμένων σημαντικαῖς· οὕτω φασὶ καὶ ἐπὶ τῆς ἀνωτάτω καὶ θείας φύσεως ὥσπερ τι κύριον ὄνομα προσφυῶς ἐφηρμόσθαι τῷ δηλουμένῳ τὴν φωνὴν τῆς θεότητος. ἡμεῖς δὲ ταῖς τῆς γραφῆς ὑποθήκαις ἑπόμενοι, ἀκατονόμαστόν τε καὶ ἄφραστον αὐτὴν μεμαθήκαμεν· καὶ πᾶν ὄνομα εἴτε παρὰ τῆς ἀνθρωπίνης οὐσίας ἐξεύρηται, εἴτε παρὰ τῆς γραφῆς παραδέδοται, τῶν περὶ τὴν θείαν φύσιν νοουμένων ἑρμηνευτικὸν εἶναι λέγομεν, οὐκ αὐτῆς δὲ τῆς φύσεως περιέχειν τὴν σημασίαν. καὶ οὐ πολλῆς ἄν τις δεηθείη πραγματείας πρὸς τὴν ἀπόδειξιν τοῦ ταῦθ' οὕτως ἔχειν. τὰ μὲν γὰρ

λοιπὰ τῶν ὀνομάτων, ὅσα ἐπὶ τῆς κτίσεως κεῖται A καὶ δίχα τινὸς ἐτυμολογίας εὕροι τις ἂν κατὰ τὸ συμβὰν ἐφηρμοσμένα τοῖς ὑποκειμένοις, ἀγαπώντων ἡμῶν. ὁπωσοῦν τὰ πράγματα διὰ τῆς ἐπ' αὐτῶν φωνῆς σημειώσασθαι πρὸς τὸ ἀσύγχυτον ἡμῖν γίνεσθαι, τῶν σημειουμένων τὴν γνῶσιν. ὅσα δὲ πρὸς ὁδηγίαν τῆς θείας κατανοήσεως ἐστὶν ὀνόματα, ἰδίαν ἔχει ἕκαστον ἐμπεριειλημμένην διάνοιαν, καὶ οὐκ ἂν χωρὶς νοήματός τινος οὐδεμίαν εὕροις φωνὴν ἐν τοῖς θεοπρεπεστέροις τῶν ὀνομάτων. ὡς ἐκ τούτου δείκνυσθαι μὴ αὐτὴν τὴν θείαν φύσιν ὑπό B τινος τῶν ὀνομάτων σημειοῦσθαι, ἀλλά τι τῶν περὶ αὐτὴν διὰ τῶν λεγομένων γνωρίζεσθαι. λέγομεν γὰρ εἶναι τὸ θεῖον ἄφθαρτον, εἰ οὕτω τύχοι, ἢ δυνατόν, ἢ ὅσα ἄλλα συνήθως ἐστὶ λέγειν. ἀλλ' εὑρίσκομεν ἑκάστου τῶν ὀνομάτων ἰδιάζουσαν ἔμφασιν, πρέπουσαν περὶ τῆς θείας φύσεως νοεῖσθαι καὶ λέγεσθαι· οὐ μὴν ἐκεῖνο σημαίνουσαν, ὅ ἐστι κατ' οὐσίαν ἡ φύσις. αὐτὸ γὰρ ὅτι ποτέ ἐστιν, ἄφθαρτόν ἐστιν· ἡ δὲ τοῦ ἀφθάρτου ἔννοια αὕτη, τὸ μὴ εἰς φθορὰν τὸ ὂν διαλύεσθαι. οὐκοῦν ἄφθαρτον εἰπόντες, ὃ μὴ πάσχει ἡ φύσις εἴπομεν. τί δὲ ἐστι τὸ τὴν φθορὰν μὴ πάσχον, οὐ παρεστήσαμεν. οὕτω κἂν C ζωοποιὸν εἴπωμεν ὃ ποιεῖ διὰ τῆς προσηγορίας σημάναντες, τὸ ποιοῦν τῷ λόγῳ οὐκ ἐγνωρίσαμεν. καὶ τὰ ἄλλα πάντα κατὰ τὸν αὐτὸν λόγον ἐκ τῆς ἐγκειμένης ταῖς θεοπρεπεστέραις φωναῖς σημασίας εὑρίσκομεν, ἢ τὸ μὴ δέον ἐπὶ τῆς θείας φύσεως γινώσκειν ἀπαγορεύοντα, ἢ τὸ δέον διδάσκοντα, αὐτῆς δὲ τῆς φύσεως ἑρμηνείαν οὐ περιέχοντα. ἐπεὶ τοίνυν τὰς ποικίλας τῆς ὑπερκειμένης δυνάμεως ἐνεργείας κατανοοῦντες ἀφ' ἑκάστης τῶν ἡμῖν γνωρίμων ἐνεργειῶν τὰς προσηγορίας ἁρμόζομεν· μίαν D δὲ καὶ ταύτην εἶναι τὴν ἐνέργειαν τὴν ἐποπτικὴν καὶ ὁρατικήν, καὶ ὡς ἄν τις εἴποι θεατικήν, καθ' ἣν τὰ πάντα ἐφορᾷ καὶ πάντα ἐπισκοπεῖ, τὰς ἐνθυμήσεις βλέπων καὶ ἐπὶ τὰ ἀθέατα τῇ θεωρητικῇ δυνάμει διαδυόμενος, ὑπειλήφαμεν, ἐκ τῆς θέας, τὴν θεότητα παρωνομάσθαι,

A nomina quæ creaturis impoſita ſunt, vel abſque aliqua originali notatione, quam etymologiam dicimus, reperiat aliquis fortuitò accommodata eſſe ſubiectis; contenti eſſemus quocumque modo per iis impoſitas voces res ſignificare, ne confuſa nobis eſſet rerum ſignificatarum cognitio. Eorum autem quæ idcirco prodita ſunt vt nos deducerent ad Dei cognitionem, peculiarem vnumquodque continet in ſe ſententiam comprehenſam: nec vllam in diuinis nominibus vocem reperias aliquo carentem intellectu. Ex hoc itaque B demonſtratur, quod non ipſa diuina natura per aliquod eorum nominum denotetur, ſed aliquid eorum, quæ ei adiuncta ſunt, per ea quæ dicuntur, indicetur. Dicimus enim verbi gratia, ſi res ita ferat, numen eſſe incorruptibile, vel potens, vel quæcumque alia dicere mos eſt. Sed reperimus cuiuſque nominis peculiarem eſſe ſignificationem, quam deceat intelligi ac dici de diuina natura, quæ ſignificatio tamen non illud ſignificet, quod natura iuxta eſſentiam eſt. Nam ipſum, quodcumque tandem eſt, incorruptibile eſt: di- C ctionis autem incorruptibilis notio atque intellectus hic eſt, quod id quod eſt ad corruptionem non redigatur. Proinde cùm incorruptibile diximus, id quod in naturam non cadit, diximus: quid autem ſit illud, quod corruptioni obnoxium non ſit, non expreſſimus. Eodem modo ſi vel viuificum dixerimus, cùm id quod efficit, per appellationem ſignificauerimus, ipſum efficiens, ac naturam effectricem (eo) verbo non indicauimus. Item in cæteris omnibus eadem ratione ex ea, quæ inſita eſt auguſtioribus vocibus, ſignificatione, reperimus aut ea, quæ id, quod D non oportet, de diuina natura ſentire interdicant, aut quæ ſentire deceat, nos doceant, non autem ea, quæ contineant ipſius naturæ ſignificationem. Quoniam igitur varias ſupernæ potentiæ efficacias animaduertentes, à qualibet nobis nota efficacia appellationes adaptamus, atq; vnam nimirum etiam hanc efficaciam inſpectricem & viſitatricem, & vt aliquis dicere poſſit, θεατικὴν, id eſt, ſpectatricem eſſe cognoſcimus: qua omnia inſpicit, omnia intuetur, cogitationes videns, & vſque ad ea, quæ ſpectari non poſſunt, contemplatrice virtute penetrans: ἐκ τῆς θέας, id eſt, viſione & inſpectione, θεότητα, id eſt, Deitatem

denominatam eſſe exiſtimamus, τὸν θεατὴν ἡμῶν, id eſt, inſpectorem, contemplatorem noſtrum & curatorem, θεὸν, id eſt, Deum, & à conſuetudine, & à ſcripturarum doctrina appellari arbitramur. Quod ſi quis concedit, idem eſſe, τὸ θεάσασθαι, id eſt, ſpectare, & τὸ βλέπειν, hoc eſt, videre: atque omnia ἐφορῶντα, hoc eſt, inſpicientem, θεὸν, id eſt Deum, ἔφορον, hoc eſt inſpectorem & præfectum ſummæ rerum & eſſe & dici: conſideret hanc efficaciam, verùm vni adſit ex iis, quæ in ſancta Trinitate creditæ ſunt perſonis, an ad omneis ea virtus pertineat. Nam ſi vera eſt, ἡ θεότης, id eſt, Deitatis explicatio, & ea, quæ videntur θεατὰ, id eſt, viſibilia ſeu ſpectabilia, & τὸ θεώμενον, hoc eſt, id quod videt & ſpectat, θεὸς, id eſt, Deus dicitur: nulla iam probabili ratione aliqua perſonarum, quæ in Trinitate ſunt, à tali appellatione ſeparabitur, propter inſitam voci ſignificationem. Nam quòd videant & intueantur, ſcriptura ſuo teſtimonio ex æquo attribuit & Patri & Filio & Spiritui ſancto. Protector noſter, aſpice
Pſal. 83. Deus, inquit Dauid. Nam ex hoc diſcimus ſpeciem Dei, quatenus Deus intelligitur, habere peculiarẽ efficaciam videndi, ex eo quod dixit, Aſpice Deus. Quinetiam Ieſus videt cogitationes damnantium, quòd pro poteſtate peccata hominum condonaret. Videns e-
Luc. 9. nim, inquit, Ieſus cogitationes eorum. Item de ſpiritu Petrus ad Ananiam di-
Act. 5. cit, Cur impleuit Satanas cor tuum, vt mentireris Spiritui ſancto? oſtendens, quòd eorum, quæ in occulto auſus erat Ananias, teſtis verax & arbiter eſſet Spiritus ſanctus, per quem etiã Petro prodebantur occulta. Atque ille quidem ſui ipſius fur erat, fallens omneis, vt putabat, & peccatum occultum habens. Spiritus autem ſanctus ſimul & in Petro erat, & illius mentem ad auaritiam proiectam deprehẽdit, & per ſeſe Petro latentia videndi facultatem dat: hoc videlicet non facturus, ſi occulta videndi virtutis expers eſſet. At nondum inquiet aliquis, ad id quod quæritur, orationis ſpectare ſtructuram. Neque enim ſi datum fuerit commune naturæ vocabulum eſſe Deitatis, iam (protinus) per hoc probatum fuerit, quòd non oporteat dicere Deos: quinimò contrà ex his magis cogimur dicere Deos. Reperiemus enim in conſuetudine hominũ, non ſolùm eos, qui eandem naturá cõmu-

A καὶ τὸν θεατὴν ἡμῶν Θεὸν, ἀπό τε τῆς συνηθείας καὶ τῆς τῶν γραφῶν διδασκαλίας προσαγορεύεσθαι. Εἰ δὲ συγχωρεῖ τις ταὐτὸν εἶναι, τὸ θεάσασθαι, καὶ τὸ βλέπειν, καὶ τὸν ἐφορῶντα πάντα Θεὸν, ἔφορον τοῦ παντὸς καὶ εἶναι καὶ λέγεσθαι, λογισάσθω τὴν ἐνέργειαν ταύτην, πότερον ἑνὶ πρόσεστι τῶν ἐν τῇ ἁγίᾳ τριάδι πεπιστευμένων προσώπων, ἢ διὰ τῶν τριῶν πρόεισιν ἡ δύναμις. Εἰ γὰρ ἀληθὴς ἡ τῆς θεότητος ἑρμηνεία, καὶ τὰ ὁρώμενα θεατὰ, καὶ τὸ θεώμενον Θεὸς λέγεται, οὐκέτι ἂν εὐ-
B λόγως ἀποκριθείη τι τῶν ἐν τῇ τριάδι προσώπων τῆς τοιαύτης προσηγορίας διὰ τὴν ἐγκειμένην τῇ φωνῇ σημασίαν. Τὸ γὰρ βλέπειν ἐπίσης μαρτυρεῖ ἡ γραφὴ καὶ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι. ὑπερασπιστὰ ἡμῶν, ἴδε ὁ Θεὸς, φησὶν ὁ Δαβίδ. ἐκ δὲ τούτου μανθάνομεν, ἰδίαν Θεοῦ, καθὸ Θεὸς νοεῖται, ἰδίαν ἐνέργειαν τοῦ ὁρᾷν, ἐκ τοῦ εἰπεῖν, ἴδε ὁ Θεός. ἀλλὰ καὶ ὁ Ἰησοῦς ὁρᾷ τὰς ἐνθυμήσεις τῶν καταγινωσκόντων διὰ τί συγχωρεῖ τὰς ἁμαρτίας ἐξ αὐθεντίας τῶν ἀνθρώπων. ἰδὼν
C γὰρ, φησιν, ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν. καὶ περὶ τοῦ πνεύματος λέγει πρὸς τὸν Ανανίαν ὁ Πέτρος· ἵνα τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον; δεικνὺς, ὅτι τῶν ἐν κρυπτῷ τετολμημένων παρὰ τοῦ Ανανίου, μάρτυς ἦν ἀψευδὴς ἐπίστωρ τὸ πνεῦμα τὸ ἅγιον, δι' οὗ καὶ τῷ Πέτρῳ τῶν λανθανόντων ἡ φανέρωσις ἦν. ὁ μὲν γὰρ ἐγένετο κλέπτης αὐτὸς ἑαυτοῦ λανθάνων, ὡς ᾤετο, πάντας, καὶ τὴν ἁμαρτίαν ἐπικρυπτόμενος. Τὸ δὲ πνεῦμα τὸ ἅγιον, ὁμοῦ τε ἐν Πέτρῳ ἦν,
D καὶ τὴν ἐκείνου διάνοιαν πρὸς τὴν φιλοχρηματίαν κατασυρεῖσαν ἐφώρασε, καὶ δι' ἑαυτοῦ δίδωσι τῷ Πέτρῳ ἰδεῖν τὰ λανθάνοντα· οὐκ ἂν δηλονότι τοῦτο ποιοῦν, εἴπερ ἦν τῶν κρυφίων ἀθέατον. ἀλλ' οὔπω τις ἐρεῖ πρὸς τὸ ζητούμενον βλέπειν τὴν κατασκευὴν τοῦ λόγου. οὐδὲ γὰρ εἰ δοθείη κοινὴ τῆς φύσεως ἡ κλῆσις τῆς θεότητος εἶναι, ἤδη τὸ μὴ δεῖν λέγειν Θεοὺς διὰ τούτου κατεσκευάσθη· τοὐναντίον μὲν οὖν ἐκ τούτων ἀναγκαζόμεθα μᾶλλον λέγειν Θεούς. εὑρίσκομεν γὰρ ἐπὶ τῆς ἀνθρωπίνης συνηθείας, οὐ μόνον τοὺς τῆς αὐτῆς φύσεως κοινωνίας, ἀλλά

κἂν πλείους τοῦ αὐτοῦ ὦσιν ἐπιτηδεύματος, οὐχ ἑνικῶς τοὺς πολλοὺς μνημονευομένους. καθὼς φαμὲν ῥήτορας τε πολλοὺς καὶ γεωμέτρας, γεωργούς τε καὶ σκυτοτόμους· καὶ τὰ ἄλλα πάντα ὡσαύτως. καὶ εἰ μὲν φύσεως ἦν ἡ θεότης προσηγορία, μᾶλλον ἂν εἶχε κυρίως κατὰ τὸν προαποδοθέντα λόγον ἑνικῶς τὰς τρεῖς ὑποστάσεις περιλαμβάνειν, καὶ ἕνα Θεὸν λέγειν, διὰ τὸ τῆς φύσεως ἄτμητόν τε καὶ ἀδιαίρετον. ἐπεὶ δὲ κατεσκευάσθη διὰ τῶν εἰρημένων ἐνεργείας σημαίνειν, καὶ οὐχὶ φύσιν τὸ τῆς θεότητος ὄνομα, περιτρέπεταί πως πρὸς τοὐναντίον ἐκ τῶν κατασκευαζομένων ὁ λόγος, ὡς δεῖν ταύτῃ μᾶλλον λέγειν τρεῖς Θεούς, τοὺς ἐν τῇ αὐτῇ ἐνεργείᾳ θεωρουμένους· ὥς φασι λέγεσθαι τρεῖς φιλοσόφους, ἢ ῥήτορας, ἢ εἴ τι ἐστὶν ἕτερον ἐξ ἐπιτηδεύματος ὄνομα, ὅταν πλείους ὦσιν οἱ τοῦ αὐτοῦ μετέχοντες. Ταῦτα δὲ φιλοπονώτερον ἐξειργασάμην, τὸν τῶν ὑπεναντίων ἀνθυποφέρων λόγον, ὡς ἂν βεβαιότερον ἡμῖν παγείη τὸ δόγμα ταῖς εὐπονωτέραις τῶν ἀντιθέσεων κρατυνόμενον. Οὐκοῦν ἐπαναληπτέος πάλιν ὁ λόγος. ἐπεὶ μετρίως ἡμῖν ἐκ τῆς κατασκευῆς ἀπεδείχθη, οὐ φύσεως, ἀλλ' ἐνεργείας εἶναι τὴν φωνὴν τῆς θεότητος λέγων, τάχα ταύτην ἄν τις αἰτίαν εὐλόγως εἴποι, τοῦ πληθυντικῶς μὲν ἐπ' ἀνθρώπων τοὺς τῶν αὐτῶν ἐπιτηδευμάτων κοινωνοῦντας ἀλλήλοις ἀριθμεῖσθαι καὶ ὀνομάζεσθαι· μοναδικῶς δὲ τὸ θεῖον ὡς ἕνα Θεὸν καὶ μίαν θεότητα λέγεσθαι, κἂν αἱ τρεῖς ὑποστάσεις τῆς ἐμφαινομένης τῇ θεότητι σημασίας μὴ ἀποκρίνοιτο. ὅτι ἄνθρωποι μέν, κἂν μιᾶς ὦσιν ἐνεργείας οἱ πλείονες, καθ' ἑαυτὸν ἕκαστος ἀποτεταγμένος ἐνεργεῖ τὸ προκείμενον, οὐδὲν ἐπικοινωνῶν ἐν τῇ καθ' ἑαυτὸν ἐνεργείᾳ πρὸς τοὺς τὸ ἴσον ἐπιτηδεύοντας. εἰ γὰρ καὶ πλείονες εἶεν οἱ ῥήτορες, τὸ μὲν ἐπιτήδευμα ἓν ὄν, τὸ αὐτὸ ἐν τοῖς πλείοσιν ὄνομα ἔχει· οἱ δὲ μετιόντες καθ' ἑαυτὸν ἕκαστος ἐνεργοῦσιν· ἰδίως ῥητορεύων ὁ δεῖνα, καὶ ἰδίως ὁ ἕτερος. Οὐκοῦν ἐν μὲν τοῖς ἀνθρώποις, ἐπειδὴ διακεκριμένη ἐστὶν ἐν τοῖς αὐτοῖς ἐπιτηδεύμασιν ἑκάστου ἡ ἐνέργεια, κυρίως πολλοὶ ὀνομάζονται, ἑκάστου αὐτῶν εἰς ἰδίαν περιγραφὴν κατὰ τὸ ἰδιάζον τῆς ἐνερ-

A nem habent, verumetiã ſi qui ſint eiuſdem ſtudij,& officij,ſingulariter multos nominari. Qua ratione oratores multos & geometras dicimus, agricoláſque & ſutores: & in cæteris omnibus eodem modo. Ac ſi quidem naturę vocabulum Deitas eſſet,magis congrueret atq; conueniret iuxta ante redditam rationem (omneis) treis hypoſtaſeis ſingulariter comprehendere, & vnũ Deum dicere, quippe cum natura talis ſit, vt in partes ſecari ac diuidi nõ poſſit. Sed quoniam per ea, quæ dicta ſunt, affirmatum eſt, quòd officiũ efficaciámq. & non natu-
B ram ſignificet nomen Deitatis: ad contrarium quodãmodo ſenſum ex iis, quæ affirmantur, oratio redigitur, vt idcirco magis oporteat dicere treis Deos, eos qui in eadem efficacia verſari videntur: quemadmodũ aiunt dici treis philoſophos, aut oratores, aut ſi quod eſt aliud ex ſtudio atq. officio nomen, cùm plures fuerint ſocij eiuſdem vitæ inſtituti. Atque hæc diligentiùs ac magis induſtriè amplificaui, aduerſariorum ex oppoſito inferens orationem, vt firmius ac certius nobis decretum conſtabiliatur validioribus oppoſitionibus munitum.
C Proinde ex integro nobis oratio repetenda eſt. Quoniam nobis per orationis ſtructuram mediocriter demonſtratum eſt,quòd non naturæ,ſed efficientiæ vocabulum Deitatis ſit, ſi quis fortè hanc eius rei cauſſam afferat, haud abſurdè dixerit,quò in hominibus quidem pluraliter eos,qui eorumdem ſtudiorum & officiorum inter ſe participes ac ſocij ſint, numerentur & nominentur: ſingulariter verò numen diuinũ tanquam vnus Deus & vna Deitas dicatur,etiamſi tres hypoſtaſes ab ea, quæ in Deitate apparet, ſignificatione non ſecernan-
D tur. Quippe cùm homines quidem, etiamſi plures eiuſdem ſint officij, ſigillatim quiſque (tamen) ſeiunctus agit & operatur id quod ſibi ſumpſerit efficiendum, nihil communicans in ſua actione cum iis,qui eiuſdem ſunt officij atque inſtituti. Nam etſi plures fuerint oratores, ſtudiũ quidem & officiũ cùm ſit vnum,idem in pluribus nomẽ habet: qui autem id tractãt, ſigillatim quiſque ſolus ſuum negotium agunt: ſeorſum ille, itémque alter ſeparatim oratoriam exercentes. Igitur in hominibus quidẽ, quãdoquidẽ diſcreta cuiuſq. eſt in iiſdẽ officiis & inſtitutis actio atq. operatio,propriè multi nominãtur, cum quilibet eorũ intra ſuos terminos pro ratione ſui peculiaris ne-

gotij ab aliis ſeparetur. At in diuina natura non ita didicimus, quòd pater faciat aliquid per ſe ſolus, quod filius non vnà cum eo capeſſat. Aut filius rurſus peculiariter aliquid operetur abſque ſpiritu. Sed omnis actio ad creaturam à Deo perueniens, quæ ſecundum varias notiones atque conſiderationes nomen accipit, à Patre proficiſcitur, & per Filium progreditur, & in Spiritu ſancto perficitur. Idcirco in multitudinem operantium nomen efficaciæ non ſcinditur: quoniam non ſeparatum cuiuſque atque peculiare circa aliquam rem ſtudium eſt: ſed quicquid fit, quod vel ad noſtri prouidentiam, vel ad ſummæ rerum adminiſtrationem & cōſtitutionem pertineat, per treis quidem fit, non tamen tria ſunt, quæ fiunt. Intelligemus autem id quod dicitur per vnam aliquam rem: Ab ipſo, inquam, capite beneficiorum, vitam conſequuta ſunt, quæcumque in huius beneficij ſocietatem venerunt. Si ſcrutemur igitur, vnde nobis tale bonum contigerit, ex commonſtratione ſcripturarum reperimus, id nobis contigiſſe à Patre & Filio & Spiritu ſancto. At non quoniam treis perſonas ac tria nomina proponimus, treis etiam vitas, ſeparatim vnam ab vnoquoque eorum largitam nobis eſſe arbitramur: ſed eadem vita & à patre præſtatur, & à filio expeditur, & à ſpiritus pendet voluntate. Quoniam igitur ad ſimilitudinem eius, quod modò dictum eſt, non diuiſim pro numero hypoſtaſeωn ſancta Trinitas omnem actionem operatur, ſed vnus quidem bonæ voluntatis motus, vna diſpoſitio eſt, quæ à patre per filium ad ſpiritum vſque deducitur atque dirigitur: quemadmodum non dicimus treis viuificantes eos, qui vnam vitam præſtant, neque treis bonos, qui in eadem bonitate conſiderantur, nec reliqua omnia pluraliter enuntiamus: eodem modo neque treis Deos nominare poſſumus eos, qui hanc θεϊκὴν, id eſt, diuinam ſiue inſpectricem virtutem & actionem tum in nobis, tum in omni creatura, coniunctim & non ſeparatim per ſeſe inuicem exercent. Vt enim de Deo ſummæ rerum docti ſcriptura dicente, quòd iudicet omnem terram, iudicem eum vniuerſarum rerum per filium eſſe dicimus: ac

A γίας ἀποτεμνομένου τῶν ἄλλων. ἐπὶ δὲ τῆς θείας φύσεως, οὐχ οὕτως ἐμάθομεν, ὅτι ὁ πατὴρ ποιεῖ τι καθ' ἑαυτὸν, οὗ μὴ συνεφάπτεται ὁ υἱός. ἢ πάλιν ὁ υἱὸς ἰδιαζόντως ἐνεργεῖ τι χωρὶς τοῦ πνεύματος. ἀλλὰ πᾶσα ἐνέργεια ἡ θεόθεν ἐπὶ τὴν κτίσιν διήκουσα, καὶ κατὰ τὰς πολυτρόπους ἐννοίας ὀνομαζομένη, ἐκ πατρὸς ἀφορμᾶται καὶ διὰ τοῦ υἱοῦ πρόεισι, καὶ ἐν τῷ πνεύματι τῷ ἁγίῳ τελειοῦται· διὰ τοῦτο εἰς πλῆθος τῶν ἐνεργούντων τὸ ὄνομα τῆς ἐνεργείας οὐ διασχίζεται· ὅτι οὐκ ἀποτεταγμένη ἑκάστου καὶ B ἰδιάζουσα ἐστὶν ἡ περί τι σπουδή· ἀλλ' ὅπερ ἂν γίνεται τῶν εἴτε εἰς τὴν ἡμετέραν πρόνοιαν φθανόντων, εἴτε πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν καὶ σύστασιν, διὰ τῶν τριῶν μὲν γίνεται, οὐ μὴν τρία ἐστὶ τὰ γινόμενα· νοήσωμεν δὲ τὸ λεγόμενον, ἐφ' ἑνός τινος πράγματος· ἀπ' αὐτοῦ λέγω τοῦ κεφαλαίου τῶν χαρισμάτων ζωῆς τετύχηκεν, ὅσα μετείληφε τῆς χάριτος ταύτης. ἐξετάζοντες οὖν πόθεν ἡμῖν ἦλθε τὸ τοιοῦτον ἀγαθὸν, εὑρίσκομεν διὰ τῆς τῶν γραφῶν ὁδηγίας, ὅτι ἐκ πατρὸς καὶ υἱοῦ καὶ C πνεύματος ἁγίου. ἀλλ' οὐκ ἐπειδὴ τρία ὑποτιθέμεθα πρόσωπά τε καὶ ὀνόματα, τρεῖς καὶ ζωὰς ἰδίως μίαν παρ' ἑκάστου αὐτῶν δεδωρῆσθαι ἡμῖν λογιζόμεθα. ἀλλ' ἡ αὐτὴ ζωὴ καὶ παρὰ τοῦ πατρὸς ἐνεργεῖται, καὶ παρὰ τοῦ υἱοῦ ἑτοιμάζεται, καὶ τῆς τοῦ πνεύματος ἐξῆπται βουλήσεως. ἐπεὶ τοίνυν καθ' ὁμοιότητα τοῦ εἰρημένου πᾶσαν ἐνέργειαν οὐ διῃρημένως ἐνεργεῖ κατὰ τὸν τῶν ὑποστάσεων ἀριθμὸν ἡ ἁγία τριάς, ἀλλὰ μία τις γίνεται τοῦ ἀγαθοῦ θελήματος κίνησίς τε καὶ διακόσμησις, ἐκ πατρὸς διὰ τοῦ υἱοῦ πρὸς τὸ πνεῦμα διεξαγο- D μένη· ὡς γὰρ οὐ λέγομεν τρεῖς ζωοποιοὺς τοὺς τὴν μίαν ἐνεργοῦντας ζωὴν, οὐδὲ τρεῖς ἀγαθοὺς, τοὺς ἐν αὐτῇ τῇ ἀγαθότητι θεωρουμένους, οὐδὲ τὰ ἄλλα πάντα πληθυντικῶς ἐξαγγέλλομεν· οὕτως οὐδὲ τρεῖς Θεοὺς ὀνομάζειν δυνάμεθα, τοὺς τὴν θεϊκὴν ταύτην, ἤτοι ἐποπτικὴν δύναμίν τε καὶ ἐνέργειαν συνημμένως καὶ ἀδιακρίτως δι' ἀλλήλων ἐφ' ἡμῶν τε καὶ πάσης τῆς κτίσεως ἐνεργοῦντας. ὥσπερ γὰρ μαθόντες περὶ τοῦ Θεοῦ τῶν ὅλων τῆς γραφῆς λεγούσης, κρίνειν αὐτὸν πᾶσαν τὴν γῆν, κριτὴν τοῦ παντὸς αὐτὸν εἶναι διὰ τοῦ υἱοῦ φαμέν. καὶ

πάλιν ἀκούσαντες, ὅτι ὁ πατὴρ κρίνει οὐδένα, οὐχ ἡγούμεθα μάχεσθαι πρὸς ἑαυτὴν τὴν γραφήν. ὁ γὰρ κρίνων πᾶσαν τὴν γῆν διὰ τοῦ υἱοῦ, ᾧ πᾶσαν δέδωκε τὴν κρίσιν, τοῦτο ποιεῖ· καὶ πᾶν τὸ παρὰ τοῦ μονογενοῦς γινόμενον, εἰς τὸν πατέρα τὴν ἀναφορὰν ἔχει, ὥστε καὶ κριτὴν αὐτὸν τοῦ παντὸς εἶναι, καὶ κρίνειν μηδένα διὰ τὸ πᾶσαν, ὡς εἴρηται, τὴν κρίσιν τῷ υἱῷ δεδωκέναι, καὶ πᾶσαν τὴν τοῦ υἱοῦ κρίσιν τοῦ πατρικοῦ μὴ ἀπηλλοτριῶσθαι βουλήματος· καὶ οὐκ ἄν τις εὐλόγως, ἢ δύο κριτὰς εἴποι, ἢ τὸν ἕτερον ἠλλοτριῶσθαι τῆς κατὰ τὴν κρίσιν ἐξουσίας τε καὶ δυνάμεως· οὕτως καὶ ἐπὶ τοῦ τῆς θεότητος λόγου, Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία· καὶ τὴν ἐποπτικήν τε καὶ θεατικὴν δύναμιν, ἥνπερ δὴ θεότητα λέγομεν, διὰ τοῦ μονογενοῦς ὁ πατὴρ ἐνεργεῖ, τοῦ δὲ υἱοῦ πᾶσαν δύναμιν ἐν τῷ ἁγίῳ πνεύματι τελειοῦντος, καὶ κρίνοντος μὲν, καθὼς Ἡσαΐας φησὶν, ἐν πνεύματι κρίσεως, καὶ πνεύματι καύσεως· ἐνεργοῦντος δὲ κατὰ τὴν εὐαγγελίου φωνὴν ἣν πρὸς τοὺς Ἰουδαίους πεποίηται. λέγει γὰρ, εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια· ἀπὸ μέρους πᾶν εἶδος εὐεργεσίας περιλαμβάνων, διὰ τῆς κατὰ τὴν ἐνέργειαν ἑνότητος· οἷς γὰρ δι' ἀλλήλων ἐνεργεῖται τὸ ἓν, εἰς πολλοὺς καταμεμερίσθαι τὸ ὄνομα τῆς ἐνεργείας οὐ δύναται. ἐπειδὴ γὰρ εἷς ὁ τῆς ἐποπτικῆς τε καὶ θεατικῆς δυνάμεως λόγος ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, ἐκ μὲν τοῦ πατρὸς, οἷον ἐκ πηγῆς τινὸς ἀφορμώμενος, ὑπὸ δὲ τοῦ υἱοῦ ἐνεργούμενος, ἐν δὲ τῇ δυνάμει τοῦ πνεύματος τελειῶν τὴν χάριν, καὶ οὐ διακρίνεται πρὸς τὰς ὑποστάσεις οὐδεμία ἐνέργεια, ἰδιαζόντως παρ' ἑκάστης καὶ ἀποτεταγμένως δίχα τῆς συνθεωρουμένης ἐπιτελουμένη· ἀλλὰ πᾶσα πρόνοια καὶ κηδεμονία, καὶ τοῦ παντὸς ἐπιστασία, τῶν τε κατὰ τὴν αἰσθητὴν κτίσιν, καὶ τῶν κατὰ τὴν ὑπερκόσμιον φύσιν, ἥτε συντηρητικὴ τῶν ὄντων, καὶ διορθωτικὴ τῶν πλημμελουμένων, καὶ διδακτικὴ τῶν κατορθουμένων. μία ἐστὶ καὶ οὐχὶ τρεῖς, παρὰ μὲν τῆς ἁγίας τριάδος κατορθουμένη, οὐ μὴν κατὰ τὸν ἀριθμὸν τῶν ἐν τῇ πίστει θεωρουμένων προσώπων τριχῆ τεμνομένη, ὡς ἕκαστον τῶν ἐνεργημάτων ἀφ' ἑαυτοῦ θεωρούμενον, ἢ

A rurſus vbi audiuerimus, quòd pater neminem iudicet, non exiſtimamus pugnare ſecum ſcripturam. Nam qui iudicat omnem terram per filium, cui omne dedit iudicium, hoc facit: ac quicquid per vnigenitum fit, ad patrem relationem habet, vt & ipſe iudex vniuerſarum rerum ſit, & neminem iudicet, quippe cùm, vt dictum eſt, iudicium omne filio dederit, & omne iudicium filij à patris voluntate diuerſum non ſit: nec rectè quis dixerit, vel duos iudices, vel alterum priuatum ac ſpoliatum eſſe virtute ac poteſtate B iudicandi: ita etiam in Diuinitatis ratione, Chriſtus Dei virtus, & Dei ſapientia eſt: atque inſpectricem ac θεατικὴν, id eſt, ſpectatricem virtutem, quam nimirum θεότητα, id eſt, Deitatem ſiue Diuinitatem dicimus, per vnigenitum pater operatur, filio autem omnem virtutem in Spiritu ſancto perficiente, ac iudicante quidem, vt Eſaias dicit, in ſpiritu iudicij, & ſpiritu aduſtionis: operante item ſecundum Euangelij vocem, quam ad Iudæos edidit. Dicit enim, Si autem ego in ſpiritu Dei eijcio C dæmonia: à parte totam ſpeciem beneficij comprehendens per eam quæ circa efficientiam eſt vnitatem: per quam vnitatem mutua opera efficientia exercetur, vnum nomen efficientiæ in multos diſpertiri ac diuidi nõ poteſt. Quoniã enim vna inſpectricis & ſpectatricis virtutis ratio (eſt) in Patre & Filio & Spiritu ſancto, quemadmodum in ſuperioribus dictum eſt, quę ex patre quidem tanquam à fonte quodam proficiſcitur, à filio verò ad actionem deducitur, & in virtute ſpiritus gratiam perficit & conſummat: ac non ſepara- D tur iuxta hypoſtaſeis vlla efficientia, quæ peculiariter ac diſiunctim ab vnaquaque hypoſtaſi abſque ea, quæ vnà conſideratur, perficiatur: ſed omnis cura prouidentiáque, & vniuerſarum rerum moderatio, tam earum, quæ circa ſenſibilem creaturam, quam quæ circa ſupramundanam naturam ſpectantur: eaque virtus quæ & res conſeruat, & delicta corrigit, & rectè facta docet, vna eſt, & non treis, quæ quidem à ſancta Trinitate peragitur, non tamen pro numero perſonarum, quæ in fide conſiderantur, trifariam diuiditur, vt vnuſquiſque actus, & vnumquodque opus, ſi per ſeipſum conſideretur, aut

Eſa. 4.

Matth. 12.

patris ſolius, aut vnigeniti peculiariter, A aut Spiritus ſancti ſeparatim ſit: ſed diuidit quidem cuique ſingulatim bona, 1.Cor.12. vt inquit Apoſtolus, vnus & idem ſpiritus: non autem abſque principio boni motus eſt ex ſpiritu: ſed reperim⁹ quòd ea, quam ante hanc mente percipimus & animaduertimus, virtus, quæ eſt vnigenitus Deus, omnia facit, ſine quo nihil corũ quæ ſunt ad generationem prouenit: quin & ipſe rurſus bonorum fons ex patris deſtinatione ac voluntate exiſtit. Si igitur omnis res bona, & omne bonũ nomẽ ab ea, quæ principij expers eſt, poteſtate ac cõſilio pendens, in virtute ſpi- B ritus per vnigenitũ Deũ ſine diſtinctione ac ſpatio temporis ad perfectionẽ & conſummationem deducitur, nec vlla mora in diuini propoſiti deſtinationiſq. motu à patre per filiũ ad ſpiritum intercedit aut intelligitur: atq. vnũ bonorũ tum nominum tum intellectuum etiam Deitas eſt: haud rectè in multitudinem id nomen diffundatur: quippe ea, quæ circa efficientiam eſt, vnitate pluralem numerationem prohibente. Ac quemadmodum vnus ſeruator omnium ho- Rom.4. minum maximè fidelium ab Apoſtolo C nominatus eſt, & nullus ex hac voce vel filium dicit non ſeruare credentes, vel abſque ſpiritu ſalutem conſequentibus exiſtere: ſed eſt ſeruator omnium, qui ſuper omneis eſt Deus, operante filio ſalutem per gratiam ſancti Spiritus: atque ideo nihilo magis tres ſeruatores à ſcriptura nominantur, etiamſi abſque controuerſia ſalus exiſtat à ſancta Trinitate: eodẽ modo neque tres dij (ſunt) ſecundum redditam Deitatis ſignificationem: quamquam conuenit talis appellatio ſanctæ Trinitati. Pugnare autẽ cum aduerſariis dicentibus non oporte- D re efficaciam intelligere per Deitatem, non admodum mihi neceſſariũ eſſe videtur, quantum ad præſentem ſermonis attinet probationem. Nam nos quidem indefinitam & incomprehenſibilem diuinam naturam eſſe credentes, nullam eius animaduertimus cõprehenſionem: ſed omnimodo in infinitate intelligi (eam) naturam cenſemus & affirmamus. Quod autẽ prorſus eſt infinitum, non aliqua quidem re definitur, aliqua verò non: ſed omni ratione infinitas effugit definitionem. Quod igitur expers eſt definitionis, ne nomine quidẽ prorſus definitur. Vt ergo permaneat, in

τοῦ πατρὸς εἶναι μόνου, ἢ τοῦ μονογενοῦς ἰδιαζόντως, ἢ διὰ τοῦ ἁγίου πνεύματος κεχωρισμένως· ἀλλὰ διαιρεῖ μὲν ἰδίᾳ ἑκάστῳ τὰ ἀγαθὰ, καθώς φησιν ὁ ἀπόστολος, τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα· οὐκ ἄναρχος δὲ ἡ τοῦ ἀγαθοῦ κίνησις ἐκ τοῦ πνεύματος· ἀλλ᾽ εὑρίσκομεν ὅτι ἡ προεπινοουμένη ταύτης δύναμις, ἥτις ἐστὶν ὁ μονογενὴς Θεὸς, πάντα ποιεῖ, οὗ χωρὶς οὐδὲν εἰς γένεσιν τῶν ὄντων ἔρχεται· ἀλλὰ καὶ αὕτη πάλιν τῶν ἀγαθῶν ἡ πηγὴ, ἐκ τοῦ πατρικοῦ βουλήματος ἀφορμᾶται. Εἰ δὴ πᾶν ἀγαθὸν πρᾶγμα καὶ ὄνομα, τῆς ἀνάρχου δυνάμεώς τε καὶ βουλῆς ἐξημμένον ἐν τῇ δυνάμει τοῦ πνεύματος διὰ τοῦ μονογενοῦς Θεοῦ ἀχρόνως καὶ ἀδιαστάτως εἰς τελείωσιν ἄγεται, οὐδεμιᾶς παρατάσεως ἐν τῇ τοῦ θείου βουλήματος κινήσει ἀπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ἐπὶ τὸ πνεῦμα γινομένης ἢ νοουμένης· ἓν δὲ τῶν ἀγαθωνομουμένων τι καὶ νοουμένων καὶ ἡ θεότης· οὐκ ἂν εἰκότως εἰς πλῆθος τὸ ὄνομα διαχέοιτο τῆς κατὰ τὴν ἐνέργειαν ἑνότητος κωλυούσης τὴν πληθυντικὴν ἀρίθμησιν. καὶ ὥσπερ εἷς ὁ σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν ὑπὸ τοῦ ἀποστόλου ὠνόμασται, καὶ οὐδεὶς ἐκ τῆς φωνῆς ταύτης ἢ τὸν υἱὸν λέγει μὴ σώζειν τοὺς πιστεύοντας, ἢ δίχα τοῦ πνεύματος τὴν σωτηρίαν τοῖς μετέχουσι γίνεσθαι· ἀλλὰ γίνεται πάντων σωτὴρ ὁ ἐπὶ πάντων Θεὸς, ἐνεργοῦντος τοῦ υἱοῦ τὴν σωτηρίαν ἐν τῇ τοῦ πνεύματος χάριτι, καὶ οὐδὲν μᾶλλον διὰ τοῦτο τρεῖς σωτῆρες ὑπὸ τῆς γραφῆς ὀνομάζονται, εἰ καὶ ὁμολογεῖται παρὰ τῆς ἁγίας τριάδος ἡ σωτηρία· οὕτως οὐδὲ τρεῖς θεοὶ κατὰ τὴν ἀποδιδομένην τῆς θεότητος σημασίαν, κἂν ἐφαρμόζει ἡ τοιαύτη κλῆσις τῇ ἁγίᾳ τριάδι. μάχεσθαι δὲ πρὸς τοὺς ἀντιλέγοντας, μὴ δεῖν ἐνέργειαν νοεῖν τὴν θεότητα, οὐ πάνυ τι τῶν ἀναγκαίων μοι δοκεῖ, ὡς πρὸς τὴν πρόθεσιν τοῦ λόγου κατασκευήν. ἡμεῖς μὲν γὰρ ἀόριστον καὶ ἀπερίληπτον τὴν θείαν φύσιν εἶναι πιστεύοντες, οὐδεμίαν αὐτῆς ἐπινοοῦμεν περίληψιν, ἀλλὰ κατὰ πάντα τρόπον ἐν ἀπειρίᾳ νοεῖσθαι τὴν φύσιν διορίζομεθα, τὸ δὲ καθόλου ἄπειρον, οὐ τινὶ μὲν ὁρίζεται, τινὶ δὲ οὐχί· ἀλλὰ κατὰ πάντα λόγον ἐκφεύγει τὸν ὅρον ἡ ἀπειρία. οὐκοῦν τὸ ἐκτὸς ὅρου, οὐδὲ ὀνόματι πάντως ὁρίζεται. ὡς ἂν οὖν διαμένοι, ἐπὶ

τῆς

τῆς θείας φύσεως τοῦ ἀορίστου ἡ ἔννοια, ὑπὲρ πᾶν ὄνομα φαμὲν εἶναι τὸ θεῖον. ἡ δὲ θεότης ἓν τῶν ὀνομάτων ἐστίν. οὐκοῦν οὐ δύναται τὸ αὐτὸ καὶ ὄνομα εἶναι, καὶ ὑπὲρ πᾶν ὄνομα νομίζεσθαι· πλὴν εἰ τοῦτο τοῖς ἐναντίοις ἀρέσκει μὴ ἐνεργείας, ἀλλὰ φύσεως εἶναι τὴν σημασίαν, ἐπαναδραμούμεθα πρὸς τὸν ἐξ ἀρχῆς λόγον, ὅτι τὸ τῆς φύσεως ὄνομα ἡμαρτημένως ἡ συνήθεια εἰς πλήθους σημασίαν ἄγει, οὔτε μειώσεως, οὔτε αὐξήσεως κατὰ τὸν ἀληθῆ λόγον προσγινομένης τῇ φύσει, ὅταν ἐν πλείοσιν ἢ ἐλάττοσι θεωρῆται. μόνα γὰρ κατὰ σύνθεσιν ἀριθμεῖται, ὅσα κατ' ἰδίαν περιγραφὴν θεωρεῖται· ἡ δὲ περιγραφὴ, ἐν ἐπιφανείᾳ σώματος καὶ μεγέθει καὶ τόπῳ καὶ τῇ διαφορᾷ τῇ κατὰ τὸ σχῆμα καὶ χρῶμα καταλαμβάνεται. τὸ δὲ ἔξω τούτων θεωρούμενον, ἐκφεύγει τὴν διὰ τῶν τοιούτων περιγραφήν. ὃ δὲ μὴ περιγράφεται οὐκ ἀριθμεῖται, τὸ δὲ μὴ ἀριθμούμενον, ἐν πλήθει θεωρηθῆναι οὐ δύναται. ἐπεὶ καὶ τὸν χρυσὸν φαμὲν, κἂν εἰς πολλοὺς διακερματίζηται τύπους, ἕνα καὶ εἶναι καὶ λέγεσθαι· πολλὰ δὲ νομίσματα καὶ πολλοὺς στατῆρας ὀνομάζομεν, οὐδένα τῆς φύσεως τοῦ χρυσοῦ πλεονασμὸν ἐν τῷ πλήθει τῶν στατήρων εὑρίσκοντες. διὸ καὶ πολὺς ὁ χρυσὸς λέγεται, ὅταν ὄγκῳ πλείονι, ἢ σκεύεσιν, ἢ νομίσμασι θεωρῆται, πολλοὶ δὲ οἱ χρυσοὶ διὰ τὸ πλῆθος τῆς ὕλης οὐκ ὀνομάζονται· εἰ μή τις οὕτω λέγοι, χρυσοὺς πολλοὺς, ὡς τοὺς δαρεικοὺς ἢ τοὺς στατῆρας, ἐφ' ὧν οὐχ ἡ ὕλη, ἀλλὰ τὰ κέρματα τὴν τοῦ πλήθους σημασίαν ἐδέξατο. κυρίως γάρ ἐστιν οὐχὶ χρυσοῦς, ἀλλὰ χρυσίους τούτους εἰπεῖν. ὥσπερ τοίνυν πολλοὶ μὲν οἱ χρύσεοι στατῆρες, χρυσὸς δὲ εἷς, οὕτω καὶ πολλοὶ μὲν οἱ καθ' ἕκαστον ἐν τῇ φύσει τοῦ ἀνθρώπου δεικνύμενοι, οἷον Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, εἷς δὲ ἐν τούτοις ἄνθρωπος. κἂν ἡ γραφὴ πλατύνῃ τὸ ὄνομα κατὰ τὴν πληθυντικὴν σημασίαν ἐν τῷ λέγειν, ἄνθρωποι κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ υἱοὶ ἀνθρώπων, καὶ ὅσα τοιαῦτα, γνωστέον ὅτι τῇ συνηθείᾳ τῆς ἐπικρατούσης διαλέκτου κέχρηται, οὐχὶ νομοθετεῖ τὸ δεῖν οὕτως ἢ ὡς ἑτέρως κεχρῆσθαι τοῖς ῥήμασιν·

A diuina natura indefiniti intellectus, ſuper omne nomen dicimus eſſe diuinum numen: at Deitas vnum de nominibus eſt. Non poteſt igitur idem & nomen eſſe, & ſuper omne nomen eſſe exiſtimari. Verumtamen ſi aduerſariis hoc placet, quòd non efficientiæ, ſed naturæ ſignificatio ſit, recurremus ad eam, quã in initio poſuimus orationem, quòd conſuetudo perperam naturæ nomen ad multitudinis ſignificationem trahat, neque incremento vllo, neque diminutione, ſecundum veram rationem, accedente ad naturam, cùm vel in pluribus vel paucioribus ſpectetur. Ea namque ſola ſecundum compoſitio- B nem numerantur, quæ ſecundum propriam circumſcriptionem conſiderantur. Circumſcriptio autem in ſuperficie corporis, in magnitudine, in loco, in differentia figuræ & coloris comprehenditur. At quod extra hæc conſideratur, effugit eam, quæ per talia ſit, circumſcriptionem. Quod autem non circumſcribitur, non numeratur; & quod non numeratur, in multitudine cõſiderari non poteſt. Nam & aurum, etiamſi in multas formas & figuras ſcindatur, vnum & eſſe & dici affirmamus: numos verò multos ac multos ſtateres nominamus, nullã auri naturæ redundan- C tiam in multitudine ſtaterum reperientes. Vnde multum quoque aurum dicitur, cum maiori pondere vel in vaſis vel numis ſpectatur, multa autẽ aura propter multitudinem materiæ non nominantur: niſi quis ita dicat, aureos multos, veluti Daricos, aut ſtateres: in quibus non materia, ſed moneta numique multitudinis ſignificationẽ admittunt. Nam propriè hos non χρυσοῦς, id eſt, aura, ſed χρυσίους, id eſt, aurea dicere licet. Quemadmodum igitur multi quidem D aurei ſunt ſtateres, aurum verò vnum eſt: eodem modo multi quidem ſingulares in natura hominis oſtenduntur, vt Petrus, Iacobus, Ioannes: vnus verò in his homo eſt. Quod ſi ſcriptura nomen dilatat & extendit ad pluralem ſignificationem, dum dicit, homines per maiorem iurant, & filij hominum, & cætera ſimilia: iudicandum eſt, quòd conſuetudine obtinentis linguæ proprietatis, quam διάλεκτον vocamus, vtatur, non legem præſcribat, qua ſic oporteat potius quàm aliter verbis vti:

nec artificioſam aliquam de verbis doctrinam inſtituens hæc dicat, ſed ſecundum obtinentem conſuetudinem verbo vtatur, id ſolum ſpectans, vt accipientibus vtilis ſit oratio, nihil admodum diſquirens circa dictionem, in quibus locis nullum damnum circa ſententiam ex verbis conflatur. Ac longum fuerit ad dictorum probationem ex ſcriptura colligere conſtructiones ſolœciſmi ſpeciem habentes: in quibus autem periculum eſt, ne detrimentum patiatur veritatis aliqua pars, non item promiſcuus & indifferens vſus, nec indiligentia diſcutiendi & examinandi in verbis ſcripturæ reperitur. Idcirco homines quidem pluraliter nominare cōcedit, quippe cùm nemo propter huiuſmodi figuram vocis ad multitudinem humanitatum ſuſpicione prolabatur, nec multas humanas naturas ſignificari exiſtimet, propterea quòd nomen naturæ pluraliter enuntiatum ſit. At vocem Deus cum cautione & obſeruatione per ſingularem figuram enuntiat, hoc proſpiciens & cauens, ne diuerſæ naturæ plurali ſignificatione deorum in diuina eſſentia ſubintroducantur: quamobrem, Dominus Deus, inquit, dominus vnus eſt: quinetiam vnigenitum Deum voce Deitatis pronunciat: ac non diſſoluit id quod vnum eſt, in dualem ſignificationem, vt duos Deos patrem & filium nominet: tametſi vterq. Deus à ſanctis prædicetur. Sed Deus quidem pater: Deus item filius: vnus verò in eadem prædicatione Deus eſt: quippe cùm neque naturæ, neque efficaciæ aliqua differentia in Deitate conſideretur. Nam ſi variaret & diuerſa eſſet in ſancta Trinitate natura, prout ſuſpicantur nonnulli errore decepti, conſequenter in multitudinem Deorum numerus dilataretur, atque vnà cum diuerſitate eſſentiæ ſubiectorum diuideretur. Sed quoniam omnem circa eſſentiam, diuerſitatem reijcit diuina, ſimplex, & variare alterarive neſcia natura, vt vna ſit, multitudinis ſignificationem in ſeſe non admittit: ſed vt vna dicitur natura, ita cætera quoque omnia ſingulariter nominantur: Deus, bonus, ſanctus, ſeruator, iuſtus, iudex, & ſi quod aliud auguſtum ac Deo conueniens nomen intelligitur, quod ſiue ad naturā, ſiue ad efficaciam ſpectare quis dicat, non contendemus.

A οὐδέ τινα τεχνικὴν περὶ ῥημάτων διδασκαλίαν ποιουμένη ταῦτα διέξεισιν, ἀλλὰ κατὰ τὴν ἐπικρατοῦσαν συνήθειαν χρῆται τῷ λόγῳ, πρὸς τοῦτο βλέπουσα μόνον, ὅπως ἂν ἐπωφελὴς γένοιτο τοῖς δεχομένοις ὁ λόγος, οὐδὲν ἀκριβολογουμένη κατὰ τὴν λέξιν, ἐν οἷς οὐδεμία βλάβη κατὰ διάνοιαν ἐκ τῶν ῥημάτων συνίσταται· καὶ μακρὸν ἂν εἴη τὰς σολοικοφανεῖς τοῦ λόγου συντάξεις ἐκ τῆς γραφῆς καταλέγειν εἰς τὴν τῶν εἰρημένων ἀπόδειξιν, ἐν οἷς δὲ κίνδυνός ἐστι βλαβῆναί τι τῆς ἀληθείας, οὐκέτι τὸ ἀβασάνιστόν τε καὶ ἀδιάφορον
B ἐν τοῖς γραφικοῖς εὑρίσκεται ῥήμασι. διὰ τοῦτο ἀνθρώπους συγχωρεῖ πληθυντικῶς ὀνομάζειν, διὰ τὸ μηδένα τῷ τοιούτῳ σχήματι τῆς φωνῆς εἰς πλῆθος ἀνθρωποτήτων ταῖς ὑπονοίαις ἐκπίπτειν, μηδὲ νομίζειν πολλὰς ἀνθρωπίνας φύσεις σημαίνεσθαι, διὰ τὸ πληθυντικῶς ἐξαγγελθῆναι τὸ τῆς φύσεως ὄνομα. τὸ δὲ Θεὸς φωνὴν παρατετηρημένως κατὰ τὸν ἑνικὸν ἐξαγγέλλει τύπον, τοῦτο προμηθουμένη, τὸ μὴ διαφόρους φύσεις ἐπὶ
C τῆς θείας οὐσίας ἐν τῇ πληθυντικῇ σημασίᾳ τῶν Θεῶν παρεισάγεσθαι. διό, φησι, κύριος ὁ Θεός, κύριος εἷς ἐστιν· ἀλλὰ καὶ τὸν μονογενῆ Θεὸν τῇ τῆς Θεότητος ἀνακηρύσσει φωνῇ, καὶ οὐ διαλύει τὸ ἓν εἰς δυϊκὴν σημασίαν, ὥστε δύο Θεοὺς τὸν πατέρα καὶ τὸν υἱὸν ὀνομάσαι· κἂν ἑκάτερος Θεὸς παρὰ τῶν ἁγίων κηρύσσηται. ἀλλὰ Θεὸς μὲν ὁ πατήρ· Θεὸς δὲ ὁ υἱός. εἷς δὲ ἐν τῷ αὐτῷ κηρύγματι ὁ Θεός· διὰ τὸ μήτε φύσεως, μήτε ἐνεργείας ἐνθεωρεῖσθαί τινα διαφορὰν τῇ θεότητι. εἰ γὰρ παρήλ-
D λακτο κατὰ τὴν τῶν ἠπατημένων ὑπόνοιαν ἐπὶ τῆς ἁγίας τριάδος ἡ φύσις, ἀκολούθως εἰς πλῆθος Θεῶν ὁ ἀριθμὸς ἐπλατύνετο, τῇ ἑτερότητι τῆς οὐσίας τῶν ὑποκειμένων συνδιαιρούμενος. ἐπεὶ δὲ πᾶσαν ἀπωθεῖται τὴν κατ' οὐσίαν ἑτερότητα ἡ θεία τε καὶ ἁπλῆ καὶ ἀναλλοίωτος φύσις, ὡς ἂν μία ᾖ, πλήθους σημασίαν ἐφ' ἑαυτῆς οὐ προσίεται. ἀλλ' ὥσπερ μία λέγεται φύσις, οὕτω καὶ τὰ ἄλλα πάντα ἑνικῶς ὀνομάζεται, Θεός, ἀγαθός, ἅγιος, σωτήρ, δίκαιος, κριτής, καὶ εἴ τι ἄλλο τῶν θεοπρεπῶν ὀνομάτων νοεῖται, εἴτε πρὸς φύσιν, εἴτε πρὸς ἐνέργειαν βλέπειν τις λέγοι, οὐ διοισόμεθα.

Εἰ δέ τις συκοφαντοίη τὸν λόγον, ὡς ἐκ τοῦ μὴ δέχεσθαι τὴν κατὰ φύσιν διαφορὰν, μίξιν τινὰ τῶν ὑποστάσεων καὶ ἀνακύκλησιν κατασκευάζοντα· τοῦτο περὶ τῆς τοιαύτης ἀπολογησόμεθα μέμψεως, ὅτι τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου· καὶ τοῦ ἐξ αἰτίας ὄντος, πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν. τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον, ἐπὶ τοῦ υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα μὴ ἀμφιβάλλειν τῆς τοῦ υἱοῦ μεσιτείας, καὶ αὐτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ πνεῦμα τῆς φυσικῆς πρὸς τὸν πατέρα σχέσεως μὴ ἀπειργούσης. αἴτιον δὲ καὶ ἐξ αἰτίου λέγοντες, οὐχὶ φύσιν διὰ τούτων τῶν ὀνομάτων σημαινόμεθα. οὐδὲ γὰρ τὸν αὐτὸν ἄν τις αἰτίας καὶ φύσεως ἀποδοίη λόγον, ἀλλὰ τὴν κατὰ τὸ πῶς εἶναι διαφορὰν ἐνδεικνύμεθα. εἰπόντες γὰρ τὸν μὲν αἰτιατὸν, τὸν δὲ ἄνευ αἰτίας, οὐχὶ τὴν φύσιν τῷ κατὰ τὸ λόγῳ διεχωρίσαμεν· ἀλλὰ μόνον τὸ μήτε τὸν υἱὸν ἀγεννήτως εἶναι, μήτε τὸν πατέρα διὰ γεννήσεως ἐνεδειξάμεθα. πρότερον δὲ ἡμᾶς εἶναι πιστεύειν τι ἐπάναγκες· καὶ τότε πῶς ἐστι τὸ πεπιστευμένον περιεργάσασθαι. ἄλλος οὖν ὁ τοῦ τί ἐστι, καὶ ἄλλος ὁ τοῦ πῶς ἐστι λόγος. τὸ οὖν ἀγεννήτως εἶναί τι λέγειν, πῶς μέν ἐστιν ὑποτίθεται· τί δὲ ἐστι τῇ φωνῇ ταύτῃ οὐ συνενδείκνυται. καὶ εἰ περὶ δένδρου τινὸς ἐρωτήσας τὸν γεωργὸν, εἴτε φυτευτὸν, εἴτε αὐτομάτως ἐστίν· ὁ δὲ ἀπεκρίνατο, ἢ ἀφύτευτον εἶναι τὸ δένδρον, ἢ ἐκ φυτείας· ἆρα τὴν φύσιν διὰ τῆς ἀποκρίσεως ἐνεδείξατο; οὐ μὲν οὖν. ἀλλὰ πῶς ἐστιν εἰπὼν, ἄδηλον καὶ ἀνερμήνευτον τὸν τῆς φύσεως ἀπέλιπε λόγον. οὕτως καὶ ἐνταῦθα ἀγέννητον μαθόντες, ὅπως μὲν αὐτὸν εἶναι καὶ προσήκει νοεῖν ἐδιδάχθημεν· τὸ δὲ τί διὰ τῆς φωνῆς οὐκ ἠκούσαμεν.

A Quod ſi quis calumnietur orationem, quaſi ex eo, quòd non admittat differentiam circa naturam, mixtionem quandam & confuſionem hypoſtaſeωn facientem: hoc ad talem accuſationem reſpondebimus, quòd nos qui diuinam naturam differentiæ variationiſve expertem eſſe confitemur, eam quæ circa cauſſam & cauſſatum conſideratur differentiam, non negamus, per quod ſolum diſcerni alterum ab altero deprehendimus, nimirum eo quòd credimus aliud quidem cauſſam eſſe, aliud verò ex cauſſa: & eius quod ex

B cauſſa eſt, rurſus aliam differentiam conſideramus: nam aliud quidem continenter (& ſine medio) ex primo eſt, aliud verò per id quod immediatè & ex continenti eſt, vt & vnigeniti proprietas abſque ambiguitate in filio maneat, & ex patre ſpiritum eſſe non dubitetur: filio, qui medius intercedit, & ſibi vnigeniti proprietatem ſeruante, & ſpiritum à naturali ad patrem habitu non arcente. Cauſſam autem, & id quod ex cauſſa eſt dicentes, non naturam per hæc nomina ſi-

C gnificamus. (Neque enim aliquis eandem cauſſæ & naturæ rationem reddiderit) ſed eam, quæ eſt ſecundum aliqualiter eſſe differentiam indicamus. Dicentes enim aliũ quidem cauſſatum & ex cauſſa ortũ, alium verò ſine cauſſa eſſe, non naturam verbo cauſſæ ſeparamus: ſed ſolummodo neque filium ita ſe habere, quaſi genitus non ſit, neque patrem per natiuitatem & generationem eſſe indicamus. Prius autem neceſſe eſt nos credere quòd aliquid ſit: & tunc quomodo id quod creditum eſt, ſit, ſcrutari. Alia igitur ratio eſt

D eius, quod qui eſt: alia item eius, quod quomodo eſt. Quocirca ſi quis dicat aliquid ita eſſe, quaſi non genitum, quomodo ſit, ponit: quid autem ſit, hac voce ſimul non indicat. Etenim ſi de arbore aliqua interrogaueris agricolam, verùm ſatiua ſit, an ſponte prouenerit: ille verò reſponderit, vel non ſatiuam eſſe, vel plantatam ſuccreuiſſe: nunquid naturam per eam reſponſionem indicauit? Minimè. Sed vbi dixerit, quomodo ſit, incertam & inexplicatam naturę rationem reliquit. Ita etiam hîc, cùm didicerimus non genitum, quomodo quidem ipſum eſſe atque intelligere conueniat, edocti ſumus: id autem quod quid eſt, per eam vocem non audiuimus.

Eiuſmodi igitur differentiam in ſancta Trinitate edentes, vt aliud quidem cauſſam, aliud ex cauſſa eſſe credamus, non iam amplius accuſari poſſimus, quòd per communionem naturæ rationem hypoſtaſeωn confundamus. Quoniam igitur hypoſtaſeis quidem ſanctæ Trinitatis cauſſæ ratio diſcernit, aliud quidem abſque cauſſa, aliud verò ex cauſſa eſſe poſtulans: diuina autem natura & variationis & diuiſionis per omnem conſiderationem expers eſſe deprehenditur: idcirco propriè vna Deitas, & vnus Deus eſt, & alia omnia Deo conuenientia nomina ſingulariter efferuntur.

A τὴν οὖν τοιαύτην διαφορὰν ἐπὶ τῆς ἁγίας τριάδος λέγοντες, ὡς τὸ μὲν αἴτιον· τὸ δὲ ἐξ αἰτίου εἶναι πιστεύειν, οὐκέτι ἂν ἐν τῷ κοινῷ τῆς φύσεως τὸν τῶν ὑποστάσεων λόγον συγχεῖν αἰτιαθείημεν. ἐπεὶ τοίνυν τὰς μὲν ὑποστάσεις τῆς ἁγίας τριάδος ὁ τοῦ αἰτίου διακρίνει λόγος, τὸ μὲν ἀναιτίως εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου πρεσβεύων. ἡ δὲ θεία φύσις ἀπαράλλακτός τε καὶ ἀδιαίρετος διὰ πάσης ἐννοίας καταλαμβάνεται· διὰ τοῦτο κυρίως μία θεότης, καὶ εἷς Θεός, καὶ τὰ ἄλλα πάντα τῶν θεο-
B πρεπῶν ὀνομάτων μοναδικῶς ἐξαγγέλλεται.

EIVSDEM AD PETRVM fratrem ſuum, de differentia eſſentiæ & hypoſtaſeos, id eſt, ſubſtantiæ, ſiue ſubſiſtentiæ.

Legitur inter epiſtolas Baſilij M. xliij. ordine.

Laurentio Siſano interprete.

QVONIAM complures & eſſentiæ verbum & hypoſtaſeωn, ex myſticis & arcanis decretis atque doctrinis non diſcernunt: ſed nihil intereſſe putant, vtrum eſſentiam an hypoſtaſin quis dicat, quaſi in vtroque nomine vna ſignificatio ſit: & ideo duplicis hæreſeos in contrarium ſciſſæ error circa ſignificationem harum vocum principia atque argumenta præbuit; cùm Sabellij quidem ſectatores, propter communionem eſſentiæ ſanctam Trinitatem in vnam hypoſtaſin cogant: vice verò verſa qui contrario morbo correpti ſunt (Arrianos dico) propter differentiam hypoſtaſeωn præſcriptionem quoque eſſentiarum introducant: hac de cauſſa, ne tibi quoque eadem accidant, vice commentarij, quo docearis & admonearis, de his vocibus tractatum breuem tibi feci. Eſt igitur, vt paucis res oſtendatur, talis eorũ quæ dicuntur, conſideratio. Omnium nominum alia quidem, quæ de pluribus ac numero differentibus rebus dicuntur, magis vniuerſalem quandam ſignificationem habent, vt homo. Qui enim hoc dixit, communem naturam per

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΠΕΤΡΟΝ τὸν ἴδιον ἀδελφὸν, περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως.

C ΕΠΕΙΔΗ πολλοὶ τόν τε τῆς οὐσίας λόγον καὶ τὸν τῶν ὑποστάσεων ἀπὸ τῶν μυστικῶν δογμάτων οὐ διακρίνουσιν· ἀλλ' οἴονται διαφέρειν μηδὲν οὐσίαν ἢ ὑπόστασιν λέγειν, ὡς μιᾶς οὔσης ἐν ἑκατέρῳ τῶν ὀνομάτων τῆς σημασίας· καὶ διὰ τοῦτο διπλῆς αἱρέσεως τῆς κατὰ τὸ ἐναντίον ἀπεσχισμένης ἡ περὶ τὰς φωνὰς ταύτας κατὰ τὸ σημαινόμενον διαμαρτία τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις παρέσχε-
D το· τῶν τε κατὰ Σαβέλλιον διὰ τὸ τῆς οὐσίας κοινὸν εἰς μίαν ὑπόστασιν συναλειφόντων τὴν ἁγίαν τριάδα· καὶ τὸ ἔμπαλιν τῶν τὴν ἐναντίαν νόσον ἐρρωστηκότων, τῶν κατὰ Ἄρειον λέγω, διὰ τὴν τῶν ὑποστάσεων διαφορὰν, καὶ τὴν κατὰ τὰς οὐσίας παραλλαγὴν εἰσαγόντων· τούτου χάριν ὡς ἂν μὴ καὶ σὺ τὰ ὅμοια πάθοις, ὑπόμνημά σοι διὰ βραχέων τὸν περὶ τούτων λόγον ἐποιησάμην. ἔστι τοίνυν ὡς ἐν ὀλίγῳ παραστῆσαι, τοιαύτη τῶν λεγομένων ἡ ἔννοια. πάντων τῶν ὀνομάτων τὰ μὲν ἐπὶ πλειόνων καὶ τῷ ἀριθμῷ διαφερόντων λεγόμενα πράγματα, καθολικωτέραν τινὰ τὴν σημασίαν ἔχει, οἷον ὁ ἄνθρωπος. ὁ γὰρ τοῦτο εἰπών, τὴν κοινὴν φύσιν διὰ

τοῦ ὀνόματος ἔδειξε, οὐ μὴν περιέγραψε τῇ φωνῇ τὴν ἰδίως δηλούμενον· τὰ δὲ τῶν καθ' ἕκαστον ἰδιώματα ἐστι σημαντικά. δι' ὧν ἡ κοινότης τῆς φύσεως οὐ θεωρεῖται τοῖς ῥήμασι, ἀλλὰ πράγματός τινος περιγραφὴ μηδεμίαν ἔχουσα πρὸς τὸ ὁμογενὲς κατὰ τὸ ἰδιάζον τὴν κοινωνίαν, οἷον ὁ Παῦλος ἢ Τιμόθεος. οὐκέτι γὰρ ἡ τοιαύτη φωνὴ πρὸς τὸ κοινὸν τῆς φύσεως φέρεται, ἀλλὰ χωρίσασα τῆς περιληπτικῆς σημασίας, περιγεγραμμένων τινῶν πραγμάτων ἔμφασιν διὰ τῶν ὀνομάτων παρέστησεν. ὅταν οὖν δύο ἢ πλειόνων κατὰ ταὐτὸ ὄντων, οἷον Παύλου καὶ Σιλουανοῦ καὶ Τιμοθέου, περὶ τῆς οὐσίας τῶν ἀνθρώπων ζητῆται λόγος, οὐκ ἄλλον τις ἀποδώσει τῆς οὐσίας ἐπὶ τοῦ Παύλου λόγον, ἕτερον δὲ ἐπὶ τοῦ Σιλουανοῦ, καὶ ἄλλον ἐπὶ τοῦ Τιμοθέου, ἀλλὰ δι' ὧν ἂν λόγων ἡ οὐσία τοῦ Παύλου δειχθῇ, οὗτοι καὶ τοῖς λοιποῖς ἐφαρμόσουσι, καὶ εἰσὶν ἀλλήλοις ὁμοούσιοι, οἱ τῷ αὐτῷ λόγῳ τῆς οὐσίας ὑπογραφόμενοι. ἐπειδὰν δὲ τις τὸ κοινὸν μαθὼν ἐπὶ τὰ ἰδιάζοντα τρέψῃ τὴν θεωρίαν, δι' ὧν χωρίζεται τὸ ἕτερον τοῦ ἑτέρου, οὐκέτι ὁ ἑκάστου γνωριστικὸς λόγος τῷ περὶ τοῦ ἄλλου διὰ πάντων συνενεχθήσεται, κἂν ἔν τισιν εὑρεθῇ τι κοινὸν ἔχοι. τοῦτο τοίνυν φαμὲν τὸ ἰδίως λεγόμενον τῷ τῆς ὑποστάσεως δηλοῦσθαι ῥήματι. ὁ γὰρ ἄνθρωπον εἰπὼν, ἐσκεδασμένην τινὰ διάνοιαν τῷ ἀορίστῳ τῆς σημασίας τῇ ἀκοῇ ἐνεποίησεν. ὥστε τὴν μὲν φύσιν ἐκ τοῦ ὀνόματος δηλωθῆναι, τὸ δὲ ὑφεστὼς καὶ δηλούμενον ἰδίως ὑπὸ τοῦ ὀνόματος πρᾶγμα μὴ σημανθῆναι. ὁ δὲ Παῦλον εἰπὼν, ἔδειξεν ἐν τῷ δηλουμένῳ ὑπὸ τοῦ ὀνόματος πράγματι ὑφεστῶσαν τὴν φύσιν. τοῦτο οὖν ἐστιν ἡ ὑπόστασις, οὐχ ἡ ἀόριστος τῆς οὐσίας ἔννοια μηδεμίαν ἐκ τῆς κοινότητος τοῦ σημαινομένου στάσιν εὑρίσκουσα, ἀλλ' ἡ τὸ κοινόν τε καὶ ἀπερίγραπτον ἐν τῷ τινὶ πράγματι διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων ὑφιστῶσα καὶ περιγράφουσα, ὡς καὶ τῇ γραφῇ σύνηθες τὸ τοιοῦτον ποιεῖν, ἔν τε ἄλλοις πολλοῖς καὶ ἐν τῇ κατὰ τὸν Ἰὼβ ἱστορίᾳ.

A id nomen demonſtrauit; non tamen ea voce deſcripſit eum, qui propriè ſignificatur: alia verò nomina ſingularium hominum, proprietatum ſignificatiua ſunt: per quæ non communio naturæ in verbo cōſideratur atque ſpectatur, ſed rei cuiuſdam deſcriptio nullam cum eo, quod eiuſdem generis eſt, quantum attinet ad proprietatem & peculiaritatem, ſocietatem habens: vt Paulus vel Timotheus. Non enim iam amplius huiuſmodi vox ad communionem naturæ refertur: ſed recedens à comprehenſiua ſignificatione circum-
B ſcriptarum quarumdam rerum demonſtrationem per nomina præſtat. Cùm igitur duo vel etiam plures eodem tempore vnà fuerint: verbi gratia, Paulus, Siluanus, Timotheus: ac de eſſentia hominum quæratur ratio, non aliam aliquis eſſentiæ rationem edet in Paulo, aliam verò in Syluano, aliam item in Timotheo; ſed per quas rationes eſſentia Pauli demonſtrata fuerit, eædem reliquis quoque conuenient: atque ὁμοούσιοι, id eſt eiuſdem inter ſe eſſentiæ ſunt, qui eadem ratione eſſentiæ deſcribuntur. Sed vbi aliquis animad-
C uerſa communione ad peculiaria ac propria, per quæ ſeparatur alterum ab altero, conſiderationem & contemplationem conuertit, non iam itidem ratio, per quam vnumquodque cognoſcitur, atque diſcernitur, ei rationi, quæ de alio profertur, per omnia conueniet, etiamſi in aliquibus aliquid reperiatur habere commune. Hoc igitur, quod propriè dicitur, verbo hypoſtaſeos declarari dicimus. Nam qui hominem dixit, diſſipatum quendam & conturbatum intellectum per indefinitam ſignificationem auribus in-
D tulit, vt natura quidem eo nomine ſignificetur: quæ autem res ſubſiſtit, & propriè declaratur eo nomine, nō ſignificetur: at qui Paulum dixerit, oſtendit in re, quæ eo nomine declaratur, ſubſiſtentem naturam. Hoc itaque hypoſtaſis (quaſi dicas ſubſtantia) eſt, non illa indefinita in omnibus eſſentiæ ſubſiſtentia, nullam propter cōmunionem eius, quod ſignificatur, ſtationem inueniens: ſed ea, quæ id quod & commune & indeſcriptum eſt, per id quod de quadam re dicitur, per apparentes nimirum in ea proprietates ſubijcit, circumſcribit atque definit: quemadmodum ſcriptura quoque hoc facere conſueuit, cùm in multis aliis locis, tum in hiſtoria Iobi.

Quoniam enim res eius narratura erat, A cùm prius mentionem cõmunis nominis feciſſet, dixiſſétque, homo: ſtatim ſubiungit peculiari ac proprio nomine per adiectionẽ eius, quod dicit, quidam. Ac eſſentię quidem deſcriptionem tanquam nihil vtilitatis & cõmodi ad propoſitam ſermonis rationem afferentem reticuit. Quendam autem per propria inſignia denotat atque deſignat, & locũ edens, & ingenij morúmque iudicia, ac quæcumque extrinſecus ſimul comprehenſa, ſeparatura eum atq. diſiunctura ac diſtinctura erant à cõmuni ſignifica- B tione, vt per omnia euidẽs ac perſpicua fieret deſcriptio eius de quo narratio inſtituebatur, ex nomine, ex loco, ex animi proprietatibus, ex iis quæ extrinſecus circa eum conſiderabantur. Quod ſi eſſentiæ rationem edidiſſet, nulla iam dictarum rerum in explicatione dictionis, mentio facta fuiſſet. Eadem enim ratio fuiſſet, quæ vel in Baldacho Sauchita, vel Sophare Minæo, & in vnoquoque eorum hominum, quorum ibi mentio facta eſt, edi potuiſſet. Quã igitur in noſtris terrenis ac mũdanis rebus differentiæ rationem, tum in eſſentia tum in hy- C poſtaſi cognouiſti, hanc ſi traducas etiã ad diuinas doctrinas atque decreta, non errabis: cúmque cogitabis quomodo ſe habeat eſſentia patris, quodcũque tandem tibi tua mens ſuggerit (ad nullum enim certum ac deſtinatũ intellectum animũ figere ac firmare licet, propterea quòd creditum ac perſuaſum eſt, eam eſſentiã ſuperare omnem intellectum) hoc etiam de filio intelliges, hoc eodem quoque modo de Spiritu ſancto. Nam non creati & incomprehenſibilis ratio vna eadémque in Patre & in Filio & Spiritu ſancto eſt. Non enim aliud qui- D dem magis, aliud verò minus incõprehenſibile atq. nõ creatũ eſt. Quoniam autẽ per propria ac peculiaria ſigna inconfuſum Trinitatis diſcrimen habere oportet: quod quidẽ communiter in ea conſideratur, velut non creatũ inquam, aut ſupra omnẽ eſſe cõprehenſionem, aut ſi quid tale eſt, non vnà comprehendemus & aſſumemus ad proprij iudicationem: ſed ſolummodo requiremus ea, quibus vniuſcuiuſque notio dilucidè & abſque mixtione ab ea, quæ vnà conſideratur, ſegregetur. Quocirca rectè mihi hoc modo ratio inueſtigari videtur. Quodcumque ad nos à diuina potentia atque virtute bonum peruenerit, hæc omnia efficientis gratiæ actionem & opus

A ἐπεὶ γὰρ ἔμελλε τὰ περὶ αὐτοῦ διηγεῖσθαι, πρότερον τοῦ κοινοῦ μνημονεύσασα, καὶ εἰποῦσα, ἄνθρωπος, εὐθὺς ἀποτέμνει τῷ ἰδιάζοντι ἐν τῇ προσθήκῃ τοῦ τίς. ἀλλὰ τῆς μὲν οὐσίας τὴν ὑπογραφὴν ὡς οὐδὲν φέρουσαν κέρδος πρὸς τὸν προκείμενον τοῦ λόγου σκοπὸν ἐσιώπησεν. τὸν δέ τινα διὰ τῶν οἰκείων γνωρισμάτων χαρακτηρίζει, καὶ τόπον λέγουσα, καὶ τὰ τοῦ ἤθους γνωρίσματα, καὶ ὅσα τὸν ἔξωθεν συμπαραληφθέντα χωρίζειν αὐτὸν καὶ ἀφιστᾶν ἤμελλεν τῆς κοινῆς σημασίας, ὥστε διὰ πάντων ἐναργῆ τοῦ ἱστο- B ρουμένου γενέσθαι τὴν ὑπογραφὴν, ἐκ τοῦ ὀνόματος, ἐκ τοῦ τόπου, ἐκ τῶν τῆς ψυχῆς ἰδιωμάτων, ἐκ τῶν ἔξωθεν περὶ αὐτὸν θεωρουμένων. εἰ δὲ τὸν τῆς οὐσίας ἐδίδου λόγον, οὐδεὶς ἂν ἐγένετο τῶν εἰρημένων ἐν τῇ τῆς φράσεως ἑρμηνείᾳ μνήμη. ὁ γὰρ αὐτὸς ἂν ἦν λόγος, ὥσπερ καὶ ἐπὶ τοῦ Βαλδὰχ τοῦ Σαυχίτου, καὶ Σωφὰρ τοῦ Μιναίου, καὶ ἐφ' ἑκάστου τῶν ἐκεῖ μνημονευθέντων ἀνθρώπων. ὃν τοίνυν ἐν τοῖς καθ' ἡμᾶς ἔγνως διαφορᾶς λόγον, ἐπί τε τῆς οὐσίας καὶ ἐπὶ τῆς ὑποστάσεως, τοῦτον μεταθεὶς καὶ ἐπὶ τῶν θείων C δογμάτων οὐχ ἁμαρτήσεις, πῶς τι εἶναι τοῦ πατρὸς, ὅ τί ποτε ὑποτίθεταί σου ἡ ἔννοια. πρὸς οὐδὲν γὰρ ἐστιν ἀποτεταγμένον νόημα τὴν ψυχὴν ἐναπερείδειν διὰ τὸ πεπεῖσθαι αὐτὸ ὑπὲρ πᾶν εἶναι νόημα. τοῦτο καὶ ἐπὶ τοῦ υἱοῦ νοήσεις, τοῦτο ὡσαύτως καὶ ἐπὶ τοῦ πνεύματος τοῦ ἁγίου. ὁ γὰρ τοῦ ἀκτίστου καὶ τοῦ ἀκαταλήπτου λόγος εἷς καὶ ὁ αὐτὸς, ἐπί τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τοῦ ἁγίου ἐστίν. οὐ γὰρ τὸ μὲν μᾶλλον ἀκατάληπτόν τι καὶ ἄκτιστον, τὸ δὲ ἧττον. ἐπεὶ δὲ χρὴ διὰ τῶν ἰδιαζόντων σημείων D ἀσύγχυτον τῆς τριάδος τὴν διάκρισιν ἔχειν, τὸ μὲν κοινῶς ἐπιθεωρούμενον οἷον τὸ ἄκτιστον λέγω, ἢ τὸ ὑπὲρ πᾶσαν εἶναι κατάληψιν, ἢ εἴ τι τοιοῦτον οὐ συμπαραληψόμεθα εἰς τὴν τοῦ ἰδιάζοντος κρίσιν. ἐπιζητήσομεν δὲ μόνον, δι' ὧν ἡ περὶ ἑκάστου ἔννοια τηλαυγῶς καὶ ἀμίκτως τῆς συνθεωρουμένης ἀφορισθήσεται. καλῶς οὖν ἔχειν μοι δοκεῖ, οὕτως ἀνιχνεῦσαι τὸν λόγον. πᾶν ὅπερ ἂν εἰς ἡμᾶς ἐκ θείας δυνάμεως ἀγαθὸν φθάσῃ, τῆς πάντα ἐνεργούσης χάριτος ἐνέρ-

γίαν εἶναι φαμέν, καθώς φησιν ὁ ἀπόστολος. ὅτι πάντα ταῦτα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. ζητοῦντες δὲ εἰ ἐκ μόνου τοῦ ἁγίου πνεύματος ἡ τῶν ἀγαθῶν χορηγία τὴν ἀρχὴν λαβοῦσα, οὕτω παραγίνεται τοῖς ἀξίοις· πάλιν ὑπὸ τῆς γραφῆς ὁδηγούμεθα εἰς τὸ τῆς χορηγίας τῶν ἀγαθῶν, τῶν διὰ τοῦ πνεύματος ἡμῖν ἐνεργουμένων ἀρχηγὸν καὶ αἴτιον τὸν μονογενῆ Θεὸν εἶναι πιστεύειν. πάντα γὰρ δι' αὐτοῦ γεγενῆσθαι καὶ ἐν αὐτῷ συνεστάναι παρὰ τῆς ἁγίας γραφῆς ἐδιδάχθημεν. ὅταν τοίνυν καὶ πρὸς ἐκείνην ὑψωθῶμεν τὴν ἔννοιαν, πάλιν ὑπὸ τῆς θεοπνεύστου χειραγωγίας ἀναγόμενοι διδασκόμεθα, ὅτι δι' ἐκείνης ἡμῖν τὰ πάντα τῆς δυνάμεως ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγεται· οὐ μὴν οὐδὲ ἐξ ἐκείνης ἀνάρχως, ἀλλά τις ἐστὶ δύναμις ἀγεννήτως οὖσα καὶ ἀνάρχως ὑφεστῶσα ἥτις ἐστὶν αἰτία τῆς πάντων τῶν ὄντων γενέσεως. ἐκ γὰρ τοῦ πατρὸς ὁ υἱός δι' οὗ τὰ πάντα. πάντα δὲ διὰ τοῦ υἱοῦ, ᾧ πάντοτε τὸ πνεῦμα τὸ ἅγιον ἀχωρίστως συνεπινοεῖται. οὐ γάρ ἐστιν ἐν περινοίᾳ γενέσθαι τοῦ υἱοῦ, μὴ προκαταυγασθέντα τῷ πνεύματι. ἐπεὶ τοίνυν τὸ πνεῦμα τὸ ἅγιον, ἀφ' οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ υἱοῦ μὲν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται· τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τοῦ υἱοῦ καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ τὸ ἐκ τοῦ πατρὸς ὑφεστάναι. ὅτε υἱός, τότε τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων. ὁ γὰρ υἱὸς μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἴδιον γνώρισμα τὴν κοινωνίαν ἔχει πρὸς τὸν πατέρα, ἢ πρὸς τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνος γνωρίζεται. ὁ δὲ ἐπὶ πάντων Θεός, ἐξαίρετόν τι γνώρισμα τῆς ἑαυτοῦ ὑποστάσεως τὸ πατὴρ εἶναι, τὸ ἐκ μηδεμιᾶς αἰτίας ὑφεστάναι μόνος ἔχει. καὶ διὰ τούτου πάλιν καὶ αὐτὸς τοῦ σημείου ἰδιαζόντως ἐπιγινώσκεται. τούτου ἕνεκεν ἐν τῇ τῆς οὐσίας κοινότητι, ἀσύμβατα φαμὲν εἶναι καὶ ἀκοινώνητα

A eſſe dicimus: vt inquit Apoſtolus, Hæc omnia operatur vnus & idem ſpiritus, diſtribuens ſingulatim vnicuique prout vult. Si inquiramus autem, an à ſolo ſancto Spiritu bonorum ſubminiſtratio accepto initio, ita perueniat ad eos, qui digni ſint iis bonis: rurſus à ſcriptura deducimur ad id, vt ſubminiſtrationis bonorum, quę per ſpiritum nobis ſuppeditantur, principem authorem & cauſſam vnigenitũ Deum eſſe credamus. Omnia enim per ipſum facta ac per ipſum conſtituta eſſe, à ſancta ſcriptura didicimus. Cùm igitur etiã ad illam elati & euecti fuerimus notionem, rurſus per diuinæ doctrinæ ſuggeſtionis adminiculum de- B ducti docemur, quòd per eam virtutem nobis omnia ex eo quod non eſt, in id vt ſint, producantur: nõ tamen nec ex illa quidem abſque principio. Sed eſt quædam virtus ſine generatione exiſtens, & abſque principio ſubſiſtens, quæ cauſſa generationis eſt omniũ eorũ, quæ ſunt. Ex patre namque filius eſt, per quem omnia fiunt. Omnia autem per filium fiunt, cum quo ſemper vnà Spiritus ſanctus inſeparabiliter intelligitur & conſideratur. Fieri enim non poteſt vt aliquis filium plena mente comprehendat, niſi prius à ſpiritu fuerit illuminatus & illuſtratus. Quoniã igitur Spiritus ſanctus, C à quo omnis bonorum facultas & ſubminiſtratio ad creaturam quaſi ſcaturit atque emanat, à filio quidem cum quo ſimul immediatè nullóve intercedente ſpatio comprehenditur, pendet: à patris verò cauſſa, vnde etiam procedit, ipſum eſſe habet dependens: hoc (nimirum) ſignum continet, quo eam, quæ circa hypoſtaſin conſideratur, proprietatem agnoſcamus, nempe quòd cùm filio & non abſque eo cognoſcatur, & ex patre exiſtat Et filius hoc habet inſigne, quod D ſpiritum, qui ex patre procedit, per ſeſe ac ſecum notum faciat & indicet. Nam filius ſolus, vnigeniti in modum ex non genito lumine eniteſcens atq. relucens, nullam quantum attinet ad propriam notam & peculiare inſigne, communionem habet, vel cum Patre, vel cum Spiritu ſancto, ſed dictis ſignis ſolus agnoſcitur. At qui ſuper omnia eſt Deus, præcipuũ quoddã & eximiũ inſigne notamque ſuæ hypoſtaſeos ſolus habet, quòd pater eſt, quòd ex nulla cauſſa ſubſiſtat: ac per hoc rurſus ipſe quoque ſignum propriè peculiariterq; agnoſcitur. Hac de cauſſa in eſsẽtiæ cõmunione nõ cõueniẽtia atq. incõmunicabilia dicimus eſſe ea, quæ 1.Cor.12.

in Trinitate conſiderantur, inſignia, per quæ nobis propriè oſtenditur atque repræſentatur: quippe cùm vnaquæque perſonarũ in fide traditarum propriis inſignibus diſcriminatim cõprehendatur & intelligatur: vt per dicta ſigna ſeparatio hypoſtaſeωn deprehendatur & comperiatur: quantum autẽ attinet ad infinita, & id quod percipi deprehendíve non poteſt, quodque ita ſe habet, vt id quod creatum cõditúmue non eſt, nulloque termino cõprehenditur, & in omnibus eiuſmodi nulla vel variatio, vel differẽtia ſit in viuifica natura: in Patre, inquam, & Filio & Spiritu ſancto, ſed quædã continua, & quæ diuelli nõ poſſit, in iis ſocietas atque cõmunio conſideretur, ac per quas cogitationes & conſiderationes aliquis maieſtatẽ vnius earũ, quę in ſancta Trinitate creditæ ſunt, perſonarum, contemplatus fuerit & animaduerterit, per eaſdẽ progredietur, indifferentem & non variãtem gloriam cernens in Patre, Filio, & Spiritu ſancto: nullo inter Patrem & Filium, vel Filium & Spiritum ſanctũ intercedente ſpatio, per quod mentis agitatio per vacua vagetur: quippe cùm nihil ſit, quod per medium horum ſeſe inſerat & inſinuet: neque alia res eſt vlla ſubſiſtens præter diuinam naturam, quæ per interiectionem alieni poſſit eam inter ſeſe diuidere ac diſpertiri: neque alicuius imaginarij ac non ſubſiſtentis interualli vacuitas, quæ diducat & quaſi hiare faciat diuinæ eſſentiæ inter ſe compoſitionem & aptam congruentémque coherentiam, interpoſitione vacui dirimens continuum: ſed qui patrem mente atque animi cogitatione percipit, & ipſum in ſe cognouit, & filium ſimul eadémque contemplatione animi aſſumpſit. At qui hunc accepit, à filio ſpiritum non ſeparauit: ſed conſequenter quidem iuxta ordinem, coniunctim verò iuxta naturam omnium trium ſimul in ipſo contemperatam fidem mente concepit, & imaginatus eſt. Ac qui ſpiritum ſolum dixit, vnà cum hac confeſſione comprehendit & id, cuius ſpiritus eſt: & quia Chriſti ſpiritus eſt, & ex Deo

1. Cor. 6. eſt, vt inquit Apoſtolus: quemadmodum ex cathena qui vnam extremitatem apprehendit, alteram quoque ſummitatem ſimul attrahit: eodem modo qui ſpiritum traxit, vt inquit Propheta, per eum filium quoque & patrem ſimul traxit: ac ſi quis filium reuera acceperit, habebit eum vtrinque, hinc quidem ſuum pa-

A τὰ ἐπιθεωρούμενα τῇ τριάδι γνωρίσματα, δι' ὧν ἡμῖν ἰδίως παρίσταται, τῶν ἐν τῇ πίστει παραδεδομένων προσώπων ἑκάστου τοῖς ἰδίοις γνωρίσμασι διακεκριμένως καταλαμβανομένου· ὥστε διὰ τῶν εἰρημένων σημείων τὸ κεχωρισμένον τῶν ὑποστάσεων ἐξευρεθῆναι· κατὰ δὲ τὸ ἄπειρον καὶ ἀκατάληπτον, καὶ τὸ ἀκτίστως εἶναι, καὶ τὸ μηδενὶ ὅρῳ περιειλῆφθαι, καὶ πᾶσι τοῖς τοιούτοις, μηδεμίαν εἶναι παραλλαγὴν, ἐν τῇ ζωοποιῷ φύσει, ἐπὶ πατρὸς λέγω, καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἀλλά τινα συνεχῆ καὶ ἀδιά-

B σπαστον τὴν κοινωνίαν ἐν αὐτοῖς θεωρεῖσθαι, καὶ δι' ὧν ἄν τις νοημάτων τὸ μεγαλεῖον ἑνός τινος τῶν ἐν τῇ ἁγίᾳ τριάδι πεπιστευμένων κατανοήσειεν, διὰ τῶν αὐτῶν προσελεύσεται ἀπαραλλάκτως ἐπὶ πατρὸς υἱοῦ καὶ πνεύματος ἁγίου τὴν δόξαν βλέπων· ἐν οὐδενὶ διαλείμματι μεταξὺ πατρὸς καὶ υἱοῦ, ἢ υἱοῦ καὶ ἁγίου πνεύματος τῆς διανοίας κενεμβατούσης, διότι οὐδέν ἐστι τὸ διὰ μέσου τούτων παρενειρόμενον, οὔτε πρᾶγμα ὑφεστὼς ἄλλό τι παρὰ τὴν θείαν φύσιν, ὡς καταμερίζειν αὐτὴν πρὸς ἑαυτὴν

C διὰ τῆς τοῦ ἀλλοτρίου παρεμπτώσεως δύνασθαι, οὔτε διαστήματός τινος ἀνυποστάτου κενότης, ἥ τις κεχηνέναι ποιεῖ τῆς θείας οὐσίας τὴν πρὸς ἑαυτὴν ἁρμονίαν τῇ παρενθήκῃ τοῦ κενοῦ τὸ συνεχὲς διαστέλλουσα. ἀλλ' ὁ τὸν πατέρα νοήσας αὐτόν τε ἐφ' ἑαυτοῦ κατενόησεν, καὶ τὸν υἱὸν τῇ διανοίᾳ συμπαρεδέξατο. ὁ δὲ τοῦτον λαβὼν, τοῦ υἱοῦ οὐκ ἀπεμέρισε τὸ πνεῦμα. ἀλλ' ἀκολούθως μὲν κατὰ τὴν τάξιν, συνημμένως δὲ κατὰ τὴν φύσιν τῶν τριῶν κατὰ ταυτὸν συγκεκραμένην ἐν αὐτῷ τὴν πίστιν

D ἀνετυπώσατο· καὶ ὁ τὸ πνεῦμα μόνον εἰπὼν συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ, καὶ τὸ οὗ ἐστι τὸ πνεῦμα, καὶ ἐπειδὴ τοῦ Χριστοῦ ἐστι τὸ πνεῦμα, καὶ ἐκ τοῦ Θεοῦ, καθώς φησιν ὁ ἀπόστολος· ὥσπερ ἐξ ἁλύσεως ὁ ἑνὸς ἄκρου ἀψάμενος, καὶ τὸ ἕτερον ἄκρον συνεπεσπάσατο, οὕτως ὁ τὸ πνεῦμα ἑλκύσας, καθώς φησιν ὁ προφήτης, δι' αὐτοῦ καὶ τὸν υἱὸν καὶ τὸν πατέρα συνειλκύσατο, καὶ εἰ τὸν υἱὸν ἀληθινῶς λάβοι, ἕξει αὐτὸν ἑκατέρωθεν, πῇ μὲν τὸν ἑαυτοῦ πα-

πατέρα, πῇ δὲ τὸ ἴδιον πνεῦμα συνεπαγόμενον. οὔτε γὰρ τοῦ πατρὸς ὁ ἀεὶ ἐν τῷ πατρὶ ὢν ἀποτμηθῆναι δυνήσεται, οὔτε τοῦ πνεύματός ποτε τοῦ ἰδίου διαζευχθήσεται, ὁ πάντα ἐν αὐτῷ ἐνεργῶν. ὁμοίως οὐκ ἔστιν ἐπινοῆσαι τομὴν ἢ διαίρεσιν κατ' οὐδένα τρόπον, ὡς ἢ τὸν υἱὸν χωρὶς πατρὸς νοηθῆναι, ἢ τὸ πνεῦμα τοῦ υἱοῦ διαζευχθῆναι· ἀλλά τις ἄρρητος καὶ ἀκατανόητος ἐν τούτοις καταλαμβάνεται καὶ ἡ κοινωνία καὶ ἡ διάκρισις, οὔτε τῆς τῶν ὑποστάσεων διαφορᾶς τὸ τῆς φύσεως συνεχὲς διασπώσης, οὔτε τῆς κατὰ τὴν οὐσίαν κοινότητος τὸ ἰδιάζον τῶν γνωρισμάτων ἀναχεούσης. μὴ θαυμάσῃς δὲ εἰ τὸ αὐτὸ καὶ συνημμένον καὶ διακεκριμένον εἶναι φαμὲν, καί τινα ἐπινοοῦμεν ὥσπερ ἐν αἰνίγματι, καινὴν καὶ παράδοξον διάκρισίν τε συνημμένην, καὶ διακεκριμένην συνάφειαν. εἰ γὰρ μή τις ἐριστικῶς καὶ πρὸς ἐπήρειαν ἀκούοιτο τοῦ λόγου, καὶ ἐν τοῖς αἰσθητοῖς δυνατόν ἐστι τὸ τοιοῦτον εὑρεῖν. καί μου δέξασθε τὸν λόγον ὡς ὑπόδειγμα καὶ σκιὰν ἀληθείας, οὐχ ὡς αὐτὴν τὴν τῶν πραγμάτων ἀλήθειαν. οὐ γὰρ δυνατόν ἐστι διὰ πάντων ἐφαρμοσθῆναι τὸ ἐν τοῖς ὑποδείγμασι θεωρούμενον τοῖς πρὸς ἃ ἡ τῶν ὑποδειγμάτων χρεία παραλαμβάνεται. πόθεν οὖν φαμὲν τὸ διακεκριμένον ἅμα καὶ συμφυὲς ἐκ τῶν κατὰ τὴν αἴσθησιν ἡμῖν προσφαινομένων ἀναλογίζεσθαι; ἤδη ποτὲ τοῦ ἐν τῇ νεφέλῃ τόξου τεθέασαι τὴν λαμπηδόνα κατὰ τὸ ἔαρ· πάντως ἐκεῖνο λέγω τὸ τόξον, ὅπερ ὁ κοινὸς λόγος ἶριν εἴωθεν ἐπονομάζειν. ὅ φασιν οἱ περὶ ταῦτα δεινοὶ τότε συνίστασθαι, ὅταν ἀνακεκραμένη τις ἡ περὶ τὸν ἀέρα νοτὶς τῆς τῶν πνευμάτων βίας τὸ ἐν τοῖς ἀτμοῖς ὑγρὸν, καὶ παχὺ καὶ νεφῶδες ἤδη γινόμενον εἰς ὑετὸν ἀποθλιβούσης. συνίστασθαι δὲ λέγουσιν οὕτως· ἐπειδὰν ἡ τοῦ ἡλίου ἀκτὶς κατὰ τὸ πλάγιον ὑποδραμοῦσα τὸ πυκνόν τε καὶ συνηρεφὲς τῆς νεφώσεως, εἶτα κατὰ τὸ εὐθὺ νέφει τινὶ τὸν ἴδιον κύκλον ἐναπερείσηται, οἷον τις καμπὴ καὶ ἐπάνοδος τοῦ φωτὸς πρὸς ἑαυτὸ γίνεται, τῆς αὐγῆς πρὸς τὸ ἔμπαλιν ἀπὸ τοῦ ὑγροῦ τε καὶ στίλβοντος ἀναλυούσης. ἐπεὶ γὰρ φύσις ἐστὶ ταῖς φλογοειδέσι μαρμαρυγαῖς, εἴ τινι λεῖω-

A trem, illinc verò ſuum ſpiritum ſimul adducentem. Ioan. 5. Neque enim à patre qui ſemper in patre eſt, abſcindi atque ſeparari poterit, neque vnquam à ſpiritu ſuo diſiūgetur: quippe cùm per eum omnia operetur. Fieri ergo non poteſt, vt aliqua ſectio vel diuiſio vllo modo excogitetur, vt vel filius abſque patre intelligatur, vel ſpiritus à filio diſiungatur: ſed quædam ineffabilis & quæ animaduerti non poteſt, in his deprehenditur tum ſocietas, tum diſtinctio atque diſcrimen: cùm nec differentia hypoſtaſeωn continuitatem naturæ diuellat, B nec communio, quæ circa eſſentiam conſideratur, proprietatem inſignium tollat & confundat. Ne mireris autem ſi idem & coniunctum & ſeparatum atque diſcretum dicimus, & quoddam quaſi per ænigma excogitamus, nouum & à communi ſenſu & opinione abhorrens tum diſcrimen coniunctum, tum diſcretam coniunctionem. Nam niſi quis contentioſiùs cum offenſione & calumnia ſermonem audiat, etiam in rebus ſenſibilibus fieri poteſt, vt tale quid inueniatur. Atque accipite C ſermonem meum tamquam ſignum & vmbram veritatis, non tamquam ipſam rerum veritatem. Fieri enim non poteſt, vt id quod per ſigna conſideratur, per omnia congruat atque conueniat iis, ad quæ exemplorum atque ſignorum aſſumitur vſus. Vnde igitur dicimus diſcretum ſimul & concretum per ea quæ ſenſibus noſtris conſpicua ſunt, animaduerti & agnoſci? Iam aliquando in vere, arcus, qui in nube apparet, ſplendorem vidiſti. Illum planè dico arcum, quem communis ſermo Irin ſolet cognominare: quem D aiunt illi, qui hæc callent, tunc fieri atque conflari, cùm humor aliquis hæſerit in aëre permixtus, vi ventorum id quod in vaporibus humidum craſſumque & nebuloſum iam factum eſt, in pluuiam exprimente. Conflari autem atque exiſtere aiunt hoc modo: Vbi radius ſolis per obliquum, denſam & obſcuram nebulam penetrauerit, deinde recta linea in nube aliqua ſuum orbem fixerit, quaſi quidam reflexus & reditus ad ſeipſum luminis fit, ſplendore ab humido ſimul ac nitente repulſo. Quoniam enim ea flammeis ſplendoribus natura ineſt, vt ſi cui

leui & plano occurrant, ad ſeipſos denuò refringantur: figura autem ſolis, quæ in humido ſimul ac leui aëre per radium imprimitur, circularis & orbicularis eſt: neceſſario iuxta formam ſolaris orbis etiam aër nubi proximus per eniteſcẽtem circumſcribitur ſplendorem. Hic igitur ſplendor & ſecum continuus & diuiſus eſt. Cum enim multicolor multiformiſque ſit, & obſcurè variis quaſi floribus tinctus ſecum commiſcetur, diuerſorum inter ſeſe colorum commixtionem atque coniunctionem oculis noſtris latenter eximens atque ſubducens, vt cęrulei ad rutilum, vel rutili ad purpureum, vel illius ad electrinũ terminus, qui per medium tum miſcet per ſeſe, tum indicat diuerſitatem colorum, cognoſci non poſſit. Nam omnium ſplendores dum ſimul eodémque tempore conſpiciuntur, & procul lucent, & ſigna naturæ coniunctionis ſubducẽtes iudicium effugiunt, vt fieri non poſſit, vt aliquis deprehendat, quatenus progrediatur, & vbi conſiſtat id quod in ſplendore vel fuluum, vel ſmaragdo ſimile eſt, & vnde tale deſinat eſſe, quale conſpicitur in eo, quod ex longinquo fulgens apparet. Quemadmodum igitur in expoſita ſimilitudine colorum quidem differentias planè diſcernimus, quantum autem interuallum ab vno ad alterum intercedat, ſenſu deprehendi non poteſt: eodem modo exiſtimato mihi fieri poſſe, vt de diuinis doctrinis atque decretis ratiocinemur, proprietates quidem hypoſtaſeωn quaſi quendam florem eorum, quæ in iride procul apparent, in vnaquaque earum, quæ in ſana Trinitate creditæ ſunt, perſonarnm effulgere: eius autem, quæ circa naturam conſideratur, proprietatis nullá vnius ab altera differentiam animaduerti: ſed in communione eſſentiæ, eas proprietates, per quas vnaquæq. perſona cognoſcitur, in vnaquaque elucere. Etenim illic quoq; in ſimilitudine, quæ multicolorẽ illum ſplendorem emittebat, vna eſſentia erat, quæ per radium ſolis refringebatur: color autem eius, quod apparebat, multiformis erat: docente nos, opinor, ratione etiam per creaturam, ne nouum in diſquiſitione ac diſceptatione doctrinæ nobis accidat, cùm oblata nobis difficili contemplatione ad aſſentionem & approbationem eorum, quæ dicuntur, quaſi vertigine laborantes perturbati fuerimus.

A προσπέσοιεν, πρὸς ἑαυτὰς πάλιν ἐπαναχλᾶσθαι· κυκλοτερὲς δὲ τοῦ ἡλίου τὸ σχῆμα τὸ διὰ τῆς ἀκτῖνος ἐν τῷ ὑγρῷ τε καὶ λείῳ τοῦ ἀέρος γινόμενον, ἐξ ἀνάγκης κατὰ τὸ σχῆμα τοῦ ἡλιακοῦ κύκλου καὶ ὁ παρακείμενος τῷ νέφει ἀὴρ, διὰ τῆς ἀποστιλβούσης αἴγλης περιγράφεται. αὕτη τοίνυν ἡ αὐγὴ καὶ συνεχής ἐστι πρὸς ἑαυτὴν καὶ διῄρηται. πολύχρωμος γάρ τις οὖσα καὶ πολυειδὴς, ἀφανής τε τοῖς ποικίλοις ἄνθεσι τῆς βαφῆς, πρὸς ἑαυτὴν καταχίρναται, τῶν ἑτεροχροούντων τὴν πρὸς ἄλληλα B συμβολὴν ἐκ τῶν ὄψεων ἡμῶν κατὰ τὸ λεληθὸς ὑποκλέπτουσα, ὡς δὴ μὴ ἐπιγνωσθῆναι τοῦ γλαυκοῦ πρὸς τὸ πυῤῥωπὸν τὸν διὰ μέσου ὅρον τὸν μιγνύμενόν τε δι' ἑαυτοῦ καὶ γνωρίζοντα τὴν τῶν χροῶν ἑτερότητα, ἢ τοῦ πυῤῥωποῦ πρὸς τὸ πορφύρεον, ἢ ἐκείνου πρὸς τὸ ἠλέκτρινον. πάντων γὰρ αἱ αὐγαὶ κατὰ ταὐτὸν ὁρώμεναι, καὶ τηλαυγεῖς εἰσὶ, καὶ τῆς πρὸς ἄλληλα συναφείας τὰ σημεῖα κλέπτουσαι τοὺς ἐλέγχους ἐκφεύγουσιν, ὡς ἀμήχανον ἐξευρεῖν μέχρι τινὸς ἕστηκε τὸ πυῤῥῶδες, ἢ σμαραγδίζον τῆς αἴγλης, καὶ ἀπὸ τίνος ἄρχεται C μηκέτι τοιοῦτον εἶναι, οἷον ἐν τῷ τηλαυγεῖ καθορᾶται. ὥσπερ τοίνυν ἐν τῷ ὑποδείγματι, τὰς μὲν τῶν χρωμάτων διαφορὰς φανερῶς διαγινώσκομεν, καὶ διάστασιν ἑτέρου πρὸς ἕτερον οὐκ ἔστι τῇ αἰσθήσει λαβεῖν, οὕτω μοι λόγισαι δυνατὸν εἶναι καὶ περὶ τῶν θείων δογμάτων ἀναλογίσασθαι, τὰς μὲν τῶν ὑποστάσεων ἰδιότητας, ὥσπερ τι ἄνθος τῶν κατὰ τὴν ἶριν προφαινομένων ἐναστράπτειν ἑκάστῳ τῶν ἐν τῇ ἁγίᾳ τριάδι πεπιστευμένων· τῆς δὲ κατὰ τὴν φύσιν ἰδιότητος μηδεμίαν ἑτέρου πρὸς τὸ ἕτερον ἐπινοεῖσθαι διαφοράν· ἀλλ' ἐν τῇ κοινότητι τῆς D οὐσίας τὰς γνωριστικὰς ἰδιότητας ἐπιλάμπειν ἑκάστῳ. καὶ γὰρ κἀκεῖ ἐν τῷ ὑποδείγματι, ἡ ἀπαυγάζουσα τὴν πολύχρωμον ἐκείνην αὐγὴν, μία οὐσία ἦν, ἡ διὰ τῆς ἡλιακῆς ἀκτῖνος ἀνακλωμένη· τὸ δὲ ἄνθος τοῦ φαινομένου πολυειδές· παιδεύοντος, οἶμαι, τοῦ λόγου καὶ διὰ τῆς κτίσεως ἡμᾶς, μὴ καινοπαθεῖν τοῖς περὶ τοῦ δόγματος λόγοις, ὅταν εἰς τὸ δυσθεώρητον ἐμπεσόντες πρὸς τὴν συγκατάθεσιν τῶν λεγο-

μένων. ὡς γὰρ ἐπὶ τῶν τοῖς ὀφθαλμοῖς φαινομένων, κρείττων ἐφάνη τῆς αἰτιολογίας ἡ πεῖρα· οὕτως καὶ τῶν ὑπερβεβηκότων δογμάτων κρείττων ἔστω τῆς διὰ τῶν λογισμῶν καταλήψεως ἡ πίστις, καὶ τὸ κεχωρισμένον ἐν ὑποστάσει, καὶ τὸ συνημμένον ἐν τῇ οὐσίᾳ διδάσκουσα. ἐπεὶ οὖν τὸ μέν τι κοινὸν ἐν τῇ ἁγίᾳ τριάδι, τὸ δὲ ἰδιάζον ὁ λόγος ἐθεώρησεν· ὁ μὲν τῆς κοινότητος λόγος εἰς τὴν οὐσίαν ἀνάγεται, ἡ δὲ ὑπόστασις, τὸ ἰδιάζον ἑκάστου σημεῖόν ἐστιν. ἀλλ' ἴσως οἴεταί τις μὴ συμβαίνειν τὸν ἀποδοθέντα περὶ τῆς ὑποστάσεως λόγον τῇ διανοίᾳ τῆς τοῦ ἀποστόλου γραφῆς, ἐν οἷς φησὶ περὶ τοῦ κυρίου, ὅτι ἀπαύγασμα τῆς δόξης αὐτοῦ καὶ χαρακτὴρ τῆς ὑποστάσεως. Εἰ γὰρ ὑπόστασιν ἀποδεδώκαμεν εἶναι τὴν συνδρομὴν τῶν περὶ ἕκαστον ἰδιωμάτων· ὁμολογεῖται δὲ ὥσπερ ἐπὶ τοῦ πατρὸς εἶναί τι τὸ ἰδιαζόντως ἐπιθεωρούμενον αὐτῷ, δι' οὗ μόνος ἐπιγινώσκεται, κατὰ τὸν αὐτὸν δὲ τρόπον, καὶ περὶ τοῦ μονογενοῦς τὸ ἴσον πιστεύεται· πῶς ἐνταῦθα τὸ τῆς ὑποστάσεως ὄνομα τῷ πατρὶ μόνῳ προσμαρτυρεῖ ἡ γραφή, τὸν δὲ υἱὸν οἱονεὶ μορφὴν λέγει τῆς ὑποστάσεως, οὐκ ἐν ἰδίοις, ἀλλ' ἐν τοῖς τοῦ πατρὸς γνωρίσμασι χαρακτηριζόμενον; Εἰ γὰρ ἡ ὑπόστασις τὸ ἰδιάζον τῆς ἑκάστου ὑπάρξεως σημεῖόν ἐστι· τοῦ δὲ πατρὸς ἴδιον τὸ ἀγεννήτως εἶναι ὁμολογεῖται· μεμόρφωται δὲ ὁ υἱὸς τοῦ πατρὸς ἰδιώμασιν· ἄρα οὐκέτι παραμένει τῷ πατρὶ κατεξαίρετον ἐπ' αὐτοῦ μόνου κεχωρισμένως τὸ ἀγέννητον λέγεται, εἴπερ τῷ ἰδιάζοντι τοῦ πατρὸς καὶ ἡ τοῦ μονογενοῦς χαρακτηρίζεται ὕπαρξις. ἀλλ' ἡμεῖς τοῦτο φαμέν· ἕτερον πληροῖ σκοπὸν ἐνταῦθα τῷ ἀποστόλῳ ὁ λόγος, πρὸς ὃν βλέπων ταύταις ἐχρήσατο ταῖς φωναῖς, δόξης ἀπαύγασμα λέγων, καὶ χαρακτῆρα τῆς ὑποστάσεως, ὅνπερ ὁ ἀκριβῶς νοήσας οὐδὲν εὑρήσει τοῖς παρ' ἡμῶν εἰρημένοις μαχόμενον· ἀλλ' ἐπί τινος ἰδιαζούσης ἐννοίας τὸν λόγον διεξεσμένον. οὐ γὰρ ὅπως διακριθεῖεν ἀπ' ἀλλήλων αἱ ὑποστάσεις διὰ τῶν ἐπιφαινομένων σημείων ὁ ἀποστολικὸς πραγ-

A Vt enim in iis, quæ oculis apparent, experientia validior, quàm vt contradici poſſit, videtur: ita in ſupereminentibus, captumque noſtrum ſuperantibus doctrinis quoque ea comprehenſione atq; perceptione, quæ per ratiocinationes conciliatur, potior ac firmior eſto fides, quæ & in hypoſtaſi ſeparationem, & in eſſentia coniunctionẽ docet. Quoniam igitur diſceptatio aliud quidem cõmune quiddam, aliud verò proprium ac peculiare in ſancta Trinitate cõſiderauit: cõmunionis quidem ratio ad eſſentiam reducitur, hypoſtaſis verò peculiare ac
B proprium vniuſcuiuſq; ſignum eſt. Sed putat aliquis fortaſſe de hypoſtaſi redditam rationem non congruere, neque conuenire ſentẽtiæ Apoſtoli ſcripturæ, vbi de Domino dicit, ſplendor gloriæ eius, & figura hypoſtaſeωs, id eſt, ſubſtantiæ ſiue ſubſiſtentiæ. Nam ſi hypoſtaſin concurſum eſſe expoſuimus proprietatum, quæ circa vnamquãque perſonam conſiderantur: ac quemadmodum conſtat in patre eſſe aliquid, quod peculiariter in eo conſideretur, per quod ſolus agnoſcitur: eodem itidem modo de vnigenito quoque idẽ eſſe creditur: quî fit, *Hebr. 1.*
C vt ſcriptura hoc in loco patri ſoli teſtimonio ſuo aſſignet nomen hypoſtaſeωs, ſiue ſubſtantiæ, filiũ verò quaſi formam dicit hypoſtaſeωs, qui non ſuis, ſed patris inſignibus exprimatur atque denotetur? Si enim hypoſtaſis proprium ac peculiare ſignum eſſentiæ vniuſcuiuſq. perſonæ eſt: patris autem proprium eſſe non ambigitur, quòd ſit ea conditione, qua is qui genitus non eſt: filius verò figuratur ac deſignatur proprietatibus patris: vtique non amplius proprium ac præcipuũ apud patrem manet inſigne, vt de eo ſolo ſeparatim dicatur, non genitum eſſe: ſiquidem proprio patris in-
D ſigni vnigeniti quoque eſſentia denotatur. Verùm nos hoc dicimus: quòd ad aliam intentionem & finem hoc loco ab Apoſtolo dirigatur oratio, ad quem ſenſum & intentionem reſpiciens his vocibus vſus eſt, ſplendorem dicens & expreſſam imaginem ſubſtantiæ: quam intentionem ſi quis exactè ac plenè animaduerterit & intellexerit, nihil inueniet quod pugnet cum iis quæ à nobis dicta ſunt: ſed in peculiari quadam conſideratione, ſermonem eſſe exornatum. Non enim id agit Apoſtoli oratio, vt per ea quæ in iis apparent, ſigna ſeparentur & dirimantur ab inuicem hypoſtaſes

ſiue ſubſtantiæ: ſed vt verus & germanus, nulloque intercedente ſpatio coniunctus filij habitus ad patrem intelligatur. Quoniam enim non dixit, Qui cum gloria ſit, de gloria (quamquam veritas ita ſe habet) ſed hęc tanquam cõfeſſum, certum & indubitatum prætermittens, (nempe) quòd non aliqua quædam gloriæ ſpecies in patre ſpectanda, alia item in filio intelligẽda ſit, ab ipſa patris gloria exiſtentẽ ſplendorem vnigeniti gloriam eſſe affirmat: ſimilitudine luminis probans, abſq. vllo interuallo vnà cum patre filium intelligi atque conſiderari. Vt enim ex flamma ſplendor exiſtit, non tamen poſterior ſecundum flammam ſplendor eſt, ſed ſimul atque flamma exorta eſt, lumen quoque cum ea effulget: ita vult etiam ex patre quidem filium intelligi, non autem interualli alicuius extenſione atque productione à patris ſubſtantia vnigenitum diſtingui, ſed ſemper vnà cũ cauſa id quod exiſtit ex ea, comprehendi. Eodem igitur modo, tanquam explicans antè redditum intellectum, etiam ſubſtãtiæ expreſſam imaginem dicit, corporalibus ſimilitudinibus ad inuiſibilium quaſi manu nos ducens animaduerſionem atque cognitionem. Nam vt corpus prorſus non eſt abſque forma, ſed alia quidem formæ, alia verò corporis ratio eſt: & ſi quis horum alterutrius edat definitionem, non conuenerit neque concurrerit cum definitione alterius: verumtamen etiamſi ratione ſepares atque diſcernas à corpore formam, natura non admittit ſeparationem, ſed coniunctim alterum cum altero intelligitur: ita putat Apoſtolus, etiamſi ratio fidei inconfuſam & diuerſam hypoſtaſeωn ſiue ſubſtantiarum differentiam doceat, etiam continuitatem & quaſi concretionẽ & coalitionem vnigeniti cum patre per dicta verba exprimere & oſtendere oportere: non quòd in hypoſtaſi quoque vnigenitus non ſit, ſed quòd nullum ſuæ cum patre vnitionis medium admittat: vt qui animi oculis imaginem & figuram vnigeniti contuitus fuerit, paternã quoque ſubſtantiam plena mentis cogitatione comprehendat: ita vt vna pro altera non accipiatur, neque commiſceatur ea quæ in iis conſideratur proprietas, vt vel patri natiuitas, vel filio abſque natiuitate eſſe affigaetur: ſed, quemadmodum fieri

A γματιζεται λόγος· ἀλλ' ὅπως ὁ γνήσιος καὶ ἀδιάστατος, καὶ ὁ συνημμένος τῆς τοῦ υἱοῦ πρὸς τὸν πατέρα σχέσεως νοηθείη. ὡς γὰρ οὐκ εἶπεν, ὃς ὢν δόξα ἀπὸ δόξης· καί τοί γε τὸ ἀληθὲς οὕτως ἔχει· ἀλλὰ τοῦτο παραλιπὼν, ὡς ὁμολογούμενον τὸ μὴ ἄλλο τι δόξης εἶδος ἐπὶ τοῦ πατρὸς ἰδεῖν, καὶ ἕτερον ἐπὶ τοῦ υἱοῦ νοεῖν, αὐτῆς τῆς τοῦ πατρὸς δόξης ἀπαύγασμα τὴν τοῦ μονογενοῦς διορίζεται δόξαν, τὸ ἀδιαστάτως ἐπινοεῖσθαι τῷ πατρὶ τὸν υἱὸν κατασκευάζων ἐκ τοῦ κατὰ τὸ φῶς ὑποδείγματος: ὡς γὰρ
B ἐκ τῆς φλογὸς μὲν ἡ αὐγὴ, οὐ μὴν ὑστέρα μετὰ τὴν φλόγα ἐστὶν ἡ αὐγὴ, ἀλλ' ἅμα τε ἡ φλὸξ ἀνέλαμψεν, καὶ συναπηυγάσθη τὸ φῶς· οὕτω βούλεται καὶ ἐκ τοῦ πατρὸς μὲν τὸν υἱὸν νοεῖσθαι, οὐ μὴν παρατάσει τινὶ διαστηματικῇ τῆς τοῦ πατρὸς ὑπάρξεως τὸν μονογενῆ διορίζεσθαι, ἀλλ' ἀεὶ τῷ αἰτίῳ τὸ ἐξ αὐτοῦ συγκαταλαμβάνειν. κατὰ τὸν αὐτὸν δὲ τρόπον, ὥσπερ ἑρμηνεύων τὸν προαποδοθέντα νοῦν, καὶ ὑποστάσεως χαρακτῆρα φησὶ, τοῖς σωματικοῖς ἡμᾶς ὑποδείγμασι πρὸς
C τὴν τῶν ἀοράτων χειραγωγῶν κατανόησιν. ὡς γὰρ τὸ σῶμα πάντως ἐστὶν ἐν σχήματι, ἀλλ' ἕτερος μὲν ὁ τοῦ σχήματος, ἕτερος δὲ ὁ τοῦ σώματος λόγος· καὶ οὐκ ἄν τις ἀποδιδοὺς τὸν ἑκατέρου τούτων ὁρισμὸν, συνενεχθείη τῷ περὶ τοῦ ἑτέρου· πλὴν ἀλλὰ κἂν λόγῳ διακρίνῃς τὸ σχῆμα τοῦ σώματος, ἡ φύσις οὐ παραδέχεται τὴν διάκρισιν, ἀλλὰ συνημμένως νοεῖται μετὰ τοῦ ἑτέρου ἕτερον· οὕτως οἴεται δεῖν ὁ ἀπόστολος, κἂν ὁ τῆς πίστεως λόγος ἀσύγχυτον, καὶ διῃρημένην τὴν τῶν ὑποστάσεων δι-
D δάσκῃ διαφορὰν, καὶ τὸ προσεχὲς, καὶ οἱονεὶ συμφυὲς τοῦ μονογενοῦς πρὸς τὸν πατέρα διὰ τῶν εἰρημένων παρίστασθαι· οὐχ ὡς οὐκ ὄντος ἐν ὑποστάσει καὶ τοῦ μονογενοῦς, ἀλλ' ὡς οὐ παραδεχομένου μεσότητά τινα τῆς ἑαυτοῦ πρὸς τὸν πατέρα ἑνώσεως· ὥστε τὸν τῷ χαρακτῆρι τοῦ μονογενοῦς διὰ τῶν τῆς ψυχῆς ὀμμάτων ἐνατενίσαντα, καὶ τῆς τοῦ πατρὸς ὑποστάσεως ἐν περινοίᾳ γενέσθαι, οὐκ ἐπαλλασσομένης οὐδὲ συναναμιγνυμένης τῆς θεωρουμένης αὐτοῖς ἰδιότητος, ὥστε ἢ τῷ πατρὶ τὴν γέννησιν, ἢ τῷ υἱῷ τὴν ἀγεννησίαν ἐπιμορφάζειν· ἀλλ', ὡς ἐνδε-

χόμενον

χωριστὸν ἐστι τὸ ἕτερον τοῦ ἑτέρου διαζεύξαντας ἐφ' ἑαυτοῦ μόνου λαβεῖν τὸ λειπόμενον. οὐδὲ γάρ ἐστι δυνατὸν υἱὸν ὀνομάσαντα, μὴ καὶ πατρὸς ἐν περινοίᾳ γενέσθαι, ἐμφαντικῶς τῆς προσηγορίας ταύτης καὶ τὸν πατέρα συναναφαινούσης. ἐπεὶ τοίνυν ὁ ἑωρακὼς τὸν υἱὸν ὁρᾷ τὸν πατέρα, καθώς φησιν ἐν τῷ εὐαγγελίῳ ὁ κύριος· διὰ τοῦτο χαρακτῆρα φησὶν εἶναι τὸν μονογενῆ τῆς τοῦ πατρὸς ὑποστάσεως. καὶ ὡς ἂν μᾶλλον ἐπιγνωσθείη τὸ νόημα, καὶ ἄλλας συμπαραληψόμεθα τοῦ ἀποστόλου φωνάς, ἐν αἷς εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου καὶ τῆς ἀγαθότητος αὐτοῦ, πάλιν εἰκόνα φησίν· οὐχὶ τῷ διαφέρειν τῷ ἀρχετύπῳ τὴν εἰκόνα κατὰ τὸν τῆς ἀορασίας καὶ τῆς ἀγαθότητος λόγον, ἀλλ' ἵνα δειχθῇ ὅτι ταὐτὸν τῷ πρωτοτύπῳ ἐστί, κἂν ἕτερον ᾖ. οὐ γὰρ ἂν ὁ τῆς φυσικῆς εἰκόνος διασωθείη λόγος, εἰ μὴ διὰ πάντων τὸ ἐναργὲς ἔχοι καὶ ἀπαράλλακτον. ὁ τοίνυν ὁ τὸ τῆς εἰκόνος κατανοήσας κάλλος, ἐν περινοίᾳ τοῦ ἀρχετύπου γίνεται· καὶ ὁ τοῦ υἱοῦ τὴν οἱονεὶ μορφὴν τῇ διανοίᾳ λαβών, τῆς πατρικῆς ὑποστάσεως τὸν χαρακτῆρα διετυπώσατο, βλέπων διὰ τούτου ἐκεῖνον, οὐ τὴν ἀγεννησίαν τοῦ πατρὸς ἐν τῷ ἀπεικονίσματι βλέπων. ἦ γὰρ ἂν δι' ὅλου ταὐτὸν ἦν καὶ οὐχ ἕτερον. ἀλλὰ τὸ ἀγέννητον κάλλος ἐν τῷ γεννητῷ καθοπτεύσας. ὥσπερ γὰρ ὁ ἐν καθαρῷ κατόπτρῳ τὴν γενομένην τῆς μορφῆς ἔμφασιν κατανοήσας, ἐναργῆ τοῦ ἀπεικονισθέντος προσώπου τὴν γνῶσιν ἔχει, οὕτως ὁ τὸν υἱὸν ἐπιγνούς, τὸν χαρακτῆρα τῆς πατρικῆς ὑποστάσεως διὰ τῆς τοῦ υἱοῦ γνώσεως ἐν τῇ καρδίᾳ ἐδέξατο. πάντα γὰρ τὰ τοῦ πατρὸς, ἐν τῷ υἱῷ καθορᾶται· καὶ πάντα τὰ τοῦ υἱοῦ, τοῦ πατρός ἐστιν· ἐπειδὴ ὅλος ὁ υἱὸς ἐν τῷ πατρὶ μένει, καὶ ὅλον ἔχει πάλιν ἐν ἑαυτῷ τὸν πατέρα. ὥστε ἡ τοῦ υἱοῦ ὑπόστασις, οἱονεὶ μορφὴ καὶ πρόσωπον γίνεται τῆς τοῦ πατρὸς ἐπιγνώσεως· καὶ ἡ τοῦ πατρὸς ὑπόστασις ἐν τῇ τοῦ υἱοῦ μορφῇ ἐπιγινώσκεται, μενούσης τῆς ἐπιθεωρουμένης αὐτοῖς ἰδιότητος εἰς διάκρισιν ἐναργῆ τῶν ὑποστάσεων.

A licet, vt vnum ab altero diſiungendo per ſe ſolum quod reliquum eſt, accipiatur. Fieri enim non poteſt, vt qui filium nominauerit, patrem quoque non plena mentis intelligentia comprehendat, cùm ita ſe habeat hæc appellatio, vt patrem quoque ſimul oſtendat. Quoniam igitur is, qui filium viderit, patrem videt, quemadmodum Dominus ait in Euangelio: idcirco vnigenitum patris ſubſtantiæ expreſſam imaginem eſſe dicit. Ac vt magis intellectus cognoſcatur, alias quoque Apoſtoli voces ſimul aſſumens, in quibus imaginem Dei in-B uiſibilis & bonitatis eius rurſus imaginem (vnigenitum eſſe) dicit: non quòd ab archetypo principalique forma differat imago ſecundum bonitatis & inuiſibilitatis rationem, ſed vt oſtenderetur quòd idē cum forma principali eſt, etiamſi aliud ſit. Non enim ſeruari ac teneri ratio naturalis imaginis poſſit, niſi ea ſit, quæ per omnia perſpicuitatem, euidētiámque, ac nullam variationem, differentiámque contineat. Proinde qui pulchritudinem imaginis animaduertit & cognouit, in plena principalis C formæ intelligentia verſatur: & qui filij quaſi formam mente concepit, paternæ hypoſtaſeωs effigiem imaginatus eſt, per hunc illum cernens, non eam (tamen) patris proprietatem, qua non genitus eſſe dicitur, in effigie perſpiciens. (Idem enim nimirum penitus & non aliud atque diuerſum eſſet) ſed in genito non genitum decus intuetur. Quemadmodum enim is, qui in puro ſpeculo formę ſimulachrū editum contemplatus fuerit, perſpicuam expreſſæ atque repræſentatæ faciei cognitionem adeptus eſt: eodem modo qui filium cognouerit, ef-D figiem paternæ ſubſtantiæ per filij notitiam in corde concepit. Nam omnia, quæ patris ſunt, in filio conſpiciuntur: & omnia quæ filij ſunt, patris ſunt: quoniam totus quoq; filius in patre manet, ac totum rurſus in ſeſe patrem habet. Itaque filij hypoſtaſis quaſi forma ac facies eſt, qua pater cognoſcitur: & patris hypoſtaſis in forma filij cognoſcitur, manente ea, quæ in iis conſideratur, proprietate, ad ſeparationem & euidentem atque perſpicuam hypoſtaſeωn (id eſt, naturarum ſubſiſtentium, ſiue ſubſtantiarum indiuiduarum & perſonarum) diſcretionem. Ioan. 14.

RR

A

EIVSDEM AD SIMPLIcium, de fide. [aliter inſcribitur: Simplicio Tribuno Gregorius, de Patre & Filio & Spiritui ſancto.]

Laurentio Siſano interprete.

DEVS per prophetam præcipit, ne vllum Deum nouum Deum eſſe exiſtimemus, neque Deum adoremus alienum. Manifeſtum eſt autem, quòd nouum dicitur id, quod ab ſempiterno non eſt: ac rurſus ex contrario, ſempiternum dicitur, quod nouum non eſt. Igitur qui non ex ſempiterno vnigenitum Deum ex patre eſſe credit, nouum eum eſſe non negat: quod enim non ſempiternum, nouum prorſus eſt: quodcumque autem nouum eſt, Deus non eſt, *Exod.34.* quemadmodum dicit ſcriptura: Non erit in te Deus nouus. Ergo qui dicit, quòd aliquando filius non erat, is negat eius Deitatem. Rurſus alienum Deum vetat adorare, qui dicit: Nunquam adorabis Deum alienũ: alienus autem col- *Exod.20.* lata cum noſtro proprio Deo diſtinctione conſideratur. Quis igitur noſter proprius eſt Deus? Palàm eſt, quòd verus Deus. Quis item alienus? prorſus is, qui à natura Dei veri alienus eſt. Si igitur proprius noſter Deus, Deus verus eſt, ſi vnigenitus Deus ex natura veri Dei non ſit, quemadmodũ hæretici dicunt: alienus Deus eſt, & noſter Deus nõ eſt. Euangelium autem dicit, quòd oues alieno non obediant. Qui creatum eum eſſe dicit, alienum à veri Dei natura facit. Quid igitur facient qui dicunt, quòd creatus ſit? Adorabúntne eum, qui creatus ſit, an non? Nam ſi non adorant Iudęos ſequuntur, negantes adorationem Chriſti: ſin autem adorant, idololatræ ſunt, adorant enim eum, qui alienus ſit à Deo vero. Atqui æquè impium eſt vel non adorare filium, vel adorare Deum alienũ. Oportet ergo veri patris verum filium dicere, vt adoremus eum, & non condemnemur tanquam Deum alienum adorãtes. Aduerſus eos autem, qui dicunt illud ex prouerbio,

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΣΥΜπλίκιον, περὶ πίστεως.

ΚΕΛΕΥΕΙ ὁ Θεὸς διὰ τοῦ προφήτου, μηδένα πρόσφατον Θεὸν, Θεὸν εἶναι νομίζειν, μηδὲ προσκυνεῖν ἀλλοτρίῳ Θεῷ. οὐκοῦν δη-
B λόν ἐστιν, ὅτι πρόσφατον λέγεται, ὃ μὴ ἐξ ἀϊδίου ἐστί· καὶ ἐκ τοῦ ἐναντίου πάλιν ἀΐδιον λέγεται, ὃ μὴ πρόσφατόν ἐστιν. ὁ τοίνυν μὴ ἐξ ἀϊδίου τὸν μονογενῆ Θεὸν ἐκ τοῦ πατρὸς εἶναι πιστεύων, πρόσφατον αὐτὸν εἶναι οὐκ ἀρνεῖται· τὸ γὰρ μὴ ἀΐδιον, πρόσφατον πάντως· τὸ δὲ πρόσφατον Θεὸς οὐκ ἔστι, καθὼς εἶπεν ἡ γραφή· ὅτι οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος. ἄρα ὁ λέγων, ὅτι ποτὲ οὐκ ἦν, οὗτος ἀρνεῖται αὐτοῦ τὴν θεότητα. πάλιν ἀλλότριον Θεὸν προσκυνεῖν κωλύει ὁ λέγων, οὐδέποτε προσκυ-
C νήσεις Θεῷ ἀλλοτρίῳ· ὁ δὲ ἀλλότριος τῇ πρὸς τὸν ἴδιον ἡμῶν Θεὸν ἀντιδιαστολῇ θεωρεῖται. τίς οὖν ὁ ἴδιος ἡμῶν ἐστι Θεός; δῆλον ὅτι ὁ ἀληθινὸς Θεός. τίς δὲ ὁ ἀλλότριος; πάντως ὁ τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως ἀλλοτρίως ἔχων. εἰ οὖν ἴδιος ἡμῶν ἐστιν ὁ ἀληθινὸς Θεός, ἐὰν μὴ ᾖ τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως ὁ μονογενὴς Θεὸς, καθὼς λέγουσιν οἱ αἱρετικοὶ, ἀλλότριος Θεός ἐστι, καὶ οὐχ ἡμέτερος. λέγει δὲ τὸ εὐαγγέλιον, ὅτι τὰ πρόβατα ἀλλοτρίῳ οὐ μὴ ἐπακούσῃ. ὁ λέγων κτιστὸν αὐτὸν εἶναι, ἀλ-
D λότριον τῆς τοῦ ἀληθινοῦ Θεοῦ φύσεως εἶναι κατασκευάσει. τί οὖν ποιοῦσιν οἱ λέγοντες, ὅτι κτιστός ἐστι; προσκυνοῦσι τὸν κτιστὸν αὐτὸν, ἢ οὐχί; εἰ μὲν γὰρ οὐ προσκυνοῦσιν, Ἰουδαΐζουσιν, ἀρνούμενοι τοῦ Χριστοῦ τὴν προσκύνησιν· εἰ δὲ προσκυνοῦσιν, εἰδωλολατροῦσι· τὸν γὰρ ἀλλότριον τοῦ ἀληθινοῦ Θεοῦ προσκυνοῦσιν. ἀλλὰ μὴν ἐπίσης ἀσεβὲς, καὶ μὴ προσκυνεῖν τὸν υἱὸν, καὶ προσκυνεῖν τὸν ἀλλότριον Θεόν. χρὴ ἄρα τοῦ ἀληθινοῦ πατρὸς, ἀληθινὸν τὸν υἱὸν λέγειν, ἵνα προσκυνῶμεν αὐτὸν, καὶ μὴ κατακριθῶμεν ὡς ἀλλότριον προσκυνοῦντες Θεόν· πρὸς δὲ τοὺς λέγοντας τὸ ἐκ τῆς παροιμίας,

ὅτι κύριος ἔκτισέ με, καὶ διὰ τοῦτο νομίζοντας A ἰσχυρόν τι λέγειν περὶ τοῦ κτιστὸν εἶναι τὸν πάντων κτίστην καὶ δημιουργὸν, ταῦτα προσήκει λέγειν, ὅτι πολλὰ δι' ἡμᾶς ἐγένετο ὁ μονογενὴς Θεός. καὶ γὰρ καὶ λόγος ὢν, σὰρξ ἐγένετο· καὶ Θεὸς ὢν, ἄνθρωπος ἐγένετο· καὶ ἀσώματος ὢν, σῶμα ἐγένετο· καὶ ἔτι πρὸς τούτοις, καὶ ἁμαρτία, καὶ κατάρα, καὶ λίθος, καὶ ἀξίνη, καὶ ἄρτος, καὶ πρόβατον, καὶ ὁδὸς, καὶ θύρα, καὶ πέτρα, καὶ πολλὰ τοιαῦτα ἐγένετο, οὐδὲν τούτων τῇ φύσει ὢν, ἀλλὰ δι' ἡμᾶς κατ' οἰκονομίαν γενόμενος. B ὥσπερ οὖν λόγος ὢν, δι' ἡμᾶς ἐγένετο σὰρξ· καὶ Θεὸς ὢν, ἄνθρωπος ἐγένετο, οὕτω καὶ κτίστης ὢν, δι' ἡμᾶς κτίσμα ἐγένετο, κτιστὴ γὰρ ἡ σάρξ. ὡς οὖν εἶπεν διὰ τοῦ προφήτου, ὅτι οὕτως λέγει κύριος, ὁ πλάσας με ἐκ κοιλίας δοῦλον αὐτοῦ, οὕτως εἶπεν καὶ διὰ τοῦ Σολομῶντος, ὁ κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ. οὐκοῦν καὶ ὁ ἐν τῇ κοιλίᾳ τῆς παρθένου πλασθεὶς κατὰ τὸν λόγον τοῦ προφήτου, ὁ δοῦλός ἐστιν οὐχ ὁ κύριος, τουτέστιν ὁ κατὰ σάρκα ἄνθρωπος ἐν ᾧ ὁ Θεὸς ἐφανερώθη, καὶ ἐνταῦθα ὁ κτισθεὶς εἰς ἀρχὴν ὁδῶν C αὐτοῦ, οὐχ ὁ Θεός ἐστιν ἀλλ' ὁ ἄνθρωπος· ἐν ᾧ ἡμῖν ὁ Θεὸς ἐφανερώθη ἐπὶ τὸ τὴν καταφθαρεῖσαν ὁδὸν τῆς ἀνθρωπίνης σωτηρίας πάλιν ἀνανεώσασθαι. ὥστε ἐπειδὴ δύο περὶ τοῦ Χριστοῦ γινώσκομεν, τὸ μὲν θεῖον, τὸ δὲ ἀνθρώπινον, ἐν μὲν τῇ φύσει τὸ θεῖον, ἐν δὲ τῇ οἰκονομίᾳ τὸ κατὰ ἄνθρωπον, ἀκολούθως τὸ μὲν ἀΐδιον, τῇ θεότητι προσμαρτυροῦμεν, τὸ δὲ κτιστὸν τῇ ἀνθρωπίνῃ λογιζόμεθα φύσει. ὡς γὰρ κατὰ τὸν προφήτην ἐν τῇ κοιλίᾳ ἐπλάσθη δοῦλος, οὕτως καὶ κατὰ τὸν Σολομῶντα, διὰ τῆς δουλικῆς ταύ- D της κτίσεως ἐν σαρκὶ ἐφανερώθη. ὅταν δὲ λέγωσιν, εἰ ἦν οὐκ ἐγεννήθη· καὶ εἰ ἐγεννήθη οὐκ ἦν, διδαχθήτωσαν, ὅτι οὐ χρὴ τὰ τῆς σαρκικῆς γεννήσεως ἰδιώματα ἐφαρμόζειν τῇ θείᾳ φύσει. σώματα μὲν γὰρ μὴ ὄντα γεννᾶται· ὁ δὲ Θεὸς τὰ μὴ ὄντα εἶναι ποιεῖ· οὐκ αὐτὸς ἐκ τοῦ μὴ ὄντος γίνεται. διὸ καὶ ὁ Παῦλος ἀπαύγασμα δόξης αὐτὸν ὀνομάζει, ἵνα διδαχθῶμεν, ὅτι ὥσπερ τὸ ἐκ τοῦ λύχνου φῶς καὶ ἐκ τῆς φύσεώς ἐστι τοῦ ἀπαυγάζοντος, καὶ μετ' ἐκείνου ἐστίν·

Dominus creauit me, & per hoc putant ſe aliquod firmum afferre argumentum ad probãdum quòd creatus ſit omnium conditor & creator, hæc conuenit dicere, quòd multa propter nos factus ſit vnigenitus Deus. Etenim cùm Verbum ſit, caro factus eſt: & cùm Deus ſit, homo factus eſt: & cum incorporalis eſſet, corpus factus eſt: atque his etiam amplius & peccatũ, & maledictio, & lapis, & ſecuris, & panis, & ouis, & via, & oſtium, & petra, & eiuſmodi multa factus eſt, cùm natura nihil horum ſit, ſed propter nos per diſpenſationem & adminiſtrationem talis euaſerit. Quemadmodum igitur cùm Verbum ſit, propter nos caro factus eſt: & Deus cùm ſit, homo factus eſt: ita creator cùm ſit, propter nos creatura factus eſt, quippe cùm caro res creata ſit. Quemadmodũ igitur per Prophetam dixit, Sic dicit Dominus, qui formauit me ex ventre ſeruũ ſuum, ita etiam dixit illud per Solomonem: Dominus creauit me principiũ viarum ſuarum ad opera ſua, omnis enim creatura ſeruit, vt inquit Apoſtolus. Proinde & is, qui in ventre virginis formatus eſt, ſecundum verbum prophetę, ſeruus eſt non Dominus: hoc eſt is, qui ſecundum carnem homo eſt: in quo Deus manifeſtatus eſt: & is, qui illic creatus eſt in principium viarum eius, non Deus eſt, ſed homo: in quo nobis Deus manifeſtus eſt, vt corrupta ac labefactata via ſalutis humanæ iterum renouaretur. Itaque quoniam res duas de Christo ſtatuimus & ſentimus, vnum quidem diuinum, alterum verò humanum, in natura quidem diuinum, in adminiſtratione ac diſpenſatione id quod ſecundum hominem eſt: conſequenter ſempiternum Deitatis atteſtamur, creatum verò humanæ naturæ aſſignamus. Quemadmodum enim ſecundum prophetam, in ventre formatus eſt ſeruus, ita etiam ſecundum Solomonem, per hanc ſeruilem creaturam in carne manifeſtatus eſt. Porrò cum dicunt, ſi erat, non eſt genitus: &, Si natus eſt, non erat: doceantur, quòd non oporteat carnalis natiuitatis proprietates accommodare diuinæ naturæ. Nam corpora quidem quæ non erant, gignuntur: Deus autem efficit, vt ea quæ non ſunt, exiſtant: non ipſe ex eo quod non eſt, exiſtit. Idcirco Paulus quoque cum ſplendorem gloriæ nominat, vt doceamur, quòd ſicut lumen de lucerna & ex natura lumen edentis eſt, & vnà cum illa eſt;

Eſa. 45.
Eccle. 24.

(ſimul enim atque emicuit lucerna, lumen quoque quod ab ea exiſtit pariter effulget) ita hîc quoque iubet Apoſtolus intelligere, quòd & ex patre ſit filius, & abſque filio numquam ſit pater: nam fieri non poteſt, vt gloria ſit abſque ſplendore, quemadmodum fieri non poteſt, vt abſque ſplendore lucerna ſit. Manifeſtum eſt autẽ quòd ſicuti ſplendorem eſſe, teſtimonium eſt eius quod in gloria eſt: (Si enim non ſit gloria, non fuerit is, qui ab hac editur, ſplendor) ita ſi quis dicat, quòd numquam erat ſplendor, demonſtrat quod neque gloria eſſet, cum non eſſet ſplendor, fieri enim non poteſt, vt gloria ſit abſque ſplendore. Vt igitur de ſplendore dici non poteſt: Si erat, non editus eſt: & ſi editus eſt, non erat; ita vanum & abſurdũ eſt hæc de filio dicere, quippe cùm filius ſit ſplendor. Cæterùm qui minus & maius de filio & patre dicunt, diſcant à Paulo, ne metiantur ea, quæ nemo poteſt metiri, nam Apoſtolus filium dicit effigiem eſſe patris ſubſtãtiæ, planum eſt igitur, quòd quanta fuerit ſubſtantia patris, tanta eſt etiam effigies ſubſtantiæ, fieri enim non poteſt, vt minor ſit effiges, quàm ſubſtantia, quæ per eam conſideratur. Quinetiam magnus

Ioan. 1. Ioannes eadẽ docet, cùm dicit. In principio erat Verbum, & Verbũ erat apud Deum. Ex eo namque quod dixit, quòd in principio erat, & non poſt principium, oſtendit quod nunquam abſque verbo principiũ erat. Ex eo verò quod oſtẽdit, quod Verbum etiam erat apud Deum, ſignificauit quòd nihil deſit filio in comparatione patris, cum toto namque Deo totum ſimul conſideratur Verbum. Nam ſi quid Verbo deeſſet in ſua magnitudine, vt non poſſet apud totum eſſe Deum: prorſus neceſſe eſſet, vt exiſtimaremus abſque Verbo eſſe eam Dei partem, qua verbo ſuperior ac maior eſſet. Atqui cum tota Dei majeſtate Verbi majeſtas ſimul conſideratur: ergo in diuinis doctrinis locum non habet, vt vel maius vel minus eſſe dicamus. Nam qui dicunt quòd genitum non genito natura diſſimile ſit, ex ſimilitudine & exemplo Abelis & Adami diſcant haud ſtultè iudicare. Etenim Adam quoque ſecundũ naturalem hominum natiuitatẽ nõ genitus fuit: Abel verò ex Adamo genitus eſt.

A ὁμοῦ τε γὰρ ἐξεφάνη ὁ λύχνος, καὶ τὸ φῶς τὸ ἐξ αὐτοῦ συνεξέλαμψεν· οὕτω κελεύει καὶ ἐνταῦθα νοεῖν ὁ ἀπόστολος, ὅτι καὶ ἐκ τοῦ πατρὸς ὁ υἱὸς, καὶ οὐδέποτε χωρὶς τοῦ υἱοῦ ὁ πατήρ· οὐκ ἐγχωρεῖ γὰρ ἀλαμπῆ εἶναι τὴν δόξαν, ὡς οὐκ ἐγχωρεῖ ἄνευ ἀπαυγάσματος εἶναι τὸν λύχνον· δῆλον δὲ ὅτι ὥσπερ τὸ εἶναι ἀπαύγασμα μαρτυρία ἐστὶ τοῦ κατὰ τὴν δόξαν εἶναι. μὴ γὰρ οὔσης τῆς δόξης οὐκ ἂν εἴη τὸ ἐκ ταύτης ἀπαυγαζόμενον, οὕτως τὸ λέγειν μὴ εἶναί τι ἀπαύγασμα, ἀπόδειξίς ἐστι τοῦ μηδὲ τὴν δό-
B ξαν εἶναι, ὅτε οὐκ ἦν τὸ ἀπαύγασμα. τὴν γὰρ δόξαν ἄνευ ἀπαυγάσματος εἶναι ἀμήχανον. ὥσπερ οὖν οὐκ ἔστιν ἐπὶ τοῦ ἀπαυγάσματος λέγειν ὅτι εἰ ἦν οὐκ ἐγένετο, καὶ εἰ ἐγένετο οὐκ ἦν, οὕτως μάταιόν ἐστι περὶ τοῦ υἱοῦ ταῦτα λέγειν, διότι ὁ υἱός ἐστι τὸ ἀπαύγασμα. οἱ δὲ τὸ μικρότερον καὶ τὸ μεῖζον ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς λέγοντες, διδαχθήτωσαν παρὰ τοῦ Παύλου μὴ μετρεῖν τὰ ἀμέτρητα. ὁ γὰρ ἀπόστολος τὸν υἱὸν χαρακτῆρα λέγει τῆς τοῦ πατρὸς ὑποστάσεως. δῆλον οὖν ὅτι ὅση ἂν ἡ ὑπόστα-
C σις ᾖ τοῦ πατρὸς, τοσοῦτος καὶ ὁ χαρακτήρ ἐστι τῆς ὑποστάσεως. οὐ γὰρ ἐνδέχεται εἶναι μικρότερον τὸν χαρακτῆρα τῆς θεωρουμένης ἐν αὐτῷ ὑποστάσεως. ἀλλὰ καὶ ὁ μέγας Ἰωάννης ταῦτα διδάσκει λέγων, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. ἐκ γὰρ τοῦ εἰπεῖν ὅτι ἐν ἀρχῇ ἦν, καὶ οὐ μετὰ τὴν ἀρχὴν, ἔδειξεν ὅτι οὐδέποτε ἄλογος ἦν ἡ ἀρχή. ἐκ δὲ τοῦ ἀποδεῖξαι ὅτι καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, τὸ ἀνελλιπὲς τοῦ υἱοῦ ὡς πρὸς τὸν πατέρα ἐσήμανεν· ὅλῳ γὰρ τῷ Θεῷ ὅλως
D συνθεωρεῖται ὁ λόγος. εἰ γὰρ ἐλλιπὴς ἦν ἐν τῷ ἰδίῳ μεγέθει ὁ λόγος, ὥστε μὴ δύνασθαι πρὸς ὅλον τὸν Θεὸν εἶναι· ἀνάγκη πᾶσα ἄλογον εἶναι τοῦ Θεοῦ νομίζειν τὸ ὑπερπίπτον τοῦ λόγου. ἀλλὰ μὴν πάσῃ τοῦ Θεοῦ μεγαλειότητι, ἡ τοῦ λόγου μεγαλειότης συνθεωρεῖται. ἄρα οὐκ ἔχει χώραν ἐπὶ τῶν θείων δογμάτων τὸ μεῖζον λέγειν καὶ τὸ μικρότερον. οἱ δὲ λέγοντες τὸ γεννητὸν τῷ ἀγεννήτῳ εἶναι κατὰ τὴν φύσιν ἀνόμοιον, διδαχθήτωσαν μὴ μωραίνειν ἐκ τοῦ κατὰ τὸν Ἄβελ καὶ τὸν Ἀδὰμ ὑποδείγματος. καὶ γὰρ καὶ ὁ Ἀδὰμ κατὰ τὴν φυσικὴν τῶν ἀνθρώπων γέννησιν οὐκ ἐγεννήθη· ὁ δὲ Ἄβελ ἐκ τοῦ Ἀδὰμ ἐγεννήθη.

ἀλλὰ μὴν ὁ μὴ γεννηθεὶς ἀγέννητος λέγεται· οὐδὲν δὲ ἐκώλυσε τὸν Ἀδὰμ τὸ μὴ γεννηθῆναι πρὸς τὸ ἄνθρωπον εἶναι· οὐδὲ ἡ γέννησις τὸν Ἀβὲλ ἄλλο τι παρὰ τὴν ἀνθρωπίνην φύσιν ἐποίησεν, ἀλλὰ καὶ οὗτος ἄνθρωπος κἀκεῖνος, εἰ καὶ ὁ μὲν γεννηθεὶς ἦν, ὁ δὲ δίχα γεννήσεως. ἄρα καὶ ἐπὶ τῶν θείων δογμάτων τὸ μὴ γεννηθῆναι καὶ τὸ γεννηθῆναι διαφορὰν οὐκ ἐξεργάζεται φύσεως, ἀλλ' ὥσπερ ἐπὶ τοῦ Ἀδὰμ καὶ τοῦ Ἀβὲλ ἀνθρωπότης μία, οὕτω καὶ ἐπὶ τοῦ πατρὸς καὶ ἐπὶ τοῦ υἱοῦ θεότης μία, περὶ δὲ τοῦ πνεύματος τοῦ ἁγίου καὶ οἱ βλασφημοῦντες τὸ αὐτὸ λέγουσιν, ὃ καὶ περὶ τοῦ κυρίου, ὅτι ἐστὶ καὶ τοῦτο κτιστόν· ἡ δὲ ἐκκλησία ἐπίσης, ὡς περὶ τοῦ υἱοῦ, οὕτως καὶ περὶ τοῦ ἁγίου πνεύματος πιστεύει, ὅτι ἐστὶν ἄκτιστον, καὶ ὅτι πᾶσα ἡ κτίσις ἐκ τῆς τοῦ ὑπερκειμένου ἀγαθοῦ μετουσίας γίνεται ἀγαθή, τὸ δὲ πνεῦμα τὸ ἅγιον, ἀπροσδεές ἐστι τοῦ ἀγαθύνοντος. ἀγαθὸν γὰρ τῇ φύσει ἐστί, καθὼς ἡ γραφὴ μαρτυρεῖ. καὶ ὅτι ἡ κτίσις ὁδηγεῖται παρὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα τὴν ὁδηγίαν χαρίζεται, ἡ κτίσις ἡγεμονεύεται, τὸ δὲ πνεῦμα ἡγεμονεύει, ἡ κτίσις παρακαλεῖται, τὸ δὲ πνεῦμα παρακαλεῖ, ἡ κτίσις δουλεύει, τὸ δὲ πνεῦμα ἐλευθεροῖ, ἡ κτίσις σοφίζεται, τὸ δὲ πνεῦμα τὴν τῆς σοφίας δίδωσι χάριν, ἡ κτίσις μεταλαμβάνει τῶν χαρισμάτων, τὸ δὲ πνεῦμα κατ' ἐξουσίαν χαρίζεται. πάντα γὰρ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται, καὶ μυρίας ἄλλας ἐκ τῶν γραφῶν ἔστιν ἀποδείξεις εὑρεῖν, ὅτι πάντα τὰ ὑψηλὰ καὶ θεοπρεπῆ ὀνόματα, ὅσα τῷ πατρὶ καὶ τῷ υἱῷ παρὰ τῆς γραφῆς ἐφαρμόζεται, ταῦτα καὶ περὶ τὸ ἅγιον θεωρεῖται πνεῦμα, ἡ ἀφθαρσία, ἡ μακαριότης, τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δυνατόν, τὸ δίκαιον, ἡ ἁγιότης· πᾶν τίμιον ὄνομα οὕτως λέγεται ἐπὶ τοῦ ἁγίου πνεύματος, ὡς καὶ ἐπὶ τοῦ πατρὸς καὶ ἐπὶ τοῦ υἱοῦ λέγεται· πλὴν τούτων δι' ὧν αἱ ὑποστάσεις τρανῶς τε καὶ ἀσυγχύτως ἀπ' ἀλλήλων διαχωρίζονται· λέγω δὲ ὅτι οὔτε πατὴρ λέγεται τὸ πνεῦμα τὸ ἅγιον, οὔτε υἱός· τὰ δὲ ἄλλα ὅσα ὁ πατὴρ καὶ ὁ υἱὸς ὀνομάζεται, ταῦτα καὶ τῷ ἁγίῳ πνεύματι παρὰ τῆς γραφῆς ἐφαρμόζεται.

A At qui genitus non fuit, ἀγέννητος, id eſt; non generatus, & qui genitus eſt, γεννητός; id eſt, natus dicitur: ſed nihil prohibuit Adamum eſſe hominem, quòd genitus non erat: neque natiuitas Abelem aliud ac diuerſum quiddã ab humana reddidit natura, ſed tam hic quàm ille homo fuit, etſi hic quidem natus erat, ille verò abſque natiuitate extiterat. Igitur in diuinis quoque dogmatibus nullã naturæ differentiam efficit genitum vel non genitum eſſe, ſed quemadmodum in Adamo & Abele vna humanitas, ſiue natura humana, eodem modo in patre quoque
B ac filio Deitas, ſeu diuina natura vna eſt. Atque idem de Spiritu quoque ſancto obtrectantes ei dicunt, quòd de Domino, nempe quòd & ille creatus ſit: at Eccleſia ex æquo ſicut de filio; ita de Spiritu quoq. ſancto credit, quòd creatus non ſit: tum quia omnis creatura ex participatione ſuperni boni bona fit: (Spiritus ſanctus autẽ benefactore nihil opus habet, quippe cum natura bonus ſit, quemadmodum ſcriptura teſtatur) tnm quia creatura deducitur ac dirigitur à Spiritu Dei, Spiritus verò beneficium deductionis ac directionis largi-
C tur: natura ſubdita eſt, Spiritus verò præeſt, natura conſolationem & exhortationem accipit, Spiritus verò conſolatur & exhortatur: natura ſeruit, Spiritus verò liberat: natura ſapientiam docetur, Spiritus verò ſapientiæ beneficium largitur: natura beneficiorum ac donorum partem capit, Spiritus verò ad arbitrium ſuum largitur. Omnia namque hæc operatur vnus & idem Spiritus, diſtribuens cuique ſingulatim quemadmodum vult. (1. Cor. 12.) Ac ſexcenta alia ſcripturarum loca licet inuenire, quibus demonſtratur, quòd omnia ſublimia Deumque decentia nomina,
D quæcumque Patri & Filio à ſcriptura accommodantur, ea circa Spiritum quoque ſanctum conſiderantur: incorruptibilitas & integritas, beatitudo, bonum, ſapiens, potens, iuſtum, ſanctitas: omne denique pretioſum & honorabile nomen tam de Spiritu ſancto, quàm de Patre & Filio dicitur: exceptis iis, per quæ hypoſtaſes perſpicuè, clarè & abſque confuſione abinuicem ſeparantur: dico autem quòd neque Pater, neque Filius dicitur Spiritus ſanctus: cætera verò quibuſcumque nominibus Pater & Filius appellantur, ea Spiritui quoque ſancto à ſcriptura adaptantur.

Per hoc igitur deprehendimus, quòd Spiritus ſanctus eſt ſuper naturam: quocirca vbi Pater & vbi Filius intelligitur, ibi Spiritus quoque ſanctus intelligitur: nam ſuper naturam Pater & Filius eſt, quod Spiritui quoque conſequentia ſermonis atteſtatur. Qui igitur ſupra naturam Spiritum ſanctum ponit, conſequenter & rectum & ſanum accepit ſermonem & opinionem. Vnam enim confitebitur naturam non creatam, quæ & in Patre & Filio & Spiritu ſancto conſideratur. Quoniam autem ad demonſtrandum, vt putant, quòd Spiritus ſanctus creatus ſit, prophetæ vocem nobis proferunt, quæ ita habet: Qui firmat tonitruum, & creat Spritum, & annunciat in hominibus Chriſtum ſuum: hoc conuenit intelligere, quòd alium Spiritum in firmitudine tonitrui propheta creari dicit, & non Spiritum ſanctum: tonitruum enim myſticus ſermo Euangelium nominat. Quibus igitur firma ac ſtabilis de Euangelio fit fides, hi per fidem tranſeunt ab eo quòd car-
Ioan. 3. nes ſunt, ad hoc vt Spiritus fiant, quemadmodum dicit Dominus: Quod natum eſt ex carne, caro eſt: & quod natum eſt ex Spiritu, Spiritus eſt. Deus igitur eſt, qui per id quod Euangelicum tonitruum firmum credentibus facit, Spiritum efficit eum, qui credit: qui autem ex Spiritu natus eſt, & per tale tonitruum Spiritus factus eſt, annuntiat Chriſtum, quemadmodum dicit Apoſtolus, quòd nullus poſſit dicere, Dominum Ieſum Chriſtum, niſi per Spiritum ſanctum.

A διὰ τοῦτο οὖν καταλαμβάνομεν, ὅτι ἄνω τῆς κτίσεώς ἐστι τὸ πνεῦμα τὸ ἅγιον, ἐκεῖνο ὅπου πατὴρ καὶ ὅπου υἱὸς νοεῖται, ἐκεῖ νοεῖται καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἄνω γὰρ τῆς κτίσεως ὁ πατὴρ καὶ υἱός, ὅπερ καὶ τῷ ἁγίῳ πνεύματι ἡ ἀκολουθία τοῦ λόγου προσεμαρτύρησεν. ὁ τοίνυν ὑπεράνω τιθεὶς τῆς κτίσεως τὸ πνεῦμα τὸ ἅγιον, ἀκολούθως τὸν ὀρθόν τε καὶ ὑγιῆ προσεδέξατο λόγον. μίαν γὰρ ὁμολογήσει τὴν ἄκτιστον φύσιν, τὴν ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ θεωρουμένην. ἐπεὶ δὲ εἰς ἀπόδειξιν, ὡς
B οἴονται, τοῦ κτιστὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον, τὴν τοῦ προφήτου φωνὴν ἡμῖν προσφέρουσι τὴν λέγουσαν· ὁ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ· τοῦτο προσήκει νοῆσαι, ὅτι ἄλλο κτίζεσθαι πνεῦμα ἐν τῇ στερεότητι τῆς βροντῆς, ὁ προφήτης λέγει, καὶ οὐχὶ τὸ ἅγιον πνεῦμα. βροντὴν γὰρ ὁ μυστικὸς λόγος τὸ εὐαγγέλιον ὀνομάζει. ἐν οἷς οὖν γίνεται βεβαία καὶ ἀμετάθετος ἡ εἰς τὸ εὐαγγέλιον πίστις, οὗτοι διὰ τῆς πίστεως μεταβαίνουσιν ἀπὸ τοῦ
C εἶναι σαρκὸς, εἰς τὸ γίνεσθαι πνεῦμα, καθὼς λέγει ὁ κύριος, ὅτι τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμα ἐστι. Θεὸς οὖν ὁ διὰ τοῦ στερεοποιεῖν τὴν εὐαγγελικὴν φωνὴν τοῖς πιστεύουσι, πνεῦμα ποιεῖ τὸν πιστεύοντα· ὁ δὲ ἐκ τοῦ πνεύματος γεννηθεὶς, καὶ πνεῦμα διὰ τῆς τοιαύτης βροντῆς γενόμενος, ἀπαγγέλλει τὸν Χριστὸν, καθὼς ὁ ἀπόστολος λέγει, ὅτι οὐδεὶς δύναται εἰπεῖν, κύριον Ἰησοῦν Χριστὸν, εἰ μὴ ἐν πνεύ-
D ματι ἁγίῳ.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ ΕΠΙΣΚΟΠΟΥ, ΛΟΓΟΣ κατηχητικὸς ὁ μέγας, ἐν κεφαλαίοις τεσσαράκοντα διῃρημένος.

B

ΠΡΟΛΟΓΟΣ.

Ο ΤΗΣ κατηχήσεως λόγος, ἀναγκαῖος μὲν ἐστὶ τοῖς προεστηκόσι τοῦ βίου τῆς εὐσεβείας, ὡς ἂν πληθύνοιτο τῇ προσθήκῃ τῶν σωζομένων ἡ ἐκκλησία, τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου τῇ ἀκοῇ τῶν ἀπίστων προσαγομένου, οὐ μὴν ὁ αὐτὸς τῆς διδασκαλίας τρόπος ἐπὶ πάντων ἁρμόσει τῶν προσιόντων τῷ λόγῳ. ἀλλὰ κατὰ τὰς τῶν θρησκειῶν διαφορὰς μεθαρμόζειν προσήκει τὴν κατήχησιν. πρὸς τὸν αὐτὸν μὲν ὁρῶντας τοῦ λόγου σκοπὸν, οὐχ ὁμοιοτρόπως δὲ ταῖς κατασκευαῖς χρωμένους. ἄλλαις γὰρ ὑπολήψεσιν ὁ Ἰουδαΐζων προείληπται, καὶ τῷ Ἑλληνισμῷ συζῶν ἑτέραις· ὅτε Ανόμιος καὶ ὁ Μανιχαῖος, καὶ οἱ κατὰ Μαρκίωνα, καὶ ΟΥαλεντῖνοι, καὶ Βασιλίδην, καὶ ὁ λοιπὸς κατάλογος τῶν κατὰ τὰς αἱρέσεις πλανωμένων, ἰδίαις ἕκαστος ὑπολήψεσι προειλημμένοι, ἀναγκαίαν ποιοῦσι τὴν πρὸς τὰς ἐκείνων ὑπονοίας μάχην. κατὰ γὰρ τὸ εἶδος τῆς νόσου καὶ τὸν τρόπον τῆς θεραπείας προσαρμοστέον, οὐ τοῖς αὐτοῖς θεραπεύσεις, τοῦ Ἕλληνος τὴν πολυθεΐαν, καὶ τοῦ Ἰουδαίου τὴν περὶ τὸν μονογενῆ Θεὸν ἀπιστίαν, οὐδὲ ἀπὸ τῶν αὐτῶν τοῖς κατὰ τὰς αἱρέσεις πεπλανημένοις ἀνατρέψεις τὰς ἠπατημένας περὶ τῶν δογμάτων μυθοποιίας. οὐ γὰρ δι' ὧν ἄν τις ἐπανορθώσαιτο τὸν Σαβέλλιον, διὰ τῶν αὐτῶν ὠφελήσει καὶ τὸν Ἀνόμοιον. οὐδὲ ἡ πρὸς τὸν Μα-

C

D

Sanƈti Patris noſtri

GREGORII NYSSENI EPISCOPI ORATIO Catechetica, quæ dicitur magna, diuiſa in quadraginta capita.

Gentiano Herueto interprete.

PRÆFATIO.

QVÆ ad Catecheſin pertinet oratio, eſt quidem neceſſaria iis qui præſunt vitæ, pietati ac veræ religioni, vt eorum qui ſalutem aſſequũtur acceſſione multiplicetur Eccleſia, quod fiet, ſi fidelis doctrinæ ſermo ad infidelium aures accedat: non idem tamen doctrinæ modus cõuenit omnibus verbi auditoribus, ſed pro religionum diuerſitate mutanda & accommodanda erit catecheſis, orationis quidem eundem ſibi proponẽdo ſcopum, & ad eum intuendo: ſed non eodem modo probando & confirmando. Aliis enim opinionibus eſt anticipatus qui ſtat à partibus Iudæorum, & aliis qui fauet Græcis, Anomæúſque & Manichæus, & Marcioniſtæ, & Valentiniani, & Baſilidiani, & cæteri aberrantes aſſeclæ ſectarum & hæreſum, ſinguli propriam anticipatam habentes opinionem, efficiunt vt ſit neceſſario decertandum aduerſus ea quæ opinantur. Nam conuenienter generi morbi medicina eſt adhibenda. Non eodem modo medeberis & Græco, qui multos eſſe Deos opinatur, & Iudæo, qui non credit Deo vnigenito. Neque in iis qui decepti ſunt per hæreſes, iiſdem refelles ac euertes falſas & confictas de dogmatibus fabulas. Non enim per quæ corrigetur Sabellius, pet eadem etiam proderis Anomæo. Neque quæ aduerſus Manichæum ſuſcipitur

decertatio prodeſt etiam Iudæo, ſed A oportet, ſicut dictum eſt, verba facere, intuendo ad hominum opiniones conuenientes errori ſingulorum, proferendo in qualibet diſputatione quædam principia & propoſitiones rationi conſentaneas, vt per ea quæ ambo fatentur, & de quibus conſtat, conſequenter aperiatur quid cogitent & ſentiant. Quando ergo erit diſputandum cum aliquo ex iis qui Græcis fauent, rectè erit ſi dicendi hoc ſumatur initium: vtrum Deum eſſe exiſtimat, an eſt in opinione eorum qui dicuntur Athei, quòd Deum non eſſe cenſeant. Atque B ſi Deum quidem non eſſe dicat: ex iis quæ artificioſè & ſapienter in mundo adminiſtrantur, inducetur vt per ea fateatur eſſe quandam vim, quæ in iis oſtenditur ſuperior vniuerſitate. Sin autem Deum quidem non eſſe dubitet, ſed eo dilabitur, vt Deorum putet eſſe multitudinem, hac aduerſus eum vtemur conſequentia, Deúmne perfectum eſſe putet, an cui deſit aliquid. Quod ſi, vt eſt conſentaneum, Dei naturæ perfectionem ſuo tribuat teſtimonio, exigam vt ipſe ſit perfectus in omnibus quæ conſiderantur in diuinitate: ne C Deus conſideretur commiſtus ex iis quæ ſunt contraria, nempe ex eo quod eſt mancum, & ex eo quod eſt perfectum. Sed ſiue in poteſtate, ſiue in boni notione, ſiue in ſapientia, & æternitate, & incorruptione, & ſi aliqua alia quæ Deum decet intelligentia veniat in contemplationem, omnino aſſentietur in diuina natura conſiderari perfectionem ex hac conſequentia rationi conſentanea. Hoc autem nobis dato, non erit amplius difficile, cogitationem diſperſam ac diſſipatam in Deorum multitudinem, deducere ad diuinitatis vnius confeſſionem. Si enim omnino dederit D ſe perfectionem fateri in ſubiecto: dicat autem multa eſſe perfecta, quæ per eadem exprimuntur, ſuúmque accipiunt characterem ac formam: neceſſe eſt omnino vt iis quæ nulla diſcernuntur mutatione ac diuerſitate, ſed in iiſdem conſiderantur, aut proprium oſtendere: aut ſi nihil propriè ac peculiariter mentis comprehendat conceptio: in iis in quibus non eſt quod diſcernat, non exiſtimare eſſe diſcretionem. Si enim neque in eo quod eſt plus aut minus inueniat differentiam, quoniam diminutionem non admittit ratio perfectionis: neque

νικαῖον μάχη καὶ τὸν Ἰουδαῖον ὀνίνησιν, ἀλλὰ χρὴ, καθὼς εἴρηται, πρὸς τὰς ὑπολήψεις τῶν ἀνθρώπων βλέπειν, καὶ κατὰ τὴν ἐγκειμένην ἑκάστῳ πλάνην ποιεῖσθαι τὸν λόγον, ἀρχάς τινας καὶ προτάσεις εὐλόγους ἐφ' ἑκάστης διαλέξεως προβαλλόμενον, ὡς ἂν διὰ τῶν παρ' ἀμφοτέροις ὁμολογουμένων ἐκκαλυφθείη κατὰ τὸ ἀκόλουθον ἡ διάνοια. Οὐκοῦν ὅταν πρός τινα τῶν ἑλληνιζόντων ἡ διάλεξις ᾖ, καλῶς ἂν ἔχοι ταύτην ποιεῖσθαι τοῦ λόγου τὴν ἀρχὴν, πότερον εἶναι τὸ θεῖον ὑπείληφε, ἢ τῷ τῶν ἀθέων συμφέρεται δόγματι. εἰ μὲν οὖν μὴ εἶναι λέγοι, ἐκ τῶν τεχνικῶς, καὶ σοφῶς κατὰ τὸν κόσμον οἰκονομουμένων προσαχθήσεται, πρὸς τὸ διὰ τούτων εἶναι τινὰ δύναμιν, τὴν ἐν τούτοις διαδεικνυμένην τοῦ παντὸς ὑπερκειμένην ὁμολογῆσαι. εἰ δὲ τὸ μὲν εἶναι μὴ ἀμφιβάλλοι, εἰς πλῆθος δὲ θεοτήτων ταῖς ὑπονοίαις ἐκφέροιτο, τοιαύτῃ χρησόμεθα πρὸς αὐτὸν τῇ ἀκολουθίᾳ, πότερον τέλειον ἢ ἐλλειπὲς ἡγεῖται τὸ θεῖον· τοῦ δὲ κατὰ τὸ εἰκὸς τὴν τελειότητα προσμαρτυροῦντος τῇ θείᾳ φύσει, τὸ διὰ πάντων αὐτὸ τῶν ἐνθεωρουμένων τῇ θεότητι τέλειον ἀπαιτήσομεν. ὡς ἂν μὴ σύμμικτον ἐκ τῶν ἐναντίων θεωροῖτο τὸ θεῖον, ἐξ ἐλλειποῦς καὶ τελείου. ἀλλ' εἴτε κατὰ τὴν δύναμιν, εἴτε κατὰ τὴν τοῦ ἀγαθοῦ ἔννοια, εἴτε κατὰ τὸ σοφόν τε καὶ ἄφθαρτον καὶ ἀΐδιον, καὶ εἴ τι ἄλλο θεοπρεπὲς νόημα τῇ θεωρίᾳ προσκείμενον τύχοι, ἐν παντὶ τὴν τελειότητα θεωρεῖσθαι περὶ τὴν θείαν φύσιν κατὰ τὸ εὔλογον τῆς ἀκολουθίας ταύτης, συγκαταθήσεται. τούτου δὲ δοθέντος, ἡμῖν οὐκέτι ἂν εἴη χαλεπὸν τὸ ἐσκεδασμένον τῆς διανοίας εἰς πλῆθος Θεῶν πρὸς μιᾶς θεότητος περιαγαγεῖν ὁμολογίαν. εἰ γὰρ τὸ τέλειον ἐν παντὶ δοίη περὶ τὸ ὑποκείμενον ὁμολογεῖσθαι· πολλὰ δὲ εἶναι τὰ τέλεια διὰ τῶν αὐτῶν χαρακτηριζόμενα λέγοι· ἀνάγκη πᾶσα ἐπὶ τῶν μηδεμιᾷ παραλλαγῇ διακρινομένων, ἀλλ' ἐν τοῖς αὐτοῖς θεωρουμένων, ἢ ἐπιδεῖξαι τὸ ἴδιον, ἢ εἰ μηδὲν ἰδιαζόντων καταλαμβάνοι ἡ ἔννοια, ἐφ' ὧν τὸ διακρῖνον οὐκ ἔστι μὴ ὑπονοεῖν τὴν διάκρισιν. εἰ γὰρ μήτε παρὰ τὸ πλέον καὶ ἔλαττον τὴν διαφορὰν ἐξευρίσκοι, διότι τὴν ἐλάττωσιν ὁ τῆς τελειότητος οὐ παραδέχεται λόγος· μήτε

τὴν περὶ τὸ χεῖρον καὶ περιττότερον. οὐ γὰρ ἂν ἐπὶ θειότητός τις φαίη ὑπόληψιν, οὗ ἡ τοῦ χείρονος οὐκ ἄπεστι προσηγορία. μήτε κατὰ τὸ ἀρχαῖον καὶ πρόσφατον. τὸ γὰρ μὴ ἀεὶ ὄν, ἔξω τῆς περὶ τὸ θεῖον ἐστὶν ὑπολήψεως. ἀλλ' εἷς καὶ ὁ αὐτὸς τῆς θειότητος λόγος, οὐδεμιᾶς ἰδιότητος ἐν οὐδενὶ κατὰ τὸ εὔλογον εὑρισκομένης· ἀνάγκη πᾶσα πρὸς μιᾶς θειότητος ὁμολογίαν συνωθεῖσθαι τὴν πεπλανημένην περὶ τὸ πλῆθος τῶν θεῶν φαντασίαν. εἰ γὰρ τὸ ἀγαθὸν καὶ τὸ δίκαιον, τό τε σοφὸν καὶ τὸ δυνατὸν ὡσαύτως λέγοιτο, ἥ τε ἀφθαρσία καὶ ἀϊδιότης, καὶ πᾶσα εὐσεβὴς διάνοια, κατὰ τὸν αὐτὸν ὁμολογοῖτο τρόπον· πάσης κατὰ πάντα λόγον διαφορᾶς ὑφαιρουμένης, συνυφαιρεῖται κατ' ἀνάγκην τὸ τῶν θεῶν πλῆθος ἀπὸ τοῦ δόγματος, τῆς διὰ πάντων ταυτότητος, εἰς τὸ ἓν τὸ δόγμα τὴν πίστιν περιαγούσης.

A in eo quod eſt deterius ac præſtantius. Neque diuinitatem de eo poteris ſuſpicari, à quo deterioris remota non eſt appellatio. Neque in eo quod eſt antiquum & recens. Nam quod non ſemper eſt, diuinum non poteſt exiſtimari. Sed ſi vna eſt & eadem ratio diuinitatis: cùm nulla in vllo inueniatur proprietas, vt eſt conſentaneum; neceſſe eſt omnino, vt aberrans & falſa de multitudine Deorum phantaſia compellatur ad confitendam vnam diuinitatem. Nam ſi bonitas & iuſtitia, ſapientiáque & potentia ſimiliter & eodem modo di- B citur, incorruptióque & æternitas omníſque mens pia eodem modo confitetur: omni qualibet ratione ſublata differentia, ſimul neceſſariò tollitur à dogmate Deorum multitudo, cum quæ eſt per omnia, vt ita dicam identitas, fidem ad vnum deducat.

ΚΕΦΑΛΑΙΟΝ α'.

Ἀλλ' ἐπειδὴ καὶ ὁ τῆς εὐσεβείας λόγος οἶδέ τινα διάκρισιν ὑποστάσεων ἐν τῇ ἑνότητι τῆς φύσεως βλέπειν, ὡς ἂν μὴ τῇ πρὸς τοὺς Ἕλληνας μάχῃ, πρὸς τὸν Ἰουδαϊσμὸν ἡμῖν ὁ λόγος ὑπενεχθείη, πάλιν προσήκει διαστολῇ τινὶ τεχνικῇ καὶ τὴν περὶ τοῦτο πλάνην ἐπανορθώσασθαι. οὐδὲ γὰρ τοῖς ἔξω τοῦ καθ' ἡμᾶς δόγματος, ἄλογον εἶναι τὸ θεῖον ὑπείληπται. τοῦτο δὲ παρ' ἐκείνων ὁμολογούμενον ἱκανῶς διαρθρώσει τὸν ἡμέτερον λόγον. ὁ γὰρ ὁμολογῶν μὴ ἄλογον εἶναι τὸν Θεόν, πάντως λόγον ἔχειν τὸν μὴ ἄλογον συγκαταθήσεται. ἀλλὰ μὴν ἀνθρώπινος ὁμωνύμως λέγεται λόγος. οὐκοῦν εἰ λέγοι καθ' ὁμοιότητα τοῦ παρ' ἡμῖν καὶ τὸν τοῦ Θεοῦ ὑπονοεῖν, οὕτω μεταχθήσεται πρὸς τὴν ὑψηλοτέραν ὑπόληψιν. ἀνάγκη γὰρ πᾶσα κατάλληλον εἶναι πιστεύειν τῇ φύσει τὸν λόγον, ὡς καὶ τὰ ἄλλα πάντα. καὶ γὰρ δύναμίς τις καὶ ζωὴ καὶ σοφία, περὶ τὸ ἀνθρώπινον βλέπεται· ἀλλ' οὐκ ἄν τις ἐκ τῆς ὁμωνυμίας τοιαύτην καὶ ἐπὶ τοῦ Θεοῦ τὴν ζωὴν, ἢ τὴν δύναμιν, ἢ τὴν σοφίαν ὑπονοήσειεν, ἀλλὰ πρὸς τὸ τῆς φύσεως τῆς ἡμετέρας μέτρον, συνταπεινοῦνται καὶ τῶν τοιούτων ὀνομάτων αἱ ἐμφάσεις. ἐπειδὴ γὰρ φθαρτὴ καὶ ἀσθενὴς ἡμῶν ἡ φύσις, διὰ τοῦτο ὠκύμορος ἡ ζωὴ, ἀνυπόστατος ἡ δύναμις, ἀπαγὴς ὁ λόγος. ἐπὶ δὲ τῆς ὑπερκειμένης φύ-

CAPVT I.

Perſona ſeu ὑποστάσεις, quomodo probentur in Deo.

SED quoniam pietatis ratio ſcit etiam aliquam hypoſtaſeon, ſeu ſubſtantiarum ac perſonarum cernere differen- C tiam in vnitate naturæ, ne dum aduerſus Græcos depugnamus, ad Iudaiſmũ noſtra deducatur oratio, rurſus conuenit artificioſa aliqua diſtinctione eius rei errorem corrigere. Neque enim ij qui à noſtro dogmate ſunt alieni, Deum exiſtimarunt carere ratione: hoc autem quòd illi fatentur, verbum noſtrũ ſatis explicabit & oſtendet. Nam qui fatetur Deum non carere ratione omnino aſſentietur, eum qui nõ caret ratione habere rationem. Atqui humana quoque ratio, æquiuocè dicitur. Si ergo dicat ſe rationem & Verbum intelligere, ad D ſimilitudinem eorum quæ ſunt in nobis, ſic ad ſublimiorem deducetur opinionem. Omnino enim neceſſe eſt, vt credat rationem eſſe naturæ congruentem, vt & alia omnia. Nam & vis quædam, & vita, & ſapientia cernitur in hominibus: ſed ex homonymia nemo exiſtimauerit talem in Deo eſſe vitam, aut vim, aut ſapientiam, ſed pro modo noſtræ naturæ vna etiam depromitur emphaſis huiuſmodi nominum. Quoniam enim interitui obnoxia & imbecilla eſt noſtra natura, propterea breuis eſt vita, víſque quæ non poteſt conſiſtere, & ſermo non ſtabilis. In ſuprema autem na-

tura, magnitudine eius quod conſideratur, quicquid de ea dicitur, ſimul extollitur. Etſi ergo dicitur Dei Verbum, ratio, aut ſermo, is non in impetu eius quod dicitur conſiſtere exiſtimabitur ad noſtri ſimilitudinem, ad hoc tranſiens vt non ſit. Sed quomodo noſtra natura, cùm in eam cadat interitus, ſermonem quoque habet qui interit. Ita natura in quam non cadit interitus, & quæ ſemper ſtat, æternum etiam habet ſermonem, & qui conſiſtit. Quod ſi hoc ex conſequẽti conſtiterit Dei Verbum ſempiternum conſiſtere, neceſſe eſt omnino fateri in vita Verbi eſſe hypoſtaſin ac ſubſtantiam. Nefas eſt enim putare Verbum citra animam conſiſtere inſtar lapidum. Sed ſi conſiſtit, vt quòd ſi res quędam intelligens & incorporea, viuit omnino. Sin autem eſt à vita ſeparatum, ne omnino quidem conſiſtit. Atqui impium eſſe oſtenſum eſt, Dei Verbum minimè conſiſtere. Simul ergo oſtenſum eſt ex conſequente, hoc Verbum in vita conſiderari. Cùm autem Verbi creditum ſit ſimplicem eſſe naturam, & quæ in ſe nullam oſtendat duplicitatem & compoſitionẽ, non vtique Verbum eſſe in vita quis cõſiderauerit ex vitæ participatione. Non enim extra compoſitionem fuerit huiuſmodi exiſtimatio, dicere alterum eſſe in altero: ſed omnino neceſſe eſt, cum conſtet de ſimplicitate, ipſam per ſe vitã Verbum eſſe putare, non autem vitæ participationem. Si ergo viuit Verbum cùm ſit vita, omnino quoque habet vim liberè eligendi. Nihil enim eſt ex iis quæ viuunt, quod non ſit hac vi præditum. Hanc autem liberam electionem eſſe etiam potentem ex conſequenti pium eſt conſiderare. Niſi enim fatearis potentiam, adſtrues omnino impotentiam. Atqui impotentia eſt valde remota ab ea quam de Deo habetur exiſtimationę. Nihil enim abſurdi, & quòd non cohæreat, conſideratur ex iis quæ ſunt in diuina natura: neceſſe eſt omnino fateri tantam eſſe vim Verbi, quantum eſt etiam propoſitum, ne quædam mixtio & concurſus quidam contrariorum cõſideretur in eo quod eſt ſimplex, dum potentia & impotentia conſiderantur in eodem propoſito, ſi quidem aliquid quidem poſſit, ad aliquid verò ſit impotens. Cùm omnia autem poſſit Verbi electio, eam ad nihil mali habere

A σεως τῷ μεγαλείῳ τοῦ θεωρουμένου πᾶν τὸ
περὶ αὐτὴν λεγόμενον συνεπαίρεται. οὐκοῦν κἂν λόγος Θεοῦ λέγηται, οὐκ ἐν τῇ ὁρμῇ
τοῦ φθεγγομένου καὶ τὴν ὑπόστασιν ἔχειν νομισθήσεται, καθ' ὁμοιότητα τοῦ ἡμετέρου μεταχωρῶν εἰς ἀνύπαρκτον. ἀλλ' ὥσπερ ἡ ἡμετέρα
φύσις ἐπίκηρος οὖσα καὶ ἐπίκηρον τὸν λόγον ἔχει· οὕτως ἡ ἄφθαρτος καὶ ἀεὶ ἑστῶσα φύσις, ἀΐδιον ἔχει καὶ ὑφεστῶτα τὸν λόγον. εἰ δὲ τοῦτο κατὰ
τὸ ἀκόλουθον ὁμολογηθείη τὸ ὑφεστάναι τὸν τοῦ Θεοῦ
λόγον ἀϊδίως, ἀνάγκη πᾶσα ἐν ζωῇ τοῦ λόγου
B τὴν ὑπόστασιν εἶναι ὁμολογεῖν. οὐ γὰρ καθ' ὁμοιότητα τῶν λίθων ἀψύχως ὑφεστάναι τὸν λόγον, εὐαγές ἐστιν οἴεσθαι. ἀλλ' εἰ ὑφέστηκε νοερόν τι
χρῆμα καὶ ἀσώματον ὄν, ζῇ πάντως. εἰ δὲ τοῦ
ζῆν κεχώρισται, οὐδὲ ἐν ὑποστάσει πάντως
ἐστίν. ἀλλὰ μὴν ἀσεβὲς ἀπεδείχθη τὸ τὸν τοῦ Θεοῦ
λόγον ἀνυπόστατον εἶναι. οὐκοῦν συναπεδείχθη
κατὰ τὸ ἀκόλουθον τὸ ἐν τῇ ζωῇ τοῦτον θεωρεῖσθαι
τὸν λόγον. ἁπλῆς δὲ τῆς τοῦ λόγου φύσεως κατὰ τὸ
εἰκὸς εἶναι πεπιστευμένης, καὶ οὐδεμίαν διπλόην
καὶ σύνθεσιν ἐν ἑαυτῇ δεικνυούσης, οὐκέτι ἂν
C τις κατὰ μετουσίαν ζωῆς ἐν ζωῇ θεωροίη τὸν λόγον. οὐ γὰρ ἂν ἐκτὸς εἴη συνθέσεως ἡ τοιαύτη
ὑπόληψις, τὸ ἕτερον ἐν ἑτέρῳ λέγειν εἶναι· ἀλλὰ ἀνάγκη πᾶσα τῆς ἁπλότητος ὁμολογουμένης, αὐτοζωὴν εἶναι τὸν λόγον οἴεσθαι, οὐ ζωῆς
μετουσίαν. Εἰ οὖν ζῇ ὁ λόγος, ὁ ζωὴ ὤν, καὶ
προαιρετικὴν δύναμιν ἔχει πάντως. οὐδὲν γὰρ
ἀπροαίρετον τῶν ζώντων ἐστί. τὴν δὲ προαίρεσιν ταύτην καὶ δυνατὴν εἶναι κατὰ τὸ ἀκόλουθον, εὐσεβές ἐστι λογίζεσθαι. Εἰ γὰρ μή
D τις τὸ δυνατὸν ὁμολογοίη, τὸ ἀδύνατον πάντως κατασκευάσει. ἀλλὰ μὴν πόρρω τῆς περὶ τὸ θεῖον ὑπολήψεως ἐστὶ τὸ ἀδύνατον. οὐδὲ γὰρ ἀπεμφαῖνον τῶν περὶ τὴν θείαν
θεωρεῖται φύσιν· ἀνάγκη πᾶσα τοσαύτην εἶναι ὁμολογεῖν τοῦ λόγου τὴν δύναμιν, ὅση
ἐστὶ καὶ ἡ πρόθεσις, ἵνα μή τις μίξις τῶν ἐναντίων καὶ συνδρομὴ περὶ τὸ ἁπλοῦν θεωροῖτο. ἀδυναμίας τε καὶ δυνάμεως ἐν τῇ
αὐτῇ προθέσει θεωρουμένων, εἴπερ τὸ μέν τι
δύναιτο, πρὸς δέ τι ἀδυνάτως. πάντα δὲ δυναμένην τὴν τοῦ λόγου προαίρεσιν πρὸς οὐδὲν τῶν

κακίαν τινὰ ῥοπὴν ἔχει· ἀλλοτρία γὰρ τῆς θείας φύσεως ἡ πρὸς κακίαν ὁρμή, ἀλλὰ πᾶν ὅπερ ἐστὶν ἀγαθόν, τοῦτο καὶ βούλεσθαι. βουλόμενον δὲ πάντως καὶ δύνασθαι. δυνάμενον δὲ μὴ ἀνενέργητον εἶναι, ἀλλὰ πᾶσαν ἀγαθοῦ προαίρεσιν, εἰς ἐνέργειαν ἄγειν. ἀγαθὸν δὲ ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ πάντα σοφῶς τε καὶ τεχνικῶς θεωρούμενα. ἄρα τοῦ λόγου ἔργα τὰ πάντα τοῦ ζῶντος μὲν καὶ ὑφεστῶτος, ὅτι Θεοῦ λόγος ἐστί, προαιρουμένου δὲ ὅτι ζῇ· δυναμένου δὲ πάντα ὅπερ ἂν ἕληται, αἱρουμένου δὲ τὸ ἀγαθόν τε καὶ σοφὸν πάντως, καὶ εἴ τι τῆς κρείττονος σημασίας ἐστίν. ἐπεὶ οὖν ἀγαθόν τι ὁ κόσμος ὁμολογεῖται, ἀποδέδεικται δὲ διὰ τῶν εἰρημένων τοῦ λόγου ἔργον τὸν κόσμον εἶναι, τοῦ τὸ ἀγαθὸν καὶ αἱρουμένου, καὶ δυναμένου· ὁ δὲ λόγος οὗτος ἕτερος ἐστὶ παρὰ τὸν οὗ ἐστι λόγος. ἔστιν γάρ πως τῶν πρός τι λεγομένων καὶ τοῦτο ἐστίν. ἐπειδὴ χρὴ πάντως τῷ λόγῳ καὶ τὸν πατέρα τοῦ λόγου συνυπακούεσθαι. οὐ γὰρ ἂν εἴη λόγος, μὴ τινὸς ὢν λόγος. εἰ οὖν διακρίνει τῷ σχετικῷ τῆς σημασίας ἡ τῶν ἀκουόντων διάνοια, αὐτόν τε τὸν λόγον, καὶ τὸν ὅθεν ἐστίν, οὐκέτ' ἂν ἡμῖν κινδυνεύει τὸ μυστήριον τοῖς Ἑλληνικοῖς μαχόμενον ὑπολήψεσι, τοῖς τῶν Ἰουδαίων πρεσβεύουσι συνενεχθῆναι· ἀλλ' ὁμοίως ἑκατέρων τὴν ἀτοπίαν ἐκφεύξεται, τόν τε ζῶντα τοῦ Θεοῦ λόγον, καὶ ἐνεργὸν καὶ ποιητικὸν ὁμολογοῦν, ὅπερ ὁ Ἰουδαῖος οὐ δέχεται· καὶ τὸ μὴ διαφέρειν κατὰ τὴν φύσιν αὐτόν τε τὸν λόγον, καὶ τὸν ὅθεν ἐστίν. ὥσπερ γὰρ ἐκ τοῦ νοῦ ἐφ' ἡμῶν φαμὲν εἶναι τὸν λόγον, οὔτε δι' ὅλου τὸν αὐτὸν εἶναι τῷ νῷ, οὔτε παντάπασιν ἕτερον. τὸ μὲν γὰρ ἐξ ἐκείνου εἶναι, ἄλλο τι καὶ οὐκ ἐκεῖνο ἐστί. τὸ δὲ αὐτὸν τὸν νοῦν εἰς τὸ ἐμφανὲς ἄγειν, οὐκέτ' ἂν ἕτερον παρ' ἐκεῖνο ὑπονοοῖτο, ἀλλὰ κατὰ τὴν φύσιν ἓν ὄν, ἕτερον τῷ ὑποκειμένῳ ἐστίν. οὕτως καὶ ὁ τοῦ Θεοῦ λόγος, τῷ μὲν ὑφεστάναι καθ' ἑαυτὸν διῄρηται, πρὸς ἐκεῖνον παρ' οὗ τὴν ὑπόστασιν ἔχει, τῷ δὲ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἃ περὶ τὸν Θεὸν καθορᾶται, ὁ αὐτός ἐστι κατὰ τὴν φύσιν ἐκείνῳ τῷ διὰ τῶν αὐτῶν γνωρισμάτων εὑρισκομένῳ. εἴτε γὰρ ἀγαθότης, εἴτε δύναμις, εἴτε σοφία, εἴτε τὸ ἀϊδίως εἶναι, εἴτε τὸ κακίας καὶ θανάτου καὶ φθο-

A propenſionem : ad vitium enim propenſio eſt aliena à diuina natura, ſed quicquid eſt boni hoc etiam velle. Volentem autem omnino etiam poſſe. Volentem autem non eſſe eiuſmodi, vt non operetur, ſed omne boni propoſitum deducere ad operationem. Bonum autem eſt mundus, & quæ in eo ſunt omnia ſapienter & artificioſè conſiderata: Sunt enim omnia opera Verbi viuentis quidem & conſiſtentis, quia eſt Verbum Dei, liberè autem eligentis, quia viuit, potentis autem quicquid elegerit, quòd bonum eſt autem & ſapiens omnino eligentis, & ſi quid præ-

B ſtantioris eſt ſignificationis. Quoniam ergo aliquod bonum conſtat eſſe mundum, oſtenſum eſt autem per ea quæ dicta ſunt, mundum eſſe opus Verbi, quod bonum, & eligit, & poteſt, hoc autem Verbum eſt aliud ab eo cuius eſt Verbum. Nam hoc quoque eſt aliquo modo ex iis quæ dicuntur relata ad aliquid, quandoquidem oportet omnino cum Verbo etiam Verbi patrem ſubaudiri. Non eſſet enim Verbum, ſi non eſſet Verbum alicuius. Si ergo per ſignificationis habitudinem & relationem

C diſcernit auditorum cogitatio; & ipſum Verbum, & id ex quo exiſtit, nihil eſt nobis vtique periculi, ne Verbi myſterium, cum Græcorum pugnans opinionibus, conueniat cum iis qui fauent partibus Iudæorum: ſed ex æquo effugiet vtrorumqum abſurditatem, vt qui & viuens Verbum Dei fateatur, operanſque & efficiens, quod non admittit Iudæus: & non differre ſecundum naturam ipſum Verbum, & id ex quo exiſtit. Quomodo enim in nobis verbum ſeu rationem ex mente eſſe dicimus: neque omnino ipſum idem eſſe quòd mentem, nec omnino alterum. Nam ex

D illo quidem eſſe, eſt aliquid aliud, & non illud Quod autem ipſam mentem in apertum proferat, non vtique exiſtimari poſſit eſſe aliud ab illo, ſed cùm ſit vnum natura, ſubiecto eſt aliud. Ita etiam Dei Verbum, eo quidem quòd per ſe conſiſtit, diſtinctum eſt ac diuiſum ab illo ex quo habet quòd conſiſtit, eo autem quod in ſeipſo illa oſtendit quæ cernuntur in Deo, idem eſt ſecundum naturam quod ille qui inuenitur per eadem ſigna & iudicia quibus cognoſcitur. Siue enim bonitas, ſiue potentia, ſiue ſapientia, ſiue eſſe ſempiternum, ſiue in eum non cadere vitium, mortem

& interitum, ſiue eſſe omnino perfectum, ſiue quid aliud eiuſmodi ſit ſignum quo comprehenditur pater, per eadem ſigna inuenies Verbum quoque quod ex illo conſiſtit.

CAPVT II.

Ad Spiritus ſancti notionem quomodo ſit deducendus qui catechizatur.

QVOMODO autem ex iis quæ ſunt in nobis, analogicè Verbũ cognouimus in ſuprema natura, eodem modo etiam adducemur ad notionem Spiritus, ineffabilis potentiæ vmbras quaſdam & ſimulachra in noſtra contemplantes natura. Sed in nobis quidem Spiritus, eſt aëris attractio, rei alienæ, quę neceſſario attrahitur & profunditur ad conſtitutionem corporis, quæ quidem dum verbum emittitur, fit vox, in ſeipſa declarãs vim verbi. In diuina autem natura, eſſe quidem Dei Spiritum, pium eſt exiſtimatum, quomodo datum eſt eſſe etiam Dei Verbum, propterea quòd nõ oporteat Dei Verbum deterius eſſe, & magis deficere quàm noſtrum verbum, ſiquidem cùm hoc cõſideretur cum Spiritu, credatur illud eſſe ſine Spiritu. Neque tamen ad noſtri Spiritus ſimilitudinem extrinſecus ad Deum affluere, & in eo fieri Spiritum, id Deo conuenire exiſtimandũ. Sed quomodo cũ Dei Verbum audiuiſſemus, non rem eſſe aliquã quæ non conſiſtat, Verbum putauimus: neq; quod inſit ex diſciplina, neque quod voce proferatur, neq; quod cùm fuerit prolatum diſſoluatur, neque aliquo alio modo ita affici, quo cernitur affici noſter ſermo: ſed conſiſtere, vt ita dicam, eſſentialiter, vimque habere eligendi, eſſéq; operans & omnipotens. Ita etiam cùm Dei Spiritũ didicerimus, qui Verbum conſequitur, & eius declarat operationẽ, non intelligimus flatum anhelitus. Deprimeretur enim & ad nimiam demitteretur humilitatem magnitudo diuinæ potentiæ, ſi qui in eo eſt Spiritus, exiſtimaretur eſſe inſtar noſtri: ſed eſſentialem potentiam, quæ ipſa in ſeipſa conſideratur in propria hypoſtaſi ac cõſiſtentia, neque poteſt ſeparari à Deo in quo eſt, aut à Verbo Dei quod cõſequitur: neque ad hoc vt non ſit, effunditur, ſed ad Dei Verbi ſimilitudinem, eſt in hypoſtaſi eligendi vi prædita, per ſe mobili, operante, & ſemper bonum eligente, & ad omne propoſitum cum volũtate concurrentem habente potentiam.

A ρᾶς, ἀνεπίδεκτον, εἴτε τὸ ἐν παντὶ τέλειον, εἴτε τι τοιοῦτον ὅλως σημεῖον ποιοῖτο τῆς τοῦ πατρὸς καταλήψεως, διὰ τῶν αὐτῶν εὑρήσεις σημείων καὶ τὸν ἐξ ἐκείνου ὑφεστῶτα λόγον.

ΚΕΦΑΛΑΙΟΝ β'.

ΩΣΠΕΡ δὲ τὸν λόγον ἐκ τῶν καθ' ἡμᾶς ἀναλογικῶς ἐπὶ τῆς ὑπερκειμένης ἔγνωμεν φύσεως, κατὰ τὸν αὐτὸν τρόπον, καὶ τῇ περὶ τοῦ πνεύματος ἐννοίᾳ προσαχθησόμεθα, σκιάς τινας καὶ μιμήματα τῆς ἀφράστου δυνάμεως ἐν τῇ καθ' ἡμᾶς θεωροῦντες φύσει. ἀλλ' ἐφ' ἡμῶν μὲν τὸ πνεῦμα, ἡ τοῦ ἀέρος ἐστὶν ὁλκή, ἀλλοτρίου πράγματος, πρὸς τὴν τοῦ σώματος σύ- B στασιν, ἀναγκαίως εἰσελκομένου τε καὶ προχεομένου, ὅπερ ἐν τῷ καιρῷ τῆς ἐκφωνήσεως τοῦ λόγου, φωνὴ γίνεται, τὴν τοῦ λόγου δύναμιν ἐν ἑαυτῇ φανεροῦσα. ἐπὶ δὲ τῆς θείας φύσεως τὸ μὲν εἶναι πνεῦμα Θεοῦ, εὐσεβὲς ἐνομίσθη, καθὼς ἐδόθη καὶ λόγον εἶναι Θεοῦ, διὰ τὸ μὴ δεῖν ἐλλειπέστερον τοῦ ἡμετέρου λόγου τὸν τοῦ Θεοῦ εἶναι λόγον· εἰ γὰρ τούτου μετὰ τοῦ πνεύματος θεωρουμένου, ἐκεῖνος δίχα πνεύματος εἶναι πιστεύοιτο. οὐ μὴν ἀλλότριον καθ' ὁμοιότητα τοῦ ἡμετέρου πνεύματος ἔξωθεν ἐπεισρεῖν τῷ Θεῷ, καὶ ἐν αὐτῷ γίνεσθαι τὸ πνεῦμα θεοπρεπές ἐστιν οἴεσθαι. ἀλλ' ὡς Θεοῦ λόγον ἀ- C κούσαντες, οὐκ ἀνυπόστατόν τι πρᾶγμα τὸν λόγον ᾠήθημεν, οὐδὲ ἐκ μαθήσεως ἐγγινόμενον, οὐδὲ διὰ φωνῆς προφερόμενον, οὐδὲ μετὰ τὸ προενεχθῆναι διαλυόμενον, οὐδὲ ἄλλο τι πάσχοντα τοιοῦτον, οἷα περὶ τὸν ἡμέτερον λόγον θεωρεῖται πάθη. ἀλλ' οὐσιωδῶς ὑφεστῶτα, προαιρετικόν τι καὶ ἐνεργὸν καὶ παντοδύναμον. οὕτω καὶ πνεῦμα μεμαθηκότες Θεοῦ, τὸ συμπαρομαρτοῦν τῷ λόγῳ, καὶ φανεροῦν αὐτοῦ τὴν ἐνέργειαν, οὐ πνοὴν ἄσθματος ἐννοοῦμεν. ἢ γὰρ ἂν καθῃρεῖτο πρὸς D ταπεινότητα τὸ μεγαλεῖον τῆς θείας δυνάμεως, εἰ καθ' ὁμοιότητα τοῦ ἡμετέρου, καὶ τὸ ἐν αὐτῷ πνεῦμα ὑπενοεῖτο· ἀλλὰ δύναμιν οὐσιώδη αὐτὴν ἐφ' ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην, οὔτε χωρισθῆναι τοῦ Θεοῦ ἐν ᾧ ἐστιν, ἢ τοῦ λόγου τοῦ Θεοῦ ᾧ παρομαρτεῖ δυναμένην· οὔτε πρὸς τὸ ἀνύπαρκτον ἀναχεομένην, ἀλλὰ καθ' ὁμοιότητα τοῦ Θεοῦ λόγου καθ' ὑπόστασιν οὖσαν προαιρετικήν, αὐτοκίνητον, ἐνεργόν, πάντοτε τὸ ἀγαθὸν αἱρουμένην, καὶ πρὸς πᾶσαν πρόθεσιν σύνδρομον ἔχουσα τῇ βουλήσει τὴν δύναμιν.

ΚΕΦ. γ'.

A

ΚΕΦΑΛΑΙΟΝ γ'.

Ὥστε τὸν ἀκριβῶς τὰ βάθη τοῦ μυστηρίου διασκοπούμενον, ἐν μὲν τῇ ψυχῇ κατὰ τὸ ἀπόρρητον μετρίαν τινὰ κατανόησιν τῆς κατὰ τὴν θεογνωσίαν διδασκαλίας λαβεῖν, μὴ μέντοι δύνασθαι λόγῳ διασαφῆσαι τὴν ἀνέκφραστον ταύτην τοῦ μυστηρίου βαθύτητα· πῶς τὸ αὐτὸ καὶ ἀριθμητόν ἐστι, καὶ διαφεύγει τὴν ἐξαρίθμησιν, καὶ διῃρημένως ὁρᾶται, καὶ ἐν μονάδι καταλαμβάνεται, καὶ διακέκριται τῇ ὑποστάσει, καὶ οὐ μεμέρισται τῷ ὑποκειμένῳ, καὶ ἄλλο πάλιν ἐκεῖνο, οὗ καὶ ὁ λόγος ἐστὶ καὶ τὸ πνεῦμα. ἀλλ' ἐπειδὰν τὸ διακεκριμένον ἐν τούτοις κατανοήσῃς, πάλιν ἡ τῆς φύσεως ἑνότης τὸν διαμερισμὸν οὐ προσίεται· ὥστε μήτε τὸ τῆς μοναρχίας σχίζεσθαι κράτος εἰς θεότητας διαφόρους κατατεμνόμενον, μήτε τῷ Ἰουδαϊκῷ δόγματι συμβαίνειν τὸν λόγον. ἀλλὰ διὰ μέσου τῶν δύο ὑπολήψεων χωρεῖν τὴν ἀλήθειαν, ἑκατέραν τε τῶν αἱρέσεων καθαιροῦσαν, καὶ ἀφ' ἑκατέρας παραδεχομένην τὸ χρήσιμον. τοῦ μὲν γὰρ Ἰουδαίου καθαιρεῖται τὸ δόγμα, τῇ τε τοῦ λόγου παραδοχῇ καὶ τῇ πίστει τοῦ πνεύματος, τῶν δὲ Ἑλληνιζόντων ἡ πολύθεος ἐξαφανίζεται πλάνη, τῆς κατὰ φύσιν ἑνότητος παραγραφομένης τὴν πληθυντικὴν φαντασίαν. πάλιν δὲ αὖ ἐκ τῆς Ἰουδαϊκῆς ὑπολήψεως ἡ τῆς φύσεως ἑνότης παραμενέτω· ἐκ δὲ τοῦ Ἑλληνισμοῦ, ἡ κατὰ τὰς ὑποστάσεις διάκρισις μόνη, θεραπευθείσης ἑκατέρωθεν καταλλήλως τῆς ἀσεβοῦς ὑπονοίας. ἔστι γὰρ ὥσπερ τις θεραπεία, τῶν μὲν περὶ τὸ ἓν πλανωμένων ὁ ἀριθμὸς τῆς τριάδος· τῶν δὲ εἰς πλῆθος ἐσκεδασμένων, ὁ τῆς ἑνότητος λόγος.

ΚΕΦΑΛΑΙΟΝ δ'.

D

Εἰ δὲ ἀντιλέγοι τούτοις ὁ Ἰουδαῖος, οὐκέτ' ἂν ἡμῖν ἐκ τοῦ ἰδίου δύσκολος ὁ πρὸς ἐκεῖνον γενήσεται λόγος. ἐκ γὰρ τῶν συντεθραμμένων αὐτῷ διδαγμάτων ἡ τῆς ἀληθείας ἔσται φανέρωσις. τὸ γὰρ εἶναι λόγον Θεοῦ, καὶ πνεῦμα Θεοῦ, οὐσιωδῶς ὑφεστώσας δυνάμεις, ποιητικάς τε τῶν γεγενημένων, καὶ περιεκτικὰς τῶν ὄντων, ἐκ τῶν θεοπνεύστων γραφῶν ἐναργέστερον δείκνυται. ἀρκεῖ δὲ μιᾶς μαρτυρίας ἐπιμνησθέντας, τοῖς φιλοπονωτέροις καταλιπεῖν τὴν τῶν πλειόνων εὕρεσιν.

CAPVT III.

Qui itaque diligenter & accuratè conſiderat myſterij profunditatem, in anima quidem arcana quadam ratione mediocrem accipit intelligentiam doctrinæ Dei cognitionis, oratione tamen non poteſt ineffabilem aperire profunditatem myſterij: nempe quomodo idem & cadat ſub numerum, & non cadat, & diuiſum cernatur, & comprehendatur in vnitate, diſtinctúmque ſit ac diſcretum conſiſtentia, & hy- B poſtaſi, & ſubiecto non ſit diuiſum, & rurſus aliud ſit, cuius eſt Verbum & Spiritus. Sed poſteaquam diſcrimen in his intellexeris, naturæ rurſus vnitas non admittit diuiſionẽ: adeò vt neque monarchiæ dominatus ſcindatur in diuerſas diſſectus vnitates, neque congruat id quòd dicitur cum dogmate Iudaico. Sed per medium duarum opinionum procedat veritas, & vtramque tollens hæreſim, & ab vtraq. accipiens id quod eſt vſui. Nam Iudæi quidem dogma tollit, & Verbum admittendo, & credendo Spiritum: eorũ autem qui ſtant C à Græcis aboletur error multorũ Deorum, ea quæ eſt ſecundum naturam vnitate circumſcribente & arcente multorum phantaſiam. Rurſus autem ex Iudaica opinione maneat naturæ vnitas: ex eo autem quod Græci opinantur, ſola diſcretio in hypoſtaſibus, impiæ opinioni vtrinque congruo adhibito remedio. Eſt enim veluti quædam medicina, eorum quidem qui in vno aberrant, numerus Trinitatis: eorum autem qui ſunt diſperſi in multitudinem, ratio vnitatis.

Deus cadit ſub numerũ nempe Trinitatis, & eſt vnus.

CAPVT IV.

Sin autem aduerſus hæc contradicat Iudæus, non vtique ex eius propriis difficilis erit nobis aduerſus illum diſceptatio. Ex iis enim documentis in quibus eſt educatus, veritatis erit declaratio. Eſſe enim Verbum Dei, & Spiritum, Dei poteſtates, quæ conſiſtunt eſſentialiter, & ſunt efficientes eorum quæ facta ſunt, & ea quæ ſunt, continent, ex diuinitùs inſpiratis ſcripturis euidenter oſtenditur. Sufficit autem, cùm meminerimus vnius teſtimonij, plura inuenienda relinquere ſtudioſis.

Verbum & Spiritus ſan[c]tus quo modo probentur ex ſcripturis. Pſal. 32.

SS

Verbo Domini, inquit, cœli firmati ſunt, & Spiritu oris eius omnis virtus eorum. Quo Verbo, & quo Spiritu? Neque enim dictio eſt Verbum: neque Spiritus anhelitus. Si enim ad noſtræ naturæ ſimilitudinem Deus quoque homo fieret, eiuſmodi quoque verbo & ſpiritu vti vniuerſitatis opificem ſtatuerent. Quænam autem tanta virtus proficiſcitur à verbis, & à ſpiritu, vt ſufficiat ad cœlum conſtituendum, & quæ in eo ſunt virtutes? Si enim noſtræ dictioni Dei Verbum eſt ſimile, & Spiritus ſpiritui, ſimilis eſt omnino virtus ex ſimilibus: & quantas noſtrum, tantas vires habet Dei Verbum. Atqui & operatione ſunt carentes & minimè conſiſtentes, qui cum verbis tranſeunt ſpiritus. Quo fit vt non agentes, & non conſiſtentes illos omnino conſtituant, qui ad noſtri verbi ſimilitudinem Dei Verbum deducunt. Sin autem, vt dicit Dauid, Verbo Dei firmati ſunt cœli, & eorum virtutes conſiſtunt in Dei ſpiritu: conſtat ergo myrium veritatis, quod dictat eſſe dicendum Verbum in eſſentia, & Spiritum in hypoſtaſi.

A τῷ λόγῳ τοῦ κυρίου, φησὶν, οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. ποίῳ λόγῳ καὶ ποίῳ πνεύματι; οὔτε γὰρ ῥῆμα ὁ λόγος, οὔτε ἆσθμα τὸ πνεῦμα. ἢ γὰρ ἂν καθ' ὁμοιότητα τῆς ἡμετέρας φύσεως καὶ τὸ θεῖον ἐξανθρωπίζοιτο, καὶ τοιούτῳ κεχρῆσθαι λόγῳ καὶ τοιούτῳ πνεύματι, τὸν τοῦ παντὸς ποιητὴν δογματίζοιεν. τίς δ' οἴεται δύναμις ἀπὸ ῥήματος καὶ ἄσθματος τηλικαύτη, ὡς ἐξαρκεῖν πρὸς οὐρανοῦ σύστασιν καὶ τῶν ἐν τούτοις δυνάμεων; εἰ γὰρ ὅμοιος τῷ ἡμετέρῳ ῥή- B ματι καὶ ὁ τοῦ Θεοῦ λόγος, καὶ τὸ πνεῦμα τῷ πνεύματι, ὁμοία πάντως ἐκ τῶν ὁμοίων ἡ δύναμις· καὶ ὅσην ὁ ἡμέτερος, τοσαύτην καὶ ὁ τοῦ Θεοῦ λόγος τὴν ἰσχὺν ἔχει. ἀλλὰ μὴν ἀνενέργητά τε καὶ ἀνυπόστατα, τὰ τοῖς ῥήμασι συνδιεξερχόμενα πνεύματα. ἄπρακτα πάντως καὶ ἀνυπόστατα κἀκεῖνα κατασκευάζουσιν, οἱ πρὸς τὴν ὁμοιότητα τοῦ παρ' ἡμῖν λόγου τὸ θεῖον κατάγοντες. εἰ δὲ, καθὼς λέγει Δαβὶδ, ἐστερεώθησαν τῷ λόγῳ τοῦ κυρίου οἱ οὐρανοὶ, καὶ αἱ δυνάμεις αὐτῶν ἐν τῷ πνεύματι τοῦ Θεοῦ τὴν σύστασιν ἔχουσιν, ἄρα συνέστηκε τὸ τῆς C ἀληθείας μυστήριον, λόγον ἐν οὐσίᾳ, καὶ πνεῦμα ἐν ὑποστάσει λέγειν ὑφηγούμενον.

CAPVT V.

Verbũ quomodo probetur factũ eſſe hominẽ.

SED Dei quidem eſſe Verbum & Spiritum, & per communes notiones Græcus, & per ſcripturas Iudæus fortaſſe non contradicet, at Dei Verbi hominis facti diſpenſationem, vterque eorum ex æquo reprobabit, vt quæ ſit minimè probabilis, & quam de Deo dicere minimè conueniat. Ex alio ergo principio adducemus eos qui contradicunt, vt hoc credant, nempe. Credántne verbo & ſapientia omnia eſſe facta ab eo qui condidit vniuerſitatem? an huius quoque exiſtimationis fidem difficiliter admittant? Sed ſi non dederint verbum ſeu rationem, & ſapientiam non fuiſſe ducem rerum creationis, ſtatuent rationis & artis egeſtatem fuiſſe in principio vniuerſitatis. Sin autem hoc conſtat eſſe planè abſurdum & impium, Verbum & ſapientiam rerum fatebuntur eſſe ducem. Atqui in iis quæ prius dicta ſunt, oſtenſum eſt, Dei Verbum non eſſe ipſam dictionem, aut ex ſcientia aliqua aut ſapientia proficiſcentem: ſed quan-

ΚΕΦΑΛΑΙΟΝ ε'.

ΑΛΛΑ τὸ μὲν εἶναι λόγον Θεοῦ καὶ πνεῦμα, διά τε τῶν κοινῶν ἐννοιῶν ὁ Ἕλλην, καὶ διὰ τῶν γραφικῶν ὁ Ἰουδαῖος, ἴσως οὐκ ἀντιλέξει, τὴν δὲ κατὰ τὸν ἄνθρωπον οἰκονομίαν τοῦ Θεοῦ λόγου, κατὰ τὸ ἴσον ἑκάτερος αὐτῶν ἀποδοκιμάσει, ὡς ἀπίθανόν τι καὶ ἀπρεπῆ περὶ Θεοῦ λέγεσθαι. D οὐκοῦν ἐξ ἑτέρας ἀρχῆς, καὶ εἰς τὴν περὶ τούτου πίστιν τοὺς ἀντιλέγοντας προσαξόμεθα. λόγῳ τὰ πάντα γεγενῆσθαι, καὶ σοφίᾳ παρὰ τοῦ τὸ πᾶν συστησαμένου πιστεύουσιν, ἢ καὶ πρὸς ταύτην δυσπειθῶς ἔχουσι τὴν ὑπόληψιν; ἀλλ' εἰ μὲν οὐδὲν λόγον καθηγεῖσθαι καὶ σοφίαν τῆς τῶν ὄντων συστάσεως, ἀλογίαν ἔτι καὶ ἀτεχνίαν τῇ ἀρχῇ τοῦ παντὸς ἐπιστήσουσιν. εἰ δὲ τοῦτο ἄτοπόν τι καὶ ἀσεβὲς, ὁμολογεῖται πάντως, ὅτι λόγον τε καὶ σοφίαν ἡγεμονεύειν τῶν ὄντων ὁμολογήσουσιν. ἀλλὰ μὴν ἐν τοῖς φθάσασιν ἀποδέδεικται, μὴ αὐτὸ τοῦτο ῥῆμα ὢν ὁ τοῦ Θεοῦ λόγος, ἢ ἐξ ἐπιστήμης τινὸς ἢ σοφίας· ἀλλὰ

κατ' οὐσίαν τις ὑφεστῶσα δύναμις, προαιρετική τε παντὸς ἀγαθοῦ, καὶ ἐν ἰσχύϊ πᾶν τὸ κατὰ προαίρεσιν ἔχουσα. ἀγαθοῦ δὲ ὄντος τοῦ κόσμου, τὴν τῶν ἀγαθῶν ὀρεκτικήν τε καὶ ποιητικὴν δύναμιν αἰτίαν εἶναι. εἰ δὲ τοῦ κόσμου παντὸς ἡ ὑπόστασις τῆς τοῦ λόγου δυνάμεως ἐξῆπται, καθὼς ἡ ἀκολουθία παρέδειξεν· ἀνάγκη πᾶσα καὶ τῶν τοῦ κόσμου μερῶν μὴ ἄλλην ἐπινοεῖν αἰτίαν τινὰ τῆς συστάσεως, ἀλλ' ἢ τὸν λόγον αὐτόν, δι' οὗ τὰ πάντα τὴν εἰς τὸ γενέσθαι πάροδον ἔσχε. τοῦτο δὲ εἴτε λόγον, εἴτε σοφίαν, εἴτε δύναμιν, εἴτε Θεόν, εἴτε ἄλλο τι τῶν ὑψηλῶν τε καὶ τιμίων ὀνομάζειν τις ἐθέλοι, οὐ διοισόμεθα. ὅτι γὰρ ἂν εὑρεθῇ δεικτικὸν τοῦ ὑποκειμένου ῥῆμα ἢ ὄνομα, ἕν ἐστι τὸ διὰ τῶν φωνῶν σημαινόμενον, ἡ ἀΐδιος τοῦ Θεοῦ δύναμις, ἡ ποιητικὴ τῶν ὄντων, ἡ εὑρετικὴ τῶν μὴ ὄντων, ἡ συνεκτικὴ τῶν γεγονότων, ἡ προορατικὴ τῶν μελλόντων. οὗτος τοίνυν ὁ Θεός, ὁ λόγος, ἡ σοφία, ἡ δύναμις, ἀπεδείχθη κατὰ τὸ ἀκόλουθον τῆς ἀνθρωπίνης φύσεως ποιητής, οὐκ ἀνάγκῃ τινὶ πρὸς τὴν τοῦ ἀνθρώπου κατασκευὴν ἐναχθείς, ἀλλ' ἀγάπης περιουσίᾳ τοῦ τοιούτου ζῴου δημιουργήσας τὴν γένεσιν. ἔδει γὰρ μήτε τὸ φῶς ἀθέατον, μήτε τὴν δόξαν ἀμάρτυρον, μήτε ἀναπόλαυστον αὐτοῦ εἶναι τὴν ἀγαθότητα, μήτε τὰ ἄλλα πάντα ὅσα περὶ τὴν θείαν καθορᾶται φύσιν, ἀργὰ κεῖσθαι, μὴ ὄντος τοῦ μετέχοντός τε καὶ ἀπολαύοντος. εἰ τοίνυν ἐπὶ τούτοις ὁ ἄνθρωπος εἰς γένεσιν ἔρχεται, ἐφ' ᾧ τε μέτοχος τῶν θείων ἀγαθῶν γενέσθαι, ἀναγκαίως τοιοῦτος κατασκευάζεται, ὡς ἐπιτηδείως πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν ἔχειν. καθάπερ γὰρ ὁ ὀφθαλμὸς διὰ τῆς ἐγκειμένης αὐτῷ φυσικῶς αὐγῆς ἐν κοινωνίᾳ τοῦ φωτὸς γίνεται, διὰ τῆς ἐμφύτου δυνάμεως τὸ συγγενὲς ἐφελκόμενος· οὕτως ἀναγκαῖον ἦν ἐγκραθῆναί τι τῇ ἀνθρωπίνῃ φύσει συγγενὲς πρὸς τὸ θεῖον, ὡς ἂν διὰ τοῦ καταλλήλου πρὸς τὸ οἰκεῖον τὴν ἔφεσιν ἔχοι. καὶ γὰρ καὶ ἐν τῇ τῶν ἀλόγων φύσει, ὅσα τὸν ἔνυδρον καὶ ἐναέριον ἔλαχε βίον, καταλλήλως ἕκαστον τῷ τῆς ζωῆς εἴδει κατεσκευάσθη, ὡς οἰκεῖον ἑκατέρου καὶ ὁμόφυλον, διὰ τῆς ποιᾶς τοῦ σώματος διαπλάσεως, τῷ μὲν τὸν ἀέρα, τῷ δὲ τὸ ὕδωρ εἶναι· οὕτως ἔδει καὶ τὸν ἄνθρωπον

A dam quæ per eſſentiã cõſiſtit virtutem, quæ & omne bonum eligit, & in poteſtate ſua ſitum habet quicquid elegerit. Cùm autem bonus ſit mundus, eius illam, quæ eſt bonorum appetens & efficiens vim eſſe cauſam. Si autem, quòd mundus conſiſtat vniuerſus, id pendet à virtute Verbi, vt oſtendit conſequentia: omnino neceſſe eſt vt mundi quoq. partium creationis non aliam exiſtimemus eſſe cauſam, quam idem Verbum, per quod habuerunt omnia acceſſum vt fierent. Hoc autem Verbúmne an B rationem, an virtutem, an Deum, an aliquod aliud ex ſublimibus & præclaris nominibus velis nominare, minimè laborabimus. Quodcumque enim inuentum fuerit verbum aut nomẽ, quod demonſtrat ſubiectum, vnum eſt quod ſignificatur per voces, nempe ſempiterna Dei virtus, rerum effectrix, eorum quæ non erant inuentrix, quæ continet quæ facta ſunt, & præuidet futura. Hũc ergo Deum, Verbum, rationem, ſapientiam, virtutem, oſtenſum eſt ex conſequentia effectorem eſſe humanæ naturæ, non aliqua neceſſitate inductum ad C creandum hominem, ſed eximia & inſigni charitate huius animalis ortũ eſſe architectatum. Oportebat enim neque lucem eſſe nõ aſpectabilem, neque gloriam carere teſtibus, neque eò tedire eius bonitatem, vt nemo ea frueretur: neque alia omnia, quæ in diuina conſpiciuntur natura, iacere otioſa, cum non eſſet qui eorum eſſet particeps, iiſque frueretur. Si ergo homo ideo deducitur ad generationem, vt diuinorum bonorum fiat particeps: neceſſariò conditur eiuſmodi, vt ſit aptus ad eorum bonorum participationem. Quomodo D enim oculus per naturaliter inſitum ei ſplendorem lucis fit particeps, per vim ei inditam quod ſibi cognatum eſt attrahens: ita neceſſe erat, vt in humana natura aliquid immiſceretur, quod cum Deo haberet cognationem: vt propter conuenientiam teneretur deſiderio eius quod ei eſſet propinquitate ac neceſſitudine coniunctum. Nam & in natura brutorum, ea quibus obtigit vt vitam degant in aqua, & in aëre, condita ſunt vnumquodque congruenter generi vitæ ab eo degendæ, vt per certam corporis effectionem, alteri quidem proprius & cõueniens eſſet aër, alteri verò aqua: ita ergo etiam hominem

ortum ad fruendum bonis diuinis, oportebat habere aliquid in natura cognatum cum eo cuius eſſet particeps. Propterea fuit ornatus & vita, & ratione, & ſapientia, & omnibus bonis, quæ Deum decent: vt per vnumquodque eorum flagraret cupiditate eius quod eſt ſibi proprium ac coniunctum. Quoniam ergo vnum ex iis bonis quæ ſunt in diuina natura, eſt etiam æternitas, oportebat omnino noſtræ naturæ conſtructionem nec huius eſſe exortem, ſed in ſe habere immortalitatẽ: vt per vim ſibi inſitam cognoſceret id quod eſt ſupremum, & teneretur deſiderio diuinæ æternitatis. Hæc voce multa complectente, vno verbo oſtẽdit liber de mundi origine, dicens factum eſſe hominem ad Dei imaginẽ. In hac enim aſſimilatione ad imaginem, ea proríus enumerantur, quæ diuinitatis characterem exprimunt, & quæcumque de his Moſes hiſtorica narratione percurrit, (ita tamen vt ea pro dogmatis habeamus) eandem doctrinam redolent. Paradiſus enim ille fructuumque proprietas, quorum eſus non ventris ſaturitatem, ſed ſcientiam & æternitatem vitæ guſtantibus donat. Hæc omnia congruunt iis quæ ſunt prius conſiderata in homine: nempe quòd in initio noſtra eſſet bona, & in bonis natura. Sed iis quæ dicta ſunt fortè repugnabit is qui ad præſentia aſpicit, & exiſtimat ſe poſſe probare, non eſſe vera quæ dicũtur, quòd non in illis, ſed in omnibus ferè cõtrariis nunc homo cernatur. Vbi enim eſt formæ diuinæ ſimilitudo in anima? Vbi ægritudinum vacuitas in corpore? Vbi animæ æternitas? An non eſt homo breuis vitæ, patibilis, caducus, omni affectionum generi obnoxius, & in anima, & in corpore? Qui hæc dicit & quæ ſunt huiuſmodi, & naturam inſectatur, exiſtimabit ſe poſſe euertere quæ ſunt tradita de homine. Sed ne ab eo quod eſt conſequens & conſentaneũ deflectatur oratio, de his etiam paucis tractabimus. Quòd nunc vita humana ſit in iis quæ ſunt aliena & minimè conuenientia, non ſatis eſt argumenti, quòd homo nunquam fuerit in bonis. Quoniam enim homo Dei eſt opus, qui propter bonitatem hoc animal deduxit ad ortum, nemo iure eum, cuius bonitas cauſa fuit vt conderetur, illius defectionis cauſam eſſe ſuſpicabitur. Sed alia eſt

A ἐπὶ τῇ τῶν θείων ἀγαθῶν ἀπολαύσει γενόμενον, ἔδει τι συγγενὲς ἐν τῇ φύσει πρὸς τὸ μετεχόμενον ἔχειν. διὰ τοῦτο καὶ ζωῇ, καὶ λόγῳ, καὶ σοφίᾳ, καὶ πᾶσι τοῖς θεοπρεπέσιν ἀγαθοῖς κατεκοσμήθη· ὡς ἂν δι' ἑκάστου τούτων πρὸς τὸ οἰκεῖον τὴν ἐπιθυμίαν ἔχοι. ἐπεὶ οὖν ἓν τῶν περὶ τὴν θείαν φύσιν ἀγαθῶν καὶ ἡ ἀϊδιότης ἐστὶν, ἔδει πάντως μηδὲ τούτου τὴν κατασκευὴν εἶναι τῆς φύσεως ἡμῶν ἀπόκληρον, ἀλλ' ἔχειν ἐν ἑαυτῇ τὸ ἀθάνατον· ὡς ἂν διὰ τῆς ἐγκειμένης δυνάμεως, γνωρίζοιτο τὸ ὑπερκείμενον, καὶ ἐν ἐπιθυμίᾳ τῆς θείας ἀϊδιότητος εἴη. B ταῦτα τῇ περιληπτικῇ φωνῇ δι' ἑνὸς ῥήματος ὁ τῆς κοσμογονίας ἐνεδείξατο λόγος, κατ' εἰκόνα Θεοῦ τὸν ἄνθρωπον γεγενῆσθαι λέγων. ἐν γὰρ τῇ ὁμοιώσει τῇ κατὰ τὴν εἰκόνα πάντως ἐστὶ τὸ θεῖον χαρακτηριζόντων ἡ ἀπαρίθμησις, καὶ ὅσα περὶ τούτων ἱστορικώτερον ὁ Μωσῆς διέξερχεται, ἐν διηγήσεως εἴδει δόγματα ἡμῖν παρατιθέμενος, τῆς αὐτῆς ἔχεται διδασκαλίας. ὁ γὰρ παράδεισος ἐκεῖνος, καὶ ἡ τῶν καρπῶν ἰδιότης, ὧν ἡ βρῶσις οὐ γαστρὸς πλησμονὴν, ἀλλὰ γνῶσιν καὶ ἀϊδιότητα ζωῆς τοῖς γευσαμένοις δίδωσι. C πάντα ταῦτα συνῳδά ἐστι τοῖς προτεθεωρημένοις περὶ τὸν ἄνθρωπον· ὡς ἀγαθῆς τε καὶ ἐν ἀγαθοῖς οὔσης κατ' ἀρχὰς ἡμῖν τῆς φύσεως. ἀλλ' ἀντιλέγει τυχὸν τοῖς εἰρημένοις ὁ πρὸς τὰ παρόντα βλέπων, καὶ οἴεται διελέγχειν τὸν λόγον, οὐκ ἀληθεύοντα τῷ μὴ ἐν ἐκείνοις νῦν, ἀλλ' ἐν πᾶσι σχεδὸν τοῖς ὑπεναντίοις ὁρᾶσθαι τὸν ἄνθρωπον. ποῦ γὰρ τῆς ψυχῆς τὸ θεοειδές; ποῦ δὲ ἡ ἀπάθεια τοῦ σώματος; ποῦ τῆς ζωῆς τὸ ἀΐδιον; ὠκύμορον, ἐμπαθὲς, ἐπίκηρον, πρὸς πᾶσαν παθημάτων ἰδέαν κατά τε ψυχὴν καὶ σῶμα ἐπιτήδειον; D ταῦτα καὶ τὰ τοιαῦτα λέγων καὶ κατατρέχων, τῆς φύσεως ἀνατρέπειν τὸν ἀποδοθέντα περὶ τοῦ ἀνθρώπου λόγον οἰήσεται. ἀλλ' ὡς ἂν μηδαμοῦ τοῦ ἀκολούθου ὁ λόγος παρατραπείη, καὶ περὶ τούτων ἐν ὀλίγοις διαληψόμεθα. τὸ νῦν ἐν ἀτόποις εἶναι τὴν ἀνθρωπίνην ζωὴν, οὐχ ἱκανός ἐστιν ἔλεγχος, τοῦ μηδέποτε τὸν ἄνθρωπον ἐν ἀγαθοῖς γεγενῆσθαι. ἐπειδὴ γὰρ Θεοῦ ἔργον ὁ ἄνθρωπος, τοῦ δι' ἀγαθότητα τὸ ζῶον τοῦτο παραγαγόντος εἰς γένεσιν, οὐκ ἄν τις εὐλόγως οὗ ἡ αἰτία τῆς συστάσεως ἀγαθότης ἐστὶ καθυποπτεύσειεν. ἀλλ' ἕτερόν ἐστιν

ἐπιζητεῖν, τοῦ ταῦτά τε νῦν περὶ ἡμᾶς εἶναι, καὶ τῶν προτιμοτέρων ἐρημωθῆναι. ἀρχὴ δὲ πάλιν καὶ πρὸς τοῦτον ἡμῖν τὸν λόγον, οὐκ ἔξωθεν τῆς τῶν ἀντιλεγόντων ἐστὶ συγκαταθέσεως. ὁ γὰρ ἐπὶ μετουσίᾳ τῶν ἰδίων ἀγαθῶν ποιήσας τὸν ἄνθρωπον, καὶ πάντων αὐτῷ τῶν καλῶν τὰς ἀφορμὰς ἐγκατασκευάσας τῇ φύσει, ὡς ἂν δι' ἑκάστου πρὸς τὸ ὅμοιον ἡ ὄρεξις φέροιτο, οὐκ ἂν τοῦ καλλίστου καὶ τιμιωτάτου τῶν ἀγαθῶν ἀπεστέρησε, λέγω δὴ τῆς κατὰ τὸ ἀδέσποτον καὶ αὐτεξούσιον χάριτος. εἰ γάρ τις ἀνάγκη τῇ ἀνθρωπίνῃ ἐπεστάτει ζωῇ, διεψεύσθη ἂν ἡ εἰκὼν κατ' ἐκεῖνο τὸ μέρος, ἀλλοτριωθεῖσα τῇ ἀνομοιότητι πρὸς τὸ ἀρχέτυπον. τὸ γὰρ βασιλευούσης φύσεως ἡ ἀνάγκαις τισὶν ὑπεζευγμένη τε καὶ δουλεύουσα, πῶς ἂν εἰκὼν ὀνομάζοιτο; οὐκοῦν τὸ διὰ πάντων πρὸς τὸ θεῖον ὡμοιωμένον, ἔδει πάντως ἔχειν ἐν τῇ φύσει τὸ αὐτοκρατὲς καὶ ἀδέσποτον, ὥστε ἆθλον ἀρετῆς εἶναι τὴν τῶν ἀγαθῶν μετουσίαν. πόθεν οὖν ἐρεῖς ὁ διὰ πάντων τοῖς καλλίστοις τετιμημένος, τὰ χείρω τῶν ἀγαθῶν ἀντηλλάξατο; σαφὴς δὲ καὶ ὁ περὶ τούτου λόγος. οὐδεμία κακοῦ γένεσις ἐκ θείου βουλήματος τὴν ἀρχὴν ἔσχεν. ἢ γὰρ ἂν ἔξω μέμψεως ἦν ἡ κακία, Θεὸν ἑαυτῆς ἐπιγραφομένη ποιητὴν καὶ πατέρα. ἀλλ' ἐμφύεταί πως τὸ κακὸν ἔνδοθεν, τῇ προαιρέσει τότε συνιστάμενον, ὅταν τις ἀπὸ τοῦ καλοῦ γένηται τῆς ψυχῆς ἀναχώρησις. καθάπερ γὰρ ἡ ὅρασις φύσεως ἐστὶν ἐνέργεια· ἡ δὲ πήρωσις, στέρησις ἐστὶ τῆς φυσικῆς ἐνεργείας, οὕτως καὶ ἡ ἀρετὴ πρὸς τὴν κακίαν ἀνθέστηκεν. οὐ γὰρ ἔστιν ἄλλως κακίας γένεσιν ἐννοῆσαι, ἢ ἀρετῆς ἀπουσίαν. ὥσπερ γὰρ τοῦ φωτὸς ὑφαιρεθέντος ὁ ζόφος ἐπηκολούθησε, παρόντος δὲ οὐκ ἔστιν· οὕτως ἕως ἂν ᾖ τὸ ἀγαθὸν ἐν τῇ φύσει, ἀνύπαρκτόν ἐστι καθ' ἑαυτὸ ἡ κακία· ἡ δὲ τοῦ κρείττονος ἀναχώρησις, γίνεται τοῦ ἐναντίου γένεσις. ἐπεὶ οὖν τοῦτο τῆς αὐτεξουσιότητος ἐστὶ τὸ ἰδίωμα, τὸ κατ' ἐξουσίαν αἱρεῖσθαι τὸ καταθύμιον, οὐχ ὁ Θεός σοι τῶν παρόντων ἐστὶν αἴτιος κακῶν, ἀδέσποτόν τε καὶ ἄνετόν σοι κατασκευάσας τὴν φύσιν, ἀλλ' ἡ ἀβουλία τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος προελομένη.

A cauſa cur & hæc nobis nunc adſint, & deſerti ſimus ab iis quæ ſunt præſtantiora. Initium autem eius quod ad hoc nunc eſt dicẽdum, non eſt remotum ab aſſentione eorum qui cõtradicunt. Qui enim ad hoc vt ſuorum bonorum adminiculũ & occaſionem eius naturæ indidit, vt per vnumquodque ad ſimile ferretur appetitio, nõ priuauerit hominem eo quod eſt bonorum pulcherrimum & præſtãtiſſimum, illa, inquam, gratia quę in eo cõſiſtit, quòd non ſit aliquid quod dominatum in eum obtineat, & quod ſit ſui iuris & liberi arbitrij. Si enim vitæ
B humanæ præeſſet neceſſitas, ex ea parte falſa fuiſſet imago, vt quæ per diſſimilitudinem aliena eſſet ab exemplari. Quî enim fieri poſſet, vt natura neſcio quibus neceſſitatis legibus aſtricta naturæ omnium rerum dominatricis imago diceretur? Quod ergo per omnia Deo erat aſſimilatum, oportebat omnino habere in natura quòd ſibi imperaret, & Domino minimè eſſet ſubiunctum, vt virtutis eſſet præmium bonorum participatio. Quî factum eſt ergo, inquies, vt qui per omnia pulcherrimis & præſtantiſſimis fuit honeſtatus, cõmutauerit bona de-
C terioribus? Clarum autem eſt id quoq; quod de eo dicendum eſt, nullus mali ortus initium duxit ex Dei voluntate. Reuera enim nulli reprehenſioni affine eſſet vitium, vt quod ſui effectorem & patrem Deum ſibi adſcriberet: ſed malum intrinſecus quodammodo innaſcitur in libero animi arbitrio & electione, tunc conſiſtens, quando fuerit aliquis animæ receſſus ab eo quod bonum eſt & honeſtum. Quomodo enim viſus eſt naturæ operatio: orbitas autem eſt priuatio naturalis operationis: ita etiam virtus aduerſatur vitio. Non poſſumus enim cogitare aliã vitij generationem,
D quàm virtutis abſentiã. Quomodo enim ablata luce conſequuntur tenebræ, non ſunt autem ſi adſit: ita quamdiu fuerit bonum in natura, per ſe non conſiſtit vitium: eius autem quod eſt melius receſſus, fit generatio contrarij. Quoniam ergo hæc eſt proprietas liberi arbitrij, vt liberè quòd animo gratum fuerit eligatur, non eſt tibi Deus auctor & cauſa malorum præſentiũ, conſtructa tibi natura, quæ Domino nõ paret eſtq. libera & ſoluta: ſed malum conſilium, quod elegit pro meliori id quod eſt deterius.

A

CAPVT VI.

QVÆRIS autem etiam fortaſſe cauſam peccati quod conſultò admittitur, eò enim deducit orationis conſequentia. Rurſus ergo nobis inuenietur aliquod principium, vt eſt conſentaneum, quod hanc etiam explicabit quæſtionem. A patribus quamdam talem inuenimus orationem, eſt autem oratio, non fabuloſa narratio, ſed quæ ex ipſa natura affert probabilitatem. Duplex eſt in iis quæ ſunt conſideratio, in id quod percipitur intelligentia, & id quod eſt ſenſile, diuiſa contemplatione. Neque præter hæc quidquam relinqui poteſt in rerum natura, quod feratur extra hanc diuiſionem. Magno autem interuallo ſunt hæc inter ſe diſiuncta, vt neque cognita ſit ſenſilis inter ea quæ cadunt ſub intelligentiam: nec quæ intelligentia percipiuntur inter ſenſilia: ſed vtraque formam & characterem accipiunt à contrariis. Nam quæ intelligentia quidẽ percipitur natura, eſt res quædam incorporea, & intactilis, & informis. Senſilis autem ex ipſo nomine, eſt intra mentis comprehẽſionem quæ fuit per ſenſilia. Sed quomodo cùm in mundo magna ſit inter ſe inuicem elementorum repugnãtia, à ſapientia quæ præeſt vniuerſitati, excogitata eſt quædam harmonia, quæ concinnatur & aptatur per contraria: & ita vniuerſæ creaturæ ad ſeipſam extenditur concentus, naturali repugnantia minimè ſoluente ſeriem conſpirationis. Eodem modo eius quod eſt ſenſile, cum eo quod cadit ſub intelligentiam, à diuina ſapientia fit quædam commiſtio & concretio, vt omnia ex æquo partem habeant eius, quod eſt pulchrum & honeſtum, & ex iis quæ ſunt nihil ſit expers naturæ melioris. Propterea locus quidem congruens intellectili naturæ, tenuis eſt & agilis ſubſtantia quæ in ſupramundana regione proprietate naturæ ſuæ magnã habet cum intellectili cognationem. Meliori autem prouidentia, quædam fit contemperatio eius quod percipitur intelligentia cum ſenſili natura, vt creaturæ nihil ſit reijciendum, vt dicit Apoſtolus, neque expers diuinæ communionis. Ea de cauſa, ex eo quod percipitur intelligentia, & eo quod cadit ſub

Rerum alia ſunt intelligibiles; alia ſenſiles.

1. Tim. 4.
Gen. 2.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

ΖΗΤΕΙΣ δὲ καὶ τὴν αἰτίαν τυχὸν τῆς κατὰ τὴν βούλησιν ἁμαρτίας, εἰς τοῦτο γὰρ ἡ ἀκολουθία τῶν λόγων φέρει. οὐκοῦν πάλιν ἀρχή τις ἡμῖν κατὰ τὸ εὔλογον εὑρεθήσεται, ἡ καὶ τοῦτο σαφηνίσει τὸ ζήτημα. τοιοῦτόν τινα λόγον παρὰ τῶν πατέρων διεδεξάμεθα. ἔστι δὲ ὁ λόγος, οὐ μυθώδης διήγησις, ἀλλ᾽ ἐξ αὐτῆς τῆς φύσεως ἐμφύτως τὸ πιστὸν ἐπαγόμενος. διπλῆ τις ἔστιν ἐν τοῖς οὖσιν
B κατανόησις, εἰς τὸ νοητόν τε καὶ αἰσθητὸν τῆς θεωρίας διῃρημένης. καὶ οὐδὲν ἂν παρὰ ταῦτα καταληφθείη ἐν τῇ τῶν ὄντων φύσει, τῆς διαιρέσεως ταύτης ἔξω φερόμενον. διῄρηται δὲ ταῦτα πρὸς ἄλληλα πολλῷ τῷ μέσῳ, ὡς μήτε τὴν αἰσθητὴν ἐν τοῖς νοητοῖς εἶναι γνωρίσμασι, μήτε ἐν τοῖς αἰσθητοῖς ἐκείνην· ἀλλ᾽ ἀπὸ τῶν ἐναντίων ἑκατέραν χαρακτηρίζεσθαι. ἡ μὲν γὰρ νοητὴ φύσις, ἀσώματόν τι χρῆμά ἐστι καὶ ἀναφὲς καὶ ἀνείδεον. ἡ δὲ αἰσθητὴ κατ᾽ αὐτὸ τὸ ὄνομα, ἐντός ἐστι τῆς διὰ τῶν αἰσθητηρίων καταγνώσεως. ἀλλ᾽ ὥσπερ ἐν αὐτῷ τῷ αἰσθητῷ κό-
C σμῳ πολλῆς πρὸς ἄλληλα τῶν στοιχείων οὔσης ἐναντιώσεως, ἐπινενόηταί τις ἁρμονία διὰ τῶν ἐναντίων ἁρμοζομένη παρὰ τῆς τοῦ παντὸς ἐπιστατούσης σοφίας. καὶ οὕτως πάσης γίνεται πρὸς ἑαυτὴν συμφωνία τῆς κτίσεως, οὐδαμοῦ τῆς φυσικῆς ἐναντιότητος τὸν τῆς συμπνοίας εἱρμὸν διαλυούσης, κατὰ τὸν αὐτὸν τρόπον καὶ τοῦ αἰσθητοῦ πρὸς τὸ νοητὸν γίνεταί τις κατὰ θείαν σοφίαν μίξις τε καὶ ἀνάκρισις, ὡς ἂν πάντα τοῦ καλοῦ κατὰ τὸ ἴσον μετέχοι, καὶ μηδὲν τῶν ὄντων ἀμοιρείη τῆς κρείττονος φύσεως. διὰ τοῦτο τὸ μὲν κατ᾽ ἀλλήλων τῇ νοητῇ φύσει χωρίον, ἡ λεπτὴ
D λογικὴ καὶ εὐκίνητός ἐστιν οὐσία, κατὰ τὴν ὑπερκόσμιον λῆξιν πολλὴν ἔχουσα τῷ ἰδιάζοντι τῆς φύσεως πρὸς τὸ νοητὸν τὴν συγγένειαν. προμηθείᾳ δὲ κρείττονι πρὸς τὴν αἰσθητὴν φύσιν γίνεταί τις τοῦ νοητοῦ συνανάκρασις, ὡς ἂν μηδὲν ἀπόβλητον εἴη τῆς κτίσεως, καθώς φησιν ὁ ἀπόστολος, μηδὲ τῆς θείας κοινωνίας ἀπόκληρον. τούτου χάριν ἐκ νοητοῦ τε

αἰσθητοῦ, τὸ κατὰ τὸν ἄνθρωπον μίγμα παρὰ τῆς θείας ἀναδείκνυται φύσεως, καθὼς διδάσκει τῆς κοσμογονίας ὁ λόγος. λαβὼν γάρ, φησιν, ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, τὸν ἄνθρωπον ἔπλασε· καὶ διὰ τῆς ἰδίας ἐμπνεύσεως τῷ πλάσματι τὴν ζωὴν ἐνεφύσησεν· ὡς ἂν συνεπαρθείη τῷ θείῳ τὸ γήϊνον, καὶ μία τις κατὰ τὸ ὁμότιμον διὰ πάσης τῆς κτίσεως ἡ χάρις διήκοι, τῆς κάτω φύσεως πρὸς τὴν ὑπερκόσμιον συγκιρναμένης. ἐπεὶ οὖν τῆς νοητῆς κτίσεως προϋποστάσης, καὶ ἑκάστης τῶν ἀγγελικῶν δυνάμεων πρὸς τὴν τοῦ παντὸς σύστασιν ἐνεργείας τινὸς παρὰ τῆς τῶν πάντων ἐπιστατούσης ἐξουσίας προσνεμηθείσης, ἦν τις δύναμις ἡ τὸν περίγειον τόπον συνέχειν τε καὶ περικρατεῖν τεταγμένη, εἰς αὐτὸ τοῦτο δυναμωθεῖσα παρὰ τῆς τὸ πᾶν οἰκονομούσης δυνάμεως, εἶτα κατεσκευάσθη τὸ γήϊνον πλάσμα τῆς ἄνω δυνάμεως ἀπεικόνισμα· ἦν δὲ τὸ ζῷον ὁ ἄνθρωπος· καὶ ἦν ἐν αὐτῷ τὸ θεοειδὲς τῆς νοητῆς φύσεως κάλλος, ἀπορρήτῳ τινὶ δυνάμει συγκεκραμένον, δεινὸν ποιεῖται καὶ οὐκ ἀνεκτὸν ὁ τὴν περίγειον οἰκονομίαν λαχών, εἰ ἐκ τῆς ὑποχειρίου αὐτῷ φύσεως ἀναδειχθήσεταί τις οὐσία πρὸς τὴν ὑπερέχουσαν ἀξίαν ὡμοιωμένη. τὸ δὴ ὅπως ἐπὶ τὸ πάθος κατερρύη τοῦ φθόνου, ὁ ἐπὶ μηδενὶ κακῷ κτισθεὶς, παρὰ τοῦ τὸ πᾶν ἐν ἀγαθότητι συστησαμένου, τὸ μὲν δι' ἀκριβείας διεξιέναι, οὐ τῆς παρούσης πραγματείας ἐστί· δυνατὸν δ' ἂν εἴη καὶ δι' ὀλίγου τοῖς ἀπειθεστέροις παραθέσθαι τὸν λόγον. τῆς γὰρ ἀρετῆς καὶ τῆς κακίας οὐχ ὡς δύο τινῶν καθ' ὑπόστασιν φαινομένων, ἡ ἀντιδιαστολὴ θεωρεῖται· ἀλλ' ὥσπερ ἀντιδιαιρεῖται τῷ ὄντι τὸ μὴ ὄν, καὶ οὐκ ἔστι καθ' ὑπόστασιν εἰπεῖν τὸ μὴ ὂν ἀντιδιαστέλλεσθαι πρὸς τὸ ὄν, ἀλλὰ τὴν ἀνυπαρξίαν ἀντιδιαιρεῖσθαι λέγομεν πρὸς τὴν ὕπαρξιν· κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ κακία τῷ τῆς ἀρετῆς ἀντικαθέστηκε λόγῳ, οὐ καθ' ἑαυτὴν τις οὖσα, ἀλλὰ τῇ ἀπουσίᾳ νοουμένη τοῦ κρείττονος· καὶ ὥσπερ φαμὲν ἀντιδιαιρεῖσθαι τῇ ὁράσει τὴν πήρωσιν, οὐ καθ' ἑαυτὴν οὔσαν ἐν τῇ φύσει τὴν πήρωσιν, ἀλλὰ προλαβούσης ἕξεως στέρησιν· οὕτω καὶ τὴν κακίαν ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει θεωρεῖσθαι λέγομεν, οἷόν τινα σκιὰν τῇ διαχωρήσει τῆς ἀκτῖνος ἐπισυμβαίνουσαν.

A ſenſum, fit in homine quædam mixtio à diuina natura, vt docet liber mundi generationis. Cum enim accepiſſet, inquit, Deus limum ex terra finxit hominem: & per propriam inſpirationem figmento inſufflauit vitam: vt cum eo quod eſt diuinum ſimul extolleretur terrenum, & vna gratia pari honore peruaderet vniuerſam creaturam, inferiori natura contemperata cum ſupramundana. Cùm ergo prius conſiſtente quæ intelligentia percipitur creatura, & angelicarum virtutum vnaquaque opera-
B tione, ab ea quæ præeſt vniuerſis poteſtate, attributa ad conſtitutionem vniuerſitatis, eſſet quædam poteſtas ordinata, vt locum terreſtrem contineret & dominatum in eum obtineret, viribus ad id acceptis à poteſtate illa quæ vniuerſitatem regit & adminiſtrat: & deinde eſſet conditum terreſtre illud figmentum ſimulachrum ſupernæ poteſtatis (erat autem hoc animal homo) eſſétque in eo naturæ quæ percipitur intelligentia, diuina pulchritudo, ineffabili quadam virtute contemperata, ægrè fert & non tolerandum ducit is
C cui terrena obtigit adminiſtratio, ſi ex natura ei ſubiecta aliqua creetur eſſentia aſſimilata ei quæ ſupereminet dignitati. Quemadmodum autem ad inuidiæ vitium defluxerit is, qui ad nullum malum creatus ab illo fuerat, à quo vniuerſum in bonitate conditum fuit, exactè quidem & accuratè perſequi, non eſt huius operis: iis autẽ qui ſunt paulò magis increduli, paucis poterit afferri ratio. Virtutis enim & vitij ſibi inuicem aduerſantium conſideratur diſcrimen; non tanquam duo ſint quæ cernantur conſiſtere: ſed quomodo ab eo quod
D eſt, vt aduerſum diſtinguitur id quod non eſt, neque dici poteſt quòd per hypoſtaſin ac conſiſtentiam diſtinguatur id quod non eſt ab eo quod eſt, ſed non eſſe, dicimus tanquam aduerſum, diſtingui ab eo quod eſt eſſe: eodem modo etiam vitium aduerſatur rationi virtutis, cùm per ſe non ſit, ſed intelligatur per abſentiam eius quod eſt melius: & quomodo dicimus à viſu tanquam aduerſam diſtingui cæcitatem, cùm per ſe non ſit in rerum natura cæcitas, ſed ſit priuatio eius qui prius fuerat habitus: ita etiam vitium dicimus conſiderari in boni priuatione, veluti quandam vmbram quæ accidit tranſitui radij.

Quoniam ergo increata natura non eſt capax motus qui fit per conuerſionem, mutationem, & alteratione: quidquid autem conſiſtit per creationem, cognatione quadam iungitur cum alteratione: propterea quòd ipſa quoque creaturæ conſiſtentia cœpit ab alteratione, cùm id quod non erat, virtute diuina traductum ſit ad hoc vt eſſet: creata autem erat & poteſtas cuius meminimus, libero ſui arbitrij motu eligens quod videbatur, poſtquam clauſit oculos ad id quod eſt bonum & amplum, & ab inuidia remotum; quomodo qui ad Solem ſuis conniuet ciliis, amiſſo viſu videt tenebras: ita etiã ille, eo ipſo quòd noluit bonum videre, id mente comprehendit quod eſt bono cõtrarium, nempe inuidiam. Conſtat autem cuiuſlibet rei principium, eſſe cauſam eorum quæ poſt ſe ex conſequenti accidunt: vt ſanitatem, quòd bona ſit habitudo, quòd fiat operatio, quòd viuatur in voluptate: morbum quòd ſit imbecillitas, quòd exerceri non poſſit operatio, quòd vita agatur in mœrore & triſtitia. Ita etiam alia omnia ex conſequenti ſua ſequuntur principia. Quomodo ergo impatibilitas eſt principium & fundamentum vitæ agendæ ex virtute: ita quæ per inuidentiam ad malum exiſtit propenſio, muniit viã ad omnia mala quæ fuerunt poſt eam. Poſtquam enim ad malum ſemel fuit propenſus, qui per auerſionem à bonitate in ſeipſo genuit inuidiam: quomodo lapis abruptus à promõtorio, proprio pondere in decliue detruditur, ita etiam ille auulſa à cõgenerata ad bonum conſpiratione, & ad vitiũ grauatus ac declinans, ſua ſponte veluti quodam pondere compulſus delatus fuit ad extremum terminũ improbitatis: & vim cogitandi quam habuit à Creatore ad adiumentum participationis eius quod eſt melius, ea accepta adiutrice ad ea inuenienda quæ excogitãtur ex vitio, aſtu & fraude hominem aggreditur, ei perſuadens, vt ſibi mortem inferret, & ſui eſſet homicida. Quia enim homo confirmatus & corroboratus per diuinam benedictionem ampla quidẽ & ſublimi erat authoritate ac dignitate. Conſtitutus enim erat, vt in terra, & in omnibus quæ in ipſa ſunt regnum obtineret: erat autem formoſus: factus enim erat ad imaginem exemplaris pulchritudinis. Erat autem impatibilis natura, imitator enim erat eius qui eſt impatibilis. Di-

A ἐπειδὴ τοίνυν ἡ ἄκτιστος φύσις τῆς κινήσεως τῆς κατὰ τροπὴν καὶ μεταβολὴν καὶ ἀλλοίωσιν ἐστὶν ἀνεπίδεκτος· πᾶν δὲ τὸ διὰ κτίσεως ὑποστὰν, συγγενῶς πρὸς τὴν ἀλλοίωσιν ἔχει. διότι καὶ αὐτὴ τῆς κτίσεως ἡ ὑπόστασις, ἀπὸ ἀλλοιώσεως ἤρξατο, τοῦ μὴ ὄντος εἰς τὸ εἶναι θείᾳ δυνάμει μετατεθέντος· κτιστὴ δὲ ἦν καὶ ἡ μνημονευθεῖσα δύναμις, αὐτεξουσίῳ κινήματι τὸ δόξαν αἱρουμένη, ἐπειδὴ πρὸς τὸ ἀγαθόν τε καὶ ἄφθονον ἐπέμυσε νόημα, ὥσπερ ὁ ἐν ἡλίῳ τοῖς βλεφάροις ἐπιβαλὼν τὰς ὄψεις σκότος ὁρᾷ· οὕτω κἀκεῖνος αὐτῷ τῷ μὴ θελῆσαι τὸ ἀγαθὸν νοῆσαι,
B τὸ ἐναντίον τῷ ἀγαθῷ κατενόησε, τοῦτο δέ ἐστιν ὁ φθόνος. ὁμολογεῖται δὲ παντὸς πράγματος ἀρχὴν τὴν μεθ' ἑαυτὴν κατὰ τὸ ἀκόλουθον ἐπισυμβαινόντων αἰτίαν εἶναι, οἷον τῇ ὑγείᾳ, τὸ εὐεκτεῖν, τὸ ἐργάζεσθαι, τὸ καθ' ἡδονὴν βιοτεύειν· τῇ δὲ νόσῳ, τὸ ἀσθενεῖν, τὸ ἀνενέργητον εἶναι, τὸ ἐν ἀηδίᾳ τὴν ζωὴν ἔχειν. οὕτω καὶ τὰ ἄλλα πάντα ταῖς οἰκείαις ἀρχαῖς κατὰ τὸ ἀκόλουθον ἕπεται. ὥσπερ οὖν ἡ ἀπάθεια τῆς κατ' ἀρετὴν ζωῆς ἀρχὴ καὶ ὑπόθεσις γίνεται, οὕτως ἡ διὰ τοῦ φθόνου γενομένη πρὸς κακίαν ῥοπὴ, τῶν μεθ'
C ἑαυτὴν πάντων ἀναδειχθέντων κακῶν ὁδὸς κατέστη. ἐπειδὴ γὰρ ἅπαξ πρὸς τὸ κακὸν τὴν ῥοπὴν ἔσχεν. ὁ τῇ ἀποστροφῇ τῆς ἀγαθότητος ἐν ἑαυτῷ γεννήσας τὸν φθόνον, ὥσπερ λίθος ἀκρωρείας ἀπορραγεὶς ὑπὸ τοῦ ἰδίου βάρους πρὸς τὸ πρανὲς συνελαύνεται, οὕτω κἀκεῖνος τῆς πρὸς τὸ ἀγαθὸν συμφυΐας ἀποσπασθεὶς, καὶ πρὸς κακίαν βαρήσας καὶ κατολμήσας, αὐτομάτως οἷόν τινι βάρει πρὸς τὸν ἔσχατον τῆς πονηρίας ὅρον συνωσθεὶς ἀπηνέχθη, καὶ τὴν διανοητικὴν δύναμιν ἣν εἰς τὴν συνεργίαν
D τῆς τοῦ κρείττονος μετουσίας ἔσχε παρὰ τοῦ κτίσαντος, ταύτην εἰς εὕρεσιν τῶν κατὰ κακίαν ἐπινοουμένων συνεργὸν ποιησάμενος, εὐμηχάνως διέρχεται δι' ἀπάτης τὸν ἄνθρωπον, αὐτὸν ἑαυτοῦ πείσας γενέσθαι φονέα τε καὶ αὐτόχειρα. ἐπειδὴ γὰρ διὰ τῆς θείας εὐλογίας δυναμωθεὶς ὁ ἄνθρωπος, ὑψηλὸς μὲν ἦν τῷ ἀξιώματι. βασιλεύειν γὰρ ἐτάχθη τῆς γῆς τε, καὶ τῶν ἐπ' αὐτῆς πάντων· καλὸν δὲ τὸ εἶδος, ἀπεικόνισμα γὰρ τοῦ ἀρχετύπου ἐγεγόνει κάλλους. ἀπαθὴς δὲ τὴν φύσιν, τοῦ γὰρ ἀπαθοῦς μίμημα ἦν. δια-

πλέως δὲ παρρησίας αὐτῆς κατὰ πρόσωπον τῆς θείας ἐμφανείας καταστρυφῶν. ταῦτα δὲ τῷ ἀντικειμένῳ κατὰ τὸ φθόνου πάθος ὑπεκκαύματα ἦν. ἰσχύϊ δὲ ἦν καὶ βίᾳ δυνάμεως κατεργάσασθαι τὸ κατὰ γνώμην, οὐχ οἷός τε ἦν. ὑπερίσχυε γὰρ ἡ τῆς εὐλογίας τοῦ Θεοῦ δύναμις, τῆς τούτου βίας. διὰ τοῦτο ἀποστῆσαι τῆς ἐνισχυούσης αὐτὸν δυνάμεως μηχανᾶται, ὡς ἂν εὐάλωτος αὐτῷ πρὸς τὴν ἐπιβουλὴν καταστάιη. καὶ ὥσπερ ἐπὶ λύχνου τοῦ πυρὸς τῆς θρυαλλίδος περιδεδραγμένου, εἴ τις ἀδυνατῶν τῷ φυσήματι σβέσαι τὴν φλόγα ὕδωρ ἐμμίξειεν τῷ ἐλαίῳ, καὶ διὰ τῆς ἐπινοίας ταύτης ἀμαυρώσει τὴν φλόγα· οὕτως δι᾽ ἀπάτης τῇ προαιρέσει τοῦ ἀνθρώπου τὴν κακίαν ἐμμίξας ὁ ἀντικείμενος, σβέσιν τινὰ καὶ ἀμαύρωσιν τῆς εὐλογίας ἐποίησεν. ἧς ἐπιλειπούσης ἐξ ἀνάγκης τὸ ἀντικείμενον ἀντεισέρχεται. ἀντίκειται δὲ τῇ ζωῇ μὲν ὁ θάνατος, ἡ ἀσθένεια δὲ τῇ δυνάμει, τῇ εὐλογίᾳ δὲ ἡ κατάρα, τῇ παρρησίᾳ δὲ ἡ αἰσχύνη, καὶ πᾶσι τοῖς ἀγαθοῖς τὰ κατὰ τὸ ἐναντίον νοούμενα. διὰ τοῦτο ἐν τοῖς παροῦσι κακοῖς, ἐστι νῦν τὸ ἀνθρώπινον, τῆς ἀρχῆς ἐκείνης τοιούτου τέλους τὰς ἀφορμὰς παρασχούσης.

A cendi autem libertate plenus erat ac fiducia, vt qui facie ad faciem cum Deo ei apparente loquendi voluptate ſe expleret. Hæc autem aduerſario erant fomes & irritamentum inuidiæ. Vi autem aperta & potentiæ robore non poterat efficere quod habebat in animo. Potentior enim erat vis Dei benedictionis eius viribus. Propterea machinatur vt eum abducat à potentia quæ eum corroborabat ac confirmabat, vt ipſe facilè pateret inſidiis. Et quomodo cùm in lucerna ignis ellychnium apprehenderit, nec flatu quiſpiam poſſit flammam ex-
B tinguere, oleo aquam miſcet, & ea ratione flammam debilem reddit & euanidam: ita aduerſarius, cùm libero arbitrio vitium immiſcuiſſet, effecit vt quodammodo extingueretur & euaneſceret benedictio. Qua deficiente, pro ea ſubit contrarium. Aduerſatur autem vitæ quidem mors, viribus autem imbecillitas, benedictioni autem execratio, fiduciæ autem pudor, & omnibus bonis ea quæ intelliguntur ex contrario. Propterea homo nunc eſt in malis præſentibus, cùm illud principium talis finis ar-
C gumentum dediſſet & occaſionem.

ΚΕΦΑΛΑΙΟΝ ζ'.

ΚΑΙ μηδεὶς ἐρωτάτω εἰ προειδὼς τὴν ἀνθρωπίνην συμφορὰν ὁ Θεὸς τὴν ἐκ τῆς ἀβουλίας αὐτῷ συμβησομένην, ἦλθεν εἰς τὸ κτίσαι τὸν ἄνθρωπον, ᾧ τὸ μὴ γενέσθαι μᾶλλον ἴσως, ἢ τὸ ἐν κακοῖς εἶναι λυσιτελέστερον ἦν. ταῦτα γὰρ οἱ τοῖς Μανιχαϊκοῖς δόγμασι δι᾽ ἀπάτης παρασυρέντες εἰς σύστασιν τῆς ἑαυτῶν πλάνης προβάλλουσιν, ὡς διὰ τοῦτο πονηρὸν εἶναι τὸν τῆς ἀνθρωπίνης φύσεως κτίστην ἀποδεικνύοντες. εἰ γὰρ ἀγνοεῖ μὲν τῶν ὄντων ὁ Θεὸς οὐδὲν, ἐν κακοῖς δὲ ὁ ἄνθρωπος· οὐκέτ᾽ ἂν ὁ τῆς ἀγαθότητος τοῦ Θεοῦ διασώζοιτο λόγος, εἴπερ ἐν κακοῖς μέλλοντα τὸν ἄνθρωπον ζήσεσθαι πρὸς τὸν βίον παρήγαγεν. εἰ γὰρ ἀγαθῆς φύσεως ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια πάντως ἐστὶν, ὁ λυπηρὸς οὗτος καὶ ἐπίκηρος βίος, οὐκέτ᾽ ἄν φησιν εἰς τὴν τοῦ ἀγαθοῦ δημιουργίαν ἀνάγοιτο· ἀλλ᾽ ἕτερον χρὴ τῆς τοιαύτης ζωῆς αἴτιον οἴεσθαι, ᾧ πρὸς πονηρείαν ἡ φύσις ἐπιρρεπῶς ἔχει. ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα, τοῖς μὲν ἐν βάθει, κα-

CAPVT VII.

NEMO verò interroget, an Deus, cùm prouidiſſet calamitatẽ, quæ erat ad hominem ventura ex malo conſilio, ad creandum hominem acceſſerit, cui erat fortè conducibilius ortum non eſſe, quàm eſſe in malis. Qui enim ad Manichæorum dogmata fraude ſunt attracti, hæc afferunt ad ſuum errorem *Dogma Manichæorum Deum eſſe mali auctorẽ aſſerentium.*
D confirmandum, & per hoc oſtendunt eſſe malum creatorem humanę naturæ. Nam ſi Deus quidem ex iis quæ ſunt, nihil ignorat: eſt autem homo in malis: non vtique ſalua erit ratio Dei bonitatis, ſi hominem ad vitam deduxerit, qui futurus erat in malis. Si enim bonæ naturæ omnino eſt quæ ex bono eſt operatio: miſera hęc vita & caduca, maliſque & interitui obnoxia, non vtique eſt adſcribenda eius qui bonus eſt opificio: ſed exiſtimandum eſt alium eſſe auctorem huius vitæ, cuius natura propenſa eſt ad malum. Nam hæc omnia, & quæ ſunt eiuſmodi, iis quidem, qui tanquam

fallacem quendam colorem hæreticam fraudem in profundo imbiberunt, videntur habere vim quandam per apparentem quandam probabilitatem ſuperficie tenus: iis autem qui veritatis ſunt perſpicientiores, apertè cernuntur imbecilla, & quorum errores in promptu eſt oſtendere. Mihi autem videtur rectè habere, ſi in his adducamus Apoſtolum in defenſionem eorum quę contra eos dicuntur. In iis enim quæ ſcribit ad Corinthios, diſtinguit carnales & ſpirituales animarum conſtitutiones, per ea quæ dicuntur, vt opinor, oſtendens, quòd bonum aut malum non eſt ſenſu dijudicandum: ſed mente abducta ab iis quæ apparent extra corpus, boni & contrarij ipſam eſſe per ſe di-
1.Cor.2. ſcernendam naturam. Spiritualis enim, inquit, dijudicat omnia. Quòd autem ij qui hæc afferunt, fabuloſa hæc dogmata confixerint, arbitror hanc fuiſſe cauſam, quòd corporalis voluptatis ſuauitate bonum definientes, propterea quòd affectionibus & morbis neceſſariò obnoxia eſt corporis natura, vt quæ ſit compoſita, & fluat ad diſſolutionem: eiuſmodi autem affectiones conſequitur quidem ſenſus dolorem afferens, humanam naturam mali opus eſſe exiſtimant. Nam ſi ſublimius aſpiceret eorum cogitatio, & ab ea quæ in voluptatibus verſatur affectione mente procul collocata, conſiderarent liberi ab animi perturbatione rerum quæ ſunt naturam, non exiſtimarent malum aliud eſſe quàm vitium & improbitatem. Vitium autem omne & improbitas in boni priuatione ſuam habet formam & characterem, cùm per ſe non ſit, neque conſideretur in eo quod conſiſtat. Nullum enim malum per ſe ſitum eſt extra liberam arbitrij electionem: ſed ita denominatur ex eo quòd non ſit bonum. Quod autem non eſt, non conſiſtit. Eius autem quod non conſiſtit opifex, non eſt is qui eſt opifex eorum quæ conſiſtunt. Malorum ergo cauſa non eſt Deus, qui eſt creator & effector eorum quæ ſunt, non eorum quæ non ſunt: qui viſum eſt fabricatus, non autem cæcitatem: qui virtutem iudicauit non eius priuationem, bonæ electionis præmio adiecto bonorum fine, iis qui ex virtute vitam degunt: non violentæ alicui neceſſitati, vt ſibi videretur humanam ſubiungens natu-

A θάτερόν τινα ψευδοποιὸν βαφὴν τὴν αἱρετικὴν παραδεδεγμένοις ἀπάτην, ἰσχύν τινα διὰ τῆς ἐπιπολαίου πιθανότητος ἔχειν δοκεῖ· τοῖς δὲ διορατικωτέροις τῆς ἀληθείας σαθρὰ ὄντα, καὶ πρόχειρον τὴν τῆς ἀπάτης ἀπόδειξιν ἔχοντα, σαφῶς καθορᾶται. καί μοι δοκεῖ καλῶς ἔχειν τὸν ἀπόστολον ἐν τούτοις συνήγορον τῆς κατ' αὐτῶν παρρησίας προστήσασθαι. διαιρεῖ γὰρ ἐν τῷ πρὸς Κορινθίους λόγῳ τάς τε σαρκώδεις, καὶ τὰς πνευματικὰς τῶν ψυχῶν καταστάσεις· δεικνὺς οἶμαι διὰ τῶν λεγομένων, ὅτι οὐ δι' αἰσθήσεως τὸ καλὸν ἢ τὸ κακὸν προσήκει κρίνειν, ἀλλ' ἔξω τῶν κατὰ τὸ σῶμα φαινομένων τὸν νοῦν ἀποστή-
B σαντα, αὐτὴν ἐφ' ἑαυτῆς τοῦ καλοῦ τε καὶ τοῦ ἐναντίου διακρίνειν τὴν φύσιν. ὁ γὰρ πνευματικὸς, φησὶν, ἀνακρίνει τὰ πάντα. ταύτην οἶμαι τὴν αἰτίαν τῆς τῶν δογμάτων τούτων μυθοποιΐας, τοῖς τὰ τοιαῦτα προφέρουσιν ἂν γεγενῆσθαι, ὅτι πρὸς τὸ ἡδὺ τῆς σωματικῆς ἀπολαύσεως, τὸ ἀγαθὸν ὁριζόμενοι, διὰ τὸ πάθεσι καὶ ἀρρωστήμασιν ὑποκεῖσθαι κατ' ἀνάγκην τὴν τοῦ σώματος φύσιν συνθετὴν οὖσαν καὶ εἰς διάλυσιν ῥέουσαν· ἐπακολουθεῖν δέ πως τοῖς τοιούτοις παθήμασιν ἀλγεινήν τινα αἴσθησιν, πονηροῦ τὴν ἀνθρωποιΐαν ἔργον εἶναι νομίζουσιν. ὡς εἴγε πρὸς
C τὸ ὑψηλότερον ἔβλεπεν αὐτοῖς ἡ διάνοια, καὶ τῆς περὶ τὰς ἡδονὰς διαθέσεως τὸν νοῦν ἀποικίσαντες, ἀπαθῶς ἐπεσκόπουν τὴν τῶν ὄντων φύσιν, οὐκ ἂν ἄλλο τι κακὸν εἶναι παρὰ τὴν πονηρίαν ᾠήθησαν. πονηρία δὲ πᾶσα ἐν τῇ τοῦ ἀγαθοῦ στερήσει χαρακτηρίζεται, οὐ καθ' ἑαυτὴν οὖσα, οὐδὲ καθ' ὑπόστασιν θεωρουμένη. κακὸν γὰρ οὐδὲν ἔξω προαιρέσεως ἐφ' ἑαυτοῦ κεῖται· ἀλλὰ τῷ μὴ εἶναι τὸ ἀγαθὸν οὕτω κατονομάζεται. τὸ δὲ μὴ ὂν, οὐχ ὑφέστηκε. τοῦ δὲ
D μὴ ὑφεστῶτος δημιουργὸς, ὁ τῶν ὑφεστώτων δημιουργὸς οὐκ ἔστι. οὐκοῦν ἔξω τῆς τῶν κακῶν αἰτίας ὁ Θεός, ὁ τῶν ὄντων, οὐχ ὁ τῶν μὴ ὄντων ποιητὴς ὢν, ὁ τὴν ὅρασιν οὐ τὴν πήρωσιν δημιουργήσας, ὁ τὴν ἀρετὴν οὐ τὴν στέρησιν αὐτῆς ἀναδείξας ἆθλον τῆς προαιρέσεως, τὸ τῶν ἀγαθῶν πέρας τοῖς κατ' ἀρετὴν πολιτευομένοις προθεὶς, οὐκ ἀνάγκῃ τινὶ βιαίᾳ πρὸς τὸ ἑαυτοῦ θέλημα ὑποζεύξας τὴν ἀνθρωπίνην

φύσιν, καθάπερ τι σκεῦος ἔμψυχον ἀκουσίως πρὸς τὸ καλὸν ἐφελκόμενος. εἰ δέ τις φωτὸς ἐξ αἰθρίας καθαρῶς περιλάμποντος, ἑκουσίως τὴν ἐπιβάλλοι τοῖς βλεφάροις τὴν ὅρασιν, ἔξω τοῦ τῷ μὴ βλέποντος αἰτίας ὁ ἥλιος.

A ram, tanquam vas aliquod animatum inuitum ad bonum attrahens. Si autem lucis tempore ſereno purè lucentis, voluntariè quiſpiam ciliis apprehendit viſionem, Sol minimè eſt cauſa eius qui non aſpicit.

Περὶ τῶν ἀγανακτούντων, διότι ἀποθνήσκει ὁ ἄνθρωπος, τούτου μᾶλλον ἐπ' εὐεργεσίᾳ τοῦ ἀνθρώπου τυγχάνοντος, καὶ διὰ τί τοῦτο ὁ θάνατος.

De iis qui indignantur quod homo moritur, cùm hoc ſit potius ad beneficium hominis, & cur eſt mors.

ΚΕΦΑΛΑΙΟΝ η'.

B

CAPVT VIII.

ΑΛΛ' ἀγανακτεῖ πάντως, ὁ πρὸς τὴν διάλυσιν βλέπων τοῦ σώματος, καὶ χαλεπὸν ποιεῖται τῷ θανάτῳ τὴν ζωὴν ἡμῶν διαλύεσθαι. σκοπείτω διὰ τοῦ σκυθρωποῦ τούτου τὴν ὑπερβολὴν τῆς θείας εὐεργεσίας. τάχα γὰρ ἂν μᾶλλον διὰ τούτου προσαχθείη θαυμάσαι τὴν χάριν τῆς περὶ τὸν ἄνθρωπον τοῦ Θεοῦ κηδεμονίας. τὸ ζῆν διὰ τὴν καταθυμίων ἀπόλαυσιν αἱρετόν ἐστι τοῖς τοῦ βίου μετέχουσιν. ὡς εἴ γε τις ἐν ὀδύναις διαβιῴη, παρὰ πολὺ τῷ τοιούτῳ τὸ μὴ εἶναι τοῦ ἀλγεινῶς εἶναι C προτιμότερον κρίνεται. σκοπῶμεν ἐξετάσωμεν εἰ ὁ τῆς ζωῆς χορηγὸς πρὸς ἄλλο τι βλέπει, ἢ οὐχ ὅπως ἂν ἐν τοῖς καλλίστοις βιώημεν. ἐπεὶ γὰρ τῷ αὐτεξουσίῳ κινήματι τὴν τοῦ κακοῦ κοινωνίαν ἐπεσπασάμεθα, διά τινος ἡδονῆς οἷόν τι δηλητήριον μέλιτι παραρτυθὲν τῇ φύσει τὸ κακὸν καταμίξαντες· καὶ διὰ τοῦτο τῆς κατὰ τὸ ἀπαθὲς νοουμένης μακαριότητος ἐκπεσόντες, πρὸς τὴν κακίαν μετεμορφώθημεν· τούτου ἕνεκεν οἷόν τι σκεῦος ὀστράκινον, πάλιν ὁ ἄνθρωπος εἰς γῆν ἀναλύεται· D ὅπως ἂν τῆς νῦν ἐναπειλημμένης αὐτῷ ῥυπαρίας ἀποκριθείσης, εἰς τὸ ἐξ ἀρχῆς σχῆμα διὰ τῆς ἀναστάσεως ἀναπλασθείη. τὸ δὲ τοιοῦτον δόγμα ἱστορικώτερον μὲν, καὶ δι' αἰνιγμάτων ὁ Μωσῆς ὑμῖν ἐκτίθεται. πλὴν ἔκδηλον ἔχει καὶ τὰ αἰνίγματα τὴν διδασκαλίαν. ἐπειδὴ γὰρ, φησίν, ἐν τοῖς ἀπηγορευμένοις ἐγένοντο οἱ πρῶτοι ἄνθρωποι, καὶ τῆς μακαριότητος ἐκείνης ἀπεγυμνώθησαν, δερματίνους ἐπιβάλλει χιτῶνας τοῖς πρωτοπλάστοις ὁ κύριος· οὔ μοι δοκεῖ πρὸς τὰ τοιαῦτα δέρματα τὸν λόγον τὴν διάνοιαν φέρων. ποίων γὰρ ἀποσφαγέντων καὶ δαρέντων ζώων,

SED ægrè fert & indignatur, qui aſpicit ad diſſolutionem corporis, & graue eſſe ducit, quòd morte vita noſtra diſſoluitur. Ex hoc ergo quod dolorem affert & moleſtiam, conſideret inſigne Dei beneficium. Per hoc enim magis adducetur, vt admiretur gratiam curæ quam Deus gerit hominis. Viuere eſt eligendum iis qui vitæ ſunt participes, propterea quod fruantur iis quæ ſunt grata & iucunda. Nam ſi quiſpiam in doloribus & angoribus vitam transfigeret, ei longè præſtabilius iudicatur non eſſe quàm eſſe in dolore. Examinemus ergo an is qui vitam ſuppeditat, ad aliquid aliud aſpiciat, quàm vt vitam agamus in iis quæ ſunt optima & pulcherrima. Quia enim liberi arbitrij motu attraximus mali ſocietatem, per cuiuſdam voluntatis veluti quoddam venenum melle conditum, malum naturæ immiſcentes: & ideo à beatitudine quæ ex impatibilitate intelligitur excidentes, transformati ſumus ad vitium: ea de cauſa veluti quoddam vas fictile, homo rurſus in terram reſoluitur: vt ſecretis quæ in eo nunc ſunt ſordibus, in priſtinam figuram reformetur per reſurrectionem. Hoc autem dogma hiſtoricè quidem, & per ænigmata nobis exponit Moſes. Cæterùm hæc etiam ænigmata perſpicuam & claram habent doctrinam. Poſtquam enim, ait, in iis quæ prohibita fuerant, fuerunt primi homines, & nudati ſunt beatitudine, pelliceas tunicas protoplaſtis imponit Deus: non ſentiens, vt opinor, de eiuſmodi pellibus. Quibus enim interfectis & excoriatis animali-

In morte inſigne Dei beneficium.

Gen. 3.

bus, eis excogitatur amictus? Sed quoniam omnis pellis ab animalibus ſeparata, eſt mortua: exiſtimo omnino eum qui vitio noſtro medetur, hominibus poſtea immiſiſſe ex prouidentia ad moriendum, quæ excepta fuit ex natura experte rationis, vt non ſemper permaneret. Tunica enim eſt ex iis quę nobis imponuntur extrinſecus, ſui vſum ad tempus præbens corpori, naturæ minimè congenerata. Ex natura ergo brutorum, certo conſilio ac diſpenſatione, addita eſt mortalitas naturæ quæ creata fuerat ad immortalitatem, id quod eſt eius extrinſecus, contegens, non id quod eſt intrinſecus, & ſenſilem hominis partem intercipiens, nõ attingens autem ipſam diuinam imaginem. Soluitur autem id quod eſt ſenſile, non autem abolecur & euaneſcit. Nam abolitio quidem, eſt quæ fit ad nihilum & id quod non eſt tranſitus. Solutio autem, eſt diſſolutio quæ fit rurſus in mundi elementa, ex quibus fuerat compacta. Quod autem in iis fuerit, non periit, etiamſi effugiat noſtri ſenſus comprehenſionem. Aperta autem eſt cauſa ſolutionis per exemplum quod nobis dictum eſt. Quoniam enim ſenſus neceſſitudinem habet & coniunctionem cum eo quod eſt craſſum & terreſtre: quod eſt autem præſtantius & ſublimius, eorum quæ in bono & honeſto verſantur iudicium, aberrauit in probandis ſenſibus: ab eo autem quod bonum & honeſtum eſt aberratio, effecit, vt contrarius conſiſteret habitus; inutilis reddita pars noſtri, ſuſceptione contrarij ſoluitur. Eſt autem huiuſmodi exemplum eius quod dicimus. Detur quiſpiam vas ex luto confeciſſe: id autem dolo & ex inſidiis repletum fuiſſe plumbo liquefacto: effuſum autem plumbum concreuiſſe, & ita manere, vt effundi non poſſit: Dominum autem vas ſibi vendicare: cùm autem figuli teneat ſcientiam, cum plumbo teſtam confregiſſe; & deinde rurſus in priorem figurã ad ſuum vſum vas refinxiſſe, exinanitum materia quæ fuerat immixta. Ita ergo noſtri quoque vaſis figulus, ſenſili parti (eam dico quæ eſt in corpore) immiſto vitio, diſſoluta materia quæ vitium acceperat, vas rurſus refictum, contrario non miſtum, per reſurrectionem, ad eam quæ fuerat ab initio reformabit pulchritudinẽ. Quoniam autem & corpori eſt quædam

A ἐπινοεῖται αὐτοῖς ἡ περιβολή; ἀλλ' ἐπειδὴ πᾶν δέρμα χωρισθὲν τοῦ ζώου, νεκρόν ἐστι· πάντως οἶμαι τὴν πρὸς τὸ νεκροῦσθαι δύναμιν, ἣ τῆς ἀλόγου φύσεως ἐξαίρετος ἦν, ἐκ προμηθείας, μετὰ ταῦτα τοῖς ἀνθρώποις ἐπιβεβληκέναι τὸν τὴν κακίαν ἡμῶν ἰατρεύοντα, οὐχ ὡς εἰς ἀεὶ παραμένειν. ὁ γὰρ χιτὼν, τῶν ἔξωθεν ἡμῖν ἐπιβαλλομένων ἐστὶ, πρὸς καιρὸν τὴν ἑαυτοῦ χρῆσιν παρέχων τῷ σώματι, οὐ συμπεφυκὼς τῇ φύσει. οὐκοῦν ἐκ τῆς τῶν ἀλόγων φύσεως ἡ νεκρότης οἰκονομικῶς περιετέθη τῇ εἰς ἀθανασίαν κτισθείσῃ φύσει, τὸ ἔξωθεν αὐτῆς περικαλύπτουσα, B οὐ τὸ ἔσωθεν, καὶ τὸ αἰσθητὸν τοῦ ἀνθρώπου μέρος διαλαμβάνουσα, αὐτῆς δὲ τῆς θείας εἰκόνος οὐ προσαπτομένη. λύεται δὲ τὸ αἰσθητὸν, οὐκ ἀφανίζεται. ἀφανισμὸς μὲν γάρ ἐστιν, ἡ εἰς τὸ μὴ ὂν μεταχώρησις. λύσις δὲ ἡ εἰς τὰ τοῦ κόσμου στοιχεῖα πάλιν, ἀφ' ὧν τὴν σύστασιν ἔσχε, διάλυσις. τὸ δὲ ἐν τούτοις γενόμενον οὐκ ἀπόλωλε, κἂν ἐκφύγῃ τὴν κατάληψιν τῆς ἡμετέρας αἰσθήσεως. ἡ δὲ αἰτία τῆς λύσεως δήλη διὰ τοῦ ῥηθέντος ἡμῖν ὑποδείγματος. ἐπειδὴ C γὰρ ἡ αἴσθησις πρὸς τὸ παχύ τε καὶ γήϊνον οἰκείως ἔχει· κρείττονος δὲ καὶ ὑψηλοτέρας τῶν περὶ τὸ καλὸν κρίσεως, ἐν τῇ δοκιμασίᾳ τῶν αἰσθήσεων, ἁμαρτηθείσης, τῆς δὲ τοῦ καλοῦ διαμαρτίας τὴν τῆς ἐναντίας ἕξεως ὑπόστασιν ἐνεργησάσης· τὸ ἀχρειωθὲν ἡμῶν μέρος τῇ παραδοχῇ τοῦ ἐναντίου λύεται· ὁ δὲ τοῦ ὑποδείγματος λόγος τοιοῦτός ἐστι. δεδόσθω τι σκεῦος ἐκ πηλοῦ συνεστηκέναι· τοῦτο δὲ πλῆρες ἔκ τινος ἐπιβουλῆς γεγενῆσθαι τετηκότος μολίβδου. τὸν δὲ μόλιβδον ἐκχυθέντα παγῆναι καὶ μένειν ἀπερίχυτον. ἀντιποιεῖσθαι δὲ τοῦ σκεύους τὸν κε- D κτημένον· ἔχοντα δὲ τῆς κεραμευτικῆς τὴν ἐπιστήμην, περιθρύψαι τῷ μολίβδῳ τὸ ὄστρακον· εἶθ' οὕτω πάλιν κατὰ τὸ πρότερον σχῆμα πρὸς τὴν ἰδίαν ἑαυτοῦ χρῆσιν ἀναπλάσαι τὸ σκεῦος, κενὸν τῆς ἐμμιχθείσης ὕλης γενόμενον. οὕτως ἔδει καὶ ὁ τοῦ ἡμετέρου σκεύους πλάστης, τῷ αἰσθητῷ μέρει τὸ κατὰ τὸ σῶμά φημι, τῆς κακίας καταμιχθείσης, διαλύσας τὴν παραδεξαμένην τὸ κακὸν ὕλην, πάλιν ἀμιγὲς τοῦ ἐναντίου διὰ τῆς ἀναστάσεως ἀναπλάσας, πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ἀναστοιχειώσει τὸ σκεῦος. ἐπειδὴ δὲ συνδετός τις καὶ κοινωνία τῶν

κατὰ

κατὰ τὴν ἁμαρτίαν παθημάτων γίνεται, τῇ τε ψυχῇ καὶ τῷ σώματι· καί τις ἀναλογία τοῦ σωματικοῦ θανάτου πρὸς τὸν ψυχικόν ἐστι θάνατον. ὥσπερ γὰρ ἐν σαρκὶ τὸ τῆς αἰσθητῆς χωρισθῆναι ζωῆς προσαγορεύομεν θάνατον· οὕτως καὶ ἐπὶ τῆς ψυχῆς τὸν τῆς ἀληθοῦς ζωῆς χωρισμὸν θάνατον ὀνομάζομεν. ἐπεὶ οὖν μία τίς ἐστι τοῦ κακοῦ κοινωνία, καθὼς προείρηται, ἔν ψυχῇ τε θεωρουμένη καὶ σώματι, δι' ἀμφοτέρων γὰρ πρόεισιν εἰς ἐνέργειαν τὸ πονηρόν· διὰ τοῦτο ὁ μὲν τῆς διαλύσεως θάνατος, ἐκ τῆς τῶν νεκρῶν δερμάτων ἐπιβολῆς, τῆς ψυχῆς οὐχ ἅπτεται. πῶς γὰρ ἂν διαλυθείη τὸ μὴ συγκείμενον; ἐπεὶ δὲ χρεία καὶ τῆς ἐκείνης τὰς ἐμφυείσας ἐξ ἁμαρτιῶν κηλῖδας, διά τινος ἰατρείας ἐξαιρεθῆναι, τούτου ἕνεκεν, ἐν μὲν τῇ παρούσῃ ζωῇ, τὸ τῆς ἀρετῆς φάρμακον, εἰς θεραπείαν τῶν τοιούτων προσετέθη τραυμάτων. εἰ δὲ ἀθεράπευτος μένει, ἐν τῷ μετὰ ταῦτα βίῳ ταμιεύεται ἡ θεραπεία. ἀλλ' ὥσπερ εἰσί τινες κατὰ τὸ σῶμα τῶν παθημάτων διαφοραί, ὧν αἱ μὲν ῥᾷον, αἱ δὲ δυσχερέστερον τὴν θεραπείαν προσίενται, ἐφ' ὧν καὶ τομαὶ καὶ καυτήρια, καὶ πικραὶ φαρμακοποσίαι πρὸς τὴν ἀφαίρεσιν τοῦ ἐνσκήψαντος πάθους τῷ σώματι παραλαμβάνονται· τοιοῦτόν τι καὶ ἡ μετὰ ταῦτα κρίσις εἰς θεραπείαν τῶν τῆς ψυχῆς ἀρρωστημάτων καταπαγγέλλεται, ὃ τοῖς μὲν χαυνοτέροις ἀπειλή, καὶ σκυθρωπῶν ἐστιν ἐπανάτασις, ὡς ἂν φόβῳ τῆς τῶν ἀλγεινῶν ἀντιδόσεως, πρὸς τὴν φυγὴν τῆς κακίας σωφρονισθείημεν· τοῖς δὲ συνετωτέροις ἰατρεία καὶ θεραπεία παρὰ τοῦ Θεοῦ τὸ ἴδιον πλάσμα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανάγοντος χάριν εἶναι πιστεύεται. ὡς γὰρ οἱ τοὺς ἥλους καὶ τὰς ἀκροχορδόνας παρὰ φύσιν ἐπιφυομένας τῷ σώματι, διὰ τομῆς ἢ καύσεως ἀποξύοντες, οὐκ ἀνώδυνον ἐπάγουσι τῷ εὐεργετουμένῳ τὴν ἴασιν, πλὴν οὐκ ἐπὶ βλάβῃ τοῦ ὑπομένοντος τὴν τομὴν ἄγουσιν· οὕτως καὶ ὅσα ταῖς ψυχαῖς ἡμῶν διὰ τῆς τῶν παθημάτων κοινωνίας ἀποσαρκωθέντα, ὑλώδη περιττώματα ἐπιπωρωθῆναι, ἐν τῷ καιρῷ τῆς κρίσεως τέμνεται καὶ ἀποξύεται τῇ ἀρρήτῳ ἐκείνῃ σοφίᾳ καὶ δυνάμει,

A ſocietas & communio earum quæ ex peccato exiſtunt affectionum: & mortis corporalis eſt quædam analogia ac proportio cum morte animæ: quomodo enim in carne, à ſenſili vita ſeparatum eſſe mortem dicimus: ita etiam in anima appellamus mortem à vera vita ſeparationem. Quoniam ergo vna eſt mali communio ac ſocietas, vt prius dictum eſt, conſiderata in anima & corpore, per vtrumque enim procedit anima ad operationem: propterea mors quidem diſſolutionis ab indu-
B mento mortuarum pellium, non attingit animam. Quemadmodum enim diſſolui poſſet quod non eſt compoſitum? Quoniam verò opus eſt, vt illius quoque quæ ex peccatis ei ingeneratæ inſederunt maculæ, per medicinam aliquam auferantur, propterea in præſenti quidem vita adhibitum eſt medicamentum virtutis ad hæc curanda vulnera. Quod ſi curari non poſſit, in futuram vitam reſeruatur curatio. Sed quomodo in corpore ſunt affectionum quædam differentiæ, quarum aliæ quidem facilius, aliæ verò difficilius ad-
C mittunt curationem, in quibus & ſectiones & cauteria, & acerba medicamenta adhibentur ad tollendam affectionem quæ incedit corpori: talè quid etiam denuntiat in poſterum futurum iudicium ad curandos morbos animæ, quod pigris quidem & vanis minatur, grauiáque & aſpera intentat, vt metu rerum moleſtarum & aſperarum quæ nobis ſunt reddendæ ad fugiendum vitium caſtigemur & erudiamur: iis autem qui ſunt intelligentiores, creditur à Deo eſſe medicina & curatio, qui figmentum ſuum redu-
D cit ad eam quæ erat ab initio gratiam. Quomodo enim qui clauos, & verrucas, quæ in corpore enatæ ſunt præter naturam, abradunt per ſectionem ac vſtionem, ei quam beneficio afficiunt non ſine dolore adhibent medicinam, non autem ad damnum eius qui patitur: ita etiam quæcumque noſtris animis per communionem perturbationum carnales erant redditæ; ſuperflua callorum excrementa coaluerant, ea iudicij tempore ſcinduntur & abraduntur ineffabili illa ſapientia & virtute illius, qui male habentibus,

Matth.9. Marc.2. Luc.5. vt eſt in Euangelio medetur. Non enim A eſt opus, inquit, valentibus medicus, ſed male habentibus. Propterea autem quòd animę cum corpore eſt ad malum congenita quædam coaleſcentia, quomodo myrmeciæ ſeu formicationis quę etiam coſſus dicitur, ſectio, ſuperficiem mordet acriter. Nam quod præter naturam innatum eſt naturæ, per quendam conſenſum affectionis adhæreſcit ſubiecto: & alieni cum noſtro fit quædam præter rationem contemperatio, adeò vt moleſtia efficiatur & mordeatur ſenſus ſeparatus ab eo quod eſt præter naturam. Ita etiam cum anima at- B

Cant 5. tenuatur & tabeſcit in increpationibus propter peccatum, vt alicubi dicit Prophetia, propter intimam illam cum peccato coniunctionem, neceſſariò conſequuntur ineffabiles quidem dolores & inexplicabiles, qui æquè dici ac explicari non poſſunt, atque natura bonorum quæ ſperantur. Nam neque hæc neque illa ſunt eiuſmodi, vt dicendi facultas aut coniectura animi ea poſſit aſſequi. Si quiſquam ergo ad finem intueatur ſapientiæ, quæ admi- C niſtrat vniuerſitatem, non vtique hominum opificem malorum auctorem ac cauſam, propter puſillum & abiectum ſuum animum iure nominauerit, aut decens eſt eum ignorare futurum: aut ſi ſciuerit & fecerit, non eſſe remotum à mali appetitione, & ad ipſum propenſione. Sciebat enim futurum, & non prohibuit quæ ad id quod fit, erat propenſionem & inclinationem. Quòd enim à bono homo eſſet auertendus, non ignorauit qui omnia ſuo dominatu continet, ſua præuidendi virtute æquè intuens id quod deinceps eſt futurum, atque id quod eſt præ- D teritum. Sed quomodo vidit auerſionem: ita etiam rurſus excogitauit eius ad bonum reuocationem. Quid ergo erat melius, an noſtram naturam non omnino ad ortum deducere, quoniam videbat futurum vt à bono aberraret: an cùm aberraſſet & morbo laboraſſet, reuocare ad gratiam quam habuit ab initio? Propter corporales autem dolores, quæ fluxæ naturæ neceſſario accedunt, Deum nominare malorum effectorem, aut ne omnino quidem eum exiſtimare hominis creatorem, ne cenſeatur eſſe cauſa & auctor eorum quæ nobis dolorem afferunt,

A καθὼς λέγει τὸ εὐαγγέλιον τοὺς κακῶς ἔχοντας ἰατρεύοντος. οὐ χρείαν γὰρ ἔχουσι, φησίν, οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. διὰ δὲ τὸ πολλὴν γεγενῆσθαι τῇ ψυχῇ πρὸς τὸ κακὸν συμφυΐαν, ὥσπερ ἡ τῆς μυρμηκίας τομὴ δριμύσσει τὴν ἐπιφάνειαν. τὸ γὰρ παρὰ φύσιν ἐμφυὲν τῇ φύσει, διά τινος συμπαθείας τῷ ὑποκειμένῳ προσίσχεται· καί τις γίνεται τοῦ ἀλλοτρίου πρὸς τὸ ἡμέτερον παράλογος συνανάκρασις, ὡς λυπεῖσθαι καὶ δάκνεσθαι τοῦ παρὰ φύσιν χωριζομένην τὴν αἴσθησιν. οὕτω καὶ τῆς ψυχῆς ἀπολεπτυνομένης τε καὶ ἐκτηκομένης ἐν τοῖς B ὑπὲρ τῆς ἁμαρτίας ἐλέγχοις, καθώς πού φησιν ἡ προφητεία, διὰ τὴν ἐν βάθει γενομένην πρὸς τὸ κακὸν οἰκειότητα, κατ' ἀνάγκην ἐπακολουθοῦσιν ἄρρητοί τινες καὶ ἀνέκφραστοι ἀλγηδόνες, ὧν ἡ διήγησις ἐκ τοῦ ἴσου τὸ ἄφραστον ἔχει, τῇ τῶν ἐλπιζομένων ἀγαθῶν φύσει. οὔτε γὰρ ταῦτα οὔτε ἐκεῖνα τῇ δυνάμει τῶν λόγων, ἢ τῷ στοχασμῷ τῆς διανοίας ὑπάγεται. οὐκοῦν πρὸς τὸ πέρας τις ἀποσκοπῶν τῆς σοφίας, τοῦ τὸ πᾶν οἰκονομοῦντος, οὐκέτ' ἂν εὐ- C λόγως κακῶν αἴτιον τὸν τῶν ἀνθρώπων δημιουργὸν ὑπὸ μικροψυχίας κατονομάζοι, ἢ ἀγνοεῖν αὐτὸν τὸ ἐσόμενον λέγων, ἢ εἰδότα καὶ πεποιηκότα μὴ ἔξω τῆς πρὸς τὸ πονηρὸν ὁρμῆς εἶναι. καὶ γὰρ ἤδει τὸ ἐσόμενον, καὶ τὴν πρὸς τὸ γινόμενον ὁρμὴν οὐκ ἐκώλυσεν. ὅτι γὰρ ἐκτραπήσεται τοῦ ἀγαθοῦ τὸ ἀνθρώπινον, οὐκ ἠγνόησεν ὁ πάντα ἐμπεριέχων τῇ προορατικῇ δυνάμει, καὶ τὸ ἐφεξῆς τῷ παρῳχηκότι βλέπων κατὰ τὸ ἴσον. ἀλλ' ὥσπερ τὴν παρατροπὴν ἐθεάσατο· οὕτω καὶ τὴν ἀνάκλη- D σιν αὐτοῦ πάλιν τὴν πρὸς τὸ ἀγαθὸν κατενόησε. τί οὖν ἄμεινον ἦν καθόλου μὴ ἀγαγεῖν τὴν φύσιν ἡμῶν εἰς γένεσιν, ἐπειδὴ τοῦ καλοῦ διαμαρτήσεσθαι προεώρα τὸ γενησόμενον, ἢ ἀγαγόντα καὶ νενοσηκότα πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν ἀνακαλέσασθαι; τὸ δὲ διὰ τὰς σωματικὰς ἀλγηδόνας, αἳ τῷ ῥευστῷ τῆς φύσεως κατ' ἀνάγκην ἐπισυμβαίνουσι, κακῶν ποιητὴν τὸν Θεὸν ὀνομάζειν, ἢ μηδὲ ὅλως ἀνθρώπου κτίστην αὐτὸν οἴεσθαι, ὡς ἂν μὴ καὶ τῶν ἀλγυνόντων ἡμᾶς αἴτιος ὑπονοοῖτο,

τοῦτο τῆς ἐσχάτης μικροψυχίας ἐστὶ τῶν τῇ αἰσθήσει τὸ καλὸν καὶ τὸ κακὸν διακρινόντων, οἳ οὐκ ἴσασιν, ὅτι ἐκεῖνο τῇ φύσει μόνον ἐστὶν ἀγαθόν, οὗ ἡ αἴσθησις οὐκ ἐφάπτεται· καὶ μόνον ἐκεῖνο κακὸν ἡ τοῦ ἀγαθοῦ ἀλλοτρίωσις. πόνοις δὲ καὶ ἡδοναῖς τὸ καλὸν καὶ τὸ κακὸν κρίνειν, τῆς ἀλόγου φύσεως ἴδιόν ἐστιν, ἐφ' ὧν τοῦ ἀληθῶς καλοῦ ἡ κατανόησις, διὰ τὸ μὴ μετέχειν αὐτὰ νοῦ καὶ διανοίας, χώραν οὐκ ἔχει. ἀλλ' ὅτι μὲν Θεοῦ ἔργον ὁ ἄνθρωπος καλόν τε καὶ ἐπὶ καλλίστοις γενόμενον, οὐ μόνον ἐκ τῶν εἰρημένων δῆλόν ἐστιν, ἀλλὰ καὶ ἐκ μυρίων ἑτέρων, ὧν τὸ πλῆθος διὰ τὴν ἀμετρίαν παραδραμούμεθα. Θεὸν δὲ ἀνθρώπου ποιητὴν ὀνομάσαντες, οὐκ ἐπιλελήσμεθα τῶν ἐν τῷ προοιμίῳ πρὸς τοὺς Ἕλληνας ἡμῖν διευκρινηθέντων, ἐν οἷς ἀπεδείκνυτο ὁ τοῦ Θεοῦ λόγος, οὐσιώδης τις καὶ ἐνυπόστατος ὤν, αὐτὸς εἶναι καὶ Θεὸς καὶ λόγος, πᾶσαν δύναμιν ποιητικὴν ἐμπεριειληφώς, μᾶλλον δὲ αὐτοδύναμις ὤν, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ὁρμὴν ἔχων, καὶ πᾶν ὅπερ ἂν θελήσῃ κατεργαζόμενος, τῷ σύνδρομον ἔχειν τῇ βουλήσει τὴν δύναμιν, οὗ καὶ θέλημα καὶ ἔργον ἐστὶν ἡ τῶν ὄντων ζωή, παρ' οὗ καὶ ὁ ἄνθρωπος εἰς τὸ ζῆν παρήχθη, πᾶσι τοῖς καλλίστοις θεοειδῶς κεκοσμημένος. ἐπεὶ δὲ μόνον ἀναλλοίωτόν ἐστι κατὰ τὴν φύσιν τὸ μὴ διὰ κτίσεως ἔχον τὴν γένεσιν· τὰ δὲ ὅσα παρὰ τῆς ἀκτίστου φύσεως ἐκ τοῦ μὴ ὄντος ὑπέστη, εὐθὺς ἀπὸ τροπῆς τοῦ εἶναι ἀρξάμενα, πάντοτε διὰ ἀλλοιώσεως πρόεισι, καὶ εἰ μὲν κατὰ φύσιν πράττοι, πρὸς τὸ κρεῖττον αὐτοῖς τῆς ἀλλοιώσεως εἰσαεὶ γινομένης. εἰ δὲ παρατραπείη τῆς εὐθείας, τῆς πρὸς τὸ ἐναντίον αὐτὰ διαδεχομένης κινήσεως. ἐπεὶ οὖν ἐν τούτοις καὶ ὁ ἄνθρωπος ἦν, ᾧ τὸ τρεπτὸν τῆς φύσεως πρὸς τὸ ἐναντίον παρωλίσθη· ἅπαξ δὲ τῆς τῶν ἀγαθῶν ἀναχωρήσεως, δι' ἀκολούθου πᾶσαν ἰδέαν κακῶν ἀντεισαγούσης, ὡς τῇ μὲν ἀποστροφῇ τῆς ζωῆς ἀντεισαχθῆναι τὸν θάνατον· τῇ δὲ στερήσει τοῦ φωτός, ἐπιγενέσθαι τὸ σκότος· τῇ δὲ τῆς ἀρετῆς ἀπουσίᾳ, τὴν κακίαν ἀντεισαχθῆναι·

A hoc eſt planè puſilli & abiecti animi eorum qui ſenſu bonum & malum diiudicant: qui neſciunt quod illud ſolum eſt bonum natura; quod ſenſus non attingit: & ſolum eſt illud malum, ab eo quod eſt verum abalienatio. Laboribus autem & voluptatibus dijudicare bonum & malum, eſt proprium naturæ rationis expertis, in quibus locum non habet veri boni cogitatio, propterea quòd ea mente careant & intelligentia. Sed quòd homo quidem pulchrum ſit ac præclarum Dei opus, factúmque ad ea quæ ſunt B pulcherrima & optima, non ſolum ex iis quæ dicta ſunt, eſt perſpicuum, ſed etiam ex aliis innumerabilibus, quorum prætermittemus multitudinem, quòd id eſſet infinitum. Cùm Deum autem creatorem & effectorem nominauimus, non obliti ſumus eorum quæ in proœmio ſcrutati ſumus aduerſus Græcos, in quibus oſtenſum eſt Dei Verbum, cum ſit eſſentiale & conſiſtens, ipſum eſſe & Deum & Verbum, ac rationem quæ complexa eſt omnem vim efficientem, vel quæ potius eſt C ipſa per ſe vis ac virtus, & quæ ſuapte propenſione ac appetitione fertur ad omne bonum, & quicquid voluerit, ſimul efficit, quod cum voluntate virtutem habeat concurrentem: cuius & voluntas & opus eſt eorum quæ ſunt vita, à quo etiam homo deductus eſt ad vitam, diuinè ornatus rebus omnibus optimis ac pulcherrimis. Quoniam autem ſolum eſt inalterabile ex iis quæ ſunt natura id quod per creationem non habet originem: quæcumque autem ab increata natura ex eo quod non erat, conſtiterunt, cùm ſtatim à conuerſione eſſe D ceperint, ſemper procedunt per alterationem. Et ſi agant quiddam ſecundum naturam, ad id quod eſt melius eis ſemper fit mutatio. Sin à recta deflexerint, qui fit ad contrarium motus ea ſemper excipit. Cùm ergo in his quoque eſſet homo, cui natura mutabilitas dilapſa erat ad contrarium: à bonis autem receſſus, & à conſequenti omne genus mali induceret, adeò vt per auerſionem quidem à vita, eius loco mors ſuccederet, per priuationem autem lucis, tenebræ: pro abſentia autem virtutis, inueheretur vitium:

in locum autem omnium bonorum referetur numerus contrariorum. Eum qui in hæc & quæ ſunt eiuſmodi, malo capto ceciderat conſilio: neque enim fieri poterat vt eſſet in prudentia, qui prudentiam fuerat auerſatus, neque vt ſapiens aliquid conſultaret, qui receſſerat à ſapientia, per quemnam rurſus eum oportebat reuocari ad eam, quam prius habebat gratiam? Cuinam autem conueniebat erectio eius qui ceciderat, aut reuocatio eius qui perierat, aut reductio eius qui aberrauerat? Cui, inquam, omnino alij, quam domino naturæ? Is enim ſolus qui vitam ab initio dederat, poterat, eúmque ſimul decebat, etiã pereuntem reuocare. Quod quidem audimus à myſterio veritatis, vt qui diſcamus & Deum ab initio feciſſe hominem, & ſalutem ei dediſſe cùm periiſſet.

A καὶ πάσῃ τῇ τῶν ἀγαθῶν τὸν τῶν ἐναντίων καταριθμηθῆναι κατάλογον, τὸν ἐν τούτοις καὶ τοῖς τοιούτοις ἐξ ἀβουλίας ἐμπεπτωκότα· οὐδὲ γὰρ ἦν δυνατὸν ἐν φρονήσει εἶναι τὸν ἀπεστραμμένον τὴν φρόνησιν, καὶ σοφόν τι βουλεύσασθαι, τὸν τῆς σοφίας ἀναχωρήσαντα, διὰ τίνος ἔδει πάλιν πρὸς τὴν ἐξ ἀρχῆς χάριν ἀνακληθῆναι; τίνι δὲ ἔπρεπεν ἡ τοῦ πεπτωκότος ἀνόρθωσις, ἡ τοῦ ἀπολωλότος ἀνάκλησις, ἡ τοῦ πεπλανημένου χειραγωγία; τίνι ἄλλῳ, ἢ τῷ κυρίῳ πάντως τῆς φύσεως; τῷ γὰρ ἐξ ἀρχῆς τὴν ζωὴν B δεδωκότι μόνῳ δυνατὸν ἦν, καὶ πρέπον ἅμα, καὶ ἀπολλυμένην ἀνακαλέσασθαι. ὃ παρὰ τοῦ μυστηρίου τῆς ἀληθείας ἀκούομεν, Θεὸν πεποιηκέναι ἐξ ἀρχῆς τὸν ἄνθρωπον, καὶ σεσωκέναι, διαπεπτωκότα μανθάνοντες.

CAPVT IX.

SED hactenus quidem aſſentietur fortè orationi, aſpiciens ad id quod eſt conſequens, propterea quòd nihil eorũ quæ dicta ſunt, videatur alienum ab ea quæ Deum decet notione, in iis C autem quæ deinceps ſequuntur, non itidem, per quæ maximè confirmatur myſterium veritatis. Ea autem ſunt humana generatio, & ab infantia incrementum ad perfectionem, cibúſque & potus, & labor & ſomnus, ægritudo & lachrymæ, calumnia & iudicium, crux & mors, eiuſq. depoſitio in monumento. Hæc enim ſimul aſſumpta cum myſterio, hebetant quodammodo fidem eorum qui ſunt puſilli & abiecti animi, vt nec ea quidem quæ deinceps dicuntur admittant, propter ea quæ prius dicta ſunt. Quæ enim Deum decet ex D mortuis reſurrectio, nõ admittitur propter mortem quæ non decet. Ego autem prius exiſtimo, à carnali craſſitudine paululũ abducta cogitatione, oportere ipſum per ſe bonum conſiderare, & quod non eſt eiuſmodi, nempe quibúſnam ſignis & notis vtrumque comprehendatur, Neminem enim qui ſapit, & eſt paulò cordatior, contradicturum exiſtimo, quin ſola ex omnibus ſecundum naturam ſit turpis ea quæ eſt ex vitio affectio: quæ eſt autem remota à vitio, ſit aliena ab omni turpitudine.

ΚΕΦΑΛΑΙΟΝ θʹ.

ΑΛΛΑ μέχρι μὲν τούτων συνθήσεται τυχὸν τῷ λόγῳ πρὸς τὸ ἀκόλουθον βλέπων, διὰ τὸ μὴ δοκεῖν ἔξω τι τῆς θεοπρεποῦς ἐννοίας τῶν εἰρημένων εἶναι, πρὸς δὲ τὰ ἐφεξῆς, οὐχ ὁμοίως ἕξει, δι᾽ ὧν μάλιστα τὸ μυστήριον τῆς ἀληθείας κρατύνεται. γένεσις ἀνθρωπίνη, καὶ ἐκ νηπίου πρὸς τελείωσιν αὔξησις, βρῶσίς τε καὶ πόσις, καὶ κόπος, καὶ ὕπνος, καὶ λύπη, καὶ δάκρυον, συκοφαντία τε καὶ δικαστήριον, καὶ σταυρὸς, καὶ θάνατος, καὶ ἡ ἐν μνημείῳ θέσις. ταῦτα γὰρ συμπαραλαμβανόμενα τῷ μυστηρίῳ ἀμβλύνει πως τῶν μικροψυχοτέρων τὴν πίστιν, ὡς μηδὲ τὸ ἐφεξῆς τῶν λεγομένων διὰ τὰ προειρημένα συμπαραδέχεσθαι. τὸ γὰρ θεοπρεπὲς τῆς ἐκ νεκρῶν ἀναστάσεως, διὰ τὸ περὶ τὸν θάνατον ἀπρεπὲς οὐ προσίεται. ἐγὼ δὲ πρότερον οἶμαι δεῖν μικρὸν τῆς σαρκικῆς παχύτητος τὸν λογισμὸν ἀποστήσαντας, αὐτὸ τὸ καλὸν ἐφ᾽ ἑαυτοῦ καὶ τὸ μὴ τοιοῦτον κατανοῆσαι, ποίοις γνωρίσμασιν ἑκάτερον τούτων καταλαμβάνεται. οὐδένα γὰρ ἀντερεῖν οἶμαι τῶν λελογισμένων, ὅτι ἓν κατὰ φύσιν μόνον τῶν πάντων ἐστὶν αἰσχρὸν, τὸ κατὰ κακίαν πάθος· τὸ δὲ κακίας ἐκτὸς, παντὸς αἴσχους ἐστὶν ἀλλότριον.

ᾧ δὲ μηδὲν ἐναντίου μέμικται, τοῦτο πάντως ἐν τῇ τοῦ καλοῦ μοίρᾳ καταλαμβάνεται. τὸ δὲ ἀληθὲς καλὸν, ἀμιγές ἐστι τοῦ ἐναντίου. πρέπει δὲ τῷ Θεῷ πᾶν ὅπερ ἂν ἐν τῇ τοῦ καλοῦ θεωρῆται χώρᾳ. ἢ τοίνυν δειξάτωσαν κακίαν εἶναι τὴν γέννησιν, τὴν ἀνατροφὴν, τὴν αὔξησιν, τὴν πρὸς τὸ τέλειον τῆς φύσεως πρόοδον, τὴν θανάτου πεῖραν, τὴν ἐκ τοῦ θανάτου ἐπάνοδον· ἢ εἰ ἔξω κακίας εἶναι τὰ εἰρημένα συντίθενται, οὐδὲν αἰσχρὸν εἶναι τὸ κακίας ἀλλότριον ἐξ ἀνάγκης ὁμολογήσουσι. καλοῦ δὲ πάντως ἀναδεικνυμένου, πῶς οὐκ ἐλεεινοὶ τῆς ἀλογίας οἱ τὸ καλὸν μὴ πρέπειν ἐπὶ Θεοῦ δογματίζοντες;

A Cui autem nihil eſt cōtrarij immixtum; in id eo quod eſt bonum & honeſtum omnino comprehenditur. Quod autem verum eſt bonum & honeſtum, minimè miſtum eſt contrario. Deum autem decet, quicquid conſideratur in eo quod eſt bonum & honeſtū. Aut ergo oſtendant vitium eſſe originē, educationem; augmentum; ad perfectionem naturæ progreſſionem, mortis experimentum, reſurrectionem à mortuis: vel ſi ea quæ dicta ſunt vitio vacare concedant, nihil quod vitio caret turpe eſſe fateantur neceſſe eſt. Quod ſi id bonum eſſe & B honeſtum omnino oſtenditur, quemadmodum non eſt miſerabilis eorum ſtultitia, qui id quod eſt bonum & honeſtum, in Deo minimè conuenire docent?

ΚΕΦΑΛΑΙΟΝ ι.

ΑΛΛΑ μικρόν, φησι, καὶ περιγραπτὸν ἡ ἀνθρωπίνη φύσις· ἄπειρον δὲ ἡ θεότης. καὶ πῶς ἂν περιελήφθη τῷ ἀτόμῳ τὸ ἄπειρον; καὶ τίς τοῦτο φησὶν, ὅτι τῇ περιγραφῇ τῆς σαρκὸς καθάπερ ἀγγείῳ τινὶ ἡ ἀπειρία τῆς θεότητος περιελήφθη; οὐδὲ γὰρ ἐπὶ τῆς ἡμετέρας C ζωῆς ἐντὸς κατακλείεται τῶν τῆς σαρκὸς ὅρων ἡ νοερὰ φύσις. ἀλλ' ὁ μὲν ὄγκος τοῦ σώματος, τοῖς οἰκείοις μέρεσι περιγράφεται· ἡ δὲ ψυχὴ τοῖς τῆς διανοίας κινήμασι πάσῃ κατ' ἐξουσίαν ἐφαπλοῦται τῇ κτίσει. καὶ μέχρις οὐρανῶν ἀνιοῦσα, καὶ τῶν ἀβύσσων ἐπιβατεύουσα, καὶ τῷ πλάτει τῆς οἰκουμένης ἐπερχομένη. καὶ πρὸς τὰ καταχθόνια διὰ τῆς πολυπραγμοσύνης εἰσδύουσα, πολλάκις δὲ καὶ τῶν οὐρανίων θαυμάτων ἐν περινοίᾳ γίνεται, οὐδὲν βαρυνομένη τῷ ἐφολκίῳ τοῦ σώματος. εἰ δὲ ἀνθρώπου ψυχὴ κατὰ τὴν τῆς φύσεως ἀνάγκην συγκεκραμένη τῷ σώματι πανταχοῦ κατ' ἐξουσίαν γίνεται· τίς ἡ ἀνάγκη τῇ φύσει τῆς σαρκὸς τὴν θεότητα λέγειν ἐμπεριείργεσθαι, καὶ μὴ διὰ τῶν χωρητῶν ἡμῖν ὑποδειγμάτων στοχασμὸν ἡμῖν τινὰ πρέποντα περὶ τῆς θείας οἰκονομίας λαβεῖν; ὡς γὰρ τὸ πῦρ ἐπὶ τῆς λαμπάδος ὁρᾶται τῆς ὑποκειμένης περιδεδραγμένον ὕλης, καὶ λόγος μὲν διακρίνει τό τε ἐπὶ τῆς ὕλης πῦρ, καὶ τὴν τὸ πῦρ ἐξάπτουσαν ὕλην· ἔργῳ δὲ οὐκ ἔστιν ἀπ' ἀλλήλων ταῦτα διατεμόντας,

CAPVT X.

AT res eſt, inquit, parua, & quæ circumſcribi poteſt humana natura: Deus autem eſt infinitus. Quomodo autem quod immēſum eſt atomo comprehendi queat? Quis autem hoc dicit, quòd carnis, tanquam vaſe aliquo, circumſcriptione comprehenſa ſit infinitas diuinitatis? Neque enim in noſtra vita intra carnis terminos concluditur intelligēs natura. Sed corporis quidem magnitudo ſuis circumſcribitur partibus: anima autem motibus cogitationis & intelligentiæ liberè extenditur in vniuerſa creatura, ad cœlos vſque aſcendens, & abyſſos ingrediens; & totius orbis terræ peruadens latitudinem, & ſubterranea curioſè ſubiens: ſæpe autem etiam cœleſtia miracula mente agitat & verſat, pondere corporis D quod deprimit nihil grauata. Si autem anima hominis, quæ naturæ neceſſitate eſt commiſta & contemperata corpori, vbique verſatur liberè; quid neceſſe eſt dicere diuinitatem coërceri intra naturam carnis: & non per exempla quæ à nobis capi poſſunt, quæ nos decet coniecturam ſumere de diuina diſpenſatione? Quomodo enim ignis videtur in lucerna ſubiectam apprehendēte materiam: & ratio quidem diſcernit ignem qui eſt in materia, & materiā quæ accendit ignem: reipſa autem nō poteſt, iis à ſe inuicem diſſectis,

Diuinitatis infinitas nō comprehenditur circūſcriptione carnis.

ipſa per ſe oſtendi flamma, diſiuncta à materia : ſed ambo ſimul vnum fiunt. Ita etiam (nemo autem in igne ſimul ſumat ad exemplum, id in quod cadit interitus, ſed eo tantum quod decet ſumpto ad ſimilitudinem, id quod non eſt proprium & conueniens reijciat) Ita ergo, vt videmus flammam quæ à ſubiecto dependet, & in materia non includitur : quid vetat, quo minus diuinæ naturæ cogitata quadam vnione & appropinquatione ad hominem, conſeruetur quę Deum decet cogitatio etiam in appropinquatione, credendo Deum eſſe remotum ab omni circumſcriptione, etiamſi ſit in homine.

A ἐφ' ἑαυτὴν δεῖξαι τὴν φλόγα διεζευγμένην τῆς ὕλης, ἀλλ' ἓν τὰ συναμφότερα γίνεται. οὕτω καὶ μηδεὶς τὸ φθαρτικὸν τοῦ πυρὸς συμπαραλαμβανέτω τῷ ὑποδείγματι, ἀλλ' ὅσον εὐπρεπές ἐστι μόνον ἐν τῇ εἰκόνι δεξάμενος, τὸ ἀνοίκειον καὶ ἀπεμφαῖνον ἀποποιείσθω· τὸν αὐτὸν οὖν τρόπον, ὡς ὁρῶμεν καὶ ἐξημμένην τοῦ ὑποκειμένου τὴν φλόγα, καὶ οὐκ ἐναποκλειομένην τῇ ὕλῃ· τί κωλύει θείας φύσεως ἕνωσιν τινὰ καὶ προσεγγισμὸν κατανοήσαντας πρὸς τὸ ἀνθρώπινον τὴν θεοπρεπῆ διάνοιαν καὶ ἐν τῷ προσεγγισμῷ διασώζεσθαι, πάσης B περιγραφῆς ἐκτὸς εἶναι τὸ θεῖον πιστεύοντας, κἂν ἐν ἀνθρώπῳ ᾖ.

CAPVT XI.

Quomodo diuinitas cum humanitate contemperetur, ignoramus.

SIN autem quæris quemadmodum cum humanitate contemperatur diuinitas: tibi prius quærendum eſt, cuiuſmodi ſit congeneratio & coniunctio animæ cum carne. Quod ſi ignoratur modus quo tua anima vnitur corpori; nec exiſtimes omnino illud à te oportere comprehendi. Sed quomodo credimus hic etiam animam aliquid eſſe diuerſum à corpore, ex eo quod caro, ſi deſerta fuerit ab anima, ſit mortua, nec poſſit operari, & coniunctionis modum ignoramus. Ita etiam quod attinet quidem ad majeſtatem & magnificentiam, diuinam naturam differre à mortali & interitui obnoxia, confitemur : modum autem contemperationis diuinitatis cum humanitate nos perſpicere non poſſe concedimus : ſed genitum quidem eſſe Deum in natura hominis, per ea quæ narrantur miracula, minimè dubitamus. Quomodo autem, vt quod ſit maius quàm quod conſiderare poſſimus, ſcrutati recuſamus. Neque enim cùm credimus omnem corpoream & quæ ſub intelligentiam cadit naturam, conſiſtere ab incorporea & increata natura, ſimul cum fide examinamus vnde id ſit, & quomodo. Sed quod factum ſit admittentes, quemadmodum vniuerſum conſiſtat, curioſè indagare prætermittimus, vt quod ſit omnino ineffabile atque inexplicabile.

ΚΕΦΑΛΑΙΟΝ ιά.

ΕΙ δὲ ζητεῖς πῶς κατακιρνᾶται θεότης πρὸς τὸ ἀνθρώπινον, ὥρα σοι ζητεῖν περὶ τούτου, τίς πρὸς τὴν σάρκα τῆς ψυχῆς ἡ συμφυΐα. Εἰ δὲ τῆς σῆς ἀγνοεῖται ψυχῆς ὁ τρόπος, καθ' ὃν ἑνοῦται τῷ σώματι· μηδὲ ἐκεῖνο πάντως οἴου δεῖν C ἐντὸς γενέσθαι τῆς σῆς καταλήψεως. ἀλλ' ὥσπερ ἐνταῦθα καὶ ἕτερον εἶναι παρὰ τὸ σῶμα τὴν ψυχὴν πεπιστεύκαμεν, ἐκ τοῦ μονωθεῖσαν τῆς ψυχῆς τὴν σάρκα νεκράν τε καὶ ἀνενέργητον γίνεσθαι, καὶ τὸν τῆς ἑνώσεως οὐκ ἐπιγινώσκομεν τρόπον· οὕτω κἀκεῖ διαφέρειν μὲν ἐπὶ τὸ μεγαλοπρεπέστερον τὴν θείαν φύσιν πρὸς τὴν θνητὴν καὶ ἐπίκηρον ὁμολογοῦμεν· τὸν δὲ τῆς ἀνακράσεως τρόπον τοῦ θείου πρὸς τὸ ἀνθρώπινον, συνιδεῖν οὐ χωροῦμεν· ἀλλὰ τὸ μὲν γεγενῆσθαι Θεὸν ἐν ἀνθρώπου φύσει, διὰ τῶν D ἱστορουμένων θαυμάτων οὐκ ἀμφιβάλλομεν· τὸ δὲ πῶς, ὡς μεῖζον ἢ κατὰ λογισμῶν ἔφοδον διερευνᾶν παραιτούμεθα. οὐδὲ γὰρ πᾶσαν τὴν σωματικήν τε καὶ νοητὴν γένεσιν παρὰ τῆς ἀσωμάτου τε καὶ ἀκτίστου φύσεως ὑποστῆναι πιστεύοντες, τὸ πόθεν ἢ τὸ ὅπως τῇ περὶ τούτων πίστει συνεξετάζομεν. ἀλλὰ τὸ γεγενῆσθαι παραδεχόμενοι, ἀπολυπραγμόνητον τὸν τρόπον τῆς τοῦ παντὸς συστάσεως καταλείπομεν, ὡς ἄρρητον παντάπασιν ὄντα καὶ ἀνερμήνευτον.

A

ΚΕΦΑΛΑΙΟΝ ιβʹ.

ΤΟΥ δὲ Θεοῦ ἐν σαρκὶ πεφανερῶσθαι ἡμῖν ὁ τὰς ἀποδείξεις ἐπιζητῶν, πρὸς τὰς ἐνεργείας βλεπέτω. καὶ γὰρ τοῦ ὅλως εἶναι Θεὸν, οὐκ ἄν τις ἑτέραν ἀπόδειξιν ἔχοι, πλὴν τῆς διὰ τῶν ἐνεργειῶν μαρτυρίας. ὥσπερ τοίνυν εἰς τὸ πᾶν ἀφορῶντες, καὶ τὰς κατὰ τὸν κόσμον οἰκονομίας ἐπισκοποῦντες, καὶ τὰς εὐεργεσίας τὰς θεόθεν κατὰ τὴν ζωὴν ἡμῶν ἐνεργουμένας, ὑπερκεῖσθαί τινα δύναμιν ποιητικὴν τῶν γινομένων, καὶ συντηρητικὴν τῶν ὄντων καταλαμβανόμεθα. οὕτως καὶ ἐπὶ τοῦ διὰ σαρκὸς ἡμῖν φανερωθέντος Θεοῦ ἱκανὴν ἀπόδειξιν τῆς ἐπιφανείας τῆς θεότητος τὰ κατὰ τὰς ἐνεργείας θαύματα πεποιήμεθα, πάντα τοῖς ἱστορηθεῖσιν ἔργοις, δι' ὧν ἡ θεία χαρακτηρίζεται φύσις κατανοήσαντες. Θεοῦ τὸ ζωοποιεῖν τοὺς ἀνθρώπους. Θεοῦ τὸ συντηρεῖν διὰ προνοίας τὰ ὄντα. Θεοῦ τὸ βρῶσιν καὶ πόσιν τοῖς διὰ σαρκὸς τὴν ζωὴν εἰληχόσι χαρίζεσθαι. Θεοῦ εὐεργετεῖν τὸν δεόμενον. Θεοῦ τὸ παρατραπεῖσαν ἐξ ἀσθενείας τὴν φύσιν, πάλιν δι' ὑγείας πρὸς ἑαυτὴν ἐπανάγειν. Θεοῦ τὸ πάσης ἐπικρατεῖν ὁμοιοτρόπως τῆς κτίσεως, γῆς, θαλάσσης, ἀέρος, τῶν ὑπὲρ τὸν ἀέρα τόπων. Θεοῦ τὸ πρὸς πάντα διαρκῆ τὴν δύναμιν ἔχειν, καὶ πρό γε πάντων τὸ θανάτου καὶ φθορᾶς εἶναι κρείττονα. Εἰ μὲν οὖν τινὸς τούτων ἐλλιπὴς ἦν ἡ περὶ αὐτὸν ἱστορία, εἰκότως τὸ μυστήριον ἡμῶν οἱ ἔξω τῆς πίστεως ἡμῶν παρεγράφοντο· εἰ δὲ δι' ὧν νοεῖται Θεὸς, πάντα ἐν τοῖς περὶ αὐτοῦ διηγήμασι καθορᾶται, τί τὸ ἐμποδίζον τῇ πίστει;

CAPVT XII.

QVI autem quærit ſibi oſtendi quòd Deus in carne nobis apparuerit, aſpiciat ad operationes. Nam quòd Deus ſit, non poteſt planè alia adduci probatio, quam teſtimonium operationum. Quomodo enim vniuerſitatem intuentes, & mundi adminiſtrationem conſiderantes, & beneficia quibus diuinitùs afficitur vita noſtra, comprehendimus aliquam eſſe ſummam virtutem, eorum quæ fiunt effe- *Per miracula & per opera Christum esse Deum probatur.*

B ctricem, & quæ ea quæ ſunt conſeruat. Ita etiam quòd Deus nobis in carne apparuerit, ſatis probari ducimus ex miraculis quæ facta ſunt in operationibus, vt qui in factis quæ ſunt enarrata, animaduertimus eſſe omnia per quæ diuina virtus exprimitur. Dei eſt, viuificare homines. Dei eſt, ea quæ ſunt, ſua conſeruare prudentia. Dei eſt, cibum largiri & potionem iis quibus obtigit vt in carne vitam agant. Dei eſt, ei qui opus habet benefacere. Dei eſt, ex imbecillitate peruerſam naturã per

C ſanitatem ſibi reſtituere. Dei eſt ſimiliter & eodem modo obtinere dominatum in omnem creaturam, terram, mare & aërem, & omnia quæ ſunt ſupra aërem. Dei eſt ad omnia ſatis habere poteſtatis, & ante omnia eſſe potentiorem morte & interitu. Si ergo aliquid horum deeſſet ei quæ de ipſo narratur hiſtoriæ, meritò qui à noſtra fide ſunt alieni, aduerſus noſtrum præſcriberent myſterium: Si verò omnia per quæ Deus intelligitur, cernuntur in iis quæ de ipſo narrantur, quid eſt quod fidem impediat?

D

ΚΕΦΑΛΑΙΟΝ ιγʹ.

ΑΛΛΑ φησὶ γέννησίς τε καὶ θάνατος ἴδιον τῆς σαρκικῆς ἐστι φύσεως. φημὶ κἀγώ. ἀλλὰ τὸ πρὸ τῆς γεννήσεως καὶ τὸ μετὰ τὸν θάνατον τὴν τῆς φύσεως ἡμῶν ἐκφεύγει κοινότητα. εἰς γὰρ ἑκάτερα τῆς ἀνθρωπίνης ζωῆς τὰ πέρατα βλέποντες, ἴσμεν καὶ ὅθεν ἀρχόμεθα, καὶ εἰς τί καταλήγομεν. ἐκ πάθους γὰρ ἀρξάμενος τοῦ εἶναι ὁ ἄνθρωπος, πάθει συναπαρτίζεται. ἐκεῖ δὲ οὔτε ἡ γέννησις ἀπὸ πάθους ἤρξατο, οὔτε ὁ θάνατος εἰς πάθος κατέληξεν. οὔτε γὰρ τῆς γεννήσεως ἡδονὴ

CAPVT XIII.

AT ortus, inquit, & mors eſt proprium naturæ carnis. Concedo. Sed & id quod fuit ante eius ortum, & id quod fuit poſt mortem, effugit naturæ noſtræ communitatem. Ad humanæ enim vitæ vtrumque finem aſpicientes, ſcimus & vnde incipimus, & in quid deſinimus. Homo enim cum eſſe cœperit ex affectione, affectione etiam conficitur & conſummatur. Illic autem neque generatio cœpit ab affectione: neque mors deſiit in affectionem. Neque enim voluptas

eius præceſſit generationem: neque mortem ſecuta eſt corruptio. Non credis miraculo. Lætor de tua incredulitate. Per hoc enim quòd ſupra fidem putas eſſe quod dicitur, fateris miracula eſſe ſupra naturam. Hoc ipſum ergo ſit tibi argumentum diuinitatis eius qui apparuit, quòd non procedat prædicatio per ea quæ ſunt ſecundum naturam. Nam ſi intra fines naturæ eſſent ea quæ de Chriſto narrantur, vbi diuinitas? Sin autem naturam ſuperat id quod dicitur, ea ipſa quæ non credis, probant Deum eſſe qui prædicatur. Nam homo quidē naſcitur ex duorum copula & coniunctione, & poſt mortem venit ad interitum. Si hæc continet prædicatio, Deum non eſſe omnino exiſtimare eum quem teſtaremur eſſe intra naturæ proprietates. Quoniam autem audis quidē ipſum eſſe genitum, exceſſiſſe autem naturæ noſtræ communitatem, & in modo generationis, & quòd non acceperit alterationem ad interitum: rectè erit ex conſequenti, ad alterum vti incredulitate, nempe vt non exiſtimes eum eſſe vnū hominem ex iis qui oſtenduntur in natura. Omnino enim neceſſe eſt, vt qui credit eum qui eſt huiuſmodi non eſſe hominem, deducatur ad credendū quòd ſit Deus. Nam qui natum eum eſſe narrauit, ſimul etiam hoc modo natum recenſuit. Si itaque ex dictis eum natum eſſe credibile eſt, etiam hac ratione natum per hæc eadem facile poteſt perſuaderi. Qui enim natum eſſe dixit, adiecit etiam, Ex virgine. Et qui mortis meminit, atteſtatur etiam quòd poſt mortem reſurrexit. Si ergo ex iis quæ audis, das etiam eſſe natum & mortuum, ex iiſdem omnino dabis, generationem eius & mortem eſſe extra affectionem. Verum enimuerò hæc naturam exuperant: ergo nec is intra naturam continetur, qui ſupra naturam oſtenditur fuiſſe generatus.

A καθηγήσατο, οὔτε τὸν θάνατον φθορὰ διεδέξατο. ἀπιστεῖς τῷ θαύματι. χαίρω τῇ ἀπιστίᾳ. ὁμολογεῖς γὰρ πάντως δι' ὧν ὑπὲρ πίστιν ἡγῇ τὸ λεγόμενον, ὑπὲρ τὴν φύσιν εἶναι τὰ θαύματα. αὐτὸ οὖν τοῦτο τῆς θεότητος ἔστω σοι τοῦ φανέντος ἀπόδειξις, τὸ μὴ διὰ τῶν κατὰ φύσιν προϊέναι τὸ κήρυγμα. εἰ γὰρ ἐντὸς ἦν τῶν τῆς φύσεως ὅρων τὰ περὶ τοῦ Χριστοῦ διηγήματα, ποῦ τὸ θεῖον; Εἰ δὲ ὑπερβαίνει τὴν φύσιν ὁ λόγος, ἐν οἷς ἀπιστεῖς, ἐν τούτοις ἐστὶν ἡ ἀπόδειξις τοῦ Θεὸν εἶναι τὸν κηρυσσόμενον. ἄνθρωπος μὲν γὰρ ἐκ συνδυασμοῦ τίκτεται, καὶ μετὰ θάνατον ἐν διαφθορᾷ γίνεται. εἰ ταῦτα περιεῖχε τὸ κήρυ-
B γμα, οὐκ ἂν Θεὸν εἶναι πάντως ᾠήθης τὸν ἐν τοῖς ἰδιώμασι τῆς φύσεως ἡμῶν μαρτυρούμενον. εἰπεὶ δὲ γεγεννῆσθαι μὲν ἀκούεις αὐτόν, ἐκβεβηκέναι δὲ τῆς φύσεως ἡμῶν τὴν κοινότητα, τῷ τε τῆς γενέσεως τρόπῳ, καὶ τῷ ἀνεπιδέκτῳ τῆς εἰς φθορὰν ἀλλοιώσεως, καλῶς ἂν ἔχοι κατὰ τὸ ἀκόλουθον, ἐπὶ τὸ ἕτερον τῇ ἀπιστίᾳ χρήσασθαι, εἰς τὸ μὴ ἄνθρωπον αὐτὸν ἕνα τῶν ἐν τῇ φύσει δεικνυμένων οἴεσθαι. ἀνάγκη γὰρ πᾶσα τὸν μὴ πιστεύοντα τὸν τοιοῦτον ἄνθρωπον εἶναι, εἰς τὴν περὶ τὸν Θεὸν αὐτὸν εἶναι πίστιν ἐναχθῆναι. ὁ γὰρ γεγεννῆσθαι αὐτὸν ἱστορήσας, καὶ τὸ οὕτως γεγεν-
C νῆσθαι συνδιηγήσατο. Εἰ οὖν πιστόν ἐστι διὰ τῶν εἰρημένων τὸ γεγεννῆσθαι αὐτόν, διὰ τῶν αὐτῶν τούτων πάντως οὐδὲ τὸ οὕτως αὐτὸν γεγεννῆσθαι ἀπίθανον. ὁ γὰρ τὴν γέννησιν εἰπών, καὶ τὸ ἐκ παρθένου προσέθηκε. καὶ ὁ τοῦ θανάτου μνησθεὶς, καὶ τὴν ἀνάστασιν τῷ θανάτῳ προσεμαρτύρησεν. εἰ οὖν ἀφ' ὧν ἀκούεις καὶ τὸ γεγεννῆσθαι καὶ τὸ τεθνάναι δίδως, ἐκ τῶν αὐτῶν δώσεις πάντως καὶ τὸ ἔξω πάθους εἶναι, καὶ τὴν γέννησιν αὐτοῦ καὶ τὸν θάνατον. ἀλλὰ μὴν ταῦτα μεί-
D ζω τῆς φύσεως· οὐκοῦν οὐδὲ ἐκεῖνος πάντως ἐντὸς τῆς φύσεως, ὁ ἐν τοῖς ὑπὲρ φύσιν γεγεννῆσθαι ἀποδεικνύμενος.

CAPVT XIV.

QVÆNAM eſt ergo, inquit, cauſa, quòd Deus ſe ad tantam demiſerit humilitatem, vt fides ſit dubia, an Deus qui eſt res quę nec capi nec mente comprehendi, nec verbis poteſt explicari,

ΚΕΦΑΛΑΙΟΝ ιδ'.

ΤΙΣ οὖν αἰτία, φησί, τοῦ πρὸς τὴν ταπεινότητα ταύτην καταβῆναι τὸ θεῖον, ὡς ἀμφίβολον εἶναι τὴν πίστιν, εἰ Θεὸς τὸ ἀχώρητον καὶ ἀκατανόητον, καὶ ἀνεκλάλητον πρᾶγμα, τὸ

ὑπὲρ πᾶσαν δόξαν καὶ πᾶσαν μεγαλειότητα τῷ εὐτελεῖ ἐλύτρῳ τῆς ἀνθρωπίνης φύσεως καταμίγνυται, ὡς καὶ τὰς ὑψηλὰς ἐνεργείας αὐτοῦ τῇ πρὸς τὸ ταπεινὸν ἐπιμιξίᾳ συνευτελίζεσθαι;

A quæ omnem ſuperat opinionem & amplitudinem, miſceatur in vili & abiecto humanæ naturæ inuolucro, adeò vt excelſæ & ſublimes eius operationes ſimul reddantur abiectæ & viles cum admiſtione eius quod eſt abiectum & humile?

ΚΕΦΑΛΑΙΟΝ ιε'.

ΟΥΚ ἀποροῦμεν πρὸς τοῦτο θεοπρεποῦς ἀποκρίσεως. ζητεῖς τὴν αἰτίαν τοῦ γεννηθῆναι Θεὸν ἐν ἀνθρώποις; ἐὰν ἀφέλῃς τοῦ βίου τὰς θεόθεν ἀπαντωμένας εὐεργεσίας, ἐκ ποίων ἐπιγνώσῃ τὸ θεῖον, οὐκ ἂν εἰπεῖν ἔχοις. ἀφ' ὧν γὰρ ἐπάσχομεν, ἀπὸ τούτων τὸν εὐεργέτην ἐπιγινώσκομεν. πρὸς γὰρ τὰ γινόμενα βλέποντες, διὰ τούτων τὴν τοῦ ἐνεργοῦντος ἀναλογιζόμεθα φύσιν. εἰ οὖν ἴδιον γνώρισμα τῆς θείας φύσεως ἡ φιλανθρωπία, ἔχεις ὃν ἐπεζήτησας λόγον, ἔχεις τὴν αἰτίαν τῆς ἐν ἀνθρώποις τοῦ Θεοῦ παρουσίας. ἐδεῖτο γὰρ τοῦ ἰατρεύοντος ἡ φύσις ἡμῶν ἀσθενήσασα. ἐδεῖτο τοῦ ἀνορθοῦντος, ὁ ἐν τῷ πτώματι ἄνθρωπος. ἐδεῖτο τοῦ ζωοποιοῦντος, ὁ ἀφαμαρτὼν τῆς ζωῆς. ἐδεῖτο τοῦ πρὸς τὸ ἀγαθὸν ἐπανάγοντος, ὁ ἀπορρυεὶς τῆς τοῦ ἀγαθοῦ μετουσίας. ἔχρῃζε τῆς τοῦ φωτὸς παρουσίας, ὁ καθειργμένος τῷ σκότει. ἐζήτει τὸν λυτρωτὴν ὁ αἰχμάλωτος, τὸν συναγωνιστὴν ὁ δεσμώτης, τὸν ἐλευθερωτὴν, ὁ τῷ ζυγῷ τῆς δουλείας κατεχόμενος. ἆρα μικρὰ ταῦτα καὶ ἀνάξια τὸν Θεὸν δυσωπῆσαι πρὸς ἐπίσκεψιν τῆς ἀνθρωπίνης φύσεως καταβῆναι, οὕτως ἐλεεινῶς καὶ ἀθλίως τῆς ἀνθρωπότητος διακειμένης; ἀλλ' ἐξῆν, φησί, καὶ εὐεργετηθῆναι τὸν ἄνθρωπον, καὶ ἐν ἀπαθείᾳ τὸν Θεὸν διαμεῖναι. ὁ γὰρ τῷ βουλήματι τὸ πᾶν συστησάμενος, καὶ τὸ μὴ ὂν ὑποστήσας ἐν μόνῃ τῇ ὁρμῇ τοῦ θελήματος, τί οὐχὶ καὶ τὸν ἄνθρωπον δι' αὐθεντικῆς τινὸς καὶ θεϊκῆς ἐξουσίας τῆς ἐναντίας δυνάμεως ἀποσπάσας, πρὸς τὴν ἐξ ἀρχῆς ἄγει κατάστασιν, εἰ τοῦτο φίλον αὐτῷ· ἀλλὰ μακρὰς περιέρχεται περιόδους, σώματος ὑπερχόμενος φύσιν, καὶ διὰ γεννήσεως παριὼν εἰς τὸν βίον, καὶ πᾶσαν ἀκολούθως ἡλικίαν διεξιών, εἶτα θανάτου γευόμενος, καὶ οὕτως διὰ τῆς τοῦ ἰδίου σώματος ἀναστάσεως τὸν σκοπὸν ἀνύων· ὡς οὐκ ἐξὸν αὐτῷ μένοντι ἐπὶ τοῦ ὕψους τῆς θεϊκῆς δόξης, διὰ προσ-

CAPVT XV.

NOBIS ad hæc minimè deeſt quæ Deum deceat reſponſio. Quæris cauſam cur Deus genitus ſit inter homines? B Si à vita abſtraxeris quæ à Deo accepta ſint beneficia, dicere non poteris ex quibúſnam rebus Deum agnoſces. Ex iis enim quæ accipimus, benefactorem agnoſcimus. Ad ea enim quæ fiunt aſpicientes, per ea eius qui agit naturam reputamus. Si ergo diuinæ naturæ indicium & ſignum proprium, eſt beneuolentia in homines, habes rationem quam quærebas, habes cauſam cur Deus venerit ad homines. Opus enim habebat medico natura noſtra, quæ morbo laborabat. Opus habebat eo qui erigeret, homo qui ceciderat. C Opus habebat eo qui viuificaret, qui à vita exciderat. Opus habebat eo qui ad bonum reduceret, qui defluxerat à boni participatione. Egebat lucis præſentia, qui erat incluſus in tenebris. Quærebat redemptorem captiuus, adiutorem vinctus, liberatorem is qui iugo premebatur ſeruitutis. Hæcne ſunt parua & indigna quæ Deum moueant, vt deſcendat ad humanam naturam viſitandam, cùm adeò infeliciter & miſerabiliter affecta eſſet humanitas? At poterat, inquit, & homo beneficio affici, & Deus manere in impatibilitate. D Qui enim vniuerſitatem voluntate condidit, & quod non erat fecit conſiſtere ſolo nutu & momento voluntatis, cur non diuina aliqua auctoritate & imperio à contraria poteſtate auulſum hominem deducit ad eum ſtatum qui fuit ab initio, ſi hoc ei lubebat: ſed longos obit circuitus, corporis naturā ſubiens, & per generationē ad vitam accedens, & conſequenter per omnem tranſiens ætatem, & deinde moriens, & ita per ſuum corpus peragens ſcopum reſurrectionis: perinde atque ſi ei non liceret manenti in diuinæ gloriæ altitudine,

Beneuolentia eſt cauſa cur Deus venerit ad homines.

iuſſu ſeruare hominem, iubere autem valere eiuſmodi circuitus? Neceſſe eſt ergo eiuſmodi obiectionibus etiam noſtram obijcere veritatem, vt nulla re impediatur fides eorum, qui examinando quærunt verbum myſterij. Primum adeò, quod ſupra iam quodammodo diſcuſſum eſt, conſideremus, quidnam virtuti tanquam contrarium opponatur. Certè quemadmodum tenebræ lumini, mors vitæ, ita virtuti quoque vitium nec aliud quicquam cõtrarium eſt. Vt enim cùm multa ſint quæ conſiderantur in creatura, nihil aliud ex aduerſo diſtinguitur à luce aut à vita, non lapis, non lignum non aqua, non homo, neque aliquid aliud ex iis quæ ſunt, præterquam ea quæ propriè intelliguntur ex contrario, vtpote tenebræ & mors. Ita etiam in virtute, nemo dixerit vllam creaturam, intelligi eſſe ei contrariam, præterquam id quod mente concipitur ex vitio. Si ergo in vitio quidem natum eſſe Deum noſtra aſſereret oratio, opportunè poſſet qui contradicit, noſtram inſectari fidem, vt qui ea opinaremur quæ diuinæ naturæ minimè congruant & conueniant. Non enim fas eſſet dicere ipſam & per ſe ſapientiam & bonitatem & incorruptionem, & ſi eſt aliqua ſublimis intelligentia, & ſublime nomen, transmutatum eſſe in contrarium. Si ergo Deus quidem eſt vera virtus, nulla autem natura tanquam aduerſa ſtatuitur virtuti, ſed vitium; Deus autem non gignitur in vitio, ſed in natura hominis: ſola autem eſt indecora & turpis quæ ex vitio eſt affectio, in qua nec genitus eſt Deus, nec ea eſt eius natura vt gigni poſſit, cur pudet eos fateri Deum humanam attigiſſe naturam, perinde ac ſi ratio virtutis conſideretur contraria conditioni hominis? Neque enim rationis & intelligentiæ eſſe participem, neque ſcientię eſſe capacem, neque quicquam aliud eiuſmodi, quod eſt proprium humanæ eſſentiæ, repugnant rationi virtutis.

A στάγματος σῶσαι τὸν ἄνθρωπον, τὰς δὲ τοιαύτας περιόδους χαίρειν ἐᾶσαι; Οὐκοῦν ἀνάγκη καὶ ταῖς τοιαύταις τῶν ἀντιθέσεων ἀντικαταστῆσαι παρ' ἡμῶν τὴν ἀλήθειαν, ὡς ἂν διὰ μηδενὸς ἡ πίστις κωλύοιτο, τῶν ἐξεταστικῶς ζητούντων τοῦ μυστηρίου τὸν λόγον. πρῶτον μὲν οὖν ὅπερ καὶ ἐν τοῖς φθάσασιν ἤδη μετρίως ἐξήτασται, τί τῇ ἀρετῇ κατὰ τὸ ἐναντίον καθέστηκεν, ἐπισκεψώμεθα. ὡς φωτὶ σκότος καὶ θάνατος τῇ ζωῇ, οὕτω καὶ τῇ κακίᾳ ἡ ἀρετὴ δηλονότι, καὶ οὐδὲν παρὰ ταύτην ἕτερον. καθάπερ γὰρ πολλῶν ὄντων τῶν ἐν τῇ κτίσει θεωρουμένων, οὐδὲν ἄλλο πρὸς τὸ φῶς ἢ τὴν ζωὴν τὴν ἀντιδιαίρεσιν ἔχει, οὐ λίθος, οὐ ξύλον, οὐχ ὕδωρ, οὐκ ἄνθρωπος, οὐκ ἄλλο τι τῶν ὄντων οὐδέν, πλὴν ἰδίως τὰ κατὰ τὸ ἐναντίον νοούμενα, οἷον σκότος καὶ θάνατος. οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς οὐκ ἄν τις κτίσιν τινὰ κατὰ τὸ ἐναντίον αὐτῇ νοεῖσθαι λέγοι, πλὴν τὸ κατὰ κακίας νόημα. οὐκοῦν εἰ μὲν ἐν κακίᾳ γεγενῆσθαι τὸ θεῖον ὁ ἡμέτερος ἐπρέσβευε λόγος, καιρὸν ἂν εἶχεν ὁ ἀντιλέγων καταστρέχειν ἡμῶν τῆς πίστεως, ὡς ἀνάρμοστά τε καὶ ἀπεμφαίνοντα περὶ τῆς θείας φύσεως δοξαζόντων. οὐ γὰρ δὴ θεμιτὸν ἦν τὴν αὐτοσοφίαν καὶ ἀγαθότητα καὶ ἀφθαρσίαν, καὶ εἴ τι ὑψηλόν ἐστι νόημά τε καὶ ὄνομα, πρὸς τὸ ἐναντίον μεταπεπτωκέναι λέγειν. εἰ οὖν Θεὸς μὲν ἡ ἀληθὴς ἀρετή, φύσις δέ τις οὐκ ἀντιδιαιρεῖται τῇ ἀρετῇ, ἀλλὰ κακία· Θεὸς δὲ οὐκ ἐν κακίᾳ, ἀλλ' ἐν ἀνθρώπου γίνεται φύσει· μόνον δὲ ἀπρεπὲς καὶ αἰσχρὸν τὸ κατὰ κακίαν πάθος, ἐν ᾧ οὔτε γέγονε Θεός, οὔτε τοῦ γενέσθαι φύσιν ἔχει, τί ἐπαισχύνονται τὴν ὁμολογίαν τοῦ Θεὸν ἀνθρωπίνης ἅψασθαι φύσεως, οὐδεμιᾶς ἐναντιότητος, ὡς πρὸς τὸν τῆς ἀρετῆς λόγον ἐν τῇ κατασκευῇ τοῦ ἀνθρώπου θεωρουμένης; οὔτε γὰρ τὸ λογικὸν οὔτε τὸ διανοητικόν, οὔτε τὸ ἐπιστήμης δεκτικόν, οὔτε ἄλλο τοιοῦτον, ὃ τῆς ἀνθρωπίνης ἴδιον οὐσίας ἐστί, τῷ λόγῳ τῆς ἀρετῆς ὑπεναντίωται.

CAPVT XVI.

Deus qui eſt impatibilis quomodo dicatur pati ſeu affici.

AT ipſa, inquit, noſtri corporis mutatio eſt affectio. Qui autem in ea fuerit, afficitur. Deus autem eſt impatibilis. Eſt ergo aliena de Deo exiſtimatio, ſiquidem eum qui eſt impatibilis

ΚΕΦΑΛΑΙΟΝ ιϛ'.

ΑΛΛ' αὐτή, φησίν, ἡ τροπὴ τοῦ ἡμετέρου σώματος πάθος ἐστί. ὁ δὲ ἐν τούτῳ γεγονώς, ἐν πάθει γίνεται· ἀπαθὲς δὲ τὸ θεῖον. οὐκοῦν ἀλλοτρία περὶ Θεοῦ ἡ ὑπόληψις, εἴπερ τὸν ἀπαθῆ κατὰ τὴν

φύσιν πρὸς κοινωνίαν πάθους ἐλθεῖν διορίζονται. ἀλλὰ καὶ πρὸς ταῦτα πάλιν τῷ αὐτῷ λόγῳ χρησώμεθα, ὅτι τὸ πάθος τὸ μὲν κυρίως, τὸ δὲ ἐκ καταχρήσεως λέγεται. τὸ μὲν οὖν προαιρέσεως ἁπτόμενον, καὶ πρὸς κακίαν ἀπὸ τῆς ἀρετῆς μεταστρέφον, ἀληθῶς πάθος ἐστί. τὸ δὲ ὅσον ἐν τῇ φύσει κατὰ τὸν ἴδιον εἱρμὸν προϊούσης διεξοδικῶς θεωρεῖται, τοῦτο κυριώτερον ἔργον ἂν μᾶλλον, ἢ πάθος προσαγορεύοιτο, οἷον ἡ γένεσις, ἡ αὔξησις, ἡ διὰ τῆς ἐπιρρύτου τε καὶ ἀπορρύτου τῆς τροφῆς τοῦ ὑποκειμένου διαμονή, ἡ τῶν στοιχείων περὶ τὸ σῶμα συνδρομή, ἡ τοῦ συντεθέντος πάλιν διάλυσίς τε καὶ πρὸς τὰ συγγενῆ μεταχώρησις. τίνος οὖν λέγει τὸ μυστήριον ἡμῶν ἧφθαι τὸ θεῖον; τοῦ κυρίως λεγομένου πάθους, ὅπερ κακία ἐστίν, ἢ τοῦ κατὰ φύσιν κινήματος; εἰ μὲν γὰρ ἐν τοῖς ἀπηγορευμένοις γεγενῆσθαι τὸ θεῖον ὁ λόγος διϊσχυρίζετο, φεύγειν ἔδει τὴν ἀτοπίαν τοῦ δόγματος, ὡς οὐδὲν ὑγιὲς περὶ τῆς θείας φύσεως διεξιόντος. εἰ δὲ τῆς φύσεως ἡμῶν αὐτὸν ἐφῆφθαι λέγει, ἧς καὶ ἡ πρώτη γένεσίς τε καὶ ὑπόστασις παρ' αὐτοῦ τὴν ἀρχὴν ἔσχε, ποῦ τῆς θεοπρεπούσης ἐννοίας διαμαρτάνει τὸ κήρυγμα, μηδεμιᾶς παθητικῆς διαθέσεως ἐν ταῖς περὶ θεοῦ ὑπολήψεσι τῇ πίστει εἰσιούσης; οὐδὲ γὰρ τὸν ἰατρὸν ἐν πάθει γίνεσθαι λέγομεν, ὅταν θεραπεύῃ τὸν ἐν πάθει γενόμενον. ἀλλὰ κἂν προσάψηται τοῦ ἀρρωστήματος, ἔξω πάθους ὁ θεραπευτὴς διαμένει. εἰ ἡ γένεσις αὐτὴ καθ' ἑαυτὴν πάθος οὐκ ἔστιν, οὐδ' ἂν τὴν ζωὴν τις πάθος προσαγορεύσειε. ἀλλὰ τὸ καθ' ἡδονὴν πάθος τῆς ἀνθρωπίνης καθηγεῖται γενέσεως, καὶ ἡ πρὸς κακίαν ὁρμὴ τῶν ζώντων, τοῦτο τῆς φύσεώς ἐστιν ἀρρώστημα. ἀλλὰ μὴν ἀμφοτέρων αὐτὸν καθαρεύειν φησὶ τὸ μυστήριον. εἰ οὖν ἡδονῆς μὲν ἡ γένεσις ἠλλοτρίωται, κακίας δὲ ἡ ζωή, ποῖον ὑπολείπεται πάθος, οὗ τὸν θεὸν κεκοινωνηκέναι φησὶ τὸ τῆς εὐσεβείας μυστήριον; εἰ δὲ τὴν τοῦ σώματος καὶ τῆς ψυχῆς τις διάζευξιν πάθος προσαγορεύοι, πολὺ πρότερον δικαίως ἂν εἴη τὴν συνδρομὴν ἀμφοτέρων οὕτω κατονομάσαι. εἰ γὰρ ὁ χωρισμὸς τῶν συνημμένων πάθος ἐστί, καὶ ἡ συνάφεια τῶν διεστώτων πάθος ἂν εἴη. κίνησις γάρ τις ἐστὶ καὶ ἐν τῇ συγκρίσει τῶν διεστώτων, καὶ ἐν τῇ διακρίσει τῶν συμπε-

A ſecundum naturam, ſtatuunt venire ad communionem affectionis. Sed ad hæc quoque rurſus eadem vtemur oratione, nempe quod affectio alia quidem propriè dicitur, alia verò per abuſioſionem. Atque ea quidem quæ tangit liberum animi arbitrium & electionem, & à virtute auertit ad vitium, propriè eſt affectio. Quæ autem in natura per ſuam ſeriem tranſeundo ingredientе conſideratur, ea opus potius quàm affectio propriè eſt appellanda, vt generatio, augmentum, quæ per affluentis & effluentis nutrimentum ſubiecti B fit permanſio, elementorum circa corpus concurſio, compoſiti rurſus diſſolutio, & ad ea quæ ſunt cognata tranſitus. Quámnam ergo affectionem dicit myſterium noſtrum Deum tetigiſſe? cámne quæ propriè dicitur affectio, quæ quidem eſt vitium: an motum qui eſt ſecundum naturam? Nam ſi in iis quidem quæ ſunt prohibita Deum fuiſſe affirmaret noſtra oratio, fugienda eſſet abſurditas dogmatis, vt nihil recti diceret de diuina natura. Sin autem dicit eum noſtram attigiſſe naturam, C cuius primus ortus & ſubſtantia ab eo habuit principium, vbinam aberrat prædicatio ab ea quæ Deum decet mentis conceptione, cùm nulla patibilis affectio, in iis quæ de Deo ſunt opinionibus, fidem ingrediatur? Neque enim medicum dicimus eſſe affectum, quando eum curat qui eſt affectus. Sed & ſi attigerit ægritudinem, is qui medetur, manet remotus ab affectione. Si autem ipſe ortus per ſe non eſt affectio, neque vita appellanda eſt affectio. Sed quæ ex voluptate quidē exiſtit affectio, humanam præcedit generationē, & qui ad vitium fertur viuentiū impetus, ea eſt na- D turæ ęgritudo. Atqui eum ab vtroq. eſſe mundū dicit myſterium. Si ergo à voluptate quidem aliena eſt generatio: vita autem à vitio: quænam reſtat affectio, cuius Deum fuiſſe participem dicit diuinum myſterium? Si corporis autem & animæ diſiunctionem appellet quiſpiam affectionem, longè prius æquum fuerit vtriuſque concurſionem appellare affectionem. Nam ſi ſeparatio eſt affectio eorum quæ ſunt coniuncta; coniunctio quoque fuerit affectio eorum quæ ſunt diſiuncta. Eſt enim quidem motus vnitus, & in concretione eorum quæ ſunt diſiuncta, & in diſcre-

tione eorum quæ ſunt contexta. Quod autem vocatur motus vltimus, hoc vocari conuenit etiam præcedentem. Si autem primus motus, quem nominamus generationem, à nobis nominetur affectio, ex conſequenti etiam is dicetur, per quem concurſio animæ & corporis ſecernitur. Deum autem dicimus fuiſſe in vtroque motu noſtræ naturæ, per quem anima concurrit cum corpore, & corpus ſecernitur ab anima. Cum vtroque autem horum, cum ſenſili, inquam, & intelligenti commiſta humana concretione per illam ineffabilem & inexplicabilem contemperationem, hoc Deus prouidit & adminiſtrauit, vt eorum quæ ſemel vnita eſſent, animæ, inquam, & corporis, etiam in ſempiternum permaneret vnio. Cùm enim noſtra natura per propriam conſequentiam, in illo mota eſſet ad ſecretionem animæ & corporis: quæ ſecreta ac ſeparata fuerant rurſus coniunxit, eo quod fuerat defectum, per quoddam veluti glutinum, per diuinam inquam virtutem, ad vnionem quæ rumpi minimè poteſt, compacto & concinnato. Et hoc eſt reſurrectio, eorum quæ coniuncta fuerant, poſt diſſolutionem reditus ad vnionem quæ minimè poteſt diſſolui, iis in ſe inuicem coniunctis & coaleſcentibus, vt prima quæ fuerat hominis gratia reuocetur, & ad vitam reuertamur ſempiternam, cum id quod noſtrę naturę miſtum fuerat vitium effluxiſſet per reſolutionem, vt accedit in humore, qui fracto eius vaſe diſpergitur & euaneſcit, cum nihil ſit quod contineat. Quomodo autem mortis initium cùm extitiſſet in vno, ſimul etiam ad vniuerſam peruaſit humanam naturam: eodem modo etiam principium reſurrectionis, per vnum ad vniuerſam extéditur humanitatem. Qui enim à ſe rurſus aſſumptam animam ſuo vniit corpori per propriam virtutem, quæ vtrique eorum immiſta fuerat in prima conditione, iis generaliori quadam ratione ſenſili eam naturæ commiſcuit eſſentiam, quæ intelligentiæ particeps eſt, principio ad finem debita conſequẽtia deducto. Nam in humana rurſus ab illo aſſumpta concretione ac compoſitione, cùm poſt diſſolutionem anima rurſus rediiſſet ad corpus veluti à quodam initio, per eius virtutem, vnio eius quod fuerat ſepa-

A πλεγμένων ἡ νοουμένη. ὅταν τοίνυν τελευταία κίνησις ὀνομάζηται, τοῦτο προσήκει καλεῖσθαι καὶ τὴν προάγουσαν. Εἰ δὲ ἡ πρώτη κίνησις ἣν γένεσιν ὀνομάζομεν, πάθος αὖ κατὰ τὸ ἀκόλουθον λέγοιτο, καθ' ἣν ἡ συνδρομὴ τοῦ σώματος καὶ τῆς ψυχῆς διακρίνεται. τὸν δὲ Θεὸν φαμὲν ἐν ἑκατέρᾳ γεγενῆσθαι τῇ τῆς φύσεως ἡμῶν κινήσει, δι' ἧς ἥτε ψυχὴ πρὸς τὸ σῶμα συντρέχει, τό τε σῶμα τῆς ψυχῆς διακρίνεται. καταμιχθέντος δὲ πρὸς ἑκάτερον τούτων, πρός τε τὸ αἰσθητὸν φημὶ καὶ τὸ νοερὸν τοῦ ἀνθρωπίνου συγκρίματος διὰ τῆς ἀρρήτου ἐκείνης καὶ ἀνεκφράστου συνανακράσεως, τοῦτο
B οἰκονομῆσαι τὸ τῶν ἅπαξ ἑνωθέντων, ψυχῆς λέγω καὶ σώματος, καὶ εἰσαεὶ διαμεῖναι τὴν ἕνωσιν. τῆς γὰρ φύσεως ἡμῶν διὰ τῆς ἰδίας ἀκολουθίας, καὶ ἐν ἐκείνῳ πρὸς διάκρισιν τοῦ σώματος καὶ τῆς ψυχῆς κινηθείσης πάλιν συνῆψε τὰ διακριθέντα καθάπερ τινὶ κόλλῃ, τῇ θείᾳ λέγω δυνάμει. πρὸς τὴν ἄρρηκτον ἕνωσιν τὸ διασχισθὲν συναρμόσας. καὶ τοῦτό ἐστιν ἡ ἀνάστασις ἡ τῶν συνεζευγμένων μετὰ τὴν διάλυσιν ἐπάνοδος, εἰς ἀδιάλυτον ἕνωσιν ἀλλήλοις συμφυομένων, ὡς ἂν ἡ πρώτη περὶ τὸ ἀνθρώπινον χάρις ἀνακληθείη, καὶ πάλιν ἐπὶ τὴν ἀΐ-
C διον ἐπανέλθοιμεν ζωήν, τῆς ἐμμιχθείσης τῇ φύσει κακίας διὰ τῆς διαλύσεως ἡμῶν ἐκρυείσης· οἷον ἐπὶ τοῦ ὑγροῦ συμβαίνει, περιθρυφθέντος αὐτοῦ τοῦ ἀγγείου, σκεδαννυμένου τε καὶ ἀφανιζομένου, μηδενὸς ὄντος τοῦ περιστέγοντος. καθάπερ δὲ ἡ ἀρχὴ τοῦ θανάτου ἐν ἑνὶ γενομένη πάσῃ συνδιεξῆλθε τῇ ἀνθρωπίνῃ φύσει, κατὰ τὸν αὐτὸν τρόπον, καὶ ἡ ἀρχὴ τῆς ἀναστάσεως δι' ἑνὸς ἐπὶ πᾶσι διατείνει τὴν ἀνθρωπότητα. ὁ γὰρ τὴν ἀναληφθεῖσαν παρ'
D ἑαυτοῦ ψυχὴν, πάλιν ἑνώσας τῷ οἰκείῳ σώματι διὰ τῆς δυνάμεως αὐτοῦ τῆς ἑκατέρῳ τούτων κατὰ τὴν πρώτην σύστασιν ἐμμιχθείσης, οὕτω γενικωτέρῳ τινὶ τρόπῳ νοερὰν οὐσίαν τῇ αἰσθητῇ συγκατέμιξε, τῆς ἀρχῆς κατὰ τὸ ἀκόλουθον ἐπὶ τὸ πέρας εὐοδουμένης. ἐν γὰρ τῷ ἀναληφθέντι παρ' αὐτοῦ ἀνθρωπίνῳ συγκρίματι, πάλιν μετὰ τὴν διάλυσιν πρὸς τὸ σῶμα τῆς ψυχῆς ἐπανελθούσης, οἷον ἀπό τινος ἀρχῆς εἰς πᾶσαν τὴν ἀνθρωπίνην φύσιν

τῇ δυ-

A τῇ δυνάμει κατὰ τὸ ἴσον ἐκ τοῦ διακριθέντος ἑνώσεως διαβαίνει. καὶ τοῦτό ἐστι τὸ μυστήριον τῆς τοῦ Θεοῦ περὶ τὸν ἄνθρωπον οἰκονομίας, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, τὸ διαλυθῆναι μὲν τῷ θανάτῳ τοῦ σώματος τὴν ψυχὴν, καὶ τὴν ἀναγκαίαν τῆς φύσεως ἀκολουθίαν μὴ κωλῦσαι· εἰς ἄλληλα δὲ πάλιν ἐπαναγαγεῖν διὰ τῆς ἀναστάσεως, ὡς ἂν αὐτὸς γένοιτο μεθόριον ἀμφοτέρων θανάτου τε καὶ ζωῆς, ἐν ἑαυτῷ μὲν στήσας διαιρουμένην τῷ θανάτῳ τὴν φύσιν, αὐτὸς δὲ γενόμενος ἀρχὴ τῆς τῶν διῃρημένων ἑνώσεως. B

A ratum, ex æquo tranſit ad vniuerſam humanam naturam. Eſt autem hoc myſterium hominis à Deo ſuſcepti diſpenſationis, & reſurrectionis à mortuis, quòd morte quidem fuerit anima ſeparata à corpore, & non prohibuerit neceſſariam naturæ conſequentiam: omnia autem rurſus ad ſe inuicem reduxerit per reſurrexionem, adeò vt eis eſſet vtriuſque confinium, nempe mortis & vitæ: vt qui in ſe quidem ſtatuerit naturam morte diuiſam, ipſe autem fuerit principium vnionis eorum quæ ſunt diuiſa. B

ΚΕΦΑΛΑΙΟΝ ιζ'.

Ἀλλ' οὔπω φησί τις λελύσθαι τὴν ἐπενεχθεῖσαν ἡμῖν ἀντίθεσιν, ἰσχυροποιεῖσθαι δὲ μᾶλλον ἐκ τῶν εἰρημένων τὸ παρὰ τῶν ἀπίστων ἡμῖν προσφερόμενον. εἰ γὰρ τοσαύτη δύναμίς ἐστιν ἐν αὐτῷ, ὅσην ὁ λόγος ἀπέδειξεν, ὡς θανάτου τε καθαίρεσιν καὶ ζωῆς εἴσοδον ἐπ' αὐτῷ εἶναι, τί οὐχὶ θελήματι μόνῳ τὸ κατὰ γνώμην ποιεῖ, ἀλλ' ἐκ περιόδου τὴν C σωτηρίαν ἡμῶν κατεργάζεται, τικτόμενός τε καὶ τρεφόμενος, καὶ τῇ τοῦ θανάτου πείρᾳ σώζων τὸν ἄνθρωπον, ἐξὸν μήτε ἐν τούτῳ γενέσθαι, καὶ ἡμᾶς περισώσασθαι. πρὸς δὲ τὸν τοιοῦτον λόγον ἱκανὸν μὲν ἦν πρὸς τοὺς εὐγνώμονας τοσοῦτον εἰπεῖν, ὅτι καὶ τοῖς ἰατροῖς οὐ νομοθετοῦσι τὸν τρόπον τῆς ἐπιμελείας οἱ κάμνοντες· οὐδὲ περὶ τοῦ τῆς θεραπείας εἴδους πρὸς τοὺς εὐεργέτας ἀμφισβητοῦσι, διὰ τί προσήψατο τοῦ πονοῦντος μέρους ὁ θεραπεύων, καὶ τόδε τι πρὸς τὴν τοῦ κακοῦ λύσιν ἐπενόησεν ἕτερον δέον· ἀλλὰ πρὸς τὸ πέρας ὁρῶντες τῆς εὐεργε- D σίας, ἐν εὐχαριστίᾳ τὴν εὐποιίαν ἐδέξαντο. ἀλλ' ἐπειδὴ, καθώς φησιν ὁ προφήτης, τὸ πλῆθος τῆς χρηστότητος τοῦ Θεοῦ κεκρυμμένην ἔχει τὴν ὠφέλειαν, καὶ οὔπω διὰ τοῦ παρόντος βίου τηλαυγῶς καθορᾶται. ἦ γὰρ ἂν περιῄρητο πᾶσα τῶν ἀπίστων ἀντίρρησις, εἰ τὸ προσδοκώμενον ἐν ὀφθαλμοῖς ἦν. νῦν δὲ ἀναμένει τοὺς ἐπερχομένους αἰῶνας, ὥστε ἐν αὐτοῖς ἀποκαλυφθῆναι τὰ νῦν διὰ τῆς πίστεως μόνης ὁρώμενα, ἀναγκαῖον ἂν εἴη λογισμοῖς τισι κατὰ τὸ ἐγχωροῦν καὶ τῶν ἐπιζητουμένων ἐξευρεῖν τὴν λύσιν τοῖς προλαμβάνουσι συμβαίνουσαν.

CAPVT XVII.

Sed dicet quiſpiam nondum fuiſſe ſolutam quæ nobis facta eſt obiectionem, ſed potius fuiſſe confirmatam ex iis quæ dicta ſunt, id quod nobis obijciebatur ab incredulis. Nam ſi tanta eſt in eo virtus quantam noſtra oſtendimus oratione, vt in eius fuerit poteſtate & mortem deſtruere & vitam ingredi, cur non ſola facit C volunrate id quod lubet, ſed longa circuitione noſtram ſalutem efficit, vt qui naſcatur & alatur, & periculo mortis facto ſalutem det homini, cùm ei liceret & hæc non ſubire, & nos conſeruare. Ad hæc autem ſatis eſſet dicere apud non peruicaces, quòd qui ægrotant, non præſcribunt legem medicis, quomodo ſint curandi: neque apud benefactores diſceptant de genere medendi, nempe cur laborantis partem tetigit qui medicatur, & hoc vel illud excogitauit ad malum propulſandum, cùm oporteret aliud: ſed ad D finem aſpicientes beneficij, id grato animo accipiunt. Sed quoniam, vt ait Propheta, multitudo bonitatis Dei occultam habet vtilitatem, neque clarè cernitur in hac vita. Reuera enim incredulorum ablata eſſet omnis contradictio, ſi id quod expectatur, cerneretur oculis. Nunc autem futura expectant ſecula, vt in eis reuelentur quæ nunc videntur per ſolam fidem, neceſſe erit aliquibus rationibus, quoad fieri poterit, eorum quæ quæruntur inuenire ſolutionem, quæ accedit præcedentibus.

CAPVT XVIII.

QVANQVAM eſt fortaſſe ſuperuacaneum, vt qui Deum ad vitam veniſſe crediderint, aduentum eius accuſent, vt qui non aliqua extiterit ſapientia, & præſtanti aliqua ratione. Iis enim qui non nimis obſtinatè repugnant veritati, diuini aduentus non paruum fuerit argumentum, id quod etiam ante futuram vitam in præſenti vita fuit manifeſtum: quod, inquam, ex rebus ipſis ſumitur teſtimonium. Quis enim neſcit, quemadmodum vniuerſus orbis terræ repletus eſſet fraude dæmonum, quæ per inſanum cultum ſimulachrorum in vitam hominum obtinebat dominatum: quemadmodum omnibus quæ in mundo erant gentibus lege erat conſtitutum, animalium ſacrificiis, & quæ ſuper altaria fiebant abominationibus, dæmones colere per ſimulachra? Ex quo autem, vt dicit Apoſtolus, apparuit gratia Dei ſalutaris
Tit. 2. omnibus hominibus, quæ per humanam aduenit naturam, omnia inſtar fumi ad nihilum redacta ſunt: adeò vt ceſſarint quidem oraculorum & diuinationum inſaniæ: ablatæ ſint autem pompæ anniuerſariæ: & quæ in hecatombis ſanguine fiebant inquinamenta: in multis autem gentibus omnino deleta ſint altaria, & veſtibula, & templa, & delubra: & quæcumque alia à cultoribus dæmonum ad ſui fraudem, & eorum qui in ipſa incidebant, erecta & conſtituta fuerant: adeò vt in multis locis ne an hæc quidem vnquam fuerint, meminerint: eorum autem loco in vniuerſo orbe terrarum excitata ſint in Chriſti nomine ædes ſacræ, templa & altaria, illúdque venerandum & incruentum ſacrificium: ſublimíſque & excelſa philoſophia, quæ factis potius quàm ſermone exercetur: vitæque corporalis deſpectio, & mortis contemptio, quam oſtenderunt qui à tyrannis cogebantur à fide deficere, cruciatus corporis nihili ducentes, & ſententiam capitis. Hæc ſcilicet minimè ſubituri, niſi apertum & minimè dubium de Dei aduentu habuiſſent argumentum. Hoc ipſum autem etiam apud Iudæos licet dicere eſſe ſignum, quòd adſit is qui ab eis non creditur.

A

ΚΕΦΑΛΑΙΟΝ ιη'.

ΚΑΙ τοι περιττὸν ἴσως ἐστὶ Θεὸν ἐπιδεδημηκέναι τῷ βίῳ πιστεύσαντας διαβάλλειν τὴν παρουσίαν, ὡς οὐκ ἐν σοφίᾳ τινὶ καὶ λόγῳ γεγενημένην τῷ κρείττονι. Τοῖς γὰρ μὴ λίαν ἀντιμαχομένοις πρὸς τὴν ἀλήθειαν, οὐ μικρὰ τῆς θείας ἐπιδημίας ἀπόδειξις, ἡ καὶ πρὸ τῆς μελλούσης ζωῆς ἐν τῷ παρόντι βίῳ φανερωθεῖσα, ἡ διὰ τῶν πραγμάτων αὐτῶν φημὶ μαρτυ-
B ρία. τίς γὰρ οὐκ οἶδεν ὅπως πεπλήρωτο κατὰ πᾶν μέρος τῆς οἰκουμένης ἡ τῶν δαιμόνων ἀπάτη, διὰ τῆς εἰδωλομανίας τῆς ζωῆς τῶν ἀνθρώπων κατακρατήσασα, ὅπως τοῦτο νόμιμον πᾶσι, τοῖς κατὰ τὸν κόσμον ἔθνεσιν ἦν, τὸ θεραπεύειν διὰ τῶν εἰδώλων τοὺς δαίμονας ἐν ταῖς ζωοθυσίαις, καὶ τοῖς ἐπιβωμίοις μιάσμασιν; ἀφ' οὗ δὲ, καθὼς φησὶν ὁ ἀπόστολος, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, διὰ τῆς ἀνθρωπίνης ἐπιδημήσασα φύσεως, πάντα καπνοῦ δίκην εἰς τὸ μὴ ὂν μετεχώρησεν· ὥστε παύσασθαι μὲν τὰς τῶν χρηστηρίων τε καὶ μαντειῶν
C μανίας· ἀναιρεθῆναι δὲ τὰς ἐτησίους πομπάς· καὶ τὰ δι' αἱμάτων ἐν ταῖς ἑκατόμβαις μολύσματα· ἐν δὲ τοῖς πολλοῖς τῶν ἐθνῶν ἀφανισθῆναι καθόλου βωμούς τε καὶ προπύλαια καὶ τεμένη, καὶ ἀφιδρύματα· καὶ ὅσα ἄλλα τοῖς θεραπευταῖς τῶν δαιμόνων ἐπὶ ἀπάτης σφῶν αὐτῶν καὶ τῶν ἐντυγχανόντων ἐπιτετήδευτο· ὡς ἐν πολλοῖς τῶν τόπων μηδὲ εἰ γέγονε ταῦτα ποτὲ μνημονεύεσθαι, ἀντεγερθῆναι δὲ κατὰ πᾶσαν τὴν οἰκουμένην ἐπὶ τῷ Χριστοῦ ὀνόματι, ναούς τε καὶ θυσιαστήρια, καὶ τὴν σεμνήν τε καὶ ἀναίμακτον ἱερωσύνην, καὶ τὴν ὑψηλὴν φιλοσοφίαν, ἔρ-
D γῳ μᾶλλον ἢ λόγῳ κατορθουμένην, καὶ τῆς σωματικῆς ζωῆς τὴν ὑπεροψίαν, καὶ τοῦ θανάτου τὴν καταφρόνησιν, ἣν οἱ μεταστῆναι τῆς πίστεως παρὰ τῶν τυράννων ἀναγκαζόμενοι φανερῶς ἐπεδείξαντο, ἀντ' οὐδενὸς δεξάμενοι τὰς τοῦ σώματος αἰκίας, καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον, οὐκ ἂν ὑποστάντες δηλαδὴ ταῦτα μὴ σαφῆ τε καὶ ἀναμφίβολον τῆς θείας ἐπιδημίας ἔχοντες τὴν ἀπόδειξιν. ὃ δὲ αὐτὸ τοῦτο καὶ πρὸς τοὺς Ἰουδαίους ἱκανὸν σημεῖον εἰπεῖν, τοῦ παρεῖναι τὸν παρ' αὐτῶν ἀπιστούμενον.

μέχρι μὲν γὰρ τῆς τοῦ Χριστοῦ θεοφανείας λαμπρὰ παρ᾽ αὐτοῖς ἦν τὰ ἐν Ἱεροσολύμοις βασίλεια, ὁ διώνυμος ἐκεῖνος ναός, αἱ νενομισμέναι δι᾽ ἔτους θυσίαι, πάντα ὅσα παρὰ τοῦ νόμου δι᾽ αἰνιγμάτων τοῖς μυστικοῖς ἐπαΐειν δυναμένοις διήρηται, μέχρι τότε κατὰ τὴν ἐξ ἀρχῆς νομισθεῖσαν αὐτοῖς τῆς εὐσεβείας θρησκείαν ἀκώλυτα ἦν. ἐπεὶ δὲ εἶδον τὸν προσδοκώμενον, ὃν διὰ τῶν προφητῶν τε καὶ τοῦ νόμου προεδιδάχθησαν, καὶ προτιμοτέραν ἐποιήσαντο τῆς εἰς τὸν φανέντα πίστεως, τὴν ἐσφαλμένην ἐκείνην δεισιδαιμονίαν, ἣν κακῶς ἐκλαβόντες, τὰ τοῦ νόμου ῥήματα διεφύλαξαν, συνηθείᾳ μᾶλλον, ἢ διανοίᾳ δουλεύοντες, οὔτε τὴν ἐπιφανεῖσαν ἐδέξαντο χάριν, καὶ τὰ σεμνὰ τῆς παρ᾽ αὐτοῖς θρησκείας, ἐν διηγήμασι ψιλοῖς ἀπολέλειπται· τοῦ ναοῦ μὲν, οὐδὲ ἐξ ἰχνῶν ἐπιγινωσκομένου, τῆς δὲ λαμπρᾶς ἐκείνης πόλεως ἐν ἐρειπίοις ἀπολειφθείσης, μεῖναι τε τοῖς Ἰουδαίοις τῶν κατὰ τὸ ἀρχαῖον νενομισμένων μηδέν· ἀλλὰ καὶ αὐτὸν τὸν σεβάσμιον αὐτοῖς ἐν Ἱεροσολύμοις τόπον, ἄβατον προστάγματι τῶν δυναστευόντων γενέσθαι.

A Nam vſque ad Chriſti quidem Dei
aduentum, apud eos Hieroſolymis
præclara erat ſedes regia, inclytum il-
lud templum, lege conſtituta annua
ſacrificia, & quæcumque à lege per
ænigmata, iis qui myſticè audire poſ-
ſunt, ſunt diſtincta ac definita ad hoc
vſque tempus; ex eis conſtituto ritu
religionis minimè erant prohibita.
Poſtquam autem viderunt eum qui ex-
pectabatur, & quem à lege & prophetis
prius didicerant, & fidei in eum qui
apparuerat, prætulerunt falſam illam
B ſuperſtitionem: qua malè expulſa con-
ſeruabant verba legis, conſuetudini
potius ſeruientes quàm intelligentiæ:
neque quæ apparuit gratiam accepe-
runt: quæ ex eorum religione præclara
erant & veneranda, relicta ſunt in ſolis
nudiſque narrationibus, cùm templum
ne ex ipſis quidem agnoſcatur veſtigiis:
ampla autem & magnifica illa ciuitas
relicta ſit in ruderibus & ruinis, nec eo-
rum quæ olim erant Iudæis legitima
quidquam manſerit: ſed & ad ipſum
qui Hieroſolymis erat eis locus vene-
randus, iuſſu imperatorum prohibitus
C fuerit aditus.

ΚΕΦΑΛΑΙΟΝ ιθ'.

ΑΛΛ᾽ ὅμως ἐπεὶ μήτε τοῖς Ἑλληνίζουσι, μήτε τοῖς τῶν Ἰουδαίων προεστῶσι δογμάτων, δοκεῖ ταῦτα θείας παρουσίας ποιεῖσθαι τεκμήρια, καλῶς ἂν ἔχοι περὶ τῶν ἀνθυπενεχθέντων ἰδίᾳ τὸν λόγον διαλαβεῖν, ὅτου χάριν ἡ θεία φύσις πρὸς τὴν ἡμετέραν συμπλέκεται, δι᾽ ἑαυτῆς σώζουσα τὸ ἀνθρώπινον, οὐ διὰ προστάγματος κατεργαζομένη τὸ κατὰ πρόθεσιν. τίς οὖν ἂν γένοιτο ἡμῖν ἀρχή, πρὸς τὸν προκείμενον σκοπὸν ἀκολούθως χειραγωγοῦσα τὸν λόγον; τίς ἄλλη, ἢ τὸ τὰς εὐσεβεῖς περὶ τοῦ Θεοῦ ὑπολήψεις ἐπὶ κεφαλαίων διεξελθεῖν;

CAPVT XIX.

SED quoniam neque iis qui Græco-
rum ſequuntur diſciplinas, neque
iis qui præſunt Iudæorum dogmatibus,
videtur ex his ſumenda eſſe indicia Dei
aduentus, bene erit ſeorſum tractare de
iis quæ ſunt obiecta, nempe quánam de
cauſa diuina natura cum noſtra conne-
ctitur, per ſe conſeruans humanitatem,
non iuſſu operans id quod eſt ei in pro-
poſito. Quódnam ergo fuerit nobis
D principium, ad propoſitum ſcopum
conſequenter deducens orationem?
Quod aliud, quàm ſummatim recenſe-
re quæ de Deo piè ſentiuntur?

ΚΕΦΑΛΑΙΟΝ κ'.

ΟΥΚΟΥΝ ὁμολογεῖται περὶ πᾶσι, μὴ μόνον δυνατὸν εἶναι δεῖν πιστεύειν τὸ θεῖον, ἀλλὰ καὶ δίκαιον, καὶ ἀγαθόν, καὶ σοφόν, καὶ πᾶν ὅτι πρὸς τὸ κρεῖττον τὴν διάνοιαν φέρει. ἀκόλουθον τοίνυν ἐπὶ τῆς παρούσης οἰκονομίας, μὴ τὸ μέν τι βούλεσθαι τῶν τῷ Θεῷ πρεπόντων ἐπιφαίνεσθαι τοῖς γεγενημένοις·

CAPVT XX.

CONSTAT ergo apud omnes, opor-
tere credere Deum non ſolum eſſe
potentem, ſed & iuſtum & bonum,
& ſapientem, & quicquid ad id quod
eſt melius, fert cogitationem. Conſe-
quens ergo eſt in præſenti diſpenſatio-
ne, non aliquid quidẽ ex iis quæ Deum
decent apparere in iis quæ facta ſunt:

Credendum eſt Deum eſſe potentem, iuſtum, bonum & ſapientem, & hæc ſimul omnia.

aliquid autem non adeſſe. Nam vt ſemel abſoluam, nullum per ſe ex his ſublimibus nominibus ab aliis diſiunctum, ſigillatim eſt virtus. Neque bonum verè eſt bonum, quod non eſt ordine collocatum cum iuſtitia, ſapientia & potentia. Quod enim eſt iniuſtum, inſipiens & impotens, non eſt bonum. Neque potentia quæ eſt ſeparata à iuſtitia & ſapientia, conſideratur in virtute: eſt enim belluinum & tyrannicum eiuſmodi genus potentiæ. Similiter autem & reliqua, nempe ſi à iuſtitia remota afferatur ſapientia: aut ſi iuſtitia conſideretur non cum potentia & bonitate, ea magis vitium propriè ſunt nominanda. Nam cui deeſt id quod eſt melius, quemadmodum in bonis numeraueris? Si igitur hæc omnia oportet concurrere in iis quæ de Deo ſunt opinionibus, conſideremus an in ſuſcepti à Deo hominis diſpenſatione, deeſt aliqua ex iis quæ piè de Deo animis inſident exiſtimationibus. In Deo omnino quærimus ſigna bonitatis. Et quódnam bonitatis apertius fuerit teſtimonium, quàm cum ſibi vendicaſſe, & eius curam geſſiſſe, qui defecerat ad contrarium, firmámque ac ſtabilem & in bono immutabilem naturam, non ſimul fuiſſe affectum cum mutabili libero hominis arbitrio? Non
Pſal. 105. enim veniſſet ad nos ſeruandos, vt dicit Dauid, niſi bonitas hoc ei immiſiſſet
Pſal. 118. propoſitum. Sed nihil profuiſſet bonitas propoſiti, ſi non effeciſſet ſapientia, vt in opus exiret benignitas, & in homines charitas. In iis enim qui malè ſe habent, fortaſſe quidem ſunt multi qui vellent in malis non eſſe eum qui decumbit: ij autem ſoli ad finem deducunt bonam ſuam pro laborantibus voluntatem, quibus opem fert artificioſa vis quædam & potentia ad medendum ægroto. Oportet ergo ſapientiam omnino eſſe coniunctam cum bonitate. Quomodo ergo in iis quæ facta ſunt conſideratur ſapientia ſimul cum bonitate? Quoniam licet cernere non ſolum & nudum bonum in propoſito. Quomodo enim apparet propoſitum, ſi non euidens eſſet per ea quæ fiant? Quæ autem facta ſunt quadam ſerie & ordine procedentia per id quod eſt conſequens, oſtendunt ſapientiam & artificium Dei diſpenſationis:

A τὸ δὲ μὴ παρεῖναι. καθόλου γὰρ οὐδὲν ἐφ' ἑαυτοῦ τῶν ὑψηλῶν τούτων ὀνομάτων διεζευγμένον τῶν ἄλλων, ἀρετὴ κατὰ μόνας ἐστίν. οὔτε τὸ ἀγαθὸν ἀληθῶς ἐστὶν ἀγαθόν, μὴ μετὰ τοῦ δικαίου τε καὶ σοφοῦ καὶ τοῦ δυνατοῦ τεταγμένον. τὸ γὰρ ἄδικον, ἢ ἄσοφον, ἢ ἀδύνατον, ἀγαθὸν οὐκ ἔστιν. οὔτε ἡ δύναμις τοῦ δικαίου τε καὶ σοφοῦ κεχωρισμένη, ἐν ἀρετῇ θεωρεῖται· θηριῶδες γάρ ἐστι τὸ τοιοῦτον καὶ τυραννικὸν τῆς δυνάμεως εἶδος. ὡσαύτως δὲ καὶ τὰ λοιπὰ εἰ ἔξω τοῦ δικαίου τὸ σοφὸν φέροιτο, ἢ τὸ δίκαιον· εἰ μὴ μετὰ δυνατοῦ
B τε καὶ ἀγαθοῦ θεωροῖτο, κακίαν ἄν τις μᾶλλον τὰ τοιαῦτα κυρίως κατονομάσειε. τὸ γὰρ ἐλλιπὲς τοῦ κρείττονος, πῶς ἄν τις ἐν ἀγαθοῖς ἀριθμήσειε; Εἰ δὲ πάντα προσήκει συνδραμεῖν ἐν ταῖς περὶ Θεοῦ δόξαις, σκοπήσωμεν εἰ ἡ κατὰ ἄνθρωπον τοῦ Θεοῦ οἰκονομία λείπεταί τι τῶν θεοπρεπῶν ὑπολήψεων. ζητοῦμεν πάντως ἐπὶ τοῦ Θεοῦ τῆς ἀγαθότητος τὰ σημεῖα. καὶ τίς ἂν γένοιτο φανερωτέρα τοῦ ἀγαθοῦ μαρτυρία, ἢ τὸ μεταποιηθῆναι αὐτὸν τοῦ πρὸς τὸ ἐναντίον αὐτομολήσαντος, μηδὲ συνδιατεθῆναι
C τῷ εὐμεταβλήτῳ τῆς ἀνθρωπίνης προαιρέσεως τὴν πάγιαν ἐν τῷ ἀγαθῷ καὶ ἀμετάβλητον φύσιν; οὐ γὰρ ἂν ἦλθεν εἰς τὸ σῶσαι ἡμᾶς, καθώς φησιν ὁ Δαβίδ, μὴ ἀγαθότητος τὴν τοιαύτην πρόθεσιν ἐμποιούσης. ἀλλ' οὐδὲν ἂν ὤνησε τὸ ἀγαθὸν τῆς προθέσεως, μὴ σοφίας ἐνεργὸν τὴν φιλανθρωπίαν ποιούσης. καὶ γὰρ ἐπὶ τῶν ἀρρώστως διακειμένων, πολλοὶ μὲν ἴσως οἱ βουλόμενοι μὴ ἐν κακοῖς εἶναι τὸν κείμενον· μόνοι δὲ τὴν ἀγαθὴν ὑπὲρ τῶν κα-
D μνόντων προαίρεσιν εἰς πέρας ἄγουσιν, οἷς τεχνική τις δύναμις συνεργεῖ, πρὸς τὴν τοῦ κάμνοντος ἴασιν. οὐκοῦν τὴν σοφίαν δεῖ συνεζεῦχθαι πάντως τῇ ἀγαθότητι. πῶς τοίνυν ἐν τοῖς γεγενημένοις τὸ σοφὸν τῷ ἀγαθῷ συνθεωρεῖται; ὅτι οὐ γυμνὸν τὸ κατὰ πρόθεσιν ἀγαθὸν ἐστὶν ἰδεῖν. πῶς γὰρ ἂν φανείη ἡ πρόθεσις μὴ διὰ τῶν γινομένων φανερουμένη; τὰ δὲ πεπραγμένα εἱρμῷ τινὶ καὶ τάξει δι' ἀκολούθου προϊόντα, τὸ σοφόν τε καὶ τεχνικὸν τῆς οἰκονομίας τοῦ Θεοῦ διαδείκνυσι·

ἐπεὶ δὲ, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, πάντως τῷ δικαίῳ τὸ σοφὸν συνεζευγμένον ἀρετὴ γίνεται. εἰ δὲ χωρισθείη, μὴ ἂν ἐφ' ἑαυτοῦ καταμένη ἀγαθὸν εἶναι. καλῶς ἂν ἔχοι καὶ ἐπὶ τοῦ λόγου τῆς κατὰ ἄνθρωπον οἰκονομίας, τὰ δύο μετ' ἀλλήλων κατανοῆσαι, τὸ σοφὸν φημὶ, καὶ τὸ δίκαιον.

A quandoquidem, ſicut prius diximus, ſapientia coniuncta cum iuſtitia omnino fit virtus. Quod ſi ſeorſum ſit poſita, per ſe ſeiuncta non fuerit bonitas. Rectè ergo fuerit in ratione ſuſcepti hominis diſpenſationis, duo ſimul inter ſe inuicem conſiderare, ſapientiam, inquam, & iuſtitiam.

ΚΕΦΑΛΑΙΟΝ κα'.

CAPVT XXI.

ΤΙΣ οὖν ἡ δικαιοσύνη; μεμνήμεθα πάντως τῶν κατὰ τὸ ἀκόλουθον ἐν ταῖς ἀρχαῖς τοῦ λόγου εἰρημένων, ὅτι μίμημα τῆς θείας φύσεως κατεσκευάσθη ὁ ἄνθρωπος, τοῖς τε λοιποῖς τῶν ἀγαθῶν, καὶ τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως, τὴν πρὸς τὸ θεῖον διασώζων ὁμοίωσιν· τρεπτῆς δὲ φύσεως ὢν κατ' ἀνάγκην· οὐ γὰρ ἐνεδέχετο τὸν ἐξ ἀλλοιώσεως τὴν ἀρχὴν τοῦ εἶναι ἔχοντα, μὴ τρεπτὸν εἶναι πάντως. ἡ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πάροδος, ἀλλοίωσίς τίς ἐστι, τῆς ἀνυπαρξίας κατὰ θείαν δύναμιν εἰς οὐσίαν μεθισταμένης. καὶ ἄλλως δὲ τῆς τροπῆς ἀναγκαίως ἐν τῷ ἀνθρώπῳ θεωρουμένης, ἐπειδὴ μίμημα τῆς θείας φύσεως ὁ ἄνθρωπος ἦν· τὸ δὲ μιμούμενον, εἰ μὴ ἐν ἑτερότητι τύχοι τινί, ταὐτὸν ἂν εἴη πάντως ἐκείνῳ ᾧ ἀφωμοίωται. ἐν τούτῳ τοίνυν τῆς ἑτερότητος τοῦ κατ' εἰκόνα γενομένου, πρὸς τὸ ἀρχέτυπον οὔσης, ἐν τῷ τὸ μὲν ἄτρεπτον εἶναι τῇ φύσει, τὸ δὲ μὴ οὕτως ἔχειν, ἀλλὰ δι' ἀλλοιώσεως μὲν ὑποστῆναι κατὰ τὸν ἀποδοθέντα λόγον· ἀλλοιούμενον δὲ πάντως, ἐν τῷ εἶναι μίμημα, ἡ δὲ ἀλλοίωσις κίνησίς ἐστιν εἰς ἕτερον ἀπὸ τοῦ ἐν ᾧ ἐστιν εἰσαεὶ προϊοῦσα· δύο λέγει τῆς τοιαύτης εἴδη κινήσεως· τὸ μὲν πρὸς τὸ ἀγαθὸν ἀεὶ γινόμενον, ἐν ᾧ πρόοδος στάσιν οὐκ ἔχει, διότι πέρας οὐδὲ τοῦ διεξοδευομένου καταλαμβάνεται. τὸ δὲ πρὸς τὸ ἐναντίον οὗ ἡ ὑπόστασις ἐν τῷ μὴ ὑφεστάναι ἐστίν. ἡ γὰρ τοῦ ἀγαθοῦ ἐναντίωσις, καθὼς ἔμπροσθεν εἴρηται, τοιοῦτόν τινα νοῦν κατὰ τὴν διαστολὴν ἔχει, καθάπερ φαμὲν τῷ μὴ ὄντι τὸ ὂν ἀντιδιαιρεῖσθαι, καὶ τῇ ἀνυπαρξίᾳ τὴν ὕπαρξιν. ἐπειδὴ τοίνυν κατὰ τὴν τρεπτήν τε καὶ ἀλλοιωτὴν ὁρμήν τε καὶ κίνησιν, οὐκ ἐνδέχεται τὴν φύσιν ἀφ' ἑαυτῆς μένειν ἀκίνητον,

QVÆNAM ergo eſt iuſtitia? Meminimus eorum quæ ex conſequenti dicta ſunt in principio huius libri, quod *Dei iuſtitia quomodo ſit oſtendat in hominem.* B ad diuinæ naturæ imitationem homo ſit conditus, tum bonis reliquis, tum etiam libero arbitrio, Dei conſeruans ſimilitudinem. Cùm autem neceſſariò eſſet mutabilis naturę: neque enim fieri poterat, vt qui ab alteratione principium habuerat, non eſſet omnino mutabilis. Ab eo enim quod non eſt progreſſus ad eſſentiam, eſt quędam alteratio, cùm quæ non eſt ſubſtantia, virtute diuina tranſeat in eſſentiam. Quinetiam cùm alioquin neceſſariò in homine conſideretur mutatio, quoniam homo imitabatur naturam diuinam: C quod autem imitatur, niſi in aliqua eſſet diuerſitate, eſſet omnino idem quod illud cui eſt aſſimilatum. Cùm ergo eius quod factum fuerat ad imaginem, in hoc eſſet diuerſitas ab exemplari, quòd hoc quidem eſſet natura immutabile, illud verò non ſic ſe haberet, ſed conſiſteret quidem per alterationem, vt iam diximus; omnino autem alteraretur, propterea quod imitaretur: alteratio autem eſt quidam motus, ab eo in quo eſt ſemper procedens ad alterum: duo ſunt genera eiuſmodi mutationis: vnum quidem quod ſemper fit D ad bonum, in quo ſtatum non habet progreſſus, propterea quòd nec comprehenditur quidem finis eius quod tranſit. Alterum autem ad contrarium, cuius ſubſtantia eſt in hoc quòd non conſiſtat. Boni enim, ſicut prius dictum eſt, & cōtrarij repugnantia, talem inter ſe habet diſtinctionem, vt dicimus id quod eſt, ab eo quod non eſt tanquā aduerſum diſtingui, & ſubſtantiam à non ſubſtantia. Quoniam ergo fieri non poteſt, vt quod attinet ad mutabilem & alterabilem incitationem & motum, in ſe natura maneat immobilis,

ſed ad aliquid omnino liberum procedit arbitrium, boni deſiderio naturaliter ipſum trahente ad motum. Bonum autem, aliud quidem verè eſt bonum ſecundum naturam: aliud autem non eiuſmodi, ſed habet quandam boni viſionem ac ſpeciem. Eorum autē iudex eſt intelligentia intra nos collocata. Qua in re verſamur in periculo, vel aſſequendi eius quod verè eſt bonum: aut, ſi ab eo diuerterimus, per aliquam eius quod apparet deceptionem, dilabendi ad contrarium: cuiuſmodi quidpiam, accidiſſe narrat externa fabula cani qui in aqua viderat vmbram eius quod in ore geſtabat: nempe verum cibum dimiſiſſe, inhiantem autem cibi ſimulachro fame laboraſſe.

CAPVT XXII.

POSTQVAM ergo eius quod eſt verè bonum deſiderio mens fraudata, ad id quod non eſt, fuit delata, fraude conſultoris & inuentoris vitij, perſuaſa eſſe bonum id quod bono eſt contrarium. Neque enim dolus fuiſſet efficax, niſi vitij hamo eſcæ inſtar illita fuiſſet boni ſpecies. Cùm ergo homo voluntariè in hanc incidiſſet calamitatem, qui ſe per voluntatem vitæ inimico ſubiunxerat, quære mihi ſimul omnia quæ conueniunt iis quæ de Deo ſentiuntur, bonitatem, ſapientiam, iuſtitiam, potentiam, incorruptionem, & ſi quid eſt melioris ſignificationis. Tanquam bonus ergo, mouetur miſericordia eius qui ceciderat: & tanquam ſapiens, non ignorat modum reuocationis. Sapientiæ autem eſt, etiam eius quod iuſtum eſt, iudicium. Nemo enim inſipientiæ veram tribuerit iuſtitiam. Quidnam ergo eſt in his iuſtum? Non aliqua tyrannica in eum qui nos poſſidebat vti auctoritate: neque ſumma vi rapiendo ab eo qui dominatum obtinebat, relinquere iuſtę defenſionis aliquam occaſionem, ei qui per voluptatem hominem redegerat in ſeruitutem. Quomodo enim qui pecunia ſuam vendiderunt libertatem, fiunt ſerui emptorum, vt qui ſeipſos vendiderint: & nec ipſis nec vlli alij pro eis licet proclamare ad libertatem, etiamſi ingenui & honeſto loco nati eſſent qui ſua ſponte ad hanc deuenerunt calamitatem. Si quis autem

Lapſo homine quomodo ſe Deus geſſerit.

A ἀλλ' ἐπί τι πάντως ἡ προαίρεσις ἵεται τῆς πρὸς τὸ καλὸν ἐπιθυμίας αὐτὴν ἐφελκομένης φυσικῶς εἰς κίνησιν. καλὸν δὲ τὸ μέν τι ἀληθῶς κατὰ τὴν φύσιν ἐστί· τὸ δὲ οὐ τοιοῦτον, ἀλλ' ἐπηνθισμένον τινὶ καλοῦ φαντασίᾳ. κριτήριον δὲ τούτων ἐστὶν ὁ νοῦς ἔνδοθεν ἡμῖν ἐνιδρυμένος. ἐν ᾧ κινδυνεύεται, ἢ τὸ ἐπιτυχεῖν τοῦ ὄντως καλοῦ, ἢ τὸ παρατραπέντας αὐτοῦ, διά τινος τῆς κατὰ τὸ φαινόμενον ἀπάτης ἐπὶ τὸ ἐναντίον ἡμᾶς ἀπορρυῆναι· οἷόν τι παθεῖν ὁ ἔξω μὲν μῦθός φησιν, ἀποδιδόασιν ἐν τῷ ὕδατι τὸν κύνα πρὸς τὴν σκιὰν οὗ διὰ στόματος ἔφερε· μεθεῖναι B μὲν τὴν ἀληθῆ τροφὴν, περιχανοῦσαν δὲ τὸ τῆς τροφῆς εἴδωλον ἐν λιμῷ γενέσθαι.

ΚΕΦΑΛΑΙΟΝ κϐ'.

ἘΠΕΙ οὖν τῆς πρὸς τὸ ὄντως ἀγαθὸν ἐπιθυμίας διαψευσθεὶς ὁ νοῦς, πρὸς τὸ μὴ ὂν παρηνέχθη, δι' ἀπάτης τοῦ τῆς κακίας συμβούλου τε καὶ εὑρετοῦ, καλὸν ἀναπεισθεὶς εἶναι τὸ τῷ καλῷ ἐναντίον. οὐ γὰρ ἂν ἐνήργησεν ἡ ἀπάτη, μὴ δελέατος δίκην τῷ τῆς κακίας ἀγκίστρῳ τῆς C τοῦ καλοῦ φαντασίας περιπλασθείσης. ἐν ταύτῃ τοίνυν γεγονότος ἑκουσίως τῇ συμφορᾷ τοῦ ἀνθρώπου ἑαυτὸν δι' ἡδονῆς τῷ ἐχθρῷ τῆς ζωῆς ὑποζεύξαντος, πάντα μοι κατὰ τὸν αὐτὸν ἀναζήτει, τὰ ταῖς θείαις ὑπολήψεσι πρέποντα, τὸ ἀγαθὸν, καὶ δίκαιον, καὶ δυνατὸν, τὸ ἄφθαρτον καὶ εἴ τι τῆς κρείττονος σημασίας ἐστίν. οὐκοῦν ὡς ἀγαθὸς οἶκτον λαμβάνει τοῦ διαπεπτωκότος· καὶ ὡς σοφὸς οὐκ ἀγνοεῖ τὸν τρόπον τῆς ἀνακλήσεως. σοφίας δ' ἂν εἴη, καὶ ἡ τοῦ δικαίου κρίσις. οὐ γὰρ ἄν τις ἀφροσύνῃ τὴν ἀληθῆ δικαιοσύνην προσάψειε. τί οὖν ἐν τούτοις τὸ δίκαιον, τὸ μὴ τυραν-D νικῇ τινὶ χρήσασθαι κατὰ τοῦ κατέχοντος ἡμᾶς αὐθεντίᾳ· μηδὲ τῷ περιόντι τῆς δυνάμεως ἀποσπάσαντα τοῦ κρατοῦντος καταλιπεῖν, τινὰ δικαιολογίας ἀφορμὴν, τῷ δι' ἡδονῆς καταδουλωσαμένῳ τὸν ἄνθρωπον. καθάπερ γὰρ οἱ χρημάτων τὴν ἑαυτῶν ἐλευθερίαν ἀποδόμενοι, δοῦλοι τῶν ὠνησαμένων εἰσὶν, αὐτοὶ πρατῆρες ἑαυτῶν καταστάντες· καὶ οὔτε αὐτοῖς οὔτε ἄλλῳ τινὶ, ὑπὲρ ἐκείνων ἔξεστι τὴν ἐλευθερίαν ἐπιβοήσασθαι, κἂν εὐπατρίδαι ὦσιν οἱ πρὸς τὴν συμφορὰν ταύτην αὐτομολήσαντες. Εἰ δέ τις κηδόμε-

νος τοῦ ἀπεμποληθέντος βίᾳ κατὰ τοῦ ὠνησαμένου, χρῷτο ἄδικος εἶναι δόξει τὸν νόμῳ κτηθέντα τυραννικῶς ἐξαιρούμενος· ἐξωνήσασθαι δὲ πάλιν εἰ βούλοιτο τὸν τοιοῦτον, οὐδεὶς ὁ κωλύων νόμος ἐστί.

ΚΕΦΑΛΑΙΟΝ κγʹ.

Κατὰ τὸν αὐτὸν τρόπον ἑκουσίως ἡμῶν ἑαυτοὺς ἀπεμπολησάντων, ἔδει τὸν διὰ ἀγαθότητα πάλιν ἡμᾶς εἰς ἐλευθερίαν ἐξαιρούμενον, μὴ τὸν τυραννικόν, ἀλλὰ τὸν δίκαιον τρόπον ἐπινοῆσαι τῆς ἀνακλήσεως. ἔστι δὲ ἐπὶ τῆς τῷ ἐπικρατοῦντι ποιήσασθαι, πᾶν ὅπερ ἂν ἐθέλοι λύτρον ἀντὶ τοῦ κατεχομένου λαβεῖν. τί τοίνυν εἰκὸς ἦν μᾶλλον, τὸν κρατοῦντα λαβεῖν ἑλέσθαι; δυνατόν ἐστι διὰ ἀκολούθου στοχασμόν τινα τῆς ἐπιθυμίας αὐτοῦ λαβεῖν. εἴπερ πρόδηλα γένοιτο ἡμῖν τῶν ζητουμένων τεκμήρια. ὁ τοίνυν κατὰ τὸν ἐν ἀρχῇ τοῦ συγγράμματος προαποδοθέντα λόγον, τῷ πρὸς τὸν εὐημεροῦντα φθόνῳ πρὸς τὸ ἀγαθὸν ἐπιμύσας, τὸν δὲ τῆς κακίας ζόφον ἐν ἑαυτῷ γεννήσας· ἀρχὴν δὲ πρὸς τὰ χείρω ῥοπῆς καὶ ὑπόθεσιν, καὶ οἱονεὶ μητέρα τῆς λοιπῆς κακίας τὴν φιλαρχίαν νοσήσας, τίνος ἂν ἀντηλλάξατο τὸν κατεχόμενον, εἰ μὴ δηλαδὴ τοῦ ὑψηλοτέρου καὶ μείζονος ἀνταλλάγματος, ὡς ἂν μᾶλλον ἑαυτοῦ τὸ κατὰ τὸν τῦφον θρέψειε πάθος, τὰ μείζω τῶν ἐλαττόνων διαμειβόμενος; ἀλλὰ μὴν ἐν τοῖς ἀπ' αἰῶνος ἱστορουμένοις, ἐν οὐδενὶ συνεγνώκει τοιοῦτον οὐδὲν, οἷα καθεώρα περὶ τὸν τότε φαινόμενον, κυοφορίαν ἀσυνουσίαστον, καὶ γέννησιν ἄφθορον, καὶ θηλὴν ἐκ παρθενίας, καὶ ἄνωθεν ἐπιμαρτυρούσας τῷ ὑπερφυεῖ τῆς ἀξίας ἐκ τῶν ἀοράτων φωνάς· καὶ τὴν τῆς φύσεως ἀρρωστημάτων διόρθωσιν, ἀπραγματεύτως τινὰ καὶ ψιλῶς ἐν ῥήματι μόνῳ καὶ ὁρμῇ τοῦ θελήματος παρ' αὐτοῦ γινομένην, τήν τε τῶν τεθνηκότων ἐπὶ τὸν βίον ἀνάλυσιν, καὶ τὸν κατὰ τῶν δαιμόνων φόβον, καὶ τὴν κατὰ τὸν ἀέρα παθῶν ἐξουσίαν, καὶ τὴν διὰ θαλάσσης πορείαν, οὐ διαχωροῦντος ἐφ' ἑκάτερα τοῦ πελάγους, καὶ τὸν πυθμένα γυμνοῦντος τοῖς παροδεύουσι κατὰ τὴν Μωσέως θαυματουργίαν, ἀλλ' ἄνω τῆς ἐπιφανείας τοῦ ὕδατος ὑποχερσουμένης τῇ βάσει, καὶ διὰ τῆς ἀσφα-

A curam gerens eius qui fuit venditus, vi vtatur aduerſus emptorem; iniuſtus eſſe videbitur, qui eum qui lege eſt acquiſitus, vi eripit. Sed ſi quiſpiam velit eum redimere, nulla eſt lex quæ id vetet.

CAPVT XXIII.

Eodem modo cùm nos ipſos noſtra ſponte vendiderimus, oportebat ab eo qui propter bonitatem nos in libertatem rurſus erat reſtituturus, non aliquem tyrannicum, ſed iuſtum excogitari modum reuocationis. *De iuſto pretio redemptionis.* B Is autem eſt dare quodcumque velit pretium redemptionis pro eo quem poſſidet. quid ergo eſt veriſimile, magis velle accipere eum qui habet dominatum? Poſſumus per conſequentiam capere aliquam coniecturam eius cupiditatis, ſi ſint nobis manifeſta ſigna eorum quæ quæruntur. Qui ergo, vt fuit prius explicatum in initio libri, propter inuidiam in eum conceptam, cuius res erant ſecundæ, ad bonum clauſit oculos, in ſeipſo autem genuit tenebras vitij, & imperandi la- C borans cupiditate, quæ eſt veluti initium & fundamētum ad deteriora propenſionis, & veluti mater cæterorum vitiorum, quónam pretio commutaret eum quem poſſidebat, niſi quod eſſet longè maximum, maiora accipiendo pro minoribus, vt magis aleret ſuam ſuperbiæ affectionem? Atqui in iis quæ à prioribus ſeculis aut narrata, aut literis mandata fuerant, intelligebat nihil fuiſſe tale, quale videbat in eo qui nunc apparebat, nempe conceptionē abſque vlla cum viro coniunctione, & ortum aſque vlla corruptione, & lactantem D fœminam ex virginitate: & voces è ſuperis teſtantes admirabilem eius dignitatem, cùm nihil tamen caderet ſub aſpectum, naturæ morborum & ægritudinum correctionem ac curationem, quæ ab eo fiebat citra vllum negotium, ſolóque verbo & nutu ac momento voluntatis, & eorum qui è vita exceſſerāt, vitæ reſtitutionem, & Dæmonum terrorem, poteſtatémque in affectiones aëris, & per mare ingreſſum, vtrinque mari non diſcedente, & iis qui tranſibant fundum aperiente, congruenter ei miraculo quod factum eſt à Moſe, ſed maris ſuperficie ad ingrediendum tanquam ſolidam terram præbente, &

ſtabili ac reſiſtente duritie veſtigia firmante, & alimenti quantam vellet elargitionem, lautáque & ſplendida conuiuia in ſolitudine, multis millibus ibi opiparè tractatis: quibus neque cœlum pluit manna: neque terra ſecundum ſuam naturam frumentum producens, id quod eis erat opus, ſuppeditabat: ſed ex ineffabilibus diuinæ potentiæ promptuariis procedebat liberalitas, panis paratus, eorum qui impatiebantur tanquam agricolarum manibus elaboratus, & per eorum qui veſcebantur ſatietatem multiplicatus, & piſcium obſonium, cùm eis mare nihil conferret ad vſum, ſed is qui etiam piſcium genus in mari ſeminauerat. Quomodo autem enumerarit quiſpiam ſingula miracula Euangelica? Hanc ergo vim in illo cernens inimicus, vidit in permutatione plus eſſe emolumenti, quàm in eo quod poſſidebat. Ea de cauſa eum mauult fieri pretium redemptionis eorum qui in carcere mortis erant incluſi. Sed fieri non poterat vt Dei nudam aſpiceret ſpeciem, niſi aliquã in eo carnis, quam iam olim ob peccatum in vinculis habebat portionem animaduerteret. Idcirco carne diuinitas obumbrata eſt, vt ad id intuens quod ſecum fuit educatum & eſt ſibi cognatum, non terreretur appropinquatione excellentis virtutis: & conſiderata quæ ſenſim per miracula magis ac magis reſplendebat potentia, exiſtimaret id quod apparuit magis eſſe concupiſcendum quàm formidabile. Vides quemadmodũ cum iuſtitia coniuncta ſit bonitas, & ſapientia non ſit ab eis ſeparata. Quod enim per indumentum corporis excogitauit, vt capi poſſet diuina virtus, ne pro nobis ſuſcepta diſpenſatio impediretur metu ſublimitatis, omnino ſimul oſtendit, nempe bonitatem, ſapientiam, & iuſtitiam. Voluiſſe enim dare ſalutem, eſt teſtimonium bonitatis. Quòd autem tanquam ex contractu fecit redemptionem, eius qui tenebatur dominatu oſtendit iuſtitiam. Quòd autem id quod capi non poterat, ſubtiliter excogitans effecit vt capi poſſet ab inimico, id apertè ſummam arguit ſapientiam.

A λοῦς ἀντιτυπίας ὑπερειδούσης τὸ ἴχνος, τήν τε τῆς τροφῆς ὑπεροψίαν ἐφ᾽ ὅσον βούλοιτο, καὶ τὰς ἐν ἐρημίᾳ δαψιλεῖς ἑστιάσεις, τὴν ἐν πολλαῖς χιλιάσι διευωχουμένων· οἷς οὔτε οὐρανὸς ἐπέρρει τὸ μάννα, οὔτε ἡ γῆ κατὰ τὴν ἰδίαν αὐτῆς φύσιν σιτοποιοῦσα τὴν χρείαν ἐπλήρου· ἀλλ᾽ ἐκ τῶν ἀῤῥήτων ταμιείων τῆς θείας δυνάμεως ἡ φιλοτιμία προῄει, ἕτοιμος ἄρτος ταῖς χερσὶ τῶν διακονούντων ἐγγεωργούμενος, καὶ διὰ τοῦ κόρου τῶν ἐσθιόντων πλείων γινόμενος, ἥ τε διὰ τῶν ἰχθύων ὀψοφαγία, οὐ θαλάσσης αὐ-

B τοῖς πρὸς τὴν χρείαν συνεισφερούσης, ἀλλὰ τοῦ καὶ τῇ θαλάσσῃ τὸ γένος τῶν ἰχθύων κατασπείραντος. καὶ πῶς ἄν τις τὸ καθ᾽ ἕκαστον τῶν εὐαγγελικῶν διεξίοι θαυμάτων; ταύτην τοίνυν τὴν δύναμιν καθορῶν ὁ ἐχθρὸς ἐν ἐκείνῳ, πλέον τοῦ κατεχομένου τὸ προκείμενον, εἶδεν ἐν τῷ συναλλάγματι, τούτου χάριν αὐτὸν αἱρεῖται λύτρον τῶν ἐν τῇ τοῦ θανάτου φρουρᾷ καθειργμένων γενέσθαι. ἀλλὰ μὴν ἀμήχανον ἦν γυμνῇ προσβλέψαι τῇ τοῦ Θεοῦ φαντασίᾳ, μὴ σαρκός τινα μοῖραν ἐν αὐτῷ θεωρήσαντα, ἣν ἤδη διὰ τῆς ἁμαρτίας κε-

C χείρωτο. διὰ τοῦτο περικεκάλυπται τῇ σαρκὶ ἡ θεότης, ὡς ἂν πρὸς τὸ σύντροφόν τι καὶ συγγενὲς αὐτῷ βλέπων, μὴ ἐπτοηθείη τὸν προσεγγισμὸν τῆς ὑπερεχούσης δυνάμεως· καὶ τὴν ἠρέμα διὰ τῶν θαυμάτων ἐπὶ τὸ μεῖζον διαλάμπουσαν δύναμιν κατανοήσας, ἐπιθυμητὸν μᾶλλον ἢ φοβερὸν τὸ φαινόμενον εἶναι νομίσῃ. ὁρᾷς ὅπως τὸ ἀγαθὸν τῷ δικαίῳ συνέζευκται, καὶ τὸ σοφὸν τούτων οὐκ ἀποκέκριται. τὸ γὰρ διὰ τῆς τοῦ σώματος περιβολῆς χωρητὴν τὴν θείαν δύναμιν ἐπινοῆσαι γενέσθαι, ὡς ἂν ἡ ὑπὲρ ἡμῶν

D οἰκονομία μὴ παραποδισθείη τῷ φόβῳ τῆς ὑψηλῆς ἐμφανείας, πάντως κατὰ ταὐτὸν τὴν ἀπόδειξιν ἔχει, τοῦ ἀγαθοῦ, τοῦ σοφοῦ, τοῦ δικαίου. τὸ μὲν γὰρ ἐθελῆσαι σῶσαι, τῆς ἀγαθότητος ἐστὶ μαρτυρία. τὸ δὲ συναλλαγματικὴν ποιήσασθαι τὴν τοῦ κρατουμένου λύτρωσιν, τὸ δίκαιον δείκνυσι. τὸ δὲ χωρητὸν δι᾽ ἐπινοίας ποιῆσαι τῷ ἐχθρῷ τὸ ἀχώρητον, τῆς ἀνωτάτω σοφίας τὴν ἀπόδειξιν ἔχει.

A

ΚΕΦΑΛΑΙΟΝ κδ'.

Ἀλλ' ἐπιζητεῖν εἰκὸς τὸν τῇ ἀκολουθίᾳ τῶν εἰρημένων προσέχοντα, ποῦ τὸ δυνατὸν τῆς θεότητος, ποῦ ἡ ἀφθαρσία τῆς θείας δυνάμεως ἐν τοῖς εἰρημένοις ὁρᾶται. ἵνα τοίνυν καὶ ταῦτα γένηται καταφανῆ, τὰ ἐφεξῆς τοῦ μυστηρίου διασκοπήσωμεν, ἐν οἷς μάλιστα δείκνυται συγκεκραμένη τῇ φιλανθρωπίᾳ ἡ δύναμις· πρῶτον μὲν οὖν τὸ τὴν παντοδύναμον φύσιν πρὸς τὸ ταπεινὸν τῆς ἀνθρωπότητος καταβῆναι ἰσχῦσαι, πλείονα τὴν ἀπόδειξιν τῆς B δυνάμεως ἔχει, ἢ τὰ μεγάλα τε καὶ ὑπερφυῆ τῶν θαυμάτων. τὸ μὲν γὰρ μέγα τι καὶ ὑψηλὸν ἐξεργασθῆναι παρὰ τῆς θείας δυνάμεως, κατὰ φύσιν πώς ἐστι καὶ ἀκόλουθον. καὶ οὐκ ἄν τινα ξενισμὸν ἐπάγει τῇ ἀκοῇ τὸ λέγειν πᾶσαν τὴν ἐν τῷ κόσμῳ κτίσιν, καὶ πᾶν ὅπερ ἂν ἔξω τῶν φαινομένων καταλαμβάνεται ἐν τῇ Θεοῦ δυνάμει συστῆναι, αὐτοῦ τοῦ θελήματος πρὸς τὸ δοκοῦν οὐσιωθέντος. ἡ δὲ πρὸς τὸ ταπεινὸν κάθοδος, περιουσία τίς ἐστι τῆς δυνάμεως, οὐδὲν C ἐν τοῖς παρὰ φύσιν κωλυομένης. ὡς γὰρ ἴδιόν ἐστι τῆς τοῦ πυρὸς οὐσίας ἡ ἐπὶ τὸ ἄνω φορὰ καὶ οὐκ ἄν τις θαύματος ἄξιον ἐπὶ τῆς φλογὸς ἡγεῖτο τὸ φυσικῶς ἐνεργούμενον· Εἰ δὲ ῥέουσαν ἐπὶ τὸ κάτω καθ' ὁμοιότητα τῶν ἐμβριθῶν σωμάτων ἴδοι τὴν φλόγα, τὸ τοιοῦτον ἐν θαύματι ποιεῖται, πῶς τὸ πῦρ διαμένει πῦρ ὂν, καὶ ἐν τῷ τρόπῳ τῆς κινήσεως ἐκβαίνει τὴν φύσιν, ἐπὶ τὸ κάτω φερόμενον· οὕτως καὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν δύναμιν, οὐκ οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαὶ, καὶ ἡ τοῦ παντὸς διακόσμησις, καὶ ἡ διηνεκὴς D τῶν ὄντων οἰκονομία τοσοῦτον, ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις δείκνυσι· πῶς τὸ ὑψηλὸν ἐν τῷ ταπεινῷ καθορᾶται, καὶ οὐ καταβαίνει τὸ ὕψος· πῶς θεότης ἀνθρωπίνῃ συμπλακεῖσα φύσει, καὶ τοῦτο γίνεται καὶ ἐκεῖνο ἐστίν. ἐπειδὴ γὰρ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, φύσιν οὐκ εἶχεν ἡ ἐναντία δύναμις, ἀκράτῳ προσμίξαι τῇ τοῦ Θεοῦ παρουσίᾳ, καὶ γυμνὴν ὑποστῆναι αὐτοῦ τὴν ἐμφάνειαν· ὡς ἂν εὔληπτον γένοιτο τῷ ἐπιζητοῦντι ὑπὲρ ἡμῶν

CAPVT XXIV.

SED eſt conſentaneum eum qui attendit eorum quę dicta fuerunt conſequentiam, quærere vbinam in iis quæ diximus, cernatur potentia diuinitatis, & vbi incorruptio diuinæ potentiæ. Vt igitur hæc quoque reddantur euidentia, conſideremus ea quæ deinceps ſequuntur ex myſterio, in quibus maximè oſtenditur cum benignitate contemperata potentia: Atque primum quidem, quod omnipotens natura potuerit deſcendere ad humilitatem humanitatis, id poteſtatem magis oſtendit, quàm magna & quæ naturam ſuperant miracula. Nam quod magnum quidpiam & excelſum effectum ſit à diuina virtute, eſt quodammodo ſecundum naturam & conſentaneum. Neque nouum & admirabile quidpiam auribus attulerit, quod dicitur, vniuerſam quæ eſt in mundo creaturam, & quicquid extra ea quæ cernuntur, comprehenditur, Dei virtute conſtitiſſe, eius voluntate, vt ei viſum eſt, deducta ad eſſentiam. Ad id autem quod eſt humile & abiectum deſcenſus, eſt quædam inſignis & redundans copia poteſtatis, quæ minimè impeditur in iis quæ ſunt præter naturam. Quomodo enim ignis eſſentiæ eſt proprium ferri ſurſum: neque in flamma quicquam eſt admirandum quod fit naturaliter; Sed ſi eam inſtar grauium corporum videat deorſum tendere, eius rei ducitur admiratione, nempe quonam modo ignis eſſe ignis perſeueret, & in modo motus excedat naturam, tendens deorſum: Ita etiam diuinam & ſupereminentem potentiam, neque cœlorum magnitudo, neque luminarium ſplendor, neque vniuerſi ornatus, neque rerum naturalium perpetua adminiſtratio tantum oſtendit, quantum quòd ſe demiſerit ad imbecillitatem noſtræ naturæ: nempe quomodo cum excelſum extiterit, in humili & abiecto id cernitur, nec deſcendit altitudo: quomodo humanitas connexa diuinæ naturæ, & hoc fit, & eſt illud. Cum enim, ſicut prius dictum eſt, non eſſet ea natura poteſtatis contrariæ, vt admiſceretur merę Dei præſentiæ, & ferret nudam eius apparitionem: vt ab eo qui poſcebat facilè pro nobis accipi poſſet pretium

Potētia Dei magis oſtēditur quòd omnipotens natura deſcenderit ad humilitatẽ quam miraculis.

in permutatione, naturæ noſtræ integumento celata fuit diuinitas, vt inſtar piſcium guloſorum cum eſca carnis ſimul attraheretur hamus diuinitatis: & ſic vita ad mortem introducta, & luce apparente in tenebris, luce & vita deleretur id quod eis contrariũ intelligitur. Neque enim ea eſt natura tenebrarum, vt luce præſente permaneant: neque mortis, vt ſit vita operante. In ſummam itaque redacta myſterij conſequentia, perfectam faciemus defenſionem aduerſus eos qui accuſant diuinam diſpenſationem, nempe quánam de cauſa diuinitas humanam per ſe non efficit ſalutem. Oportet enim in omnibus ea de Deo ſentiri & exiſtimari quæ Deum decent: & non hoc quidem excelsè & ſublimiter de eo intelligi, illud autem repelli ab ea quæ Deo conuenit dignitate: ſed omnem excelſam ac piam intelligentiam oportet omnino in Deo credi, & per conſequentiam vnum pendere ab altero. Oſtenſum ergo eſt bonitatem, ſapientiam, iuſtitiam, potentiam, & incorruptionem euidenter monſtrari in ratione noſtræ carnis à Deo ſuſceptæ diſpenſationis. Bonitas in hoc comprehenditur, quòd voluerit ſeruare eum qui perierit. In modo ſalutis oſtenſa eſt ſapientia & iuſtitia. Potentia autem in eo, quòd ipſe quidem factus ſit in ſimilitudine & figura hominis, conuenienter naturæ noſtræ humilitati: & ſpes fuerit ipſum ad hominum ſimilitudinem morte poſſe teneri. Cùm autem factus eſſet, id fecerit quod erat ſibi proprium ac conueniens ſecundum naturam. Eſt autem luci quidem proprium ac conueniens, vt deleat tenebras: vitæ autem, vt mortem perdat. Quia ergo aberrantes à recta via ab initio à vita auerſi, & ad mortem delati ſumus, quid à myſterio diſcimus quod ſit remotum à probabilitate, & non conſentaneum, ſi puritas eos tangit, qui à peccatis ſunt inquinati: & vita mortuos: & via eos qui aberrauerunt: vt & purgentur ſordes, & ab errore ceſſetur: & quod erat mortuum ad vitam reuertatur.

A τὸ ἀντάλλαγμα, τῷ προκαλύμματι τῆς φύσεως ἡμῶν ἐνεκρύφθη τὸ θεῖον, ἵνα κατὰ τοὺς λίχνους τῶν ἰχθύων τῷ δελέατι τῆς σαρκὸς συναποσπασθῇ τὸ ἄγκιστρον τῆς θεότητος· καὶ οὕτω τῆς ζωῆς τῷ θανάτῳ εἰσοικισθείσης, καὶ τῷ σκότει τοῦ φωτὸς ἐμφανέντος, ἐξαφανισθῇ τῷ φωτὶ καὶ τῇ ζωῇ τὸ κατὰ τὸ ἐναντίον νοούμενον. οὐ γὰρ ἔχει φύσιν οὔτε σκότος διαμένειν ἐν φωτὸς παρουσίᾳ· οὔτε θάνατον εἶναι ζωῆς ἐνεργούσης. Ἐν κοινῷ ἐπὶ κεφαλαίῳ τοῦ μυστηρίου τὴν ἀκολουθίαν ἀναλαβόντες, ἐντελῆ ποιησόμεθα τὴν ἀπολογίαν πρὸς τοὺς κατηγοροῦντας τῆς θείας

B οἰκονομίας, ὅτου χάριν δι᾽ ἑαυτῆς ἡ θεότης τὴν ἀνθρωπίνην οὐ κατεργάζεται σωτηρίαν. δεῖ γὰρ διὰ πάντων τὸ θεῖον ἐν ταῖς πρεπούσαις ὑπολήψεσιν εἶναι· μὴ τὸ μὲν ὑψηλῶς ἐπ᾽ αὐτοῦ νοεῖσθαι, τὸ δὲ τῆς θεοπρεποῦς ἀξίας ἐκβάλλεσθαι· ἀλλὰ πᾶν ὑψηλὸν καὶ εὐσεβὲς νόημα δεῖ πάντως ἐπὶ Θεοῦ πιστεύεσθαι, κἂν συνηρτῆσθαι δι᾽ ἀκολουθίας τῷ ἑτέρῳ τὸ ἕτερον. δέδεικται τοίνυν τὸ ἀγαθὸν, τὸ σοφὸν, τὸ δίκαιον, τὸ δυνατὸν, τὸ φθορᾶς ἀνεπίδεκτον, πάντα τῷ

C λόγῳ τῆς καθ᾽ ἡμᾶς οἰκονομίας ἐπιδεικνύμενα. ἡ ἀγαθότης ἐν τῷ προελέσθαι σῶσαι τὸν ἀπολωλότα καταλαμβάνεται. ἡ σοφία καὶ ἡ δικαιοσύνη, ἐν τῷ τρόπῳ τῆς σωτηρίας ἡμῶν διεδείχθη. ἡ δύναμις ἐν τῷ γενέσθαι μὲν αὐτὸν ἐν ὁμοιώματι ἀνθρώπου καὶ σχήματι κατὰ τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν, καὶ ἐλπισθῆναι δύνασθαι αὐτὸν καθ᾽ ὁμοιότητα τῶν ἀνθρώπων τῷ θανάτῳ ἐγκρατηθῆναι· γενόμενον δὲ, τὸ οἰκεῖον ἑαυτῷ κατὰ φύσιν ἐργάσασθαι. οἰκεῖον δὲ φωτὶ μὲν ὁ ἀφανισμὸς τοῦ σκότους, ζωῇ δὲ ἡ τοῦ θα-

D νάτου καθαίρεσις. ἐπεὶ οὖν τῆς εὐθείας ὁδοῦ κατενεχθέντες τὸ κατ᾽ ἀρχὰς τῆς ζωῆς ἐξετράπημεν, καὶ τῷ θανάτῳ ἐγκατηνέχθημεν. τί τοῦ εἰκότος ἔξω παρὰ τοῦ μυστηρίου μανθάνομεν, εἰ ἡ καθαρότης τῶν ἐξ ἁμαρτίας μολυνθέντων ἐφάπτεται, καὶ ἡ ζωὴ τῶν τεθνηκότων, καὶ ἡ ὁδηγία τῶν πεπλανημένων, ὡς ἂν ὅτε μολυσμὸς καθαρθείη, καὶ ἡ πλάνη θεραπευθείη, καὶ εἰς τὴν ζωὴν τὸ τεθνηκὸς ἐπανέλθοι.

A

ΚΕΦΑΛΑΙΟΝ κε΄.

Τὸ δὲ ἐν τῇ φύσει ἡμῶν γενέσθαι τὴν θεότητα, τοῖς μὴ λίαν μικροψύχοις κατανοοῦσι τὰ ὄντα, οὐδένα ἂν ἐκ τοῦ εὐλόγου ξενισμὸν ἐπαγάγοι. τίς γὰρ οὕτω νήπιος τὴν ψυχὴν, ὡς εἰς τὸ πᾶν ἀποβλέπων μὴ ἐν τῷ παντὶ πιστεύειν εἶναι τὸ θεῖον, καὶ ἐνδυόμενον καὶ περιέχον καὶ ἐγκαθήμενον; τοῦ γὰρ ὄντος ἐξῆπται τὰ πάντα, καὶ οὐκ ἔνεστιν εἶναί τι, μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχον. εἰ οὖν ἐν αὐτῷ τὰ πάντα, καὶ ἐν πᾶσιν ἐκεῖνο· τί ἐπαισχύνονται ἐν τῇ οἰκονομίᾳ τοῦ μυστηρίου, τὸν Θεὸν ἐν ἀνθρώποις γεγενῆσθαι διδάσκοντος, τὸν οὐδὲ νῦν ἔξω τοῦ ἀνθρώπου εἶναι πεπιστευμένον; εἰ γὰρ καὶ ὁ τρόπος τῆς ἐν ἡμῖν τοῦ Θεοῦ παρουσίας, οὐχ αὐτὸς οὗτος ἐκείνῳ· ἀλλ' οὖν τὸ ἐν ἡμῖν εἶναι, καὶ νῦν καὶ τότε κατὰ τὸ ἴσον διωμολόγηται. νῦν μὲν οὖν ἐγκέκραται ἡμῖν ὁ συνέχων ἐν τῷ εἶναι τὴν φύσιν· τότε δὲ κατεμίχθη πρὸς τὸ ἡμέτερον, ἵνα τῇ πρὸς τὸ θεῖον ἐπιμιξίᾳ γένηται θεῖον ἐξαιρεθὲν τοῦ θανάτου καὶ τῆς τοῦ ἀντικειμένου τυραννίδος ἔξω γενόμενον. ἡ γὰρ ἐκείνου ἀπὸ τοῦ θανάτου ἐπάνοδος, ἀρχὴ τῷ θνητῷ γένει τῆς εἰς τὴν ἀθάνατον ζωὴν ἐπανόδου γίνεται.

CAPVT XXV.

Qvod autem in noſtra extiterit natura diuinitas, iis qui non puſillo & abiecto animo ea quæ ſunt conſiderant, id nequaquam dictu nouum videbitur & alienum. Quis eſt enim adeò puerili animo & ingenio, vt ad vniuerſitatem aſpiciens, in vniuerſitate non credat eſſe Deum, eam induentem & continentem, & ei inſidentem? Ab eo enim quod eſt, pendent omnia, nec fieri poteſt vt ſit aliquid, quod in eo quod eſt, non habeat eſſentiam. Si ergo B in eo ſunt omnia, & illud eſt in omnibus: cur eos pudet quòd myſterium in diſpenſatione doceat Deum extitiſſe inter homines, qui ne nunc quidem creditur eſſe extra hominẽ? Nam etſi modus Dei inter nos præſentię, non eſt hic idem qui ille; attamen quod ſit in nobis ex æquo, nunc, & tunc planè conſtat. Atque nunc quidem eſt in nobis contemperatus, qui naturam continet in eſſentia: tunc autem cum noſtra natura immiſta fuit diuinitùs: & in ea noſtræ naturæ cum diuina commiſtione, no- C ſtra effecta eſt diuina, vt quæ à morte ſit exempta, & ab aduerſarij erepta tyrannide. Illius enim à morte reuerſio, extitit mortali generi principium reuerſionis ad vitam immortalem.

Diuinitatẽ eſſe in noſtra natura, minimè mirandum.

ΚΕΦΑΛΑΙΟΝ κϛ΄.

Ἀλλ' ἴσως τις ἐν τῇ τῆς δικαιοσύνης ἐξετάσει καὶ σοφίας τῆς κατὰ τὴν οἰκονομίαν ταύτην θεωρουμένης, ἀνάγεται πρὸς τὸ νομίσαι ἀπατηλήν τινα ταύτην μέθοδον ἐπινενοῆσθαι ὑπὲρ ἡμῶν τῷ Θεῷ. τὸ γὰρ μὴ γυμνῇ τῇ θεότητι, ἀλλ' ὑπὸ τῆς ἀνθρωπίνης φύσεως κεκαλυμμένην, ἀγνοηθέντα παρὰ τοῦ ἐχθροῦ τὸν Θεὸν, ἐντὸς τοῦ κρατοῦντος γενέσθαι, ἀπάτη τίς ἐστι τρόπον τινὰ καὶ παραλογισμὸς, ἐπείπερ ἴδιον τῶν ἀπατώντων ἐστὶ, τὸ πρὸς ἕτερον τὰς τῶν ἐπιβουλευομένων ἐλπίδας τρέπειν, καὶ ἄλλο παρὰ τὸ ἐλπισθὲν κατεργάζεσθαι· ἀλλ' ὁ πρὸς τὴν ἀλήθειαν βλέπων, πάντων μάλιστα καὶ τοῦτο τῆς δικαιοσύνης τε καὶ τῆς σοφίας εἶναι συνθήσεται. δικαίου μὲν γάρ ἐστι, τὸ κατ' ἀξίαν ἑκάστῳ νέμειν· σοφοῦ δὲ τὸ μήτε παρατρέπειν τὸ δίκαιον, μήτε τὸ ἀγαθὸν τῆς φιλανθρωπίας σχο-

CAPVT XXVI.

Sed in examinanda fortè iuſtitia & ſapientia, quę conſideratur in hac diſpenſatione, adducitur fortaſſe quiſpiam, vt exiſtimet fraude hanc viam & rationem à Deo pro nobis fuiſſe excogitatam. Quod enim non nuda diui- D nitate, ſed tecta ab humana natura, Deus ab inimico ignoratus, in eum qui dominatum obtinebat, ſe inſinuauerit, eſt quodammodo dolus quidam & circumſcriptio, cùm ſit proprium eorum qui decipiunt, ad aliud conuertere ſpem eorum, quibus ſtruuntur inſidiæ, & aliud efficere quàm quod fuit ſperatum. Sed qui aſpicit ad veritatem, hóc quoque aſſentietur omnium maximè eſſe iuſtitiæ & ſapientiæ. Nam iuſti quidem eſt pro meritis vnicuique tribuere, Sapientis autem neque iuſtum auertere, neque bonum benignitatis ſcopum

Doloſus fuerit in Deo in ſuſcepta carnis diſpenſatione.

δόντα τὴν προτιμοτέραν ὕλην. Οὐκ ἄπονος μέν τοι γίνεται ἡ διάκρισις, χρόνῳ τοῦ πυρὸς τῇ ἀναλωτικῇ δυνάμει τὸ νόθον ἐξαφανίζοντος. πλὴν ἀλλὰ θεραπεία τίς ἐστι τοῦ χρυσίου, τὸ ἐκτακῆναι περὶ αὐτὸ, τὸ ἐπὶ λύμῃ τοῦ κάλλους ἐγκείμενον. κατὰ τὸν αὐτὸν τρόπον θανάτου καὶ φθορᾶς, καὶ σκότους, καὶ εἴ τι κακίας ἔκγονον, τῷ εὑρετῇ τοῦ κακοῦ περιφυέντων· ὁ προσπελασμὸς τῆς θείας δυνάμεως πυρὸς δίκην ἀφανισμὸν τοῦ παρὰ φύσιν κατεργασάμενος, εὐεργετεῖ τῇ ἀφθαρσίᾳ τὴν φύσιν, κἂν ἐπίπονος ἡ διάκρισις ᾖ. Οὐκοῦν οὐδ' ἂν παρ' αὐτοῦ τοῦ ἀντικειμένου μὴ εἶναι, δίκαιόν τε καὶ σωτήριον τὸ γεγονὸς ἀμφιβάλλοιτο, εἴπερ εἰς αἴσθησιν τῆς εὐεργεσίας ἔλθοι. νυνὶ γὰρ καθάπερ οἱ ἐπὶ θεραπείᾳ τεμνόμενοί τε καὶ καιόμενοι χαλεπαίνουσι τοῖς θεραπεύουσι, τῇ ὀδύνῃ τῆς τομῆς δριμυσσόμενοι. Εἰ δὲ τὸ ὑγιαίνειν διὰ τούτου προσγένοιτο, καὶ ἡ τῆς καύσεως ἀλγηδὼν παρέλθοι, χάριν εἴσονται τοῖς τὴν θεραπείαν ἐπ' αὐτοῖς ἐνεργήσασι, κατὰ τὸν αὐτὸν τρόπον ταῖς μακραῖς περιόδοις ἐξαιρεθέντος τοῦ κακοῦ τῆς φύσεως, τοῦ νῦν αὐτοῖς καταμιχθέντος καὶ συμφυέντος, ἐπειδὰν ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις, τῶν νῦν ἐν κακίᾳ κειμένων γένηται, ὁμόφωνος εὐχαριστία παρὰ πάσης ἔσται τῆς κτίσεως, καὶ τῶν ἐν τῇ καθάρσει κεκολασμένων, καὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐπιδεηθέντων καθάρσεως. Ταῦτα καὶ τὰ τοιαῦτα παραδίδωσι τὸ μέγα μυστήριον τῆς θείας ἐνανθρωπήσεως. δι' ὧν γὰρ κατεμίχθη τῇ ἀνθρωπότητι, διὰ πάντων τῶν τῆς φύσεως ἰδιωμάτων γενόμενος, γενέσεώς τε καὶ ἀνατροφῆς καὶ αὐξήσεως, καὶ μέχρι τῆς τοῦ θανάτου πείρας διεξελθὼν, τὰ προειρημένα πάντα κατείργασται, τόν τε ἄνθρωπον τῆς κακίας ἐλευθερῶν, καὶ αὐτὸν τὸν τῆς κακίας εὑρετὴν ἰώμενος. ἴασις γάρ ἐστιν ἀρρωστίας, ἡ τοῦ νοσήματος κάθαρσις, κἂν ἐπίπονος ᾖ.

ΚΕΦΑΛΑΙΟΝ κζʹ.

ΑΚΟΛΟΥΘΟΝ δὲ πάντως, τὸν πρὸς τὴν φύσιν ἡμῶν ἀνακιρνάμενον, διὰ πάντων δέξασθαι τῶν ἰδιωμάτων αὐτῆς τὴν πρὸς ἡμᾶς συνανάκρασιν. καθάπερ γὰρ οἱ τὸν ῥύπον τῶν ἱματίων ἐκπλύνοντες, οὐ τὰ μὲν ἐῶσι τῶν μολυσμάτων,

A ducunt materiem. Neque tamen citra laborem fit illa ſecretio, cum ignis ſua conſumendi poteſtate, tempore deleat id quod eſt adulterinum. Verum enimuero auri quædam eſt medicatio, quòd in ipſo eliquetur id quod ad boni exitium in eo poſitum fuerat. Eodem modo etiam cùm mors & interitus, & tenebræ, & ſi quis eſt alius vitij fœtus, inuentori mali adnata eſſent: diuinæ virtutis appropinquatio, tanquam ab igne deleto eo quod eſt præter naturam, naturam incorruptionis afficit beneficio, etiamſi laborioſa ſit ſecre-
B tio. Ergo ne dubitare quidem poterit aduerſarius, quin quod factum eſt, ſit iuſtum & ſalutare, ſi venerit ad ſenſum beneficij. Nunc enim quomodo qui vel curentur, ſecantur & vruntur, iraſcuntur iis qui curant, vt quibus acris & aſpera ſentiatur ſectio. Quòd ſi acciderit vt per id ſani fiant, & dolor tranſeat ſectionis, habebunt gratiam iis qui ipſos curauerint. Eodem modo cùm per longum temporis ambitum ablatum fuerit naturæ malum, quod nunc eſt eis immiſtum & coalitum, & eorum qui nunc iacent in
C malis, in antiquum ſtatum facta fuerit reſtitutio, vna voce agentur gratiæ ab vniuerſa creatura, & ab iis qui caſtigati fuerunt in purgatione, & ab iis qui ne omnino quidem opus habuerunt vt purgarentur. Hæc & quæ ſunt huiuſmodi, tradit magnum myſterium ſuſceptæ à Deo humanitatis. Per hoc enim quod miſtus fuit humanitati, cùm fuerit in omnibus naturæ proprietatibus, nempe generatione, educatione & incremento, & vſque ad mortis peruaſerit experientiam, effecit ea omnia quæ prius dicta ſunt, & ho-
D minem à vitio liberans, & vitij medens inuentori. Ægritudinis etiam medela, eſt morbi purgatio, etiamſi ſit laborioſa.

CAPVT XXVII.

CONSEQVENS autem erat, vt qui noſtræ admiſcebatur naturæ, per omnes eius proprietates ſuſciperet eam quæ nobiſcum fiebat contemperationem. Quomodo enim qui veſtium ſordes abluunt, non alia quidem inquinamenta conſeruant,

alia vero abſtergunt: ſed ab initio ad finem vſque totius panni maculas expurgant, vt ſit veſtimentum vbique eiuſdem pretij, ex æquo effectum eluendo nitidum & ſplendidum. Ita cùm vita humana peccato eſſet inquinata, & in principio, & in fine, & in medio, vi & poteſtate opus habebat per omnia abluente, & oportebat non hoc quidem expurgare, illud verò relinquere non expurgatum. Ita cùm vita noſtra duobus ſit intercepta finibus, nempe principio & fine, in vtroque fine inuenitur vis & poteſtas naturæ corrigendæ, vt quæ & principium attigerit, & porrecta ſit vſque ad finem, & omnia quæ ſunt intermedia interceperit. Cùm autem omnibus hominibus vnus ſit in vitam aditus, vndénam oportebat eum qui ad nos ingreditur, in vita collocari? Ex cœlo ait fortaſſe qui genus humanæ originis deſpuit tanquam turpe & abiectum. Sed in cœlo non erant homines: nec in vita ſupermundana verſabatur morbus vitij. Qui autem cum homine commiſcebatur, eius erat ſcopus & inſtitutum in illa contemperatione, vt prodeſſet homini. Vbi ergo non erat malum, neque ibi vita degebatur humana, quemadmodum poſtulat quiſpiam, vt homo illinc Deo coniungatur, imò verò non homo, ſed aliquod ſimulachrum, & quædam ſimilitudo hominis? Quænam autem fieret noſtræ naturæ correctio, ſi cùm terreſtre ægrotaſſet animal, aliquod aliud ex cœleſtibus diuinum ſuſcepiſſet aduentum? Non poteſt enim fieri vt curetur quod laborat, niſi pars laborans propriam ac peculiarem accipiat curationem. Si ergo quod laborabat quidem, fuiſſet in terra: virtus autem diuina id quod laborabat minimè attigiſſet, aſpiciens ad id quod ſe decebat: fuiſſet planè homini inutile diuinæ virtutis negotium, in iis verſans quæ nobiſcum nullam habebant communionem. In diuinitate enim æquè fuiſſet indecorum, ſi quidem fas eſt omnino aliquid aliud cogitare indecorum, præter vitium ei quidem qui pulſo & abiecto animo diuinam in hoc ſtatuit maieſtatem & amplitudinem, quòd noſtræ naturæ proprietatum minimè aliquam ſuſcipiat communicationem,

A τὰ δὲ ἀπορρίπτουσιν· ἀλλ' ἀπ' ἀρχῆς ἄχρι τέλους ἐκκαθαίρουσι τῶν κηλίδων ἅπαν τὸ ὕφασμα, ὡς ἂν ὁμότιμον ἑαυτῷ δι' ὅλου τὸ ἱμάτιον γένοιτο, τὸ κατὰ τὸ ἶσον λαμπρυνθὲν ἐκ τῆς πλύσεως. οὕτως μολυνθείσης τῇ ἁμαρτίᾳ τῆς ἀνθρωπίνης ζωῆς, ἐν ἀρχῇ τε καὶ τελευτῇ καὶ τοῖς διὰ μέσου πᾶσιν ἔδει διὰ πάντων γενέσθαι τὴν ἐκπλύνουσαν δύναμιν, καὶ μὴ τὸ μέν τι θεραπεῦσαι τῷ καθαρσίῳ, τὸ δὲ περιϊδεῖν ἀθεράπευτον· τούτου χάριν τῆς ζωῆς ἡμῶν δύο πέρασιν ἑκατέρωθεν διειλημμένης, τὸ B κατὰ τὴν ἀρχήν φημι, καὶ τὸ τέλος, καθ' ἑκάτερον εὑρίσκεται πέρας ἡ διορθωτικὴ τῆς φύσεως δύναμις, καὶ τῆς ἀρχῆς ἁψαμένη, καὶ μέχρι τοῦ τέλους ἑαυτὴν ἐπεκτείνασα, καὶ τὰ διὰ μέσου τούτων πάντα διαλαβοῦσα. μιᾶς δὲ πᾶσιν ἀνθρώποις τῆς εἰς τὴν ζωὴν οὔσης προόδου, πόθεν ἔδει τὸν εἰσιόντα πρὸς ἡμᾶς οἰκισθῆναι τῷ βίῳ; ἐξ οὐρανοῦ φησὶ τυχὸν ὁ διαπτύων ὡς αἰσχρόν τε καὶ ἄδοξον τὸ εἶδος τῆς ἀνθρωπίνης γενέσεως. ἀλλ' οὐκ ἦν ἐν οὐρανῷ τὸ ἀνθρώπινον· οὐδέ τις ἐν τῇ ὑπερκοσμίῳ C ζωῇ, κακίας νόσος ἐπεχωρίαζεν. ὁ δὲ τῷ ἀνθρώπῳ καταμιγνύμενος, τὸν σκοπὸν τῆς ὠφελείας ἐποιεῖτο τὴν συνανάκρασιν. ἔνθα τοίνυν τὸ κακὸν οὐκ ἦν, οὐδ' ἀνθρώπινος ἐπολιτεύετο βίος, πῶς ἐπιζητεῖ τις ἐκεῖθεν τῷ Θεῷ περιπλακῆναι τὸν ἄνθρωπον, μᾶλλον δὲ οὐχὶ ἄνθρωπον, ἀλλὰ ἀνθρώπου τι εἴδωλον καὶ ὁμοίωμα; τίς δ' ἂν ἐγένετο τῆς φύσεως ἡμῶν ἡ διόρθωσις, εἰ τοῦ ἐπιγείου ζώου νενοσηκότος, ἕτερόν τι τῶν οὐρανίων τὴν D θείαν ἐπιδημίαν ἐδέξατο; οὐκ ἔστι γὰρ θεραπευθῆναι τὸν κάμνοντα, μὴ τοῦ πονοῦντος μέρους ἰδιαζόντως δεξαμένου τὴν ἴασιν. εἰ οὖν τὸ μὲν κάμνον ἐπὶ γῆς ἦν, ἡ δὲ θεία δύναμις τοῦ κάμνοντος μὴ ἐφήψατο, πρὸς τὸ ἑαυτῆς βλέπουσα πρέπον, ἄχρηστος ἦν τῷ ἀνθρώπῳ ἡ περὶ τὰ μηδὲν ἡμῖν ἐπικοινωνοῦντα τῆς θείας δυνάμεως ἀσχολία. τὸ μὲν γὰρ ἀπρεπές, ἐπὶ τῆς θεότητος ἶσον, εἴπερ ὅλως θεμιτόν ἐστιν· ἄλλο ὅτι παρὰ τὴν κακίαν ἀπρεπὲς ἐννοεῖν, πλὴν τῷ μικροψύχως ἐν τούτῳ κρίνοντι τὴν θείαν μεγαλειότητα ἐν τῷ μὴ δέξασθαι τὴν τῆς φύσεως ἡμῶν ἰδιωμάτων τὴν κοινωνίαν,

τόσῳ μᾶλλον παραμυθεῖται τὸ ἄδοξον οὐρανίῳ σώματι, ἢ ἐπιγείῳ συσχηματισθῆναι τὸ θεῖον. τοῦ γὰρ ὑψίστου καὶ ἀπροσίτου κατὰ τὸ ὕψος τῆς φύσεως, ἡ κτίσις πᾶσα κατὰ τὸ ἴσον ἐπὶ τὸ κάτω ἀφέστηκε, καὶ ὁμοτίμως αὐτῷ τὸ πᾶν ὑποβέβηκε. τὸ γὰρ καθόλου ἀπρόσιτον, οὐ τινὶ μὲν ἐστὶ προσιτόν, τὸ δὲ ἀπροσπέλαστον· ἀλλ' ἐπίσης πάντων τῶν ὄντων ὑπερανέστηκεν. οὔτε οὖν ἡ γῆ πορρωτέρω τῆς ἀξίας ἐστὶ, οὔτε οὐρανὸς πλησιέστερος, οὔτε τὰ ἐν ἑκατέρῳ τῶν στοιχείων ἐνδιαιτώμενα, διαφέρει τι ἀλλήλων ἐν τῷ μέρει τούτῳ, ὡς τὰ μὲν ἐφάπτεσθαι τῆς ἀπροσίτου φύσεως, τὰ δὲ ἀποκρίνεσθαι, ἢ οὔτε γ' ἂν μήτε διὰ πάντων ἐπίσης διήκειν τὴν τὸ πᾶν ἐπικρατοῦσαν δύναμιν ὑπονοήσαιμεν, ἀλλ' ἐν τισὶ πλεονάζουσαν, ἐν ἑτέροις ἐνδεεστέραν εἶναι, καὶ τῇ πρὸς τὸ ἔλαττόν τε καὶ πλέον, καὶ μᾶλλον καὶ ἧττον διαφορᾷ σύνθετον ἐκ τοῦ ἀκολούθου τὸ θεῖον ἀναφανήσεται, αὐτὸ πρὸς ἑαυτὸ μὴ συμβαῖνον, εἴπερ ἡμῶν πόρρωθεν ὑπονοοῖτο εἶναι τῷ λόγῳ τῆς φύσεως· ἑτέρῳ δέ τινι γειτνιῶν, καὶ εὔληπτος ἐκ τοῦ συνεγγίζειν γίγνοιτο. ἀλλ' ὁ ἀληθὴς λόγος ἐπὶ τῆς ὑψηλῆς ἀξίας, οὔτε κάτω βλέπει διὰ συγκρίσεως, οὔτε ἄνω. πάντα γὰρ κατὰ τὸ ἴσον τὴν τοῦ παντὸς ἐπιστατοῦσαν δύναμιν ὑποβέβηκεν. ὥστε εἰ τὴν ἐπίγειον φύσιν ἀναξίαν τῆς πρὸς τὸ θεῖον οἴονται συμπλοκῆς, οὐδ' ἂν ἄλλη τις εὑρεθείη τὸ ἄξιον ἔχουσα. εἰ δὲ ἐπίσης πάντα τῆς ἀξίας ἀπολιμπάνεται, ἐμπρεπὲς ἐστὶ τῷ Θεῷ τὸ εὐεργετεῖν τὸν δεόμενον· ὅπου τοίνυν ἦν ἡ νόσος, ἐκεῖ φοιτῆσαι τὴν ἰωμένην δύναμιν ὁμολογοῦντες, τί ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως πεπιστεύκαμεν;

A nihilo tolerabilior videtur eſſe turpitudo & dedecus, quòd Deus cœleſtis corporis figuram ſuſceperit quàm terreſtris. Ab eius enim qui eſt altiſſimus, & ad cuius altitudinem non patet aditus, natura ex æquo diſtat omnis creatura, & ſunt omnia ei æqualiter ſubiecta. Nam id quod eſt eiuſmodi, vt ad id omnino non pateat aditus, non alicui quidem præbet aditum, aliquid verò ad ipſum non poteſt appropinquare: ſed ex æquo vniuerſa quæ ſunt, ſuperat & ſupereminet. Neque ergo terra eſt remotior à ſuprema illa dignitate, ne-
B que cœlum propinquius: neque quæ vitam degunt in vtroque elemento, hac in re quicquam à ſe inuicem differunt, vt alia quidem attingant naturam ad quam non patet aditus, alia verò ab ea ſecernantur. Nam ſic quidem exiſtimaremus, vim illam ac poteſtatem quæ omnia continet, non ex æquo per omnia peruadere: ſed in aliis quidem eam eſſe abundantiorem: in alis verò magis deficere: & ex maioris minoriſque differentia compoſitus ex conſequenti apparebit Deus, vt qui ſibi ipſi non conueniat, ſiquidem procul eſſe à
C nobis exiſtimetur ratione naturæ: alicui autem alij appropinquans, ex eo quòd propè ſit, facilè poſſit apprehendi. Sed vera ratio, in excelſa & ſublimi illa auctoritate, neque deorſum aſpicit, neque ſurſum per cōparationem. Omnia enim ex æquo ſunt ſubiecta poteſtati illi quæ præeſt omnibus. Quamobrem ſi terreſtrem naturam exiſtimabunt indignam quæ cum Deo connectatur, neque vlla inuenietur digna. Quòd ſi ex æquo omnia ſunt indigna: vnum ſupereſt, quod Deo conueniat, nimirum egenti benefacere: vbi eſt ergo morbus, illuc medicatricem venire poteſtatem
D confitentes, quídnam credimus alienum ab eo quod vt decet, de Deo eſt exiſtimandum?

ΚΕΦΑΛΑΙΟΝ κη'.

ΑΛΛΑ κωμῳδοῦσι τὴν φύσιν ἡμῶν, καὶ τὸν τῆς γεννήσεως ἡμῶν τρόπον διαθρυλλοῦσι, καὶ οἴονται διὰ τούτων ἐπιγέλαστον ποιεῖν τὸ μυστήριον· ὡς ἀπρεπὲς ὂν τῷ Θεῷ, διὰ τοιαύτης εἰσόδου τῆς τοῦ ἀνθρωπίνου βίου κοινωνίας ἐφάψασθαι.

CAPVT XXVIII.

SED noſtram ludibrio habent naturam, & noſtrum naſcendi modum in vulgus iactant, exiſtimántque ſe ea ratione ridiculum noſtrum facere myſterium: vtpotè quod Deum non deceat, per eiuſmodi ingreſſum deuenire ad humanæ vitæ ſocietatem:

ſed ad aliquid omnino liberum procedit arbitrium, boni deſiderio naturaliter ipſum trahente ad motum. Bonum autem, aliud quidem verè eſt bonum ſecundum naturam: aliud autem non eiuſmodi, ſed habet quandam boni viſionem ac ſpeciem. Eorum autē iudex eſt intelligentia intra nos collocata. Qua in re verſamur in periculo, vel aſſequendi eius quod verè eſt bonum: aut, ſi ab eo diuerterimus, per aliquam eius quod apparet deceptionem, dilabendi ad contrarium: cuiuſmodi quidpiam, accidiſſe narrat externa fabula cani qui in aqua viderat vmbram eius quod in ore geſtabat: nempe verum cibum dimiſiſſe, inhiantem autem cibi ſimulachro fame laboraſſe.

CAPVT XXII.

POSTQVAM ergo eius quod eſt verè bonum deſiderio mens fraudata, ad id quod non eſt, fuit delata, fraude conſultoris & inuentoris vitij, perſuaſa eſſe bonum id quod bono eſt contrarium. Neque enim dolus fuiſſet efficax, niſi vitij hamo eſcæ inſtar illita fuiſſet boni ſpecies. Cùm ergo homo voluntariè in hanc incidiſſet calamitatem, qui ſe per voluntatem vitæ inimico ſubiunxerat, quære mihi ſimul omnia quæ conueniunt iis quæ de Deo ſentiuntur, bonitatem, ſapientiam, iuſtitiam, potentiam, incorruptionem, & ſi quid eſt melioris ſignificationis. Tanquam bonus ergo, mouetur miſericordia eius qui ceciderat: & tanquam ſapiens, non ignorat modum reuocationis. Sapientiæ autem eſt, etiam eius quod iuſtum eſt, iudicium. Nemo enim inſipientiæ veram tribuerit iuſtitiam. Quidnam ergo eſt in his iuſtum? Non aliqua tyrannica in eum qui nos poſſidebat vti auctoritate: neque ſumma vi rapiendo ab eo qui dominatum obtinebat, relinquere iuſtę defenſionis aliquam occaſionem, ei qui per voluptatem hominem redegerat in ſeruitutem. Quomodo enim qui pecunia ſuam vendiderunt libertatem, fiunt ſerui emptorum, vt qui ſeipſos vendiderint: & nec ipſis nec vlli alij pro eis licet proclamare ad libertatem, etiamſi ingenui & honeſto loco nati eſſent qui ſua ſponte ad hanc deuenerunt calamitatem. Si quis autem

Lapſo homine quomodo ſe Deus geſſerit.

A ἀλλ᾽ ἐπί τι πάντως ἡ προαίρεσις ἵεται, τῆς πρὸς τὸ καλὸν ἐπιθυμίας αὐτὴν ἐφελκομένης φυσικῶς εἰς κίνησιν. καλὸν δὲ τὸ μέν τι ἀληθῶς κατὰ τὴν φύσιν ἐστί· τὸ δὲ οὐ τοιοῦτον, ἀλλ᾽ ἐπηνθισμένον τινὶ καλοῦ φαντασίᾳ. κριτήριον δὲ τούτων ἐστὶν ὁ νοῦς ἔνδοθεν ἡμῖν ἐνιδρυμένος. ἐν ᾧ κινδυνεύεται, ἢ τὸ ἐπιτυχεῖν τοῦ ὄντως καλοῦ, ἢ τὸ παρατραπέντας αὐτοῦ, διά τινος τῆς κατὰ τὸ φαινόμενον ἀπάτης ἐπὶ τὸ ἐναντίον ἡμᾶς ἀπορρυῆναι· οἷόν τι παθεῖν ὁ ἔξω μὲν μῦθος φησὶν, ἀποδιδόασιν ἐν τῷ ὕδατι τὸν κύνα πρὸς B τὴν σκιὰν οὗ διὰ στόματος ἔφερε· μεθεῖναι μὲν τὴν ἀληθῆ τροφὴν, περιχανόντα δὲ τὸ τῆς τροφῆς εἴδωλον ἐν λιμῷ γενέσθαι.

ΚΕΦΑΛΑΙΟΝ κβ'.

ΕΠΕΙ οὖν τῆς πρὸς τὸ ὄντως ἀγαθὸν ἐπιθυμίας διαψευσθεὶς ὁ νοῦς, πρὸς τὸ μὴ ὂν παρηνέχθη, δι᾽ ἀπάτης τοῦ τῆς κακίας συμβούλου τε καὶ εὑρετοῦ, καλὸν ἀναπεισθεὶς εἶναι τὸ τῷ καλῷ ἐναντίον. οὐ γὰρ ἂν ἐνήργησεν ἡ ἀπάτη, μὴ δελέατος δίκην τῷ τῆς κακίας ἀγκίστρῳ τῆς C τοῦ καλοῦ φαντασίας περιπλασθείσης. ἐν ταύτῃ τοίνυν γεγονότος ἑκουσίως τῇ συμφορᾷ τοῦ ἀνθρώπου ἑαυτὸν δι᾽ ἡδονῆς τῷ ἐχθρῷ τῆς ζωῆς ὑποζεύξαντος, πάντα μοι κατὰ τὸ αὐτὸ ἀναζήτει, τὰ ταῖς θείαις ὑπολήψεσι πρέποντα, τὸ ἀγαθὸν, καὶ δίκαιον, καὶ δυνατὸν, τὸ ἄφθαρτον καὶ εἴ τι τῆς κρείττονος σημασίας ἐστίν. οὐκοῦν ὡς ἀγαθὸς οἶκτον λαμβάνει τοῦ διαπεπτωκότος· καὶ ὡς σοφὸς οὐκ ἀγνοεῖ τὸν τρόπον τῆς ἀνακλήσεως. σοφίας δ᾽ ἂν εἴη, καὶ ἡ τοῦ δικαίου κρίσις. οὐ γὰρ ἄν τις ἀφροσύνῃ τὴν ἀληθῆ δικαιοσύνην προσάψειε. τί οὖν ἐν τούτοις τὸ δίκαιον, τὸ μὴ τυραννι- D κῇ τινι χρήσασθαι κατὰ τοῦ κατέχοντος ἡμᾶς αὐθεντίᾳ· μηδὲ τῷ περιόντι τῆς δυνάμεως ἀποσπάσαντα τοῦ κρατουμένου καταλιπεῖν τινα δικαιολογίας ἀφορμὴν, τῷ δι᾽ ἡδονῆς καταδουλωσαμένῳ τὸν ἄνθρωπον. καθάπερ γὰρ οἱ χρημάτων τὴν ἑαυτῶν ἐλευθερίαν ἀποδόμενοι, δοῦλοι τῶν ὠνησαμένων εἰσὶν, αὐτοὶ πρατῆρες ἑαυτῶν καταστάντες· καὶ οὔτε αὐτοῖς οὔτε ἄλλῳ τινὶ, ὑπὲρ ἐκείνων ἔξεστι τὴν ἐλευθερίαν ἐπιβοήσασθαι, κἂν εὐπατρίδαι ὦσιν οἱ πρὸς τὴν συμφορὰν ταύτην αὐτομολήσαντες. Εἰ δέ τις κηδόμε-

νος τοῦ ἀπεμποληθέντος βίᾳ κατὰ τοῦ ὠνησαμένου, χρῷτο ἄδικος εἶναι δόξει τὸν νόμῳ κτηθέντα τυραννικῶς ἐξαιρούμενος· ἐξωνήσασθαι δὲ πάλιν εἰ βούλοιτο τὸν τοιοῦτον οὐδεὶς ὁ κωλύων νόμος ἐστί.

ΚΕΦΑΛΑΙΟΝ κγ'.

ΚΑΤΑ τὸν αὐτὸν τρόπον ἑκουσίως ἡμῶν ἑαυτοὺς ἀπεμποληςάντων, ἔδει παρὰ τοῦ δι' ἀγαθότητα πάλιν ἡμᾶς εἰς ἐλευθερίαν ἐξαιρουμένου, μὴ τὸν τυραννικόν, ἀλλὰ τὸν δίκαιον τρόπον ἐπινοηθῆναι τῆς ἀνακλήσεως. οὗτος δὲ ἐστὶ τὸ τῷ ἐπικρατοῦντι ποιήσασθαι, πᾶν ὅπερ ἂν ἐθέλοι λύτρον ἀντὶ τοῦ κατεχομένου λαβεῖν. τί τοίνυν εἰκὸς ἦν μᾶλλον, τὸν κρατοῦντα λαβεῖν ἑλέσθαι; δυνατόν ἐστι δι' ἀκολούθου στοχασμόν τινα τῆς ἐπιθυμίας αὐτοῦ λαβεῖν. εἴπερ τὰ δῆλα γένοιτο ἡμῖν τῶν ζητουμένων τεκμήρια. ὁ τοίνυν κατὰ τὸν ἐν ἀρχῇ τοῦ συγγράμματος προαποδοθέντα λόγον, τῷ πρὸς τὸν εὐημεροῦντα φθόνῳ πρὸς τὸ ἀγαθὸν ἐπιμύσας, τὸν δὲ τῆς κακίας ζόφον ἐν ἑαυτῷ γεννήσας· ἀρχὴν δὲ πρὸς τὰ χείρω ῥοπῆς καὶ ὑπόθεσιν, καὶ οἱονεὶ μητέρα τῆς λοιπῆς κακίας τὴν φιλαρχίαν νοσήσας, τίνος ἂν ἀντηλλάξατο τὸν κατεχόμενον, εἰ μὴ δηλαδὴ τοῦ ὑψηλοτέρου καὶ μείζονος ἀνταλλάγματος, ὡς ἂν μᾶλλον ἑαυτοῦ τὸ κατὰ τὸν τῦφον θρέψειε πάθος, τὰ μείζω τῶν ἐλαττόνων διαμειβόμενος; ἀλλὰ μὴν ἐν τοῖς ἀπ' αἰῶνος ἱστορουμένοις, ἐν οὐδενὶ συνεγνώκει τοιοῦτον οὐδέν, οἷα καθεώρα περὶ τὸν τότε φαινόμενον κυοφορίαν ἀσυνουσίαστον, καὶ γέννησιν ἄφθορον, καὶ θηλὴν ἐκ παρθενίας, καὶ ἄνωθεν ἐπιμαρτυρούσας τὸ ὑπερφυὲς τῆς ἀξίας ἐκ τῶν ἀοράτων φωνάς· καὶ τὴν τῆς φύσεως ἀρρωστημάτων διόρθωσιν, ἀπραγμάτευτόν τινα καὶ ψιλὴν ἐν ῥήματι μόνῳ καὶ ὁρμῇ τοῦ θελήματος παρ' αὐτοῦ γινομένην, τήν τε τῶν τεθνηκότων ἐπὶ τὸν βίον ἀνάζευξιν, καὶ τὸν κατὰ τῶν δαιμόνων φόβον, καὶ τὴν κατὰ τὸν ἀέρα παθῶν τὴν ἐξουσίαν, καὶ τὴν διὰ θαλάσσης πορείαν, οὐ διαχωροῦντος ἐφ' ἑκάτερα τοῦ πελάγους, καὶ τὸν πυθμένα γυμνοῦντος τοῖς παροδεύουσι κατὰ τὴν Μωσέως θαυματουργίαν, ἀλλ' ἄνω τῆς ἐπιφανείας τοῦ ὕδατος ὑποχερσουμένης τῇ βάσει, καὶ διὰ τῆς ἀσφα-

A curam gerens eius qui fuit venditus, vi vtatur aduerſus emptorem, iniuſtus eſſe videbitur, qui eum qui lege eſt acquiſitus, vi eripit. Sed ſi quiſpiam velit eum redimere, nulla eſt lex quæ id vetet.

CAPVT XXIII.

EODEM modo cùm nos ipſos noſtra ſponte vendiderimus, oportebat ab eo qui propter bonitatem nos in libertatem rurſus erat reſtituturus, non aliquem tyrannicum, ſed iuſtum excoB gitari modum reuocationis. Is autem eſt dare quodcumque velit pretium redemptionis pro eo quem poſſidet. quid ergo eſt veriſimile, magis velle accipere eum qui habet dominatum? Poſſumus per conſequentiam capere aliquam coniecturam eius cupiditatis, ſi ſint nobis manifeſta ſigna eorum quæ quæruntur. Qui ergo, vt fuit prius explicatum in initio libri, propter inuidiam in eum conceptam, cuius res erant ſecundæ, ad bonum clauſit oculos, in ſeipſo autem genuit tenebras vitij, & imperandi laC borans cupiditate, quæ eſt veluti initium & fundamẽtum ad deteriora propenſionis, & veluti mater cæterorum vitiorum, quónam pretio commutaret eum quem poſſidebat, niſi quod eſſet longè maximum, maiora accipiendo pro minoribus, vt magis aleret ſuam ſuperbiæ affectionem? Atqui in iis quæ à prioribus ſeculis aut narrata, aut literis mandata fuerant, intelligebat nihil fuiſſe tale, quale videbat in eo qui nunc apparebat, nempe conceptionẽ abſque vlla cum viro coniunctione, & ortum aſque vlla corruptione, & lactantem D fœminam ex virginitate: & voces è ſuperis teſtantes admirabilem eius dignitatem, cùm nihil tamen caderet ſub aſpectum, naturæ morborum & ægritudinum correctionem ac curationem, quæ ab eo fiebat citra vllum negotium, ſolóque verbo & nutu ac momento voluntatis, & eorum qui è vita exceſſerãt, vitæ reſtitutionem, & Dæmonum terrorem, poteſtatémque in affectiones aëris, & per mare ingreſſum, vtrinque mari non diſcedente, & iis qui tranſibant fundum aperiente, congruenter ei miraculo quod factum eſt à Moſe, ſed maris ſuperficie ad ingrediendum tanquam ſolidam terram præbente, &

De iuſto pretio redemptionis.

ſtabili ac reſiſtente duritie veſtigia firmante, & alimenti quantam vellet elargitionem, lautáque & ſplendida conuiuia in ſolitudine, multis millibus ibi opiparè tractatis: quibus neque cœlum pluit manna: neque terra ſecundum ſuam naturam frumentum producens, id quod eis erat opus, ſuppeditabat: ſed ex ineffabilibus diuinæ potentiæ promptuariis procedebat liberalitas, panis paratus, eorum qui impatiebantur tanquam agricolarum manibus elaboratus, & per eorum qui veſcebantur ſatietatem multiplicatus, & piſcium obſonium, cùm eis mare nihil conferret ad vſum, ſed is qui etiam piſcium genus in mari ſeminauerat. Quomodo autem enumerarit quiſpiam ſingula miracula Euangelica? Hanc ergo vim in illo cernens inimicus, vidit in permutatione plus eſſe emolumenti, quàm in eo quod poſſidebat. Ea de cauſa eum mauult fieri pretium redemptionis eorum qui in carcere mortis erant incluſi. Sed fieri non poterat vt Dei nudam aſpiceret ſpeciem, niſi aliquã in eo carnis, quam iam olim ob peccatum in vinculis habebat portionem animaduerteret. Idcirco carne diuinitas obumbrata eſt, vt ad id intuens quod ſecum fuit educatum & eſt ſibi cognatum, non terreretur appropinquatione excellentis virtutis: & conſiderata quæ ſenſim per miracula magis ac magis reſplendebat potentia, exiſtimaret id quod apparuit magis eſſe concupiſcendum quàm formidabile. Vides quemadmodũ cum iuſtitia coniuncta ſit bonitas, & ſapientia non ſit ab eis ſeparata. Quod enim per indumentum corporis excogitauit, vt capi poſſet diuina virtus, ne pro nobis ſuſcepta diſpenſatio impediretur metu ſublimitatis, omnino ſimul oſtendit, nempe bonitatem, ſapientiam, & iuſtitiam. Voluiſſe enim dare ſalutem, eſt teſtimonium bonitatis. Quòd autem tanquam ex contractu fecit redemptionem, eius qui tenebatur dominatu oſtendit iuſtitiam. Quòd autem id quod capi non poterat, ſubtiliter excogitans effecit vt capi poſſet ab inimico, id apertè ſummam arguit ſapientiam.

A λοῦς ἀντιτυπίας ὑπερειδούσης τὸ ἴχνος, τὴν τε τῆς τροφῆς ὑπερουσίαν ἐφ' ὅσον βούλοιτο, καὶ τὰς ἐν ἐρημίᾳ δαψιλεῖς ἑστιάσεις, τῶν ἐν πολλαῖς χιλιάσιν εὐωχουμένων· οἷς οὔτε οὐρανὸς ἐπέῤῥει τὸ μάννα, οὔτε ἡ γῆ κατὰ τὴν ἰδίαν αὐτῆς φύσιν σιτοποιοῦσα τὴν χρείαν ἐπλήρου· ἀλλ' ἐκ τῶν ἀῤῥήτων ταμιείων τῆς θείας δυνάμεως ἡ φιλοτιμία προῄει, ἕτοιμος ἄρτος ταῖς χερσὶ τῶν διακονούντων ἐναπεργαζόμενος, καὶ διὰ τοῦ κόρου τῶν ἐσθιόντων πλείων γινόμενος, ἥ τε διὰ τῶν ἰχθύων ὀψοφαγία, οὐ θαλάσσης αὐ-
B τοῖς πρὸς τὴν χρείαν συνεισφερούσης, ἀλλὰ τοῦ καὶ τῇ θαλάσσῃ τὸ γένος τῶν ἰχθύων κατασπείραντος. καὶ πῶς ἄν τις τὸ καθ' ἕκαστον τῶν εὐαγγελικῶν διεξίοι θαυμάτων; Ταύτην τοίνυν τὴν δύναμιν καθορῶν ὁ ἐχθρὸς ἐν ἐκείνῳ, πλέον τοῦ κατεχομένου τὸ προκείμενον, εἶδεν ἐν τῷ συναλλάγματι, τούτου χάριν αὐτὸν αἱρεῖται. λύτρον τῶν ἐν τῇ τοῦ θανάτου φρουρᾷ καθειργμένων γενέσθαι. ἀλλὰ μὴν ἀμήχανον ἦν γυμνῇ προσβλέψαι τῇ τοῦ Θεοῦ φαντασίᾳ, μὴ σαρκός τινα μοῖραν ἐν αὐτῷ θεωρήσαντα, ἣν ἤδη διὰ τῆς ἁμαρτίας κε-
C χείρωτο. διὰ τοῦτο περικεκάλυπται τῇ σαρκὶ ἡ θεότης, ὡς ἂν πρὸς τὸ σύντροφόν τε καὶ συγγενὲς αὐτῷ βλέπων, μὴ πτοηθείη τὸν προσεγγισμὸν τῆς ὑπερεχούσης δυνάμεως· καὶ τὴν ἠρέμα διὰ τῶν θαυμάτων ἐπὶ τὸ μεῖζον διαλάμπουσαν δύναμιν κατανοήσας, ἐπιθυμητὸν μᾶλλον ἢ φοβερὸν τὸ φανὲν εἶναι νομίσῃ. ὁρᾷς ὅπως τὸ ἀγαθὸν τῷ δικαίῳ συνέζευκται, καὶ τὸ σοφὸν τούτων οὐκ ἀποκέκριται. τὸ γὰρ διὰ τῆς τοῦ σώματος περιβολῆς χωρητὴν τὴν θείαν δύναμιν ἐπινοῆσαι γενέσθαι, ὡς ἂν ἡ ὑπὲρ ἡμῶν
D οἰκονομία μὴ παραποδισθείη τῷ φόβῳ τῆς ὑψηλῆς ἐμφανείας, πάντως κατὰ ταυτὸν τὴν ἀπόδειξιν ἔχει, τοῦ ἀγαθοῦ, τοῦ σοφοῦ, τοῦ δικαίου. τὸ μὲν γὰρ ἐθελῆσαι σῶσαι, τῆς ἀγαθότητός ἐστι μαρτυρία. τὸ δὲ συναλλακτικὴν ποιήσασθαι τὴν τοῦ κρατουμένου λύτρωσιν, τὸ δίκαιον δείκνυσι. τὸ δὲ χωρητὸν δι' ἐπινοίας ποιῆσαι τῷ ἐχθρῷ τὸ ἀχώρητον, τῆς ἀνωτάτω σοφίας τὴν ἀπόδειξιν ἔχει.

ΚΕΦΑΛΑΙΟΝ κδ΄.

Ἀλλ' ἐπιζητεῖν εἰκὸς τὸν τῇ ἀκολουθίᾳ τῶν εἰρημένων προσέχοντα, ποῦ τὸ δυνατὸν τῆς θεότητος, ποῦ ἡ ἀφθαρσία τῆς θείας δυνάμεως ἐν τοῖς εἰρημένοις ὁρᾶται. ἵνα τοίνυν καὶ ταῦτα γένηται καταφανῆ, τὰ ἐφεξῆς τοῦ μυστηρίου διασκοπήσωμεν, ἐν οἷς μάλιστα δείκνυται συγκεκραμένη τῇ φιλανθρωπίᾳ ἡ δύναμις· πρῶτον μὲν οὖν τὸ τὴν παντοδύναμον φύσιν πρὸς τὸ ταπεινὸν τῆς ἀνθρωπότητος καταβῆναι ἰσχῦσαι, πλείονα τὴν ἀπόδειξιν τῆς δυνάμεως ἔχει, ἢ τὰ μεγάλα τε καὶ ὑπερφυῆ τῶν θαυμάτων. τὸ μὲν γὰρ μέγα τι καὶ ὑψηλὸν ἐξεργασθῆναι παρὰ τῆς θείας δυνάμεως, κατὰ φύσιν πώς ἐστι καὶ ἀκόλουθον. καὶ οὐκ ἄν τινα ξενισμὸν ἐπάγοι τῇ ἀκοῇ τὸ λέγειν πᾶσαν τὴν ἐν τῷ κόσμῳ κτίσιν, καὶ πᾶν ὅπερ ἂν ἔξω τῶν φαινομένων καταλαμβάνηται ἐν τῇ Θεοῦ δυνάμει συστῆναι, αὐτοῦ τοῦ θελήματος πρὸς τὸ δοκοῦν οὐσιωθέντος. ἡ δὲ πρὸς τὸ ταπεινὸν κάθοδος, περιουσία τίς ἐστι τῆς δυνάμεως, οὐδὲν ἐν τοῖς παρὰ φύσιν κωλυομένης. ὡς γὰρ ἴδιόν ἐστι τῆς τοῦ πυρὸς οὐσίας ἡ ἐπὶ τὸ ἄνω φορά· καὶ οὐκ ἄν τις θαύματος ἄξιον ἐπὶ τῆς φλογὸς ἡγοῖτο τὸ φυσικῶς ἐνεργούμενον· εἰ δὲ ῥέουσαν ἐπὶ τὸ κάτω καθ' ὁμοιότητα τῶν ἐμβριθῶν σωμάτων ἴδοι τὴν φλόγα, τὸ τοιοῦτον ἐν θαύματι ποιεῖται, πῶς τὸ πῦρ διαμένει πῦρ ὄν, καὶ ἐν τῷ τρόπῳ τῆς κινήσεως ἐκβαίνει τὴν φύσιν, ἐπὶ τὸ κάτω φερόμενον· οὕτως καὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν δύναμιν, οὐκ οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαί, καὶ ἡ τοῦ παντὸς διακόσμησις, καὶ ἡ διηνεκὴς τῶν ὄντων οἰκονομία τοσοῦτον, ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις δείκνυσι· πῶς τὸ ὑψηλὸν ἐν τῷ ταπεινῷ καθορᾶται, καὶ οὐ καταβαίνει τὸ ὕψος· πῶς θεότης ἀνθρωπίνῃ συμπλακεῖσα φύσει, καὶ τοῦτο γίνεται καὶ ἐκεῖνο ἐστίν. ἐπεὶ γάρ, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, φύσιν οὐκ εἶχεν ἡ ἐναντία δύναμις, ἀκράτῳ προσμίξαι τῇ τοῦ Θεοῦ παρουσίᾳ, καὶ γυμνὴν ὑποστῆναι αὐτοῦ τὴν ἐμφάνειαν· ὡς ἂν εὔληπτον γένοιτο τῷ ἐπιζητοῦντι ὑπὲρ ἡμῶν

CAPVT XXIV.

A SED eſt conſentaneum eum qui attendit eorum quę dicta fuerunt conſequentiam, quærere vbinam in iis quæ diximus, cernatur potentia diuinitatis, & vbi incorruptio diuinæ potentiæ. Vt igitur hæc quoque reddantur euidentia, conſideremus ea quæ deinceps ſequuntur ex myſterio, in quibus maximè oſtenditur cum benignitate contemperata potentia: Atque primum quidem, quod omnipotens natura po-

B tuerit deſcendere ad humilitatem humanitatis, id poteſtatem magis oſtendit, quàm magna & quæ naturam ſuperant miracula. Nam quod magnum quidpiam & excelſum effectum ſit à diuina virtute, eſt quodammodo ſecundum naturam & conſentaneum. Neque nouum & admirabile quidpiam auribus attulerit, quod dicitur, vniuerſam quæ eſt in mundo creaturam, & quicquid extra ea quæ cernuntur, comprehenditur, Dei virtute conſtitiſſe, eius voluntate, vt ei viſum eſt, deducta ad eſſentiam. Ad id autem quod eſt hu-

Potētia Dei magis oſtēditur quòd omnipotens natura deſcenderit ad humilitatē quam miraculis.

C mile & abiectum deſcenſus, eſt quædam inſignis & redundans copia poteſtatis, quæ minimè impeditur in iis quæ ſunt præter naturam. Quomodo enim ignis eſſentiæ eſt proprium ferri surſum: neque in flamma quicquam eſt admirandum quod fit naturaliter; Sed ſi eam inſtar grauium corporum videat deorſum tendere, eius rei ducitur admiratione, nempe quonam modo ignis eſſe ignis perſeueret, & in modo motus excedat naturam, tendens deorſum: Ita etiam diuinam & ſupereminentem potentiam, neque cœlorum magnitudo, neque luminarium ſplendor, neque

D vniuerſi ornatus, neque rerum naturalium perpetua adminiſtratio tantum oſtendit, quantum quòd ſe demiſerit ad imbecillitatem noſtræ naturæ: nempe quomodo cum excelſum extiterit, in humili & abiecto id cernitur, nec deſcendit altitudo: quomodo humanitas connexa diuinæ naturæ, & hoc fit, & eſt illud. Cum enim, ſicut prius dictum eſt, non eſſet ea natura poteſtatis contrariæ, vt admiſceretur merę Dei præſentiæ, & ferret nudam eius apparitionem: vt ab eo qui poſcebat facilè pro nobis accipi poſſet pretium

in permutatione, naturæ noſtræ integumento celata fuit diuinitas, vt inſtar piſcium guloſorum cum eſca carnis ſimul attraheretur hamus diuinitatis: & ſic vita ad mortem introducta, & luce apparente in tenebris, luce & vita deleretur id quod eis contrariũ intelligitur. Neque enim ea eſt natura tenebrarum, vt luce præſente permaneant: neque mortis, vt ſit vita operante. In ſummam itaque redacta myſterij conſequentia, perfectam faciemus defenſionem aduerſus eos qui accuſant diuinam diſpenſationem, nempe quánam de cauſa diuinitas humanam per ſe non efficit ſalutem. Oportet enim in omnibus ea de Deo ſentiri & exiſtimari quæ Deum decent: & non hoc quidem excelsè & ſublimiter de eo intelligi, illud autem repelli ab ea quæ Deo conuenit dignitate: ſed omnem excelſam ac piam intelligentiam oportet omnino in Deo credi, & per conſequentiam vnum pendere ab altero. Oſtenſum ergo eſt bonitatem, ſapientiam, iuſtitiam, potentiam, & incorruptionem euidenter monſtrari in ratione noſtræ carnis à Deo ſuſceptæ diſpenſationis. Bonitas in hoc comprehenditur, quòd voluerit ſeruare eum qui perierit. In modo ſalutis oſtenſa eſt ſapientia & iuſtitia. Potentia autem in eo, quòd ipſe quidem factus ſit in ſimilitudine & figura hominis, conuenienter naturæ noſtræ humilitati: & ſpes fuerit ipſum ad hominum ſimilitudinem morte poſſe teneri. Cùm autem factus eſſet, id fecerit quod erat ſibi proprium ac conueniens ſecundum naturam. Eſt autem luci quidem proprium ac conueniens, vt deleat tenebras: vitæ autem, vt mortem perdat. Quia ergo aberrantes à recta via ab initio à vita auerſi, & ad mortem delati ſumus, quid à myſterio diſcimus quod ſit remotum à probabilitate, & non conſentaneum, ſi puritas eos tangit, qui à peccatis ſunt inquinati: & vita mortuos: & via eos qui aberrauerunt: vt & purgentur ſordes, & ab errore ceſſetur: & quod erat mortuum ad vitam reuertatur.

A τὸ ἀντάλλαγμα, τῷ προκαλύμματι τῆς φύσεως ἡμῶν ἐνεκρύφθη τὸ θεῖον, ἵνα κατὰ τοὺς λίχνους τῶν ἰχθύων τῷ δελέατι τῆς σαρκὸς συναποσπασθῇ τὸ ἄγκιστρον τῆς θεότητος· καὶ οὕτω τῆς ζωῆς τῷ θανάτῳ εἰσοικισθείσης, καὶ τῷ σκότει τοῦ φωτὸς ἐμφανέντος, ἐξαφανισθῇ τῷ φωτὶ καὶ τῇ ζωῇ τὸ κατὰ τὸ ἐναντίον νοούμενον. οὐ γὰρ ἔχει φύσιν οὔτε σκότος διαμένειν ἐν φωτὸς παρουσίᾳ· οὔτε θάνατον εἶναι ζωῆς ἐνεργούσης. Σύνολον ἐπὶ κεφαλαίῳ τοῦ μυστηρίου τὴν ἀκολουθίαν ἀναλαβόντες, ἐντελῆ ποιησόμεθα τὴν ἀπολογίαν πρὸς τοὺς κατηγοροῦντας τῆς θείας B οἰκονομίας, ὅτου χάριν δι' ἑαυτῆς ἡ θεότης τὴν ἀνθρωπίνην κατεργάζεται σωτηρίαν. δεῖ γὰρ διὰ πάντων τὸ θεῖον ἐν ταῖς πρεπούσαις ὑπολήψεσιν εἶναι· μὴ τὸ μὲν ὑψηλῶς ἐπ' αὐτοῦ νοεῖσθαι, τὸ δὲ τῆς θεοπρεποῦς ἀξίας ἐκβάλλεσθαι· ἀλλὰ πᾶν ὑψηλὸν καὶ εὐσεβὲς νόημα διὰ πάντως ἐπὶ Θεοῦ πιστεύεσθαι, καὶ συνηρτῆσθαι δι' ἀκολουθίας τῷ ἑτέρῳ τὸ ἕτερον. δέδεικται τοίνυν τὸ ἀγαθὸν, τὸ σοφὸν, τὸ δίκαιον, τὸ δυνατὸν, τὸ φθορᾶς ἀνεπίδεκτον, πάντα τῷ C λόγῳ τῆς καθ' ἡμᾶς οἰκονομίας ἐπιδεικνύμενα. ἡ ἀγαθότης ἐν τῷ προελέσθαι σῶσαι τὸν ἀπολωλότα καταλαμβάνεται. ἡ σοφία καὶ ἡ δικαιοσύνη, ἐν τῷ τρόπῳ τῆς σωτηρίας ἡμῶν διεδείχθη. ἡ δύναμις ἐν τῷ γενέσθαι μὲν αὐτὸν ἐν ὁμοιώματι ἀνθρώπου καὶ σχήματι κατὰ τὸ ταπεινὸν τῆς φύσεως ἡμῶν, καὶ ἐλπισθῆναι δύνασθαι αὐτὸν καθ' ὁμοιότητα τῶν ἀνθρώπων τῷ θανάτῳ ἐγκρατηθῆναι· γενόμενον δὲ, τὸ οἰκεῖον ἑαυτῷ κατὰ φύσιν ἐργάσασθαι. οἰκεῖον δὲ φωτὶ μὲν ὁ ἀφανισμὸς τοῦ σκότους, ζωῇ δὲ ἡ τοῦ θα- D νάτου καθαίρεσις. ἐπεὶ οὖν τῆς εὐθείας ὁδοῦ κατενεχθέντες τὸ κατ' ἀρχὰς τῆς ζωῆς ἐξετράπημεν, καὶ τῷ θανάτῳ ἐγκατηνέχθημεν. τί τοῦ εἰκότος ἔξω παρὰ τοῦ μυστηρίου μανθάνομεν, εἰ ἡ καθαρότης τῶν ἐξ ἁμαρτίας μολυνθέντων ἐφάπτεται, καὶ ἡ ζωὴ τῶν τεθνηκότων, καὶ ἡ ὁδηγία τῶν πεπλανημένων, ὡς ἂν ὅ τε μολυσμὸς καθαρθείη, καὶ ἡ πλάνη θεραπευθείη, καὶ εἰς τὴν ζωὴν τὸ τεθνηκὸς ἐπανέλθοι.

A

ΚΕΦΑΛΑΙΟΝ κε'.

Τὸ δὲ ἐν τῇ φύσει ἡμῶν γενέσθαι τὴν θεότητα, τοῖς μὴ λίαν μικροψύχοις κατανοοῦσι τὰ ὄντα, οὐδένα ἂν ἐκ τοῦ εὐλόγου ξενισμὸν ἐπαγάγοι. τίς γὰρ οὕτω νήπιος τὴν ψυχήν, ὡς εἰς τὸ πᾶν ἀποβλέπων μὴ ἐν παντὶ πιστεύειν εἶναι τὸ θεῖον, καὶ ἐνδυόμενον καὶ περιέχον καὶ ἐγκαθήμενον; τοῦ γὰρ ὄντος ἐξῆπται τὰ πάντα, καὶ οὐκ ἔνεστιν εἶναί τι, μὴ ἐν τῷ ὄντι τὸ εἶναι ἔχον. εἰ οὖν ἐν αὐτῷ τὰ πάντα, καὶ ἐν πᾶσιν ἐκεῖνο· τί ἐπαισχύνονται ἐν τῇ οἰκονομίᾳ τοῦ μυστηρίου, τὸν Θεὸν ἐν ἀνθρώποις γεγενῆσθαι διδάσκοντος, τὸν οὐδὲ νῦν ἔξω τῶν ἀνθρώπων εἶναι πεπιστευμένον; εἰ γὰρ καὶ ὁ τρόπος τῆς ἐν ἡμῖν τοῦ Θεοῦ παρουσίας, οὐχ αὐτὸς οὗτος ἐκείνῳ· ἀλλ' οὖν τὸ ἐν ἡμῖν εἶναι, καὶ νῦν καὶ τότε κατὰ τὸ ἴσον διωμολόγηται. νῦν μὲν οὖν ἐγκέκραται ἡμῖν ὁ συνέχων ἐν τῷ εἶναι τὴν φύσιν· τότε δὲ κατεμίχθη πρὸς τὸ ἡμέτερον, ἵνα τῇ πρὸς τὸ θεῖον ἐπιμιξίᾳ γένηται θεῖον ἐξαιρεθὲν τοῦ θανάτου καὶ τῆς τοῦ ἀντικειμένου τυραννίδος ἔξω γενόμενον. ἡ γὰρ ἐκείνου ἀπὸ τοῦ θανάτου ἐπάνοδος, ἀρχὴ τῷ θνητῷ γένει τῆς εἰς τὴν ἀθάνατον ζωὴν ἐπανόδου γίνεται.

CAPVT XXV.

Qvod autem in noſtra extiterit natura diuinitas, iis qui non puſillo & abiecto animo ea quæ ſunt conſiderant, id nequaquam dictu nouum videbitur & alienum. Quis eſt enim adeò puerili animo & ingenio, vt ad vniuerſitatem aſpiciens, in vniuerſitate non credat eſſe Deum, eam induentem & continentem, & ei inſidentem? Ab eo enim quod eſt, pendent omnia, nec fieri poteſt vt ſit aliquid, quod in eo
B quod eſt, non habeat eſſentiam. Si ergo in eo ſunt omnia, & illud eſt in omnibus: cur eos pudet quòd myſterium in diſpenſatione doceat Deum extitiſſe inter homines, qui ne nunc quidem creditur eſſe extra hominẽ? Nam etſi modus Dei inter nos præſentię, non eſt hic idem qui ille; attamen quod ſit in nobis ex æquo, nunc, & tunc planè conſtat. Atque nunc quidem eſt in nobis contemperatus, qui naturam continet in eſſentia: tunc autem cum noſtra natura immiſta fuit diuinitùs: & in ea noſtræ
C naturæ cum diuina commiſtione, noſtra effecta eſt diuina, vt quæ à morte ſit exempta, & ab aduerſarij erepta tyrannide. Illius enim à morte reuerſio, extitit mortali generi principium reuerſionis ad vitam immortalem.

Diuinitatē eſſe in noſtra natura, minimè mirandum.

ΚΕΦΑΛΑΙΟΝ κϛ'.

Ἀλλ' ἴσως τις ἐν τῇ τῆς δικαιοσύνης ἐξετάσει καὶ σοφίας τῆς κατὰ τὴν οἰκονομίαν ταύτην θεωρουμένης, ἀνάγεται πρὸς τὸ νομίσαι ἀπατηλήν τινα τὴν τοιαύτην μέθοδον ἐπινενοῆσθαι ὑπὲρ ἡμῶν τῷ Θεῷ. τὸ γὰρ μὴ γυμνῇ τῇ θεότητι, ἀλλ' ὑπὸ τῆς ἀνθρωπίνης φύσεως κεκαλυμμένην, ἀγνοηθέντα παρὰ τοῦ ἐχθροῦ τὸν Θεόν, ἐντὸς τοῦ κρατοῦντος γενέσθαι, ἀπάτη τίς ἐστι τρόπον τινὰ καὶ παραλογισμός, ἐπείπερ ἴδιον τῶν ἀπατώντων ἐστί, τὸ πρὸς ἕτερον τὰς τῶν ἐπιβουλευομένων ἐλπίδας τρέπειν, καὶ ἄλλο παρὰ τὸ ἐλπισθὲν κατεργάζεσθαι· ἀλλ' ὁ πρὸς τὴν ἀλήθειαν βλέπων, πάντων μάλιστα καὶ τοῦτο τῆς δικαιοσύνης τε καὶ τῆς σοφίας εἶναι συνθήσεται. δικαίου μὲν γάρ ἐστι, τὸ κατ' ἀξίαν ἑκάστῳ νέμειν· σοφοῦ δὲ τὸ μήτε παρατρέπειν τὸ δίκαιον, μήτε τὸ ἀγαθὸν τῆς φιλανθρωπίας σκο-

CAPVT XXVI.

Sed in examinanda fortè iuſtitia & ſapientia, quę conſideratur in hac diſpenſatione, adducitur fortaſſe quiſpiam, vt exiſtimet fraude hanc viam & rationem à Deo pro nobis fuiſſe excogitatam. Quod enim non nuda diui-
D nitate, ſed tecta ab humana natura, Deus ab inimico ignoratus, in eum qui dominatum obtinebat, ſe inſinuauerit, eſt quodammodo dolus quidam & circumſcriptio, cùm ſit proprium eorum qui decipiunt, ad aliud conuertere ſpem eorum, quibus ſtruuntur inſidiæ, & aliud efficere quàm quod fuit ſperatum. Sed qui aſpicit ad veritatem, hoc quoque aſſentietur omnium maximè eſſe iuſtitiæ & ſapientiæ. Nam iuſti quidem eſt pro meritis vnicuique tribuere, Sapientis autem neque iuſtum auertere, neque bonum benignitatis ſcopum

Doloſiue fuerit in Deo in ſuſcepta carnis diſpenſatione.

διὰ τὴν προτιμοτέραν ὕλην. οὐκ ἄπονος μέν τοι γίνεται ἡ διάκρισις, χρόνῳ τοῦ πυρὸς τῇ ἀναλωτικῇ δυνάμει τὸ νόθον ἐξαφανίζοντος. πλὴν ἀλλὰ θεραπεία τίς ἐστι τοῦ χρυσίου, τὸ ἐκτακῆναι περὶ αὐτὸ, τὸ ἐπὶ λύμῃ τοῦ καλοῦ ἐγκείμενον. κατὰ τὸν αὐτὸν τρόπον θανάτου καὶ φθορᾶς, καὶ σκότους, καὶ εἴ τι κακίας ἔκγονον, τῷ εὑρετῇ τοῦ κακοῦ προσφυέντων· ὁ προσεγγισμὸς τῆς θείας δυνάμεως πυρὸς δίκην ἀφανισμὸν τοῦ παρὰ φύσιν κατεργασάμενος, εὐεργετεῖ τῇ ἀφθαρσίᾳ τὴν φύσιν, κἂν ἐπίπονος ἡ διάκρισις ᾖ. οὐκοῦν οὐδ' ἂν παρ' αὐτοῦ τοῦ ἀντικειμένου μὴ εἶναι δίκαιόν τε καὶ σωτήριον τὸ γεγονὸς ἀμφιβάλλοιτο, εἴπερ εἰς αἴσθησιν τῆς εὐεργεσίας ἔλθοι. νυνὶ γὰρ καθάπερ οἱ ἐπὶ θεραπείᾳ τεμνόμενοί τε καὶ καιόμενοι χαλεπαίνουσι τοῖς θεραπεύουσι, τῇ ὀδύνῃ τῆς τομῆς δριμυσσόμενοι. εἰ δὲ τὸ ὑγιαίνειν διὰ τούτου προσγένοιτο, καὶ ἡ τῆς καύσεως ἀλγηδὼν παρέλθοι, χάριν εἴσονται τοῖς τὴν θεραπείαν ἐπ' αὐτοῖς ἐνεργήσασι, κατὰ τὸν αὐτὸν τρόπον ταῖς μακραῖς περιόδοις ἐξαιρεθέντος τοῦ κακοῦ τῆς φύσεως, τοῦ νῦν αὐτοῖς καταμιχθέντος καὶ συμφυέντος, ἐπειδὰν ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις τῶν νῦν ἐν κακίᾳ κειμένων γένηται, ὁμόφωνος εὐχαριστία παρὰ πάσης ἔσται τῆς κτίσεως, καὶ τῶν ἐν τῇ καθάρσει κεκολασμένων, καὶ τῶν μηδὲ τὴν ἀρχὴν ἐπιδεηθέντων καθάρσεως. ταῦτα καὶ τὰ τοιαῦτα παραδίδωσι τὸ μέγα μυστήριον τῆς θείας ἐνανθρωπήσεως. δι' ὧν γὰρ κατεμίχθη τῇ ἀνθρωπότητι, διὰ πάντων τῶν τῆς φύσεως ἰδιωμάτων γενόμενος, γενέσεώς τε καὶ ἀνατροφῆς καὶ αὐξήσεως, καὶ μέχρι τῆς τοῦ θανάτου πείρας διεξελθὼν, τὰ προειρημένα πάντα κατειργάσατο, τόν τε ἄνθρωπον τῆς κακίας ἐλευθερῶν, καὶ αὐτὸν τὸν τῆς κακίας εὑρετὴν ἰώμενος. ἴασις γάρ ἐστιν ἀρρωστίας, ἡ τοῦ νοσήματος κάθαρσις, κἂν ἐπίπονος ᾖ.

A ducunt materiem. Neque tamen citra laborem fit illa ſecretio, cum ignis ſua conſumendi poteſtate, tempore deleat id quod eſt adulterinum. Verum enimuero auri quædam eſt medicatio, quòd in ipſo eliquetur id quod ad boni exitium in eo poſitum fuerat. Eodem modo etiam cùm mors & interitus, & tenebræ, & ſi quis eſt alius vitij fœtus, inuentori mali adnata eſſent: diuinæ virtutis appropinquatio, tanquam ab igne deleto eo quod eſt præter naturam, naturam incorruptionis afficit beneficio, etiamſi laborioſa ſit ſecre-

B tio. Ergo ne dubitare quidem poterit aduerſarius, quin quod factum eſt, ſit iuſtum & ſalutare, ſi venerit ad ſenſum beneficij. Nunc enim quomodo qui vt curentur, ſecantur & vruntur, iraſcuntur iis qui curant, vt quibus acris & aſpera ſentiatur ſectio. Quòd ſi acciderit vt per id ſani fiant, & dolor tranſeat ſectionis, habebunt gratiam iis qui ipſos curauerint. Eodem modo cùm per longum temporis ambitum ablatum fuerit naturæ malum, quod nunc eſt eis immiſtum & coalitum, & eorum qui nunc iacent in

C malis, in antiquum ſtatum facta fuerit reſtitutio, vna voce agentur gratiæ ab vniuerſa creatura, & ab iis qui caſtigati fuerunt in purgatione, & ab iis qui ne omnino quidem opus habuerunt vt purgarentur. Hæc & quæ ſunt huiuſmodi, tradit magnum myſterium ſuſceptæ à Deo humanitatis. Per hoc enim quod miſtus fuit humanitati, cùm fuerit in omnibus naturæ proprietatibus, nempe generatione, educatione & incremento, & vſque ad mortis peruaſerit experientiam, effecit ea omnia quæ prius dicta ſunt, & ho-

D minem à vitio liberans, & vitij medens inuentori. Ægritudinis etiam medela, eſt morbi purgatio, etiamſi ſit laborioſa.

ΚΕΦΑΛΑΙΟΝ κζʹ.

Ἀκόλουθον δὲ πάντως, τὸν πρὸς τὴν φύσιν ἡμῶν ἀνακιρνάμενον, διὰ πάντων δέξασθαι τῶν ἰδιωμάτων αὐτῆς τὴν πρὸς ἡμᾶς συνανάκρασιν. καθάπερ γὰρ οἱ τὸν ῥύπον τῶν ἱματίων ἐκπλύνοντες, οὐ τὰ μὲν ἐῶσι τῶν μολυσμάτων,

CAPVT XXVII.

CONSEQVENS autem erat, vt qui noſtræ admiſcebatur naturæ, per omnes eius proprietates ſuſciperet eam quæ nobiſcum fiebat contemperationem. Quomodo enim qui veſtium ſordes abluunt, non alia quidem inquinamenta conſeruant,

οὐδὲν μᾶλλον παραμυθεῖται τὸ ἄδοξον οὐρανίῳ σώματι, ἢ ἐπιγείῳ συσχηματισθῆναι τὸν θεόν. τοῦ γὰρ ὑψίστου καὶ ἀπροσίτου κατὰ τὸ ὕψος τῆς φύσεως, ἡ κτίσις πᾶσα κατὰ τὸ ἴσον ἐπὶ τὸ κάτω ἀφέστηκε, καὶ ὁμοτίμως αὐτῷ τὸ πᾶν ὑποβέβηκε. τὸ γὰρ καθόλου ἀπρόσιτον, οὐ τινὶ μὲν ἐστι προσιτὸν, τὸ δὲ ἀπροσπέλαστον· ἀλλ' ἐπίσης πάντων τῶν ὄντων ὑπερανέστηκεν. οὔτε οὖν ἡ γῆ πορρωτέρω τῆς ἀξίας ἐστὶ, οὔτε οὐρανὸς πλησιέστερος, οὔτε τὰ ἐν ἑκατέρῳ τῶν στοιχείων ἐνδιαιτώμενα, διαφέρει τι ἀλλήλων ἐν τῷ μέρει τούτῳ, ὡς τὰ μὲν ἐφάπτεσθαι τῆς ἀπροσίτου φύσεως, τὰ δὲ ἀποκρίνεσθαι, ἢ οὔτε γ' αὖ μή τι διὰ πάντων ἐπίσης ἥκειν τὴν τὸ πᾶν ἐπικρατοῦσαν δύναμιν ὑπονοήσαιμεν, ἀλλ' ἐν τισὶ πλεονάζουσαν, ἐν ἑτέροις ἐνδεεστέραν εἶναι, καὶ τῇ πρὸς τὸ ἔλαττόν τε καὶ πλέον, καὶ μᾶλλον καὶ ἧττον διαφορᾷ σύνθετον ἐκ τοῦ ἀκολούθου τὸ θεῖον ἀναφανήσεται, αὐτὸ πρὸς ἑαυτὸ μὴ συμβαῖνον, εἴπερ ἡμῶν πόρρωθεν ὑπονοοῖτο εἶναι τῷ λόγῳ τῆς φύσεως· ἑτέρῳ δέ τινι γειτνιῶν, καὶ εὔληπτος ἐκ τῆς συνεγγύς γίγνοιτο. ἀλλ' ὁ ἀληθὴς λόγος ἐπὶ τῆς ὑψηλῆς ἀξίας, οὔτε κάτω βλέπει διὰ συγκρίσεως, οὔτε ἄνω. πάντα γὰρ κατὰ τὸ ἴσον τὴν τοῦ πάντος ἐπιστατοῦσαν δύναμιν ὑποβέβηκεν. ὥστε εἰ τὴν ἐπίγειον φύσιν ἀναξίαν τῆς πρὸς τὸ θεῖον οἰήσονται συμπλοκῆς, οὐδ' ἂν ἄλλη τις εὑρεθείη τὸ ἄξιον ἔχουσα. εἰ δὲ ἐπίσης πάντα τῆς ἀξίας ἀπολιμπάνεται, ἐμπρέπον ἐστὶ τῷ Θεῷ τὸ εὐεργετεῖν τὸν δεόμενον· ὅπου τοίνυν ἦν ἡ νόσος, ἐκεῖ φοιτῆσαι τὴν ἰωμένην δύναμιν ὁμολογοῦντες, τί ἔξω τῆς θεοπρεποῦς ὑπολήψεως πεπιστεύκαμεν;

ΚΕΦΑΛΑΙΟΝ κη'.

ΑΛΛΑ κωμῳδοῦσι τὴν φύσιν ἡμῶν, καὶ τὸν τῆς γεννήσεως ἡμῶν τρόπον διαθρυλλοῦσι, καὶ οἴονται διὰ τούτων ἐπιγέλαστον ποιεῖν τὸ μυστήριον· ὡς ἀπρεπὲς ὂν τῷ Θεῷ, διὰ τοιαύτης εἰσόδου τῆς τοῦ ἀνθρωπίνου βίου κοινωνίας ἐφάψασθαι.

A nihilo tolerabilior videtur eſſe turpitudo & dedecus, quòd Deus cœleſtis corporis figuram ſuſceperit quàm terreſtris. Ab eius enim qui eſt altiſſimus, & ad cuius altitudinem non patet aditus, natura ex æquo diſtat omnis creatura, & ſunt omnia ei æqualiter ſubiecta. Nam id quod eſt eiuſmodi, vt ad id omnino non pateat aditus, non alicui quidem præbet aditum, aliquid verò ad ipſum non poteſt appropinquare: ſed ex æquo vniuerſa quæ ſunt, ſuperat & ſupereminet. Neque ergo terra eſt remotior à ſuprema illa dignitate, ne-
B que cœlum propinquius: neque quæ vitam degunt in vtroque elemento, hac in re quicquam à ſe inuicem differunt, vt alia quidem attingant naturam ad quam non patet aditus, alia verò ab ea ſecernantur. Nam ſic quidem exiſtimaremus, vim illam ac poteſtatem quæ omnia continet, non ex æquo per omnia peruadere: ſed in aliis quidem eam eſſe abundantiorem: in alis verò magis deficere: & ex maioris minoriſque differentia compoſitus ex conſequenti apparebit Deus, vt qui ſibi ipſi non conueniat, ſiquidem procul eſſe à
C nobis exiſtimetur ratione naturæ: alicui autem alij appropinquans, ex eo quòd propè ſit, facilè poſſit apprehendi. Sed vera ratio, in excelſa & ſublimi illa auctoritate, neque deorſum aſpicit, neque ſurſum per cõparationem. Omnia enim ex æquo ſunt ſubiecta poteſtati illi quæ præeſt omnibus. Quamobrem ſi terreſtrem naturam exiſtimabunt indignam quæ cum Deo connectatur, neque vlla inuenietur digna. Quòd ſi ex æquo omnia ſunt indigna: vnum ſupereſt, quod Deo conueniat, nimirum egenti benefacere: vbi eſt ergo morbus, illuc medicatricem venire poteſtatem
D confitentes, quidnam credimus alienum ab eo quod vt decet, de Deo eſt exiſtimandum?

CAPVT XXVIII.

SED noſtram ludibrio habent naturam, & noſtrum naſcendi modum in vulgus iactant, exiſtimántque ſe ea ratione ridiculum noſtrum facere myſterium: vtpotè quod Deum non deceat, per eiuſmodi ingreſſum deuenire ad humanæ vitæ ſocietatem:

Sed iam de his dictum eſt in iis quæ priùs diximus, nempe quòd ſolum vitium eſt ſua natura turpe, etſi quid cum vitio aliquam coniunctionem habet & affinitatem. Naturæ autem conſequentia Dei voluntate & lege ordinata, vitij criminationi longè abeſt vt ſit affinis. Nunc autem ſic quoque ad opificem eſt reditura naturæ accuſatio, ſi quicquam eius vituperetur tanquam turpe & indecorum. Iam ſi à ſolo vitio diuinitas ſeparata eſt, vitij autem nulla extat natura, myſterium porro fidei noſtræ Deum dicit in homine fuiſſe, non in vitio: ſi rurſus hominis in vitam ingreſſus vnus eſt, per quem id quod naſcitur fit vitæ particeps: quemnam quæſo alium Deo in vitam ingrediendi modum præſcribunt, qui conſentaneum quidem iudicant, vt à diuina virtute viſitaretur, quæ in vitio ægrotarat natura: eis autem diſplicet modus viſitationis, neſcientes quod par eſt, quod ad ſe attinet, quælibet corporis conſtructio: neque in ea quicquam ex iis quæ conferunt ad vitam conſtituendam, vituperatur tanquam turpe aliquid, & abiectum, & malum. Ad vnum enim ſcopum eſt directa & ordinata vniuerſa inſtrumentariorum membrorum compoſitio. Is autem ſcopus eſt, vt homo in vita maneat. Atque cætera quidem membra in præſenti vita hominem continent, alia alij diſtributa operationi, per quæ adminiſtratur facultas ſentiendi & operandi, genitalia autem curam gerunt futuri, vt quę per ſe mortalium aliam inducant ſucceſſionem. Si ergo aſpicias ad id quod eſt vtile, cuínam erunt illa ſecunda ex iis quæ exiſtimantur præſtantia eſſe & honorabilia? Cuínam autem non, vt eſt conſentaneum, ſunt excellentiora? Non enim oculo & auribus, & lingua, aut aliquo alio ſenſuum inſtrumento ad perpetuitatem noſtrum genus traducitur. Ea enim, vt dictum eſt, ſunt præſentis vſus: ſed in illis immortalitas conſeruatur humanitati: quippe quæ faciant, vt mors aduerſum nos irrita quodammodo vanáque ſit, natura videlicet ſeipſam per ea, quæ oriuntur ad ſupplementum eius quod deficit obtrudente. Quid ergo quod non decet, noſtrum continet myſterium, ſi vitæ humanæ Deus

A Ἀλλ' ἤδη περὶ τούτου καὶ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅτι μόνον αἰσχρὸν τῆς ἑαυτοῦ φύσει τὸ κακόν ἐστι, κἂν εἴ τι πρὸς τὴν κακίαν οἰκείως ἔχῃ. ἡ δὲ τῆς φύσεως ἀκολουθία, θείῳ βουλήματι καὶ νόμῳ διαταχθεῖσα, πόρρω τῆς κατὰ κακίαν ἐστὶ διαβολῆς. ἢ οὕτω γ' ἂν ἐπὶ τὸν δημιουργὸν ἡ κατηγορία τῆς φύσεως ἐπανίοι, εἴ τι τῶν περὶ αὐτὴν ὡς αἰσχρὸν καὶ ἀπρεπὲς διαβάλλοιτο. εἰ οὖν μόνης κακίας τὸ θεῖον κεχώρισται, φύσις δὲ κακίας οὐκ ἔστι, τὸ δὲ μυστήριον ἐν ἀνθρώπῳ
B γενέσθαι τὸν Θεὸν οὐκ ἐν κακίᾳ λέγει· εἰ δὲ τῆς ἀνθρώπου ἐπὶ τὸν βίον εἴσοδος μία ἐστί, δι' ἧς παραγίνεται ἐπὶ τὴν ζωὴν τὸ γινόμενον· νόμον μέν τινα νομοθετοῦσιν ἕτερον τρόπον τῷ Θεῷ τῆς εἰς τὸν βίον παρόδου, οἱ ἐπισκεφθῆναι μὲν παρὰ τῆς θείας δυνάμεως ἀσθενήσασαν ἐν κακίᾳ τὴν φύσιν εὔλογον κρίνοντες· πρὸς δὲ τὸν τῆς ἐπισκέψεως τρόπον δυσαρεστούμενοι, οὐκ εἰδότες ὅτι πᾶσα πρὸς ἑαυτὴν ἡ κατασκευὴ τοῦ σώματος ὁμοτίμως ἔχει, καὶ οὐδὲν ἐν ταύτῃ τῶν πρὸς τὴν σύστασιν
C τῆς ζωῆς συντελούντων ὡς ἄτιμόν τι ἢ πονηρὸν διαβάλλεται. πρὸς ἕνα γὰρ σκοπὸν ἡ τῶν ὀργανικῶν μελῶν διασκευὴ πᾶσα συντέτακται. ὁ δὲ σκοπός ἐστι, διαμένειν ἐν τῇ ζωῇ τὸν ἄνθρωπον. τὰ μὲν οὖν λοιπὰ τῶν ὀργάνων τὴν παροῦσαν συνέχει τῶν ἀνθρώπων ζωήν, ἄλλα πρὸς ἄλλην ἐνέργειαν μεμερισμένα, δι' ὧν ἥ τε αἰσθητική τε καὶ ἡ ἐνεργητικὴ δύναμις οἰκονομεῖται, τὰ δὲ γεννητικὰ τοῦ μέλλοντος ἔχει τὴν πρόνοιαν, δι' ἑαυτῶν φύσει τὴν διαδοχὴν ἀντεισάγοντα. εἰ οὖν πρὸς τὸ χρειῶδες βλέποις, τίνος ἂν εἴη τῶν
D τιμίων εἶναι νομιζομένων ἐκεῖνα δεύτερα; τίνος δὲ οὐκ ἂν προτιμότερα κατὰ τὸν εὔλογον κρίνοιτο; οὐ γὰρ ὀφθαλμῷ καὶ ἀκοῇ, καὶ γλώσσῃ, ἢ ἄλλῳ τινὶ τῶν αἰσθητηρίων πρὸς τὸ διηνεκὲς τὸ γένος ἡμῶν διεξάγεται. ταῦτα γάρ, καθὼς εἴρηται, τῆς παρούσης ἐστὶν ἀπολαύσεως· ἀλλ' ἐν ἐκείνοις ἡ ἀθανασία συντηρεῖται τῇ ἀνθρωπότητι· ὡς ἀεὶ καθ' ἡμῶν ἐνεργοῦντα τὸν θάνατον, ἄπρακτον εἶναι τρόπον τινὰ καὶ ἀνήνυτον, πάντοτε πρὸς τὸ λεῖπον δι' αὐτῶν ἐπιγινομένων ἑαυτὴν ἀντεισαγαγούσης τῆς φύσεως. τί οὖν ἀπρεπὲς περιέχει ἡμῶν τὸ μυστήριον, εἰ διὰ τούτων κατεμίχθη ὁ Θεὸς τῷ ἀνθρωπίνῳ

βίᾳ δι' ὧν ἡ φύσις πρὸς τὸν θάνατον μάχεται;

A per ea miſtus eſt, per quæ natura pugnat cum morte?

ΚΕΦΑΛΑΙΟΝ κθ'.

ΑΛΛΑ μεταβάντες ἀπὸ τούτου, δι' ἑτέρου πάλιν κακίζειν ἐπιχειροῦσι τὸν λόγον. καὶ φασὶν εἰ καλὸν καὶ πρέπον τῷ Θεῷ τὸ γενόμενον, τί ἀνεβάλετο τὴν εὐεργεσίαν; τί δὲ οὐκ ἐν ἀρχαῖς οὔσης τῆς κακίας, τὴν ἐπὶ τὸ πλέον αὐτῆς πρόοδον ὑπετέμνετο; πρὸς δὲ τοῦτο σύντομος ὁ παρ' ἡμῶν ἐστι λόγος, ὅτι σοφίᾳ γέγονε, καὶ τοῦ λυσιτελοῦντος τῇ φύσει προμηθείᾳ ἡ πρὸς τὴν εὐεργεσίαν ἡμῶν ἀναβολή. καὶ γὰρ ἐπὶ τῶν σωματικῶν νοσημάτων, ὅταν τις διεφθορὼς χυμὸς ὑφέρπῃ πόρους, πρὶν ἅπαν ἐπὶ τὴν ἐμφάνειαν ἐκκαλυφθῆναι τὸ παρὰ φύσιν ἐγκείμενον, οὐ καταφαρμακεύεται τοῖς πυκνοῦσι τὸ σῶμα παρὰ τῶν τεχνικῶς μεθοδευόντων τὰ πάθη· ἀλλὰ μένουσι τὸ ἐνδομυχοῦν ἅπαν ἔξω γενέσθαι, καὶ οὕτω γυμνῷ τῷ πάθει τὴν ἰατρείαν προσάγουσιν. ἐπειδὴ τοίνυν ἅπαξ ἐνέσκηψε τῇ φύσει τῶν ἀνθρωπότητος ἡ τῆς κακίας νόσος, ἀνέμενεν ὁ τοῦ παντὸς θεραπευτὴς, μηδὲν ὑπολειφθῆναι τῆς πονηρίας εἶδος ἐγκεκρυμμένον τῇ φύσει. διὰ τοῦτο οὐκ εὐθὺς μετὰ τὸν φθόνον, καὶ τὴν ἀδελφοκτονίαν τοῦ Κάϊν προσάγεται ἀνθρώπῳ τὴν θεραπείαν· οὔπω γὰρ τῶν ἐπὶ Νῶε καταφθαρέντων ἡ κακία ἐξέλαμψεν, οὐδὲ τῆς Σοδομιτικῆς παρανομίας ἡ χαλεπὴ νόσος ἀνεκαλύφθη, ἢ οὐδὲ ἡ τῶν Αἰγυπτίων θεομαχία, οὐδὲ ἡ τῶν Ἀσσυρίων ὑπερηφανία, οὐδὲ ἡ τοῦ Ἡρώδου παράνομος παιδοφονία, οὐδὲ τὰ ἄλλα πάντα ὅσα τε μνημονεύεται, καὶ ὅσα ἔξω τῆς ἱστορίας ἐν ταῖς καθεξῆς γενεαῖς κατεπράχθη· πολυτρόπως τῆς τοῦ κακοῦ ῥίζης ἐν ταῖς τῶν ἀνθρώπων προαιρέσεσι βλαστανούσης. ἐπεὶ οὖν πρὸς τὸ ἀκρότατον ἔφθασε μέτρον ἡ κακία, καὶ οὐδὲν ἔτι πονηρίας εἶδος ἐν τοῖς ἀνθρώποις ἀτόλμητον ἦν, ὡς ἂν διὰ πάσης τῆς ἀρρωστίας προχωρήσειεν ἡ θεραπεία, τούτου χάριν οὐκ ἀρχομένην, ἀλλὰ τελειωθεῖσαν θεραπεύει τὴν νόσον.

CAPVT XXIX.

SED ad hoc tranſeuntes, per alia rurſus ea quæ dicimus conantur vituperare. Dicunt enim, Si quod factum eſt, honeſtum erat & Deum decebat, cur diſtulit beneficium? Cur autem cùm eſſet vitium in principio, eius ad vlteriora progreſſum non amputauit? Ad hoc autem breuis eſt quæ à nobis affertur oratio; nempe quòd B per ſapientiam, & eius quod noſtræ naturæ conducit curam ac prouidentiam, beneficij in nos collati facta fuit dilatio. Nam in morbis corporalibus, quando aliquis humor prauus & corruptus irrepit ad poros: priuſquam in ſuperficie apertum fuerit quicquid eſt præter naturam, corpori condenſantia non adhibent medicamenta, ij qui medendi morbus artem profitentur: ſed expectant donec extra prodierit quicquid intrinſecus in imo deliteſcit: ita nudæ affectioni adhibent medicinam. C Poſtquam ergo humanæ naturæ ſemel incubuit morbus vitij, expectauit medicus vniuerſitatis, vt nullum eſſet reliquum genus vitij immiſti naturæ. Propterea non ſtatim poſt inuidiam, & à Cain factam fratris cædem homini adhibet medicinam; nondum enim in luce prodierant ſcelera eorum qui Noëmi tempore perierunt: nec Sodomiticæ iniquitatis grauiſſimus ille morbus caput exeruerat: neque Ægyptiorum aduerſus Deum pugna: neque Aſſyriorum ſuperbia: nec cruenta Iudæorum in Dei ſanctos ſæuitia: neque nefaria ab Herode facta cædes infan- D tium: nec quæcumque alia literarum monumentis ſunt mandata, & quæcumque in gentilium hiſtoria conſequentibus ſæculis geſta narrantur, cùm in libero hominum arbitrio multifariam multiſque modis germinaret radix vitij. Poſtquam ergo vitium peruenit ad ſummum, nec erat vllum genus ſceleris, quod admittere non auſi eſſent homines, vt per omnem ægritudinem peruaderet medicina, ea de cauſa non incipientem, ſed iam perfectum morbum curat.

Chriſtus nō primis temporibus aduenit, quàm vitiū perductū eſſet ad ſummum.

A

CAPVT XXX.

Vitiū mortali vulnere confectū in ſuis reliquiis adhuc vitæ exhibet moleſtiam.

SI quis autem exiſtimat ſe poſſe refellere id quod dicimus, quoniam etiam poſtquam fuit adhibita medicina, peccandi nondum finem facit humana vita; is aliquo noto & familiari exemplo deducatur ad veritatem. Quomodo enim in ſerpente, ſi mortiferum aliquod vulnus in capite acceperit, non ſtatim ſimul cum capite morte afficitur etiam qui ponè eſt tractus, ſed mortuum quidem eſt caput, cauda autem proprio animo adhuc eſt animata, & vitali virtute non eſt priuata: ita etiam licet videre vitium letifero quidem vulnere confectum, in ſuis autem reliquiis vitæ exhibere moleſtiam. Sed cum myſterij rationem in his reprehendere deſierint, rurſus criminantur, quòd fides non per omnes peruadat homines. Cur tandem inquiunt, non ad omnes venit gratia, ſed cum aliqui ad verbum Dei acceſſerint, non parua pars ſit eorum qui deſunt, cum aut Deus noluerit omnibus abundè impertire beneficium, aut omnino non potuerit? quorum quidem neutrum reprehenſione caret: Neque enim Deo conuenit quòd bonum noluerit: neque quòd non potuerit. Si ergo aliquod bonum eſt fides: cur inquiunt, non ad omnes venit gratia? Atque ſi hæc quidem in iis quæ dicimus à nobis aſtruerentur, quòd à diuina voluntate hominibus diſtribueretur fides, vtpotè quòd alij quidem vocarentur, cæteri autem eſſent expertes vocationis: opportunè huiuſmodi reprehenſio obijceretur myſterio. Si autem pariter ad omnes procedit vocatio, nec auctoritatem, nec ætatem, neque gentium diſcernens differentiam. Propterea enim in primo initio prædicationis, diuina inſpiratione, vnius & eiuſdem linguæ cuius omnes gentes, repentè facti ſunt qui verbum miniſtrabant, vt nemo eſſet expers bonorum: quemadmodum fuerit conſentaneum, vt Deum adhuc accuſent, quòd Verbum non in omnes dominatum obtinuerit? Nam qui in vniuerſitatem liberam habebat poteſtatem, propter ſummum in homines honorem, dimiſit etiam aliquid in noſtra poteſtate, cuius vnuſquiſque noſtrum ſolus eſt Dominus. Hoc autem eſt liberi arbitrij libera electio, quæ ſubijci nequit,

ΚΕΦΑΛΑΙΟΝ λʹ.

ΕΙ δέ τις ἐλέγχειν οἴεται τὸν ἡμέτερον λόγον, ὅτι καὶ μετὰ τὸ προσαχθῆναι τὴν θεραπείαν ἔτι πλημμελεῖται διὰ τῶν ἁμαρτημάτων ὁ ἀνθρώπινος βίος, ὑποδείγματι τινὶ τῶν γνωρίμων ὁδηγηθήτω πρὸς τὴν ἀλήθειαν. ὥσπερ γὰρ ἐπὶ τοῦ ὄφεως εἰ κατὰ κεφαλῆς τὴν καιρίαν λάβοι, οὐκ εὐθὺς συννεκροῦται τῇ κεφαλῇ καὶ ὁ κατόπιν ὁλκός, ἀλλ' ἡ μὲν τέθνηκε, τὸ δὲ οὐραῖον
B ἔτι ἐμψυχοῦται τῷ ἰδίῳ θυμῷ, καὶ τῆς ζωτικῆς δυνάμεως οὐκ ἐστέρηται· οὕτως ἔστι καὶ τὴν κακίαν ἰδεῖν τῷ μὲν καιρίῳ πληγεῖσαν, ἐν δὲ τοῖς λειψάνοις ἑαυτῆς ἔτι διενοχλοῦσαν τῷ βίῳ. ἀλλ' ἀφέντες καὶ τὸ περὶ τούτων τὸν λόγον τοῦ μυστηρίου μέμφεσθαι, τὸ μὴ διὰ πάντων διήκειν τῶν ἀνθρώπων τὴν πίστιν ἐν αἰτίᾳ ποιοῦνται. καὶ τί δήποτε φασίν, οὐκ ἐπὶ πάντας ἦλθεν ἡ χάρις, ἀλλὰ τινῶν προστεθειμένων τῷ λόγῳ, οὐ μικρόν ἐστι τὸ ὑπολειπόμενον μέρος, ἢ μὴ βουληθέντος τοῦ Θεοῦ πᾶσιν ἀφθόνως τὴν
C εὐεργεσίαν εἶναι, ἢ μὴ δυνηθέντος πάντως; ὧν οὐδέτερον καθαρεύει τῆς μέμψεως· οὔτε γὰρ ἀβούλητον εἶναι τὸ ἀγαθὸν πρέπει τῷ Θεῷ, οὔτε ἀδύνατον. εἰ οὖν ἀγαθόν τι ἡ πίστις, διὰ τί φασιν οὐκ ἐπὶ πάντας ἡ χάρις; εἰ μὲν οὖν ταῦτα καὶ παρ' ἡμῶν ἐν τῷ λόγῳ κατεσκευάζετο, παρὰ τοῦ θείου βουλήματος ἀποκληροῦσθαι τοῖς ἀνθρώποις τὴν πίστιν, τῶν μὲν καλουμένων· τῶν δὲ λοιπῶν ἀμοιρούντων τῆς κλήσεως, καιρὸν εἶχε τὸ τοιοῦτον ἔγκλημα κατὰ τοῦ μυστηρίου προφέρε-
D σθαι. εἰ δὲ ὁμότιμος ἐπὶ πάντας ἡ κλῆσις, οὔτε ἀξίας, οὔτε ἡλικίας, οὔτε τὰς κατὰ τὰ ἔθνη διαφορὰς διακρίνουσα. διὰ τοῦτο γὰρ παρὰ τὴν πρώτην ἀρχὴν κηρύγματος, ὁμόγλωσσοι πᾶσι τοῖς ἔθνεσιν οἱ διακονοῦντες τὸν λόγον ἐκ θείας ἐπιπνοίας ἀθρόως ἐγένοντο, ὡς ἂν μηδεὶς τῶν ἀγαθῶν ἀμοιρήσειε· πῶς ἂν κατὰ τὸ εὔλογον ἔτι τὸν Θεὸν αἰτιῷντο, τοῦ μὴ πάντων ἐπικρατῆσαι τὸν λόγον; ὁ γὰρ τοῦ παντὸς τὴν ἐξουσίαν ἔχων, δι' ὑπερβολὴν τῆς εἰς τὸν ἄνθρωπον τιμῆς, ἀφῆκέ τι καὶ ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν εἶναι, οὗ μόνος ἕκαστος ἐστὶ κύριος. τοῦτο δέ ἐστιν ἡ προαίρεσις, ἀδούλωτόν τι χρῆμα

καὶ αὐτεξούσιον ἐν τῇ ἐλευθερίᾳ τῆς διανοίας κείμενον. Οὐκοῦν ἐπὶ τοὺς μὴ προσαχθέντας τῇ πίστει, δικαιότερον ἂν τὸ τοιοῦτον ἔγκλημα μετατεθείη, οὐκ ἐπὶ τὸν κεκληκότα πρὸς τὴν κατάθεσιν. οὐδὲ γὰρ ἐπὶ τοῦ Πέτρου κατ' ἀρχὰς τὸν λόγον ἐν πολυανθρώπῳ τῶν Ἰουδαίων ἐκκλησίᾳ κηρύξαντος, τρισχιλίων κατὰ ταὐτὸν παραδεξαμένων τὴν πίστιν, πλείους ὄντες τῶν πεπιστευκότων οἱ ἀπειθήσαντες, ἐμέμψαντο τὸν ἀπόστολον ἐφ' οἷς οὐκ ἐπείσθησαν. οὐδὲ γὰρ ἦν εἰκὸς ἐν κοινῷ προτεθείσης τῆς χάριτος τὸν ἑκουσίως ἀποφοιτήσαντα, μὴ ἑαυτόν, ἀλλ' ἕτερον τῆς δυσκληρείας ἐπαιτιᾶσθαι.

A & ſui iuris eſt in libertate mentis & cogitationis ſita. Itaque in eos qui ad fidem adducti non ſunt, criminatio multo iuſtius transferri queat, non in eum qui vocauit ad conſenſionem. Neque enim cùm Petrus in initio verbum prædicaſſet in frequentiſſima Iudæorum concione, & tria millia ſimul fidem accepiſſent, ij qui non crediderunt, cùm plures eſſent iis qui crediderant, in Apoſtolum cauſam contulerunt, quòd non crediderunt. Neque enim par erat, vt gratia in commune propoſita, is qui voluntariè ab ea abſceſſerat, non ſibi, ſed alij malam ſuam B ſortem adſcriberet.

ΚΕΦΑΛΑΙΟΝ λα'.

Ἀλλ' οὐκ ἀποροῦσιν οὐδὲ πρὸς τὰ τοιαῦτα τῆς ἐριστικῆς ἀντιλογίας. λέγουσι γὰρ δύνασθαι τὸν Θεόν, εἴπερ ἐβούλετο, καὶ τοὺς ἀντιτύπως ἔχοντας ἀναγκαστικῶς ἐφελκύσασθαι πρὸς τὴν παραδοχὴν τοῦ κηρύγματος. ποῦ τοίνυν ἐν τούτοις τὸ αὐτεξούσιον; ποῦ δὲ τῶν κατορθούντων ὁ ἔπαινος; μόνων γὰρ τῶν ἀψύχων ἢ τῶν ἀλόγων ἐστὶ τῷ ἀλλοτρίῳ βουλήματι πρὸς τὸ δοκοῦν περιάγεσθαι. ἡ δὲ λογική τε καὶ νοερὰ φύσις, ἐὰν τὸ κατ' ἐξουσίαν ἀπόθηται, καὶ τὴν χάριν τοῦ νοεροῦ συναπώλεσεν. εἰς τί γὰρ χρήσεται τῇ διανοίᾳ, τῆς τοῦ προαιρεῖσθαι τι τῶν κατὰ γνώμην ἐξουσίας ἀφ' ἑτέρῳ κειμένης; εἰ δὲ ἄπρακτος ἡ προαίρεσις μένοιεν, ἠφάνισται κατ' ἀνάγκην ἡ ἀρετή, τῇ ἀκινησίᾳ τῆς προαιρέσεως ἐμποδισθεῖσα· ἀρετῆς δὲ μὴ οὔσης, ὁ βίος ἠτίμωται, καὶ κατ' εἱμαρμένην χωρεῖ ὁ λόγος, ἀφῄρηται τῶν κατορθούντων ὁ ἔπαινος· ἀνίκητος ἡ ἁμαρτία, ἄκριτος ἡ κατὰ τὸν βίον διαφορά. τίς γὰρ ἂν ἔτι κατὰ τὸ εὔλογον, ἢ διαβάλλοι τὸν ἀκόλαστον, ἢ ἐπαινοίη τὸν σώφρονα; ταύτης κατὰ τὸ πρόχειρον οὔσης ἑκάστῳ τῆς ἀποκρίσεως, τὸ μηδὲν ἐφ' ἡμῖν τῶν κατὰ γνώμην εἶναι, δυναστείᾳ δὲ κρείττονι τὰς ἀνθρωπίνας προαιρέσεις πρὸς τὸ τῷ κρατοῦντι δοκοῦν περιάγεσθαι. Οὐκοῦν οὐ τῆς ἀγαθότητος τοῦ Θεοῦ τὸ ἔγκλημα, τὸ μὴ πᾶσιν ἐγγενέσθαι τὴν πίστιν, ἀλλὰ τῆς διαθέσεως τῶν δεχομένων τὸ κήρυγμα.

CAPVT XXXI.

Si liberum nō ſit arbitriū, quæ ſequātur abſurda & incommoda.

Sed neque ad hæc litigioſa egent contradictione. Dicunt enim Deum poſſe, ſi velit eos etiam qui reſiſtunt, neceſſario compellendo attrahere ad ſuſcipiendam prædicationem. Vbi eſt ergo in his liberum arbitrium? Vbi autem eſt virtus? Vbi eſt laus eorum qui ſe rectè gerunt? Eſt enim ſolum inanimorum, aut eorum quæ ſunt expertia ra- C tionis, aliena voluntate ad id quod videtur adduci. Rationis autẽ particeps, & intelligens natura, ſi liberum depoſuerit arbitrium, ſimul etiam perdit gratiam intelligentiæ. Ad quid enim ſua vtetur mente ac cogitatione, ſi poteſtas eius eligendi, quod ſuo arbitratu conſtituit, ſita eſt in alio? Si manet autem inefficax & nullius vſus liberum animi inſtitutum & electio, neceſſariò etiam abolita eſt virtus, impedita immortalitate liberi arbitrij. Si non ſit autem virtus, honore priuata eſt vita, & fato procedit ratio, ablata eſt laus eorum qui ſe rectè gerunt, peccare cui- D uis impune licet, vitæ inſtituendæ diſcrimen nullum ſupereſt. Quis enim, vt eſt rationi conſentaneum, amplius vel intemperantem reprehenderit, vel temperantem laudauerit? cùm quilibet in promptu hanc habeat reſponſionem, quòd nihil eorum quæ noſtro arbitratu ſtatuimus, in noſtra eſt poteſtate: maiori autem potentia humana trahantur inſtituta & propoſita, ad id quod lubet ei qui dominatum obtinet. In Dei ergo bonitatem culpa non eſt conferenda, quòd non in omnibus fuerit fides, ſed in affectionem eorum, qui prædicationem verbi audiunt.

CAPVT XXXII.

Cur mortem in cruce paſſus ſit Christus.

QVID præter hæc affertur ab iis qui contradicunt? Maximè quidem, quòd non oporteret ſummam & ſupereminentem naturam omnino mortis ſubire experientiam, ſed abſque ea ſua inſigni & excellente virtute, poſſet facillimè quod videbatur efficere. Quòd ſi etiã arcana aliqua ratione hoc omnino fieri oportebat, non tamen ignominioſæ mortis affici dedecore. Quæ enim mors, inquiunt, eſt ignominioſior ea quæ per crucem ſuſtinetur? Quid ergo ad hæc quoque dicimus? Mortis quidem neceſſitatem efficit naſcendi conditio. Eum enim qui ſemel ſtatuerat eſſe particeps humanitatis, oportebat peruadere omnes naturæ proprietates. Si ergo cùm duobus finibus intercepta ſit humana natura, in vno fuiſſet, & alterum non attigiſſet, ſemiperfectum manſiſſet propoſitum, vt qui noſtræ naturæ alteram non attigiſſet proprietatem. Fortaſſe autem quiſpiam, cùm myſterium accuratè & exactè didicerit, magis conſentaneè dixerit, non eueniſſe mortem, propterea quòd natus ſit: ſed contrà mortis cauſa fuiſſe ab eo acceptam naſcendi conditionem. Neque enim æternus ille corpoream idcirco generationem ſubiit, quia vita egeret: ſed à morte nos ad vitam reuocans. Quoniam igitur oportebat vt totius naturę noſtræ à mortuis reſurrectio fieret: tanquam manum iacenti porrigens, & propterea ad noſtrum cadauer aſpiciens, morti tantum appropinquauit, quãtum eſt attigiſſe mortalitatem: & initium reſurrectionis ſuo corpore dediſſe naturæ, vt qui virtute ac poteſtate totum hominem ſimul ſuſcitauerit. Quoniam enim non aliunde quàm ex noſtra maſſa caro erat, quæ Deum ſuſceperat, quę quidem per reſurrectionem ſimul excitata fuit cum diuinitate: quomodo in noſtro corpore, vnius ex ſenſuum inſtrumentis operatio deducit conſenſum ad vniuerſum parti vnitum: ita etiam perinde ac ſi eſſet aliquod animal vniuerſa natura, partis reſurrectio tranſit ad vniuerſum, & pro continuitate coniunctionéque naturæ totum ex parte concurrit. Quid enim remotum à probabilitate & veriſimilitudine

A

ΚΕΦΑΛΑΙΟΝ λβ'.

ΤΙ πρὸς τούτοις ἔτι παρὰ τῶν ἀντιλεγόντων προσφέρεται; τὸ μάλιστα μὲν μὴ ὅλως δεῖν εἰς θανάτου πεῖραν ἐλθεῖν τὴν ὑπερέχουσαν φύσιν, ἀλλὰ καὶ δίχα τούτου τῇ περιουσίᾳ τῆς δυνάμεως δύνασθαι ἂν μετὰ ῥᾳστώνης τὸ δοκοῦν κατεργάσασθαι. Εἰ δὲ καὶ πάντως ἔδει τοῦτο κατά τινα λόγον ἀπόρρητον· ἀλλ' οὖν μὴ τῷ ἀτίμῳ τρόπῳ τοῦ θανάτου καθυβρισθῆναι.
B τίς γὰρ ἂν γένοιτο, φησί, τοῦ διὰ σταυροῦ θάνατος ἀτιμότερος; τί οὖν καὶ πρὸς ταῦτα φαμέν; ὅτι τὸν θάνατον μὲν ἀναγκαῖον ἡ γένεσις κατεργάζεται. τὸν γὰρ ἅπαξ μεταλαβεῖν ἐγνωκότα τῆς ἀνθρωπότητος, διὰ πάντων ἔδει γενέσθαι τῶν ἰδιωμάτων τῆς φύσεως. Εἰ τοίνυν δύο πέρασι τῆς ἀνθρωπίνης ζωῆς διειλημμένης, ἐν τῷ ἑνὶ γενόμενος τοῦ ἐφεξῆς μὴ προσήψατο, ἡμιτελὴς ἂν ἡ πρόθεσις ἔμεινε, τοῦ ἑτέρου τῆς φύσεως ἡμῶν ἰδιώματος οὐχ ἁψαμένου· τάχα δ' ἄν τις δι' ἀκριβείας κατανοήσας τὸ μυστήριον, εὐλογώτερον εἴποι, μὴ
C διὰ τὴν γένεσιν συμβεβηκέναι τὸν θάνατον· ἀλλὰ τὸ ἔμπαλιν τοῦ θανάτου χάριν παραληφθῆναι τὴν γένεσιν. οὐ γὰρ τὸ ζῆσαι δεόμενος, ὁ ἀεὶ ζῶν τὴν σωματικὴν ὑποδύεται γέννησιν, ἀλλ' ἡμᾶς ἐπὶ τὴν ζωὴν ἐκ τοῦ θανάτου ἀνακαλούμενος. ἐπεὶ οὖν ἔδει γενέσθαι ὅλης τῆς φύσεως ἡμῶν ἐκ τοῦ θανάτου πάλιν ἐπάνοδον, οἱονεὶ χεῖρα τῷ κειμένῳ ὀρέγων, καὶ διὰ τοῦτο πρὸς τὸ ἡμέτερον ἐπικύψας πτῶμα, τοσοῦτον τῷ θανάτῳ προσήγγισεν, ὅσον τῆς νεκρότητος ἅψασθαι· καὶ ἀρχὴν δοῦναι τῇ φύσει τῆς ἀναστάσεως τῷ ἰδίῳ σώματι, ὅλον συναναστήσας τὸν ἄνθρωπον τῇ δυνάμει.
D ἐπεὶ γὰρ οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τοῦ ἡμετέρου φυράματος ἡ θεοδόχος σὰρξ ἦν, ἡ διὰ τῆς ἀναστάσεως συνεπαρθεῖσα τῇ θεότητι, ὥσπερ ἐπὶ τοῦ καθ' ἡμᾶς σώματος ἡ τοῦ ἑνὸς τῶν αἰσθητηρίων ἐνέργεια πρὸς ἅπαν τὴν συναίσθησιν ἄγει τὸ ἡνωμένον τῷ μέρει· οὕτως καθάπερ τινὸς ὄντος ζώου πάσης τῆς φύσεως, ἡ τοῦ μέρους ἀνάστασις ἐπὶ τὸ πᾶν διεξέρχεται, κατὰ τὸ συνεχές τε καὶ ἡνωμένον τῆς φύσεως, ἐκ τοῦ μέρους ἐπὶ τὸ ὅλον συνδιδομένη. τί οὖν ἔξω τοῦ εἰκότος ἐν τῷ

μυστηρίῳ μανθάνομεν, εἰ κύπτει πρὸς τὸν πεπτωκότα ὁ ἑστὼς, ἢ ἐπὶ τὸ ἀναστῆσαι τὸν κείμενον· ὁ δὲ σταυρὸς εἰ μέν τινα καὶ ἕτερον περιέχει λόγον βαθύτερον, εἰδεῖεν ἂν οἱ τῶν κρυπτομένων ἐπίστορες. ὃ δ' οὖν εἰς ἡμᾶς ἐκ παραδόσεως ἥκει, τοιοῦτόν ἐστιν. ἐπειδὴ πάντα κατὰ τὸν ὑψηλότερόν τι καὶ θειότερον βίον ἐν τῷ εὐαγγελίῳ εἴρηταί τε καὶ γέγονε· καὶ οὐδέν τοιοῦτον ἐστὶν, ἐν ᾧ οὐχὶ πάντως μίξις τις ἐμφαίνεται τοῦ θείου πρὸς τὸ ἀνθρώπινον, τῆς μὲν φωνῆς ἢ τῆς πράξεως ἀνθρωπικῶς διεξαγομένης, τοῦ δὲ κατὰ τὸ κρυπτὸν νοουμένου τὸ θεῖον ἐμφαίνοντος· ἀκόλουθον ἂν εἴη καὶ ἐν τῷ μέρει τούτῳ, μὴ τὸ μὲν βλέπειν, παρορᾶν δὲ τὸ ἕτερον· ἀλλ' ἐν μὲν τῷ ἀθανάτῳ καθορᾶν τὸ ἀνθρώπινον, ἐν δὲ τῷ ἀνθρώπῳ πολυπραγμονεῖν τὸ θειότερον. ἐπειδὴ γὰρ ἴδιόν ἐστι τῆς θειότητος τὸ διὰ πάντων ἥκειν, καὶ τῇ φύσει τῶν ὄντων κατὰ πᾶν μέρος συμπαρεκτείνεσθαι. οὐ γὰρ ἂν παραμείνοι τι τῷ εἶναι, μὴ ἐν τῷ ὄντι μένον. τὸ δὲ κυρίως καὶ πρώτως ὂν, ἡ θεία φύσις ἐστὶν, ἣν ἐξ ἀνάγκης πιστεύειν ἐν πᾶσιν εἶναι τοῖς οὖσιν, ἡ διαμονὴ τῶν ὄντων καταναγκάζει. τοῦτο διὰ τοῦ σταυροῦ διδασκόμεθα, τετραχῆ τοῦ κατ' αὐτὸν σχήματος διῃρημένου· ὡς ἐκ τοῦ μέσου καθὸ πρὸς ἑαυτὸν συνάπτεται, τέσσαρας ἀριθμεῖσθαι τὰς προβολάς· ὅτι ὁ ἐπὶ τούτου ἐν τῷ καιρῷ τῆς κατὰ τὸν θάνατον οἰκονομίας διαταθεὶς, ὁ τὸ πᾶν πρὸς ἑαυτὸν συνδῶν τε καὶ συναρμόζων, τὰς διαφόρους τῶν ὄντων φύσεις πρὸς μίαν σύμπνοιάν τε καὶ ἁρμονίαν δι' ἑαυτοῦ συνάγων. ἐν γὰρ τοῖς οὖσιν ἢ ἄνω τι νοεῖται, ἢ κάτω, ἢ πρὸς τὰ κατὰ τὰ πλάγια πέρατα διαβαίνει ἡ ἔννοια. ἂν τοίνυν λογίσῃ τῶν ἐπουρανίων, ἢ τῶν ὑποχθονίων, ἢ τῶν καθ' ἑκάτερον τοῦ παντὸς περάτων τὴν σύστασιν, πανταχοῦ τῷ λογισμῷ σου προαπαντᾷ ἡ θειότης, μόνη κατὰ πᾶν μέρος τοῖς οὖσιν ἐνθεωρουμένη, καὶ ἐν τῷ εἶναι τὰ πάντα συνέχουσα. εἴτε δὴ θεότητα τὴν φύσιν ταύτην ὀνομάζεσθαι χρὴ, εἴτε λόγον, εἴτε δύναμιν, εἴτε σοφίαν, εἴτε ἄλλο τι τῶν ὑψηλῶν τι καὶ μᾶλλον ἐνδείξασθαι δυναμένων τὸν ὑπερκείμενον, οὐδὲν ὁ λόγος ἡμῶν περὶ φωνῆς ἢ ὀνόματος ἢ τύπου ῥημάτων διαφέρεται. ἐπεὶ οὖν πρὸς αὐτὸν πᾶσα ἡ κτίσις βλέπει, καὶ περὶ

A diſcimus in myſterio, ſi qui ſtat, inclinatur ad eum qui cecidit, aut ad excitandum eum qui iacet. Crux autem num aliquam etiam aliam profundiorem contineat rationem, viderint ij qui res arcanas nouerunt. Quod autem ad nos venit ex traditione, eſt huiuſmodi. Quoniam omnia conuenienter ſublimiori vitæ in Euangelio dicta & facta ſunt: neque quicquam eſt eiuſmodi, vt inde non apertè appareat omnino diuinitatis miſtio cũ humanitate, cum vox quidem aut actio trãſeat humanitùs, id
B autem quod ex occulto intelligitur, oſtendat diuinitatem: in hac etiam parte fuerit conſequẽs, vt non aſpiciatur vnũ, alterum autẽ deſpiciatur: ſed in immortali quidem mortale conſideretur, in homine autẽ id quod eſt diuinius omni ſtudio diſquiratur. Nam quoniam proprium eſt diuinitatis omnia peruadere, & cum eorum quæ ſunt natura per omnem partem extendi. Non enim manſerit quidpiam in eſſentia, niſi in eo quod eſt maneat. Quod autem propriè eſt & primò, diuina eſt natura: quam vt neceſſario credamus eſſe in cunctis
C quæ ſunt, nos cogit eorum quæ ſunt permanſio. Hoc per crucem docemur, cùm eius quadrifariam figura ſit diuiſa: adeò vt ex medio, quatenus ſibi ipſi coniungitur, numerentur quatuor proiectiones: quoniam qui in ea fuit extenſus tempore mortis ſuſceptæ diſpenſationis, qui ſibi vniuerſum colligat, concinnat, & adaptat, is diuerſas rerum naturas ad vnam per ſe cogit conſpirationem & harmoniam. In iis enim quæ ſunt, vel ſurſum intelligitur aliquid, vel deorſum: vel ad tranſuerſos fines tranſit cogitatio. Si ergo conſideres cœ-
D leſtium aut terreſtrium, aut vtrorumque vniuerſi extremorum conſtitutionem, tuæ conſiderationi ſemper occurrit diuinitas, quæ ſola ex omni parte in iis quę ſunt, venit in contemplationem, & omnia continet in eſſentia. Sitne autem hæc natura nominanda diuinitas, an ratio, an virtus ac poteſtas, an ſapientia, an aliquid aliud ex iis quæ ſunt excelſa, & quæ magis poſſunt oſtendere eum qui eſt ſummus & ſupereminens, de voce aut nomine, aut figura verborum non magna eſt nobis controuerſia. Quoniam ergo ad ipſum vniuerſa aſpicit creatura, & eſt circa

ipſum, & per illum ſibi ipſi cohæret & coaleſcit, cùm quæ ſunt ſuprà, iis quæ infrà, & quæ ſunt obliqua, ſibi inuicem congenerentur ac coniungantur: oportebat nos non ſolùm auditione deduci ad diuinitatis conſiderationem: ſed etiam viſum effici doctorem ac magiſtrum ſublimiorum intelligentiarum. Hinc motus magnus ille Paulus, in myſterio Epheſinum inſtituit populum, per magiſtrum eis dans virtutem ad cognoſcendum quæ ſit profunditas, latitudo, altitudóque & longitudo. Vnamquamque enim crucis porrectionem proprio appellat nomine. Altitudinem quidem, id quod ſupereminet: profunditatem autem, id quod eſt ſubtus: latitudinem verò & longitudinem, quæ ſunt per tranſuerſum extenſiones. Alibi autem hunc ſenſum clarius explicat, vt arbitror, ad Philippenſes, cùm dicit: In nomine Ieſu Chriſte omne genu flectatur, cœleſtium, terreſtrium & inferorum. Hoc in loco mediam prominentiam & velut antemnam vnico nomine comprehendit, vt qui quid inter cœleſtia & inferna intercedit, terreſtre nominauerit. Hoc quidem didicimus de myſterio crucis. Quæ autem deinceps ſequuntur, ea Verbum complectitur eiuſmodi, vt fateantur etiam increduli nihil eſſe alienum ab ea quę Deum decet exiſtimatione. Nam quòd in morte non manſerit, & quæ corpori impoſitæ ferro fuerint plagæ, nihil impedimenti attulerint, quominus reſurgeret, & quòd liberè diſcipulis poſt reſurrectionem cùm vellet, apparuerit, & eis adeſſet, cùm tamen non videretur, & eſſet in medio eorum, ne ingreſſu quidem per portas indigens, & confirmaret diſcipulos in ſufflatione ſpiritus, & ſe cum eis futurum eſſe polliceretur, & nullo diſiunctum iri interuallo: & eo quidem quod apparebat in cœlum aſcenderet, eo autem quod intelligebatur, eſſet vbique, & quæcumque huiuſmodi continet hiſtoria, nullo rationum auxilio indigent ad probandum quòd ſint diuina, excelſæque & ſummę virtutis. Quæ quidem nihil opus eſt vt ſigillatim perſequamur, cùm ex ſe ipſa oratio ſatis indicet ea eſſe ſupra naturã. Sed quoniam myſticorum documentorum pars eſt etiam aliqua, quæ in lauachro fit diſpenſatio: quod quidem ſeu baptiſmũ, ſeu illuminationem, ſe

Epheſ. 3.

Phil. 2.

A αὐτοῦ ἐστι, καὶ δι' ἐκείνου πρὸς ἑαυτὴν σύμφυής γίνεται τῶν ἄνω τοῖς κάτω, καὶ τῶν πλαγίων πρὸς ἄλληλα δι' ἐκείνου συμφυομένων, ἔδει μὴ μόνον δι' ἀκοῆς ἡμᾶς πρὸς τὴν τῆς θεότητος κατανόησιν χειραγωγεῖσθαι· ἀλλὰ καὶ τὴν ὄψιν γίνεσθαι τῶν ὑψηλοτέρων νοημάτων διδάσκαλον, ὅθεν καὶ ὁ μέγας ὁρμηθεὶς Παῦλος μυσταγωγεῖ τὸν ἐν Ἐφέσῳ λαὸν, δύναμιν αὐτοῖς ἐντιθεὶς διὰ τῆς διδασκαλίας πρὸς τὸ γνῶναι τί ἐστι τὸ βάθος καὶ τὸ ὕψος, τό τε πλάτος καὶ τὸ μῆκος. ἑκάστην γὰρ τοῦ σταυροῦ συμπροσβολὴν ἰδίῳ ῥήματι κατονομάζει. ὕψος μὲν τὸ ὑπερέχον· βάθος B δὲ τὸ ὑποκείμενον, πλάτος τε καὶ μῆκος, τὰς πλαγίας ἐκτάσεις λέγων, καὶ σαφέστερον ἑτέρωθι τὸ τοιοῦτον νόημα πρὸς Φιλιππησίους οἶμαι ποιεῖ, οἷς φησὶν· ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων καὶ ἐπιγείων, καὶ καταχθονίων. ἐνταῦθα τὴν μέσην κεραίαν μιᾷ προσηγορίᾳ καταλαμβάνει, πᾶν τὸ διὰ μέσου τῶν ἐπουρανίων καὶ ὑποχθονίων ὀνομάσας ἐπίγειον. τοῦτο μεμαθήκαμεν περὶ τοῦ σταυροῦ τὸ μυστήριον. τὰ δὲ ἀπὸ τούτου τοιαῦτα C κατὰ τὸ ἀκόλουθον περιέχει ὁ λόγος, ὡς ὁμολογεῖσθαι καὶ παρὰ τῶν ἀπίστων, μηδὲν ἀλλότριον εἶναι τῆς θεοπρεποῦς ὑπολήψεως. τὸ γὰρ μὴ ἐμμεῖναι τῷ θανάτῳ, καὶ τὰς διὰ τοῦ σιδήρου κατὰ τοῦ σώματος γινομένας πληγὰς, μηδὲ ἐμπόδιον πρὸς τὸ ἀναστῆναι ποιήσασθαι, κατ' ἐξουσίαν τε φαίνεσθαι τοῖς μαθηταῖς μετὰ τὴν ἀνάστασιν ὅτε βούλοιτο, παρεῖναί τε αὐτοῖς μὴ ὁρώμενον, καὶ ἐν μέσῳ γίνεσθαι, μηδὲ τῆς εἰσόδου τῆς διὰ τῶν θυρῶν προσδεόμενον, ἐνισχύειν τε τοὺς μαθητὰς τῇ προσφυσήσει τοῦ D πνεύματος, ἐπαγγέλλεσθαί τε καὶ τῷ μετ' αὐτὸν εἶναι, καὶ μηδενὶ μέσῳ διατειχίζεσθαι. καὶ τῷ μὲν φαινομένῳ πρὸς τὸν οὐρανὸν ἀνιέναι, τὸ δὲ νοουμένῳ πανταχῇ εἶναι, καὶ ὅσα τοιαῦτα περιέχει ἡ ἱστορία, οὐδὲν τῆς ἐκ τῶν λογισμῶν συμμαχίας προσδεῖται πρὸς τὰ θεῖα τε εἶναι, καὶ τῆς ὑψηλῆς καὶ ὑπερεχούσης δυνάμεως, περὶ ὧν οὐδὲν οἶμαι δεῖν καθ' ἕκαστον διεξιέναι, αὐτόθεν τοῦ λόγου τὸ ὑπὲρ τὴν φύσιν ἐμφαίνοντος. ἀλλ' ἐπειδὴ μέρος τι τῶν μυστικῶν διδαγμάτων καὶ ἡ περὶ τὸ λουτρόν ἐστι οἰκονομία· ὃ εἴτε βάπτισμα, εἴτε φώτισμα, εἴτε

παλιγγενεσίαν βούλοιτό τις ὀνομάζειν, οὐδὲν πρὸς τὴν ὀνομασίαν διαφερόμεθα, καλῶς ἂν ἔχοι καὶ περὶ τούτου, βραχέα διεξελθεῖν.

ΚΕΦΑΛΑΙΟΝ λγ'.

ΕΠΕΙΔΑΝ γὰρ παρ' ἡμῶν τὸ τοιοῦτον ἀκούσωσιν, ὅτι τοῦ θνητοῦ πρὸς τὴν ζωὴν μεταβαίνοντος, ἀκόλουθον ἦν τῆς προτέρας γενέσεως ἐπὶ τὸν θνητὸν παραγούσης βίον, ἑτέραν γέννησιν ἐξευρεθῆναι, μήτε ἀπὸ φθορᾶς ἀρχομένην, μήτε εἰς φθορὰν καταλήγουσαν· ἀλλ' εἰς ἀθάνατον ζωὴν τὸν γεγεννημένον παράγουσαν. ὥσπερ γὰρ ἐκ θνητῆς γεννήσεως θνητὸν ἐξ ἀνάγκης τὸ γεγεννημένον ὑπέστη. οὕτως ἐκ τῆς μὴ παραδεχομένης φθορὰν γεννήσεως τὸ γεννώμενον, κρεῖττον γένηται τῆς ἐκ τοῦ θανάτου φθορᾶς. ἐπειδὰν τούτων τε τῶν τοιούτων ἀκούσωσι, καὶ προδιδαχθῶσι τὸν τρόπον, ὅτι εὐχὴ πρὸς Θεὸν, καὶ χάριτος οὐρανίας ἐπίκλησις, καὶ ὕδωρ, καὶ πίστις ἐστὶ, δι' ὧν τὸ τῆς ἀναγεννήσεως πληροῦται μυστήριον, δυσπειθῶς ἔχουσι, πρὸς τὸ φαινόμενον βλέποντες, ὡς οὐ συμβαῖνον τῇ ἐπαγγελίᾳ τὸ σωματικῶς ἐνεργούμενον. πῶς γάρ φασιν εὐχὴ καὶ δυνάμεως θείας ἐπίκλησις ἐπὶ τοῦ ὕδατος γινομένη, ζωῆς ἀρχηγὸς τοῖς μυουμένοις γίνεται; πρὸς οὓς, εἴπερ λίαν ἔχοιεν ἀντιτύπως, ἁπλοῦς ἐξαρκεῖ λόγος, πρὸς τὴν τοῦ δόγματος ἀγαγεῖν συγκατάθεσιν. ἀντερωτήσωμεν γὰρ τοῦ τρόπου τῆς κατὰ σάρκα γεννήσεως πᾶσιν ὄντος προδήλου, πῶς ἄνθρωπος ἐκεῖνο γίνεται τὸ εἰς ἀφορμὴν τῆς συστάσεως τοῦ ζώου καταβαλλόμενον; ἀλλὰ μὴν οὐδεὶς ἐπ' ἐκείνου λόγος ἐστὶ, ὁ λογισμῷ τινὶ τὸ πιθανὸν ἐξευρίσκων. τί γὰρ κοινὸν σπέρματι ἀνθρώπου πρὸς τὴν ἐν ἐκείνῳ θεωρουμένην ποιότητα; συγκρινόμενος ὁ ἄνθρωπος λογικόν τι χρῆμα καὶ διανοητικόν ἐστι, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἐκεῖνο δὲ ὑγρᾷ τινὶ ἐνθεωρεῖται ποιότητι, καὶ πλέον οὐδὲν τοῦ κατ' αἴσθησιν ὁρωμένου καταλαμβάνει ἔννοια. ἣν τοίνυν εἰκός ἐστιν ἀπόκρισιν γενέσθαι ἡμῖν παρὰ τῶν ἐρωτηθέντων, ὅτι πῶς ἐστι πιστὸν ἐξ ἐκείνου συστῆναι ἄνθρωπον, τοῦτο καὶ περὶ τῆς διὰ τοῦ ὕδατος γινομένης ἀναγεννήσεως ἐρωτηθέντες ἀποκρινούμεθα. ἐκεῖ τι γὰρ πρόχειρόν ἐστιν ἑκάστῳ τῶ

A regenerationem velis nominare, de nomine non contendimus, bene erit breuiter de eo dicere.

CAPVT XXXIII.

NAM poſtquam à nobis audiuerint, quòd cùm mortale tranſeat ad vitam, conſequens erat, prima generatione ad vitam mortalem deducente, aliam inueniri generationem, quæ neque ab interitu inciperet, neque deſineret in interitum: ſed eum qui fuiſſet generatus, ad vitam deduceret im-
B mortalem. Quomodo enim ex mortali generatione mortale neceſſariò extitit id quod fuit generatum: ita quod ex generatione in quam non cadit interitus generatur, melius fuerit ac præſtantius, quàm vt à morte patiatur interitum. Poſtquam, inquam, hæc audiuerint, & quæ ſunt huiuſmodi, & modum prius didicerint, nempe quòd ad Deum preces, & gratiæ cœleſtis inuocatio, & aqua, & fides, ſunt ea per quæ impletur myſterium regenerationis, ea difficiliter eis perſuadentur, vt
C qui ad quod apparet aſpiciant, vtpotè quod id quod fit corporaliter, non accidat promiſſioni. Quomodo enim, inquiunt, preces, & diuinæ virtutis inuocatio, quæ fit ſuper aquam, fit dux & principium vitæ iis qui initiantur? Ad quos, ſi non ſint nimis duri & peruicaces, ſimplex ſuffecerit oratio ad efficiendum vt aſſentiātur dogmati. Nam viciſſim eos interrogemus, Cùm modus eius quæ ex carne fit generationis ſit omnibus manifeſtus, quemadmodum fit homo id quod deijcitur, vt ex eo conſiſtat animal? Atqui in eo nihil dici
D poteſt, quod aliqua ratione vllam inueniat probabilitatem. quid enim commune habet ſemen hominis cum ea qualitate quæ in illo conſideratur? Homo compoſitus eſt res quædam particeps rationis & intelligentiæ. Illud autem conſideratur in quadam humida qualitate: & nihil amplius comprehendit mentis conceptio, quàm quod ex ſenſu cernitur. Quod ergo ab interrogatis, Quomodo ſit credibile ex illo conſtitiſſe hominem, conſentaneum eſt nobis fieri reſponſum, hoc etiam de regeneratione per aquam interrogati reſpondebimus. Nam & illic vnicuique eorum qui interrogantur in promptu

Baptiſmus deducit ad vitam immortalem.

eſt dicere, quòd diuina virtute ille fit homo, quæ ſi non adſit, ſemen eſt immobile & inefficax. Si ergo illic non ſubiectum facit hominem, ſed vis diuina tranſmutat id quod apparet in naturam hominis, extremæ fuerit inſipientiæ ingratique & immemoris animi, illic Deo tantam tribuente virtutem, exiſtimare Deum hac in parte eſſe imbecillum ad ſuam implendam voluntatem. Quid commune, inquit, habet vita cum aqua? Quid autem, (eis dicemus) commune habet humor & imago Dei? Sed nihil illic eſt admirabile, ſi Deo volente humor tranſit in animal præſtantiſſimum. De hoc etiam ſimiliter dicemus, minimè eſſe mirandum, ſi diuinæ virtutis præſentia tranſformat ad incorruptionem id quod natum fuerat in natura in quam cadit interitus.

CAPVT XXXIV.

Quod Deus inuocatus adſit in iis quæ fiunt ſanctificationibus.

Sed quærunt vt ſibi oſtendatur, quòd Deus adſit inuocatus in iis quæ fiunt ſanctificationibus. Qui autem hoc quærit, reuocet in mentem ea quæ retrò ſunt examinata. Confirmatio enim, quòd quæ per carnem nobis apparuit virtus, verè ſit diuina, defendit id quod dicimus in præſentia. Nam cùm oſtenſum ſit quòd ſit Deus qui ſuam oſtendit naturam miraculis per ea quæ fiunt, ſimul etiam oſtenſum eſt, eum adeſſe iis quæ fiunt tempore inuocationis. Quomodo enim in vnoquoque eorum quæ ſunt, eſt quædam proprietas quæ notam reddit naturam: ita diuinæ naturæ proprium eſt veritas. Atqui inuocantibus ſe ſemper affuturum eſt pollicitus, & futurum in medio credentium, & in omnibus manſurum, & cum vnoquoque conuerſaturum: neque alia fuerit nobis opus probatione, quòd Deus adſit iis quæ fiunt, cùm Deum quidē eſſe per ipſa miracula crediderimus, neque dubitemus, id quod promiſſum eſt adeſſe certis & à mendacio alienis promiſſionibus. Quòd autem quæ per preces fit inuocatio, diuinam præcedat diſpenſationem, ſatis ſuperq́ue probat, quod id quod fit, ex Deo peragitur. Si enim in altero genere hominum procreationis, eorum qui generant ad id incitatæ appetitiones, etiamſi ab iis Deus precibus non inuo-

Pſal. 144. Matth. 18. Ioan 14. Ioã. 14. 15.

A ἠρωτημένων εἰπεῖν, ὅτι θείᾳ δυνάμει ἐκεῖνος ἄνθρωπος γίνεται, ἧς μὴ παρούσης, ἀκίνητόν ἐστι καὶ ἀνενέργητον. εἰ οὖν ἐκεῖ οὐ τὸ ὑποκείμενον ποιεῖ τὸν ἄνθρωπον, ἀλλ' ἡ θεία δύναμις εἰς ἀνθρώπου φύσιν μεταποιεῖ τὸ φαινόμενον, τῆς ἐσχάτης ἂν εἴη ἀγνωμοσύνης, ἐκεῖ τοσαύτην τῷ Θεῷ προσμαρτυροῦντας δύναμιν, ἀτονεῖν ἐν τῷ μέρει τούτῳ τὸ θεῖον οἴεσθαι πρὸς τὴν ἐκπλήρωσιν τοῦ θελήματος. τί κοινόν φασιν ὕδατι καὶ ζωῇ; τί δὲ κοινὸν πρὸς αὐτοὺς ἐροῦμεν ὑγρότητι καὶ εἰκόνι Θεοῦ; ἀλλ' οὐδὲν ἐκεῖ τὸ παράδοξον, εἰ Θεοῦ βουλομένου πρὸς τὸ τιμιώτατον ζῶον τὸ ὑγρὸν μεταβαίνει. τὸ ἴσον B καὶ ἐπὶ τούτου φαμὲν, μηδὲν εἶναι θαυμαστὸν, εἰ θείας δυνάμεως παρουσία πρὸς ἀφθαρσίαν μετασκευάζει τὸ ἐν τῇ φθαρτῇ φύσει γινόμενον.

ΚΕΦΑΛΑΙΟΝ λδʹ.

Ἀλλὰ ζητοῦσιν ἀπόδειξιν τοῦ παρεῖναι τὸ θεῖον, ἐπὶ ἁγιασμῷ τῶν γινομένων καλούμενον. ὁ δὲ τοῦτο ζητῶν, ἀναγνώτω πάλιν τὰ κατόπιν ἐξητασμένα. ἡ γὰρ κατασκευὴ τοῦ τὴν διὰ σαρκὸς ἡμῖν ἐπιφανεῖσαν δύναμιν, ἀληθῶς θείαν εἶναι, τοῦ παρόντος λόγου συνηγορία γίνεται. C δειχθέντος γὰρ τοῦ Θεὸν εἶναι τὸν ἐν σαρκὶ φανερωθέντα, τοῖς διὰ τῶν γινομένων θαύμασι τὴν φύσιν ἑαυτοῦ δείξαντα, συναπεδείχθη τὸ παρεῖναι τοῖς γινομένοις αὐτὸν κατὰ πάντα καιρὸν ἐπικλήσεως. ὥσπερ γὰρ ἑκάστου τῶν ὄντων ἐστί τις ἰδιότης ἡ τὴν φύσιν γνωρίζουσα· οὕτως ἴδιόν ἐστι τῆς θείας φύσεως ἡ ἀλήθεια. ἀλλὰ μὴν ἀεὶ παρέσεσθαι τοῖς ἐπικαλουμένοις ἐπήγγελται, καὶ ἐν μέσῳ τῶν πιστευόντων εἶναι, καὶ ἐν πᾶσι μένειν καὶ ἑκάστῳ συνεῖναι. καὶ D οὐκέτ' ἂν ἑτέρας εἰς τὸ παρεῖναι τὸ θεῖον τοῖς γινομένοις ἀποδείξεως προσδεοίμεθα. τὸν μὲν Θεὸν εἶναι διὰ τῶν θαυμάτων αὐτοῦ πεπιστευκότες, ἐν δὲ τῷ ἀψευδεῖ τῆς ὑποσχέσεως παρεῖναι τὸ ἐπηγγελμένον οὐκ ἀμφιβάλλοντες. τὸ δὲ προηγεῖσθαι τὴν διὰ τῆς εὐχῆς κλῆσιν τῆς θείας οἰκονομίας, περιουσία τίς ἐστι τῆς ἀποδείξεως τοῦ κατὰ Θεὸν ἐπιτελεῖσθαι τὸ ἐνεργούμενον. Εἰ γὰρ ἐπὶ τοῦ ἑτέρου τῆς ἀνθρωποποιίας εἴδους αἱ τῶν συνιόντων ὁρμαὶ, κἂν μὴ ἐπικληθῇ παρ' αὐτῶν δι' εὐχῆς τὸ θεῖον, τῇ

τοῦ Θεοῦ

τοῦ Θεοῦ δυνάμει, καθὼς ἐν τοῖς ἔμπροσθεν εἴρηται, διαπλάσσουσι τὸ γινόμενον· ἧς χωρισθείσης ἄπρακτός ἐστιν ἡ σπουδὴ καὶ ἀνόνητος· πόσῳ μᾶλλον ἐν τῷ πνευματικῷ τῆς γεννήσεως τρόπῳ, καὶ Θεοῦ παρέσεσθαι τοῖς γινομένοις ἐπηγγελμένου, καὶ τὴν παρ' ἑαυτοῦ δύναμιν ἐντεθεικότος τῷ ἔργῳ, καθὼς πεπιστεύκαμεν· καὶ τῆς ἡμετέρας προαιρέσεως πρὸς τὸ σπουδαζόμενον τὴν ὁρμὴν ἐχούσης· εἰ συμπαραληφθείη καθηκόντως ἡ διὰ τῆς εὐχῆς συμμαχία, μᾶλλον ἐπιτελὲς ἔσται τὸ σπουδαζόμενον. καθάπερ δὲ οἱ ἐπιφανῆναι τὸν ἥλιον αὐτοῖς εὐχόμενοι τῷ Θεῷ, οὐδὲν ἀμβλύνουσι τὸ πάντως γινόμενον. οὐδὲ μὴν ἄχρηστον εἶναι τις φήσει τὴν τῶν προσευχομένων σπουδὴν, εἰ περὶ τοῦ πάντως ἐσομένου τὸν Θεὸν ἱκετεύουσιν· οὕτως οἱ πεπιστευμένοι, κατὰ τὴν ἀψευδῆ τοῦ ἐπηγγελμένου ὑπόσχεσιν πάντως παρεῖναι τὴν χάριν τοῖς διὰ τῆς μυστικῆς ταύτης οἰκονομίας ἀναγεννωμένοις, ἢ προσθήκην τινὰ ποιοῦνται τῆς χάριτος, ἢ τὴν οὖσαν οὐκ ἀποστρέφουσι. τὸ γὰρ πάντως συνεῖναι διὰ τὸ Θεὸν εἶναι τὸν ἐπαγγειλάμενον πεπίστευται. ἡ δὲ τῆς θειότητος μαρτυρία διὰ τῶν θαυμάτων ἐστίν. ὥστε διὰ πάντων τὸ παρεῖναι τὸ θεῖον, οὐδεμίαν ἀμφιβολίαν ἔχει.

ΚΕΦΑΛΑΙΟΝ λε'.

ΟΔΕ εἰς τὸ ὕδωρ κάθοδος, καὶ τὸ τρὶς ἐν αὐτῷ γενέσθαι τὸν ἄνθρωπον, ἕτερον ἐμπεριέχει μυστήριον. ἐπειδὴ γὰρ ὁ τῆς σωτηρίας ἡμῶν τρόπος, οὐ τοσοῦτον ἐκ τῆς κατὰ διδαχὴν ὑφηγήσεως ἐνεργὸς γέγονεν, ὅσον δι' αὐτῶν ὧν ἐποίησεν ὁ τὴν πρὸς τὸν ἄνθρωπον ἀναδεξάμενος κοινωνίαν, ἔργῳ τὴν ζωὴν ἐνεργήσας, ἵνα διὰ τῆς ἀναληφθείσης παρ' αὐτοῦ καὶ συναποθεωθείσης σαρκὸς συνδιασωθείη τὸ συγγενές αὐτῇ καὶ ὁμόφυλον, ἀναγκαῖον ἦν ἐπινοηθῆναι τινὰ τρόπον, ἐν ᾧ τις ἡ συγγένειά τε καὶ ὁμοιότης ἐν τοῖς γινομένοις, παρά τε τοῦ ἑπομένου πρὸς τὸν ἡγούμενον. χρὴ τοίνυν ἰδεῖν ἐν τίσιν ὁ τῆς ζωῆς ἡμῶν καθηγησάμενος ἐθεωρήθη· ἵνα καθώς φησιν ὁ Ἀπόστολος, κατὰ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν κατορθωθῇ τοῖς ἑπομένοις ἡ μίμησις. ὥσπερ γὰρ παρὰ τῶν πεπαιδευμένων τὰ τακτικὰ πρὸς τὴν ὁπλητικὴν ἐμπειρίαν διάγονται,

A cetur, diuina virtute, ſicut prius dictum eſt, effingunt id quod generatur: qua ſeparata inefficax & inutilis ac irrita eſt eorum opera: quanto magis in ſpirituali modo generationis, cùm & Deus iis quæ facta ſunt ſe adfuturum ſit pollicitus, & ſuam operi virtutem indiderit; vt credidimus: noſtrúmque propoſitum & inſtitutum feratur ad id in quod ſtudium & opera confertur: ſi eorum quorum decet ſimul per preces aſſumatur auxilium, magis erit perfectum id in quod confertur ſtudium. Quomodo
B autem qui Deum precantur vt ſibi ſol illuceſcat, id quod fit nequaquam obtundunt & obſcurant. Sed nec inutile precantium dixeris eſſe ſtudium, ſi de eo quod omnino futurum eſt Deo ſupplicant: ita ij qui crediderũt, congruenter certæ & à mendacio alienæ eius qui pollicitus fuit promiſſioni, omnino adeſſe gratiam iis qui regenerantur per hanc myſticam diſpẽſationem, aut gratiæ aliquam faciunt acceſſionem: aut certè eam quæ eſt minimè auertunt. Nam quòd omnino adſit, ex eo conſtat, quòd Deus ſit qui promiſit: Cæterum
C diuinitatẽ eſſe miracula teſtantur. Itaque quin Deus in omnibus adſit, nulla eſt occaſio dubitandi.

CAPVT XXXV.

DESCENSVS autem in aquam, & quòd in eam homo ter demiſſus ſit, alterum continet myſterium. Nam quoniam modus noſtræ ſalutis ad effectum & opus non adeò eſt deductus ex præeunte doctrina, quantum per ea ipſa quæ fecit qui cum homine ſubiit ſocietatem, vt qui reipſa vitam ſit operatus:
D vt per carnem rurſus aſſumptam & ſimul deificatam, ſimul afficeretur quicquid eſt ei cognatum & genere coniunctum: neceſſariò excogitandus erat aliquis modus, in quo in iis quæ fiunt eſſet cognatio aliqua eius qui ſequitur cum eo qui præit ac ducit. Oportet ergo videre in quibúſnam eſt conſideratus qui dux fuit & auctor noſtræ vitæ: vt ſicut dicit Apoſtolus, conuenienter duci & auctori noſtræ ſalutis ſequentibus rectè procedat imitatio. Quomodo enim, qui ad numeroſam & militarem in armis motionem erudiuntur, ab iis qui ordinandæ aciei ſunt peritis

Cur in baptiſmo is qui baptizatur ter in aquam demittitur.

Hebr. 12.

per ea quæ aſpiciunt, deducuntur ad ritè tractandorum armorum experientiam. Qui autem non agit id quod ei prius oſtenditur, remanet expers eius experientiæ. Eodem modo neceſſe eſt, vt quibus ſtudium par eſt ad bonum, omnino ſimiliter ſequantur per imitationem eum qui nos ducit ad ſalutem, ad opus deducendo id quod prius ab eo fuit oſtenſum. Non poteſt enim fieri vt ad parem finem perueniant, qui non per viam ſimilem ſunt ingreſſi. Quomodo enim qui labyrinthi errores non poſſunt vlla ratione euadere: ſi in aliquem inciderint qui eorum ſit peritus, eum ponè ſequentes, varios & fallaces domorum flexus anfractúſque permeant, non permeaturi niſi eius qui præcedit, inſiſterent veſtigiis. Ita etiam mihi cogita huius vitæ labyrinthum, quem humana natura minimè poteſt tranſire, niſi quiſpiam eandem viam teneat, per quam qui in eo fuit, egreſſus eſt, ambitum. Tropicè autem dico labyrinthum, qui pertranſiri non poteſt, vitæ carcerem, in quo detentum fuit infelix genus humanum. Quid ergo aſpeximus in duce & auctore noſtræ ſalutis? Triduanam mortem & rurſus vitam. Oportet ergo in nobis quoque talem excogitari ſimilitudinem. Quidnam eſt ergo excogitatum, per quod etiam in nobis eius quod ab eo factum eſt impletur imitatio? Quicquid eſt morte affectum, quemdam proprium habet locum & ſecundum naturam: nempe terram in quam inclinatur, & in qua conditur. Magnam autem inter ſe habent cognationem terra & aqua, quæ ſola ex elementis ſunt grauia, & feruntur deorſum, & manent in ſe inuicem, & per ſe inuicem continentur. Quoniam ergo ducis & auctoris vitæ noſtræ mors fuit ſub terra, & ſecundum communem naturam: quæ fit à nobis mortis imitatio, in propinquo exprimitur elemento. Et ſicut ille cœleſtis homo cum mortalitatem aſſumpſiſſet, poſtquam ſub terra fuiſſet poſitus, tertio die reuerſus eſt ad vitam: ita etiam qui ſecundum naturam corporis eſt illi coniunctus, ad idem quod ab ipſo rectè geſtum eſt intuens, ad vitæ, inquam, finem, pro terra aqua ei infuſa, ſubiens elementum,

A δι' ὧν βλέπουσιν οἱ πρὸς τὴν εὔρυθμόν τε καὶ ἐνόπλιον κίνησιν παιδευόμενοι. ὁ δὲ μὴ πράττων τὸ προδεικνύμενον, ἀμέτοχος τῆς τοιαύτης ἐμπειρίας μένει. κατὰ τὸν αὐτὸν τρόπον τῷ πρὸς τὴν σωτηρίαν ἡμῶν ἐξηγουμένῳ πάντως οἷς ἴση πρὸς τὸ ἀγαθόν ἐστιν ἡ σπουδὴ, ὁμοίως ἐπάναγκες διὰ μιμήσεως ἕπεσθαι, τὸ παρ' αὐτοῦ προδειχθὲν εἰς ἔργον ἀγαγόντας. οὐ γάρ ἐστι πρὸς τὸ ἴσον καταρτίσαι πέρας, μὴ διὰ τῶν ὁμοίων ὁδεύσαντας. καθάπερ γὰρ οἱ τὰς τῶν λαβυρίνθων πλάνας διεξελθεῖν ἀμηχανοῦντες,

B εἴ τινος ἐμπείρως ἔχοντος ἐπιτύχοιεν, κατόπιν ἑπόμενοι τὰς ποικίλας τε καὶ ἀπατηλὰς τῶν οἴκων ἀναστροφὰς διεξέρχονται, οὐκ ἂν διεξελθόντες, εἰ μὴ κατ' ἴχνος ἑπόμενοι τῷ προάγοντι. οὕτω μοι νόησον καὶ τὸν τοῦ βίου τούτου λαβύρινθον ἀδιεξίτητον εἶναι τῇ ἀνθρωπίνῃ φύσει, εἰ μή τις τῆς αὐτῆς ὁδοῦ λάβοιτο, δι' ἧς ὁ ἐν αὐτῷ γενόμενος ἔξω κατέστη τοῦ περιέχοντος. λαβύρινθον δέ φημι τροπικῶς, τὴν ἀδιέξοδον τοῦ θανάτου φρουρὰν, ᾗ τὸ δείλαιον τοῦ ἀνθρώπου γένος περιεσχέθη. τί οὖν περὶ τὸν ἀρχηγὸν τῆς σωτηρίας ἐθεασάμεθα; τριήμερον

C νέκρωσιν, καὶ πάλιν ζωήν. ἐκεῖνο οὖν χρή τι τοιοῦτον καὶ ἐν ἡμῖν ἐπινοηθῆναι ὁμοίωμα. τίς οὖν ἐστιν ἡ ἐπίνοια, δι' ἧς καὶ ἐν ἡμῖν πληροῦται τοῦ παρ' ἐκείνου γεγονότος ἡ μίμησις; ἅπαν τὸ νεκρωθὲν οἰκεῖον τινὰ καὶ κατὰ φύσιν ἔχει χῶρον, τὴν γῆν ἐν ᾗ κλίνεται καὶ κατακρύπτεται. πολλὴν δὲ πρὸς ἄλληλα τὴν συγγένειαν ἔχει γῆ τε καὶ ὕδωρ, μόνα τῶν στοιχείων βαρέα τε ὄντα, καὶ κατωφερῆ, καὶ ἐν ἀλλήλοις μένοντα, καὶ δι' ἀλλήλων κρατούμενα. ἐπεὶ οὖν τοῦ καθηγουμένου τῆς ζωῆς ἡμῶν ὁ θάνατος ὑπόγειος, καὶ κατὰ τὴν

D κοινὴν γέγονε φύσιν, ἡ τοῦ θανάτου μίμησις ἡ παρ' ἡμῶν γινομένη, ἐν τῷ γείτονι ἀποτυποῦται στοιχείῳ. καὶ ὡς ἐκεῖνος ὁ ἄνωθεν ἄνθρωπος, ἀναλαβὼν τὴν νεκρότητα μετὰ τὴν ὑπόγειον θέσιν, τριταῖος ἐπὶ τὴν ζωὴν πάλιν ἀνέδραμεν· οὕτω πᾶς ὁ συνημμένος κατὰ τὴν τοῦ σώματος φύσιν ἐκείνῳ, πρὸς τὸ αὐτὸ κατόρθωμα βλέπων, τὸ κατὰ τὴν ζωὴν λέγω πέρας, ἀντὶ γῆς τὸ ὕδωρ ἐπιχεάμενος, καὶ ὑποδὺς τὸ στοιχεῖον,

ἐν τρισὶ περιόδοις τὴν τριήμερον τῆς ἀναστάσεως χάριν ἀπομιμησάμενος. εἴρηται δέ τι τοιοῦτον καὶ ἐν τοῖς φθάσασιν, ὅτι κατ' οἰκονομίαν ἐπήχθη τῇ ἀνθρωπίνῃ φύσει παρὰ τῆς θείας προνοίας ὁ θάνατος· ὡς τῆς κακίας ἐν τῇ διαλύσει τοῦ σώματος καὶ τῆς ψυχῆς ἐκρυείσης, πάλιν διὰ τῆς ἀναστάσεως σῶον, καὶ ἀπαθῆ, καὶ ἀκέραιον, καὶ πάσης τῆς κατὰ κακίαν ἐπιμιξίας ἀλλότριον ἀναστοιχειωθῆναι τὸν ἄνθρωπον. ἀλλ' ἐπὶ μὲν τοῦ καθηγουμένου τῆς σωτηρίας ἡμῶν, τὸ τέλειον ἡ κατὰ τὸν θάνατον ἔσχεν οἰκονομία, κατὰ τὸν ἴδιον σκοπὸν ἐντελῶς πληρωθεῖσα. διεστάλη τε γὰρ διὰ τοῦ θανάτου τὰ ἡνωμένα· καὶ πάλιν συνήχθη τὰ διακεκριμένα· ὡς ἂν καθαρθείσης τῆς φύσεως ἐν τῇ τῶν συμφυῶν διαλύσει, ψυχῆς τε λέγω καὶ σώματος, πάλιν ἡ τῶν κεχωρισμένων ἐπάνοδος τῆς ἀλλοτρίας ἐπιμιξίας γένοιτο καθαρεύουσα. ἐπὶ δὲ τῶν ἀκολουθούντων τῷ καθηγουμένῳ, οὐ χωρεῖ τὴν ἀκριβῆ μίμησιν δι' ὅλων ἡ φύσις· ἀλλ' ὅσον δυνατῶς ἔχει, τοσοῦτον νῦν παραδεξαμένη, τὸ λεῖπον ἐν τῷ μετὰ ταῦτα ταμιεύεται χρόνῳ. τί οὖν ἐστὶν ὃ μιμεῖται; τὸ τῆς ἐμμιχθείσης κακίας ἐν τῇ τῆς νεκρώσεως εἰκόνι τῇ γινομένῃ διὰ τοῦ ὕδατος τὸν ἀφανισμὸν ἐμποιῆσαι, οὐ μὴν τέλειον ἀφανισμόν, ἀλλά τινα διακοπὴν τῆς τοῦ κακοῦ συνεχείας, συνδραμόντων δυοῖν, πρὸς τὴν τῆς κακίας ἀναίρεσιν, τῆς τε τοῦ πλημμελήσαντος μεταμελείας, καὶ τῆς τοῦ θανάτου μιμήσεως, δι' ὧν ἐκλύεταί πως ὁ ἄνθρωπος τῆς πρὸς τὸ κακὸν συμφυΐας, τῇ μεταμελείᾳ μὲν εἰς μῖσός τε καὶ ἀλλοτρίωσιν τῆς κακίας χωρῶν, τῷ δὲ θανάτῳ τοῦ κακοῦ τὸν ἀφανισμὸν ἐργαζόμενος. ἀλλ' εἰ μὲν ἦν δυνατὸν, ἐν τελείῳ τῷ θανάτῳ γενέσθαι τὸν μιμούμενον, οὐδ' ἂν μίμησις, ἀλλὰ ταυτότης τὸ γινόμενον ἦν· καὶ εἰς τὸ παντελὲς τῆς φύσεως ἡμῶν τὸ κακὸν ἐφανίζετο· ὥστε, καθώς φησιν ὁ ἀπόστολος, ἐφ' ἅπαξ ἀποθανεῖν τῇ ἁμαρτίᾳ. ἐπεὶ δὲ, καθὼς εἴρηται, τοσοῦτον μιμούμεθα τῆς ὑπερεχούσης δυνάμεως, ὅσον χωρεῖ ἡμῶν ἡ πτωχεία τῆς φύσεως· τὸ ὕδωρ τρὶς ἐπιχεάμενοι, καὶ πάλιν ἀναβάντες ἀπὸ τοῦ ὕδατος, τὴν σωτήριον ταφὴν καὶ ἀνάστασιν τὴν ἐν τριημέρῳ γινομένην τῷ χρόνῳ ὑποκρινόμεθα, τοῦτο λαβόντες κατὰ διάνοιαν, ὅτι ὡς ἡμῖν τὸ ὕδωρ ἐν ἐξουσίᾳ ἐστὶ,

A in tribus ambitibus imitatus eſt triduanam gratiam reſurrectionis. Dictum eſt etiam tale quid in iis quæ præceſſerunt, nempe quòd prudenti conſilio diſpenſationis, à diuina prouidentia fuit importata mors humanæ naturæ: vt cùm effluxiſſet vitium, in diſſolutione corporis & animæ, rurſus per reſurrectionem ſaluus, improbabilis, & integer, & alienus ab omni commiſtione vitij, homo reformaretur. Sed in duce quidem & auctore noſtræ ſalutis, perfectionem habuit ſuſceptæ mortis diſpenſatio, vt quæ conuenienter ſub ſcopo & inſtituto perfectè fuerit adimpleta. B Nam & per mortem diſiuncta fuerunt quæ erant vnita: & rurſus coniuncta ſunt quæ erant diſcreta: vt purgata natura in diſſolutione eorum quæ naturaliter coierant, animæ, inquam, & corporis, eorum quæ fuerant ſeparata reditus, ab aliena admiſtione eſſet purus. In iis autem qui ducem ſequuntur, accuratam & perfectam imitationem non omnino capit natura: ſed cùm quantum poteſt nunc acceperit, in tempus futurum reſeruat id quod reſtat. Quid ergo imitatur? C Quod vitij immiſti in imagine mortis, quæ facta eſt per aquam, expreſſerit deletionem, non perfectam tamen deletionem, ſed quandam interruptionem continuationis vitij, cùm duo concurrerint ad tollendum vitium, nempe & eius qui peccauit pœnitentia, & imitatio mortis, per quæ homo quodammodo diſſoluitur à congenita cùm vitio coniunctione, pœnitentia quidem procedens ad odium vitij & alienationem, mors autem vitij operans deletionem. Sed ſi fieri quidem poſſet, vt in perfecta morte eſſet is qui D imitatur, non eſſet id quod fit imitatio, ſed res eadem: & à noſtra natura malum perfectè deleretur: adeò, vt, ſicut dicit Apoſtolus, omnino moreretur peccato. *Rom. 6.* Quoniam autem, ſicut dictum eſt, ſupremæ illius poteſtatis tantum imitamur, quantum capit noſtræ naturæ mendicitas: aqua ter infuſa, ex ea rurſus aſcendentes, ſalutarem imitamur ſepulturam & reſurrectionem quæ facta eſt in tempore triduano, hanc ſuſcipientes cogitationem, quòd ſicut aqua in noſtra eſt poteſtate,

vt & in ea ſimus, & ex ea rurſus emergamus, eodem modo in eius qui vniuerſitatis dominatum obtinet, eſt poteſtate, vt ſicut nos aquas, ita ille mortem ſubiens, rurſus ad propriam reducat beatitudinem. Si quiſquam ergo aſpiciat ad veriſimilitudinem, & ex vtriuſque virtute ea quæ fiunt, iudicet, nullam in iis quæ fiunt inueniet vtriuſque diſcrepantiam, vt qui congruenter modo ſuæ naturæ, ea effecerit quæ ſuæ erant poteſtatis. Quomodo enim eſt in poteſtate hominis, aquam, ſi velit, citra vllum tangere periculum: infinitis partibus facilius mors eſt propoſita diuinæ virtuti, vt & in ea ſit, & non conuertatur ad affectionem quæ ex illa accipitur. Propterea ergo nobis neceſſe eſt in aqua præmeditari gratiam reſurrectionis, vt ſciamus quod ex æquo nobis eſt facilè & aqua tingi, & è morte rurſus emergere. Sed quomodo in iis quæ fiunt in vita, ſunt aliqua aliquibus principaliora, ſine quibus etiam id quod fit, nequaquam rectè ſucceſſerit: quanquam ſi cum fine conferatur principium, pro nihilo eſſe videbitur rei principium cum fine comparatum. Quam enim habent æqualitatem homo, & quod ad procreandum animal deijcitur? Sed tamen niſi illud ſit, hoc non fiet. Ita etiam quod in magna fit reſurrectione, cùm ſit maius natura, hinc habet initia & cauſas. Non poteſt enim fieri vt illud fiat, niſi hoc præceſſerit. Dico autem fieri non poſſe vt homo ſit in reſurrectione abſque lauachri regeneratione, non aſpiciens ad maſſæ noſtræ refictionem & reformationem. Ad hoc enim omnino oportet deuenire naturam, propria neceſſitate compulſam ex præſcripto diſpenſationis eius qui ordinauit, ſiue lauachri gratiam aſſumpſerit, ſiue initiationis huiuſmodi expers manſerit, ſed reſtitutionem beatitudinis, diuinitatis & ab omni mœrore immunitatis.

Non enim quæcumque per reſurrectionem reditum accipiunt ad eſſentiam, ad eandem vitam redeunt. Sed multum intereſt inter eos qui ſunt expurgati, & eos qui indigent expurgatione. In quibus enim in hac vita præceſſit per lauachrum expurgatio,

A καὶ ἐν αὐτῷ γενέσθαι, καὶ ἐξ αὐτοῦ πάλιν ἀναδῦναι, κατὰ τὸν αὐτὸν τρόπον ἐπ' ἐξουσίας ἦν ὁ τοῦ παντὸς ἔχων τὴν δεσποτείαν, ὡς ἡμεῖς ἐν τῷ ὕδατι, οὕτως ἐκεῖνος ἐν τῷ θανάτῳ καταδυεὶς, πάλιν ἐπὶ τὴν ἰδίαν ἀναλύειν μακαριότητα. εἰ οὖν τις πρὸς τὸ εἰκὸς βλέποι, καὶ κατὰ τὴν ἑκατέρου δύναμιν τὰ γινόμενα κρίνοι, οὐδεμίαν ἐν τοῖς γινομένοις εὑρήσει διαφωνίαν ἑκατέρου, κατὰ τὸ τῆς φύσεως μέτρον ἐξεργασαμένου τὰ κατὰ δύναμιν. ὡς γὰρ ἔστιν ἀνθρώπῳ τὸ ὕδωρ πρὸς τὸ ἀκινδύνως ἐπιψαύειν, εἰ βούλοιτο, ἀπειροπλασίως

B τῇ θείᾳ δυνάμει κατ' εὐκολίαν θάνατος πρόκειται, καὶ ἐν αὐτῷ γενέσθαι, καὶ μὴ τραπῆναι πρὸς πάθος. διὰ τοῦτο τοίνυν ἀναγκαῖον ἡμῖν τὸ ἐν τῷ ὕδατι προμελετῆσαι τὴν τῆς ἀναστάσεως χάριν, ὡς ἂν εἰδείημεν, ὅτι τὸ ἴσον ἡμῖν εἰς εὐκολίαν ἐστὶν, ὕδατί τε βαπτισθῆναι, καὶ ἐκ τοῦ θανάτου πάλιν ἀναδῦναι. ἀλλ' ὥσπερ ἐν τοῖς κατὰ τὸν βίον γινομένοις ἐνίων ἐστὶν ἀρχηγικώτερα, ὧν ἄνευ οὐκ ἂν τὸ γινόμενον κατορθωθείη, καί τοι εἰ πρὸς τὸ πέρας ἡ ἀρχὴ κρίνοιτο, ἀντ' οὐδενὸς εἶναι δόξει τοῦ πράγματος ἡ ἀρχὴ συγκρινομένη τῷ τέλει.

C τί γὰρ ἴσον ἄνθρωπος, καὶ τὸ πρὸς τὴν σύστασιν τοῦ ζώου καταβαλλόμενον; ἀλλ' ὅμως εἰ μὴ ἐκεῖνο εἴη, οὐδ' ἂν τοῦτο γένοιτο. οὕτως καὶ τὸ κατὰ τὴν μεγάλην ἀνάστασιν μεῖζον ὂν τῇ φύσει, τὰς ἀρχὰς ἐντεῦθεν καὶ τὰς αἰτίας ἔχει. οὐ γὰρ ἔστι δυνατὸν ἐκεῖνο γενέσθαι, εἰ μὴ τοῦτο προκαθηγήσαιτο. μὴ δύνασθαι δέ φημι δίχα τῆς κατὰ τὸ λουτρὸν ἀναγεννήσεως ἐν ἀναστάσει γενέσθαι τὸν ἄνθρωπον, οὐ πρὸς τὴν τοῦ συγκρίματος ἡμῶν ἀνάπλασίν τε

D καὶ ἀναστοιχείωσιν ἀναβλέποντες. πρὸς τοῦτο γὰρ δεῖ πάντως προελθεῖν τὴν φύσιν οἰκείαις ἀνάγκαις κατὰ τὴν τοῦ τάξαντος οἰκονομίαν συνωθουμένην, κἂν προσλάβῃ τὴν ἐκ τοῦ λουτροῦ χάριν, κἂν ἄμοιρος μείνῃ τῆς τοιαύτης μυήσεως, ἀλλὰ τὴν ἐπὶ τὸ μακάριόν τε καὶ θεῖον καὶ πάσης κατηφείας κεχωρισμένον ἀποκατάστασιν. οὐ γὰρ ὅσα διὰ ἀναστάσεως τὴν ἐπὶ τὸ εἶναι πάλιν ἐπάνοδον δέχεται, πρὸς τὸν αὐτὸν ἐπάνεισι βίον. ἀλλὰ πολὺ τὸ μέσον τῶν τε κεκαθαρμένων, καὶ τῶν τοῦ καθαρσίου προσδεομένων ἐστίν. ἐφ' ὧν γὰρ κατὰ τὸν βίον τοῦτον

ἡ διὰ τοῦ λουτροῦ προκαθηγήσατο κάθαρσις, A πρὸς τὸ συγγενὲς τούτοις ἀναχώρησις ἔσται. τῷ δὲ καθαρῷ τὸ ἀπαθὲς προσῳκείωται. ἐν δὲ τῇ ἀπαθείᾳ τὸ μακάριον εἶναι οὐκ ἀμφιβάλλεται. οἷς δὲ προσεπωρώθη τὰ πάθη, καὶ οὐδὲν προσήχθη τῆς κηλῖδος καθάρσιον· οὐχ ὕδωρ μυστικὸν, οὐκ ἐπίκλησις θείας δυνάμεως, οὐχ ἡ ἐκ μεταμελείας ὄρθωσις· ἀνάγκη πᾶσα, καὶ τούτους ἐν τῷ καταλλήλῳ γενέσθαι. κατάλληλον δὲ τῷ κεκιβδηλευμένῳ χρυσίῳ τὸ χωνευτήριον, ὡς τῆς ἐμμιχθείσης αὐτοῖς κακίας ἀποτακείσης, B μακροῖς ὕστερον αἰῶσι καθαρὰν ἀποσωθῆναι τῷ Θεῷ τὴν φύσιν. ἐπεὶ οὖν ῥυπτική τίς ἐστι δύναμις ἐν τῷ πυρὶ καὶ τῷ ὕδατι, οἱ διὰ τοῦ ὕδατος τοῦ μυστικοῦ τὸν τῆς κακίας ῥύπον ἀποκλυσάμενοι, τοῦ ἑτέρου τῆς καθαρσίου εἴδους οὐκ ἐπιδέονται. οἱ δὲ ταύτης ἀμύητοι τῆς καθάρσεως, ἀναγκαίως τῷ πυρὶ καθαρίζονται.

iis erit reditus ad id quod eſt ſibi cognatum. Ei autem quod eſt purum & mundum, proprium eſt & familiaritate coniunctum impatibile. Quin autem in impatibilitate ſit beatum eſſe, minimè dubitatur. Quibus autem induratæ occalluerunt affectiones, neque ſordium & macularum vlla fuit adhibita purgatio, non aqua myſtica, non diuinæ virtutis inuocatio, non inconcinnæ prauitatis correctio: neceſſe eſt vt ij quoque ſint in eo quod eis conuenit. Manifeſtum eſt autem auro adulterino confuſóque & non ſincero conuenire fornacem, vt cùm eis miſtum vitium fuerit liquefactum, longis poſtea ſeculis Deo pura conſeruetur natura. Quoniam ergo in aqua & igne eſt vis quædam abſtergendi & mundandi, qui per aquam myſticam vitij ſordes abluerunt, non opus habent altero genere purgationis. Qui autem non fuerint initiati myſterio huius purgationis, igne purgantur neceſſariò.

ΚΕΦΑΛΑΙΟΝ λϛʹ.

Μὴ γὰρ εἶναι δυνατὸν ὅ τε κοινὸς δείκνυσι λόγος, καὶ ἡ τῶν γραφῶν διδασκαλία, C ἐντὸς τοῦ θείου γενέσθαι χοροῦ τὸν μὴ καθαρὰς πάσας τὰς ἐκ κακίας κηλῖδας ἀπορρυψάμενον. τοῦτο ἐστὶν ὃ μικρὸν ὂν, καθ' ἑαυτὸ μεγάλων ἀγαθῶν ἀρχή τε καὶ ὑπόθεσις γίνεται. μικρὸν δὲ φημὶ τῇ εὐκολίᾳ τοῦ κατορθώματος. τίς γὰρ πρόσεστι πόνος τῷ πράγματι πιστεῦσαι πανταχοῦ τὸν Θεὸν εἶναι· ἐν πᾶσι δὲ ὄντα, παρεῖναι καὶ τοῖς ἐπικαλουμένοις, τὴν ζωτικὴν αὐτοῦ δύναμιν, παρόντα δὲ τὸ οἰκεῖον ποιεῖν; ἴδιον δὲ τῆς θείας ἐνεργείας, ἡ τῶν δεο- D μένων ἐστὶ σωτηρία. αὕτη δὲ διὰ τῆς ἐν ὕδατι καθάρσεως ἐνεργὸς γίνεται. ὁ δὲ καθαρισθεὶς ἐν μετουσίᾳ τῆς καθαρότητος ἔσται. τὸ δὲ ἀληθῶς καθαρὸν ἡ θεότης ἐστί. ὁρᾷς ὅπως μικρόν τι τὸ κατὰ τὴν ἀρχήν ἐστι καὶ εὐκατόρθωτον, πίστις καὶ ὕδωρ· ἡ μὲν ἐντὸς τῆς προαιρέσεως ἡμῶν ἀποκειμένη· τὸ δὲ συνέντροφον τῇ ἀνθρωπίνῃ ζωῇ. ἀλλὰ τὸ ἐκ τούτων ἀναφυόμενον ἀγαθὸν ὅσον καὶ οἷον, ὡς πρὸς αὐτὸ τὸ θεῖον ἔχειν τὴν οἰκειότητα;

CAPVT XXXVI.

Nam & communis ratio, & ſcripturarum oſtendit doctrina, diuinum chorum non poſſe ingredi, qui omnes ex vitio contractas ſordes ac maculas non eluerit. Hoc illud eſt, quod cum ſit ex ſe paruum, magnorum eſt bonorum initium & fundamentum. Paruum autem dico, ob rectè agendi facilitatem. Quis enim eſt hac in re labor, credere Deum eſſe vbique: cùm autem ſit in omnibus, adeſſe etiam inuocantibus vitalem eius virtutem, præſentem autem facere id quod eſt ſibi proprium & conueniens? Diuinæ autem operationis eſt propria ſalus eorum qui indigent. Ipſa autem fit efficax & ad opus deducitur per eam quę in aqua fit expurgationem. Qui eſt autem expurgatus, erit particeps puritatis. Quod autem verè purum eſt, eſt diuinitas. Vides quàm ſit paruum, & quàm facilè rectè fieri poteſt, id quod eſt in principio, nempe fides & aqua. Illa quidem ſita in arbitrio liberæ noſtræ electionis. Hæc verò quæ ſimul cum vita noſtra alitur. Sed quod ex his bonum oritur, quantum eſt & quale, vt cum ipſo Deo homo familiaritatem habeat & coniunctionem?

Qui diuinũ chorum voluerit ingredi, omnes vitiorũ ſordes ſunt ei baptiſmo expurgãdæ.

A

CAPVT XXXVII.

Anima cū Deo cōtemperata per fidem hinc ſalutis habet occaſionem.

SED quoniam homo eſt duplex, vt qui ſit compoſitus ac contemperatus ex anima & corpore, neceſſe eſt vt qui ſeruantur, per vtrumque attingant eum qui ducit ad vitam. Ergo anima quidem cum ipſo contemperata per fidem, hinc ſalutis habet occaſionem. Nam vnio cum vita, vitæ habet ſocietatem. Corpus autem alio modo venit ad participationem & contemperationem eius quod dat ſalutem. Quomodo enim qui venenum ſumpſerunt dolo & ex inſidiis, alio medicamento extinguũt vim quæ affert interitum. Oportet autem ſicut exitiale, ita etiam ſalutare medicamentum admitti intra viſcera hominis, vt per illa diſtribuatur in vniuerſum corpus virtus eius quod fert opem. Ita cùm id guſtauerimus quod noſtram diſſoluit naturam, ruſus neceſſe eſt vt opus habeamus eo quod cogit ac conciliat id quod erat diſſolutum: vt cùm intra nos fuerit hoc ſalutare medicamentum, veneni damnum, quod corpori fuerat inditum, per contrariam repellat affectionem. Quid hoc ergo eſt? Nihil aliud quàm illud corpus, quod & morte oſtenſum fuit eſſe potentius, & noſtræ vitæ fuit initium. 1. Cor. 5. Quomodo enim parum fermenti, vt dicit Apoſtolus, ſibi aſſimilat totam conſperſionem, ita corpus à Deo morte affectum cùm fuerit intra noſtrum, totum ad ſe tranſmutat & transfert. Quomodo enim cùm quod eſt exitiale, miſtum fuerit cum ſano, quidquid eſt contemperatum, ſimul redditur inutile: ita etiam corpus immortale cùm fuerit intra eum qui ſumpſit, vniuerſum quoque tranſmutat in ſuam naturam. Sed fieri non poteſt vt ſit aliquid aliter intra corpus, niſi per eſum & potionem miſceatur viſceribus. Neceſſe eſt ergo, eo modo quo natura poteſt, ſpiritus viuificam ſuſcipere virtutem. Cùm autem ſolum illud corpus quod Deum ſuſcepit, hanc gratiam acceperit, oſtenſum ſit autem aliter fieri non poſſe, vt noſtrum corpus ſit in immortalitate, niſi per communionem cum immortali factum ſit particeps incorruptionis: oportet conſiderare, quomodo fieri potuerit, vt vnum illud cor-

ΚΕΦΑΛΑΙΟΝ λζ'.

ἈΛΛ' ἐπειδὴ διπλοῦν τὸ ἀνθρώπινον, ψυχῇ τε καὶ σώματι συγκεκραμένον, ἀνάγκη τὸν πρὸς τὴν ζωὴν καθηγούμενον, δι' ἀμφοτέρων τοὺς σωζομένους ἐφάπτεσθαι. οὐκοῦν ἡ ψυχὴ μὲν διὰ πίστεως πρὸς αὐτὸν ἀνακραθεῖσα τὰς ἀφορμὰς ἐντεῦθεν τῆς σωτηρίας ἔχει. ἡ γὰρ πρὸς τὴν ζωὴν ἕνωσις, τὴν τῆς ζωῆς κοινωνίαν ἔχει· τὸ δὲ σῶμα ἕτερον τρόπον ἐν μετουσίᾳ τε καὶ ἀνακράσει τοῦ σώζοντος γίνεται. ὥσπερ
B γὰρ οἱ δηλητήριον δι' ἐπιβουλῆς λαβόντες, ἄλλῳ φαρμάκῳ τὴν φθοροποιὸν δύναμιν ἔσβεσαν· χρὴ δὲ καθ' ὁμοιότητα τοῦ ὀλεθρίου καὶ τὸ ἀλεξιτήριον ἐντὸς τῶν ἀνθρωπίνων γενέσθαι σπλάγχνων, ὡς ἂν δι' ἐκείνων ἐφ' ἅπαν καταμερισθείη τὸ σῶμα ἡ τοῦ βοηθοῦντος δύναμις. οὕτω τοῦ διαλύοντος τὴν φύσιν ἡμῶν ἀπογευσάμενοι, πάλιν ἀναγκαῖον ὡς καὶ τοῦ συνάγοντος τὸ διαλελυμένον ἐπιδεηθῆναι· ὡς ἂν ἐν ἡμῖν γενόμενον τὸ τοιοῦτον ἀλεξιτήριον τὴν προεντεθεῖσαν τῷ σώματι τοῦ δηλητηρίου βλάβην διὰ τῆς οἰκείας ἀντιπαθείας ἀπώσοιτο. τί οὖν ἐστὶ
C τοῦτο; οὐδὲν ἕτερον ἢ ἐκεῖνο τὸ σῶμα, ὃ τοῦ τε θανάτου κρεῖττον ἐδείχθη, καὶ τῆς ζωῆς ἡμῶν κατήρξατο. καθάπερ γὰρ μικρὰ ζύμη, καθώς φησιν ὁ ἀπόστολος, ὅλον τὸ φύραμα πρὸς ἑαυτὴν συνεξομοιοῖ, οὕτως τὸ θανατωθὲν ὑπὸ τοῦ Θεοῦ σῶμα ἐν τῷ ἡμετέρῳ γενόμενον, ὅλον πρὸς ἑαυτὸ μεταποιεῖ καὶ μετατίθησιν. ὡς γὰρ τοῦ φθοροποιοῦ πρὸς τὸ ὑγιαῖνον ἀναμιχθέντος, ἅπαν τὸ ἀνακραθὲν συνηχρειώθη· οὕτως καὶ τὸ ἀθάνατον σῶμα ἐν τῷ ἀναλαβόντι αὐτὸ γενόμενον, πρὸς τὴν ἑαυτοῦ φύσιν, καὶ τὸ πᾶν μετεποίησεν. ἀλλὰ μὴν οὐκ ἔστιν
D ἄλλως ἐντός τι γενέσθαι τοῦ σώματος, μὴ διὰ βρώσεως καὶ πόσεως τοῖς σπλάγχνοις καταμιγνύμενον. οὐκοῦν ἐπάναγκες κατὰ τὸ δυνατὸν τῇ φύσει τρόπον τὴν ζωοποιὸν δύναμιν τοῦ πνεύματος δέξασθαι. μόνου δὲ τοῦ θεοδόχου σώματος ἐκείνου ταύτην δεξαμένου τὴν χάριν, ἄλλως δὲ δειχθέντος μὴ εἶναι δυνατὸν ἐν ἀθανασίᾳ γενέσθαι τὸ ἡμέτερον σῶμα, εἰ μὴ διὰ τῆς πρὸς τὸ ἀθάνατον κοινωνίας ἐν μετουσίᾳ τῆς ἀφθαρσίας γενόμενον· σκέψασθαι προσήκει, πῶς ἐγένετο δυνατὸν τὸ ἓν ἐκεῖνο σῶμα τοῖς

τοσαύταις τῶν πιστῶν μυριάσι κατὰ πᾶσαν τὴν οἰκουμένην εἰσαεὶ καταμεριζόμενον, ὅλον ἐν ἑκάστῳ διὰ τοῦ μέρους γίνεσθαι, καὶ αὐτὸ μένειν ἐφ᾽ ἑαυτοῦ ὅλον. Οὐκοῦν ὡς ἂν πρὸς τὸ ἀκόλουθον ἡμῖν ἡ πίστις βλέπουσα, μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ προκειμένου νοήματος ἔχοι, μικρὸν ἂν προσήκει παρασχολῆσαι τὸν λόγον εἰς τὴν φυσιολογίαν τοῦ σώματος. τίς γὰρ οὐκ οἶδεν ὅτι ἡ τοῦ σώματος ἡμῶν φύσις αὐτὴ καθ᾽ ἑαυτὴν ἐν ἰδίᾳ τινὶ ὑποστάσει ζωὴν οὐκ ἔχει· ἀλλὰ διὰ τῆς ἐπιρρεούσης αὐτῇ δυνάμεως συνέχει τε ἑαυτὴν καὶ ἐν τῷ εἶναι μένει, ἀπαύστῳ κινήσει τό τε λεῖπον πρὸς ἑαυτὴν ἐφελκομένη, καὶ τὸ περιττεῦον ἀπωθουμένη. καὶ ὥσπερ τις ἀσκὸς ὑγροῦ τινὸς πλήρης ὤν, εἰ κατὰ τὸν πυθμένα τὸ ἐγκείμενον ὑπεξίοι, οὐκ ἂν φυλάσσοι τὸ περὶ τὸν ὄγκον ἑαυτοῦ σχῆμα, μὴ ἀντεισιόντος ἄνωθεν ἑτέρου πρὸς τὸ κενούμενον· ὥστε τὸν ὁρῶντα τὴν ὀγκώδη τοῦ ἀγγείου τούτου περιοχήν, εἰδέναι μὴ ἰδίαν εἶναι τοῦ φαινομένου· ἀλλὰ τὸ εἰσρέον ἐν αὐτῷ γινόμενον σχηματίζειν τὸ περιέχον τὸν ὄγκον. οὕτω καὶ ἡ τοῦ σώματος ἡμῶν κατασκευὴ ἴδιον μὲν πρὸς τὴν ἑαυτῆς σύστασιν οὐδὲν ἡμῖν γνώριμον ἔχει, διὰ δὲ τῆς ἐπεισαγομένης δυνάμεως, ἐν τῷ εἶναι μένει. ἡ δὲ δύναμις αὕτη τροφὴ καὶ ἐστὶ καὶ λέγεται. ἔτι δὲ οὐχ ἡ αὐτὴ πᾶσι τοῖς τρεφομένοις σώμασιν, ἀλλά τις ἑκάστῳ κατάλληλος παρὰ τοῦ τὴν φύσιν οἰκονομοῦντος ἀποκεκλήρωται. τὰ μὲν γὰρ τῶν ζώων ῥιζορυχοῦντα τρέφεται· ἑτέροις ἐστὶν ἡ πόα τρόφιμος· τινῶν δὲ ἡ τροφὴ σάρκες εἰσίν. ἀνθρώπῳ δὲ κατὰ τὸ προηγούμενον ἄρτος, καὶ εἰς τὴν τοῦ ὑγροῦ διαμονὴν καὶ συντήρησιν ποτὸν γίνεται, οὐκ αὐτὸ μόνον τὸ ὕδωρ, ἀλλ᾽ οἴνῳ πολλάκις ἐφηδυνόμενον, πρὸς τὴν τοῦ θερμοῦ τοῦ ἐν ἡμῖν συμμαχίαν. οὐκοῦν ὁ πρὸς ταῦτα βλέπων, δυνάμει πρὸς τὸν ὄγκον τοῦ ἡμετέρου σώματος βλέπει. ἐν ἐμοὶ γὰρ ἐκεῖνα γενόμενα αἷμα καὶ σῶμα γίνεται καταλλήλως, διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως πρὸς τὸ τοῦ σώματος εἶδος τῆς τροφῆς καθισταμένης. τούτων ἡμῖν τοῦτον διευκρινηθέντων τὸν τρόπον, ἐπανακτέον πάλιν πρὸς τὰ προκείμενα τὴν διάνοιαν. ἐζητεῖτο γάρ, πῶς τὸ ἐν ἐκείνῳ σῶμα τοῦ Χριστοῦ, πᾶσαν ζωοποιεῖ τὴν τῶν ἀνθρώπων φύσιν, ἐν ὅσοις ἡ πίστις ἐστί, πρὸς πάντας μεριζόμενον, καὶ

A pus, quod tam multis fidelium millibus in vniuerſo orbe terrarum ſemper diſtribuitur, totum per partem ſit in vnoquoque, & ipſum in ſe totum maneat. Vt ergo fides ad id quod eſt conſequens aſpiciens, de ſenſu propoſito nullam habeat dubitationem, oportet noſtram orationem pauliſper immorari in naturali corporis conſideratione. Quis enim neſcit quòd noſtri corporis natura, ipſa per ſe non habet vitam in quadam propria corporis ſubſtantia: ſed per quandam affluentem ei virtutem, & ſeipſam continet, & B manet in eſſentia, perpetua motione ad ſe attrahens id quod deeſt, & repellens id quod eſt ſuperuacaneum. Et quomodo vter aliquis aliquo humore plenus, ſi in fundo exeat id quod in eo eſt poſitum, in magnitudine ſuam non ſeruauerit figuram, niſi supernè pro eo quod exiit ingrediatur aliud ad id quod exinanitur: adeò vt qui videt magnitudine diſtentum huius vaſis ambitum, ſciat eum non eſſe proprium eius quod apparet: ſed id quod influit, cùm in eo fuerit, figurare id quod continet magnitudinem. Ita etiam corporis noſtri C conſtructio, nihil quidem habet proprium nobis cognitum ad ſui conſtitutionem, per eam autem quæ intromittitur virtutem manet in eſſentia. Ea autem virtus alimentum & eſt, & dicitur. Prætereà autem non idem omnibus quæ aluntur corporibus, ſed quoddam vnicuique congruens attributum eſt ab eo qui naturam diſpenſat & adminiſtrat. Nam alia quidem animalia aluntur effoſſis radicibus: alia autem aluntur herbis: aliquorum autem nutrimentum ſunt carnes. Homini autem præcipuè eſt panis, & ad humoris perdurationem & conſeruationem potus, D non ipſa ſola aqua, ſed vino ſæpe condita, ad opem ferendum interno noſtro calori. Qui ergo ad ea aſpicit, poteſtate aſpicit ad corporis noſtri magnitudinẽ. Nam cum illa in me fuerint, fiunt ſanguis & corpus, nutrimento per [illegible]terandi congruẽter redacto ad [illegible]am corporis. His à nobis hoc modo diſtinctis ac declaratis, ad ea quæ ſunt propoſita, reuocanda eſt cogitatio. Quærebatur enim quemadmodum quod eſt in illo corpus Chriſti, viuificat omnem hominum naturam, in quibus eſt fides, omnibus diſtributum, & ipſum mi-

nimè diminutum. Fortaſſe ergo non A
procul abſumus à probabili ratione.
Nam ſi cuiuſuis corporis ſubſiſtentia
nutrimento, nimirum cibo & potu
conſtet. ſit autem cibus ille panis, po-
túſque aqua vino exhilarata: Dei au-
tem Verbum, ſicut prius eſt definitum,
quod eſt Deus & Verbum, humana eſt
natura contemperatum, & cùm eſſet in
noſtro corpore, non aliquam aliam hu-
manæ naturæ innouauit conſtitutio-
nem: ſed per ea quæ ſunt conſueta &
congruentia, ſuo corpori dedit perman-
ſionem, cibo & potu continens ſub-
ſtantiam. Cibus autem erat panis. Quo- B
modo ergo in nobis, ſicut iam ſæpe di-
ctum eſt, qui panem vidit, humanum
corpus videt quodammodo, quòd cum
ille in eo fuerit, hoc fit: ita illic quo-
que quod Deum ſuſcepit corpus, cùm
panis alimentum accepiſſet, quadam
ratione idem erat quod ille, alimento,
vt dictum eſt, tranſeunte in naturam
corporis. Nam quod eſt omnium pro-
prium, id quoque pro certo & con-
ſtanti eſt in illa carne, nempe quòd il-
lud quoque corpus pane continebatur.
Corpus, autem, Dei Verbi inhabita- C
tione ad diuinam tranſmutatum eſt di-
gnitatem. Rectè ergo nunc quoque
Dei Verbo ſanctificatum panem in Dei
Verbi corpus credo trāſmutari. Etenim
panis erat poteſtate illud corpus. Fuit
autem ſanctificatus habitatione Verbi,
quod tanquam in tabernaculo habita-
uit in carne. Igitur vnde in illo corpore
tranſmutatus panis, tranſit in diuinam
virtutem, per idem nunc fit ſimiliter.
1.Tim.4. Nam & illic verbi gratia ſanctum fecit
corpus, cui ex pane erat ſubſtantia, &
quodammodo ipſum quoque erat pa-
nis: & hic ſimiliter panis, ſicut dicit D
Matth.26. Apoſtolus, ſanctificatur per Verbum
Marc.14. Dei & orationem, nō eo quidem quod
Luc.22. cibo mediante in Verbi corpus eua-
dat, ſed quod ſtatim per Verbum in
corpus tranſmutetur, ſicut dictum eſt
à Verbo, Hoc eſt corpus meum. Cùm
autem omnis caro alatur etiam per hu-
morem, neque enim niſi cum eo con-
iungatur, id quod eſt in nobis terreſtre,
in vita permanſerit. Quomodo autem
per durum & ſolidum alimentum ſo-
liditatem corporis fulcimus ac ſtabili-
mus: eodem modo etiam humori ad-
iungimus acceſſionem ex natura eiuſ-
dem generis. Qui quidem cùm fuerit

A αὐτὸ οὐ μειούμενον. τάχα τοίνυν ἐγγὺς τοῦ εἰκότος λόγου γινόμεθα. Εἰ γὰρ παντὸς σώματος ἡ ὑπόστασις ἐκ τῆς τροφῆς γίνεται, αὕτη δὲ βρῶσις καὶ πόσις ἐστίν· ἔστι δὲ ἐν τῇ βρώσει ἄρτος, ἐν δὲ τῇ πόσει τὸ ὕδωρ ἐφηδυσμένον τῷ οἴνῳ· ὁ δὲ τοῦ Θεοῦ λόγος, καθὼς ἐν τοῖς προτέροις διήρηται, ὁ καὶ Θεὸς ὢν καὶ λόγος, τῇ ἀνθρωπίνῃ συνεκράθη φύσει, καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ γενόμενος, οὐκ ἄλλην τινὰ παρεκαινοτόμησε τῇ ἀνθρωπίνῃ φύσει τὴν σύστασιν· ἀλλὰ διὰ τῶν συνήθων τε καὶ καταλλήλων ἔδωκε τῷ καθ᾽ ἑαυτὸν σώματι τὴν διαμονήν, βρώσει καὶ πόσει περικρατῶν τὴν ὑπόστασιν. B ἡ δὲ βρῶσις ἄρτος ἦν. ὥσπερ τοίνυν ἐφ᾽ ἡμῶν, καθὼς ἤδη πολλάκις εἴρηται, ὁ τὸν ἄρτον ἰδών, τρόπον τινὰ τὸ ἀνθρώπινον βλέπει σῶμα, ὅτι ἐν τούτῳ ἐκεῖνο γινόμενον, τοῦτο γίνεται· οὕτω κἀκεῖ τὸ θεοδόχον σῶμα τὴν τροφὴν τοῦ ἄρτου παραδεξάμενον, λόγῳ τινὶ ταὐτὸν ἦν ἐκείνῳ, τῆς τροφῆς, καθὼς εἴρηται, πρὸς τὴν τοῦ σώματος φύσιν μεθισταμένης. τὸ γὰρ πάντων ἴδιον, καὶ ἐπ᾽ ἐκείνης τῆς σαρκὸς ὡμολογήθη, ὅτι ἄρτῳ κἀκεῖνο τὸ σῶμα διεκρατεῖτο. τὸ δὲ σῶμα τῇ ἐνοικήσει C τοῦ Θεοῦ λόγου πρὸς τὴν θεϊκὴν ἀξίαν μετεποιήθη. καλῶς οὖν καὶ νῦν τὸν τῷ λόγῳ τοῦ Θεοῦ ἁγιαζόμενον ἄρτον εἰς σῶμα τοῦ Θεοῦ λόγου μεταποιεῖσθαι πιστεύομεν. καὶ γὰρ ἐκεῖνο τὸ σῶμα, ἄρτος τῇ δυνάμει ἦν. ἡγιάσθη δὲ τῇ ἐπισκηνώσει τοῦ λόγου τοῦ σκηνώσαντος ἐν τῇ σαρκί. οὐκοῦν ὅθεν ὁ ἐν ἐκείνῳ τῷ σώματι μεταποιηθεὶς ἄρτος, εἰς θείαν μετέστη δύναμιν, διὰ τοῦ αὐτοῦ καὶ νῦν τὸ ἴσον γίνεται. ἐκεῖ τε γὰρ ἡ τοῦ λόγου χάρις, ἅγιον ἐποίει τὸ σῶμα, ᾧ ἐκ τοῦ ἄρτου ἡ σύστασις ἦν, καὶ τρόπον τινὰ καὶ αὐτὸ D ἄρτος ἦν· ἐνταῦθά τε ὡσαύτως ὁ ἄρτος, καθώς φησιν ὁ ἀπόστολος, ἁγιάζεται διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως, οὐ διὰ βρώσεως καὶ πόσεως προϊὼν εἰς τὸ σῶμα τοῦ λόγου, ἀλλ᾽ εὐθὺς πρὸς τὸ σῶμα τοῦ λόγου μεταποιούμενος, καθὼς εἴρηται ὑπὸ τοῦ λόγου, ὅτι τοῦτό ἐστι τὸ σῶμά μου. πάσης δὲ σαρκὸς καὶ διὰ τοῦ ὑγροῦ τρεφομένης, οὐ γὰρ ἂν δίχα τῆς πρὸς τοῦτο συζυγίας τὸ ἐν ἡμῖν γεῶδες ἐν τῷ ζῆν διαμένοι. ὥσπερ διὰ τῆς στεῤῥᾶς καὶ ἀντιτύπου τροφῆς τὸ στεῤῥὸν τοῦ σώματος ὑποστηρίζομεν· τὸν αὐτὸν τρόπον καὶ τῷ ὑγρῷ τὴν προσθήκην ἐκ τῆς ὁμογενοῦς ποιούμεθα φύσεως. ὅπερ ἐν ἡμῖν γινόμενον,

διὰ τῆς ἀλλοιωτικῆς δυνάμεως ἐξαιματοῦται, καὶ μάλιστά γε εἰ διὰ τοῦ οἴνου λάβοι τὴν δύναμιν πρὸς τὴν εἰς τὸ θερμὸν μεταποίησιν. ἐπεὶ οὖν καὶ τοῦτο μέρος ἡ θεοδόχος ἐκείνη σὰρξ πρὸς τὴν σύστασιν ἑαυτῆς παρεδέξατο· ὁ δὲ φανερωθεὶς λόγος διὰ τοῦτο κατέμιξεν ἑαυτὸν τῇ ἐπικήρῳ τῶν ἀνθρώπων φύσει, ἵνα τῇ τῆς θεότητος κοινωνίᾳ συναποθεωρηθῇ τὸ ἀνθρώπινον· τούτου χάριν πᾶσι τοῖς πεπιστευκόσι τῇ οἰκονομίᾳ τῆς χάριτος, ἑαυτὸν ἐνσπείρει διὰ τῆς σαρκός, οἷς ἡ σύστασις ἐξ οἴνου τε καὶ ἄρτου ἐστὶ τοῖς σώμασι τῶν πεπιστευκότων κατακιρνάμενος, ὡς ἂν τῇ πρὸς τὸ ἀθάνατον ἑνώσει, καὶ ἄνθρωπος τῆς ἀφθαρσίας μέτοχος γένοιτο. ταῦτα δὲ δίδωσι τῇ τῆς εὐλογίας δυνάμει πρὸς ἐκεῖνο μεταστοιχειώσας τῶν φαινομένων τὴν φύσιν.

A in nobis, per alterandi facultatem ſic ſanguis, & maximè ſi per vinum acceperit virtutem tranſmutādi in calidum. Quoniam ergo hanc quoque partem accepit caro illa Dei ſuſceptrix ad Dei conſtitutionem: manifeſtatum autem Verbum propterea ſe admiſcuit interitui obnoxiæ hominum naturæ, vt communione diuinitatis ſimul etiam deificetur humanitas: ea de cauſa per ſuæ gratiæ diſpenſationem ſe per carnem inſerit omnibus credentibus, commiſtus & contemperatus corporibus credentium, quibus ſubſtantia eſt ex pane
B & vino, vt vnione cum eo quod eſt immortale, ſit etiam homo particeps incorruptionis. Hæc autem dat, virtute benedictionis, in illud tranſelementata eorum quæ apparent natura.

ΚΕΦΑΛΑΙΟΝ λη'.

ΟΥΔΕΝ οἶμαι τοῖς εἰρημένοις ἐνδεῖν τῶν περὶ τοῦ μυστηρίου ζητουμένων, πλὴν τοῦ κατὰ τὴν πίστιν λόγου, ὃν δι' ὀλίγου μὲν καὶ ἐπὶ τῆς παρούσης ἐκθησόμεθα πραγματείας. τοῖς δὲ τὸν τελειότερον ἐπιζητοῦσι λόγον, ἤδη προεξεθέμεθα ἐν ἑτέροις πόνοις, διὰ τῆς δυνατῆς ἡμῖν σπουδῆς ἐν ἀκριβείᾳ τὸν λόγον ἁπλώσαντες. ἐν οἷς πρός τε τοὺς ἐναντίους ἀγωνιστικῶς συνεπλάκημεν, καὶ καθ' ἑαυτοὺς περὶ τῶν προσφερομένων ἡμῖν ζητημάτων ἐπεσκεψάμεθα. τῷ δὲ παρόντι λόγῳ τοσοῦτον εἰπεῖν περὶ τῆς πίστεως καλῶς ἔχειν ᾠήθημεν, ὅσον ἡ τοῦ εὐαγγελίου περιέχει φωνή, τὸ τὸν γεννώμενον κατὰ τὴν πνευματικὴν ἀναγέννησιν, εἰδέναι παρά τινος γεννᾶται, καὶ ποῖον γίνεται ζῶον. μόνον γὰρ τοῦτο τῆς γεννήσεως τὸ εἶδος κατ' ἐξουσίαν ἔχει, ὅπερ ἂν ἕληται τοῦτο γενέσθαι.

CAPVT XXXVIII.

IIS quæ dicta ſunt exiſtimo nihil deeſſe eorum quæ quæruntur de myſterio, præter rationem fidei, quam paucis quidem etiam in hoc præſenti
C libro exponemus. Iis autem qui rationem quærunt perfectiorem, in aliis operibus iam prius expoſuimus, quam maximo potuimus ſtudio re explicata. In quibus & cum aduerſariis decernentes manum conſeruimus: & per nos ipſos conſiderauimus de quæſtionibus quæ nobis objiciuntur. In hoc autem libro exiſtimauimus bene eſſe ſi tantum diceremus de fide, quantum continet vox Euangelij, nempe vt qui ſpirituali gignitur regeneratione, ſciat à quónam gignatur, & quale fiat animal. Solum enim hoc genus generationis habet in poteſtate vt id fiat quod de-
D legerit.

ΚΕΦΑΛΑΙΟΝ λθ'.

ΤΑ μὲν γὰρ λοιπὰ τῶν τικτομένων, τῇ ὁρμῇ τῶν ἀπογεννώντων ὑφίσταται. ὁ δὲ πνευματικὸς τῆς ἐξουσίας ἤρτηται τοῦ τικτομένου. ἐπειδὴ τοίνυν ἐν τούτῳ ἐστὶν ὁ κίνδυνος, ἐν τῷ μὴ διαμαρτεῖν τοῦ συμφέροντος καὶ ἐξουσίας προκειμένης παντὶ τῆς αἱρέσεως, καλῶς ἔχειν φημὶ τὸν πρὸς τὴν γέννησιν τὴν ἰδίαν ὁρμῶντα προδιαγνῶναι τῷ λο-

CAPVT XXXIX.

CÆTERA enim quæ naſcuntur, conſiſtunt ex incitata appetitione eorum qui generant. Partus autem ſpiritualis pendet ex poteſtate eius qui naſcitur. Quoniam ergo in hoc verſatur periculū, ne aberretur ab eo quod eſt conducibile, cùm cuilibet ſit libera propoſita electio, dico rectè habere, vt qui ad propriam incitatur generatio-

Spiritualis partus pendet ex arbitrio eius qui naſcitur.

nem, cogitatione prius diſcernat quis ſibi pater futurus ſit conducibilius, & ex quónam ſit præſtabilius ſibi conſtare naturam. Dictum eſt enim quòd ſit in eius poteſtate eligere genitores. Cùm ergo ea quæ ſunt, diſpertita ſint bifariam, nempe in creatum & increatum, & increata quidem natura ſtabilitatem in ſe habeat & immutabilitatem: ad mutationem autem alteretur creatura: qui conſideratè eligit id quod eſt conducibile, cuiúſnam mallet eſſe filius, eiúſne quæ conſideratur in mutatione, an eius quæ firmam & ſtabilem immutabilémque habet naturam, & in bono ſemper ſimiliter & eodem modo ſe habentem? Quoniam ergo in Euangelio tres ſunt perſonæ & nomina, per quæ iis qui credunt origo fit ac generatio, generatur autem ex æquo

Matth. 28. Marc. 10. Ioan. 3.

qui in Trinitate generatur à Patre & Filio & Spiritu ſancto. Ita enim de ſpiritu dicit Euangelium, quòd id quod eſt generatum ex ſpiritu, eſt ſpiritus,

1. Cor. 4. Phil. 1. Rom. 4.

& Paulus gignit in ſpiritu, & pater omnium eſt pater. Hic mihi ſit ſobria mens auditoris, ne ſe efficiat prolem naturæ inſtabilis, cùm ſtabilem & inalterabilem ſibi liceat ſuæ vitæ principem efficere & auctorem. Nam prout eius qui ad diſpenſationem accedit, cor affectum eſt, id etiam quòd gignitur, vires habet. Quiſquis ergo ſanctam Trinitatem increatam eſſe confitetur, ingreditur vitam immutabilem & inalterabilem: creatam autem aſpiciens naturam in Trinitate falſa exiſtimatione, & deinde in ea baptizatus, ingeneretur rurſus in vita mutabili & quæ alteratur. Nam quod naſcitur, eſt neceſſariò eiuſdem generis, cuius eſt natura eorum quæ generant. Quid ergo fuerit conducibilius, in vitámne ingredi immutabilem, an rurſus fluctuare in vita inſtabili & quæ alteratur? Cùm ergo cuiuis ſit perſpicuum, qui ſit aliqua præditus intelligentia, quòd id quod ſtat non ſtante eſt præſtantius, & eo quod deficit id quod eſt perfectum, & eo quod eget, id quod nõ eget, & eo quod proficiẽdo aſcendit, id quod nõ habet quò progrediatur, ſed ſemper manet in boni perfectione: neceſſe fuerit vt qui ſapit, vnum ex duobus eligat, nempe vt aut increatæ naturæ ſanctam credat eſſe Trinitatem, & ita per ſpiritualem generationem

A γισμῷ, τίς αὐτῷ λυσιτελήσει πατὴρ, καὶ ἐκ τίνος αὐτῷ ἄμεινον συστῆναι τὴν φύσιν. εἴρηται γὰρ ὅτι καὶ ἐξουσίαν τοὺς γεννήτορας ὁ τοιοῦτος αἱρεῖται τόκος. διχῆ τοίνυν τῶν ὄντων μεμερισμένων, εἰς τὸ κτιστὸν καὶ τὸ ἄκτιστον, καὶ τῆς μὲν ἀκτίστου φύσεως τὸ ἄτρεπτόν τε καὶ ἀμετάθετον ἐν ἑαυτῇ κεκτημένης· τῆς δὲ κτίσεως πρὸς τροπὴν ἀλλοιουμένης, ὁ κατὰ λογισμὸν τὸ λυσιτελοῦν προαιρούμενος, τίνος αἱρήσεται μᾶλλον γενέσθαι τέκνον, τῆς ἐν τροπῇ θεωρουμένης, ἢ τῆς ἀμετάστατόν τε καὶ παγίαν, καὶ ἀεὶ ὡσαύτως ἔχουσαν ἐν τῷ ἀγαθῷ κεκτημένης τὴν φύσιν. ἐπεὶ οὖν ἐν τῷ εὐαγγελίῳ τὰ τρία πα-

B ραδέδοται πρόσωπά τε καὶ ὀνόματα, δι' ὧν ἡ γέννησις τοῖς πιστεύουσι γίνεται, γεννᾶται δὲ κατὰ τὸ ἴσον ὁ ἐν τῇ τριάδι γεννώμενος παρὰ τοῦ πατρός τε καὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἁγίου. οὕτω γὰρ φησὶ περὶ τοῦ πνεύματος εὐαγγέλιον, ὅτι τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστι, καὶ ὁ Παῦλος ἐν Χριστῷ γεννᾷ, καὶ ὁ πατὴρ πάντων ἐστὶ πατήρ. ἐνταῦθά μοι νηφέτω τοῦ ἀκροατοῦ ἡ διάνοια, μὴ τῆς ἀστατούσης φύσεως ἑαυτὴν ἔκγονον ποιήσῃ, ἐξὸν τὴν ἄτρεπτόν τε καὶ ἀναλλοίωτον ἀρχηγὸν ποιήσασθαι τῆς ἰδίας. κατὰ γὰρ τὴν διάθεσιν τῆς καρδίας

C τοῦ προσιόντος τῇ οἰκονομίᾳ, καὶ τὸ γινόμενον τὴν δύναμιν ἔχει. ὥστε τὸν μὲν ἄκτιστον ὁμολογοῦντα τὴν ἁγίαν τριάδα, εἰς τὴν ἄτρεπτόν τε καὶ ἀναλλοίωτον εἰσελθεῖν ζωήν, τὴν δὲ κτιστὴν φύσιν ἐν τῇ τριάδι διὰ τῆς ἠπατημένης ὑπολήψεως βλέποντα, ἔπειτα ἐν αὐτῇ βαπτιζόμενον, πάλιν τῷ τρεπτῷ τε καὶ ἀλλοιουμένῳ ἐγγεννηθῆναι βίῳ. τῇ γὰρ τῶν γεννώντων φύσει κατ' ἀνάγκην ὁμογενές ἐστι καὶ τὸ τικτόμενον. τί οὖν ἂν εἴη λυσιτελέστερον, εἰς

D τὴν ἄτρεπτον ζωὴν εἰσελθεῖν, ἢ πάλιν τῷ ἀστατοῦντι καὶ ἀλλοιουμένῳ ἐγκυματοῦσθαι βίῳ; ἐπεὶ οὖν παντὶ δῆλόν ἐστι, ᾧ καὶ ὁπωσοῦν διανοίας μετέχοντι, ὅτι τὸ ἑστὼς τοῦ μὴ ἑστῶτος πολὺ τιμιώτερον, καὶ τοῦ ἐλλειποῦς τὸ τέλειον, καὶ τοῦ δεομένου τὸ μὴ δεόμενον, καὶ τοῦ διὰ προκοπῆς ἀνιόντος τὸ μὴ ἔχον εἰς ὅτι προσέλθῃ, ἀλλ' ἐπὶ τῆς τελειότητος τοῦ ἀγαθοῦ μένον ἀεί, ἐπάναγκες ἂν εἴη ἓν ἐξ ἀμφοτέρων αἱρεῖσθαι τὸν γε νοῦν ἔχοντα, ἢ τῆς ἀκτίστου φύσεως εἶναι πιστεύειν τὴν ἁγίαν τριάδα, καὶ οὕτως ἀρχηγὸν διὰ τῆς

πνευματικῆς γενέσεως ποιήσασθαι τῆς ἰδίας ζωῆς· ἢ εἰ ἔξω τῆς τοῦ πρώτου καὶ ἀληθινοῦ καὶ ἀγαθοῦ Θεοῦ φύσεως, τὸν τοῦ πατρὸς λέγω, νομίζοι εἶναι τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον, μὴ συμπαραλαμβάνων τὴν εἰς ταῦτα πίστιν ἐν τῷ καιρῷ τῆς γενέσεως, μήποτε λάθῃ τῇ ἐλλιπεῖ φύσει καὶ δεομένῃ τοῦ ἀγαθύνοντος ἑαυτὸν εἰσποιῶν, καὶ τρόπον τινὰ πάλιν εἰς τὸ ὁμογενὲς ἑαυτὸν εἰσαγάγῃ, τῆς ὑπερεχούσης φύσεως ἀποστήσας τὴν πίστιν. ὁ γάρ τινι τῶν κτιστῶν ἑαυτὸν ὑποζεύξας, λέληθεν ἑαυτὸν οὐκ εἰς τὸ θεῖον τὴν ἐλπίδα τῆς σωτηρίας ἔχων. πᾶσα γὰρ ἡ κτίσις τῷ κατὰ τὸ ἴσον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προήκειν, οἰκείως πρὸς ἑαυτὴν ἔχει· καὶ ὥσπερ ἐπὶ τῆς τῶν σωμάτων κατασκευῆς πάντα τὰ μέλη πρὸς ἑαυτὰ συμφυῶς ἔχει, κἂν τὰ μὲν ὑποβεβηκότα, τὰ δὲ ὑπερανεστῶτα τύχῃ· οὕτως ἡ κτιστὴ φύσις ἥνωται πρὸς ἑαυτὴν κατὰ τὸν λόγον τῆς κτίσεως, καὶ οὐδὲν ἡ κατὰ τὸ ὑπερέχον καὶ ἐνδέον ἐν ἡμῖν διαφορὰ διΐστησιν αὐτὴν τῆς πρὸς ἑαυτὴν συμφυΐας. ὧν γὰρ ἐπίσης προεπινοεῖται ἡ ἀνυπαρξία, κἂν ἐν τοῖς ἄλλοις τὸ διάφορον ᾖ, οὐδεμίαν κατὰ τὸ μέρος τοῦτο τῆς φύσεως παραλλαγὴν ἐξευρίσκομεν. εἰ οὖν κτιστὸς μὲν ὢν ὁ ἄνθρωπος, κτιστὸν δὲ καὶ τὸ πνεῦμα, καὶ τὸν μονογενῆ Θεὸν εἶναι νομίζοι, μάταιος ἂν εἴη ἀνελπίσει τῆς ἐπὶ τὸ κρεῖττον μεταστάσεως πρὸς ἑαυτὸν ἀναλύων. ὅμοιον γὰρ πάσχει τῇ τοῦ Νικοδήμου ὑπολήψει ἐπὶ τὸ γινόμενον, ὃς περὶ τοῦ δεῖν ἄνωθεν γεννηθῆναι παρὰ τοῦ κυρίου μαθὼν, διὰ τὸ μήπω χωρῆσαι τοῦ μυστηρίου τὸν λόγον, ἐπὶ τὸν μητρῷον κόλπον τοῖς λογισμοῖς κατεσύρετο. ὥστε εἰ μὴ πρὸς ἄκτιστον φύσιν, ἀλλὰ πρὸς τὴν συγγενῆ καὶ ὁμόδουλον κτίσιν ἑαυτὸν ἀπάγοι, τῆς κάτωθεν οὐ τῆς ἄνωθεν ἐστὶ γεννήσεως. φησὶ δὲ τὸ εὐαγγέλιον, ἄνωθεν εἶναι τῶν σωζομένων τὴν γέννησιν.

A eam efficiat principem & auctorem ſuæ vitæ: aut ſi extra primi & veri & boni Dei, Patris, inquam, Filium eſſe exiſtimat, aut Spiritum ſanctum, non ſimul aſſumens eam quæ eſt in hæc fidem in tempore generationis, ne imprudens ſeipſum tradat mancæ defectæque naturæ, & quæ eget eo quod bonum reddit, & ſe quodammodo rurſus reducat ad id quod eſt eiuſdem generis, vt cuius fides defecerit à ſumma & supereminente natura. Qui enim alicui ex rebus creatis ſeipſum ſubiunxit, non animaduertit, ſe in Deo ſpem non ha-
B bere ſalutis. Omnis enim creatura, ex eo quòd ex æquo ab eo quod non eſt procedit ad eſſentiam, ſibi ipſi eſt propria neceſſitudine coniuncta: & quomodo in corporum conſtructione, omnia membra ſunt ſibi inuicem coniuncta naturaliter, etiamſi alia quidem ſunt inferiora, alia verò ſuperiora: ita creata natura ſibi eſt vnita, quod ad rationem attinet creaturæ, nec quæ in eo quod exuperat & deficit eſt in nobis differentia, eam diſiungit, ne ſibi ipſi ſit naturali coniuncta coniunctione. In quibus enim ex æquo cogitatur quòd
C non ſint ac conſiſtant, etiamſi in aliis differant, eorum in hac parte non inuenimus vllam naturæ mutationem. Si ergo homo cum ſit creatus, ſpiritum quoque creatum eſſe, itémque vnigenitum Deum affirmat, is vana ſpe ducetur, quippe qui ſeipſum ab illa in melius reſtitutione alienũ faciat. Idem enim in hac re accidit quod Nicodemus exiſtimabat, qui cum à Domino *Ioan. 3.*
didiciſſet ſupernè naſci oportere, quia nondum myſterij rationem caperet, ad maternum vterum cogitationibus deuoluebatur. Quamobrem ſi non ad increatam naturam, ſed ad cognatam &
D conſeruam creaturam ſe abducat, eſt generationis quæ eſt infernè, non eius quæ eſt deſuper. Dicit autem Euangelium, deſuper eſſe generationem eorum qui ſalui fiunt.

ΚΕΦΑΛΑΙΟΝ μ'.

Ἀλλ' οὔ μοι δοκεῖ μέχρι τῶν εἰρημένων αὐτάρκη τὴν διδασκαλίαν ἡ κατήχησις ἔχειν. δεῖν γάρ, οἶμαι, καὶ τὸ μετὰ τοῦτο σκοπεῖν, ὃ πολλοὶ τῶν προσιόντων τῇ τοῦ βα-

CAPVT XL.

SED mihi non videtur Catecheſis vſque ad ea quæ dicta ſunt doctrinam habere ſufficientem. Oportet enim, opinor, id quoque quod poſtea ſequitur conſiderare, quod multi negligunt ex iis qui accedunt ad gratiam

baptiſmatis, ſeipſos in fraudem inducentes, quòd videantur tantum, & non ſint reuera generati. Nam quæ per regenerationem noſtræ fit vitæ tranſmutatio, non fuerit tranſmutatio, ſi in eo in quo ſumus, permanemus. Nam qui in iiſdem verſatur, non video quemadmodum exiſtimandus ſit factus eſſe alius, in quo nihil eſt mutatum ex iis quibus cognoſcitur. Quòd enim ad renouationem & mutationem noſtræ naturæ ſalutaris aſſumatur generatio, cuiuis eſt perſpicuum. Atqui ipſa humanitas per ſe mutationem non admittit in baptiſmate, neque vis ratiocinandi & intelligendi & ſcientiam percipiendi, neque aliquid aliud ex iis quæ humanam naturam propriè exprimunt, tranſmutatur; eſſet enim mutatio in deterius, ſi quid deleretur ex iis quæ ſunt propria naturæ. Si ergo quæ fit deſuper generatio, reformatio quædam eſt hominis: hæc autem mutationem non admittunt, conſiderandum eſt quánam tandem re mutata regenerationis gratia perficiatur. Malis ſcilicet notis & ſignis ex anima noſtra deletis, fit tranſitus ad id quod eſt melius. Si ergo, vt dicit Propheta, myſtico lauachro loti, mundi efficiamur, prauam voluntatem & mala ſtudia ac inſtituta eluentes ex animis, effecti ſumus meliores, & tranſmutati ſumus in id quod eſt melius. Sin autem lauachrum quidem adhibitum ſit corpori, anima autem motuum & perturbationum maculas non eluerit: ſed quæ poſt ſacramentum ſuſceptum degitur vita, conuenit ei quæ degebatur priuſquam ſacramento initiaretur: etiamſi id dicere ſit audacius, dicam tamen, nec auertar: Quæ in iis adhibita eſt aqua, aqua eſt, cum donum ſancti Spiritus ei qui generatur minimè aduenerit, quando non ſolum animi turpitudo formam diuinam probro afficit, aut vitium auaritiæ, impudicúſque & inhoneſtus animus, faſtúſque, & inuidia, & ſuperbia: ſed & lucra quæ fecit ex iniuſtitia, apud eum permanét, & quæ adulterio eſt ei parata mulier, etiam poſtea eius ſeruit voluptatibus. Si hæc, & quæ ſunt huiuſmodi, non ſecus atque prius, ſunt in vita eius qui tinctus fuit baptiſmate, non poſſum videre in quónam ſit mutatus, cùm eundem aſpiciam quem prius, qui fuerat iniu-

A πίσματος χάριτι προσφοιτῶσι, δι' ἀπάτης ἑαυτοὺς παράγοντες, καὶ τῷ δοκεῖν μόνον, οὐχὶ τῷ ὄντι γεννώμενοι. ἡ γὰρ διὰ τῆς ἀναγεννήσεως γινομένη τῆς ζωῆς ἡμῶν μεταποίησις, οὐκ ἂν εἴη μεταποίησις, εἰ ἐν ᾧ ἐσμὲν διαμένοιμεν. τὸν γὰρ ἐν τοῖς αὐτοῖς ὄντα, οὐκ οἶδα πῶς ἐστιν ἄλλον τινὰ γεγενῆσθαι νομίσαι, ἐφ' οὗ μηδὲν τῶν γνωρισμάτων μετεποιήθη. τὸ γὰρ ἐπὶ ἀνακαινισμῷ καὶ τῇ μεταβολῇ τῆς φύσεως ἡμῶν τὴν σωτήριον παραλαμβάνεσθαι γέννησιν παντὶ δῆλόν ἐστιν. ἀλλὰ μὴν ἡ ἀνθρωπότης αὐτὴ καθ' ἑαυτὴν μεταβολὴν ἐκ τοῦ βαπτίσματος οὐ προσίεται, οὔτε
B τὸ λογικὸν, οὔτε τὸ διανοητικὸν, οὔτε τὸ ἐπιστήμης δεκτικὸν, οὐδὲ ἄλλο τι τῶν χαρακτηριζόντων ἰδίως τὴν ἀνθρωπίνην φύσιν ἐν μεταποιήσει γίνεται. καὶ γὰρ ἂν πρὸς τὸ χεῖρον ἡ μεταποίησις εἴη, εἴ τι τούτων ὑπαμειφθείη τῶν ἰδίων τῆς φύσεως. εἰ οὖν ἡ ἄνωθεν γέννησις ἀναστοιχείωσίς τις τοῦ ἀνθρώπου γίνεται· ταῦτα δὲ τὴν μεταβολὴν οὐ προσίεται, σκεπτέον τίνος μεταποιηθέντος, ἐντελὴς τῆς ἀναγεννήσεως ἡ χάρις ἐστί. δηλονότι τῶν πονηρῶν γνωρισμάτων ἐξαλειφθέντων τῆς φύσεως ἡμῶν, ἡ πρὸς
C τὸ κρεῖττον μετάστασις γίνεται. οὐκοῦν, εἰ καθώς φησιν ὁ προφήτης, λουσάμενοι τῷ μυστικῷ τούτῳ λουτρῷ, καθαροὶ ταῖς προαιρέσεσι γενοίμεθα, τὰς πονηρίας τῶν ψυχῶν ἀποκλυσάμενοι, κρείττους γεγόναμεν, καὶ πρὸς τὸ κρεῖττον μετεποιήθημεν. εἰ δὲ τὸ λουτρὸν μὲν ἐπαχθείη τῷ σώματι, ἡ δὲ ψυχὴ τὰς ἐμπαθεῖς κηλῖδας μὴ ἀπορρίψαιτο· ἀλλ' ὁ μετὰ τὴν μύησιν βίος συμβαίνῃ τῷ ἀμυήτῳ βίῳ, κἂν τολμηρὸν εἰπεῖν ᾖ, λέξω, καὶ οὐκ ἀποστραφήσομαι, ὅτι ἐπὶ τούτων τὸ ὕδωρ, ὕδωρ ἐστὶν, οὐδαμοῦ τῆς δωρεᾶς τοῦ ἁγίου πνεύματος ἐπιφανείσης τῷ γι-
D νομένῳ, ὅταν μὴ μόνον τὸ κατὰ τὸν θυμὸν αἶσχος ὑβρίζῃ τὴν θείαν μορφὴν, ἢ τὸ κατὰ πλεονεξίαν πάθος, καὶ ἡ ἀκόλαστος καὶ ἡ ἀσχήμων διάνοια, καὶ τῦφος, καὶ φθόνος, καὶ ὑπερηφανία· ἀλλὰ καὶ τὰ ἐξ ἀδικίας κέρδη παραμένῃ αὐτῷ, καὶ ἡ ἐκ μοιχείας αὐτῷ κτηθεῖσα γυνὴ ταῖς ἡδοναῖς αὐτοῦ καὶ μετὰ τοῦτο ὑπηρετεῖται. ἐὰν ταῦτα καὶ τοιαῦτα ὁμοίως πρότερόν τε καὶ μετὰ ταῦτα περὶ τὸν βίον τοῦ βαπτισθέντος ᾖ, τί μεταποιήθη ἰδεῖν οὐκ ἔχω τὸν αὐτὸν βλέπων, ὅνπερ καὶ πρότερον ὁ ἠδικημένος, ὁ συκοφαντημένος, ὁ τῶν ἰδίων ἀπωσθεὶς, οὐδεμίαν ὁρῶσιν

ria affectus, qui calumniis appetitus, qui bonis ſuis euerſus ac deiectus, nullam

ἐρῶσιν ἐφ' ἑαυτῶν τὴν τοῦ λεγομένου μεταβολήν. Οὐκ ἤκουσαν καὶ παρὰ τούτου τὴν Ζακχαίου φωνήν. ὅτι εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλασίονα, ἃ πρὸ τοῦ βαπτίσματος ἔλεγον, τὰ αὐτὰ καὶ νῦν περὶ τὸν αὐτὸν διεξέρχονται ἐκ τῶν αὐτῶν ὀνομάτων κατονομάζουσι, πλεονέκτην τῶν ἀλλοτρίων ἐπιθυμητήν, ἀπὸ συμφορῶν ἀνθρωπίνων τρυφῶντα. ὁ τοίνυν ἐν τοῖς αὐτοῖς ὤν, ἔπειτα ἐπιθρυλλῶν ἑαυτῷ διὰ τοῦ βαπτίσματος τὴν πρὸς τὸ κρεῖττον μεταβολήν, ἀκουσάτω τῆς Παύλου φωνῆς· ὅτι εἴ τις δοκεῖ εἶναι μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν. ὃ γὰρ μὴ γέγονας, οὐκ εἶ. ὅσοι ἔλαβον αὐτόν, φησὶ περὶ τῶν ἀναγεννηθέντων τὸ εὐαγγέλιον, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. τὸ δὲ τέκνον γενόμενον τινός, ὁμογενὲς πάντως ἐστὶ τῷ γεννήσαντι. εἰ οὖν ἔλαβες τὸν Θεόν, καὶ τέκνον ἐγένου Θεοῦ, δεῖξον διὰ τῆς προαιρέσεως καὶ τὸν ἐν σοὶ ὄντα Θεόν. δεῖξον ἐν σεαυτῷ τὸν γεννήσαντα. ἐξ ὧν τὸν Θεὸν γνωρίζομεν, δι' ἐκείνων προσήκει δειχθῆναι τοῦ γενομένου υἱοῦ Θεοῦ τὴν πρὸς τὸν Θεὸν οἰκειότητα. ἐκεῖνος ἀνοίγει τὴν χεῖρα, καὶ ἐμπιπλᾷ πᾶν ζῷον εὐδοκίας, ὑπερβαίνει ἀνομίας, μετάμελος ἐπὶ κακίας· χρηστὸς κύριος τοῖς σύμπασι, μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν· εὐθὺς κύριος ὁ Θεός, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ, καὶ ὅσα τοιαῦτα σποράδην παρὰ τῆς γραφῆς διδασκόμεθα. ἐὰν ἐν τούτοις ᾖς, ἀληθῶς ἐγένου τέκνον Θεοῦ. εἰ δὲ τοῖς τῆς κακίας ἐπιμένεις γνωρίσμασι, μάτην ἐπιθρυλλεῖς σεαυτῷ τὴν ἄνωθεν γέννησιν. ἐρεῖ πρὸς σὲ ἡ προφητεία· ὅτι υἱὸς ἀνθρώπου εἶ, οὐχὶ υἱὸς ὑψίστου. ἀγαπᾷς ματαιότητα, ζητεῖς ψεῦδος. οὐκ ἔγνως ὅτι ἄνθρωπος οὐκ ἄλλως υἱὸς Θεοῦ γίνεται, εἰ μὴ ὅσιος γένηται; ἀναγκαῖον ἂν εἴη τούτοις προσθεῖναι καὶ τὸ λειπόμενον, ὅτι οὔτε τὰ ἀγαθὰ τὰ ἐν ἐπαγγελίαις τοῖς εὖ βεβιωκόσι προκείμενα τοιαῦτά ἐστιν, ὡς εἰς ὑπογραφὴν λόγου ἐλθεῖν. πῶς γάρ, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη; οὔτε μὴν ἡ ἀλγεινὴ τῶν πεπλημμεληκότων ζωὴ πρός τι τῶν τῇδε λυπούντων τὴν αἴσθησιν ὁμοτίμως ἔχει. ἀλλὰ κἂν ἐπονομασθῇ τι τῶν ἐκεῖ κολαστηρίων τοῖς ὧδε γνωριζομένοις ὀνόμασιν, οὐκ ἐν ὀλίγῳ τὴν παραλλαγὴν ἔχει. πῦρ γὰρ ἀκούων, ἄλλο τι παρὰ τοῦτο νοεῖν ἐδιδάχθης, ἐκ τοῦ προσκεῖσθαί

A vident mutationem eius qui eſt generatus. Non audierunt ab eo vocem Zachæi. Si quem circumueni per calumniam, reddo quadruplum. *Luc.19.* Quæ dicebant ante baptiſmum, eadem etiam de eo nunc dicunt, & iiſdem etiam nominibus appellant, auarum, alienorum bonorum appetentem, ex hominum calamitatibus delitias ſibi parantem. Qui ergo verſatur in iiſdem, & deinde iactat in vulgus ſuam per baptiſmũ in melius mutationem, audiat Pauli vocem: Si quis videtur ſibi eſſe aliquid cùm nihil B ſit, ſeipſum decipit. Non es enim quod non factus es. *Gal.6.* Quicumque eum acceperũt, de regeneratis dicit Euangelium, dedit eis poteſtatem vt filij Dei fierent. *Ioan.1.* Qui autẽ factus eſt alicuius filius, is eſt omnino eiuſdem generis cuius is qui genuit. Si ergo Deum accepiſti, & factus es Dei filius, oſtende etiam tui animi libero propoſito ac electione Deum qui in te eſt. Oſtende in te eum qui genuit. Per illa ex quibus Deum cognoſcimus, oportet oſtendi cum Deo coniunctionem & neceſſitudinem eius qui factus eſt filius Dei. Ille aperit manum, *Pſal.44.* C & implet omne animal bona voluntate: tranſilit iniquitates, de malo agit pœnitentiam. *Pſal.7.* Suauis dominus vniuerſis non infert iram per ſingulos dies: *Pſal.92.* Rectus dominus Deus, & non eſt in eo iniquitas, & quæcumque huiuſmodi ſparſim docemur à ſacra ſcriptura. Si in his verſabaris, factus es verè filius Dei. Si autem permanes in ſignis notiſque vitij, temerè te de ſuperna iactas generatione. *Pſal.4.* Tibi dicet prophetia: Et filius hominis, non filius altiſſimi. Diligis vanitatem, quæris mẽdacium. Neſcis quòd D homo non aliter fit Dei filius, quàm ſi fiat ſanctus? Neceſſe autem fuerit etiam his addere id quod reſtat, nempe quòd bona quæ in promiſſionibus ſunt propoſita iis qui rectè vixerunt, non ſunt eiuſmodi, vt verbis poſſint deſcribi. Quomodo enim, quæ neque oculus vidit, nec auris audiuit, neque in cor hominis aſcenderunt? Neque miſera & dolore plena vita eorum qui peccauerunt, eſt ſimilis vlli ex iis quæ ſenſum hîc cruciant. Sed & ſi aliquod ex iis quę illic ſunt tormentis, nominatum fuerit *Eſa.64.* *1.Cor.2.* nominibus quæ hîc ſunt cognita, non eſt tamen paruum diſcrimen. Nam cùm ignem audis, didiciſti aliquem ab illo diuerſum intelligere, ex eo quod illi

igni aliquid ſit additum quod non eſt in hoc. Nam ille quidem non extinguitur. Hunc autem multa inuenta ſunt quæ extinguant: magna eſt autem differentia inter eũ qui extinguitur, & eum qui nullam admittit extinctionem. Eſt ergo aliquis alius, & non hic ignis. Rurſus cum vermem audieris, ne propterea quòd idem ſit nomen, ad terreſtre hoc animal tua feratur cogitatio. Adiectio enim eius quòd non moriatur, ſuggerit aliam eſſe intelligendã naturam, quàm eam quæ cognoſcitur. Quoniam ergo hæc ſunt propoſita ſpei vitæ poſt hæc futuræ, quæ congruẽter ex libero vniuſcuiuſque arbitrio, conuenienter iuſto Dei iudicio vitæ exoritur, fuerit ſapientum, non ad præſens intueri, ſed ad futurum, & in hac breui & temporali vita iacere materiam & ſementem beatitudinis ineffabilis: & per bonum propoſitum & electionem alienos fieri à malorum experientia: nunc quidem in hac vita, poſt hæc autem in æterna remuneratione, vult te Chriſtus contemplari duas naturas eſſentialiter vnitas, confitentes, & ex eo exhibentes magnitudinem miſericordię & miſerationum Dei in nos, qui propter noſtri amorem in animum induxit nobiſcum verſari, & voluit cum ſua natura noſtram connumerari. Deo autem ſint gratiæ ob donum eius ineffabile. Et hæc quidẽ hactenus. Quoniam autem Seuerus ſolas ſectatur voces, & in ſolis verbis & ſonis collocat pietatem, licet dicat Apoſtolus, Non enim in ſermone eſt regnum Dei, ſed in virtute & veritate: Is autem apud Seuerum optimus agnoſcitur Theologus, qui in prædicamentis Ariſtotelis, & in cęteris quæ apud externos philoſophos ſunt pręclara, fuerit exercitatus, neceſſe eſt nos ſignificata vniuſcuiuſque dictionis eorum quæ accipiuntur, tanquam ſententiæ in iis quæ dicuntur apud Seuerum, opportunè declarare, ex ſententia doctorum eccleſiaſticorum, in qua ea acceperunt: vt qui in libros ſubſcriptos inciderint, poſſint cùm primùm legerint, intelligere vim eorum quæ dicuntur: neque propter ignorationem ſignificationis dictionum impediantur, ne comprehendant ea quæ ſunt in ipſis theoremata.

Matth.3. Marc.9. Luc.3.

1.Cor.4.

A τι τῷ πυρὶ ἐκείνῳ ὃ ἐν τούτῳ οὐκ ἔστι. τὸ μὲν γὰρ οὐ σβέννυται. τούτου δὲ πολλὰ παρὰ τῆς πείρας ἐξεύρηται τὰ σβεστήρια· πολλὴ δὲ τοῦ σβεννυμένου, πρὸς τὸ μὴ παραδεχόμενον σβέσιν ἡ διαφορά. ἐκεῖνο οὖν ἄλλο τι, καὶ οὐχὶ τοῦτό ἐστι. πάλιν σκώληκα τις ἀκούσας, μὴ διὰ τῆς ὁμωνυμίας πρὸς τὸ ἐπίγειον τοῦτο θηρίον ἀποφερέσθω τῇ διανοίᾳ. ἡ γὰρ προσθήκη τοῦ ἀτελεύτητον εἶναι, ἄλλην τινὰ φύσιν παρὰ τὴν γινωσκομένην νοεῖν ὑποτίθεται. ἐπεὶ οὖν ταῦτα πρόκειται τῇ ἐλπίδι τοῦ μετὰ ταῦτα βίου, καταλλήλως ἐκ τῆς ἑκάστου

B προαιρέσεως, κατὰ τὴν δικαίαν τοῦ Θεοῦ κρίσιν ἀναφυόμενα τοῦ βίου, σωφρονούντων ἂν εἴη, μὴ πρὸς τὸ παρὸν, ἀλλὰ πρὸς τὸ μετὰ τοῦτο βλέπειν, καὶ τῆς ἀφράστου μακαριότητος ἐν τῇ ὀλίγῃ ταύτῃ καὶ προσκαίρῳ ζωῇ τὰς ἀφορμὰς καταβάλλεσθαι, καὶ τῆς τῶν κακῶν πείρας δι' ἀγαθῆς προαιρέσεως ἀλλοτριοῦσθαι· νῦν μὲν κατὰ τὸν βίον, μετὰ ταῦτα δὲ κατὰ τὴν αἰωνίαν ἀντίδοσιν ὁ Χριστὸς βούλεται θεωρεῖν, δύο φύσεις οὐσιωδῶς ἡνωμένας ὁμολογοῦσα, κἀκ τούτου παριστῶσα τὸ μέγεθος τοῦ ἐλέους, καὶ τῶν οἰκτιρ-

C μῶν τοῦ Θεοῦ περὶ ἡμᾶς, καταδεξαμένου διὰ τὴν πρὸς ἡμᾶς στοργὴν, συνεῖναί τε καὶ συναριθμεῖσθαι τῇ ἑαυτοῦ φύσει τὴν ἡμετέραν. καὶ χάρις τῷ Θεῷ, ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ἐπεὶ δὲ ὁ Σευῆρος ψιλαῖς προσκαθίζεται φωναῖς, ἐν ῥήμασι τε μόνοις καὶ ἤχοις τὴν εὐσέβειαν ὑποτίθεται, καί τοί γε τοῦ ἀποστόλου λέγοντος· οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει καὶ ἀληθείᾳ· ἔστι δὲ παρ' αὐτῷ Σευήρῳ κράτιστος θεολόγος γνωρίζεσθαι, ὃς ἂν τὰς κατηγορίας Ἀριστοτέλους, καὶ τὰ λοιπὰ τῶν ἔξω φιλοσόφων κομψὰ

D ἠσκημένος τυγχάνοι, ἀναγκαῖον ἡμᾶς τὰ σημαινόμενα ἑκάστης λέξεως τῶν εἰς τὰ πρὸς αὐτὸν Σευῆρον λεγόμενα χρειωδῶς λαμβανομένων, ἐπὶ καιροῦ σαφηνίσαι κατὰ τὸν νοῦν τῶν ἐκκλησιαστικῶν διδασκάλων, καθ' ὃν ταῦτα ἐξειλήφασιν· ἵνα ἔχοιεν οἱ ἐντυγχάνοντες τοῖς ὑπογεγραμμένοις λόγοις, ἐκ πρώτης ἐντεύξεως νοεῖν τῶν λεγομένων δύναμιν· καὶ μὴ διὰ τὴν ἄγνοιαν τοῦ σημαινομένου τῶν λέξεων πρὸς τὴν κατάληψιν τῶν ἐν αὐτοῖς θεωρημάτων παραποδίζοιντο.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ ΠΕΡΙ παρθενίας.

Ἐπιστολὴ προτρεπτικὴ εἰς τὸν κατ' ἀρετὴν βίον.

Ο ΜΕΝ σκοπὸς τοῦ λόγου ἐστὶν, ἐπιθυμίαν τῆς κατ' ἀρετὴν ζωῆς τοῖς ἐντυγχάνουσιν ἐμποιῆσαι· πολλῶν δὲ τῷ κοινοτέρῳ βίῳ, καθὼς ὀνόμασιν ὁ θεῖος ἀπόστολος, τῶν περισπασμῶν ἐγκειμένων, ἀναγκαίως ὁ λόγος, ὥσπερ τινὰ θύραν καὶ εἴσοδον τῆς σεμνοτέρας διαγωγῆς, τὸν τῆς παρθενίας ὑποτίθεται βίον, ὡς οὔτε τοῖς ἐμπλακεῖσι τῇ τοῦ βίου κοινότητι ῥᾴδιον ὄν, καθ' ἡσυχίαν προσφιλοσοφεῖν τῇ θειοτέρᾳ ζωῇ, καὶ τοῖς ἀποταξαμένοις πάντη τῷ ταραχώδει βίῳ, πολλῆς εὐκολίας οὔσης τῆς ὑψηλοτέραις ἀσχολίαις προσεδρεύειν ἀπερισπάστως· καὶ ἐπειδὴ καθ' ἑαυτήν πως ἀργοτέρα πρὸς τὸ πείθειν ἐστὶν ἡ συμβουλὴ, καὶ οὐκ ἄν τις ῥᾳδίως ὑπαγάγοιτό τινα, ψιλῷ τῷ λόγῳ πρός τι τῶν ὠφελούντων ἐγκελευόμενος, εἰ μὴ προτέρως ἀποσεμνύνει ἐν ἐκείνῳ, πρὸς ὃ τὸν ἀκροατὴν παρορμᾷ· τούτου χάριν ἀπὸ τῶν ἐγκωμίων τῆς παρθενίας ἀρξάμενος, οὕτως εἰς τὴν συμβουλὴν καταλήγει· μᾶλλον δέ πως τοῦ ἐν ἑκάστῳ καλοῦ, καὶ διὰ τῆς παραθέσεως τῶν ἐναντίων φανερουμένου, ἀναγκαίως καὶ τῆς δυσχερείας τοῦ κοινοτέρου βίου μνήμη τις γέγονεν. εἶτα διὰ μεθόδου ὑπογραφή τις παρεισήχθη τοῦ κατὰ φιλοσοφίαν βίου, καὶ τὸ, μὴ δύνασθαι τούτου τυχεῖν τὸν ἐν κοσμικοῖς ὄντα φροντίσιν, κατεσκευάσθη. τῆς δὲ σωματικῆς ἐπιθυμίας ἀργούσης ἐν τοῖς ἀποταξαμένοις, ἀκολούθως ἐπεζητήθη τί τὸ ἀληθῶς ἐπιθυμητόν. οὗ χά-

Sancti Patris noſtri

GREGORII EPISCOPI NYSSENI DE Virginitate.

Epiſtola exhortatoria ad frugi vitam.

Petro Galeſinio interprete.

B ORATIO hæc omnis eò ſpectat: vt, qui eius vim aſſequuntur, iis profectò vitæ honeſtæ, & quæ virtute maximè conueniat, allatura ſit cupiditatem: permultæ enim cum ſint, vt diuini Apoſtoli verbo vtar, diſtractiones, quæ communi hominũ vitæ impendent: neceſſariò hæc quidẽ oratio, quaſi quoſdã ſanctioris diſciplinæ aditus, atque fores virginalis vitæ, rationes cõſtituit: tanquam neque iis, qui in hac vitæ vulgaris ſocietate occupati ſunt, facile ſit otioſo animo ſe diuinioris vitæ inſtitutis tradere, & illis, qui ab omni turbulẽtæ vitæ conſuetudine ſe remouerunt, valde promptum ſit ac facile, in grauiorib. rerũ diuinarũ ſtudiis ſine vlla interpellatione, ac liberè verſari. Et quoniã aliquo modo conſiliũ per ſe nõ multam ad perſuadendũ vim habet, neq. qui ad res aliquas vtiles & ſalutares adhortatur, facile quẽpiã ſimplici verborũ ratione flectit, niſi illud vnũ antè grauiter, & amplè exornauerit, ad quod auditorẽ ipſum impellere ſtudet: propterea oratio hęc, quę conſilio cõcluditur & terminatur, à Virginitatis laudibus exorſa eſt. Quæ autẽ cuique rei laus attribuitur, ea quia rerũ inter ſe pugnantiũ appoſitione, quaſi contentione quadã, illuſtrior fit: nõ ſine cauſa à nobis moleſtiarũ, ac difficultatũ, quib. humana vita afficitur, mẽtio facta eſt. Deinde explicatio quędã, & illa quidẽ breuis eſt introducta vitæ illius, quæ philoſophię cõſentanea eſt: illúdq. ſanè cõcluſum eſt, nõ poſſe eã vitæ rationem quemquam aſſequi, qui in humanis negotiis omnino verſatur. Sed cum eorum, qui rerum humanarũ curam abiecerũt, corporis cupiditas debilitata ſit, & quaſi langueſcat, appetitio, illud itẽ ordine quæſitũ eſt, quæ à nobis res ſit verè appetenda: cuius rei gra-

1.Cor.7.

C D

tia ab eo, qui naturæ noſtræ effector eſt, ipſam appetitionis vim naturámq. nos accepimus. Qua quidem re, quoad fieri potuit, planè explicata, neque etiã præpoſterè viſum eſt, rationem quandam, atque viam indagare, qua hoc ſanè bonum aſſequeremur. Vera igitur, & ſolida virginitas cùm nullis peccatorũ ſordibus obſoleſcat, ea ad hanc ipſam indagationem inuenta eſt valde accommodata. Quamobrem quæcũque hac oratione expoſita ſunt, etſi aliò ſpectare videntur, omnia tamen ad hanc virginalem laudem planè referuntur. Singula enim huius vitæ præcepta atque inſtituta, quæ diligenter ſunt & accuratè exculta ab iis, qui ſanctæ vitæ huius participes ſunt, nimiam verborum copiam effugiens, hæc percurrit oratio: ac generatim per communia præcepta adhortatione producta, res ſingulas ita quodam modo comprehendit, vt neque res vllas neceſſarias prætereat, neque extra modum vagetur. Cùm autem in more, atque hominum conſuetudine illud poſitum ſit, vt omnes iis potiſſimum ſeſe ſtudiis dent, quorum laude viros illuſtres extitiſſe viderint: neceſſario qui cælibatus gloria floruerũt, eos piè cõmemorauimus. Et quoniam neque rebus narrandis exẽpla ad virtutis perfectionem tantum quidem momẽti habent, quantum certè habet tum vox viua, tum maximè exẽpla, quæ res ſalutares gignunt: idcirco iure & merito, hac prope extrema oratione, religioſiſſimi Epiſcopi, & patris noſtri meminimus: quaſi vnus omnium maximè poſſit hæc ipſa, quæ quærimus, docere. Mentio autem eius non nominatim facta eſt, ſed ex quibuſdam ſignis oratio ipſa oſtendit eum eſſe, quem nos ſignificamus: vt ne qui poſtea in hoc ſermone verſantur, id conſilium iis videatur inutile, ſi, qui in hanc viuendi viam ingrediũtur, ſe ad iuuenes conferre iuberentur. At verò hoc ſolum hi intuendo, nempe qualem eſſe deceat huius vitæ moderatorem, deligant eos ſibi duces, qui munere, ac benignitate Dei inſtituti ſunt, vt honeſtæ vitę huius rationibus præſint: ita enim aut inuenient id, quod quærunt: aut, quale hoc eſſe debeat, non ignorabunt.

ἐν ᾧ καὶ τὴν ἐπιθυμητικὴν δύναμιν παρὰ τοῦ δημιουργοῦ τῆς φύσεως ἡμῶν ἐλάβομεν. τούτου δὲ καθ' ὅσον οἷόν τε ἦν ἐκκαλυφθέντος, ἐφάνη ἀκολούθως καί τινα μέθοδον πρὸς τὸ τυχεῖν τούτου ἐπινοῆσαι τοῦ ἀγαθοῦ. εὑρέθη τοίνυν ἀληθὴς παρθενία, ἡ πάντως τοῦ ἐξ ἁμαρτιῶν μολυσμοῦ καθαρεύουσα, πρὸς τὴν τοιαύτην ἐπίνοιαν ἐπιτηδείως ἔχουσα, ὥστε πάντα τὸν διὰ μέσου λόγον, κἂν πρὸς ἕτερά τινα βλέπειν δοκῇ, πρὸς τὸ τῆς παρθενίας συντείνειν ἐγκώμιον. τὰς δὲ μερικὰς ὑποθήκας τοῦ τοιούτου βίου, ὅσας τοῖς ἀκριβῶς μετιοῦσι τὴν σεμνότητα ταύτην, ἐπετηδεύθησαν, φεύγων τὴν ἀμετρίαν ὁ λόγος παρέδραμε, καθολικῶς τι διὰ τῶν γενικωτέρων παραγγελμάτων προσαγαγὼν τῇ παραινέσει, ἐμπεριείληφε τρόπον τινὰ τὰ καθέκαστον. ὡς μήτε τι παριδεῖν τῶν ἀναγκαίων, καὶ τὴν ἀμετρίαν φυλάξασθαι. ἔθους δὲ πᾶσιν ὄντος, προθυμότερον ἀντιλαμβάνεσθαι πάντως ἐπιτηδεύματος, εἴ τινας ἐν ἐκείνῳ προευδοκιμήσαντας ἴδοι, ἀναγκαίως καὶ τῶν ἐν ἀγαμίᾳ διαλαμψάντων ἁγίων μνήμην ἐποιησάμεθα· καὶ ἐπεὶ μὴ τοσοῦτον τὰ ἐν τοῖς διηγήμασιν ὑποδείγματα δύναται πρὸς κατόρθωσιν ἀρετῆς, ὅσον ἡ ζῶσα φωνὴ, καὶ τὰ ἐνεργούμενα τῶν ἀγαθῶν ὑποδείγματα, ἀναγκαίως πρὸς τῷ τέλει τοῦ λόγου, τοῦ θεοσεβεστάτου ἐπισκόπου καὶ πατρὸς ἡμῶν ἐπεμνήσθημεν, ὡς μόνου δυνατῶς ἔχοντος τὰ τοιαῦτα παιδεύειν. ἡ δὲ μνήμη οὐκ ἐπ' ὀνόματος γέγονεν, ἀλλὰ διά τινων γνωρισμάτων τὸ, ἐκεῖνον εἶναι τὸν δηλούμενον ὁ λόγος ᾐνίξατο· ἵνα μὴ τοῖς μετὰ ταῦτα καθομιλοῦσι τῷ λόγῳ, ἀνόητος ἡ συμβουλὴ εἶναι δόξῃ, τῷ παρελθόντι τὸν βίον προσφοιτᾶν τοὺς νέους ἐγκελεύουσα, ἀλλὰ πρὸς τοῦτο βλέποντες μόνον, οἷον εἶναι προσήκει τὸν τοιούτου βίου καθηγητὴν, ἐκλέγωνται ἑαυτοῖς εἰς ὁδηγίαν τοὺς ἀεὶ παρὰ τῆς τοῦ Θεοῦ χάριτος εἰς προστασίαν τῆς κατ' ἀρετὴν πολιτείας ἀναδεικνυμένους· ἢ γὰρ εὑρήσουσι τὸν ζητούμενον, ἢ οἷον χρὴ εἶναι οὐκ ἀγνοήσουσιν.

A

ΟΤΙ ΚΡΕΙΤΤΩΝ ΕΓΚΩΜΙΩΝ Ἡ ΠΑΡΘΕΝΙΑ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τὸ σεμνὸν τῆς παρθενίας εἶδος, ὃ πᾶσι μὲν τίμιόν ἐστι τοῖς τὸ καλὸν ἐν καθαρότητι κρίνουσι· περιγίνεται δὲ μόνοις οἷς ἂν ἡ τοῦ Θεοῦ χάρις εὐμενὴς πρὸς τὴν ἀγαθὴν ταύτην ἐπιθυμίαν συναγωνίσηται· αὐτόθεν μὲν ἔχει τὸν πρέποντα ἔπαινον, ἀπὸ τῆς προσηγορίας τῆς συνονομαζομένης αὐτῇ. τὸ γὰρ ἄφθορον κατὰ τὴν συνήθειαν τῶν πολλῶν ἐπὶ τῆς παρθενίας λεγόμενον, σημαντικόν ἐστι τῆς ἐν αὐτῇ καθαρότητος. ὥστε διὰ τοῦ ἰσοδυναμοῦντος ὀνόματος ἐστὶν ἐπιγνῶναι τὴν ὑπερβολὴν τοῦ τοιούτου χαρίσματος, εἴπερ πολλῶν ὄντων τῶν κατ' ἀρετὴν ἐπιτελουμένων, μόνον τοῦτο τῇ ἐπωνυμίᾳ τοῦ ἀφθάρτου τετίμηται. εἰ δὲ χρὴ καὶ δι' ἐγκωμίων ταύτην τὴν τοῦ μεγάλου Θεοῦ δωρεὰν ἀποσεμνύνειν, ἀρκεῖ πρὸς εὐφημίαν αὐτῆς ὁ θεῖος ἀπόστολος, δι' ὀλίγων ῥημάτων πᾶσαν ἐγκωμίων ὑπερβολὴν ἀποκρύψας. ὃς ἁγίαν καὶ ἄμωμον τὴν κεκοσμημένην διὰ τῆς χάριτος ταύτης ὠνόμασεν. εἰ γὰρ τὸ κατόρθωμα τῆς σεμνῆς ταύτης παρθενίας, ἐπὶ τὸ ἄμωμόν τινα γενέσθαι καὶ ἅγιον. ταῦτα δὲ τὰ ὀνόματα κυρίως καὶ πρώτως εἰς δόξαν παραλαμβάνεται τοῦ ἀφθάρτου Θεοῦ· τίς μείζων ἔπαινος παρθενίας, ἢ τὸ ἀποδειχθῆναι διὰ τούτων θεοποιοῦσαν τρόπον τινὰ τοὺς τῶν καθαρῶν αὐτῆς μυστηρίων μετεσχηκότας, εἰς τὸ γενέσθαι αὐτοὺς κοινωνοὺς τῆς δόξης τοῦ μόνου ὡς ἀληθῶς ἁγίου καὶ ἀμώμου Θεοῦ, διὰ καθαρότητος αὐτῷ καὶ ἀφθαρσίας οἰκειουμένους. ὅσοι δὲ μακροὺς ἐπαίνους ἐν διεξοδικοῖς κατατείνουσι λόγοις, ὡς διὰ τούτων προσθήσοντές τι τῷ θαύματι τῆς παρθενίας, λελήθασιν ἑαυτούς, κατά γε τὴν ἐμὴν κρίσιν, ἐναντιούμενοι τῷ ἰδίῳ σκοπῷ, δι' ὧν ἐξαίρουσιν εἰς μέγεθος, ὕποπτον ποιοῦντες διὰ τῶν ἐγκωμίων τὸν ἔπαινον. ὅσα γὰρ ἐν τῇ φύσει τὸ μεγαλεῖον ἔχει, οἴκοθεν τὸ θαῦμα ἐπάγεται, οὐδὲν τῆς ἐκ τῶν λόγων συνηγορίας δεόμενα·

OMNI LAVDE PRÆſtantior virginitas.

CAPVT I.

Avgvsta illa virginitatis quædam quaſi facies, quæ cùm in precio eſt apud omnes qui de bono ſincerè iudicent, tùm iis ſolis B contingit, quibus ad præclarum hoc ſtudium Dei gratia benignè opituletur, vel ex nomine quo compelletur, inſignem laudem habet. Nam incorruptum, quæ vox in virginitate de multorum conſuetudine dicitur, eius integritatẽ ſignificat. Itaque ex eo nomine quod tantumdem valeat, intelligere eſt huius doni pręſtantiam. ſiquidem, cùm multa ſint quæ cum virtute gerantur, ſolum hoc incorrupti appellatione ornatum eſt. Sin autem beneficium hoc C Dei Opt. Max. etiam prædicandum eſt, ſufficiet ad eius cõmendationem diuinus Apoſtolus, qui paucis verbis omnẽ laudum amplificationem obſcuret, ſanctam atque inculpatam eam appellans, quæ hoc munere ornata ſit. Quod ſi enim auguſtæ huius virginitatis ea eſt perfunctio, vt inculpatus ac ſanctus efficiare. eæ autem voces propriè ac primò ad incorrupti Dei gloriam vſurpantur. ecquænam maior eſſe poteſt laus virginitatis, quam oſtendi eam iis rebus caſtorum ſuorũ arcanorum participes quaſi deos efficere, vt ſocij quidam ſint gloriæ ſolius verè ſancti atque D inculpati Dei, neceſſitudine cum eo puritate atque integritate contrahenda. Quicumque verò longiùs orationis digreſſionibus huius rei latius explicant laudes, quaſi ex hoc aliquid admirabili huic virginali ſtudio ſint addituri, hi profectò mihi ſeipſos ignorare videntur, cùm ſuæ ſententiæ magnopere ipſi repugnent. Quibus enim encomiis ſe rei magnitudinem amplificare arbitrantur, iiſdem ſuſpectam faciunt laudem. Nam quæ natura excellunt, admirationem ſecum afferunt, neque orationum patrocinio indigent:

qualia ſunt cœlũ, Sol, ceteraq. id generis, quæ in omni cœlo, & terra aliquid admirabile habent: humilioribus autẽ ſtudiis oratio pro fundamẽto propoſita aliquã magnitudinis opinionẽ laudum artificioſa adiungit. Itaque fit plerũque vt admiratio quæ encomiis cõparatur, veluti cõmentitia ab hominib. ſuſpecta habeatur. Ergo hęc laus Virginitatis egregia eſt, vt ſcilicet ſtatuat quis virtutẽ ipſam omni eſſe laude pręſtantiorẽ: atq. ex ipſo potius vitæ genere, quàm ex aliqua oratione caſtitatẽ ſuſcipiat, atque admiretur? Nam qui in hoc Virginitatis laudandæ argumento gloriæ cupiditate adductus verſatur, non ab eo planè diſſimilis eſt, qui aliquam ſudoris ſui ſtillam, quam is magni faciat, immenſo mari putet fore additamentum, ſi modo hominum ſermone crediderit tantum munus poſſe illuſtrari, atque ornari. Aut enim is ſuarũ vitium ignarus eſt, aut id quod laudat non intelligit.

A καθάπερ ὁ οὐρανὸς, ἢ ὁ ἥλιος, ἢ ἄλλο τι τῶν τοῦ κόσμου θαυμάτων· τοῖς δὲ ταπεινοτέροις τῶν ἐπιτηδευμάτων ἀντὶ ὑποβάθρας ὁ λόγος γινόμενος, μεγέθους τινὰ φαντασίαν διὰ τῆς τῶν ἐπαίνων περινοίας περιτίθησιν· ὅθεν πολλάκις τὸ ἐκ ἐγκωμίων κατασκευαζόμενον θαῦμα, ὡς σεσοφισμένον καθυποπτεύεται ὑπὸ τῶν ἀνθρώπων. ἔπαινος δὲ μόνος ἱκανὸς τῆς παρθενίας ἐστὶ, τὸ, κρείττονα τῶν ἐπαίνων εἶναι τὴν ἀρετὴν ἀποφήνασθαι, καὶ τῷ βίῳ θαυμάσαι μᾶλλον ἢ τῷ λόγῳ τὴν καθαρότητα· ὁ δὲ ὑπόθεσιν ἐγ-
B κωμίων ταύτην ὑπὸ φιλοτιμίας ποιούμενος, ἔοικε τὴν σταγόνα τῶν οἰκείων ἱδρώτων ἀξιόλογον εἰς προσθήκην νομίζειν τῷ ἀπείρῳ πελάγει γενήσεσθαι, εἴγε ἀνθρωπίνῳ λόγῳ δυνατὸν εἶναι τὴν τοσαύτην χάριν ἀποσεμνῦναι πεπίστευκεν· ἢ γὰρ τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖ, ἢ ὃ ἐπαινεῖ οὐκ ἐπίσταται.

Diuinæ & incorporeæ naturæ proprium, & perfectum Virginitatis officium.

CAPVT II.

INTELLIGENTIA non parua egemus, vt cognitionẽ capere poſſimus huius excellentis gratiæ, quæ cum incorrupto patre comprehenditur. Res admirabilis eſt, atque inuſitata, vt Virginitas in patre inueniatur, qui & filium habet, & filium abſque affectu genuit. Cum vnigenito autem Deo, qui omnis pudicitiæ, & incorruptæ virginitatis auctor eſt, ſimul cognoſcitur, cùm in eius pudica, atque incorrupta generatione pariter eluxerit. Rurſúſq; mirum æquè eſt filium in virginitate comprehendi. Eadémque ratione in Spiritus ſancti naturali atque incorrupta puritate ſpectantur. Cùm enim purum nominas, atque incorruptum, virginitatem alio nomine ſignificas: quæ in vniuerſa denique cœleſti natura ſimul verſatur, quia cum ab affectibus vacua ſit, ſublimibus illis poteſtatibus inhæret. Neque verò, etſi à nullis rebus diuinis ſeiuncta eſt virginitas, contrariis tamen eſt rebus adiuncta. Cuncta enim, quæ & natura & conſilio ad virtutem propenſa ſunt, omnis incorruptæ virgini-

Ὅτι ἴδιον τῆς θείας τε καὶ ἀσωμάτου φύσεως κατόρθωμά ἐστιν ἡ παρθενία.

C

ΚΕΦΑΛΑΙΟΝ Β′.

ΣΥνέσεως γὰρ ἡμῖν χρεία πολλῆς, δι' ἧς ἔστι γνῶναι τὴν ὑπερβολὴν τῆς χάριτος ταύτης, ἥτις συνεπινοεῖται μὲν τῷ ἀφθάρτῳ πατρί· ὃ δὴ καὶ παράδοξον, ἐν πατρὶ παρθενίαν εὑρίσκεσθαι τῷ τε υἱὸν ἔχοντι, καὶ δίχα πάθους γεννήσαντι· τῷ δὲ μονογενεῖ Θεῷ τῷ τῆς ἀφθαρσίας χορηγῷ συγκαταλαμβάνεται, ὁμοῦ τῷ καθαρῷ καὶ ἀπαθεῖ τῆς γεννήσεως αὐτοῦ συν-
D εκλάμψασα. πάλιν τὸ ἴσον παράδοξον, υἱὸς διὰ παρθενίας νοούμενος. ἐνθεωρεῖται δὲ ὡσαύτως καὶ τῇ τοῦ ἁγίου πνεύματος φυσικῇ τε καὶ ἀφθάρτῳ καθαρότητι. τὸ γὰρ καθαρὸν καὶ ἄφθαρτον ὀνομάσας, ἄλλῳ ὀνόματι τὴν παρθενίαν ἐσήμηνας. πάσῃ δὲ τῇ ὑπερκοσμίῳ φύσει συμπολιτεύεται, διὰ τῆς ἀπαθείας συμπαροῦσα ταῖς ὑπερεχούσαις δυνάμεσιν, οὔτε τινὸς τῶν θείων χωριζομένη, καὶ οὐδενὸς τῶν ἐναντίων προσαπτομένη. πάντα γὰρ ὅσα καὶ φύσει καὶ προαιρέσει πρὸς ἀρετὴν νένευκεν, τῷ καθαρῷ πάντως ἐνω-

A ρίζεται τῆς ἀφθαρσίας· καὶ ὅσα πάντα εἰς τὴν ἐναντίαν ἀποκέκριται τάξιν, τῇ ἀποπτώσει τῆς καθαρότητος τοιαῦτά ἐστι καὶ ὀνομάζεται. τίς οὖν ἐξαρκέσει δύναμις λόγου τῇ τοσαύτῃ χάριτι παρισωθῆναι; ἢ πῶς οὐ φοβεῖσθαι χρὴ, μὴ διὰ τῆς τῶν ἐπαίνων σπουδῆς λυμήνηταί τις τὸ μέγεθος τοῦ ἀξιώματος, ἐλάττω τὴν περὶ αὐτὴν δόξαν τῆς προειλημμένης τοῖς ἀκροαταῖς ἐμποιήσας. οὐκοῦν καλῶς ἔχει, τοὺς μὲν ἐγκωμιαστικοὺς λόγους ἐπὶ ταύτης ἐᾷν, ὡς ἀμηχάνους ταῖς ὑπερβολαῖς τῆς ὑποθέσεως συνεξισωθῆναι τὸν λόγον· ὡς καὶ ἐστι δυνατὸν, ἀεὶ B μεμνῆσθαι τοῦ θείου χαρίσματος, καὶ ἐπὶ γλώττης ἔχειν τὸ ἀγαθὸν, ὅπερ ἴδιον μὲν τῆς ἀσωμάτου φύσεώς ἐστι καὶ ἐξαίρετον· ὑπὸ φιλανθρωπίας δὲ Θεοῦ, καὶ τοῖς διὰ σαρκὸς καὶ αἵματος λαχοῦσι τὴν ζωὴν ἐχαρίσθη, ἵνα καταβληθεῖσαν τὴν ἀνθρωπίνην φύσιν ὑπὸ τῆς ἐμπαθοῦς διαθέσεως, ὥσπερ τινὰ χεῖρα τὴν τῆς καθαρότητος μετουσίαν ὀρέξασα, πάλιν ὀρθώσῃ, καὶ πρὸς τὰ ἄνω βλέπειν χειραγωγήσῃ. διὰ τοῦτο γὰρ οἶμαι καὶ τὴν πηγὴν τῆς ἀφθαρσίας, αὐτὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χρι-C στὸν, μὴ διὰ γάμου εἰσελθεῖν εἰς τὸν κόσμον, ἵνα ἐνδείξηται διὰ τοῦ τρόπου τῆς ἐνανθρωπήσεως τὸ μέγα τοῦτο μυστήριον, ὅτι Θεοῦ παρουσίαν καὶ εἴσοδον μόνη καθαρότης ἱκανή ἐστι δέξασθαι· ἣν ἄλλως οὐκ ἔστι πρὸς ἀκρίβειαν πᾶσαν κατορθωθῆναι, εἰ μὴ παντελῶς τις ἑαυτὸν τῶν σαρκικῶν παθημάτων ἀλλοτριώσειεν· ὅπερ γὰρ ἐν τῇ ἀμιάντῳ Μαρίᾳ γέγονε σωματικῶς, τοῦ πληρώματος τῆς θεότητος ἐν τῷ Χριστῷ διὰ τῆς παρθενίας ἐκλάμψαντος· τοῦτο καὶ ἐπὶ πάσης ψυχῆς κατὰ λόγον παρθενευούσης γίνεται· οὐκ-D έτι σωματικὴν ποιουμένου τοῦ κυρίου τὴν παρουσίαν· οὐ γὰρ γινώσκομεν ἔτι, φησὶ, κατὰ σάρκα Χριστόν· ἀλλὰ πνευματικῶς εἰσοικιζομένου, καὶ τὸν πατέρα ἑαυτοῦ συνεισάγοντος· καθὼς φησί που τὸ εὐαγγέλιον. ἐπεὶ οὖν τοσαύτη ἐστὶ τῆς παρθενίας ἡ δύναμις, ὡς καὶ ἐν τοῖς οὐρανοῖς παρὰ τῷ πατρὶ τῶν πνευμάτων μένειν, καὶ μετὰ τῶν ὑπερκοσμίων χορεύειν δυνάμεων, καὶ τῆς ἀνθρωπίνης σωτηρίας ἐφάπτεσθαι· τὸν μὲν Θεὸν δι' ἑαυτῆς

A tatis, pudicitiæque ſplendore decorantur: quæ verò in contrariam virtutis partem procliuia feruntur, caſtitatis lapſu ea talia & ſunt, & nominantur. Quamobrem quæ tanta erit dicendi facultas & copia, quæ tam magni muneris dignitatē laudibus æquare poſſit? quóve pacto non pertimeſcendum, vt ne ſtudio laudum quis dignitatis amplitudinem lædat, ſi minorem iis, qui audiunt, quàm ipſi antea conceperant, opinionē in laudando afferat? Præclarè itaque agitur, ſi quæ in alicuius rei laudibus verſantur orationes, in hac præ-B tereātur: quaſi difficile ſit orationis vim & copiam comparare, quæ grauiſſimo huic argumento reſpondeat: quemadmodum cōtra illud facile eſt, diuinum hoc munus perpetua memoria colere, atque id bonum in ore ſemper habere, quod incorporeæ diuinæque naturæ proprium quidem ac præcipuum eſt, Dei tamen benignitate iis etiam, qui è carne & ſanguine effecti huius vitæ vſura fruuntur, datum & tributum eſt, vt virginitas quaſi manum munditiæ participem porrigens, hominum naturam vitioſa affectione abiectam rurſus C erigat, & ad cœleſtium contemplationem perducat. Ob eam enim cauſam mihi dominus noſter Ieſus Chriſtus, à quo veluti fonte quodam omnis caſtimonia manat, non nuptiarum via quæſita, in hanc vitam ingreſſus videtur, vt ex eo modo, quo carnem humanam aſſumpſit, admirabile hoc, & magnum planè myſterium patefieret: quoniam, quæ Dei aduentum demonſtraret, ſola caſtitas idonea eſt: quam aliter perfectè omnino præſtare nemo poteſt, niſi qui ab omni carnis affectu ſe etiam atque etiam totū auertit. Quod enim in Mariæ D virginis inuiolatæ corpore effectum eſt, perfecta Chriſti diuinitate, quæ in ipſa virgine eluxerat: hoc ipſum in omni animo cōtingit, qui ſit caſtitate ornatus, rationémque ducem in virginali vita ſequatur. quoniam nō amplius, vt corporis humani formam habitūque induat, venturus eſt Dominus (non enim etiam nouimus, inquit, ſecundū carnem Chriſtum) ſed in ſpiritu veniet, & patrem ſecum ducet, vt quodam loco teſtatur Euangelium. Quoniam igitur tanta vis virginitatis eſt, vt & in cœlis apud ſpirituum patrē maneat: & cum cœleſtibus illis mētibus vna exultet, & ſalutem humanam attingat: cumque Deum ipſum ſua vi

ad humanæ vitę communionem ducat, hominémque rurſus ad cœleſtiũ rerum cupiditatem excitet; atque adeò hominum cum Deo familiaritatis vinculum quoddam hæc cùm ſit; & ea, quæ viciſſim natura valde diſtant, ipſa concilians in conſenſum, concordiámque redigat: quæ dicendi vis inueniri poſſet, quę mirabilis huius rei magnitudinẽ aſſequatur? Sed quia abſurdum planè eſt, mutarum rerum, & carũ, quæ ſenſu carent, ſimilem ſe eſſe videri; è duobúſq. alterum eſt, vt aut quis virginales laudes non agnouiſſe videatur, aut ad harum cognitionẽ non cõmotum ſe neque affectum oſtenderit: nos hoc ipſo de genere toto pauca quædam cõmemorare propoſuimus: quoniã illius, qui nobis præcepit, imperio omnib. in rebus parẽdum erat. Neque verò magnificã verborum oſtentationem quis à nobis requirat: quandoquidẽ etiam ſi nos expeteremus hoc fortaſſe nobis, id orationis genus negligentibus, præſtare nõ liceret. Sin autem facultas nobis huius oſtentationis, quæ generatim minus expetit, ineſſet: in concionum genere eam approbari, hoc nos antiquius habuimus. Nam qui ratione præditus eſt, ei potiſſimum quærendum eſſe arbitror, non quibus rebus maximã præter ceteros admirationem ſui excitauerit, ſed quibus cùm ſibi, tum ceteris adiumentum ſit allaturus.

A πρὸς τὴν τοῦ ἀνθρωπίνου βίου κοινωνίαν κατάγουσα· τὸν δὲ ἄνθρωπον ἐν ἑαυτῇ πρὸς τὴν τῶν οὐρανίων ἐπιθυμίαν ὑπεγείρουσα, καὶ οἱονεὶ σύνδεσμός τις γινομένη τῆς ἀνθρωπίνης πρὸς τὸν Θεὸν οἰκειώσεως, τὰ τοσοῦτον ἀλλήλων ἀφεστῶτα τῇ φύσει, τῇ παρ' ἑαυτῆς μεσιτείᾳ εἰς συμφωνίαν ἀνάγουσα, τίς ἂν εὑρεθείη δύναμις λόγων συνανισοῦσα τῷ θαύματι; ἀλλ' ἐπειδὴ ἄτοπον, παντελῶς ἀφώνοις ἢ ἀναισθήτοις ὅμοιον φαίνεσθαι, καὶ τῶν δύο τὸ ἕτερον, ἢ μὴ ἐπεγνωκέναι δοκεῖν τὰ τῆς παρθε-
B νίας καλά, ἢ ἄπληκτον καὶ ἀκίνητον πρὸς τὴν τῶν καλῶν αἴσθησιν ἐπιδεδεῖχθαι, βραχέα τινὰ περὶ αὐτῆς εἰπεῖν, διὰ τὸ δεῖν ἐπὶ πᾶσι πείθεσθαι τῇ ἐξουσίᾳ τοῦ ἐπιτάξαντος ἡμῖν, προεθυμήθημεν. μηδεὶς δὲ τοὺς κομπωδεστέρους παρ' ἡμῶν ἐπιζητείτω τῶν λόγων· ἔστι μὲν γὰρ οὐδὲ βουλομένοις ἡμῖν ἴσως δυνατὸν τὸ τοιοῦτον, ἀμελετήτοις οὖσι τῆς τοιαύτης λέξεως· εἰ δὲ καὶ παρῆν τοῦ κομπάζειν ἡ δύναμις, οὐκ ἂν τοῦ κοινῇ λυσιτελοῦντος τὸ, ἐν ὀλίγοις εὐδοκιμῆσαι προετιμησάμεθα. ζητεῖν γὰρ ἐξ ἀ-
C πάντων οἶμαι δεῖν τόν γε νοῦν ἔχοντα, οὐκ ἐξ ὧν ὑπὲρ τοὺς λοιποὺς θαυμασθήσεται, ἀλλ' ἐξ ὧν ἂν καὶ ἑαυτὸν καὶ τοὺς λοιποὺς ὠφελήσειεν.

Commemoratio difficultatum, ac moleſtiarum, quæ è nuptiis exiſtunt: qua in re demonſtratur item is, qui orationem hanc conſcripſit, cælebs non fuiſſe.

CAPVT III.

VTINAM aliquo modo fieri poſſet, vt ex hoc ſtudio mihi quoque aliquid amplius contingeret, quo propenſiore animi voluntate, ego in hoc ſtudij genere laborem poſuiſſem: quoniam ſi ea ſpe ducerer, vt, quemadmodum litteris proditum eſt, frugum quæ ex aratione, trituráve percipiũtur, partem ego quoque aliquam ferrem; accuratè ſanè in hac oratione elaboraſſem. Nunc verò mihi virginaliũ laudum cognitio quodam modo inanis eſt ac minimè fructuoſa: quales ſolent eſſe terræ fruges boui, qui ore frenis impedito ad aream conuertitur: id quod accidit item ei qui

---

Μνήμη τῶν ἐκ τοῦ γάμου δυσχερῶν· καὶ ἔνδειξις τοῦ, τὸν γεγραφότα τὸν λόγον μὴ ἄγαμον εἶναι.

D

ΚΕΦΑΛΑΙΟΝ Γ'.

ΕΙΘΕ' πως οἷόν τε ἦν κἀμοί τι γενέσθαι πλέον ἐκ τῆς τοιαύτης σπουδῆς· ὡς μετὰ πλείονος ἂν τῆς προθυμίας τὸν περὶ τούτων πόνον ᾑρησάμην, εἴπερ κατὰ τὸ γεγραμμένον, ἐπ' ἐλπίδι τοῦ μετασχεῖν τῶν ἐκ τοῦ ἀρότρου καὶ ἀλοητοῦ γεννημάτων ἐφιλοπόνουν τὸν λόγον. νυνὶ δὲ τρόπον τινὰ ματαία καὶ ἀνόνητος ἡ γνῶσις ἐμοὶ τῶν τῆς παρθενίας καλῶν, ὡς τῷ βοῒ τὰ γεννήματα, τῷ μετὰ κημοῦ ἐπιστρεφομένῳ τὴν ἅλωνα· ἢ ὡς τῷ διψῶντι τὸ

ἀπορρέον τῶν κρημνῶν ὕδωρ, ὅταν ἀνέφικτον ᾖ· μακάριοι δὲ οἷς ἐν ἐξουσίᾳ τῶν βελτιόνων ἐστὶν ἡ αἵρεσις, καὶ οὐκ ἀπετειχίσθησαν τῷ κοινῷ προληφθέντες βίῳ, καθάπερ ἡμεῖς οἷόν τινι χάσματι πρὸς τὸ τῆς παρθενίας καύχημα διειργόμεθα, πρὸς ἣν οὐκ ἔστιν ἐπανελθεῖν ἔτι τὸν ἅπαξ τῷ κοσμικῷ βίῳ τὸ ἴχνος ἐναπερεισάμενον. διὰ τοῦτο θεαταὶ μόνον τῶν ἀλλοτρίων ἐσμὲν καλῶν ἡμεῖς, καὶ μάρτυρες τῆς ἑκατέρων μακαριότητος· κἂν τι δέξιον περὶ παρθενίας βοήσωμεν, ταὐτὸν πάσχομεν τοῖς ὀψοποιοῖς τε καὶ ὑπηρέταις, οἳ τὴν ἐπιτραπέζιον τῶν πλουσίων τρυφὴν ἄλλοις ἡδύνουσιν, οὐδενὸς αὐτοὶ τῶν προεσκευασμένων μετέχοντες· ὡς μακάριόν γε ἂν ἦν, εἰ μὴ οὕτως εἶχε, μηδὲ τῇ ὑστεροβουλίᾳ τὸ καλὸν ἐγνωρίσαμεν· νυνὶ δὲ ζηλωτοὶ μὲν ὄντως, καὶ πάσης εὐχῆς καὶ ἐπιθυμίας ἐπέκεινα περιέποντες, οἷς ἡ δύναμις τῆς ἀπολαύσεως τῶν ἀγαθῶν τούτων οὐκ ἀποκέκλεισται· ἡμεῖς δὲ καθάπερ οἱ τῇ πολιτείᾳ τοῦ πλούτου τὴν ἑαυτῶν παραθεωροῦντες πενίαν, πλέον ὀδυνῶνται τοῖς παροῦσι καὶ δυσχεραίνουσι· τὸν αὐτὸν τρόπον ὅσῳ πλέον τὸν τῆς παρθενίας πλοῦτον ἐπιγινώσκομεν, τοσούτῳ μᾶλλον οἰκτείρομεν τὸν ἄλλον βίον, διὰ τῆς τῶν βελτιόνων παρεξετάσεως, οἷ καὶ ὅσον πτωχεύει καταμανθάνοντες. οὐ λέγω μόνον ὅσα ὕστερον τοῖς κατ᾽ ἀρετὴν βεβιωκόσιν ἀπόκειται, ἀλλὰ καὶ ὅσα τῆς παρούσης ἐστὶ ζωῆς· εἰ γάρ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι τοῦ βίου τούτου τὸ πρὸς τὴν παρθενίαν διάφορον, τοσαύτην εὑρήσει τὴν διαφορὰν, ὅση σχεδὸν πρὸς τὰ οὐράνια τῶν ἐπιγείων ἐστίν· ἔξεστι δὲ γνῶναι τὴν τοῦ λόγου ἀλήθειαν, αὐτὰ διασκεψαμένους τὰ πράγματα· πόθεν δέ τις ἀρξάμενος ἐπαξίως ἂν τὸν βαρὺν τοῦτον ἐκτραγῳδήσειεν; ἢ πῶς ἂν εἰς τὰ κοινὰ τοῦ βίου ὑπ᾽ ὄψιν ἀγάγοι κακά; ἃ πάντες μὲν οἱ ἄνθρωποι διὰ τῆς πείρας γινώσκουσιν, οὐκ οἶδα δὲ ὅπως ἐν αὐτοῖς τοῖς εἰδόσιν αὐτὰ λανθάνειν ἡ φύσις ἐμηχανήσατο, ἑκουσίως τῶν ἀνθρώπων ἐν οἷς εἰσιν ἀγνοούντων. βούλει ἀπὸ

A aquã ſitit è præruptis ſaxis defluentem, neque eam capere poteſt. Præclarè quidem cum iis agitur, quibus integrum & liberũ eſt meliora deligere: quique cum communi ſe vitæ dederint, quaſi vallo aliquo circũſepti non tenentur: quemadmodum nos, qui veluti quodam terrarum hiatu prohibemur, quò minus ad hanc virginalem gloriam accedamus, quam attingere illis amplius non licet, qui in humanæ vitæ curriculo veſtigiũ ſemel impreſſerint. Quare nos alienarum laudum ſpectatores, beatęque aliorum vitæ teſtes, licet magnum aliquid, B & præclarum de virginitate cogitemus: tamen idem nobis contingit, quod conditoribus, adminiſtríſque conuiuij vſu venire ſolet, qui cõquiſitiſſimis cibis ad aliorum voluptatem diuitum menſas condiunt; ipſi verò earũ rerum, quæ apparatæ ſunt, nullam omnino partem habent: quàm beati eſſemus, niſi res ita ſe haberet: neque nos præpoſtero conſilio ſeroque malum cognoſceremus. Certè huiuſce laudis hi æmulationem reuera profitentur, ac plus ſanè, quam cupiunt, & optant, illi quidem agunt, quibus ad bona hæc perfruenda nõ eſt obſtructus C aditus. Nos verò iam in ea porro conditione ſumus, in qua ij, qui diuitiarũ, atq. opum amplitudine ſuam cùm ipſi contemplentur paupertatem, maiores ex rerum ſuarum ſtatu ſibi ſtruunt ſolicitudines, vehementiúſque torquẽtur. Ita nos quò magis virginitatis diuitias cognoſcimus, eo grauius, rebus melioribus indagatis, aliud vitæ genus lugemus; cùm animaduertamus quibus quantíſve bonis careat, neque iis ſolum, quæ illos manent, qui honeſtè, caſtéque vixerunt, ſed illis etiam, quæ huius vitæ propria ſunt. Siquis enim diligenter exquirere velit, quæ ſit hu- D ius à virginali vita diſſimilitudo: tantam profectò inueniet, quanta fermè eſt terrenarum rerum à cœleſtibus: huiúſque orationis veritatem cognitam, exploratámque ij habere poſſunt, qui res ipſas ratione, animóque luſtrauerint. Vnde igitur quis initium faciendo, acerbam hanc vitam tragicè ſatis deploraret? aut quo modo hæc communia vitæ incommoda ob oculos poneret, cùm ex vſu ſatis hæc ipſa omnes intelligant? Ac neſcio quo modo natura effecit, vt hæc ipſa ignota ſint iis, qui ea perſpiciunt, cùm homines, in quibus hæ res inſunt, vltrò ignorent. Sed lubet ne vę

à rebus iucundiſſimis exordiamur? Igitur rerum omnium quas in nuptiis homines expetunt, caput illud eſt, vt conuictum, vitæque ſocietatem iucundiſſimam aſſequatur. Atque hęc quidem ita ſe habeant: nuptiæque omni ex parte quam beatiſſimæ deſcribantur: generis nobilitas, diuitiarũ ſatis, apta vtriuſque ætas, pulchritudinis flos, charitas ſumma, & quanta maxima cogitari poteſt vtriuſque erga alterum: dulcis illa contentio, cum alter alterũ in amore ſtudet vincere. Accedant ad hæc gloria, opes, potentia, ſplendor, & omne denique, quod addi lubet. Attamen tu velim videas ægritudinem quandã, quæ ſenſim hominem cõficit, vnaque neceſſario iis rebus ineſt, quę in bonis numeratę ſunt. Prætereo inuidiã, quæ concitari in eos ſolet, qui gloriæ aſſequuti ſunt ſplendorem: neque cõmemoro, quàm facile hominum inſidiis illud expoſitum ſit, cùm quis in vita rebus ſecundis vti videtur; quàm ve paratus ſit omnis, cui bonorũ æquatio non contingit, naturale quoddam odiũ habere in eum, qui plus adeptus eſt: atque propterea iis, qui optima animi cõſtitutione eſſe vidétur, propter ſuſpicionem quandã moleſtiarum plus vita hæc, quàm voluptatũ affert. Miſſa hæc facio, quaſi contra eos omnis langueſcat inuidia. At non facile inuenire quempiam licet, in quo hæc duo ſimul cõuenerint, vt ſecũdiorib⁹, quàm multi, rebus vtatur, & inuidiã declinet. Sed tamen faciamus eſſe, vt ab his omnibus, ſi videtur, vacua ſit, & libera hominũ vita: videamúſq. an fieri poſſit, vt qui hoc ſecundo rerum curſu vtuntur, tranquillo, rectóq. animi ſtatu ſint. quid igitur erit, inquies, quod moleſtiam afferat, niſi florentiſſimos homines attigerit inuidia? Hoc ipſum dixerim, cùm illorum vita omnibus circũfluit bonis, quod eſt doloris incitamẽtum. Nam quàm diu homo res mortalis eſt, & caduca; ſepulchraque eorum, à quibus ortus eſt intuetur; ſi paululum modo rationis eſt particeps, in dolore eſt, qui cum hac vita coniunctus ſeparari & auelli non poteſt. Nam aſſidua, quotidianáque mortis expectatio nullis certis, neque definitis ſignis cognita, ſed propter incertos caſus ſemper, veluti præſens, perterrefaciens, hanc vitæ iucunditatem perpetuo turbat, atque rerum, quæ ſperantur, metu lætitias omnes peruer-

A τῶν ἡδίστων ἀρξώμεθα; οὐκοῦν τὸ κεφάλαιον τῶν ἐν τῷ γάμῳ σπουδαζομένων τὸ, κεχαρισμένης ἐπιτυχεῖν ἐστι συμβιώσεως· καὶ δὴ ταῦθ' οὕτως ἐχέτω, καὶ διὰ πάντων μακαριστὸς ὑπογεγράφθω ὁ γάμος· γένος εὐδόκιμον, πλοῦτος ἀρκῶν, ἡλικία συμβαίνουσα, τῆς ὥρας αὐτὸ τὸ ἄνθος, φίλτρον πολὺ, καὶ ὅσον ἐστὶν ἐν ἑκατέρῳ ὑπὲρ τοῦ ἄλλου ὑπονοείσθω· γλυκεῖα ἐκείνη φιλονεικία τὸ, ἑαυτὸν βούλεσθαι νικᾶν ἐν τῇ ἀγάπῃ ἑκάτερον. προσκείσθω τούτοις δόξα καὶ δυναστεία καὶ περιφάνεια, καὶ

B πᾶν ὅ, τι βούλει. ἀλλ' ὅρα καὶ τὴν τοῖς ἀπηριθμημένοις χρηστοῖς ἀναγκαίως συμπαροῦσαν καὶ ὑποσμύχουσαν λύπην. οὐ λέγω τὸν τοῖς εὐδοκιμοῦσιν ἐπιφυόμενον φθόνον, καὶ τὸ, πρόχειρον εἶναι πρὸς ἐπιβουλὴν τῶν ἀνθρώπων τὸ δοκοῦν εὐημερεῖν ἐν τῷ βίῳ, καὶ ὅτι πᾶς ὁ μὴ ἰσομοιρῶν ἐν τοῖς κρείττοσι, φυσικόν τι πρὸς τὸν ὑπερέχοντα τὸ μῖσος ἔχει· καὶ διὰ τοῦτο δι' ὑποψίας τοῖς δοκοῦσιν εὐθυμεῖν ὁ βίος ἐστὶ, πλείω τῶν ἡδέων τὰ λυπηρὰ παρεχόμενος· παρίημι ταῦτα, ὡς καὶ τοῦ φθόνου

C κατ' ἐκείνων ἀργοῦντος. καίτοι γε οὐ ῥᾴδιόν ἐστιν εὑρεῖν ὅ, τῳ τὰ δύο κατὰ ταὐτὸν συνηνέχθη. καὶ ὑπὲρ τοὺς πολλοὺς εὐδαιμονεῖν, καὶ διαφεύγειν τὸν φθόνον. πλὴν ἀλλὰ πάντων τῶν τοιούτων ἐλευθέραν αὐτὴν τὴν ζωὴν εἰ δοκεῖ ὑποθώμεθα, καὶ ἴδωμεν εἰ δυνατόν ἐστιν εὐθυμεῖν τοὺς ἐν τοιαύτῃ διάγοντας εὐημερίᾳ. τίς οὖν ἔσται τὸ λυποῦν, ἐρεῖς, εἰ μηδὲ ὁ φθόνος τῶν εὐδαιμονούντων καθάπτεται; τοῦτο αὐτό φημι τὸ, διὰ πάντων αὐτοῖς τὸν βίον καταγλυκαίνεσθαι, τοῦτό ἐστι τὸ τῆς λύ-

D πης ὑπέκκαυμα. ἕως γὰρ ἄνθρωποι ὦσι, τὸ θνητὸν τοῦτο καὶ ἐπίκηρον πρᾶγμα, καὶ τοὺς τάφους τῶν ἀφ' ὧν γεγόνασι βλέπωσιν, ἀχώριστον ἔχουσι καὶ συνεζευγμένην τῇ ζωῇ τὴν λύπην, εἰ καὶ μικρὸν μετέχοιεν τοῦ λογίζεσθαι· ἡ γὰρ διηνεκὴς τοῦ θανάτου προσδοκία, οὐκ ἐπὶ ῥητοῖς τισὶ σημείοις ἐπιγινωσκομένη, ἀλλὰ διὰ τὴν ἀδηλίαν τοῦ μέλλοντος, πάντοτε ὡς ἐνεστηκυῖα φοβοῦσα, τὴν ἀεὶ παροῦσαν εὐφροσύνην συγχεῖ, τῷ φόβῳ τῶν ἐλπιζομένων τὰς εὐθυμίας ἐπιταράσσου-

σα. Εἰ γὰρ ἦν δυνατὸν πρὸ τῆς πείρας τὰ τῶν πεπειραμένων μαθεῖν, εἰ γὰρ ἐξῆν δι᾽ ἄλλης τινὸς ἐπινοίας ἐντὸς τοῦ βίου γινόμενον, ἐποπτεῦσαι τὰ πράγματα, πόσος ἂν ἦν ὁ δρόμος τῶν αὐτομοληκότων πρὸς τὴν παρθενίαν ἀπὸ τοῦ γάμου; πόση φυλακὴ καὶ προμήθεια τοῦ, μήποτε ἀφύκτοις παγαῖς ἐγκρατηθῆναι, ὧν τὴν δυσχέρειαν οὐκ ἔστιν ἄλλως δι᾽ ἀκριβείας μαθεῖν, μὴ ἐντὸς τῶν ἀρκύων γινόμενον; εἶδες γὰρ ἄν, εἴπερ ἰδεῖν ἀκινδύνως ἐξῆν, πολλὴν τῶν ἐναντίων τὴν σύγχυσιν, γέλωτα δακρύοις ἐμπεφυρμένον, καὶ λύπην εὐφροσύναις συμμεμιγμένην, πανταχοῦ τοῖς γινομένοις συμπαρόντα διὰ τῶν ἐλπίδων τὸν θάνατον, καὶ ἑκάστου τῶν καθ᾽ ἡδονὴν ἐφαπτόμενον. ὅταν ἴδῃ ὁ νυμφίος τὸ ἀγαπώμενον πρόσωπον, εὐθὺς πάντως καὶ ὁ φόβος τοῦ χωρισμοῦ συνεισέρχεται· κἂν ἀκούσῃ τῆς ἡδίστης φωνῆς, καὶ τὸ, μὴ ἀκούσεσθαί ποτε ἐννοήσει. καὶ ὅταν εὐφρανθῇ τῇ θεωρίᾳ τοῦ κάλλους, τότε μάλιστα φρίττει τὴν προσδοκίαν τοῦ πένθους· ἐὰν τὰ τίμια τῇ νεότητι, καὶ ὅσα παρὰ τῶν ἀνοήτων σπουδάζεται κατανοήσῃ· οἷον ὀφθαλμὸν τοῖς βλεφάροις λάμποντα, καὶ ὀφρὺν περικεχυμένην τῷ ὄμματι, καὶ παρειὰν ἐν ἡδεῖ καὶ γλαφυρῷ μειδιάματι, καὶ χεῖλος ἐπανθισμένον τῷ φυσικῷ ἐρυθήματι, κόμην τε χρυσομιγῆ καὶ βαθεῖαν τῷ ποικίλῳ τῆς ἐμπλοκῆς τῇ κεφαλῇ περιστίλβουσαν, καὶ πᾶσαν τὴν πρόσκαιρον ἀγλαΐαν ἐκείνην, τότε πάντως, κἂν μικρὸν αὐτῷ προσῇ τοῦ λογίζεσθαι, κἀκεῖνο τῇ ψυχῇ ἐννοεῖ, ὅτι τοῦτο τὸ κάλλος οἰχήσεταί ποτε διαρρυέν, καὶ εἰς τὸ μὴ ὂν περιστήσεται, ὀστᾶ βδελυρά τε καὶ εἰδεχθῆ ἀντὶ τοῦ νῦν φαινομένου γινόμενον, οὐδὲν ἴχνος, οὐδὲν μνημόσυνον, οὐδὲν λείψανον τοῦ παρόντος ἄνθους ἐπιφερόμενον. εἰ ταῦτα καὶ τὰ τοιαῦτα διανοοῖτο, ἆρα ἐν εὐφροσύνῃ βιώσεται; ἆρα πιστεύσει τοῖς παροῦσιν αὐτῷ χρηστοῖς, ὡς ἀεὶ παραμένουσιν; ἢ δῆλον ἐκ τούτων, ὅτι καθάπερ ἐν ταῖς τῶν ὀνείρων ἀπάταις ἀμηχανήσει, καὶ ἀπίστως πρὸς τὸν βίον ἕξει, ὡς ἀλλοτρίοις προσέχων τοῖς φαινομένοις; συνιεῖς πάντως, εἴπερ ἔχεις τινὰ τῶν ὄντων ἐπίσκεψιν, ὅτι οὐδὲν τῶν ἐν τῷ βίῳ

A tit. Si enim fieri poſſet, vt ante periculum rerũ, quas poſtea quis eſt expertus, diſceret; aut aliqua alia cõiectura is, qui in hac vita verſatur, res perſpicere poſſet, quãtus profectò fieret illorũ cõcurſus, qui ad virginitatem à nuptiis confugerent? quanta cautio prouiſioq. animi adhiberetur, vt inexplicabilibus iis laqueis nunquam ſe irretiſſent, quorũ difficiles nodos non poteſt alius accuratè cognoſcere, niſi qui retib° ipſis illaqueatus tenetur? Cerneres enim, ſi hoc tamẽ ſine periculo liceret, multam rerũ inter ſe diſſimiliũ perturbationẽ, riſum luctu
B admiſtum, mœrorẽ cum lætitia confuſum, ſempérq. iis, qui nati ſunt, propter ſpes, quas ſibi proponunt, mortẽ impendere, ac ſingula, quæ in voluptate poſita ſunt, attingere. Sponſus honeſtam faciem, & amabilem cùm cernit, cõtinuò eum metus inuadit, ne à ſe diſiungatur: cùm ſuauiſsimã vocẽ auribus percipiet, ei in mentẽ ſtatim veniet, à ſe nunquam amplius auditũ iri: formoſo & liberali aſpectu cùm delectatus eſt, tum luctus expectationẽ horret: ac denique quæ adoleſcentes in pretio & in honore habent, quæve inſani expetunt, ſi ea intue-
C bitur, verbi cauſa, oculum palpebrarum venuſtate inſignem, ſupercilium oculi decore circumfuſum, genas forma & lepore eleganti affluentes, labrum naturali rubore ſuffuſum, comã auro intextam, capitis verticem variis coloribus gemmíſque refulgentem, & omnem illum denique venuſtatis ſplendorẽ qui ad tempus manet: tum omnino, ſi vel paulũ rationis in eo ſit, illud ſimul mente intuetur, omnem illam venuſtam aliquando prorſus interituram eſſe, ad oſſa deformia, turpia, ac fœda redactã, amiſſa priſtina ſpecie, nullum autẽ veſtigiũ,
D nullum monumentum, nullas huius floris reliquias afferentem. Si igitur hæc, cæteráq. huiuſmodi ſecum quis animo reputarit, num iucũdè viuet? num in iis, quæ ipſe bona poſſidet, fiduciam, ſpemque ponet, quaſi illa perpetuo maneãt? nonne ex his exploratũ habet, ſe veluti inſomniorum fallaciis incertum fore, nihil in iis, quæ ad hanc vitã pertinent, ſe fidei habiturum, cùm in eas res, quæ videntur eſſe, tanquã in alienas incumbat? Iam planè intelligis, ſi rerum, quæ ſunt, aliquam rationem tenes, nihil eorum, quæ in hac vita ſpeciem aliquam

præbent ita, vt eſt, videri, ſed omnia ex opinionis errore diuerſa ſeſe nobis oſtendere; ſpe eos illudendo, qui illis intenti ſunt, occultandóque ſeſe ſpecie quadam eorum quæ videntur, dum è veſtigio in commutationibus aliquid aliud compertum ſit præter hominum ſpem, quæ ſtultis errore quodam innaſcitur. Ergo qua voluptate ei, qui hæc ratione ſecum cogitat, digna videntur? num vitæ iucunditates is verè ſentiet, qui hæc intelligit? & iis rebus, quas putat in bonis habere, omnino gaudebit? non viciſſitudinis perpetuo metu affectus, guſtum, qui ex his rebus capitur, ſine ſenſu voluptatis habebit? Prætereo ſigna, prodigia, ſomnia, vaticinationes, cæteraſque id generis ineptias: quæ omnia ſtulta hominum conſuetudine obſeruata in peiorem partem coniectura trahuntur. Sed tempus pariendi inſtat, laborat puella è dolore: neque pueri ortus, ſed quia mors tum imminet, hoc negotium putatur: mors enim prægnantis propter incertum partus exitum timetur: eóſque ſæpe hæc mala diuinatio non fefellit: antè verò quàm diem natalem egerint, bonumque vllum, quod in ſpe eſſet, deguſtarint, omne gaudium in mœrorem repente commutarunt. Præterea qui amore flagrant, neque dum rerum, quæ in vita iucundiſſimæ ſunt, quaſi ſpecie voluptatis aliqua in ſomnis oblata, ſenſum ceperunt: hi ab omnibus, quæ in manibus tenent, ſubito diuelluntur. Ad hæc illud etiam, quòd eorum cubiculum à domeſticis, vt ab hoſtibus, diripitur: cubiculique loco funeris exequiæ exornantur: inſanæ in his lamentationes ac plangores, inanes manuum percuſſiones, anteactæ vitæ commemorationes, diræ deteſtationes eorum qui nuptias ſuaſerunt: querelæ grauiſſimæ de amicis, qui non prohibuerunt: in magna culpa parentes, ſi adſunt, ſin minus, ſtomachatio, & deploratio humanæ vitæ, naturæque omnis reprehenſio, & contra Dei ipſius prouidentiam criminationes, & accuſationes multæ: ſecum pugnæ, bellum cum iis qui adhortati ſunt: nullis aut verbis aut rebus inſulſiſſimis abſtinent. Quos enim perturbatio mentis ſuperauerit, & qui præ dolore

A φαινομένων, ὡς ἔστι φαίνεται· ἀλλὰ κατὰ τὰς
ἀπατηλὰς φαντασίας, ἕτερα δι' ἑτέρων ἡμῖν
προδείκνυσι, διαπαίζων τοῖς ἐλπίσι πρὸς
αὐτὸν κεχηνότας· καὶ διὰ τῆς τῶν φαινομένων
πλάνης συγκαλύπτων αὐτὸς ἑαυτὸν, ἕως ἂν
ἀθρόως ἐν ταῖς μεταβολαῖς ἐλεγχθείη ἄλλο τι
ὢν παρὰ τὴν ἀνθρωπίνην ἐλπίδα, τὴν διὰ
τῆς ἀπάτης τοῖς ἀνοήτοις ἐγγινομένην. ποίας
οὖν ἡδονῆς ἄξια τῷ ταῦτα λογιζομένῳ φα-
νεῖται τὰ ἡδέα τοῦ βίου; πότε ἡσθήσεται κατὰ
ἀλήθειαν ὁ ταῦτα φρονῶν, καὶ τοῖς δοκοῦσιν
αὐτῷ παρεῖναι χρηστοῖς εὐφρανθήσεται; οὐχ ἀεὶ
τῷ φόβῳ τῆς μεταβολῆς ταραττόμενος, ἀνε-
B παίσθητον ἔχει τὴν τῶν παρόντων ἀπόλαυσιν;
ἐῶ σημεῖα, καὶ ὀνείρους, καὶ κληδόνας, καὶ τοὺς
τοιούτους λήρους, πάντα ὑπὸ ματαίας συνη-
θείας παρατηρούμενα, καὶ πρὸς τὸ χεῖρον ὑ-
ποπτευόμενα· ἀλλὰ καιρὸς ὠδίνων τὴν παῖ-
δα καταλαμβάνει· καὶ οὐχὶ παιδὸς γένεσις,
ἀλλὰ θανάτου παρουσία τὸ πρᾶγμα νομί-
ζεται, καὶ θάνατος τῆς κυοφορούσης διὰ τοῦ
τόκου ἐλπίζεται. πολλάκις δὲ καὶ τῆς πονη-
ρᾶς ταύτης μαντείας οὐ διεψεύσθησαν, ἀλ-
λὰ πρὶν ἑορτάσαι τὴν γενέθλιον ἑορτὴν, πρίν
τινος τῶν κατ' ἐλπίδα ἀγαθῶν ἀπογεύσα-
C σθαι, εὐθὺς εἰς θρῆνον τὴν χαρὰν μεθηρμό-
σαντο, ἔτι τῷ φίλτρῳ ζέοντες, ἔτι τοῖς πόθοις
ἀκμάζοντες· οὔπω τῶν κατὰ τὸν βίον ἡδίστων
λαβόντες τὴν αἴσθησιν, ὥσπερ τινος ἐνυπνίου
φαντασίᾳ, πάντων εὐθέως τῶν ἐν χερσὶν ἐχω-
ρίσθησαν· τὰ δὲ ἐπὶ τούτοις οἷα; πορθεῖται μὲν
ὑπὸ τῶν οἰκείων ὡς ὑπὸ πολεμίων ὁ θάλα-
μος· καλλωπίζεται δὲ ἀντὶ τοῦ θαλάμου διὰ
τοῦ τάφου ὁ θάνατος. ἀνακλήσεις ἐπὶ τούτων
ἀνόνητοι, καὶ μάταιοι χειρῶν κρότοι, ἀναμνήσεις
D τοῦ προτέρου βίου, κατάραι κατὰ τῶν συμβου-
λευσάντων τὸν γάμον, μέμψεις κατὰ τῶν μὴ
κωλυσάντων φίλων, ἐν αἰτίᾳ πολλῇ οἱ γονεῖς,
ἄν τε παρόντες τύχωσιν ἄν τε καὶ μὴ, ἀγα-
νάκτησις κατὰ τῆς ἀνθρωπίνης ζωῆς, κα-
τηγορία πάσης τῆς φύσεως, κατ' αὐτῆς τῆς
θείας οἰκονομίας μέμψεις πολλαὶ καὶ ἐγκλή-
ματα, μάχη πρὸς ἑαυτὸν, πόλεμος κατὰ τῶν
νουθετούντων, οὐδεὶς τῶν ἀτοπωτάτων ὄκνος οὔ-
τε ῥημάτων οὔτε πραγμάτων· πολλάκις δὲ, οἷς ἂν
ὑπάρχῃ τὸ πάθος, καὶ προσωτέρως καταποθῇ,
ὁ λο-

ὁ λογισμὸς ὑπὸ τῆς λύπης, εἰς πικρότερον πέρας ἡ τραγῳδία κατέληξεν, οὐδὲ τοῦ περιληφθέντος ἐπιβιῶναι τῇ συμφορᾷ δυνηθέντος· ἀλλ' οὐχὶ τοῦτο· ὑποθώμεθα δὲ τὰ βελτίω, ὅτι καὶ διέφυγε τῶν ὠδίνων τὸν κίνδυνον, καὶ γέγονεν αὐτοῖς παῖς, αὐτὸ τῆς ὥρας τῶν γεννησαμένων τὸ ἀπεικόνισμα· τί οὖν ἠλαττώθη διὰ τούτων ἡ τοῦ λυπεῖσθαι ὑπόθεσις; ἢ οὐχὶ καὶ προςθήκας μᾶλλον ἐδέξατο; τούς τε γὰρ προτέρους ἔχουσι φόβους, καὶ τὸν ὑπὲρ τοῦ τέκνου προςέλαβον, μή τι συμβῇ περὶ τὴν ἀνατροφὴν ἀηδές· μή τις πονηρὰ συντυχία· μή τι B σύμπτωμα τῶν ἀβουλήτων, ἢ πάθος, ἢ πήρωσιν, ἢ κίνδυνον ἐπαγάγῃ τινά· καὶ ταῦτα μὲν ἀμφοτέρων κοινά· τὰ δὲ τῆς γαμετῆς ἴδια, τίς ἂν ἐξαριθμήσαιτο; ἵνα γὰρ ἐάσωμεν τὰ προχειρότατα καὶ πᾶσι γνώριμα, τὸ τῆς κυοφορίας ἄχθος, τὸν ἐν ταῖς ὠδῖσι κίνδυνον, τὸν ὑπὲρ τῆς ἀνατροφῆς πόνον, τὸ, τὴν καρδίαν αὐτῆς τῷ τεχθέντι συναποσχίζεσθαι· κἂν πλειόνων γένηται μήτηρ, εἰς τοσαῦτα κατατέμνεσθαι αὐτῆς τὴν ψυχὴν, ὅσος ὁ ἀριθμὸς τῶν τέκνων ἐστί· τὸ τῶν συμβαινόντων ἐκείνοις τὴν αἴσθησιν ἐν τοῖς ἰδίοις σπλάγχνοις C δέχεσθαι· καὶ πάντα τὰ τοιαῦτα γνώριμα πᾶσιν ὄντα, τί ἄν τις λέγοι; ἀλλ' ἐπειδὴ κατὰ τὸ θεῖον λόγιον, οὐχ ἑαυτῆς ἐστὶ κυρία, πρὸς δὲ τὸν διὰ τοῦ γάμου κυριεύσαντα τὴν ἀποστροφὴν ἔχει, κἂν πρὸς ὀλίγον αὐτοῦ μονωθῇ, ὡς τῆς κεφαλῆς διεζευγμένη, οὐ φέρει τὴν μόνωσιν, ἀλλὰ μελέτην τινὰ τῆς ἐν τῇ χηρείᾳ ζωῆς, καὶ τὴν ἐν ὀλίγῳ τοῦ ἀνδρὸς ἀναχώρησιν οἰωνίζεται· εὐθὺς ὁ φόβος ἀπόγνωσιν ἐμποιεῖ τῶν χρηστοτέρων ἐλπίδων· καὶ διὰ τοῦτο ὁ μὲν ὀφθαλμὸς περὶ τὴν εἴσοδον πέπηγε, D γέμων ταραχῆς καὶ πτοήσεως· ἡ δὲ ἀκοὴ τοὺς ὑπολαλοῦντας περιεργάζεται· συγκόπτεται δὲ ἡ καρδία μαστιζομένη τῷ φόβῳ, καὶ πρίν τι προςαγγελθῆναι νεώτερον· καὶ μόνος ψόφος περὶ τὴν θύραν ἢ ὑπονοηθεὶς, ἢ γενόμενος, ὥσπερ τις ἄγγελος κακῶν ἐξαίφνης τὴν ψυχὴν διεκλόνησεν. καὶ τὰ μὲν ἔξω δεξιὰ τυχὸν καὶ οὐδενὸς ἄξια φόβου· φθάνει δὲ ἡ λειποθυμία τὴν ἀγγελίαν, καὶ ἀναστρέφει πρὸς τὸ ἐναντίον ἀπὸ τῶν ἡδίων τὴν γνώμην·

A ſæpe mente deſeruntur, peiori termino eorum tragœdia ſæpe concluſa eſt, cum dolori reſiſtere minus potuerint. Sed hæc mittamus, ponamus meliora: laborum in pariendo periculum fugit, natus eſt ei ſcitus puer, imago ipſa parentum formæ. Vides perfectò quanto in bono tibi ex argumenti ratione gratificetur oratio. Quid? éſtne propterea deplorandi materia imminuta, an non potius adaucta? Nam cùm ſuperiores illi formidines ſuſtinēt, tum hanc etiam filij cauſa aſſumpſerūt: metuunt enim, ne quid in educatione rei acerbæ accidat, ne qua communis mala fortuna B impendeat, néve fortuitus aliquis caſus aut morbum, aut febrim, aut periculum ei aliquod importet. Atque hæc quidem vtriuſque communia: illa verò, quæ vxoris ſunt propria, quis commemoret? vt prętereamus ea, quæ in promptu ſunt, atque omnibus notiſſima, veluti prægnantis moleſtias, pariendi periculum, educationis labores, & quandam denique cordis ipſius præ amore filij quaſi conuulſionem. Si verò complurium liberorum mater eſt, eius animus in totidem curas diſtrahi- C tur, quot illi numero ſunt, tanquam, quæ illis accidant, ipſius viſceribus infixa planè hæreant. Hæc autem, quæ perſpecta omnes habent, quis oratione complectatur? Sed quando illa ex diuino præcepto non eſt ſui iuris, verùm ab eius voluntate, in cuius arbitrio propter nuptias eſt, omnino pendet: ſi exiquo tempore eſt ab eo relicta, quaſi capite à ſe conuulſo ſolitudinem ferre non poteſt, & tanquam vitæ ſolitudinem, viduitatémque exiguam viri ſeparationem interpretatur: continuò metus efficit, vt in nulla ſit rerum expectatione meliorum. Atque eam ob cau- D ſam oculus eius plenus perturbationis ac formidinis in ædium aditum oſtiumque coniectus eſt: aures autem ſuſurrationes obloquentium obſeruant: rerumque terribilium metu perculſum cor eius diſrumpitur: antè verò quàm rerum nouarum aliquid allatum ſit, oſtij vel ſolus concrepitus, ſiue factus, ſiue cogitatione comprehenſus, quaſi malarum rerum nuncius eueſtigio eius animum commouit: fortaſſéque nihil abſenti marito aduerſi accidit, aut metu dignum: ſed animi conſternatione, nullo accepto nuncio, mentem à iucundis rebus ad contraria conuertit.

A Hæc eſt felicium hominum vita, valde ſcilicet digna: non enim cum virginali libertate comparatur. Atqui multa, quæ grauiora ſunt, percurrens præterit oratio. Nam ſæpe illa cùm adoleſcentula eſt, atque in ſponſæ ſplendore elucet, fortaſſéque adhuc ſponſi aduentu rubet, & pudens limis aſpectat: quandoquidem cùm animi cupiditates pudore quodam comprimuntur, quo minus ſeſe oſtendant, acriores fieri contingit: tum de improuiſo viduitas, ærumna, ſolitudo: quæve horribilia ſunt, nomina ſibi imponit, & ecce, quæ lauta modo erat amictu candido, ornatúque inſigni, repente quæ incidit calamitas, eam pulla veſte, atroque habitu induit, dilaceratóque ſponſæ ornatu, in luctum illam & ſqualorem conijcit: deinde pro luce in nuptiali cubiculo caligo, & tenebræ, luctus, lamentabiles ploratus, atque odium in eos, qui dolorẽ lenire conantur: cibique abſtinentia, corporis tabes, contractio, demiſſioque animi, mortis cupiditas, quæ ſæpe ad ipſam vſque mortem perdurat. Sin autem aliquo modo fit, vt tempore mitigetur calamitas, rurſum alia exoritur ærumna, ſiue liberos habet, ſiue caret: etenim ſi habet, orbi omnino ſunt, propterea commiſeratione digni, atque ex his ipſis doloris affectus renouatur: ſin omnino caret, mortui memoria funditus tollitur; grauiúſque eſt ſolatio malum. Reliqua, quæ ſunt viduitatis propria incommoda, omitto: quotus enim quiſque eſt, qui omnia accuratè enumeret? vt inimicos domeſticos, tum eos, qui in calamitatem incidunt, tum illos, qui ea ſolitudine gaudent, ſenſúque quodam oculorum iniquo, & cum voluptate labentem domum, ſeruóſque omnia negligentes aſpiciunt, cunctáſque alias res aduerſas, quas multas in iis quidem cernere licet: quarum cauſa non paucæ mulieres, cùm eas deridentium iniquitatem non ferrent, ex neceſſitate iterum ſe ſimilium malorum periculo obiecerunt, quaſi malis ſuis pœnas petierint ab iis, à quibus dolorem acceperint. Complures verò ſuperiorum malorum recordatione quiduis ſuſtinere, ac perpeti maluerunt, quàm in ſimiles rurſus calamitates incurrere. Sin autem cõmunes huius vitæ difficultates cognoſcere cupis, velim audias, quæ cõmemorent mulieres, quæ illud vitæ genus expertæ cognoſcunt,

A Τοιοῦτος τῶν εὐθυμούντων ὁ βίος, οὐ πάνυ γε ἄξιος· οὐ γὰρ τῇ ἐλευθερίᾳ τῆς παρθενίας ἀντεξετάζεται· καί τοι πολλὰ τῶν σκυθρωποτέρων ὁ λόγος ἐπισχεῖν κατέλιπε· πολλάκις γὰρ κἀκείνη ἔτι νέα τὸ σῶμα, ἔτι τῇ νυμφικῇ ἀγλαΐᾳ στίλβουσα, ἔτι τυχὸν ἐρυθριῶσα τοῦ νυμφίου τὴν εἴσοδον, καὶ μετ' αἰδοῦς ὑποβλέπουσα, ὅτε καὶ θερμοτέρους εἶναι συμβαίνει τοὺς πόθους, ὑπ' αἰσχύνης πρὸς τὸ ἐκφαίνεσθαι κωλυομένους, ἐξαίφνης χήρα, καὶ ἀθλία, καὶ ἔρημος, καὶ πάντα τὰ φρικτὰ μεταλαμβάνει ὀνόματα, καὶ τὴν τέως λαμπρὰν καὶ B λευχείμονα καὶ περίβλεπτον, ἀθρόως καταμελαίνει περιστᾶσα ἡ συμφορά, καὶ περιβάλλει τὸ πένθος, τὸν νυμφικὸν κόσμον ἀποσυλήσασα· εἶτα ζόφος ἀντὶ τῆς ἐν παστάδι λαμπρότητος, καὶ θρηνῳδίαι καὶ οἰμωγαὶ ἐπιτείνουσαι, καὶ μῖσος κατὰ τῶν ἐπιχειρούντων παραμυθεῖσθαι τὰ πάθη· ἀπέχθεια σιτίων· τηκεδὼν σώματος· κατήφεια ψυχῆς, ἐπιθυμία θανάτου, καὶ μέχρις αὐτοῦ τοῦ θανάτου πολλάκις ἰσχύσασα. ἐὰν δὲ καὶ παυσθῇ πως τῷ χρόνῳ ἡ συμφορά, πάλιν ἄλλη συμφορά, εἴτε ὑπάρχει τέκνα, C εἴτε καὶ μή. ὄντα μὲν γάρ, ὀρφανὰ πάντως ἐστί, καὶ διὰ τοῦτο ἐλεεινά, καὶ δι' αὐτῶν τὸ πάθος ἀνακαινίζοντα· εἰ δὲ μὴ εἴη, πρόρριζον οἴχεται τὸ τοῦ κατοιχομένου μνημόσυνον, καὶ τὸ κακὸν ὑπὲρ παραμυθίαν ἐστίν· ἐῶ τὰ ἄλλα τὰ τῆς χηρείας ἴδια. τίς γὰρ ἂν πάντα μετὰ ἀκριβείας ἀπαριθμήσαιτο; τοὺς ἐχθροὺς, τοὺς οἰκείους· τοὺς μὲν ἐπεμβαίνοντας τῇ συμφορᾷ· τοὺς δὲ φαιδρυνομένους τῇ ἐρημίᾳ, καὶ μεθ' ἡδονῆς βλέποντας ἐν πικρῷ ὀφθαλμῷ τὸν διαπίπτοντα οἶκον, καὶ τοὺς καταφρονοῦντας D οἰκέτας, καὶ πάντα τὰ ἄλλα ὅσα πάρεστιν ἀφθόνως ἐπὶ τῶν τοιούτων δυστυχημάτων ὁρᾶν· δι' ὧν αἱ πολλαὶ καὶ δευτέρας ὑπ' ἀνάγκης πρὸς τὴν τῶν ὁμοίων κακῶν προεβάλλοντο πεῖραν, οὐκ ἐνεγκοῦσαι τῶν ἐπεγγελώντων τὴν πικρίαν, ὥσπερ ἀμυνόμεναι τοὺς λυπήσαντας τοῖς ἰδίοις κακοῖς· πολλαὶ δὲ τῇ μνήμῃ τῶν συμβεβηκότων, πᾶν ὁτιοῦν ὑπέστησαν μᾶλλον, ἢ ἐμπεσεῖν ἐκ δευτέρου τῇ τῶν συμφορῶν ὁμοιότητι· καὶ εἰ βούλει μαθεῖν τὰ δυσχερῆ τοῦ κοινοτέρου βίου, ἄκουσον οἷα λέγουσιν αἱ τῇ πείρᾳ τὸν βίον γνωρίσασαι·

ὅπως μακαρίζουσι τὴν ζωὴν τῶν ἐξ ἀρχῆς τὸν ἐν παρθενίᾳ βίον προελομένων, καὶ μὴ διὰ συμφορᾶς μεταμαθόντων τὸ κάλλιον, ὅτι πάντων τῶν τοιούτων κακῶν ἀνεπίδεκτός ἐστιν ἡ παρθενία· οὐκ ὀρφανίαν θρηνεῖ· οὐ χηρείαν ὀδύρεται· ἀεὶ σύνεστι τῷ ἀφθάρτῳ νυμφίῳ· ἀεὶ ἐπαγάλλεται τοῖς τῆς εὐσεβείας γεννήμασι· τόν τε οἶκον τὸν ἀληθῶς ἴδιον, πᾶσι καλλίστοις ὁρᾷ διηνεκῶς εὐθυνούμενον, διὰ τὸ παρεῖναι καὶ ἐνοικεῖν ἀεὶ τὸν τοῦ οἴκου δεσπότην· ἐφ' ἧς ὁ θάνατος οὐ χωρισμὸν, ἀλλὰ συνάφειαν τοῦ ποθουμένου ποιεῖ· ὅταν γὰρ ἀναλύσῃ, τότε σὺν Χριστῷ γίνεται, καθώς φησιν ὁ ἀπόστολος· ἀλλὰ καιρὸς ἂν εἴη, ἐπειδὴ τὰ τῶν εὐθυμούντων ἐκ μέρους ἐξήτασται, καὶ τοὺς ἑτέρους ἐπιπλεῦσαι βίους τῷ λόγῳ, οἷς καὶ πενίαι, καὶ δυσκληρίαι, καὶ λοιπαὶ τῶν ἀνθρωπίνων παθῶν συμφοραὶ παραπεπήγασιν· οἷον πηρώσεις τε καὶ νόσοι, καὶ ὅσα τοιαῦτα τῇ ἀνθρωπίνῃ ζωῇ συγκεκλήρωται· ἐν οἷς ἅπασιν ὁ μὲν καθ' ἑαυτὸν ζῶν, ἢ διαφεύγει τὴν πεῖραν, ἢ ῥᾷον διαφέρει τὴν συμφορὰν, συγκεκροτημένην ἔχων περὶ αὐτὸν τὴν διάνοιαν, καὶ πρὸς οὐδὲν ἄλλο ταῖς φροντίσι περιελκόμενος· ὁ δὲ πρὸς γυναῖκα καὶ τέκνα μεμερισμένος, οὐδὲ σχολὴν ἄγει πολλάκις τοῖς ἰδίοις ἐπιστενάξαι κακοῖς, τῆς τῶν φιλτάτων φροντίδος τὴν καρδίαν προκατεχούσης. ἢ τάχα περιττόν ἐστι τοῖς ὁμολογουμένοις ἐνδιατρίβειν τῷ λόγῳ· εἰ γὰρ τοῖς δοκοῦσι καλοῖς τοσοῦτος πόνος καὶ ταλαιπωρία συνέζευκται, τί ἄν τις περὶ τῶν ἐναντίων στοχάσαιτο; ἥπου πᾶσα λόγου ὑπογραφὴ τῆς ἀληθείας ἐλάττων ἐστὶ, τὸν βίον αὐτῶν ὑπ' ὄψιν ἀγαγεῖν ἐπιχειροῦσα· ἀλλ' ἔστιν ἴσως δι' ὀλίγου τὸ πολὺ τῆς κατὰ τὴν ζωὴν ἀηδίας ἐνδείξασθαι, ὅτι ἐναντίως πρὸς τοὺς εὐημερεῖν δοκοῦντας συγκεκληρωμένοι τῷ βίῳ, καὶ τὰς λύπας ἀπὸ τῶν ἐναντίων ἔχουσι. τοῖς μὲν γὰρ εὐθυμοῦσι, ταράσσει τὸν βίον ὁ προσδοκώμενος ἢ καὶ παραγινόμενος θάνατος· τούτοις δὲ συμφορά ἐστιν ἡ ἀναβολὴ τοῦ θανάτου· καὶ ὁ μὲν βίος αὐτοῖς πρὸς τὸ ἐναντίον διέστηκεν· ἡ δὲ ἀθυμία πρὸς τὸ αὐτὸ πέρας ἀμφοτέροις συμφέρεται. οὕτω πολύτροπός ἐστι καὶ ποικίλη τῶν ἐκ τοῦ γάμου κακῶν ἡ χορηγία·

A quam beatiſſimas eas eſſe quæ virginalis vitæ rationem delegerunt, neque ex vlla calamitate, quid melius eſſet, didicerunt: quoniam ab omnibus his malis vacua eſt virginitas: non orbitatē luget, non viduitatē lamentatur, vnaque ſemper eſt cum incorrupto ſponſo, & fructibus pietatis perpetuò gaudet, ac domū verè propriam omni rerum optimarum genere continenter inſtitutā videt, propterea quòd harū ædium dominus vna ſemper eſt, atque incolit, vbi non ſeiunctionem, ſed cōiunctionem cum eo, cu-
B ius deſiderio tenetur, mors efficit: cum enim diſſoluitur, inquit Apoſtolus, tum eſt cum Chriſto. Sed quoniam quæ ad lætos homines pertinent, ſunt aliqua ex parte à nobis indagata; tempus iam eſt, vt hac oratione ceteras vitæ rationes perſequamur, quę paupertatibus, rebus aduerſis, reliquiſq. malorum humanorum ſunt implicatæ peſtibus: quales omnino ſunt febres, morbi, & quæcumque id generis humanæ vitæ acciderunt: quorum omnium periculum aut declinat, aut eorum calamitatem æquiùs fert is, qui ſibi viuit, vtpotè cùm
C omnis eius mentis cogitatio in ipſo hæreat, neque alienarum rerum curis abſtrahatur. Qui verò vxoris, ac liberorum cogitatione deſtinetur, propter rerum ſibi chariſſimarum curam, quæ in alienis malis animum occupat ſæpe nec otium quidem is habet, vt ſuis ipſe doleat incommodis. Sed fortaſſe ſuperuacaneum eſt hæc commemorare, quę exploratiſſima ſunt. Etenim ſi tātus labor, tantáve miſeria cum iis coniuncta eſt, quæ in rebus optimis eſſe videtur, quid aliquis de rebus contrariis opinabitur?
D quandoquidem eſt veritate inferior omnis illa ſermonis explicatio, qua quis hanc vitam ob oculos omnium ponere conatur: attamen multas fortaſſe huius vitæ iniucunditates ex paucis demonſtrari licet: quoniam quibus hoc vitæ genus contingit, ſi comparentur cum iis, qui beati eſſe videntur, è rebus contrariis dolorem, ac mœſtitiam capiunt. Nam his qui gaudenti ſunt animo, aut expectata, aut quæ iam inſtat mors perturbationem affert: illis verò calamitas eſt dilatio mortis: vitaque eorum inter ſe cōtraria eſt, quaſique interiecto diametro diſtat: vtriuſque tamen imbecillitas animi eodem termino commiſcetur. Quamobrem multiplex, & varia eſt copia malorum, quæ à nuptiis exiſtunt:

dolorem enim liberi nati æquè important, ac non nati; & rurſus tam viui, quàm mortui. Hic enim liberorum multitudine gaudet, cum non ſatis habeat vnde alat: ille verò hærede caret facultatum ſuarum, in quibus maximè elaborauit: atque vnius quidem bona forma alterius calamitatem efficit, cùm ſibi vterque illud euenire velit, quo alterum cruciari videt. Ac huic mortuus eſt ſuauiſſimus puer: illi ſuperat prodigus. vterque ſanè commiſeratione dignus: vnus quidem filij mortem, alter verò vitam luget. Prætereo, quibus affectibus, & calamitatibus ſuſpiciones, & rixæ, vel ex rebus veris, vel è falſis cogitationibus exortæ, terminentur: quis enim omnia diligenter narrare poſſet? Tu verò ſi ſcire vis, vt his rebus vita ſit hominum implicata: ne mihi repetas antiquas narrationes, quæ poëtis fabularum argumenta præbuerunt. Nam propter incredibilem quandam inſulſitatem fabulæ illæ quidem putantur: in his enim liberorum cædes, ac voracitates, fratrum trucidationes, virorum neces, matrum interemptiones, nefarij coitus, & varia denique naturæ perturbatio, cuius commemorationem ij, qui vetera narrant, à nuptiis exordiuntur, huiuſmodique calamitatibus narrationem ipſam concludunt. Verùm omnibus his prætermiſſis, tu velim in huius vitæ theatro tragœdias ſpectes, quarum omnino miniſtræ hominibus nuptiæ ſunt. Veni ad iudicia: pertracta de his leges: inuenies in illis res de nuptiis nefarias: quemadmodum enim, cùm medicos de variis morbis diſſerentes audieris, animaduerteriſque quibus, quótve morbis corpus humanum affici poteſt, illius miſerias cognoſcis: ita ex legibus, cùm perſpicias multa, & varia, quæ in nuptiis ſcelera committuntur, quorum pœnæ legibus ipſis definiuntur, accuratè intelligis, quæ ſunt nuptiarum propria: neque enim aut medicus eos, qui non ſunt, morbos curat: nec delicta item, quæ non committuntur, leges puniunt.

A λυποῦσι γὰρ ὁμοίως καὶ γινόμενοι παῖδες καὶ μὴ ἐλπιζόμενοι· καὶ πάλιν ζῶντες καὶ ἀποθνήσκοντες. ὁ μὲν γὰρ εὐθηνεῖται παισὶν, οὐδ' εὐφορίας ἔχων ἱκανῶς· τῷ δὲ οὐχ ὕπεστιν ὁ τοῦ κλήρου διάδοχος ἐπὶ πολλοῖς οἷς ἐμόχθησεν, καὶ ἐν ἀγαθῶν μοίρᾳ τὴν τῶν ἀλλοτρίων ποιεῖται συμφοράν· ἑκάτερος αὐτῶν ἐκεῖνο γενέσθαι βουλόμενος, ἐφ' ᾧ δυσφοροῦντα βλέπει τὸν ἕτερον· ᾧ μὲν γὰρ τέθνηκεν ἠγαπημένος παῖς· ᾧ δὲ ἐπιβιῷ ὁ ἄσωτος· ἐλεεινοὶ δὲ ἀμφότεροι· ὁ μὲν τὸν θάνατον τοῦ παιδὸς, ὁ δὲ τὴν ζωὴν ὀδυρόμενος. ἐῶ ζηλοτυπίας καὶ μάχας, εἴτε ἐξ ἀληθῶν πραγμάτων, εἴτε ἐξ ὑπονοιῶν συ- B νισταμένας, εἰς οἷα πάθη καὶ συμφορὰς καταλήγουσι· τίς γὰρ ἂν πάντα μετ' ἀκριβείας ἀπαριθμήσαιτο; σὺ δὲ εἰ βούλει μαθεῖν ὅπως ἐμπέπλησται τῶν τοιούτων κακῶν ἡ ἀνθρωπίνη ζωὴ, μή μοι ἀναλέξῃς τὰ παλαιὰ διηγήματα, ἃ τοῖς ποιηταῖς τῶν δραμάτων τὰς ὑποθέσεις ἔδωκε· μῦθοι γὰρ ἐκεῖνα διὰ τὴν ὑπερβολὴν τῆς ἀτοπίας νομίζονται, ἐν οἷς παιδοφονίαι, καὶ τεκνοφαγίαι, φόνοι τε ἀνδρῶν, καὶ μητροκτονίαι, καὶ ἀδελφῶν σφαγαὶ, καὶ μίξεις παράνομοι, καὶ ἡ παντοδαπὴ τῆς φύσεως σύγχυσις· ἣν οἱ τὰ ἀρχαῖα διηγούμενοι ἀπὸ C γάμων ἀρχόμενοι τῆς ἀφηγήσεως, εἰς τὰς τοιαύτας συμφορὰς καταλήγουσιν· ἀλλ' ἐκεῖνα πάντα καταλιπὼν, θεώρησον ἐπὶ τῆς παρούσης τοῦ βίου σκηνῆς τὰς ἐν αὐτῇ τραγῳδίας· ὧν χορηγὸς γίνεται τοῖς ἀνθρώποις ὁ γάμος· ἐλθὲ ἐπὶ τὰ δικαστήρια· ἀνάγνωθι τοὺς περὶ τούτων νόμους· ἐκεῖ κατόψει τὰ τῶν γάμων ἀπόρρητα· ὥσπερ γὰρ ὅταν ἰατρῶν ἀκούσῃς τὰ ποικίλα πάθη διεξιόντων, τὴν ἀθλιότητα μανθάνεις τοῦ ἀνθρωπίνου σώματος, D οἵων καὶ ὅσων κακῶν δεκτικόν ἐστι διδασκόμενος· οὕτως ἐπειδὰν τοῖς νόμοις ἐντύχῃς, καὶ γνῷς τὰς πολυτρόπους τῶν γάμων παρανομίας, καθ' ὧν ἐκεῖνοι τὰς τιμωρίας ὁρίζουσιν, ἀκριβῶς διδάσκῃ τοῦ γάμου τὰ ἴδια. οὔτε γὰρ ἰατρὸς τὰ μὴ ὄντα θεραπεύει πάθη, οὔτε νόμος ὁ τὰ μὴ γινόμενα θεραπεύει κακά.

A

Ὅτι πάντα τὰ κατὰ τὸν βίον ἄτοπα τὴν ἀρχὴν ἀπὸ τοῦ γάμου ἔχει· ἐν ᾧ καὶ οἷος ὁ κατὰ ἀλήθειαν ἀποταξάμενος τῷ βίῳ ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

ΜΑΛΛΟΝ δὲ τί χρὴ μικρολόγως τοῦ τοιούτου βίου τὴν ἀτοπίαν ἐλέγχειν, ἐν μόναις μοιχείαις, καὶ διαστάσεσι, καὶ ἐπιβουλαῖς περιορίζοντας τὴν τῶν συμφορῶν ἀρίθμησιν· δοκεῖ γάρ μοι τῷ ὑψηλοτέρῳ καὶ ἀληθεστέρῳ λόγῳ, πᾶσα ἡ τοῦ βίου κακία, ἡ πᾶσι πράγμασι καὶ ἐπιτηδεύμασιν ἐνθεωρουμένη, μηδεμίαν εὑρίσκειν ἀρχὴν κατὰ τῆς τοῦ ἀνθρώπου ζωῆς, εἰ μή τις ἑαυτὸν ὑπαγάγοι τῇ ἀνάγκῃ τοῦ βίου τούτου. οὕτω δὲ ἡμῖν ἡ ἀλήθεια τοῦ λόγου φανερωθήσεται· ὁ τὴν τοῦ βίου τούτου ἀπάτην κατανοήσας καθαρῷ τῷ τῆς ψυχῆς ὀφθαλμῷ, καὶ ὑψηλότερος τῶν ἐνταῦθα σπουδαζομένων γενόμενος· καὶ καθώς φησιν ὁ ἀπόστολος, καθάπερ τινὰ δυσώδη σκύβαλα πάντα περιορῶν, καὶ ἔξω πού τινα τοῦ βίου παντὸς διὰ τῆς τοῦ γάμου ἀναχωρήσεως ἑαυτὸν ἐξοικίσας, οὐδεμίαν ἔχει κοινωνίαν πρὸς τὰ κακὰ τὰ ἀνθρώπινα· πλεονεξίαν λέγω καὶ φθόνον, ὀργήν τε καὶ μῖσος, καὶ κενῆς δόξης ἐπιθυμίαν, καὶ τὰ ἄλλα ὅσα τοιούτου γένους ἐστίν· πάντων δὲ τῶν τοιούτων τὴν ἀτέλειαν ἔχων, καὶ διὰ πάντων ἐλευθεριάζων καὶ εἰρηνεύων τῷ βίῳ, οὐκ ἔστιν ἐφ' ᾧ τε φιλονεικήσει τοῖς γείτνιασι τὸν φθόνον, οὐδενὸς τῶν τοιούτων ἁπτόμενος, οἷς ὁ φθόνος ἐν τῇ ζωῇ περιφύεται· παντὸς γὰρ τοῦ κόσμου τὴν ἑαυτοῦ ζωὴν ὑπεράρας, καὶ μόνον τίμιον ἑαυτῷ κτῆμα νομίζων τὴν ἀρετήν, ἄλυπόν τινα καὶ εἰρηνικὸν καὶ ἄμαχον βιοτεύσει βίον· τῆς γὰρ ἀρετῆς ἡ κτῆσις, κἂν πάντες μετέχωσιν αὐτῆς ἄνθρωποι, κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος, ἀεὶ πλήρης τοῖς ἐπιθυμοῦσιν ἐστίν· οὐ κατὰ τὴν ἐπὶ γῆς κτῆσιν, ἣν διαιροῦντες εἰς τμήματα, ὅσον ἂν προσθῶσι τῇ μιᾷ μερίδι, τοσοῦτον ὑφείλοντο τῆς ἑτέρας, καὶ πλεονασμὸς τοῦ ἑνός, ἐλάττωσίς ἐστι τοῦ συμμετέχοντος. ὅθεν καὶ αἱ περὶ τοῦ πλείονος μάχαι, διὰ

Quaecumque in hac vita eueniunt abſurda, initium ab nuptiis habent. Qualis item eſſe debeat is, qui huius ſe vitæ ſocietate abduxerit.

CAPVT IV.

AT verò quid huius vitæ abſurditatem breui oratione præſtringere nos oportet, qui adulteriis, diſſidiis, diſ- B ſenſionibus, atque inſidiis calamitatum enumerationem terminemus? veriori enim ratione mihi omnis vitæ improbitas, quæ & cũctis in rebus, & ſtudiis cernitur, nullum in hominũ vita imperium habere videtur, niſi quis huiuſmodi vitæ neceſſitatẽ ſibi ipſe imponat. Atque hoc quidem modo huius orationis veritas nobis aperietur. Qui huius vitæ fraudes puro mentis ſenſu animaduertit, & altius à rebus, quæ hic expetuntur, ſe tollit, omniaque, vt eſt apud Apoſtolum, quaſi putida ſtercora deſpicit, C atque ab omni vitæ conſuetudine, repudiatis nuptiis, quodam modo ſe remouit, nullũ omnino is habet cum humanis vitiis, auaritia inquam, inuidia, ira, odio, gloriæque cupiditate commercium, neque cum cæteris, quæ id generis ſunt. Qui enim ab omnibus his vacuus, atque omnino liber eſt, & quietè viuit, nihil ſane eſt, in quo plus habere contendat, aut contra ſe alicuius rei gratia vicinorum inuidiam commoueat, cùm nihil earum ſit rerum aſ- D ſecutus, ex quibus in hac vita concitetur inuidia: nam qui ab omnibus humanis rebus animum ſuum ſuperando abduxit, & virtutem ſolam, quæ magno à ſe æſtimetur, poſſeſſionem ſibi ſtatuit, hic ab omni certè dolore vacuam, quietam, atque otioſam vitam deget: virtutis enim poſſeſſio, etſi homo pro virili quiſque aliquam eius partem tenet, appetentium tamen cupiditates ſemper explet, non vt aliqua ſoli poſſeſſio, quam qui in partes diuidunt, quantum vni parti addunt, tantum de altera detrahunt, atque ita quod vni redundat, id planè deeſt alteri, qui ſocius eſt: vnde de maiori cumulatiorique parte contentiones exiſtunt: ex eo

AAA iij

enim, quòd imminutio facta eſt, conflatum eſt odium, virtutis verò ſi quis maiorem partem occupauit, ab inuidia vacuus eſt, neque verò qui plus ab ea rapuit, vllum ei detrimentum importauit, qui æquas partes ferre dignum ſe eſſe ducit: ſed, vt quiſque capax eſt, ita & recta cupiditate expletur, & rebus iis, quas ſuprà meminimus, non exhauriuntur virtutũ diuitiæ. Itaque hanc vitam qui intuetur, atque in virtute, quę nulla hominũ definitione deſcribitur, omnes ſibi theſauros conſtituit, an vnquam ad res vllas humiles, & caducas animum ſuum procliuem ferri patietur? an terrenas diuitias, an hominum opes, & potentiam, an aliud quidpiam eorum, quę præ ſtultitia expetuntur, is admirabitur? Etenim ſiquis ita humili eſt, & abiecto animo, vt ad hæc ipſa afficiatur, is vtiq. eſt ab hoc cœtu alienus, nihilque ad noſtrum ſermonem; ſin autem cœleſtia cogitat, diuináque ſimul cum Deo contemplatur, ad ſublimiores hic omnino res, relictis humilibus contuetur, cùm minimè nuptiis vinctus ſit, vnde communis exiſtit occaſio, cur in eiuſmodi rerum errore quis verſetur: nam cùm quis vult ſe aliis præponere, grauiſſimus eſt hic ſuperbiæ affectus: quem ſi quis ſemen, vel potius radicẽ dixerit omnis ſpinæ, quæ è peccato eſt, non à recto is aberrabit. Hic ſanè affectus à nuptiarũ cauſa initium maximè habet: non enim poteſt plerumque auarus huius vitij liberos accuſare, neque item is, qui præ gloriæ auiditate inſanit, neque qui honoris ſtudio tenetur, ne huius mali cauſam ad progeniem ipſam referat, vt ne iis, qui ante ſe nati ſunt, ipſe inferior videatur, & vt à poſteris, aliquam de ſe commemorationem liberis ſuis relinquendo, magnus omnino exiſtimetur. Eodémque modo reliquæ, quæ ſunt animi ægritudines, inuidia, & odium, iniuriarum recordatio, ſi quæ aliæ ſunt, ab hac ſanè cauſa proficiſcuntur: hæc enim omnia in his vnà inſunt, qui hanc vitam attigerunt: à quibus quidem rebus qui remotiſſimus eſt, tanquã ex alta aliqua ſpecula hominum perturbationes longè proſpiciens, eorum dolet cæcitatem, qui rebus his fallacibus ſeſe mancipa[r]unt, rerumque humanarum proſperitatem magnum aliquid eſſe putarunt. Cùm enim hic quempiam hominem rebus, quę in vita eueniunt, ſecundis florentẽ, honoribúſque, aut opibus, aut potentia

A τὸ πρὸς τὸ ἐλαττοῦσθαι μῖσος τοῖς ἀνθρώποις συνίσταται· ἐκείνου δὲ ἀνεπίφθονός ἐστιν ἡ πλεονεξία τοῦ κτήματος, καὶ ὁ τὸ πλεῖον ἁρπάσας, οὐδεμίαν ἤνεγκε ζημίαν τῷ μεταχεῖν ἀξιοῦντι τῶν ἴσων· ἀλλ' ὅσον ἐστί τις χωρητικὸς, αὐτός τε πληροῦται τῆς ἀγαθῆς ἐπιθυμίας, καὶ ὁ πλοῦτος τῆς ἀρετῆς ἐν τοῖς προλαβοῦσιν οὐ καταναλίσκεται. ὁ τοίνυν πρὸς τοῦτον ἀποβλέπων τὸν βίον, καὶ τὴν ἀρετὴν ἑαυτῷ θησαυρίζων, ἣν οὐδεὶς ὅρος ἀνθρώπινος περιγράφει, ἆρα καταδέξεταί ποτε πρός τι τῶν ταπεινῶν καὶ πεπατημένων τὴν ἑαυτοῦ ψυχὴν
B ἐπικλῖναι; ἆρα θαυμάσεταί τιν γήινον πλοῦτον, ἢ δυναστείαν ἀνθρωπίνην, ἢ ἄλλο τι τῶν ὑπ' ἀνοίας σπουδαζομένων; εἰ μὲν γάρ τις ἔτι περὶ ταῦτα διάκειται ταπεινῶς, ἔξω τοῦ τοιούτου ἂν εἴη χοροῦ, καὶ οὐδὲν πρὸς τὸν ἡμέτερον ἔχει λόγον. εἰ δὲ τὰ ἄνω φρονεῖ, καὶ συμμετεωροπορεῖ τῷ Θεῷ, ὑψηλότερος πάντως τῶν τοιούτων ἐστὶν, οὐκ ἔχων τὴν κοινὴν ἀφορμὴν τῆς περὶ ταῦτα πλάνης, τὸν γάμον λέγω· τοῦ γὰρ ὑπὲρ τοὺς ἄλλους θέλειν εἶναι, τὸ
C χαλεπὸν τοῦτο πάθος ἡ ὑπερηφανία, ὃ δὴ μάλιστα σπέρμα τις εἰπὼν ἢ ῥίζαν πάσης τῆς κατὰ τὴν ἁμαρτίαν ἀκάνθης, τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. τοῦτο μάλιστα ἐκ τῆς αἰτίας τοῦ γάμου τὴν ἀρχὴν ἔχει. οὐ γάρ ἐστιν ὡς ἐπὶ τὸ πολὺ, τὸν πλεονεκτικὸν μὴ τοὺς παῖδας ἐπαιτιᾶσθαι, ἢ τὸν δοξομανῆ καὶ φιλότιμον μὴ εἰς τὸ γένος ἀνενεγκεῖν τοῦ κακοῦ τὴν αἰτίαν· ὡς ἂν μὴ ἐλάττων δοκοίη τῶν πρὸ αὐτοῦ γεγονότων, καὶ ἵνα μέγας τοῖς μετὰ ταῦτα νομίζοιτο, καταλιπὼν τινα τοῖς ἐξ αὐτοῦ διηγήματα· ὡσαύ-
D τως δὲ καὶ τὰ λοιπὰ ὅσα ψυχῆς ἐστιν ἀρρωστήματα, φθόνος, καὶ μνησικακία, καὶ μῖσος, καὶ εἴ τι τοιοῦτον ἕτερον τῆς αὐτῆς αἰτίας ἤρτηται· πάντα γὰρ ταῦτα τοῖς περὶ τὸν βίον τοῦτον ἐπτοημένοις συμπολιτεύεται· ὧν ὁ ἔξω γενόμενος, καθάπερ ἐπί τινος ὑψηλῆς σκοπιᾶς πόρρωθεν ἐποπτεύων τὰ ἀνθρώπινα πάθη, οἰκτείρει τῆς τυφλότητος τοὺς τῇ τοιαύτῃ ματαιότητι δεδουλωμένους, καὶ μέγα κρίνοντας τὴν τῆς σαρκὸς εὐπραγίαν· ὅταν γάρ τινα τῶν ἀνθρώπων ἐπί τινι τῶν κατὰ βίον ἴδῃ περίβλεπτον, ἀξιώμασιν, ἢ πλούτοις, ἢ δυναστείαις κομῶντα, καταγελᾷ.

τῆς ἀνοίας τῶν διὰ ταῦτα πεφυσημένων, καὶ ἀριθμεῖ τὸν μήκιστον χρόνον τοῦ ἀνθρωπίνου βίου, κατὰ τὴν εἰρημένην ὑπὸ τοῦ ψαλμῳδοῦ προθεσμίαν· εἶτα παραμετρῶν τοῖς ἀπείροις αἰῶσι τὸ ἀκαριαῖον τοῦτο διάστημα, ἐλεεῖ τῆς χαυνότητος τὸν ἐπὶ τοῖς οὕτω γλίσχροις καὶ ταπεινοῖς καὶ προσκαίροις τὴν ψυχὴν ἐπαιρόμενον. τί γὰρ ἄξιόν ἐστι μακαρισμοῦ τῆς ἐν τούτοις, ἡ τιμή, ὃ παρὰ πολλοῖς σπουδαζόμενον; ἐπεὶ δὲ τί πλέον τοῖς τετιμημένοις περιτίθησι; διαμένει γὰρ θνητὸς ὁ θνητός, κἂν τιμᾶται, κἂν μή· ἢ τὸ, πολλὰ πλέθρα κεκτῆσθαι γῆς; τοῦτο δὲ εἰς τί πέρας χρηστὸν καταλήγει τοῖς κτησαμένοις, ἐκτὸς τοῦ οἴεσθαι τὸν ἀνόητον ἑαυτοῦ εἶναι τὰ μηδὲν προσήκοντα· ἀγνοεῖ γὰρ, ὡς ἔοικεν, ὑπὸ πολλῆς λαιμαργίας, ὅτι τοῦ κυρίου μέν ἐστιν ἡ γῆ ἀληθῶς, καὶ τὸ πλήρωμα αὐτῆς· βασιλεὺς γὰρ πάσης τῆς γῆς ὁ Θεός· τοῖς δὲ ἀνθρώποις τὸ τῆς πλεονεξίας πάθος ψευδώνυμον τῆς κυριότητος τὴν προσηγορίαν δίδωσι τῶν οὐδὲν προσηκόντων. ἡ μὲν γὰρ γῆ, καθώς φησιν ὁ σοφὸς ἐκκλησιαστής, εἰς τὸν αἰῶνα ἕστηκε, πάσαις ὑπηρετοῦσα ταῖς γενεαῖς, καὶ ἄλλο τι ἄλλους τοὺς κατ' αὐτὴν γινομένους ἐκτρέφουσα· οἱ δὲ ἄνθρωποι οὐδὲ ἑαυτῶν ὄντες κύριοι, ἀλλὰ πρὸς τὸ τοῦ ἄρχοντος βούλημα, ὅτι οὐκ ἴσασιν, εἰς τὴν ζωὴν παριόντες, καὶ ὅτε μὴ βούλονται, πάλιν αὐτῆς χωριζόμενοι, ὑπὸ τῆς πολλῆς ματαιότητος κυριεύειν οἴονται αὐτῆς, οἱ κατὰ καιροὺς γινόμενοί τε καὶ ἀπολλύμενοι, τῆς ἀεὶ μενούσης. ὁ οὖν ἐπισκεψάμενος ταῦτα, καὶ διὰ τοῦτο περιφρονῶν ὅσα τίμια τοῖς ἀνθρώποις νομίζεται· μόνης δὲ τῆς θείας ζωῆς ἔχων τὸν ἔρωτα, ὁ εἰδὼς ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, πότε σπουδῆς ἄξιον τὸν χόρτον οἰήσεται τὸν σήμερον ὄντα, καὶ αὔριον οὐκ ἐσόμενον; οἶδε γὰρ ὁ ἐπεσκεμμένος τὰ θεῖα καλῶς, ὅτι οὐ τὰ ἀνθρώπινα μόνον οὐκ ἔχει τὸ πάγιον, ἀλλ' ὡς οὐδὲ τοῦ κόσμου παντὸς εἰς τὸ διηνεκὲς ἠρεμήσοντος· διὰ τοῦτο ὡς ἀλλοτρίας καὶ προσκαίρου ταύτης ὑπερορᾷ τῆς ζωῆς· ἐπεὶ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, κατὰ τὴν τοῦ σωτῆρος φωνήν, καὶ πάντα τὴν μεταστοιχείωσιν ἀναγκαίως ἐκδέχεται· διὰ τοῦτο ἕως ἐστὶν ἐν τῷ σκήνει, καθώς φησιν ὁ ἀπόστολος, τὸ πρόσκαιρον ἐνδη-

A ornatum videt, eorum quidem qui, harum rerum ſtudio efferuntur, ridet inſaniam, humanæq. vitæ tempus, vt à pſalmorum auctore terminus eius certus dictus eſt, quam breuiſſimũ numerat: deinde infinitis illis ſæculis cum exiguo hoc vitæ ſpatio collatis, molliciem eius luget, qui ad res huiuſmodi ſordidas, humiles, quæque ad tẽpus manent, animũ extollit: quid enim cauſæ eſt, cur in iis ipſis rebus honos, quem plerique expetunt, ſit beatitudine dignus? quoniam quid iis, qui honore affecti ſunt, addit honor? At qui ea conditione natus eſt, B vt moriatur, mortalis hic manet, ſiue honos ei tribuatur, ſiue non. Aut multa iugera terræ poſſediſſe? ad quem optimum finem hoc perducit eos, qui iſta poſſederunt, niſi quis demens arbitretur ſua eſſe ea, quæ nullo pacto ad ſe pertinent, præ multa enim inexhauſta auiditate, vt veriſimile eſt, hoc ignorat, quòd Domini eſt terra, & plenitudo eius. Rex enim omnis terræ Dominus, *Pſal. 23.* hominibus verò vt rerũ, quas poſſident, Domini appellentur, falsò hoc illis tribuit auaritiæ affectus. Terra enim, inquit ſapiẽs Eccleſiaſtes, in æternũ ſtetit, C omnibus ętatibus ſuppeditans, alioſque ſubinde è ſe natos nutriẽs. Neque verò homines ſui poteſtatẽ habent, ſed ex voluntate, nutuque ſummi rectoris pendent: cùm enim neſciunt, in hanc vitam ingrediuntur: cùm autem minimè volunt, ex eadem rurſus exeunt: cumque viciſſim naſcantur & intereant, inſigni ſtultitia ſe terræ dominari credunt, quæ ſemper maneat. Ergo qui hęc mente intuetur, hacque de cauſa pro nihilo ea putat, quæ hominum vulgus in pretio, atque in honore habet, quique cœleſtis vitæ ſolum amore ducitur, fœnumque eſſe omnem carnem, quaſique fœni florem omnem hominis gloriam videt, ſtu- D dióne dignum fœnũ vnquam putabit, quod hodie eſt, cras non futurum? qui enim diuina rectè contemplatur, hic animaduertit non ſolùm res humanas nihil firmi ſolidique habere, ſed, quaſi neque vniuerſus hic mũdus in perpetuum ſit futurus, propterea vitam hanc quaſi alienam, eamque caducã negligit: quoniam, vt voce Domini ſignificatum eſt, cœli & terra tranſibunt, cunctaq. formę commutationem neceſſario expectant. Quamobrem quamdiu aliquis, inquit Apoſtolus, in hoc habitaculo eſt, morta-

litatem præ ſe ferens, hacque vita grauatus, prorogari ſibi hunc incolatum dolet, vt in diuinis cantibus Pſalmiſtes cecinit; verè enim in tenebris viuent ij, qui in his tabernaculis vitam degunt: itaque huius incolatus prorogationem Propheta his verbis luget: Væ mihi, quoniam incolatus meus prolongatus eſt. Tenebris porrò domicilij, & incolatus huius cauſam tribuit. Hebræorum enim voce Cedar tenebras appellari à ſapientibus didicimus: aut id quidem reuera: vt enim quædam noctis caligo mortalibus offunditur, ſic hi ad erroris cognitionem obcæcantur, vtpotè cum minimè videant, quæ in hac vita ſumma magnificaque exiſtimata ſunt, quæve in contrariis ſunt rebus habita, omnia hæc ſolùm inſana quædam hominum opinione talia extitiſſe: ea verò per ſe nihil omnino ſunt: nulla ignobilitas, nullum illuſtre genus, nulla gloria, nullus ſplendor, nullæ de maioribus commemorationes, nulla rerum præſentium animi elatio, nihílque eſt in alios dominari, nihílque aliorum imperio teneri: non diuitiæ, non paupertas, non egeſtas, nullæ denique huius vitæ inæquabiles varietates, quæ imperitis quidem hominibus, cùm hi voluptatem ſuis ſenſibus metiantur, multum eminere videntur. At verò qui magno altoque eſt animo, omnia hæc paria eſſe, neque rem vnam alteri præſtare putat: quoniam ex rebus inter ſe contrariis vitæ curſus æquè conficitur, æqualíſque in vtraque vitæ conditione & benè & malè viuendi ineſt facultas; tam ex rebus dextris, inquit Apoſtolus, quàm ſiniſtris, & æquè ex gloria, atque ex aliqua ignominia: in quibus quidem rebus is, qui pura mente fuit & incorrupta, rerum veritatem intuitus eſt, ab ortu vſque ad obitum præfinitum ſibi tempus percurrendo, rectà hunc ipſum vitę curſum conficit, [cùm neque voluptatum blanditiis molliatur, neque rebus grauibus debilitetur ac deprimatur:] ſed viatorum more longiùs progreſſus, paruam earum rerum, quæ ſe illis oſtendunt, rationem habet. Illud enim in conſuetudine eorum eſt, qui peregrinantur, vt ſiue pratis, ſiue cultis agris, ſiue vaſtis deſertiſque locis iter faciant, neque rei vllius oblectatione, neque re aliqua moleſtia impediti, itineris curſum conficere maturent: parique ratione hìc nec

Pſal.119.

A χνύμενος, βαρυνόμενος τὴν παροῦσαν ζωήν, τῷ μακρύνεσθαι αὐτῷ τὴν παροικίαν ταύτην ὀδύρεται, ὥσπερ καὶ ὁ ψαλμῳδὸς ἐν ᾠδαῖς θείαις λέγων πεποίηται· ὄντως γὰρ ἐν σκότει βιοτεύουσιν οἱ μετὰ τῶν σκηνωμάτων τούτων τῇ ζωῇ παροικοῦντες. οὗ χάριν στενάξας ὁ προφήτης πρὸς τὴν παράτασιν τῆς παροικίας, οἴμοι φησὶν ὅτι ἡ παροικία μου ἐμακρύνθη· σκότει δὲ τὴν αἰτίαν τῆς κατηφείας ταύτης ἀνέθηκε· τὸ γὰρ σκότος τῇ Ἑβραΐδι φωνῇ Κηδὰρ ὀνομάζεσθαι μεμαθήκαμεν· ἢ γὰρ ὡς ἀλη-
B θῶς, καθάπερ ἀορασίᾳ τινὶ νυκτερινῇ κεχειρωμένοι οἱ ἄνθρωποι, οὕτω πρὸς τὴν τῆς ἀπάτης ἐπίγνωσιν ἀμβλυωποῦσιν, οὐκ εἰδότες ὅτι πάντα ὅσα τίμια ἐν τῇ ζωῇ ταύτῃ νενόμισται, ἢ καὶ ὅσα πρὸς τὸ ἐναντίον ὑπείληπται, ἐν μόνῃ τῇ ὑπολήψει τῶν ἀνοήτων ὑφέστηκεν, αὐτὰ δὲ ἐφ' ἑαυτῶν ἐστιν οὐδαμῆ οὐδέν· οὐ δυσγένειά τι· οὐκ εὐδοκίμησις γένους, οὐ δόξα, οὐ περιφάνεια, οὐ τὰ παλαιὰ διηγήματα, οὐχ ὁ ἐπὶ τοῖς ἐνεστῶσι τῦφος· οὐ τὸ κρατεῖν ἑτέρων, οὐ τὸ ὑποχείριον εἶναι· πλοῦτοί τε καὶ τρυφαί, καὶ πενίαι καὶ ἀπορίαι, καὶ πᾶσαι αἱ τοῦ βίου
C ἀνωμαλίαι, τοῖς μὲν ἀπαιδεύτοις πάμπολυ διαφέρειν δοκοῦσιν, ὅταν ἡδονὴν ποιῶνται τῶν τοιούτων κριτήριον· τῷ δὲ ὑψηλῷ τὴν διάνοιαν πάντα ὁμότιμα φαίνεται, καὶ οὐδὲν προτιμότερον τοῦ ἑτέρου τὸ ἕτερον, τῷ ὁμοίως διὰ τῶν ἐναντίων τὸν τῆς ζωῆς δρόμον ἀνύεσθαι, καὶ ἴσην ἐν ἑκατέρᾳ τῶν λήξεων τὴν πρὸς τὸ εὖ ἢ κακῶς ζῆν δύναμιν ἐνυπάρχειν, διὰ τῶν δεξιῶν ὅπλων καὶ ἀριστερῶν, φησὶν ὁ Ἀπόστολος, διὰ δόξης καὶ ἀτιμίας· δι' ὧν ὁ μὲν κεκαθαρμένος τὸν νοῦν καὶ ἐπισκεμμένος τὴν τῶν ὄντων ἀλήθειαν, ὀρθῶς ὁδεύσει τὴν πορείαν, ἀπὸ γενέσεως
D μέχρι τῆς ἐξόδου τὸν τεταγμένον αὐτῷ χρόνον διεξερχόμενος. * ἀλλὰ κατὰ τὴν τῶν ὁδοιπόρων συνήθειαν τοῦ προσώπου ἐχόμενος, ὀλίγον ποιεῖται τῶν παραφαινομένων τὸν λόγον. συνήθες γὰρ τοῖς ὁδοιποροῦσιν ἐπὶ τὸ τῆς ὁδοῦ πέρας ὁμοίως ἐπείγεσθαι, αὖτε διὰ λειμώνων καὶ συμφύτων χωρίων, αὖτε δι' ἐρημοτέρων καὶ τραχυτέρων τόπων διέρχωνται, καὶ οὔτε τὸ ἡδὺ παρακατέχει, οὔτε τὸ ἀηδὲς ἐμποδίζει. οὕτω καὶ αὐτὸς ἀμε-

παρατραπεὶς πρὸς τὸν παρακείμενον σκοπὸν ἑαυτοῦ ἐπιζητήσεται, πρὸς οὐδὲν τῶν παρόδων ἐπιστρεφόμενος· ἀλλὰ πρὸς μόνον οὐρανὸν βλέπων διαπεράσει τὸν βίον, καθάπερ τις κυβερνήτης ἀγαθὸς πρὸς τὸν ἄνω σκοπὸν διιθύνων τὸ σκάφος. ὁ δὲ παχὺς τὴν διάνοιαν, καὶ κάτω βλέπων, καὶ συγκεκυφὼς τῇ ψυχῇ πρὸς τὰ ἡδέα τοῦ σώματος, καθάπερ πρὸς τὴν νομὴν τὰ βοσκήματα, μόνῃ τῇ γαστρὶ, καὶ τοῖς μετὰ γαστέρα ζῶν, ἀπηλλοτριωμένος τοῦ Θεοῦ τῆς ζωῆς, καὶ ξένος τῶν διαθηκῶν τῆς ἐπαγγελίας, οὐδὲν ἕτερον ἀγαθὸν εἶναι νομίζων, ἢ τὸ ἡσθῆναι διὰ τοῦ σώματος, οὗτός ἐστιν, καὶ πᾶς ὁ τοιοῦτος, ὁ ἐν σκότει διαπορευόμενος, καθώς φησιν ἡ γραφὴ, ὁ τῶν ἐν τῷ βίῳ τούτῳ κακῶν εὑρετής· ἐν τούτοις γὰρ καὶ πλεονεξία, καὶ παθῶν ἀκολασία, καὶ ἡ πρὸς τὰς ἡδονὰς ἀμετρία, φιλαρχία τε πᾶσα, καὶ κενῆς δόξης ἐπιθυμία, καὶ ὁ λοιπὸς ὅμιλος τῶν συνῳκηκότων παθῶν τοῖς ἀνθρώποις· ἔχεται γάρ πως ἐν τοῖς κακοῖς τοῦ ἑτέρου τὸ ἕτερον, καὶ ᾧπερ ἂν τὸ ἓν παραλήψηται, καὶ τὰ λοιπὰ καθάπερ ὑπό τινος φυσικῆς ἀνάγκης ἑλκόμενα, συνεισέρχεται πάντως· οἷον ἐν ἁλύσει γίνεται, τῆς ἀρχῆς ἐπισπασθείσης, οὐδὲ τὰς λοιπὰς ἠρεμεῖν τῆς ἁλύσεως ἀγκύλας δυνατόν ἐστιν, ἀλλ' ἡ κατὰ τὸ ἕτερον πέρας τῆς ἁλύσεως ἀγκύλη, συνεκινήθη τῇ πρώτῃ, κατὰ τὸ ἀκόλουθον ἀεὶ καὶ προσεχὲς ἀπὸ τοῦ πρώτου διὰ τῶν παρακειμένων τῆς κινήσεως περιούσης· οὕτως ἐμπέπλεκται καὶ συμπέφυκεν ἀλλήλοις τὰ ἀνθρώπινα πάθη, καὶ δι' ἑνὸς τοῦ ἐπικρατήσαντος, ὁ λοιπὸς τῶν κακῶν ὁλκὸς συνεισέρχεται τῇ ψυχῇ· καὶ εἰ χρή σοι διαγράψαι τὴν πονηρὰν ταύτην ἅλυσιν, ὑπόθου τινὰ διά τινος ἡδονῆς τὸ κατὰ τὴν κενοδοξίαν ἡττηθῆναι πάθους· ἀλλὰ τῇ κενοδοξίᾳ καὶ ἡ τοῦ πλείονος ἔφεσις συνηκολούθησεν· οὐ γάρ ἐστι πλεονέκτην γενέσθαι, μὴ ἐκείνης ἐπὶ τὸ πάθος χειραγωγούσης· εἶτα ἡ τοῦ πλεονεκτεῖν καὶ προέχειν ἐπιθυμία, ἢ ὀργὴν ἐξάπτει πρὸς τὸ ὁμόφυλον, ἢ πρὸς τὸ ὑποχείριον τὴν ὑπερηφανίαν, ἢ πρὸς τὸ ὑπερέχον τὸν φθόνον· φθόνου δὲ ἀκόλουθος ἡ ὑπόκριϲις γίνεται· ἐκείνης ἡ πικρία· ταύτης ἡ μισανθρωπία· τούτων ἁπάν-

A diuerticula, neque viarum flexiones reſpiciendo, ad illud quod ſibi maximè propoſitum eſt, omnino perueniet, ſed in cœlum ſolum contuendo, hunc vitæ curſum, tanquam aliquis optimus gubernator, conficiet, qui cœleſte aliquod ſidus intuendo ad id nauis curſum dirigit. Ille verò, cui obtuſior eſt mentis acies, inferioriora reſpicit, & ad corporis voluptates, tanquam ad pabulum pecudes, animum adijcit, ventrique ſoli, cæteriſque ventris vitium conſequētibus rebus deditus viuit: quíve à vita diuina auerſus, & à teſtamentorum promiſ-
B ſis alienus, nihil aliud in bonis eſſe putat, niſi cùm quis in corporis voluptate eſt, hic profectò, & omnis homo, qui hoc in numero eſt, in tenebris, vt diuinis litteris ſcriptum eſt, ambulat, cùm in vitam huiuſmodi mala introducat: in his enim auaritia, animi impotentia, immodica ad voluptates affectio, imperij cupiditas, inanis gloriç appetitio, ac reliqua ineſt earū, quæ ſunt hominib. contubernales, perturbationū multitudo. Ex his enim morbis, alter quodam modo alterius vinculo tenetur, & cui vnus
C ex his accedit, reliqui quaſi naturali quadam neceſſitate compulſi, ad eum concurrunt. Id quod in catena fieri videmus: eius enim principio attracto, neque reliqui illius orbes cōſiſtere poſſunt, ſed vltimus cathenæ orbis cum primo ſimul motus eſt, cum ex eorum perpetuo ordine qui ſimul annexi ſunt circuli, à primo motio ipſa progrediatur: ita humani affectus impliciti inter ſe atque connexi ſunt, ſæpéque fit, vt, cùm vnus imperauerit, reliqua item morborum turba animum inuadat. Atque ſi hæc quidem ipſa quaſi malo-
D rum cathena tibi explicetur neceſſe eſt, fac eſſe quempiam, qui præ voluptate quadam ſit inanis gloriæ affectu ſuperatus: eſt huic ſanè inanis gloriæ cupiditati adiuncta etiam appetio quædam, vt plus is aſſequatur: quoniam non poteſt quis plus habendi cupiditate teneri, niſi huius affectus dux & comes quædam ſit gloriæ auiditas: deinde appetitio hæc, qua quis afficitur, vt & opum, & dignitatis amplitudine cæteris ipſe antiſtet, vel in æquales concitat iram, vel ſuperbiam in inferiores, vel in ſuperiores inuidiam, cuius ſocia eſt ſimultas: huius verò comes acerbitas, quam odium quoddam hominum conſequitur: at horum omnium

poſtremum eſt damnatio in gehennam, tenebras, atque ignem deſinens. Vides horum omnium malorum quaſi viam, quemadmodum videlicet ab vno voluptatis affectu cuncta proficiſcuntur: Quamobrem vbi huiuſmodi malorum coniuncta multitudo in hanc vitam ſemel ſeſe coniecit, vna eſt, vt ab his liberemur, ratio, quam in diuinis litteris contemplemur: ea autem eſt, vt ab illa vitæ diſciplina nos auocemus, quæ rebus grauibus eſt atque moleſtis adſtricta, neque enim, cui Sodomam incolere cordi eſt, ignis imbrem declinare hic poteſt: nec qui Sodomis egreſſus, iterum ad vrbis excidium ſe conuertit, in ſtatuam ſalis non concreſcere: neque ab Ægyptiorum ſeruitute ſe quis vindicabit, niſi Ægyptum, id eſt hanc ſummerſam vitam deſerit, & non rubrum illud, ſed nigrum hoc & obſcurum vitæ mare tranſit: ſi autem niſi liberauerit nos, vt inquit Dominus, veritas, in malo ſeruitutis permanebimus; quo modo poteſt, qui falſum quærit, quíve in huius vitæ erroribus eſt, in veritate verſari? quóve pacto quis hoc iugum ſeruitutis deiecerit, qui vitam ſuam, quaſi ſeruam, in naturæ neceſſitates conijcit? Sed notior quidem nobis propoſito aliquo exemplo erit de his planè oratio. Quemadmodum amnis aliquis, qui ſua natura ſatis profluens, incitatis aquarum profluxionibus rapidior fertur, lignaque & lapides, & omnia, quæ ſibi obuiam fiunt, in alueum rapit, calamitatem hic & periculum iis importat, qui propè incolunt, illis verò fruſtra defluit, qui longè remoti eum vitant: ita, qui ſibi huius vitæ perturbationẽ peperit, eam ſolus ſuſtinet, & ſolus eos ſua ſponte recipit affectus, in quos natura, quæ ſuo quodam curſu fertur, cum his vitæ malis circumfluat, illos impellit, qui eius curſum tenent. Sed ſi quis, vt eſt in ſacris litteris, torrentem hunc, intolerabilémque aquam relinquit, hic planè liber erit, vt in Pſalmo ſequitur, à captione dentiũ huius vitæ, ac veluti paſ-
Pſal. 123. ſer è laqueis alis virtutis euolabit. Quoniam igitur, vt illo ipſo torrentis exemplo patet, variis perturbationibus inæquabilibúſque rerum varietatibus

A τὸν δὲ τέλος κατάκρισις εἰς γέενναν, καὶ σκότος, καὶ πῦρ καταλήγουσα· ὁρᾷς τὸν ὁλκὸν τῶν κακῶν, ὅπως ἑνὸς τὰ πάντα τοῦ κατὰ τὴν ἡδονὴν ἐξέρχεται πάθους; ἐπεὶ οὖν ἅπαξ εἰσῆλθεν εἰς τὸν βίον ἡ ἀκολουθία τῶν τοιούτων παθῶν, μίαν ὁρῶμεν ἐκ τῆς τῶν θεοπνεύστων γραφῶν συμβουλῆς τὴν διέξοδον τούτων, τὸ χωρισθῆναι τοῦ τοιούτου βίου, τοῦ συνημμένην ἔχοντος ἐν ἑαυτῷ τὴν τῶν ἀνιαρῶν ἀκολουθίαν· οὐκ ἔστι γὰρ ἐν Σοδόμοις φιλοχωρήσαντα διαφυγεῖν τὴν τοῦ πυρὸς ἐπομβρίαν· οὐδὲ
B τοὺς ἔξω Σοδόμων γινομένους, εἶτα πάλιν ἐπιστραφέντα πρὸς τὴν ἐρήμωσιν ταύτης, μὴ παγῆναι στήλην ἁλός· ἀλλ' οὐδὲ τῆς Αἰγυπτίων δουλείας ἀπαλλαγήσεται, ὁ μὴ καταλιπὼν τὴν Αἴγυπτον, τὴν ὑποβρύχιον λέγω ταύτην ζωήν, καὶ διαβὰς οὐχὶ τὴν ἐρυθρὰν ἐκείνην, ἀλλὰ τὴν μέλαιναν ταύτην καὶ ζοφώδη τοῦ βίου θάλασσαν· εἰ δέ, καθώς φησιν ὁ κύριος, ἐὰν μὴ ἐλευθερώσῃ ἡμᾶς ἡ ἀλήθεια, τῷ κακῷ τῆς δουλείας ἐναπομένομεν, πῶς ἔστιν ἐν τῇ ἀληθείᾳ γενέσθαι, τὸν ζητοῦντα
C ψεῦδος, καὶ ἐν τῇ πλάνῃ τοῦ βίου ἀναστρεφόμενον; πῶς δέ τις τὴν δουλείαν ἀποδράσῃ, ὁ ταῖς ἀνάγκαις τῆς φύσεως ὑποχείριον δοὺς τὴν ἰδίαν ζωήν; γνωριμώτερος δ' ἂν γένοιτο ἡμῖν διά τινος παραδείγματος ὁ περὶ τούτων λόγος· ὥσπερ τις ποταμὸς χειμέριος ῥεύματι τραχυνόμενος, καὶ κατὰ τὴν ἑαυτοῦ φερόμενος φύσιν, ξύλα τε καὶ λίθους, καὶ πᾶν τὸ παρατυχὸν ὑπολαμβάνων τῷ ῥείθρῳ, μόνοις τοῖς κατ' αὐτὸν γινομένοις σφοδρὸς καὶ κινδυνώδης ἐστί, τοῖς δὲ πόρρωθεν αὐτὸν φυλασσομένοις εἰ-
D κῆ ῥεῖ. οὕτω καὶ τὴν τοῦ βίου ταραχὴν ὁ κατ' αὐτὴν γεγονὼς μόνος ὑφίσταται, καὶ μόνος ἀναδέχεται καθ' ἑαυτοῦ τὰ πάθη, ἅπερ δὴ ἡ φύσις ἀκολούθως ἑαυτῇ ῥέουσα τοῖς δι' αὐτῆς πορευομένοις ἀναγκαίως ἐπάγεται, διὰ τῶν τοῦ βίου κακῶν ἐπικλύζουσα· εἰ δέ τις καταλίποι τὸν χείμαρρον τοῦτον, ὥς φησιν ἡ γραφή, καὶ τὸ ὕδωρ τὸ ἀνυπόστατον, ἔξω πάντως ἔσται. κατὰ τὴν τῆς ᾠδῆς ἀκολουθίαν, τῆς θήρας τῶν ὀδόντων τοῦ βίου, καθάπερ στρουθίον τῷ τῆς ἀρετῆς πτερῷ διαπτὰς τὴν παγίδα· ἐπειδὴ γὰρ κατὰ τὸ ῥηθὲν ἡμῖν ἐπὶ τοῦ χειμάρρου ὑπόδειγμα, παντοίαις ταραχαῖς καὶ ἀνωμαλίαις πλημμυ-

ρευ ὁ ἀνθρώπινος βίος ἀεὶ φέρεται, κατὰ τὸ πρανὲς τῆς φύσεως περιχεόμενος, καὶ οὐδὲν ἕστηκε τῶν ἐν αὐτῷ σπουδαζομένων, οὐδὲ ἀναμένει τὴν πλησμονὴν τῶν ἐπιθυμησάντων αὐτῶν· πάντα δὲ τὰ προσπίπτοντα ὁμοῦ τε προσῆλθον, καὶ ἤδη παρέδραμε, καὶ τὸ ἀεὶ παρὸν τῷ σφοδρῷ τῆς παρόδου διαφεύγει τὴν αἴσθησιν, ὑπὸ τῆς κατόπιν ἐπιρροῆς τῶν ὀφθαλμῶν ἁρπαζόμενον· διὰ τοῦτο λυσιτελὲς ἂν εἴη πόρρω τοῦ τοιούτου ῥεύματος ἑαυτοὺς διέχειν, ὡς ἂν μὴ τῶν ἀστάτων περιεχόμενοι, τῶν ἀεὶ ἑστώτων ὀλιγωρήσαιμεν· πῶς γάρ ἐστι τὸν προσπαθοῦντά τινι τῶν ἐν τῷ βίῳ τούτῳ, διηνεκῶς ἔχειν τὸ ποθούμενον; τί τῶν μάλιστα σπουδαζομένων εἰσαεὶ παραμένει τοιοῦτον; ποία νεότητος ἀκμή; τίς δυνάμεως ἢ μορφῆς εὐμοιρία; τίς πλοῦτος; ποία δόξα; τίς δυναστεία; οὐ πάντα τὰ τοιαῦτα μικρὸν ἀνθήσαντα χρόνον πάλιν ἀπέῤῥυη, καὶ πρὸς τὴν ἐναντίαν ἐπωνυμίαν μετέπεσε; τίς ἐνεβίω διηνεκῶς τῇ νεότητι; τίνι διήρκεσε διαπαντὸς ἡ δύναμις; τὸ δὲ τοῦ κάλλους ἄνθος ἆρ' οὐχὶ καὶ αὐτῶν τῶν κατὰ τὸ ἔαρ προφαινομένων ὠκυμορώτερον ἡ φύσις ἐποίησε; τὰ μὲν γὰρ τῆς ὥρας ἐπιλαβούσης ἐβλάστησε, καὶ μικρὸν ἀπανθήσαντα χρόνον, πάλιν αὔξησε, καὶ πάλιν ἀπέῤῥυη, καὶ πάλιν ἐκόμασε, καὶ τὸ νῦν κάλλος καὶ εἰς νεότητα ἔδειξε. τὸ δὲ ἀνθρώπινον ἄνθος ἅπαξ ἡ φύσις κατὰ τὸ ἔαρ τῆς νεότητος δείξασα, εἶτα ἀπέσβεσε, τῷ χειμῶνι τοῦ γήρως ἐναφανίσασα. ὡσαύτως καὶ τὰ ἄλλα πάντα πρὸς χρόνον τὴν τῆς σαρκὸς αἴσθησιν ἀπατήσαντα, εἶτα παρέδραμε καὶ συνεκαλύφθη τῇ λήθῃ. ἐπεὶ οὖν αἱ τοιαῦται μεταβολαὶ κατά τινα τῆς φύσεως ἀνάγκην συμβαίνουσαι, λυποῦσι πάντως τὸν ἐν προσπαθείᾳ γενόμενον, μία τῶν τοιούτων κακῶν ἐστὶν ἀποφυγή, τὸ μηδενὶ τῶν μεταβαλλομένων τῇ ψυχῇ προσπαθῆσαι, ἀλλ' ὡς ἔστι δυνατόν, χωρισθῆναι τῆς πρὸς πάντα τὸν βίον τὸν ἐμπαθῆ τε καὶ σαρκικὸν ὁμιλίας· μᾶλλον δὲ καὶ τῆς πρὸς τὸ σῶμα τὸ ἑαυτοῦ συμπαθείας ἔξω γενέσθαι· ὡς ἂν μὴ κατὰ σάρκα βιοὺς, ὑπεύθυνος γένηται ταῖς ἐκ τῆς σαρκὸς συμφοραῖς· τοῦτο δέ ἐστι τὸ, μόνῃ τῇ ψυχῇ

A referta mortaliũ vita, ad naturæ declinationẽ effuſa ſemper fertur, nec quicquã cõſiſtit rerũ quæ in ea ambiãtur, neque expectat, dum ij, qui cupiditate aliqua tenẽtur, ſatietate expleãtur, cúmq. omnia, quæ impetu quodam feruntur propè ſimul acceſſerint, &, quæ attingunt, curſum confecerint, quódque ſemper præſens adeſt, fluxu quodam clandeſtino ex oculis ereptum, cùm ſenſum noſtrum celeri tranſitu effugiat: propterea vtile ſanè eſſet, extra hunc vitæ fluctum longè ſe tenere, vt ne rebus his caducis nos impediti, ea quæ B ſempiterna ſunt, omnino deſpiciamus. Quo enim modo poteſt his vitæ rebus addictus aſſiduè id habere, quod in rebus, quæ maximè expetuntur, optabile eſt vt perpetuò maneat? quod adultæ ætatis robur? quæ virium aut formæ integritas, quæ opes, quæ gloria, quæ potentia? nónne omnia hæc vel exiguo tempore cùm floruerint, rurſus diffluunt, atque in contrariam nominis appellationem defluxa conſiderunt? quis omni tempore in adoleſcentia? cui perpetuò ſuppeditarunt vires? annon pulchritudinis florem citius vel C illis ipſis floribus, qui ſe primo vere oſtendunt, interiturum natura efficit? quæ ſanè tempore ſuo natura conſeuit, cùm breui tempore floruerint, rurſus ſurgunt, rurſus diffluunt, rurſus frondeſcunt, atque hanc quidem pulchritudinis ſpeciem adulta in ætate natura oſtendit: quam verò hominum pulchritudinem in adoleſcentia, quaſi primo vere, planè demonſtrauit, ſenectutis poſtea hyeme extinxit, eodémq. modo reliqua omnia, quæ ad quoddam tempus carnis ſenſum deceperunt, poſteaquàm curſum ea perfecerunt, obliuione ſimul occultata ſunt. Quoniam igi- D tur eiuſmodi commutationes, quę quadam naturæ neceſſitate eueniunt, dolore illum afficiunt, qui in affectione verſatur: vnà certè eſt horum malorum declinatio, vt ne vllis rebus, quæ animum concitent, ſeſe adiũgat, ſed, quantum fieri poteſt, ſe ab omni vitæ conſuetudine auocet, quæ ad vitioſam diſciplinam, carníque deditam adducat, vel potius ab ea conuenientia, coniunctionéque naturæ ſe remoueat, qua ſuo quiſque corpori aſtrictus tenetur, vt ne vita, quę è carne eſt, ſit carnis obnoxia calamitatibus: hoc autem eſt, ſoli animę viuere,

vt quis, quantum in ſe eſt inſtitutum imitetur illarum poteſtatum, quæ corporis expertes ſunt, illæ enim neque nubunt, neque nubuntur: ſed hoc eſt ipſis propoſitum munus, ſtudiũ, atque perfectum officium, vt incorruptæ integritatis partem contẽplentur, atque, quantum imitatione aſſequi poſsũt, ad ipſius pulchritudinis exemplar contuendo, ſuam ipſi ornent formam.

A ζῆν, καὶ μιμεῖσθαι κατὰ τὸ δυνατὸν τὴν τῶν ἀσωμάτων δυνάμεων πολιτείαν· ἐν ᾗ οὔτε γαμοῦσιν οὔτε γαμίσκονται· ἀλλ' ἔργον αὐταῖς καὶ κατόρθωμα τὸ, θεωρεῖν τὸν πατέρα τῆς ἀφθαρσίας ἐστὶ, καὶ πρὸς τὸ ἀρχέτυπον κάλλος τὴν ἰδίαν καλλωπίζειν μορφὴν, διὰ τῆς ἐνδεχομένης μιμήσεως.

Animi integritatem, eiuſque ab omnibus affectibus vacuitatem, corporis munditiis anteire oportet.

CAPVT V.

B Ὅτι προηγεῖσθαι χρὴ τὴν τῆς ψυχῆς ἀπάθειαν τῆς ἐν σώματι καθαρότητος.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

HVIVS igitur mentis, ſummæque cupiditatis adiutoriũ, vt in diuinis litteris appellari ſolet, homini virginitatem tributã eſſe diximus: vt enim reliquorũ ſtudiorum artes quædã ad illorũ qui earũ ſtudio tenentur, perfectã diſciplinam inuentæ ſunt: ſic virginitatis ſtudium mihi ars quædam, & facultas diuinioris vitæ videtur eſſe, quæ doceat, quemadmodum ij, qui his corporis vinculis adſtricti tenentur, earum rerum, quæ corpore carent, naturæ ſimiles efficiantur. Vitæ enim huius omne ſtudium, atque inſtitutum illud eſt, vt ne voluptatum impetu animi deprimatur altitudo, néve nos, qui cœleſtia contemplari, quíve ad diuina animo contueri debemus, ad corporis affectiones delapſi cadamus. Quo enim modo animus noſter, qui inferiori huic carnis voluptati mancipatus eſt, atque in humanorum affectuum appetitionem totus incumbit, poteſt cognatum illud lumen, quódque mente ipſa cernitur, vacuo & libero ſenſu aſpicere, cùm is praua quadam atque inerudita anticipatione ad humiles has res, & lutulentas aciem intendat? Nam vt porcorum oculi natura in terram conuerſi, mirificarum rerum cœleſtium aſpectum non habent: ſic animus corporis luxu perditus, cùm ad humilia, & ad ea, quæ ſunt pecudum, inclinatus ſit, non cœlum amplius, neque reliquarum rerum conuenientiam, & decorem cernere poterit. Quare vt ad voluptatem diuinã illam quidem, & beatam animus noſter quietus, ac liber

ΤΑΥΤΗΣ οὖν τῆς διανοίας καὶ τῆς ὑψηλῆς ἐπιθυμίας συνεργὸν, καθὼς τῇ γραφῇ δοκεῖ, καὶ βοηθὸν τῷ ἀνθρώπῳ τὴν παρθενίαν εἶναι φαμέν· καὶ ὥσπερ τῶν λοιπῶν ἐπιτηδευμάτων τέχναι τινὲς πρὸς τὴν ἑκάστου τῶν σπουδαζομένων ἐξεργασίαν ἐπενοήθησαν· οὕτω μοι δοκεῖ καὶ τὸ τῆς παρθενίας ἐπι-
C τήδευμα τέχνη τις εἶναι καὶ δύναμις τῆς θειοτέρας ζωῆς, πρὸς τὴν ἀσώματον φύσιν τοὺς ἐν σαρκὶ ζῶντας ὁμοιοῦσθαι παρασκευάζουσα. πᾶσα γάρ ἐστι σπουδὴ τοῦ τοιούτου βίου, ὅπως μὴ τὸ ὑψηλὸν τῆς ψυχῆς διὰ τῆς ἐπαναστάσεως τῶν ἡδονῶν ταπεινωθῇ, καὶ ἀντὶ τοῦ μετεωροπορεῖν, καὶ εἰς τὰ ἄνω βλέπειν τὴν διάνοιαν ἡμῶν, πρὸς τὰ σαρκὸς καὶ αἵματος κατενεχθεῖσαν πάθη πεσεῖν· πῶς γὰρ ἔτι δύναται πρὸς τὸ συγγενές τε καὶ νοητὸν φῶς ἐλευθέρῳ ἀναβλέπειν τῷ ὄμματι ἡ προσηλωθεῖσα κάτω τῇ ἡδονῇ τῆς σαρκὸς, καὶ τὴν ἐπιθυ-
D μίαν πρὸς τὰ ἀνθρώπινα πάθη ἀπασχολήσασα; ὅταν γὰρ πρὸς τὰ ὑλώδη διὰ τὴν ῥοπὴν ἐκ μοχθηρᾶς τινὸς καὶ ἀπαιδεύτου προσλήψεως, καθάπερ οἱ τῶν συῶν ὀφθαλμοὶ εἰς τὸ κάτω παρὰ τῆς φύσεως ἐστραμμένοι τῶν οὐρανίων θαυμάτων ἀπείρως ἔχουσιν, οὕτως ἡ τῷ σώματι συγκατασπασθεῖσα ψυχὴ, οὐκέτι πρὸς τὸν οὐρανὸν καὶ τὰ ἄνω κάλλη βλέπειν δυνήσεται, πρὸς τὸ ταπεινὸν καὶ κτηνῶδες τῆς φύσεως ἐπικύπτουσα. ὡς ἂν οὖν μάλιστα ἡμῖν ἐλευθέρα καὶ ἄνετος ἡ ψυχὴ πρὸς τὴν θείαν τε καὶ μακαρίαν ἡδονὴν ἀναβλέποι, πρὸς οὐδὲν

τῶν

τὴν γνώμην ἑαυτῆς ἐπιστρέψῃ, οὐδὲ τῆς νενομισμένης κατὰ τὴν τοῦ κοινοῦ βίου συγχώρησιν ἡδονῆς μεταλήψεται, ἀλλὰ μεταθήσει τὴν ἐρωτικὴν δύναμιν ἀπὸ τῆς σωματικῆς ἐπὶ τὴν νοητήν τε καὶ ἄϋλον τοῦ καλοῦ θεωρίαν· πρὸς τὴν τοιαύτην τῆς ψυχῆς διάθεσιν ἡ παρθενία τοῦ σώματος ἡμῖν ἐπενοήθη, ὡς ἂν μάλιστα λήθην καὶ ἀμνηστίαν ἐμποιήσειε τῇ ψυχῇ τῶν ἐμπαθῶν τῆς φύσεως κινημάτων, μηδεμίαν ἀνάγκην ἐπάγουσα πρὸς τὰ ταπεινὰ τῆς σαρκὸς ὀφλήματα καταγίνεσθαι. ἐλευθερωθεῖσα γὰρ ἅπαξ τῶν τοιούτων χρεῶν, οὐκέτι κινδυνεύει μὴ τῷ κατ' ὀλίγον προσεθισμῷ περὶ τὰ δοκοῦντα νόμῳ τινὶ φύσεως συγκεχωρῆσθαι, ἐν ἀποστροφῇ καὶ ἀγνοίᾳ τῆς θείας τε καὶ ἀκηράτου γένηται ἡδονῆς· ἣν μόνη ἡ καρδίας καθαρότης, τοῦ ἐν ἡμῖν ἡγεμονικοῦ, θηρεύειν πέφυκεν.

A maximè reſpiciat, ad nullas omnino res caducas, & terrenas ſe ipſe conuertet, neque earum voluptatum particeps fiet, quæ ad communis vitæ indulgentiam comparatæ ſunt; ſed omnem potius amoris vim à rebus corporis ad eam traducet pulchritudinis contemplationem, quæ & corporis expers eſt, & mente cernitur. Atque ad hanc quidem animi affectionem, ſtudiúmque eſt corporis inuenta virginitas, vt, cùm affectionum, quæ à natura tributæ videntur, obliuionem animo maximè attulerit, nullam in-
B ducat neceſſitatem ſordidis carnis debitis vacandi. Nam vbi ſemel hiſce liberata eſt debitis, non iam amplius periculum eſt, ne aſſuetudine tandem rerum, quæ naturæ quadam lege permiſſæ vidétur, veram illã atque immortalem voluptatem auerſetur atque fugiat, quam cor ſolum, pura eius, qui nos regit, animi integritate adhibita, capere ſolet.

Ὅτι Ἠλίας καὶ Ἰωάννης τῆς ἀκριβείας τοῦ βίου τούτου ἐπεμελήθησαν.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Διὰ τοῦτό μοι δοκεῖ καὶ ὁ μέγας ἐν προφήταις Ἠλίας, καὶ ὁ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου μετ' ἐκεῖνον ἐπιδημήσας τῷ βίῳ, οὗ μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν, εἴπερ τι καὶ ἕτερον ἡ κατ' αὐτοὺς ἱστορία παραδηλοῖ δι' αἰνίγματος, τοῦτο μάλιστα τῷ ἰδίῳ δογματίζειν βίῳ, τὸ χωρισθῆναι τῆς τοῦ ἀνθρωπίνου βίου ἀκολουθίας τὸν τῇ θεωρίᾳ τῶν ἀοράτων σχολάζοντα. ὡς ἂν μὴ ταῖς τοιαύταις ἀπάταις ταῖς διὰ τῶν αἰσθήσεων γινομέναις προσεθισθεὶς, σύγχυσίν τινα καὶ πλάνην πάθοι περὶ τὴν τοῦ ὄντως ἀγαθοῦ κρίσιν· ἀμφότεροι γὰρ εὐθὺς ἐκ νέων ἀπεξενώθησαν τῆς ἀνθρωπίνης ζωῆς, καὶ οἷον ἔξω τῆς φύσεως ἑαυτοὺς ἔστησαν τῇ περὶ τὴν βρῶσιν καὶ πόσιν ὑπεροψίᾳ τῆς συνήθους καὶ νενομισμένης τροφῆς, καὶ τῇ κατὰ τὴν ἔρημον διαγωγῇ. ὡς καὶ τὴν ἀκοὴν ἀπερίηχον, καὶ ἀπλάνητον αὐτοῖς φυλαχθῆναι τὴν ὄψιν, καὶ τὴν γεῦσιν ἁπλῆν τε καὶ ἀπραγμάτευτον διαμεῖναι, ἐκ τοῦ προστυχόντος ἑκατέροις πληρουμένης τῆς χρείας· ἐντεῦθεν εἰς πολλὴν εὐδίαν καὶ γαλήνην ἀπὸ τῶν ἔξωθεν θορύβων κατέστησαν,

Elias, & Ioannes diligentem harum curam adhibuerunt.

CAPVT VI.

C OB eam cauſam magnus in prophetis mihi videtur Elias, & is qui poſtea in ſpiritu & virtute Eliæ in vitam venit: quo ſanè in natis mulierũ nemo maior exortus eſt. Quæ porrò de his ipſis narratur hiſtoria, etſi quid aliud obſcurè, illud tamen maximè indicat, quod vitæ rationẽ docet, vt, qui ſcilicet contẽplandis rebus, quæ minimè ſub aſpectum cadunt, ſe dedit, hic ab humanæ vitæ conſuetudine alien⁹ fiat, ne huiuſmodi fraudibus, quæ ſenſibus concipiuntur, addictus, perturbatione atque mentis errore in illius iudicio afficiatur, quod re vera
D bonũ eſt. Hi ambo ab adoleſcentia ſeſe ſtatim ab humanæ vitæ ſocietate remouerunt: cùm enim potionis, atque cibi, qui cæteris ad vitæ ſuſtentationem eſt datus, deſpicientia, tum vita, quam in ſolitudine egerunt, ſe quaſi à naturæ alienarunt inſtituto, vt & aures à ſtrepitu & oculos ab errore tuerentur, & guſtatu ſimplici eſſent, & ad nullam rem parato, nimirum cùm neceſſitatem victus ex quibúſuis rebus, quæ vtrique obuiam fierent, ſanè explerent. Quamobrem ab externis perturbationibus remoti, in ſumma vitæ tranquillitate atque otio ſeſe conſtituerunt.

indéque ad tantam diuinorum munerum altitudinẽ elati ſunt, quantam hæc de vtroq. cõmemorat oratio. Elias enim quaſi Dei munerũ quæſtor aliquis, cùm ex poteſtate quadã cœli adminiſtrationem haberet, illius & peccatoribus obſtruendi, & iis, qui pœnitentiã agendo reſipiſcerent, aperiendi poteſtatem habuit. Ioannẽ verò tale aliquid miraculũ feciſſe, nihil diuinis eſt litteris proditũ: at is, qui res occultas perſpicit, teſtatum reliquit, maius illi munus eſſe tributũ, quàm cæteris omnibus prophetis. Hæc fortaſſe his duobus contigerunt, quoniam puram, omníſq. materialis expertem affectionis ſuam in Deo cupiditatem poſuerunt, neque liberorum amoribus, neque cõiugum curis, neque cæteris vllis rebus humanis intenti, ne quotidiani quidem, ac neceſſarij victus curam ad ſe pertinere cenſuerunt: veſtiúmque luxu abiecto, ex iis quæ offerebantur, facilè ſibi neceſſaria parabant: vnus enim quidem caprinis pellibus, alter pilis cameli amictus erat: neque profectò, vt arbitror, ad eam magnitudinem perueniſſent, ſi nuptiæ eos corporis oblectamentis delinitos molliuiſſent. Hæc porrò non ſine cauſa, ſed, vt eſt apud Apoſtolum, ad noſtram ſanè
Rom. 15. doctrinam ſcripta ſunt, nempe vt ad illorum vitæ inſtitutum nos item vitam noſtram dirigamus. Ergo quid ex his documenti percipimus? id ſanè, vt, propoſito ſanctorum virorum exemplo, iis rebus quæ ad hanc vitam pertinent, animum ne adijciat, is qui ſe cum Deo iunctum eſſe ſtudet: fieri enim non poteſt, vt cuius animus multarum rerum curis diſtrahitur, is in Dei contemplationem, cupiditatemque planè totus incumbat.

A καὶ διὰ τοῦτο εἰς τοσοῦτον μέγεθος τῶν θείων χαρισμάτων ἐπήρθησαν, ὅσον περὶ ἑκατέρου τούτων μνημονεύει ὁ λόγος. Ἠλίας μὲν γὰρ καθάπερ ταμίας τις τῶν τοῦ Θεοῦ δωρεῶν καταστὰς, τῆς ἐκ τοῦ οὐρανοῦ χρείας κατ' ἐξουσίαν καὶ ἀποκλείειν τοῖς ἁμαρτάνουσι, καὶ ἀνιέναι τοῖς μετανοοῦσι κύριος ἦν· τὸν δὲ Ἰωάννην τοιοῦτον μέν τι θαυματοποιῆσαι, οὐδὲν φησὶν ἡ θεία ἱστορία· περισσότερον δὲ ἢ κατὰ πάντα προφήτην τὸ ἐν αὐτῷ χάρισμα παρὰ τοῦ τὰ κρυπτὰ βλέποντος μεμαρτύρηται· τάχα ὅτι καθαράν τε καὶ
B ἀμιγῆ πάσης ὑλικῆς προσπαθείας τὴν ἑαυτῶν ἐπιθυμίαν ἀπ' ἀρχῆς εἰς τέλος τῷ Κυρίῳ ἀνέθηκαν, οὔτε εἰς τέκνων στοργὴν, οὔτε εἰς γυναικὸς φροντίδα, οὔτε εἰς ἄλλο τι τῶν ἀνθρωπίνων ἀσχοληθέντες· οἵ γε μηδὲ τῆς καθ' ἡμέραν ἀναγκαίας τροφῆς πρέπειν ἑαυτοῖς ὑπολαβόντες τὴν μέριμναν, τῆς τε τῶν ἐνδυμάτων σεμνότητος κρείττους ἐπιδειχθέντες, ἐκ τῶν ἐπιτυχόντων ἑαυτοῖς τὰς χρείας ἀπεσχεδίαζον, ὁ μὲν δέρμασιν αἰγείοις, ὁ δὲ καμήλου θριξὶ σκεπαζόμενος· οὐκ ἂν εἰς ἐκεῖνο τὸ μέγεθος
C ὡς οἶμαι φθάσαντες, εἰ ταῖς τοῦ σώματος ἡδυπαθείαις ὑπὸ τοῦ γάμου κατεμαλάχθησαν. Ταῦτα δὲ οὐχ ἁπλῶς, ἀλλὰ καθώς φησιν ὁ Ἀπόστολος, εἰς νουθεσίαν ἡμῶν ἀναγέγραπται· ἵνα πρὸς τὸν ἐκείνων βίον καὶ τὸν ἑαυτῶν κατευθύνωμεν. Τί οὖν ἐκ τούτων μανθάνομεν; τὸ καθ' ὁμοιότητα τῶν ἁγίων ἀνδρῶν, μηδενὶ τῶν βιωτικῶν πραγμάτων προσασχολεῖν τὴν διάνοιαν τὸν ἐπιθυμοῦντα τῷ Θεῷ συναφθῆναι· οὐδὲ γάρ ἐστι δυνατὸν τὸν εἰς πολλὰ τῇ διανοίᾳ διαχεόμενον, πρὸς Θεοῦ
D κατανόησιν καὶ ἐπιθυμίαν εὐθυπορῆσαι.

Qui multis rerum curis deſtinetur, fieri non poteſt, vt hic animo ſit perfecto.

CAPVT VII.

MIHI ſanè videtur, quod de his præceptum eſt, exemplo illuſtrius fieri poſſe. Ponamus igitur, aquam, quæ à fonte aliquo manat, in diuerſas fluxiones, ac riuos, vt fit, diſpergi, atque diſſipari: quàm diu certè ita fer-

Ὅτι τὸν εἰς πολλὰ μεριζόμενον τελειωθῆναι τὴν ψυχὴν ἀδύνατον.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

ΔΟΚΕΙ δέ μοι δι' ὑποδείγματος ἐναργέστερον ἂν παραστῆσαι τὸ περὶ τούτων δόγμα· ὑποθώμεθα γὰρ τὸ ὕδωρ ἐκ πηγῆς προχεόμενον, εἰς διαφόρους ἀποῤῥοὰς κατὰ τὸ συμβὰν διασχίζεσθαι. Ἐκεῖνο ἕως ἂν οὕτω

φέρηται, εἰς οὐδὲν τῶν πρὸς τὴν γεωργίαν χρησίμων ἐπιτήδειον ἔσται, τῆς εἰς πολλὰ διαχύσεως ὀλίγον τὸ ἐν ἑκάστῳ, καὶ ἀδρανὲς, καὶ δυσκίνητον ὑπὸ ἀπορίας ποιούσης· εἰ δέ τις πάσας αὐτοῦ τὰς ἀτάκτους ἀποῤῥοὰς συναγάγοι, καὶ εἰς ἓν ῥεῖθρον τὸ πολλαχῇ τέως ἐσκεδασμένον ἀθροίσειεν, εἰς πολλὰ ἂν τῶν βιωφελῶν καὶ χρησίμων ἀθρόῳ καὶ συντεταγμένῳ τῷ ὕδατι χρήσαιτο· οὕτω μοι δοκεῖ καὶ ὁ νοῦς ὁ ἀνθρώπινος, εἰ μὲν πανταχοῦ διαχέοιτο, πρὸς τὸ ἀρέσκον ἀεὶ τοῖς αἰσθητηρίοις ῥέων καὶ σκεδαννύμενος, μηδεμίαν ἀξιόλογον δύναμιν ἴσχειν πρὸς τὴν ἐπὶ τὸ ὄντως ἀγαθὸν πορείαν· εἰ δὲ πανταχόθεν ἀνακληθεὶς, καὶ περὶ ἑαυτὸν ἀθροισθεὶς, συνηγμένος καὶ ἀδιάχυτος πρὸς τὴν οἰκείαν ἑαυτοῦ καὶ κατὰ φύσιν ἐνέργειαν κινοῖτο, οὐδὲν τὸ κωλῦον αὐτὸν ἔσται πρὸς τὰ ἄνω φέρεσθαι, καὶ τῆς ἀληθείας τῶν ὄντων ἐφάπτεσθαι· καθάπερ γὰρ τὸ περιεσφιγμένον διὰ σωλῆνος ὕδωρ ὄρθιον πολλάκις ὑπὸ τῆς ἀναθλιβούσης βίας ἐπὶ τὰ ἄνω φέρεται, οὐκ ἔχον ὅπη διαχυθῇ· καὶ ταῦτα, κατωφερεῖς αὐτῷ τῆς κατὰ φύσιν οὔσης κινήσεως· οὕτω καὶ ὁ νοῦς ὁ ἀνθρώπινος, οἷόν τινος σωλῆνος στεγανοῦ τῆς ἐγκρατείας αὐτὸν ἁπανταχόθεν περισφιγγούσης, ἀναληφθήσεταί πως ὑπὸ τῆς τοῦ κινεῖσθαι φύσεως πρὸς τὴν τῶν ὑψηλοτέρων ἐπιθυμίαν, οὐκ ἔχων ὅπου παραῤῥυῇ· οὔτε γὰρ στῆναί ποτε δυνατόν ἐστι τὸν ἀεικίνητον ὑπὸ τοῦ πεποιηκότος εἰληφότα τὴν φύσιν, καὶ εἰς τὰ μάταια χρῆσθαι τῇ κινήσει κωλυόμενον, ἀμήχανον μὴ πρὸς τὴν ἀλήθειαν πάντως εὐθυπορῆσαι, τῷ πανταχόθεν ἀπὸ τῶν ἀτόπων ἀπείργεσθαι· καὶ γὰρ ἐν ταῖς πολυοδίαις οὕτω μάλιστα τοὺς ὁδοιπόρους ὁρῶμεν τῆς εὐθείας οὐχ ἁμαρτάνοντας, ὅταν τὴν ἐν ταῖς ἄλλαις ὁδοῖς πλάνην προμαθόντες, ἐκκλίνωσιν· ὡς ὁ τῶν πεπλανημένων τρίβων ἐν τῷ ὁδεύειν ἀναχωρήσας, ἐπὶ τῆς εὐθείας μᾶλλον ἑαυτὸν φυλάξει· οὕτως ἡμῶν ἡ διάνοια τῇ ἀποστροφῇ τῶν ματαίων τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν ἐπιγνώσεται· ἔοικεν οὖν ταῦτα παιδεύειν ἡμᾶς τῇ μνήμῃ τῶν μεγάλων προφητῶν ἐκείνων, τὸ μηδενὶ τῶν ἐν τῷ κόσμῳ σπουδαζομένων ἐμπλέκεσθαι· ἓν δὲ τῶν σπουδαζομένων ὁ γάμος ἐστὶν· μᾶλλον δὲ ἀρχὴ καὶ ῥίζα τῆς τῶν ματαίων σπουδῆς.

A tur, ad nullas eas res, quæ agriculturæ expediant, erit accõmodata: cùm illius aquæ in multas partes diſſipatio exiguum id efficiat, quod in ſingulis partibus tenue eſt, víxque præ tenuitate mouetur: ſin autem quis omnes eius diſperſos riuos colligat, quódve paſſim diſſipatum eſt, in vnum alueum concludat, ad multas vitæ cõmoditates, & eas quidem neceſſarias vberiore vteretur aqua, quæ in vnum ſit locum deriuata. Ita hominũ mens, ſi paſſim diffunditur, eoque potiſſimum, quò ſenſuum illecebris rapitur, perpetuò diffluit, ac diſſipatur, B nullam planè mihi magnam vim habere videtur ad eum curſum, qui ad verum bonum pertinet: ſed ſi vndique ſeſe collegerit, atque in ſe receperit, totáque ad eam, quæ ſibi propria eſt, ac naturalis muneris functionem impellatur, nihil quidem impedimento erit, quo minus ad ſuperiora feratur, atque rerum, quæ verè ſunt, veritatem attingat: vt enim magna aquę vis aquæductibus obtecta, & concluſa, ſæpe, cùm vis illa erumpat, in ſublime fertur, quoniam non habet, quà diffundatur, idque cùm motus eius naturalis ille ſit, vt deorſum feratur: ſic C humana mens, quaſi anguſto quodam aquæductu, cùm vndique continentia ipſa comprimatur, neque habeat, vnde erumpat, agitatione ipſa naturali ad rerum cœleſtium quodam modo excitabitur appetitionẽ: nam neque animus, qui perenni agitatione mouetur, conſiſtere poteſt, cùm ab eo, qui illum effecit, huiuſmodi motus naturam ſortitus ſit: neque, ſi prohibetur, quominus ad res inanes eo motu vtatur, dubium eſt, quin cùm vndique à rebus abſurdis repellatur, ad veritatẽ recta omnino contendat: in multis enim itineribus viatores maximè videmus recta via non aberD rare, cùm reliquorũ itinerũ errore antè inſtructi omnino caueant, ne aberrent, veluti is, qui in itinere faciendo cùm ſe ab incertis, tranſuerſiſque ſemitis abduxerit, magis in recta ſe via cõſeruabit: ita animus noſter à rebus inanibus auerſus, in rebus quæ ſunt, veritatẽ planè agnoſcet. Itaque de ſummis illis prophetis cõmemoratio nos ad hoc erudire videtur, vt iis rebus, quæ in hac vita expetuntur, ne implicemur: in quarum rerum numero ſunt nuptiæ, quæ ſtudiorum inanium ſemen potius ſunt, atque principium.

A

Nec matrimonium eſſe in rebus damnatis.

CAPVT VIII.

NEMO verò ex iis, quæ diximus, in opinionem veniat, nos matrimonij improbare inſtitutionem: non enim ignoramus, neque illud à benedictione Dei fuiſſe alienum: ſed quoniam hoc ipſum ſatis accuratè defendit communis hominum natura, quæ ſua ſponte ad huiuſmodi res vim inſerit iis, qui matrimonij via quæſita ad liberorũ procreationem accedunt: naturæ enim quodam modo reſiſtit virginitas: ſuperuacaneum vtique eſſet, admonitiones atque hortationes de matrimonio diligenter conſcribere: cùm voluptas ipſa oſtendat, ſe acerrimum illius patrocinium ſuſcipere: niſi fortaſſe tamen his ſermonibus opus eſſet propter eos, qui Eccleſiæ præcepta, atque inſtituta corrumpunt: quos cauteriatam ſuam conſcientiã habẽtes vocat Apoſtolus, & rectè vocat, propterea quòd, ſpiritũ ducẽ relinquẽdo, dæmoniorũ doctrinis cicatrices quaſdã, atque inuſtiones cordib. ſuis imprimunt, res à Deo creatas deteſtantes, quaſi impura illa ſint, ad malũq. trahant, atque in cauſa ſint malorum, & hæc atque alia eiuſmodi dicentes. At quid ad me extraneos iudicare, inquit Apoſtolus? Extranei enim, & alieni re vera ſũt illi à ſede domicilióque, in quo myſteriorum ſermo poſitus eſt, qui non in Dei præſidio, ſed in ſpelunca diaboli ad eius voluntatem cõmorantur, ſecũdũ vocẽ Apoſtoli: propterea̧que non intelligũt, cùm virtus omnis in mediocritate conſiſtat, id, quod in contrarias partes conuertitur, eſſe vitium. qui enim in omnibus rebus & eius, quod parum, & illius, quod nimium eſt, mediocritatem capit, hic vitium à virtute diſtinxit. Quæſtio hæc illuſtrior erit, ſi rebus ipſis demonſtretur. Metus, & audacia, duo è regione poſita vitia putantur, hic quidem, quoniam confidentiæ modum deſerit, illa quia ſuperat, mediocritatem continent, quæ in fortitudine cernitur. Rurſus, qui pietatem colit, is neque impius eſt, neque ſuperſtitioſus: in vtroque enim æque ineſt impietas: alter, quia Deum negat:

1.Tim.4. (margin, beside "ſcientiã habẽtes vocat Apoſtolus")

1.Cor.6. (margin, beside "vera ſũt illi à ſede domicilióque")

Ὅτι οὐδὲ ὁ γάμος τῶν κατηγορουμένων ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

ΜΗΔΕΙΣ δὲ διὰ τούτων ἡμᾶς ἀθετεῖν οἰέσθω τὴν οἰκονομίαν τοῦ γάμου· οὐ γὰρ ἀγνοοῦμεν ὅτι καὶ αὐτὸς τῆς τοῦ Θεοῦ εὐλογίας οὐκ ἠλλοτρίωται· ἀλλ' ἐπειδὴ τούτου μὲν αὐτάρκης συνήγορος ἡ κοινὴ τῶν ἀνθρώπων φύσις ἐστὶν, αὐτόματον τὴν πρὸς τὰ τοιαῦτα ῥοπὴν ἐντιθεῖσα πᾶσι τοῖς διὰ γάμου προϊοῦσιν εἰς γένεσιν· ἀντιβαίνει δέ πως ἡ παρθενία τῇ φύσει· περιττὸν ἂν εἴη περὶ γάμου προτροπὴν καὶ παραίνεσιν φιλοπόνως συγγράφειν, τὴν δυσμαχωτάτην αὐτοῦ προβεβλημένους συνήγορον τὴν ἡδονήν· πλὴν εἰ μὴ τάχα διὰ τοὺς τὰ δόγματα τῆς ἐκκλησίας παραχαράσσοντας τῶν τοιούτων χρεία λόγων ἂν εἴη· οὓς κεκαυτηριασμένους τὴν ἰδίαν συνείδησιν ὁ ἀπόστολος ὀνομάζει· καὶ καλῶς ὀνομάζει,

B (margin, at "ἀνθρώπων φύσις ἐστὶν")

C ὅτι καταλιπόντες τὴν ὁδηγίαν τοῦ ἁγίου πνεύματος, διὰ τῆς τῶν δαιμόνων διδασκαλίας οὐλάς τινας καὶ ἐγκαύματα ταῖς καρδίαις αὐτῶν ἐγχαράσσουσι, τὰ Θεοῦ κτίσματα βδελυσσόμενοι ὡς μιάσματα, καὶ εἰς κακὸν φέροντα, καὶ κακῶν αἴτια, καὶ τὰ τοιαῦτα προσαγορεύοντες. ἀλλὰ τί μοι τοὺς ἔξω κρίνειν, φησὶν ὁ ἀπόστολος· ἔξω γάρ εἰσιν ὡς ἀληθῶς ἐκεῖνοι τῆς τοῦ λόγου τῶν μυστηρίων αὐλῆς, οὐκ ἐν τῇ σκέπῃ τοῦ Θεοῦ, ἀλλ' ἐν τῇ μάνδρᾳ τοῦ πονηροῦ αὐλι-

D ζόμενοι· οἱ ἐζωγρημένοι εἰς τὸ ἐκείνου θέλημα, κατὰ τὴν τοῦ ἀποστόλου φωνήν, καὶ διὰ τοῦτο μὴ συνιέντες ὅτι πάσης ἀρετῆς ἐν μεσότητι θεωρουμένης, ἡ ἐπὶ τὰ παρακείμενα παρατροπὴ κακία ἐστίν· ὑφέσεως γὰρ καὶ ἐπιτάσεως πανταχοῦ εἰς τὸ μέσον ἐπιλαβών, τὴν ἀρετὴν ἐκ τῆς κακίας διέκρινε. Σαφέστερος δ' ἂν ἡμῖν ὁ λόγος γένοιτο ἐπ' αὐτῶν τῶν πραγμάτων δεικνύμενος· δειλία καὶ θράσος δύο κακίαι κατὰ τὸ ἐναντίον νοούμεναι, ἡ μὲν κατ' ἔλλειψιν, ἡ δὲ κατὰ πλεονασμὸν πεποιθήσεως, μέσην περιέχουσιν αὐτῶν τὴν ἀνδρείαν· πάλιν ὁ εὐσεβὴς οὔτε ἄθεος οὔτε δεισιδαίμων ἐστίν· ἴσον γὰρ ἐπ' ἀμφοῖν τὸ ἀσέβημα, καὶ τὸ μηδένα Θεόν,

καὶ τὸ πολλοὺς εἶναι οἴεσθαι. Βούλει καὶ δι' ἑτέρων ἐπιγνῶναι τὸ δόγμα; ὁ φυγὼν τὸ φειδωλὸς εἶναι καὶ ἄσωτος, ἐν τῇ τῶν ἐναντίων παθῶν ἀναχωρήσει τὴν ἐλευθερίαν περὶ ἤθη κατώρθωσε. τοιοῦτον γάρ τι ἡ ἐλευθερία ἐστὶν, τὸ μήτε πρὸς τὰς ἀμέτρους καὶ ἀνωφελεῖς δαπάνας εἰκῆ διαχεῖσθαι, μήτε πρὸς τὰ ἀναγκαῖα μικρολόγως ἔχειν. οὕτω καὶ ἐπὶ τῶν λοιπῶν πάντων, ἵνα μὴ τοῖς καθέκαστον ἐπεξίωμεν, τὴν μεσότητα τῶν ἐναντίων ἀρετὴν ὁ λόγος ἐγνώρισεν. οὐκοῦν καὶ ἡ σωφροσύνη μεσότης ἐστὶν, καὶ φανερὰς ἔχει τὰς ἐφ' ἑκάτερα πρὸς κακίαν παρεκτροπάς. ὁ μὲν γὰρ ἐλλείπων κατὰ τὸν τῆς ψυχῆς τόνον, καὶ διὰ τοῦτο εὐκαταγώνιστος περὶ τῆς ἡδονῆς πάθη γινόμενος, καὶ μηδὲ προσεγγίσας τῇ ὁδῷ τοῦ κατ' ἀρετὴν βίου καὶ σώφρονος, εἰς πάθη τῆς ἀτιμίας κατωλίσθησεν· ὁ δὲ παρελθὼν τῆς σωφροσύνης τὸ βάσιμον, καὶ ὑπερπεσὼν τοῦ μέσου τῆς ἀρετῆς, οἷον κρημνῷ τινὶ τῇ διδασκαλίᾳ τῶν δαιμόνων ἐγκατηνέχθη, καυτηριάζων, καθώς φησιν ὁ ἀπόστολος, τὴν ἰδίαν συνείδησιν. ἐν ᾧ γὰρ βδελυκτὸν εἶναι τὸν γάμον ὁρίζεται, ἑαυτὸν σίζει τοῖς τοῦ γάμου ὀνειδισμοῖς· εἰ γὰρ τὸ δένδρον κακὸν, καθώς φησί που τὸ εὐαγγέλιον, καὶ ὁ καρπὸς πάντως τοῦ δένδρου ἄξιος. εἰ δὲ τοῦ φυτοῦ τοῦ κατὰ τὸν γάμον βλάστημα καὶ καρπός ἐστιν ὁ ἄνθρωπος, τὰ τοῦ γάμου ὀνείδη πάντως τοῦ προσφέροντος γίνεται· ἀλλ' ἐκεῖνοι μὲν στιγματίαι τὴν συνείδησιν καὶ καταμεμωλωπισμένοι τῇ ἀτοπίᾳ τοῦ δόγματος διὰ τῶν τοιούτων ἐλέγχονται· ἡμεῖς δὲ ταῦτα καὶ περὶ τοῦ γάμου γινώσκομεν· ὡς δεῖ προηγουμένην μὲν εἶναι τὴν περὶ τὰ θεῖα σπουδήν τε καὶ ἐπιμέλειαν· τῆς δὲ τοῦ γάμου λειτουργίας μὴ ὑπερορᾶν τὸν σωφρόνως τε καὶ μεμετρημένως κεχρῆσθαι δυνάμενον. οἷος ἦν ὁ πατριάρχης Ἰσαὰκ, ὃς οὐκ ἐν ἀκμῇ τῆς ἡλικίας, ἵνα μὴ πάθους ἔργον ὁ γάμος γένηται, ἀλλ' ἤδη τῆς νεότητος ὑπαναλωθείσης αὐτῷ δέχεται τὴν τῆς Ῥεβέκκας συνοίκησιν, τῆς διὰ τὴν ἐπὶ τῷ σπέρματι τοῦ Θεοῦ εὐλογίαν· καὶ μέχρι μιᾶς ὠδῖνος ὑπηρετήσας τῷ γάμῳ, πάλιν τῶν ἀοράτων ὅλος ἦν, μύσας τὰ σωματικὰ αἰσθητήρια. τοῦτο γὰρ ἡ ἱστορία δοκεῖ σημαίνειν, τὴν βαρύτητα τῶν ὀφθαλμῶν τοῦ πατριάρχου διηγουμένη.

A alter quoniam multos eſſe opinatur. Vis ne hoc ipſum ex aliis cognoſcere? Qui in auaris, ac prodigis eſſe recuſat, contrariis inter ſe affectibus remotis, liberalitatem habitu quodam rectè coluit: liberalitas enim in eo elucet, vt ne quis in ſumptus immoderatos, miniméque vtiles temerè profuſéque eroget, néve in rebus neceſſariis parcus ſit ac remiſſus. Atque ita in cæteris omnibus, ne ſingula nos perſequamur, rerum inter ſe pugnantium mediocritatem in virtute poſitam eſſe ratio definiuit: itaque B temperantia item mediocritas eſt, atque in vtraque parte conuerſiones ad vitium habet perſpicuas: qui enim animi firmitate deſeritur, voluptatíſque affectu facile vincitur, cámque ob cauſam ad incorruptæ, temperatæque vitæ viam propè non acceſſit, in ignominioſas hic affectiones delapſus incidit: qui verò temperantiæ fines tranſit, & à virtutis mediocritate recedit, hic conſcientiam ſuam, inquit Apoſtolus, cauteriatam habens, in aliquas dæmoniorum doctrinæ ſalebras compulſus incurrit. Nam quòd matrimonium de- C teſtabile eſſe ſtatuit, matrimonium ipſum vituperando, ſe ipſe conſcindit: ſi enim arbor mala, vt eſt quodam loco in Euangelio, fructus eius item eſt arbore planè dignus, matrimonij quaſi alicuius plantæ germen eſt, atque fructus homo: quæ igitur ipſe in matrimonium conuicia conijcit, in eum illa ipſa recidunt. At illi quidem, qui conſcientiam notis inuſtam habent, atque ex ſententiæ abſurditate ſunt cicatrice quadam affecti, eiuſmodi rebus conuincuntur. Nos verò de matrimonio ita ſentimus, oportere nos rerum D diuinarum ſtudium, curámque huic matrimonij officio anteferre, neque tamen eum deſpicere, qui temperatè illo, ac moderatè vti poteſt: qualis patriarcha Iſaac fuit, qui non floreſcente ætatate, vt affectioni coniugium ſeruiret, ſed exhauſta iam adoleſcentia, ob Dei in ſemine benedictionem, Rebeccam in matrimonium duxit: cui cùm vſque ad vnum partum operam dediſſet, rurſus in rebus, quæ oculis non cernuntur, totus fuit, clauſis corporis ſenſibus: id enim ſignificare mihi videtur hiſtoria, quæ grauem illius patriarchæ oculorum obtutum commemorat.

Matth. 7.

Atque hæc quidem ita ſe habeant, quemadmodum iis ita ſe habere videntur, qui eiuſmodi res perſpicere planè ſciunt: nos verò, quæ ad orationis perpetuitatem pertinent, perſequamur. Quid ergo illud eſt, quod dicitur? ſi licuerit, neque à diuina voluntate diſcedat, neque nuptias fugiat: quæ porrò naturę inſtitutionē aſpernetur, criminetúrve id, cui honos attribui ſolet, nulla eſt oratio: nam vt in eo, quod à nobis expoſitū eſt, aquæ & fontis exēplo patet: cùm in regionē aliquā agricola canalib⁹ aquam deriuat, in medioque curſu contingit, vt exiguo riuulo opus ſit: tantum ille aquæ diffluere concedet, quantum vſus ille moderatè exigere videtur, rurſúſque paratus eſt, vt id cum reliquo iterum aquæ curſu commiſceatur: ſin autem, aquæ nihil reſeruando, aditum illi incautè aperiet, periculum erit, ne tota aquæ vis, rectū curſum relinquendo, paludibus ex tranſuerſo omnia occupet. Pari ratione, quoniam in vita opus eſt mutua ſucceſſione, ſi quis hoc, quod iam contractum eſt, matrimonio ita vtetur, vt rebus ſpiritalibus præpoſitis, tenui ad eiuſmodi res ac remiſſa cupiditate vſus ſit propter temporis breuitatem, hic temperans eſt, ex Apoſtoli præcepto, agricola, qui ſe ipſum ſapientiæ præceptis excolit, nec in retribuendis illis frigidis debitis ſordidè ſemper, abiectéque occupatus eſt, ſed ex conuenientia quadam munditiam animi in orationum ſtudio conſtituit: timet enim, ne ex hac affectione totus efficiatur caro, & ſanguis, in quibus non permanet ſpiritus Dei. Qui verò ita infirmus eſt, vt naturæ onus ſuſtinere nequeat, melius agetur, ſi ab iis procul ſe abducat, quàm in certamen deſcendat impar viribus: periculum enim non leue eſt, ne hic voluptatum vſu, quaſi eſca, deceptus, nihil aliud in bonis eſſe putet, quàm illud, quod cum ſuauitate quadam carnis percipitur ſenſibus, néve, cùm à rerum corpore vacantium cupiditate ſuam mentem plane auerterit, in rebus ſanè corporeis totus omnino ſit, rerumque harum voluptatem omni tempore indaget, quaſi potius voluptatis ſit, quam Dei amator. Et quoniam præ naturæ imbecillitate non cuiuſuis hominis eſt, harum rerum moderationem

A ἀλλὰ ταῦτα μὲν ἐχέτω, ὅπως ἂν ἔχειν δοκῇ τοῖς τὰ τοιαῦτα κατορθοῦν ἐπιςήμοσιν· ἡμεῖς δὲ πρὸς τὰ συνεχῆ τοῦ λόγου προΐωμεν· τί οὖν ἦν τὸ λεγόμενον; ὅτι ἂν ἐξῇ, μήτε τῆς θειοτέρας ἐπιθυμίας ἀφίςασθαι, μήτε ἀποφεύγειν τὸν γάμον, οὐδεὶς ἐςὶ λόγος ὁ ἀθετῶν τὴν οἰκονομίαν τῆς φύσεως, καὶ ὡς βδελυκτὸν διαβάλλων τὸ τίμιον· καθάπερ γὰρ ἐπὶ τοῦ προῤῥηθέντος ἡμῖν τοῦ κατὰ τὸ ὕδωρ καὶ τὴν πηγὴν ὑποδείγματος, ὅταν ἐπί τι χωρίον διοχετεύων ὁ γεωργὸς τὸ ὕδωρ ἐφέλκεται· γένηται δὲ
B τις καὶ διὰ μέσου χρεία βραχείας ἀποῤῥοῆς, τοσοῦτον μόνον δώσει παραῤῥυῆναι, ὅσον τῇ ἐπιζητούσῃ χρείᾳ σύμμετρον γινόμενον, πάλιν εὐκόλως συναναμιχθῆναι τῷ ὅλῳ. εἰ δὲ ἀπείρως καὶ εὐταμιεύτως διοίξειε τῷ ὕδατι τὴν ἀπόῤῥοιαν, κινδυνεύσει τῆς εὐθείας ἀφέμενον ὅλον ἐκχαραδρωθῆναι κατὰ τὸ πλάγιον. τὸν αὐτὸν τρόπον ἐπειδὴ χρεία τῷ βίῳ, καὶ τῆς ἐξ ἀλλήλων διαδοχῆς, εἰ μέν τις οὕτω χρήσαιτο τῷ γινομένῳ, ὡς προηγουμένων τῶν πνευματικῶν, φειδωλῇ καὶ ὑπεςαλμένῃ κεχρῆσθαι τῇ
C περὶ τὰ τοιαῦτα ἐπιθυμίᾳ, διὰ τὴν τοῦ καιροῦ συςολὴν, οὗτος ὁ σώφρων ἂν εἴη γεωργὸς, κατὰ τὸ παράγγελμα τοῦ ἀποςόλου οὐκ ἀεὶ περὶ τὰς ἀποδόσεις τῶν ψυχρῶν ἐκείνων ὀφλημάτων μικρολογούμενος, ἀλλὰ τὴν ἐκ συμφώνου καθαρότητα τῇ σχολῇ τῶν προσευχῶν ἀφορίζων, ὁ δεδοικὼς μὴ διὰ τῆς τοιαύτης προσπαθείας ὅλος γένηται σὰρξ καὶ αἷμα, ἐν οἷς οὐ καταμένει τοῦ Θεοῦ τὸ πνεῦμα. ὁ δὲ ἀσθενῶς διακείμενος, ὡς μὴ δύνασθαι πρὸς τὴν τῆς φύσεως φορὰν ἀνδρικῶς ςῆναι, κρείττων ἂν εἴη
D πόῤῥω τῶν τοιούτων ἑαυτὸν μᾶλλον ἀνέχειν, ἢ εἰς ἀγῶνα καθιὼν μείζονα τῆς δυνάμεως. κίνδυνος γὰρ οὐ μικρὸς παρακρουσθέντα τὸν τοιοῦτον ἐν τῇ πείρᾳ τῆς ἡδονῆς, μηδὲν ἕτερον ἀγαθὸν οἰηθῆναι, ἢ τὸ διὰ σαρκὸς μετά προσπαθείας τινὸς λαμβανόμενον, καὶ ἀποςρέψαντα παντελῶς τὸν ἑαυτοῦ νοῦν ἀπὸ τῆς τῶν ἀσωμάτων ἀγαθῶν ἐπιθυμίας, ὅλον σαρκικὸν γενέσθαι, τὸ ἐν τούτοις ἡδὺ διαπαντὸς τρόπου θηρεύοντα· ὡς φιλήδονον εἶναι μᾶλλον αὐτὸν ἢ φιλόθεον· ἐπειδὴ τοίνυν διὰ τὸ τῆς φύσεως ἀσθενὲς, οὐ παντός ἐςι τῆς εἰς τὰ τοιαῦτα συμμε-

τείας ἐπιτυγχάνειν· ἐπικίνδυνον δὲ τὸ ἔξω τοῦ μέτρου προενεχθέντα εἰς ἰλὺν βυθοῦ κατὰ τὸν ψαλμῳδὸν ἐμπαγῆναι, λυσιτελὲς ἂν εἴη, καθὼς ὑφηγεῖται ὁ λόγος, ἀπείρατον τῶν τοιούτων διαβιῶναι· ὡς ἂν μὴ τῇ προφάσει τῶν συγκεχωρημένων εἴσοδον λάβοι κατὰ τῆς ψυχῆς τὰ πάθη.

A aſſequi, periculoſúmque eſt, qui extra modum poſiti ſunt, ne hi, vt eſt in pſalmorum auctore, in limo profundi infigantur: illud maxime expedit, huiuſmodi vitæ genus, vti hæc oratio monet, minus experiri, ne rerum, quæ permiſſæ ſunt excuſatione adhibita, animi affectionibus aditus pateſiat.

Ὅτι δυσμετάθετον ἐπὶ παντὸς ἡ συνήθεια.

ΚΕΦΑΛΑΙΟΝ Θʹ.

B

ἌΜΑΧΟΝ γάρ ἐστιν ἐπὶ παντὸς ἡ συνήθεια, πολλὴν ἔχουσα δύναμιν πρὸς ἑαυτὴν ἑλκύσαι καὶ ἐπισπάσασθαι τὴν ψυχήν, καί τινα καλοῦ παρέχειν φαντασίαν, ἐν ᾧ ἄν τις χρόνῳ καὶ προσπάθειαν διὰ τοῦ προσεθισμοῦ τινὰ κτήσηται· καὶ οὐδὲν οὕτω τῇ φύσει φευκτόν ἐστιν, ὡς ἐν συνηθείᾳ γενόμενον μὴ καὶ σπουδῆς ἄξιον καὶ αἱρετὸν νομισθῆναι. Ἀπόδειξις τοῦ λόγου ὁ ἀνθρώπινος βίος· ἐν ᾧ τοσούτων ὄντων ἐθνῶν, οὐ τὰ αὐτὰ πᾶσι σπουδάζεται· C ἄλλα δὲ παρ' ἑτέροις ἐστὶ καλά τε καὶ τίμια, τῆς παρ' ἑκάστου συνηθείας τὴν περί τι σπουδήν τε καὶ ἐπιθυμίαν ποιούσης· καὶ οὐ μόνον κατὰ τὰ ἔθνη τὴν τοιαύτην παραλλαγήν ἐστιν ἰδεῖν, τῶν αὐτῶν ἐπιτηδευμάτων παρὰ τισὶ μὲν θαυμαζομένων, διαβαλλομένων δὲ παρ' ἑτέροις· ἀλλὰ καὶ ἐπὶ τοῦ αὐτοῦ ἔθνους καὶ τῆς αὐτῆς πόλεως καὶ γένους, ἐν οἷς πολλήν ἐστι διαφορὰν ἰδεῖν, ἐκ τῆς συνηθείας ἑκάστοις ἐγγινομένην, οὕτως ἐκ μιᾶς ὠδῖνος ἀδελφοὶ προελθόντες εἰς γένεσιν τοῖς ἐπιτηδεύμασι D τοῦ βίου πλεῖστον ἀπ' ἀλλήλων ἐχωρίσθησαν· καὶ οὔπω τοῦτο θαυμαστόν· ἐπεὶ καὶ ὁ καθέκαστον ἄνθρωπος οὐ τὴν αὐτὴν ὡς ἐπὶ τὸ πολὺ περὶ τοῦ αὐτοῦ πράγματος κρίσιν ἔχει, ἀλλ' ὡς ἂν περὶ ἕκαστον ἀπὸ τῆς συνηθείας διατεθῇ· καὶ ἵνα μὴ τὰ πόρρω τοῦ πράγματος λέγωμεν· πολλοὺς ἡμεῖς ἐγνωρίσαμεν ἐραστάς, μάλιστα τῆς σωφροσύνης εὐθὺς παρὰ τὴν πρώτην ἡλικίαν φανέντας· ἀρχὴν δὲ ῥυπαροῦ βίου ποιησαμένους τὴν δοκοῦσαν ἔννομόν τε καὶ συγκεχωρημένην τῶν ἡδονῶν μετουσίαν. ἐπεὶ

In omni re non facile commutari poteſt conſuetudo.

CAPVT IX.

IN omni re difficilis eſt, quæ expugnetur, conſuetudo: quoniam cùm multam ad attrahendum in ſe animum, afficiendumque vim obtineat, tum in eo valet, vt aliquam honeſti opinionem afferat: nam ſi quis ex conſuetudine, vſuque habitum, & aliquam animi affectionem ſibi comparauit, nihil vel ipſa natura ſic fugiendum eſt: quod ſi in conſuetudinem abierit, non omni ſtudio dignum expetendúmque videatur. Atque huius ſententiæ teſtis eſt hominum vita, in qua cùm infinitæ exiſtant nationes, non omnes tamen vno, eodémque ſtudio ducuntur, ſed apud diuerſas, ex earum cuiuſque conſuetudine, quæ ſtudium in aliqua re, & cupiditatem gignit, res in honore, atque pretio ſunt: neque apud diuerſas ſolum nationes eiuſmodi horum ſtudiorum variam commutationem cernere licet, vt apud quaſdam gentes in pretio illa ſint, apud alias improbentur, ſed in eadem natione, eadémque ciuitate, & familia hanc, quæ è ſingulorum conſuetudine naſcitur, diſſimilitudinem planè cognoſcere poſſumus. Eodémque modō ſæpe gemelli fratres diuerſis vitæ ſtudiis ex vſu conſuetudinéque affecti ſunt. neque hoc ſanè mirabile eſt: quoniam ſinguli homines non ſæpe idem de vna eademque re ſentiunt, ſed ita, vt quiſque eſt conſuetudine affectus. Et ne, quæ à re ipſa valde remota ſunt, commemoremus, multos nos quidem amatores cognouimus, qui ab ineunte prope ætate ſe omnis temperantiæ maximè ſtudioſos oſtenderunt: impuræ verò vitæ initium quoddam fecerunt, quod iuſtum ac permiſſum videtur eſſe voluptatum conſortium: poſtea verò

quàm hoc ſemel experti ſunt, omnem, vt in aluei nos exemplo diximus, appetitionis vim cùm ad hæc ipſa conuerterint, & à rebus diuinis ad humiles, caducáſque mentem, & cupiditatem traduxerint, ita valde ſibi patentem ad animi affectiones aditum aperuerunt, vt cœleſtia petere omnino deſierint; pœnéque illarum ardore arefacti ſint, cùm omnis eò confluat appetitio. Quamobrem iis qui minus firmi ſunt, conducere arbitramur, vt ad virginitatem tanquam ad tutiſſimum quoddam præſidium confugiant, neque ad huius vitæ conſuetudinem deſcendentes, contra ſe tentationes prouocent, neque vt propter hos carnis affectus, illis ſe maximè rebus implicent, quæ ſummopere mentis noſtræ repugnant rationi, periclitentúrque non de prædij finibus, non de pecuniarum iactura, non de vllis denique cæteris rebus, quæ in hac vita expetuntur, ſed de ea ſpe, quæ prælucet: non enim qui ad res humanas mente, animóque ſe conuertit, atque omnem illuc curam reijcit, animúmque ſuum in eo occupat, vt hominibus placeat, is poteſt primum illud, & maximum Dei præceptum explere, quo monemur, vt toto corde, totis viribus Deum diligamus. Quo enim pacto fiet, vt toto quis animo Deum diligat, cùm ſuum hic animum modo in Deum, modo in res humanas impellat? debitámque illi ſoli pietatem, ac beneuolentiam quodam modo eripiens, in humanis affectibus exhauriat? cœlebs enim ea, quæ Dei ſunt, curat: qui verò matrimonio vinctus eſt, in his, quæ & mundi & hominum ſunt, curam ſtudiúmque adhibet: ſin autem laborioſa contra voluptates ac difficilis videtur pugna: fidenti animo quiſque ſit & forti, non enim parum in eo conſuetudo valet, vt vel iis quæ difficillima eſſe videantur, voluptatem quandam, eamque honeſtiſſimam & maximè puram ex aliqua perſeuerantia pariat, cuius quidem voluptatis amore is, qui mente præditus eſt, potius eſt detinendus, quàm a rebus verè magnis, quæve omnem mentem excedunt, alienandus ex demiſſione quadam animi, quæ in rebus humilibus cernitur.

A γὰρ ἅπαξ τὴν τοιαύτην προεδέξαντο πεῖραν, κατὰ τὸ ῥηθὲν ἡμῖν ἐπὶ τοῦ ῥείθρου ὑπόδειγμα, ὅλον πρὸς ταῦτα τὸ ἐπιθυμητικὸν μεταστρέψαντες, καὶ τὴν ὁρμὴν ἀπὸ τῶν θειοτέρων πρὸς τὰ ταπεινὰ καὶ ὑλώδη μετοχετεύσαντες, πολλὴν ἐν ἑαυτοῖς τὴν εὐρυχωρίαν τοῖς πάθεσιν ἤνοιξαν· ὡς παντελῶς τῆς ἐπὶ τὸ ἄνω φορᾶς λῆξαι καὶ ἀποξηρανθῆναι τὴν ἐπιθυμίαν, ὅλην πρὸς τὰ πάθη μεταρρυεῖσαν. Διὰ τοῦτο λυσιτελὲς εἶναι νομίζομεν τοῖς ἀσθενεστέροις εἰς τὴν παρθενίαν ὡς εἰς ἀσφαλές τι φρούριον καταφεύγειν, καὶ μὴ πρὸς τὴν ἀκολουθίαν καθιόντας τοῦ βίου, προσκαλεῖσθαι καθ' B ἑαυτῶν πειρασμούς, καὶ τοῖς ἀντιστρατευομένοις τῷ νόμῳ τοῦ νοὸς ἡμῶν διὰ τῶν τῆς σαρκὸς παθημάτων συμπλέκεσθαι, καὶ κινδυνεύειν οὐ περὶ γῆς ὅρων, ἢ χρημάτων ἀποβολῆς, ἢ ἄλλου τινὸς τῶν κατὰ τὴν ζωὴν ταύτην σπουδαζομένων, ἀλλὰ περὶ τῆς προηγουμένης ἐλπίδος. Οὐκ ἔστι γὰρ τὸν εἰς τὸν κόσμον τοῦτον ἀποστρέφοντα τὴν διάνοιαν καὶ τὴν ἐνθάδε μέριμναν ἀναλαβόντα, καὶ εἰς ἀνθρωπίνην ἀρέσκειαν ἀσχολοῦντα ἑαυτοῦ τὴν καρδίαν, πληρωτὴν γενέσθαι τῆς πρώτης καὶ μεγάλης ἐντολῆς τοῦ κυρίου, ἥ φησιν ἐξ ὅλης καρδίας καὶ C δυνάμεως τὸν Θεὸν ἀγαπᾷν· πῶς γὰρ ἀγαπήσει τις ἐξ ὅλης καρδίας καὶ δυνάμεως τὸν Θεόν, ὅταν καταμερίσῃ τὴν καρδίαν ἑαυτοῦ πρὸς Θεὸν καὶ κόσμον, καὶ κλέπτων τρόπον τινὰ τὴν ἐκείνῳ μόνῳ χρεωστουμένην ἀγάπην, ἀνθρωπίνοις αὐτὴν πάθεσι προσαναλίσκῃ; ὁ γὰρ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου. Εἰ δὲ ἐπίπονος ἡ πρὸς τὰς ἡδονὰς μάχη δοκεῖ, θαρρείτω πᾶς· οὐδὲ γὰρ πρὸς τοῦτο μικρὰ ἡ D συνήθεια καὶ τοῖς δυσκολωτάτοις εἶναι δοκοῦσιν, ἡδονήν τινα διὰ τῆς ἐπιμονῆς ἐνεργάσασθαι· καὶ ἡδονὴν τὴν καλλίστην καὶ καθαρωτάτην, ἧς ἄξιόν ἐστι τόν γε νοῦν ἔχοντα περιέχεσθαι μᾶλλον ἢ τῇ περὶ τὰ ταπεινὰ μικροπρεπείᾳ, τῶν μεγάλων κατ' ἀλήθειαν, καὶ πάντα νοῦν ὑπερεχόντων ἀλλοτριοῦσθαι.

Τί τὸ ἀληθῶς ἐπιθυμητόν.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

ΟΣΗ γάρ ἐστιν ἡ ζημία ἐν ἀποπτώσει γενέσθαι τῆς τοῦ ὄντως καλοῦ κτήσεως, τίς ἂν παραστήσειε λόγος; ποίᾳ δ' ἄν τις χρήσαιτο διανοίας ὑπερβολῇ; πῶς ἂν ἐνδείξαιτο καὶ εἰς ὑπογραφὴν ἀγάγοι τὸ καὶ λόγῳ ἄρρητον καὶ νοήματι ἀκατάληπτον; εἰ μὲν γάρ τις ἐπὶ τοσοῦτον τὸ τῆς καρδίας ὄμμα κεκάθαρται, ὡς δυνηθῆναι πως ἰδεῖν τὸ ἐν τοῖς μακαρισμοῖς ὑπὸ τοῦ κυρίου ἐπηγγελμένον, πάσης καταγνώσεται ἀνθρωπίνης φωνῆς, ὡς οὐδεμίαν ἐχούσης δύναμιν εἰς τὴν τοῦ νοηθέντος παράστασιν. Εἰ δέ τις ἔτι τοῖς ὑλικοῖς ἐγκαθήμενος πάθεσι, καθάπερ ὑπὸ λήμης τινὸς τῆς ἐμπαθοῦς διαθέσεως τὸ διορατικὸν τῆς ψυχῆς ἐπιπέπλασται, μάταια καὶ οὕτω πᾶσα λόγων ἰσχύς· ἐπὶ γὰρ τῶν ἀναισθήτως ἐχόντων, ἐν τῷ ὁμοίῳ καθέστηκε τό, τι ἐλαττοῦν διὰ τοῦ λόγου, καὶ τὸ ὑπεραίρειν τὰ θαύματα· ὡς καὶ ἐπὶ τῆς ἡλιακῆς ἀκτῖνος, τῷ μὴ τεθεαμένῳ τὸ φῶς ἀπὸ πρώτης γενέσεως ἀργὴ καὶ ἀνόνητος γίνεται ἡ διὰ τῶν λόγων τοῦ φωτὸς ἑρμηνεία· οὐ γάρ ἐστι δυνατὸν τὴν τῆς ἀκτῖνος λαμπηδόνα δι' ἀκοῆς ἐναυγάσαι. οὕτω δὲ ἐπὶ τοῦ ἀληθινοῦ καὶ νοητοῦ φωτός, ἰδίων ὀφθαλμῶν ἑκάστῳ χρεία, ἵνα τὸ κάλλος ἐκεῖνο θεάσηται, ὅπερ ὁ μὲν ἰδὼν κατά τινα θείαν δωρεάν τε καὶ ἐπίπνοιαν, ἀνερμήνευτον ἐν τῷ ἀπορρήτῳ τῆς συνειδήσεως ἔχει τὴν ἔκπληξιν· ὁ δὲ μὴ τεθεαμένος, οὐδὲ γνώσεται τὴν ζημίαν ὧν ἀπεστέρηται· πῶς γὰρ ἄν τις αὐτῷ διαπεφευγὸς αὐτὸν ἀγαθὸν παραστήσειε; πῶς δ' ἄν τις ὑπ' ὄψιν ἀγάγοι τὸ ἄφραστον; ἰδίας φωνὰς σημαντικὰς ἐκείνου τοῦ κάλλους οὐ μεμαθήκαμεν· ὑπόδειγμα τοῦ ζητουμένου ἐν τοῖς οὖσιν οὐκ ἔστιν· οὐδὲ ἐκ συγκρίσεώς γε μὴν αὐτὸ δηλωθῆναι ἀμήχανον. τίς γὰρ ὀλίγῳ σπινθῆρι προσεικάζει τὸν ἥλιον; ἢ ῥανίδα βραχεῖαν πρὸς τὴν τῶν ἀβύσσων ἀπειρίαν αἰσθήσει; ὃν γὰρ ἔχει λόγον πρὸς τὰς ἀβύσσους ἡ ὀλίγη σταγών, ἢ πρὸς τὴν μεγάλην ἀκτῖνα τοῦ ἡλίου

Quid re vera expetendum.

CAPVT X.

QVANTA enim iactura fiat, cùm quis veri honeſti poſſeſſione cadit, quæ orationis vis hoc explicaret? quantáve mentis eſſet adhibenda præſtantia? quo enim modo quis id explicando aſſequeretur, quod neque oratione exprimi, neque mente compre-
B hendi poteſt? Nam ſi quis ita mentis aciem purgauerit, vt aliquo pacto intueri poſſit, quod in beatitudinibus factum eſt nobis à Deo promiſſum, is omnem hominum vocem reprehendet, quaſi nullam vim habeat ad rei intellectæ explicationem: ſi quis autem corporis ita eſt irretitus affectibus, vt mentis ſuæ acies affectione mala, quaſi lippitudine quadam obſcurata ſit, inanis huic eſt & minimè fructuoſa omnis vis & orationis copia, quoniam in illis qui ſine ſenſu ſint,
C perinde eſt, eleues verbis an amplifices miracula; vt in ſolis radiis, inanis eſt, atque minimè vtilis de his ſermonis explicatio ei, qui lumen ab ortu non aſpexit, quoniam luminis radios auribus percipere non poteſt: ita in vero lumine, quod mente cernitur, ſuis cuique oculis opus eſt, vt illam pulchritudinem aſpiciat, quam qui munere Dei, ac prouidentia cernit, incredibili mentis ſtupore tenetur in eo, quod exprimi non poteſt: qui verò non aſpexit, is neque earum rerum damnum ſentiet, quibus orbatus
D eſt. Quomodo enim illi quiſnam bonum exponeret, quod ab eius ſenſu refugit? qua ratione rem ob oculos poneret, quæ ſub aſpectum non cadit? nos propria verba, quæ illius pulchritudinis ſpeciem ſignificarent, non didicimus: non vllum eius, de quo quæritur, extat exemplum: comparatione verò aliqua hoc ipſum illuſtrari difficile ſanè eſt: quis enim paruæ ſcintillulæ ſolem comparat? aut paruam ſtillam cum immenſa aquarum voragine confert? nullam enim comparationem habet neque cum voragine gutta, neque cum ſolis radiis

minima ſcintilla. Eodem modo ſe habent omnia, quæcumque homines tanquam pulchra admirantur, comparatione facta cum eo, quod omne pulchrum atque bonum excedit, itaque quæ mentis vis eſt, vt ei, qui hoc damno afficitur, illud ipſum demonſtraret? Rectè mihi quidem hanc difficultatem ſummus ille Dauid demonſtraſſe videtur, qui ſpiritus vi, aliquando mente elatus, quaſique extra ſe poſitus, cúmque in beata illa mentis elatione eſſet, pulchritudinem illam difficilem, quæ non mente comprehenditur, ipſe vidit, vt homini ſaltem poteſt contingere, corporis velut exutus inuolucris, ſola mente animóque cùm ad rerum, quæ corpore vacant, mentéque ſolum intelliguntur, contemplationem ſe conferret, quoniam aliquid dicere cupierat eo dignum, quod à ſe conſpectum erat, eiuſmodi verbum
Pſal. 115. protulit, quod vulgò dici ſolet: Omnis homo mendax: hoc eſt, vt mea fert opinio, homo omnis, qui ineffabilis luminis interpretationem ſermone peruertit, hic eſt re vera falſus: non quia veritatem odit, ſed quoniam ad eius quod mente comprehenditur, explicationem infirmus eſt. Pulchritudinem enim, quæ ſenſibus percipitur, quæve in terris in noſtra hac vita cernitur, ſiue illa ſit in rebus inanimis, ſiue in corporibus animatis, bono aliquo colore excogitata, vis ſenſuum noſtrorum per ſe ſatis eſt, vt illam nos aſpiciamus, admiremur, demonſtremus aliis, ac ſermone, quaſi in tabella quadam ſit huius pulchritudinis expreſſa ſpecies, notam illam cæteris faciamus, neque enim eius exemplar intelligentiam fugit: quo modo fiet, vt ob oculos rem ponat oratio, quæ nullam deſcribendi artem comperit, non dicendi colorem, non figuram, non magnitudinem, nõ integritatem formæ, neque vllas planè id generis nugas habet? quod enim omni ex parte obſcurum eſt, neque vlla forma expreſſum, quódve ab omni magnitudine alienum, longéque ab his omnibus poſitũ eſt, quæ corporis ſenſibus cernuntur, id quo modo aliquis cognitum ex iis rebus haberet, quæ ſolo ſenſu comprehenduntur? Non propterea tamen huius cognitionis, cupiditatiſque nos ſpem deponere debemus, quoniam altior ea apparet, quàm vt mente comprehendi poſſit: ſed, quò maius eſt id,

A τὸ μικρὸν σπινθηράκιον· οὕτω διάκειται καὶ πάντα τὰ παρὰ τῶν ἀνθρώπων ὡς καλὰ θαυμαζόμενα πρὸς ἐκεῖνο τὸ κάλλος, ὃ περὶ τὸ πρῶτον ἀγαθὸν, καὶ τὸ ἐπέκεινα παντὸς ἀγαθοῦ θεωρεῖται· τίς οὖν ἐπίνοια τὸ μέγεθος τῆς ζημίας τῷ παθόντι τὴν ζημίαν ταύτην ἐνδείξεται; καλῶς μοι δοκεῖ ὁ μέγας Δαβὶδ τὴν ἀμηχανίαν ἐνδεδεῖχθαι ταύτην· ὃς ἐπειδή ποτε δυνάμει τοῦ πνεύματος ὑψωθεὶς τὴν διάνοιαν, καὶ οἷον ἐκβὰς αὐτὸς ἑαυτὸν, εἶδεν ἐκεῖνο τὸ ἀμήχανον καὶ ἀπερινόητον κάλλος ἐν τῇ μακαρίᾳ ἐκστάσει· εἶδε δὲ πάντως ὡς ἀνθρώπῳ γε δυνατὸν ἰδεῖν, ἔξω τῶν τῆς σαρκὸς
B περικαλυμμάτων γενόμενος, καὶ εἰσελθὼν διὰ μόνης διανοίας εἰς τὴν τῶν ἀσωμάτων καὶ νοητῶν θεωρίαν· ἐπειδή τι καὶ εἰπεῖν ἄξιον τοῦ ὀφθέντος ἐπεπόθησεν, ἐκείνην ἐξεβόησε τὴν φωνὴν, ἣν πάντες ᾄδουσιν· ὅτι πᾶς ἄνθρωπος ψεύστης· τοῦτο δέ ἐστιν, ὥς γε ὁ ἐμὸς λόγος, ὅτι πᾶς ἄνθρωπος φωνῇ ἐπιτρέπων τὴν τοῦ ἀφράστου φωτὸς ἑρμηνείαν, ὄντως ψεύστης ἐστίν· οὐχὶ τῷ μισεῖν αὐτὴν, ἀλλὰ τῷ ἀσθενεῖ περὶ τὴν τοῦ νοηθέντος παράστασιν· τὸ μὲν γὰρ αἰσθητὸν κάλ-
C λος, ὅσον κάτω περὶ τὸν ἡμέτερον ἀναστρέφεται βίον, εἴτε ἐν ἀψύχοις ὕλαις, εἴτε καὶ ἐν σώμασιν ἐμψύχοις διά τινος εὐχροίας ἐμφανταζόμενον, αὐτάρκης ἡμῶν ἡ κατὰ τὴν αἴσθησιν δύναμις καὶ θαυμάσαι, καὶ ἀποδέξασθαι, καὶ γνώριμον ἑτέρῳ ποιῆσαι, διὰ τῆς τῶν λόγων γραφῆς, ὥσπερ ἐν εἰκόνι τινὶ τῷ λόγῳ τοῦ τοιούτου κάλλους ἐγγραφομένου· ἐκεῖνο δὲ τὸ ἀρχέτυπον κάλλος διαφεύγει τὴν κατανόησιν· πῶς ἂν ὁ λόγος ὑπ' ὄψιν ἀγάγοι, οὐδεμίαν μηχανὴν ἐξευρίσκων ὑπογραφῆς, οὐ χροιὰν
D ἔχων εἰπεῖν, οὐ σχῆμα, οὐ μέγεθος, οὐ μορφῆς εὐμοιρίαν, οὐδὲ ἄλλην ὅλως φλυαρίαν τοιαύτην; τὸ γὰρ ἀειδὲς πάντῃ, καὶ ἀσχημάτιστον, καὶ πηλικότητος πάσης ἀλλότριον, καὶ πάντων ὅσα περὶ σῶμα καὶ αἴσθησιν θεωρεῖται, πόρρωθεν ἱδρυμένον, πῶς ἄν τις διὰ τῶν μόνῃ τῇ αἰσθήσει καταλαμβανομένων γνωρίσειεν; οὐ μὴν διὰ τοῦτό γε ἀπογνωστέον ἡμῖν τῆς ἐπιθυμίας ταύτης, ὅτι ὑψηλοτέρα φαίνεται τῆς καταλήψεως· ἀλλ' ὅσῳ μέγα τὸ ζητούμενον, ὁ

λόγος ἀπέδειξεν, τοσούτῳ μᾶλλον ὑψοῦσθαι χρὴ τὴν διάνοιαν καὶ συνεπαίρεσθαι τῷ μεγέθει τοῦ ζητουμένου, μὴ παντελῶς ἔξω γενέσθαι τῆς τοῦ ἀγαθοῦ μετουσίας· κίνδυνος γὰρ οὐ μικρὸς μὴ τῷ λίαν ὑψηλῷ τε καὶ ἀῤῥήτῳ παντάπασι τῆς περὶ αὐτοῦ ἐννοίας ἀπολισθήσωμεν, μηδενὶ γνωρίμῳ τὴν κατανόησιν αὐτοῦ ἐπερείδοντες. δεῖ τοίνυν τῆς ἀσθενείας ἕνεκεν ταύτης διὰ τῶν τῇ αἰσθήσει γνωρίμων χειραγωγεῖν πρὸς τὸ ἀόρατον τὴν διάνοιαν· ἡ δὲ ἐπίνοια γένοιτο ἂν ἡμῖν τοιαύτη.

A quod quæritur, eo altius animo mentéque efferri, reique ipſius magnitudine magis atq. magis nos excitari oportet, vt ne ab ipſius boni ſocietate alieni nos planè efficiamur. Periculum enim non paruũ eſt, ne, cũ nullius rei cognitione huius intelligentiam capi poſſe affirmauerimus, propter magnam quandam, & inexplicabilem magnitudinẽ nos eius omnino cognitionẽ amittamus. Itaque propter hanc ipſam imbecillitatẽ, ex rebus ſenſu cognitis mentis vim nos quodãmodo ad id traducere oportet, quod ſub oculos non cadit. Atque in hac quidem contemplatione nos ita verſemur. B

Πῶς ἄν τις ἐν περινοίᾳ γένοιτο τοῦ ὄντως καλοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

ΩΣΠΕΡ τοίνυν οἱ μὲν ἐπιπολαιότεροι δίχα διανοίας τὰ πράγματα βλέποντες, ἐπειδὰν εἴδωσιν ἄνθρωπον ἢ ὅπερ ἂν τύχῃ τῶν φαινομένων, πλέον οὐδὲν τοῦ ὁρωμένου περιεργάζονται. ἀρκεῖ γὰρ αὐτοῖς θεασαμένοις τὸν ὄγκον τοῦ σώματος, ὅλον νομίσαι τὸν τοῦ ἀνθρώπου λόγον κατειληφέναι· ὁ δὲ διορατικὸς τὴν ψυχὴν, καὶ πεπαιδευμένος, μὴ μόνοις ὀφθαλμοῖς ἐπιτρέπει τὴν τῶν ὄντων ἐπίσκεψιν, οὐ μέχρι τῶν φαινομένων στήσεται, οὐδὲ τὸ μὴ βλεπόμενον ἐν τοῖς μὴ οὖσι λογίζεται· ἀλλὰ καὶ ψυχῆς φύσιν περινοεῖ, καὶ τὰς τῷ σώματι ἐμφυομένας ποιότητας, ἃς κοινῇ καὶ καθ' ἑαυτὰς ἐπισκέπτεται· ἰδίᾳ τε γὰρ αὐτῶν ἑκάστην χωρίζει τῷ λόγῳ, καὶ πάλιν τὴν κοινὴν αὐτῶν συνδρομήν τε καὶ σύμπνοιαν C περὶ τὴν τοῦ ὑποκειμένου σύστασιν θεωρεῖ. οὕτως οὖν καὶ ἐν τῇ τοῦ καλοῦ ζητήσει, ὁ μὲν ἀτελὴς τὴν διάνοιαν, ἐπειδὰν ἴδῃ τι πρᾶγμα ᾧ κάλλους τινὸς περικέχυται φαντασία, αὐτὸ ἐκεῖνο καλὸν εἶναι τῇ ἑαυτοῦ φύσει οἰήσεται, ὅπερ ἂν τὴν αἴσθησιν αὐτοῦ δι' ἡδονῆς ἐπισπάσηται, καὶ οὐδὲν ὑπὲρ τοῦτο πλέον περιεργάζεται. ὁ δὲ κεκαθαρμένος τὸν τῆς ψυχῆς ὀφθαλμὸν, καὶ δυνατὸς τὰ τοιαῦτα βλέπειν, χαίρειν ἐάσας τὴν ὕλην τὴν ὑποβεβλημένην D

Quemadmodum quis in conſideratione veri honeſti verſari debet.

CAPVT XI.

QVI exteriores tantum res nulla penitiori contemplatione intuentur, cùm hominem, aut rem aliquam aſpiciunt, quæ ſpeciem aliquam præ ſe ferat, nihil ſanè amplius exquirunt, quam id, quod ſub oculos cadit. Nam dum corporis molem contemplantur, iis ſatis eſt, ſi totam corporis conſtitutionem comprehendiſſe ſe putent. At verò, qui mente eſt acuta & perſpicaci, ſcientiarúmque diſciplinis inſtructus, non ſolum ſatis habet oculorum ſenſu res, quæ ſunt, intueri: neque rebus, quæ videntur, ſimpliciter acquieſcit: neque id quod non cernitur, in iis rebus, quæ nullæ ſunt, numerat: ſed omnem etiam animi naturam diligenter inueſtigat, corporúmque qualitates, quæ apparent, & vniuersè, & ſigillatim conſiderat: & harum vnam ab altera præcipuè ratione diſtinguit: ruſúſque illarum communem concurſum & conſpirantem quendam conſenſum in corporis conſtitutione contemplatur. Eadem igitur ratio eſt in huius honeſti pulchrique indagatione. Qui enim mente minus perfecta eſt, cum aliquid cernit, quod ſpeciem pulchritudinis aliquam præ ſe fert, illud ipſum pulchrum ſua natura eſſe opinabitur, quod voluptate quadam eius ſenſus affecerit: nihílque præter eam requirit. Sed qui integerrimo eſt animi ſenſu, eiuſmodíque res inſpicere poteſt, is materiam relinquens pulchri

formæ ſubiectam, eo, quod oculis cernitur, quaſi fundamento aliquo vtetur ad illius pulchritudinis contemplationem, quod mente cōprehenditur: cuius communione cùm reliqua honeſta pulchráque ſunt, tum etiā habentur. Mihi verò difficile videtur, cùm plerique obtuſa mentis acie ſint, eos, qui ſermone materiam diſſūgunt, & à pulchritudine illa ſecernūt, quæ aſpicitur, poſſe ipſam per ſe pulchritudinis naturā cognitam habere. Ac ſi quis malarum opinionum in erroréque verſantium cauſam accuratè perſpicere velit, nō aliam ſanè eum inuenire arbitror, niſi quòd non accuratè nos hos noſtri animi ſenſus in hoc exercuimus, vt honeſtum pulchrúmve ab eo internoſceremus, quod neque honeſtum, neque ſanè pulchrum eſt. Quamobrem cum ab hoc ſtudio, quod in vero bono conſiſtit, ſe abduxerint homines, partim in carnis amorē delapſi ſunt, partim in inanimatā pecuniarum vim cupiditatibus prolapſi inciderunt: plerique verò in honoribus, in gloriæ ſplendore, in opibus & potētia honeſtum poſuere: nonnulli autē ſunt, qui in atrium ſcientiarúmque diſciplinis ſtupore quodam affecti tenentur: qui verò ſunt his abiectiores vilioréſque, hi in gula, ac ventre ſedem honeſti collocant. Verum qui à rebus ſub ſenſum cadentibus, & ab animi affectionibus ad eas res propēſis, quę ſpeciem aliquam præbent, ſeſe abduxerint, hi ſimplicem ipſius honeſti indagarunt naturam, quæ materiæ expers eſt, nulláque figura exprimitur; neque in diligendis iis aberrarunt, quæ maximè optabilia ſunt; neque huiuſmodi ſunt erroribus ita circumuenti, vt neque perſpecta voluptatis, quæ in iis eſt, breuitate, ad eiuſmodi rerum deſpicientiam deducti venerint. Hæc igitur nobis quidem via eſt, qua ad ipſius honeſti inuētionem ducimur, vt cetera omnia, quibus hominum trahuntur cupiditates, quæve honeſta putantur, ea cum pro nihilo habeamus, quaſi humilia ſint, ad tempúſque maneant, nullam in his ſanè appetitionis noſtræ vim nos conſumamus: neque tamen, vt, cum in nobis ipſis eam cōcluſerimus, otioſam, ab omníque agitatione vacuam habeamus: ſed cùm ab omni rerū vilium, abiectarúmque cupiditate nos illā liberauerimus, eò planè referamus oportet, quò ſenſus ipſe peruenire non poteſt, ita vt neque cœli pulchritudinem, neque luminum

A τῇ τοῦ καλοῦ ἰδέᾳ, εἶναι ὑποβάθρᾳ τινὶ τῷ ὁρωμένῳ χρήσεται, πρὸς τὴν τοῦ νοητοῦ κάλλους θεωρίαν, οὗ κατὰ μετουσίαν τὰ ἄλλα καλά γίνεταί τε καὶ ὀνομάζεται. δοκεῖ δέ μοι χαλεπὸν εἶναι τῶν πλείστων τῇ τοιαύτῃ παχύτητι τῆς διανοίας συζώντων, τὸ διατεμόντας τῷ λόγῳ καὶ χωρίσαντας τὴν ὕλην ἀπὸ τοῦ ἐπιθεωρουμένου κάλλους, αὐτὴν ἐφ' ἑαυτῆς τοῦ καλοῦ τὴν φύσιν κατανοῆσαι. καὶ εἴ τις ἀκριβῶς ἐθέλοι τὴν αἰτίαν σκοπεῖν τῶν πεπλανημένων καὶ μοχθηρῶν ὑπολήψεων, οὐκ ἄν μοι δοκεῖ ἄλλην εὑρεῖν, B ἢ τὸ, μὴ ἀκριβῶς ἡμῶν γεγυμνάσθαι τὰ τῆς ψυχῆς αἰσθητήρια πρὸς τὴν τοῦ καλοῦ καὶ μὴ τοιούτου διάκρισιν· διὰ τοῦτο ἀποστάντες οἱ ἄνθρωποι τῆς περὶ τὸ ὄντως ἀγαθὸν σπουδῆς, οἱ μὲν εἰς ἔρωτα σαρκῶν κατωλίσθησαν· οἱ δὲ ἐπὶ τὴν ἄψυχον τῶν χρημάτων ὕλην ταῖς ἐπιθυμίαις ἔρρεψαν· ἄλλοι ἐν τιμαῖς καὶ δόξαις καὶ δυναστείαις τὸ καλὸν ὡρίσαντο· εἰσὶ δέ τινες οἱ περὶ τέχνας καὶ ἐπιστήμας ἐπτοήθησαν· οἱ δὲ ἀνδραποδωδέστεροι τούτων, λαιμὸν καὶ γαστέρα τοῦ ἀγαθοῦ ποιοῦνται C κριτήρια· οἱ δὲ ἀποστάντες τῶν ὑλικῶν νοημάτων, καὶ τῶν περὶ τὰ φαινόμενα προσπαθειῶν, ἀνεζήτουν τὴν ἁπλῆν τε καὶ ἄϋλον καὶ ἀσχημάτιστον τοῦ καλοῦ φύσιν, οὐκ ἂν περὶ τὴν αἵρεσιν τῶν ἐπιθυμητῶν ἐπλανήθησαν, οὐδ' ἂν τοσοῦτον ὑπὸ τῆς τοιαύτης ἀπάτης περιενέχθησαν, ὡς μηδὲ τὸ πρόσκαιρον τῆς ἐν τούτοις ἡδονῆς βλέποντας, πρὸς τὴν ὑπεροψίαν τῶν τοιούτων ὁδηγηθῆναι. οὐκοῦν αὕτη ἂν γένοιτο ἡμῖν ὁδὸς εἰς τὴν τοῦ καλοῦ εὕρεσιν ἄγουσα, τὸ πάντα τὰ ἄλλα ὅσα τὰς ἐπιθυμίας D τῶν ἀνθρώπων ἐφέλκεται, καλὰ εἶναι νομιζόμενα, καὶ διὰ τοῦτο σπουδῆς τινὸς καὶ ἀποδοχῆς ἀξιούμενα, ταῦτα ὑπερβαίνοντας ὡς ταπεινά τι καὶ πρόσκαιρα, μηδενὶ τούτων προσαναλίσκειν τὴν ἐπιθυμητικὴν ἡμῶν δύναμιν, μήτε μὴν ἀργὴν καὶ ἀκίνητον ἐν ἑαυτοῖς κατακλείσαντας ἔχειν, ἀλλ' ἐκκαθάραντας αὐτὴν ἀπὸ τῆς τῶν ταπεινῶν προσπαθείας, ἐκεῖ ἀνάγειν, ὅπου οὐκ ἐφικνεῖται ἡ αἴσθησις· ὡς μήτε οὐρανοῦ ἀνθρώπου κάλλος θαυμάσαι, μήτε φωστήρων αὐγάς,

αὐγάς, μήτε ἄλλό τι τῶν φαινομένων καλῶν· ἀλλὰ διὰ τοῦ πᾶσι τούτοις ἐπιθεωρουμένου κάλλους χειραγωγεῖσθαι πρὸς τὴν ἐκείνου τοῦ κάλλους ἐπιθυμίαν, ἧς καὶ οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν, καὶ στερέωμα, καὶ πᾶσα ἡ κτίσις ἀναγγέλλει τὴν γνῶσιν. οὕτω γὰρ ἀνιοῦσα ἡ ψυχή, καὶ πᾶν τὸ καταλαμβανόμενον ὡς μικρότερον τοῦ ζητουμένου καταλιμπάνουσα, γένοιτο ἂν ἐν περινοίᾳ τῆς μεγαλοπρεπείας ἐκείνης, τῆς ὑπεράνω τῶν οὐρανῶν ἐπηρμένης. ἀλλὰ πῶς ἄν τις τῶν ὑψηλῶν ἐφίκοιτο, περὶ τὰ ταπεινὰ τὴν σπουδὴν ἔχων; πῶς δ' ἄν τις πρὸς τὸν οὐρανὸν ἀναπτείη, μὴ πτερωθεὶς τῷ οὐρανίῳ πτερῷ, καὶ ἀνωφερὴς καὶ μετέωρος διὰ τῆς ὑψηλῆς πολιτείας γενόμενος; τίς δὲ οὕτως ἔξω τῶν εὐαγγελικῶν μυστηρίων ἐστίν, ὡς ἀγνοεῖν ὅτι ἓν ὄχημα τῇ ἀνθρωπίνῃ ψυχῇ τῆς ἐπὶ τοὺς οὐρανοὺς πορείας ἐστί, τὸ τῷ εἴδει τῆς καταπτάσης περιστερᾶς ἑαυτὸν ὁμοιῶσαι, ἧς τὰς πτέρυγας γενέσθαι αὐτῷ καὶ Δαβὶδ ὁ προφήτης ἐπόθησεν. οὕτω γὰρ ἐν αἰνίγματι τὴν τοῦ πνεύματος δύναμιν τῇ γραφῇ συνήθες ὀνομάζειν· εἴτε διότι χολῆς ἐστιν ἄμοιρον τοῦτο τὸ ὄρνεον, ἢ ὅτι δυσωδίας ἐχθρόν, καθώς φασιν οἱ τὰ τοιαῦτα παρατηρήσαντες. οὐκοῦν ὁ πάσης πικρίας καὶ σαρκικῆς δυσωδίας ἑαυτὸν ἀποστήσας, καὶ πάντων τῶν ταπεινῶν τε καὶ χαμαιζήλων ὑπεραρθείς, μᾶλλον δὲ παντὸς τοῦ κόσμου γενναίως ὑψηλότερος ἐν τῷ προειρημένῳ πτερῷ, ἐκεῖνος εὑρήσει τὸ μόνον ἐπιθυμίας ἄξιον, καὶ γενήσεται καὶ αὐτὸς καλὸς τῷ καλῷ προσπελάσας, καὶ ἐν αὐτῷ γενόμενος, λαμπρός τε καὶ φωτοειδὴς ἐν τῇ μετουσίᾳ τοῦ ἀληθινοῦ φωτὸς καταστήσεται. ὥσπερ γὰρ ἐν νυκτὶ τὰς ἀθρόας τοῦ ἀέρος ἐκλάμψεις, οὕς τινες διάττοντας καλοῦσιν ἀστέρας, οὐδὲν ἄλλο φασὶν οἱ ταῦτα φιλοσοφήσαντες, ἢ ἀέρα εἶναι ὑπὸ βίας πνευμάτων τινῶν εἰς τὸν αἰθέριον τόπον ὑπερχεόμενον· λέγουσι γὰρ τὸν πυροειδῆ τοῦτον ὁλκὸν ἐκφλογωθέντος ἐν τῷ αἰθέρι τοῦ πνεύματος, τῷ οὐρανῷ ἐγχαράσσεσθαι. ὥσπερ οὖν ὁ περίγειος οὗτος ἀὴρ ἀνωθεὶς ὑπὸ τῆς βίας τοῦ πνεύματος, φωτοειδὴς γίνεται, τῷ καθαρῷ τοῦ αἰθέρος ἐναλλοιούμενος. ταύτῃ τοι δὴ καὶ ὁ νοῦς ὁ ἀνθρώπινος καταλιπὼν τὸν θολερὸν τοῦτον καὶ ἰλυώδη βίον, ἐπειδὰν καθαρὸς γενόμενος ἐν τῇ δυνάμει τοῦ πνεύματος,

A radios, neque res ceteras admiretur ac ſuſpiciat, quæ aliquam præbeant pulchri ſpeciem. At ex ipſa, quæ in his omnibus ſpectatur, pulchritudine animus noſter ad pulchri illius cupiditatem ducatur oportet, cuius gloriam & cœli & firmamentum enarrant, omniſque creatura cognitionem eius annunciat. Cum enim animus ſic aſcenderit, & quidquid comprehenſum ſit, velut inferius eo quod anquirat reliquerit, tum in illius maieſtatis, quæ ſupra cœlos ſe extulit, contemplatio- B ne verſabitur. Sed qua ratione fiet, vt qui rerum humilium ſtudio tenetur, res ſublimes, diuináſque aſſequatur? quóve modo circa cœlum peruolaret is, qui non alis cœleſtibus ſublatus, neque ſublimia petit, neque ex ſublimi quodam inſtituto cœleſtia contemplatur? quis ita ab Euangelij myſteriis auerſus eſt, qui ignoret, illud vnum eſſe itineris vehiculum, quo hominum animus ad cœlos vehitur, cum quis ſcilicet ſeipſum efficit ſimilem columbæ deuolantis? cuius quidem alas ſibi effici ſummus etiam propheta Dauid C valde expetiuit: ita enim Spiritus ſancti vim mos eſt in diuinis literis ſubobſcurè appellari; ſiue quoniam auis hæc felle caret, ſiue quia eſt inimica fœtori, vt tradunt hi, qui hæc ipſa inueſtigarunt. Is igitur qui ab omni acerbitate, & carnis fœtore longè refugit, quíve à rebus humilibus, terreníſque altius fertur; vel ab omnibus potius rebus mundanis ſe illis ipſis, quas diximus alis ſublimius tollit, is profectò inueniet, quod eſt ſolum appetitione dignum, cúmque ad pulchritudinem ipſam propè acceſſerit, pulcher etiam D ipſe efficietur, ſplendidúſque in ea, ac luminoſus factus in veri luminis ſocietate conſtituetur. Vt enim nocte frequentes cœli ignes, quos micantes ſtellas vocant, nihil aliud eſſe dicunt hi, qui in hoc ſtudio verſati ſunt, quàm aërem qui ſpirituum quorumdam vi in æthereum cœleſtémque illum ſit locum effuſus: dicunt enim inflammato in æthere ſpiritu, igneum hunc tractum cœlo imprimi. Vt igitur aër hic, qui omnem terrã complectitur, vi ſpirituali in ſublime pulſus, cum æthériſque puro ſplendore commutatus, luminoſus exiſtit, ita hominũ mens, cùm turbulentam hanc vitam, ac cœnoſam deſeruit, quoniam ſpiritus vi iam pura effecta eſt,

cum ſublimi illo veróque puro ſplendore commixta, in illo quodammodo perlucet, radiorúmque coruſcatione impleta eſt, atque ex Domini promiſſo lumen quodammodo efficitur: promiſerat enim is iuſtos viros ad ſolis ſimilitudinem refulgentes fore. Atque id ipſum quidem in terris fieri videmus, vel in ſpeculo, vel in aqua, vel in ceteris rebus, quæ præ tenuitate relucendi vim habent. Cùm enim res aliqua eiuſmodi radios ſolis excipit, alios rurſus in ſe radios ipſa efficit: quod vtique non factum eſſet, ſi pura illius rei ſplendidáq. ſuperficies ſordibus quibuſdam eſſet inutilis facta. Ergo nos ſiue terrenis relictis his tenebris in ſublimi verſemur, ibi iam lucidi efficiemur veræ Chriſti luci appropinquantes: ſeu lux illa vera, quæ vel in tenebris lucet, ad nos deſcendat, etiam nos lux erimus, vt Dominus quodam loco diſcipulis ait: niſi quibuſdam malitiæ impuritatíſque ſordibus propius cordi admotis, luminis noſtri obſcurabitur gratia. Atque fortaſſe quidem hæc quæ in exemplis conſiſtit, oratio ſenſim eò nos adduxit, vt putemus nos in id commutatum iri, quod melius eſt: demonſtratúmque eſt, non aliter fieri poſſe, vt animus cum immortali incorruptóque Deo iunctus ſit, niſi ipſe, quantum fieri poteſt, integritatis, caſtitatíſque præſidio purus, atque incorruptus fiat: vt hac ſimilitudine id, quod ſimile eſt, apprehendat; tanquam aliquo ſpeculo adhibito Dei puritati ſe ipſe ſubijciat, quæ pulchritudinis ipſius exemplari ſibi demonſtraſtrato, ad illius ſimilitudinem, formam ſuam exprimat. Sin autem quiſpiam talis eſt, qui nouerit hæc humana deſerere, aut corpora, aut pecunias, aut ſcientiarum, artiúmque ſtudia, aut quæcumque moribus legibúſque præclara putantur; quoniam in his rebus, quarum ſenſus iudex eſt, de honeſto opinionis error verſatur; hic profectò & amore, & cupiditate ad illud ipſum ſolum honeſtum, pulchrúmve trahetur, quod non aliunde exiſtere poteſt, neque aliquando, neque ad aliquid eiuſmodi refertur: ſed quod ex ſe, & per ſe, & in ſe honeſtum eſt, hoc ſanè eſt ſemper honeſtum, neque aliquando non fuit, aut aliquando non futurum, ſed perpetuò ſe vno eodémque modo habet, neque omnino augeri, neque amplificari, neque vlla permutatione mutari poteſt.

A φωτοειδὴς γένηται καὶ ἐμμιχθείη τῇ ἀληθινῇ καὶ ὑψηλῇ καθαρότητι, διαφαίνεταί πως καὶ αὐτὴ ἐν ἐκείνῃ, καὶ ἀκτῖνος ἐμπίπλαται, καὶ φῶς γίνεται, κατὰ τὴν τοῦ κυρίου ὑπόσχεσιν, ὃς τοὺς δικαίους λάμψειν καθ' ὁμοιότητα τοῦ ἡλίου κατεπηγγείλατο· τοῦτο καὶ ἐπὶ τῆς γῆς ὁρῶμεν γινόμενον ἐπὶ κατόπτρου, ἢ ὕδατος, ἢ ἄλλου τινὸς τῶν ἀποστίλβειν διὰ λειότητα δυναμένων· ὅταν γάρ τι τούτων δέξηται τὴν τοῦ ἡλίου ἀκτῖνα, καὶ ἄλλην ἀφ' ἑαυτοῦ ἀκτῖνα ποιεῖ· οὐκ ἂν ποιήσοντα, εἰ ῥύπῳ τινὶ τὸ καθαρόν τε καὶ στιλ-B πνὸν τῆς ἐπιφανείας ἀχρειωθείη· εἴτε οὖν ἡμεῖς ἄνω γενοίμεθα, καταλιπόντες τὸ περίγειον σκότος, ἐκεῖ φωτοειδεῖς γενησόμεθα, τῷ ἀληθινῷ φωτὶ τοῦ Χριστοῦ ἐμπελάσαντες· εἴτε τὸ φῶς τὸ ἀληθινὸν τὸ καὶ ἐν τῇ σκοτίᾳ λάμπον καὶ μέχρις ἡμῶν καταβαίη, καὶ ἡμεῖς φῶς ἐσόμεθα, καθώς φησί που τοῖς μαθηταῖς ὁ κύριος· εἰ μή τις κακίας ῥύπος τῇ καρδίᾳ προσαποπλασμένος τὴν χάριν τοῦ ἡμετέρου φωτὸς ἀμαυρώσει. τάχα τοίνυν ἡμᾶς ἠρέμα διὰ τῶν ὑποδειγμάτων ὁ λόγος προσήγαγε τῇ ἐπινοίᾳ τῆς C πρὸς τὸ κρεῖττον ἡμῶν ἀλλοιώσεως, καὶ ἐδείχθη μὴ δυνατὸν ἑτέρως εἶναι συναφθῆναι τὴν ψυχὴν τῷ ἀφθάρτῳ Θεῷ, μὴ καὶ αὐτὴν ὡς οἷόν τε καθαρὰν γενομένην διὰ τῆς ἀφθαρσίας· ὡς ἂν διὰ τοῦ ὁμοίου καταλάβῃ τὸ ὅμοιον, οἱονεὶ κάτοπτρον τῇ καθαρότητι τοῦ Θεοῦ ἑαυτὴν ὑποθεῖσα. ὥστε κατὰ μετοχὴν καὶ ἐμφάνειαν τοῦ πρωτοτύπου κάλλους καὶ τὸ ἐν αὐτῇ μορφωθῆναι· Εἰ δέ τις τοιοῦτος ἐστὶν οἷος ἤδη πάντα καταλιπεῖν τὰ ἀνθρώπινα, εἴτε σώματα, εἴτε χρήματα, εἴτε τὰ ἐν ἐπιστήμαις ἢ τέχναις D ἐπιτηδεύματα, ἢ καὶ ὅσα ἐν ἔθεσι καὶ νόμοις δεξιὰ θεωρεῖται· περὶ τὰ τοιαῦτα γὰρ ἡ πλάνη τῆς τοῦ καλοῦ κατανοήσεως, ἐν οἷς ἡ αἴσθησις κριτήριον γίνεται· ὁ τοιοῦτος πρὸς ἐκεῖνο μόνον ἐρωτικῶς τε καὶ ἐπιθυμητικῶς ἕξει, ὃ οὐχ ἑτέρωθεν ἔχει τὸ καλὸν εἶναι, οὐδέ ποτε, ἢ πρός τι τοιοῦτόν ἐστιν· ἀλλὰ ἐξ ἑαυτοῦ καὶ δι' ἑαυτοῦ καλόν, καὶ ἐν ἑαυτῷ τοιοῦτον καλὸν ὄν, καὶ οὐδέ ποτε καλὸν γενόμενον ἤ ποτε οὐκ ἐσόμενον, ἀλλὰ πάντοτε ὡσαύτως ἔχον, προσθήκης τε καὶ αὐξήσεως ὑπεραῖον, καὶ ἀνεπίδεκτον πάσης τροπῆς τε καὶ ἀλλοιώσεως·

Τὸν τοίνυν πάσας ἑαυτοῦ τὰς τῆς ψυχῆς δυνάμεις ἐκ παντὸς εἴδους κακίας ἀποκαθάραντι, τολμῶ καὶ λέγω, ὅτι ἐμφανὲς γίνεται τὸ μόνον τῇ φύσει καλόν, ὅπερ ἐστὶ τὸ παντὸς καλοῦ τε καὶ ἀγαθοῦ αἴτιον· καθάπερ γὰρ ὀφθαλμῷ τὴν λήμην ἀπορυψαμένῳ, τὰ ἐν τῷ οὐρανῷ τηλαυγῶς καθορᾶται· οὕτως καὶ τῇ ψυχῇ διὰ τῆς ἀφθαρσίας παραγίνεται ἡ δύναμις τῆς τοῦ φωτὸς ἐκείνου κατανοήσεως, καὶ ἔστιν ἀληθινὴ παρθενία, καὶ ἡ περὶ τὴν ἀφθαρσίαν σπουδὴ εἰς τοῦτον τὸν σκοπὸν καταλήγει, τὸ, δι' αὐτῆς δυνηθῆναι τὸν Θεὸν ἰδεῖν· ὅτι γὰρ τὸ κυρίως καὶ πρώτως καὶ μόνως καλόν τε καὶ ἀγαθὸν καὶ καθαρὸν ὁ τῶν ὅλων ἐστὶ Θεός, οὐδεὶς οὕτω τυφλὸς τὴν διάνοιαν, ὡς μὴ καὶ ἀφ' ἑαυτοῦ συνιδεῖν. ἀλλὰ τοῦτο μὲν ἴσως οὐδεὶς ἀγνοεῖ· ἐπιζητεῖν δὲ εἰκός τινας εἰ δυνατόν ἐστι διά τινα μέθοδον καὶ ἀγωγὴν τὴν πρὸς τοῦτο χειραγωγηθῆναι ἡμᾶς ἐξευρεῖν. μεσταὶ μὲν οὖν αἱ θεῖαι βίβλοι τῆς τοιαύτης εἰσὶν ὑφηγήσεως· πολλοὶ δὲ τῶν ἁγίων καθάπερ τινὰ λύχνον τὸν ἑαυτῶν βίον τοῖς κατὰ Θεὸν πορευομένοις προφαίνουσιν· ἀλλὰ τὰς μὲν ἐκ τῆς θεοπνεύστου γραφῆς εἰς τὸν προκείμενον σκοπὸν ὑποθήκας ἔξεστιν ἑκάστῳ πλουσίως ἐξ ἀμφοτέρων τῶν διαθηκῶν ἀναλέξασθαι· πολλὰ μὲν γὰρ ἐν προφήταις καὶ νόμῳ· πολλὰ δὲ ἐν εὐαγγελικαῖς τε καὶ ἀποστολικαῖς παραδόσεσι πρόσεστιν ἀφθόνως λαβεῖν· ὅσα δ' αὖ καὶ ἡμεῖς ὑπενοήσαμεν ταῖς θείαις ἀκολουθοῦντες φωναῖς, ταῦτ' ἐστίν.

A Atqui cunctos animi ſui poteſtates omnium vitiorum ſordibus qui abſterſerit, illud auſim dicere, affirmaréмque, perſpicuum ei omnino eſſe id, quod natura eſt ſolum honeſtum, à quo cùm honeſti omnis, cum boni principium, atque cauſa exiſtit. Vt enim oculus, qui lippitudinis morbo liberatus eſt, apertè ea cernit, quæ in cœlo apparent: ſic animo ex pura integritate, caſtitatéque facultas accedit lucis illius contemplandæ. Atque vera quidem virginitas, incorruptæque caſtitatis ſtudium eò ſanè refertur, vt illius ipſius ope adhibita, Deum quis poſſit intueri. B Nam propriè, & primum, & ſolum honeſtum, purúmque Deum eſſe, nemo ita mente cæca eſt, quin per ſe intelligat. Sed hoc ipſum fortaſſe nemo ignorat: at æquum tamen eſt, vt nonnulli, ſi fieri poteſt, omnino indagent, quæ ſanè ratio ſit ac via, quæ nos ad illud ipſum honeſtum ducat. Plenæ igitur huiuſce narrationis diuinæ litteræ, compluréſque ſanctiſſimi viri vitam ſuam, quaſi lumen aliquod, illis oſtendunt, qui cum Deo ambulant. Verum præcepta quidem C multa, quæ ad hoc propoſitum pertinent, ex diuinis vtriuſque teſtamenti ſcriptis copioſè ſatis colligere licet. Nam cùm multa è prophetis, atque lege, tum pleraque ſanè, & ex Euangelicis, & Apoſtolicis traditionibus abundè percipi poſſunt. Quæ verò nos, diuinos imitati ſermones, commentati ſumus, hæc omnino ſunt.

Ὅτι οὐδ' ἐξ ἀρχῆς, οὐδὲ κατὰ φύσιν συνουσιωμένον, ἀλλ' αὐτεξούσιον ἔχει ὁ ἄνθρωπος τὸ παθητικόν.

D

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

ΤΟ λογικὸν τοῦτο καὶ διανοητικὸν ζῶον, ὁ ἄνθρωπος, τῆς θείας τε καὶ ἀκηράτου φύσεως ἔργον καὶ μίμημα γεγονώς· οὕτω γὰρ ἐν τῇ κοσμογενείᾳ περὶ αὐτοῦ ἀναγέγραπται, ὅτι κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· τοῦτο οὖν τὸ ζῶον, ὁ ἄνθρωπος, οὐ κατὰ φύσιν οὐδὲ συνουσιωμένον ἔσχεν ἐν ἑαυτῷ παρὰ τὴν πρώτην γένεσιν τὸ παθητικόν τε καὶ ἐπίκηρον· οὐδὲ γὰρ ἦν δυνατὸν τὸν τῆς εἰκόνος διασωθῆναι λόγον, εἰ

Neque à principio, neque natura innata ſunt homini affectiones, ſed ex conſilio ſibi eueniunt.

CAPVT XII.

HOMO, qui rationis particeps, mentiſque compos animal eſt, & diuinæ incorruptæque naturæ opus, atque ſimulachrum effectum: in mundi enim conſtitutione de eo his verbis ſcriptum eſt: Ad imaginem Dei fecit eum, *Geneſ. 1.* hoc, inquam, animal homo, principio non illud ſibi natura ingenitum habuit, vt affectibus eſſet, mortique expoſitus. Neque enim fieri poterat, vt ſimilitudinis conſeruata eſſet ratio, ſi

contra ſe id habere, quod ad exemplaris imaginem, ſimilitudinémque expreſſum eſt. Sed poſt primam hominis fabricationem affectionum vis in eum introducta eſt: introducta eſt autem hoc modo. Imago erat homo, ſimilitudóque, vt dictum eſt, eius poteſtatis, cuius imperio, quæcumque ſunt, omnia tenentur, ac reguntur: ídque propterea in hominis libero conſilio, voluntatéque poſitum fuit, ſe illius ſimilitudinem tenere, cuius poteſtate res vniuerſæ complectuntur: neque vlla ſanè rerum externarum neceſſitate ſeruus effectus eſt, ſed ſua ipſe ſententia ad id, quod ſibi viſum eſt, ſeſe affecit: cúmque ex poteſtate id elegiſſet, quod ſibi placuerat; calamitatem hanc, qua hominus genus iam oppreſſum tenetur, ſponte ipſe fraude circumuentus contraxit: & ita omnis mali auctor fuit, non à Deo facti inuentor: mortem enim Deus non effecit, ſed mali conditor quodammodo, fabricatórque homo extitit: quemadmodum enim ſolis lux communis propoſita eſt omnibus qui cernendi vim habent; poteſt enim quis, ſi voluerit, clauſis oculis efficere ne lucem illam excipiat: non qua ſol aliò migret, atque ex eo tenebris offundat: ſed quia homo ipſe, clauſis palpebris, oculum à radiis ſepierit: nam cum videndi vis, opertis oculis, ſuo munere fungi non poſſit, neceſſe eſt omnis hæc aſpectus ceſſatio tenebras efficiat, quas homo ſibi ſponte ex eo offundit, quia videre recuſat: aut veluti ſi quis domum ſibi ædificans, nullum luci aditum patefaciat ad ea, quæ domi ſunt, is certè cùm ingrediendi viam radiis ſponte obſtruxerit, in tenebris ipſe vitam deget: pari ratione primus homo de terra, vel potius is, qui malum in homine peperit, vnum quidem natura honeſtum, & bonum vndique ſibi propoſitum in poteſtate habuit: per ſe tamen vltrò eſt camolitus, quæ contra naturam ſunt: cùm mali, vitiíque vſum, repudiata virtute; ſuo ipſe conſilio introduxerit. Malum enim extra conſilium poſitum, ac per ſe conſtans; in omni natura nullum eſt. Nam Dei opus omne bonum, neque deteſtandum: cunctáve, quæ Deus effecit, ſunt admodum bona, ſed poſteaquàm eo, quem diximus, modo in vitam hominum non ſine maxima

A ὑπεναντίως εἶχε τὸ ἀπεικονισμένον κάλλος πρὸς τὸ ἀρχέτυπον· ἀλλ᾽ ὕστερον ἐπεισήχθη τὸ πάθος αὐτῷ μετὰ τὴν πρώτην κατασκευήν. ἐπεισήχθη δὲ οὕτως· εἰκὼν ἦν καὶ ὁμοίωμα, καθὼς εἴρηται, τῆς πάντων τῶν ὄντων βασιλευούσης δυνάμεως· καὶ διὰ τοῦτο καὶ ἐν τῷ αὐτεξουσίῳ τῆς πρὸς τὸν ἐξουσιάζοντα πάντων εἶχε τὴν ὁμοιότητα, οὐδεμιᾷ τινι τῶν ἔξωθεν ἀνάγκῃ δεδουλωμένος, ἀλλὰ τῇ γνώμῃ τῇ ἰδίᾳ πρὸς τὸ δοκοῦν διαγινόμενος, καὶ τὸ ἀρέσκον αὐτῷ κατ᾽ ἐξουσίαν αἱρούμενος, τὴν συμφορὰν B ταύτην, ἣ νῦν κεκράτηκε τὸ ἀνθρώπινον, αὐτὸς ἐθελοντὴς ἀπάτῃ παρενεχθεὶς ἐπεσπάσατο, αὐτὸς τῆς κακίας εὑρετὴς γενόμενος, οὐχὶ παρὰ Θεοῦ γενομένην εὑρών· Θεὸς γὰρ θάνατον οὐκ ἐποίησε· ἀλλὰ τρόπον τινὰ κτίστης καὶ δημιουργὸς τοῦ κακοῦ κατέστη ὁ ἄνθρωπος· καθάπερ γὰρ τοῦ ἡλιακοῦ φωτὸς κοινὴ μὲν πρόκειται πᾶσιν ἡ μετουσία, οἷς ἡ τοῦ ὁρᾷν δύναμις πρόσεστι· δύναται δέ τις εἰ βουληθείη μύσας τὸν ὀφθαλμὸν, ἔξω γενέσθαι τῆς τοῦ φωτὸς ἀντιλήψεως· οὐ τοῦ ἡλίου ἀποχωροῦντος C ἑτέρωθι, καὶ οὕτως ἐκ φύο τὸ σκότος ἐπάγοντος, ἀλλὰ τοῦ ἀνθρώπου διὰ τῆς ἐπιμύσεως τῶν βλεφάρων τὸν ὀφθαλμὸν ἐκ τῆς ἀκτῖνος διατειχίσαντος· τῆς γὰρ ὁρατικῆς δυνάμεως ἐν τῇ ἐπιμύσει τῶν ὀμμάτων ἐνεργεῖν ἀδυνατούσης, ἀνάγκη πᾶσα τὴν ἐνέργειαν τῆς ὁράσεως σκότους ἐνέργειαν γίνεσθαι ἑκουσίως ἐν τῷ ἀνθρώπῳ διὰ τῆς ἀορασίας συνισταμένην· ἢ ὥσπερ εἴ τις οἰκίαν ἑαυτῷ κατασκευάζων, μηδεμίαν ἐντέμοι τῷ φωτὶ τὴν ἐπὶ τὰ ἔσω πάροδον, ἀναγκαίως ἐν σκότῳ βιώσεται, ἑκὼν ἀποκλεί- D σας ταῖς ἀκτῖσι τὴν εἴσοδον· οὕτω καὶ ὁ πρῶτος ὁ ἐκ γῆς ἄνθρωπος, μᾶλλον δὲ ὁ τὴν κακίαν ἐν τῷ ἀνθρώπῳ γεννήσας, ἐν μὲν τῇ φύσει τὸ καλόν τε καὶ ἀγαθὸν κατ᾽ ἐξουσίαν εἶχεν πανταχόθεν προκείμενον· ἐθελοντὴς δὲ παρ᾽ ἑαυτοῦ τὰ παρὰ φύσιν ἐκαινοτόμησε, τὴν τοῦ κακοῦ πεῖραν ἐν τῇ ἀποστροφῇ τῆς ἀρετῆς τῇ ἰδίᾳ προαιρέσει δημιουργήσας· κακὸν γὰρ ἔξω προαιρέσεως κείμενον, καὶ κατ᾽ ἰδίαν ὑπόστασιν θεωρούμενον ἐν τῇ φύσει τῶν ὄντων οὐκ ἔστιν οὐδέν. πᾶν γὰρ κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον, καὶ πάντα ὅσα ἐποίησεν ὁ Θεὸς καλὰ λίαν· ἀλλ᾽ ἐπεὶ κατὰ τὸν ῥηθέντα τρόπον εἰσεφθάρη τῇ ζωῇ τῶν ἀνθρώπων

ἡ τοῦ ἁμαρτάνειν ἀκολουθία, καὶ ἐκ μικρᾶς ἀφορμῆς εἰς ἄπειρον τῆς κακίας ἐν τῷ ἀνθρώπῳ χυθείσης, καὶ τὸ θεοειδὲς ἐκεῖνο τῆς ψυχῆς κάλλος τὸ κατὰ μίμησιν τοῦ πρωτοτύπου γενόμενον, οἷόν τις σίδηρος κατεμελάνθη τῷ τῆς κακίας ἰῷ, οὐκέτι τηνικαῦτα τῆς οἰκείας αὐτοῦ κατὰ φύσιν εἰκόνος τὴν χάριν διέσωζεν, ἀλλὰ πρὸς τὸ αἶσχος τῆς ἁμαρτίας μετεμορφώθη· ὅθεν τὸ μέγα καὶ τίμιον τοῦτο, ὁ ἄνθρωπος, ὡς ὑπὸ τῆς γραφῆς ὠνομάσθη, ἐκπεσὼν τῆς οἰκείας ἀξίας, οἷον πάσχουσιν οἱ ἐξ ὀλισθήματος ἐγκατενεχθέντες βορβόρῳ, καὶ τῷ πηλῷ τὴν μορφὴν ἑαυτῶν ἐξαλείψαντες, ἀνεπίγνωστοι καὶ τοῖς συνήθεσι γίνονται. οὕτως κἀκεῖνος ἐμπεσὼν τῷ βορβόρῳ τῆς ἁμαρτίας, ἀπώλεσε μὲν τὸ, εἰκὼν εἶναι τοῦ ἀφθάρτου Θεοῦ· τὴν δὲ φθαρτὴν καὶ πηλίνην εἰκόνα διὰ τῆς ἁμαρτίας μετημφιάσατο, ἣν ἀποθέσθαι συμβουλεύει ὁ λόγος, οἷόν τινι ὕδατι τῷ καθαρῷ τῆς πολιτείας ἀποκλυσαμένους· ὡς ἂν περιαιρεθέντος τοῦ γηΐνου καλύμματος, πάλιν τῆς ψυχῆς φανερωθῇ τὸ κάλλος· ἀπόθεσις δὲ τοῦ ἀλλοτρίου ἐστὶν ἡ εἰς τὸ οἰκεῖον ἑαυτοῦ καὶ κατὰ φύσιν ἐπάνοδος· οὗ τυχεῖν ἄλλως οὐκ ἔστι, μὴ οἷος ἐξ ἀρχῆς ἐκτίσθη τοιοῦτον πάλιν γενόμενον· οὐ γὰρ ἡμέτερον ἔργον, οὐδὲ δυνάμεως ἀνθρωπίνης ἐστὶ κατόρθωμα ἡ πρὸς τὸ θεῖον ὁμοίωσις· ἀλλὰ τοῦτο μὲν τῆς τοῦ Θεοῦ μεγαλοδωρεᾶς ἐστιν, εὐθὺς ἅμα τῇ πρώτῃ γενέσει χαρισαμένου τῇ φύσει τὴν πρὸς αὐτὸν ὁμοιότητα· τῆς δὲ ἀνθρωπίνης σπουδῆς τοσοῦτον ἂν εἴη, ὅσον ἐκκαθᾶραι μόνον τὸν ἐπιγινόμενον ἀπὸ κακίας ῥύπον αὐτῷ, καὶ τὸ κατακεκαλυμμένον ἐν τῇ ψυχῇ κάλλος διαφωτίσαι· τὸ δὲ τοιοῦτον δόγμα καὶ ἐν τῷ εὐαγγελίῳ διδάσκειν οἶμαι τὸν κύριον, λέγοντα τοῖς ἀκούειν δυναμένοις τῆς ἐν μυστηρίῳ λαλουμένης σοφίας, ὅτι ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν· ἐνδείκνυται γὰρ, οἶμαι, ὁ λόγος αὐτοῦ, ὅτι τὸ τοῦ Θεοῦ ἀγαθὸν οὐ διῄρηται τῆς φύσεως ἡμῶν, οὐδὲ πόρρωθέν που τῶν ζητεῖν αὐτὸ προαιρουμένων ἀπῴκισται· ἀλλὰ ἐν ἑκάστῳ ἐστὶν, ἀγνοούμενον μὲν καὶ λανθάνον, ὅταν ὑπὸ τῶν μεριμνῶν τε καὶ ἡδονῶν τοῦ βίου συμπνίγηται· εὑρισκόμενον δὲ πάλιν ὅταν εἰς ἐκεῖνο τὴν διάνοιαν ἡμῶν ἐπιστρέψωμεν· εἰ δὲ χρὴ καὶ δι'

A pernicie irrepſit peccandi conſuetudo, atque ex parua cauſa, quæ in infinita hominum mala latius manauit, diuina illa animi pulchritudo, quæ ad exemplaris imitationem fuerat expreſſa, quaſi ferrum, rubigine vitij eſt conſumpta, non tantum quidem, quanta certè, ſibi ex natura inerat, conſeruauit imaginis gratiam, ſed ad peccandi turpitudinem ſeſe tota conuertit. Itaque magnum illud & precioſum homo, vt à ſcriptura eſt appellatus, cum à dignitate ſua excidiſſet, quod accidit iis qui in cœnum illapſi, facie omni limo oblita, ne à familiaribus quidem agnoſcuntur: eodem B modo ille in peccati ſordes præcipitatus, incorrupti Dei imaginem, perdidit, mutatóque habitu corruptam quandam peccatique labe inquinatam imaginem induit, quam ratio deponere ſuadet ei qui incorrupta vitæ diſciplina ſe quaſi aqua quadam abluerit: vt hoc ſanè terreno abiecto integumento, animi rurſus appareat pulchritudo. Aliena verò abijcere, in eo eſt, vt ad ſua quiſque atque ad naturam redeat: quod profectò aſſequi non alite licet, niſi talis rurſus quis fiat, qualis principio effectus eſt: non enim noſtrum eſt, neque facultatis ho-C minum officium, vt diuinitatis ſimiles fiant: ſed hoc ſanè contingit maximo munere Dei, qui à primo ſtatim ortu nobis ſui eſt ſimilitudinem largitus. At hominum ſtudij tantum illud ſanè eſt, vt quas ſibi ſordes poſtea ex peccato ipſi contraxerant, eas omnino eluant, pulchritudinémque illam illuſtrent, quæ in animo occultata eſt. Eiuſmodi autem præceptum in Euangelio Dominum docere arbitror, cùm loquitur ad eos qui ſapientiam in myſterio (*Luc. 17.*) D loquentem audire poſſunt. Regnum Dei, inquit, intra vos eſt. Id enim, opinor, ſcriptura ſignificat, non eſſe diuinum bonum à natura noſtra abiunctum; non procul tamen ab iis abeſſe, qui illud indagare inſtituant. At in ſingulis illud eſt, incognitum tamen atque obſcurum. Cùm & curis, & vitæ voluptatibus compreſſum ſit: rurſus autem inuenitur, cum mentem, animúmque noſtrum ad illud conuertemus: ſin autem ex

aliis quoque hoc, quod dicimus confirmatum iri oportet, in amiſſæ dragmæ indagatione, hoc ipſum nobis Dominum præcipere cenſeo, quaſi è ceteris virtutibus, quas dragmas ille vocauit, etiamſi omnes adſint, illa tamen vna remota ſit ab animo viduo, nulla exiſtat vtilitas. Propterea lucernam primum quidem accendi iubet: rationem enim fortaſſe ſignificat, quæ res occultas, atque obſcuras illuſtrat: deinde ſuæ quemque domi, nempe in ſeipſo amiſſam dragmam exquirere vult. Hac ſanè dragmæ indagatione ſummi regis imaginem tacitè intelligi oportet, quæ non planè amiſſa, ſed ſub fimo occultata eſt. Fimum verò, vt arbitror, carnis eſt interpretanda immunditics, cuius ſordibus purgatis, atque ablutis perſpicuum id fit, quod quæritur: quo inuento, par eſt & ipſum, qui inuenit, animum gaudere, atque ad ipſius gaudij ſocietatem vicinas aſciſcere. Omnes enim re vera contubernales animi poteſtates, quas nunc vicinas appellauit, cùm ipſa magni regis patefacta imago refulſit, quam initio noſtra dragma is ſignificauit, qui ſeparatim noſtra corda effecerat: tum incredibilem rei inuentæ pulchritudinem illæ attente aſpicientes, ad diuinum illud gaudium lætitiámque conuertentur. Congratulamini, inquit, mihi, quia inueni dragmam, quam perdideram. Vicinæ enim, hoc eſt, contubernales animi poteſtates, quæ diuina dragma inuẽta gaudent, hæ merito eſſe putantur: ratio ſcilicet, appetitio, doloris iræque affectiones, & ſi quæ aliæ intelliguntur animæ facultates, merito amicæ etiam creduntur, quas quidem omnes æquum eſt in Domino tum gaudere, cum & ad honeſtum, & ad bonum omnes conuentur: neque peccati amplius arma ſunt, ſed cuncta efficiunt quæ ad Dei gloriam maximè ſpectant. Quamobrem ſi ratio hæc eſt inueniendi id, quod quæritur, vt diuinam imaginem, quæ carnis ſordibus demerſa ſit, in integrum reſtituamus: nos illud ſanè efficiamur, quod principio is fuerat, qui primum fabricatus eſt homo. Quid igitur illud erat? nudus quidem is, necdum mortuis pellibus amictus, liberè autem Dei

A ἑτέρωθεν τὸν λόγον πιστώσασθαι, τοῦτο καὶ ἐν τῇ
ἀναζητήσει τῆς ἀπολλυμένης δραχμῆς ἡμῖν
ὑποτίθεσθαι οἶμαι τὸν Κύριον, ὡς οὐδὲν ὄφε-
λος ἐκ τῶν λοιπῶν ἀρετῶν, ἃς δραχμὰς ὁ
λόγος ὠνόμασε, κἂν πᾶσαι παροῦσαι τύχωσι,
τῆς μιᾶς ἐκείνης ἀπούσης τῇ χηρευούσῃ ψυχῇ·
διὰ τοῦτο πρῶτον μὲν ἅπτειν λύχνον ἐλαίου
κελεύει, τὸν λόγον τάχα σημαίνων τὸν τὰ κεκρυμ-
μένα φωτίζοντα· εἶτα ἐν τῇ ἰδίᾳ οἰκίᾳ, τουτέ-
στιν, ἐν ἑαυτῷ, ζητεῖν τὴν ἀπολλυμένην δραχ-
μήν. διὰ δὲ τῆς ζητουμένης δραχμῆς τὴν εἰ-
B κόνα πάντως τοῦ βασιλέως αἰνίσσεται, τὴν οὐχὶ
παντελῶς ἀπολλυμένην, ἀλλ᾽ ὑποκεκρυμ-
μένην τῇ κόπρῳ· κόπρον δὲ χρὴ νοεῖν, ὡς οἶ-
μαι, τὴν τῆς σαρκὸς ῥυπαρίαν· ἧς ἀποσμηχθεί-
σης καὶ ἀνακαθαρθείσης διὰ τῆς ἐπιμελείας τοῦ
βίου, ἔκδηλον τὸ ζητούμενον γίνεσθαι, ἐφ᾽ ᾧ
εἰκότως αὐτήν τε τὴν εὑροῦσαν χαίρειν ψυ-
χήν, καὶ εἰς κοινωνίαν τῆς εὐφροσύνης συμπα-
ραλαμβάνειν τὰς γείτονας· τῷ ὄντι γὰρ πᾶσαι
αἱ σύνοικοι τῆς ψυχῆς δυνάμεις, ἃς γείτονας
νῦν προσηγόρευσεν, ἐπειδὰν ἀνακαλυφθῇ καὶ
C ἐκλάμψῃ αὕτη ἡ τοῦ μεγάλου βασιλέως εἰ-
κών, ἣν ἐξ ἀρχῆς ἐνεσημήνατο ἡμῶν τῇ
δραχμῇ ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡ-
μῶν, τότε ἐπὶ τὴν θείαν ἐκείνην χαράν τε καὶ
εὐφροσύνην ἐπιστραφήσονται, πρὸς τὸ ἄφραστον
κάλλος τοῦ εὑρεθέντος ἐνατενίζουσαι. συγχάρητε
γάρ μοι, φησίν, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀ-
πώλεσα· αἱ δὲ γείτονες, ἤτοι σύνοικοι τῆς ψυ-
χῆς δυνάμεις ἐπὶ τῇ εὑρέσει τῆς θείας δραχμῆς
εὐφραινόμεναι, ἡ λογική τε καὶ ἐπιθυμητική, καὶ
D ἡ κατὰ λύπην τε καὶ ὀργὴν ἐγγινομένη διά-
θεσις, καὶ εἴ τινες ἄλλαι δυνάμεις εἰσὶ περὶ
τὴν ψυχὴν θεωρούμεναι, εἰκότως ἂν καὶ φί-
λαι (τοῦτο νομίζοιντο), ἃς πάσας τότε χαίρειν ἐν Κυ-
ρίῳ εἰκός, ὅταν αἱ πᾶσαι πρὸς τὸ καλόν τε καὶ
ἀγαθὸν βλέπωσι, καὶ πάντα εἰς δόξαν Θεοῦ ἐνερ-
γῶσι, μηκέτι τῆς ἁμαρτίας ὅπλα γινόμεναι. Εἰ
οὖν αὕτη ἐστὶν ἡ ἐπίνοια τῆς τοῦ ζητουμένου εὑ-
ρέσεως, ἡ τῆς θείας εἰκόνος εἰς τὸ ἀρχαῖον ἀπο-
κατάστασις, τῆς νῦν ἐν τῷ τῆς σαρκὸς ῥύπῳ κε-
καλυμμένης, ἐκεῖνο γενώμεθα ὃ ἦν παρὰ
τὴν πρώτην ἑαυτοῦ ζωὴν ὁ πρωτόπλαστος.
τί οὖν ἐκεῖνος ἦν; γυμνὸς μὲν τῆς τῶν νεκρῶν
δερμάτων ἐπιβολῆς, ἐν παρρησίᾳ δὲ τὸ τοῦ Θεοῦ

πρόσωπον βλέπων· οὔπω δὲ διὰ γεύσεως καὶ ὁράσεως τὸ καλὸν κρίνων, ἀλλὰ μόνου τοῦ κυρίου κατατρυφῶν, καὶ τῇ δοθείσῃ βοηθῷ πρὸς τοῦτο συγχρώμενος, καθὼς ἐπισημαίνεται ἡ θεία γραφή, ὅτι οὐ πρότερον αὐτὴν ἔγνω, πρὶν ἐξορισθῆναι τοῦ παραδείσου, καὶ πρὶν ἐκείνην ἀντὶ τῆς ἁμαρτίας ἣν ἀπατηθεῖσα ἐξήμαρτε, τῇ τῶν ὠδίνων τιμωρίᾳ κατακριθῆναι· δι' ἧς τοίνυν ἀκολουθίας ἔξω τοῦ παραδείσου γεγόναμεν, τῷ προπάτορι συνεκβληθέντες, καὶ νῦν διὰ τῆς αὐτῆς ἔξεστιν ἡμῖν παλινδρομήσασιν ἐπανελθεῖν ἐπὶ τὴν ἀρχαίαν μακαριότητα. τίς
B
οὖν ἡ ἀκολουθία; ἡδονὴ τότε δι' ἀπάτης ἐγγινομένη τῆς ἐκπτώσεως ἤρξατο. εἶτα αἰσχύνη καὶ φόβος τῷ πάθει τῆς ἡδονῆς ἐπηκολούθησαν, καὶ τὸ μηκέτι λοιπὸν ἐν ὀφθαλμοῖς τολμᾶν εἶναι τοῦ κτίσαντος, ἀλλὰ φύλλοις καὶ σκιαῖς ὑποκρύπτεσθαι· δέρμασι νεκροῖς μετὰ ταῦτα περικαλύπτονται· καὶ οὕτως εἰς τὸ νοσῶδες τοῦτο καὶ ἐπίπονον χωρίον ἄποικοι πέμπονται, ἐν ᾧ ὁ γάμος παραμυθία τοῦ ἀποθνήσκειν ἐπινοήθη. εἰ οὖν μέλλοιμεν ἀναλύειν ἐντεῦθεν, καὶ σὺν Χριστῷ γίνεσθαι, πάλιν ἐκ τοῦ τελευταίου προσήκει
C
τῆς ἀναλύσεως ἄρξασθαι· ὥσπερ οἱ τῶν οἰκείων ἀποξενωθέντες, ἐπειδὰν ἐπιστρέφωσιν ὅθεν ὡρμήθησαν, πρότερον ἐκεῖνον καταλείπουσι τὸν τόπον, ᾧ τελευταῖον προϊόντες ἐνέτυχον. ἐπεὶ οὖν τοῦ χωρισμοῦ τῆς ἐν τῷ παραδείσῳ διατριβῆς ζωῆς τὸ τελευταῖον ὁ γάμος ἐστίν, οὗτος πρότερον καταλιπεῖν, ὥσπερ τινὰ σταθμὸν ἔσχατον τοῖς πρὸς τὸν Χριστὸν ἀναλύουσιν, ὑφηγεῖται ὁ λόγος· εἶτα τῆς περὶ τὴν γῆν ταλαιπωρίας ἀναχωρῆσαι, ᾗ ἐνεδρεύθη μετὰ τὴν ἁμαρτίαν ὁ ἄνθρωπος·
D
ἐπὶ τούτῳ ἔξω τῶν τῆς σαρκὸς περικαλυμμάτων γενέσθαι, τοὺς δερματίνους χιτῶνας, τουτέστι τὸ φρόνημα τῆς σαρκὸς ἀπεκδυσαμένους, καὶ πάντα ἀπειπαμένους τὰ κρυπτὰ τῆς αἰσχύνης, μηκέτι τῇ συκῇ τοῦ πικροῦ βίου ὑποσκιάζεσθαι, ἀλλ' ἀπορρίψαντας τὰ ἐκ τῶν προσκαίρων τούτων φύλλων τῆς ζωῆς περικαλύμματα, ἐν ὀφθαλμοῖς γίνεσθαι πάλιν τοῦ κτίσαντος, τήν τε κατὰ γεῦσιν καὶ ὄψιν ἀπάτην ἀπώσασθαι, σύμβουλον οὐκέτι τὸν ἰοβόλον ὄφιν, ἀλλὰ τὴν ἐντολὴν τοῦ Θεοῦ μόνην ἔχειν· αὕτη δέ ἐστι τὸ μόνου τοῦ καλοῦ ἅπτεσθαι· τὴν δὲ τῶν πονηρῶν γεῦσιν ἀπώσασθαι· ὡς ἐκεῖθεν ἡμῶν

A
faciem cernẽs, neque adhuc ex guſtatu & aſpectu ſuauitatem ſentiens, ſed Domino ſolum delectatus, adiutorióque, quod ad hoc, vt diuinę oſtendũt litteræ, datũ ei erat, ſimul vtẽs. Non enim prius Euam cognouit, quàm à paradiſo expulſus eſt, illáq. dolorum partus ſupplicio damnata eſſet ob peccatum, quod dolo circumuenta admiſerat. Ergo qua ſanè via è paradiſo primi noſtri parentis cauſa nos eiecti ſumus, eadem profectò nobis licet, ſi rurſus in curſu erimus, ad priſtinam beatitudinem redire. Quæ *Geneſ. 4.*
B
igitur via eſt? Voluptas tum quidem fraude, dolóque inducta, à peccato, lapſúve initium habuit: deinde pudor, & metus, voluptatis affectum conſequuti ſunt, vt non auderent porro in conſpectu amplius illius eſſe, qui eos procreauit, ſed foliis, vmbríſque ſeſe occulerent, ac mortuis deinde pellibus ſe contegerent. Atque ita in peſtiferam hanc regionem laborúmque plenam, in qua moriendi ſolatium eſt coniugium inuentum, incolæ ambo, atque habitatores mittuntur. Quamobrem ſi futurum eſt, vt nos hinc diſſoluamur, *Ibid. 3.*
C
atque cum Chriſto ſimus, ab vltima rurſus diſſolutione expedit nos exordiri. Vt enim qui à patria procul peregrinati ſunt, cum ad eum ipſum locum reuertuntur, vnde profecti ſunt, primo illum locum relinquunt, quò poſtremo peruenerunt. Ita quoniam noſtræ in paradiſo vitæ ſeparationis poſtremum eſt coniugium, hoc ipſum primum, quaſi poſtremum aliquod diuerſorium, relinquere, hæc oratio monet eos, qui ad Chriſtum redeunt: deinde à miſeria excolendæ terræ ſegregari,
D
in qua poſt peccatum homo eſt collocatus; deinde vt carnis inuolucra remoueamus, & veſtes pelliceas, hoc eſt carnis prudentiam exuamus, & omnia occulta dedecoris abdicemus, non acerbæ amplius huius vitæ, quaſi fici vmbris ſeſe occultent: ſed depoſitis, abiectíſque huius caducæ vitæ foliorum integumentis, in oculis verſentur eius, qui illos procreauit; ac fraudem, quæ ex guſtatu aſpectúque concipitur, eam planè repellant; in conſiliumque non amplius venenoſum ſerpentem, ſed Dei præceptum ſolum adhibeant. Illud enim eſt, vt honeſta dumtaxat attingamus, guſtum verò malarum rerum aſpernemur, quaſi huiuſmodi rerum,

quæ in malis ſunt, vſus ex eo initium habeat, quoniam malum nos ignorare noluimus. Itaque illud primis parentibus præceptum eſt, vt ne vna cum bono rerum contrariarum cognitionem caperent, ſed à ſcientia & boni, & mali abſtinerent, puróque & ſimplici, neque cum vlla mali parte coniuncto bono fruerentur: quod ſanè, vt mea fert ſententia, perinde eſt, ac ſolum cum Deo eſſe, perpetuámque &ſempiternam hanc delectationem habere, nec quæ ad contrariam partem ſpectant, cum hac ipſa ſuauitate cõmunicare. Atque ſi confidenti animo loqui decet, fortaſſe hoc ita eſt, ac ſi quis à mundo hoc, qui in maligno poſitus eſt, in paradiſum rurſus rapiatur, quò Paulus ſublatus audiuit, & vidit, quæ neque exprimi, neque cerni poſſunt, neque fas eſt hominem loqui.

A τῆς τῶν κακῶν ἀκολουθίας ἀρχὴν λαβούσης, ἐκ τοῦ μὴ θελῆσαι τὸ κακὸν ἀγνοῆσαι· διὸ καὶ ἀπερρήθη τοῖς πρωτοπλάστοις τὸ, μὴ μετὰ τοῦ καλοῦ καὶ τὴν τῶν ἐναντίων γνῶσιν λαβεῖν· ἀλλ' ἀπέχεσθαι μὲν τῆς γνώσεως καλοῦ τε καὶ πονηροῦ· καθαρὸν δὲ καὶ ἀμιγὲς καὶ ἀμέτοχον τοῦ κακοῦ τὸ ἀγαθὸν καρποῦσθαι. ὅπερ οὐδὲν ἄλλο ἐστὶν, ὥς γε ὁ ἐμὸς λόγος, ἢ μετὰ τοῦ Θεοῦ εἶναι μόνον, καὶ ταύτην ἄπαυστον ἔχειν καὶ διηνεκῆ τὴν τρυφὴν, καὶ μηκέτι συγκαταμιγνύειν τῇ ἀπολαύσει ταύτῃ τὰ πρὸς τὸ ἐναντίον ἀφέλκοντα· καὶ εἰ χρὴ τολμήσαντας εἰπεῖν, τάχα οὕτως ἄν τις
B ἀπὸ τοῦ κόσμου, ὃς ἐν τῷ πονηρῷ κεῖται, ἁρπαγείη πάλιν εἰς τὸν παράδεισον, ἐν ᾧ καὶ Παῦλος γενόμενος, ἤκουσέ τε καὶ ἴδε τὰ ἄρρητα καὶ ἀθέατα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι·

Virginitatem exemptam eſſe mortis dominio.

CAPVT XIII.

Et quoniam viuentium quidem domicilium eſt ac ſedes paradiſus, neque eos recipit, qui ob peccatum morti addicti ſunt: & nos è carne ſumus, mortaléſque peccato vænundati: quomodo in viuentium loco eſſe is poteſt, qui mortis vi & poteſtate tenetur? quem modum, quódve conſilium hic inueniet, vt hac ipſa poteſtate ſolutus ac liber fiat? At verò ad hoc vel ſatis omnino eſt Euan-
Ioan. 3. gelij doctrina. Quinetiam Dominum audiuimus, qui Nicodemum his verbis alloquitur: Quod è carne natum eſt, caro eſt: quod è ſpiritu natum eſt, ſpiritus eſt, Et nos nouimus, carnem propter peccatum morti ſubiectam: Dei verò ſpiritum & incorruptum & viuificum & immortalem eſſe. Atqui vt quod è carne genitum eſt, inhæret ei omnino vis quædam, quæ id diſſoluit, quod eſt carne concretum: ſic ſpiritus vim quandam vitalem ſcilicet iis rebus attribuit, quæ à ſe gignuntur. Quò ſpectant hæc, quæ diximus? vt ſanè ab hac nos mortali vitâ abalienati, cui omnino comes

Ὅτι ἡ παρθενία κρείττων τῆς τοῦ θανάτου δυναστείας ἐστί.

ΚΕΦΑΛΑΙΟΝ ΙΓʹ.

C

Ἀλλ' ἐπειδὴ ὁ παράδεισος ζώντων ἐστὶν οἰκητήριον, τοὺς διὰ τῆς ἁμαρτίας νεκρωθέντας οὐ προσδεχόμενος· ἡμεῖς δὲ σάρκινοι ὄντες καὶ θνητοὶ, πεπραμένοι ὑπὸ τῆς ἁμαρτίας· πῶς ἐστιν ἐν τῇ χώρᾳ τῶν ζώντων γενέσθαι τὸν τῇ δυναστείᾳ τοῦ θανάτου κρατούμενον; ποῖον τρόπον καὶ ποίαν ἐπίνοιαν ἐξεύροι τις ἂν, ὅπως τῆς ἐξουσίας ταύτης ἔξω γενήσεται; ἀλλ' ἀρκεῖ πάντως καὶ πρὸς τοῦτο ἡ τοῦ εὐαγγελίου ὑφήγησις· ἐκείνου ἠκούσαμεν τοῦ κυρίου πρὸς τὸν
D Νικόδημον λέγοντος, ὅτι τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος, πνεῦμά ἐστιν. οἴδαμεν δὲ τὴν μὲν σάρκα θανάτῳ διὰ τὴν ἁμαρτίαν οὖσαν ὑπόδικον, τὸ δὲ πνεῦμα τοῦ Θεοῦ καὶ ἄφθαρτον, καὶ ζωοποιὸν, καὶ ἀθάνατον. ὥσπερ τοίνυν τῇ κατὰ σάρκα γενέσει συναποτίκτεται πάντως καὶ ἡ διαλύουσα τὸ γινόμενον δύναμις· οὕτω δηλαδὴ καὶ τὸ πνεῦμα τοῖς δι' αὐτοῦ γινομένοις τὴν ζωοποιὸν ἐναποτίθεται δύναμιν. τί οὖν ἀνακύπτει διὰ τῶν εἰρημένων; ἀποστάντας ἡμᾶς τῆς κατὰ σάρκα ζωῆς, ᾗ πάντως θάνατος ἐπα-

ἀκολουθεῖ καὶ ὁ θάνατος, τοιοῦτον ἐπιζητήσωμεν βίον, A ὃς οὐκέτι τοῦ θανάτου τὴν ἀκολουθίαν ἐφέλκεται. οὗτος δέ ἐστιν ὁ ἐν παρθενίᾳ βίος· καὶ ὡς ἀληθῆ ταῦτα, μικρῶν προστεθέντων ἔσται καταφανέστερον. τίς γὰρ οὐκ οἶδεν, ὅτι τῆς μὲν σωματικῆς συναφείας τὸ ἔργον σωμάτων θνητῶν ἐστὶ κατασκευή· τῆς δὲ πρὸς τὸ πνεῦμα κοινωνίας ζωὴ καὶ ἀφθαρσία τοῖς συναφθεῖσιν ἀντὶ τέκνων προσγίνεται· καὶ καλῶς ἐστὶ τὸ ἀποστολικὸν εἰπεῖν ἐπὶ τούτου, ὅτι σώζεται διὰ τῆς τεκνογονίας ταύτης ἡ τῶν τοιούτων τέκνων μήτηρ εὐφραινομένη, καθὼς ἐν θείοις ὕμνοις ὁ ψαλμῳδὸς εὐφήμησεν, εἰπών· ὁ κατοικίζων στεῖραν B ἐν οἴκῳ μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. εὐφραίνεται γὰρ μήτηρ ὡς ἀληθῶς ἡ παρθένος μήτηρ, ἡ τὰ ἀθάνατα τέκνα κυοφοροῦσα διὰ τοῦ πνεύματος, στεῖρα διὰ τὴν σωφροσύνην ὑπὸ τοῦ προφήτου ὀνομασμένη. οὐκοῦν ὁ τοιοῦτος βίος περιμάχητος τοῖς γε νοῦν ἔχουσιν, ὃς κρείττων τῆς τοῦ θανάτου δυναστείας ἐστίν· ἡ γὰρ σωματικὴ παιδοποιΐα· καὶ μηδεὶς δυσχεραινέτω τῷ λόγῳ· οὐ μᾶλλον ζωῆς ἢ ἀλλὰ θανάτου τοῖς ἀνθρώποις ἀφορμὴ γίνεται. ἀπὸ γὰρ γενέσεως ἡ φθορὰ τὴν ἀρχὴν ἔχει· ἧς οἱ παυσάμενοι C διὰ τῆς παρθενίας, ἐν ἑαυτοῖς ἔστησαν τὴν τοῦ θανάτου περιγραφήν, περαιτέρω προελθεῖν αὐτὸν δι' ἑαυτῶν κωλύσαντες, καὶ ὥσπερ τι μεθόριον θανάτου καὶ ζωῆς ἑαυτοὺς στήσαντες, ἐπέσχον αὐτὸν τῆς ἐπὶ τὸ πρόσω φορᾶς. εἰ οὖν οὐ δύναται παρελθεῖν τὴν παρθενίαν ὁ θάνατος, ἀλλ' ἐν αὐτῇ καταλήγει καὶ καταλύεται, σαφῶς ἀποδείκνυται τό, κρείττω εἶναι τοῦ θανάτου τὴν παρθενίαν· καὶ καλῶς ἄφθορον ὀνομάζεται σῶμα, τὸ μὴ ὑπουργῆσαν τῇ τοῦ φθαρτοῦ βίου ὑπηρεσίᾳ, μηδὲ τῆς θνητῆς διαδοχῆς ὄργανον γενέσθαι καταδεξάμενον· ἐν τούτῳ γάρ διεκόπη D τὸ συνεχὲς τῆς τοῦ φθείρεσθαι καὶ ἀποθνήσκειν ἀκολουθίας, ὅπερ ἀπὸ τοῦ πρωτοπλάστου καὶ μέχρι τῆς τοῦ παρθενεύοντος ζωῆς διὰ μέσου γέγονεν· οὐδὲ γὰρ ἦν δυνατὸν ἀργῆσαί ποτε τὸν θάνατον, ἐνεργουμένης διὰ τοῦ γάμου τῆς ἀνθρωπίνης γενέσεως· ἀλλὰ πάσαις ταῖς προλαβούσαις γενεαῖς συμπαροδεύων, καὶ τοῖς ἀεὶ παραγενομένοις εἰς τὸν βίον συνδιεξερχόμενος, ὅρον τῆς ἐνεργείας ἑαυτοῦ τὴν παρθενίαν εὗρεν, ὃν παρελθεῖν τῶν ἀμηχάνων ἐστίν· ὥσπερ γὰρ ἐπὶ

A adiuncta mors eſt, illud vitæ genus quæramus, quæ nullam moriendi neceſſitatem ſecum trahat, vita autem eiuſmodi in virginitate conſiſtit. Atque hæc quidem quàm vera ſint, paucis ſanè propoſitis, apertiora fient. Quotus enim quiſque eſt, qui ignoret, corporeæ coniunctionis opus eſſe mortalium corporum conſtitutionem? ex ſpiritali vero congreſſu liberorum loco vitam & immortalitatem acquiri, rectéque ad hoc illud Apoſtoli quadrat; ſaluabitur autem per filiorum generationem mater, quæ his filiis gaudet: vt B in diuinis hymnis pſalmorum vates his verbis cecinit. Qui habitare facit ſterilem in domo matrem filiorum lætantem. Psal. 112. Verè enim ac ſolidè virgo mater gaudet, quæ ſpiritus opere immortales liberos parit, ſterilis ob temperantiam à Propheta appellata. Certè eiuſmodi vita, quæ vim mortis ſuperat, potior eſt ab iis habenda, qui mente præditi ſunt. Corporea enim liberorum procreatio non vitæ magis (pace omnium dictum ſit) quàm mortis occaſio hominibus exiſtit: ſiquidem ab ortu initium habet interitus: à quo virC ginitatis cauſa qui immunes futuri ſunt, mortis in ſe terminum conſtituerunt, cum vltra in ſe illam progredi prohibuerint, & vitæ & mortis ſe quaſi terminos aliquos cum ſtatuerint, eam ſanè continuerunt, ne vltra prorumperet. Ergo ſi virginitatem mors ſuperare non poteſt, ſed eius potius præſidio illa concluditur, ac diſſoluitur; illud manifeſto compertum eſt, morte ipſa virginitatem eſſe potentiorem: vnde rectè corpus incorruptum vocatur, quoniam caducæ huius vitæ muneri neque operam præſtitit, neque hoc etiam admiſit, ſe mortalis poſteritatis inſtruD mentum fieri. Hoc enim pacto perpetuum illum & corrumpendi & moriendi curſum interrupit, qui à primo parente vſque ad virginalem vitam nunquam eſt intermiſſus. Neque enim fieri poterat, vt hominum genere è nuptiis procreato, mors vnquam ceſſaſſet, ſed ſuperiores omnes hominum ætates prætergreſſa, cum his etiam qui hanc vitam ingrediuntur, ſimul iam illa percurrens, virginitatem muneris ſui terminum inuenit, quem porro tranſilire difficile eſt: tanquam

A Dei matris Mariæ tempore ab Adamo vſque ad eam regnum mors obtinuerit: poſteaque ſola efficit, vt, cùm tanquam ad lapidem aliquem virginitatis fructum mors offenderit, in ea contrita ſit: ita omni animo, qui virginitatis præſidio hanc carnis vitam cohibet, atteritur quodam modo ac diſſoluitur potentia mortis, quaſi non habeat quibus ipſius ſtimulus infigatur. Vt enim igni niſi ſubiecta ſunt ligna, ſtramenta, fœnum, aut aliud id generis, quod igne conſumitur, non poteſt eius vis ac natura conſiſtere: ſic neque mortis vis quidquam efficiet, niſi ei materiam B coniugium ſuppeditauerit, moriturósque quaſi damnatos parauerit. Si verò dubitas, id velim animaduertas, vnde proficiſcantur calamitatum nomina, quæ mortis cauſa hominibus imponuntur, vt orationis initio dictum eſt: num viduitatem, aut orbitatem, aut filiorum iacturam lugere licet nuptiis non ante contractis? exoptatæ enim animi voluptates, & lætitiæ, & oblectationes, cunctá ve, quæ in nuptiis iucunda expetuntur, his dolorum cruciatibus concluduntur, ac terminantur. Nam vt C gladij capulus politus ille quidē, tactu facilis, & ornatu vndique cinctus apparet: reliquum verò ferrum mortis eſt inſtrumētum (formidoloſum hoc certè eſt videre: illud tamen formidoloſius multò eſt, ſi ad aliquem vel pugnæ, vel cædis vſum adhibetur) hoc in genere nuptiæ ſunt: quæ quaſi capulū aliquem artificioſo opere illuſtratum, politam quandā voluptatis ſpeciem guſtui contrectationiq; noſtræ præ ſe ferunt. Cùm verò in manibus eius ſunt, qui illas attigerit, luctus, miſeriarúmque ipſæ mortalibus cùm effectrices exiſtant; rerum D omnino grauium, quæ ſecum connexæ ſunt, aditum aperuerunt. Hæ miſerabilia ſpectacula, lachrymarúmque plena edidêre. Videmus enim ſæpe liberos immatura ætate ſolos relictos, potentiúmq. hominum prędæ propoſitos, qui ob malorum imperitiam plerúmque in rebus aduerſis rident. Viduitatis verò principium & cauſa quę alia eſt? an non nuptiæ? diuortiū igitur ab innumerabilibus his omnibus malis vacationē habet, idque nō iniuria. Cùm enim diſſoluitur pœna, quæ contra eos, qui deliquerunt, initio ſtatuta eſt, tum etiam, quemadmodū ſcriptū eſt, non matrum

A τῆς θεοτόκου Μαρίας ὁ βασιλεύσας ἀπὸ Ἀδὰμ μέχρις ἐκείνης θάνατος, ἐπεὶ καὶ κατ' αὐτὴν ἐγένετο, καθάπερ τινὶ πέτρᾳ τῷ καρπῷ τῆς παρθενίας προσπταίσας, περὶ αὐτὴν συνετρίβη· οὕτως ἐν πάσῃ ψυχῇ τῇ διὰ παρθενίας τὴν ἐν σαρκὶ παρελθούσῃ ζωὴν, συντετρίβηταί πως καὶ καταλύεται τοῦ θανάτου τὸ κράτος, οὐκ ἔχοντος τίσι τὸ ἑαυτοῦ κέντρον ἐναπερείσηται· καὶ γὰρ τὸ πῦρ, εἰ μὴ ἐπιβληθείη ξύλα, καὶ καλάμη, καὶ χόρτος, καὶ ἄλλο τι τῶν ὑπὸ πυρὸς δαπανωμένων, οὐκ ἔχει φύσιν ἐφ' ἑαυτοῦ μένειν· οὕτως οὐδὲ ἡ τοῦ θανάτου δύναμις ἐνεργ- B ήσει, μὴ τοῦ γάμου τὴν ὕλην ὑποθέντος αὐτῷ, καὶ τοὺς τεθνηξομένους οἷόν τινας καταδίκους προετοιμάζοντος. Εἰ δὲ ἀμφιβάλλεις, ἐπίσκεψαι τῶν συμφορῶν τὰ ὀνόματα, ὅσα ἐκ τοῦ θανάτου τοῖς ἀνθρώποις ἐπάγεται, καθὼς ἤδη κατ' ἀρχὰς τοῦ λόγου προείρηται, πόθεν τὴν ἀρχὴν ἔχει. ἆρά ἐστιν χηρείαν ἢ ὀρφανίαν ὀδύρεσθαι, ἢ τὴν ἐπὶ παισὶ συμφορὰν, μὴ προλαβόντος τοῦ γάμου; αἱ γὰρ περισπούδαστοι θυμηδίαι καὶ εὐφροσύναι, καὶ ἡδοναὶ, καὶ πάντα ὅσα C περὶ τὸν γάμον σπουδάζεται, ταῖς τοιαύταις ὀδύναις ἐναπολήγουσιν. ὥσπερ γὰρ τοῦ ξίφους ἡ μὲν λαβὴ λεία καὶ εὐαφὴς, καὶ περιεξεσμένη, καὶ στίλβουσα, καὶ τῷ τύπῳ τῆς παλάμης ἐμφυομένη· τὸ δὲ λοιπὸν σιδηρός ἐστι, θανάτου ὄργανον, φοβερὸν μὲν ἰδεῖν, φοβερώτερον δὲ εἰς πεῖραν ἐλθεῖν. τοιοῦτόν τι καὶ ὁ γάμος ἐστὶ, καθάπερ λαβήν τινα δι' εὐμηχάνου τορείας ὡραϊσμένην, τὸ λεῖον καὶ ἐπιπόλαιον τῆς ἡδονῆς προτείνων τῇ ἐπαφῇ τῆς αἰσθήσεως, ἐπειδὰν ἐν χερσὶ γένηται τῶν ἁψαμένων, καὶ τὴν τῶν ὀδυνῶν πα- D ρουσίαν συνημμένως μεθ' ἑαυτοῦ συνήγαγε, πένθους καὶ συμφορῶν δημιουργὸς τοῖς ἀνθρώποις γενόμενος. Οὗτος ἔδειξε τὰ ἐλεεινὰ καὶ πλήρη δακρύων θεάματα, παῖδας ἐν ἀωρίᾳ τῆς ἡλικίας ἠρημωμένους, καὶ λάφυρον προκειμένους τοῖς δυναστεύουσιν, ἐπιμειδιῶντας πολλάκις ὑπὸ τῆς τῶν κακῶν ἀγνοίας τοῖς δυστυχήμασι. χηρείας δὲ γένεσις τίς ἄλλος, καὶ οὐχὶ γάμος ἐστίν; οὐκοῦν ἡ ἀναχώρησις τούτου, πάντων ἀθρόως τῶν κακῶν τούτων λειτουργημάτων τὴν ἀτέλειαν ἔχει· καὶ οὐδὲν ἀπεικός. ὅπου γὰρ ἀργεῖται ἡ ἐξ ἀρχῆς ὁρισθεῖσα κατὰ τῶν πεπλημμεληκότων κατάκρισις· οὐκέτι δὲ θλίψεις τῶν μητέρων κατὰ τὸ γα-

γεγραμμένον πληθύνονται, οὐδὲ λύπη τῆς ἀνθρωπίνης προηγεῖται γενέσεως, συνῄρηται πάντως ἡ ἀπὸ τοῦ βίου συμφορὰ, καὶ ἀφῄρηται τῶν προσώπων τὸ δάκρυον, καθὼς φησιν ὁ προφήτης. οὐ γὰρ ἐν ἀνομίαις ἐστὶν ἡ σύλληψις ἔτι, οὐδὲ ἐν ἁμαρτίαις ἡ κύησις· οὐδὲ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, καὶ ἐκ θελήματος σαρκὸς ἀλλ' ἐκ Θεοῦ μόνου ἡ γέννησις γίνεται. τοῦτο δὲ γίνεται, ὅταν συλλαμβάνῃ μέν τις ἐν τῷ ζωτικῷ τῆς καρδίας τὴν ἀφθαρσίαν τοῦ πνεύματος· τίκτει δὲ σοφίαν καὶ δικαιοσύνην, ἁγιασμὸν ὡσαύτως καὶ ἀπολύ- B τρωσιν. παντὶ γὰρ ἔξεστι μητέρα γενέσθαι τοῦ τοιούτου ὄντος, καθώς φησί που ὁ κύριος· ὅτι ὁ τὸ θέλημά μου ποιῶν, καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ μου ἐστίν· τίνα χώραν ἔχει ἐπὶ τούτων κινημάτων ὁ θάνατος; οὕτως κατεπόθη ἐν ἐκείνοις ὁ θάνατος ὑπὸ τῆς ζωῆς· καὶ ἔοικεν εἰκών τις εἶναι τῆς ἐν τῷ μέλλοντι αἰῶνι μακαριότητος ὁ ἐν παρθενίᾳ βίος, πολλὰ φέρων ἐν ἑαυτῷ τῶν δι' ἐλπίδος ἀποκειμένων ἀγαθῶν γνωρίσματα. ἔστι δὲ ἐπιγνῶναι τὴν τῶν εἰρημένων ἀλήθειαν τὸν λόγον κατεξετάζοντας· πρῶτον μὲν ὅτι τῇ ἁμαρτίᾳ καθάπαξ ἀποθανὼν, ζῇ τὸ C λοιπὸν τῷ Θεῷ, οὐκέτι καρποφορῶν τῷ θανάτῳ, καὶ ὅσον τὸ ἐφ' ἑαυτῷ συντέλειαν τῆς κατὰ σάρκα ζωῆς ἐν ἑαυτῷ ποιήσας, ἀναμένει λοιπὸν τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τοῦ μεγάλου Θεοῦ, οὐδὲν διάστημα μεταξὺ αὐτοῦ τε καὶ τῆς παρουσίας τοῦ Θεοῦ διὰ τῶν διὰ μέσου γενεῶν ἐργαζόμενος· εἶτα ὅτι ἐξαίρετον τῶν ἐν τῇ ἀναστάσει κειμένων καὶ ἐν τῷ παρόντι καρποῦται βίῳ. Εἰ γὰρ ἰσάγγελος ἡ ζωὴ ἡ μετὰ τὴν ἀνάστασιν παρὰ τοῦ κυρίου τοῖς δικαίοις ἐπήγγελται· τῆς δὲ ἀγγελικῆς φύσεως ἴδιον τὸ ἀπηλλάχθαι τοῦ γάμου ἐστίν· ἤδη D δέδεκται τὰ τῆς ἐπαγγελίας καλὰ, ταῖς λαμπρότησι τῶν ἁγίων συναναμιγνύμενος, καὶ τῷ ἀμολύντῳ τῆς ζωῆς τὴν καθαρότητα τῶν ἀσωμάτων μιμούμενος· Εἰ οὖν τούτων καὶ τῶν τοιούτων ἡ παρθενία γίνεται πρόξενος, τίς μὲν λόγος ἐπαξίως τὴν χάριν ταύτην θαυμάσεται; τί δὲ ἄλλο τῶν τῆς ψυχῆς ἀγαθῶν οὕτω φανήσεται μέγα καὶ τίμιον, ὡς τῇ τελειότητι ταύτῃ παρισωθῆναι διὰ συγκρίσεως;

A ærumnæ multiplicantur, neque dolor hominis ortum præcedit: ſimul ſublata eſt penitus calamitas, lacryma ex vultibus eſt ablata, vt inquit Propheta: neque in iniquitatibus amplius conceptio, neque in peccatis partus, neque ex ſanguine, neque ex voluntate viri, neque ex voluntate carnis, ſed voluntate Dei procreatio fit. *Ioan. 1.* Etenim cum incorruptam ſpiritus integritatem viuo corde quis concipit, ſapientiam hic, iuſtitiam, ſanctimoniam parit, eodémque modo redemptionem. Cuique enim licet, ſe matrem eſſe eius, qui hæc B ſit, vt quodam loco ait Dominus. Quoniam inquit, qui facit voluntatem meam, hic & frater, & ſoror, & mater mea eſt. Quem igitur locum in his partibus mors habet? Re vera in illis à vita mors eſt abſorpta: *Matth. 12.* virginaliſque vita illius futuri æui beatitudinis imago quædam eſſe videtur, cùm multa ſecum ſigna illorum bonorum afferat, quæ ex ſpe nobis propoſita & parata ſunt. Ac veritatem eorum quæ diximus, perſpicere eſt oratione examinanda. Primum enim quidem qui peccato prorſus moritur, Deo is porro viuit, C cùm nullum amplius morti fructum pariat: cúmque vitæ huius, quę ſecundum carnem traducitur pro virili conſummationem perfecerit, beatam porro ſpem atque aduentum magni Dei expectat, nec vllum inter ſe Deique aduentum per interiectas generationes conſtituit interuallum. Deinde quæ in reſurrectione maximè præcipua bona ſunt, iis in hac vita fruitur. Si enim vita Angelorum ſimilis poſt reſurrectionem à Deo iuſtis viris promittitur, illud Angelorum naturæ proprium eſt, vt ſint à nuptiis alieni. Iam promiſſionis præmia is accepit, qui ſanctorum D virorum ſplendoribus ſimul eluxit, quíve nullis vitæ ſordibus eorum, qui corpore carent, puram eſt naturam imitatus. Quamobrem ſi harum ceterarúmque huiuſmodi rerum Virginitas conciliatrix eſt, quæ ſanè oratio huius muneris admirationem ſatis excitabit? quæ reliqua animi bona ita magna, atque adeò perfecta videbuntur, vt comparatione facta, perfectioni huic adæquata ſint?

A

In omnibus ſtudiis vera Virginitas ſpectatur.

CAPVT XIIII.

SED ſi huius muneris præſtantia à nobis comperta eſt, illud ſanè etiam, quod ſequitur, expedit vt intelligamus: quoniam non ſimplex eſt, vt alicui fortè videatur, hoc perfectum Virginitatis officium, neque in corpore ſolum conſiſtit, ſed opinione etiam ad omnia peruenit ac pertinet, quæcumque recta animi officia & ſunt & habentur. Nam Virginitatis præſidio animus cum vero ſponſo coniunctus non corporeis modo ſordibus, ſe ipſe remouebit; ſed inde etiam profectus ad munditiem aggredietur, ad omniáque pari item ſecuritate ibit: illud tamen pertimeſcendo, ne aliquo modo ad rei prauæ ſocietatem corde plus, quàm par eſt, inclinato, affectionem aliquam ex ea parte adulterinam capiat. Verbi gratia, (ſermonem enim rurſus repetam,) animus qui cum Domino iunctus eſt, vt vnus ad eum ſpiritus efficiatur, cúmque tanquam aliquod communis vitæ pactum cum eo fecerit, vt toto corde viribúſque eum ſolum diligat, non cum fornicatione ſeſe conglutinabit, ne vnū cum illa corpus fiat: neque cum vllis rebus, quę ſaluti repugnent, ſocietatem inibit, quaſi vna ſit omnibus in rebus impuritatum cōmunitas: ſicque vnius alicuius ſceleris labe contaminatus eſt, non poſſit eam in ſe contractam labem amplius eluere. Atqui exemplis id quod dicimus apertè indicare licet. Veluti in ſtagno aqua pura atque immobilis manet, niſi aliqua extrinſecus perturbatio incidit, quæ illius motum agitet; ſi autem lapis inciderit aliquis, totum vna cum parte commouetur: nam præ grauitate, & pōdere in imum gurgitem ille fertur: cúmque aquæ fluctus circa eum in gyrū mutuo ducantur; medióque motu impulſi in ſummum aquæ æſtum erumpant, omnis ſumma ſtagni aqua, cum ima pars mota ſit, æſtuum ambitu agitatur: pari ratione tranquillitas & animi quies, ſi vnus aliquis affectus in eum inuadet,

Hic locus corruptus eſt in cod. Græc.

Ὅτι ἡ ἀληθὴς παρθενία ἐν παντὶ ἐπιτηδεύματι θεωρεῖται.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

ΑΛΛ' εἰ κατείληπται ἡμῖν ἡ ὑπερβολὴ τοῦ χαρίσματος, συνιδεῖν προσήκει καὶ τὸ ἀκόλουθον, ὅτι οὐχ ἁπλοῦν ὡς ἄν τις οἰηθείη, τὸ κατόρθωμα τοῦτό ἐστιν, οὐδὲ μέχρι

B τοῦ σώματος ἱστάμενον, ἀλλ' ἐπὶ πάντα διήκον καὶ διαβαῖνον τῇ ἐπινοίᾳ, ὅσα κατορθώματα ψυχῆς ἐστί τε καὶ νομίζεται. ἡ γὰρ τῷ ἀληθινῷ νυμφίῳ προσκολληθεῖσα διὰ παρθενίας ψυχή, οὐ μόνον τῶν σωματικῶν μολυσμάτων ἑαυτὴν ἀποστήσει, ἀλλ' ἐντεῦθεν μὲν ἄρξεται τῆς καθαρότητος· ἐπὶ πάντα δὲ ὁμοίως καὶ μετὰ τῆς ἴσης ἀσφαλείας πορεύεται· καὶ δεδοικυῖα μήπου τῆς καρδίας παρὰ τὸ δέον ἐπικλιθείσης, πονηροῦ τινὸς κοινωνίᾳ μοιχικόν τι πάθος κατὰ τὸ μέρος ἐκεῖνο προσδέξηται. οἷόν τι λέγω· πά-

C λιν γὰρ τὸν λόγον ἐπαναλήψομαι· ἡ τῷ κυρίῳ προσκολληθεῖσα ψυχὴ εἰς τὸ γενέσθαι πρὸς αὐτὸν ἓν πνεῦμα, καθάπερ ὁμολογίαν τινὰ συμβιωτικὴν καταθεμένη τό, μόνον ἐκεῖνον ἀγαπᾷν ἐξ ὅλης καρδίας τε καὶ δυνάμεως, οὔτε τῇ πορνείᾳ προσκολληθήσεται, ἵνα μὴ γένηται σῶμα ἓν πρὸς αὐτήν· οὔτε ἄλλο τι τῶν ἀντικειμένων τῇ σωτηρίᾳ προσδέξεται· ὡς μιᾶς οὔσης ἐν ἅπασι τῆς τῶν μιασμάτων κοινότητος· κἂν εἰδει * ἑνός τινος μολυνθείη, μηκέτι τὸ ἄσπι-

D λον ἔχειν ἐν ἑαυτῇ δυναμένη. ἔστι δὲ καὶ δι' ὑποδειγμάτων τεκμηριῶσαι τὸν λόγον· ὥσπερ τὸ ἐν τῇ λίμνῃ ὕδωρ πῶς μὲν λεῖον ἐστὶ καὶ ἀκίνητον, εἰ μηδεμία τις τῶν ἔξωθεν ταραχὴ παρεμπεσοῦσα τὸ σταθερὸν τοῦ τόπου διακινήσειε· λίθου δὲ τινὸς ἐμπεσόντος τῇ λίμνῃ, ὅλον συνεκινήθη τῷ μέρει. ὁ μὲν γὰρ ὑπὸ τοῦ βάρους εἰς τὸν βυθὸν καταδύεται· τῶν δὲ περὶ αὐτὸν κυμάτων κυκλοτερῶς ἐν ἄλλοις ἐγειρομένων, καὶ ἐπὶ τὰ ἄκρα τοῦ ὕδατος ὑπὸ τῆς ἐν τῷ μέσῳ κινήσεως ἐξωθουμένων, πᾶσα ἐν κύκλῳ περιελεγχύεται τῆς λίμνης ἡ ἐπιφάνεια, συνδιατιθεμένη τῷ βάθει· οὕτω καὶ τὸ τῆς ψυχῆς γαλήνιόν τε καὶ ἥσυχον δι' ἑνός τινος παρεμπίπτοντος εἰς αὐτὴν πάθους

ὅλον συνδιεσείσθη, καὶ τῆς τοῦ μέρους βλάβης A συνῃσθάνετο. Φασὶ δὲ καὶ οἱ τὰ τοιαῦτα ἐξητακότες, μὴ ἀπεσχίσθαι τὰς ἀρετὰς ἀλλήλων, μηδὲ δυνατὸν εἶναι μιᾶς τινὸς ἀρετῆς κατὰ τὸν ἀκριβῆ περιδράξασθαι λόγον, τὸν μὴ καὶ τῶν λοιπῶν ἐφαψάμενον· ἀλλ' ᾧ ἂν παραγένηται μία τῶν ἀρετῶν, ἀναγκαίως ἐπακολουθεῖν καὶ τὰς λοιπάς. Οὐκοῦν ἐξ ἀντιστρόφου καὶ ἡ περί τι βλάβη τῶν ἐν ἡμῖν, εἰς ὅλον τὸν κατ' ἀρετὴν διατείνει βίον, καὶ ὄντως, καθώς φησιν ὁ ἀπόστολος, τοῖς μέρεσι τὸ ὅλον συνδιατίθεται, εἴτε πάσχῃ μέλος ἓν συναλγοῦντος τοῦ παντὸς, ἐάν B τε καὶ δοξάζηται, τοῦ ὅλου συγχαίροντος.

A tota tamen ſimul concutitur, & partis detrimentũ vnà etiam ſentit. Commemorant enim ij, qui hæc ipſa indagarũt, virtutes inter ſe minimè diſiunctas eſſe; neque fieri poſſe, vt qui vnius rationem diligenter accuratéque percurrerit, ceteras quoque non attingat: ſed cui vna ex virtutibus ineſt, reliquas neceſſario eum conſequi dicunt: quin etiã contra alicuius rei, quæ nos attingit vitium ad omnem honeſtam vitam pertinet, veréque, vt eſt apud Apoſtolum, totum cum partibus afficitur: ſiue enim vna pars patitur, totum ſimul dolet: ſiue B gloria afficitur, totum vnà gaudet.

Ὅτι ὁ ὁπωσοῦν ἔξω γενέσθαι τῆς ἀρετῆς τὸν ἴσον κίνδυνον ἔχει.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

ΑΛΛΑ μυρίαι κατὰ τὸν βίον ἡμῶν αἱ πρὸς τὴν ἁμαρτίαν παρεκτροπαί, καὶ πολυτρόπως αἱ γραφαὶ τὸ πλῆθος τούτων διασημαίνουσι· πολλοὶ γὰρ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές C με· καὶ, πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους· καὶ ἄλλα τοιαῦτα πολλά. τάχα τοίνυν κυρίως ἐστὶν εἰπεῖν ὅτι πολλοὶ οἱ μοιχικῶς ἐπιβουλεύοντες, πρὸς τὸ διαφθεῖραι τὸν τίμιον τοῦτον ὡς ἀληθῶς γάμον, καὶ τὴν ἀμίαντον κοίτην· εἰ δὲ χρὴ καὶ τοῖς ὀνόμασι τοὺς τούτους ἀπαριθμήσασθαι, μοιχὸς ἡ ὀργή, μοιχὸς ἡ πλεονεξία, μοιχὸς ὁ φθόνος, ἡ μνησικακία, ἡ ἔχθρα, ἡ βασκανία, τὸ μῖσος, πάντα ὅσα παρὰ τοῦ ἀποστόλου κατείλεκται ὡς ἀντικείμενα τῇ ὑγιαινούσῃ διδασκαλίᾳ, μοιχῶν ἐστὶν ἀπαρίθμησις. ὑποθώμεθα τοίνυν εἶναί τινα ἐν γυναιξὶν εὐπρεπῆ τε καὶ D ἀξιέραστον, καὶ διὰ τοῦτο βασιλεῖ πρὸς γάμον συναρμοσθεῖσαν· ἐπιβουλεύεσθαι δὲ διὰ τὴν ὥραν ὑπὸ ἀκολάστων τινῶν· οὐκοῦν ἡ τοιαύτη ἕως μὲν ἂν πρὸς πάντας τοὺς ἐπὶ φθορᾷ περιοδεύοντας ἐχθρῶς ἔχῃ καὶ κατηγορῇ τούτων ἐπὶ τοῦ νομίμου ἀνδρὸς, σώφρων ἐστὶ, καὶ πρὸς μόνον τὸν νυμφίον ὁρᾷ, καὶ οὐδεμίαν ἔχουσιν χώραν κατ' αὐτῆς αἱ τῶν ἀκολάστων ἀπάται. εἰ δὲ τινι προσθοῖτο τῶν ἐπιβουλευόντων, οὐκ ἐξαιρεῖται αὐτὴν τῆς τιμωρίας ἡ ἐπὶ τῶν λοιπῶν σωφροσύνη·

Vt aliquid eſt à virtute remotum, ita in periculo verſatur.

CAPVT XV.

SED innumerabiles in noſtra vita ſunt peccandi viæ, varióſque hos delinquendi modos multitudinis nomine diuinæ litteræ oſtendunt. Multi enim ſunt, inquiunt, qui perſequuntur me, C & tribulant me, & multi bellum gerunt aduerſus me ex alto. Atque alia quidem multa eiuſmodi ſunt. Fortaſſe igitur aptè commemorare licet multos eſſe, qui adulterando inſidias ſtruunt, vt honorabile hoc verè connubium, & immaculatum thorum deturpent: ſique hos adulteros nominatim enumerare oportet, adulter ira, adulter auaritia, adulter inuidentia, iniuriarum recordatio, inimicitiæ, inuidia, & omnia denique, quæ ab Apoſtolo colliguntur: tanquam adulterorum enumeratio ea omnia ſint, quæ ſalutari doctrinæ repugnant. Atqui faciamus in fœminis D vnam eſſe forma integra, quæve digna ſit, vt ametur; ideóque quoniam regis coniugio conueniret, à quibuſdam impudicis hominibus egregiam ob formam ei inſidias poni: hæc ſanè quamdiu in eos omnes, qui ſibi vitium offerre ſtudent, inimico eſt animo, rémque ipſam vero marito indicat, mulier eſt pudica, quæve ſolius viri ſui honori ſeruit: nullúmque propterea cum ea locum habent petulantium hominum inſidiæ. Sin autem ex iis, qui inſidiantur, vni conſentit, non ſanè à pœna illam liberat pudicitia, quã in aliis præ ſe fert.

Ad damnationem enim ſat eſt vel vnius labe cubile deturpatum. Eodem modo animus is, qui Deo viuit, non vllis rebus ſe oblectauerit, quæ ſibi ex errore quodam non veram honeſti ſpeciē præbent: ſin ex aliqua affectione vitij maculam cordi cōtraxerit, ſpiritalis ipſe matrimonij iura reſcidit: atque, vt in diuinis litteris ſcriptū extat, in animā maleuolam non intrabit ſapientia. Pari ratione nos
Sap. 1. verè dicere poſſumus, in animo irarum inuidiæq. pleno, quíve eiuſmodi aliquo peccato irretitus tenetur, fieri non poſſe vt in eo bonus ſponſus inhabitet: quę enim conſilij ratio cōciliabit id, quod natura inter ſe alienū non cohæret, neque vllo ſocietatis iure illigatum eſt? Tu velim, audias Apoſtolum, qui docet, nihil
2. Cor. 6. eſſe luci cum tenebris cōmune, neque æquitati iuſtitiæq. cum iniquitate: atque, vt ſummatim breuitérque dicam, omnia quibuſcúmque & mente cōprehenſus & vocatus eſt Dominus, ex earū rerum differentia, quæ in eo cernuntur, hæc omnibus iis, quę in vitio poſita ſunt contraria intelligi. Si igitur difficilis eſt rerum inter ſe diſſimiliū ſocietas: remotus omnino eſt à virtutis contubernio, neq. planè virtutis capax eſt is animus, qui aliquo vitio irretitus eſt. Ergo quid ex iis documenti nos accepimus? hoc ſanè, quod pudicam virginem, quæ rationem vitæ ducem ſequitur, ab omnibus animi affectionibus ſe omnino abducere oportet: ac ſponſo, qui eam adornabit, integram ſe atque adeò puram conſeruare, vt aut ſordes, aut rugas, aut aliquid eiuſmodi minus contrahat.

A ἀρκεῖ γὰρ εἰς κατάκρισιν καὶ τὸ, δι᾽ ἑνὸς μιανθῆναι τὴν κοίτην. οὕτως καὶ ἡ τῷ Θεῷ ζῶσα ψυχή, οὐδενὶ τῶν δι᾽ ἀπάτης αὐτῇ προσφαινομένων καλῶν προσηδήσεται· εἰ δὲ παραδέξαιτο διά τινος πάθους τὸν μιασμὸν τῇ καρδίᾳ, ἔλυσε καὶ αὐτὴ τοῦ πνευματικοῦ γάμου τὰ δίκαια· καὶ ὥς φησιν ἡ γραφή, εἰς κακότεχνον ψυχὴν μὴ εἰσελεύσεσθαι σοφίαν· οὕτως ἔστιν ἀληθῶς εἰπεῖν, μηδὲ εἰς θυμώδη καὶ βάσκανον, ἢ ἄλλο τι ἔχουσαν τοιοῦτον ἐν ἑαυτῇ πλημμελές, δυνατὸν εἶναι τὸν ἀγαθὸν νυμφίον εἰσοικι-
B σθῆναι. τίς γὰρ ἐπίνοια συναρμόσει τὸ τῇ φύσει ἀλλότριόν τε καὶ ἀκοινώνητον; ἄκουσον τοῦ ἀποστόλου μηδεμίαν εἶναι κοινωνίαν φωτὶ πρὸς σκότος διδάσκοντος, ἢ δικαιοσύνῃ πρὸς ἀνομίαν, ἢ συνελόντι φάναι, πάντα ὅσα ἐστὶν ὁ κύριος κατὰ τὴν διαφορὰν τῶν ἐν αὐτῷ θεωρουμένων νοούμενός τε καὶ ὀνομαζόμενος, πρὸς πάντα τὰ ἐν κακίᾳ κατὰ τὸ ἐναντίον νοούμενα. εἰ οὖν ἀμήχανος τῶν τῇ φύσει ἀμίκτων ἡ κοινωνία, ἀλλοτρία πάντως καὶ ἀνεπίδεκτος τῆς τοῦ ἀγαθοῦ συνοικήσεώς ἐστιν ὑπὸ κακίας τινὸς κα-
C τειλημμένη ψυχή. τί οὖν ἐκ τούτων μανθάνομεν; τὸ δεῖν τὴν σώφρονα καὶ λελογισμένην παρθένον παντὸς πάθους κατὰ πάντα τρόπον τῆς ψυχῆς ἀπολυομένου χωρίζεσθαι, καὶ φυλάσσειν ἑαυτὴν ἁγνὴν τῷ ἁρμοσαμένῳ αὐτὴν νυμφίῳ, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων.

Ad bonum minimè aptus eſt is, qui aliqua ex parte in virtutis officio peccat.

CAPVT XVI.

VIA eſt vna recta, anguſta illa quidem, & trita, quæ neque alterius viæ flexiones, & diuerticula cōprehendit: atque ex hac aliquo ſanè modo deflectere fortaſſe periculum eſt, ne quis labatur, & cōcidat. Si hæc ita ſe habent, multorum nos conſuetudinem, quoad eius fieri poteſt, moderari oportet: qui enim contra fœdiſſimas voluptates pugnaciſſimè ſe defendunt, eas verò, quæ in honoribus atque imperij appetitionibus exiſtunt, voluptates conſectantur, hi nihil omnino diſſimile faciunt, ac,

---

D Ὅτι ἀτελὴς εἰς τὸ ἀγαθὸν ὁ καὶ ἐπί τινι τῶν κατ᾽ ἀρετὴν ἐλλείπων.

ΚΕΦΑΛΑΙΟΝ Iϛ΄.

ΜΙΑ γάρ ἐστιν ὁδὸς εὐθεῖα στενή τε ὡς ἀληθῶς καὶ τεθλιμμένη, ἐκ τῶν ἐφ᾽ ἑκάτερα παρεκτροπὰς οὐκ ἐπιδεχομένη, καὶ τὸ ὁπωσοῦν ἔξω ταύτης γενέσθαι ἴσον ἔχει τὸν τῆς ἀποπλανήσεως κίνδυνον. εἰ δὴ ταῦτα οὕτως ἔχει, διορθωτέον ὡς οἷόν τε τὴν τῶν πολλῶν συνήθειαν, ὅσοι πρὸς μὲν τὰς αἰσχροτέρας τῶν ἡδονῶν ἰσχυρῶς ἀπομάχονται· ὁμοίως δὲ τὴν ἡδονὴν ἐν τιμαῖς καὶ φιλαρχίαις θηρεύουσι· παραπλήσιον ποιοῦντες ὥσπερ ἂν

εἴ τις οἰκέτης ἐλευθερίας ἐπιθυμῶν, μὴ ὅπως τῆς δουλείας ἔξω γένηται σπεύδοι, ἀλλ' ἐναμείβοι τοὺς κεκτημένους, τὴν ἐναλλαγὴν τῶν κεκτημένων ἐλευθερίαν οἰόμενος· δοῦλοι γάρ εἰσιν ἐφίσης πάντες, κἂν μὴ ὑπὸ τῶν αὐτῶν κυριεύωνται, ἕως ἂν ὅλως ἐπικρατῇ τις αὐτῶν μετὰ δυναστείας ἀρχή· εἰσὶ δὲ πάλιν οἱ τῇ πολλῇ πρὸς τὰς ἡδονὰς μάχῃ, εὐκαταγώνιστοί πως πρὸς τὰ ἀντικείμενα πάθη γεγόνασιν, καὶ ἐν τῇ ἐπιτεταμένῃ τῆς ζωῆς ἀκριβείᾳ, λύπαις, καὶ παροξυσμοῖς, καὶ μνησικακίαις, καὶ τοῖς λοιποῖς πᾶσιν, ὅσα πρὸς τὸ ἐναντίον τοῦ κατὰ τὴν ἡδονὴν πάθους ἀντικαθέστηκεν, εὐκόλως τε ἁλίσκονται, καὶ δυσχερῶς διεκδύουσι. τοῦτο δὲ γίνεται, ὅταν μὴ ὁ λόγος ὁ κατ' ἀρετὴν, ἀλλά τι πάθος τῆς κατὰ τὸν βίον πορείας ἡγεμονεύῃ· ἡ μὲν γὰρ ἐντολὴ τοῦ κυρίου σφόδρα τηλαυγής, ὡς καὶ νηπίων ὀφθαλμοὺς φωτίσαι, μόνῳ τῷ Θεῷ προσκολλᾶσθαι ἀγαθὸν εἶναι λέγουσα· ὁ δὲ Θεὸς οὔτε λύπη ἐστὶν, οὔτε ἡδονὴ, οὔτε δειλία, ἢ θράσος, ἢ φόβος, ἢ ὀργή, ἢ ἄλλό τι τοιοῦτον πάθος ὃ τῆς ἀπαιδεύτου κυριεύει ψυχῆς· ἀλλ' ὥς φησιν ὁ ἀπόστολος, αὐτοσοφία καὶ ἁγιασμὸς, ἀλήθειά τε καὶ χαρὰ, καὶ εἰρήνη, καὶ ὅσα τοιαῦτα. πῶς οὖν ἔστι τῷ τοιούτῳ ὄντι προσκολληθῆναι τὸν ὑπὸ τῶν ἐναντίων κρατούμενον; ἢ πῶς οὐκ ἄλογον τὸ ἐν ἑνί τινι τῶν παθῶν ὅπως μὴ ὑπαχθείη σπουδάζοντα, ἀρετὴν νομίζειν τὸ ἀντικείμενον εἶναι, ἡδονὴν μὲν φυγόντα, λύπῃ κατέχεσθαι· τὸ δὲ θρασὺ καὶ προπετὲς διακλίνοντα, δειλίᾳ ταπεινοῦν τὴν ψυχήν, ἢ θυμοῖς ἀνάλωτον μένειν ἐσπουδακότα, καταπεπληχέναι τῷ φόβῳ. τί γὰρ διαφέρει οὕτως ἢ ἄλλως τῆς ἀρετῆς ἐκπεσεῖν, μᾶλλον δὲ αὐτοῦ τοῦ Θεοῦ ἔξω γενέσθαι, ὅς ἐστιν ἡ παντελὴς ἀρετή; καὶ γὰρ ἐπὶ τῶν τοῦ σώματος ἀρρωστημάτων, οὐκ ἂν διαφέρειν τὸ κακόν τις εἴποι δι' ὑπερβαλλούσης ἐνδείας, ἢ ἀπὸ πλησμονῆς ἀμέτρου διαφθαρῆναι, εἰς τὸ αὐτὸ πέρας τῆς ἐν ἑκατέροις ἀμετρίας ληγούσης. οὐκοῦν καὶ ὁ τῆς κατὰ ψυχὴν ζωῆς τε καὶ ὑγείας ἐπιμελούμενος, ἐπὶ τοῦ μέσου τῆς ἀληθείας ἑαυτὸν τηρήσει, ἀμιγὴς καὶ ἀμέτοχος διαμένων τῆς ἑκατέρωθεν τῇ ἀρετῇ παρακειμένης ἐναντιότητος· οὐκ ἐμὸς ὁ λόγος,

A ſi quis ſeruus libertatis auidus, maturè operam det, non vt à ſeruitute vindicetur, cum in eo libertatem eſſe putet; ſi ab eo, in cuius poteſtate fuit, ad alium dominum transferatur. Serui enim pari conditione omnes ſunt, quamuis non eorumdem dominorum imperio poteſtatéve teneantur: cum vnus aliquis illis dominetur, atque cum poteſtate imperet. Rurſus ſunt plerique qui multo contra has voluptates certamine, facilè quodammodo ſunt ab aduerſario ſuperati: atque in accurata benéque con-
B ſtituta viuendi ratione, doloribus & animi concitationibus, & malorum recordationibus, & ceteris denique omnibus, quæ contra hunc voluptatis affectum reſtiterunt, cum facilè expugnantur, tum difficulter ab iis liberantur: hócque tum accidit, cum non ratio virtuti conſentanea, ſed animi affectio quæpiam vitæ curſum dirigit. *Pſal. 18.* Præceptum enim Domini, lucidum valde eſt, vt vel infantium oculos illuminet, eadémque dicit ſoli Deo adhærere bonum eſſe: ſiquidem neque dolor eſt Dominus, non voluptas, non
C formido, nõ audacia, aut ira, aut aliquis huiuſmodi affectus, qui in animo rudi dominatur, at ſapientia ipſa eſt, inquit Apoſtolus, ſanctificatio, veritas, pax, & gaudium, omniáq; alia id generis. Quo igitur modo huic iunctus eſſe poteſt is, qui contrariis affectibus tenetur? aut quo modo non abſurdum eſt, cum qui ſtudiũ in eo ponit, vt nulla affectionum vi impellatur, putare in eo, quod contrarium eſt, eſſe virtutem? verbi cauſa, ſi qui voluptatem fugit, dolore hic vincatur: quíve audaciam ac temeritatem declinat, præ timiditate is animum pro-
D ſternat atque abijciat: aut qui inuicto eſſe animo ſtuduit, is metu fractus ceciderit. Quid enim intereſt, hoc an illo modo quis à virtute cadat, vel potius ſe à Deo ipſo remoueat, qui virtus abſoluta eſt, ac perfecta? nam in corporalibus ægrotationibus nihil referre quis dixerit, verum morbi tabes à nimia cibi tenuitate ſit, an ab immoderata ingurgitatione, cum vtriuſque immoderatio eodem termino concludatur. Itaque qui & animi vitæ, & ſalutis curam habet, in moderata quadam animi æquitate verſabitur, quoniam in eo permanet, vt nullam cum ea repugnantia ſocietatem habeat, quæ ſit vtrinque virtuti oppoſita. Non mea quidem hæc eſt

ſed vocis ipſius diuinæ oratio. Apertè
Matth.10. Domini doctrinæ hoc præceptum eſt, in iis, quæ diſcipulos docet velut agnos inter lupos verſantes, vt non ſolum columbæ ſint, ſed aliquid etiam ſerpentis in moribus habeant. Hoc ſanè eſt, vt neque quod in ſimplicitate hominibus laudandum videatur, impenſius conſectentur, quod is habitus ad extremam dementiam propius accedat, neque rurſum calliditatem ac vafritiem, quam plerique omnes prædicant, meram atque impermixtam contrario virtutem credant, ſed ex aduerſariis rebus vnum aliquod temperatũ morum genus conficiant, hinc dementia, illinc malitioſa ſapientia reciſa, quaſi ex vtroque contrario vnum perfectum ſit honeſtum, quod & ex animi ſimplicitate, & ſolertia conflatum eſt. Eſtote enim, inquit,
Ibidem. prudentes vt ſerpentes, ſimplices vt columbæ.

Omnes animi poteſtates virtutem ſpectare debent.

CAPVT XVII.

QVOD igitur eo loco dictum eſt à Domino, commune ſit omnis vitæ præceptum, iis præſertim, qui virginitatis ſtudio ad Deum accedunt: vt, cùm ad vnum aliquod rectum officium reſpiciant, non modo res contrarias caueant, ſed quod bonum eſt vndique ſibi colligant, vt omnibus quærendis vitam in tuto collocent. Neque enim miles, qui armis partem aliquam corporis munierit, reliquum corpus armis nudum periculo objiciet. Quid enim ei lucri eſt ex parte corporis armata, ſi in partibus nudis lethalem plagam accipiat? quis formoſum eum dixerit, cui ex iis, quæ ad formæ ſpeciem attinent, aliquid eſt calamitate reſciſſum? turpitudo enim ac deformitas partis illius truncæ, venuſtatem integræ corrumpit. Quod ſi, vt quodam loco ſcriptum eſt, ridiculus eſt, qui turris ædificium aggreſſus, atque in fundamentis omne quidem ſtudium ſuum cùm poſuerit, extremam ædificij partem non eſt executus: quid ex hac nos parabola aliud cognoſcimus, quàm vt,

ἀλλ' αὐτῆς τῆς θείας φωνῆς· φανερῶς γὰρ τῆς τοῦ κυρίου διδασκαλίας τὸ δόγμα τοῦτό ἐστιν, ἐν οἷς διδάσκει τοὺς μαθητὰς ὡς ἄρνας λύκοις συναναστρεφομένους, μὴ περιστερὰς εἶναι μόνον, ἀλλ' ἔχειν τι καὶ τοῦ ὄφεως ἐν τῷ ἤθει· τοῦτο δέ ἐστι, τὸ μήτε τὴν ἁπλότητα δοκοῦν ἐπαινετὴν τοῖς ἀνθρώποις, εἰς ἄκρον ἐπιτηδεύειν, ὡς τῇ ἐσχάτῃ ἀνοίᾳ τῆς τοιαύτης ἕξεως πλησιαζούσης· μήτε τὴν ἐπαινουμένην ὑπὸ τῶν πολλῶν δεινότητα καὶ πανουργίαν ἀμιγῆ τῶν ἐναντίων καὶ ἄκρατον ἀρετὴν νομίζειν· ἐκ δὲ τῆς δοκούσης ἐναντιότητος μίαν τινὰ συγκεκραμένην ἤθους κατάστασιν ἀπεργάζεσθαι, τῆς μὲν τὸ ἀνόητον, τῆς δὲ τὸ ἐν πονηρίᾳ σοφὸν περικόψαντας· ὡς ἐξ ἑκατέρων ἓν ἀποτελεσθῆναι καλὸν ἐπιτήδευμα, ἁπλότητι γνώμης καὶ ἀγχινοίας συγκεκραμένον. γίνεσθε γάρ, φησι, φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί.

Ὅτι χρὴ πάσας τὰς τῆς ψυχῆς δυνάμεις πρὸς ἀρετὴν βλέπειν.

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

ΟΥΚΟΥΝ ὅπερ ἐκεῖ εἴρηται παρὰ τοῦ κυρίου, κοινὸν ἔστω δόγμα τοῦ βίου παντός, καὶ μάλιστα ἐπὶ τῶν διὰ παρθενίας τῷ Θεῷ προσιόντων, τό, μὴ πρὸς ἕν τι κατόρθωμα βλέποντας τῶν ἐναντίων ἀφυλάκτως ἔχειν, ἀλλὰ πανταχόθεν ἑαυτοῖς τὸ ἀγαθὸν ἐξευρίσκειν· ὡς ἂν διὰ πάντων τὸ ἀσφαλὲς ὑπάρχῃ τῷ βίῳ. οὐδὲ γὰρ στρατιώτης μέρη τινὰ τοῖς ὅπλοις φραξάμενος, γυμνῷ κινδυνεύσει τῷ λοιπῷ σώματι. τί γὰρ κέρδος αὐτῷ τῆς ἐπὶ μέρους ὁπλίσεως, εἰ κατὰ τὸ γυμνὸν τὴν καιρίαν δέξαιτο; τίς δὲ ἂν εὔμορφον ὀνομάσειεν ἐκεῖνον ὃ τῶν εἰς εὐμορφίαν τι συντελούντων, ἔκ τινος συμφορᾶς περικέκοπται; ἡ γὰρ περὶ τὸ λεῖπον αἰσχύνη καὶ τὴν τοῦ ὑγιαίνοντος χάριν διελυμήνατο. Εἰ δὲ καταγέλαστός ἐστι, καθώς φησί που τὸ εὐαγγέλιον, ὁ ἐνάρξας μὲν τῇ τοῦ πύργου κατασκευῇ, ἐν θεμελίοις δὲ τὴν σπουδὴν ἑαυτοῦ στήσας, καὶ τοῦ τέλους οὐκ ἐφικόμενος, τί ἄλλο ἐκ τῆς παραβολῆς ταύτης μανθάνομεν, ἢ τό,

πάσης ὑψηλῆς προθέσεως ἐπὶ τὸ πέρας φθάσαι ἐσπουδακέναι, ταῖς ποικίλαις τῶν ἐντολῶν οἰκοδομαῖς τὸ ἔργον τοῦ Θεοῦ τελειοῦντας· οὔτε λίθος εἷς ἡ πᾶσα οἰκοδομὴ τοῦ πύργου ἐστὶν, οὔτε ἐντολὴ μία πρὸς τὸ ἐπιζητούμενον μέτρον ἄγει τὴν τῆς ψυχῆς τελειότητα· ἀλλὰ καὶ τὸν θεμέλιον ὑποβεβλῆσθαι δεῖ πάντως, καθώς φησιν ὁ ἀπόστολος, τὴν ἐκ χρυσοῦ καὶ λίθων τιμίων οἰκοδομὴν ἐπιθέσθαι. οὕτω γὰρ τὰ ἔργα τῶν ἐντολῶν ὀνομάζεται, κατὰ τὸν εἰπόντα προφήτην, ὅτι ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον πολύν. ὑποκείσθω τοίνυν αὐτῇ θεμελίου τινὸς τῷ κατ' ἀρετὴν βίῳ ἡ περὶ τὴν παρθενίαν σπουδή· ἐποικοδομείσθω δὲ τῷ θεμελίῳ τούτῳ πάντα τὰ ἔργα τῆς ἀρετῆς· εἰ γὰρ καὶ σφόδρα τοῦτο τίμιον καὶ θεοπρεπὲς εἶναι πιστεύεται, ὥσπερ οὖν καὶ ἐστὶ, καὶ πεπίστευται· ἀλλ' εἰ μὴ καὶ ὅλος ὁ βίος τούτῳ συμβαίνοι τῷ κατορθώματι, ἐπιμολύνοιτο τῇ λοιπῇ τῆς ψυχῆς ἀταξίᾳ, τοῦτό ἐστι τὸ ἐνώτιον ἐκεῖνο τὸ ἐν τῇ ῥινὶ τῆς συὸς, ἢ ὁ μαργαρίτης ὁ ἐν τοῖς ποσὶ τῶν χοίρων καταπατούμενος· ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα.

Μόνη ἡ ἀρετὴ, κἂν τέλειος, οὐδὲν ὠφελεῖ τῷ ἐν πᾶσι τὴν ἀρετὴν οὐκ ἀσκουμένῳ. C

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

ΕΙ δέ τις παρ' οὐδὲν ποιεῖται τὸ, μὴ συνηρμόσθαι τινὶ διὰ τῶν καταλλήλων τὸν βίον, τὰ ἐν τῷ οἴκῳ ἑαυτοῦ θεασάμενος παιδευθήτω περὶ τοῦ δόγματος. δοκεῖ γάρ μοι καθάπερ ἐπὶ τῆς ἰδίας οἰκήσεως ὁ τοῦ οἴκου δεσπότης, οὐκ ἀποδέξεται ἀπρεπῆ καὶ ἀσχήμονα τὰ ἐν τῇ οἰκίᾳ βλέπειν, ἢ κλίνην ἀνεστραμμένην, ἢ πλήρη κόπρου τὴν τράπεζαν, ἢ τὰ μὲν τίμια τῶν σκευῶν ἐν ῥυπαροῖς τισὶ τόποις ἀπερριμμένα· ὅσα δὲ πρὸς τὰς ἀτιμοτέρας ὑπηρεσίας ἐστὶν, ἐν ὀφθαλμοῖς προκείμενα τῶν εἰσιόντων· ἀλλὰ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν τὴν πρέπουσαν διαθεὶς, καὶ ἑκάστῳ ἁρμόζουσαν ἀποδοὺς χώραν, θαρρῶν ἀποδέχεται τοὺς ἐπιξενουμένους, ὡς οὐδεμίαν αἰσχύνην ὀφλήσων εἰ φανερὸν γένοιτο, ὅπως αὐτοῦ τὰ κατὰ τὴν οἰκίαν ἔχοι. οὕτως οἶμαι χρῆναι καὶ τὸν τοῦ σκηνώματος ἡμῶν οἰκοδεσπότην

A propoſita re aliqua ſublimi, finem aſſequi ſtudeat, qui variis mandatorum quaſi ſtructuris Dei opus perficiunt. Neque lapis enim vnus tota eſt turris ædificatio: neque præceptũ ſanè vnum perfectionem animi ad eum ducit, quem nos quærimus, modum: ſed iactum eſſe oportet planè fundamentum, atque ſuper aurum, vt ait Apoſtolus, & lapides pretioſos ædificium ſtruendum eſt: ita enim mandatorum opera Propheta appellauit his verbis; Dilexi mandata tua ſuper aurum, & lapidem pretioſum multum. Atque pro aliquo quidem fundamento ſit honeſtæ vitæ propoſitum ſtudium virginitatis: & ſuper
B hoc fundamentum cuncta virtutis opera extruantur. Etſi enim valde honeſtũ hoc & Deo conueniens eſſe creditur, vt ſanè & eſt, & creditur: niſi tamen huic præclaro officio vita omnis reſpondeat, aut ſi reliqua animi perturbatione inquinetur; illud aurium ornamentum eſt, quod in roſtro ſuis, aut margarita, quæ ſit porcorum pedibus proculcata. Sed de his quidem hactenus.

Sola virtus, etiam perfecta, nihil omninò prodeſt ei, qui in omnibus virtutem non colit.

CAPVT XVII.

SI verò quis pro nihilo putat, vitæ ſuæ rationem cuipiam inuicem accommodare, res ſuas domeſticas contemplatus ad hoc præceptum erudiatur. Vt enim paterfamilias domi ſuæ paſſurus mihi non videtur, vt res fœdas, ac turpes cernat, veluti non ſtratum lectum, aut menſam ſordium plenam, aut vaſa pre-
D tioſa quæ aliquò coniecta ſint; vbi ſordium ſitus eſt, quæ verò ſunt ad vſus minus honeſtas accommodata in oculis adeuntium illa poſita ſint: ſed aptè ille atque ordine recto cuncta collocando, ſuúmque cuique rei locum tribuendo: cùm exploratum habeat quo ordine res domi ſuæ ſint, tum fidenti animo, quaſi nullo pudore prohibitus, hoſpites ac peregrinos excipiet, eodem modo domicilij noſtri domino ac moderatori, nempe rationi, agendum eſſe arbitror: vt, quæ in nobis ſunt omnia rectè inſti-

tuat, ſingulíſque animi poteſtatibus, quas & pro inſtrumentis & vaſis ſummus noſtræ naturæ opifex fabricatus eſt, iis aptè & ad honeſtatem vtatur. At verò iam, niſi quis nugacitatis & garrulitatis nos condemnet, ſigillatim explicabimus, quo pacto vſus quis inſitis ſibi rebus vitam quam vtiliſſimè componat. Itaque dicimus oportere eum appetitum in animi puro dedicatum, velut donarium quoddam ac bonorum ſuorũ primitias Deo ſegregare, & ſemel conſecratum intactum porro atque integrum ſeruare nullis vitæ ſordibus cõtaminatum. Excandeſcentiam verò & iram & odium quaſi canes aliquos oſtij cuſtodes ad ſolam peccati repugnantiam in vigilia, & ſtatione manere: aduerſúſque furem & hoſtem natura eum vſum eſſe, qui in diuini theſauri perniciem aditum ſibi facit, atque ob eam cauſam venit, vt furetur, & mactet, & perdat: pro telo aliquo audaciam, & fortitudinem afferat oportet, ne vlla formidine, quæ incidat, aut ſubitis impiorum affectibus animus conſternetur: ſpe autem & tolerantia quaſi baculo inniti, ſi quando quis tentationibus defatigatur: in peccatis verò pœnitentiæ tempore ſi vſu venerit, doloris remediũ parare, atque adhibere, quaſi neque hoc aliàs vtile ſit, ac ſalutare niſi ad ſolum huiuſmodi pœnitentiæ vſum: tum verò recta horum regula iuſtitia erit, quæ docet, quid in omnibus & dictis, & factis ſit à peccato alienum, quóve modo animi partes inſtitui oporteat, quáve ratione, quod cuiúſq. proprium ſit, pro dignitate tribuatur. Cupiditatem autem, quæ in plus habendo poſita eſt, multam illam quidem & immenſam in ſingulorum animis, ſi quis ad eam, quæ à Deo eſt, appetitionis vim addiderit, is in hac ipſa plus habendi cupiditate beatiſſimus erit, illic vim faciens, vbi laudabile eſt vim facere. Atqui ſapientiam, prudentiámque rerum omnium, quæ expediant, conſultrices vitæque ſuæ contubernales adhibebit, vt nullo vnquam tempore aut imperitia, aut imprudentia in errorem abducatur. Sin autem iis, quas commemoraui, virtutibus neque vt par eſt, neque vt earum natura poſtulat, quis vſus eſt, ad ídque, quod minimè decet, earum vſum conuertit, vel quia ad res turpiſſimas cupiditatem adijcit, vel quia in vi-

A καὶ οἰκονόμον, τὸν νοῦν λέγω, πάντα τὸ ἐν ἡμῖν δια-
τίθεσθαι, ἑκάστῃ τε τῶν τῆς ψυχῆς δυνά-
μεων, ἃς ἀντὶ ὀργάνων καὶ σκευῶν ὁ δημιουρ-
γὸς ἡμῖν ἐνετεκτήνατο, οἰκείως καὶ πρὸς τὸ
καλὸν κεχρῆσθαι. εἰ δὲ μὴ φλυαρίαν τινὰ
καὶ ἀδολεσχίαν τοῦ λόγου τις καταγινώσκοι, εἰ-
ρήσεται καὶ καθ' ἕκαστον, ὅπως ἂν τοῖς παροῦ-
σιν αὐτῷ χρώμενος, πρὸς τὸ συμφέρον αὐτῷ
τὸν βίον οἰκονομήσειε. φαμὲν τοίνυν τὴν μὲν
ἐπιθυμίαν δεῖν ἐν καθαρῷ τῆς ψυχῆς ἱδρυ-
σαμένους ἔχειν, ὥσπερ τι ἀνάθημα ἢ ἀπαρ-
B χὴν τῶν ἰδίων ἀγαθῶν ἐξελόντα Θεῷ· ἀφιε-
ρωσάμενόν τε αὐτὴν ἅπαξ, ἀνέπαφόν τε καὶ
καθαρὰν διαφυλάττειν, μηδαμοῦ τῇ κατὰ τὸν
βίον ῥυπαρίᾳ μολυνομένην. τὸν δὲ θυμόν, καὶ
τὴν ὀργήν, καὶ τὸ μῖσος, καθάπερ κύνας τινὰς
πυλωροὺς, πρὸς μόνην ἐγρηγορέναι τὴν τῆς
ἁμαρτίας ἀντίστασιν, καὶ κατὰ τοῦ κλέπτου καὶ πολε-
μίου κεχρῆσθαι τῇ φύσει, ὃς ἐπὶ λύμῃ τοῦ
θείου θησαυροῦ παρεισδύεται, καὶ διὰ τοῦτο
ἔρχεται, ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ·
τὴν δὲ ἀνδρείαν καὶ τὸ θάρσος ἀντὶ ὅπλου τι-
C νὸς διὰ χειρὸς φέρειν, πρὸς τὸ μὴ πτοηθῆναί
ποτε πτόησιν ἐπελθοῦσαν, καὶ ὁρμὰς ἀσεβῶν
ἐπερχομένας. ἐλπίδι δὲ καὶ ὑπομονῇ ἀντὶ
βακτηρίας, εἴποτε τοῖς πειρασμοῖς κάμοι ὑ-
ποστηρίζεσθαι. τὸ δὲ τῆς λύπης κτῆμα καιρῷ
μετανοίας ἐπὶ ἁμαρτήμασιν, εἰ τύχοι ποτὲ
συμβὰν, παραχρείζεσθαι· ὡς δή ποτε χρή-
σιμον ὂν ἢ πρὸς τὴν τοιαύτην μόνην ὑπη-
ρεσίαν· ἡ δὲ δικαιοσύνη αὐτῷ κανὼν εὐθύτη-
τος ἔσται, τὸ ἐν παντὶ ἄπταιστον λόγῳ τε καὶ
ἔργῳ ὑφηγουμένη, ὅπως τε χρὴ τὰ ἐν τῇ ψυ-
D χῇ διακεῖσθαι, καὶ πῶς ἄν τις τὰ κατ' ἀ-
ξίαν ἑκάστῳ νέμοι. τὴν δὲ τοῦ πλείονος ἔφε-
σιν, ὃ πολύ τε καὶ ἀμέτρητον ἔγκειται τῇ ἑκά-
στου ψυχῇ, τῇ κατὰ Θεὸν ἐπιθυμίᾳ προσθεὶς,
μακάριος ἔσται τῆς πλεονεξίας, ἐκεῖ βιαζό-
μενος, ὅπου ἐπαινετὸν τὸ βιάζεσθαι. σοφίαν δὲ
καὶ φρόνησιν συμβούλους ἕξει τῶν συμφερόν-
των, καὶ συνδιοικούσας αὐτῷ τὴν ζωὴν, ὡς
μηδαμοῦ ὑπὸ ἀμαθίας ἢ ἀφροσύνης πα-
ραβλαβῆναι· εἰ δὲ μὴ κατὰ τὸ οἰκεῖον χρῷ-
το ταῖς εἰρημέναις δυνάμεσιν, ἀλλ' ὑπαλ-
λάξοι παρὰ τὸ δέον, τὴν μὲν ἐπιθυμίαν
προστιθεὶς τοῖς αἰσχίστοις· τὸ δὲ μῖσος ἐπὶ τοὺς

ὁμοφύλοις προσχλευαζόμενος· ἀγαπῶν δὲ τὴν ἀδικίαν, καὶ ἐπὶ τοὺς γονέας ἀνδριζόμενος, καὶ θαρρῶν τὰ ἄτοπα, καὶ ἐλπίζων τὰ μάταια, φρόνησιν δὲ καὶ σοφίαν ἀπελαύνων τῆς μετ' αὐτοῦ συνοικήσεως, λαιμαργίαν δὲ καὶ ἀφροσύνην προσεταιρίζοιτο· καὶ περὶ τῶν λοιπῶν ὡσαύτως ποιῶν, ἄτοπος ἂν εἴη τις καὶ ἀλλόκοτος, ὡς μηδ' ἂν εἰπεῖν ἀξίως τινὰ δυνηθῆναι τὴν ἀτοπίαν. καθάπερ γὰρ ἂν εἴ τις ἐναλλὰξ ὁπλιζόμενος, ἀναστρέφοι μὲν τὸ κράνος, ὥστε καλύπτειν τὸ πρόσωπον, καὶ ὀπίσω νενευκέναι τὸν λόφον· τοὺς δὲ πόδας ἔχοι ἐν θώρακι, καὶ τὰς κνημῖδας ἐφαρμόζοι τῷ στήθει, καὶ ὅσα τὰ τῆς ἀριστερᾶς ἐστὶ, τῇ δεξιᾷ μεταλαμβάνοι, τὴν δὲ τῆς δεξιᾶς ὅπλισιν τῇ εὐωνύμῳ προσείπτοι. ὅπερ οὖν παθεῖν εἰκὸς ἐν πολέμῳ τὸν τοιοῦτον ὁπλίτην, τοῦτο καὶ παρὰ τὸν βίον παθεῖν εἰκὸς τὸν συγκεχυμένον τὴν γνώμην, καὶ τὴν χρῆσιν τῶν δυνάμεων τῆς ψυχῆς ὑπαμείβοντα. οὐκοῦν προνοητέον ἡμῖν τῆς ἐν τούτοις εὐαρμοστίας, ἣν ἡ ἀληθὴς σωφροσύνη πέφυκεν ἐμποιεῖν ταῖς ἡμετέραις ψυχαῖς· καὶ εἰ χρὴ τὸν τελειότατον τῆς σωφροσύνης ὅρον ἐπισκοπῆσαι, τάχα τοῦτο σωφροσύνη κυρίως ἂν λέγοιτο, ἡ πάντων τῶν ψυχικῶν κινημάτων μετὰ σοφίας καὶ φρονήσεως εὔτακτος οἰκονομία. καὶ ἡ τοιαύτη κατάστασις τῆς ψυχῆς οὐκέτι πόνου τινὸς οὐδὲ πραγματείας πρὸς τὴν τῶν ὑψηλῶν τε καὶ οὐρανίων μετουσίαν δεήσεται, ἀλλ' ἐν πολλῇ ῥαστώνῃ τὸ τέως δυσέφικτον εἶναι δοκοῦν κατορθώσει, φυσικῶς τῇ ὑπεξαιρέσει τοῦ ἐναντίου τὸ ζητούμενον ἔχουσα. τόν τε γὰρ ἔξω τοῦ σκότους γενόμενον ἐν φωτὶ πάντως εἶναι ἀνάγκη· καὶ τὸν μὴ τεθνηκότα ζῆν. καὶ τοίνυν εἴ τις μὴ ἐπὶ ματαίῳ λάβοι τὴν ἑαυτοῦ ψυχὴν, ἐν τῇ ὁδῷ τῆς ἀληθείας πάντως ἔσται· ἡ γὰρ τοῦ μὴ παρατραπῆναι πρόνοιά τε καὶ ἐπιστήμη, ὁδηγία τίς ἐστιν ἀκριβὴς τῆς ἐπὶ τὴν εὐθείαν πορείας· καὶ ὥσπερ οἱ ἐλευθερωθέντες οἰκέται παυσάμενοι τοῦ τοῖς κρατοῦσιν ὑπηρετεῖν, ἐπειδὰν ἑαυτῶν γένωνται κύριοι, τρέπουσι πρὸς ἑαυτοὺς τὴν σπουδήν· οὕτως οἶμαι καὶ τὴν ψυχὴν ἐλευθερωθεῖσαν ἀπὸ τῆς σωματικῆς λατρείας, ἐν ἐπιγνώσει γενέσθαι τῆς οἰκείας ἑαυτῇ καὶ κατὰ φύσιν ἐνεργείας· ἡ δὲ ἐλευθερία ἐστὶ, καθὼς καὶ παρὰ τοῦ ἀποστόλου ἐμάθομεν, τὸ μὴ ζυ-

A cinos odium concipit, vel quia iniquitatem colit, vel quia ſe contra parentes acrem oſtendit, atque abſurda quæque audeat, inaniáque ſperat: hic certè cùm prudentiam & ſapientiam à contubernio ſuo repellat, ingluuiem quandam, atque intemperantiam ſibi ſocias adiungat: qui ſi in reliquis eodem modo facit, inſulſus vtique eſt, & monſtri ſimilis: ita vt eius abſurditas declarari pro dignitate non poſſit. Vt enim ſi quis perturbatè armatus galeam inuertat, vt & faciem tegat, & conum in poſteriorem partem inclinauerit, pedéſque in B thorace habeat, ocreas pectori accommodet, quæve à læua ad dexteram commutet, dexteræ verò partis ad armaturam lææ apponat: quod igitur veriſimile ſit in militia vt huic eueniat, qui ita præpoſterè eſt armis inſtructus, hoc ipſum conſentaneum eſt illi in vita accidere, qui mente ita perturbata eſt, vt animi virtutum vſum peruertat. Quin adhibenda eſt à nobis quædã diligens in his conueniẽtiæ decoríque ratio, quam in animis noſtris vera temperantia inſerere ſolet. Síque perfecta abſolutáque huius virtutis definitio conſideranda C eſt, fortaſſe quidem propriè dicitur omnium animi motuum bene conſtituta quædam, & cum ſapientia, prudentiáque coniuncta moderatio. Atque huiuſcemodi animi conſtitutio non vllo amplius labore, neque ſtudio ad rerum ſublimium cœleſtiúmque ſocietatem indigebit: ſed nullo ſanè negotio, rebus contrariis reiectis, cùm id, quod quæritur, naturaliter teneat, perficiet id, quod aſſequi difficile videtur: qui enim extra tenebras longè poſitus eſt, eum & in luce omnino verſari, & qui mortuus non eſt, illum viuere neceſſe eſt. Et profectò, niſi quis animam ſuam in vano D acceperit, in veritatis via planè erit: quoniam prudentia, ac ſcientia, quam quis adhibet, ne à via declinet, dux ſanè aliquis diligens eſt recti itineris, vt enim ſerui, iam ſeruituti liberati, cùm operam iis nauare deſierint, quorum poteſtate tenebantur, poſtquam ſui iuris ſunt omne ſtudium, atque operam in ſe ipſi conuertunt: ſic animum ſeruili corporis obſequio liberatum in illius verſari arbitror actionis cognitione, quæ ſibi propria eſt, ac naturalis. Siquidem libertas, vt ab Apoſtolo didicimus, in eo eſt, vt ne quis

A ruſus ſeruitutis iugo illigetur, neque tanquam ſeruus fugitiuus, aut veterator factus, nuptiarum compedibus vinctus ſit. Sed ad ipſum initium hæc mea redit oratio. Quoniam non in eo ſolum perfecta eſt libertas, vt à nuptiis abſtineatur, ne quis ita exiguum & vile putet hoc virginitatis officium, tanquam paruo carnis ſolum reprimendæ præcepto ſe perfectè agere arbitretur: ſed quoniam quiſquis peccatum facit, ſeruus eſt peccati; illa in omni re ſtudióque praua ad vitium propenſio hominem quodam modo ſeruituti ſubijcit, vitiíque notam ei inurit, cùm cicatrices atque inuſtiones peccati plagis illi obducat. Quare qui ſummum hoc virginale inſtitutum aſſequi vult, eum & omnibus in rebus ſui ſimilem eſſe, & puram in omni vita integritatem caſtitatémque præ ſe ferre oportet. Atque ſi ex vllis, quæ à diuino ſpiritu ſunt, litteris huic orationi patrocinium quærere oportet, ad veritatis confirmationem per ſe ſatis eſt veritas ipſa, quæ in Euangelio aliquid huiuſmodi ex parabola quadam nobis præcipit. Optimos atque eſui aptos piſces à malis ac venenatis ars piſcandi ſecernit, vt ne, cum peſtiferi ex illis aliqui in vaſculum irrepſerint, optimorum piſcium vſus inutilis fiat. Hoc item veræ temperantiæ munus eſt, ex omnibus ſtudiis, quod purum vtiléve eſt, id in omni re deligere: quod verò obſcurum eſt an expediat, hoc tanquam inutile reijcere, illúdque communi & mundanæ vitæ relinquere, quæ mare quoddam eſt parabolarum modo appellata, quandoquidem pſalmiſtes etiam Pſalmo quodam nobis confeſſionis doctrinam cum exponat, caducam hanc, & affectionibus expoſitam, turbulentámque vitam, aquas animam attingentes, & profundum maris, & procellas appellat: in qua ſanè vita omnis peruerſa mens ad Ægyptiorum ſimilitudinem, quaſi lapis aliquis demergitur. Quod verò eſt Deo gratum, & ad veritatem perſpiciendam vim habet: quod Iſraëlis nomine eſt ab hiſtoria appellatum: hoc ſolum, quaſi exſiccatis aquis, mare tranſit, cùm nullam rerum humanarum acerbitatem, quaſi ſalſuginem, lege duce attingat: adumbratio enim legis Moſes erat. Atque populus quidem, Iſraëliticus mare

Ioan. 8.

Pſal. 68.

Exod. 14.

A γῷ δουλείας ἐνέχηται, μηδὲ καθάπερ δραπέτην ἢ κακόδουλον γενόμενον, πεδηθῆναι τοῖς τοῦ γάμου δεσμοῖς. ἀλλά μοι πάλιν ὁ λόγος ἐπὶ τὴν αὐτὴν ἀρχὴν ἀνατρέχει, ὅτι οὐκ ἐν τούτῳ μόνῳ τὸ τέλειον τῆς ἐλευθερίας ἐστίν, ἐν τῷ ἀποστῆναι τοῦ γάμου, μή τις οὕτω μικρόν τι καὶ εὔωνον τὸ τῆς παρθενίας οἰέσθω, ὥστε ἐν ὀλίγῳ παρατηρήματι σαρκὸς κατορθοῦν νομίζειν τὸ τοσοῦτον πρᾶγμα. ἀλλ' ἐπειδὴ πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν, δοῦλος τῆς ἁμαρτίας ἐστίν, ἡ ἐν παντὶ πράγματι καὶ ἐπιτηδεύματι πρὸς κακίαν παρατροπή, δουλοῦταί πως τὸν ἄνθρωπον καὶ στιγματίαν ποιεῖ, μώλωπας αὐτῷ καὶ ἐγκαύματα διὰ τῶν τῆς ἁμαρτίας πληγῶν ἐμποιοῦσα· ὥστε τὸν τοῦ μεγάλου σκοποῦ τοῦ κατὰ τὴν παρθενίαν ἀψάμενον, ἐν πᾶσι προσήκειν ἑαυτῷ εἶναι ὅμοιον, καὶ πάσῃ τῇ ζωῇ συνεμφαίνειν τὴν καθαρότητα. εἰ δὲ χρὴ καὶ διά τινος τῶν θεοπνεύστων συνηγορῆσαι τῷ λόγῳ, ἀρκεῖ πρὸς τὴν τῆς ἀληθείας βεβαίωσιν αὐτὴ ἡ ἀλήθεια, διὰ παραβολῆς καὶ αἰνίγματος ἐν τῷ εὐαγγελίῳ τὸ τοιοῦτον ἡμῖν δογματίσασα· τοὺς γὰρ χρηστοὺς καὶ ἐδωδίμους τῶν ἰχθύων ἀπὸ τῶν πονηρῶν τε καὶ δηλητηρίων ἡ ἁλιευτικὴ τέχνη ἀποχωρίζει, ὡς ἂν μή τινος τῶν ἐναντίων συνεισπεσόντος τοῖς ἀγγείοις, καὶ ἡ τῶν χρησίμων ἀπόλαυσις ἀχρειωθείη. τοῦτο καὶ τῆς ἀληθινῆς σωφροσύνης ἔργον ἐστὶ τό, ἐκ πάντων τῶν ἐπιτηδευμάτων τὸ καθαρόν τε καὶ ὠφέλιμον ἐκλεγομένην, ἐν παντὶ τὸ ἀπεμφαῖνον ἀποποιεῖσθαι ὡς ἄχρηστον, καὶ ἐναφιέναι τοῦτο τῷ κοινῷ καὶ κοσμικῷ βίῳ, θαλάσσῃ τροπικῶς ὑπὸ τῆς παραβολῆς ὠνομασμένῳ· ἐπεὶ καὶ ὁ ψαλμῳδὸς διδασκαλίαν ἐξομολογήσεως ἔν τινι τῶν ψαλμῶν ἡμῖν ὑφηγούμενος, τὸν ἄστατον τοῦτον καὶ ἐμπαθῆ καὶ ταραχώδη βίον, ὕδατα ψυχῆς ἁπτόμενα, καὶ βάθη θαλάσσης, καὶ καταιγίδα καλεῖ· ἐν ᾗ πᾶσα μὲν ἀποστατικὴ διάνοια καθ' ὁμοιότητα τῶν Αἰγυπτίων ὡς λίθος εἰς τὸν βυθὸν καταδύεται. ὅσον δὲ Θεῷ φίλον καὶ διορατικὸν τῆς ἀληθείας ἐστίν, ὅπερ Ἰσραὴλ παρὰ τῆς ἱστορίας ὠνόμασται, τοῦτο μόνον ὡς ξηρὰν αὐτὴν διεξέρχεται, οὐδαμοῦ τῆς πικρίας καὶ τῆς ἅλμης τῶν βιωτικῶν κυμάτων συνεφαπτόμενον· οὕτω τυπικῶς ὑπὸ καθηγεμόνι τῷ νόμῳ· τύπος δὲ ἦν ὁ Μωσῆς τοῦ νόμου· καὶ ὁ Ἰσραὴλ τὴν θάλασσαν

διεπέρασεν ἄβροχος, καὶ τούτῳ συνδιαβαίνων ὁ Αἰγύπτιος ὑποβρύχιος ἦν, ἑκάτερος ὑπὸ τῆς συμπαρούσης αὐτῷ διαθέσεως, ὁ μὲν κούφως διεξιών, ὁ δὲ εἰς βυθὸν καθελκόμενος· κοῦφον μὲν γάρ τι καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή. πάντες γὰρ οἱ κατ' αὐτὴν ζῶντες ὡς νεφέλαι πέτονται, κατὰ τὸν Ἡσαΐαν, καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς· βαρὺ δὲ ἡ ἁμαρτία, καθώς φησί τις τῶν προφητῶν, ἐπὶ τάλαντον μολίβδου καθεζομένη. εἰ δέ τινι βεβιασμένη καὶ ἀπροσκόλλητος ἡ τοιαύτη τῆς ἱστορίας ἐκδοχὴ φαίνεται, καὶ οὐ δέχεται πρὸς ὠφέλειαν ἡμῶν τὴν διὰ τῆς θαλάσσης θαυματοποιΐαν ἀναγεγράφθαι, ἀκουσάτω τοῦ ἀποστόλου, ὅτι ἐκείνοις συνέβαινε μὲν τυπικῶς· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν.

A exſiccatis aquis tranſiuit: Ægyptij verò cum illud ipſum tranſirent, omnes ſummerſi ſunt. horum vterque populus, ſua quiſque affectione ducebatur. Hic quidem facilè & celeriter mare tranſmittit: ille aquis imis demergitur: celer enim, atque expedita aliqua res quæ in ſublime fertur, virtus eſt, quandoquidem omnes, qui virtuti congruenter viuunt, quaſi nebulæ volant, iuxta Eſaiam, & quaſi columbæ cum pullis: peccatum vero graue eſt, & vt vnus ex Prophetis ait, plumbi talento inſidet. Sed ſi cuipiam difficilis hæc hiſtoriæ explicatio, & quaſi vi quadam ad id ſententia adducta videtur, neque quod in B maris illa tranſmiſſione factum eſt miraculum, id ad vtilitatem noſtram litteris conſignatum eſſe putat, Apoſtolum hic in conſilium adhibeat: Quod enim illis euenit, & adumbrationem noſtræ diſciplinæ habuit, & ad noſtram inſtitutionem conſcriptum eſt. Rom. 15.

Μνήμη Μαρίας τῆς ἀδελφῆς Ἀαρὼν ὡς ἀρξαμένης τούτου τοῦ κατορθώματος.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

C

ΗΜΙΝ δὲ δίδωσι τὰ τοιαῦτα ὑπονοεῖν καὶ ἡ προφῆτις Μαριάμ, εὐθέως μετὰ τὴν θάλασσαν ξηρόν τε καὶ ἄνικμον μεταχειριζομένη τὸ τύμπανον, καὶ τοῦ χοροῦ τῶν γυναικῶν προπομπεύουσα· τάχα γὰρ διὰ τοῦ τυμπάνου τὴν παρθενίαν ἔοικεν ὁ λόγος αἰνίττεσθαι ὑπὸ τῆς Μαρίας προφήτης κατορθωθεῖσαν, δι' ἧς οἶμαι καὶ τὴν θεοτόκον προδιατυποῦσθαι Μαρίαν· ὥσπερ γὰρ τὸ τύμπανον πολὺν τὸν ἦχον ἀφίησι πάσης ἰκμάδος κεχωρισμένον, καὶ ξηρὸν D εἰς ἄκρον γενόμενον· οὕτω καὶ ἡ παρθενία λαμπρά τε καὶ περιβόητος γίνεται, μηδὲν ἐν ἑαυτῇ τῆς ζωτικῆς ἰκμάδος κατὰ τὸν βίον τοῦτον προσδεχομένη. εἰ οὖν νεκρὸν μὲν σῶμα τὸ τύμπανον, ὅπερ ἡ Μαρία μετεχειρίζετο· νέκρωσις δὲ σώματος ἡ παρθενία ἐστί, τάχα οὐ πολὺ τοῦ εἰκότος τό, παρθένον εἶναι τὴν προφῆτιν ἀπεσχοίνισται· ἀλλὰ ταῦτα μὲν στοχασμοῖς τισὶ καὶ ὑπονοίαις, οὐκ ἐκ φανερᾶς ἀποδείξεως οὕτως ἔχειν ὑπενοήσαμεν, τό, τὴν προφῆτιν Μαρίαν τοῦ χοροῦ τῶν παρθένων ἡγήσασθαι· εἰ καὶ πολλοὶ τῶν ἐπεσκεμμένων ἀγα-

---

Mentio Mariæ Aaronis ſororis, quaſi eius, quæ huius perfecti officij rationem inierit.

CAPVT XIX.

NOBIS verò vt hæc ipſa commentaremur, occaſionem dedit prophetiſſa Maria, quæ exſiccato mari trãſmiſſóque, mulierum choro ſtipata cùm eſſet, canoro tympano præcinit: fortaſſe enim illa hiſtoriæ commemoratio tympano tacite ſignificare videtur virginitatem, quæ primum à Maria exculta eſt, per quam crediderim Dei genitricem Mariam præſignatam. Nam tympanum omni aquæ humore purgatum, aridúmque, magnum ſonum emittit: ita virginitas cùm nullum huius vitæ humorem in ſe colligat, clara & illuſtris exiſtit. Si itaque mortuum quidem corpus illud tympanum fuit, quod manibus Maria tractabat: corporíſque affectuum interitus quidem virginitas eſt, fortaſſe ſignum hoc nõ valde remotum eſt, prophetiam hanc virginem eſſe. Sed hæc nos quidẽ coniecturis quibuſdam, & opinionibus, non certa demonſtratione ita eſſe putauimus, Prophetiſſam Mariam virginum cœtum præfuiſſe, licet viri docti multi eam cœlibem fuiſ-

Exod. 15.

ſe apertè pronuntiarint, quoniam in nullis hiſtoriarum monumentis de eius matrimonio, aut liberorum procreatione memoriæ proditum eſt: alioqui non à fratre eius Aarone, ſed à viro ſi habuiſſet, nominata eſſet: quia non frater, ſed vir vxoris caput nominatur. At verò ſi à quibus in benedictionis parte liberorum procreatio expetebatur, iis etiam legitima fuit, & honeſta virginitatis gratia: quomodo nos, qui ſecundum carnem diuinas benedictiones non exaudiuimus, erga illam affectos eſſe decet? Diuinis enim ſermonibus apertum, & patefactum eſt, quando & concipere & parere ſalutare ſit, quódve multæ prolis genus à ſanctiſſimis Dei viris expeteretur. Nam & propheta Eſaias, & diuinus Apoſtolus hæc ipſa apertè ſapientérque ſignificarunt: vnus quidem his verbis: A timore tuo Domine in vtero accepimus,
Eſa. 26. & parturiuimus, & peperimus. alter vero de ſobole omnium numeroſiſſima ſe iactans, vt & ciuitates integras & nationes pepererit: cùm non Corinthios ſolum, Galatáſque ſuis laboribus ad lucem adduxerit, & ad Dei religionem informauerit, ſed ab Hieroſolyma vndique illas omnes continentis regiones vſque in Illyricum ſuis liberis expleuerit, quos Euangelij virtute Domino genuit. Ita beatus in Euangelio præ-
Luc. 11. dicatur ſanctæ virginis venter, qui immaculato partui miniſtrauit: quia neque partus virginitatem diſſoluit, neque virginitas huic partui impedimento fuit. Cùm enim ſpiritus ſalutis naſcitur, vt inquit Eſaias, inutiles omnino ſunt carnis voluntates, atque in hanc ſententiam eſt aliquis apud Apoſtolum ſermo. Noſtrum quiſque duplex homo eſt, vnus quidem qui extrinſecus defi-
2. Cor. 4. nitur, cui à natura eſt datum vt corrumpatur, alter verò qui ex occulto cordis intelligitur, qui renouationem capit. Si igitur verus ſermo, (is autem verus eſt propter veritatem quæ in eo loquitur:) minimè abſurdū eſt, duplex in vtroque, qui in nobis eſt, homine putare matrimonium mutuum, & conueniens eſſe: fortaſſéque qui dicere audebit, corporis virginitatem ſpiritalis atque interioris matrimonij adiutricem atque hoſpitem eſſe, is à recto non aberrabit.

A μον αὐτὴν σαφῶς ἀποφαίνεσθαι, ἐκ τοῦ μηδαμοῦ τῆς ἱστορίας γάμον καὶ παιδοποιίαν αὐτῆς μνημονεῦσαι. ἦ γὰρ ἂν οὐκ ἐκ τοῦ ἀδελφοῦ αὐτῆς Ἀαρὼν, ἀλλ' ἐκ τοῦ ἀνδρὸς, εἴπερ ἦν, ὠνομάζετό τε καὶ ἐγνωρίζετο· ἐπειδὴ κεφαλὴ γυναικὸς οὐχ ὁ ἀδελφὸς, ἀλλ' ὁ ἀνὴρ προσηγόρευται· καὶ τοῖς παρ' οἷς ἐν εὐλογίας μέρει τὸ παιδοποιεῖν ἐσπουδάζετο καὶ νόμιμον ἦν, εἰ φαίνεται τίμιον τὸ τῆς παρθενίας χάρισμα, πῶς ἡμᾶς προσήκει ἢ περὶ ταύτην ἔχειν, τοὺς μὴ κατὰ σάρκα τὴν θείαν εὐλογίαν ἐξακούοντας; ἀ-
B πεκαλύφθη γὰρ διὰ τῶν θείων λογίων, πότε τὸ κυοφορεῖν τε καὶ τίκτειν ἀγαθόν ἐστι, καὶ ποῖον εἶδος τῆς πολυτεκνίας παρὰ τοῖς ἁγίοις τοῦ Θεοῦ ἐσπουδάζετο· ὅ τε γὰρ προφήτης Ἠσαΐας, καὶ ὁ θεῖος ἀπόστολος ἐναργῶς ταῦτα καὶ σαφῶς διεσήμηναν· ὁ μὲν λέγων· ἀπὸ τοῦ φόβου σου κύριε ἐν γαστρὶ ἐλάβομεν. ὁ δὲ καυχώμενος ἐπὶ τῷ πάντων γενέσθαι πολυγονώτατος, ὡς πόλεις ὅλας καὶ ἔθνη κυοφορῆσαι· οὐ μόνον Κορινθίους καὶ Γαλάτας διὰ τῶν οἰκείων ὠδίνων εἰς φῶς ἀγαγὼν, καὶ ἐν κυρίῳ μορφώσας, ἀλλὰ
C καὶ ἀπὸ Ἱερουσαλὴμ κύκλῳ, καὶ μέχρι τοῦ Ἰλλυρικοῦ καταπληρώσας τῶν ἰδίων τέκνων τὴν οἰκουμένην, ἅπερ ἐν Χριστῷ διὰ τοῦ εὐαγγελίου ἐγέννησε. οὕτω μακαρίζεται καὶ ἐν τῷ εὐαγγελίῳ ἡ τῆς ἁγίας παρθένου κοιλία, ἡ τῷ ἀχράντῳ τόκῳ ὑπηρετήσασα· ὡς οὔτε τοῦ τόκου τὴν παρθενίαν λύσαντος, οὔτε τῆς παρθενίας τῇ τοιαύτῃ κυοφορίᾳ ἐμποδὼν γινομένης. ὅπου γὰρ πνεῦμα σωτηρίας γεννᾶται, καθώς Ἠσαΐας φησὶ, ἄχρηστα πάντως τῆς σαρκὸς θελήματα. ἔστι δέ τις καὶ παρὰ τῷ ἀποστόλῳ τοιοῦτος λόγος, ὡς ἄρα διπλοῦς ἡμῶν ἐστιν ὁ καθ'
D ἕκαστον ἄνθρωπος· ὁ μὲν ὁρώμενος ἔξωθεν, ᾧ τὸ διαφθείρεσθαι κατὰ φύσιν ἐστίν· ὁ δὲ κατὰ τὸ κρυπτὸν τῆς καρδίας νοούμενος, ὃς ἐπιδέχεται τὸ ἀνακαινοῦσθαι. εἰ οὖν ἀληθὴς ὁ λόγος· πάντως δέ ἐστιν ἀληθὴς διὰ τὴν ἐν αὐτῷ λαλοῦσαν ἀλήθειαν, οὐδὲν ἀπεικὸς, καὶ γάμον διπλοῦν ἐννοεῖν, ἑκατέρῳ τῶν ἐν ἡμῖν ἀνθρώπων πρόσφορόν τε καὶ κατάλληλον· καὶ τάχα ὁ τολμήσας εἰπεῖν τὴν σωματικὴν παρθενίαν τοῦ ἔνδοθεν καὶ πνευματικοῦ γάμου συνεργόν τε καὶ πρόξενον γενέσθαι, οὐ πόρρω τοῦ εἰκότος ἀποτολμήσει.

A

Ὅτι ἀδύνατον ὁμοῦ ταῖς σωματικαῖς ὑπηρετεῖν ἡδοναῖς, καὶ τὴν κατὰ Θεὸν σωφροσύνην καρποῦσθαι.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ὡς γὰρ οὐκ ἔστι κατὰ ταυτὸν δύο τισὶ τέχναις ἐνυπηρετεῖν διὰ τῆς τῶν χειρῶν ἐνεργείας· οἷον γεωργοῦντά τε καὶ ναυτιλλόμενον, ἢ χαλκεύοντά τι καὶ τεκταινόμενον· ἀλλ' εἰ μέλλει μιᾶς ἐγκρατῶς ἀντιλήψεσθαι, τῆς ἑτέρας ἀφεκτέον αὐτῷ· οὕτως ἡμῖν καὶ δύο προκειμένων γάμων, τοῦ μὲν διὰ σαρκὸς ἐπιτελουμένου, τοῦ δὲ διὰ πνεύματος· ἡ περὶ τὸν ἕνα σπουδὴ τὸν τοῦ ἑτέρου χωρισμὸν ἀναγκαῖον ποιεῖ· οὔτε γὰρ δύο κατὰ ταυτὸν ὀφθαλμὸς ἰδεῖν ἱκανός ἐστιν, εἰ μὴ ἀνὰ μέρος καὶ ἰδίᾳ ἑκατέρῳ τὸν ὀφθαλμὸν ἐναπερείσειεν· οὔτε ἡ γλῶσσα διαφόροις ὑπηρετήσει φωναῖς, Ἑβραίων τε ῥήματα καὶ Ἑλλήνων ἐν ταὐτῷ φθεγγομένη· οὔτε ἡ ἀκοὴ διηγήσεώς τε πραγμάτων καὶ διδακτικῶν λόγων κατὰ ταυτὸν ἀκροάσεται· ἡ γὰρ διαφορὰ τῆς φωνῆς, εἰ μὲν ἀνὰ μέρος ἀκούοιτο, ἐνσημαίνεται τοῖς ἀκροωμένοις τὴν ἔννοιαν. εἰ δὲ κατὰ ταυτὸν μιχθεῖσα περιηχοίη τὴν ἀκοήν, σύγχυσίς τις ἀδιάκριτος τὴν διάνοιαν λήψεται, τῶν σημαινομένων ἐν ἀλλήλοις συγχεομένων· κατὰ τὸν αὐτὸν λόγον καὶ τὸ ἐπιθυμητικὸν ἡμῶν φύσιν οὐκ ἔχει ὁμοῦ ταῖς σωματικαῖς ἐξυπηρετεῖν ἡδοναῖς, καὶ τὸν πνευματικὸν μετιέναι γάμον. οὐδὲ γὰρ διὰ τῶν ὁμοίων ἐπιτηδευμάτων δυνατόν ἐστιν ἑκατέρου τῶν σκοπῶν λαβέσθαι· τῆς μὲν γὰρ ἐγκράτεια, καὶ σώματος νέκρωσις, καὶ τῶν κατὰ σάρκα πάντων ὑπεροψία πρόξενοι γίνονται· τῆς δὲ σωματικῆς συναφείας πάντα τὰ ἐναντία. οὐκοῦν ὥσπερ δύο κυρίων ἐν αἱρέσει προκειμένων, ἐπειδὴ κατὰ ταυτὸν οὐκ ἔστιν ἀμφοτέρων γενέσθαι ὑπήκοον· οὐδεὶς γὰρ δύναται δυσὶ κυρίοις δουλεύειν· τὸν ὠφελιμώτερον ὁ εὖ φρονῶν ἐπιλέξεται· οὕτως ἡμῖν καὶ δύο προκειμένων γάμων, ἐπειδὴ οὐκ ἔστιν ἐν ἀμφοτέροις εἶναι· ὁ γὰρ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου·

Fieri non poteſt, vt corporis voluptatibus ſimul quis ſeruiat, & temperantiam, quæ Deo grata ſit, aſſequatur.

CAPVT XX.

QVEMADMODVM non poſſumus
manuum munere actionéque duas
ſimul artes exercere, veluti & agricul-
turæ & nauigationi ſimul operam dare,
B ferrariámque ſimul & lignariam facere:
ſed ſi quis vni rectè ſeſe daturus eſt, al-
teram deſerat neceſſe eſt. Ita cum binæ
nobis propoſitæ ſint nuptiæ, quarum
vnæ carnis opere conficiuntur, alteræ
verò in ſpiritu conſiſtunt: ſtudiũ, quod
in vnis ponitur, ab alteris nos neceſſariò
ſeparat. Neque enim oculus ſatis eſt,
qui res duas ſimul videat, niſi ſeparatim
ac per ſe in earum rerum alteram, quæ
cerni poſſunt, ſe conijciat: neque lingua
diuerſarum vocum ſonis ſimul ſeruiet,
vt Hebræas & Græcas voces eodem
tempore ſimul exprimat: nec aurium
C item ſenſus & rerum explicationem, &
verborum, quæ ad docendum appoſita
ſunt, orationem vna percipiet: diſſi-
milis enim ſermo eſt, qui ſi ſeparatim
auditur, ſententiam auditori imprimit:
ſi verò confuſè exprimitur, aurium ſen-
ſum perturbat, atque iis, quæ ſignifi-
cantur, confuſè prolatis, quædam non
diſtincta confuſio mentem occupabit.
Pari ratione appetitio noſtra naturam
non habet, vt corporeis ſimul volupta-
tibus ſeruiat, & ſpirituales nuptias am-
biat: neq. enim ſimilibus ſtudiis vtriuſ-
que rei propoſitum aſſequi licet: vnius
enim ratione & continentia, & corporis
D affectuum interitus, & eorum omnium,
quæ è carne exiſtunt, deſpicientia no-
bis conciliantur: è corporea autem coi-
tione omnia his contraria apparent.
Veluti igitur cum de duobus dominis
ad deliberandum propoſitum eſt, quo-
niam fieri non poteſt, vt vtriúſque im-
perio quis ſimul pareat: nemo enim po-
teſt duobus dominis ſeruire: is, qui rectè
ſapit, vtiliorem ex his dominum deli-
get: ita ſi binæ propoſitæ ſunt nuptiæ,
quia in vtríſque eſſe non licet: cælebs
enim, quæ diuina ſunt, curat: qui verò
nuptiis iunctus eſt, in rebus mundanis

ſtudium ponit: temperantium hominum eſt, non aberrare in eo deligendo, quod vtile eſt: neque viam ignorare quæ ad bonum ducit: quam quidem viam nemo aliter, niſi aliquo eiuſmodi exemplo cognoſcere poteſt. Vt enim qui in corporeis nuptiis cupit non vilis, & abiectus eſſe, cum appetat optimum corporis habitum, decorum ornatum, diuitiarũ copias, & omnem aut ex vita, aut ex genere turpitudinem vitet, magnámque in hoc curam ponat: hoc enim pacto id aſſequitur, quod maximè vult: ita qui ſpirituale matrimonium contrahere cupit, primũ quidem mentis renouatione iuuenem ſe & ab omni ſenectute remotum, deinde diuitem ſe oſtendet, & copioſum earum rerum, quibus abundare maximè beatum eſt, non his terrenis opibus extolli, ſed cœleſtibus theſauris ornari. Generis verò nobilitatem non ex fortuna quadam, quæ caſu aduenit, qualis pleriſque vel peſſimis hominibus contingit, ille ſe habere contendet, ſed eam, quæ & labore, & ſtudio ex ſuis rectè factis comparatur, hanc ij ſoli oſtentant, qui ſunt lucis, & Dei filij, & à ſolis ortu nobiles ob ſplendidas ſuas res geſtas vocantur. Fortitudinem autem, atque optimum corporis habitum, neque corpus exercendo, neque carnem ſaginãdo efficiet: ſed contra potius vim ſpiritus imbecillitate corporis perficiat. Quæ verò harum nuptiarum ſponſalia munera adhibentur, non ea ſunt, quæ his fallacibus hominum ſunt pecuniis elaborata, ſed quæ ex animi diuitiis dono data ſunt. ſi munerum horum nomina audire cupis, audi Paulum optimum nuptiarum inſtructorem de quibuſdam, qui diuites in omnib. facti ſunt, in quibus cum alia multa & magna dicat, illud etiam, In caſtitate, addit. Ruſúſque quæcumque alibi in ſpiritualibus fructibus numerantur, omnia harum nuptiarum dona ſunt. Ac ſi quis Salomoni fidem adhibiturus eſt, vt & contubernalem ſibi, & vitæ ſociam veram ſapientiam adiungat, de qua is ait: Dilige eam, & cuſtodiet te, honora eam vt complectatur te: hic pro huius cupiditatis dignitate ſtola pura ornatur, cum iis, qui nuptiis his gaudent diem feſtum agendo, vt ne foras eijciatur: qui enim feſti diei celebritatis participem ſe eſſe dignum putat, nuptialem veſtem

Prou. 4.

A σωφρονούντων δὲ φημὶ μὴ διαμαρτεῖν τῆς ἐκλογῆς τοῦ συμφέροντος· ἀλλὰ μήτε τὴν ἐπὶ τοῦτον ἄγουσαν ὁδὸν ἀγνοῆσαι, ἣν οὐκ ἔστιν ἄλλως ἢ διά τινος ἀναλογίας μαθεῖν. ὡς γὰρ ἐν τῷ σωματικῷ γάμῳ ὁ μὴ ἀπόβλητος γενέσθαι σπουδάζων, καὶ τῆς τοῦ σώματος εὐεξίας, καὶ τοῦ πρέποντος καλλωπισμοῦ, καὶ πλούτου περιουσίας, καὶ τοῦ, μηδὲν μήτε ἐκ τοῦ βίου, μήτε ἐκ τοῦ γένους ἐπάγεσθαί τι ὄνειδος, πολλὴν ποιήσεται πρόνοιαν. οὕτω γὰρ ἂν τύχοι μάλιστα τῆς κατὰ γνώμην· τὸν αὐτὸν τρόπον καὶ ὁ τὸν πνευ-
B ματικὸν γάμον ἑαυτῷ μνηστεύων, πρῶτον μὲν νέον ἑαυτὸν καὶ πάσης παλαιότητος κεχωρισμένον τῇ ἀνακαινίσει τοῦ νοὸς ἐπιδείξει· εἶτα πλούσιον γένος, ᾧ τὸ πλουτεῖν ἐστι περισπούδαστον· οὐ τοῖς ἀπὸ γῆς σεμνυνόμενον χρήμασιν, ἀλλὰ τοῖς οὐρανίοις θησαυροῖς κομῶντα· γένους δὲ σεμνότητα οὐ κατὰ τὴν αὐτόματον συντυχίαν πολλοῖς καὶ τῶν φαύλων προσοῦσαν κἀκεῖνος ἔχειν φιλοτιμήσεται, ἀλλὰ τὴν πόνῳ καὶ σπουδῇ δι' οἰκείων κατορθωμάτων περιγινομένην, ἣν μόνοι αὐχοῦσιν οἱ τοῦ φωτὸς υἱοί, καὶ τέκνα Θεοῦ,
C καὶ τῶν ἀφ' ἡλίου ἀνατολῶν εὐγενεῖς διὰ τῶν ἔργων τῶν φωτεινῶν χρηματίζοντες· ἰσχὺν δὲ καὶ εὐεξίαν, οὐ σῶμα ἀσκῶν, οὐδὲ καταπιαίνων τὴν σάρκα περιποιήσεται, ἀλλὰ πᾶν τοὐναντίον, ἐν τῇ τοῦ σώματος ἀσθενείᾳ τελειῶν τὴν τοῦ πνεύματος δύναμιν. οἶδα δὲ καὶ τὰ ἕδνα τοῦ γάμου τούτου οὐκ ἀπὸ φθαρτῶν χρημάτων πεποιημένα, ἀλλ' ἐκ τοῦ ἰδίου πλούτου τῆς ψυχῆς δωροφορούμενα. βούλει μαθεῖν τὰ τῶν δώρων ὀνόματα; ἄκουσον Παύλου τοῦ καλοῦ
D νυμφοστόλου ἐν τίσι πλουτοῦσιν οἱ ἐν παντὶ συνιστῶντες ἑαυτούς· ἐν οἷς ἄλλα τε πολλὰ καὶ μεγάλα εἰπών, καὶ ἐν ἁγνότητι φησί· καὶ πάλιν ὅσα ἑτέρωθεν ἐν τοῖς τοῦ πνεύματος καρποῖς ἀπαριθμεῖται, πάντα τοῦ γάμου τούτου δῶρά ἐστι· καὶ εἴ τις μέλλει πείθεσθαι τῷ Σολομῶντι, καὶ τὴν ἀληθινὴν σοφίαν σύνοικόν τε καὶ βίου κοινωνὸν ἑαυτῷ λαμβάνειν, περὶ ἧς φησίν· ὅτι ἐράσθητι αὐτῆς καὶ τηρήσει σε· τίμησον αὐτήν, ἵνα σε περιλάβῃ, ἐπαξίως τῆς ἐπιθυμίας ταύτης παρασκευάσεται ἐν καθαρᾷ τῇ στολῇ τοῖς ἐν τῷ γάμῳ συνευφραινομένοις συνεορτάζειν· ἵνα μὴ ἀπόβλητος γένηται, τῆς μὲν ἑορτῆς συμμετέχειν ἀξιῶν, τὸ δὲ ἔνδυμα τοῦ γάμου μὴ περικεί-

περικείμενος. δῆλον δὲ ὅτι κοινὸς ὁ λόγος ἐστὶν ἐπί τε ἀνδρῶν καὶ γυναικῶν ὁμοίως εἰς τὴν περὶ τὸν τοιοῦτον γάμον σπουδήν· ἐπεὶ γὰρ καθώς φησιν ὁ ἀπόστολος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντα δὲ καὶ ἐν πᾶσι Χριστὸς, εἰκότως ὁ τῆς σοφίας ἐραστὴς τὸν ἔνθεον ἔχει τῆς ἐπιθυμίας σκοπὸν, ὅς ἐστιν ἡ ἀληθὴς σοφία, καὶ ἡ τῷ ἀφθάρτῳ νυμφίῳ προσκολληθεῖσα ψυχὴ, τῆς ἀληθινῆς σοφίας ἔχει τὸν ἔρωτα, ἥτις ἐστὶν ὁ Θεός. ἀλλὰ τί μὲν ὁ πνευματικὸς γάμος ἐστὶν, καὶ πρὸς τίνα βλέπει σκοπὸν ὁ καθαρός τε καὶ οὐράνιος ἔρως, μετρίως ἡμῖν ἐκ τῶν εἰρημένων ἀνακεκάλυπται.

A non induit. Perſpicuum verò eſt & in viris & in feminis communem ad huiuſmodi nuptiarum ſtudium eſſe rationem: quia vt eſt apud Apoſtolum, nō eſt maſculus, neque fœmina, ſed omnes & in omnibus Chriſtus, meritò qui ſapientiæ amore ducitur, hic in omni cupiditate propoſitum ſibi diuinum ſcopum habet, qui vera ſapientia eſt, atque animus is qui cum incorrupto ſponſo ſeſe iungit, veræ ſapientiæ, quæ Deus eſt, amore tenetur. Quid ſit autem ſpirituale matrimonium: quóve purus cœleſtiſque amor ſpectet, ex iis ſanè quæ commemorauimus, ſatis eſt à nobis demonſtratum. Galat. 3.

B

Ὅτι χρὴ τὸν ἀκριβῶς ζῆν προελόμενον πρὸς πᾶν εἶδος σωματικῆς ἡδονῆς ἀλλοτρίως ἔχειν.

Qui accuratam hanc viuendi rationem tenere inſtituit, ab omni corporis voluptatum genere ſe abdicare debet.

ΚΕΦΑΛΑΙΟΝ ΚΑʹ.

Ἐπειδὴ δὲ τῇ καθαρότητι τοῦ Θεοῦ προσεγγίσαι μὴ αὐτόν τινα πρότερον τοιοῦτον γενόμενον ἀδύνατον κατεφάνη, ἀναγκαῖον ἂν εἴη μεγάλῳ τινὶ καὶ ἰσχυρῷ διατειχίσματι πρὸς τὰς ἡδονὰς ἑαυτὸν διαστῆσαι· ὡς ἂν μηδαμοῦ τῷ προσπελασμῷ τούτῳ τὸ καθαρὸν τῆς καρδίας ἐπιμολύνοιτο. τεῖχος δέ ἐστιν ἀσφαλὲς ἡ τελεία πρὸς πᾶν τὸ ἐμπαθῶς ἐπιτελούμενον ἀλλοτρίωσις· μία γὰρ οὖσα τῷ γένει ἡ ἡδονὴ, καθὼς ἀκούειν ἐστὶ τῶν σοφῶν, ὥσπερ τι ὕδωρ ἐκ μιᾶς πηγῆς εἰς διαφόρους ὀχετοὺς μεριζόμενον, δι᾽ ἑκάστου τῶν αἰσθητηρίων τοῖς φιληδόνοις ἐγκαταμίγνυται. οὐκοῦν ὁ διά μιᾶς τινος τῶν αἰσθήσεων τῆς ἐγγινομένης αὐτῷ ἡδονῆς ἡττηθεὶς, ἐκεῖθεν ἐτρώθη τὴν καρδίαν, καθὼς διδάσκει ἡ τοῦ Θεοῦ φωνὴ, ὅτι τῶν ὀφθαλμῶν τὴν ἐπιθυμίαν ὁ πληρώσας, ἐν τῇ καρδίᾳ τὴν βλάβην ἐδέξατο. οἶμαι δὲ ἀπὸ μέρους ἐν τούτῳ περὶ παντὸς αἰσθητηρίου προειρηκέναι τὸν κύριον· ὥστε ἀκολουθοῦντας ἡμᾶς τῷ εἰρημένῳ, καλῶς ἂν προσθεῖναι· ὅτι ὁ ἀκούσας πρὸς τὸ ἐπιθυμῆσαι, καὶ ὁ ἁψάμενος, καὶ ὁ πᾶσαν τὴν ἐν ἡμῖν δύναμιν εἰς ὑπηρεσίαν ἡδονῆς καταχαλάσας, τῇ καρδίᾳ ἐξήμαρτεν· ἵνα οὖν μὴ τοῦτο γένηται, κανόνι χρηστέον τούτῳ

CAPVT XXI.

QVONIAM ſanè manifeſto compertum eſt, non poſſe quempiam ad Dei puritatem accedere, niſi talis ipſe prius factus eſt: illud certè neceſſarium eſt, vt ſe magno aliquo, firmóque

C interiecto muro, à voluptatibus remoueat: vt nullo quidem pacto hac appropinquatione cordis inquinetur munditíes: murus verò firmiſſimus eſt quædam ab effectuum imperio abalienatio. Cum enim voluptas, vt à ſapientibus intelligi licet, genere vna ſit: veluti aqua aliqua, quæ ab vno fonte manans in varios riuulos partitur: ſic illa per ſingulas ſenſuum vias ſeſe in voluptatum amatores infundit. Igitur qui ex vno aliquo eius voluptatis ſenſu, quæ

D ſibi inhæret, victus eſt, ex ea parte, vt voce Dei monemur, plagam in corde accepit, quoniam qui oculorum ſenſu cupiditatem expleuit, corde is peccati labem concepit. Quod verò de parte illic eſt à Domino prædictum, id de vniuerſis ſenſibus intelligi arbitror, quaſique nos illud, quod dictum eſt imitando, rectè hæc addamus. Qui ad concupiſcendum audiuit, qui tetigit, qui denique omnem, quæ in nobis eſt, facultatem ad aliquem voluptatis vſum diſſoluit, is corde peccauit. Quare vt ne hoc eueniat, regula eſt hæc

adhibenda ad vitæ temperantiam accommodata, vt animum ne ad aliquid vnquam quis adiungat, in quo aliqua permiſta eſt voluptatis cupiditas: atque imprimis voluptatem eam maximè caueat, quæ guſtatu percipitur: quoniam antiquior quodam modo, quaſique vitij mater videtur. Quæ enim è cibo, atque potione exiſtunt voluptates, cùm modum plus iuſto excedant, grauium malorum neceſſitatem corpori imponunt: quoniam immoderata cibi ſatietas multos admodum huiuſmodi morbos mortalibus parit. Ergo, vt nulla potiſſimum horum malorũ turba corpus perturbatum in nobis tranquillum maneat, continentior vitæ diſciplina quædam eſt diligenter procuranda, adhibendáque vt non voluptatem, ſed neceſſarium in ſingulis vſum delectationis modum & terminum conſtituamus. Quamuis autem cum neceſſitate iucunditas ſæpe commiſta ſit: quoniam ſolet indigentia cuncta condire, quæ vehementi cibi appetitione id quod ad neceſſarium vſum inuentum eſt, ſuauitate condit: non tamen oportet propter oblectationem quæ conſequitur, neceſſitatem reijcere, neque voluptatem principaliter perſequi, ſed ex omnibus id quod vtile eſt diligendo, quæ ſenſum oblectant, negligere debemus.

A πρὸς τὸν ἴδιον βίον τῷ σώφρονι, τῷ μήποτε προσθέσθαι τὴν κατὰ ψυχήν, ᾧ δέλεαρ ἡδονῆς καταμέμικται· πρὸ πάντων τὴν ἐπὶ τῆς γεύσεως ἡδονὴν διαφερόντως φυλάττειν, διότι πρεσβυτέρα πως αὕτη δοκεῖ εἶναι, καὶ οἱονεὶ μήτηρ τῆς ἀπηγορευμένης· αἱ γὰρ κατὰ βρῶσιν καὶ πόσιν ἡδοναί, πλεονάζουσαι τῶν ἐδωδίμων τὴν ἀμετρίαν, ἀνάγκην ἐμποιοῦσι τῷ σώματι τῶν ἀβουλήτων κακῶν πλησμονῆς, ὡς τὰ πολλὰ τοῖς ἀνθρώποις ἐντικτούσης τὰ τοιαῦτα πάθη. ὡς ἂν οὖν μάλιστα γαληνιαῖον ἡμῖν δια-
B μένοι τὸ σῶμα, μηδενὶ τῶν ἐκ τοῦ κόρου παθημάτων ἐπιθολούμενον, προνοητέον τῆς ἐγκρατεστέρας διαγωγῆς, μέτρον μὲν καὶ ὅρον τῆς ἀπολαύσεως οὐ τὴν ἡδονήν, ἀλλὰ τὴν ἐφ' ἑκάστῳ χρείαν ὁρίζοντα. εἰ δὲ τῇ χρείᾳ καὶ τὸ ἡδὺ πολλάκις συγκαταμέμικται· πάντα γὰρ οἶδεν ἐφηδύνειν ἡ ἔνδεια τῷ σφοδρῷ τῆς ὀρέξεως τὸ τῇ χρείᾳ προσευρεθὲν ἅπαν καταγλυκαίνουσα· οὐκ ἀπωστέον τὴν χρείαν διὰ τὴν ἐπακολουθοῦσαν ἀπόλαυσιν· οὔτε μὴν κατὰ προηγούμενον μεταδιωκτέον τὴν ἡδονήν· ἀλλ'
C ἐκ πάντων ἐκλεγομένους τὸ χρήσιμον ὑπερορᾶν προσήκει τοῦ τὴν αἴσθησιν εὐφραίνοντος.

Continentiam exercere non debemus plus quam oportet.

CAPVT XXII.

VIDEMVS autem quemadmodum & agricolæ paleas frumento commiſtas artificioſè ſecernant, ita vt ex hic vtrumque ad vſum ſuum, hoc quidem ad hominũ vitam, illas verò & ad combuſtionem & ad beſtiarum paſtum aſſumant. Igitur & qui temperantiam colit, à voluptate neceſſitatem, quaſi à paleis frumentũ ſeiungit, vt voluptatem quidem bardis obijciat, quorum conſummatio, vt eſt, ait Apoſtolus, in combuſtionem: neceſſitatem verò rerum ſuauium, quatenus oportet, ipſe ſumet: ſed quoniam plerique in alterum immoderationis genus delapſi inciderunt, ſtudiúmque in eo, quod ſibi propoſitum habent, ipſi adhibentes, ex nimia quadam diligẽtia in res cõtrarias venerunt,

Ὅτι οὐ δεῖ πέρα τοῦ δέοντος ἀσκεῖν τὴν ἐγκράτειαν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

ΟΡΩΜΕΝ δὲ καὶ τοὺς γεωργοὺς ἀνα-
D μεμιγμένον τῷ σίτῳ τὸ ἄχυρον τεχνικῶς διακρίνοντας· ὡς ἂν ἑκάτερον αὐτῶν εἰς προσήκουσαν χρείαν παραληφθείη, τὸ μὲν εἰς τὴν τῶν ἀνθρώπων ζωήν, τὸ δὲ εἰς καῦσίν τε ἅμα, καὶ εἰς τὴν τῶν ἀλόγων τροφήν. οὐκοῦν καὶ ὁ τῆς σωφροσύνης ἐργάτης διακρίνων τῆς ἡδονῆς τὴν χρείαν, ὥσπερ ἀχύρου τὸν σῖτον, τὴν μὲν ἀπορρίψει τοῖς ἀλογωτέροις, ὧν τὸ τέλος εἰς καῦσιν, ὥς φησιν ὁ ἀπόστολος· τῆς δὲ χρείας αὐτῆς κατὰ τὸ ἐνδέον εὐχαρίστως μεταλήψεται. ἀλλ' ἐπειδὴ πολλοὶ ἐπὶ τὸ ἕτερον εἶδος τῆς ἀμετρίας κατολισθήσαντες, διὰ τῆς ὑπερβαλλούσης ἀκριβείας, ἔλαθον ὑπεναντία σπουδάζοντες τῷ ἰδίῳ σκοπῷ,

A καὶ ἄλλῳ τρόπῳ τοῦ ὑψηλοῦ τε καὶ θειοτέρου τὴν ψυχὴν ἀποστήσαντες, εἰς ταπεινὰς φροντίδας καὶ ἀσχολίας κατήγαγον, πρὸς τὰ σωματικὰ παρατηρήματα τὴν διάνοιαν αὐτῶν κλίναντες· ὡς μηκέτι αὖθις ἐν ἐλευθερίᾳ μετεωροπορεῖν τὸν νοῦν, καὶ τὰ ἄνω βλέπειν· ἀλλ' ἐπὶ τὸ πονοῦν καὶ συντειβόμενον τῆς σαρκὸς ἐπικλίνεσθαι. καλῶς ἂν ἔχοι καὶ τούτου ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ τὰς ἐξ ἑκατέρου ἐπιμετρείας, ἐπίσης παραφυλάττεσθαι, μήτε διὰ πολυσαρκίας καταχωννύντας τὸν νοῦν, μηδ' αὖ πάλιν ταῖς ἐπεισάκτοις ἀσθενείαις ἐξίτηλον αὐτὸν B καὶ ταπεινὸν ποιεῖν, καὶ περὶ τοὺς σωματικοὺς πόνους ἠσχολημένον· μεμνῆσθαι δὲ τοῦ σοφοῦ παραγγέλματος, τοῦ ἐπίσης ἀπειρηκότος τήν τε ἐπὶ τὰ δεξιὰ καὶ τὰ ἐναντία παρατροπήν. ἤκουσα δέ τινος ἰατρικοῦ τὰ ἐκ τῆς τέχνης διεξιόντος, ὅτι ἐκ τεσσάρων ἡμῖν οὐχ ὁμοειδῶν στοιχείων, ἀλλ' ἐναντίως κειμένων τὸ σῶμα συνέστηκε· θερμόν τε καὶ ψυχρὸν συγκεκρᾶσθαι· καὶ ὑγροῦ πρὸς ξηρὸν εἶναι τὴν μίξιν παραλόγως τῇ διὰ μέσου τῶν συζυγιῶν οἰκειότητι πρὸς τὰ ἐναντία συναπτομένων. καί τινι λεπτουργίᾳ C τοιαύτῃ τὸν λόγον φυσιολογῶν ἀπεδείκνυε· φάσκων ἑκάστου τούτων ἐκ διαμέτρου πρὸς τὸ ἀντικείμενον ἀφεστῶς τῇ φύσει διὰ τῆς συγγενείας τῶν παρακειμένων ποιοτήτων τοῖς ἐναντίοις συνάπτεσθαι· τοῦ γὰρ ψυχροῦ καὶ τοῦ θερμοῦ κατὰ τὸ ἴσον ὑγροῖς τε καὶ ξηροῖς ἐγγινομένων, καὶ τὸ ἔμπαλιν τοῦ ὑγροῦ τε καὶ ξηροῦ ἐν τοῖς θερμοῖς τε καὶ ψυχροῖς ὁμοίως συνισταμένων· ἡ τῶν ποιοτήτων ταυτότης ἐπίσης τοῖς ἐναντίοις ἐμφαινομένη δι' ἑαυτῆς ποιεῖ τῶν ἀντικειμένων τὴν σύνοδον. ἀλλὰ τί μοι τὰ D καθ' ἕκαστον δι' ἀκριβείας ἐξιέναι, ὅπως ταῦτα καὶ τέτμηται ἀπ' ἀλλήλων τῇ ἐναντιώσει τῆς φύσεως, καὶ πάλιν ἥνωται τῇ συγγενείᾳ τῶν ποιοτήτων ἀλλήλοις συνανακιρνάμενα; πλὴν οὗ χάριν τῶν εἰρημένων ἐμνήσθημεν· ὅτι συνεβούλευεν ὁ τὴν τοῦ σώματος φύσιν τῇ θεωρίᾳ ταύτῃ κατανοήσας προνοεῖν, ὡς δεῖ τι τῆς ἰσοκρατείας τῶν ποιοτήτων· ἐν τούτῳ γὰρ εἶναι τὸ ὑγιαίνειν, ἐν τῷ μηδὲν ὑπὸ τοῦ ἑτέρου τῶν ἐν ἡμῖν δυναστεύεσθαι·

A atque alio quidem modo à rebus cœleſtibus ac diuinis animum remouentes, in occupationes & curas humiles ceciderunt, cum ita ad harum rerum, quæ corporeæ ſunt, obſeruationes mentem adiecerint, vt neque cœleſtia illis, neque diuina liberum ſit animo contemplari: ſed ad hoc inclinati ſint vt carnem exagitent atque affligant: præclarè certè ageretur huius etiam rei curam adhibere, atque hanc vtramque immoderationem æqualiter refugere, vt neque corporis obeſitate mentem quaſi aggeribus circumſepiant, neque rurſus in- B ductis imbecillitatibus tenuem illam & humilem efficiant, & ad corporis labores prorſus inutilem: meminerintque illud præceptum ſapientis viri, qui prohibet, vt ne quis ad dextram, neque ad ſiniſtrã declinet. Audiui equidem medicum quẽpiam artis ſuæ præcepta diſſerentem dicere: corpus noſtrũ quatuor non eiuſdem generis elementis, ſed diuerſè inter ſe affectis concretum eſſe: calidúmque frigido miſceri ac temperari: humidæque naturæ temperationem quandam ex arida ſiccáque præter C opinionem fieri, mediáque quadam rerum, quæ conueniunt, cognatione adhibita cum contrariis cohærere. Atque ſubtili huiuſmodi arte ille, qui in hoc indagandæ naturæ ſtudio verſatur, rationem demonſtrat, aitque ſingula hæc ab oppoſitis naturaliter, quaſi medio interiecto, diſiuncta, quadam qualitatum propinquarum affinitate cum cõtrariis conuenire. Cùm enim frigus & calor ęqualiter cum humore ſiccitatéque cohæreant: rurſúſque humor & ariditas æquali caloris & frigoris temperatione componantur: hæc qualitatum eadem æqualitas, quæ in contrariis apparet, D rerum inter ſe contrariarum cõuenientiam per ſe gignit. Sed quid ad me ſingula diligenter explicare attinet, & quomodo hæc ob naturæ repugnantiam inuicem diſiungantur, & rurſus ob qualitatum cognationem mutuo temperata coniungantur? Verùm eam ob cauſam nos de iis, quæ diximus, mentionem fecimus, quoniam, qui, his rebus animaduerſis corporis naturam commentatus eſt, hic monuit æqualem eam qualitatum potentiam omni ratione curari oportere: quia in hoc ſita eſt bona valetudo, vt nihil eorum, quæ in nobis inſunt, ab aliis ſuperetur.

Igitur nos huiuſmodi corporis conſtitutionem, ſi quid veri earum rerum commemoratio habet, ad valetudinem perpetuò tuendam curare debemus, vt ad nullam partem eorum, ex quibus compacti ſumus, neque nimium neque parum ex inæquali victus ratione addamus, vehiculi rector. Vt enim ille ſi fortè equulos non conſentientes concordéſque regit, neque celerem verberibus incitat, neque tardum habenis reprimit, neq. rurſus peruerſum, effrænatum, indomitum ſuis illum incitationibus in ordinis perturbationem efferri ſinit, ſed hunc dirigit, illum refrænat, & alium flagello impellit, quoad vnam omnibus ad currendum conſpirationem effecerit: eodē modo mens noſtra, quæ corporis habenas in ſe habet, non ignis additamenta excogitabit ardori, qui adulta ætate vehementior ſanè eſt, quàm oportet: neque quod aut tempore, aut affectu refrixerit, magis ea accendet, quæ frigida & extincta ſunt: atque in reliquis quidem qualitatibus pari ratione id audiet, quod diuinis litteris ſcriptum eſt: Ne qui multum, abundet: qui parum, minus habeat: ſed quod in vtroque immoderatum eſt, amputans, augere id curabit, in quo deeſt: & corporis incommoditatem æqualiter in vtroque cauebit, ne vel præ abundantia deliciarum ita perturbata ſit caro, vt regi non poſſit, vel præ immoderata afflictatione malè affecta, tenuis, & ad vſus vitæ neceſſarios infirma efficiatur: hac ratione illud perfectiſſimum eſt continentiæ propoſitum, vt non ad corporis afflictationem, ſed ad commodas animi functiones ſpectet.

A ἐκείνου ἐπιμελητέον ἡμῖν τῆς τοιαύτης καταστάσεως πρὸς τὴν τῆς ὑγείας διαμονήν, εἴπερ τι ἀληθὲς αὐτῶν ὁ λόγος ἔχει, μηδενὶ μέρει τῶν ἐξ ὧν συνεστήκαμεν ἢ πλεονασμὸν ἢ ἐλάττωσιν ἐκ τῆς κατὰ τὴν δίαιταν ἀνωμαλίας ἐπάγοντες· ὥσπερ γὰρ ὁ τοῦ ἅρματος ἐπιστάτης, εἰ μὴ συμφωνούντων ἐπιστατοίη τῶν πώλων, οὔτε τὸν ὀξὺν ἐπισπέρχει τῇ μάστιγι, οὔτε τὸν βραδὺν κατάγει ταῖς ἡνίαις· οὐδ᾽ αὖ πάλιν τὸν διάστροφον ἢ δυσήνιον ἄφετον ἐᾷ ταῖς οἰκείαις ὁρμαῖς εἰς ἀταξίαν ἐκφέρεσθαι· ἀλλὰ τὸν μὲν εὐθύνει, τὸν δὲ ἀνακόπτει, τοῦ δὲ καθικνεῖται

B διὰ τῆς μάστιγος, ἕως μίαν τοῖς πᾶσι τὴν πρὸς τὸν δρόμον σύμπνοιαν ἐμποιήσῃ· τὸν αὐτὸν τρόπον καὶ ὁ ἡμέτερος νοῦς ὁ τὰς τοῦ σώματος ἡνίας ἐφ᾽ ἑαυτὸν ἔχων, οὔτε πλεονάζοντι τῷ θερμῷ κατὰ τὸν καιρὸν τῆς νεότητος τὰς τῆς πυρώσεως προσθήκας ἐπινοήσει, οὔτε κατεψυγμένῳ διὰ πάθος ἢ χρόνον, τὰ ψύχοντα καὶ τὰ μαραίνοντα πλεονάσει· καὶ ἐπὶ τῶν λοιπῶν ποιοτήτων ὁμοίως τῆς γραφῆς ἀκούσεται· ἵνα μήτε ὁ τὸ πολὺ πλεονάσῃ, μήτε ὁ τὸ ὀλίγον ἐλαττονήσει, ἀλλὰ τὸ ἐν ἑκατέρῳ ἄμετρον περικόπτων, τῆς

C τοῦ ἐνδέοντος προσθήκης ἐπιμελήσεται, καὶ ἐπίσης τὴν ἐφ᾽ ἑκάτερα τοῦ σώματος ἀχρηστίαν φυλάξεται· μήτε δι᾽ ὑπερβαλλούσης εὐπαθείας ἄτακτον καὶ δυσήνιον τὴν σάρκα ἑαυτοῦ ἐπασκήσας, μήτε διὰ τῆς ἀμέτρου κακοπαθείας νοσώδη καὶ λελυμένην καὶ ἄτονον πρὸς τὴν ἀναγκαίαν ὑπηρεσίαν παρασκευάσας· τοῦτο ὁ τελειότατος τῆς ἐγκρατείας σκοπός, οὐχὶ πρὸς τὴν τοῦ σώματος βλέπειν κακοπάθειαν, ἀλλὰ πρὸς τὴν τῶν ψυχικῶν διακονημάτων εὐκολίαν.

D

Ad animi perfectionem tam impedit corporis obeſitas, quàm afflictatio immoderata.

CAPVT XXIII.

QVI verò philoſophiæ deditus eſt, quem vitæ curſum in ſingulis rebus tenere eum oporteat, & in quibus verſari, & quæ cauere, & ad quæ ſtudia animum adiungere, quæve ſit continentiæ ratio, qui diſciplinæ modus, qui

Ὅτι ὁμοίως ἐναντιοῦται τῇ ψυχῇ πρὸς τὴν τελείωσιν, ἥ τε πολυσαρκία καὶ ἡ ἄμετρος κακοπάθεια.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

ΤΑ δὲ καθ᾽ ἕκαστον ὅπως τε χρὴ βιοτεύειν τὸν ἐν φιλοσοφίᾳ ταύτῃ ζῆν προῃρημένον, καὶ τίνα φυλάττεσθαι, καὶ τίσιν ἐπιτηδεύμασιν ἀσκεῖν ἑαυτόν, ἐγκρατείας μέτρα, καὶ διαγωγῆς τρόπον,

καὶ πάντα τὸν ἐπιβάλλοντα τῷ τοιούτῳ σκοπῷ βίον, ὅτῳ φίλον δι᾽ ἀκριβείας μαθεῖν. εἰσὶ μὲν καὶ ἔγγραφοι διδασκαλίαι ταῦτα διδάσκουσαι· ἐνεργεστέρα δὲ τῆς ἐκ τῶν λόγων διδαχῆς ἡ διὰ τῶν ἔργων ἐστὶν ὑφήγησις, καὶ οὐδεμία πρόσεστι δυσκολία τῷ πράγματι, ὡς δεῖν ἢ μακρὰν ὁδοιπορίαν, ἢ ναυτιλίαν πολλὴν ὑποστάντας, ἐπιτυχεῖν τοῦ παιδεύοντος· ἀλλ᾽ ἐγγύς σου τὸ ῥῆμα, φησὶν ὁ ἀπόστολος· ἀπὸ τῆς ἑστίας ἡ χάρις· ἐντεῦθεν τὸ τῶν ἀγαθῶν ἐργαστήριον, ἐν ᾧ τὸ ἀκρότατον τῆς ἀκριβείας ὁ τοιοῦτος βίος προϊὼν ἐκκεκάθαρται· καὶ πολλή ἐστιν ἐξουσία καὶ σιωπώντων ἐντεῦθεν καὶ φθεγγομένων τὴν οὐράνιον ταύτην πολιτείαν διὰ τῶν ἔργων διδάσκεσθαι· ἐπεὶ καὶ πᾶς λόγος δίχα τῶν ἔργων θεωρούμενος, κἂν ὅτι μάλιστα κεκαλλωπισμένος τύχῃ, εἰκόνι ἔοικεν ἀψύχῳ, ἐν βαφαῖς καὶ χρώμασιν εὐανθῆ τινὰ χαρακτῆρα προδεικνυούσῃ· ὁ δὲ ποιῶν καὶ διδάσκων, καθώς πού φησι τὸ εὐαγγέλιον, οὗτος ἀληθῶς ζῶν ἐστὶν ἄνθρωπος, καὶ ὡραῖος τῷ κάλλει, καὶ ἐνεργὸς, καὶ κινούμενος. ἐκείνῳ τοίνυν προσφοιτητέον ἐστὶ τὸν μέλλοντα κατὰ τὸν ἐρῶντα λόγον τῆς παρθενίας ἀνθέξεσθαι· καθάπερ γὰρ ὁ φωνὴν ἔθνους τινὸς ἐκμαθεῖν προθυμούμενος, οὐκ ἔστιν αὐτάρκης ἑαυτοῦ διδάσκαλος, ἀλλὰ παρὰ τῶν ἐπισταμένων παιδεύεται, καὶ οὕτω γίνεται τοῖς ἀλλογλώσσοις ὁμόφωνος. οὕτως οἶμαι, καὶ τοῦ βίου τούτου μὴ κατὰ τὴν ἀκολουθίαν προϊόντος τῆς φύσεως, ἀλλ᾽ ἀπεξενωμένου τῇ καινότητι τῆς διαγωγῆς, μὴ ἄλλως τινὰ μαθεῖν τὴν ἀκρίβειαν, ἢ παρὰ τοῦ κατωρθωκότος χειραγωγούμενον· καὶ τὰ ἄλλα δὲ πάντα ὅσα κατὰ τὸν βίον ἐπιτηδεύομεν, μᾶλλον κατορθωθείη τῷ μετιόντι, εἰ παρὰ διδασκάλοις τις ἑκάστου τῶν σπουδαζομένων ἐκμάθοι τὴν ἐπιστήμην, ἢ εἰ ἀφ᾽ ἑαυτοῦ κατεπιχειροίη τοῦ πράγματος· οὐ γὰρ ἐναργές ἐστι τὸ ἐπιτήδευμα τοῦτο, ὥστε κατ᾽ ἀνάγκην ἑαυτοῖς ἐπιτρέπειν τῶν λυσιτελούντων τὴν κρίσιν· ὅτι δὲ καὶ τὸ κατατολμᾶν τῆς τῶν ἀγνοουμένων πείρας οὐκ ἔξω κινδύνου καθίσταται· καθάπερ δὲ τὴν ἰατρικὴν πρότερον ἀγνοουμένην διὰ τῆς πείρας ἐξεῦρον οἱ ἄνθρωποι, παρατηρήμασί τισι κατ᾽ ὀλίγον ἐκκαλυφθεῖσαν·

A denique vitæ curſus omnis, qui ad hoc propoſitum ſpectat, cuicúmque gratum eſt diligenter cognoſcere. Præcepta quidem multa literis conſignata ſunt, quibus hæc ipſa traduntur, ſed minorem vim habet illa præceptorum explicatio, quæ verbis potius, quàm factis demonſtratur, nulláque rei difficultas ineſt, vt aut longinquum iter, aut multam nauigationem nos ſubire oporteat, vt præceptorem huiúſque diſciplinæ magiſtrum aſſequamur. Sed propè te verbum eſt, inquit Apoſtolus, & in præſenti gratia. Hoc loco virtutum officina eſt, in qua huiuſmodi vita ad ſummam quandam integritatem progreſſa, B ſordibus purgata eſt. Multa etiam hoc loco cùm iis, qui tacent, tum illis, qui loquuntur, propoſita eſt facultas, vt ex factis ipſis cœleſti hoc vitæ inſtituto erudiantur, quoniam oratio omnis, quæ nullis factis perſpicua eſt, etſi ornatu multo perpolita eſt, ad inanimatæ imaginis ſimilitudinem propè acceſſit, lineamentíſque & coloribus quaſi florentem aliquam formam præ ſe feret. Namque qui facit, & docet, vt quodam loco eſt in Euangelio, hic verè homo, & pulchritudine inſignis. Itaque hic ei frequentãdus eſt, qui, vt literæ loquuntur, virginitatem ſit apprehenſurus. Vt C enim qui alicuius nationis ſermonem diſcere inſtituit, minimè per ſe ſatis eſt, vt à ſe ipſe erudiatur: ſed ab iis, qui illius ſermonis periti ſunt inſtituitur: atque hoc pacto breui ex audiendi conſuetudine progreſſus, peregrini ſermonis particeps efficitur: ſic opinor, ſi hæc vita non naturæ via progreditur, ſed nouo quodam inſtituto aberrat, eam perfectè à nemine poſſe percipi, niſi optimo viro duce vtatur: atque alia omnia, quæcumque huic vitæ ſtudia D propoſita ſunt, rectius ab eo perficerentur, qui illis deditus eſt, ſi à doctoribus magiſtríſque ſcientiam illarum rerum perciperet, quarum ſtudio tenetur, quàm ſi per ſe ad rem aggrederetur: Non enim perſpicuum eſt inſtitutum iſtud, ſic vt neceſſe ſit iudicium eorum quæ in rem noſtram futura ſunt, nobis permittere: quandoquidem rerum ignotarum experientiam tentare periculo nõ caret. Quemadmodum enim medicinam prius incognitam ex vſu rerum homines inuenerunt, quibuſdámque obſeruationibus eius præcepta breui patefecerunt,

vt cùm rerum, quarum periculum factum eſt, exemplo eſſet cognitum quid prodeſſet, quidve noceret, id hoc modo in artis rationem redactum ſit: quódve à maioribus ea de re præceptum fuit, id ſit poſtea diligenter obſeruatum: nunc verò qui ad hanc artem ſe contulit, non non neceſſe habet ſuo periculo medicamentorum vim cognoſcere, num venenum ſit, an remedium: ſed cognitas res cùm ab alio diſcat, ipſe medendi munere perfectè fungetur: pari ratione de animorum medicina dicendum eſt. Hæc autem philoſophia eſt, ex qua omnis affectionis, quæ animum attingit, curationem cognouimus. Non neceſſe igitur eſt, coniecturis quibuſdam atque commentationibus ſcientiam perſequi, ſed cognitionis eius facultas multa in eo eſt, qui diuturna multáve conſuetudine adeptus eſt habitum. Periculoſa eſt enim plerúmque vel in omni negotio conſiliorum moderatrix adoleſcentia: neque facilè quiſpiam aliquid earum rerum, quę ſtudio dignæ ſunt, rectè ab eo factum comperit, à quo non eſt ſenectus in conſilij ſocietatem adhibita: quanto enim quod nobis propoſitum eſt, reliquis ſtudiis grauius, maiúſque apparet, tanto diligentius nos periculum cauere debemus. Nam adoleſcentia quidem, quæ non conſilio regitur, in reliquis rebus, aut facultatibus ſuis damnum importauit, aut aliquo mundanæ laudis ſplendore, aut dignitate ſpoliata eſt: in hac verò cupiditate magna illa quidem, ac diuina, nō pecuniæ in periculum veniunt, non gloria mundana, vnius diei ſpatio deficiens, non aliæ denique vllæ res, quæ aliunde nos conſequuntur: quas quidem res ego ſanè deſpicio, exiguámque harum tanquam extrinſecus veniētium rationem moderati ac temperantes homines habent: ſed conſilij temeritas ipſum animum commouet: atque huius detrimenti periculum eſt, non illius ſanè, quo cùm quis afficitur, fortaſſe fieri poſſe videtur, vt illud ipſum reſarciat: ſed illud quidem, vt ne ſe ipſum quis perdat, atque animæ ſuæ damnum importet. Qui enim patria bona conſumpſit, non fortaſſe deſperat, quamdiu in vita eſt, quibuſdam adhibitis cogitationibus, ſe ad priſtinas rurſus poſſe peruenire bonorum copias: qui verò à vita ipſa cecidit, omnem ſimul ſpem abijcit poſſe ſe ad meliora redire. Itaque quoniā ado-

A ὥσπερ καὶ τὸ ὠφελοῦν καὶ τὸ βλάπτον διὰ τῆς τῶν πεπειραμένων μαρτυρίας ἐπιγνωσθὲν, οὕτως εἰς τὸν τῆς τέχνης λόγον παραληφθῆναι, καὶ παράγγελμα πρὸς τὸ μέλλον τὸ παρατηρηθὲν τοῖς προλαβοῦσι γίνεσθαι. νῦν δὲ ὁ πρὸς τὴν τέχνην ταύτην ἐσπουδακὼς, οὐκ ἔχει ἀνάγκην τῇ καθ' ἑαυτὸν πείρᾳ διαγινώσκειν τῶν φαρμάκων τὴν δύναμιν, εἴτε δηλητήριον εἴτε ἀλεξιτήριόν τι ἐστίν· ἀλλὰ τὰ ἐγνωσμένα παρ' ἑτέρων μαθὼν, αὐτὸς τὴν τέχνην κατορθώσει· τὸν αὐτὸν τρόπον καὶ τῆς τῶν B ψυχῶν ἰατρικῆς, τῆς φιλοσοφίας λέγω, δι' ἧς παντὸς πάθους τοῦ τῆς ψυχῆς ἁπτομένου τὴν θεραπείαν μανθάνομεν, οὐκ ἔστιν ἀνάγκη στοχασμοῖς τισὶ καὶ ὑπονοίαις μετιέναι τὴν ἐπιστήμην, ἀλλ' ἐξουσία πολλὴ τῆς μαθήσεως παρὰ τοῦ διὰ μακρᾶς τε καὶ πολλῆς τῆς πείρας κτησαμένου τὴν ἕξιν. ἔστι μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπὶ παντὸς πράγματος σύμβουλος ἡ νεότης, καὶ οὐκ ἄν τις εὕροι ῥᾳδίως κατορθωμένον τι τῶν σπουδῆς ἀξίων, ᾧ μὴ πολιὰ συμπαρελήφθη πρὸς κοινωνίαν τοῦ σκέμματος. C ὅσῳ δὲ μεῖζον τῶν λοιπῶν ἐπιτηδευμάτων ὁ προκείμενος τοῖς μετιοῦσίν ἐστι σκοπὸς, τοσούτῳ καὶ μᾶλλον προνοητέον ἡμῖν τῆς ἀσφαλείας ἐστίν· ἐπὶ μὲν γὰρ τῶν λοιπῶν ἡ νεότης οὐ κατὰ λόγον διοικουμένη εἰς χρήματα πάντως τὴν ζημίαν ἤνεγκεν, ἤ τινος κοσμικῆς περιφανείας, ἢ καὶ ἀξιώματος ἐκπεσεῖν κατηνάγκασεν. ἐπὶ δὲ τῆς μεγάλης τε καὶ ὑψηλῆς ταύτης ἐπιθυμίας, οὐ χρήματα τὸ κινδυνευόμενόν ἐστιν, οὐδὲ δόξα κοσμικὴ καὶ ἐφήμερος, οὐδ' ἄλλό τι τῶν ἔξωθεν ἡμῖν παρεπομένων, ὧν καὶ D κατὰ γνώμην, καὶ ὡς ἑτέρως διοικουμένων ὀλίγος τοῖς σωφρονοῦσιν ὁ λόγος· ἀλλ' αὐτῆς ἅπτεται τῆς ψυχῆς ἡ ἀβουλία, καὶ ὁ κίνδυνος τῆς τοιαύτης ζημίας ἐστὶν, οὐ τὸ ἄλλό τι ζημιωθῆναι, ὃ τυχὸν καὶ δυνατὴ φαίνεται ἡ ἐπανάληψις, ἀλλὰ τὸ αὐτὸν ἀπολέσθαι καὶ ζημιωθῆναι τὴν ψυχὴν τὴν ἰδίαν. ὁ μὲν γὰρ τὴν πατρῴαν καταναλώσας οὐσίαν, οὐκ ἀπελπίζει τυχὸν ἐπινοίαις τισὶν πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐπανελθεῖν εὐπορίαν, ἕως ἂν ἐν τοῖς ζῶσιν ᾖ· ὁ δὲ τῆς ζωῆς ταύτης ἐκπεσὼν, πᾶσαν ἐλπίδα τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς συναφῄρηται. οὐκοῦν ἐπειδὴ νέοι ἔτι καὶ

ἀτελεῖς τὴν διάνοιαν οἱ πολλοὶ τῆς παρθενίας ἀντιλαμβάνονται), τοῦτο πρὸ πάντων αὐτοῖς ἐπιτηδευτέον ἂν εἴη, τὸ ζητῆσαι τῆς ὁδοῦ ταύτης καθηγούμενόν τε καὶ διδάσκαλον ἀγαθόν, μή που διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς ἀνοδίας τινὰς καὶ πλάνας ἑαυτοῖς ἀπὸ τῆς εὐθείας καινοτομήσωσιν· ἀγαθοὶ γὰρ δύο ὑπὲρ τὸν ἕνα, φησὶν ὁ Ἐκκλησιαστής· εὐκαταγώνιστος δὲ ὁ εἷς τῷ ἐχθρῷ τῷ κατὰ τὰς θείας ὁδοὺς ἐνεδρεύοντι· καὶ ὄντως οὐαὶ τῷ ἑνὶ ὅταν πέσῃ, ὅτι οὐκ ἔχει τὸν ἀνορθοῦντα. ἤδη γάρ τινες ὁρμῇ μὲν δεξιᾷ πρὸς τὴν τοῦ σεμνοῦ βίου ἐπιθυμίαν ἐχρήσαντο· ὡς δὲ ὁμοῦ τῷ προελέσθαι, καὶ τῆς τελειότητος ἐφαψάμενοι, ἑτέρῳ πτώματι διὰ τοῦ τύφου ὑπεσκελίσθησαν, διά τινος φρενοβλαβείας ἑαυτοὺς ἐξαπατήσαντες ἐκεῖνο ἡγεῖσθαι καλὸν, ἐφ' ὅπερ αὐτῶν ἡ διάνοια ῥέψῃ. ἐκ τούτων εἰσὶν οἱ παρὰ τῆς Σοφίας ὀνομασθέντες ἀεργοὶ, οἱ τὰς ὁδοὺς αὐτῶν ἀκάνθαις στρώσαντες· οἱ βλάβην ἡγούμενοι τῆς ψυχῆς τὴν περὶ τὰ ἔργα τῶν ἐντολῶν προθυμίαν· οἱ παραγραψάμενοι τὰς ἀποστολικὰς παραινέσεις, καὶ μὴ τὸν ἴδιον ἄρτον εὐσχημόνως ἐσθίοντες, ἀλλὰ τῷ ἀλλοτρίῳ προσεστηκότες, τέχνην βίου τὴν ἀργίαν ποιούμενοι· ἐντεῦθεν οἱ ἐνυπνιασταὶ, οἱ τὰς ἐκ τῶν ὀνείρων ἀπάτας πιστοτέρας τῶν εὐαγγελικῶν διδαγμάτων ποιούμενοι, καὶ ἀποκαλύψεις τὰς φαντασίας προσαγορεύοντες· ἀπὸ τούτων εἰσὶν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας· καὶ πάλιν ἄλλοι οἱ τὸ ἄμικτόν τε καὶ θηριῶδες ἀρετὴν νομίζοντες· οὐδὲ τῆς μακροθυμίας τε καὶ ταπεινοφροσύνης τὸν καρπὸν ἐπιστάμενοι. καὶ τίς ἂν διεξέλθοι πάντα τὰ τοιαῦτα πτώματα, εἰς ὅσα ἐκφέρεται, τῷ μὴ θέλειν τοῖς κατὰ Θεὸν εὐδοκιμοῦσι προσέχειν; ἐκ τούτων γὰρ ἔγνωμεν καὶ τοὺς τῷ λιμῷ μέχρι θανάτου ἐγκαρτερήσαντας, ὡς τοῦ Θεοῦ ταῖς τοιαύταις εὐαρεστουμένου θυσίαις· καὶ πάλιν ἄλλους ἐκ διαμέτρου πρὸς τὸ ἐναντίον ἀποστατήσαντας· οἱ μέχρις ὀνόματος τῆς ἀγαμίας ἐπιτηδεύσαντες, οὐδὲν διαφέρουσι τοῦ κοινοῦ βίου· οὐ μόνον τῇ γαστρὶ τὰ πρὸς ἡδονὴν χαριζόμενοι, ἀλλὰ γυναιξὶ κατὰ τὸ φανερὸν συνοικοῦντες, καὶ ἀδελφότητα τὴν τοιαύτην συμβίωσιν ὀνομάζοντες, ὡς δὴ τὴν πρὸς τὸ χεῖρον ὑπόνοιαν ὀνόματι σεμνοτέρῳ πε-

A leſcentes & mente infirma plerique ſe ad virginitatis ſtudium cõferunt: illud in primis ſtudioſè eis curandum eſt, vt optimum huius vitæ ducem ac magiſtrum quærant, ne quando propter rerum ignorationẽ, quæ in illis eſt, tranſuerſas quaſdam ſibi vias atque à recta aberrantes muniant. Boni enim duo ſupra vnum, inquit Eccleſiaſtes: facile verò vincitur vnus ab aduerſario, qui Dei via curſum tenet: réque vera, Væ ſoli, quando cadit, quoniam non habet, qui eum erigat. Iam enim nonnulli ad
B grauis vitę cupiditatẽ laudabili impetu alacriter vſi ſunt, & hoc conſilio ſimul perfectionẽ aſſecuti, ex ſuperbia altero lapſu in terram deiecti ſunt, cùm ipſi dementia ſua decepti, illud putauerint honeſtum, ad quod eorum mens ſerperet. Ex his illi ſunt, qui pigri atque inertes homines à ſapientia vocati ſunt: qui ſuas vias ſpinis ſtrauerunt: qui illam ad mandatorum Dei opera propenſionem, animæ exiſtimarunt detrimentum: qui Apoſtolorum præcepta traditionéſque abrogarunt, nec ſuo pane honeſtè veſcuntur, ſed ad alienum intendunt, cùm
C viuendi artem in deſidia ignauiáque ponãt: vnde ſomniatores ſunt, qui ſomniorum deceptiones probabiliores faciunt, quàm Euangelica præcepta, reuelationéſque ſpecies rerum in ſomnis oblatas putant: ab his exiſtunt qui domos ingrediuntur: rurſúſque alij qui immanem & feram virtutem opinantur, dilectioníſq. præceptum ignorant, neque beneficentiæ, neque animi modeſtiæ fructum cognoſcunt. At ſanè quis omnes huiuſcemodi caſus prolapſionéſque percurreret, in quos aliquis fertur, cùm ad eos ſe conferre recuſat,
D qui Deo probati ſunt? Cognouimus enim nos ex his nonnullos, qui famem vſque ad obitum patienter tulerunt, quaſi his ſacrificiis placetur Deus: rurſúſque alios, qui quaſi è regione oppoſiti ad contrariam rem ſe adiunxerunt, nominéque dumtaxat cælibatum profitentes, à communi viuendi conſuetudine non longè abſunt: vtpotè qui non ventris ſolum voluptati indulgeant, ſed etiam cum fœminis apertè contubernij ſocietatem habeant: háncque cum iis familiarem viuendi conſuetudinem fraternæ cognationis nomine appellant, nempe honeſtiori nomine ſuam occultantes mentem, quæ ad pe-

iora procliuis eſt. Atque ab his quidem, A graue hoc admodum, purum virginitatis ſtudium ab aliis vituperatur apud gentiles.

ἐγκαλύπτοντες· δι' ὧν καὶ σφόδρα τὸ σεμνὸν τοῦτο καὶ καθαρὸν ἐπιτήδευμα βλασφημεῖται παρὰ τῶν ἔξωθεν.

Qui accuratam hanc vitæ rationem aſſequi vult, à perfecto viro erudiatur neceſſe eſt.

Ὅτι χρὴ τὸν τὴν ἀκρίβειαν τοῦ βίου μαθεῖν βουλόμενον παρὰ τοῦ κατορθώσαντος διδάσκεσθαι.

CAPVT XXIV.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

VTILE igitur eſt adoleſcentes huius ſibi vitæ modum nō præſcribere, quoniam noſtra hæc ætas bonorum B exemplis abundat: quin etiā ſi vnquam alias, morum grauitas hoc tempore floret, atque in vita verſatur, paulatim ita aucta vt ad ſummum perueniret. Cuius quidem morum ſanctitatis fieri participem ei contigit, qui in ipſius curriculo veſtigia imprimit: illum autem, qui huius vnguenti odorem ſecutus, optimo Ieſu Chriſti odore perfundi. Vt enim, lampade vna accenſa, in reliquas omnes propinquas lucernas flāma deriuatur, neque tamen primus ignis imminuitur, etſi cum iis æqualiter adiungitur, qui C ex illa luminis deriuatione elucent: ita huius vitæ grauitas ab eo qui illam rectè peregit, in eos deriuatur, qui proximi ſunt. Verus eſt enim is Prophetæ
Pſal. 17. ſermo: Qui cum ſancto & innocenti homine egregióque verſatur, talem vnumquemque fieri. Sin autem documenta quæris, quorum præſidio non licet ab optimo exemplo aberrare, facilis hæc eſt explicatio: nam ſi hominis vitam perſpicis, quæ in medio mortis, & vitæ curſu ſit, quódque vtrinque eſt ad ſapientiæ ſtudium vtile deligat, vt neque quod in morte eſt actionis expers D & otioſum in ſtudio exequendi mandata in ſe recipiat; neque in viuendi ſtatu pleno gradu incedat, quod à ſæcularibus cupiditatibus ſit alienus, in quibus carnis vita deprehendatur, in his minus agat quam mortui: ad virtutis autem opera, ex quibus qui ſunt ſpiritu feruentes agnoſcūtur, verè animatum, & efficacem & valentem ſe præbeat: hunc ſanè virum tuæ vitæ amuſſim intuere: hic tibi diuinæ vitæ ſcopus ſit propoſitus, vt gubernatoribus, quę ſemper apparent ſtellæ, huius & ſenectutem, & adoleſcentiam imitare: vel po-

ΟΥΚΟΥΝ λυσιτελὲς ἂν εἴη μὴ νομοθετεῖν ἑαυτοῖς τοὺς νέους τὴν τοῦ βίου τούτου ὁδόν· οὐ γὰρ ἐπιλέλοιπε τὴν ζωὴν ἡμῶν τὰ τῶν ἀγαθῶν ὑποδείγματα· ἀλλὰ καὶ σφόδρα νῦν, εἴπερ ποτὲ, ἡ σεμνότης ἤνθησε, καὶ ἐπιχωριάζει τῷ βίῳ ἡμῶν, πρὸς τὸ ἀκρότατον ταῖς κατ' ὀλίγον προσθήκαις ἀκριβωθεῖσα· ἧς ἔξεστι μεταχεῖν τὸν τοῖς τοιούτοις ἴχνεσι παρεμπατοῦντα, καὶ τῆς ὀσμῆς τοῦ μύρου τούτου κατόπιν ἑπόμενον, τῆς εὐωδίας τοῦ Χριστοῦ ἀναπίμπλασθαι. καθάπερ γὰρ μιᾶς ἐξαφθείσης λαμπάδος εἰς πάντας τοὺς προσεγγίζοντας λύχνους ἡ τῆς φλογὸς διάδοσις γίνεται, οὔτε τοῦ πρώτου φωτὸς ἐλαττουμένου, καὶ τοῖς διὰ μεταλήψεως φωτιζομένοις κατὰ τὸ ἴσον προσγινομένου· οὕτω καὶ ἡ τοῦ βίου τούτου σεμνότης ἀπὸ τοῦ κατωρθωκότος αὐτὴν ἐπὶ τοὺς προσεγγίζοντας διαδίδοται· ἀληθὴς γὰρ ὁ προφητικὸς λόγος τὸν μετὰ ὁσίου καὶ ἀθῴου καὶ ἐκλεκτοῦ διάγοντα, τοιοῦτον γίνεσθαι. εἰ δὲ ζητεῖς τὰ γνωρίσματα, δι' ὧν οὐκ ἔστιν ἁμαρτεῖν τοῦ ἀγαθοῦ ὑποδείγματος, εὔκολος ἡ ὑπογραφή. ἐὰν ἴδῃς βίον ἀνδρὸς ἐν μέσῳ θανάτου καὶ ζωῆς ἑστῶτα τὸ ἑκατέρωθεν χρήσιμον εἰς φιλοσοφίαν αἱρούμενον· οὔτε τὸ ἄπρακτον τοῦ θανάτου καταδεχόμενον ἐν τῇ περὶ τὰς ἐντολὰς προθυμίᾳ, οὔτε ὅλῳ τῷ ποδὶ ἐπὶ τῆς ζωῆς βεβηκότα διὰ τὴν τῶν κοσμικῶν ἐπιθυμιῶν ἀλλοτρίωσιν, ἐν οἷς μὲν σαρκὸς ζωὴ δοκιμάζεται, τῶν νεκρῶν ἀπρακτότερον μένοντα, πρὸς δὲ τὰ τῆς ἀρετῆς ἔργα, δι' ὧν οἱ τῷ πνεύματι ζῶντες ἐπιγινώσκονται, ἀληθῶς ἔμψυχον καὶ ἐνεργὸν καὶ ἰσχύοντα, πρὸς οὗτον βλέπε τὸν κανόνα τοῦ βίου· οὗτός ἔστω σοι σκοπὸς τῆς θείας ζωῆς, καθάπερ τοῖς κυβερνήταις οἱ ἀειφανεῖς τῶν ἀστέρων, μίμησαι τούτου καὶ πολιὰν, καὶ νεότητα· μᾶλλον δὲ μὴ-

μιμῆται αὐτοῦ τὸ ἐν μειρακίῳ γῆρας, καὶ τὴν ἐν τῷ γήρᾳ νεότητα· οὔτε γὰρ τὸ ῥωμαλέον αὐτοῦ τῆς ψυχῆς δραστήριον ἤδη πρὸς γῆρας ἐπικλασθείσης, τῆς ἡλικίας ὁ χρόνος ἠμαύρωσεν. οὔτε ἡ νεότης ἐνεργὴς ἦν ἐν οἷς νεότης ἐνεργὴς γνωρίζεται· ἀλλά τις ἦν μίξις θαυμαστὴ τῶν ἐναντίων ἐν ἑκατέρᾳ ἡλικίᾳ, μᾶλλον ὑπαλλαγὴ τῶν ἰδιωμάτων. ἐν γήρᾳ μὲν τῆς δυνάμεως πρὸς τὸ ἀγαθὸν νεαζούσης, ἐν μειρακίῳ δὲ τῆς νεότητος, πρὸς τὸ κακὸν ἀπρακτούσης· Εἰ δὲ καὶ τοὺς ἔρωτας τῆς ἡλικίας ἐκείνης ἀναζητήσεις, μίμησαι τὸ σφοδρὸν καὶ διάπυρον τοῦ θείου τῆς σοφίας ἔρωτος, ᾧ ἐκ νηπίας συνηυξήθη, καὶ μέχρι γήρως διήρκεσεν. εἰ δὲ ἀδυνατεῖς πρὸς αὐτὸν ὁρᾷν, καθάπερ πρὸς τὸν ἥλιον οἱ τοὺς ὀφθαλμοὺς ἐμπαθέστεροι· σὺ δὲ ἀπόβλεψον, εἰς τὸν ὑπ' αὐτοῦ τεταγμένον τῶν ἁγίων χορὸν τοὺς πρὸς μίμησιν τῶν καθ' ἡλικίαν ζηλουμένων τῷ βίῳ λάμποντας. τοῦτον τέθεικε σκοπὸν ὁ Θεὸς τῇ ἡμετέρᾳ ζωῇ. ἐν οἷς πολλοὶ ταῖς ἡλικίαις νεάζοντες, ἐν τῷ καθαρῷ τῆς σωφροσύνης ἐπολιώθησαν, φθάσαντες τῷ λογισμῷ τὸ γῆρας, καὶ τῷ τρόπῳ παρελθόντες τὸν χρόνον· οἳ τὸν τῆς σοφίας ἔρωτα μόνον ἐγνώρισαν, οὐχ ὅτι φύσεως ἑτέρως εἶχον. ἐν ἅπασι γὰρ ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος· ἀλλ' ἐπειδὴ καλῶς ἤκουσαν τοῦ εἰπόντος, ὅτι ἡ σωφροσύνη ξύλον ἐστὶ ζωῆς πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς· ἐπὶ τούτου τοῦ ξύλου τὸν τῆς ζωῆς κλύδωνα, ὥσπερ ἐπὶ σχεδίας τινὸς διαπλεύσαντες, εἰς τὸν λιμένα τοῦ θελήματος τοῦ Θεοῦ καθωρμίσθησαν. καὶ νῦν ἐν εὐδίᾳ καὶ γαλήνῃ τὴν ψυχὴν ἀκύμαντον ἔχουσι, μακαριστοὶ τῆς εὐπλοίας, οἱ τὸ καθ' ἑαυτοὺς ἐπὶ τῆς ἀγαθῆς ἐλπίδος ὥσπερ ἐπί τινος ἀσφαλοῦς ἀγκύρας βεβαιωσάμενοι, πόρρω τῶν κυμάτων τῆς ταραχῆς ἀτρεμοῦντες, καθάπερ πυρσούς τινας ἀπὸ ὑψηλῆς φρυκτωρίας, τὴν τῶν ἰδίων βίων λαμπρότητα τοῖς ἑπομένοις προτεθείκασιν. οὐκοῦν ἔχομεν πρὸς ὃν ἀποβλέποντες ἀσφαλῶς τὸν κλύδωνα τῶν πειρασμῶν διαφεύγειν· τί μοι πολυπραγμονεῖς εἴ τινες τῶν ταῦτα διανοηθέντων ἡττήθησαν· καὶ διὰ τοῦτο ἀπογινώσκεις ὡς ἀμηχάνου τοῦ πράγματος;

A tius huius in adoleſcentia ſenectutem, contráque in decurſa ætate illius adoleſcentiam imitari debes: neque enim eius animi virtutem curſúmque ingraueſcente iam ætate tempus reſtinxit, neque huius adoleſcentia in iis rebus actuoſa fuit, in quibus adoleſcentia quia verſatur, cognoſcitur; ſed in vtraque illius ætate quædam fuit contrariarum rerum temperatio, vel potius aliqua proprietatum permutatio, vtpotè cùm ad bonum agendum acta ætate vis & natura in eo iuueniliter poſſet, floreſcente verò ætate ad prauas
B actiones minimè valeret. Sin autem illius ætatis amores inueſtigas, tu velim tibi proponas ſummum illum & feruentem diuinum ſapientiæ amorem, cui ab infantia addictus vſque ad ſenectutem permanſit: at ſi ad hunc minimè contueri potes, quales ij, qui infirmiore ſunt oculorum obtutu ad aſpiciendum ſolem, in ſanctorum illorum hominum intuere cœtum, qui ab eo inſtitutus eſt, atque illos imitare, qui vitæ ſplendore illuſtres ſingularum ætatum hominibus ad imitandum propoſiti ſunt. Hunc vitæ noſtræ ſcopum
C propoſuit Deus: multi in his adoleſcentes in ſimplici temperantia conſenuerunt, rationéque cùm ſenectutem præripuerint, & moribus temporis curſum anteuerterint, hi ſolum ſapientiæ amorem cognouerunt: non quod natura diſſimiles eſſent (in omnibus enim caro aduerſus ſpiritum concupiſcit.) ſed quoniam rectè eum audierunt, qui rectè dixit: Vitæ lignum quoddam temperantiam eſſe iis, qui in illius ſtudium incumbunt: hoc ligno, quaſi naui aliqua, illi fluctuoſum adoleſcentiæ mare prætervecti, ad portum
D diuinæ voluntatis appulerunt: iámque animo tranquillo ſunt, otioſo, atque ab omnibus fluctibus remoto: hácque felici nauigatione illi beatiſſimi quidem, quoniam cùm in optima ſpe, quaſi in tutiſſimo aliquo portu, anchoris iactis res ſuas conſtituerint, ab omni fluctuum perturbatione longè poſiti ſecurè quieſcunt: ſuæque vitæ lumen ſequentibus tanquam aliquas cœleſtis ſplendoris flammas protendunt. Igitur habemus, quò nos cùm reſpexerimus, tentationum fluctuationes tuto pertranſibimus. Quid curioſè à me quæris, an ij, qui hæc ipſa animaduerterunt, aliquando ſuperati ſint? idque propterea ignoras, quaſi res hæc difficilis ſit.

Galat. 5.

Contuere ad eum, qui perfectus eſt: fortíque ac fidenti animo te optimæ huic nauigationi, gubernatore Chriſto, Spiritus ſancti afflatu, temperantiæque nauigio vectus, committe. Neque enim qui mare nauigant, mercaturámque mari exercent, hi ab inſtituto ſpei curſu deſiſtũt, naufragio deterriti, quod quiſpiam fecerit: ſed bona ſua ſpe ipſi excitati ad perfecti muneris finem feſtinant. An non maximè omnium abſurdum eſſet, qui in errorem incidat in exquiſitiſſima viuendi ratione, improbum eum putare, qui verò in omni vita in vitiis conſeneſcit, opinari eum melius conſulere? ſi enim graue eſt ſemel peccatum admittere, proptereáque tutiſſimum eſſe ſtatuis, ſublimius aliquod inſtitutum non aggredi: quanto difficilius eſt, ſi quis vitæ ſtudium in peccato adhibeat, eámque ob cauſam puriorem vitam omnino non experiatur? Quomodo qui viuit, crucifixũ, qui peccato vegetus eſt, peccato mortuum audiet præcipientem vt ipſum ſequatur, crucem velut hoſtile trophæum corpore ferentem, is qui neque mundo crucifixus eſt neque carnẽ mortificare dignatus eſt? Quomodo Paulo, qui te his verbis adhortatur, Exhibe corpus tuum, hoſtiam viuentem, ſanctam, Deo placentem, obtemperas, qui huius ſæculi habitum induis? qui neque mentis tuæ renouatione immutatus, neque nouam huius vitæ viam ingreſſus veteris hominis vitę inſtitutum perſequeris? Quomodo Dei ſacerdotio fungeris, qui ad hoc ipſum, vt munus offerres, vnctus es? munus ſanè non omnino alienum, neque ſuppoſitum ex iis, quæ tibi extrinſecus eueniunt, ſed re vera tuum quod eſt homo tuus interior, qui tanquam agnus innocens, & perfectus eſſe debet, ab omníque macula, ac ſordibus remotus. Quomodo hæc ipſa Deo offeres, qui legi non obtemperas prohibenti, ne ſacra impurus faciat? Ac ſi Deum tibi apparere expetis, quid cauſæ eſt, cur Moſem non audias, qui populo edicit, vt à nuptiis purus ſit, quo Dei aſpectum comprehendat? ſin exigua hæc tibi videntur, cum Chriſto ſimul crucifixum eſſe, ſe ipſum hoſtiam Deo exibere, ſacerdotem fieri altiſſimi, magnóq. illo Dei ſplendore dignum haberi, quæ altiora

Philip. 4.

A πρὸς τὸν κατωρθωκότα βλέπε, καὶ θαῤῥῶν κατατόλμησον τῆς ἀγαθῆς ναυτιλίας τῇ ἐπιπνοίᾳ τοῦ ἁγίου πνεύματος, ὑπὸ κυβερνήτῃ τῷ Χριστῷ ἐν τῷ πηδαλίῳ τῆς εὐφροσύνης εὐθυνόμενος. οὐδὲ γὰρ οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, καὶ ποιοῦντες ἐργασίας ἐν ὕδασι πολλοῖς, τὸ συμβάν τινι ναυάγιον κώλυμα τῆς ἐλπίδος πεποίηνται· ἀλλὰ τὴν ἀγαθὴν ἐλπίδα ἑαυτῶν προβαλλόμενοι, ἐπὶ τὸ πέρας τοῦ κατορθώματος σπεύδουσιν· οὐχὶ πάντων ἀτοπώτατον ἂν εἴη, τῷ μὲν σφαλῆναί τινα ἐν τῷ ἠκριβωμένῳ πονηρὸν τίθεσθαι, ὅλον B δὲ τὸν βίον καταγηράσαντας ἐν σφάλμασιν ἄμεινον ἡγεῖσθαι βουλεύεσθαι; εἰ γὰρ δεινὸν ἐστιν ἅπαξ προσπταῖσαι τῇ ἁμαρτίᾳ, καὶ διὰ τοῦτο ἀσφαλὲς εἶναι νομίζεις τὸ, μηδὲ ἐγχειρεῖν τῷ ὑψηλοτέρῳ σκοπῷ, πόσῳ χαλεπώτερόν ἐστιν ἐπιτήδευμα βίου τὴν ἁμαρτίαν ποιήσασθαι, καὶ διὰ τοῦτο ἀμετόχους καθόλου τῆς καθαρωτέρας διαμεῖναι ζωῆς; πῶς ἀκούσῃ τοῦ ἐσταυρωμένου, ὁ ζῶν, τοῦ ἀποθανόντος τῇ ἁμαρτίᾳ, ὁ κατ' αὐτὴν ὑγιαίνων, τοῦ κελεύοντος τὴν ἀκολούθησιν ὀπίσω αὐτοῦ, ὥσπερ τι τρόπαιον κατὰ τοῦ ἀντικειμένου τὸν C σταυρὸν ἐπὶ τοῦ σώματος φέροντος, ὁ μὴ σταυρούμενος τῷ κόσμῳ, καὶ τὴν νέκρωσιν τῆς σαρκὸς μὴ δεχόμενος; πῶς πείθῃ τῷ παρακαλοῦντί σε Παύλῳ παραστῆσαι τὸ σῶμά σου θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, ὁ συσχηματιζόμενος τῷ αἰῶνι τούτῳ, καὶ μὴ μεταμορφούμενος τῇ ἀνακαινώσει τοῦ νοός σου, μηδὲ περιπατῶν ἐν τῇ καινότητι τῆς ζωῆς ταύτης, ἀλλ' ἔτι τὴν ἀκολουθίαν τοῦ παλαιοῦ ἀνθρώπου ζωῆς περιέπων; πῶς ἱερατεύσῃς Θεῷ, καί τοι εἰς αὐτὸ τοῦτο χρισθεὶς, εἰς τὸ προσφέρειν δῶρον τῷ Θεῷ· δῶρον δὲ οὐκ D ἀλλότριόν τι πάντως, οὐδὲ ὑποβολιμαῖον ἐκ τῶν ἔξωθέν σοι παρεπομένων, ἀλλὰ τὸ ἀληθῶς σόν. ὅπερ ἐστὶν ὁ ἔσω ἄνθρωπος, τέλειός τε καὶ ἄμωμος εἶναι ὀφείλων, κατὰ τὸν περὶ τοῦ ἀμνοῦ νόμον, πάσης κηλῖδός τε καὶ λώβης ἀπηλλαγμένον; πῶς οὖν ταῦτα προσοίσῃς Θεῷ, ὁ μὴ ἀκούων τοῦ κωλύεσθαι ἱερᾶσθαι τὸν ἄναγνον; εἰ δὲ καὶ τὸν Θεὸν ἐπιφανῆναί σοι ποθεῖς, τί οὐκ ἀκούεις τοῦ Μωυσέως, καθαρεύειν ἀπὸ γάμου τῷ λαῷ παραγγέλλοντος, ἵνα χωρήσωσι τοῦ Θεοῦ τὴν ἐμφάνειαν; εἰ δὲ μικρά σοι ταῦτα δοκεῖ τὸ, συσταυρωθῆναι Χριστῷ· τὸ, παραστῆσαι ἑαυτὸν θυσίαν Θεῷ· τὸ, ἱερέα γενέσθαι τοῦ Θεοῦ τοῦ ὑψίστου· τὸ, τῆς μεγάλης τοῦ Θεοῦ ἐπι-

A φανείας ἀξιωθῆναι· τί σοι τούτων ἐπινοήσωμεν ὑψηλότερον, εἴπερ σοι μικρὰ καὶ τὰ ἀπὸ τούτων δόξει; ἐκ μὲν γὰρ τοῦ συσταυρωθῆναι, καὶ συζῆσαι, καὶ συνδοξασθῆναι, καὶ συμβασιλεῦσαι προσγίνεται. ἐκ δὲ τοῦ ἑαυτὸν παραστῆσαι τῷ Θεῷ, ἀπὸ τῆς ἀνθρωπίνης φύσεως καὶ ἀξίας, εἰς τὴν ἀγγελικὴν ἔστι μεταταξάσθαι· οὕτω γάρ φησι καὶ ὁ Δανιὴλ, ὅτι χίλιαι χιλιάδες παρειστήκεισαν αὐτῷ. ὁ δὲ τῆς ἀληθινῆς ἱερωσύνης λαβόμενος, καὶ τῷ μεγάλῳ ἀρχιερεῖ ἑαυτὸν συντάξας, μένει πάντως καὶ αὐτὸς ἱερεὺς εἰς τὸν αἰῶνα, οὐκέτι θανάτῳ παραμένειν εἰς τὸ διηνεκὲς κωλυόμενος. B τοῦ δὲ τὸν Θεὸν εἰπεῖν καταξιωθῆναι ἰδεῖν, οὐκ ἄλλος τίς ἐστιν ὁ καρπὸς, ἢ αὐτὸ τοῦτο τὸ καταξιωθῆναι τὸν Θεὸν ἰδεῖν· πάσης γὰρ ἐλπίδος ἡ κορυφὴ, καὶ πάσης ἐπιθυμίας, εὐλογίας τε Θεοῦ ἐπαγγελίας πάσης, καὶ τῶν ἀῤῥήτων ἀγαθῶν, τῶν ὑπὲρ αἴσθησίν τε καὶ γνῶσιν πεπιστευμένων, τὸ πέρας καὶ τὸ κεφάλαιον τοῦτό ἐστιν, ὃ καὶ ὁ Μωσῆς ἰδεῖν ἐπεπόθησε, καὶ πολλοὶ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν· ἀξιοῦνται δὲ μόνοι οἱ καθαροὶ τῇ καρδίᾳ, οἱ διὰ τοῦτο ὄντως μακάριοι καὶ C ὄντες καὶ ὀνομαζόμενοι, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται· ὧν ἕνεκα καί σε βουλόμεθα γενέσθαι συσταυρωθέντα Χριστῷ, παραστάντα τῷ Θεῷ ἁγνὸν ἱερέα, καὶ καθαρὸν θῦμα γενόμενον, ἐν πάσῃ καθαρότητι διὰ τῆς ἁγνείας ἑαυτὸν ἑτοιμάσαντα τῇ τοῦ Θεοῦ παρουσίᾳ· ἵνα καὶ αὐτὸς ἴδῃς τὸν Θεὸν ἐν καθαρᾷ τῇ καρδίᾳ, κατὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. D

nos tibi commentabimur? ſi quæ ex iis conſequantur, leuia etiam putabis? ex eo enim quòd ſimul crucifigatur, vnà etiam viuere, ac gloria florere, & regnare acquiritur? ex eo autē, quòd ſeipſum Deo quis exhibuit, ab humana natura dignitatéque licet in Angelicam commutari. Ita enim Daniel, Millies mille *Daniel.7.* aſtiterunt ei. Qui autem eſt ab eo acceptus, qui verum ſacrificium eſt; ſummóque ſacerdotum principi ſe ipſum conſtituit, manet omnino & ipſe ſacerdos in æternum, nec à morte in ſempiternum permanere prohibetur. Illius verò, qui dignum ſe Deum videre putauit, non aliquis alius fructus eſt, quàm hoc ipſum, nempe quòd Deum videre dignus habitus eſt. Omnis enim ſpei ſumma, omnis cupiditatis perfectio, omnis & beneficentiæ, & promiſſi diuini, & ineffabilium bonorum, quæ neque ſenſu, neque cognitione percipi poſſe credita ſunt, finis hic eſt atque caput. Hoc Moſes expetiuit, hoc multi prophetæ, hoc & reges videre cupierunt: ſoli verò hi digni putantur, qui corde puri, qui ob hoc ipſum beati ſunt & habentur, quoniam ipſi Deum videbunt. ex quibus te vnum fieri volumus, *Matth.5.* qui cum Chriſto vna crucifixus, te purum ſacerdotem Deo exhibeas: quíve omni pura integritate ſacrificium purum factus caſtitatis, ipſius præſidio te ad aduentum Domini pares, vt tu quoquoque puro corde Deum aſpicias, vt promiſſio nobis facta eſt a Deo ſeruatoréque noſtro Ieſu Chriſto, cum quo gloria omnipotenti Deo, vnà cum Spiritu ſancto in ſempiterna ſæcula, Amen.

A

EIVSDEM CONTRA Manichæos ſermo, decem conſtans ſyllogiſmis, quo probatur, Malum corruptibile eſſe & creatum & non ſubſiſtens, eiúſque patrem Diabolum increatum non eſſe.

SI quid ſit malum, puniendum eſt: nihil autem quod punitur incorruptibile eſt. Nihil igitur malum eſt incorruptibile.

Nihil corruptibile eſt increatum: malum autem eſt corruptibile: Ergo malum non eſt increatum.

Nihil ſecundum ſubſtantiam malum eſt: quòd malitia ſit qualitas. Nulla porro qualitas eſt ſubſtantia: malum igitur non eſt ſubſtantia.

Omnia contraria à ſe inuicem corrumpuntur: quæ autem increata ſunt, non ſunt corruptibilia; Ergo contraria non ſunt incorruptibilia.

Nihil increatũ mutabile eſt: bonum autem à malo ſuperatum mutatur: bonum igitur non eſt increatum.

Quod increatũ eſt, non eſt eiuſmodi, vt interitum appetat, aut interitum afferre poſſit: atqui malum interitum appetit: malum ergo non eſt increatum.

Suppliciis plecti non alios tantum malos, ſed ipſum diabolum Scripturæ ſacræ teſtantur: quicquid autem ſupplicio plectitur eſt mutabile, nihil porro mutabile increatum eſt, nihil igitur ex malis increatum eſt.

Nihil commune eſt iis, quæ penitus ſunt contraria. Itaque neceſſarium omnino eſt, vt cum bonum exiſtat, id quod malum eſt non exiſtat.

Quicumque cum ratione appetit, appetitum ſuũ expleri ac perfici videt, quatenus cum ratione appetit: cum autem corruptibilium appetitu teneatur malitia, delebitur. Si autem deleatur, non eſt increata.

Increatum ſi ſit malum ſecundum naturam, eo ipſo exiſtit quòd malum eſt. Atqui nemo ſecundum naturam agens peccat: quod ergo increatum eſt, non peccat. Quod non peccat, non eſt obnoxium ſupplicio. Satanas autem eſt ſupplicio obnoxius: Non ergo res eſt increata.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ λόγος, δώδεκα συλλογισμοῖς, ὅτι τὸ κακὸν, φθαρτὸν καὶ γεννητὸν καὶ ἀνυπόστατον, καὶ ὁ τούτου δὲ πατὴρ διάβολος οὐκ ἀγέννητος.

ΕΙ τι ἂν κακὸν, κολαστέον, οὐδὲν δὲ κολαζόμενον ἄφθαρτον. οὐδὲν ἄρα κακὸν ἄφθαρτον.

B Οὐδὲν φθαρτὸν ἀγέννητον, ἔστι δὲ τὸ κακὸν φθαρτόν· τὸ ἄρα κακὸν οὐκ ἀγέννητον.

Οὐδὲν κατ' οὐσίαν κακόν· τῷ τὸ κακὸν ποιὸν εἶναι. οὐδὲν δὲ ποιὸν οὐσία· τὸ ἄρα κακὸν οὐκ οὐσία.

Πάντα τὰ ἐναντία ἀλλήλων φθαρτά· τὰ δὲ ἀγέννητα ὄντα οὐ φθαρτά· τὰ ἄρα ἐναντία οὐκ ἄφθαρτα.

Οὐδὲν ἀγέννητον τρεπτόν· τρέπεται δὲ τὸ ἀγαθὸν κρατηθὲν ὑπὸ τοῦ κακοῦ· τὸ ἄρα ἀγαθὸν οὐκ ἀγέννητον.

C Τὸ ἀγέννητον οὐκ ἔστιν ὀρεκτικὸν φθορᾶς τινός, οὐδέ γε φθαρτικόν· τὸ δέ γε κακὸν ὀρεκτικὸν φθορᾶς· τὸ ἄρα κακὸν οὐκ ἀγέννητον.

Αἱ θεῖαι γραφαὶ ταῖς κολάσεσι παραδίδοσθαι οὐ τοὺς ἄλλους μόνους κακοὺς, ἀλλὰ καὶ αὐτὸν τὸν διάβολον λέγουσι· πᾶν δὲ τὸ κολάσει παραδιδόμενον τρεπτόν· οὐδὲν δὲ τρεπτὸν ἀγέννητον· οὐδὲν ἄρα τῶν κακῶν ἀγέννητον.

Τῶν δὲ ὅλου ἐναντιουμένων, οὐδὲν κοινόν. ὥστε πᾶσα ἀνάγκη τὸ ὑπάρχει, μὴ ὂν ἄρα τὸ κακόν.

D Πᾶς ὁ εὐλόγως ὀρεγόμενός τινος, ἐπιτετευγμένην ἔχει τὴν ὄρεξιν, ᾗ εὐλόγως ὀρέγεται· τῶν φθαρτῶν ἄρα ἐστὶν ἡ κακία, τῶν φθαρτῶν οὖσα ἀφανισθήσεται. ἀφανιζομένη δὲ, οὐκ ἔστιν ἀγέννητος.

Ἀγέννητον τὸ κακὸν, κατὰ φύσιν αὐτῷ ὑπάρχει τὸ κακὸν εἶναι. οὐδεὶς δὲ κατὰ φύσιν ἐνεργῶν ἁμαρτάνει· τὸ ἄρα ἀγέννητον οὐχ ἁμαρτάνει. τὸ μὴ ἁμαρτάνον, οὐχ ὑπαίτιον. ὑπαίτιος δὲ ὁ Σατανᾶς· οὐκ ἄρα ἀγέννητον.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ, ΠΕΡΙ ψυχῆς καὶ ἀναστάσεως, ὁ λεγόμενος λόγος τὰ Μακρίνια.

ΕΠΕΙΔΗ τοῦ ἀνθρω- B
πίνου βίου πρὸς Θεὸν
μετέστη ὁ πολὺς ἐν ἁ-
γίοις Βασίλειος, καὶ κοι-
νὴ πένθους καὶ ὁρμὴ ταῖς
ἐκκλησίαις ἐγένετο· πε-
ριῆν δὲ ἔτι τῷ βίῳ ἡ
ἀδελφὴ καὶ διδάσκαλος, ἐγὼ μὲν εἶχον κατὰ σπου-
δὴν κοινωνήσων ἐκείνῃ τῆς ἐπὶ τῷ ἀδελφῷ συμ-
φορᾶς. καί μοι περιώδυνος ἦν ἡ ψυχὴ, πρὸς
τοσαύτην ζημίαν ὑπεραλγοῦσα, καί τινα τῶν
δακρύων κοινωνὸν ἐπεζήτουν, τὸ ἴσον ἔχοντά μοι
τῆς λύπης ἄχθος. ὡς δὲ ἐν ὀφθαλμοῖς ἦμεν C
ἀλλήλων, ἐμοὶ μὲν ἀνεκίνει τὸ πάθος προ-
φανεῖσα τοῖς ὀφθαλμοῖς ἡ διδάσκαλος. καὶ γὰρ
ἤδη καὶ αὐτὴ τῇ πρὸς θάνατον ἀῤῥωστίᾳ συν-
είχετο· ἡ δὲ κατὰ τοὺς τῆς ἱππικῆς ἐπιστήμονας
ἐνδοῦσά μοι πρὸς ὀλίγον παρενεχθῆναι τῇ ῥύ-
μῃ τοῦ πάθους· ἀναστομοῦν ἐπεχείρει μετὰ ταῦ-
τα τῷ λόγῳ, καθάπερ χαλινῷ τινὶ τῷ ἰδίῳ
λογισμῷ τὸ ἄτακτον τῆς ψυχῆς ἀπευθύνουσα,
καὶ ἦν αὐτῇ τὸ ἀποστολικὸν λόγιον προφε-
ρόμενον, τὸ μὴ δεῖν ἐπὶ τῶν κεκοιμημένων λυ-
πεῖσθαι. μόνων γὰρ τοῦτο τῶν οὐκ ἐχόντων ἐλπί-
δα τὸ πάθος εἶναι· κἀγὼ περιζεούσης ἔτι μοι D
τῆς καρδίας τῇ λύπῃ· πῶς ἐστιν, εἶπον, ἐν ἀν-
θρώποις τοῦτο κατορθωθῆναι· οὕτως ἐν ἑκά-
στῳ φυσικοῦ τινος πρὸς τὸν θάνατον τῆς διαβολῆς
ὑπαρχούσης, καὶ οὔτε τῶν ὁρώντων τοὺς
ἀποθνήσκοντας εὐκόλως καταδεχομένων τὴν
θέαν, οἷς τι ἂν προσσήει ὁ θάνατος ἀποφευ-
γόντων, ἐφ' ὅσον οἷόν τε; ἀλλὰ καὶ τῶν ἐπικειμέ-

Sancti Patris noſtri

GREGORII NYSSENI EPISCOPI DE ANIMA ET Reſurrectione dialogus, qui Macrinia inſcribitur.

Laurentio Siſano interprete.

CVM ingens ille inter ſanctos Baſilius ex humana vita ad Deum migraſſet, & communis cauſſa luctus Eccleſiis extitiſſet, atque etiam nunc ſoror & magiſtra, vitæ ſuperſtes eſſet, ego quidem ſtudioſè ibam, vt cum illa communicarem calamitatem morte fratris acceptam. Ac mihi tanto accepto detrimento animus vehementer anxius atque dolore confectus erat, & aliquem ſocium lachrymarum requirebam, qui æquè magnum ægritudinis onus ſuſciperet atque ego. Vt autem alter alteri fuimus in conſpectu, mihi quidem magiſtra procul viſa refricuit animi dolorem. Etenim iam etiam ipſa mortifero atque lethali morbo correpta erat. At illa quemadmodum equorum regendorum artis periti facere ſolent, cùm permiſiſſet mihi, vt impetu doloris pauliſper tranſuerſus agerer, poſtea oratione me reprimere atque cohibere conabatur, rationibus ſuis tanquam aliquo fræno incompoſitum, indecorum & inordinatum animi mei dirigẽs affectum: ac proferebat Apoſtolicũ illud dictum, quod non angi & mœrere oporteat propter eos, qui obdormiuerunt. Solis enim iis, qui ſpem non habeant, id accidere ſolere: atque ego, cum cor mihi ægritudine atque dolore etiam tunc vndique ferueret & æſtuaret, quo pacto, inquam, poteſt id inter homines præſtari, cùm adeò naturalis quædam vnicuique aduerſus mortem calumnia atque querela inſita ſit? ac neque qui vident morientes, ſpectare facilè ſuſtineant, & quibus mors imminet, quoad eius fieri poteſt, eam refugiant? quin etiam cùm leges,

quibus vtimur ac regimur, vt in maleficiis, ita in ſuppliciis hanc extremum iudicent, quo pacto, quibúſve rationibus effici poteſt, vt quis vel in extremo & alieno aliquo vitæ ſeparationem & receſſum pro nihilo ducat, nedum in propinquis ac neceſſariis vitam finientibus? Videmus autem, inquam, omne quoque ſtudium hominum eò ſpectare, vt in vita permaneamus. Nam idcirco domicilia quoque à nobis, ne vel per æſtum vel frigus ab aëre circumfuſo corpus affligeretur & conficeretur, ad inhabitandum excogitata ſunt. Agricultura verò quid eſt aliud, quàm vitæ apparatus & ſubſidium? nam cura atque ſolicitudo vitæ metu mortis prorſus adhibetur. quid item medicina? qua de cauſſa ab hominibus in honore habetur? an non propterea quia pugnare quodammodo cum morte ea ars videtur? thoraces verò, loricæ, clypei, ocreæ, galeæ, & innumera arma, quibus vim homines à corpore propulſant: murorum item ambitus, portæ ferreæ, foſſarum munitiones, cæteraque eiuſdem modi, qua alia de cauſſa fiunt, præterquam metu mortis? Cum igitur naturaliter mors adeò terribilis ac formidabilis ſit, quî facilè obtemperari poteſt ei, qui iubeat ſuperſtitem ob alterius mortem expertem ægritudinis permanere? Quid verò, qua maximè de cauſſa tibi, inquit magiſtra, ipſa per ſeſe mortis neceſſitas acerba atque moleſta videtur? Non enim ſatis eſt ad criminandum & conquerendum conſuetudo eorum, qui ratione minus vtuntur. Quid enimuerò, an non res digna mœroris eſt, ad eam inquam ego, cùm videmus eum, qui paulò antè viuebat & loquebatur, ſine ſpiritu, ſine voce, immobilem repentè factum, omniáque ei ſenſuum naturalia vaſa & inſtrumenta extincta, non oculis, non auribus, non alio quoquam eorum, quorum apprehēſionem, ſubſidium atque auxiliū ſenſus habet, operante, atque officiū ſuum faciente? cui ſiue ignem, ſiue ferrum admoueas, ſiue gladio corpus incidas, ſiue carniuoris feris obijcias, ſiue humi defodias, ad omnia ſimiliter iacēs efficitur. Cum igitur in his conſiſtere mutatio videatur, vitaliſque illa cauſſa, quæcumque tamdem illa erat, repentè viſui ſubducta atque extincta, incertum quò cōceſſerit, vbi vel lateat, quemadmodum in lucerna extincta fit, cùm flamma, quæ modò in ea accenſa erat,

A τῶν νόμων ἔσχατον ἐν ἀδικίαις καὶ ἔσχατον ἐν τιμωρίαις τοῦτο κρινόντων, τίς μηχανὴ τὸ μηδὲν ἡγεῖσθαι τὴν τοῦ ζῆν ἀναχώρησιν, καὶ ἐπὶ τῶν ἔξω τινὸς μὴ ὅτι γε τῶν ἐπιτηδείων, ὅταν τοῦ βίου λήγωσιν; ὁρῶμεν δέ, εἶπον, καὶ πᾶσαν τὴν ἀνθρωπίνην ζωὴν πρὸς τοῦτο βλέπουσαν, ὅπως ἂν ἐν τῷ ζῆν διαμένοιμεν. διὰ τοῦτο γὰρ καὶ οἶκοι πρὸς διαγωγὴν ἡμῖν ἐπινενόηνται, ὡς ἂν μὴ τῷ περιόντι διὰ ψύξεως ἢ θερμότητος καταπονεῖτο τὰ σώματα. γεηπονία δὲ τί ἄλλο καὶ οὐχὶ τοῦ ζῆν ἐστὶ παρασκευή; ἡ δὲ τῆς ζωῆς φροντὶς πάντως διὰ τὸν B τοῦ θανάτου; γίνεται· τί δὲ ἰατρικὴ φόβου πόθεν τιμία τοῖς ἀνθρώποις ἐστίν; οὐχ ὅτι μάχεσθαι πως διὰ τῆς τέχνης δοκεῖ πρὸς τὸν θάνατον; θώρακες δέ, καὶ θυρεοί, καὶ κνημῖδες, καὶ κράνη, καὶ τὰ ἀμυντήρια τῶν ὅπλων, καὶ αἱ τῶν τειχῶν περιβολαί, καὶ σιδηρόδετοι πύλαι· καὶ ἡ τῶν τάφρων ἀσφάλεια, καὶ τὰ τοιαῦτα, τί ἄλλο πλὴν διὰ τὸν τοῦ θανάτου γίνεται φόβον; οὕτως οὖν ὄντος φοβεροῦ φυσικῶς τοῦ θανάτου πῶς ἐστὶ ῥᾳδίως πεισθῆναι τῷ κελεύοντι ἄλυπον διαμένειν ἐπὶ τοῦ κατοιχομένου τὸν περιόντα; τί C δέ, φησὶν ἡ διδάσκαλος, τί σοι μάλιστα λυπηρὸν αὐτὸ ἐφ' ἑαυτοῦ, ὃ τοῦ θανάτου ἀναγκαῖον δοκεῖ; οὐ γὰρ ἱκανὴ εἰς διαβολὴν ἡ τῶν ἀλογωτέρων συνήθεια. τί μὲν οὖν οὐκ ἔστι λύπης ἄξιον, πρὸς αὐτὴν εἶπον ἐγώ, ὅταν βλέπωμεν τὸν τέως ζῶντά τε καὶ φθεγγόμενον, ἄπνουν καὶ ἀκίνητον ἀθρόως γινόμενον, καὶ πάντα αὐτῷ σβεσθέντα τὰ φυσικὰ αἰσθητήρια, οὐκ ὄψεως, οὐκ ἀκοῆς ἐνεργούσης, οὐκ ἄλλου τινὸς ὧν ἡ αἴσθησις τὴν ἀντίληψιν ἔχει, κἂν πῦρ προσενέγκῃς, κἂν σίδηρον, κἂν διατέμῃς διὰ ξίφους τὸ D σῶμα, κἂν τοῖς σαρκοβόροις προθῇς, κἂν ἐγκρύψῃς χώματι, πρὸς ἅπαντα ὁμοίως ὁ κείμενος. ὅταν οὖν ἐν τούτοις βλέπηται ἡ μεταβολή, τὸ δὲ ζωτικὸν ἐκεῖνο αἴτιον, ὅτι ποτὲ ἦν ἀφανές τε καὶ ἄδηλον ἀθρόως γίνηται, καθάπερ ἐπὶ λύχνου σβεσθέντος τῆς τέως ἐξαπτομένης αὐτοῦ φλογὸς

οὔτε ἐπὶ τῆς θρυαλλίδος μενούσης, οὔτε ἑτέρωθί που μεθισταμένης, ἀλλ' εἰς ἀφανισμὸν παντελῆ μεταχωρούσης, πῶς ἂν γένοιτο τὴν τοσαύτην μεταβολὴν ἐνεγκεῖν ἀλύπως, μὴ πρὸς δήλως ὑπερειδόμενον; ἔξοδον γὰρ ἀκούσαντες, τὸ μὲν ὑπολειφθὲν ὁρῶμεν· τὸ δὲ χωρισθὲν ἀγνοοῦμεν, αὐτό τε ὅτι ποτὲ κατὰ τὴν φύσιν ἐστὶ, καὶ εἰς ὅτι μετακεχώρηκεν, οὐ γῆς, οὐκ ἀέρος, οὐχ ὕδατος, οὐκ ἄλλου τινὸς τῶν στοιχείων ἐν ἑαυτῷ δεικνῦντος ἐκείνην δύναμιν τὴν τοῦ σώματος ἐκχωρήσασαν· ἧς ὑπεξελθούσης νεκρὸν ἐστὶ τὸ ὑπολειφθὲν καὶ πρὸς διαφθορὰν ἤδη κείμενον. Ταῦτα δέ μου διεξιόντος μεταξὺ μεταστείσασα τῇ χειρὶ ἡ διδάσκαλος· μή τίς σε τοιοῦτος, φησὶ, φόβος ὑποταράσσει καὶ συνέχει τὴν διάνοιαν, ὡς οὐ διαμενούσης εἰσαεὶ τῆς ψυχῆς, ἀλλὰ συγκαταληγούσης τῇ διαλύσει τοῦ σώματος; ἐγὼ δὲ, καὶ γὰρ οὔπω τοῦ πάθους τὸν λογισμὸν ἀνεδεξάμην, θρασύτερόν πως ἀποκρινάμενος, οὐ πάνυ περιεσκεψάμενος τὸ λεγόμενον. εἶπον γὰρ ἐπιτάγμασιν ἐοικέναι τὰς θείας φωνὰς, δι' ὧν τὸ μὲν δεῖν πεπεῖσθαι τὴν ψυχὴν εἰσαεὶ διαμένειν ἀναγκαζόμεθα, οὐ μὴν λόγῳ τινὶ τῷ τοιούτῳ προσηχθημένῳ δόγματι. ἀλλ' ἔοικεν ἡμῖν δουλικῶς ἔνδοθεν ὁ νοῦς φόβῳ τὸ κελευόμενον δέχεσθαι, οὐδὲ ἑκουσίᾳ τινὶ ὁρμῇ τοῖς λεγομένοις συντίθεσθαι. ὅθεν καὶ βαρύτεραι ἡμῖν ἐπὶ τῶν κατοιχομένων αἱ λῦπαι γίνονται, οὐκ ἀκριβῶς ἐπισταμένοις ἡμῖν εἴ τέ τι ἐστὶ καθ' αὑτὸ τοῦτο τὸ ζωοποιὸν αἴτιον, καὶ ὅπῃ, καὶ ὅπως, εἴτε οὐκ ἔστιν οὐδαμῇ οὐδαμῶς. ἴσως γὰρ ποιεῖ τοῦ ἀληθῶς ὄντος ἡ ἀδηλία τὰς ἐφ' ἑκάτερον ὑπολείψεις. καὶ πολλοῖς μὲν τοῦτο, πολλοῖς δὲ τὸ ἐναντίον δοκεῖ· καὶ εἰσί γέ τινες παρὰ τοῖς Ἕλλησιν οὐ μικρὰν ἔχοντες ἐπὶ φιλοσοφίᾳ τὴν δόξαν, οἳ ταῦτα ᾠήθησάν τε καὶ ἀπεφήναντο. ἔα, φησὶ, τοὺς ἔξωθεν λήρους, ἐν οἷς ὁ τοῦ ψεύδους εὑρέτης ἐπὶ βλάβῃ τῆς ἀληθείας πιθανῶς τὰς ἠπατημένας ὑπολήψεις συντίθησιν. σὺ δὲ πρὸς τοῦτο βλέπε, ὅτι τὸ οὕτως περὶ ψυχῆς ἔχειν, οὐδὲν ἄλλο ἐστὶν,

A neque in ellychnio manet, neque aliò quopiam tranſit ac recedit, ſed ad extremum interitum & abolitionem redigitur atque tranſmigrat: quî fieri poſſit, vt tantam mutationem, qui nulla re certa confirmetur, ſine animi dolore ferre poſſit? Exitu enim animæ audito, quod quidem relictum eſt, videmus: quod autem ſeparatum atque diſiunctum eſt, tum ipſum quid tandem ſecundum naturam ſit, tum in quid conceſſerit atque redactum ſit, ignoramus, non aëre, non terra, B non aqua, non alio quopiam elemento in ſeſe oſtendente illam vim, quæ exceſſerit è corpore: qua egreſſa atque ſubducta, quod relinquitur, mortuum eſt, & corruptioni iam expoſitum. Hæc cùm ego dixiſſem, manu interim ſilentio imperato magiſtra: Nunquid eiuſmodi, inquit, metus te perturbat, & mentem tuam angit, quaſi anima non ſemper permaneat, ſed vnà cum diſſolutione corporis, ipſa quoque eſſe deſinat? Ego verò (etenim nondum ab ægritudine ac perturbatione rationem collegeram) C audacius proteruiúſque quodammodo, quid diceretur, non admodum conſiderans, reſpondi. Dixi enim diuinas voces præceptis & edictis eſſe ſimiles, quibus credere quidem cogamur, animam oportere in perpetuum permanere, non autem aliqua ratione ad eiuſmodi ſententiam adducamur. Sed videtur nobis mens intra nos ſeruilem in modum metu probare quod iubetur, non voluntario quodam motu iis, quæ dicantur, aſſentiri. Vnde etiam fit, vt grauius mortuorum nomine doleamus; D cùm plenè & exactè non ſciamus ſitne adhuc per ſeſe hæc viuifica cauſſa, & vbi, & quomodo, an verò nuſquam ſit vllo modo. Nam incertitudo eius quod reuera eſt, pares efficit in vtramque partem opiniones. Ac multis quidem hoc, multis verò contrarium videtur: & ſunt ſanè apud Græcos quidam non in parua propter philoſophiam exiſtimatione, qui hæc & opinati ſunt & pronuntiauerunt. Mitte, inquit, externas nugas, in quibus mendacij inuentor in detrimentum veritatis probabiliter falſas opiniones componit. Tu verò huc reſpice, quòd ita de anima ſentire, nihil eſt aliud,

A quàm à virtute alienum eſſe, & id quod in præſentia ſuaue & iucundum eſt, ſolum ſpectare: eam autem vitam, quæ in infinitis ſeculis conſideratur, per quam ſola virtus eminet atque ſuperior eſt, deſperare. Et quo pacto, inquam, firmam aliquam, ſtabilem, fixam & immobilem habere poſſimus opinionẽ, qua animam credamus permanere? Nam & ipſe & ſentio, quòd re omnium pulcherrima in vita (de virtute loquor) vita hominum caritura fuerit, niſi aliqua certa & non ambigua de hac re fides in nobis firmata fuerit. Quomodo enim virtus habere locum poſſit in iis, qui id, quod eſt, præ-
B ſenti vita circũſcribi ſibi perſuaſum habent, & poſt eam nihil amplius ſperant? Ergo quærere, magiſtra inquit, oportet, vnde nobis conueniens & idoneum de hac quæſtione principium oratio ſumere poſſit. Ac, ſi placet, abs te contrariarum opinionum atque ſententiarum propugnatio atque defenſio ſuſcipiatur (nam video, quòd etiam animus tibi motus eſt ac geſtit eas tibi deferri partes) deinde hoc modo poſt oppoſitionem veritatis ratio requiretur. Poſteaquam autem ita facere iuſſit, depre-
C catus ab ea, ne quæ à nobis contradicerentur, pro ſeria ac vera contradictione acciperet, ſed idcirco proferri, vt doctrina de anima firmiter conſtitueretur, ac probaretur, oppoſitis ad hanc intentionem ſolutis. Nónne, inquam, hæc dixerint, qui contrariam opinionem defendunt, quòd corpus cùm compoſitum ſit, prorſus ex quibus conſtat, in ea diſſoluatur? ſoluta autem ea, quæ eſt in corpore, elementorum coalitione atque concretione, vnumquódque, vt par eſt, ad proprium fertur, vergit & inclinat, ipſa natura elementorum per attractionem quandam
D neceſſariam ei, quod eſt eiuſdem generis ſuum reddente. Nam & cum calido rurſus vnietur id, quod in nobis eſt calidum, & cum ſolido ac duro terreum: atque ex reliquis vnumquódque ad cognatum redigitur & recedit. Anima ergo poſtmodum vbi erit? Nam ſi quidem aliquis dicat eam in elementis eſſe, eandem illam eſſe cum his, neceſſariò concedet atq. aſſentietur: non enim aliqua cum alieno mixtio fieri poſſit eius, quod eſt diuerſæ naturæ, & ſi hęc ita ſint, varia quædam prorſus videbitur, vt quæ cum contrariis ſit mixta qualitatibus,

A ἢ ἀλλότριον πρὸς τὴν ἀρετὴν ἔχειν, καὶ πρὸς τὸ παρὸν ἡδὺ μόνον βλέπειν· τὴν δὲ τοῖς αἰῶσιν ἐνθεωρουμένην ζωὴν ἀπ' ἐλπίδος ποιεῖσθαι, καθ' ἣν μόνην ἡ ἀρετὴ τὸ πλέον ἔχει. καὶ πῶς ἔφην γένοιτ' ἂν ἡμῖν παγία τις καὶ ἀμετάθετος ἡ περὶ τοῦ διαμένειν τὴν ψυχὴν δόξα· αἰσθάνομαι γὰρ καὶ αὐτὸς ὅτι τοῦ καλλίστου τὸν κατὰ τὴν ζωὴν τῆς ἀρετῆς λέγω, ὁ τῶν ἀνθρώπων χηρεύσει βίος· εἰ μή τις ἀμφίβολος ἡ περὶ τούτου πίστις ἐν ἡμῖν κρατυνθείη. πῶς γὰρ ἔστι τὴν ἀρετὴν χώραν ἔχειν ἐφ' ὧν ἡ παροῦσα ζωὴ περιγράφειν τὸ εἶναι ὑπείληπται,
B καὶ πλέον ἐλπίζεται μετὰ ταύτην οὐδέν; Οὐκοῦν ζητῆσαι χρὴ, φησὶν ἡ διδάσκαλος, ὅθεν ἂν ἡμῖν τὴν δέουσαν περὶ τούτων ἀρχὴν ὁ λόγος λάβοι, καὶ εἰ δοκεῖ, παρὰ σοῦ γινέσθω τῶν ἐναντίων δογμάτων ἡ συμμαχία. ὁρῶ γὰρ ὅτι σοι καὶ ὑποκεκίνηται πρὸς τὴν τοιαύτην καταφορὰν ἡ διάνοια· εἶθ' οὕτως ὁ τῆς ἀληθείας μετὰ τὴν ἀντίθεσιν ἀναζητηθήσεται λόγος. Ἐπεὶ δὲ τοῦτο ἐκέλευσε παραιτησάμενος αὐτὴν μὴ κατὰ ἀλήθειαν οἰηθῆναι τὰ παρ' ἡμῶν ἀντιλέγεσθαι· ἀλλ' ὑπὲρ τοῦ βεβαίως κατασκευα-
A οὐ συμβαινόντων αὐτῇ κατὰ τὸν λόγον τῆς φύσεως· οὐδὲ ἐπὶ τῶν ζώντων σωμάτων, καθὼς ἤδη προείρηται, ἧς ἡ ὑπόστασις ἐκ τῆς τῶν στοιχείων ἐστὶ συγκράσεως, κοινωνία τις κατὰ τὸν τῆς οὐσίας λόγον ἐστὶ τῷ ἁπλῷ τε καὶ ἀειδεῖ τῆς ψυχῆς πρὸς τὴν σωματικὴν παχυμέρειαν· ἀλλ' ὅμως τὸ ἐν τούτοις εἶναι τὴν ζωτικὴν τῆς ψυχῆς ἐνέργειαν, οὐκ ἀμφιβάλλεται λόγῳ τινὶ κρείττονι τῆς ἀνθρωπίνης κατανοήσεως ἀνακραθεῖσαν. Οὐκοῦν οὐδὲ ἀναλυθέντων πρὸς ἑαυτὰ τῶν ἐν τοῖς σώμασι στοιχείων, τὸ συνδέον αὐτὰ διὰ τῆς ζωτικῆς ἐνεργείας ἀπόλωλεν. B Ἀλλ' ὥσπερ συνεστῶτος ἔτι τοῦ τῶν στοιχείων συγκρίματος ψυχοῦται, καὶ τὰ καθ' ἕκαστον ἴσως τε καὶ ὁμοίως πᾶσι τοῖς μέρεσι τοῖς συμπληροῦσι τὸ σῶμα τῆς ψυχῆς ἐνδυομένης, καὶ οὐκ ἄν τις εἴποι, οὔτε στερρὰν αὐτὴν καὶ ἀντίτυπον εἶναι, τῷ γεώδει συγκεκραμένην, οὔτε ὑγρὰν, ἢ ψυχρὰν ἢ τὴν τῷ ψυχρῷ ἀντικειμένην ποιότητα, τὴν ἐν πᾶσιν οὖσαν τούτοις, καὶ ἑκάστῳ τὴν ζωτικὴν δύναμιν ἐνιοῦσαν· οὕτω καὶ λυθέντος τοῦ συγκρίματος, καὶ εἰς τὰ οἰκεῖα πάλιν ἀναδραμόντος, C τὴν ἁπλῆν ἐκείνην καὶ ἀσύνθετον φύσιν ἑκάστῳ παρεῖναι τῶν μερῶν, καὶ μετὰ τὴν διάλυσιν οἴεσθαι, οὐδὲν τοῦ εἰκότος ἔξω· ἀλλὰ τὴν ἅπαξ ἀρρήτῳ τινὶ συμφυεῖσαν λόγῳ, τῷ τῶν στοιχείων συγκρίματι, καὶ εἰσαεὶ παραμένειν, οἷς κατεμίχθη, μηδενὶ τρόπῳ τῆς γενομένης ἅπαξ αὐτῇ συμφυΐας ἀποσπωμένην. οὐ γὰρ ἐπειδὴ λύεται τὸ συγκείμενον κινδυνεύει συνδιαλυθῆναι τῷ συνθέτῳ τὸ μὴ συγκείμενον.

D κἀγὼ εἶπον, ἀλλὰ τὰ μὲν στοιχεῖα συμπίπτειν τε πρὸς ἄλληλα, καὶ πρὸς ἀλλήλων διακρίνεσθαι, καὶ τοῦτο εἶναι τὴν τοῦ σώματος σύστασίν τε καὶ διάλυσιν, οὐδεὶς ἂν ἀντείποι. ἐπειδὴ δὲ πολὺ τὸ μέσον ἑκάστῳ νοεῖται τούτων ἑτεροφυῶς ἐχόντων πρὸς ἄλληλα, κατά τε τὴν τοπικὴν θέσιν, καὶ τὴν τῶν ποιημάτων διαφοράν τε καὶ ἰδιότητα

ei, ratione naturæ, non conueniant: quemadmodum enim iam antè dictum eſt, nec in viuentibus quidem corporibus, quorum natura conſtat ex elementorum contemperatione; ſimplici pariter & informi inuiſibilique animæ ratione naturæ, aliqua cum craſſa corporum congerie atque concretione communitas eſt: verumtamen vitalem animæ efficientiam ratione quadam humanam animaduerſionem atque cognitionem ſuperante, permixtam ac diffuſam in his eſſe, non dubitatur. Ergo ne reſolutis quidem in ſeſe, quæ in corpore ſunt, elementis, periit id, quod per vitalem efficientiam ea colligat atque connectit. Sed quemadmodum conſtante ac durante adhuc elementorum concretione, omneis pariter atque ſimiliter parteis corpus complentes atque conſtituentes anima penetrante, ſingulatim vnumquódque animatur, neque aliquis vel ſolidam eſſe animam dixerit, ac duram, quæ cum terreo commixta atque contemperata ſit, vel humidã vel frigidam, aut frigido oppoſita qualitate præditã, quæ in his vniuerſis ſit, & vnicuiq. vim vitalem immittat: ita ſoluta quoque illa coagmentatione, & ad proprias cognatáſque res iterum redacta, ſimplicem & incompoſitam illam naturam vnicuique parti, etiam poſt diſſolutionem adeſſe, atque eam, quæ ſimul occulta atque ineffabili quadam ratione cum elementorum concremento coaluerit, etiam in perpetuum permanere cum iis, quibus commixta eſt, neque vllo modo ab ea coalitione atque concretione; quæ ſemel ei contigerit, auelli putare, nullo modo eſt à veriſimilitudine atque probabilitate alienum. Non enim, quia ſoluitur compoſitum; inde etiam neceſſariò conſequitur, vnà cum compoſito diſſolui id, quod compoſitum non eſt. Atque ego, verùm elementa quidem, inquam, inter ſeſe tum coire & cohæreſcere, tum alterum ab altero ſeparari atque diſiungi, & id corporis eſſe tum conſtitutionem, tum diſſolutionem, nemo contradixerit. Quoniam autem multum intereſſe intelligitur inter vnumquódque horum, quæ tum ſecundũ localem poſitionem, tum qualitatum differentiam pariter ac proprietatem diuerſi inter ſeſe generis

ſunt: ſiquidē circa ſubiectum inter ſeſe A concurrerint elementa, conſentaneum eſt, intellectualem hanc dimēſioniſque expertem naturam, quam animam vocamus, cohærere atque coniūctam eſſe cum eo, quod(ita) vnitum eſt: ſin autem hæc alterum ab altero ſeparata, atque illò redacta fuerint, quocúmque vnumquódque natura ducit, patietur etiam anima, in multas parteis paſſim vehiculo eius diſiecto: & quemadmodū aliquis nauta, vbi naufragio diſſoluta fuerit nauis, ad omneis eius parteis, aliis in aliam pelagi partem diſſipatis eodē tempore adnare nō poteſt (nam ſi quicquid B primum occurrerit & obuiam fuerit, apprehenderit, reliqua fluctibus ferri planè permittet) eodem modo anima, quæ ea natura prædita non eſt, vt vnà cum ſeparatione elementorum ſcindatur, ſiquidem à corpore liberari atque expediri non poteſt, ſi vni alicui prorſus inhæſerit elemento, ab aliis auelletur & intercludetur, & vt nihilo magis immortalis quę in vno viuat, quā mortalis putetur, quæ in pluribus non ſit, conſequentia ſermonis dat. At neque contrahitur, inquit, neque diffunditur id, quod & mente noſcitur, cogitationéque perci- C pitur, & diſiunctionis ſeparationiſque expers eſt (Corporum enim contrahi atque diffundi, proprium eſt) ſed æqualiter iuxta ſui naturam, quæ & inuiſibilis, informis, & incorporea eſt, tum coalitis atque concretis circa corpus elementis, tum ſeparatis atque diſiunctis adeſt, ac neque conſtrictis in concretione elemētis premitur atque coarctatur, neque ad cognata ſibíque naturalia reuerſis, relinquitur, etiāſi magnum illud diſcrimen eſſe videatur, quod cernitur & animaduertitur in elementorum diuerſitate. (Magna enim differentia eſt inter id, quod cum leue ſit, ſurſum fer- D tur, & graue terreúmque: item inter calidū & frigidum, humidúmque, & ei contrarium) attamen nullo negotio intellectualis natura, eaque quæ mente ſola conſtat, & cogitatione percipitur, adeſt vnicuique eorum, quibus ſemel inhæſerit, nec per refuſionem, diſcuſſionem, ac diſtractionem vnà cum contrarietate ſcinditur elementorum. Non enim quia diſpoſitione loci, certáque quadam proprietate, procul hæc inter ſeſe diſtare exiſtimantur, idcirco inſeparabilis, diſiunctioniſque ac ſpatij expers natura magno negotio ac difficulter coniungitur cum iis, quæ loco diſtant, quoniam etiam nunc mens ſimul & cœlum

A συνδεδραμηκότων μετ' ἀλλήλων περὶ τὸ ὑποκείμενον τῶν στοιχείων, τὴν νοερὰν ταύτην καὶ ἀδιάστατον φύσιν ἣν καλοῦμεν ψυχὴν, ἀκόλουθον συμφυῶς πρὸς τὸ ἡνωμένον ἔχειν· εἰ δὲ ἀπ' ἀλλήλων διακριθείη ταῦτα, κἀκεῖσε γένοιτο, ὅπη περ ἂν ἕκαστον ἡ φύσις ἄγοι, τί πείσεται ἡ ψυχὴ πολλαχῇ τοῦ ὀχήματος αὐτῆς διασπαρέντος· ὥσπερ τις ναύτης τῆς ὁλκάδος ἐν ναυαγίῳ διαλυθείσης ἀδυνατῶν πᾶσι τοῖς τοῦ πλοίου μορίοις ἄλλοις ἀλλαχῇ τοῦ πελάγους ἐσκεδασμένοις κατ' αὐτὸν ἐπινήξασθαι· B παντὸς γὰρ τοῦ ἐπιτυχόντος λαβόμενος τὰ λοιπὰ φέρειν καταλείψει τοῖς κύμασι· τὸν αὐτὸν τρόπον ἡ ψυχὴ τῇ διακρίσει τῶν στοιχείων συνδιασχισθῆναι τὴν φύσιν οὐκ ἔχουσα, εἴπερ δυσαπαλλάκτως ἔχει τοῦ σώματος, ἑνὶ τινὶ πάντως προσφυεῖσα στοιχείων, τῶν ἄλλων ἀποσχισθήσεται, καὶ οὐδὲν μᾶλλον ἀθάνατον αὐτὴν διὰ τὸ ἐν ἑνὶ ζῆν, ἢ θνητὴν, διὰ τὸ ἐν τοῖς πλείοσι μὴ εἶναι, ἡ ἀκολουθία τοῦ λόγου δίδωσιν οἴεσθαι. ἀλλ' οὔτε συστέλλεται, φησὶν, οὔτε διαχεῖται τὸ νοητόν τε καὶ ἀδιάστατον. σωμάτων γὰρ ἴδιον συστολὴ C καὶ διάχυσις, ἐπίσης δὲ κατὰ τὴν ἰδίαν φύσιν τὴν ἀειδῆ καὶ ἀσώματον τῇ τε συγκρίσει τῶν στοιχείων περὶ τὸ σῶμα καὶ τῇ διακρίσει πάρεστιν, συνεφημμένων ἐν τῷ συγκρίματι τῶν στοιχείων συνοχουμένη, οὔτε ἀποφοιτησάντων ἐπὶ τὰ συγγενῆ, καὶ κατὰ φύσιν αὐτοῖς ἀπολιμπανομένη, κἂν πολὺ τὸ μέσον εἶναι δοκεῖ τὸ τῆς ἑτερότητος τῶν στοιχείων ἐνθεωρούμενον. πολλὴ γὰρ ἡ διαφορὰ τοῦ ἀνωφεροῦς τε καὶ κούφου πρὸς τὸ βαρὺ καὶ γεῶδες, τοῦ θερμοῦ πρὸς τὸ ψυχρὸν, καὶ τοῦ ὑγροῦ πρὸς τὸ ἐναντίον· ἀλλ' ὅμως οὐδεὶς D πόνος τῇ νοερᾷ φύσει ἑκάστῳ παρεῖναι, οἷς ἅπαξ ἐνεφύη, διὰ κράσεως μὴ συνδιασχιζομένη τῇ τῶν στοιχείων ἐναντιότητι. οὐ γὰρ ἐπειδὴ κατὰ τὴν τοπικὴν διάστασιν, καὶ τὴν ποιὰν ἰδιότητα, πόῤῥωθεν ἀλλήλων ταῦτα νομίζεται, διὰ τοῦτο κάμνει ἡ ἀδιάστατος φύσις τοῖς τοπικῶς διεστηκόσι συναπτομένη, ἐπεὶ καὶ νῦν ἔξεστι τῇ διανοίᾳ ὁμοῦ τε τὸν

οὐρανὸν θεωρεῖν, καὶ ἐπὶ τὰ πέρατα τοῦ κόσμου ταῖς πολυπραγμοσύναις ἐκτείνεσθαι· καὶ οὐ διασπᾶται πρὸς τοσαῦτα μήκη τὸ θεωρητικὸν τῆς ψυχῆς ἡμῶν διατεινόμενον. οὐκοῦν οὐδὲν ἐμπόδιόν ἐστι τῇ ψυχῇ κατὰ τὸ ἴσον παρεῖναι τοῖς τοῦ σώματος στοιχείοις, καὶ συγκεκραμένοις διὰ τῆς συνδρομῆς, καὶ ἀπολυομένοις διὰ τῆς διακρίσεως. καθάπερ γὰρ χρυσοῦ καὶ ἀργύρου συντετηκότων ἐνθεωρεῖταί τις τεχνικὴ δύναμις ἡ τὰς ὕλας συντήξασα· καὶ εἰ πάλιν ἀποτακείη τοῦ ἑτέρου τὸ ἕτερον, οὐδὲν ἔλαττον ὁ τῆς τέχνης λόγος ἐν ἑκατέρῳ μένει· καὶ ἡ μὲν ὕλη διεμερίσθη, ἡ δὲ τέχνη οὐ συνδιετμήθη τῇ ὕλῃ· πῶς γὰρ ἂν διαιρεθείη τὸ ἄτμητον; κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ νοερὰ τῆς ψυχῆς φύσις, καὶ τῇ συνδρομῇ τῶν στοιχείων ἐνθεωρεῖται, καὶ διαλυθέντων οὐκ ἀποκρίνεται· ἀλλὰ καὶ ἐν αὐτοῖς μένει καὶ ἐν τῷ χωρισμῷ αὐτῶν συμπαρεκτεινομένη οὐ διακόπτεται, οὐδὲ πρὸς τὸν ἀριθμὸν τῶν στοιχείων εἰς μερικὰ τμήματα κατακερματίζεται, τοῦτο γὰρ ἴδιον τῆς σωματικῆς καὶ διαστηματικῆς ἐστι φύσεως· ἡ δὲ νοερά τε καὶ ἀδιάστατος φύσις τὰ ἐκ διαστάσεως οὐκ ἀναδέχεται πάθη. οὐκοῦν ἐστὶν ἐν αὐτοῖς ἡ ψυχὴ, ἐν οἷς ἅπαξ ἐγένετο, οὐδεμιᾶς ἀνάγκης τῆς πρὸς ἐκεῖνα συμφυΐας αὐτὴν ἀποσπώσης. τί οὖν τὸ σκυθρωπὸν ἐν τούτοις ἐστὶν, εἰ τοῦ ὁρωμένου τὸ ἀειδὲς ἀνταλλάσσεται· καὶ ὑπέρ τινος οὕτω διαβέβληταί σοι πρὸς τὸν θάνατον ἡ διάνοια; ἐγὼ δὲ, ἀναλαβὼν τῇ διανοίᾳ τὸν ὁρισμὸν, ὃν ἐν τοῖς πρὸ τούτου λόγοις περὶ ψυχῆς ἐποιήσατο, οὐχ ἱκανῶς εἶπον ἐνδεδεῖχθαί μοι τὸν λόγον ἐκεῖνον τὰς ἐνθεωρουμένας τῇ ψυχῇ δυνάμεις· ὅς φησι νοερὰν αὐτὴν εἶναι οὐσίαν, καὶ τῷ ὀργανικῷ σώματι ζωτικὴν δύναμιν πρὸς τὴν τῶν αἰσθήσεων ἐνέργειαν ἐμποιεῖν. οὐ γὰρ μόνον περὶ τὴν ἐπιστημονικήν τε καὶ θεωρητικὴν διάνοιαν ἐνεργός ἐστιν ἡμῶν ἡ ψυχὴ, ἐν τῷ νοερῷ τῆς οὐσίας τὸ τοιοῦτον ἐργαζομένη, οὐδὲ τὰ αἰσθητήρια μόνα πρὸς τὴν κατὰ φύσιν ἐνέργειαν κινοῦμεν· ἀλλὰ πολλὴ μὲν ἡ κατὰ ἐπιθυμίαν, πολλὴ δὲ καὶ ἡ κατὰ θυμὸν κίνη-

A contemplari, & ad terminos mundi curioſa inquiſitione extendi poteſt: ac non diuellitur contemplatiua animæ noſtræ pars, dum ad tantas diſtenditur longitudines. Ergo nihil impedit animam, quin æqualiter corporis adſit elementis, tum per concurſum contemperatis, tum per diſcuſſionem, diſtractionem, atque diſiunctionem reſolutis. Quemadmodum enim auro & argento colliquefactis, artificioſa vis quædã cernitur, quæ materias eas conflauerit: & ſi rurſus per liquefactionẽ alterum ab altero ſeparatũ fuerit, nihilominus ratio B artis in vtroque manet: ac materia quidem diuiſa fuerit, ars autẽ vnà cum materia non diſſecatur (quonã enim modo diuidi poterit indiuiduũ?) eadem ratione ea quę mente conſtat, atque cogitatione percipitur, animæ natura, & in concurſu elementorũ cernitur, & reſolutis iis, non ſecernitur nec ſegregatur: ſed & manet in iis, & vnà cum ſeparatione eorum extenſa non interciditur, nec interrumpitur, neque pro numero elementorum in parteis & fruſta conciditur: id enim corporeæ pariter & inter- C uallaris naturæ proprium eſt: at incorporea intellectualiſque & inuiſibilis pariter, atque diuiſionis dimenſioniſque expers natura paſſiones & caſus ex diſtãtia atque interuallo cõtingentes non recipit, neque admittit. Ergo anima eſt in iis, in quibus ſemel fuit, nulla neceſſitate eam à cohærentia, qua cum illis coniuncta eſt atque concreuit, auellente. Quid igitur in his triſte, acerbum, atque animi demiſſione dignum eſt, ſi id quod videtur, cum inuiſibili commutatur? & cuius rei gratia adeò mens tua morti infenſa eſt? Ego verò, vbi definitionẽ ani- D mæ, quam in ſuperiori ſermone feceras, animo reuoluiſſem atque repetiuiſſem, dixi non ſatis mihi conſideranti atque animo reputanti potentias & vires, quæ in anima cernuntur, illam orationẽ eſſe demonſtratam: quæ dicit eam intellectualem eſſe naturam, & in inſtrumentario corpore vitalem vim ad ſenſuũ efficientiã atque adiectionẽ ingenerare. Nam non ſolùm circa eã mentis noſtræ agitationem, qua ſcientias percipimus ac ſpeculamur, efficax & actuoſa anima noſtra eſt, per eam, quæ mente conſtat & intelligentia, ſuæ naturæ vim talia efficiens, neque ſenſoria vaſa inſtrumentáque ſola ad naturalem efficientiam, operationémque gubernat: ſed multus quidem cupiditatis, multus item iracundiæ quoque

motus cernitur in eius natura: cùm autem horum vtrumq. generaliter in nobis inſit, in multas pariter ac varias differentias actionibus, efficiénſq. amborum progredi motum videmus. Nam multa quidem videre licet, quorum concupiſcendi vis author ac dux eſt: rurſus item multa à cauſſa iræ concitatrice naſcuntur, ac nullum horum corpus eſt, quod autem incorporeum eſt, intellectuale prorſus eſt, ſoláque mente cõſtat: porrò intellectualem quandã ſoláque mente conſtantem & comprehenſibilem rem eſſe animã definitio declarauit. Vt duorum abſurdorũ alterum ex conſequentia orationis exiſtat atque emergat, aut vt iracundia quoque atque cupiditas aliæ in nobis animę ſint, & pro vna multitudo animarum deprehendatur atque animaduertatur, aut ne mentis quidem agitatrix & intelligendi vis in nobis, anima eſſe putetur. Nam intellectuale ſoláque mente conſtans & comprehenſibile æqualiter omnibus accommodatum, aut omnia hęc animas eſſe demonſtrabit, aut vnumquodque horum ex æquo eximet atque excipiet ex hac animæ proprietate. Atque illa, Hanc, inquit, rationem iam à multis etiam aliis quæſitam, conſequẽter ipſe quoque requiſiuiſti, quidnam tandem hæc eſſe oporteat exiſtimare, τὸ ἐπιθυμητικὸν, id eſt, vim concupiſcendi: & τὸ θυμοειδὲς, id eſt, vim iræ concitatricem, ſimúlne inſita in animæ natura & quaſi coëſſentia atq. conſubſtantia, & ab initio cum ea ſint, atque à principio ſtatim vnà cum creatione & conſtitutione eius extiterint, an etiam aliquid aliud atque ipſa ſint, & poſterius nobis acceſſerint? Nam quòd hæc quidem in anima cernantur, ex æquo conſtat inter omneis, quid autem de eis exiſtimare oporteat, nondum plenè atque perfectè ratio aſſequuta eſt, vt firmam de his habeat opinionem, ſed vulgus etiã nunc vagis, falsíſque ac diuerſis opinionibus de his ambigit. Nobis verò, ſiquidem ſufficiens eſſet ad demonſtrationem veritatis externa philoſophia, quæ de his rebus artificioſè diſputauit atq. tractauit, ſuperuacaneum forſitan eſſet, illorum cõmentationi de anima adijcere ſermonẽ. Sed quoniam ab illis quidem prout cõſequens & conſentaneum viſum eſſet, ex licẽtia atque ad arbitrium prodita eſt de anima commentatio: nos autem huius licẽtiæ expertes ſumus, dicendi, inquã, quæ volumus: quippe qui regula prorſus diuinę doctrinæ & pro lege vtimur ſancta ſcriptura, atq. ad hanc neceſ-

A σις ἐνθεωρεῖται τῇ φύσει· ἑκατέρου δὲ τούτων γενικῶς ἡμῖν ἐνυπάρχοντος, εἰς πολλάς τε καὶ ποικίλας διαφορὰς ὁρῶμεν περιϊοῦσαν ταῖς ἐνεργείαις ἀμφοτέρων τὴν κίνησιν. πολλὰ μὲν γάρ ἐστιν ἰδεῖν, ὧν τὸ ἐπιθυμητικὸν καθηγεῖται· πολλά γε πάλιν ἃ τῆς θυμοειδοῦς αἰτίας ἐκφύεται, καὶ οὐδὲν τούτων σῶμά ἐστι, τὸ δὲ ἀσώματον νοερὸν πάντως· νοερὸν δέ τι τὴν ψυχὴν ὁ ὁρισμὸς ἀπεφήνατο, ὥστε δυοῖν ἀτόποιν τὸ ἕτερον ἐκ τῆς ἀκολουθίας ἀνακύπτειν τοῦ λόγου, ἢ καὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν ἄλλας ἐν ἡμῖν εἶναι ψυχὰς, καὶ πλῆθος ψυ-
B χῶν ἀντὶ μιᾶς καθορᾶσθαι, ἢ μηδὲ τὸ διανοητικὸν τὸ ἐν ἡμῖν ψυχὴν οἴεσθαι. τὸ γὰρ νοερὸν ἐπίσης πᾶσιν ἐφαρμοζόμενον, ἢ πάντας ψυχὰς ἀποδείξει ταῦτα, ἢ ἕκαστον τούτων ἐκ τοῦ ἴσου τοῦ ἰδιώματος τῆς ψυχῆς ἐξαιρήσει. Ἣν δὲ πολλοῖς, φησὶν, ἤδη καὶ ἄλλοις ἐζητημένον τὸν λόγον τοῦτον ἀκολούθως καὶ αὐτὸς ἐπιζητεῖς, ὅτι ποτὲ χρὴ ταῦτα νομίζειν εἶναι τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμοειδὲς, εἴτε συνουσιωμένα τῇ ψυχῇ, καὶ παρὰ τὴν αὐτὴν
C εὐθὺς τῇ κατασκευῇ συνυπάρχοντα, εἴτε τι ἄλλο παρ' αὐτὴν ὄντα καὶ ὕστερον ἡμῖν ἐπιγινόμενα; τὸ μὲν γὰρ ἐνορᾶσθαι τῇ ψυχῇ ταῦτα παρὰ πάντων ἐπίσης ὁμολογεῖται· τὸ δὲ ὅτι χρὴ περὶ αὐτῶν οἴεσθαι, οὔπω δι' ἀκριβείας εὗρεν ὁ λόγος, ὥστε βεβαίαν τὴν περὶ τούτων ὑπόληψιν ἔχειν· ἀλλ' ἔτι πεπλανημέναις οἱ πολλοὶ καὶ διαφόροις ταῖς περὶ τούτων δόξαις ἐπιδιστάζουσιν. ἡμῖν δὲ εἰ μὲν ἱκανὴ πρὸς ἀπόδειξιν ἀληθοῦς ἦν ἡ ἔξω φιλοσοφία, ἡ τεχνικῶς περὶ τούτων διαλαβοῦσα, περιττὸν ἂν
D ἦν, ἴσως τὸν περὶ ψυχῆς λόγον προστιθέναι τοῖς σκέμμασι. ἐπεὶ δὲ τοῖς μὲν κατὰ τὸ φανὲν ἀκόλουθον κατ' ἐξουσίαν προῆλθεν ἡ περὶ ψυχῆς θεωρία· ἡμεῖς δὲ τῆς ἐξουσίας ἄμοιροι ταύτης ἐσμὲν, τῆς λέγειν φημὶ ἅπερ βουλόμεθα, κανόνι πάντως δογμάτων καὶ νόμῳ κεχρημένοι τῇ ἁγίᾳ γραφῇ· ἀναγκαίως πρὸς ταύ-

τὴν βλέποντες τοῦτο δεχόμεθα μόνον· ὅπερ ἂν ᾖ συμφωνοῦν τῷ τῶν γεγραμμένων σκοπῷ. Οὐκοῦν παρέντες τὸ Πλατωνικὸν ἅρμα, καὶ τὴν ὑπεζευγμένην αὐτῷ ξυνωρίδα τῶν πώλων, οὐχ ὁμοίως ταῖς ὁρμαῖς πρὸς ἀλλήλους ἐχόντων, καὶ τὸν ὑπὲρ τούτων ἡνίοχον, δι' ὧν ἁπάντων τὰ τοιαῦτα περὶ ψυχῆς φιλοσοφεῖ δι' αἰνίγματος· ὅσα τ' ὁ μετ' ἐκεῖνον φιλόσοφος ὁ τεχνικῶς τοῖς φαινομένοις ἀκολουθῶν, καὶ τὰ νῦν ἡμῖν προκείμενα δι' ἐπιμελείας κατεξετάζων, θνητὴν εἶναι διὰ τούτων τὴν ψυχὴν ἀπεφήνατο, καὶ πάντας τούς τε πρὸ τούτων, καὶ τοὺς ἐφεξῆς, τούς τε καταλογάδην καὶ τοὺς ἐν ῥυθμῷ τινι καὶ μέτρῳ φιλοσοφήσαντας καταλιπόντες, σκοπὸν τοῦ λόγου τὴν θεόπνευστον γραφὴν ποιησώμεθα, ἣ ψυχῆς ἐξαίρετον μηδὲν νομίζειν εἶναι νομοθετεῖ, ὃ μὴ καὶ τῆς θείας φύσεως ἐστὶν ἴδιον. ὁ γὰρ ὁμοίωμα Θεοῦ τὴν ψυχὴν εἶναι φήσας, πᾶν τὸ ἀλλότριόν ἐστι Θεοῦ, ἐκτὸς εἶναι τοῦ ὅρου τῆς ψυχῆς ἀπεφήνατο. οὐδὲ γὰρ ἂν ἐν τοῖς παρηλλαγμένοις διασωθείη τὸ ὅμοιον. οὐκοῦν ἐπεὶ τοιοῦτον οὐδὲν τῇ θείᾳ συνθεωρεῖται φύσει, οὐδὲ τῇ ψυχῇ συνουσιοῦσθαι ταῦτα κατὰ λόγον ἄν τις ὑπονοήσειε. τὸ μὲν οὖν κατὰ τὴν διαλεκτικὴν τέχνην διά τε συλλογιστικῆς τε καὶ ἀναλυτικῆς ἐπιστήμης βεβαιοῦσθαι καὶ τὰ ἡμέτερα δόγματα, ὡς σαθρόν τι καὶ ὕποπτον εἰς ἀπόδειξιν ἀληθείας τὸ τοιοῦτον εἶδος τοῦ λόγου παραιτησώμεθα. πᾶσι γάρ ἐστι πρόδηλον ὅτι τὴν διαλεκτικὴν περιεργίαν ἴσην ἐφ' ἑκάτερα τὴν ἰσχὺν ἔχειν, πρός τε τὴν τῆς ἀληθείας ἀνατροπήν, καὶ πρὸς τὴν τοῦ ψεύδους κατηγορίαν. ὅθεν καὶ αὐτὴν τὴν ἀλήθειαν, ὅταν μετά τινος τοιαύτης τέχνης προάγηται, δι' ὑπονοίας πολλάκις ποιούμεθα, ὡς τῆς περὶ ταύτης δεινότητος παρακρουομένης ἡμῶν τὴν διάνοιαν, καὶ τῆς ἀληθείας ἀποσφαλλούσης. εἰ δέ τις τὸν ἀκατάσκευόν τε καὶ γυμνὸν πάσης περιβολῆς προσίοιτο λόγον, ἐροῦμεν πῶς ἂν οἷοί τε ᾖ κατὰ τὸν εἱρμὸν τῆς γραφικῆς ὑφηγήσεως τὴν περὶ τούτων θεωρίαν προσάγοντες. τί οὖν ἐστὶν ὅ φαμεν; τὸ λογικὸν τοῦτο ζῶον ὁ ἄνθρωπος

A ſatiò reſpicimus, hoc ſolum recipimus & approbamus, quodcumque cum ſcripturæ conuenerit concordauerit intentione. Igitur omiſſo Platonis curru, eiq; ſubiunctis biiugis pullis equorum, non eadem inter ſe affectione & impetu prę-ditis, iiſque præfecto auriga, quibus omnibus ille per ænigma atque inuolucrum talia de anima philoſophatur: omiſſis itē iis, quæ tradit is, qui poſt eum philoſophus fuit, qui res apparentes artificioſè perſequitur, eaque quæ nunc nobis propoſita ſunt, diligenter exami-
B nans ac tractans, mortalem per hæc animam eſſe cenſuit atque pronuntiauit: relictis item omnibus iis, qui & ante & poſt hos fuerunt, qui vel proſa ſolutáque, vel numero quodam ac menſura adſtricta oratione res philoſophicas tradiderunt, diuinitùs proditā ſcripturam, quò ſpectet & intendat, orationi proponamus, quęque diuina ſcriptura ſtatuit; vt nihil in anima eſſe putemus eximium & inſigne, quod non etiam diuinæ naturæ proprium ſit. Qui enim ſimilitudinem Dei animam eſſe dixit, quicquid à Deo alienū eſt, extra definitionem ani-
C mæ eſſe dixit, quicquid à Deo alienum eſt, extra definitionē animæ eſſe declarauit. Etenim in diuerſis ac differentibus ſimilitudo conſeruari non poſſit. Ergo quoniam eiuſmodi nihil cum diuina cernitur natura, ne animæ quidem hæc inſita & quaſi coëſſētiata eſſe rectè quis exiſtimauerit. Iam verò dialectica quidem arte per rationum & argumentorum collectricē ac reſolutricē ſcientiam, noſtra quoque dogmata atque decreta confirmare, quod huiuſmodi ſpecies orationis ad demonſtrandam veri-
D tatem, tum debilis, tum ſuſpecta ſit, recuſabimus, ac prætermittemus. Patet enim omnibus ac liquet, quod dialectica curioſa ſubtilitas pares in vtramque partem vires habeat, vel ad euerſionem veritatis, vel ad mendaciū iudicandum. Vnde etiam ipſam veritatem, vbi huiuſmodi aliqua adhibita arte profertur, ſæpenumerò ſuſpectam habemus, quaſi harum artium ſubtilitas atque verſutia mentem noſtrā ſeducat, & in fraudem impellat, atque à veritate auertat. Sed ſiquis incompoſitam & inconditam, atque ab omni velamine & amictu nudā admittat orationem, dicemus, vt poterimus, iuxta ſeriem & contextum ſcripturæ traditionis, commentationem de his rebus inferentes. Quid igitur eſt quod dicimus? Quòd hoc rationis particeps animal homo,

Scholion in Græco appoſitū.
Plato de anima dialogū fecit, quē Phædonem inſcripſit: in quo eas quidem animæ partes, in quibus & concupiſcēdi vis & irarū ardor exiſtit, pari pullorū equorū curruī ſubiūctorū: mentē autē ſeu illam animæ vim, qua & animo agitamus, cogitamus & animaduertimus, aurigæ aſſimilauit. Hæc autem in Phædone nō ſunt, ſed in Phædro.

nimirum intelligentiæ atque ſcientiæ capax ſit. Vel eorũ qui à ratione noſtræ fidei atque religionis alieni ſunt, teſtimonio cõprobatum eſt: quippe non ita naturam noſtrã deſcriptura ac deſignatura definitio fuiſſet, ſi quidem & iracundiam & concupiſcentiam, & huiuſmodi omnia cum noſtra natura vnita & quaſi coëſſentiata atque conſubſtãtiata eſſe videret. Nam nec in vlla quidẽ alia re, loco proprij commune ponens, ſubiecti quiſquam ediderit definitionem. Quoniam igitur & cõcupiſcendi & iraſcendi vis æqualiter quoque tam in rationis experte, quàm rationis compote cernitur natura, nulla ratione nec rectè quis per cõmunem notam, id quod proprium eſt, deſignauerit. Quod autem ad naturę deſignationem ſuperuacuum ac reijciendũ eſt, quo pacto tanquam pars naturæ, poteſt ad euerſionem definitionis vires habere? Omnis enim definitio ſubſtantiæ, proprium ſubiecti ſpectat. Quicquid autem extra peculiaritatem ac proprietatem fuerit, tanquam à definitione alienum deſpicitur atque contemnitur. Atqui tam iraſcendi quàm concupiſcendi vim atque efficientiam cum omni natura (tam rationali quam irrationali) cõmune eſſe conſtat. Quicquid autem cõmune eſt, non idem cum peculiari eſt. Neceſſariò igitur per hæc ſequitur, vt hęc in illis non eſſe exiſtimemus, per quæ præcipuè deſignatur humana natura. Sed quemadmodũ ſiquis ſentiendi, nutriendi & augendi vim in nobis conſpicatus, per hæc non reſoluit animæ demonſtratã definitionem (non enim quoniã hoc eſt in anima, illud non eſt) eodem modo ſiquis naturæ noſtræ circa iracundiam & concupiſcentiam motus animaduertit, nõ etiam rectè definitionem oppugnet, vt quæ minus ſufficienter naturam oſtenderit. Quid igitur, inquam ad magiſtram, de his ſtatuere & ſentire oportet? nondum enim animaduertere poſſum, quo pacto conueniat ea, quæ in nobis inſunt, tanquam aliena à natura noſtra ſegregare atque repudiare. Vides, inquit, quòd pugna quædam rationi aduerſus hæc ſit, & ſtudium, quoad eius fieri poſſit, animam ab his ſeparandi atque ſegregandi. Ac ſunt ſanè nonnulli, quibus hoc ſtudium proſperè ſucceſſit, quique id quod quæſiuerunt, aſſequuti ſunt. Quemadmodum de Moyſe audiuimus, quod is nec ab ira nec à concupiſcentia vinci ac ſuperari poſſet, vtriuſque rei teſtimonium ei perhibenti hiſtoria, quòd & lenis, mitiſque eſſet ſupra

A νοῦ τε καὶ ἐπιστήμης δεκτικὸν εἶναι. ἢ παρὰ τῶν ἔξω τοῦ λόγου τοῦ καθ' ἡμᾶς μεμαρτύρηται· οὐκ ἂν οὕτω τοῦ ὁρισμοῦ τὴν φύσιν ἡμῶν ὑπογράφοντες, εἴπερ ἐνεώρων θυμόν τε καὶ ἐπιθυμίαν καὶ τὰ τοιαῦτα πάντα συνουσιωμένα τῇ φύσει. οὐδὲ γὰρ ἐπ' ἄλλου τινὸς ὅρον αὐτῆς ἀποδοίη τοῦ ὑποκειμένου, τὸ κοινὸν ἀντὶ τοῦ ἰδίου λέγων. ἐπεὶ οὖν τὸ ἐπιθυμητικόν τε καὶ θυμοειδὲς κατὰ τὸ ἴσον καὶ ἐπὶ τῆς ἀλόγου τε καὶ λογικῆς φύσεως καθορᾶται, οὐκ ἄν τις εὐλόγως ἐκ τοῦ κοινοῦ χαρακτηρίζει τὸ
B ἴδιον. ὃ δὲ πρὸς τὴν τῆς φύσεως ὑπογραφὴν περιττόν τε καὶ ἀπόβλητον, πῶς ἔνεστιν ὡς μέρος τῆς φύσεως, ἐπ' ἀνατροπῇ τοῦ ὅρου τὴν ἰσχὺν ἔχειν; πᾶς γὰρ ὁρισμὸς οὐσίας πρὸς τὸ ἴδιον τοῦ ὑποκειμένου βλέπει. ὅτι δ' ἂν ἔξω τοῦ ἰδιάζοντος ᾖ, ὡς ἀλλότριον παρορᾶται τοῦ ὅρου. ἀλλὰ μὴν ἡ κατὰ θυμόν τε καὶ ἐπιθυμίαν ἐνέργεια, κοινὴ πάσης εἶναι τῆς λογικῆς τε καὶ ἀλόγου φύσεως ὁμολογεῖται. πᾶν δὲ τὸ κοινὸν, οὐ ταὐτόν ἐστι τῷ ἰδιάζοντι. ἀνάγκη ἄρα διὰ τούτων ἐστὶ, μὴ ἐν τούτοις εἶναι ταῦτα λο-
C γίζεσθαι, ἐν οἷς κατεξαίρετον ἡ ἀνθρωπίνη χαρακτηρίζεται φύσις. ἀλλ' ὥσπερ τὸ αἰσθητικὸν καὶ τὸ θρεπτικὸν καὶ αὐξητικὸν ἐν ἡμῖν τις ἰδὼν οὐκ ἀναλύει διὰ τούτων τὸν ἀποδοθέντα τῆς ψυχῆς ὅρον. οὐ γὰρ ἐπειδὴ τοῦτο ἐστὶν ἐν τῇ ψυχῇ, ἐκεῖνο οὐκ ἔστιν· οὕτω καὶ τὰ περὶ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν κατανοήσας τῆς φύσεως ἡμῶν κινήματα, οὐκ ἂν εὐλόγως τῷ ὅρῳ μάχοιτο, ὡς ἐλλειπῶς ἐνδειξαμένῳ τὴν φύσιν. τί οὖν χρὴ περὶ τούτου γινώσκειν, εἶπον πρὸς τὴν διδάσκαλον; οὔπω γὰρ οἷός τε
D εἰμὶ κατιδεῖν ὅπως προσήκει τὰ ἐν ἡμῖν ὄντα, ὡς ἀλλότρια τῆς φύσεως ἡμῶν ἀποποιεῖσθαι. ὁρᾷς, φησὶν, ὅτι μάχη τίς ἐστι τοῦ λογισμοῦ πρὸς ταῦτα, καὶ σπουδὴ τοῦ μονωθῆναι τὴν ψυχὴν τούτων, ὡς ἂν οἷόν τε ᾖ. καὶ εἰσί γε τινὲς οἷς κατώρθωται ἡ σπουδή. καθάπερ ἐπὶ τοῦ Μωϋσέως ἀκούομεν, ὅτι κρείττων ἦν θυμοῦ τε καὶ ἐπιθυμίας ἐκεῖνος, ἀμφότερα μαρτυρούσης αὐτῷ τῆς ἱστορίας, ὅτι πρᾶος ἦν παρὰ πάν-

τὰς ἀνθρώπους· ἐνδείκνυται δὲ τὸ ἀόργητον διὰ τοῦ πρᾴου, καὶ τὴν πρὸς τὸν θυμὸν ἀλλοτρίωσιν· καὶ ὅτι οὐκ ἐπεθύμησε τούτων τινός, περὶ ἃ ὁρῶμεν ἐν τοῖς πολλοῖς τὸ ἐπιθυμητικὸν ἐνεργούμενον. ὅπερ οὐκ ἂν ἐγένετο, εἰ φύσις ἦν ταῦτα καὶ εἰς τὸν λόγον τῆς οὐσίας ἀνήγετο. οὐ γάρ ἐστι δυνατὸν τὸν ἔξω γενόμενον τῆς φύσεως ἐν τῷ εἶναι μένειν. ἀλλὰ μὴν εἰ Μωσῆς καὶ ἐν τῷ εἶναι ἦν, καὶ ἐν τούτοις οὐκ ἦν. ἄλλο τι ἄρα παρὰ τὴν φύσιν ἐστὶ ταῦτα, καὶ οὐχὶ φύσις. εἰ γὰρ ἀληθῶς φύσις τοῦτο ἐστίν, ἐν ᾧ τὸ εἶναι τῆς οὐσίας καταλαμβάνεται· τούτων δὲ ἡ ἀλλοτρίωσις ἐφ' ἡμῖν κεῖται, ὡς μὴ μόνον ἀζήμιον, ἀλλὰ καὶ ἐπικερδὲς εἶναι τῇ φύσει τὸν ἀφανισμὸν τῶν τοιούτων. δῆλον οὖν ὅτι τῶν ἔξωθεν ἐπιθεωρουμένων ἐστὶ ταῦτα τὰ πάθη τῆς φύσεως ὄντα καὶ οὐκ οὐσία. εἰ μὲν γάρ ἐστιν ὅπερ ἐστίν, θυμὸν δὲ ζέσιν εἶναι τοῦ περὶ καρδίας αἵματος τοῖς πολλοῖς δοκεῖ. ἑτέροις δέ, ὄρεξιν τοῦ ἀντιλυπῆσαι τὸν προκατάρξαντα. ὡς δ' ἂν ἡμεῖς ὑπολάβοιμεν θυμὸς ἐστίν, ὁρμὴ τοῦ κακῶσαι τὸν παροξύνοντα. ὧν οὐδὲν τῷ περὶ ψυχῆς ὅρῳ συμβαίνει. καὶ τὴν ἐπιθυμίαν ἐφ' ἑαυτῆς διορισώμεθα, ἔφεσιν λέξομεν τοῦ ἐνδέοντος, ἢ πόθον τῆς καθ' ἡδονὴν ἀπολαύσεως, ἢ λύπην ἐπὶ τῷ μὴ κατ' ἐξουσίαν ὄντι καταθυμητικῷ· ἢ τινα πρὸς τὸ ἡδὺ σχέσιν, οὗ μὴ πάρεστιν ἡ ἀπόλαυσις. ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα τὴν μὲν ἐπιθυμίαν ἐνδείκνυται, τοῦ δὲ ὁρισμοῦ τοῦ περὶ ψυχῆς οὐ προσάπτεται. ἀλλὰ καὶ ὅσα ἄλλα περὶ ψυχὴν καθορᾶται, τὰ ἐξ ἀντιθέτου ἀλλήλοις ὁρώμενα, οἷον δειλίαν καὶ θράσος, λύπην καὶ ἡδονήν, φόβον καὶ καταφρόνησιν, καὶ ὅσα τοιαῦτα, ὧν ἕκαστον συγγενῶς ἔχειν δοκεῖ πρὸς τὸ ἐπιθυμητικὸν ἢ θυμοειδές, ἰδιάζοντι δὲ ὅρῳ τὴν ἰδίαν ἀπογράφει φύσιν. τότε γὰρ θράσος καὶ ἡ καταφρόνησις ἔμφασιν ὑποσημαίνει τινὰ τῆς θυμώδους ὁρμῆς· ἐλάττωσιν δέ τινα καὶ ὕφεσιν τοῦ αὐτοῦ τούτου ἡ κατὰ δειλίαν καὶ φόβον ἐγγινομένη σχέσις. ἡ δὲ λοιπὴ ἐξ ἀμφοτέρων ἔχει τὰς ὕλας. εἴτε γὰρ τοῦ θυμοῦ ἀτονία, ἐν τῷ τὸ

A omneis homines (per lenitatem autem & clementiam iræ vacuitas & ab iracundia alienus animus oſtenditur) & quod non concupiſceret quicquam eorum, circa quæ in pleriſque hominibus vim concupiſcendi occupatam eſſe videmus. Quod non ei contigiſſet, ſi natura hæc eſſent, & ad rationem eſſentiæ referrentur. Fieri enim non poteſt, vt extra naturam conſtitutus in eſſe maneat. Atqui Moyſes & in eſſe erat,& in his non erat. Aliud ergo quippiam atque natura, hæc ſunt, & non natura. Quæ enim verè natura eſt, hoc eſt, in quo ipſum eſſe ſubſtantiæ deprehenditur: horum autem alienatio in B nobis ſita eſt, vt non ſolum non noceat, verumetiam lucroſa atque quæſtuoſa naturæ talium motuum abolitio ſit. Palàm eſt ergo, quòd ex iis, quæ extrinſecus in rebus conſiderantur, hæc ſint, affectus & perturbationes naturæ, & non natura. Nam hæc quidem eſt, quod eſt. Iracundia autem vulgò feruor ſanguinis, qui circa cor eſt, eſſe pleriſque videtur. Aliis verò, appetitio vlciſcendi eum, à quo laceſſitus & antè læſus ſis. Sed, vt nos arbitramur, iracundia eſt appetitio nocendi ei, qui concitauerit, & ad iram prouocauerit. Horum autem nihil conuenit animæ definitioni. C Itémque ſi per ſeſe concupiſcentiam definiamus, appetitionem eſſe dicemus eius quod deeſt, vel deſiderium fruendæ voluptatis: vel dolorem ob id, quod non potimur eo, quod cordi eſt, atque animo gratum & acceptum: aut aliquam affectionem ad id quod eſt ſuaue & iucundum, quo frui non licet. Hæc enim & eiuſdemmodi omnia cupiditatem quidem oſtendunt, ad definitionem autem animæ non pertinent. Quinetiam alia quoque quæ circa animam cernuntur, quæ ſibi inuicem ex D aduerſo poſita videntur, veluti timiditas & audacia, dolor & voluptas, metus & contemptus, & quæcumque talia ſunt: quorum vnumquódque cognatum quidem eſſe videtur cum iraſcendi atque concupiſcendi vi, peculiari autem definitione ſuam deſignat naturam. Nam & audacia & contemptio demonſtrationem ac repræſentationem indicat ad iram propenſæ appetitionis, diminutionem verò quandam & remiſſionem huius eiuſdem, is qui per timiditatem & metum ingeneratur habitus & affectus. Dolor autem ex vtroque materias habet. Nam & iræ inefficacia, dum non

poteſt quis vlciſci eos, à quibus antè A læſus ſit, dolor & exiſtit & eſt: itémque deſperatio eorum, quæ concupiſcuntur, priuatióque eorum quæ cordi ſunt atque placent, triſtem hanc ac tetricam in mente ingenerat affectionem. Atque etiam id, quod contrarium dolori videtur, voluptatis ſenſum dico, ſimiliter & in iram & concupiſcentiam diuiditur. Voluptas enim vtriuſque horum ex æquo principatum tenet. Quæ omnia, cum circa animam ſunt, tum anima non ſunt. Sed veluti quædam verrucæ excogitatrice parte animæ enaſcentes. Quæ partes qui- B dem ipſius eſſe, eò quòd agnatæ ſint, non tamen id eſſe exiſtimantur, quòd anima ex ſui natura atque eſſentia eſt. Atqui, non paruum, inquam ad virginem, virtute præditis ab his afferri videmus ad bonum adiumentum. Nam & Danieli laudi cupiditas erat: & Phinees ira Deum placauit: & initium ſapientiæ, timorem eſſe didicimus: atque eius, qui ſecundum Deum eſt doloris finem à Paulo audiuimus: & rerum aduerſarum atque aſperarum contemptum Euangelium nobis præſcribit: & C non expaueſcere ad res terribiles & caſus aduerſos, nihil eſt aliud quam audaciæ præſcriptio: quæ audacia in bonis à Sapientia connumeratur. Oſtendit igitur ſcriptura per hæc, quòd non exiſtimandum ſit, talia affectiones eſſe atque perturbationes: Non enim ad virtutis actionem perturbationes vnà adhibitæ eſſent. Et magiſtra, Videor, inquit, talis rationum confuſionis ipſa cauſſam præbere, quæ non diſtinxerim ac diſcreuerim ſermonem de hac re, quo aliquis ordo conſentaneus ſpeculationi atque tractationi adhiberetur. D Nunc igitur quoad eius fieri poterit, excogitabitur aliquis ordo commentationi, vt per conſequentiam procedente ſpeculatione, tales contradictiones amplius locum inter nos non habeant. Dicimus enim, animæ quidem ſpeculatricem & dijudicatricem, rerúmque inſpectricem vim eius propriam eſſe ac naturalem: eiúſque gratiæ, qua Deo ſimilis eſt, per hæc illam in ſeſe imaginem conſeruare. Quoniam ratiocinatione & coniectura colligitur, diuinum quoque numen (quodcúmque tandem id ex ſui natura eſt) in his occupatum eſſe: nempe tum in inſpiciendo omnia, tum in diſcernendo bonum à malo. Quæcumque

Scholion. Vitiũ quoddam in cute corporis noſtri exiſtit: quod verruca vocatur. Carnoſum enim paruũ quoddã tuberculũ exiſtit in cute, quod cum quidẽ pars eſſe videtur: quippe ei inhæreſcẽs: reuera tamẽ ita ſe res non habet: vnde ſi quis id curare velit, opus eſt vt tollatur.

Hac ſimilitudine ad rem propoſitã admodum cõmoda vſus eſt.

A ἀμύνασθαι τοὺς προλελυπηκότας ἀδυνάτῳ λύπη γίνεται, καὶ ἡ ἀπόγνωσις τῶν ἐπιθυμουμένων, καὶ ἡ στέρησις τῶν καταθυμίων, τὴν σκυθρωπὴν ταύτην ἐμποιεῖ τῇ διανοίᾳ διάθεσιν. καὶ τὸ ἀντιπαρεξηγούμενον τῇ λύπῃ, τὸ καθ' ἡδονὴν λέγω νόημα, ὁμοίως τῷ θυμῷ τε καὶ τῇ ἐπιθυμίᾳ ἐπιμερίζεται. ἡδονὴ γὰρ ἑκατέρου τούτων κατὰ τὸ ἴσον ἡγεμονεύει. ἃ πάντα καὶ περὶ τὴν ψυχήν ἐστι, καὶ ψυχὴ οὐκ ἔστιν· ἀλλ' ὥσπερ μυρμηκιαί τινες τοῦ διανοητικοῦ μέρους τῆς ψυχῆς ἐκφυόμεναι. ἃ μέρη μὲν αὐτῆς εἶναι διὰ τὸ προσπεφυκέναι νομίζεται, B οὐ μὴν ἐκεῖνο εἰσὶν, ὅπερ ἐστὶν ἡ ψυχὴ κατ' οὐσίαν. καὶ μὴν ὁρῶμεν, φημὶ πρὸς τὴν παρθένον, οὐ μικρὰν ἐκ τούτων γινομένην τὴν πρὸς τὸ κρεῖττον συνεισφορὰν τοῖς ἐναρέτοις. τῷ τε γὰρ Δανιὴλ ἔπαινος ἦν ἡ ἐπιθυμία, καὶ ὁ Φινεὲς τῷ θυμῷ τὸν Θεὸν ἱλεώσατο· καὶ ἀρχὴν σοφίας φόβον ἐμάθομεν, καὶ τῆς κατὰ Θεὸν λύπης σωτηρίαν εἶναι τὸ πέρας παρὰ τοῦ Παύλου ἠκούσαμεν· τήν τε δεινῶν τὴν καταφρόνησιν νουθετεῖ ἡμῖν τὸ Εὐαγγέλιον· καὶ C τὸ μὴ φοβεῖσθαι πτόησιν οὐδὲν ἄλλο ἢ τοῦ θράσους ἐστὶν ὑπογραφή· ὅπερ ἐν ἀγαθοῖς ὑπὸ τῆς σοφίας κατείλεκται. δείκνυσι τοίνυν διὰ τῶν τοιούτων ὁ λόγος, τὸ μὴ πάθη τὰ τοιαῦτα δεῖν οἴεσθαι. οὐ γὰρ ἂν πρὸς ἀρετῆς κατόρθωσιν συμπαρελήφθη τὰ πάθη. καὶ ἡ διδάσκαλος, ἔοικα, φησὶ, τῆς τοιαύτης τῶν λογισμῶν συγχύσεως αὐτὴ τὴν αἰτίαν παρέχειν, μὴ διακρίνασα τὸν περὶ τούτου λόγον, ὥστε τινὰ τάξιν ἀκόλουθον ἐπιτεθῆναι τῇ θεωρίᾳ. νῦν οὖν ὅπως ἂν οἷόν τε ᾖ ἐπινοηθήσεταί τις D τάξις τῷ σκέμματι, ὡς ἂν δι' ἀκολούθου προϊούσης τῆς θεωρίας, μὴ καθ' ἡμῶν αἱ τοιαῦται τῶν ἀντιθέσεων ἔχοιεν χώραν. φαμὲν γὰρ τῆς ψυχῆς τὴν μὲν θεωρητικήν τε καὶ διακριτικὴν καὶ τῶν ὄντων ἐποπτικὴν δύναμιν οἰκείαν εἶναι καὶ κατὰ φύσιν αὐτῇ· καὶ διὰ τῆς θεοειδοῦς χάριτος, διὰ τοῦτο σώζειν ἐν αὐτῇ τὴν εἰκόνα. ἐπεὶ καὶ τὸ θεῖον ὅτι ποτὲ κατὰ τὴν φύσιν ἐστὶν, ἐν τούτοις ὁ λογισμὸς εἶναι στοχάζεται· ἐν τῷ ἀφορᾶν τε τὰ πάντα καὶ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος. ὅσα δὲ τῆς

δὲ τῆς ψυχῆς ἐν μεθορίῳ κεῖται πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιρρεπῶς κατὰ τὴν ἰδίαν φύσιν ἔχοντα· ὧν ἡ ποία χρῆσις, ἢ πρὸς τὸ καλὸν ἢ πρὸς τὸ ἐναντίον ἄγει τὴν ἔκβασιν, οἷον τὸν θυμόν, ἢ τὸν φόβον, ἢ εἴ τι τὸ τοιοῦτον τῶν ἐν τῇ ψυχῇ κινημάτων ἐστίν, ὧν ἄνευ οὐκ ἔστιν ἀνθρωπίνην θεωρηθῆναι φύσιν· ταῦτα ἔξωθεν ἐπιγενέσθαι αὐτῇ λογιζόμεθα, διὰ τὸ περὶ τὸ ἀρχετύπῳ κάλλει μηδένα τοιοῦτον ἐνθεωρηθῆναι χαρακτῆρα. ὁ μὲν δὴ περὶ τούτων λόγος ἡμῖν ὡς ἐν γυμνασίῳ προκείσθω, ὡς ἂν διαφύγοι τὰς τῶν συκοφαντικῶς ἀκουόντων ἐπηρείας, ὁδῷ τινι καὶ τάξεως ἀκολουθίᾳ πρὸς τὴν ἀνθρωποποιΐαν ὁρμῆσαι τὸ θεῖον διηγεῖται ὁ λόγος. ἐπειδὴ γὰρ συνέστη τὸ πᾶν, καθὼς ἡ ἱστορία φησίν, οὐκ εὐθὺς ὁ ἄνθρωπος ἐν τῇ γῇ γέγονεν· ἀλλὰ τούτου μὲν ἡ τῶν ἀλόγων προηγήσατο φύσις, ἐκείνων δὲ τὰ βλαστήματα. δεικνύουσιν, οἶμαι, διὰ τούτων ὁ λόγος, ὅτι ἡ ζωτικὴ δύναμις ἀκολουθίᾳ τινὶ τῇ σωματικῇ καταμίγνυται φύσει, πρῶτον μὲν τοῖς ἀναισθήτοις ἐνδύουσα, κατὰ τοῦτο δὲ ἐπὶ τὸ αἰσθητικὸν προϊοῦσα· εἶθ' οὕτως πρὸς τὸ νοερὸν καὶ λογικὸν ἀναβαίνουσα. οὐκοῦν τῶν ὄντων τὸ μὲν σωματικόν, τὸ δὲ νοερόν ἐστι πάντως· τοῦ δὲ σωματικοῦ, τὸ μὲν ἔμψυχον ἐστί, τὸ δὲ ἄψυχον. ἔμψυχον δὲ λέγω τὸ μετέχον ζωῆς· τῶν δὲ ζώντων, τὰ μὲν αἰσθήσει συζῇ, τὰ δὲ ἄμοιρα ταύτης. πάλιν τῶν αἰσθητικῶν, τὰ μὲν λογικά ἐστι, τὰ δὲ ἄλογα. ἐπεὶ οὖν ἡ αἰσθητικὴ ζωὴ οὐκ ἂν δίχα τῆς ὕλης συσταίη, οὔτε ἂν τὸ νοερὸν ἄλλως ἐν σώματι γένοιτο, μὴ τῷ αἰσθητικῷ ἐμφυόμενον· τούτου χάριν τελευταία ἡ τοῦ ἀνθρώπου κατασκευὴ ἱστορεῖται, ὡς πᾶσαν ἐκπεριειληφότος τὴν ζωτικὴν ἰδέαν, τήν τε ἐν τοῖς βλαστήμασι καὶ τοῖς ἐν τοῖς ἀλόγοις θεωρουμένην. τὸ μὲν τρέφεσθαί τε καὶ αὔξεσθαι ἐκ τῆς φυτικῆς ἔχει ζωῆς· ἔστι γὰρ τὸ τοιοῦτον καὶ ἐν ἐκείνοις ἰδεῖν, ἑλκομένης τε καὶ διὰ ῥιζῶν τῆς τροφῆς καὶ ἀποποιουμένης διὰ καρπῶν τε καὶ φύλλων, τὸ δὲ κατ' αἴσθησιν οἰκονομεῖσθαι ἐκ τῶν ἀλόγων ἔχει.

A autem in animæ confinio poſita ſunt ad alterutrum ex contrariis propenſionem & inclinationem iuxta ſui naturam habentia: quorum certus quidam vſus vel ad id quod bonum, vel bono contrarium eſt, ducit euentum: veluti ira vel metus, ac ſi quid ex motibus, qui in anima ſunt, eiuſmodi eſt, ſine quibus humana natura conſiderari non poteſt: hæc extrinſecus ei acceſſiſſe exiſtimamus, propterea quòd in principali & originali pulchritudine nullum eiuſmodi ſignum cernatur. Ac diſputatio ſanè de his rebus à nobis interim tanquam in gymnaſio proponatur, vt effugere poſſit eorũ, qui calumniandi cauſ- B ſa auſcultant, incurſus & offenſiones, via quadam & ordinis conſequentia ad creationem hominis diuinum numen acceſſiſſe ſcriptura docet. Poſteaquam enim conditæ ſunt res vniuerſæ, quemadmodum hiſtoria dicit, non vtique ſtatim homo extitit in terra: ſed hunc quidem ratione carentium natura præceſſit, ante illa verò, germina ac plantæ fuerunt. Oſtendit, opinor, per hæc ſcriptura, quòd vis vitalis ordine ac viciſſitudine quadam corporali commiſcetur naturæ, primùm quidem in ſenſu carentia ſeſe penetrans & infundens, poſtea verò ad ſenſu præditum progre- C diens: ita deinceps ad id quod mente atque intelligentia præditum rationiſque particeps eſt, aſcendens. Igitur eorum quæ ſunt, aliud quidem corporeum, aliud verò mente atque intelligentia præditum prorſus: corporeum autem aliud quidem inanimum, aliud verò animatum eſt. Animatum autem dico, quod vitæ particeps eſt. Atque eorum, quæ viuunt, alia quidem in ſenſu viuunt, alia verò eius expertia ſunt. Rurſus ſenſu præditorum alia quidem D ratione prædita, alia verò rationis expertia ſunt. Quoniam ergo ſenſu prædita vita abſque materia conſiſtere non poſſit, & quod mente præditũ eſt aliter in corpore eſſe nequeat, niſi vi ſentiendi inhæreſcat: hac de cauſa homo poſtremo loco conditus eſſe traditur, vt qui omnem vitalẽ ſpeciem, & eam, quæ in germinibus, & eã quę in brutis animaduertitur, in ſeſe cõplexus ſit. Nã ali quidem & augeſcere atque creſcere, ex vita plantarum & ſtirpium habet: licet enim tale quiddam etiam in illis videre quippe, cùm & attrahatur nutrimentum per radices, & per fructus ſimul ac folia excernatur & reijciatur: quod autem ſenſu gubernatur, à brutis & ratione carentibus habet.

At vis cogitandi ac continendi in hac natura nulla admixtione concreta, ſed peculiaris eſt, quæ per ſe ſeparatim conſideratur. Sed quemadmodum neceſſariorum attractricem vim natura habet à vita materiali, quæ vis ſi in nobis fuerit appetitus dicitur. Eam autem vim de plantarum vitæ ſpecie eſſe dicimus: quippe cùm & in illis liceat videre tanquam facultates quaſdam naturaliter vim ſuam exercentes, dum & replentur eo quod cuique proprium & commodum fuerit, & impelluntur ac turgent ad creſcendum & germinandum: eodem etiam modo quæcumque ratione carentis naturæ propria ſunt, hæc intelligentia præditæ animæ parti permixta ſunt. Hinc, inquit, eſt ira, ex illis metus, hinc omnia alia quæcumque in contrarium à nobis exercentur: excepta rationis participe atque cogitandi facultate: quæ ſola nimirum præcipua vitæ noſtræ pars eſt, in ſeſe diuinæ figuræ, ſicuti dictum eſt, imaginem continens: ſed quoniam iuxta iam antè redditam rationem, ratione prædita vis corporeæ vitæ non aliter ineſſe poteſt, niſi per ſenſus inſit: atque ſenſus in bruta atque rationis experte natura ante ſubſtitit atque conſtitutus eſt: neceſſario per vnum etiam cum coherentibus huic atque coniunctis animæ noſtræ communio exiſtit. Hæc autem ſunt, quæcumque in nobis exiſtentia, πάθη, id eſt, affectus, paſſiones, ſiue perturbationes, & motus dicuntur: quæ non omnino mali alicuius cauſſa humanæ contributa naturæ ſunt (nam alioqui creatori cauſſa malorum aſſignari poſſet, ſi illinc peccatorum neceſſariæ cauſſæ ſimul in naturam collatæ eſſent) ſed certo quodam vſu voluntatis & arbitrij, vel virtutis vel vitij instrumẽta tales animi motus exiſtunt. Quemadmodum ferrum dum ex ſententia artificis cuditur, quocumque ferramentum artificis animo voluntas deſtinauerit, ad id etiam formatur, & vel gladius, vel ruſtici alicuius operis inſtrumentum fit. Ergo ſiquidem ratio, quæ præcipua nimirum naturæ noſtræ pars eſt, eorum quæ extrinſecus nobis ſuperinducta & inſinuata ſunt, principatum obtineat (quẽadmodum etiam ſcripturæ ſermo per ænigma tectámque orationem ſubinnuit, omnibus brutis & rationis expertibus præeſſe iubẽs) nullus eiuſmodi motus nobis ad vitij miniſterium efficax fuerit: metu quidem obedientiam,

A τὸ δὲ διανοητικόν τε καὶ λογικὸν ἄμικτόν ἐστι ἰδιάζον, ἐπὶ ταύτης τῆς φύσεως ἐφ' ἑαυτῇ θεωρούμενον. ἀλλ' ὥσπερ τὸ ἐφελκτικὸν τῶν ἀναγκαίων πρὸς τὴν ὑλικὴν ζωὴν ἡ φύσις ἔχει, ὅπερ ἐν ἡμῖν γινόμενον ὄρεξις λέγεται. τοῦτο δὲ φαμὲν τοῦ φυτικοῦ τῆς ζωῆς εἴδους εἶναι· ἐπεὶ δὲ καὶ ἐν ἐκείνοις ἐστὶν ἰδεῖν, διά τινας ὁρμὰς φυσικῶς ἐνεργουμένας ἐν τῷ πληροῦσθαι τὸ τοῦ οἰκείου καὶ ὀργᾶν πρὸς τὴν ἔκφυσιν· οὕτω καὶ ὅσα τῆς ἀλόγου φύσεως ἐστὶν ἴδια, ταῦτα τῷ νοερῷ τῆς ψυχῆς κατεμίχθη.
B ἐκείνων φησὶν ὁ θυμὸς, ἐκείνων ὁ φόβος, ἐκείνων τὰ ἄλλα πάντα ὅσα κατὰ τὸ ἐναντίον ἐν ἡμῖν ἐνεργεῖται, πλὴν τῆς λογικῆς τε καὶ διανοητικῆς δυνάμεως· ὃ δὴ μόνον τῆς ἡμετέρας ζωῆς ἐξαίρετον ἐν ἑαυτῷ, καθὼς εἴρηται τοῦ θείου χαρακτῆρος ἔχον τὴν μίμησιν· ἀλλ' ἐπειδὴ κατὰ τὸν ἤδη προαποδοθέντα λόγον οὐκ ἔστιν, ἄλλως τὴν λογικὴν δύναμιν ἐγγενέσθαι τῇ σωματικῇ ζωῇ, μὴ διὰ τῆς αἰσθήσεως ἐγγινομένην. ἡ δὲ αἴσθησις ἐν τῇ τῶν ἀλόγων προϋπέστη φύσει· ὡς ἀναγκαίως διὰ τοῦ ἑνὸς
C καὶ πρὸς τὰ συνημμένα τούτων γίνεται, τῆς ψυχῆς ἡμῶν ἡ κοινωνία. ταῦτα δέ ἐστιν ὅσα ἐν ἡμῖν γινόμενα πάθη λέγεται· ἃ οὐχὶ πάντως ἐπὶ κακῷ τινι τῇ ἀνθρωπίνῃ συνεκληρώθη ζωῇ· ἦ γὰρ ἂν ὁ δημιουργὸς τῶν κακῶν τὴν αἰτίαν ἔχει, ἢ ἐκεῖθεν αἱ τῶν πλημμελημάτων ἦσαν ἀνάγκαι συγκαταβεβλημέναι τῇ φύσει· ἀλλὰ τῇ ποιᾷ χρήσει τῆς προαιρέσεως, ἢ ἀρετῆς, ἢ κακίας ὄργανα τὰ τοιαῦτα τῆς ψυχῆς κινήματα γίνεται. καθάπερ ὁ σίδηρος κατὰ γνώμην τοῦ τεχνίτου τυπούμενος, πρὸς ὅπερ
D ἂν ἔθετο τοῦ τεχνιτεύοντος ἡ ἐνθύμησις, πρὸς τοῦτο καὶ σχηματίζεται, ἢ ξίφος, ἢ τι γεωργικὸν ἐργαλεῖον γινόμενος. οὐκοῦν εἰ μὲν ὁ λόγος, ὃ δὴ τῆς φύσεώς ἐστιν ἐξαίρετον τῶν ἔξωθεν ἐπεισελθόντων τὴν ἡγεμονίαν ἔχοι· καθὼς καὶ δι' αἰνίγματος ὁ τῆς γραφῆς παρεδήλωσε λόγος, ἄρχειν ἐγκελευόμενος πάντων τῶν ἀλόγων· οὐκ ἂν ἡ πρὸς κακίας ὑπηρεσίαν τῶν τοιούτων κινημάτων ἡμῖν ἐνεργήσει· τοῦ μὲν φόβου τὸ ὑπήκοον ἐμποιοῦντος,

τοῦ δὲ θυμοῦ τὸ ἀνδρεῖον· τῆς δειλίας δὲ τὴν ἀσφάλειαν· τῆς δὲ ἐπιθυμητικῆς ὁρμῆς τὴν θείαν τε καὶ ἀκήρατον ἡμῖν ἡδονὴν προξενούσης. Εἰ δὲ ἀποβάλοι τὰς ἡνίας ὁ λόγος, καὶ οἷόν τις ἡνίοχος ἐμπλακεὶς τῷ ἅρματι κατόπιν ἐπ' αὐτοῦ σύροιτο, ἐκεῖ ἀπαγόμενος ὅπουπερ ἂν ἡ ἄλογος κίνησις τῶν ὑπεζευγμένων φέρῃ, τότε εἰς πάθος αἱ ὁρμαὶ καταστρέφονται, οἷα δὲ καὶ ἐπὶ τοῖς ἀλόγοις ἐστὶν ἰδεῖν. ἐπεὶ γὰρ οὐκ ἐπιστατεῖ λογισμὸς τῆς φυσικῶς αὐτοῖς ἐγκωμαζομένης κινήσεως· τὰ μὲν θυμώδη τῶν ζώων ἐν ἀλλήλοις φθείρεται τῷ θυμῷ στρατηγούμενα· τὰ δὲ πολύσαρκά τε καὶ δυνατὰ εἰς οὐδὲν οἰκεῖον ἀγαθὸν ἀπώνατο τῆς δυνάμεως, κτῆμα τοῦ λογικοῦ διὰ τὴν ἀλογίαν γινόμενα, εἴτε τῆς ἐπιθυμίας καὶ τῆς ἡδονῆς ἐνέργεια περὶ οὐδὲν τῶν ὑψηλῶν ἀσχολεῖται· οὔτε ἄλλό τι τῶν ἐν αὐτοῖς θεωρουμένων λόγῳ τινὶ πρὸς τὸ λυσιτελοῦν διεξάγεται. οὕτω καὶ ἐν ἡμῖν, εἰ μὴ πρὸς τὸ δέον ἄγοιτο ταῦτα διὰ τοῦ λογισμοῦ, ἀλλ' ἐπικρατοίη τῆς τοῦ νοῦ δυναστείας τὰ πάθη πρὸς τὸ ἄλογόν τε καὶ ἀνόητον μεταβαίνων ὁ ἄνθρωπος, ἀπὸ τοῦ διανοητικοῦ καὶ θεοειδοῦς τῇ ὁρμῇ τῶν τοιούτων παθημάτων ἀποκτηνούμενος. Ἐγὼ δὲ καὶ σφόδρα περὶ τὰ εἰρημένα διατεθεὶς, Ἀρκεῖ μὲν ἔφην, παντί τῷ γε νοῦν ἔχοντι ψιλῶς οὑτωσὶ καὶ ἀκατασκεύως δι' ἀκολούθου προελθὼν ὁ λόγος, εὖ ἔχειν δόξαι καὶ μηδαμοῦ παρεσφάλθαι τῆς ἀληθείας. ἐπεὶ δὲ τοῖς μὲν τὰς τεχνικὰς ἐφόδους μεμελετηκόσι τῶν ἀποδείξεων, ὁ συλλογισμὸς ἱκανὸς εἰς πίστιν δοκεῖ· ἡμῖν δὲ πάντων τῶν τεχνικῶν συμπερασμάτων ἔξις πιστότερον εἶναι ὁμολογεῖτο, τὸ διὰ τῶν ἱερῶν τῆς γραφῆς διδαγμάτων ἀναφαινόμενον, ζητεῖν οἶμαι δεῖν ἐπὶ τοῖς εἰρημένοις, εἰ ἡ θεόπνευστος διδασκαλία τούτοις συμφέρεται; ἡ δὲ, κἄν τις ἂν ἀντείποι, φησί, μὴ οὐχὶ ἐν τούτῳ μόνῳ τὴν ἀλήθειαν τίθεσθαι, ᾧ σφραγὶς ἔπεστι τῆς γραφικῆς μαρτυρίας· οὐκοῦν εἰ χρή τι καὶ τῆς τοῦ εὐαγγελίου διδασκαλίας πρὸς τὴν τοῦ δόγματος τούτου συνηγορίαν παραληφθῆναι,

A ira verò fortitudinem: timiditate cautionem atque ſecuritatem ingenerante: cupiditatis item impetu diuinam ſimul & immortalem nobis voluptatem conciliante. Sin autem ratio habenas amittat, & tanquã auriga aliquis implicitus currui retrò ab eo trahatur, illóque abripiatur, quocúmq. eum rationis expers motus iumẽtorum auferat, tunc in perturbationẽ appetitiones conuertuntur, quale nimirum etiam in brutis videre licet. Quoniam enim ratio naturaliter eis inſitæ motioni nõ præeſt, ea quidem animalia, quæ ad iram prona atque procliuia ſunt, ira ducente atque concitãte B ſeſe inuicem conficiunt: quę autem carnoſa ſunt, ac viribus pollent, dum propter rationis defectum ratione præditi quaſi mancipia ac prædæ fiunt, nullum proprium ſuarũ virium cõmodum ſentiunt: cupiditatis quoque atque voluptatis efficientia in nulla re ſublimi occupata eſt: neque aliud quicquam eorum, quæ in iis animaduertuntur, ratione aliqua ad id quod proſit & expediat, deducitur. Itidem in nobis niſi per rationem hæc ad id, quod res poſtulat, ac C rectum eſt, ducantur, ſed potentatum mentis ſuperent affectus ac perturbationes, ab cogitatrice atque diuina natura, dũ impetu & ardore eiuſmodi affectuum atq. perturbationũ in pecudem degenerat & efferatur, ad rationis expertem, ſtultam & amentem naturam homo tranſit atque trãsformatur. Ego verò admodum benè erga ea, quæ dicta erant, affectus, ſufficit quidem, inquam, cuiuis, certè cordato ita nudè atq. ſimpliciter, nulla adhibita probatione, per conſequentia cõſentaneáque progreſſa oratio, vt recta eſſe, & nuſquã à veritate D aberrare videatur. Sed quoniam iis qui in artium quidem compendiis atque inſtrumentis artificioſis argumentis exercitati ſunt, ratio demonſtrationum ad fidem faciendam ſufficere videtur: nobis verò dubium non eſt, quin omnibus artificioſis concluſionibus ad fidem faciendam magis idoneum ſit, ac plus virium habere debeat id, quod per ſacra ſcripturæ documenta apparet; præter ea, quæ dicta ſunt, quærendum eſſe opinor, an diuinitùs ſuggeſta ac tradita doctrina concordet atque ab his non diſcrepet? Atque illa, Ecquis, inquit, contradixerit, quin in eo ſolo, cui ſcripturarũ teſtimonij adeſt ſigillũ, veritas ponẽda ſit: Quocirca ſi oportet etiã Euãgelicæ doctrinæ nonnihil ad patrocinium atq. defenſionem huius dogmatis atque ſententię adhibere,

A non intempeſtiua nobis fuerit zizaniorum ſimilitudinis conſideratio. Spargebat enim illic paterfamilias bonum ſemen (nos autem familia planè ſumus) obſeruato autem tempore quo homines dormirent, inimicus in eo, quod aptum erat ad nutriendum, interiecto inter frumentum zizanio ſemen inutile ſparſit. Eaque ſemina alterum vnà cum altero ſimul germinauerunt & enata ſunt. Fieri enim non poterat, vt ſemen, quod inter ipſum frumentum coniectum erat, vnà cum illo non exiſteret ac germinaret. Vetat autem præſes & inſpector ſegetis miniſtros euellere id quod inutile erat, propterea quod in radice contraria inter ſe coaluiſſent, atque concreta eſſent, ne vnà cum alieno id, quod ad nutriendum aptum eſſet, euelleretur. Taleis enim animæ appetitus & impetus per bona ſemina ſcripturam oſtendere putamus: quorum ſeminum vnumquódque ſi ad bonum dumtaxat excoleretur, virtutis fructum nobis prorſus produceret. Sed quoniam iuxta hæc inſperſus eſt error circa iudicium boni & honeſti, atque id, quod reipſa ac ſolum ex ſui natura bonum ac rectum eſt, per germen fraudis & erroris, quod vnà excreuit, obtenebratum & obſcuratum eſt (nam concupiſcendi vis non ad id, quod natura bonum & honeſtum eſt, cuius gratia nobis etiam inſita eſt, enata eſt & excreuit, ſed ad beſtialem pecorinámque & rationis expertem naturam, eò appetitum & impetum cupiditatis rapiente prauo circa bonum ac rectum iudicio, germen tranſmutauit: itidem iræ quoque ſemen non ad fortitudinem exacuit, ſed ad pugnandum cum popularibus ac proximis nos armauit: itémque dilectionis vis ab iis, quæ mente percipiuntur, diſceſſit, & in fruendo rebus ſub ſenſum cadentibus & materialibus vltra modũ inſaniuit atque debacchata eſt: cæteráque eodem modo peiora pro melioribus germina produxerunt) idcirco prudẽs agricola germen innatum ſemini in eo ineſſe ſinit, id prouidẽs atq. cauens ne melioribus nudemur, ſi vnà cum inutili germine cupiditas penitus fuerit extirpata. Si hoc enim acciderit humanę naturę, quid erit, quod nos erigat & incitet ad cœleſtiũ coniunctionẽ atque propinquitatẽ? aut ſublata dilectione, qua ratione cum diuino numine copulabimur & cõiungemur? ira item extincta, quibus armis aduerſus reluctantem vtemur?

Matth. 13.

A οὐκ ἀπὸ καιροῦ γένοιτ' ἂν ἡμῖν τῆς παραβολῆς τῶν ζιζανίων ἡ θεωρία. ἔσπειρε γὰρ ἐκεῖ τὸ καλὸν σπέρμα ὁ οἰκοδεσπότης· ἡμεῖς δὲ πάντως ὁ οἶκος ἐσμέν· καθεύδοντας δὲ τοὺς ἀνθρώπους ἐπιφυλάξας ἐνέσπειρεν ὁ ἐχθρὸς τῷ τροφίμῳ τὸ ἄχρηστον, αὐτῷ τῷ σίτῳ κατὰ τὸ μέσον ἐνθεὶς τὸ ζιζάνιον. τὰ δὲ συνεβλαστησάτην ἀλλήλοις τὰ σπέρματα. οὐ γὰρ ἦν δυνατὸν τὸ αὐτῷ τῷ σίτῳ ἐντεθὲν σπέρμα μὴ σὺν ἐκείνῳ βλαστῆσαι. κωλύει δὲ τοὺς ὑπηρέτας ὁ τῆς γεωργίας ἔφορος μὴ ἀποτίλλειν τὸ ἄχρηστον διὰ B τὴν ἐν τῇ ῥίζῃ τῶν ἐναντίων συμφυΐαν, ὡς ἂν μὴ τὸ ἀλλότριον συνεκτίλῃ τὸ τρόφιμον. τὰς γὰρ τοιαύτας τῆς ψυχῆς ὁρμὰς διὰ τῶν καλῶν σπερμάτων οἰόμεθα τὸν λόγον ἐνδείκνυσθαι, ὧν ἕκαστον, εἰ μόνον πρὸς τὸ ἀγαθὸν ἐγεωργεῖτο, τὸν τῆς ἀρετῆς ἐν ἡμῖν καρπὸν πάντως ἐβλάστησεν. ἐπειδὴ δὲ παρενεσπάρη τούτοις ἡ περὶ τὴν τοῦ καλοῦ κρίσιν διαμαρτία καὶ τὸ ὄντως καὶ μόνον κατὰ τὴν ἰδίαν φύσιν καλὸν, διὰ τοῦ συναφυέντος βλαστοῦ τῆς ἀπάτης ἐπεσκοτίσθη· τὸ γὰρ ἐπιθυμητικὸν οὐ πρὸς C τὸ φύσει καλὸν, οὗ χάριν κατεσπάρη ἡμῖν ἐφύη τε καὶ ἀνέδραμεν, ἀλλὰ πρὸς τὸ κτηνῶδες καὶ ἄλογον τὸν βλαστὸν μετεποίησε τῆς περὶ τὸ καλὸν ἀκρισίας, πρὸς τοῦτο τὴν τῆς ἐπιθυμίας ἐνεγκούσης ὁρμήν· ὡσαύτως καὶ τὸ τοῦ θυμοῦ σπέρμα οὐ πρὸς ἀνδρείαν ἐστόμωσεν, ἀλλὰ πρὸς τὴν τῶν ὁμοφύλων μάχην ἐξώπλισεν, εἴτε τῆς ἀγάπης δύναμις τῶν νοητῶν ἀπέστη περὶ τῶν αἰσθητῶν ἀπλήστως, πέρα τοῦ μέτρου ὁλομανήσασα· καὶ τὰ ἄλλα τὸν αὐτὸν τρόπον, τοὺς χείρονας βλαστοὺς ἀντὶ τῶν κρειττό- D νων ἐξώθησεν. τούτου χάριν ἀφίησιν ὁ σοφὸς γεωργὸς τὸ ἐμφυὲν τῷ σπέρματι βλάστημα ἐν αὐτῷ εἶναι, προμηθείᾳ τοῦ μὴ γυμνωθῆναι τῶν κρειττόνων ἡμᾶς καθόλου τῆς ἐπιθυμίας τῷ ἀχρήστῳ βλαστῷ συνεκριζωθείσης. εἰ γὰρ τοῦτο πάθῃ ἡ φύσις, τί ἔσται τὸ ἐπαῖρον ἡμᾶς πρὸς τὴν τῶν ἐπουρανίων συνάφειαν; ἢ τῆς ἀγάπης ἀφαιρεθείσης, τίνι τρόπῳ πρὸς τὸ θεῖον συναφθησόμεθα; τοῦ δὲ θυμοῦ κατασβεσθέντος, ποῖον ὅπλον κατὰ τοῦ προσπαλαίοντος ἕξομεν;

ἐφίησι τοίνυν τὰ νόθα τῶν σπερμάτων ἐν ἡμῖν ὁ γεωργὸς, οὐχ ὡς ἀεὶ καταχρατεῖν τῆς τιμιωτέρας σπορᾶς, ἀλλ' ὡς αὐτὴν τὴν ἄρουραν· οὕτω γὰρ τὴν καρδίαν τροπικῶς ὀνομάζει· διὰ τῆς ἐγκειμένης αὐτῇ φυσικῆς δυνάμεως, ἥ τίς ἐστιν ὁ λογισμὸς, τὸ μὲν ξηρᾶναι τῶν βλαστημάτων, τὸ δὲ κάρπιμον καὶ εὐθαλὲς ἀπεργάσασθαι· εἰ δὲ μὴ τοῦτο γένοιτο, τὸ πυρὶ τὴν τῆς γεωργίας διάκρισιν ταμιεύεται. Οὐκοῦν εἰ μέν τις τούτοις κατὰ τὸν δέοντα χρήσαιτο λόγον, ἐν αὐτῷ λαμβάνοιτο ἐκεῖνα, καὶ μὴ αὐτὸς ἐν ἐκείνοις, ἀλλ' οἷόν τις βασιλεὺς τῇ πολυχειρίᾳ τῶν ὑπηκόων συνεργῷ χρώμενος, ῥᾷον κατορθώσει τὸ κατ' ἀρετὴν σπουδαζόμενον. εἰ δὲ ἐκείνοις γένοιτο, καθάπερ δούλων τινῶν ἐπαναστάντων τῷ κεκτημένῳ, καὶ ἐξ ὧν ἀνδραποδισθείη ταῖς δουλικαῖς ἐπινοίαις ἀγεννῶς ὑποκύψαι, καὶ κτῆμα γένοιτο τῶν ὑπεζευγμένων κατὰ τὴν φύσιν αὐτῷ, πρὸς ἐκεῖνα κατ' ἀνάγκην μετατεθήσεται, πρὸς ἅπερ ἂν ἡ ἐπικράτησις τῶν καθηγουμένων βιάζηται. Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, οὔτε ἀρετὴν, οὔτε κακίαν ἐφ' ἑαυτῶν ταῦτα ἀποφαινούμεθα, ὅσα κινήματα τῆς ψυχῆς ὄντα ἐπὶ τῇ ἐξουσίᾳ τῶν χρωμένων κεῖται, ἢ καλῶς ἢ ἑτέρως ἔχειν. ἀλλ' ὅταν μὲν αὐτοῖς πρὸς τὸ κρεῖττον ἡ κίνησις ᾖ, ἐπαίνων γίνεσθαι ὕλην, ὡς τῷ Δανιὴλ τὴν ἐπιθυμίαν, καὶ τῷ Φινεὲς τὸν θυμὸν, καὶ τῷ καλῶς πενθοῦντι τὴν λύπην. Εἰ δὲ πρὸς τὸ χεῖρον γένοιτο ἡ ῥοπὴ, τότε πάθη γίνεσθαι ταῦτα καὶ ὀνομάζεσθαι. ἐγὼ ταῦτα διεξελθούσης, ἐπειδὴ παυσαμένη βραχύ τι ἔδωκε τῷ λόγῳ διαλιπεῖν· καὶ συνελεξάμην τῇ διανοίᾳ τὰ εἰρημένα, πάλιν ἐπὶ τὴν προτέραν διέδραμον ἀκολουθίαν τοῦ λόγου, ἐν ᾧ κατεσκευάζετο, μὴ ἀδύνατον εἶναι τὴν ψυχὴν διαλυθέντος τοῦ σώματος ἐν τοῖς στοιχείοις εἶναι· καὶ τοῦτο εἶπον πρὸς τὴν διδάσκαλον, ποῦ ἐκεῖνο τὸ πολυθρύλητον τοῦ ᾅδου ὄνομα· πολὺ μὲν ἐν τῇ συνηθείᾳ τοῦ βίου, πολὺ δὲ ἐν ταῖς συγγραφαῖς ταῖς τε ἔξωθεν καὶ ταῖς ἡμετέραις περιφερόμενον; εἰς ὃ πάντες οἴονται καθάπερ δοχεῖον ἐντεῦθεν τὰς ψυχὰς μετοικίσασθαι. οὐ γὰρ αὖ τὰ στοιχεῖα τὸν ᾅδην λέγεις. καὶ ἡ διδάσκαλος, δῆλος εἶ, φησὶ, μὴ λίαν προσεσχηκὼς τῷ λόγῳ.

A Relinquit igitur in nobis agricola ſemina adulterina, non vt ſemper præualeant aduerſus pretioſorum ſegetem; ſed vt ipſa tellus (ita enim allegoricè ac per modum tranſlationis cor nominat) per inſitam ei vim naturalem, quæ eſt ratio, aliud quidem germen areſaciat & exſiccet, aliud verò floridum atque frugiferum efficiat: quòd ſi id factum non fuerit, igni diſcrimen agri prouentus faciendum reſeruat. Quocirca ſiquidem aliquis his rectè & ita vt poſtulat, vtatur, & in ſeſe quidem recipiat ea, non autem ipſe in pote- B ſtatem illorum redigantur; ſed tanquam rex aliquis magna manu ſubditorum adiutrice vtatur, facilius aſſequutus fuerit id quod cum virtute efficere conetur. Sin autem, quemadmodum fieri ſolet, cùm ſerui aliqui aduerſus dominum inſurgunt, illis obnoxius fuerit, & ſeruili arrogantiæ atque confidentiæ degeneri abiectóque animo ſuccumbens, ſeruus & mancipium eorum factus ſit, quæ natura ei ſubiecta ſunt, ad ea neceſſariò traducetur, quò vis regentium eum impulerit. C Quòd ſi hæc ita ſunt, neque virtutem, neque initium per ſeſe hęc eſſe pronuntiabimus, quæ cùm animæ motus ſint, in poteſtate & arbitrio vtentium ſitum eſt, recti ne an praui ſint. Sed quando motus eorum ad bonum inclinat, laudum materia exiſtunt, vt Danieli cupiditas ac deſiderium, & ira Phineeſo, eique qui rectè luget, dolor: ſin autem ad deterius propendent, tunc affectus ac perturbationes & ſunt & nominantur. *Num. 25.* Ego verò, cùm his expoſitis quieuiſſet, & exiguum quiddam ſpatij intercedere ſermoni paſſa eſſet, atque ipſe mente collegiſſem ea quæ dicta erant, rurſus D ad priorem conſequentiam ſermonis incurri, quo aſſerebatur fieri poſſe, vt diſſoluto corpore anima eſſet in elementis: atque ita ad magiſtram, vbi eſt, inquam, illud, quod vulgo paſſim iactatur, Orci & inferni nomen, quod multùm quidem in conſuetudine vitæ, multùm item in ſcriptis tum externis tum noſtris circumfertur? in quem infernum tanquam in quoddam receptaculum omnes hinc putant animas tranſmigrare. Non enim elementa Orcum & infernum dixeris. Ac magiſtra, Videris, inquit, non admodum attendiſſe, & animum ſermoni adhibuiſſe,

Cum enim dicerem tranſlationem animę ex eo, quod videtur, fieri ad id, quod non videtur, nihil putabam me prætermiſiſſe, quod de inferno quæreretur. Nec enim aliud quippiam mihi videtur tum in externorum, tum in diuina ſcriptura per hoc nomen ſignificari, in quo animas eſſe dicunt, præterquam in id quod & obſcurum eſt, & non videtur, tranſitionem. Et qua ratione ſubterraneum, inquam, locum nõnulli ita dici exiſtimant, atque illum in ſeſe animas quaſi hoſpitio excipere, tanquam receptaculum quoddam ad recipiendum eiuſmodi naturam aptum & idoneum, quod eas, quæ iam ex humana vita euolauerint, ad ſeſe attrahat? At nihilo magis, inquit magiſtra, per hanc opinionem ſententia atque doctrina noſtra infirmabitur & lædetur, etiamſi vera tua oratio eſt. Nam propterea quòd vertex cœleſtis ſecum continuus & indiſſolubilis eſt, omnia intra ſuum circulum & ambitum cohibens atque coërcens, & terra, quęque circa eam animaduertuntur, in medio ſuſpenſa ſunt: & omnium, quæ in orbem voluuntur, motus circa id, quod ſtabile firmúmque ac ſolidum eſt, fit: omnino neceſſe eſt, inquit, vt quicquid vnicuique elemẽtorum circa ſuperam partem terræ accidit, id etiam circa oppoſitam contingat, quippe cùm vna eadémq. natura circum totam eius molẽ feratur atque voluatur. Et quemadmodũ ſuper terrã apparente ſole, ad ſubiectam & infernã eius partẽ, vmbra verſatur, propterea quod globoſa figura non poſſit vndique eodẽ tempore ab radij amplexu comprehendi, ſed prorſus neceſſe eſt vt ad quemcũque terræ partem ſol radio admouerit, in quodam puncto prorſus in globo terræ verſans, ad rectam lineam demetientem (quæ διάμετρος dicitur) circa alteram terræ extremitatem tenebræ ſint: atque ita perpetuo vnà cum curſu ſolari ſupra appoſitam rectæ radij lineæ partem tenebræ vagẽtur, adeò vt æquabiliter & inferus & ſuperus terræ locus inuicem tum tenebris obducti, tum luce illuſtrati ſint: ita par & conſentaneum eſt, non dubitare, quin etiã in cęteris omnibus quodcumque iuxta naturam elemẽtorum in noſtro hemiſphærio terræ animaduertitur, idem etiam in altero quoque hemiſphærio ſit. Cum autem per omnem partem terræ vnus & idem amplexus elementorum ſit, neque contradicendum neque patrocinandum arbitror iis, qui hanc quæ-

A τὴν γὰρ ἐκ τοῦ ὁρωμένου πρὸς τὸ ἀειδὲς μετάστασιν τῆς ψυχῆς εἰποῦσα, οὐδὲν ᾤμην ἀπολελοιπέναι εἰς τὸ περὶ τοῦ ᾅδου ζητούμενον· οὐδὲ ἄλλο τί μοι δοκεῖ παρά τε τῶν ἔξωθεν καὶ παρὰ τῆς θείας γραφῆς τὸ ὄνομα τοῦτο διασημαίνειν ἐν ᾧ τὰς ψυχὰς γίνεσθαι λέγουσι, πλὴν εἰς τὸ ἀειδὲς καὶ ἀφανὲς μεταχωροῦσιν. καὶ πῶς εἴποι, τὸν ὑπόγειον χῶρον οἴονταί τινες οὕτω λέγεσθαι, ὡς ἐν αὐτῷ κἀκείνων τὰς ψυχὰς πανδοχεύειν· καθάπερ τι χώρημα τῆς τοιαύτης φύσεως δεκτικὸν τὰς ἀποπτάσας
B ἤδη τῆς ἀνθρωπίνης ζωῆς πρὸς ἑαυτὸν ἐφελκόμενον; ἀλλ' οὐδὲν μᾶλλον, φησὶν ἡ διδάσκαλος, τὸ δόγμα διὰ τῆς ὑπονοίας ταύτης παραβλαβήσεται, κἂν ἀληθὴς ὁ λόγος ὁ κατὰ σέ. εἰ γὰρ συνεχής τε πρὸς ἑαυτὸν καὶ ἀδιάσπαστον εἶναι τὸν οὐράνιον πόλον τῷ ἰδίῳ κύκλῳ πάντα ἐμπεριέχοντα, καὶ ἐν τῷ μέσῳ τὴν γῆν καὶ τὰ περὶ αὐτὴν ἑωρεῖσθαι, καὶ πάντως κυκλοφορουμένων τὴν κίνησιν περὶ τὸ ἑστὼς καὶ πάγιον γίνεσθαι· ἀνάγκη πᾶσα, φησὶν, ὅπερ ἂν ἑκάστῳ ἐκ τῶν στοιχείων ἢ κατὰ
C τὸ ἄνω τῆς γῆς μέρος τοῦτο κατὰ τὸ ἀντικείμενον εἶναι, μιᾶς τῆς οὐσίας ὅλον αὐτῆς τὸν ὄγκον ἐν κύκλῳ περιθεούσης. καὶ ὥσπερ ὑπὲρ τοῦ ἡλίου φανέντος ἐπὶ τὸ ὑποκείμενον αὐτῆς τρέφεται ἡ σκιὰ τοῦ σφαιροειδοῦς σχήματος, οὐ δυναμένου κατ' αὐτὴν ἐν κύκλῳ διαληφθῆναι τῇ τῆς ἀκτῖνος περιβολῇ, ἀλλὰ κατὰ πᾶσαν ἀνάγκην, καθάπερ ἂν τῆς γῆς μέρος προσβάλλῃ ταῖς ἀκτῖσιν ὁ ἥλιος, κατά τινος κέντρου πάντως ἐπὶ τῆς σφαίρας γινόμενος, πρὸς τὴν εὐθεῖαν διάμετρον κατὰ τὸ ἕτερον πέρας σκότος
D ἔσται· καὶ οὕτω κατὰ τὸ διηνεκὲς, τῷ ἡλιακῷ δρόμῳ ἐπὶ τὸ ἀντικείμενον τῇ τῆς ἀκτῖνος εὐθείᾳ συμπεριοδεύει τὸ σκότος, ὥστε κατὰ τὸ ἴσον, τόν τε ὑπέργειον, καὶ τὸν ὑπόγειον τόπον ἀνὰ μέρος γίνεσθαι ἐν φωτί τε καὶ σκότει· οὕτως εἰκὸς καὶ τἄλλα πάντα ὅπερ ἂν στοιχειωδῶς ἐν τῷ καθ' ἡμᾶς ἡμισφαιρίῳ τῆς γῆς θεωρεῖται, τὸ αὐτὸ καὶ περὶ τὸ ἕτερον εἶναι μὴ ἀμφιβάλλειν. μιᾶς δὲ καὶ τῆς οὔσης κατὰ πᾶν τῆς γῆς μέρος τῆς τῶν στοιχείων περιβολῆς, οὔτε ἀντιλέγειν, οὔτε συναγορεύειν οἶμαι δεῖν τοῖς περὶ τούτων ἐν-

σταλμένοις, ὡς δέον ἢ τοῦτον, ἢ τὸν καταχθόνιον τόπον ἀποτετάχθαι οἴεσθαι ταῖς τῶν σωμάτων ἐκλυθείσαις ψυχαῖς. ἕως γὰρ ἂν μὴ παρακινοίη τὸ προηγούμενον δόγμα, ἡ ἔνστασις περὶ τοῦ εἶναι μετὰ τὴν ἐν σαρκὶ ζωὴν τὰς ψυχάς, οὐδὲν περὶ τόπου ὁ ἡμέτερος λόγος διενεχθήσεται, μόνον σωμάτων ἴδιον εἶναι τὴν ἐπὶ τόπου θέσιν καταλαμβάνων· ψυχὴν δὲ ἀσώματον οὖσαν μηδεμίαν ἀνάγκην ἔχειν ἐκ φύσεως τόποις τισὶν ἐγκατέχεσθαι. τί οὖν, εἶπον, εἰ τὸν ἀπόστολον ὁ ἀντιλέγων προβάλλοιτο, πᾶσαν λέγοντα τὴν λογικὴν κτίσιν ἐν τῇ τοῦ παντὸς ἀποκαταστάσει πρὸς τὸν τοῦ παντὸς ἐξηγούμενον βλέπειν, ἐν οἷς καταχθονίων μνημονεύει τινῶν δι' ἐπιστολῆς πρὸς Φιλιππησίους εἰπών· ὅτι αὐτῷ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. ἐπιμενοῦμεν τῷ δόγματι, φησίν, ἡ διδάσκαλος, κἂν ταῦτα λεγόντων ἀκούωμεν, περὶ μὲν τοῦ εἶναι τὴν ψυχὴν καὶ τὸν ἀντιλέγοντα σύμψηφον ἔχοντες, περὶ τόπου, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, οὐκ ἐνιστάμενος. τοῖς οὖν ἐπιζητοῦσιν, εἶπον, τὴν ἀποστολικὴν ἐν τῇ φωνῇ ταύτῃ διάνοιαν, τί ἄν τις εἴπῃ, εἴπερ τῆς τοπικῆς σημασίας ἀποκινοίης τὴν λέξιν; ἡ δέ, οὔ μοι δοκεῖ, φησίν, ὁ θεῖος ἀπόστολος, τοπικῶς τὴν νοερὰν διακρίνων οὐσίαν, τὸ μὲν ἐπουράνιον, τὸ δὲ ἐπίγειον, τὸ δὲ καταχθόνιον ὀνομάσαι. ἀλλ' ἐπειδὴ τρεῖς τῆς λογικῆς φύσεως εἰσὶ καταστάσεις ἡμῖν ἐξ ἀρχῆς τὴν ἀσώματον λαχοῦσα ζωήν, ἣν ἀγγελικὴν ὀνομάζομεν· ἡ δὲ πρὸς τὴν σάρκα συμπεπλεγμένην ἀνθρωπίνην φαμέν· ἡ δὲ διὰ θανάτου τῶν σαρκικῶν ἀπολελυμένη, ὅπερ ἐν ψυχαῖς θεωρεῖται· τοῦτο οἶμαι, τῷ βάθει τῆς σοφίας βλέποντα τὸν θεῖον ἀπόστολον, πάσης τῆς λογικῆς φύσεως τὴν ἐν τῷ ἀγαθῷ ποτε γενησομένην συμφωνίαν ἀποσημαίνειν· ἐπουράνιον μὲν καλοῦντα τὸ ἀγγελικὸν καὶ ἀσώματον· ἐπίγειον δὲ τὸ συμπεπλεγμένον τῷ σώματι· καταχθόνιον δὲ τὸ διακεκρυμμένον ἤδη τοῦ σώματος, ἢ δή τις καὶ ἄλλη παρὰ τὰ εἰρημένα φύσις ἐν λογικῇ θεωρεῖται· ἣν εἴτε δαίμονας εἴτε πνεύματα, εἴτε τι-

A ſtionẽ vrgent, quòd oportet exiſtimare vel hunc, vel ſubterraneum locum deſtinatum & attributum eſſe animis corpore ſolutis. Nam quamdiu vrgendo & inſtando primariam præcipuámque doctrinam, nempe, quòd poſt vitam, quæ in carne degitur, animæ ſint, peruertere ac labefactare nõ conabitur, nullam de loco controuerſiã noſtra mouebit oratio, quæ corporum dumtaxat propriam eſſe in loco poſitionem comprehendit, animam verò quæ incorporea ſit, nulla naturæ neceſſitate certis quibuſdam locis detineri. Quid igitur, inquã, ſi Apo-

B ſtolum aduerſarius producat, dicẽtem, quòd omnis creatura particeps rationis in reſtitutione vniuerſitatis præſidem vniuerſarum rerum obſeruatura ſit: vbi etiam ſubterraneorũ nonnullorum epiſtola ad Philippenſes meminit his verbis. *Philip. 2.* Ipſi omne genu flectetur, cœleſtiũ, terreſtrium & ſubterraneorum. Permanebimus ac perſeuerabimus, inquit magiſtra, in certa ſtabiliq. ſentẽtia, etiamſi audiamus hæc dicentes, quippe cum de eo quidẽ, quòd anima ſit, etiam aduerſarium concordantem & aſſentientem

C habeamus, de loco autem, vbi verſatura ſit, ſicut in ſuperioribus dictum eſt, non repugnemus. Quid ergo requirentibus, inquam, apoſtolicam in hac voce ſententiam aliquis dixerit? an quod attinet ad loci ſignificationẽ, dictionem remoueat? Illa verò, Non videtur mihi diuinus, inquit, Apoſtolus ratione loci naturam mente atque intelligentia præditam diſcernens atque diſtinguens, aliud quidem cœleſte, aliud verò terreſtre, aliud item ſubterraneum nominaſſe. Sed quoniam naturæ ratione præditæ tres

D ſtatus atque conditiones ſunt: vna quidem, cui ab initio vita contingit incorporea, quam angelicam nominamus: altera verò cum carne cõſerta atque connexa, quam humanam dicimus: alia autẽ per mortẽ à carnalibus abſoluta: quæ res in animabus animaduertitur: hoc opinor, altitudine ſapientiæ videntem diuinum Apoſtolũ, eum qui aliquando futurus eſt, vniuerſæ ratione præditæ naturæ in bono cõſenſum ſignificare: ac cœleſte quidem vocare, angelicum & incorporeũ: terreſtre verò implicitum & conſertũ cum corpore: ſubterraneum autẽ, id quod iam à corpore ſeparatum atque diſiunctum ſit: aut certè ſi alia quoque præter enumeratas natura, inter ratione præditas animaduertitur: quam ſiue quis dæmonas ſiue ſpiritus, ſiue aliquid aliud

tale voluerit denominare, non contendemus, ſed ſúſque déque feremus. Perſuaſum eſt enim tam ex cõmuni opinione, quàm ex ſcripturarũ traditione, eſſe quandam naturam extra talia corpora, quæ recto atque honeſto aduerſa contrariáque ſit, & in humanæ naturæ detrimentum atque perniciem incumbat, quę ſponte ſua à meliore ſorte exciderit atq. defluxerit, & in locum boni & honeſti, à quo defecit id quod ex cõtrario intelligitur, in ſeſe ſubſtituerit: quam aiunt Apoſtolũ inter ſubterranea & inferna numerare, id illo ſermone ſignificantem, quòd vitioſitate longis ſeculorum anfractibus & circuitionibus aliquando abolita atq. extincta, nihil præter bonum relinquetur. Sed etiã dæmones concorditer & conſentienter dominationem Chriſti confitebuntur. Quocirca cùm hæc ita ſint, nemo nos coëgerit ſubterraneorũ & infernorum nomine ſubterraneũ intelligere locum, quippe quũ aër æqualiter vndique terræ circumfuſus ſit, vt nulla eius pars ab aëris amplexu vacua ac nuda deprehẽdatur. Hæc vbi magiſtra expoſuit, pauliſper cunctatus, nõdum, inquã, ſatis quæſiui, nec mihi quærenti ſatisfactum eſt: ſed etiã nunc ſuper iis quæ dicta ſunt, mens ambigua mihi quodammodo manet, ac rogo, vt omiſſis quidẽ iis, de quibus iam conuenit inter nos, ad eandem conſequentiã iterum oratio mihi reducatur. Nam haud difficulter arbitror eos, qui non admodum duri ac peruicaces ſint, per ea, quæ dicta ſunt inductum iri, ne poſt corporũ diſſolutionẽ, animam ducant ad interitum & abolitionem: neu, quòd ab elementorũ natura diuerſa eſt, idcirco affirmant, eam nuſquã in rebus vniuerſis eſſe poſſe. Licet enim cum elementis non congruat atque conueniat intelligẽtiæ particeps & materiæ expers natura, eſſe tamen in eis nõ prohibetur: quippe duplici ratione nobis hæc opinio confirmatur, tum ex eo, quòd nunc in hac vita, cùm natura aliud quiddã anima atque corpus ſit, in corporibus tamen eſt: tum ex eo, quòd oratio demonſtrauit, diuinã naturã, licet omnino alia ſit atque ea, quæ ſenſus materięque particeps eſt: tamen per vnumquódq. eorum, quæ ſunt in rerum natura, fundi, permeare atq. permanare, eaque vi, qua cum vniuerſitate contemperata atque commixta eſt, in eſſentia cõtinere ea, quæ ſunt in rerum natura, vt per hæc, prout conſequentia ſermonis oſtendit, exiſtimandum

A τὸ ἐθέλοι τις κατονομάζειν, οὐ διοισόμεθα. πεπίστευται γὰρ ἔκ τε τῆς κοινῆς ὑπολήψεως, καὶ ἐκ τῆς τῶν γραφῶν παραδόσεως, εἶναί τινα φύσιν ἔξω τῶν τοιούτων σωμάτων ὑπεναντίως πρὸς τὸ καλὸν διακειμένην, καὶ βλαπτικὴν τῆς ἀνθρωπίνης ζωῆς, ἑκουσίως τῆς κρείττονος ὑπολήψεως ἀποῤῥυεῖσαν, καὶ τῇ ἀποστάσει τοῦ καλοῦ τὸ ἐκ τοῦ ἐναντίου νοούμενον ἐν αὐτῇ ὑποστήσασαν· ταύτην φασὶ καταχθονίοις ἐναριθμεῖν τὸν ἀπόστολον, τοῦτο ἐν ἐκείνῳ τῷ λόγῳ σημαίνοντι, ὅτι τῆς κακίας ποτὲ ταῖς μακραῖς τῶν αἰώνων περιόδοις ἀφανισθείσης, οὐ-

B δὲν ἔξω τοῦ ἀγαθοῦ καταλειφθήσεται. ἀλλὰ καὶ παρ' ἐκείνων ὁμοφώνως ἡ ὁμολογία τῆς τοῦ Χριστοῦ κυριότητος ἔσται. τούτων οὕτως ἐχόντων, οὐκέτ' ἄν τις ἡμᾶς ἀναγκάζοι τῷ τῶν καταχθονίων ὀνόματι τὸν ὑπόγειον ἐννοεῖν χῶρον· ἐπίσης τοῦ ἀέρος πανταχόθεν περικεχυμένου τῇ γῇ, ὡς μηδὲν αὐτῆς μέρος γυμνὸν τῆς περιβολῆς τοῦ ἀέρος καταλαμβάνεσθαι. ταῦτα δὲ διεξελθούσης τῆς διδασκάλου, μικρὸν ἐπισχὼν, οὔπω ἱκανῶς ἔχω, φημὶ, τοῦ ζητουμένου· ἀλλ' ἔτι μοι τοῖς εἰρημένοις ἐπιδιστάζει

C πῶς ἡ διάνοια, καὶ δέομαι πάλιν ἐπαναχθῆναί μοι πρὸς τὴν αὐτὴν ἀκολουθίαν τὸν λόγον, τῶν μὲν ἤδη συμβιβασθέντων ἡμῖν ἀπαλλαχθέντα. μέτριον γὰρ οἶμαι διὰ τῶν εἰρημένων τοὺς μὴ λίαν ἀντιτύπους ἔχοντας συναχθῆναι μὴ εἰς διαίρεσιν καὶ ἀνυπαρξίαν τὴν ψυχὴν μετὰ τὴν διάλυσιν τῶν σωμάτων ἄγειν, μηδὲ κατασκευάζειν μηδαμοῦ δύνασθαι αὐτὴν ἐν τοῖς οὖσιν εἶναι διὰ τὸ ἑτερογενῶς ἔχειν πρὸς τὴν τῶν στοιχείων οὐσίαν. κἂν μὴ συμβαίνῃ γὰρ τούτοις ἡ νοερά τε καὶ ἄϋλος φύσις, τὸ εἶναι ἐν αὐτοῖς

D οὐ κωλύεται, διχόθεν ἡμῖν τῆς ὑπολήψεως ταύτης βεβαιουμένης· ἔκ τε τοῦ νῦν ἐν τῇ ζωῇ ταύτῃ τὴν ψυχὴν ἐν τοῖς σώμασιν εἶναι, ἄλλο τι παρὰ τὸ σῶμα κατὰ τὴν οὐσίαν ὑπάρχουσαν, καὶ ἐκ τοῦ τὴν θείαν φύσιν ἀποδεῖξαι τὸν λόγον, ἄλλο τι παντάπασιν οὖσαν τῆς αἰσθητικῆς τε καὶ ὑλικῆς οὐσίας· ὅμως δὲ ἑκάστου τῶν ὄντων διήκειν, καὶ τῇ πρὸς τὸ πᾶν ἀνακράσει συνέχειν ἐν τῷ εἶναι τὰ ὄντα, ὡς διὰ τούτων κατὰ τὸ ἀκόλουθον μηδὲ τὴν ψυχὴν ἔξω τῶν ὄντων

οἴεσθαι ἀπὸ τῆς ἐν εἴδει θεωρουμένης ζωῆς εἰς A τὸ ἀειδὲς μεταστᾶσαν. ἀλλὰ πῶς εἶπον, τῆς τῶν στοιχείων ἑνώσεως ἕτερον τι διὰ τῆς πρὸς ἄλληλα μίξεως εἶδος ἀναλαβόντων, πρὸς ὃ τῆς ψυχῆς γέγονεν ἡ οἰκείωσις, ἐπειδὰν τῇ διαλύσει τῶν στοιχείων κατὰ τὸ εἰκὸς συναφανισθῇ καὶ τὸ εἶδος, τινὶ σημείῳ κατακολουθήσει ἡ ψυχὴ μετὰ τοῦ ἐγνωσμένου μὴ παραμείναντος; ἡ δὲ μικρὸν ἐπισχοῦσα δεδόσθω μοι, φησί, κατ' ἐξουσίαν πλάσσειν τινὰ λόγον ἐν ὑποδείγματι, πρὸς τὴν τοῦ προκειμένου σαφήνειαν, κἂν ἔξω τοῦ δυνατοῦ δοκῇ τὸ λεγόμενον. δε- B δόσθω γὰρ δυνατὸν εἶναι τῇ τοῦ ζωγράφου τέχνῃ, μὴ μόνον μὲν μιγνύειν ἐξ ἐναντίου τὰ χρώματα, καθὼς ἔθος ποιεῖν αὐτοῖς πρὸς τὴν τῆς μορφῆς ὁμοιότητα, ἀλλὰ καὶ διακρίνειν τὰ μεμιγμένα, καὶ τὴν κατὰ φύσιν πάλιν ἑκάστῳ τῶν χρωμάτων ἀποδιδόναι βαφήν. οὐκοῦν τὸ λευκὸν, καὶ τὸ μέλαν, ἢ τὸ ἐρυθρὸν, καὶ τὸ χρυσοειδὲς, ἢ εἴ τις ἄλλη βαφὴ πρὸς τὴν ὁμοιότητα τοῦ προκειμένου συγκρίνεται, εἰ πάλιν ἀποκριθείη τῆς πρὸς ἕτερον μίξεως, καὶ ἐφ' ἑτέρου γένοιτο οὐδὲν ἧττον γινώσκεσθαι ὑπὸ τοῦ C τεχνίτου φαμὲν αὐτὸ τὸ εἶδος τοῦ χρώματος, καὶ μὴ μίαν ἐγγίνεσθαι λήθην αὐτῷ, μήτε τοῦ ἐρυθροῦ μήτε τοῦ μέλανος, εἰ ἑτερόχροα κατὰ τὴν τοῦ πρὸς ἄλληλα μίξιν γινόμενα, πάλιν εἰς τὴν κατὰ φύσιν ἐπανέλθῃ βαφήν· μεμνημένου δὲ τοῦ τρόπου τῆς πρὸς ἄλληλα τῶν χρωμάτων συγκράσεως· εἰδέναι ποῖον ἔν τινι γινόμενον οἷον ἀπειργάσατο χρῶμα, καὶ ὅπως ἐκλυθέντος ἐκ τοῦ ἀπολυθῆναι τοῦ ἑτέρου πάλιν εἰς τὸ οἰκεῖον ἐπανέδραμεν ἄνθος· καὶ εἰ D πάλιν δέοι διὰ τῆς μίξεως τὸ ἴσον ἐργάσασθαι, ἀπονωτέρα ἔσται αὐτῷ ἡ κατασκευὴ ἐν τῇ προλαβούσῃ δημιουργίᾳ μελετηθεῖσα. εἰ δέ τι ἀκόλουθον ἐν τῷ ὑποδείγματι, φησίν, ὁ λόγος ἔχει, ἐξεταστέον ἤδη ἡμῖν αὐτὸ τὸ προκείμενον. αὐτὴ γὰρ τῆς γραφικῆς τέχνης ἡ τῶν στοιχείων νοείσθω φύσις, ἡ δὲ μίξις τῆς ποικίλης τῶν ἑτεροχροούντων βαφῆς, καὶ πάλιν ἡ δοθεῖσα ἡμῖν καθ' ὑπόθεσιν εἰς τὰ οἰκεῖα τούτων ἐπάνοδος, τὴν συνδρομήν τε καὶ διάστασιν τῶν στοιχείων ὑπογραφέτω. ὥσπερ οὖν φαμὲν ἐν τῷ ὑποδείγματι μὴ

A ſit, ne animam quidem extra res vniuerſas eſſe, cùm ex ea vita, quæ in forma ac ſpecie animaduertitur, ad eã, quæ conſpici non poteſt, tranſmigrauerit. Sed quo pacto? inquam: cùm elementorum vnitio per mutuam mixtionem aliam quandã ſpeciem aſſumpſerit, cum qua anima conciliata atque conſociata fuit, poſteaquam vnà cum elemẽtorum diſſolutione, ſpecies quoque (vt eſt veriſimile atque conſentaneũ) abolita atque deleta fuerit, quod ſignũ anima poſthac ſequetur, cùm id quod notum fuerat, non permanſerit? Hæc vero paulum B morata, Detur, inquit, mihi, vt ad arbitrium comminiſcar ac fingam aliquam ſimilitudinis atque exempli gratia rationẽ ad propoſitæ quæſtionis perſpicuitatem atque declarationẽ: etiam ſi quod dicetur, fieri non poſſe videatur. Detur enim fieri poſſe per artẽ pingendi, vt non ſolùm colores ex contrariis (quod pictores facere ſolent) ad ſimilitudinẽ formæ miſceantur, verumetiam mixti ſeparẽtur, ac rurſus vnicuique colori naturalis tinctura reddatur. Si igitur alb⁹ & niger, aut ruber, & fuluus color, C aut ſi qua alia tinctura ad ſimilitudinem argumenti temperatur, rurſus à cõmixtione, qua cum altero colore contemperatus eſt, ſecretus ac per ſe ſingulatim ſeparatus fuerit, nihilominus ipſam ſpeciem coloris ab artifice agnoſci dicim⁹, nullámque ei obliuionem obrepere vel rubri vel nigri, ſi diuerſi colores inuicẽ commixti, rurſus ad naturalem redacti fuerint tincturam: itémque ſi modi colorum ad inuicem contemperandorum & commiſcendorum recordetur, ſcire, D quis cui color permixtus, quẽ colorem effecerit, & quo pacto altero eluto atq. ſecreto, rurſus ad proprium florem redactus ſit: ac ſi rurſus permixtionem opus ſit, item efficere minore cum negotio atque labore conficiet id, quod in priore compoſitione meditatus exercuerat. Si igitur aliquid in ſimilitudine conſentaneum, inquit, oratio habet, ſcrutanda atque perpendenda iam nobis erit propoſita quæſtio. Nam pro arte pingendi, anima orationi propoſita ſit: & loco colorum artis, intelligatur elementorum natura: mixtio autem variẹ diuerſorum colorũ tincturæ, ac rurſus exempli gratia nobis data horũ ad propria cuiuſquẹ redactio, tum concurſum, tum diremptionem elementorum deſignet. Vt igitur in ſimilitudine dicimus artificem non igno-

rare coloris tincturam, quæ poſt mixtionem rurſus ad propriũ florem redacta ſit, ſed agnoſcere tum rubrũ, tum nigrum, & ſiquis alius color per certam quandam cum diuerſi generis colore communionem, formam effecit, qualis quidem eſſet in commixtura, qualis item nunc ſit, cùm ſuæ naturali tincturæ reſtitutus eſt: qualis item futurus ſit, ſi eodem modo rurſus colores inter ſe miſceantur: ita animam elementorum, quæ coierint ad conſtitutionem corporis, cui ipſa inhæſerit, etiam poſt diſſolutionem eorum naturalem ſcire proprietatem cenſemus. Ac tametſi natura procul abinuicem abſtrahat elementa propter inſitas contrarietates, vnumquodque eorum arcens à commixtione contrarij, nihilominus cognoſcendi & explorandi vi proprium amplectens anima, apud vnumquodque erit ac manebit, donec rurſus in idem concurſus diremptorum ad inſtaurationem diſſoluti corporis & elementis coacti, factus fuerit, quæ propriè reſurrectio & eſt & nominatur. Atque ego, videris, inquam, egregiè mihi obiter & in tranſitu defendiſſe doctrinam & fidem Reſurrectionis. Arbitror enim per hæc ſenſim adduci poſſe eos, qui eam fidem oppugnant, ne putent fieri non poſſe, vt rurſus elementa inter ſe coeant, & eundem hominem efficiant. Nempe hoc verè, inquit magiſtra, dicis. Licet enim audire dicentes eos, qui huic opinioni aduerſantur: cùm in vniuerſitatem pro cuiuſque cognatione elementorum reſolutio fiat, quî fieri poteſt, vt calor, qui in hoc eſt, vbi ad vniuerſitatem redactus fuerit, rurſus nulla admixtione cum eo, quod eſt eiuſdem generis concretus, ſegregetur & abſtrahatur, ad conſtituendum hominem, qui vita defunctus reficiatur & inſtauretur. Nam niſi perfectè proprium redierit, ſed pro peculiari aliquid aliud ex eodem genere aſſumptum fuerit: alterum pro altero fiet, atque id non item reſurrectio fuerit, ſed noui hominis creatio. Quòd ſi eundem rurſus ad ſeipſum reuerti oportet, penitus ac prorſus eundem ſecum eſſe conuenit, omnibus elementorum partibus recipiẽtem priſtinam naturam. Ergo ſicut dixi, etiam aduerſus hanc, inquam, oppoſitionem & contradictionem eiuſmodi de anima nobis opinio ſuffecerit: nempe quòd

A ἀγνοεῖν τὴν βαφὴν τοῦ χρώματος, τὴν τεχνίτην μετὰ μίξιν πάλιν εἰς τὸ οἰκεῖον ἄνθος ἐπανελθοῦσαν, ἀλλ' ἐπιγινώσκειν τό τε ἐρυθρὸν καὶ τὸ μέλαν, καὶ εἴ τι ἕτερον διὰ τῆς ποιᾶς πρὸς τὸ ἑτερογενὲς κοινωνίας τὴν μορφὴν ἀπειργάσατο, οἷον μὲν ἦν ἐν τῇ μίξει, οἷον καὶ νῦν ἐστιν ἐν τῷ κατὰ τὴν φύσιν γενόμενον, οἷον δὲ πάλιν ἔσται, εἰ ὁμοιοτρόπως αὖθις ἀλλήλοις ἀναμιχθείη τὰ χρώματα· οὕτως εἰδέναι τὴν ψυχὴν τῶν συνδραμόντων στοιχείων πρὸς τὴν τοῦ σώματος κατασκευὴν, ᾧ ἐνεφύη, καὶ μετὰ τὴν διάλυσιν αὐτῶν τὴν φυσικὴν ἰδιότητα. B κἂν πόῤῥωθεν ἀπ' ἀλλήλων αὐτὰ ἡ φύσις ἀφέλκει διὰ τὰς ἐγκειμένας ἐναντιότητας, ἕκαστον αὐτῶν τῆς πρὸς τὸ ἐναντίον ἐπιμιξίας ἀπείργουσα, οὐδὲν ἧττον παρ' ἑκάστῳ ἔσται τῇ γνωστικῇ δυνάμει τοῦ οἰκείου ἐφαπτομένη, καὶ παραμένουσα ἕως ἂν εἰς ταὐτὸ πάλιν ἡ τῶν διεστώτων γένηται συνδρομὴ πρὸς τὴν τοῦ διαλυθέντος ἀναστοιχείωσιν, ὅπερ ἀνάστασις κυρίως καὶ ἔσται καὶ ὀνομάζεται. καὶ ἐγὼ, εἶπον, ἄριστά μοι δοκεῖς κατὰ τὸ πάρεργον συμμεμαχηκέναι τῷ λόγῳ τῆς ἀναστάσεως. C δύνασθαι γὰρ ἂν διὰ τούτων ἠρέμα προσαχθῆναι τοὺς ἀντιμαχομένους τῇ πίστει, πρὸς τὸ μὴ οἴεσθαι τῶν ἀδυνάτων εἶναι πάλιν ἀλλήλοις συνελθεῖν τὰ στοιχεῖα, καὶ τὸν αὐτὸν ἀπεργάσασθαι ἄνθρωπον. καὶ, φησὶν ἡ διδάσκαλος, ἀληθὲς τοῦτο λέγεις. ἔστι γὰρ λεγόντων ἀκούειν τῶν πρὸς τὸν λόγον τοῦτον ἐνισταμένων, ὅτι εἰς τὸ πᾶν κατὰ τὸ συγγενὲς γινομένης τῶν στοιχείων τῆς ἀναλύσεως· τίς μηχανὴ τὸ ἐν τῷδε θερμὸν ἐν τῷ καθόλου γενόμενον συμμιγὲς, τοῦ συγγενοῦς πάλιν ἀποκριθῆναι πρὸς τὸ συστῆναι τὸν ἀπαλλασσόμενον ἄνθρωπον. D εἰ γὰρ μὴ ἀκριβῶς τὸ ἴδιον ἐπανέλθοι, ἐκ δὲ τοῦ ὁμογενοῦς ἀντὶ τοῦ ἰδιάζοντός τι παραληφθείη· ἕτερον ἀνθ' ἑτέρου γενήσεται, καὶ οὐκέτι ἂν εἴη τὸ τοιοῦτον ἀνάστασις, ἀλλὰ καινοῦ ἀνθρώπου δημιουργία. εἰ δὲ χρὴ τὸν αὐτὸν εἰς ἑαυτὸν πάλιν ἐπανελθεῖν, δι' ὅλου εἶναι προσήκει τὸν αὐτὸν ἑαυτοῖς πᾶσι τοῖς τῶν στοιχείων μέρεσι τὴν ἐξ ἀρχῆς ἐπαναλαβόντα φύσιν. οὐκοῦν ὡς εἶπον αὐτάρκης ἡμῖν πρὸς ταύτην τὴν ἔνστασιν ἡ τοιαύτη περὶ τῆς ψυχῆς ἂν εἴη ὑπόληψις· τὸ οἷς

ἐξ ἀρχῆς ἐνεφύη στοιχείοις τούτοις, καὶ μετὰ τὴν διάλυσιν παραμένειν, οἷον εἰ φύλακα τῶν οἰκείων καθισταμένην· καὶ ἐν τῇ ἀναχύσει τῇ πρὸς τὸ ὁμόφυλον οὐ διαφιέναι τὸ ἴδιον ἐν τῷ λεπτῷ τε καὶ εὐκινήτῳ τῆς νοερᾶς δυνάμεως, οὐδεμίαν ἐν τῇ λεπτομερείᾳ τῶν στοιχείων ὑπομένουσαν πλάνην. ἀλλὰ συνδιαλύεσθαι τοῖς ἰδίοις καταμιγνυμένοις πρὸς τὸ ὁμόφυλον, καὶ μὴ ἀτονεῖν συνδιεξιοῦσαν αὐτοῖς, ὅταν πρὸς τὸ πᾶν ἀναχέωνται· ἀλλ' ἐν αὐτοῖς ἀεὶ μένειν ὅποιπερ αὐτά, καὶ ὅπως παρασκευάσῃ ἡ φύσις. εἰ δὲ γένοιτο πάλιν παρὰ τῆς τὸ πᾶν οἰκονομούσης δυνάμεως τοῖς διαλυθεῖσι πρὸς τὴν συνδρομὴν τὸ ἐνδόσιμον· τότε καθάπερ ἐκ μιᾶς ἀρχῆς ἐξαφθεῖσαι σχοῖνοι διάφοροι ὁμοῦ καὶ κατ' αὐτὸν αἱ πᾶσαι τῷ ἐφελκομένῳ συνέπονται· οὕτως ἐν μιᾷ τῇ τῆς ψυχῆς δυνάμει, τῆς τῶν στοιχείων διαφορᾶς ἑλκομένης, ἀθρόως ἐν τῇ συνδρομῇ τῶν οἰκείων, ἡ τοῦ σώματος ἡμῶν σειρὰ διὰ τῆς ψυχῆς συμπλακήσεται, καταλλήλως ἑκάστου πάλιν πρὸς τὸ ἀρχαῖον καὶ σύνηθες πλακομένου, καὶ περιπτυσσομένου τὸ γνώριμον. ἀλλὰ καὶ τοῦτο τὸ ὑπόδειγμα, φησὶν ἡ διδάσκαλος, εἰκότως ἂν προστεθείη τοῖς ἐξητασμένοις εἰς ἀπόδειξιν τοῦ μὴ πολλὴν εἶναι τῇ ψυχῇ τὴν δυσκολίαν ἐν τοῖς στοιχείοις διακρίνειν τοῦ ἀλλοτρίου τὸ ἴδιον. προκείσθω γὰρ τῷ κεραμεύοντι πηλὸς καθ' ὑπόθεσιν, πολὺς δὲ οὗτος εἶναι δεδόσθω, οὗ τὸ μέν τι πρὸς τὴν τῶν σκευῶν ἀπεργασίαν ἤδη τετύπωται, τὸ δὲ μέλλει. τὰ δὲ σκεύη πάντα μὴ ὁμοειδῶς ἀλλήλοις διασχηματίσθω· ἀλλὰ τὸ μὲν πίθος, τὸ δὲ ἀμφορεύς, ἕτερον δὲ πινάκιον, ἢ τρυβλίον, ἢ ἄλλο τι τῶν κατὰ τὴν χρῆσιν ἐπιτηδείων ἔστω· ταῦτα δὲ πάντα μὴ εἷς κεκτήσθω, ἀλλ' ἴδιον ἑκάστου δεσπότου ὑποκείσθω τῷ λόγῳ. οὐκοῦν ἕως ἂν συνεστήκῃ ταῦτα, φανερά τε τοῖς ἔχουσι γίνεται. κἂν συντριβείη πάλιν, ἐκεῖνο ἤτοι γνώρισμα, ἀπὸ τῶν συντριμμάτων τοῖς κεκτημένοις ἔσται, τὸ μὲν τὸ ἐκ τοῦ πίθου, ποῖον δὲ τὸ ἐκ τοῦ ποτηρίου τρύφος ἐστίν. εἰ δὲ καὶ πρὸς τὸν ἀκατέργαστον καταμιχθείη πηλόν,

A in quibus elementis ab initio inhæſerit, apud ea poſt diſſolutionem quoque permaneat, quaſi cuſtos ædium, quæ in reſolutione elementorum in ſuum cuiúſque genus, per ſubtilitatem & agilitatem intelligentia præditæ facultatis proprium non dimittat, nec erroris quicquam in exilitate atque tenuitate elementorum ſuſtineat, ſed vnà cum propriis, dum cum ſuo quoque genere commiſcetur, penetret ac permeet: nec deficiat vna cum eis permeans, dum in rerum naturam vniuerſam refunduntur: ſed ſemper in eis maneat, B quocumque loci ac quomodocumque ea natura redegerit. Quòd ſi rurſus ab ea potentia atque virtute, quæ rerum vniuerſitatem gubernat, diſſolutis elementis ad conuerſum, ſignum atque occaſio data fuerit, tunc quemadmodum fit, ſi ab vno principio diuerſi funes ſuſpenſi ſint, vt ſimul eodémque tempore cuncti attrahentem ſequantur: eodem modo, dum per vnam virtutem & potentiam animæ diuerſa trahuntur elementa, repentè vnoquoque momento ſtatim per coitionem atque concurſum propriorum corporis noſtri C catena per animam conſeretur, atque concinnabitur, & vnumquodque ſe commodè rurſus ad priſtinum & conſuetum applicabit, & tanquam ſibi notum amplectetur. Quinetiam hæc quoque ſimilitudo, magiſtra inquit, haud immeritò adiungi poſſit iis, quæ quæſita, tractata atque examinata ſunt ad demonſtrandum, quòd haud magno negotio anima poſſit inter elementa ſuum ab alieno diſcernere. Proponatur enim exempli gratia ſigulo lutum: idque multum eſſe detur, cuius alia quædam pars ad vaſorum confectionem iam formata, alia verò for- D manda ſit. Vaſa autem omnia non eadem forma ſint: ſed aliud quidem, dolium, aliud verò amphora, aliud autem ſcutella, vel patella, aut quiduis aliud ſit ex iis, quæ ad vſum apta ac neceſſaria ſunt: atque hæc omnia non vnus poſſideat, ſed ſuus cuiúſque dominus orationi proponatur. Quamdiu igitur hæc conſtiterint & integra fuerint, haud difficulter ab ſuis dominis agnoſcuntur. Atque etiamſi colliſa confractáque fuerint, rurſum nihilominus ex fragmentis notæ ſignáque poſſeſſoribus extabunt, quibus iudicare poſſint, quod fruſtum ex dolio, quod ex poculo ſit. Quòd ſi etiã cum rudi maſſa luti cõmixta fuerint,

multo magis certa dijudicatio eorum, A quæ iam ad opus redacta fuerint ex rudi materia fit. Ita tanquam vas quoddam homo quiſque ſingularis eſt, ex elementorum concurſu à communi materia formatus, peculiari prorſus figura multum differens ab eo, quod eiuſdem generis eſt: quo diſſoluto, nihilominus etiam ex reliquiis anima, quæ poſſidet vas, proprium agnoſcit, neque in communione atque confuſione fragmentorum, neque ſi eadem cum rudi elementorum materia commiſceantur, à proprio diſcedens, ſed ſemper ſciens B ſuum, quale eſſet tum, cùm in forma conſiſteret, & poſt diſſolutionem ex ſignis, quæ in reliquiis manſerunt, circa proprium non errans. Ego verò approbatis iis, quæ dicta erāt, vt appoſitè, aptè atque accommodatè ad propoſitum argumentum inuenta: hæc quidem, inquam, hoc modo tum dici, tum credi rectum & æquum eſt: ſed ſi quis narrationem Domini eam, quæ eſt in Euangelio de iis, qui ſunt in inferno, aduerſus ea, quæ dicta ſunt, proferat, quaſi non congruentem & conuenientem cum iis quæ examinata atque perpenſa ſunt, quo pacto præparare nos ad reſponſionem oportet? At illa, Ad corpus quidem accommodatius, inquit, ſermo narrationem exponit, multas tamen inſpergit materias & cauſſas, per quas ad ſubtiliorem ſpeculationem inuitat, ſiquis accuratè exquiſitéque rem intellexerit. Nam qui

Luc. 16.

hiatu vaſto malum à bono dirimit atque diſcludit: qui guttam aliquam, quę per digitum admoueatur, deſiderantem fecit eum, qui cruciabatur: qui patriarchæ ſinum ei, qui per hanc vitam D malis & incommodis vexatus fuerat, ad quietem propoſuit: qui item antea, mortuos eos ac ſepulturæ traditos expoſuit, non parum auocat & abducit ab ſententia, quæ in promptu eſt, eum, qui haud ſtultè & imperitè, ſed intelligenter verba ſequatur. Quos enim oculos attollit in inferno diues ille, qui carneos oculos in ſepulchro reliquerat? quo pacto item flammam ſentit id, quod incorporeum eſt? quam verò linguam refrigerari per guttam cupiebat, cùm ei carnea lingua non adeſſet? quis autem ille digitus, qui præferret ei guttam? ipſe item ſinus requietis, quis? Cùm enim corpora eſſent in ſepulchris, anima verò neque in corpore eſſet,

A πολὺ μᾶλλον ἀπλανὴς ἡ διάγνωσις τῶν ἤδη κατειργασμένων ἀπ' ἐκείνου γίνεται. οὕτως οὖν τι σκεῦος ὁ καθ' ἕκαστον ἐστὶν ἄνθρωπος, ἐκ τῆς συνδρομῆς τῶν στοιχείων, ἀπὸ τῆς κοινῆς ὕλης ἀποτυπούμενος, ἐν ἰδιάζοντι πάντως τῷ σχήματι πολλὴν πρὸς τὸ ὁμογενὲς τὴν διαφορὰν ἔχον· οὗ διαλυθέντος οὐδὲν ἧττον καὶ ἀπὸ τῶν λειψάνων ἡ κεκτημένη τὸ σκεῦος ψυχὴ τὸ οἰκεῖον ἐπιγινώσκει, οὔτε ἐν τῇ κοινωνίᾳ τῶν συντριμμάτων, οὔτε εἰ πρὸς τὸ ἀκατέργαστον τῆς τῶν στοιχείων ὕλης καταμιχθείη τοῦ οἰ-B κείου ἀφισταμένη, ἀλλ' ἀεὶ ἐπισταμένη τὸ ἴδιον, οἷόν τε συνεστὼς ἐν τῷ σχήματι, ἣν καὶ μετὰ τὴν διάλυσιν ἐκ τῶν ἀπομεινάντων σημείων τοῖς λειψάνοις οὐ πλανωμένη περὶ τὸ ἴδιον. ἀποδεξάμενος δὲ τὰ εἰρημένα ὡς προσφυῶς τε καὶ οἰκείως πρὸς τὸν προκείμενον εὑρεθέντα σκοπόν· ταῦτα μὲν οὕτως, εἶπον, λέγεσθαί τε καὶ πιστεύεσθαι καλῶς ἔχει· εἰ δέ τις τὸ ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου περὶ τῶν ἐν ᾅδου διήγημα πρὸς τὰ εἰρημένα προσφέροι, ὡς οὐ συμβαῖνον τοῖς ἐξητασμένοις, πῶς χρὴ παρασκευά-C σασθαι πρὸς τὴν ἀπόκρισιν; ἡ διδάσκαλος δέ, σωματικώτερον μέν, φησίν, ὁ λόγος ἐκτίθεται τὸ διήγημα, πολλὰς δὲ καταπείρει τὰς ἀφορμάς, δι' ὧν εἰς λεπτοτέραν θεωρίαν ἐκκαλεῖται τὸν ἐξεταστικῶς ἐπαΐοντα. ὁ γὰρ χάσματι μεγάλῳ διείργων τὸ κακὸν ἐκ τοῦ κρείττονος, σταγόνος τέ τινος δακτύλῳ κομιζομένης ἐπιδεᾶ ποιήσας τὸν ὀδυνώμενον, καὶ πατριάρχου κόλπον τῷ διὰ τῆς ζωῆς ταύτης κεκακωμένῳ ὑποθεὶς ἀνάπαυσιν· πρὸ τούτων δὲ καὶ τὸ τεθνάναι αὐτοὺς, καὶ ταφῇ δο-D θῆναι διηγησάμενος, οὐ μικρῶς ἀφίστησι τῆς κατὰ πρόχειρον διανοίας, τὸν μὴ ἀσυνέτως τοῖς λεγομένοις ἑπόμενον. ποίους γὰρ ὀφθαλμοὺς ἐπαίρει ἐν τῷ ᾅδῃ ὁ πλούσιος, τοὺς τῆς σαρκὸς ἐναφεὶς τῷ τάφῳ; πῶς δὲ τῆς φλογὸς ᾐσθάνετο τὸ ἀσώματον; ποίαν δὲ γλῶσσαν καταψυχθῆναι διὰ τῆς σταγόνος ἐπιθυμεῖ, τῆς σαρκίνης αὐτῷ μὴ παρούσης; τίς δὲ ὁ διακομίζων αὐτῷ τὴν ῥανίδα δάκτυλος; αὐτὸς δὲ ὁ κόλπος τῆς ἀναπαύσεως τίς; τῶν γὰρ σωμάτων ἐν τάφοις ὄντων, τῆς δὲ ψυχῆς οὔτε ἐν σώματι οὔσης,

οὔτε

οὔτε ἐκ μερῶν συνεστώσης, ἄπορον ἂν εἴη τὴν τοῦ διηγήματος διασκευὴν κατὰ τὸ προχείρως νοούμενον ἐφαρμόσαι τῇ ἀληθείᾳ, εἰ μή τις μεταλάβοι τὰ καθ' ἕκαστον εἰς νοητὴν θεωρίαν· ὥστε χάσμα τὸ διεῖργον τῶν ἀμίκτων τὴν κοινωνίαν, μὴ γῆς διάστασιν οἴεσθαι. τῷ γὰρ ἀσωμάτῳ καὶ νοερῷ, τίς πόνος διαπτῆναι τὸ χάσμα, κἂν εἰ μέγιστον ᾖ; διότι τὸ νοερὸν τῇ φύσει, ἐν ᾧπερ ἂν ἐθέλῃ ἀχρόνως γίνεται. τί οὖν ἂν εἴη, φημί, τὸ πῦρ, ἢ τὸ χάσμα ἢ τὰ λοιπὰ τῶν εἰρημένων, εἰ μὴ ἃ λέγεται; ἐμοὶ δοκεῖ, φησί, δόγματά τινα περὶ τῶν κατὰ ψυχὴν ζητουμένων δι' ἑκάστου τούτων ὑποσημαίνειν τὸ εὐαγγέλιον. προειπὼν γὰρ πρὸς τὸν πλούσιον ὁ πατριάρχης· ὅτι ἀπέλαβες τῷ διὰ σαρκὶ βίῳ τῶν ἀγαθῶν τὴν μοῖραν, καὶ περὶ τοῦ πτωχοῦ τὸ ἴσον εἰπών· ὅτι καὶ οὗτος ἀπέπλησε παρὰ τὸν βίον τῆς τῶν κακῶν μετουσίας λειτουργίας· εἶθ' οὕτως ἐπαγαγὼν περὶ τοῦ χάσματος, ὡς ἀπ' ἀλλήλων διατειχίζονται, μέγα τι διὰ τούτων ἔοικεν ὑποδεικνύειν τῷ λόγῳ· τὸ δὲ δόγμα, κατά γε τὸν ἐμὸν λόγον, τοιοῦτόν ἐστι· μονοειδὴς ἦν ἡ τῶν ἀνθρώπων ζωή· μονοειδῆ δὲ λέγω τὴν ἐν μόνῳ τῷ ἀγαθῷ ὁρωμένην, καὶ πρὸς τὸ κακὸν ἀνεπίμικτον, τὸν δὲ τοιοῦτον λόγον ὁ πρῶτος τοῦ Θεοῦ νόμος μαρτυρεῖται. ὁ τοῦ παντὸς μὲν δοὺς τῶν ἐν τῷ παραδείσῳ καλῶν ἄφθονον τῷ ἀνθρώπῳ τὴν μετουσίαν· ἀπειργὼν δὲ μόνου ἐκείνου ᾧ σύμμικτος ἦν ἐκ τῶν ἐναντίων ἡ φύσις τοῦ κακοῦ πρὸς καλὸν συγκεκραμένου, θάνατον ἐπιθεὶς τῷ παρανομήσαντι τὴν ζημίαν. ἀλλ' ἑκουσίως ὁ ἄνθρωπος ἐν τῷ αὐτεξουσίῳ κινήματι καταλιπὼν τὴν ἀμιγῆ τοῦ χείρονος μοῖραν, τὴν ἐκ τῶν ἐναντίων σύγκρατον ζωὴν ἐπεσπάσατο. οὐ μὴν ἀφῆκεν ἡ θεία προμήθεια τὴν ἀβουλίαν ἡμῶν ἀδιόρθωτον. ἀλλ' ἐπειδὴ τοῖς παραβεβηκόσι τὸν νόμον ὁ κριθεὶς ἐπ' αὐτῷ θάνατος ἀναγκαίως ἐπηκολούθησε, διχῇ μερίσας τὴν ἀνθρωπίνην ζωήν,

A neque ex partibus conſtaret ; difficile fuerit narrationis ſtructuram, prout protinus ac prima fronte intelligitur, ad veritatem accommodare, niſi quis ſingulatim quæque verba à corpore traducat ad eam, quæ mente percipitur ſpeculationem: vt hiatus, qui dirimit atque diſiungit cōmunionem eorum, inter quos nulla ſocietas intercedere poteſt, non terræ ſpatium & interuallum exiſtimetur. Nam quid negotij fuerit ei, quod incorporeū & ſola mente præditum eſt, tranſuolare hiatum, etiamſi vaſtiſſimus ſit? quippe cùm id quod natura tale eſt, vt mente ſola conſtet, vbicumque eſſe velit nullo temporis intercedēte ſpatio, B illò penetret atque euadat. Quid igitur fuerit, inquam, ignis, vel hiatus, vel cætera quæ dicta ſunt, ſi nō ſunt ea, quę dicuntur? Mihi quidem, inquit, certas ſtabiléſque quaſdā ſententias de iis rebus, quæ circa animā quæruntur, per vnumquódque horum Euangelium ſignificare videtur. Cum enim ita ad diuitem patriarcha antè dixiſſet : Recepiſti in vita, quam in carne tranſegiſti, portionem bonorum : atque eodem modo de mēdico dixiſſet. Et hic in vita malorum & incommodorum participationis munere functus eſt: & ſic deinceps ſubieciſſet de hiatu, quo alteri ab alteris diſcluderentur, magnam quādam doctrinam, C certámque ac ſtabilem ſententiam per hæc verba orationis ſignificare videretur. Hæc autem ſententia, mea quidem opinione, talis eſt: Ab initio vita humana ſimplex & vniformis erat. Simplicem autem & vniuſmodi dico eam, quę in ſolo bono animaduertitur, & nullius mali communione permixta eſt. Talem autē opinionem prima lex diuina teſtimonio ſuo cōprobat, quę cùm omnibus quidem bonis, quæ erāt in paradiſo, hominem abundè frui & vti permiſiſſet, D ab illo ſolo prohibebat, cuius, cùm malum cum bono contemperatum eſſet, cōmixta ex contrariis erat natura: mortémque ei, qui contra hanc legem feciſſet, pœnam appoſuit. Sed homo ſponte ſua propriáque voluntate & arbitrio relicta ſorte, quæ à malo integra erat, eam quæ ex contrariis contemperata erat, vitam adſciuit & amplexus eſt. Sed non abſque correctione & emendatione temerarium & ſtolidum illud conſilium noſtrum diuina prouidentia reliquit. Sed quoniā tranſgreſſores legis pœna mortis, quæ legi iudicio latoris & authoris eius appoſita erat, neceſſariò conſequuta eſt, poſteaquam vitam humanam bifariam partitus eſſet,

Luc. 16.

A & in hanc, quæ per carnem tranſigitur, & in illam quæ poſt hanc extra corpus degitur, non pari interualli modo atque menſura, ſed illam quidem breuiſſimo quodam termino temporis & ſpatio circumſcripſit, hanc verò ad æternitatem vſque extendit atque produxit, ac benigno atque humano conſilio vſus, poteſtatem dedit, vt in vtra quis vita velit, horum alterutrum habeat (bonum inquam & malum) vel per breuem hanc fluxámque & caducam vitam, vel per illa ſempiterna ſecula, quorũ terminus eſt infinitus. Cùm autẽ æquiuocè dicatur & bonum & malum, atque horum B vtrumque in duplicem intellectum diuidatur (tum in mentem, inquam, tum in ſenſum) atque alij quidẽ, quod ſenſui ſuaue & iucundum viſum fuerit, id loco boni habeãt: alij verò, id ſolum bonum & eſſe & nominari credant, quod cogitatione, ac mentis agitatione animaduertitur & cõſideratur: quibus quidem inexercitata ratio eſt, vt quid melius ſit, conſiderare non poſſint, hi per ingluuiem & intemperantiam, in carnali vita eam, quæ naturæ debetur boni ſortem ante tempus conſumunt atque profun- C dunt, nihil in eam, quæ poſthac futura eſt, vitam reſeruantes & comparcentes, alij verò ratione ſana ac dijudicatrice ſuam vitam gubernantes, in hac breui vita per ea, quæ ſenſum lædunt, contriſtati atque vexati, in futurum ſæculum bonum comparcunt atque recondunt, vt ſibi vnà cum ſempiterna vita melior ſors extendatur atque prorogetur. Hic igitur, vt mea quidem opinio fert, hiatus ille eſt, qui non terra diſcedente atque diducta fit, ſed quem iudicium per hanc vitam in contraria ſtudia atque inſtituta diuiſum atq. diductum D facit. Nam qui ſemel quicquid in hac vita ſuaue ac iucundum eſt, elegerit, nec pœnitentia ductus ſtolidum ac temerarium ſuum conſilium corrigit atque emẽdat, inacceſſum & inuium ſibi locum bonorum poſthac efficit, cùm hanc ineuitabilem, quæ trãſiri non poſſit, neceſſitatem, tanquam barathrum quoddam vaſtum & inuium, quà tranſiri non poſſit, aduerſus ſeſe perfoderit. Quamobrem bonum quoque animæ ſtatum, in quo patientiæ athletã ſermo requieſcere facit, ſinum Abrahæ nominaſſe mihi videtur. Primus enim hic Patriarcha ex iis, qui olim fuerunt, cum ſpe futurorum, præſentium commodorum vſum atque voluptatem commutaſſe memoratur,

εἴς τε τὸν διὰ σαρκὸς ταύτην, καὶ εἰς τὴν ἔξω τοῦ σώματος μετὰ ταύτην, οὐ κατὰ τὸ ἴσον μέτρον τοῦ διαστήματος, ἀλλὰ τὴν μὲν βραχυτάτῳ τινὶ τῷ χρονικῷ περιγράψας ὅρῳ· τὴν δὲ παρατείνας εἰς τὸ ἀΐδιον, ἐξουσίαν ἔδωκεν ὑπὸ φιλανθρωπίας, ἐν ᾧ τις βούλεται τούτων ἑκάτερον ἔχειν, τό τε ἀγαθὸν λέγω καὶ τὸ κακὸν, ἢ κατὰ τὸν βραχὺν τοῦτον καὶ ὠκύμορον βίον, ἢ κατὰ τοὺς ἀτελευτήτους ἐκείνους αἰῶνας, ὧν πέρας ἡ ἀπειρία ἐστίν. ὁμωνύμως δὲ λεγομένου τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ ἑκατέρου τούτων πρὸς διπλῆν ἔννοιαν μεριζομένου, πρὸς νοῦν τε λέγω καὶ αἴσθησιν, καὶ τῶν μὲν τοῦτο ἐν ἀγαθοῦ μοίρᾳ κρινόντων ὅπερ ἂν ἡδὺ τῇ αἰσθήσει δόξῃ· τῶν δὲ μόνον τὸ κατὰ διάνοιαν θεωρούμενον πεπιστευκότων ἀγαθὸν εἶναι τε καὶ ὀνομάζεσθαι· οἷς μὲν ἀγύμναστός ἐστιν ὁ λογισμὸς, καὶ τοῦ βελτίονος ἀνεπίσκεπτος, οὗτοι ὑπὸ λαιμαργίας ἐν τῷ σαρκίνῳ βίῳ τὴν χρεωστουμένην τῇ φύσει τοῦ ἀγαθοῦ μοῖραν προαναλίσκουσιν, οὐδὲν τῶν μετὰ ταῦτα βίῳ ταμιευόμενοι· οἱ δὲ λογισμῷ διακριτικῷ τε καὶ σώφρονι τὴν ἑαυτῶν οἰκονομοῦντες ζωὴν, ἐν τῷ βραχεῖ τούτῳ βίῳ, διὰ τῶν τὴν αἴσθησιν λυπούντων ἀνιαθέντες, τῷ ἐφεξῆς αἰῶνι τὸ ἀγαθὸν ταμιεύονται, ὥστε αὐτοῖς τῇ ἀϊδίῳ ζωῇ τὴν κρείττω λῆξιν συμπαρατείνεσθαι. τοῦτο οὖν ἐστιν, ὥς γε ὁ ἐμὸς λόγος, τὸ χάσμα, ὃ οὐχὶ γῆς διαχρούσης γίνεται, ἀλλ' ἡ παρὰ τὸν βίον κρίσις πρὸς τὰς ἐναντίας προαιρέσεις διαχθεῖσα ποιεῖ. ὁ γὰρ ἅπαξ τὸ ἡδὺ κατὰ τὸν βίον τοῦτον ἑλόμενος, καὶ μὴ θεραπεύσας ἐκ μεταμελείας τὴν ἀβουλίαν, ἄβατον ἑαυτῷ μετὰ ταῦτα τὸν τῶν ἀγαθῶν χῶρον ἐργάζεται, τὴν ἀδιάβατον ταύτην ἀνάγκην, καθάπερ τι βάραθρον ἀχανές τε καὶ ἀπαρόδευτον καθ' ἑαυτοῦ διορύξας. διό μοι δοκεῖ καὶ τὴν ἀγαθὴν τῆς ψυχῆς κατάστασιν, ἐν ᾗ τὸν τῆς ὑπομονῆς ἀθλητὴν ἀναπαύει ὁ λόγος, κόλπον τοῦ Ἀβραὰμ ὀνομάσαι. πρῶτος γὰρ οὗτος ὁ πατριάρχης τῶν πώποτε γεγονότων ἱστόρηται τὴν ἐλπίδα τῶν μελλόντων τῆς ἀπολαύσεως τῶν παρόντων ἀνταλλαξάμενος,

ὅς γε πάντων γυμνωθεὶς, ἐν οἷς ἦν αὐτῷ κατ' ἀρχὰς ἡ ζωή, ἐν ἀλλοτρίοις εἶχε τὴν διαγωγήν, διὰ τῆς παρούσης κακοπαθείας τὴν ἐλπιζομένην εὐκληρίαν ἐμπορευόμενος. ὥσπερ οὖν τινὰ ποιὰν τοῦ πελάγους περιγραφὴν ἐκ καταχρήσεως πρὸς ὀνομάζομεν κόλπον, οὕτω δοκεῖ τὴν ἀμετρήτων ἐκείνων ἀγαθῶν τὴν ἔνδειξιν ὁ λόγος τῷ τοῦ κόλπου διασημαίνειν ὀνόματι, ᾧ πάντες οἱ δι' ἀρετῆς τὸν παρόντα διαπλέοντες βίον, ὅταν ἐντεῦθεν ἀπάρωσιν, ὥσπερ ἐν ἀκατακλύστῳ λιμένι τῷ ἀγαθῷ κόλπῳ τὰς ψυχὰς ἐνορμίζονται. τοῖς δὲ λοιποῖς ἡ τῶν φαινομένων αὐτοῖς ἀγαθῶν στέρησις φλὸξ γίνεται τὴν ψυχὴν διακαίουσα, ῥανίδος τινὸς ἐκ τοῦ πελάγους τῶν τοὺς ὁσίους περικλυζόντων ἀγαθῶν εἰς παραμυθίαν προσδεομένη, καὶ οὐ τυγχάνουσα. γλῶσσαν δὲ καὶ ὀφθαλμὸν, καὶ δάκτυλον, καὶ τὰ λοιπὰ τῶν σωματικῶν ὀνομάτων ἐν τῷ διαλόγῳ τῶν ἀσωμάτων βλέπων, τὸν καταστοχασμὸν, ἢ μὴν ἤδη νοηθέντι περὶ ψυχῆς λόγῳ συμφώνως ἔχειν ὁμολογήσεις, ἐπισκεψάμενος τὴν ῥητὴν διάνοιαν. ὥσπερ γὰρ ὅλου τοῦ σώματος ἡ τῶν στοιχείων συνδρομὴ ποιεῖ τὴν οὐσίαν· οὕτως εἰκὸς καὶ τῶν ἐν τῷ σώματι μερῶν ἐκ τῆς αὐτῆς αἰτίας συμπληροῦσθαι τὴν φύσιν. εἰ οὖν πρόσεστιν ἡ ψυχὴ τοῖς ἐκ τοῦ σώματος στοιχείοις πρὸς τὸ πᾶν ἀναμιχθεῖσιν, οὐ μόνον τὸ πλήρωμα τὸ εἰς ὅλον τὸ σύγκριμα συνδεδραμηκότων γνωριεῖ, καὶ ἐν αὐτοῖς ἔσται· ἀλλ' οὐ τὴν ἰδιάζουσαν ἑκάστου τῶν μερῶν σύστασιν ἀγνοήσει, διὰ ποίων τῶν ἐν τοῖς στοιχείοις μορίων ἀπετελέσθη τὰ ἐν ἡμῖν μέλη. τὴν οὖν ἐν παντὶ οὖσαν τῷ τῶν στοιχείων πληρώματι, καὶ ἐν τοῖς καθ' ἕκαστον εἶναι, οὐδὲν ἔξω τοῦ εἰκότος ἐστίν· καὶ οὕτω πρὸς τὰ στοιχεῖα τις βλέπων, οἷς ἐνυπάρχει τῇ δυνάμει τὰ καθ' ἕκαστον μέλη τοῦ σώματος, δάκτυλόν τι περὶ αὐτὴν εἶναι καὶ ὀφθαλμὸν καὶ γλῶσσαν, καὶ τὰ ἄλλα πάντα μετὰ τὴν διάλυσιν τοῦ συγκρίματος τὴν γραφὴν λέγειν ὑπονοῶν, τοῦ εἰκότος οὐχ ἁμαρτήσει. εἰ οὖν τὰ καθ' ἕκαστον ἀπάγει τὸν νοῦν τῆς σωματικῆς περὶ τοῦ διηγήματος ὑπολήψεως, εἰκὸς δήπου καὶ τὸν μνημονευθέντα νῦν ᾅδην μὴ τόπον τινὰ οὕτως ὀνομαζόμενον οἴεσθαι,

A qui quidē omnibus nudatus, in quibus ei vita ab initio cōſiſtebat, inter alienos conuerſabatur, & domicilium habebat, per afflictiones & incommoda pręſentis vitæ, eam, quæ ſperatur, beatitudinem quærens. Vt igitur certam aliquam pelagi partem circūſcriptam per abuſum quendam, Sinum nominamus, ita mihi ſermo nomine ſinus immenſorum illorum noſtrorum bonorum demonſtrationem ſignificare videtur: in quo ſinu bono omnes, qui per virtutem pręſentis vitæ curſum cōficiunt, cum hinc ſoluerint, tanquam in portu nō obnoxio fluB ctuū procellis, animas appulſas ac quaſi ſubductas ſtatuunt. Reliquis autem eorum, quæ bona videntur, eis electio priuatioque, flamma animā perurens exiſtit, guttam aliquā ex pelago bonorum, quibus ſancti affluunt & abundant, ad conſolationē deſiderans, & non adipiſcens. Porro cum linguam & oculum & digitum, reliquaque nomina ad corpus pertinētia in colloquio incorporeorum animaduertis, ſi verborum ſententiam inſpexeris cum opinione, quam iam per coniecturam dé anima mente concepta

C expoſuimus, cōuenire non negabis. Vt enim concurſus elementorum totius corporis efficit naturam: ita probabile eſt, etiam partium corporis ex eadem cauſſa compleri naturam. Si igitur anima adeſt elementis ex corpore diſſoluto ad rerum vniuerſam naturam refuſis atque reuerſis, non modò congeriem & complementum eorum quæ ad totam coagmentationem conſtituendam concurrerunt, agnoſcet, & in eis erit: ſed ne peculiarē quidem cuiúſque partis conſtitutionem & concretionem ignorabit, per quas nimirum particulas

D elementorum membra noſtra abſoluta ſint. Quocirca quæ in vniuerſo elementorum complemento ſit, eam etiam in ſingularibus eſſe, nullo modo à probabilitate ac veriſimilitudine alienum eſt: atque ita ſi quis ſpectet ad elementa, in quibus ſingularia membra corporis inſunt ipſa potentia, atque ſcripturam dicere arbitretur, & digitum, circa ipſam animam eſſe & oculum & linguam, cæteráque omnia etiam poſt diſſolutionem concreti, à probabilitate ac veriſimilitudine non aberrabit. Si igitur ſingularia mentem abducunt ab eo, qui ad corpus refertur, narrationis intellectu, par & conſentaneum nimirum eſt, vt etiam modò memoratum infernum, non locum, qui ſic nominetur, eſſe putemus,

ſed quędam vitæ ſtatum incorporeum, qui videri non poſſit, in quo animam viram degere, à ſcriptura docemur. Atq; etiam aliam in narratione quæ ad diuitem & mendicum pertinet, certam firmámque diſcimus ſententiam, quæ magnam cum iis, quæ ſcrutati ſumus & excuſſimus, affinitatem habet. Facit illum humanis affectib. ac perturbationibus obnoxium, carníſq. ſtudioſum diuitem, poſteaquàm ex ſua calamitate ſe non poſſe expediri & effugere animaduertit, curam habere eorū qui ſuper terram eum gerere cōtingebant: cúmq. Abraham negaſſet, eorum, qui in carne viuerent, vitā prouiſionis expertem eſſe, ſed abundè eis propoſitam eſſe doctrinam atque inſtitutionem legis ac prophetarum: adhuc perſeuerare diuitem inſtantem ac flagitantem, vt ex improuiſo & inopinato credibilis eis prædicatio fieret, quæ ab aliquo, qui ex mortuis reuixiſſet, annuntiaretur. Quęnam igitur in his, inquam, ſententia eſt? Quoniam, inquit, Lazari quidem anima circa præſentia occupata eſt, & ad nullam earum rerum, quas reliquerat, ſeſe conuertit: diues autem tanquā viſco cuidam, carnali vitæ etiam poſt mortem adhuc adhæret: quam nec cum viuere quidem deſijſſet, penitus exuerat. ſed adhuc ei curæ caro & ſanguis erat (per hoc enim, quòd rogat, vt illi, qui communione generis eum contingebant, malis eximerentur, perſpicuum eſt, quòd nondum carnali affectu exolutus erat) per has, inquit, narrationes exiſtimamus cēſere Dominum, quòd oporteat eos, qui in carne viuunt, quàm maximè ſecundum virtutem viuendo, quodámodo ſeparari & expediri ab affectu carnis, ne poſt mortem alia morte rurſus opus habeamus, quæ reliquias carnalis glutinis ſeparet, excernat & expurget: ſed tanquā vinculis circum animam ruptis, nulla corporea moleſtia eam ad ſeſe attrahente, celer & expeditus ei curſus ad bonum contingat. Nam ſi quis mente carnalis penitus totus redditus fuerit, & omni animi motu atque efficientia in voluntatibus carnis occupetur, is nec ſi extra carnem quidem euaſerit, ab affectibus ac perturbationibus eius recedit: ſed quemadmodum illi, qui in fœtidioribus locis diutius cōmorati ſunt, nec ſi in purum quidem, ſuauem & amœnum aërem tranſierint, integri ac vacui ſunt ab illo ingrato & iniucundo odore,

A ἀλλά τινα κατάστασιν ζωῆς ἀειδῆ καὶ ἀσώματον, ἣν τὴν ψυχὴν ἐμβιοτεύειν παρὰ τῆς γραφῆς ἐκδιδασκόμεθα. ἀλλὰ καὶ ἕτερον ἐν τῷ κατὰ τὸν πλούσιον καὶ πτωχὸν διηγήματι δόγμα μανθάνομεν. ὃ πολλὴν ἔχει πρὸς τὰ ἐξητασμένα τὴν οἰκειότητα. ἐποίησεν ἐκεῖνον τὸν ἐμπαθῆ καὶ φιλόσαρκον, ἐπειδὴ τὸ ἄφυκτον εἶδε τῆς περὶ ἑαυτὸν συμφορᾶς, φροντίδα τῶν ὑπὲρ γῆς αὐτῷ κατὰ τὸ γένος προσηκόντων ἔχειν, καὶ τοῦ Ἀβραὰμ εἰπόντος μὴ ἀπρονόητον εἶναι τῶν ἐν σαρκὶ ζώντων βίον, ἀλλὰ κατ' ἐξουσίαν προκεῖσθαι αὐτοῖς τὴν ἐκ τοῦ νόμου καὶ τῶν
B προφητῶν χειραγωγίαν. ἔτι παραμένειν προσλιπαροῦντα τὸν δίκαιον, ὅπως ἂν ἐκ τοῦ παραδόξου πιθανὸν αὐτοῖς τὸ κήρυγμα γένοιτο ὑπό τινος, ἐκ τῶν νεκρῶν ἀναβεβιωκότος καταγγελλόμενον. τί οὖν, εἶπον, ἐν τούτοις ἐστὶ τὸ δόγμα; ἐπειδὴ, φησί, ἡ μὲν Λαζάρου πρὸς τοῖς παροῦσιν ἄσχολός ἐστιν ἡ ψυχὴ, καὶ πρὸς οὐδὲν τῶν καταλειφθέντων ἑαυτὴν ἐπιστρέφει. ὁ δὲ πλούσιος οἱονεὶ ἰξῷ τινὶ τῇ σαρκίνῃ ζωῇ καὶ μετὰ θάνατον ἔτι προσίσχεται, ἣν οὐδὲ παυσάμενος τοῦ ζῆν καθαρῶς ἀπεδύ-
C σατο, ἀλλ' ἔτι αὐτῷ διὰ φροντίδος ἐστὶν ἡ σὰρξ καὶ τὸ αἷμα. δι' ὧν γὰρ τοὺς κοινωνοῦντας αὐτῷ τοῦ γένους ἐξαιρεθῆναι τῶν κακῶν δεῖται, δῆλός ἐστι μήπω τῆς σαρκικῆς ἐκλυθεὶς προσπαθείας. ἐκ τούτων, φησὶ, τῶν διηγημάτων οἰόμεθα τοῦτο δογματίζειν τὸν κύριον, τὸ δεῖν ὅτι μάλιστα τοὺς ἐν σαρκὶ βιοτεύοντας, διὰ τῆς κατ' ἀρετὴν ζωῆς χωρίζεσθαί πως καὶ ἀπολύεσθαι τῆς πρὸς αὐτὴν σχέσεως, ἵνα μετὰ τὸν θάνατον μὴ πάλιν ἄλλου θανάτου δεώμεθα τὰ λεί-
D ψανα τῆς σαρκώδους κόλλης ἀποκαθαίροντος· ἀλλὰ καθάπερ δεσμῶν τὴν ψυχὴν περιρραγέντων, κοῦφος αὐτῇ καὶ ἄνετος, ὁ πρὸς τὸ ἀγαθὸν γένηται δρόμος, οὐδεμιᾶς αὐτὴν σωματικῆς ἀλγηδόνος πρὸς ἑαυτὴν ἀφελκούσης. ὡς εἴ τις ὅλος δι' ὅλου ἀποσαρκωθείη τῇ διανοίᾳ. πᾶσαν ψυχῆς κίνησίν τε καὶ ἐνέργειαν ἐν τοῖς θελήμασι τῆς σαρκὸς ἀσχολῶν ὁ τοιοῦτος, οὐδὲ τῆς σαρκὸς ἔξω γενόμενος τῶν καθ' αὐτὴν παθημάτων χωρίζεται. καθάπερ οἱ ἐπὶ πλέον ἐνδιατρίψαντες τοῖς δυσωδεστέροις τῶν τόπων. οὐδ' εἰ πρὸς τὸν εὔπνουν ἀέρα μετέλθοιεν καθαρεύουσι τῆς ἀηδίας,

ἣν διὰ τῆς χρονιωτέρας ἐν αὐτῇ διαγωγῆς ἀνεμίξατο· οὕτως οὐδὲ πρὸς τὸν ἀειδῆ καὶ ἄβλεπτον βίον τῆς μεταβολῆς γινομένης, δυνατὸν ἂν εἴη τοὺς φιλοσάρκους μὴ ἀφέλκεσθαί τι πάντως τῆς σαρκικῆς δυσωδίας, δι᾽ ὧν πλέον αὐτοῖς ἡ ὀδύνη βαρύνεται, ὑλωδεστέρας ἐκ τοιαύτης περιστάσεως τῆς ψυχῆς γινομένης. δοκεῖ δέ πως πρὸς τοιαύτην ὑπόληψιν συνᾴδειν ὃ παρά τισιν λέγεται. πολλάκις ὁρᾶσθαι περὶ τῶν σωμάτων θήκας, σκιοειδῆ τινα τῶν κατοιχομένων φαντάσματα. εἰ γὰρ τοιόν τι γίνεται, οὕτως ἐλέγχεται τῆς ψυχῆς ἡ πέρα τοῦ δέοντος γινομένη νῦν πρὸς τὸν σαρκώδη βίον προσπάθεια, ὡς μηδὲ ἐξωσθεῖσαν τῆς σαρκὸς καθαρῶς αὐτὴν ἐθέλειν ἀφίπτασθαι, μηδὲ συγχωρεῖν τὴν παντελῆ γίνεσθαι πρὸς τὸ ἀειδὲς τοῦ σχήματος μεταποίησιν· ἀλλὰ παραμένειν ἔτι τῷ εἴδει μετὰ τὸ λυθῆναι τὸ εἶδος, καὶ ἔξω γενομένην ἤδη τούτου πόθῳ τοῖς τῆς ὕλης ἐπιπλανᾶσθαι τόποις, καὶ περὶ αὐτοὺς ἀναστρέφεσθαι. ἐγὼ δὲ μικρὸν ἐπισχὼν καὶ ἀναλαβὼν τὴν τῶν εἰρημένων διάνοιαν, δοκεῖ μοι εἶπον, τοῖς περὶ παθῶν προεξητασμένοις ἀνακύπτειν ἐκ τῶν εἰρημένων τις ἐναντίωσις. Εἰ γὰρ ἐκ τῆς πρὸς τὰ ἄλογα συγγενείας ἐνομίσθη τὰ τοιαῦτα τῆς ψυχῆς ἐν ἡμῖν ἐνεργεῖσθαι κινήματα, ὅσα προσλαβὼν ὁ λόγος ἀπηριθμήσατο, θυμόν τε καὶ φόβον, καὶ ἡδονὴν καὶ ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα· εἴρηται δὲ τὴν μὲν ἀγαθὴν τῶν τοιούτων χρῆσιν ἀρετὴν εἶναι· διὰ δὲ τῆς ἐσφαλμένης τὴν κακίαν γίνεσθαι, προσέθηκε δὲ ὁ λόγος ἑκάστου τι τῶν ἄλλων τὴν πρὸς τὸν κατ᾽ ἀρετὴν βίον συνεισφοράν, ὅτι δι᾽ ἐπιθυμίας πρὸς τὸν Θεὸν ἀναγόμεθα, οἷόν τινα σειρὰν κάτωθεν πρὸς αὐτὸν ἀνελκόμενοι· δοκεῖ πως, ἔφην, ἐναντιοῦσθαι πρὸς τὸν σκοπὸν ὁ λόγος. πῶς τοῦτο λέγεις; φησίν. ὅτι τοι, εἶπον, τῆς ἀλόγου πάσης κινήσεως μετὰ τὴν κάθαρσιν ἐν ἡμῖν ἀποσβεσθείσης, οὐδὲ τὸ ἐπιθυμητικὸν πάντως ἔσται· τούτου δὲ μὴ ὄντος οὐδ᾽ ἂν ἡ τοῦ κρείττονος ἔφεσις εἴη, μηδενὸς ὑπολειφθέντος τῇ ψυχῇ τοιούτου κινήματος, τοῦ πρὸς τὴν ὄρεξιν τῶν ἀγαθῶν ἐπεγείροντος. ἀλλὰ πρὸς τοῦτό φησιν, ἐκεῖνο φα-

A quem propter diuturniorum in eo commorationem contraxerunt: ita ne tum quidem, cum carnalis vita, cum ſubtili & inuiſibili cõmutata fuerit, fieri poſſit, quin carnis amantes prorſus attrahant aliquid ex graucolentia atque fœtore carnali. Vnde grauior eis dolor exiſtit, cùm ex huiuſmodi circumſtãtia anima magis materialis euaſerit. Videtur autẽ aliquo modo cum huiuſmodi opinione concinere atque conuenire, quod ſæpenumerò à nonnullis dicitur: conſpici videlicet circa conditoria atque repoſitoria corporum vmbratilia quædam ſpe-
B ctra mortuorum. Nam ſi reuera ita ſit, argumentum eſt, animam vltra modum nunc in hac vita fuiſſe erga carnalem vitam affectam, adeò vt ne carne quidem extruſa planè ab ea velit auolare; neque concedere, vt abſoluta figura ad id, quod conſpici non poteſt, & formæ expers eſt, tranſmutatio fiat: ſed circa ſpeciem poſtquã ſpecies diſſoluta fuerit etiam nunc maneat, & cùm iam extra eam euaſerit, deſiderio materiæ locis oberret, circúmque ea verſetur atque vagetur. Ego verò paululum commo-
C ratus, repetita ſententia eorum, quæ dicta erant: videtur, inquam, mihi ex iis quæ modò dicta ſunt, exiſtere quiddam cõtrarium iis, quæ de affectibus ac perturbationibus antea excuſſa atque examinata ſunt. Nam ſi ex ea, quæ cum brutis eſt, cognatione, tales in nobis animæ motus effici putantur, quales ſuperior enumerauit oratio, irã videlicet & metum, & cupiditatem, & voluptatem, cæteráque eiuſdemmodi: atqui dictum eſt, bonum quidẽ horum vſum virtutem eſſe, per prauum verò, vitium exiſtere: adiecit item oratio cùm cæte-
D rorum ad eam vitam quæ cum virtute tranſigeretur, contributionem, & adiumentum, tum quòd per concupiſcentiam ad Deum tollimur atque erigimur, veluti cathena quadam ex inferiori loco ſurſum ad eum attracti: videtur nimirum, inquam, aliquo modo oratio ſibi contraria eſſe atque propoſito aduerſari. Quopacto hoc dicis? inquit magiſtra. Quoniam omni rationis experte, inquam, motu poſt purgationem in nobis extincto, ne concupiſcendi quidẽ vis prorſus erit: qua deficiente, nuſquam boni deſiderium fuerit, cùm nullus eiuſmodi motus animæ relictus ſit qui excitet ad appetitum bonorum. At aduerſus hoc, inquit, illud dicimus,

quòd ſpeculandi ac dijudicandi vis, propria eſt eius animæ partis, quæ Deo ſimilis eſt, quoniam etiam diuinum numen per hæc comprehendimus. Si ergo vel nunc adhibita cura atque diligentia, vel poſthac per ignis purgationem anima noſtra libera fuerit ab ea coniunctione, qua cum ratione carentibus affectibus coaluit atque concreuit, nulla re ad boni & honeſti contemplationem impedietur. Bonũ autem & honeſtum eam vim ex ſui natura habet, vt quicquid in illud intueatur, id ad ſe quodãmodo attrahat. Si igitur anima ab omni vitioſitate pura fuerit, in bono & honeſto prorſus erit. Bonum autem & honeſtum ex ſui natura numen diuinum eſt: cum quo per puritatem anima coniunctionem habebit, quippe cum proprio cohærens atque coaleſcens. Si igitur hoc acciderit, non amplius cupiditatis motus opus erit, qui nobis præeat ac dux ſit ad id, quod bonum & honeſtum eſt. Nam qui in tenebris vitam degit, is lucem deſiderauerit, qui ſi in lucem peruenerit, eaque frui ac potiri cœperit, concupiſcere atque deſiderare deſinet. Facultas enim atque poteſtas potiendi atque fruendi vanam & inutilem efficit cupiditatem. Quocirca per hęc nullum detrimentum accidet ad boni participationẽ, ſi rurſus ad ſeſe anima reuerſa, ac plenè ſeſe noſcens qua natura prædita ſit, & velut in ſpeculo & imagine per propriam pulchritudinem ad principalem reſpiciens, à talibus moribus libera fuerit. In hoc enim verè licet dicere plenam & abſolutam eſſe diuini numinis ſimilitudinem, nempe ſi anima noſtra quodammodo ſuperam rerúmq. vniuerſarum præſidem naturam imitetur. Nam natura quæ ſuperat omnem intellectum, procul ab iis, quæ in nobis cernuntur, ſita, alio quodãmodo ſuam exigit vitam, & non quemadmodum nos nunc, dum viuimus, agimus. Nam homines quidem propterea quòd prorſus in motu ſemper natura eſt, quocumque impetus voluntatis inclinauerit, illò rapimur: cùm non ſimiliter anima ab anteriore ſui parte (vt aliquis dixerit) atque à poſteriore affecta ſit. Nam ſpes quidem præcedit motum, qui vlterius tendit atq. progreditur: memoria verò excipit atque ſubſequitur motum ad ſpem progredientem, ac ſi quidem ad id, quod natura bonum & honeſtum eſt, ſpes animam ducat, iucundum quaſi veſti-

Σχόλιον. Ne de omnibus hoc eum dixiſſe exiſtimes: ſed de illis, in quib. parua quędã vitioſa vitæ fuerint reliquiæ, quæ propter infirmitatem carni venia dignæ ſint: à quib animas purgari ait: quem admodũ etiã alij quidam patres cenſent: in quibus eſt etiã Dionyſius Areopagita: itẽ Diadochus Photicæ epiſcopus. Niſi enim id intellexerimus, & omnibus aliis doctoribus, & ſibi ipſi cõtrarium dicentem oſtendemus. Dicebat enim ante hæc immutabile & inacceſſum peccatorib. eſſe bonorũ vſumfructũ, atq. etiã cũ diuinis verbis pugnare demõſtrabitur, quibus oſtẽditur illorũ, pœnã fine carere. Erit igitur peccatorib⁹, eorũ bonorũ, quæ iuſtis recõdita ſũt, vſusfructus expertib. abolita vitioſitate deſiderium boni. Memẽto ſuprà dictorum.

Σχόλιον. Reprehẽdit & incuſat memoria quidẽ ſpem per reputationẽ & æſtimationẽ actorum, ſpes autẽ ſiandẽ ad defenſionem producit, vt quæ ab eo quod

A μὲν, ὅτι τὸ θεωρητικόν τε καὶ διακριτικὸν ἴδιόν ἐστι τοῦ θεοειδοῦς τῆς ψυχῆς, ἐπεὶ δὲ τὸ θεῖον ἐν τούτοις καταλαμβανόμεθα. εἰ τοίνυν εἴτε ἐκ τῆς νῦν ἐπιμελείας, εἴτε ἐκ τῆς μετὰ ταῦτα καθάρσεως ἐλευθέρα γένοιτο ἡμῖν ἡ ψυχὴ τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν συμφυΐας, οὐδὲν πρὸς τὴν τοῦ καλοῦ θεωρίαν ἐμποδισθήσεται. τὸ γὰρ καλὸν ἑλκτικόν πως ἐστὶ κατὰ τὴν ἑαυτοῦ φύσιν παντὸς τοῦ πρὸς ἐκεῖνο βλέποντος. εἰ οὖν πάσης κακίας ἡ ψυχὴ καθαρεύσειεν, ἐν τῷ καλῷ πάντως ἔσται. καλὸν δὲ τῇ ἑαυτοῦ φύσει τὸ θεῖον πρὸς ὃ διὰ τῆς καθαρότητος τὴν συνάφειαν ἕξει τῷ οἰκείῳ συναπτομένη. εἰ δὲ οὖν τοῦτο γένοιτο, οὐκέτι ἔσται χρεία τῆς κατ' ἐπιB θυμίαν κινήσεως, ἡ πρὸς τὸ καλὸν ἡγεμονευούσης. ὁ γὰρ ἐν σκότει τὴν διαγωγὴν ἔχων, οὗτος ἐν ἐπιθυμίᾳ τοῦ φωτὸς ἔσται. εἰ δὲ ἐν τῷ φωτὶ γένοιτο, τὴν ἐπιθυμίαν ἐκδέξεται ἡ ἀπόλαυσις, ἡ δὲ ἐξουσία τῆς ἀπολαύσεως ἀργὴν καὶ ἄπρακτον τὴν ἐπιθυμίαν ἐργάζεται. οὐκοῦν οὐδεμία τις ἔσται διὰ τούτων ζημία πρὸς τὴν τοῦ ἀγαθοῦ μετουσίαν, εἰ τῶν τοιούτων ἡ ψυχὴ κινημάτων ἐλευθέρα γένοιτο, πρὸς ἑαυC τὴν πάλιν ἐπανελθοῦσα, καὶ ἑαυτὴν ἀκριβῶς εἰδυῖα, οἵα τῇ φύσει ἐστί, καὶ οἷον ἐν κατόπτρῳ τε καὶ εἰκόνι διὰ τοῦ οἰκείου κάλλους πρὸς τὸ ἀρχέτυπον βλέπουσα. ἀληθῶς γὰρ ἐν τούτῳ ἐστὶν εἰπεῖν τὴν ἀκριβῆ πρὸς τὸ θεῖον εἶναι ὁμοίωσιν, ἐν τῷ μιμεῖσθαί πως τὴν ἡμετέραν ζωὴν τὴν ὑπερκειμένην οὐσίαν. ἡ γὰρ ὑπεραίρουσα παντὸς νοήματος φύσις πόῤῥω τῶν ἐν ἡμῖν θεωρουμένων ἀφιδρυμένη, ἄλλῳ τινὶ τρόπῳ τὴν ἰδίαν διεξοδεύει ζωήν, καὶ οὐ καθὼς ἡμεῖς νῦν ἐν τῷ ζῆν ἐσμέν. ἄνθρωποι μὲν γὰρ διὰ D τὸ ἀεὶ πάντως ἐν κινήσει τὴν φύσιν εἶναι, καθάπερ ἂν ἡ ὁρμὴ τῆς προαιρέσεως γένηται, κατ' ἐκεῖνο φερόμεθα, οὐχ ὁμοίως τῆς ψυχῆς κατὰ τὸ ἔμπροσθεν αὐτῆς, ὡς ἄν εἴποι, τις καὶ τὸ ὀπίσω διακειμένης. ἐλπὶς μὲν γὰρ καθηγεῖται τῆς ἐπὶ τὸ πρόσω κινήσεως, μνήμη δὲ διαδέχεται πρὸς τὴν ἐλπίδα προϊοῦσαν τὴν κίνησιν· ἀλλ' εἰ μὲν πρὸς τὸ φύσει καλὸν ἡ ἐλπὶς τὴν ψυχὴν ἄγοι, φαιδρὸν ἐνσημαίνεται τῇ

μνήμη δὲ ἴχνος ἡ τῆς προαιρέσεως κίνησις. εἰ δὲ διαψευσθείη τοῦ κρείττονος εἰδώλῳ τινὶ καλοῦ παρασοφισαμένης τὴν ψυχὴν τῆς ἐλπίδος, ἡ ἐπακολουθοῦσα τοῖς γινομένοις μνήμη αἰσχύνη γίνεται. καὶ ἐμφύλιος οὕτως ὁ πόλεμος ἐν τῇ ψυχῇ συνίσταται, μαχομένης τῇ ἐλπίδι τῆς μνήμης, ὡς κακῶς καθηγησαμένης τῆς προαιρέσεως. τοιοῦτον γάρ τινα νοῦν ἑρμηνεύει σαφῶς τὸ κατ' αἰσχύνην πάθος, ὅταν δάκνηται πρὸς τὸ ἀποβὰν ἡ ψυχή, οἷόν τινι μάστιγι τῇ μεταμελείᾳ καταπληττομένη τῆς ἀβουλήτου ὁρμῆς, καὶ εἰς συμμαχίαν κατὰ τοῦ λυποῦντος ἐφελκομένη τὴν λήθην. ἀλλ' ἡμῖν μὲν διὰ τὸ πτωχὴν εἶναι τοῦ καλοῦ ἡ φύσις, ἀεὶ πρὸς τὸ ἐνδέον ἵεται, καὶ ἡ τοῦ λείποντος ἔφεσις αὕτη ἐστὶν ἡ ἐπιθυμητικὴ τῆς φύσεως ἡμῶν διάθεσις, ἤτοι σφαλλομένη δι' ἀκρασίας τοῦ ὄντως καλοῦ, ἢ καὶ τυγχάνουσα οὗ τυχεῖν ἀγαθόν. ἡ δὲ ὑπερέχουσα πᾶσαν ἀγαθὴν ἔννοιαν φύσις, καὶ πάσης ὑπερκειμένη δυνάμεως, ἅτε μηδενὸς ἐνδεῶς ἔχουσα τῶν πρὸς τὸ ἀγαθὸν νοουμένων, αὐτὴ τῶν ἀγαθῶν οὖσα τὸ πλήρωμα, οὐδὲ κατὰ μετουσίαν καλοῦ τινος ἐν τῷ καλῷ κινουμένη, ἀλλ' αὐτὴ οὖσα ἡ τοῦ καλοῦ φύσις, ὅτι ποτὲ καὶ εἶναι τὸ καλὸν ὁ νοῦς ὑποτίθεται, οὔτε τὴν ἐλπιστικὴν κίνησιν ἐν ἑαυτῇ δέχεται. πρὸς γὰρ τὸ μὴ παρὸν ἡ ἐλπὶς ἐνεργεῖται μόνον· ὃ δὲ ἔχει τις, τί καὶ ἐλπίζει, φησὶν ὁ ἀπόστολος, οὔτε τῆς μνημονευτικῆς ἐνεργείας πρὸς τὴν τῶν ὄντων ἐπιστήμην ἐπιδεής ἐστι· τὸ γὰρ βλεπόμενον τοῦ μνημονεύεσθαι οὐκ ἐπιδέεται. ἐπεὶ δὲ οὖν πάντως ἀγαθοῦ ἐπέκεινα ἡ θεία φύσις, τὸ δὲ ἀγαθὸν ἀγαθοῦ φίλον πάντως· διὰ τοῦτο ἐν ἑαυτῇ βλέπουσα, καὶ ὃ ἔχει θέλει, καὶ ὃ θέλει ἔχει, οὐδὲν τῶν ἔξωθεν εἰς ἑαυτὴν δεχομένη, ἔξω δὲ αὐτῆς οὐδέν, ὅτι μὴ ἡ κακία μόνη ἥτις, εἰ καὶ παράδοξον εἰπεῖν, ἐν τῷ μὴ εἶναι τὸ εἶναι ἔχει. οὐ γὰρ ἄλλη τίς ἐστι καὶ κακίας γένεσις, εἰ μὴ τοῦ ὄντος στέρησις. τὸ δὲ κυρίως ὂν ἡ τοῦ ἀγαθοῦ φύσις ἐστίν. ὃ οὖν ἐν τῷ ὄντι οὐκ ἔστιν, ἐν τῷ μὴ εἶναι πάντως ἐστίν. ἐπειδὰν οὖν καὶ ἡ ψυχὴ πάντα τὰ ποικίλα τῆς φύσεως ἀποσκευασαμένη κινήματα θεοειδὴς γένηται, καὶ ὑπερβᾶσα τὴν

A gium memoriæ imprimit motus voluntatis: ſinautem ab eo quod melius & præſtabilius eſt, aberratum & offenſum fuerit, cùm ſimulachro quodã pulchritudinis ſpes animã deceperit ac fruſtra fuerit, quæ rem actã conſequuta fuerit, recordatio, pudor efficitur. Atque ita bellum hoc inteſtinum in anima conflatur, memoria aduerſus ſpem pugnante, quòd malè volũtati præierit. Nam eiuſmodi quẽdam animi ſenſum apertè indicat affectus pudoris, cùm pœnitentia tanquam flagello quodam incõſultum ac temerarium impetum perſtringẽs & B inceſsẽs, anima mordetur propter euentum, & in auxilium aduerſus id quod angit & offendit, obliuionem adſciſcit. Sed nobis quidẽ propterea quòd boni egena eſt natura, ſemper fertur atque contendit ad id, quod deeſt, ac deſiderium eius quod deficit, ipſe naturæ noſtræ concupiſcendi affectus eſt, qui vel aberrat propter ſiniſtrũ iudicium ab eo, quod verè bonum & honeſtum eſt, vel etiam conſequitur & adipiſcitur id, quo potiri bonum eſt. At ea, quæ ſuperat omnem bonã cogitationem, natura quæ- C que ſuper omnem potentiam eminet, vt quæ nullius indigeat earum rerum, quę circa bonum & honeſtum intelligũtur, cùm ipſa ſit bonorum plenitudo, neque tanquam particeps alicuius boni & honeſti in bono verſetur, ſed ipſa ſit ipſius boni & honeſti natura (quodcúmque tandem etiam bonum & honeſtum eſſe mens ponit) neque ſperandi motum in ſeſe admittit (ſpes enim ad id, quod non adeſt, dũtaxat adhibetur: quod autem quis habet, cur etiam ſperet? inquit diuinus Apoſtolus) neque reminiſcendi D ac recordandi efficiẽtia ad rerum ſcientiam opus habet. Quod enim videtur, recordatione nõ indiget. Quoniam igitur diuina natura ſupra omne bonũ eſt, ac bono bonum prorſus amicum eſt, idcirco cùm ſeipſum intuetur, & quod habet, vult, & quod vult, habet, nihil externum in ſeſe admittẽs. Extra eam autem nihil pręterquam ſola vitioſitas eſt, quæ (etſi dictu abſurdum & à vulgari opinione alienum eſt) in eo, quod nõ eſt, ſuum eſſe habet. Non enim vlla alia generatio vitioſitas eſt, quàm eius, quod eſt, priuatio. Quod autem propriè eſt, boni natura eſt. Quod igitur in ente nõ eſt, in eo quod non eſt, prorſus eſt. Poſtquam igitur anima quoque, ſegregatis omnibus variis naturæ motibus, Deo ſimilis effecta fuerit, atque ſuperata cupiditate in illo

bonũ & honeſtũ appareret, decepta ſit, ideq. pro ea, quod vere bonũ eſt elegerit.

Σχόλιον. Sunt nonnulla quæ dicuntur ab externis, in eo, quòd ſiant, eſſentiã habere, non in eo, quòd facta

ſunt: quẽadmodũ umbrã corporum: hæc enim remota cauſſa efficiente euaneſcit, non ſicut ſubſtãtia remotis etiã cauſis efficiẽtibus manẽt. talis etiam uitioſitas in eo, quod fit & agitur, dũtaxat eſſentiam habet, quod idem cum eo eſt, quod non eſt.

fuerit, ad quod olim à cupiditate erigebatur & incitabatur, non amplius conſiſtendi locum in ſeſe dat, neque ſpei, neque recordationi. Nam quod quidem ſperabatur, habet: occupatione autem fruendorũ bonorum, memoriã à mente remouet ac miſſam facit: atq. ita vitam ſuperam & excelſam, informata diuinæ naturæ proprietatibus imitatur, adeò vt nihil aliud ei relinquatur, præterquàm dilectionis affectus, qui naturaliter ei quod bonum & honeſtum eſt, adhæret. Id enim dilectio eſt animo, videlicet, inſitus habitus & affectus ad id, quod placet atque cordi eſt. Cùm igitur ſimplex & vniformis ac planè ſimilis Deo anima facta, nacta fuerit illud verè ſimplex & materiæ dolique expers bonum, quod ſolum reuera dignum quod diligatur & amabile eſt, cùm adhæret eidẽ, tum vnà commiſcetur atque contẽperatur, per dilectionis motũ & actionẽ, ad id quod ſemper & comprehẽditur & inuenitur, ſeſe formãs, atque id per ſimilitudinem boni euadens, quod eius, quod participatur, atque percipitur, natura eſt, cùm autem in illo cupiditas nõ ſit, propterea quòd nec vllius quidem boni defectus in eo ſit, conſequẽs fuerit, etiã animam, cùm eò euaſerit, vbi rei nullius egeſtas eſt, ex ſeſe eijcere quoque concupiſcẽdi motum atque affectum, qui tunc dumtaxat exiſtit, cùm non adfuerit id quod deſideratur. Talis autẽ doctrinæ atque ſententiæ diuinus quoque nobis Apoſtolus author eſt. Cùm enim omniũ rerum, quarũ nunc in nobis boni quoque cauſſa ſtudia vigent, abolitionẽ & quietem quandam atque ſedationẽ & finem futurum antè denuntiaſſet, ſolius dilectionis & charitatis terminum nõ inuenit. Nam prophetiæ abolebũtur, inquit, & cognitiones & ſcientiæ quieſcent, & finem habebunt: charitas autem ac dilectio nunquam excidit, quod perinde eſt ac ſi dixiſſet, ſemper eadem eſt, quinetiam cùm fidem in ſpem vnà cum charitate atque dilectione permanere diceret, rurſus eam etiam illis præfert atque præponit, neque iniuria. Nam ſpes interim mouetur, dum nõ licet frui atque potiri iis rebus, quæ ſperãtur. Et itidem fides ſuſtentaculũ ac firmamentum eſt incertitudinis earũ rerum, quæ ſperantur. Nam & ita eam definiuit, cùm diceret: Eſt autem fides rerum, quæ ſperantur, ſubſtantia. Cùm autẽ venerit id, quod ſperatur, aliis omnibus quieſcentibus, cha-

1. Cor. 13. *Hebr. 11.*

A ἐπιθυμίας ἐν ἐκείνῳ, ἡ πρὸς ὃ ὑπὸ τῆς ἐπιθυμίας τέως ὑπήρετο, οὐκέτι χώραν σχολὴν δίδωσιν ἐν ἑαυτῇ, οὔτε τῇ ἐλπίδι, οὔτε τῇ μνήμῃ. ὃ γὰρ ἐλπιζόμενον ἔχει· ἡ δὲ περὶ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν ἀσχολία τὴν μνήμην ἐκκρούει τῆς διανοίας· καὶ οὕτω τὴν ὑπερέχουσαν μιμεῖται ζωὴν τοῖς ἰδιώμασι τῆς θείας φύσεως ἐνμορφωθεῖσα, ὡς μηδὲν ὑπολειφθῆναι τῶν ἄλλων αὐτῇ, πλὴν τῆς ἀγαπητικῆς διαθέσεως, φυσικῶς τῷ καλῷ προσφυομένης. τοῦτο γάρ ἐστιν ἡ ἀγάπη, ἡ πρὸς τὸ καταθύμιον ἐνδιάθετος σχέσις. B ὅταν οὖν ἡ ἁπλῆ καὶ μονοειδὴς καὶ ἀκριβῶς θεοείκελος ἡ ψυχὴ γενομένη εὕρῃ τὸ ἀληθῶς ἁπλοῦν τε καὶ ἄϋλον ἀγαθὸν, ἐκεῖνο τὸ μόνον τοιόν τι ἀγαπητὸν καὶ ἐράσμιον, προσφύεταί τε αὐτῷ, καὶ συνανακιρνᾶται διὰ τῆς ἀγαπητικῆς κινήσεως τε καὶ ἐνεργείας, πρὸς τὸ ἀεὶ καταλαμβανόμενόν τε καὶ εὑρισκόμενον ἑαυτὴν μορφοῦσα. καὶ τοῦτο γενομένη διὰ τῆς τοῦ ἀγαθοῦ ὁμοιότητος, ὅπερ ἡ τοῦ μετεχομένου φύσις ἐστὶν, ἐπιθυμίας ἐν ἐκείνῳ μὴ οὔσης διὰ τὸ μηδὲ τινος C τῶν ἀγαθῶν ἔνδειαν ἐν αὐτῷ εἶναι, ἀκόλουθον ἂν εἴη καὶ τὴν ψυχὴν ἐν τῷ ἀνενδεεῖ γενομένην ἐκβάλλειν ἀφ' ἑαυτῆς καὶ τὴν ἐπιθυμητικὴν κίνησίν τε καὶ διάθεσιν, ἣ τότε γίνεται μόνον, ὅταν μὴ παρῇ τὸ ποθούμενον. τοῦ δὲ τοῦ τοιούτου δόγματος καὶ ὁ θεῖος ἀπόστολος ἡμῖν καθηγήσατο. πάντων τῶν νῦν ἐν ἡμῖν καὶ ἐπὶ τῷ κρείττονι σπουδαζομένων παῦλάν τινα καὶ κατάπαυσιν προαγγείλας· μόνην δὲ τῆς ἀγάπης οὐχ εὑρὼν τὸν ὅρον. προφητεῖαι γὰρ, φησὶ, καταργηθήσονται, καὶ γνώσεις παύσονται· ἡ D δὲ ἀγάπη οὐδέ ποτε πίπτει· ὅπερ ἴσον ἐστὶ τὸ ἀεὶ ὡσαύτως ἔχειν, ἀλλὰ καὶ πίστιν καὶ ἐλπίδα συμπαραμεμενηκέναι τῇ ἀγάπῃ λέγων, πάλιν καὶ τούτων αὐτὴν ὑπερτίθησιν εἰκότως. ἡ γὰρ ἐλπὶς μέχρι ἐκείνου κινεῖται, ἕως ἂν μὴ παρείη τῶν ἐλπιζομένων ἀπόλαυσις, καὶ ἡ πίστις ὡσαύτως, ἔρεισμα τῆς τῶν ἐλπιζομένων ἀδηλίας γίνεται. οὕτω γὰρ αὐτὴν καὶ ὡρίσατο λέγων· ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις. ἐπειδὰν δὲ ἔλθῃ τὸ ἐλπιζόμενον, τῶν ἄλλων ἐν τη-

μένοντος πάντως ἡ κατὰ τὴν ἀγάπην ἐνέργεια μένει, τὸ διαδεξόμενον αὐτὴν οὐχ εὑρίσκουσα. διὸ καὶ προτιμᾶται, τῶν τε κατ᾽ ἀρετὴν κατορθουμένων ἁπάντων, καὶ τῶν τοῦ νόμου παραγγελμάτων. Εἰ οὖν ἐπὶ τοῦτό ποτε τὸ τέλος φθάσειεν ἡ ψυχή, ἀνενδεὴς οὖσα τῶν ἄλλων, ἅτε δὴ τοῦ πληρώματος περιδεδραγμένη τῶν ὄντων, ἣ δοκεῖ μόνη πως αὐτῆς τῆς θείας μακαριότητος ἐν αὐτῇ σώζειν τὸν χαρακτῆρα. ἡ γὰρ ζωὴ τῆς ἄνω φύσεως ἀγάπη ἐστίν, ἐπειδὴ τὸ καλὸν ἀγαπητὸν πάντως ἐστὶ τοῖς γινώσκουσι· γινώσκει δὲ αὐτὸ τὸ θεῖον· ἡ δὲ γνῶσις ἀγάπη γίνεται. διότι τὸ καλόν ἐστι τῇ φύσει τὸ γινωσκόμενον, τοῦ δὲ ἀληθῶς καλοῦ ὁ ὑβριστὴς οὐ προσάπτεται κόρος· κόρου δὲ τὴν ἀγαπητικὴν πρὸς τὸ καλὸν σχέσιν οὐ διακόπτοντος ἀεί, ἡ θεία ζωὴ δι᾽ ἀγάπης ἐνεργηθήσεται, ἡ καλή τε κατὰ φύσιν ἐστί, καὶ ἀγαπητικῶς πρὸς τὸ καλὸν ἐκ φύσεως ἔχει, καὶ ὅρον τῆς κατὰ τὴν ἀγάπην ἐνεργείας οὐκ ἔχει. ἐπειδὴ οὐδὲ τοῦ καλοῦ τι πέρας καταλαμβάνεται, ὡς συναπολήγειν τῷ πέρατι τοῦ καλοῦ τὴν ἀγάπην. μόνῳ γὰρ τῷ ἐναντίῳ τὸ καλὸν περατοῦται· οὗ δὲ ἡ φύσις ἀνεπίδεκτός ἐστι τοῦ χείρονος, πρὸς τὸ ἀπέραντόν τε καὶ ἀόριστον τὸ ἀγαθὸν προελεύσεται. ἐπεὶ οὖν ἑλκτικὴ τῶν οἰκείων πᾶσα φύσις ἐστίν, οἰκεῖον δέ πως τῷ Θεῷ τὸ ἀνθρώπινον, ἅτε δὴ φέρον ἐν ἑαυτῷ τοῦ ἀρχετύπου μιμήματα, ἕλκεται κατὰ πᾶσαν ἀνάγκην πρὸς τὸ θεῖόν τε καὶ συγγενὲς ἡ ψυχή. δεῖ γὰρ πάντη καὶ πάντως τῷ Θεῷ ἀποσωθῆναι τὸ ἴδιον· ἀλλ᾽ εἰ μὲν κούφη καὶ ἀπέριττος τύχῃ, μηδεμιᾶς σωματικῆς ἀχθηδόνος αὐτὴν πιεζούσης, λεία καὶ εὔκολος αὐτῇ ἡ πρὸς τὸν ἐπισπώμενον προχώρησις γίνεται. Εἰ δὲ τοῖς τῆς προσπαθείας ἥλοις εἰς τὴν πρὸς τὰ ὑλώδη σχέσιν καταπαρῇ, οἷόν τινα πάσχειν εἰκὸς ἐν τοῖς συμπτώμασι τῶν σεισμῶν. τὰ ἐμπιεσθέντα τοῖς χώμασι σώματα· ὑποκείσθω δὲ καθ᾽ ὑπό-

A ritatis ac dilectionis efficientia manet, quippe cùm nō inueniat, quod eam excipiat, & in locū eius ſuccedat. Quamobrem etiā vniuerſarum actionum, quę cum virtute perficiuntur, atque etiam legis præceptorum principatum tenet. Si igitur ad hunc finem aliquādo anima peruenerit, aliarum rerum non erit egena, quippe rerum nimirū vniuerſarum plenitudinem cōplexa, per quam ſolam quodammodo ipſius diuinæ beatitudinis in ſeſe conſeruare inſigne videtur. Nam & vita ſuperæ naturæ charitas atque dilectio eſt, quoniā quod bonum & B honeſtum eſt, prorſus ab iis, qui id cognoſcunt, dilectione dignum habetur: cognoſcitur autē id ab numine diuino: notitia verò in dilectionem cōuertitur, propterea quòd natura bonum & honeſtum eſt id, quod cognoſcitur. Id autem quod verè bonum & honeſtum eſt, à petulāti atque proterua ſatietate non attingitur: porrò ſatietate dilectionis habitum & affectū ad id, quod bonum & honeſtum eſt, non interrumpente, diuina vita ſemper per charitatem ac dilectionem exigetur, quæ vita cùm natura bona atq. honeſta eſt, tum erga id quod C bonum & honeſtum eſt, dilectionis affectu natura pręditá eſt, ac terminum & ſatietatem diligēdi actionis non habet: quoniam nec boni & honeſti quidem aliquis finis deprehenditur, vt vnà cum fine boni & honeſti charitas atque dilectio quoque deſinat. Nam ſolo contrario bonum atque honeſtum terminatur atque finitur. Cuius autem boni ea natura eſt, quæ deterius non admittat, id in infinitum & indeterminatum vſque progredietur. Quoniā igitur cuiuſque naturæ ea vis eſt, vt affinia, propria, atq. cognata attrahat: propinquum autem D quodammodo atque coniunctum Deo genus humanum eſt, quippe ferens in ſe nimirū imaginem principalis figuræ: neceſſarium planè eſt, vt anima trahatur ad id quod diuinū ſimul atque cognatum eſt. (Oportet enim vſquequaque penitus ac prorſus Deo ſuum reſeruari) ſed ſiquidem leuis, expedita, atque ſyncera fuerit, & nihil redundantiæ ſuperfluitatiſque in ſe habuerit, nulla corporea moleſtia eam premente, iucundus ac facilis ei ad attrahentem acceſſus fit. Sin autem affectionis clauis ad eum habitum, qui cum materialibus coniunctus eſt & affinitatē habet, adfixa fuerit: quale quiddā terræ motu collapſis ædificiis, corporibus mole atque aggere oppreſſis atque obtritis accidere par ac veriſimile eſt (ponatur

multo magis certa dijudicatio eorum, quæ iam ad opus redacta fuerint ex rudi materia fit. Ita tanquam vas quoddam homo quiſque ſingularis eſt, ex elementorum concurſu à communi materia formatus, peculiari prorſus figura multum differens ab eo, quod eiuſdem generis eſt: quo diſſoluto, nihilominus etiam ex reliquiis anima, quæ poſſidet vas, proprium agnoſcit, neque in communione atque confuſione fragmentorum, neque ſi eadem cum rudi elementorum materia commiſceantur, à proprio diſcedens, ſed ſemper ſciens ſuum, quale eſſet tum, cùm in forma conſiſteret, & poſt diſſolutionem ex ſignis, quæ in reliquiis manſerunt, circa proprium non errans. Ego verò approbatis iis, quæ dicta erãt, vt appoſitè, aptè atque accommodatè ad propoſitum argumentum inuenta: hæc quidem, inquam, hoc modo tum dici, tum credi rectum & æquum eſt: ſed ſi quis narrationem Domini eam, quæ eſt in Euangelio de iis, qui ſunt in inferno, aduerſus ea, quæ dicta ſunt, proferat, quaſi non congruentem & conuenientem cum iis quæ examinata atque perpenſa ſunt, quo pacto præparare nos ad reſponſionem oportet? At illa, Ad corpus quidem accommodatius, inquit, ſermo narrationem exponit, multas tamen inſpergit materias & cauſſas, per quas ad ſubtiliorem ſpeculationem inuitat, ſiquis accuratè exquiſitéque rem intellexerit. Nam qui hiatu vaſto malum à bono dirimit atque diſcludit: qui guttam aliquam, quę per digitum admoueatur, deſiderantem fecit eum, qui cruciabatur: qui patriarchæ ſinum ei, qui per hanc vitam malis & incommodis vexatus fuerat, ad quietem propoſuit: qui item antea, mortuos eos ac ſepulturæ traditos expoſuit, non parum auocat & abducit ab ſententia, quæ in promptu eſt, eum, qui haud ſtultè & imperitè, ſed intelligenter verba ſequatur. Quos enim oculos attollit in inferno diues ille, qui carneos oculos in ſepulchro reliquerat? quo pacto item flammam ſentit id, quod incorporeum eſt? quam verò linguam refrigerari per guttam cupiebat, cùm ei carnea lingua non adeſſet? quis autem ille digitus, qui præferret ei guttam? ipſe item ſinus requietis, quis? Cùm enim corpora eſſent in ſepulchris, anima verò neque in corpore eſſet,

Luc. 16.

A πολὺ μᾶλλον ἀπλανὴς ἡ διάγνωσις τῶν ἤδη κατειργασμένων ἀπ᾽ ἐκείνου γίνεται. οὕτως οὖν τι σκεῦος ὁ καθ᾽ ἕκαστον ἐστὶν ἄνθρωπος, ἐκ τῆς συνδρομῆς τῶν στοιχείων, ἀπὸ τῆς κοινῆς ὕλης ἀποτετυπωμένος, ἐν ἰδιάζοντι πάντως τῷ σχήματι πολλὴν πρὸς τὸ ὁμογενὲς τὴν διαφορὰν ἔχων· οὗ διαλυθέντος οὐδὲν ἧττον καὶ ἀπὸ τῶν λειψάνων ἡ κεκτημένη τὸ σκεῦος ψυχὴ τὸ οἰκεῖον ἐπιγινώσκει, οὔτε ἐν τῇ κοινωνίᾳ τῶν συντριμμάτων, οὔτε εἰ πρὸς τὸ ἀκατέργαστον τῆς τῶν στοιχείων ὕλης καταμιχθείη τοῦ οἰ-

B κείου ἀφισταμένη, ἀλλ᾽ ἀεὶ ἐπισταμένη τὸ ἴδιον, οἷόν τε συνεστὼς ἐν τῷ σχήματι, καὶ μετὰ τὴν διάλυσιν ἐκ τῶν ἀπομεινάντων σημείων τοῖς λειψάνοις οὐ πλανωμένη περὶ τὸ ἴδιον. ἀποδεξάμενος δὲ τὰ εἰρημένα ὡς προσφυῶς τε καὶ οἰκείως πρὸς τὸν προκείμενον εὑρεθέντα σκοπόν· ταῦτα μὲν οὕτως, εἶπον, λέγεσθαί τε καὶ πιστεύεσθαι καλῶς ἔχει· εἰ δέ τις τὸ ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου περὶ τῶν ἐν ᾅδου διήγημα πρὸς τὰ εἰρημένα προσφέροι, ὡς οὐ συμβαῖνον τοῖς ἐξητασμένοις, πῶς χρὴ παρασκευά-

C σασθαι πρὸς τὴν ἀπόκρισιν; ἡ διδάσκαλος δὲ, σωματικώτερον μὲν, φησὶν, ὁ λόγος ἐκτίθεται τὸ διήγημα, πολλὰς δὲ κατασπείρει τὰς ἀφορμὰς, δι᾽ ὧν εἰς λεπτοτέραν θεωρίαν ἐκκαλεῖται τὸν ἐξετασὶν ἐπαΐοντα. ὁ γὰρ χάσματι μεγάλῳ διείργων τὸ κακὸν ἐκ τοῦ κρείττονος, σταγόνος τέ τινος δακτύλῳ κομιζομένης ἐπιδεᾶ ποιήσας τὸν ὀδυνώμενον, καὶ πατριάρχου κόλπον τῷ διὰ τῆς ζωῆς ταύτης κεκακωμένῳ ὑποθεὶς ἀνάπαυσιν· πρὸ τούτων δὲ καὶ τὸ τεθνάναι αὐτοὺς, καὶ ταφῇ δο-

D θῆναι διηγησάμενος, οὐ μικρῶς ἀφίστησι τῆς κατὰ πρόχειρον διανοίας, τὸν μὴ ἀσυνέτως τοῖς λεγομένοις ἑπόμενον. ποίους γὰρ ὀφθαλμοὺς ἐπαίρει ἐν τῷ ᾅδῃ ὁ πλούσιος, τοὺς τῆς σαρκὸς ἐναφεὶς τῷ τάφῳ; πῶς δὲ τῆς φλογὸς ᾐσθάνετο τὸ ἀσώματον; ποίαν δὲ γλῶσσαν καταψυχθῆναι διὰ τῆς σταγόνος ἐπιθυμεῖ, τῆς σαρκίνης αὐτῷ μὴ παρούσης; τίς δὲ ὁ διακομίζων αὐτῷ τὴν ῥανίδα δάκτυλος; αὐτὸς δὲ ὁ κόλπος τῆς ἀναπαύσεως τίς; τῶν γὰρ σωμάτων ἐν τάφοις ὄντων, τῆς δὲ ψυχῆς οὔτε ἐν σώματι οὔσης,

οὔτε

οὔτε ἐκ μερῶν συνεστώσης, ἄπορον ἂν εἴη τὴν τοῦ διηγήματος διασκευὴν κατὰ τὸ προχείρως νοούμενον ἐφαρμόσαι τῇ ἀληθείᾳ, εἰ μή τις μεταλάβοι τὰ καθ' ἕκαστον εἰς νοητὴν θεωρίαν· ὥστε χάσμα τὸ διεῖργον τῶν ἀμίκτων τὴν κοινωνίαν, μὴ γῆς διάστασιν οἴεσθαι. τῷ γὰρ ἀσωμάτῳ καὶ νοερῷ, τίς πόνος διαπτῆναι τὸ χάσμα, κἂν εἰ μέγιστον ᾖ; διότι τὸ νοερὸν τῇ φύσει, ἐν ᾧπερ ἂν ἐθέλῃ ἀχρόνως γίνεται. τί οὖν ἂν εἴη, φημὶ, τὸ πῦρ, ἢ τὸ χάσμα ἢ τὰ λοιπὰ τῶν εἰρημένων, εἰ μὴ ἃ λέγεται; ἐμοὶ δοκεῖ, φησί, δόγματά τινα περὶ τῶν κατὰ ψυχὴν ζητουμένων δι' ἑκάστου τούτων ὑποσημαίνειν τὸ εὐαγγέλιον. προειπὼν γὰρ πρὸς τὸν πλούσιον ὁ πατριάρχης· ὅτι ἀπέλαβες τῷ διὰ σαρκὶ βίῳ τῶν ἀγαθῶν τὴν μοῖραν, καὶ περὶ τοῦ πτωχοῦ τὸ ἴσον εἰπών· ὅτι καὶ οὗτος ἀπέπλησε παρὰ τὸν βίον τῆς τῶν κακῶν μετουσίας λειτουργίας· εἶθ' οὕτως ἐπαγαγὼν περὶ τοῦ χάσματος, ὡς ἀπ' ἀλλήλων διατειχίζονται, μέγα τι διὰ τούτων ἔοικεν ὑποδεικνύειν τῷ λόγῳ· τὸ δὲ δόγμα, κατά γε τὸν ἐμὸν λόγον, τοιοῦτόν ἐστι· μονοειδὴς ἦν ἡ τῶν ἀνθρώπων ζωή· μονοειδῆ δὲ λέγω τὴν ἐν μόνῳ τῷ ἀγαθῷ ὁρωμένην, καὶ πρὸς τὸ κακὸν ἀνεπίμικτον, τὸν δὲ τοιοῦτον λόγον ὁ πρῶτος τοῦ Θεοῦ νόμος μαρτυρεῖται. ὁ τοῦ παντὸς μὲν δοὺς τῶν ἐν τῷ παραδείσῳ καλῶν ἄφθονον τῷ ἀνθρώπῳ τὴν μετουσίαν· ἀπειργὼν δὲ μόνου ἐκείνου ᾧ σύμμικτος ἦν ἐκ τῶν ἐναντίων ἡ φύσις τοῦ κακοῦ πρὸς καλὸν συγκεκραμένου, θάνατον ἐπιθεὶς τῷ παρανομήσαντι τὴν ζημίαν. ἀλλ' ἑκουσίως ὁ ἄνθρωπος ἐν τῷ αὐτεξουσίῳ κινήματι καταλιπὼν τὴν ἀμιγῆ τοῦ χείρονος μοῖραν τὴν ἐκ τῶν ἐναντίων σύγκρατον ζωὴν ἐπεσπάσατο. οὐ μὴν ἀφῆκεν ἡ θεία προμήθεια τὴν ἀβουλίαν ἡμῶν ἀδιόρθωτον. ἀλλ' ἐπειδὴ τοῖς παραβεβηκόσι τὸν νόμον ὁ κριθεὶς ἐπ' αὐτῷ θάνατος ἀναγκαίως ἐπηκολούθησε, διχῇ μερίσας τὴν ἀνθρωπίνην ζωὴν,

A neque ex partibus conſtaret; difficile fuerit narrationis ſtructuram, prout protinus ac prima fronte intelligitur, ad veritatem accommodare, niſi quis ſingulatim quæque verba à corpore traducat ad eam, quæ mente percipitur ſpeculationem: vt hiatus, qui dirimit atque diſiungit cõmunionem eorum, inter quos nulla ſocietas intercedere poteſt, non terræ ſpatium & interuallum exiſtimetur. Nam quid negotij fuerit ei, quod incorporeũ & ſola mente præditum eſt, tranſuolare hiatum, etiamſi vaſtiſſimus ſit? quippe cùm id quod natura tale eſt, vt mente ſola conſtet, vbicumque eſſe velit nullo temporis intercedẽte ſpatio, B illò penetret atque euadat. Quid igitur fuerit, inquam, ignis, vel hiatus, vel cætera quæ dicta ſunt, ſi nõ ſunt ea, quę dicuntur? Mihi quidem, inquit, certas ſtabiléſque quaſdã ſententias de iis rebus, quæ circa animã quæruntur, per vnumquódque horum Euangelium ſignificare videtur. Cum enim ita ad diuitem patriarcha antè dixiſſet: Recepiſti in vita, quam in carne tranſegiſti, portionem bonorum: atque eodem modo de mẽdico dixiſſet. Et hic in vita malorum & incommodorum participationis munere functus eſt: & ſic deinceps ſubiecisſet de hiatu, quo alteri ab alteris diſcluC derentur, magnam quãdam doctrinam, certámque ac ſtabilem ſententiam per hæc verba orationis ſignificare videretur. Hæc autem ſententia, mea quidem opinione, talis eſt: Ab initio vita humana ſimplex & vniformis erat. Simplicem autem & vniuſmodi dico eam, quę in ſolo bono animaduertitur, & nullius mali communione permixta eſt. Talem autẽ opinionem prima lex diuina teſtimonio ſuo cõprobat, quę cùm omnibus quidem bonis, quæ erãt in paradiſo, hoD minem abundè frui & vti permiſiſſet, ab illo ſolo prohibebat, cuius, cùm malum cum bono contemperatum eſſet, cõmixta ex contrariis erat natura: mortémque ei, qui contra hanc legem feciſſet, pœnam appoſuit. Sed homo ſponte ſua propriáque voluntate & arbitrio relicta ſorte, quæ à malo integra erat, eam quæ ex contrariis contemperata erat, vitam adſciuit & amplexus eſt. Sed non abſque correctione & emendatione temerarium & ſtolidum illud conſilium noſtrum diuina prouidentia reliquit. Sed quoniã tranſgreſſores legis pœna mortis, quæ legi iudicio latoris & authoris eius appoſita erat, neceſſariò conſequuta eſt, poſteaquam vitam humanam bifariam partitus eſſet, Luc. 16.

& in hanc, quæ per carnem tranſigitur, & in illam quæ poſt hanc extra corpus degitur, non pari interualli modo atque menſura, ſed illam quidem breuiſſimo quodam termino temporis & ſpatio circumſcripſit, hanc verò ad æternitatem vſque extendit atque produxit, ac benigno atque humano conſilio vſus, poteſtatem dedit, vt in vtra quis vita velit, horum alterutrum habeat (bonum inquam & malum) vel per breuem hanc fluxámque & caducam vitam, vel per illa ſempiterna ſecula, quorũ terminus eſt infinitus. Cùm autẽ æquiuocè dicatur & bonum & malum, atque horum vtrumque in duplicem intellectum diuidatur (cum in mentem, inquam, cum in ſenſum) atque alij quidẽ, quod ſenſui ſuaue & iucundum viſum fuerit, id loco boni habeãt: alij verò, id ſolum bonum & eſſe & nominari credant, quod cogitatione, ac mentis agitatione animaduertitur & cõſideratur: quibus quidem inexercitata ratio eſt, vt quid melius ſit, conſiderare non poſſint, hi per ingluuiem & intemperantiam, in carnali vita eam, quæ naturæ debetur boni ſortem ante tempus conſumunt atque profundunt, nihil in eam, quæ poſthac futura eſt, vitam reſeruantes & comparcentes, alij verò ratione ſana ac dijudicatrice ſuam vitam gubernantes, in hac breui vita per ea, quæ ſenſum lædunt, contriſtati atque vexati, in futurum ſæculum bonum comparcunt atque recondunt, vt ſibi vnà cum ſempiterna vita melior ſors extendatur atque prorogetur. Hic igitur, vt mea quidem opinio fert, hiatus ille eſt, qui non terra diſcedente atque diducta fit, ſed quem iudicium per hanc vitam in contraria ſtudia atque inſtituta diuiſum atq. diductum facit. Nam qui ſemel quicquid in hac vita ſuaue ac iucundum eſt, elegerit, nec pœnitentia ductus ſtolidum ac temerarium ſuum conſilium corrigit atque emẽdat, inacceſſum & inuium ſibi locum bonorum poſthac efficit, cùm hanc ineuitabilem, quæ trãſiri non poſſit, neceſſitatem, tanquam barathrum quoddam vaſtum & inuium, quà tranſiri non poſſit, aduerſus ſeſe perfoderit. Quamobrem bonum quoque animæ ſtatum, in quo patientiæ athletã ſermo requieſcere facit, ſinum Abrahæ nominaſſe mihi videtur. Primus enim hic Patriarcha ex iis, qui olim fuerunt, cum ſpe futurorum, præſentium commodorum vſum atque voluptatem commutaſſe memoratur,

A εἴς τε τὸν διὰ σαρκὸς ταύτην, καὶ εἰς τὴν ἔξω τοῦ σώματος μετὰ ταύτην, οὐ κατὰ τὸ ἴσον μέτρον τοῦ διαστήματος, ἀλλὰ τὴν μὲν βραχυτάτῳ τινὶ τῷ χρονικῷ περιγράψας ὅρῳ· τὴν δὲ παρατείνας εἰς τὸ ἀΐδιον, ἐξουσίαν ἔδωκεν ὑπὸ φιλανθρωπίας, ἐν ᾧ τις βούλεται τούτων ἑκάτερον ἔχειν, τό τε ἀγαθὸν λέγω καὶ τὸ κακὸν, ἢ κατὰ τὸν βραχὺν τοῦτον καὶ ὠκύμορον βίον, ἢ κατὰ τοὺς ἀτελευτήτους ἐκείνους αἰῶνας, ὧν πέρας ἡ ἀπειρία ἐστίν. ὁμωνύμως δὲ λεγομένου τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ ἑκατέρου τούτων πρὸς διπλῆν ἔννοιαν μεριζομένου, πρὸς νοῦν τε λέ-

B γω καὶ αἴσθησιν, καὶ τῶν μὲν τοῦτο ἐν ἀγαθοῦ μοίρᾳ κρινόντων ὅπερ ἂν ἡδὺ τῇ αἰσθήσει δόξῃ· τῶν δὲ μόνον τὸ κατὰ διάνοιαν θεωρούμενον πεπιστευκότων ἀγαθὸν εἶναί τε καὶ ὀνομάζεσθαι· οἷς μὲν ἀγύμναστος ἐστὶν ὁ λογισμὸς, καὶ τοῦ βελτίονος ἀνεπίσκεπτος, οὗτοι ὑπὸ λαιμαργίας ἐν τῷ σαρκίνῳ βίῳ τὴν χρεωστουμένην τῇ φύσει τοῦ ἀγαθοῦ μοῖραν προαναλίσκουσιν, οὐδὲν τῷ μετὰ ταῦτα βίῳ ταμιευόμενοι· οἱ δὲ λογισμῷ διακριτικῷ τε καὶ σώφρονι τὴν ἑαυτῶν οἰκονομοῦντες ζωὴν, ἐν τῷ βραχεῖ τούτῳ βίῳ, διὰ τῶν τὴν αἴσθη-

C σιν λυπούντων ἀνιαθέντες, τῷ ἐφεξῆς αἰῶνι τὸ ἀγαθὸν ταμιεύονται, ὥστε αὐτοῖς τῇ ἀϊδίῳ ζωῇ τὴν κρείττω λῆξιν συμπαρατείνεσθαι. τοῦτο οὖν ἐστὶν, ὥς γε ὁ ἐμὸς λόγος, τὸ χάσμα, ὃ οὐχὶ γῆς διαχθείσης γίνεται, ἀλλ' ἡ παρὰ τὸν βίον κρίσις πρὸς τὰς ἐναντίας προαιρέσεις διαχωρισθεῖσα ποιεῖ. ὁ γὰρ ἅπαξ τὸ ἡδὺ κατὰ τὸν βίον τοῦτον ἑλκόμενος, καὶ μὴ θεραπεύσας ἐκ μεταμελείας τὴν ἀβουλίαν, ἄβατον ἑαυτῷ μετὰ ταῦτα τὴν τῶν ἀγαθῶν χώραν ἐργάζεται, τὴν ἀδιάβατον ταύτην ἀνάγκην, κα-

D θάπερ τι βάραθρον ἀχανές τε καὶ ἀπαρόδευτον καθ' ἑαυτοῦ διορύξας. διό μοι δοκεῖ καὶ τὴν ἀγαθὴν τῆς ψυχῆς κατάστασιν, ἐν ᾗ τὸν τῆς ὑπομονῆς ἀθλητὴν ἀναπαύει ὁ λόγος, κόλπον τοῦ Ἀβραὰμ ὀνομάσαι. πρῶτος γὰρ οὗτος ὁ πατριάρχης τῶν πώποτε γεγονότων ἱστόρηται τὴν ἐλπίδα τῶν μελλόντων τῆς ἀπολαύσεως τῶν παρόντων ἀνταλλαξάμενος,

ὅς γε πάντων γυμνωθεὶς, ἐν οἷς ἦν αὐτῷ κατ' ἀρχὰς ἡ ζωὴ, ἐν ἀλλοτρίοις εἶχε τὴν δίαιταν, διὰ τῆς παρούσης κακοπαθείας τὴν ἐλπιζομένην εὐκληρίαν ἐμπορευόμενος. ὥσπερ οὖν τὴν ποιὰν τοῦ πελάγους περιγραφὴν ἐκ καταχρήσεως τινὸς ὀνομάζομεν κόλπον, οὕτω δοκεῖ τῶν ἀμετρήτων ἐκείνων ἀγαθῶν τὴν ἔνδειξιν ὁ λόγος τῷ τοῦ κόλπου διασημαίνειν ὀνόματι, ᾧ πάντες οἱ δι' ἀρετῆς τὸν παρόντα διαπλέοντες βίον, ὅταν ἐντεῦθεν ἀπαίρωσιν, ὥσπερ ἐν ἀκαταχλείστῳ λιμένι τῷ ἀγαθῷ κόλπῳ τὰς ψυχὰς ἐνορμίζονται. τοῖς δὲ λοιποῖς ἡ τῶν φαινομένων αὐτοῖς ἀγαθῶν στέρησις φλὸξ γίνεται τὴν ψυχὴν διασμήχουσα, ῥανίδος τινὸς ἐκ τοῦ πελάγους τῶν τοῖς ὁσίοις περικλυζόντων ἀγαθῶν εἰς παραμυθίαν προσδεομένη, καὶ οὐ τυγχάνουσα. γλῶσσαν δὲ καὶ ὀφθαλμὸν, καὶ δάκτυλον, καὶ τὰ λοιπὰ τῶν σωματικῶν ὀνομάτων ἐν τῷ διαλόγῳ τῶν ἀσωμάτων βλέπων, τὸν καταστοχασμὸν, ἢ μὴν ἤδη νοηθέντι περὶ ψυχῆς λόγῳ συμφώνως ἔχειν ὁμολογήσεις, ἐπισκεψάμενος τῶν ῥητῶν τὴν διάνοιαν. ὥσπερ γὰρ ὅλου τοῦ σώματος ἡ τῶν στοιχείων συνδρομὴ ποιεῖ τὴν οὐσίαν· οὕτως εἰκὸς καὶ τῶν ἐν τῷ σώματι μερῶν ἐκ τῆς αὐτῆς αἰτίας συμπληροῦσθαι τὴν φύσιν. εἰ οὖν πρόσεστιν ἡ ψυχὴ τοῖς ἐκ τοῦ σώματος στοιχείοις πρὸς τὸ πᾶν ἀναμιχθεῖσιν, οὐ μόνον τὸ πλήρωμα τὸ εἰς ὅλον τὸ σύγκριμα συνδεδραμηκότων γνωριεῖ, καὶ ἐν αὐτοῖς ἔσται· ἀλλ' οὐδὲ τὴν ἰδιάζουσαν ἑκάστου τῶν μερῶν σύστασιν ἀγνοήσει, διὰ ποίων τῶν ἐν τοῖς στοιχείοις μορίων ἀπετελέσθη τὰ ἐν ἡμῖν μέλη. τὴν οὖν ἐν παντὶ οὖσαν τῷ τῶν στοιχείων πληρώματι, καὶ ἐν τοῖς καθ' ἕκαστον εἶναι, οὐδὲν ἔξω τοῦ εἰκότος ἐστίν· καὶ οὕτω πρὸς τὰ στοιχεῖα τις βλέπων, οἷς ἐνυπάρχει τῇ δυνάμει τὰ καθ' ἕκαστον μέλη τοῦ σώματος, δάκτυλόν τε περὶ αὐτὴν εἶναι καὶ ὀφθαλμὸν καὶ γλῶσσαν, καὶ τὰ ἄλλα πάντα μετὰ τὴν διάλυσιν τοῦ συγκρίματος τὴν γραφὴν λέγειν ὑπονοοῖ, τοῦ εἰκότος οὐχ ἁμαρτήσεται. εἰ οὖν τὰ καθ' ἕκαστον ἀπάγει τὸν νοῦν τῆς σωματικῆς περὶ τοῦ διηγήματος ὑπολήψεως, εἰκὸς δήπου καὶ τὸν μνημονευθέντα νῦν ᾅδην μὴ τόπον τινὰ οὕτως ὀνομαζόμενον οἴεσθαι,

A qui quidẽ omnibus nudatus, in quibus ei vita ab initio cõſiſtebat, inter alienos conuerſabatur, & domicilium habebat, per afflictiones & incommoda pręſentis vitæ, eam, quæ ſperatur, beatitudinem quærens. Vt igitur certam aliquam pelagi partem circũſcriptam per abuſum quendam, Sinum nominamus, ita mihi ſermo nomine ſinus immenſorum illorum noſtrorum bonorum demonſtrationem ſignificare videtur: in quo ſinu bono omnes, qui per virtutem pręſentis vitæ curſum cõficiunt, cum hinc ſoluerint, tanquam in portu nõ obnoxio fluB ctuũ procellis, animas appulſas ac quaſi ſubductas ſtatuunt. Reliquis autem eorum, quæ bona videntur, eis electio priuatioque, flamma animã perurens exiſtit, guttam aliquã ex pelago bonorum, quibus ſancti affluunt & abundant, ad conſolationẽ deſiderans, & non adipiſcens. Porro cum linguam & oculum & digitum, reliquaque nomina ad corpus pertinẽtia in colloquio incorporeorum animaduertis, ſi verborum ſententiam inſpexeris cum opinione, quam iam per coniecturam dẽ anima mente concepta C expoſuimus, cõuenire non negabis. Vt enim concurſus elementorum totius corporis efficit naturam: ita probabile eſt, etiam partium corporis ex eadem cauſſa compleri naturam. Si igitur anima adeſt elementis ex corpore diſſoluto ad rerum vniuerſam naturam refuſis atque reuerſis, non modò congeriem & complementum eorum quæ ad totam coagmentationem conſtituendam concurrerunt, agnoſcet, & in eis erit: ſed ne peculiarẽ quidem cuiúſque partis conſtitutionem & concretionem ignorabit, per quas nimirum particulas D elementorum membra noſtra abſoluta ſint. Quocirca quæ in vniuerſo elementorum complemento ſit, eam etiam in ſingularibus eſſe, nullo modo à probabilitate ac veriſimilitudine alienum eſt: atque ita ſi quis ſpectet ad elementa, in quibus ſingularia membra corporis inſunt ipſa potentia, atque ſcripturam dicere arbitretur, & digitum, circa ipſam animam eſſe & oculum & linguam, cæteráque omnia etiam poſt diſſolutionem concreti, à probabilitate ac veriſimilitudine non aberrabit. Si igitur ſingularia mentem abducunt ab eo, qui ad corpus refertur, narrationis intellectu, par & conſentaneum nimirum eſt, vt etiam modò memoratum infernum, non locum, qui ſic nominetur, eſſe putemus,

ſed quẽdam vitæ ſtatum incorporeum, qui videri non poſſit, in quo animam vitam degere, à ſcriptura docemur. Atq; etiam aliam in narratione quæ ad diuitem & mendicum pertinet, certam firmámque diſcimus ſententiam, quæ magnam cum iis, quæ ſcrutati ſumus & excuſſimus, affinitatem habet. Facit illum humanis affectib. ac perturbationibus obnoxium, carniſq. ſtudioſum diuitem, poſteaquàm ex ſua calamitate ſe non poſſe expediri & effugere animaduertit, curam habere eorũ, qui ſuper terram eum gerere cõtingebant: cúmq. Abraham negaſſet, eorum, qui in carne viuerent, vitã prouiſionis expertem eſſe, ſed abundè eis propoſitam eſſe doctrinam atque inſtitutionem legis ac prophetarum: adhuc perſeuerare diuitem inſtantem ac flagitantem, vt ex improuiſo & inopinato credibilis eis prædicatio fieret, quæ ab aliquo, qui ex mortuis reuixiſſet, annuntiaretur. Quęnam igitur in his, inquam, ſententia eſt? Quoniam, inquit, Lazari quidem anima circa præſentia occupata eſt, & ad nullam earum rerum, quas reliquerat, ſeſe conuertit: diues autem tanquã viſco cuidam, carnali vitæ etiam poſt mortem adhuc adhæret: quam nec cum viuere quidem deſijſſet, penitus exuerat. ſed adhuc ei curæ caro & ſanguis erat (per hoc enim, quòd rogat, vt illi, qui communione generis eum contingebant, malis eximerentur, perſpicuum eſt, quòd nondum carnali affectu exolutus erat) per has, inquit, narrationes exiſtimamus cẽſere Dominum, quòd oporteat eos, qui in carne viuunt, quàm maximè ſecundum virtutem viuendo, quodãmodo ſeparari & expediri ab affectu carnis, ne poſt mortem alia morte rurſus opus habeamus, quæ reliquias carnalis glutinis ſeparet, excernat & expurget: ſed tanquã vinculis circum animam ruptis, nulla corporea moleſtia eam ad ſeſe attrahente, celer & expeditus ei curſus ad bonum contingat. Nam ſi quis mente carnalis penitus totus redditus fuerit, & omni animi motu atque efficientia in voluntatibus carnis occupetur, is nec ſi extra carnem quidem euaſerit, ab affectibus ac perturbationibus eius recedit: ſed quemadmodum illi, qui in fœtidioribus locis diutius cõmorati ſunt, nec ſi in purum quidem, ſuauem & amœnum aërem tranſierint, integri ac vacui ſunt ab illo ingrato & iniucundo odore,

A ἀλλά τινα κατάστασιν ζωῆς ἀειδῆ καὶ ἀσώματον, ἣν τὴν ψυχὴν ἐμβιοτεύειν παρὰ τῆς γραφῆς ἐκδιδασκόμεθα. ἀλλὰ καὶ ἕτερον ἐν τῷ κατὰ τὸν πλούσιον καὶ πτωχὸν διηγήματι δόγμα μανθάνομεν. ὃ πολλὴν ἔχει πρὸς τὰ ἐξητασμένα τὴν οἰκειότητα. ἐποίησεν ἐκεῖνον τὸν ἐμπαθῆ καὶ φιλόσαρκον, ἐπειδὴ τὸ ἄφυκτον εἶδε τῆς περὶ ἑαυτὸν συμφορᾶς, φροντίδα τῶν ὑπὲρ γῆς αὐτῷ κατὰ τὸ γένος προσηκόντων ἔχειν, καὶ τοῦ Ἀβραὰμ εἰπόντος μὴ ἀπρονόητον εἶναι τὸν τῶν ἐν σαρκὶ ζώντων βίον, ἀλλὰ κατ' ἐξουσίαν προ-

B κεῖσθαι αὐτοῖς τὴν ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν χειραγωγίαν. ἔτι παραμένειν προσλιπαροῦντα τὸν δίκαιον, ὅπως ἂν ἐκ τοῦ παραδόξου πιθανὸν αὐτοῖς τὸ κήρυγμα γένοιτο ὑπό τινος, ἐκ τῶν νεκρῶν ἀναβεβιωκότος καταγγελλόμενον. τί οὖν, εἶπον, ἐν τούτοις ἐστὶ τὸ δόγμα; ἐπειδή, φησί, τοῦ μὲν Λαζάρου πρὸς τοῖς παροῦσιν ἄσχολός ἐστιν ἡ ψυχή, καὶ πρὸς οὐδὲν τῶν καταλειφθέντων ἑαυτὴν ἐπιστρέφει. ὁ δὲ πλούσιος οἱονεὶ ἰξῷ τινι τῇ σαρκίνῃ ζωῇ καὶ μετὰ θάνατον ἔτι προσίσχεται, ἣν οὐ-

C δὲ παυσάμενος τοῦ ζῆν καθαρῶς ἀπεδύσατο, ἀλλ' ἔτι αὐτῷ διὰ φροντίδος ἐστὶν ἡ σὰρξ καὶ τὸ αἷμα. δι' ὧν γὰρ τοὺς κοινωνοῦντας αὐτῷ τοῦ γένους ἐξαιρεθῆναι τῶν κακῶν δεῖται, δῆλός ἐστι μήπω τῆς σαρκικῆς ἐκλυθεὶς προσπαθείας. ἐκ τούτων, φησί, τῶν διηγημάτων οἰόμεθα τοῦτο δογματίζειν τὸν κύριον, τὸ δεῖν ὅτι μάλιστα τοὺς ἐν σαρκὶ βιοτεύοντας, διὰ τῆς κατ' ἀρετὴν ζωῆς χωρίζεσθαί πως καὶ ἀπολύεσθαι τῆς πρὸς αὐτὴν σχέσεως, ἵνα μετὰ τὸν θάνατον μὴ πάλιν ἄλλου θανάτου δεώμεθα τὰ λεί-

D ψανα τῆς σαρκώδους κόλλης ἀποκαθαίροντος· ἀλλὰ καθάπερ δεσμῶν τινων τὴν ψυχὴν περιρραγέντων, κοῦφος αὐτῇ καὶ ἄνετος ὁ πρὸς τὸ ἀγαθὸν γένηται δρόμος, οὐδεμιᾶς αὐτὴν σωματικῆς ἀλγηδόνος πρὸς ἑαυτὴν ἀφελκούσης. ὡς εἴ τις ὅλος δι' ὅλου ἀποσαρκωθείη τῇ διανοίᾳ. πᾶσαν ψυχῆς κίνησίν τε καὶ ἐνέργειαν ἐν τοῖς θελήμασι τῆς σαρκὸς ἀσχολῶν ὁ τοιοῦτος, οὐδὲ τῆς σαρκὸς ἔξω γενόμενος τῶν καθ' αὐτὴν παθημάτων χωρίζεται, καθάπερ οἱ ἐπὶ πλέον ἐνδιατρίψαντες τοῖς δυσωδεστέροις τῶν τόπων. οὐδὲ εἰ πρὸς τὸν εὔπνουν ἀέρα μετέλθοιεν καθαρεύουσι τῆς ἀηδίας,

ἣν διὰ τῆς χρονιωτέρας ἐν αὐτῇ διαγωγῆς ἀνεμίξατο· οὕτως οὐδὲ πρὸς τὸν ἀειδῆ καὶ ἀθέατον βίον τῆς μεταβολῆς γινομένης, δυνατὸν ἂν εἴη τοὺς φιλοσάρκους μὴ ἀφέλκεσθαί τι πάντως τῆς σαρκικῆς δυσωδίας, δι' ὧν πλέον αὐτοῖς ἡ ὀδύνη βαρύνεται, ὑλωδεστέρας ἐκ τοιαύτης περιστάσεως τῆς ψυχῆς γινομένης. δοκεῖ δέ πως πρὸς τοιαύτην ὑπόληψιν συνᾴδειν ὃ παρά τινων λέγεται. πολλάκις ὁρᾶσθαι τὰ περὶ τῶν σωμάτων θήκας, σκιοειδῆ τινα τῶν κατοιχομένων φαντάσματα. εἰ γὰρ τοιόν τι γίνεται, οὕτως ἐλέγχεται τῆς ψυχῆς ἡ πέρα τοῦ δέοντος γινομένη νῦν πρὸς τὸν σαρκώδη βίον προσπάθεια, ὡς μηδὲ ἐξωσθεῖσαν τῆς σαρκὸς καθαρῶς αὐτὴν ἐθέλειν ἀφίπτασθαι, μηδὲ συγχωρεῖν τὴν παντελῆ γίνεσθαι πρὸς τὸ ἀειδὲς τοῦ σχήματος μεταποίησιν· ἀλλὰ παραμένειν ἔτι τῷ εἴδει μετὰ τὸ λυθῆναι τὸ εἶδος, καὶ ἔξω γενομένην ἤδη τούτου πόθῳ τοῖς τῆς ὕλης ἐπιπλανᾶσθαι τόποις, καὶ περὶ αὐτοὺς ἀναστρέφεσθαι. ἐγὼ δὲ μικρὸν ἐπισχὼν καὶ ἀναλαβὼν τὴν τῶν εἰρημένων διάνοιαν, δοκεῖ μοι εἶπον, τοῖς περὶ παθῶν προεξητασμένοις ἀνακύπτειν ἐκ τῶν εἰρημένων τὶς ἐναντίωσις. Εἰ γὰρ ἐκ τῆς πρὸς τὰ ἄλογα συγγενείας ἐνομίσθη τὰ τοιαῦτα τῆς ψυχῆς ἐν ἡμῖν ἐνεργεῖσθαι κινήματα, ὅσα προσλαβὼν ὁ λόγος ἀπηριθμήσατο, θυμόν τε καὶ φόβον, καὶ ἡδονὴν καὶ ἐπιθυμίαν, καὶ τὰ τοιαῦτα· εἴρηται δὲ τὴν μὲν ἀγαθὴν τῶν τοιούτων χρῆσιν ἀρετὴν εἶναι· διὰ δὲ τῆς ἐσφαλμένης τὴν κακίαν γίνεσθαι, προσέθηκε δὲ ὁ λόγος ἑκάστου τι τῶν ἄλλων τὴν πρὸς τὸν κατ' ἀρετὴν βίον συνεισφορὰν, ὅτι δι' ἐπιθυμίας πρὸς τὸν Θεὸν ἀναγόμεθα, οἷόν τινα σειρὰν κάτωθεν πρὸς αὐτὸν ἀνελκόμενοι· δοκεῖ πως, ἔφην, ἐναντιοῦσθαι πρὸς τὸν σκοπὸν ὁ λόγος. πῶς τοῦτο λέγεις; φησίν. ὅτι τι, εἶπον, τῆς ἀλόγου πάσης κινήσεως μετὰ τὴν κάθαρσιν ἐν ἡμῖν ἀποσβεσθείσης, οὐδὲ τὸ ἐπιθυμητικὸν πάντως ἔσται· τούτου δὲ μὴ ὄντος οὐδ' ἂν ἡ τοῦ κρείττονος ἔφεσις εἴη, μηδενὸς ὑπολειφθέντος τῇ ψυχῇ τοιούτου κινήματος, τοῦ πρὸς τὴν ὄρεξιν τῶν ἀγαθῶν ἐπεγείροντος. ἀλλὰ πρὸς τοῦτό φησιν, ἐκεῖνο φα-

A quem propter diuturniorum in eo commorationem contraxerunt: ita ne tum quidem, cum carnalis vita, cum ſubtili & inuiſibili cõmutata fuerit, fieri poſſit, quin carnis amantes prorſus attrahant aliquid ex graucolentia atque fœtore carnali. Vnde grauior eis dolor exiſtit, cùm ex huiuſmodi circumſtãtia anima magis materialis euaſerit. Videtur autẽ aliquo modo cum huiuſmodi opinione concinere atque conuenire, quod ſæpenumerò à nonnullis dicitur: conſpici videlicet circa conditoria atque repoſitoria corporum vmbratilia quædam ſpe- B ctra mortuorum. Nam ſi reuera ita ſit, argumentum eſt, animam vltra modum nunc in hac vita fuiſſe erga carnalem vitam affectam, adeò vt ne carne quidem extruſa planè ab ea velit auolare; neque concedere, vt abſoluta figura ad id, quod conſpici non poteſt, & formæ expers eſt, tranſmutatio fiat: ſed circa ſpeciem poſtquã ſpecies diſſoluta fuerit etiam nunc maneat, & cùm iam extra eam euaſerit, deſiderio materiæ locis oberret, circúmque ea verſetur atque vagetur. Ego verò paulULum commo- C ratus, repetita ſententia eorum, quæ dicta erant: videtur, inquam, mihi ex iis quæ modò dicta ſunt, exiſtere quiddam cõtrarium iis, quæ de affectibus ac perturbationibus antea excuſſa atque examinata ſunt. Nam ſi ex ea, quæ cum brutis eſt, cognatione, tales in nobis animæ motus effici putantur, quales ſuperior enumerauit oratio, irã videlicet & metum, & cupiditatem, & voluptatem, cæteráque eiuſdemmodi: atqui dictum eſt, bonum quidẽ horum vſum virtutem eſſe, per prauum verò, vitium exiſtere: adiecit item oratio cùm cæte- D rorum ad eam vitam quæ cum virtute tranſigeretur, contributionem, & adiumentum, cum quòd per concupiſcentiam ad Deum tollimur atque erigimur, veluti cathena quadam ex inferiori loco ſurſum ad eum attracti: videtur nimirum, inquam, aliquo modo oratio ſibi contraria eſſe atque propoſito aduerſari. Quopacto hoc dicis? inquit magiſtra. Quoniam omni rationis experte, inquam, motu poſt purgationem in nobis extincto, ne concupiſcendi quidẽ vis prorſus erit: qua deficiente, nuſquam boni deſiderium fuerit, cùm nullus eiuſmodi motus animæ relictus ſit qui excitet ad appetitum bonorum. At aduerſus hoc, inquit, illud dicimus,

quòd ſpeculandi ac dijudicandi vis, propria eſt eius animæ partis, quæ Deo ſimilis eſt, quoniam etiam diuinum numen per hæc comprehendimus. Si ergo vel nunc adhibita cura atque diligentia, vel poſthac per ignis purgationem anima noſtra libera fuerit ab ea coniunctione, qua cum ratione carentibus affectibus coaluit atque concreuit, nulla re ad boni & honeſti contemplationem impedietur. Bonũ autem & honeſtum eam vim ex ſui natura habet, vt quicquid in illud intueatur, id ad ſe quodãmodo attrahat. Si igitur anima ab omni vitioſitate pura fuerit, in bono & honeſto prorſus erit. Bonum autem & honeſtum ex ſui natura númen diuinum eſt: cum quo per puritatem anima coniunctionem habebit, quippe cum proprio cohærens atque coaleſcens. Si igitur hoc acciderit, non amplius cupiditatis motus opus erit, qui nobis præeat ac dux ſit ad id, quod bonum & honeſtum eſt. Nam qui in tenebris vitam degit, is lucem deſiderauerit, qui ſi in lucem peruenerit, eaque frui ac potiri cœperit, concupiſcere atque deſiderare deſinet. Facultas enim atque poteſtas potiendi atque fruendi vanam & inutilem efficit cupiditatem. Quocirca per hęc nullum detrimentum accidet ad boni participationẽ, ſi rurſus ad ſeſe anima reuerſa, ac plenè ſeſe noſcens qua natura prædita ſit, & velut in ſpeculo & imagine per propriam pulchritudinem ad principalem reſpiciens, à talibus motibus libera fuerit. In hoc enim verè licet dicere plenam & abſolutam eſſe diuini numinis ſimilitudinem, nempe ſi anima noſtra quodammodo ſuperam rerúmq. vniuerſarum præſidem naturam imitetur. Nam natura quæ ſuperat omnem intellectum, procul ab iis, quæ in nobis cernuntur, ſita, alio quodãmodo ſuam exigit vitam, & non quemadmodum nos nunc, dum viuimus, agimus. Nam homines quidem propterea quòd prorſus in motu ſemper natura eſt, quocumque impetus voluntatis inclinauerit, illò rapimur: cùm non ſimiliter anima ab anteriore ſui parte (vt aliquis dixerit) atque à poſteriore affecta ſit. Nam ſpes quidem præcedit motum, qui vlterius tendit atq. progreditur: memoria verò excipit atque ſubſequitur motum ad ſpem progrediẽtem, ac ſi quidem ad id, quod natura bonum & honeſtum eſt, ſpes animam ducat, iucundum quaſi veſti-

A μὲν, ὅτι τὸ θεωρητικόν τε καὶ διακριτικὸν ἴδιόν ἐστι τοῦ θεοειδοῦς τῆς ψυχῆς, ἐπεὶ δὲ τὸ θεῖον ἐν τούτοις καταλαμβάνομεν. εἰ τοίνυν εἴτε ἐκ τῆς νῦν ἐπιμελείας, εἴτε ἐκ τῆς μετὰ ταῦτα καθάρσεως ἐλευθέρα γένοιτο ἡμῖν ἡ ψυχὴ τῆς πρὸς τὰ ἄλογα τῶν παθῶν συμφυΐας, οὐδὲν πρὸς τὴν τοῦ καλοῦ θεωρίαν ἐμποδισθήσεται. τὸ γὰρ καλὸν ἑλκτικόν πως ἐστὶ κατὰ τὴν ἑαυτοῦ φύσιν παντὸς τοῦ πρὸς ἐκεῖνο βλέποντος. εἰ οὖν πάσης κακίας ἡ ψυχὴ καθαρεύσειεν, ἐν τῷ καλῷ πάντως ἔσται. καλὸν δὲ τῇ ἑαυτοῦ φύσει τὸ θεῖον πρὸς ὃ διὰ τῆς καθαρότητος τὴν συ-
B νάφειαν ἕξει τῷ οἰκείῳ συναπτομένη. Εἰ οὖν τοῦτο γένοιτο, οὐκέτι ἔσται χρεία τῆς κατ' ἐπιθυμίαν κινήσεως, ἡ πρὸς τὸ καλὸν ἡγεμονευούσης. ὁ γὰρ ἐν σκότει τὴν διαγωγὴν ἔχων, οὗτος ἐν ἐπιθυμίᾳ τοῦ φωτός ἔσται. Εἰ δὲ ἐν τῷ φωτὶ γένοιτο, τὴν ἐπιθυμίαν ἐκδέξεται ἡ ἀπόλαυσις, ἡ δὲ ἐξουσία τῆς ἀπολαύσεως ἀργὴν καὶ ἕωλον τὴν ἐπιθυμίαν ἐργάζεται. Οὐκοῦν οὐδεμία τις ἔσται διὰ τούτων ζημία πρὸς τὴν τοῦ ἀγαθοῦ μετουσίαν, εἰ τῶν τοιούτων
C ἡ ψυχὴ κινημάτων ἐλευθέρα γένοιτο, πρὸς ἑαυτὴν πάλιν ἐπανελθοῦσα, καὶ ἑαυτὴν ἀκριβῶς εἰδυῖα, οἵα τῇ φύσει ἐστὶ, καὶ οἷον ἐν κατόπτρῳ καὶ εἰκόνι διὰ τοῦ οἰκείου κάλλους πρὸς τὸ ἀρχέτυπον βλέπουσα. ἀληθῶς γὰρ ἐν τούτῳ ἐστὶν εἰπεῖν τὴν ἀκριβῆ πρὸς τὸ θεῖον εἶναι ὁμοίωσιν, ἐν τῷ μιμεῖσθαί πως τὴν ἡμετέραν ζωὴν τὴν ὑπερκειμένην οὐσίαν. ἡ γὰρ ὑπεραίρουσα παντὸς νοήματος φύσις πόῤῥω τῶν ἐν ἡμῖν θεωρουμένων ἀφιδρυμένη, ἄλλῳ τινὶ τρόπῳ τὴν ἰδίαν διεξοδεύει ζωὴν, καὶ οὐ καθὼς ἡμεῖς νῦν ἐν τῷ ζῆν ἐσμέν. ἄνθρωποι μὲν γὰρ διὰ
D liebribus corporibus ad virilem vitam tranſire placet: aut contra à virilibus corporibus ſeparatas animas intra mulieres redigi, aut etiam ad viros ex viris trãſire, & ex mulieribus rurſus fieri mulieres: ſed illos, vt eos, qui à veritate aberrauerint, miſſos faciamus. Nam prior quidẽ opinio, non ſolùm quòd & inſtabilis & fallax ſit, reprobata eſt, cum ipſa per ſeſe propter contrarias opiniones euertatur, verum etiã quòd impia eſt, vt quæ tradat, nihil in rerum naturam produci, niſi vitioſitas principium cuiuſque naturæ det. Nam ſi neque homines, neque plantæ; neque pecora, niſi supernè in hæc anima delapſa fuerit, naſcuntur: lapſus autem is propter vitioſitatem fit, vtique

vitium ac nequitiam præeſſe putant rerum creationi. Ac circa idem quodammodo tempus vtraque accidunt, vt & homo ex nuptiis procreetur, & animæ delapſus cum nuptiarũ ſtudio cõueniat & concurrat. Et quod abſurdius eſt, & adhuc magis abhorret à cõmuni ſenſu atque opinione, vere pleraq. animalia rationis experti natura prædita coëunt & coniunguntur. Ergóne dici poteſt, quòd ver efficiat, & ſuperæ quoque reuolutioni atque conuerſioni vitioſitas innaſcatur? vt cõtingat ſimul & animas vitio compleri atque delabi, & vteros brutorũ animantium concipere? Quid autẽ dixerit aliquis de agricola reſectos & auulſos plãtarum ſurculos in terram defigente? quo pacto manus huius vnà cum planta animam humanã terra obruit atque defodit, cõcurrente cum hominis ſtudio plantandi defluxione pennarum, quibus anima ſpolietur? Eadem item abſurditas eſt, etiam in altera opinione, ſiquis putet animas coitus eorũ, qui in coniugio viuunt, explorare atque rimari, vel pariendi tempus obſeruare, vt in corpora naſcentia ſeſe inſinuent. Quòd ſi vir nuptias recuſauerit, mulier item ſe ab neceſſitate pariendi liberauerit: an non animam vitioſitas grauabit? Quocirca nuptiæ ſuperæ vitioſitati anſam & occaſionẽ aduerſus animas dant: aut etiã abſque nuptiis affectus aduerſus id quod contrarium eſt, animam inuadit. Ergo domicilio carens interim & vagabunda anima oberrabit, cùm è cœleſtibus quidem defluxerit & exciderit, corporis verò (ſi ita acciderit) receptaculi expers ſit. Et quomodo deinde per hæc præeſſe rebus vniuerſis diuinũ numen in animum inducent, qui huic fortuitæ & ratione carenti animorũ delapſioni principia vitæ humanę aſſignant? Prorſus enim neceſſe eſt, vt id quod principium cõſequitur, etiam cum ipſo conueniat. Si enim à caſu aliquo temerario vita alicuius initium ceperit, fortuitus etiã omnino curſus & exitus eius exiſtit. Ac ſtultè & ineptè atque abſurdè ab diuina potentia tales homines res vniuerſas pendere volunt, qui non voluntate diuina res mũdanas produci ac prouenire dicunt, ſed ad prauum quendam caſum referunt principia eorum, quæ naſcuntur, quaſi vita humana conſtitui & conflari non potuiſſet, niſi vitiũ occaſionem & initium vitæ dediſſet. Quocirca ſi principiũ vitæ tale eſt, conſequentia

A καταρχὴν οἴονται τὴν κακίαν τῆς τῶν ὄντων συστάσεως. καὶ πῶς συμβαίνει κατὰ τὸν αὐτὸν χρόνον ἀμφότερα, καὶ ἄνθρωπον ἐκ γάμου φύεσθαι, καὶ τῆς ψυχῆς τὴν κατάπτωσιν τῇ τοῦ γάμου συμβαίνειν σπουδῇ, καὶ τὸ ἔτι τούτου παραλογώτερον, εἰ ἔαρι τὰ πολλὰ τῆς ἀλόγου φύσεως συνδυάζεται. ἆρ' οὖν ἐστὶν εἰπεῖν, ὅτι καὶ τῇ ἄνω περιφορᾷ τὸ ἔαρ ἐμφύεσθαι, τὴν κακίαν ποιεῖ; ὥστε συμβαίνειν ὁμοῦ τι τοῦ κακοῦ τὰς ψυχὰς πληρουμένας πίπτειν, καὶ τὰς γαστέρας τῶν ἀλόγων κυΐσκεσθαι; τί δ' ἂν εἴπῃ τις περὶ τοῦ γεωπόνου τοῦ καταπηγνύντος τῇ γῇ, B τὰς τῶν φυτῶν ἀποσπάδας; πῶς ἡ τούτου χεὶρ συγκατώρυσσε τῷ φυτῷ τὴν ἀνθρωπίνην ψυχὴν, συντρεχούσης πτερορρυήσεως, τῇ τοῦ ἀνθρώπου πρὸς τὴν φυτείαν ὁρμῇ. τὸ αὐτὸ τοίνυν ἄτοπον καὶ ἐπὶ τοῦ ἑτέρου τῶν λόγων ἐπὶ τὸ οἴεσθαι τὴν ψυχὴν τὰς συνόδους ἐν συζυγίᾳ ζώντων περιεργάσασθαι, ἢ τὰς λοχείας ἐπιτηρεῖν, ἵνα τοῖς φυομένοις σώμασιν ἐπεισκριθῶσιν. Εἰ δὲ ἀπείποι ὁ ἀνὴρ τὸν γάμον, ἡ δὲ γυνὴ ἑαυτὴν τῆς τῶν ὠδίνων ἀνάγκης ἐλευθερώσειεν· ἆρ' οὐ βαρύσει τὴν ψυχὴν ἡ κακία; C οὐκοῦν ὁ γάμος τῇ ἄνω κακίᾳ τὸ κατὰ τῶν ψυχῶν ἐνδόσιμον δίδωσιν, ἢ καὶ δίχα τούτου καθάπτεται τῆς ψυχῆς ἡ πρὸς τὸ ἐναντίον σχέσις. οὐκοῦν ἄοικος ἐν τῷ μέσῳ καὶ ἀλῆτις ἡ ψυχὴ πεπλανήσεται, τῶν μὲν οὐρανίων ἀπορρυεῖσα· σώματος δὲ ἂν οὕτω τύχοι πρὸς ὑποδοχὴν ἀμοιρήσασα. εἶτα καὶ πῶς διὰ τούτων ἐπιστατεῖν τὸ θεῖον τῶν ὄντων ὑπονοήσουσι, τῇ τυχαίᾳ ταύτῃ καὶ ἀλόγῳ τῶν ψυχῶν καταπτώσει τὰς ἀρχὰς τῆς ἀνθρωπίνης ἀνατιθέντες ζωῆς; ἀνάγκη γὰρ πᾶσα τῇ ἀρχῇ καὶ τὰ μετὰ ταύτην συμφώνως ἔχειν. εἰ γὰρ ἐκ συντυχίας αὐτομάτου τι- D νὸς ὁ βίος ἤρξατο, τυχαία πάντως καὶ ἡ καθ' αὐτὸν διέξοδος γίνεται. καὶ μάτην τῆς θείας δυνάμεως οἱ τοιοῦτοι τὰ ὄντα ἐξάπτουσιν, οἱ μὴ βουλήματι θείῳ τὰ ἐν τῷ κόσμῳ φύεσθαι λέγοντες, ἀλλ' εἰς πονηράν τινα συντυχίαν τὰς ἀρχὰς τῶν γινομένων ἀνάγοντες, ὡς οὐκ ἂν συστάσης τῆς ἀνθρωπίνης ζωῆς μὴ τοῦ κακοῦ δόντος τῇ ζωῇ τὸ ἐνδόσιμον. εἰ δὲ ἡ ἀρχὴ τοῦ βίου τοιαύτη

δηλαδὴ καὶ τὰ ἐφεξῆς κατὰ τὴν ἀρχὴν κι- A
νηθήσεται. οὐ γὰρ ἄν τις ἐκ κακοῦ καλὸν, οὐδὲ
ἐξ ἀγαθοῦ τὸ ἐναντίον φύεσθαι λέγοι. ἀλλὰ
κατὰ τὴν τοῦ σπέρματος φύσιν, καὶ τοὺς καρποὺς
ἀναμένομεν. οὐκοῦν πάσης τῆς ζωῆς ἡ αὐτό-
ματος αὕτη καὶ συντυχικὴ κίνησις ἡγεμονεύει,
μηδεμιᾶς προνοίας διὰ τῶν ὄντων οἰχούσης.
ἄχρηστος δὲ παντάπασι καὶ ἡ τῶν λογισμῶν ἔσται
προμήθεια· τῆς δὲ ἀρετῆς κέρδος οὐδὲν, καὶ
πρὸς τὸ κακὸν ἀλλοτρίως ἔχειν αὐτ' οὐδενὸς
ἂν εἴη. πάντα γὰρ πάντως ἐπὶ τῷ φέροντι
κείσεται, καὶ οὐδὲν ὁ βίος διοίσει τῶν ἀκυβερνή- B
των πλοίων, ταῖς αὐτομάτοις συντυχίαις, οἷόν
τισι κύμασιν, ἄλλη τε πρὸς ἄλλην καλῶν
ἢ φαύλων συντυχίαν μεθορμιζόμενος. οὐ γὰρ
ἔστι τὸ ἐξ ἀρετῆς ἐγγενέσθαι κέρδος, ἧς ἡ φύ-
σις ἐκ τῶν ἐναντίων τὴν ἀρχὴν ἔχει. εἰ μὲν
γὰρ θεόθεν οἰκονομεῖται ἡμῶν ἡ ζωὴ, τὸ δὲ κα-
κίαν καθάρχειν τῆς ζωῆς ἡμῶν συνομολογεῖ-
ται. εἰ δὲ δι' ἐκείνης φυόμεθα, πάντα τε καὶ
πάντως κατ' αὐτὴν βιοτεύσομεν. λῆρος οὖν
διὰ τούτων ἀποδειχθήσεται, τὰ μετὰ τὸν τῆδε
βίον δικαιωτήρια· καὶ ἡ πρὸς ἀξίαν ἀνταπόδο- C
σις, καὶ ὅσα ἄλλα πρὸς ἀναίρεσιν τῆς κακίας λέ-
γεται καὶ πεπίστευται. πῶς γὰρ δυνατὸν ἔξω ταύ-
της εἶναι τὸν ἄνθρωπον τὸν δι' ἐκείνης φύντα;
πῶς δὲ καὶ ὁρμή τις ἐγγένοιτο προαιρετικὴ τῷ
ἀνθρώπῳ πρὸς τὸν κατ' ἀρετὴν βίον, οὗ ἡ
φύσις ἐκ κακίας, ὡς λέγουσι, τὴν ἀρχὴν ἔχει;
ὡς γὰρ οὐκ ἐπιχειρεῖ τι τῶν ἀλόγων ἀνθρωπι-
κῶς φθέγξασθαι, τῇ δὲ συντρόφῳ καὶ κατὰ φύ-
σιν κεχρημένα φωνῇ, οὐδεμίαν ἡγεῖται ζη-
μίαν ἀμοιροῦντα τοῦ λόγου, κατὰ τὸν αὐτὸν τρό- D
πον, καὶ οἷς κακία νομίζεται εἶναι τῆς ζωῆς ἀρ-
χὴ καὶ αἰτία, οὐκ ἂν εἰς ἐπιθυμίαν ἔλθοιεν
τῆς ἀρετῆς, ὡς ἔξω τῆς φύσεως αὐτῶν οὔσης.
ἀλλὰ μὴν πᾶσι τοῖς κεκαθαρμένοις ἐκ λο-
γισμῶν τὴν ψυχὴν διὰ σπουδῆς τε καὶ
ἐπιθυμίας ὁ κατ' ἀρετὴν βίος ἐστίν. ἄρα
διὰ τούτων σαφῶς ἀποδείκνυται, τὸ μὴ πρε-
σβυτέραν εἶναι τῆς ζωῆς τὴν κακίαν, μήτ' ἐκεῖ-
θεν τὰς πρώτας ἀρχὰς ἐσχηκέναι τὴν φύσιν·
ἀλλὰ καταρχεῖν ἡμῶν τῆς ζωῆς τὴν τὸ πᾶν

quoque nimirũ ſicuti principium mo-
uebuntur. Non enim aliquis dixerit, ex
malo bonũ, neque ex bono contrarium
naſci. Sed prout fuerit ſeminis natura,
ita fructus quoq. expectare ſolem⁹. Ergo
temerarius hic atque fortuitus motus
omni vitæ præerit atque præibit, nulla
prouidentia per res vniuerſas pertinẽte
atque permeante. Inutilis item prorſus
erit rationibus nixa prudentia, cautio
atque cura: virtutis emolumentum nul-
lum: & à vitio integrũ & alienum eſſe,
pro nihilo ducetur. Nam omnia prorſus
in poteſtate remerè rapiẽtis & auferen-
tis fortunæ ſita erunt: neque vita quic-
quam differet à nauibus gubernatore
carentibus, armamentorúm ve experti-
bus, quæ fortuitis caſibus tanquã flucti-
bus quibuſdam aliàs ad alium bonorum
malorúm ve caſum quaſi traijciatur atq.
traducatur. Non enim lucrum, quod ex
virtute contingit, ineſſe poteſt iis, quo-
rum natura ex cõtrario principium ha-
bet. Nam ſiquidẽ vita noſtra diuinitùs
gubernatur, dubium non amplius eſſe
poterit, quin vitioſitas vitæ noſtræ non
præſit. Sin autem per vitium ac nequi-
tiã naſcimur, penitus ac prorſus vitioſè
ac nequiter viuemus. Quocirca nugæ
ac deliramenta per hæc eſſe demonſtra-
buntur poſt hanc vitam futura iudicia:
& pro merito compenſatio atque remu-
neratio, & quæcũque alia ad tollendam
vitioſitatẽ dicuntur & creduntur. Nam
qui fieri poteſt, vt homo nequitiæ vitií-
que expers ſit, qui per vitioſitatẽ natus
ſit? quomodo item alacritas animi quæ-
dam ſtudiúmque ad vitam cum virtute
agendã homini innaſci poſſit, cuius na-
tura à vitioſitate, vt aiunt, principium
habet? Vt enim nullũ ex brutis anima-
libus hominum more loqui conatur, ac
naturali cõſuetáque, & in qua innutrita
ſunt voce vtentia, nihil ſibi detrimenti
accidiſſe putãt, ſi orationis ac ſermonis
expertia ſint: eodem modo etiã illi, qui
vitium ac nequitiã exiſtimant eſſe prin-
cipium & cauſſam vitę, ad expetendam
virtutem, vtpotè quę extra naturam eo-
rum ſit, adduci nõ poſſint. Atqui omnes
qui rationibus animã purgatam habẽt,
vitam quæ cum virtute trãſigatur, ſum-
mo ſtudio appetunt atq; concupiſcunt.
Ergo per hoc apertè demonſtratur, vi-
tioſitatem vita antiquiorem non eſſe: neque illinc primam originem naturam
habuiſſe: ſed vitæ noſtræ authorem & cauſſam eſſe ſapientiam Dei, quæ rerum na-

turam vniuerſam adminiſtrat atque gubernat. Cùm autẽ anima, quemadmodum creatori placet, in rerum naturam prouenerit, tunc ad arbitriũ eam eligere, quod placeat atque cordi ſit, & quicquid per facultatẽ eligendi arbitrarium eſſe voluerit, id etiã euadere. Hanc autem ſententiam diſcere poſſimus ab ſimilitudine oculi, qui vt videat, quidem à natura habet: vt autem non videat, ex arbitrio ac præcedente voluntate, vel etiam ex vitio atque calamitate. Pro natura enim aliquando fieri poteſt etiam id, quod præter naturam eſt, aut voluntate ſua oculos aliquo claudente, aut ex infortunio atque calamitate vſu oculorum adempto. Ita dici poteſt de anima, à Deo quidem eam conditã atque creatam eſſe, ac cùm nulla vitioſitas circa diuinum numen animaduertatur, eam extra vitioſitatis eſſe neceſſitatem. Cùm autem hac conditione creata ſit, ſua voluntate atque arbitrio duci eam, quò viſum fuerit, aut ex libera voluntate ad bonum & honeſtũ oculos claudentem, aut ex inſidiis vitæ noſtræ cohabitantis hoſtis, vitium & iacturam oculorum ſuſtinentem, & in fraudis tenebris viuentem: aut etiã ex contrario purè in veritatem intuẽtem procul à tenebroſis affectibus & vitiis abeſſe. Quando igitur dicet aliquis eam naſci, aut quomodo? Atque ea quidem quæſtio, qua ſcire deſideratur, qua ratione vnaquæque res facta ſit, ex oratione penitus eximenda eſt. Neque enim de iis, quæ nobis animaduerſu cognitúque facilia & expedita ſunt, quorum perceptionem per ſenſum adipiſcimur, fieri poſſit, vt ratio ſcrutatrix & inquiſitrix, quomodo id quod apparet, in rerum naturam productum ſit, animaduertat atq. cognoſcat, adeò vt nec ſpiritu quidẽ ac numine diuino raptis & afflatis ſanctíſque viris id comprehenſibile eſſe exiſtimetur. Fide enim intelligimus cõpoſita ac perfecta eſſe ſecula verbo Dei, inquit Apoſtolus, vt non ex apparentibus ea, quæ conſpiciuntur atque cernũtur, facta eſſe intelligantur. Non, vt opinor, hoc dicturus, ſiquidem per ratiocinationes, id quod quæritur, cognoſci poſſe putaret. Sed quòd voluntate quidem diuina, tum ipſum ſeculum, tum omnia, quæ ex illo facta ſunt, compoſita atque perfecta ſint (quodcumque tandem etiam ſeculum eſt, cũ quo vnà intelligitur omnis & viſibilis & inuiſibilis creatura) hoc ſe credere dicit Apoſtolus: ſed quomodo cõpoſita atque perfecta ſint, ſcrutari atque inueſtigare præ-

Rom. 1.

A οἰκονομοῦσαν τὴν Θεοῦ σοφίαν. ἐλθοῦσαν δὲ εἰς γένεσιν τὴν ψυχὴν κατὰ τὸν ἀρέσκοντα τρόπον τῷ κτίσαντι, τότε καὶ ἐξουσίαν αὐτὴν αἱρεῖσθαι, τὸ κατὰ γνώμην ἐκ τῆς προαιρετικῆς δυνάμεως, ὅπερ ἂν ἐθέλει τοῦτο καὶ γινομένην· μάθοιμεν δ' ἂν τὸν λόγον ἐκ τοῦ τῶν ὀφθαλμῶν ὑποδείγματος· ᾧ τὸ μὲν ὁρᾶν ἐστὶν ἐκ φύσεως, τὸ δὲ μὴ ὁρᾶν ἐκ προαιρέσεως ἢ καὶ πάθους. γένοιτο γὰρ ἄν ποτε καὶ τὸ παρὰ φύσιν ἀντὶ τῆς φύσεως, ἢ ἑκουσίως τινὸς τὸν ὀφθαλμὸν μύοντος, ἢ ἐκ πάθους στερηθέντος τῆς ὄψεως. B οὕτως ἔστιν εἰπεῖν, καὶ τῇ ψυχῇ θεόθεν μὲν εἶναι τὴν σύστασιν, μηδεμιᾶς δὲ νοουμένης περὶ τὸ θεῖον κακίας, ἔξω τῆς κατ' αὐτὴν ἀνάγκης εἶναι· γινομένην δὲ οὕτως τῇ ἰδίᾳ γνώμῃ πρὸς τὸ δοκοῦν ἄγεσθαι, ἢ ἐκ προαιρέσεως πρὸς τὸ καλὸν ἐπιμύουσαν, ἢ ἐξ ἐπιβουλῆς τοῦ συνοικοῦντος ἡμῶν τῇ ζωῇ πολεμίου τὸν ὀφθαλμὸν βλαπτομένην, καὶ ἐν τῷ τῆς ἀπάτης βιοτεύουσαν σκότει, καὶ τὸ ἔμπαλιν καθαρῶς πρὸς τὴν ἀλήθειαν βλέπουσαν, πόῤῥω γίνεσθαι τῶν σκοτεινῶν παθημάτων. C ποτὲ οὖν ἐρεῖ τις γινομένην, καὶ πῶς; ἀλλὰ τὴν μὲν ζήτησιν τὴν περὶ τοῦ πῶς τὰ καθ' ἕκαστον γέγονεν, ἐξαιρετέον πάντη τοῦ λόγου. οὔτε γὰρ περὶ τῶν προχείρων ἡμῖν εἰς κατανόησιν, ὧν τὴν ἀντίληψιν δι' αἰσθήσεως ἔχομεν, δυνατὸν ἂν γένοιτο, τῷ διερευνωμένῳ λόγῳ, τὸ πῶς ὑπέστη τὸ φαινόμενον κατανοῆσαι, ὡς μήτε τοῖς θεοφορουμένοις καὶ ἁγίοις ἀνδράσι τὸ τοιοῦτον ληπτὸν νομισθῆναι. πίστει γὰρ νοοῦμεν, φησὶν ὁ ἀπόστολος, κατηρτῖσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ εἰς τὸ μὴ ἐμφαινομένων D τὰ ὁρώμενα γεγονέναι, οὐκ ἂν ὡς οἶμαι τοῦτο εἰπών, εἴπερ ᾤετο γνωστὸν εἶναι διὰ τῶν λογισμῶν τὸ ζητούμενον. ἀλλ' ὅτι μὲν θελήματι θείῳ κατηρτῖσθαι αὐτός τε ὁ αἰών, καὶ πάντα ὅσα ἐν αὐτῷ γεγένηται· ὁστισοῦν ἂν εἴη οὗτος ὁ αἰών, ᾧ συνθεωρεῖται πᾶσα ὁρατή τε καὶ ἀόρατος κτίσις, τοῦτο πεπιστευκέναι φησὶν ὁ ἀπόστολος· τὸ δὲ πῶς ἀφῆκεν ἀδιερεύνη-

τον. οὐδὲ γὰρ ἐφικτὸν τὸ τοιοῦτον οἶμαι τοῖς ἀναζητοῦσιν εἶναι, πολλὰς ἀμηχανίας τοῦ περὶ τούτων ζητήματος ἡμῖν προδεικνύντος· πῶς ἐκ τῆς ἑστώσης φύσεως τὸ κινούμενον; ἐκ τῆς ἁπλῆς τε καὶ ἀδιαστάτου τὸ διαστηματικόν τε καὶ σύνθετον; ἆρα ἐξ αὐτῆς τῆς ὑπερκειμένης οὐσίας; ἀλλ' οὐχ ὁμολογεῖ τὸ ἑτερογενὲς ἔχειν πρὸς ἐκείνην τὰ ὄντα, ἀλλ' ἑτέρωθεν πόθεν; καὶ μὴν οὐδὲν ἔξωθεν τῆς θείας φύσεως ὁ λόγος βλέπει. ἢ γὰρ ἂν διαχωρισθείη πρὸς διαφόρους ἀρχὰς ἡ ὑπόληψις, εἴ τι τῆς ποιητικῆς αἰτίας ἔξω νομισθείη, παρ' οὗ ἡ τεχνικὴ σοφία, τὴν πρὸς τὴν κτίσιν παρασκευὰς ἐρανίζεται. ἐπεὶ οὖν ἓν μὲν τῶν ὄντων τὸ αἴτιον, οὐχ ὁμογενῆ δὲ τῇ ὑπερκειμένῃ φύσει τὰ δι' ἐκείνης παραχθέντα εἰς γένεσιν· ἴσως δὲ καθ' ἑκάτερον ἐν τοῖς ὑπονοουμένοις ἡ ἀτοπία, τό τε ἐκ τῆς φύσεως τοῦ Θεοῦ τὴν κτίσιν οἴεσθαι, καὶ τὸ ἐξ ἑτέρας τινὸς οὐσίας ὑποστῆναι τὰ πάντα· ἢ γὰρ κατὰ τὸ θεῖον ἐν τοῖς τῆς κτίσεως ἰδιώμασιν εἶναι ὑπονοηθήσεται, εἴπερ ὁμογενῶς πρὸς τὸν Θεὸν ἔχοι τὰ γεγονότα· ἤ τις ὑλικὴ φύσις ἔξω τῆς θείας οὐσίας ἀντεξαχθήσεται τῷ Θεῷ κατὰ τὸ ἀγέννητον τῇ ἀϊδιότητι τοῦ ὄντος παρισουμένη· ὅπερ δὴ καὶ Μανιχαῖοι φαντασθέντες, καί τινες τῆς Ἑλληνικῆς φιλοσοφίας ταῖς ἴσαις ὑπονοίαις συνενεχθέντες, δόγμα τὴν φαντασίαν ταύτην πεποίηνται. ὡς ἂν μάλιστα οὖν ἐκφύγωμεν τὴν ἀφ' ἑκατέρου ἀτοπίαν ἐν τῇ ζητήσει τῶν ὄντων, κατὰ τὸ τοῦ ἀποστόλου ὑπόδειγμα, ἀπολυπραγμόνητον τὸν λόγον τὸν περὶ τοῦ, πῶς ἕκαστον ἐστὶν, καταλείψομεν, τοσοῦτον παρασημειούμενοι μόνον, ὅτι ἡ ὁρμὴ τῆς θείας προαιρέσεως, ὅταν ἐθέλῃ, πρᾶγμα γίνεται, καὶ οὐσιοῦται τὸ βούλευμα εὐθὺς ἡ φύσις γινόμενον, τῆς παντοδυνάμου ἐξουσίας, ὅπερ ἂν σοφῶς τε καὶ τεχνικῶς ἐθέλῃ, μὴ ἀνυπόστατον ποιούσης τὸ θέλημα. ἡ δὲ τοῦ θελήματος ὕπαρξις οὐσία ἐστί. διχῆ δὲ διακρινομένων τῶν ὄντων, εἰς τὸ νοερόν τε καὶ σωματικόν· ἡ μὲν τῶν

A termiſit. Neque enim arbitror, id quemquam inueſtigando aſſequi atque comprehẽdere poſſe, cùm multas nobis quęſtio de his rebus prima fronte difficultates ac perplexitates oſtendat: quo pacto ex conſiſtente ac ſtabili natura id quod mouetur, extiterit? itẽ ex ſimplici pariter id quod dimenſionis interualliſque obnoxium & cõpoſitũ eſt? nunquid ex ipſa ſuprema natura? at non conceditur neque conſtat, propterea quod diuerſi generis ab illa res cæteræ ſint, an aliũde alicunde? Atqui nihil extra diuinã naturam ratio cernit. Nam ſciſſa nimirum B ac diuiſa eſſet opinio in principia diuerſa, ſi quid extra cauſſam effectricem eſſe exiſtimaretur, à quo artificioſa ſapiẽtia apparatus ad creandum ſumeret & corrogaret. Quoniã igitur vna quidem rerum vniuerſarũ cauſſa eſt, nec eiuſdem cũ ſuprema natura generis ſunt ea, quæ per illam procreata ſunt: par nimirum vtriuſque opinionis abſurditas eſt, ſiue quis putet ex natura Dei creaturã, ſiue ex alia quapiam eſſentia res cunctas in rerum naturã productas eſſe: aut enim numen quoque diuinũ proprietatibus C naturæ præditum eſſe exiſtimabitur, ſi quidẽ eiuſdem cũ Deo generis ſunt ea, quæ facta atque creata ſunt: aut aliqua natura materialis extra diuinã eſſentiã aduerſus Deum introducetur, & cum eo cõparabitur, quę ratione non genitæ proprietatis, cum ſempiternitate eius qui eſt, adæquetur: quòd nimirũ etiam Manichæi imaginati, & nõnulli ex Gręcanica ſapientia eiſdem opinionibus aſſenſi, pro certa ſtabilíque ſententia hanc imaginationem habuerũt. Vt ergo maximè effugiamus & euitemus eam, quæ ex vtraque parte exiſtit abſurditatem in D quæſtione de rebus vniuerſis, exemplo Pauli, rationem, quomodo vnumquódque creatũ ſit, explorare atque ſcrutari prætermittamus, tantùm obiter dumtaxat indicantes, quòd motu diuinæ voluntatis ac deſtinationis, cùm voluerit, res fit, & voluntas ad eſſentiam & affectum redigitur, protinus naturam euadens: quia quodcúmq. diuina poteſtas ſapienter pariter & artificioſè voluerit, ad voluntatem vanam, inefficacem & abſque effectu eſſe non patitur. Voluntatis autem exiſtentia atque ſubſtantia, eſſentia eſt. Cùm autem bifariam diuiſæ ſint res vniuerſæ, tum in intellectuale (quod quum mente ſola conſtat & intelligens eſt, tum mente ſola atque intelligentia cernitur & comprehenditur) tum in corporale;

intellectualium quidem creatura non videtur aliquo modo diſcrepare ac diuerſa eſſe ab incorporei natura, ſed eſſe ex propinquo, quippe cùm id, quod viſum & tactum, dimenſionē atque interuallum effugit, oſtendat. Quod vtique ſi quis etiam de ſuprema natura ſuſpicetur, non errabit. Porrò cùm corporea creatura inter eas proprietates, quę nullam cum diuino numine cōmunionem habent, ſpectetur atque conſideretur: eaque potiſſimum magnā illam difficultatem ac perplexitatē rationi ingeneret, quæ ratio perſpicere atque animaduertere non poteſt, quo pacto ex inuiſibili extiterit id quod videtur? ex eo, quod tactum effugit, ſolidum atque durum? ex indefinito definitum? ex eo, quod & quantitatis & magnitudinis expers eſt, id quod omnino menſuris quibuſdam, quæ per quātitatem intelliguntur, continetur? & quæcumque alia ſingulatim circa corpoream naturam comprehendūtur (de quibus tantùm dicimus, quòd nihil earum rerū, quæ circa corpus conſiderantur, per ſeſe corpus eſt, non figura, non color, non grauitas & pondus, non dimenſio atque interuallum, non quantitas: non aliud quicquam prorſus eorum, quæ per qualitatē comprehenduntur, aut intelliguntur: ſed vnūquódque horū ratio atque proportio eſt: horum autem inter ſeſe concurſus atque vnitio, corpus fit.) Quoniam igitur eæ qualitates, ex quibus corpus conſtat, mente, non ſenſu comprehenduntur, atque intellectuale ac mente conſtans, mentéque comprehenſibile, numen diuinum eſt: quid negotij eſt ei, quod & mente conſtat, & intelligentia comprehenditur, efficere ea quę mente cernuntur & intelliguntur? quorum inter ipſa concurſus corporis nobis generauit naturam. Sed hæc quidē extra propoſitum obiter examinata, explicata atque excuſſa ſint. Quæſtio autem erat, an non animæ antè corpora extiterint, & in rerum naturam productæ ſint? quando, & quomodo exiſtant? atque idcirco eam quęſtionem, quomodo hæ exiſterent, vt quam aſſequi atque expedire nō poſſet, curioſè inueſtigare atq; ſcrutari oratio noſtra prætermiſit. Reſtat autem ſecundum ea, quæ antehac examinauimus, vt quæratur, quando animæ principia ſui ortus & exiſtentiæ habeant? Nam ſi datum fuerit, quòd ante corpus in peculiari quadam ſtatione anima viuat: omnino neceſſe eſt, vt abſurdas illas ſententias & fictas opiniones eorum, qui propter vitioſitatem animas in corpora deduci volunt, vires habere

A νοερὰν κτίσις οὐ δοκεῖ πως ἀπᾴδειν τῆς τοῦ ἀσωμάτου φύσεως, ἀλλ' ἐκ τοῦ συνεγγὺς εἶναι τὸ ἀειδές τε καὶ ἀναφὲς καὶ ἀδιάστατον ἐνδεικνῦσα. ὅπερ δὴ καὶ περὶ τὴν ὑπερκειμένην φύσιν ὑπονοῶν τις οὐχ ἁμαρτήσεται. τῆς δὲ σωματικῆς κτίσεως ἐν ἀκοινωνήτοις ὡς πρὸς τὸ θεῖον τοῖς ἰδιώμασι θεωρουμένης· καὶ ταύτην μάλιστα τὴν πολλὴν ἀμηχανίαν ἐμποιούσης τῷ λόγῳ, μὴ δυναμένου κατιδεῖν, πῶς ἐκ τοῦ ἀοράτου τὸ ὁρώμενον; ἐκ τοῦ ἀναφοῦς τὸ στερρὸν καὶ ἀντίτυπον· ἐκ τοῦ ἀορίστου τὸ ὁρισμένον, ἐκ τοῦ ἀπόσου τε καὶ ἀμεγέθου τὸ πάντως
B μέτροις τισὶ τοῖς κατὰ τὸ ποσὸν θεωρουμένοις περιειργασμένον; καὶ τὰ καθ' ἕκαστον ὅσα περὶ τὴν σωματικὴν καταλαμβάνεται φύσιν, περὶ ὧν τοσοῦτον φαμέν, ὅτι οὐδὲν ἐφ' ἑαυτοῦ τῶν περὶ τὸ σῶμα θεωρουμένων σῶμά ἐστιν, οὐ σχῆμα, οὐ χρῶμα, οὐ βάρος, οὐ διάστημα, οὐ πηλικότης· οὐκ ἄλλο τι τῶν ἐν ποιότητι θεωρουμένων οὐδέν· ἀλλὰ τούτων ἕκαστον λόγος ἐστίν· ἡ δὲ πρὸς ἄλληλα συνδρομὴ τούτων καὶ ἕνωσις σῶμα γίνεται. ἐπεὶ οὖν αἱ συμπληρωματικαὶ τοῦ σώματος ποιότητες νῷ κα-
C ταλαμβάνονται) καὶ οὐκ αἰσθήσει, νοερὸν δὲ τὸ θεῖον, τίς πόνος τῷ νοητῷ τὰ νοήματα κατεργάσασθαι; ὧν ἡ πρὸς ἄλληλα συνδρομὴ τὴν τοῦ σώματος ἡμῖν ἀπογεννήσει φύσιν. ἀλλὰ ταῦτα μὲν ἔξω τοῦ προκειμένου παρεξετάσθη. τὸ δὲ ζητούμενον ἦν, εἰ προϋφεστήκασιν αἱ ψυχαὶ τῶν σωμάτων; ποτέ, ἢ πῶς γίνονται; καὶ τούτου χάριν ἡμῖν περὶ τοῦ πῶς ζήτησιν ὡς ἀνέφικτον οὖσαν ἀπολυπραγμόνητον ἀφῆκεν ὁ λόγος. περὶ τοῦ ποτὲ τὰς ἀρχὰς αἱ ψυχαὶ τῆς ὑπάρξεως ἔχουσιν, ὡς ἀκόλουθον ἐν τοῖς προεξητασμένοις ζητεῖν καταλείπεται.
D Εἰ γὰρ δοθείη τὸ πρὸ τοῦ σώματος ἐν ἰδιαζούσῃ τινὶ καταστάσει τὴν ψυχὴν βιοτεύειν· ἀνάγκη πᾶσα τὰς ἀτόπους ἐκείνας δογματοποιΐας ἰσχὺν ἔχειν νομίζειν τῶν διὰ κακίας τὰς ψυχὰς εἰσοικιζόντων τοῖς σώμασιν.

μασι. ἀλλὰ μὴν ἐφυστερίζειν τὰς ψυχὰς A
τὴν γένεσιν, καὶ νεωτέρας τῆς τῶν σωμάτων
εἶναι συμπλάσεως, οὐδεὶς ἂν τῶν εὖ φρονούν-
των ὑπονοήσειεν· φανεροῦ πᾶσιν ὄντος, ὅτι οὐ-
δὲν τῶν ἀψύχων κινητικήν τε καὶ αὐξητικὴν ἐν
αὐτῷ δύναμιν ἔχει· τῶν δὲ ἐν νηδύϊ ἐντρε-
φομένων, οὔτε ἡ αὔξησις, οὔτε ἡ τοπικὴ κίνη-
σις ἐστὶν ἀμφίβολος. λείπεται οὖν μίαν καὶ τὴν
αὐτὴν ψυχῆς τε καὶ σώματος ἀρχὴν τῆς συ-
στάσεως οἴεσθαι. καὶ ὥσπερ τῆς ῥίζης τὴν ἀ-
ποσπάδα λαβοῦσα παρὰ τῶν γεηπόνων ἡ γῆ
δένδρον ἐποίησεν, οὐκ αὐτὴ τὴν αὐξητικὴν ἐν- B
θεῖσα τῷ τρεφομένῳ δύναμιν, ἀλλὰ μόνον
τὰς πρὸς τὴν αὔξησιν ἀφορμὰς ἐνιεῖσα τῷ
ἐγκειμένῳ· οὕτω φαμὲν, καὶ τὸ ἐκ τοῦ ἀν-
θρώπου ἀποσπώμενον πρὸς ἀνθρώπου φυ-
τείαν, καὶ αὐτὸ τρόπον τινὰ ζῶον εἶναι ἐξ ἐμ-
ψύχου ἔμψυχον, ἐκ τρεφομένου τρεφόμενον. εἰ
δὲ μὴ πάσας τὰς τῆς ψυχῆς ἐνεργείας καὶ κι-
νήσεις ἡ βραχύτης τῆς ἀποσπάδος ἐχώρησε, θαυ-
μαστὸν οὐδέν. οὐδὲ γὰρ ἐν τῷ σπέρματι σῖτος
εὐθὺς κατὰ τὸ φαινόμενον στάχυς ἐστί· πῶς γὰρ
τοσοῦτον ἐν τοσούτῳ χωρήσειεν; ἀλλὰ τῆς γῆς αὐ-
τὸν ταῖς καταλλήλοις τιθηνουμένης τροφαῖς, στά- C
χυς ὁ σῖτος γίνεται, οὐκ ἐξαλλάσσων ἐν τῇ βώλῃ
τὴν φύσιν, ἀλλ' ἐμφαίνων ἑαυτὸν καὶ τελειῶν
τῇ τῆς τροφῆς ἐνεργείᾳ. ὥσπερ οὖν ἐπὶ τῶν φυο-
μένων σπερμάτων κατὰ λόγον ἡ αὔξησις ἐπὶ τὸ τέ-
λος πρόεισι, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς ἀνθρω-
πίνης συστάσεως, πρὸς λόγον τῆς σωματικῆς πο-
σότητος, καὶ ἡ τῆς ψυχῆς διαφαίνεται δύναμις.
πρῶτον μὲν διὰ τοῦ θρεπτικοῦ καὶ αὐξητι-
κοῦ τοῖς ἔνδοθεν πλασσομένοις ἐγγινομένη. μετὰ
ταῦτα δὲ τὴν αἰσθητικὴν χάριν τοῖς εἰς φῶς
προελθοῦσιν ἐπάγουσα, εἶθ' οὕτω, καθάπερ
τινὰ καρπὸν, αὐξηθέντος ἤδη τοῦ φυτοῦ μετρίως D
τὴν λογικὴν ἐμφαίνουσα δύναμιν, οὐ πᾶσαν
κατὰ τὸ ἀθρόον, ἀλλὰ τῇ ἀναδρομῇ τοῦ φυτοῦ
δι' ἀκολούθου προκοπῆς συναυξανομένην. ἐπεὶ
τοίνυν τὸ ἐκ τῶν ἐμψύχων εἰς ἀφορμὴν ἐμψύχου
συστάσεως ἀποσπώμενον, νεκρὸν εἶναι οὐ δύναται·

putemus. Enimuerò poſteriorem eſſe
originem animarum, ipſáſque recentio-
res eſſe corporum compoſitione, nemo
ſana mente præditus in animum indu-
xerit: cùm manifeſtum ac perſpicuum
ſit omnibus, quòd nihil ex inanimis ha-
beat in ſeſe vim mouendi pariter atque
creſcendi. At eorum, qui in vtero nu-
triuntur, neque augmentum & in-
crementum, neque de loco ad locum
motus controuerſus & ambiguus eſt.
Relinquitur igitur, vt putemus, vnum
& idem animæ & corporis conſtitutio-
nis principium eſſe. Ac quemadmo-
dum terra ſi ſurculum ab radice auul-
ſum, ab agricolis acceperit, arborem
inde efficit, non ipſa vim augeſcendi
ei, quod nutritur inijciens, ſed incre-
menti duntaxat materiam atque ſubſi-
dium ſibi inſito immittens: ita dicimus
etiam id, quod ex homine auellitur ad
hominis ſationem, ipſum quoq. aliquò
modo animal eſſe, ex animato animatū;
ex eo quod nutritur id quod nutritur.
Quòd ſi non omneis animæ efficien-
tias pariter ac motus exiguitas ſurculi
auulſi capere potuit, nihil mirum.
Neque enim in ſemine frumentum;
quod quidem appareat, protinus ſpica
eſt (nam quo pacto tantum in tantillo
locum habere poterit?) ſed terra fru-
mentum conuenientibus & aptis nu-
triente alimentis, in ſpicam frumentum
euadit, non immutans in gleba natu-
ram, ſed exercens ac prodens, & abſo-
lutum ac perfectum ſeſe reddens auxi-
lio nutrimenti. Quemadmodum igitur
in naſcentibus ſeminibus incrementum
paulatim ad perfectionem progreditur:
eodem modo in hominum quoque for-
matione atque conſtitutione pro ra-
tione ac proportione corporeæ magni-
tudinis, animæ quoque potentia ap-
paret atque elucet: primùm quidem
per vim alendi ſimul atque augendi iis,
quæ in vtero effinguntur, ſeſe inſinuans
atque innaſcens: poſt hæc verò donum
ſentiendi in lucem productis inducens,
atque ita deinceps quaſi fructum quen-
dam, aucta iam planta mediocriter
exerens ac prodens ratione præditam
vim, non vniuerſam ſimul in vnum
conductam repentè, ſed vnà cum ſur-
gente & excreſcente planta, per conſen-
taneum & competentem progreſſum
atque profectum creſcentem & augeſcentem. Quoniam igitur, id quod ab anima-
tis ad materiam & cauſſam animati conſtitutionis auellitur, mortuum eſſe non poteſt

Σχόλιον. *Vnde nec redit quidē vnquā priuatio ad habitū: veluti cæcitas ad viſum. Cōtrà namque habit⁹, priuatione antiquior eſt, ac ſolet eam priuatio mutare.*

(mortalitas enim per animæ priuationem fit: non autem priuatio habitum anticipauerit) ex his deprehendimus, communem & in vnum idémque tempus collatum ingreſſum & aditum ad eſſentiam patefieri ei coagmentationi atque coalitioni, quæ ex ambobus (corpore ſcilicet & anima) conſtat & coaleſcit: neque hoc prius exiſtente, neque illa poſterius accedente. Porrò ratio neceſſariò futurum præuidet, vt aliquãdo incrementum animarum numeri conſiſtat, nec vlterius progrediatur, ne perpetuò fluat natura, ſemper in eas, quæ aliæ poſt alias exiſtant, manans vlterius, ac nunquã moueri deſinens. Cauſſam autem cur noſtrã quoque prorſus aliquando naturam ſtabilẽ fieri oporteat, hanc eſſe putamus, quòd cùm omnis natura, quæ ſenſus effugiens mente ſola comprehenditur, in ſuo cõplemento ac plenitudine conſiſtat, probabile ac par eſt, humanum quoque aliquando genus ad finem eſſe peruenturũ (nam ne hoc quidem ab ea natura, quæ non ſenſu, ſed mente cernitur, alienum eſt) ne ſemper in defectu conſpici exiſtimetur. Nam aliorum poſt alia ſubinde exiſtentium ſemper acceſſio arguit naturam eſſe imperfectã. Cùm igitur genus humanum ad ſuam plenitudinem peruenerit, conſiſtet omnino fluxus hic naturæ motus, quippe neceſſarium finem aſſequutus: atque alius quidã ſtatus vitam excipiet, diuerſus ab eo, qui nunc per generationem atque corruptionem inuicem exigitur. Vbi enim ortus & generatio non erit, omnino neceſſe eſt, vt ne ſit quidẽ, quod intereat & corrumpatur. Nam ſi diſſolutionem cõpoſitio præcedit (compoſitionem autẽ dicimus, acceſſum per generationẽ) omnino cõſequitur, quòd non præcedente compoſitione, nec diſſolutio quidem ſequatur. Ergo ſtabilis quędã, ac diſſolutionis expers poſt hanc futura (prout cedere par eſt) vita præſignatur, quæ neque per ortũ, neque per interitum immutetur. Ego vero, cùm hæc magiſtra expoſuiſſet, ac pleriſque eorum, qui adſidebant, conuenientem fidẽ oratio adepta eſſe videretur, veritus ne, ſi ex morbo magiſtræ humanitus aliquid accideret (quod nimirũ etiã accidit) nõ amplius eſſet, qui diſſolueret ea, quæ ab externis nobis de reſurrectione obijcitur: Nondũ, inquã, id quod eſt maximè propriũ atque præcipiuũ, maximéque ad rem pertinet ex iis, quæ circa hanc ſententiã atque doctrinã quæruntur, attigit oratio.

A ἡ γὰρ νεκρότης κατὰ ψυχῆς στέρησιν γίνεται· οὐκ ἂν δὴ προλάβοι τὴν ἕξιν ἡ στέρησις, ἐκ τούτων καταλαμβανόμενοι τὸ κοινὸν τῆς ἐξ ἀμφοτέρων συνισταμένου συγκρίματι, τὴν εἰς τὸ εἶναι πάροδον γίνεσθαι, οὔτε τούτου προτερεύοντος, οὔτ᾽ ἐκείνου ἐφυστερίζοντος· στάσιν δέ ποτε τῆς τοῦ ἀριθμοῦ τῶν ψυχῶν αὐξήσεως, ἀναγκαίως προορᾷ ὁ λόγος, ὡς ἂν μὴ διαπαντὸς ῥέοι ἡ φύσις, ἀεὶ διὰ τῶν ἐπιγινομένων ἐπὶ τὸ πρόσω χεομένη, καὶ οὐδέποτε τῆς κινήσεως λήγουσα· τὴν δὲ αἰτίαν τοῦ δεῖν πάντως στάσιμον B ποτὲ καὶ τὴν ἡμετέραν γίνεσθαι φύσιν, ταύτην οἰόμεθα, ὅτι πάσης τῆς νοητῆς φύσεως ἐν τῷ ἰδίῳ πληρώματι ἑστώσης, εἰκὸς ποτε καὶ τὸ ἀνθρώπινον εἰς πέρας ἐλθεῖν. οὐδὲ γὰρ τοῦτο τῆς νοητῆς ἠλλοτρίωται φύσεως, ὡς μὴ παντάπασι δοκεῖν ἐν τῷ λείποντι καθορᾶσθαι. ἡ γὰρ ἀεὶ τῶν ἐπιγινομένων προσθήκη, κατηγορία τοῦ ἐλλείποντος ἔχειν τὴν φύσιν γίνεται. ἐπειδὰν δὲ οὖν εἰς τὸ οἰκεῖον πλήρωμα τὸ ἀνθρώπινον φθάσῃ, στήσεται πάντως ἡ ῥοώδης αὕτη τῆς φύσεως κίνησις, εἰς τὸ ἀναγκαῖον καταντήσασα πέ-C ρας, καί τις ἑτέρα κατάστασις τὴν ζωὴν διαδέξεται, τῆς νῦν ἐν γενέσει καὶ φθορᾷ διεξαγομένης κεχωρισμένη. μὴ οὔσης γὰρ γενέσεως, κατὰ πᾶσαν ἀνάγκην οὐδὲ τὸ φθειρόμενον ἔσται. εἰ γὰρ πρὸ τῆς διαλύσεως σύνθεσις ἄρχεται· σύνθεσιν δὲ φαμὲν τὴν διὰ γενέσεως πάροδον· ἀκόλουθον πάντως μὴ καθηγουμένης τῆς συνθέσεως, μηδὲ τὴν διάλυσιν ἕπεσθαι. οὐκοῦν ἑστῶσά τις καὶ ἀδιάλυτος ἡ μετὰ ταῦτα ζωὴ δι᾽ ἀκολουθίας προφαίνεται, οὔτε ὑπὸ γενέσεως, οὔτε ὑπὸ φθο-D ρᾶς ἀλλοιουμένη. ἐγὼ δὲ ταῦτα διεξελθούσης τῆς διδασκάλου, ἐπειδὴ τοῖς πολλοῖς παρακαθημένοις ἐδόκει τὸ προσῆκον ἐσχηκέναι πέρας ὁ λόγος, φοβηθεὶς μὴ οὐκ ἔτι ὁ διαλύων ἡμῖν τὰ περὶ τῆς ἀναστάσεως παρὰ τῶν ἔξωθεν προφερόμενα, εἴ τι ἐκ τῆς ἀῤῥωστίας ἡ διδάσκαλος πάθοι, ὃ δὴ καὶ ἐγένετο· οὔπω, φημί, τοῦ κυριωτάτου τῶν κατὰ τὸ δόγμα ζητουμένων ὁ λόγος ἥψατο.

φησὶ γὰρ ἡ θεόπνευστος γραφή, κατά τε τὴν νέαν καὶ ἀρχαίαν διδασκαλίαν πάντως ποτὲ τάξει τινὶ καὶ εἱρμῷ τῆς φύσεως ἡμῶν κατὰ τὴν παροδικὴν τοῦ χρόνου κίνησιν διεξιούσης, στήσεσθαι μὲν τὴν ῥοώδη ταύτην φορὰν τὴν διὰ τῆς τῶν ἐπιγινομένων διαδοχῆς προϊοῦσαν· τῆς δὲ τοῦ παντὸς συμπληρώσεως μηκέτι τὴν ἐπὶ τὸ πλέον ἐπαύξησιν προσδεχομένης, ἅπαν τὸ τῶν ψυχῶν πλήρωμα, πάλιν ἐκ τοῦ ἀειδοῦς καὶ ἐσκεδασμένου πρὸς τὸ συνεστὸς καὶ φαινόμενον ἐπανελεύσεσθαι, τῶν αὐτῶν στοιχείων κατὰ τὸν αὐτὸν εἱρμὸν πρὸς ἄλληλα πάλιν ἀναδραμόντων. ἡ δὲ τοιαύτη τῆς ζωῆς κατάστασις, παρὰ τῶν τῆς θείας διδασκαλίας γραφῶν ἀνάστασις λέγεται, τῇ τοῦ γεώδους ἀνορθώσει, πάσης τῆς τῶν στοιχείων κινήσεως συνονομαζομένης. τί οὖν, φησί, τούτων ἀμνημόνευτον ἐν τοῖς εἰρημένοις ἐστίν; αὐτό, φημι, τὸ δόγμα τῆς ἀναστάσεως. καὶ μὴν πολλά, φησι, τῶν νῦν διεξοδικῶς εἰρημένων, πρὸς τοῦτον τὸν σκοπὸν φέρει. οὐ γὰρ οἶδας εἶπον, ὅσον παρὰ τῶν ἀντιτεταγμένων ἡμῖν περὶ τῆς ἐλπίδος ταύτης ἀντιθέσεως ἀνθυποφέρεται σμῆνος; καὶ ἅμα λέγειν ἐπεχείρουν, ὅσα πρὸς ἀνατροπὴν τῆς ἀναστάσεως παρὰ τῶν ἐριστικῶν ἐφευρίσκεται. ἡ δὲ δοκεῖ μοι, φησί, χρῆναι πρότερον τὰ σποράδην παρὰ τῆς θείας γραφῆς περὶ τούτου τοῦ δόγματος ἐντεθέντα δι' ὀλίγων ἐπιδραμεῖν, ὡς ἂν ἐκεῖθεν ἡμῖν ἡ κορωνὶς ἐπιτεθείη τῷ λόγῳ. ἤκουσα τοίνυν τοῦ Δαβὶδ ὑμνολογοῦντος ἐν θείαις ᾠδαῖς, ὅτε τὴν τοῦ παντὸς διακόσμησιν ὑπόθεσιν τοῦ ὕμνου πεποιημένος ἐν ἑκατοστῷ τρίτῳ ψαλμῷ πρὸς τῷ τέλει τῆς ὑμνῳδίας τοῦτο φησίν, ὅτι ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν, ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. πάντα ἐν πᾶσιν ἐνεργοῦσαν τὴν τοῦ πνεύματος δύναμιν, ζωοποιεῖν τε λέγων, οἷς ἂν ἐγγένηται, καὶ ἀφιστᾶν τῆς ζωῆς πάλιν ὧν ἂν ἀπογένηται. ἐπεὶ οὖν τῇ ἀναχωρήσει τοῦ πνεύματος τὴν τῶν ζώντων ἔκλειψιν, τῇ δὲ τούτου παρουσίᾳ τὸν τῶν ἐκλειπόντων ἀνακαινισμὸν γίνεσθαι λέγει. προηγεῖται δὲ κατὰ τὴν τοῦ λόγου τάξιν τῶν ἀνακαινιζομένων ἡ ἔκλειψις.

A Dicit enim diuinitùs prodita ſcriptura, & ſecundum nouam & ſecundum antiquam doctrinam, cùm natura noſtra ordine quodam ac ſerie per trãſitorium & in orbem redeuntem temporis motum, expedita atque explicita fuerit, prorſus aliquando fore, vt fluxus quidem hic curſus per ſucceſſionem & cõtinuationem aliorum poſt alios inuicẽ exiſtentium & exorientium progrediens conſiſtat: complemento autem rerum vniuerſarum naturæ non amplius incrementum in maius admittente, vniuerſam plenitudinem & cœtum animarum B rurſus ex inuiſibili ac diſſipato ſtatu ad eum ſtatum, in quo collectus cõſiſtere, ſtabiliſque permanere atque apparere & conſpici poſſit, rediturum eſſe, iiſdem elementis, per eandem ſeriem rurſus aliis ad alia regreſſis. Talis autẽ vitæ ſtatus ab diuinæ doctrinę ſcripturis Reſurrectio dicitur, ſub nomine eius, quod terreum eſt, erectionis & inſtaurationis omni elemẽtorum motu comprehenſo. Quid igitur horum, inquit, eſt, cuius in ſupradictis mentio facta non ſit? Ipſa, inquam, doctrina reſurrectionis. Atqui C multa, inquit, ex iis quæ nunc fuſè, prolixè atque copioſè dicta ſunt, ad eam pertinent ſententiam. An non noſti, inquam, quantum ab aduerſariis de hac ſpe nobis oppoſitionum & ſubiectionum quaſi examen inferatur? ac ſimul dicere conabar, quæcumque ad euerſionẽ reſurrectionis homines contentioſi comminiſcuntur. At illa, opus eſſe mihi videtur, inquit, ea, quæ paſſim ac ſparſim ab diuina ſcriptura de hac ſententia atque doctrina expoſita ſunt, paucis prius percurrere, vt inde nobis finis orationi imponatur. D Audiui igitur diuinis cantionibus Dauidem laudes Dei prædicantem, cum ſumpta occaſione prædicandi ab rerum vniuerſarum naturæ digeſtione & adminiſtratione in cẽteſimotertio pſalmo circa finem cantionis ita ait: Auferes ſpiritum eorum, & deficient, & in puluerem ſuum conuertentur. Emittes ſpiritum tuum, & creabuntur, & renouabis faciem terræ. *Pſal 103.* Omnia in omnibus operantem virtutem ſpiritus eos, in quibus fuerit, viuificare dicens, contráque vita priuare eos, à quibus abfuerit. Quoniam igitur recedẽte quidem ſpiri tu viuentium defectum; accedente autem eo atque præſente eorum, qui defecerint, renouationem fieri dicit: & in ordine orationis, eorum qui renouantur, defectus præcedit,

hoc ipſo dicimus myſteriū reſurrectionis Eccleſiæ annuntiari, ſpiritu ac munere prophetico hanc gratiam Dauide prædicente. Atque etiā alibi dicit idem
Pſal. 117. hic Propheta, rerum vniuerſarū naturæ Deus, rerum cunctarum Dominus apparuit nobis, vt conſtitueremus feſtum noſtrum inter tegentes & ornantes: feſtum tabernaculorum fixionis indicans per eiuſmodi vocem τ͂ πυκασμοῦ, id eſt, tactionis, & ornationis & compoſitionis: quod olim quidem ex traditione Moſis inſtitutum erat: prophetarum, opinor, more futura legiſlatore prædicēte: cum autem ſemper fieret, nondum factum erat. Nam prçſignificabatur quidem veritas typicè atque figuratè per ænigmata atque inuolucra eorum, quæ fiebant: ipſum autem verum tabernaculorum fixionis feſtum nondum erat: ſed hac de cauſa, iuxta propheticū ſermonē, Deus ſummæ rerum ac dominus ſeipſum oſtendit nobis, vt cōſtitueretur humanæ naturæ diſſoluti noſtri domicilij ſcenopegia, hoc eſt, tabernaculorū fixio, quæ rurſus per coitionem & concurſum elementorum corporaliter componeretur & ornaretur. Amictum enim & ambitum eiúſque cultum & ornatum propria ſignificatione vox πυκασμὸς, id eſt, tectio compoſitióque deſignat. Dictio autem pſalmodiæ ad hunc modum ſeſe habet: Dominus Deus & apparuit nobis ad conſtituendum feſtum inter tegentes & cōponentes vſque ad cornua altaris: quibus verbis per ænigma, hoc eſt, per inuolucra, & quaſi integumenta verborū prædicere mihi videtur, vnum feſtum conſtitui omni ratione præditæ creaturæ, inferioribus vnà cum eminentibus & excellentibus in cœtu & cōuentu bonorū choreas ducentibus. Quandoquidem enim in figurata ac myſtica templi fabricatione non omnibus, qui foris erant, permiſſum erat intra ambitū parietum penetrare, ſed ab ingreſſu prohibebātur quicūque gentiles, & alterius generis & nationis erant: itémque ex iis, qui ingreſſi erant, nō omnes ex æquo ius ad interiorem locum accedendi habebant, niſi puriore quadā victus ratione, ac quibuſdā aſperſionibus eſſent expiati: ac rurſus etiam ex his ipſis non omnibus internū templū ingredi licebat: ſed ſacerdotibus dumtaxat ſacrificandi cauſſa intra velum verſandi ius erat: occultus verò & arcanus templi locus (quē ἄδυτον vocant) in quo altare collocatum cornuum quibuſdam prominentiis adornatum erat,

A τοῦτο ἐκεῖνο φαμὲν τὸ κατὰ τὴν ἀνάστασιν καταγγέλλεσθαι τῇ ἐκκλησίᾳ μυστήριον, τοῦ προφητικοῦ πνεύματι τοῦ Δαβὶδ τὴν χάριν ταύτην προεκφωνήσαντος. ἀλλὰ καὶ ἑτέρωθι φησὶν ὁ αὐτὸς οὗτος προφήτης, ὅτι ὁ τοῦ παντὸς Θεὸς, ὁ τῶν ὄντων κύριος ἐπέφανεν ἡμῖν ἐπὶ τοῦ συστήσασθαι τὴν ἑορτὴν ἐν τοῖς πυκάζουσι, τὴν τῶν σκηνοπηγίων ἑορτὴν διὰ τῆς τοῦ πυκασμοῦ λέξεως ἑρμηνεύων, ἣ πάλαι μὲν ἐκ τῆς παραδόσεως τῆς Μωϋσέως νενόμιστο· προφητικῶς, οἶμαι, τὰ μέλλοντα τοῦ νομοθέτου προαγο-
B ρεύοντος· ἀεὶ δὲ γινομένη, οὔπω ἐγεγόνει. προεδηλοῦτο μὲν γὰρ τοῖς τῶν γινομένων αἰνίγμασι τυπικῶς ἡ ἀλήθεια· αὕτη δὲ ἡ ἀληθὴς σκηνοπηγία οὔπω ἦν· ἀλλὰ τούτου χάριν, κατὰ τὸν προφητικὸν λόγον, ὁ Θεὸς τῶν ὅλων καὶ κύριος ἑαυτὸν ἐπέφανεν ἡμῖν, ὡς ἂν συσταίη τῇ ἀνθρωπίνῃ φύσει ἡ τοῦ διαλυθέντος ἡμῶν οἰκητηρίου σκηνοπηγία, πάλιν διὰ τῆς συνόδου τῶν στοιχείων σωματικῶς πυκαζομένη. τὴν γὰρ περιβολὴν, καὶ τὸν ἐκ ταύτης κόσμον ἡ τοῦ πυκασμοῦ λέξις κατὰ τὴν ἰδίαν ἔμφασιν διασημαί-
C νει. ἔχει δὲ ἡ ῥῆσις τῆς ψαλμῳδίας τοῦτον τὸν τρόπον· Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου· ὅπερ δοκεῖ μοι προαναφωνεῖν δι' αἰνίγματος τὸ μίαν ἑορτὴν πάσῃ τῇ λογικῇ κτίσει συνίστασθαι τῶν ὑποδεεστέρων τοῖς ὑπερέχουσιν ἐν τῇ τῶν ἀγαθῶν συνόδῳ συγχορευόντων. ἐπειδὴ γὰρ ἐν τῇ τυπικῇ τοῦ ναοῦ κατασκευῇ, οὐ πᾶσιν ἐφεῖτο τῆς ἔξωθεν περιβολῆς ἐντὸς γίνεσθαι· ἀλλὰ περικέκριτο τῆς εἰσόδου πᾶν ὅσον ἐθνικὸν καὶ ἀλλό-
D φυλον, τῶν τε αὖ ἐντὸς γινομένων, οὐ μετὰ τὴν ἐκ τοῦ ἴσου πᾶσι τῆς ἐπὶ τὸ ἐνδότερον παρόδου, μὴ τινι καθαρωτέρᾳ διαίτῃ, καί τισι περιῤῥαντηρίοις ἀφαγνισθεῖσι· πάλιν δὲ καὶ ἐν αὐτοῖς τούτοις οὐ πᾶσι βάσιμος ἦν ὁ ἔνδον ναὸς, ἀλλὰ τοῖς ἱερεῦσι μόνοις νόμιμον ἦν κατὰ χρείαν ἱερουργίας ἐντὸς τοῦ καταπετάσματος γίνεσθαι, τὸ δὲ ἀπόκρυφόν τε καὶ ἄδυτον τοῦ ναοῦ, ἐν ᾧ τὸ θυσιαστήριον ἵδρυτο κεράτων τισὶ προβολαῖς κεκαλλωπισμένον, καὶ αὖθις

τοῖς ἱερεῦσιν ἀνεπίβατον ἦν, πλὴν ἑνὸς τοῦ προτεταγμένου τῆς ἱερωσύνης, ὡς ἅπαξ τοῦ ἐνιαυτοῦ κατά τινα νόμιμον ἡμέραν, μόνος ἀπορρητοτέραν τινὰ καὶ μυστικωτέραν προσάγων ἱερουργίαν ἐπὶ τὸ ἐντὸς παρεδύετο. τοσαύτης δὲ οὔσης περὶ τὸν ναὸν τοῦτον διαφορᾶς, ὅτι τις εἰκὼν καὶ μίμημα τῆς νοητῆς ἦν καταστάσεως, τοῦτο τῆς σωματικῆς παρατηρήσεως διδασκούσης, ὅτι οὔτε πᾶσα ἡ λογικὴ φύσις τῷ ναῷ τοῦ Θεοῦ, τουτέστι τῇ ὁμολογίᾳ τοῦ μεγάλου Θεοῦ προσπελάζει· ἀλλ' οἱ πρὸς τὰς ψευδεῖς ὑπολήψεις πεπλανημένοι ἐκτός εἰσι τοῦ θείου περιχοινίσματος. τῶν δὲ διὰ τῆς ὁμολογίας ἐντὸς γεγενημένων προτιμοτέρων τῶν ἄλλων, οἱ περιρραντηρίοις καὶ ἁγνείαις προκαθαιρόμενοι, καὶ τούτων οἱ ἀφιερωθέντες ἤδη τὸ πλέον ἔχουσιν, ὥστε τῆς ἐσωτερικῆς ἀξιοῦσθαι μυσταγωγίας. ὡς δ' ἄν τις ἐπὶ τὸ φανερώτερον προαγάγοι τὴν τοῦ αἰνίγματος ἔμφασιν· ταῦτα ἐστὶ μαθεῖν τοῦ λόγου διδάσκοντος, ὅτι τῶν λογικῶν δυνάμεων, αἱ μέν τινές εἰσιν οἷον τὸ ἅγιον θυσιαστήριον ἐν τῷ ἀδύτῳ τῆς θειότητος καθιδρυμέναι. εἰ δέ τινες πάλιν καὶ τούτων ἐν ἐξοχῇ θεωροῦνται κεράτων δίκην προβεβλημέναι, καὶ ἄλλαι περὶ ἐκείνας κατά τινα τάξεως ἀκολουθίαν πρωτεύουσί τε καὶ δευτερεύουσι. τὸ δὲ τῶν ἀνθρώπων γένος διὰ τὴν ἐγγινομένην κακίαν ἔξω τῆς θείας περιβολῆς ἀπεώσθη· ὅπερ τῷ περιρραντηρίῳ λουτρῷ καθαιρόμενον ἐντὸς γίνεται. ἀλλ' ἐπειδὴ μέλλει ποτὲ τὰ μέσα ταῦτα διαφράγματα λύεσθαι, δι' ὧν ἡμᾶς ἡ κακία πρὸς τὰ ἐντὸς τοῦ καταπετάσματος ἀπετείχισεν· ὅταν σκηνοπηγηθῇ πάλιν διὰ τῆς ἀναστάσεως ἡμῶν ἡ φύσις, καὶ πᾶσα ἡ κατὰ κακίαν ἐγγινομένη διαφθορὰ ἐξαφανισθῇ τῶν ὄντων· τότε κοινὴ συστήσεται ἡ περὶ τὸν Θεὸν ἑορτὴ τοῖς διὰ τῆς ἀναστάσεως πυκασθεῖσιν· ὡς μίαν τε καὶ τὴν αὐτὴν προκεῖσθαι πᾶσι τὴν εὐφροσύνην· μηκέτι διαφορᾶς τινὸς τῆς τῶν ἴσων μετουσίας, τὴν λογικὴν φύσιν διατεμνούσης· ἀλλὰ τῶν νῦν ἔξω διὰ τὴν κακίαν ὄντων ἐντὸς τῶν ἀδύτων τῆς θείας μακαριότητος ποτὲ γενησομένων,

A ipſis ſacerdotibus inacceſſus erat, præterquam vni qui ſacerdotio præpoſitus erat, qui ſemel in anno legitimo quodam, certo atque ſolenni die, ſolus, vt arcanum & reconditum quoddam magis & occultum ſacrificium offerret, introibat. Cùm igitur tanta eſſet circa hoc templum differentia, quòd imago pariter ac ſimulachrum eius, qui mente comprehenditur, ſtatus erat, hoc nimirum docente corporali obſeruatione, quòd non omnis creatura ratione prædita templo Dei, hoc eſt, confeſſioni magni Dei appropinquet: ſed qui falſis opinionibus ac perſuaſionibus ſeducti ſunt, prohibeantur à ſeptis diuinis atq. B cancellis. Ex iis autem, qui per confeſſionem intrò admiſſi fuerint, cæteris anteferantur ac præſtent, qui aſperſionibus, puritate & à venereis abſtinentiâ antè fuerint expiati: atque his illi, qui ſacrificiis deſtinati ſunt, exinde iam meliore conditione ſint, vt interiorum ſacrorum adminiſtratione ac præſulatu digni habeantur: ſed prout aliquis ad euidentiorem ac magis perſpicuam explicationem ęnigmatis atque inuolucri ſignificationem proferre poſſit: hæc diſcere licet docente ratione, quòd ex ratione pręditis virtutibus aliæ quidem veluti ſanctum altare ſint in adyto Dei- C tatis collocatæ: nonnullæ verò rurſus etiam ex his in excellentia conſpiciantur cornuum inſtar prominentes: atque aliæ rurſus circa illas competenti conſentaneóque quodam ordine tum primum tum ſecundum locum obtineant. Genus autem humanum propter vitioſitatem innatam extra parietum diuinorum ambitum ſummoueatur: quod vbi conſperſorio lauachrò expiatum fuerit, intrò mittatur. Sed quoniam hæc in medio oppoſita ſepta, D per quæ vitioſitas nos ab eo loco, qui intra velum eſt, dirimit, aliquando ſoluentur, cùm per reſurrectionem natura noſtra rurſus quaſi tabernaculum fixa, atque omnis per vitioſitatem innata corruptio, ex rerum natura abolita atque ſublata fuerit, tunc iis, qui per reſurrectionem tecti, ornati atque compoſiti fuerint, commune feſtum circa Deum conſtituetur, vt omnibus vna atque eadem lætitia proponatur, nulla amplius differentia ratione præditam naturam à participatione æqui iuris atque eorumdem bonorum dirimente: ſed iis, qui nunc propter vitioſitatem extrà ſunt, tandē aliquando intra adyta diuinæ beatitudinis futuris,

A & cornibus altaris, hoc eſt, excellentibus ſupramundanis virtutibus ſeſe coniuncturis. Quod nimirum apertiùs dicit

Philip.2.

Apoſtolus, vniuerſitatis cum bono concordiam atque conſenſum ſignificans:

Σχόλιον. Quale futurũ ait feſtũ Angelorum & hominũ, vt omnes cõcorditer & cõſentiẽter vnum Deum cõfiteantur. Ergo circa cognitionẽ quidẽ Dei, omnes conſentient & cõcordabũt peccatores & iuſti: verũtamen nõ erunt eiuſdẽ ſtatus (& conditionis (nã vbi iuſtitia?) ſed hi quidẽ regno cœlorũ fruẽtur: illi autẽ, iuxta Apoſtolicã ſententiam, ab hoc arcebuntur.

nempe quòd ei omne genu flectetur cœleſtium, terreſtriũ & infernorum, atque omnis lingua cõfitebitur, quod Dominus Ieſus Chriſtus ſit in gloria Dei patris: pro cornibus quidẽ angelicum atq. cœleſte genus dicens, per reliquos verò eam, quæ poſt illos intelligitur creaturam, nos videlicet ſignificãs, qui omnes in vno concordi atq. conſentienti feſto erimus occupati. Feſtum autem eſt eius, B qui reuera eſt, tum cõfeſſio, tum cognitio. Poſſunt autem, inquit, alia quoque multa ſanctæ ſcripturæ loca colligi ad commendationem & confirmationem eius, quæ circa reſurrectionem doctrina atque ſententia certa ſtabiliſque habetur. Nam & Ezechiel prophetico ſpiritu omne quod in medio tempus eſt, quódque inter hoc intercedit, interuallum transgreſſus, in ipſo articulo ac puncto reſurrectionis prænoſcendi virtute conſiſtit, & futurum, tanquam iam præſens conſpiciens narrando oculis ſubijcit.

Ezech.37.

C Campum enim ingentẽ, & in infinitum & immenſum exporrectũ atque patentem vidit, oſſiúmq. in eo multorum cumulum & aceruum, aliorum alibi, fortuito caſu diſiectorum, quæ deinde diuina potentia ad cognata propriáq. vnà mouerẽtur, & propriis conuenientibúſque compagibus inhæreſcerent: poſtea neruis, carnibus, pellibus integerẽtur & operirentur (quod pſalmodia, tegerentur ſiue corporarẽtur & conſtiparentur per verbum πυκάζεσθαι, dicit) & ſpiritũ viuificantem ſimul & exuſcitantem quicquid iaceret. Porrò Apoſtoli eorũ, quæ D circa reſurrectionem exiſtant, miraculorum deſcriptionem, vt quæ expedita, facilis & in promptu legẽtibus ſit, quid attineat aliquem exponere? quemadmodum cum hortatu quodam, & tubarum ſono, ſcriptura dicat in momento temporis mortuos atque iacentes vniuerſos repentè in immortalis naturæ ſtatum immutatum iri. Quinetiam Euangelicas voces, vt quæ cunctis manifeſtæ ſint, prætermittam. Non enim verbo ſolo Dominus mortuos reſurrecturos eſſe dicit, verumetiam ipſam quoque reſurrectionem repræſentat ac præſtat ab iis, quæ nobis propinquiora ſunt, quibúſve fides minus abrogari ac detrahi poſſit, huius mirifici operis initio facto.

1.Cor.17.
Matth.6.
Luc.7.

A καὶ τοῖς κέρασι τοῦ θυσιαστηρίου, τουτέστι, ταῖς ἐξεχούσαις τῶν ὑπερκοσμίων δυνάμεσιν ἑαυτοὺς συναπτόντων. ὅπερ δὴ γυμνότερον φησὶν ὁ ἀπόστολος, τὴν τοῦ παντὸς πρὸς τὸ ἀγαθὸν συμφωνίαν διερμηνεύων· ὅτι αὐτῷ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός· ἀντὶ μὲν τῶν κεράτων λέγων τὸ ἀγγελικόν τε καὶ ἐπουράνιον, διὰ δὲ τῶν λοιπῶν σημαίνων τὴν μετ' ἐκείνους νοουμένην κτίσιν ἡμᾶς, εἰς πάντες μία τε σύμφωνος ἑορτὴ καταχρατήσει. B ἑορτὴ δέ ἐστιν ἡ τοῦ ὄντως ὄντος ὁμολογία τε καὶ ἐπίγνωσις. ἔστι δέ, φησι, καὶ ἄλλα πολλὰ τῆς ἁγίας γραφῆς πρὸς σύστασιν τοῦ κατὰ τὴν ἀνάστασιν δόγματος ἀναλέξασθαι. ὅτε γὰρ Ἐζεκιὴλ τῷ προφητικῷ πνεύματι τὸν ἐν τῷ μέσῳ πάντα χρόνον, καὶ τὸ ἐν τούτῳ διάστημα ὑπερβάς, ἐπ' αὐτοῦ ἵσταται τοῦ καιροῦ τῆς ἀναστάσεως τῇ προγνωστικῇ δυνάμει καὶ τὸ ἐσόμενον ὡς ἤδη τεθεαμένος ὑπ' ὄψιν ἄγει τῷ διηγήματι. πεδίον μέγα καὶ εἰς ἄπειρον εἶδε διηπλωμένον, ὀστέων σωρείαν ἐπὶ τούτῳ πολλήν, ἄλ- C λων ἀλλαχῇ πρὸς τὸ συμβὰν διερριμμένων. εἶτα θείᾳ δυνάμει πρὸς τὰ συγγενῆ καὶ ἴδια συγκινουμένων, καὶ ταῖς οἰκείαις ἁρμονίαις ἐμφυομένων. εἶτα νεύροις καὶ σαρξὶ καὶ δέρμασι καλυπτομένων· ὅπερ ἡ ψαλμῳδία πυκαζομένων λέγει· καὶ πνεῦμα ζωοποιοῦν τε καὶ διεγεῖρον ἅπαν τὸ κείμενον. τὴν δὲ τοῦ ἀποστόλου τῶν κατὰ τὴν ἀνάστασιν θαυμάτων διασκευήν, ὡς πρόχειρον οὖσαν τοῖς ἐντυγχάνουσι, τί δεῖ τις λέγειν; ὅπως ἐν κελεύσματι καὶ σαλπίγγων ἤχῳ φησὶν ὁ λόγος ἐν ἀκαρεῖ τοῦ χρόνου D ἅπαν ἀθρόως τὸ τεθνηκός τε καὶ κείμενον, εἰς ἀθανάτου φύσιν ὑπαμειφθήσεσθαι. ἀλλὰ καὶ τὰς ἀγγελικὰς φωνάς, ὡς προδήλους ἅπασιν οὔσας, παρήσομεν. οὐ γὰρ μόνῳ λόγῳ φησὶν ὁ κύριος τοὺς νεκροὺς ἀναστήσεσθαι, ἀλλὰ καὶ αὐτὴν ἐνεργεῖ τὴν ἀνάστασιν ἀπὸ τῶν ἐγγυτέρων ἡμῖν καὶ ἧττον ἀπιστεῖσθαι δυναμένων τῆς θαυματοποιίας ἀρξάμενος.

πρῶτον μὲν γὰρ ἐν τοῖς ἐπιθανατίοις τῶν νοσημάτων τὴν ζωοποιὸν δείκνυσι δύναμιν, ἀπελαύνων προστάγματι καὶ λόγῳ τὰ πάθη· εἶτα ἀρτιθανὲς ἐγείρει παιδίον, εἶτα νεανίαν τοῖς τάφοις ἤδη προσοχμιζόμενον τῆς σοροῦ διαναστήσας τῇ μητρὶ δίδωσι· μετὰ τοῦτο διαπεπτωκότα ἤδη τεταρταίῳ χρόνῳ τὸν Λάζαρον νεκρὸν ἐξάγει τοῦ τάφου φωνῇ καὶ προστάγματι ζωοποιήσας τὸν κείμενον· εἶτα τὸν ἑαυτοῦ ἄνθρωπον ἥλοις καὶ λόγχῃ διαπεπαρμένον ἐκ νεκρῶν διὰ τρίτης ἡμέρας διανίστησι, τοὺς τύπους τῶν ἥλων καὶ τὴν πληγὴν τῆς λόγχης εἰς μαρτυρίαν τῆς ἀναστάσεως ἐπαγόμενος. περὶ ὧν οὐδὲν οἶμαι χρῆναι διεξιέναι μηδὲ μιᾶς ἀμφιβολίας ἐν τοῖς τὰ προγεγραμμένα παραδεδεγμένοις εἰπούσης. Ἀλλ' οὐ τοῦτο, εἶπον ἐγώ, τὸ ζητούμενον ἦν. τὸ γὰρ ἔσεσθαί ποτε τὴν ἀνάστασιν, καὶ τὸ παραστήσεσθαι τῇ ἀδεκάστῳ κρίσει τὸν ἄνθρωπον, διά τε τῶν γραφικῶν ἀποδείξεων, καὶ τῶν ἤδη προεξητασμένων οἱ πολλοὶ τῶν ἀκουόντων συνθήσονται· ὑπόλοιπον δ' ἂν εἴη σκοπεῖν, φησί, εἰ ὥσπερ τὸ νῦν καὶ τὸ ἐλπιζόμενον ἔσται; ὅπερ εἰ οὕτως εἴη, φευκτὸν εἶπον τοῖς ἀνθρώποις τὴν ἐλπίδα τῆς ἀναστάσεως εἶναι. εἰ γὰρ οἷα γέγονεν, ὅταν λήγεται τοῦ ζῆν τὰ ἀνθρώπινα σώματα, τοιαῦτα τῇ ζωῇ πάλιν ἀποκαταστήσεται· ἄρα τις ἀτέλεστος συμφορὰ διὰ τῆς ἀναστάσεως τοῖς ἀνθρώποις ἐλπίζεται. τί γὰρ ἂν ἐλεεινότερον γένοιτο θέαμα, ἢ ὅταν ἐν ἐσχάτῳ γήρᾳ καταρρικνωθέντα τὰ σώματα μεταποιηθῇ πρὸς τὸ εἰδεχθές τι καὶ ἄμορφον; τῆς μὲν σαρκὸς αὐτῆς ἀναλωθείσης τῷ χρόνῳ, ῥυσοῦ δὲ τοῖς ὀστέοις περισκληκότος τοῦ δέρματος. τῶν δὲ δὴ νεύρων συνεσπασμένων διὰ τὸ μηκέτι τῇ φυσικῇ ἰκμάδι ὑποπιαίνεσθαι, καὶ διὰ τοῦτο πάντως συνελκομένου τοῦ σώματος, ἄτοπόν τι καὶ ἐλεεινὸν θέαμα γίνεται, τῆς μὲν κεφαλῆς ἐπὶ τὸ γόνυ συγκεκλιμένης, τῆς δὲ χειρὸς ἔνθεν καὶ ἔνθεν πρὸς μὲν τὴν κατὰ φύσιν ἐνέργειαν ἀπρακτούσης, ἐν τρόμῳ δὲ κατὰ τὸ ἀκούσιον ἀεὶ κραδαινομένης. οἷα δὲ πάλιν τῶν ταῖς χρονίαις νόσοις ἐκτετηκότων τὰ σώματα; ἃ τοσοῦτον διαφέρει τῶν γυμνωθέντων ὀστέων, ὅσον ἐπικεκαλύφθαι δοκεῖ λεπτῷ, καὶ ἐκδεδαπανημένῳ ἤδη τῷ δέρματι. οἷα δὲ καὶ τῶν ἐν ταῖς ὑδαλικαῖς ὑδρωπίαις ἐξῳδηκότων. τῶν δὲ τῇ ἱε-

A Nam primùm quidẽ in mortiferis morbis viuificam vim demonſtrat, iuſſu ac verbo abigens affectiones: deinde paulò ante mortuam puellam reſuſcitat, poſtea adoleſcentem, qui iam ad ſepulchrum efferebatur, excitatum è loculo matri dat: poſt hunc, Lazarum, qui iam quatridui tempore mortuus diffluebat & olebat, viuum educit ex ſepulchro, voce pariter ac iuſſu viuificans iacentem: poſtea ſuum ipſius hominẽ clauis ac lancea transfixum tertio die reſuſcitat, veſtigia clauorum ac lanceæ, in teſtimonium reſurrectionis adducentem. B De quibus nihil arbitror opus eſſe dicere, cum nulla ſubſit ambiguitas inter eos, qui ea, quæ ſcripta ſunt, acceperunt & approbauerunt. Verùm non hoc erat, inquam ego, quòd quærebatur: an reſurrectio aliquando futura ſit, & quòd homo incorrupto iudicio ſiſtetur, cùm propter ſcripturarum demonſtrationes, tum propter ea, quæ iam antè exquiſita atque excuſſa ſunt, plerique audientium aſſentientur: reliquum autem fuerit conſiderare, an prout eſt id, quod nunc eſt, ita etiam C quod ſperatur futurum ſit? Quod ſi ita fuerit, fugiendam dixerim hominibus eſſe ſpem reſurrectionis. Nam ſi qualia euadunt humana corpora dum viuere deſinunt, talia rurſum vitæ reſtituuntur: nimirum perpetua quædam calamitas ab omnibus per reſurrectionem ſperatur. Quod enim miſerabile magis ſpectaculum fuerit, quàm cùm in extrema ſenectute, incuruata atque contracta corpora ad turpitudinem ac deformitatem redacta fuerint? carne qui-D dem eorum tempore conſummata, rugoſa autem & arida cute oſſibus adhærente. Etenim neruis, quod naturali nimirum non amplius humore imbuantur ac pinguefiant, conuulſis, & idcirco toto corpore contracto, res quædam infirma ac ſpectatu miſerabilis exiſtit, cùm caput quidem in genua inclinatum ſit: manus autem vtrinque ad naturalem quidem vſum inualidæ ſint, præ tremore verò ſemper inuitæ micent ac moueantur. Qualia verò rurſus eorum corpora ſunt, qui diuturnis ac longinquis morbis extabuerunt? quæ corpora hoc differunt à nudatis oſſibus, quòd tenui ac iam conſumpta cute obtecta eſſe videntur. Qualia item eorum, qui aquæ intercutis morbo intumuerunt?

ματι· εἶτα ζητῶν τὸν τοιοῦτον, ἐντύχοιμι νέῳ, A κομήτῃ, γρυπῷ, μελανόχροϊ, καὶ τὰ λοιπὰ πάντα τὰ κατὰ τὴν μορφὴν χαρακτῆρας ἑτέρως ἔχοντι. ἆρα τοῦτον εἰδὼς ἐκεῖνον οἰήσομαι; μᾶλλον δὲ τί χρὴ ταῖς ἐλάττοσι τῶν ἐνστάσεων ἐνδιατρίβειν τὴν ἰσχυροτέραν ἀφιέμενον; τίς γὰρ οὐκ οἶδεν, ὅτι ῥοῇ τινὶ προσέοικεν ἡ ἀνθρωπίνη φύσις, ἀπὸ γενέσεως εἰς θάνατον ἀεὶ διά τινος κινήσεως προϊοῦσα, τότε τῆς κινήσεως λήγουσα, ὅταν καὶ τοῦ εἶναι παύσηται; ἡ δὲ κίνησις αὕτη οὐ τοπική τίς ἐστι μετάστασις· οὐ γὰρ ἐκβαίνει ἑαυτὴν ἡ φύσις, ἀλλὰ δι' ἀλλοιώσεως B ἔχει τὴν πρόοδον· ἡ δὲ ἀλλοίωσις ἕως ἂν ᾖ τοῦτο ὃ λέγεται, οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ μένει· πῶς γὰρ ἂν ἐν ταυτότητι φυλαχθείη τὸ ἀλλοιούμενον; ἀλλ' ὥσπερ τὸ ἐπὶ τῆς θρυαλλίδος πῦρ, τῷ μὲν δοκεῖν ἀεὶ τὸ αὐτὸ φαίνεται· τὸ γὰρ συνεχὲς ἀεὶ τῆς κινήσεως ἀδιάσπαστον αὐτὸ καὶ ἡνωμένον πρὸς ἑαυτὸ δείκνυσι· τῇ δὲ ἀληθείᾳ πάντως πάντοτε αὐτὸ ἑαυτὸ διαδεχόμενον, οὐδέποτε αὐτὸ μένει. ἡ γὰρ ἐξελκυσθεῖσα διὰ τῆς θερμότητος ἰκμὰς, ὁμοῦ τε ἐξεφλογώθη καὶ εἰς λιγνὺν ἐκκαυθεῖσα μεταποιηθῇ, καὶ C ἀεὶ τῇ ἀλλοιωτικῇ δυνάμει ἡ τῆς φλογὸς κίνησις ἐνεργεῖται, εἰς λιγνὺν δι' ἑαυτῆς ἀλλοιοῦσα τὸ ὑποκείμενον· ὥσπερ τοίνυν δὶς κατὰ ταὐτὸν τῆς φλογὸς θιγόντα, οὐκ ἔνι τῆς αὐτῆς τὸ δὶς ἅψασθαι. τὸ γὰρ ὀξὺ τῆς ἀλλοιώσεως, οὐκ ἀναμένει τὸ ἐκ δευτέρου πάλιν ἐπιθιγγάνοντα, κἂν ὡς τάχιστα τοῦτο ποιεῖν· ἀλλ' ἀεὶ καινή τε καὶ πρόσφατός ἐστιν ἡ φλὸξ πάντοτε γινομένη, καὶ ἀεὶ ἑαυτὴν διαδεχομένη, καὶ οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ μένουσα. τοιοῦτόν τι καὶ περὶ τὴν τοῦ σώματος ἡμῶν φύσιν ἐστί. τὸ γὰρ ἐπίρρυτον τῆς φύσεως ἡμῶν, καὶ τὸ ἀπόρρυτον διὰ τῆς ἀλλοιωτικῆς κινήσεως ἀεὶ πορευόμενον, τότε κινούμενον ἵσταται, ὅταν καὶ τῆς ζωῆς D ἀπολήξῃ· ἕως δ' ἂν ἐν τῷ ζῆν ᾖ, στάσιν οὐκ ἔχει. ἢ γὰρ πληροῦται, ἢ διαπνέεται, ἢ δι' ἑκατέρων πάντως εἰσαεὶ διεξάγεται. εἰ τοίνυν οὐδὲ τῶν *χθιζῶν τις ὁ αὐτός ἐστιν, ἀλλ' ἕτερος τῇ ἀπαλλαγῇ γίνεται· ὅταν ἐπαναγάγῃ πάλιν τὸ σῶμα ἡμῶν πρὸς τὴν ζωὴν ἡ ἀνάστασις, δῆμός τις

A deinde ſi quærens eum incidam in iuuenem, capillatum, adunco naſo, nigrum, & in cæteris omnibus, quod attinet ad formæ figuram ac lineamenta, diuerſum: nunquid hunc conſpicatus, illum eſſe putabo? Enimuerò quid opus eſt validioribus omiſſis, minoribus ac leuioribus vrgentium & inſtantium oppoſitionibus immorari? Quiſnam enim ignorat, quod flumini cuipiam humana natura adſimiletur, ab natiuitate ad mortem per motum quendam ſemper progrediēs, tunc moueri deſinens, cùm etiā eſſe deſierit? Porrò motus hic non B eſt de loco ad locū tranſitus atque tranſlatio (non enim natura ſeipſam excedit) ſed per alterationē ac mutationem progreſſum habet: at mutatio quamdiu id fuerit, quod dicitur, nūquam in eodem manet (nam quo pacto in eodem ſtatu conſeruari poterit id, quod alteratur & immutatur?) ſed queādmodum ignis, qui eſt in ellychnio, prout videtur quidem, ſemper idem apparet (continuus enim ſemper motus, nullo interuallo diductum atque diremptum, ſed eum ſecum vnitum reddit) reuera autem ipſe ſeſe ſemper excipiens, nunquam idem C manet (humor enim, qui per calorem extractus fuerit, ſimul & in flāmam conuertitur, & exuſtus in fumum ac fuliginem redigitur: ac ſemper alteratiua vi motus flammæ peragitur in fumum ac fuliginem per ſeſe ſubiectū immutans) quemadmodum igitur ſi quis bis ſimul flammam contingat, non poſſit eandem tangere bis (celeritas enim alterationis atque mutationis nō expectat eum, qui flāmam iterum rurſus attingat, etiamſi quàm celerrimè id faciat) ſed flamma ſemper noua ac recēs eſt, omni tempore naſcens, ac ſemper ſeipſam excipiens, & D nunquam in eodem manēs: huiuſmodi quiddam circa naturam noſtri quoque corporis eſt. Nam cùm tum influēs tum effluens natura noſtra per alterandi motum ſemper & ambulet & moueatur, tunc conſiſtet, cùm etiā viuere deſierit: quamdiu verò in vita fuerit, ſtatum & locum conſiſtendi non habet. Aut enim impletur aut difflatur atque euaneſcit & exinanitur, aut per vtrumque in perpetuum prorſus trāſigitur. Si igitur nec qui natus quidē eſt, interim dum viuit, idem eſt, nec is manet, qui heri fuiſſet, ſed per immutationē alius euadit: cùm reſurrectio corpus noſtrum rurſus ad vitam reduxerit, populus quidam hominum

prorſus vnus euadet, vt nihil abſit ab eo, qui reſurgit, infãs videlicet, puſio, puer, adoleſcentulus, vir, pater, ſenex, & omnia quæ inter hæc intercedunt. Porrò cùm continentia atque atque incontinentia per carnem exerceatur, tum propter pietatem grauia atque acerba ſupplicia ſuſtinentium, tum animi mollitia refugientium hæc atque vitantium, & per ſenſum corporeum horum vtrumque deſignantium: quî fieri poteſt, vt id quod iuſtum eſt, in iudicio ſeruetur? aut cum idem nunc quidem peccauerit, poſtea verò per pœnitentiam ſeſe expiauerit, ac fortaſſe rurſus in peccatum ac delictum lapſus ſit, cum item per naturæ viciſſitudinem, tum inquinatum, tum ab inquinatione vacuum corpus immutatum fuerit: & neutrum horum in perpetuum ſuffecerit atque durauerit, qualénam corpus vnà cum intemperante atque incontinente punietur? vtrùm id quod in ſenectute morti vicinum contractum & incuruatum fuerit? At hoc aliud eſſet, atque id quod peccatum perpetrauerit, an id, quod vitio coinquinatum fuerit? Et vbi ſenex? Nam aut hic non reſurget, & reſurrectio non repræſentabitur, nec ad effectum deducetur, ſed inefficax erit: aut hic reſurget, & iudicium ac pœnam effugiet obnoxius atque ſubiectus. Dicam etiam aliquid ex iis, quæ obijciuntur nobis ab illis, qui hanc doctrinam non approbant. Nihil, inquiunt, ex partibus & membris corporis otioſum & ſine aliquo officio atque vſu natura fecit. Nam alia quidem viuendi cauſſam in nobis ac vim continent, ſine quibus fieri non poteſt, vt vita, quam in carne tranſigimus, conſiſtat: vt cor, iecur, cerebrum, pulmo, venter, & reliqua viſcera: alia verò ſentiendi motui deſtinata atque attributa ſunt: alia item agendi ac tranſeundi officio funguntur: alia item ad ſucceſſionem poſterorum idonea atque accommodata ſunt. Si igitur per eadem quidem nobis vita, quæ poſt hac erit, exercebitur atque tranſigetur, ad nihil traductio atque immutatio ſit: ſin autem vera eſt oratio (vt nimirum vera eſt) quæ neque matrimonium in ea vita, quæ reſurrectionem exceptura ſit, amplius locum habere affirmat, neque cibo ac potione eam vitam, quæ tunc futura ſit, conſeruari: quis erit vſus corporis partium, çùm non amplius ea, propter quæ nunc membra habemus, per illam vitam ſperentur?

A ἀνθρώπων πάντως ὁ εἷς γενήσεται, ὡς ἂν μηδὲν ἐλλείποι τοῦ ἀνισταμένου τὸ βρέφος, τὸ νήπιον, ὁ παῖς, τὸ μειράκιον, ὁ ἀνὴρ, ὁ πατὴρ, ὁ πρεσβύτης, καὶ κατὰ τὰ διὰ μέσου πάντα. Σωφροσύνης δὲ καὶ ἀκολασίας διὰ σαρκὸς ἐνεργουμένης, τῶν δὲ ὑπομενόντων ὑπὲρ τῆς εὐσεβείας τὰς ἀλγεινὰς τῶν κολάσεων, τῶν τε αὖ μαλακιζομένων πρὸς ταῦτα διὰ τῆς σωματικῆς αἰσθήσεως, ἑκατέρων τούτων ἐπιδεικνυμένων, πῶς ἐστὶ παρὰ τὴν κρίσιν διασωθῆναι τὸ δίκαιον; ἢ τοῦ αὐτοῦ νῦν μὲν πεπλημμεληκότος, αὖθις δὲ διὰ μεταμελείας ἑαυτὸν ἐκκαθάραντος·
B κἂν οὕτω τύχῃ πάλιν ἐπὶ τὸ πλημμελὲς ὀλισθήσαντος, ὑπαμειφθέντος δὲ κατά τινα ἀκολουθίαν τῆς φύσεως, καὶ τοῦ μεμολυσμένου καὶ τοῦ ἀμολύντου σώματος, καὶ μηδ' ἑτέρου τούτων εἰς τὸ διηνεκὲς ἐξαρκέσαντος· ποῖον τῷ ἀκολάστῳ σῶμα συγκολασθήσεται; τὸ ῥικνωθὲν ἐν τῷ γήρᾳ πρὸς τῷ θανάτῳ; ἀλλ' ἕτερον ἦν τοῦτο παρὰ τὸ τὴν ἁμαρτίαν κατειργασμένον. ἀλλ' ὅπερ κατεμολύνθη τοῖς πάθεσι; καὶ ποῦ ὁ πρεσβύτης; ἢ γὰρ οὐκ ἀναστήσεται οὗτος, καὶ οὐκ ἐνεργὸς ἡ ἀνάστασις, ἢ οὗτος ἐγερθήσεται,
C καὶ διαφεύξεται τὴν δίκην ὁ ὑποκείμενος. εἴπω τι καὶ ἄλλο τῶν προφερομένων ἡμῖν παρὰ τῶν οὐ δεδεγμένων τὸν λόγον. οὐδὲν, φησὶν, ἄπρακτον τῶν ἐν τῷ σώματι μορίων ἡ φύσις ἐποίησε. τὰ μὲν γὰρ τὴν τοῦ ζῆν αἰτίαν καὶ δύναμιν ἐν ἡμῖν ἔχει, ὧν ἄνευ συστῆναι τὴν διὰ σαρκὸς ζωὴν ἡμῶν, οὐκ ἐνδέχεται, οἷον, καρδία, ἧπαρ, ἐγκέφαλος, πνεύμων, γαστὴρ, καὶ τὰ λοιπὰ σπλάγχνα· τὰ δὲ τῇ αἰσθητικῇ κινήσει ἀποκεκλήρωται· τὰ δὲ τῆς πρακτικῆς καὶ μεταβατικῆς ἐνεργείας ἐστίν· ἄλλα δὲ πρὸς τὴν διαδοχὴν τῶν ἐπι-
D γινομένων ἐπιτηδείως ἔχει. Εἰ μὲν οὖν ἐν τοῖς αὐτοῖς ἡμῖν ὁ μετὰ ταῦτα βίος ἔσται, πρὸς οὐδὲν ἡ μετάστασις γίνεται· εἰ δὲ ἀληθὴς ὁ λόγος, ὥσπερ οὖν ἐστὶν ἀληθὴς, ὁ μήτε γάμον ἐμπολιτεύεσθαι τῷ μετὰ τὴν ἀνάστασιν βίῳ διοριζόμενος, μήτε διὰ βρώσεως καὶ πόσεως τὴν τότε διακρατεῖσθαι ζωήν· τίς ἔσται χρῆσις τῶν μερῶν τοῦ σώματος, οὐκέτι τῶν δι' ἃ νῦν ἐστὶ τὰ μέλη κατὰ τὴν ζωὴν ἐκείνην ἐλπιζομένων;

Εἰ γὰρ τοῦ γάμου χάριν τὰ πρὸς τὸν γάμον ἐστὶ μέλη, ὅταν ἐκεῖνος μὴ ᾖ, οὐδὲν τῶν πρὸς ἐκεῖνον δεόμεθα. οὕτω πρὸς τὸ ἔργον αἱ χεῖρες, καὶ πρὸς τὸν δρόμον οἱ πόδες, καὶ πρὸς τὴν παραδοχὴν τῶν σιτίων τὸ στόμα, καὶ οἱ ὀδόντες πρὸς τὴν τῆς τροφῆς ὑπηρεσίαν, καὶ πρὸς τὴν πέψιν τὰ σπλάγχνα, καὶ πρὸς τὴν ἀποβολὴν τῶν ἀχρειωθέντων οἱ ἐξοδικοὶ τῶν πόρων. ὅταν οὖν ἐκεῖνα μὴ ᾖ, τὰ δι' ἐκεῖνα γινόμενα πῶς ἢ ὑπέρ τινος ἔσται; ὡς ἀνάγκην εἶναι, εἰ μὲν εἴη περιττὰ τὰ σώματα πρὸς οὐδὲν πρὸς τὴν ζωὴν ἐκείνην συνεργεῖν μέλλοντα, μηδὲν εἶναι τῶν νῦν συμπληρούντων ἡμῖν τὸ σῶμα. ἐν ἄλλοις γὰρ ἡ ζωή, καὶ οὐκέτι τὸ τοιοῦτον ἀνάστασιν ὀνομάσειε, τῶν καθ' ἕκαστον μελῶν διὰ τὴν ἐκείνῃ τῇ ζωῇ ἀχρηστίαν οὐ συνανισταμένων τῷ σώματι. εἰ δὲ διὰ πάντων ἔσται τούτων ἐνεργὸς ἡ ἀνάστασις, μάταια ἡμῖν καὶ ἀνόητα πρὸς τὴν ζωὴν ἐκείνην δημιουργήσει ὁ ἐνεργῶν τὴν ἀνάστασιν. ἀλλὰ μὴν καὶ εἶναι πιστεύειν χρὴ τὴν ἀνάστασιν, καὶ μὴ ματαίαν εἶναι. οὐκοῦν προσεκτέον τῷ λόγῳ, ὅπως ἂν ἡμῖν διὰ πάντων ἐν τῷ δόγματι τὸ εἰκὸς διασώζοιτο. ἐμοῦ δὲ ταῦτα διεξελθόντος, Οὐκ ἀγεννῶς, φησὶν ἡ διδάσκαλος, κατὰ τὴν λεγομένην ῥητορικὴν τῶν τῆς ἀναστάσεως δογμάτων κατεπιχείρησας, πιθανῶς τοῖς ἀνασκευαστικοῖς τῶν λόγων ἐν κύκλῳ περιδραμὼν τὴν ἀλήθειαν, ὥστε τοὺς μὴ λίαν ἐπεσκεμμένους τὸ τῆς ἀληθείας μυστήριον παθεῖν ἄν πως τὸ κατὰ τὸ εἰκὸς πρὸς τὸν λόγον, καὶ οἰηθῆναι μὴ ἔξω τοῦ δέοντος ἐπῆχθαι τοῖς εἰρημένοις τὴν ἐπαπόρησιν. ἔχει δὲ οὐχ οὕτω, φησίν, ἡ ἀλήθεια, κἂν ἀδυνάτως ἔχωμεν ἐκ τῶν ὁμοίων ἀντιρρητορεῦσαι τῷ λόγῳ, ἀλλ' ὁ μὲν ἀληθὴς περὶ τούτων λόγος ἐν τοῖς ἀποκρύφοις τῆς σοφίας θησαυροῖς ταμιεύεται, τότε εἰς τὸ ἐμφανὲς ἥξων, ὅταν ἔργῳ τὸ τῆς ἀναστάσεως διδαχθῶμεν μυστήριον, ὅτι οὐκέτι δεήσει ῥημάτων ἡμῖν πρὸς τὴν ἐλπιζομένων φανέρωσιν.

A Nam ſi nuptiarum cauſa ſunt ea membra, quæ ad matrimonium pertinent, cùm nuptiæ non fuerint, nihil opus habemus iis, quæ ad illas parata ſunt. Sic ad opus manus, ad curſũ pedes, ad ſumptionem ciborum os, dentes ad miniſterium alimenti, ad concoctionem atque digeſtionem viſcera, & ad reiectionem & excretionem eorum, quæ corrupta atque inutilia facta ſunt, meatus illi, per quos tranſeunt & excernuntur. Cùm igitur illa non fuerint, ea, quæ propter illa facta ſunt, quomodo cuiúſve gratia erunt? vt neceſſe ſit, ſi quidem circa corpus non fuerint ea, quę nihil adiumenti B iis, quæ ad illam vitam pertinent, allatura ſint, nihil fore eorum, quæ corpus noſtrum nunc conſtituunt & complent (in aliis enim vita fuerit:) idque non amplius aliquis Reſurrectionem nominauerit, cùm ſingularia quæque membra propter eorum in illa vita inutilitatem, non vnà cum corpore reſurgant. Sin autem per hæc omnia Reſurrectio repræſentabitur, & exercebitur, vana nobis & inutilia ad illam vitam procreabit is, qui Reſurrectionem exercet atque repræ- C ſentat. Atqui & eſſe Reſurrectionem, & non fruſtra eam eſſe credere oportet. Ergo orationi diligenter animus attendendus erit, quo per omnia nobis in hac ſentẽtia atque doctrina id quod probabile & conſentaneum eſt, conſeruetur. His à me expoſitis: Egregiè ſatis atque præclarè, inquit magiſtra, per eam artẽ, quæ oratoria dicitur, ſententiam atque doctrinam Reſurrectionis aggreſſus atque adortus es, probabiliterque refutatoriis verbis & argumentis vndique veritatem circumeundo tentaſti, vt non mirum fuerit, ſi ij qui non admo- D dum veritatis myſterium conſideratum atque perſpectum habuerint, aliquo modo per iſta verba atque argumenta, pro eorum probabilitate atque veriſimilitudine commoueantur, ac putent non abſurdè neque abs re iis, quæ dicta ſunt, inductam eſſe dubitationem. Veritas autem, inquit, non ita ſeſe habet, etiamſi contrà non poſſimus à ſimilibus argumentis officio oratoris in hac diſceptatione fungi, ſed vera quidem ratio harum rerum in abditis & occultis arcaniſque ſapientiæ theſauris recondita conſeruatur, tunc in propatulum & apertum ventura, cum reipſa didicerimus myſterium Reſurrectionis, cum verbis nobis non amplius opus fuerit, ad earum rerum, quæ ſeparantur, manifeſtationem.

Sed quemadmodum multas quæſtiones de ſplendore ſolis, qualis is ſit, mouentibus iis, qui noctem peruigilem traducant, radij decor procul duntaxat apparens fruſtatur, vanamque & otioſam atque inutilem efficit propoſitam diſputationem: eodem modo omnis ratio per coniecturas futurum ſtatum attingens, pro nihilo eſſe oſtendetur, cùm reipſa experti fuerimus, id quod expectatur. Quoniam autem ex aduerſo obiecta nobis argumenta non penitus inexcuſſa atque inexaminata prætermittere oportet, ita diſceptationem de his rebus diſponamus. Conſiderare atque intelligere primùm oportet, quò pertineat ac ſpectet Reſurrectionis doctrina, cuiúſve rei gratia à ſancta ſcriptura prodita, introducta, & credita ſit. Quocirca, prout aliquis definitione quadam talem quæſtionem complexus deſignauerit, ita dicemus: Reſurrectio eſt naturę noſtræ in antiquum ſtatum reſtitutio. At in prima vita cuius Deus ipſe creator fuit, neque ſenectus, vt probabile ac veriſimile eſt, neque infantia erat, neque ea, quæ per varias infirmitates ac morbos accidunt incommoda, neque vlla alia moleſtia atque ærumna corporea (neque enim decebat ac par erat, Deum eiuſmodi res creare:) ſed diuina quædam res erat humana natura, priuſquam genus humanum vitium appetere cœpiſſet. Hæc autem omnia vnà cum ingreſſu vitioſitatis in nos inuaſerunt & irruperunt. Ergo vita vitioſitatis expers in iis, quæ propter hanc acciderunt, verſari nullo modo neceſſe habebit. Quemadmodum enim per gelu ac glaciem iter facienti accidit, vt corpus eius frigore laboret, aut per calidos radios inambulanti, vt facies ac ſumma cutis aduratur atque nigreſcat: ſin autem extra horum vtrumque fuerit, protinus ab aduſtione atque refrigeratione prorſus liberatur, ac nulla probabili ratione quiſpiam requiſiuerit id, quod ex aliqua cauſſa contingit, cauſſa non extante: eodem modo natura noſtra paſſionibus, vitiis, perturbationibus atque affectibus obnoxia facta iis, quæ patibilem vitam neceſſario conſequuntur, conflictata eſt: vbi autem ad eam, quæ à perturbationibus, vitiis, paſſionibúſque vacua eſt, beatitudinem recurrerit, non amplius conflictabitur iis, quæ vitioſitatē conſequuntur. Quoniam igitur quæcumque ex ea,

A ἀλλ' ὥσπερ ἐν νυκτὶ πολλῶν κινουμένων τοῖς διαγρυπνοῦσι λόγοις περὶ τῆς τοῦ ἡλίου λαμπηδόνος, οἵα ἐστὶν, ἀργὴν ποιεῖ τὴν τοῦ λόγου ὑπογραφὴν προφανεῖσα μόνον ἡ ἀκτῖνος χάρις· οὕτω πάντα λογισμὸν στοχαστικῶς τῆς μελλούσης καταστάσεως ἐφαπτόμενον, ἀντ' οὐδενὸς ἀποδείκνυσιν, ὅτε γένηται ἡμῖν ἐν τῇ πείρᾳ τὸ προσδοκώμενον. ἐπειδὴ δὲ χρὴ μὴ παντάπασιν ἀνεξετάστους ἐᾶσθαι τὰς ἀνθυπενεχθείσας ἡμῖν ἐνστάσεις, οὑτωσὶ τὸν περὶ τούτων λόγον διαληψόμεθα. νοῆσαι χρὴ πρότερον τίς ὁ σκοπὸς τοῦ κατὰ τὴν ἀνάστασιν δόγματος, B καὶ ὅτου χάριν καὶ εἴρηται τοῦτο παρὰ τῆς ἁγίας φωνῆς καὶ πεπίστευται. οὐκοῦν ὡς ἄν τις ὅρῳ τινὶ τὸ τοιοῦτον περιλαβὼν ὑπογράψειεν, οὕτως ἐροῦμεν· ὅτι ἀνάστασίς ἐστιν ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασις. ἀλλ' ἐν τῇ πρώτῃ ζωῇ ἧς αὐτὸς γέγονε δημιουργὸς ὁ Θεὸς, οὔτε γῆρας ἦν, ὡς εἰκὸς, οὔτε νηπιότης, οὔτε κατὰ τὰς πολυτρόπους ἀῤῥωστίας πάθη, οὔτε ἄλλο τῆς σωματικῆς ταλαιπωρίας οὐδέν. οὔτε γὰρ εἰκὸς ἦν τὰ τοιαῦτα δημιουργεῖν τὸν Θεόν. ἀλλὰ θεῖόν τι χρῆ- C μα ἦν ἡ ἀνθρωπίνη φύσις πρὶν ἐν ὁρμῇ γίνεσθαι τοῦ κακοῦ τὸ ἀνθρώπινον. ταῦτα δὲ πάντα τῇ εἰσόδῳ τῆς κακίας ἡμῖν συνεισέλαβεν. οὐκοῦν οὐδεμίαν ἀνάγκην ἔχει ὁ ἄνευ κακίας βίος ἐν τοῖς διὰ ταῦτα συμβεβηκόσιν εἶναι. ὥσπερ γὰρ ἐπακολουθεῖ τῷ διὰ κρυμῶν ὁδοιποροῦντι τὸ ψύχεσθαι τὸ σῶμα, ἢ τῷ διὰ θερμῶν ἀκτίνων πορευομένῳ τὸ μελαίνεσθαι τὴν ἐπιφάνειαν. εἰ δὲ ἐκτὸς ἑκατέρου γένοιτο τούτων συναπαλλαγήσεται, πάντως καὶ τοῦ μελασμοῦ καὶ τῆς ψύξεως, καὶ οὐκ ἄν τις εὐλόγως ἐπιζητοίη τὸ ἔκ τινος αἰτίας συμ- D βαῖνον, τῆς αἰτίας οὐκ οὔσης· οὕτως ἡ φύσις ἡμῶν ἐμπαθὴς γενομένη τοῖς ἀναγκαίως ἐπακολουθοῦσι τῇ παθητικῇ ζωῇ συνηνέχθη· πρὸς δὲ τὴν ἀπαθῆ μακαριότητα πάλιν ἀναδραμοῦσα, οὐκέτι τοῖς ἐπακολουθοῦσι τῆς κακίας συνενεχθήσεται. ἐπεὶ οὖν ὅσα ἐκ τῆς ἀλόγου

ἀλόγου ζωῆς τῇ ἀνθρωπίνῃ κατεμίχθη φύσει, οὐ πρότερον ὄντα ἐν ἡμῖν πρὶν εἰς πάθος διὰ κακίας πεσεῖν τὸ ἀνθρώπινον, ἀναγκαίως καταλιπόντες τὸ πάθος, καὶ πάντα ὅσα μετ' αὐτοῦ καθορᾶται συγκαταλείψομεν. ὥστε οὐκ ἄν τις εὐλόγως ἐν τῷ βίῳ ἐκείνῳ τὰ ἐκ τοῦ πάθους ἡμῖν συμβεβηκότα ζητήσειε. ὥσπερ γὰρ εἴ τις ῥωγαλέον περὶ αὐτὸν ἔχων χιτῶνα, γυμνωθείη τοῦ περιβλήματος, οὐκέτι ἂν τὴν τοῦ ἀπορριφέντος ἀσχημοσύνην ἐφ' ἑαυτοῦ βλέποι, οὕτω καὶ ἡμῖν ἀποδυσαμένων τὸν νεκρὸν ἐκεῖνον καὶ εἰδεχθῆ χιτῶνα, τὸν ἐκ τῶν ἀλόγων δερμάτων ἡμῖν ἐπιβληθέντα· δέρμα δὲ ἀκούων, τὸ σχῆμα τῆς ἀλόγου φύσεως νοεῖν μοι δοκῶ, ᾧ πρὸς τὸ πάθος οἰκειωθέντες περιεβλήθημεν· πάντα ὅσα τοῦ ἀλόγου δέρματος περὶ ἡμᾶς ἦν ἐν τῇ ἀπεκδύσει τοῦ χιτῶνος συναποβαλλόμεθα. ἔστι δὲ ἃ προσελάβομεν ἀπὸ τοῦ ἀλόγου δέρματος, ἡ μίξις, ἡ σύλληψις, ὁ τόκος, ὁ ῥύπος, ἡ θηλή, ἡ τροφή, ἡ ἔκκρισις, ἡ κατ' ὀλίγον ἐπὶ τὸ τέλειον αὔξησις, ἡ ἀκμή, τὸ γῆρας, ἡ νόσος, ὁ θάνατος. εἰ οὖν ἐκεῖνο περὶ ἡμᾶς οὐκ ἔσται, πῶς ἡμῖν τὰ ἐξ ἐκείνου ὑπολειφθήσεται; ὥστε μάταιον ἄλλης τινὸς καταστάσεως κατὰ τὴν μέλλουσαν ζωὴν ἐλπιζομένης, διὰ τῶν μηδὲν αὐτῇ κοινωνούντων ἐνίστασθαι πρὸς τὸ δόγμα τῆς ἀναστάσεως. τί γὰρ κοινὸν ἔχει ἡ ῥικνότης καὶ πολυσαρκία καὶ τηκεδὼν, καὶ πληθώρα; καὶ εἴ τι ἄλλο τῇ ῥευστῇ φύσει τῶν σωμάτων ἐπισυμβαίνει πρὸς τὴν ζωὴν ἐκείνην, ἡ τῆς ῥοώδους τε καὶ παροδικῆς τοῦ βίου διαγωγῆς ἠλλοτρίωται; ἓν ζητεῖ μόνον ὁ τῆς ἀναστάσεως λόγος, τὸ φῦναι διὰ γενέσεως ἄνθρωπον· μᾶλλον δὲ καὶ καθὼς φησὶ τὸ εὐαγγέλιον, εἰ ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον, τὸ δὲ μακρόβιον ἢ ὠκύμορον, ἢ τὸν τοῦ θανάτου τρόπον τοιόνδε ἢ ἑτέρως συμβεβηκέναι, μάταιον τῷ τῆς ἀναστάσεως λόγῳ συνεξετάζειν. ὅπως γὰρ ἂν τοῦτο δῶμεν καθ' ὑπόθεσιν ἔχειν, ἐν τῷ ὁμοίῳ πάντως ἐστίν,

A quæ rationis expers eſt vita humanæ naturæ commixta ſunt, non prius in nobis erant, quàm in affectiones ac perturbationes per vitioſitatem delapſum eſſet humanum genus, neceſſariò relictis affectionibus ac perturbationibus, etiam omnia quæcumque cum iis cernuntur, ſimul relinquemus. Itaque non rectè nulláque probabili ratione quis in illa vita quæſiuerit ea, quæ ex affectione ac vitio nobis poſterius acciderunt. Quemadmodum enim ſi quis lacera tunica circumdatus, eo amictu nudatus ſit, non amplius in ſeſe ab- B iecti turpitudinem ac dedecus indumenti videt: eodem modo cùm nos quoque exuerimus mortuam ac turpem illam tunicam, ex ratione carentibus pellibus nobis iniectam (Pelles autem audiens, figuram ac habitum ratione carentis naturæ, quo cum affectione ac vitio coniuncti atque conſociati circumdati fuimus, mihi videor intelligere) etiam omnia, quæcumque de rationis experte pelle circa nos erant, vnà cum exutione tunicæ ſimul exuentur. Sunt autem hæc ea, quæ ſumpſimus à pelle rationis exper- C te: mixtio corporum, conceptio, partus, ſordes, mamma, cibus, egeſtio, quod paulatim fit, ad adultam atque perfectam ætatem incrementum, ſummus vigor ætatis, ſenectus, morbus, mors. Si igitur pellis illa circa nos non erit, quomodo in nobis ea, quæ ex illa extiterũt, relinquentur? Itaque, cùm alius quidam ſtatus in futura vita ſperetur, ſi quis per ea, quæ nihil cum illa vita commune habent, contra doctrinam Reſurrectionis nitetur, fruſtra & in vanum laborabit. Quid enim incuruatio & corpulentia, macies & tabes, & abundantia humorum, ac ſi quid aliud fluxæ D corporum accidit naturæ, commune habet cum illa vita, quæ à fluxæ pariter atque tranſitoriæ vitæ ratione aliena eſt? Vnum duntaxat ratio Reſurrectionis quærit, vt productus homo videlicet per natiuitatem ſit: imò verò, vt inquit Euangelium, vt homo natus ſit in mundo, longinquitatem autem vitæ, aut mortis ac fati celeritatem, aut modum mortis an taliter vel aliter contigerit, vnà cum ratione Reſurrectionis exquirere, vanũ & ineptum eſt, ac nihil pertinet ad rem. Nam quomodocumque id ſeſe exempli gratia dederimus habere, in idem omnino res redit, ac nihil refert,

A cùm neque difficultas & incommoditas, neque commoditas atque facilitas ex tali differentia circa Reſurrectionem ſit. Nam eum qui viuere cœperit, viuere prorſus oportet, ea quæ medio tempore per mortem ei contigerit, diſſolutione per Reſurrectionem correcta atque emendata. Cæterùm qua ratione aut quando diſſolutio fiat, quid hoc ad Reſurrectionem? Ad aliud enim propoſitum ſpectat huius rei cōſideratio. Verbi gratia, in voluptate, vel in triſtitia atque dolore aliquis vixit, ſecūdum virtutem vel vitioſè, cum laude, vel crimini obnoxius: miſerabiliter, vel beatè tempus B tranſegit. Hæc enim atque eiuſmodi omnia ex menſura modóque atque ex genere vitæ deprehenduntur: & quantum attinet ad faciendum actæ vitæ iudicium, neceſſarium iudici fuerit, de vitio, de iactura ac detrimento, de morbo, de ſenectute, de ætatis vigore, de iuuentute, de diuitiis, de paupertate inquirere atque ſciſcitari: quo pacto quis per horum vnumquódq. verſatus benè an malè vitæ, quam ſortitus ſit, curſum confecerit, & an multorum capax bonorum, vel malorum fuerit? tempore longinquo, an nec ab initio quidem C prorſus horum vtrumque attigerit, quippe nondum mente atque ingenio perfecto vita defunctus? Cùm autem ad primam fabricationem & conſtitutionem hominis per Reſurrectionem Deus naturam reduxerit, otioſum, vanum & inutile fuerit talia dicere ac putare, quod per huiuſmodi obiecta argumenta potentia Dei à ſuo propoſito atque conſilio prohibeatur atque impediatur. Porrò propoſitum atque conſilium eius hoc vnum eſt, vt omni naturæ noſtrę plenitudine ſingulatim per quoſque homines iam perfecta atque abſoluta, cùm alij quidem iam ſtatim per D hanc vitam à vitioſitate expiati, alij verò poſthac, conuenientibus temporibus per ignem curati fuerint, alij autem ex æquo boni ſimul ac mali ſcientiam atque experientiam per hanc vitam non habuerint, omnibus proponat participationem & vſum bonorum, quæ in ipſo ſunt, quæ bona Scriptura neque oculum vidiſſe, neque aureis accepiſſe, neque cogitationibus & ratiocinationibus aſſequi atque comprehendi poſſe dicit. Id autem nihil eſt aliud, vt mea quidem opinio fert, quàm in ipſo Deo eſſe: bonum enim quod ſuperat auditum

A οὔτε δυσκολίας, οὔτε ῥᾳστώνης ἐκ τῆς τοιαύτης διαφορᾶς περὶ τὴν ἀνάστασιν οὔσης. τὸν γὰρ τοῦ ζῆν ἀρξάμενον, ζῆσαι χρὴ πάντως, τῆς ἐν τῷ μέσῳ διὰ τοῦ θανάτου συμβάσης αὐτῷ διαλύσεως ἐν τῇ ἀναστάσει διορθωθείσης. τὸ δὲ πῶς ἢ πότε ἡ διάλυσις γίνεται, τί τοῦτο πρὸς τὴν ἀνάστασιν; πρὸς ἕτερον γὰρ σκοπὸν βλέπει ἡ περὶ τούτου σκέψις, οἷον καθ' ἡδονήν τις ἐβίω, ἢ ἀνιώμενος κατὰ ἀρετὴν ἢ κακίαν, ἐπαινετὸς ἢ ὑπαίτιος, ἐλεεινῶς ἢ μακαρίως παρῆλθε τὸν χρόνον. ταῦτα γὰρ πάντα καὶ τὰ τοιαῦτα ἐκ τοῦ μέτρου τῆς ζωῆς B καὶ ἐκ τοῦ εἴδους τοῦ κατὰ τὸν βίον εὑρίσκεται· καὶ οὕτω πρὸς τὴν κρίσιν τῶν βεβιωμένων, ἀναγκαῖον ἂν εἴη τῷ κριτῇ πάθος καὶ λύπην, καὶ νόσον, καὶ γῆρας, καὶ ἀκμὴν, καὶ νεότητα, καὶ πλοῦτον, καὶ πενίαν διερευνᾶσθαι· ὅπως τῆς δι' ἑκάστου τούτων γενόμενος, ἢ εὖ ἢ κακῶς τὸν συγκληρωθέντα βίον παρέδραμε, καὶ εἰ πολλῶν ἐγένετο δεκτικὸς ἀγαθῶν, ἢ κακῶν, ἐν μακρῷ τῷ χρόνῳ, ἢ οὐδὲ τὴν ἀρχὴν ὅλως ἑκατέρου τούτων ἐφήψατο, ἐν ἀτελεῖ τῇ διανοίᾳ τοῦ ζῆν παυσάμενος; ὅταν δὲ πρὸς τὴν C πρώτην τοῦ ἀνθρώπου κατασκευὴν δι' ἀναστάσεως ὁ Θεὸς ἐπαναγάγῃ τὴν φύσιν, ἀργὸν ἂν εἴη τὰ τοιαῦτα λέγειν, καὶ τὸ διὰ τῶν τοιούτων ἐνστάσεων οἴεσθαι τὴν τοῦ Θεοῦ δύναμιν πρὸς τὸν σκοπὸν ἐμποδίζεσθαι. σκοπὸς δὲ αὐτῷ εἷς, τὸ τελειωθέντος ἢ διὰ τῶν καθ' ἕκαστον ἀνθρώπων, παντὸς τοῦ τῆς φύσεως ἡμῶν πληρώματος, τῶν μὲν εὐθὺς ἤδη κατὰ τὸν βίον τοῦτον ἀπὸ κακίας κεκαθαρμένων, τῶν δὲ μετὰ ταῦτα διὰ τοῦ πυρὸς τοῖς καθήκουσι χρόνοις ἰατρευθέντων, τῶν δὲ ἐπίσης καὶ τοῦ καλοῦ καὶ τοῦ κακοῦ τὴν πεῖραν παρὰ τὸν τῇδε D βίον ἀγνοησάντων, πᾶσι προθεῖναι τὴν μετουσίαν τῶν ἐν αὐτῷ καλῶν, ἅπερ φησὶν ἡ γραφὴ, μήτε ὀφθαλμὸν ἰδεῖν, μήτε ἀκοὴν δέξασθαι, μήτε λογισμοῖς ἐφικτὸν γενέσθαι. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶ, κατά γε τὸν ἐμὸν λόγον, ἢ τὸ ἐν αὐτῷ τῷ Θεῷ γενέσθαι. τὸ γὰρ ἀγαθὸν τὸ ὑπὲρ ἀκοὴν

καὶ ὀφθαλμὸν καὶ καρδίαν, αὐτὸ ἂν εἴη τὸ τοῦ παντὸς ὑπερκείμενον. ἡ δὲ τοῦ κατ' ἀρετὴν ἢ κακίαν βίου διαφορὰ ἐν τῷ μετὰ ταῦτα κατὰ τοῦτο δειχθήσεται μάλιστα, ἐν τῷ θᾶττον ἢ βραδύτερον μετασχεῖν τῆς ἐλπιζομένης μακαριότητος. τῷ γὰρ μέτρῳ τῆς ἐγγενομένης ἑκάστῳ κακίας ἀναλογίσεται πάντως καὶ ἡ τῆς ἰατρείας παράτασις. ἰατρεία δὲ ἂν εἴη ψυχῆς ὁ τῆς κακίας καθάρσιος· τοῦτο δὲ ἄνευ ἀλγεινῆς διαθέσεως κατορθωθῆναι οὐχ οἷόν τε, καθὼς ἐν τοῖς προλαβοῦσιν ἐξήτασται. μᾶλλον δὲ ἄν τις ἐπιγνοίη τῶν ἐνστάσεων τὸ περιττὸν καὶ ἀνοίκειον, εἰς τὸ βάθος τῆς ἀποστολικῆς διακύψας σοφίας. τοῖς γὰρ Κορινθίοις τὸ περὶ τούτων σαφηνίζων μυστήριον, τάχα ταῦτα προτεινόντων αὐτῷ κἀκείνων, ἃ παρὰ τῶν νῦν κατεπιχειρούντων τοῦ δόγματος ἐπὶ ἀνατροπῇ τῶν πεπιστευμένων προφέρεται, τῷ ἰδίῳ ἀξιώματι τὸ τῆς ἀμαθίας αὐτῶν ἐπικόπτων θράσος, οὑτωσὶ λέγει· ἐρεῖς οὖν μοι, πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; ἄφρων, φησί, σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ, καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι σίτου, ἢ ἄλλου τινὸς τῶν σπερμάτων· ὁ δὲ Θεὸς δίδωσιν αὐτῷ σῶμα καθὼς ἠθέλησεν. ἐνταῦθα γὰρ ἐπιστομίζειν μοι δοκεῖ τοὺς ἀγνοοῦντας τὰ οἰκεῖα μέτρα τῆς φύσεως, καὶ πρὸς τὴν ἑαυτῶν ἰσχὺν τὴν θείαν ἀντεξετάζοντας δύναμιν, καὶ οἰομένους τοσοῦτον εἶναι τῷ Θεῷ δυνατόν, ὅσον χωρεῖ καὶ ἡ ἀνθρωπίνη κατάληψις· τὸ δὲ ὑπὲρ ἡμᾶς ὄν, καὶ τοῦ Θεοῦ παριέναι τὴν δύναμιν. ὁ γὰρ ἐρωτήσας τὸν ἀπόστολον τὸ πῶς ἐγείρονται οἱ νεκροί, ὡς ἀμήχανον ὂν τὸ ἐσκεδασμένον τῶν τοῦ σώματος στοιχείων εἰς συνδρομὴν πάλιν ἐλθεῖν ἀποφαίνεται· καὶ ὡς τούτου μὴ δυναμένου, ἄλλου δὲ σώματος παρὰ τὴν συνδρομὴν τῶν στοιχείων οὐχ ὑπολειπομένου, τοῦτό φησι κατὰ τοὺς δεινοὺς τῶν διαλεγομένων συμπεράνας διά τινος ἀκολουθίας ἅπερ ὑπέθετο. εἰ σῶμα ἐστὶ συνδρομὴ στοιχείων· τούτων δὲ ἀμήχανος ἐκ δευτέρου ἡ σύνοδος,

A & oculum & cor, id fuerit quod in ſuperis naturæ rerum præſidet vniuerſæ. Porrò differentia vitæ, quæ vel cum virtute, vel cum nequitia vitióque tranſigitur, poſthac maximè per hoc oſtenditur, quòd citius aut tardius quis beatitudinis quæ ſperatur, particeps fiet. Nam pro modo vnicuique inſitæ vitioſitatis proportione reſpondens accommodabitur prorſus etiam productio medicinæ. Medicina autem animæ fuerit vitioſitatis expiatio: ea verò ſine dolorifica affectione perfici non poteſt, quemadmodum in ſuperioribus quæ-
B ſitum atque oſtenſum eſt. Magis autem ſuperfluitatem, ineptitudinem & inconuenientiam obiectorum argumentorum agnouerit, ſi quis profunditatem Apoſtolicæ ſapientiæ contemplatus fuerit. Nam Corinthiis myſterium huius rei declarans, cùm & illi ipſi eadem forſitan obijcerent, quæ nunc ab illis, qui hanc doctrinam oppugnant, ad euerſionem fidei eorum creduntur, proferuntur, ſua authoritate illorum imperitiæ atque inſcitiæ coërcens audaciam, ita dicit: Dices
C igitur mihi, Quo modo mortui reſurgunt? quali item corpore venient? Stulte, inquit, Tu quod ſeminas, non viuificatur, niſi mortuum fuerit, & id quod ſeminas, non quod naſcetur, corpus ſeminas, ſed nudum granum verbi gratia, tritici, aut alicuius ex cæteris ſeminibus. Deus autem dat ei corpus, vt vult. Hic enim mihi os obturare, atque ſilentium imponere iis videtur, qui proprias menſuras naturæ ignorant, & cum ſuis viribus diuinam ex aduerſo comparant potentiam, atque exiſtimant tantum Deum poſſe, quantum humanũ ingenium capere atque com-
D prehendere poſſit: quod autem ſupra nos ſit, etiam diuinam potentiam præcedere atque ſuperare. Qui enim interrogauerant Apoſtolum, qua ratione mortui reſurgerẽt: quaſi fieri non poſſe cenſent, vt corporis elementa diſſipata rurſum veniant ad concurſum: & cùm hoc quaſi fieri non poſſet, nec aliud præter id, quod ex concurſu conſletur elementorum, corpus relinqueretur: more eorum qui ſubtiliter & callidè diſſerunt ac diſputant, per quandam conſequentiam ea quæ propoſuerat, oratione concludens, hoc dicit: Si corpus eſt concurſus elementorum, ac fieri non poteſt, vt iterum ea coëant & conueniant,

1. Cor. 15.

quo corpore vtentur ij, qui reſurgunt? Hoc igitur, quod per artificioſam quandam calliditatem ab iis connexum & concinnatum videbatur, ſtultitiam nominauit, qui non animaduertiſſent in reliqua creatura præſtantiam & excellentiam potentiæ diuinæ. Omiſſis enim ſublimioribus miraculis Dei, per quæ ad dubitationem ac perplexitatem adduci poterat auditor, veluti, quidnam ſit corpus cœleſte? aut vnde ſit? quidnam item corpus ſolis aut lunæ? aut id quod in ſideribus apparet? quid æther? quid aër? quid aqua? terra? per ea, quæ frequenti conſuetudine nobis nata magíſque communia ſunt, arguit inconſiderantiam aduerſariorum. An nec agricultura quidem te docet, inquit, quòd ſtultus & ineptus ſit is, qui ex modo ac menſura ſuarum virium diuinæ potentiæ æſtimat excellentiam? vnde ſeminibus, ea quæ naſcuntur, corpora? quid item præcedit eorum germinationem? an non mors? Si quidem mors eſt, compacti atque coagmentati diſſolutio. Nam ſemen non perueniret ad germinationem, niſi in gleba diſſolutum, mollitum & rarum effectum, atque in plures meatus diffuſum fuerit, vt ſua propria qualitate permiſceatur cum adiacente humore, atque ita in radicem & germen tranſmutetur: ac ne in his quidem maneat: ſed in medio enatis geniculis, veluti quibuſdam nodis & vinculis, ſuccinctum in culmum mutetur, vt in figura ardua atque erecta ſpicam fruge grauatam ferre poſſit: vbi igitur hæc, quæ circa frumentum conſpiciuntur, erant, antequam id in gleba diſſolutum ac diffuſum eſſet? Atqui illinc hoc ortum eſt. Nam niſi illud prius fuiſſet, ne ſpica quidem nata eſſet. Quemadmodum igitur corpus ſpicæ ex ſemine prouenit, diuina potentia ex illo ipſo hoc efficiente, ac neque penitus idem cum ſemine, neque omnino ab eo diuerſum eſt: eodem modo, inquit, myſterium quoque Reſurrectionis iam tibi per ea, quæ mirabiliter fiunt in ſeminibus præſignificatur, quòd diuina nimirum potentia per ſuæ poteſtatis excellentiam non ſolùm illud diſſolutum tibi denuo reddat, verumetiam alia tibi magna atque præclara adijciat, per quæ tibi natura ad auguſtiorem & ampliorem decorem inſtruitur & exornatur. Seminatur, enim, inquit, in cor- 1. Cor. 15.

A ποίῳ χρήσονται σώματι οἱ ἀνιστάμενοι; τὸ τοίνυν δοκοῦν διά τινος τεχνικῆς σοφίας αὐτοῖς συμπεπλέχθαι, ἀφροσύνην ὠνόμασε, τῶν μὴ κατιδόντων ἐν τῇ λοιπῇ κτίσει τὸ ὑπερέχον τῆς θείας δυνάμεως· καταλιπὼν γὰρ τὰ ὑψηλότερα τοῦ Θεοῦ θαύματα, δι' ὧν ἦν εἰς ἀπορίαν ἀγαγεῖν τὸν ἀκούοντα, οἷον, τί τὸ οὐράνιον σῶμα; καὶ πόθεν; τί δὲ τὸ ἡλιακόν, ἢ τὸ σεληναῖον; ἢ τὸ ἐν τοῖς ἄστροις φαινόμενον; ὁ αἰθήρ; ὁ ἀήρ; τὸ ὕδωρ; ἡ γῆ; ἀλλ' ἐκ τῶν συντρόφων ἡμῖν καὶ κοινοτέρων ἐλέγχει τῶν

B ἐνισταμένων τὸ ἀνεπίσκεπτον. οὐδὲ ἡ γεωργία σε διδάσκει, φησίν, ὅτι μάταιός ἐστιν ὁ πρὸς τὸ ἑαυτοῦ μέτρον τῆς θείας δυνάμεως τὸ ὑπερέχον στοχαζόμενος; πόθεν τοῖς σπέρμασι τὰ περιφυόμενα σώματα; τί δὲ καθηγεῖται τῆς βλάστης αὐτῶν; οὐχὶ θάνατος εἴπερ θάνατός ἐστιν ἡ τοῦ συνεστηκότος διάλυσις. τὸ γὰρ σπέρμα μὴ ἀνέλθοι εἰς ἔκφυσιν μὴ διαλυθὲν ἐν τῇ βώλῳ, καὶ γενόμενον ἀραιὸν καὶ πολύπορον, ὥστε καταμιχθῆναι πρὸς τὴν παρακειμένην ἰκμάδα τῇ οἰκείᾳ ποιότητι, καὶ οὕτως εἰς ῥί-

C ζαν καὶ βλάστην μεταποιηθῆναι, καὶ μηδὲ ἐν τούτῳ μεῖναι, ἀλλὰ μεταβαλεῖν εἰς καλάμην, τοῖς διὰ μέσου γόνασιν, οἷόν τισι συνδέσμοις ὑποζωσμένην, πρὸς τὸ δύνασθαι φέρειν ἐν ὀρθίῳ τῷ σχήματι τὸν στάχυν τῷ καρπῷ βαρυνόμενον· ποῦ τοίνυν ταῦτα περὶ τὸν σῖτον ἦν πρὸ τῆς ἐν τῇ βώλῳ αὐτοῦ διαλύσεως; ἀλλὰ μὴν ἐκεῖθεν τοῦτό ἐστιν. εἰ γὰρ μὴ ἐκεῖνο πρότερον ἦν, οὐδ' ἂν ὁ στάχυς ἐγένετο. ὥσπερ τοίνυν τὸ κατὰ τὸν στάχυν σῶμα ἐκ τοῦ σπέρματος φαίνεται, τῆς θείας δυνάμεως

D ἐξ αὐτοῦ ἐκείνου τοῦτο φιλοτεχνούσης, καὶ οὔτε δι' ὅλου ταὐτόν ἐστι τῷ σπέρματι, οὔτε παντάπασιν ἕτερον· οὕτω, φησί, καὶ τὸ μυστήριον τῆς ἀναστάσεως ἤδη σοι διὰ τῶν ἐν τοῖς σπέρμασι θαυματοποιουμένων προερμηνεύεται, ὡς τῆς θείας δυνάμεως ἐν τῷ περιόντι τῆς ἐξουσίας, οὐ μόνον ἐκεῖνο τὸ διαλυθέν σοι πάλιν ἀποδιδούσης, ἀλλὰ μεγάλα τε καὶ καλὰ προστιθούσης, δι' ὧν σοι πρὸς τὸ μεγαλοπρεπέστερον ἡ φύσις κατασκευάζεται. σπείρεται, φησίν, ἐν

φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν. ὡς γὰρ καταλιπὼν μετὰ τὸ διαλυθῆναι ἐν τῇ βώλῳ σῖτος, τὴν ἐν τῷ ποσῷ βραχύτητα, καὶ τὴν ἐν τῷ ποιῷ τοῦ σχήματος αὐτοῦ ἰδιότητα, ἑαυτὸν οὐκ ἀφῆκεν, ἀλλ' ἐν αὐτῷ μένων στάχυς γίνεται, πάμπολλα διαφέρων αὐτὸς ἑαυτοῦ, μεγέθει, καὶ κάλλει, καὶ ποικιλίᾳ, καὶ σχήματι· κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις ἐναφεῖσα τῷ θανάτῳ πάντα τὰ περὶ αὐτὴν ἰδιώματα, ὅσα διὰ τῆς ἐμπαθοῦς διαθέσεως ἐπεκτήσατο, τὴν ἀτιμίαν λέγω, τὴν φθορὰν, τὴν ἀσθένειαν, τὴν κατὰ τὰς ἡλικίας διαφορὰν, ἑαυτὴν οὐκ ἀφίησιν· ἀλλ' ὥσπερ εἰς στάχυν τινὰ πρὸς τὴν ἀφθαρσίαν μεθίσταται, καὶ τὴν δόξαν, καὶ τὴν τιμὴν, καὶ τὴν δύναμιν, καὶ τὴν ἐν πᾶσι τελειότητα, καὶ τὸ μηκέτι τὴν ζωὴν αὐτῆς οἰκονομεῖσθαι τοῖς φυσικοῖς ἰδιώμασιν, ἀλλ' εἰς πνευματικήν τινα καὶ ἀπαθῆ μεταβῆναι κατάστασιν. αὕτη γάρ ἐστιν ἡ τοῦ ψυχικοῦ σώματος ἰδιότης, ἀεὶ διά τινος ῥοῆς καὶ κινήσεως ἀπὸ τοῦ ἐν ᾧ ἐστιν ἀλλοιοῦσθαι, καὶ μεταβάλλειν εἰς ἕτερον. ἃ γὰρ νῦν οὐκ ἐπ' ἀνθρώποις μόνον ὁρῶμεν, ἀλλὰ καὶ ἐν φυτοῖς καὶ ἐν βοσκήμασι, τούτων οὐδὲν ἐν τῷ τότε βίῳ ὑπολειφθήσεται. δοκεῖ δέ μοι καὶ διὰ πάντων συναγορεύειν ὁ ἀποστολικὸς λόγος τῇ καθ' ἡμᾶς ὑπολήψει τῆς ἀναστάσεως, καὶ τοῦτο δεικνύειν ὅπερ ὁ ἡμέτερος ὁρισμὸς περιέχει λέγων, μηδὲν ἕτερον εἶναι ἀνάστασιν, ἢ τὴν εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀποκατάστασιν. ἐπειδὴ γὰρ ἐν τῇ πρώτῃ κοσμογονίᾳ τοῦτο παρὰ τῆς γραφῆς μεμαθήκαμεν, ὅτι πρῶτον ἐβλάστησεν ἡ γῆ βοτάνην χόρτου, καθὼς ὁ λόγος φησὶν, εἶτα ἐκ τοῦ βλάστης σπέρμα ἐγένετο· ὅπερ ἐπὶ τὴν γῆν καταῤῥυέντος, τὸ αὐτὸ πάλιν εἶδος τοῦ ἐξ ἀρχῆς φυέντος ἀνέδραμε· φησὶ δὲ τοῦτο ὁ θεῖος ἀπόστολος καὶ ἐπὶ τῆς ἀναστάσεως γίνεσθαι. οὐ μόνον δὲ τοῦτο παρ' αὐτοῦ διδασκόμεθα, τὸ πρὸς

A ruptione, reſurgit in incorruptibilitate: ſeminatur in infirmitate, reſurgit in potentia: ſeminatur in ignominia, reſurgit in gloria: ſeminatur corpus animale, reſurgit corpus ſpirituale. Vt enim poſteaquam in gleba diſſolutum ac diffuſum triticum fuerit, relicta ea, quæ in quantitate conſideratur exiguitate, & ea quæ in qualitate ſpectatur, figuræ ſuæ proprietate, ſeipſum non dimittit, ſed in ſeipſo manens ſpica euadit, longè plurimum ipſum ſeſe & magnitudine, & pulchritudine, & varietate, & figura ſuperans atque præcedens: ita natura B quoque humana omnibus ſuis in morte relictis proprietatibus, quas per affectionem ac diſpoſitionem paſſionibus, motibúſque & animi perturbationibus obnoxiam acquiſiuerat, dedecore, inquam, & ignominia, corruptione, infirmitate, ætatum differentia, ſeipſam non dimittit: ſed tanquam in ſpicam quandam, in incorruptibilitatem immutatur, in gloriam, in honorem, in potentiam, & in omni re perfectionem, & in eam conditionem, vt vita eius non amplius naturalibus proprietatibus admi- C niſtretur, ſed in ſpiritualem quendam, & à paſſionibus & animi motibus perturbationibúſque immunem ſtatum tranſeat. Hæc eſt enim animalis corporis proprietas, vt ſemper per fluxum quendam & motum ab eo, in quo verſatur, diuerſum fiat, & in aliud immutetur. Nam quæ nunc non ſolùm in hominibus, ſed etiam in plantis & ſtirpibus atque pecoribus bona videmus, horum nihil in illa, quæ tunc erit, vita relinquetur. Videtur autem mihi per omnia ſermo quoque Apoſtolicus cum noſtra de Reſurrectione opinione con- D cordare, atque id oſtẽdere, quod etiam noſtra continet definitio, quæ dicit, nihil aliud eſſe Reſurrectionem, quàm in antiquum ſtatum & conditionem naturæ noſtræ reſtitutionem. Quoniam enim in prima origine mundi, hoc à ſcriptura didicimus, quòd primùm graminis herbam terra produxit, vt in narratione continetur, deinde ex germine ſemen prouenit: quod poſtquam in terram defluxiſſet, eadem rurſus ſpecies eius, quod ab initio prouenerat, enata eſt: id nimirum diuinus Apoſtolus in Reſurrectione quoque fieri dicit. Non ſolùm autem hoc ab eo docemur, videlicet, quòd humanum

genus ad magnificentiorem & auguſtiorem ſtatum & conditionem immutetur: verumtiam quòd nihil aliud ſit id quod ſperatur, niſi id, quod erat in principio. Quoniam enim ab initio non ſpica ex ſemine, ſed ex illa ſemen prouenit: poſtea verò deinceps ſemini ſpica accreſcit, conſequentia ſimilitudinis apertè oſtendit: quòd vbi omnis per reſurrectionem nobis beatitudo repullulauerit, in antiquam gratiam atq. decorem reſtituetur. Cùm enim ſpica quodammodo nos quoque ab initio eſſemus, poſteaquam æſtu vitioſitatis exaruimus, exceptos nos terra per mortem diſſolutos rurſus in vere reſurrectionis, hoc nudum corporis granum ſpicam efficiet proceram, ingentem & copioſam, arduam & erectam, & ad altitudinem vſque cœli pertingentem, pro culmo vel ariſtis, incorruptibilitate reliquiſque diuinis & auguſtis inſignibus conſpicuam & ornatam. Oportet enim, inquit, corruptibile hoc induere incorruptibilitatem. Conſtat autem quòd incorruptibilitas, & honor, & gloria, & potentia, propria diuinæ naturæ ſint, quæ cùm priùs aderant ei, qui ad imaginem factus eſt, tum in poſterum reditura ſperantur. Nam prima ſpica, primus homo Adam erat: ſed poſteaquam per introitum vitioſitatis in multitudinem natura diuiſa eſt, ſicut in ſpica fructus exiſtit, ita ſingulatim vnuſquiſque homo illius ſpicæ forma nudati & cum terra commixti, rurſus in reſurrectione in antiquam pulchritudinem renaſcimur, pro vna illa prima ſpica, infinita millia ſegetum effecti. Porrò vita, quæ per virtutem tranſigitur, in hoc differt à vitioſa vita, quòd illi, qui in hac vita per virtutem ſeſe excoluerint, ſtatim in perfecta ſpica apparent: quibus autem propter vitioſitatem exilis, euanida, adulterina, ignaua, ventorúmque iniuriæ obnoxia vis per hanc vitam in animali ſemine fuit, quemadmodum ea, quæ κεράσβολα id eſt, dura atque immitia dicuntur, talium rerum periti naſci dicunt: hi etiamſi per reſurrectionem nati fuerint, magnam duritiam & ſeueritatem iudicis experientur, vt qui nimirum non valeant excreſcere & ſurgere ad formam ſpicæ,

A τὸ μεγαλοπρεπέστατον μεθίστασθαι τὸ ἀνθρώπινον· ἀλλ' ὅτι τὸ ἐλπιζόμενον οὐδὲν ἕτερόν ἐστιν, ἢ ὅπερ ἐν πρώτοις ἦν. ἐπειδὴ γὰρ τὸ κατ' ἀρχὰς οὐχ ὡς στάχυς ἀπὸ τοῦ σπέρματος, ἀλλ' ἐκεῖθεν τὸ σπέρμα. μετὰ ταῦτα δὲ ἐκ τούτου τῷ σπέρματι περιφύεται, ἡ τοῦ ὑποδείγματος ἀκολουθία σαφῶς ἐπιδείκνυσι, τὸ πᾶσαν τὴν διὰ τῆς ἀναστάσεως ἀναβλαστήσουσαν ἡμῖν μακαριότητα, πρὸς τὴν ἐξ ἀρχῆς ἐπανιέναι χάριν. στάχυς γὰρ ὄντες κατ' ἀρχὰς τρόπον τινὰ καὶ ἡμεῖς, ἐπειδὴ τῷ καύσωνι τῆς κακίας κατεξηράνθημεν, ὑπολαβοῦσα
B ἡμᾶς ἡ γῆ διὰ τοῦ θανάτου λυθέντας, πάλιν κατὰ τὸ ἔαρ τῆς ἀναστάσεως στάχυν ἀναδείξει, τὸν γυμνὸν τοῦτον κόκκον τοῦ σώματος, εὐμεγέθη τε καὶ ἀμφιλαφῆ καὶ ὄρθιον, καὶ εἰς τὸ οὐράνιον ὕψος ἀνατεινόμενον, ἀντὶ καλάμης ἢ ἀθέρικος τῇ ἀφθαρσίᾳ καὶ τοῖς λοιποῖς τῶν θεοπρεπῶν γνωρισμάτων ὡραϊζόμενον. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν. ἡ δὲ ἀφθαρσία, καὶ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ δύναμις, ἴδια τῆς θείας φύσεως εἶναι ὁμολογεῖται, ἅπερ παρῆν ποτέ τε περὶ τὸν
C κατ' εἰκόνα γενόμενον ἦν, καὶ εἰσαῦθις ἐλπίζεται. ὁ γὰρ πρῶτος στάχυς ὁ πρῶτος ἄνθρωπος ἦν Ἀδάμ· ἀλλ' ἐπειδὴ τῇ τῆς κακίας εἰσόδῳ εἰς πλῆθος ἡ φύσις κατεμερίσθη, καθὼς γίνεται ὁ καρπὸς ἐν τῷ στάχυϊ· οὕτως οἱ καθ' ἕκαστον γυμνωθέντες τοῦ κατὰ τὸν στάχυν ἐκεῖνον εἴδους, καὶ τῇ γῇ καταμιχθέντες, πάλιν ἐν τῇ ἀναστάσει κατὰ τὸ ἀρχέγονον κάλλος ἀναφυόμεθα, ἀντὶ ἑνὸς τοῦ πρώτου στάχυος αἱ ἄπειροι μυριάδες τῶν ληΐων γενόμενοι. ὁ δὲ κατ' ἀρετὴν βίος ἐν τούτῳ πρὸς τὴν κα-
D κίαν τὸ διάφορον ἔχει, ὅτι οἱ μὲν ἐνταῦθα παρὰ τὸν βίον δι' ἀρετῆς ἑαυτοὺς γεωργήσαντες, εὐθὺς ἐν τελείῳ τῷ στάχυϊ φαίνονται· οἷς δὲ διὰ κακίας ἐξίτηλός τε καὶ ἀνεμόφθορος ὁ κόκκος γέγονε παρὰ τὸν βίον τοῦτον ἡ ἐν τῷ ψυχικῷ σπέρματι δύναμις, καθάπερ τὰ λεγόμενα κεράσβολα οἱ τῶν τοιούτων ἐπιστήμονες λέγουσι γίνεσθαι· οὕτω καὶ οὗτοι, κἂν φύωσι διὰ τῆς ἀναστάσεως πολλὴν ἀποτομίαν παρὰ τῷ κριτῇ ἕξουσιν, ἅτε δὴ οὐκ ἰσχύοντες ἀναδραμεῖν ἐπὶ τὸ εἶδος τοῦ στά-

A χρυσος, καὶ γενέσθαι ἐκεῖνο ὅπερ ἦμεν πρὸ τῆς ἐπὶ τὴν γῆν καταπτώσεως. ἡ δὲ θεραπεία τοῦ ἐπιστατοῦντος τῶν γεννημάτων, ἡ τῶν ζιζανίων τε καὶ τῶν ἀκανθῶν ἐστὶ συλλογὴ, τῶν συναναφυέντων τῷ σπέρματι, πάσης τῆς ὑποτρεφούσης τὴν ῥίζαν δυνάμεως πρὸς τὸν νόθον μεταῤῥυείσης, δι᾽ ὧν ἄτροφόν τε καὶ ἀτελεσφόρητον τὸ γνήσιον ἔμεινε σπέρμα τῷ παρὰ φύσιν βλαστῷ συμπεπλεγμένον. ἐπειδὰν οὖν πᾶν ὅσον νόθον τε καὶ ἀλλότριον ἐκτιλῇ τοῦ τροφίμου, καὶ εἰς ἀφανισμὸν ἔλθῃ, τοῦ πυρὸς τὸ παρὰ φύσιν ἐκδαπανήσαντος τῷ αἰωνίῳ πυρὶ παραδοθέν· τότε καὶ τούτοις εὐτροφήσει ἡ φύσις, καὶ εἰς καρπὸν B ἀδρυνθήσεται διὰ τῆς τοιαύτης ἐπιμελείας, μακραῖς ποτε περιόδοις τὸ κοινὸν εἶδος τὸ ἐξ ἀρχῆς ἡμῖν θεόθεν ἐπιβληθὲν ἀπολαβοῦσα. μακάριοι δὲ εἰσὶν οἷς εὐθὺς τὸ τέλειον κάλλος τῶν ἀσταχύων συνανατέλλει τοῖς φυομένοις διὰ τῆς ἀναστάσεως. ταῦτα δὲ φαμὲν οὐχ ὡς σωματικῆς τινος διαφορᾶς ἐν τοῖς κατ᾽ ἀρετὴν ἢ κακίαν βεβιωκόσιν ἐν τῇ ἀναστάσει φανησομένοις· ὡς τὸν μὲν ἀτελῆ κατὰ τὸ σῶμα νομίζειν, τὸν δὲ τὸ τέλειον ἔχειν οἴεσθαι, ἀλλ᾽ ὥσπερ παρὰ τὸν βίον ὁ δεσμώτης τε καὶ ἄνετος, ἔχουσι μὲν ἀμφότεροι παραπλησίως τὰ σώ- C ματα. πολλὴ δὲ μεταξὺ ἀμφοτέρων ἡ καθ᾽ ἡδονήν τε καὶ λύπην διαφορά. οὕτως οἶμαι χρῆναι τῶν ἀγαθῶν τε καὶ κακῶν ἐν τῷ μεταξὺ ταῦτα χρόνῳ λογίζεσθαι τὴν διαφοράν. ἡ γὰρ τελείωσις τῶν ἐκ τῆς φθορᾶς ἀναφυομένων σωμάτων ἐν ἀφθαρσίᾳ τε καὶ δόξῃ, καὶ τιμῇ, καὶ δυνάμει παρὰ τοῦ ἀποστόλου γενέσθαι λέγεται· ἡ δὲ τῶν τοιούτων ἐλάττωσις οὐ σωματικήν τινα τοῦ φύντος διασημαίνει κολόβωσιν, ἀλλ᾽ ἑκάστου τῶν κατὰ τὸ ἀγαθὸν D νοουμένων στέρησίν τε καὶ ἀλλοτρίωσιν. ἐπεὶ οὖν ἕν τι χρὴ πάντως περὶ ἡμᾶς εἶναι τῶν κατὰ ἀντίθεσιν νοουμένων, ἢ ἀγαθὸν, ἢ κακὸν, δηλονότι τὸ ἐν τῷ ἀγαθῷ τινα λέγειν μὴ

A & euadere illud quod eramus antequam in terram delapſi eſſemus. Porrò curatura atque remedium, quòd adhibet is qui germinibus præeſt, hoc eſt, vt nimirum zizania ſimul ac ſpinas colligat, quæ vnà cum ſemine enatæ fuerint, omni vi radicem ſubtus alente in adulterinam naturam transfuſa: quibus rebus accidit, vt & genuinum ac germanum ſemen non nutriretur, & idcirco, quod ab eo germine, quod præter naturam iuxta enatum eſſet, ſuffocaretur, nihil vnquam perfecti producere poſſet. Poſteaquam igitur quicquid non ſincerum ac germanum, ſed adulterinum & alienum eſt, ex eo B quod ſincerum eſt, ac vim nutriendi habet, euulſum & ad interitum redactum fuerit: atque ignis id, quod naturale non eſt, abſumpſerit, tunc etiam horum natura copioſo nutrimento accepto grandeſcet, ac fructum producere maturabit per eiuſmodi curam longo tandem circuitu tẽporum, communi ſpecie, quæ ab initio nobis à Deo impreſſa atque attributa eſt, recuperata. Beati autem, quibus per reſurrectionem naſcentibus protinus ſimul perfecta atque abſoluta ſpicarum pulchritudo exorietur. Hæc autem dicimus, non quòd vlla corporalis in re- C ſurrectione differentia apparitura ſit in iis, qui cum virtute, vel vitio nequitiáque vitam tranſegerunt: vt alium quidem, quod ad corpus attinet, imperfectum putemus: alium autem perfectionem habere exiſtimemus, ſed quemadmodum per hanc vitam & vinctus & ſolutus ſimili quidem ambo corporis habitu ſunt, multum autem inter vtrumque quantum ad voluptatem & dolorem attinet, intereſt: eodem modo puto in futuro poſthac tem- D pore differentiam bonorum pariter ac malorum æſtimari oportere. Nam perfectio corporum ex ſemente renaſcentium cum incorruptibilitate pariter ac gloria, cum honore ac potentia futura dicitur ab Apoſtolo, harum verò rerum diminutio, non corporalem quandam renati mutilationẽ ſignificat, ſed vniuſcuiúſque eorum, quæ per bonum intelliguntur, priuationem ſimul & alienanationem. Quoniam igitur alterum circa nos prorſus eſſe oportet eorum, quæ per oppoſitionem intelliguntur, vel bonum, vel malum; perſpicuum eſt, quòd cùm aliquis non in bono verſari dicitur,

prorſus eum in malo verſari demonſtratur. Atqui circa vitioſitatem non honos, non gloria, non incorruptibilitas, non potentia eſt. Prorſus igitur neceſſe eſt, vt circa quem hæc non ſint, huic ea, quæ ex oppoſito intelliguntur, adeſſe non dubitetur, infirmitatem ſcilicet, ignominiam, corruptionem: & quæcumque eius generis ſunt, cuius in ſuperioribus ſcriptis mentionem fecimus; cùm diceremus quòd ij, qui ex vitioſitate contracti ſunt animæ morbi atque affectus, cùm per eam totam diffuſi coaluerint, & cum ea vniti fuerint, eiuſmodi euadunt, vt difficulter tolli atque aboleri poſſint. Talibus igitur cura conuenienti expurgatis & expiatis, quicquid in meliorem partem intelligitur, inuicem & in locum eorum ſuccedet, incorruptibilitas, vita, honor, gratia, gloria, potentia: & ſi quid aliud eiuſdem modi vel in ipſo Deo, vel in imagine eius (quæ eſt humana natura) cerni conijcimus & exiſtimamus. Ei gloria in ſæcula, Amen.

A τῇ), ἀπόδειξις γίνεται τοῦ ἐν τῷ κακῷ πάντως. ἀλλὰ μὴν περὶ τὴν κακίαν, οὐ τιμὴ, οὐ δόξα, οὐκ ἀφθαρσία, οὐ δύναμις. ἀνάγκη πᾶσα, περὶ ὃν μή ἐστι ταῦτα, τὰ τούτοις ἐξ ἀντιθέτου νοούμενα παρεῖναι, μὴ ἀμφιβάλλειν, ἀσθένειαν, ἀτιμίαν, φθορὰν, καὶ ὅσα τοιούτου γένους ἐστὶν, ἃ ἐν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ὅσα δυσαπάλλακτα γίνεται τῇ ψυχῇ τὰ ἐκ κακίας πάθη, δι' ὅλης αὐτῆς ἀνακραθέντα καὶ συμφυέντα, καὶ ἓν πρὸς ἐκείνην γενόμενα. τῶν τοιούτων οὖν ταῖς διὰ πυρὸς
B ἰατρείαις ἐκκαθαρθέντων τε καὶ ἀφανισθέντων, ἕκαστον τῶν πρὸς τὸ κρεῖττον νοουμένων ἀντεπελεύσεται, ἡ ἀφθαρσία, ἡ ζωὴ, ἡ τιμὴ, ἡ χάρις, ἡ δόξα, ἡ δύναμις, καὶ εἴ τι ἄλλο τοιοῦτον ἔν τε τῷ Θεῷ ἐπιθεωρεῖσθαι εἰκάζομεν, καὶ τῇ εἰκόνι αὐτοῦ, ἥ τις ἐστὶν ἡ ἀνθρωπίνη φύσις.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ, ΠΡΟΣ Θεόφιλον ἐπίσκοπον Ἀλεξανδρείας, κατὰ Ἀπολιναρίου.

ΟΥ μόνης ἐστὶ τῆς κοσμικῆς σοφίας εὔφορος ἡ μεγάλη τῶν Ἀλεξανδρέων πόλις, ἀλλὰ καὶ τῆς ἀληθινῆς τῆς ὄντως σοφίας παρ' ὑμῖν ἐξ ἀρχῆς βρύουσιν αἱ πηγαί. διό μοι δοκεῖ καλῶς ἔχειν, παρ' οἷς πλείων ἡ πρὸς τὸ ἀγαθόν ἐστι δύναμις, παρὰ τούτων γίνεσθαι τῷ κατὰ τὸ μυστήριον ἀληθείας τὴν συμμαχίαν. Φησὶ γάρ που καὶ τὸ ὑψηλὸν εὐαγγέλιον, ὅτι ᾧ τὸ πολὺ ἐδόθη, παρὰ τούτου τὸ πλέον ἀπαιτηθήσεται. Ἐν κοινῷ δίκαιος ἂν εἴης πᾶσαν τὴν ἐκ τῆς θείας χάριτος προσοῦσάν σοί τε καὶ τῇ ἐκκλησίᾳ σου δύναμιν ἀντιστῆσαι τῇ ψευδωνύμῳ γνώσει τῶν κατὰ τῆς ἀληθείας ἀεί τι καινὸν ἐφευρισκόντων, δι' ὧν τέμνεται μὲν ἡ κατὰ Θεὸν συμφωνία, σιγᾶται δὲ τὸ μέγα καὶ σεβάσμιον ὄνομα τῶν Χριστιανῶν, πρὸς δὲ τὰς ἀνθρωπίνας προσηγορίας ἡ ἐκκλησία καταμερίζεται. καὶ τὸ πάντων δεινότατον, ὅτι χαίρουσιν οἱ ἄνθρωποι τοῖς πρὸς τὴν πλάνην καθηγουμένοις ἐπονομάζεσθαι. εἰ μὲν οὖν ἦν δυνατὸν καθόλου τὴν προφητικὴν εὐχὴν εἰς πέρας ἐλθεῖν, καὶ ἐκλείπειν ἁμαρτωλοὺς ἀπὸ τῆς γῆς, καὶ τοὺς ἀνόμους, ὥστε μὴ ὑπάρχειν· ἐμφανῶς ἦν ἂν τὸ τοιοῦτον παντὶ προτιμότερον. ἐπεὶ δὲ οἱ λόγοι τῶν ἀνόμων ὑπερισχύουσιν ἐν τῇ τοῦ ἀντικειμένου συνεργίᾳ, τὴν κατὰ τῆς ἀληθείας ἔχοντες δύναμιν, ἀγαπητὸν ἂν εἴη ἐλαττῶσαι οὖν τὰ κακά, καὶ κωλῦσαι πρὸς τὸ πλέον προϊοῦσαν τὴν τῶν χειρόνων ἐπαύξησιν. τί οὖν ἐστιν ὅ φημι; οἱ τοῖς τοῦ Ἀπολιναρίου δόγμασι συνιστάμενοι, διὰ

Sancti Patris noſtri

GREGORII NYSSENI EPISCOPI, AD THEOPHIlum Epiſcopum Alexandrinum aduerſus Apollinarem.

Frontone Ducæo interprete.

B NON ſæcularis tantum ſapientiæ ferax eſt magna ciuitas Alexandrinorum, ſed & ipſius veræ atque genuinæ ſapiẽtiæ fontes apud vos iam inde à principio manant. Quamobrem rectè, vt mihi quidem videtur, ſeſe res habebit, ſi quibus ad ea quæ recta ſunt promouenda, plus ſuppetit virium, ab iis ad myſterium veritatis tuendum plus ſubſidij conferatur. Vt enim ait vſpiam ſublime Euangelium, Cui multum datum eſt, plus repetetur ab eo. Itaque meritò feceris, ſi omnem quæ in te eſt ex gratia diuina, & in Eccleſia tua vir-C tutem falsò nominatæ ſcientiæ oppoſueris eorum, qui ſemper aliquid noui contra veritatem comminiſcuntur, à quibus ea quæ ſecundum Deum eſt ſocietas dirimitur, magnum autem & venerabile Chriſtianorum nomen ſilentio inuoluitur, atque in humanas appellationes Eccleſia diuiditur: quódque omnium eſt indigniſſimũ, cum gaudent homines, cùm ab iis, quos in errore duces ſequuntur, nouum ſe nomen inueniſſe cognouerint. Ac ſi quidem fieri D poſſet, vt omnimo votum propheticum perficeretur, & deficerent peccatores à terra & iniqui, ita vt non eſſent; res ea foret omnibus præferenda. Poſtquam autem præualent iniquorum ſermones, quibus contra veritatem ab aduerſarij adiumentis vires dantur, præclarè nobiſcum agi videbitur, ſi mala ſaltem imminuere atque impedire poſſimus, ne quæ in dies efferuntur, deteriorum rerum incrementa longiùs proueh antur. Quid autem hęc verba ſibi volunt? Qui Apollinaris dogmatibus fauent, repre-

εἰ δὲ τοῦτο ἄτοπον, καὶ παντελῶς ἀσεβὲς, ταῖς ποικίλαις τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ θεοφανείαις εἰς ἀριθμὸν υἱῶν καταμερίζειν· τὴν ἴσην ἀτοπίαν ἔχει, καὶ τὴν διὰ σαρκὸς ἐπιφάνειαν, ἀφορμὴν εἰς ἑτέρου υἱοῦ κατασκευὴν ποιεῖσθαι. οἰόμεθα γὰρ, ὅτι κατὰ τὸ μέτρον τῆς ἑκάστου δυνάμεως τῶν δεχομένων τὴν θείαν ἐπιφάνειαν, ἀεὶ γέγονε τῆς ὑπερεχούσης φύσεως ἡ ὀπτασία. μείζων μὲν καὶ θεοπρεπεστέρα τοῖς δυναμένοις καθικέσθαι τοῦ ὕψους· ἐλάττων δὲ καὶ σμικροπρεπεστέρα τοῖς ἀχωρήτοις τοῦ μείζονος· οὗ χάριν οὐχ ὁμοίως ταῖς προλαβούσαις ἐπιφανείαις ἐν τῇ διὰ σαρκὸς οἰκονομίᾳ τῇ τῶν ἀνθρώπων ζωῇ ἐπιφαίνεται. ἀλλ' ἐπειδὴ πάντες, καθώς φησιν ὁ προφήτης, ἐξέκλιναν τε καὶ ἠχρειώθησαν· καὶ οὐκ ἦν, καθὼς γέγραπται, ὁ δυνάμενος συνιέναι καὶ ἐκζητῆσαι τὸ τῆς θεότητος ὕψος· διὰ τοῦτο τῇ σαρκωδεστέρᾳ γενεᾷ ἐπιφαινόμενος ὁ μονογενὴς υἱὸς, σὰρξ γίνεται, κατὰ τὴν βραχύτητα τοῦ δεχομένου ἑαυτὸν συστείλας· μᾶλλον δὲ, καθώς φησιν ἡ γραφὴ, ἑαυτὸν κενώσας· ἵνα ὅσον χωρεῖ ἡ φύσις, τοσοῦτον δέξηται. τὸ γὰρ εἶναι τὴν γενεὰν ἐκείνην, παρὰ τὰς προλαβούσας, κατάκριτον, σαφῶς παρὰ τῆς τοῦ κυρίου φωνῆς μεμαθήκαμεν, ἐν οἷς Σοδομίτας τε αὐτῶν ἀνεκτοτέρους εἶναί φησι, καὶ Νινευίτας, καὶ τὴν τοῦ νότου βασίλισσαν κατακρίνειν ἐν τῇ ἀναστάσει τὴν γενεὰν ἐκείνην, ὁ κύριος διωρίσατο. εἰ μὲν οὖν πάντες κατὰ τὸν Μωϋσέα δυνατοὶ εἶχον ἐντὸς γενέσθαι τοῦ γνόφου, ἐν ᾧ εἶδεν ὁ Μωϋσῆς τὰ ἀθέατα· ἢ κατὰ τὸν ὑψηλὸν Παῦλον, τρίτον οὐρανὸν ὑπεραρθῆναι, καὶ ἐν τῷ παραδείσῳ περὶ τῶν ὑπὲρ λόγον πραγμάτων διδαχθῆναι τὰ ἄρρητα· ἢ κατὰ τὸν ζηλωτὴν Ἠλίαν τῷ πυρὶ πρὸς τὸν αἰθέριον χῶρον συνεπαρθῆναι, καὶ μὴ βαρυνθῆναι τῷ ἐφολκίῳ τοῦ σώματος· ἢ κατὰ τὸν Ἰεζεκιήλ τε καὶ Ἡσαΐαν ἐπὶ τοῦ θρόνου τῆς δόξης ἰδεῖν, ἢ ὑπὸ τῶν Χερουβὶμ ἐπαιρόμενον, ἢ ὑπὸ τῶν Σεραφὶμ δοξαζόμενον· οὐδ' ἂν ἐγένετο πάντως χρεία τῆς διὰ σαρκὸς τοῦ Θεοῦ ἡμῶν ἐπιφανείας, πάντων τοιούτων ὄντων. ἐπεὶ δὲ, καθὼς ὁ κύριος λέγει, γενεὰ πονηρὰ καὶ μοιχαλὶς ἦν ἡ γενεὰ ἐκείνη· πονηρὰ μὲν, διὰ τὸ (καθώς φησι τὸ εὐαγγέλιον) ὅλον τότε τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι· μοιχαλὶς δὲ, διὰ τὸ ἀποστᾶσαν αὐτὴν τοῦ ἀγαθοῦ νυμφίου,

A Quod ſi hoc abſurdum planéque impium eſt, vt pro numero diuerſarum apparitionum vnigeniti filij Dei, tot etiam filios aſſignemus, parem profectò abſurditatem incurrit is, qui ex apparitione per carnem ad conſtituendum alterum filium arripit occaſionem. Sic enim cenſemus pro modulo facultatis eorũ qui diuinas apparitiones excipiebant: ſemper illius ſupremæ ac præſtantiſſimæ naturæ oblatam eſſe viſionẽ: maiorem quidem ac Deo digniorem his qui aſſequi ſublimitatem illam poterant, minorem verò atque ordinis inferioris iis, B qui maioris capaces non erant: quocirca neque ſimili ratione atque in præcedentibus apparitionibus in diſpenſatione ſecundum carnem generi humano ſeſe offert. Verùm quoniam omnes, vt inquit Propheta, declinauerũt, ſimul inutiles facti ſunt; neque erat, ſicut ſcriptum eſt, qui poſſet intelligere, & perquirere ſublimitatem diuinitatis; propterea, vt magis carnali generationi appareat vnigenitus filius, caro fit, ſéq. pro exiguitate eius à quo excipitur, contrahit, vel potius, vt cum ſcriptura loquar, C ſeipſum exinanit: vt quantũ capit natura, tantum excipiat. Illam enim generationẽ præter cæteras quæ præceſſerant, damnationi obnoxiam fuiſſe palam ex Domini voce didicimus, cum iis tolerabiliores Sodomitas ac Niniuitas fuiſſe dicit, & Reginam Auſtri generationem illam in reſurrectione condemnaturam Dominus pronuntiauit. Enimuero ſi omnes vt Moyſes caliginẽ ingredi potuiſſent, in qua vidit Moyſes, quæ ſpectari non poſſunt, aut quemadmodum ſublimis ille Paulus, ſupra tres cœlos attolli, atque in paradiſo de ſecretis doceri re- D bus, quæ verbis efferri non poſſunt: aut cum illo zelo ardente Elia curru igneo in locum æthereũ transferri, neque corporis mole ac pondere grauari: vel cum Ezechiele atque Eſaia ſedentem, in gloriæ throno cõtueri, aut ſupra Cherubim ſublatum, aut à Seraphim collaudatum, nihil penitus opus fuiſſet, hac Dei ſecũdum carnem apparitione, ſi tales omnes fuiſſent. Sed quoniã, vt inquit Dominus, generatio praua & adultera erat illa generatio: praua quidem, quòd, ſicut ait Euãgeliũ, totus mũdus in maligno tum poſitus eſſet; adultera verò quod optimum ſuum ſponſum deſeruiſſet, eique

qui per improbitatem animas adulterio polluit, fuiſſet commixta: eam ob cauſſam verus medicus qui malè habentes curat, prout medicinam morbus exigebat, ita laboranti ſollicitudinem ſuam & curationem adhibuit, vt quodammodo ſimul æger ipſe ad naturæ noſtræ ægritudinem ſe conformaret, & caro fieret, quæ naturæ ſuæ ac ſubſtantiæ inſitam habet infirmitatem, vt nobis Dei ipſius verba teſtantur, ſpiritus quidem promptus eſt, caro autem infirma. Enimuero ſi quod diuinum erat, cum in humanitate poſitum fuiſſet, & quod erat immortale in mortali, & quod potens in infirmo, & in mutabile atque corruptibili, quod immutabile erat, & incorruptibile, manere permiſit in mortalitate mortale, corruptibile in corruptione, & alia in aliis eodem modo, meritò quis binarium numerum in filio Dei obſeruarit, cum vtrumque eorum, quæ contraria ratione ſpectantur, ſeparatim apud ſe numerauerit. Sin autem mortale in immortali poſitū immortalitas factum eſt, paritérque corruptibile in incorruptionem mutatum eſt, aliáque omnia pari ratione in impatibilitatem quandam diuinitatémque conuerſa ſunt, quis locus relinquitur eorum commentis, qui in differentiam duorum id quod vnum eſt diuidunt. Verbum enim & ante incarnationem & poſt diſpenſationem in carne Verbum & erat & eſt, itémque Deus & ante formam ſerui, & poſt ipſam eſt Deus, verúmque lumen. Si ergo immobilis & immutabilis Deo conueniens omnis notio de vnigenito ſemper & cernitur, & eſt ipſe idem, eodem modo ſe habens apud ſe; quî fieri poteſt, vt ab illo cogamur eius apparitionem per carnem binarium filiorum numerum appellare: perinde quaſi hic quidem filius ſit qui erat ante ſæcula, ille autem per carnem alius filius Deo fuerit in lucem editus. Nos enim naturam quidem humanam Verbo coniunctam ſeruatam eſſe ex myſterio didicimus & credimus. Filium autem Dei carnalem eſſe & priuatim apud ſe ſpectari neque didicimus, neque vnde id colligi poſſit, intelligimus. Nam neque quod peccatum & maledictum propter nos factus ſit, vt inquit Apo-

A καὶ τῷ διὰ κακίας μοιχευούσῃ τὰς ψυχὰς διακεκρᾶσθαι· τούτου χάριν ὁ ἀληθινὸς ἰατρὸς, ὁ τοὺς κακῶς ἔχοντας θεραπεύων, ὡς ἐπεζήτει τὴν θεραπείαν ἡ νόσος, οὕτω προσήγαγε τῷ ἀῤῥωστοῦντι τὴν ἐπιμέλειαν, τρόπον τινὰ συναθενήσας τῇ ἀσθενείᾳ τῆς ἡμετέρας φύσεως, καὶ σὰρξ γενόμενος, ἥτις ἐν τῇ αὐτῆς φύσει συνουσιωμένην ἔχει τὴν ἀσθένειαν, καθὼς διδάσκει ἡ θεία φωνὴ, ὅτι τὸ μὲν πνεῦμα, πρόθυμον· ἡ δὲ σὰρξ, ἀσθενής. Εἰ μὲν οὖν τὸ θεῖον ἐν τῷ ἀνθρωπίνῳ γενόμενον, καὶ ἐν τῷ θνητῷ B τὸ ἀθάνατον, καὶ τὸ δυνατὸν ἐν τῷ ἀσθενεῖ, καὶ ἐν τῷ τρεπτῷ τε καὶ φθειρομένῳ τὸ ἀναλλοίωτόν τε καὶ ἄφθαρτον, ἀφῆκεν ἐπιμεῖναι τῷ θνητῷ τὸ θνητὸν, ἢ τῇ φθορᾷ τὸ φθαρτὸν, καὶ τὰ ἄλλα τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν τρόπον· εἰκότως ἄν τις δυάδα τῷ υἱῷ τοῦ Θεοῦ ἐνεθεώρησεν, τῶν κατὰ τὸ ἐναντίον θεωρουμένων ἑκατέρων, ἰδιαζόντως ἐφ' ἑαυτῶν ἀριθμουμένων. Εἰ δὲ τὸ θνητὸν ἐν τῷ ἀθανάτῳ γενόμενον, ἀθανασία ἐγένετο· ὁμοίως καὶ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μετέβαλε, καὶ τὰ ἄλλα πάντα ὡσαύτως πρὸς C τὸ ἀπαθές τε καὶ θεῖον μετεποιήθη· τίς ὑπολείπεται λόγος τοῖς εἰς δυϊκὴν διαφορὰν τὸ ἓν διασχίζουσιν. ὁ γὰρ λόγος καὶ πρὸ τῆς σαρκὸς, καὶ μετὰ τὴν ἐν σαρκὶ οἰκονομίαν, λόγος καὶ ἦν, καὶ ἔστι· καὶ ὁ Θεὸς καὶ πρὸ τῆς τοῦ δούλου μορφῆς, καὶ μετὰ ταύτην ὁ Θεός ἐστι· καὶ τὸ φῶς τὸ ἀληθινὸν πρίν τε ἐλλάμψῃ τῇ σκοτίᾳ, καὶ μετὰ ταῦτα φῶς ἐστιν ἀληθινόν. Εἰ οὖν ἄπτωτος καὶ ἀμετάθετος πᾶσα θεοπρεπὴς ἔννοια διὰ παντὸς περὶ τὸν μονογενῆ ὁρᾶται· καὶ ὁ αὐτός ἐστιν ἀεὶ πρὸς ἑαυ- D τὸν ὡσαύτως ἔχων· πῶς τίς ἡμᾶς ἀναγκάζει τὴν διὰ σαρκὸς γενομένην αὐτοῦ ἐπιφάνειαν, υἱῶν δυάδα κατονομάζειν· ὡς τοῦ μὲν προαιωνίου ὄντος υἱοῦ· τοῦ δὲ διὰ σαρκὸς τῷ Θεῷ γεννηθέντος, ἄλλου υἱοῦ. ἡμεῖς γὰρ σωθῆναι μὲν τὴν ἀνθρωπίνην φύσιν ἑνωθεῖσαν τῷ λόγῳ, παρὰ τοῦ μυστηρίου καὶ μεμαθήκαμεν καὶ πιστεύομεν· υἱὸν δὲ Θεοῦ σάρκινον ἰδιαζόντως ἐφ' ἑαυτοῦ θεωρούμενον οὔτε ἐμάθομεν, οὔτε ἐξ ἀκολουθίας τινὸς νοεῖν ἐναγόμεθα. οὔτε γὰρ ἁμαρτία καὶ κατάρα δι' ἡμᾶς, καθὼς ὁ Ἀπόστολος λέγει, γενόμε-

γενόμενος, καὶ τὰς ἡμετέρας λαβὼν ἀσθενείας, κατὰ τὴν Ἡσαΐου φωνήν, ἀφῆκε περὶ ἑαυτὸν ἀνιάτρευτον τὴν ἁμαρτίαν, καὶ τὴν κατάραν, καὶ τὴν ἀσθένειαν, ἀλλὰ τὸ μὲν θνητὸν ὑπὸ τῆς ζωῆς κατεπόθη· ὁ δὲ σταυρωθεὶς ἐξ ἀσθενείας, ζῇ ἐκ δυνάμεως. ἥ, τε κατάρα εἰς εὐλογίαν μετεποιήθη, καὶ πᾶν ὅσον ἀσθενὲς τῆς φύσεως ἡμῶν καὶ ἐπίκηρον ἀνακραθὲν τῇ θεότητι, ἐκεῖνο ἐγένετο, ὅπερ ἡ θεότης ἐστί. πόθεν οὖν ἄν τις τὴν δυάδα τῶν υἱῶν ἐννοήσειεν, ὡς ἀνάγκῃ τινὶ διὰ τῆς κατὰ σάρκα οἰκονομίας πρὸς τὴν τοιαύτην ὑπόληψιν εναγόμενος; ὁ γὰρ ἀεὶ ἐν τῷ πατρὶ ὢν, καὶ ἀεὶ ἔχων ἐν ἑαυτῷ τὸν πατέρα, καὶ ἡνωμένος αὐτῷ· ὡς ἦν καὶ πρότερον, οὕτω καὶ ἔστι, καὶ ἔσται· καὶ ἄλλος παρ' ἐκεῖνον υἱὸς οὔτε ἦν, οὔτε ἐγένετο, οὔτε ἔσται· ἡ δὲ προσληφθεῖσα τῆς ἀνθρωπίνης φύσεως ἀπαρχὴ ὑπὸ τῆς παντοδυνάμου θεότητος, ὡς ἂν εἴποι τις εἰκόνι χρώμενος, οἷόν τις σταγὼν ὄξους ἀπείρῳ πελάγει κατακραθεῖσα, ἔστι μὲν ἐν θεότητι, οὐ μὴν ἐν τοῖς ἰδίοις αὐτῆς ἰδιώμασιν. οὕτω γὰρ ἂν ἡ τῶν υἱῶν δυὰς ἀκολούθως ὑπενοεῖτο, εἰ τῇ ἀφράστῳ τοῦ υἱοῦ θεότητι ἑτερογενής τις φύσις ἐν ἰδιάζουσι σημείοις ἐπεγινώσκετο· ὡς εἶναι τὸ μὲν ἀσθενές, ἢ μικρόν, ἢ φθαρτόν, ἢ πρόσκαιρον· τὸ δέ, δυνατόν, καὶ μέγα, καὶ ἄφθαρτον, καὶ ἀΐδιον. ἐπειδὴ δὲ πάντων τῶν τοῦ θνητοῦ συνεπιθεωρουμένων ἐν τοῖς τῆς θεότητος ἰδιώμασι μεταποιηθέντων, ἐν οὐδενὶ καταλαμβάνεται ἡ διαφορά· ὅπερ γὰρ ἄν τις ἴδῃ τοῦ υἱοῦ, θεότης ἐστί, σοφία, δύναμις, ἁγιασμός, ἀπάθεια· πῶς ἂν διαιροῖτο τὸ ἓν εἰς δυϊκὴν σημασίαν, μηδεμιᾶς διαφορᾶς τὸν ἀριθμὸν μεριζούσης; ἡ γὰρ θεότης τὸ ταπεινὸν ὑπερύψωσε, τῷ κατωνομασμένῳ ἀνθρωπικῶς τὸ ὑπὲρ πᾶν εἶναι ὄνομα ἐχαρίσατο· τὸ ὑποχείριον καὶ δοῦλον, κύριον καὶ βασιλέα ἐποίησε· καθὼς ὁ Πέτρος φησίν, ὅτι κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε. νοοῦμεν γὰρ διὰ τοῦ Χριστοῦ βασιλείαν, καὶ διὰ τὴν ἀκριβῆ ἑνότητα τῆς τε προσληφθείσης σαρκός, καὶ τῆς προσλαβομένης θεότητος, ἀντιμεθίστανται τὰ ὀνόματα, ὥστε καὶ τὸ ἀνθρώπινον τῷ θείῳ, καὶ τὸ θεῖον τῷ

A ſtolus, Et infirmitates noſtras acceperit, vt Eſaias teſtatur, peccatum apud ſe non ſanatum, & maledictum & infirmitatem dereliquit, ſed mortale quidem abſorptum eſt à vita, crucifixus autem ex infirmitate viuit ex virtute, & maledictum in benedictionem mutatum eſt, & quicquid in natura noſtra infirmum eſt & caducum, diuinitati commixtum in id euaſit, quod ipſa eſt diuinitatis. Vnde ergo fieri poteſt, vt alicui binarius iſte filiorum numerus in mentem veniat, tanquam ex neceſſitate ab ipſa diſpenſatione in B carne ad eiuſmodi opinionem impulſo? Qui enim ſemper eſt in patre, ſempérque patrem in ſeipſo habet, ipſique vnitus, ſicut & olim erat, ita & eſt & erit, & aliud ab illo filius neque erat neque fuit, neque adeo erit, primitiæ verò naturæ humanæ, quas iam omnipotens diuinitas aſſumpſit, vt dixerit quiſpiam apta ſimilitudine vſus, tanquam aceti gutta quædam immenſo mari commixta, ſunt illæ quidem in diuinitate, non tamen in peculiaribus ſuis proprietatibus, ſic enim bi- C narius filiorum numerus colligi poſſet, ſi ineffabili in diuinitate filij diuerſi generis natura quæpiam peculiaribus ſuis inſignita notis agnoſceretur, ita vt hoc quidem infirmum eſſet, aut paruum, aut corruptibile, aut momentaneum, illud verò potens & magnum, & incorruptibile atque æternum. Quando autem, omnibus immutatis, in diuinitatis proprietatibus, quæcumque in mortali cum mortali ſtatu cerni poſſunt, in nullo differentia comperitur. Quicquid enim filij videt quiſquam, diuinitas eſt, ſapientia, virtus, ſancti- D ficatio, impaſſibilitas: quî fieri poteſt, vt quod vnum eſt, in notionem duplicem diuidatur, cum nulla ſit differentia, qua numeri diſtinctio nitatur? Diuinitas enim quod humile fuit, ſuperexaltauit, & ei quod humano more nominabatur, largita eſt, vt ſuper omne nomen eſſet: quod ſubditum & ſeruum erat, Dominum regémque fecit, ſicut & Petrus inquit, Dominum eum & Chriſtum fecit Deus. Per Chriſtum enim regnum intelligimus, & propter exactam vnionem aſſumptæ carnis & aſſumentis diuinitatis communicantur & mutuò dantur nomina, ita vt & humanum ex diuino, & diuinum ex

humano denominetur. Quapropter & A
qui crucifixus eſt Dominus gloriæ à
1.Cor.2.8. Paulo vocatur, & ille qui ab omni
creatura cœleſtium, terreſtrium & in-
fernorum adoratur, Ieſus nominatur.
His enim vera indiuiduáque vnio de-
claratur, ex eo quod & ineffabilis glo-
ria diuinitatis filij appellatione deſi-
gnetur: cum omnis caro confiteatur
Phil.2.10. & lingua, quia Dominus Ieſus Chri-
ſtus in gloria eſt Dei patris: ita vt qui
crucis tormenta ſit paſſus, & clauis con-
fixus, ac lancea vulneratus, à Paulo
gloriæ Dominus appelletur. Si ergo
quod humanum eſt, non in proprieta- B
tibus naturæ eſſe oſtenditur, ſed glo-
riæ Dominus eſt, neque ideo quis
binos gloriæ dominos auderet affir-
mare, cum vnum eſſe didiciſſet Ie-
ſum Chriſtum, per quem omnia: vnde
quæſo nobis binarium numerum filio-
rum obijciunt, aut confictam in nos
accuſationem, tanquam ſpecioſam oc-
caſionem ad ſuas ſtabiliendas opinio-
nes prætexunt? Hæc ſunt igitur quæ
ad defenſionem noſtram afferre poſ-
ſumus: à tua verò in Chriſto perfe-
ctione maius ac perfectius ad propu-
gnandam fidem ſubſidium exigimus:
ne qua illis anſa ad veritatem inſectan-
dam relinquatur, qui ex noſtra re-
prehenſione ſua commenta corrobo-
rant.

A ἀνθρωπίνῳ κατονομάζεσθαι. διὸ καὶ ὁ ἐσταυρωμένος, κύριος τῆς δόξης ὑπὸ τοῦ Παύλου καλεῖται· καὶ ὁ προσκυνούμενος ὑπὸ πάσης κτίσεως τῶν τε ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, Ἰησοῦς ὀνομάζεται. διὰ τούτων γὰρ ἡ ἀληθής τε καὶ ἀδιαίρετος ἕνωσις ἑρμηνεύεται ἐκ τοῦ καὶ τὴν ἄφραστον τῆς θεότητος δόξαν τῇ τοῦ υἱοῦ προσηγορίᾳ σημαίνεσθαι, ὅταν πᾶσα σὰρξ ἐξομολογήσηται καὶ γλῶσσα, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ· ὥστε τὸν τὰ πάθη τοῦ σταυροῦ καταδεξάμενον, καὶ περιπαρέντα
B ἥλοις, καὶ διαπαρέντα λόγχῃ, κύριον δόξης ὑπὸ τοῦ Παύλου προσαγορεύεσθαι. εἰ οὖν καὶ τὸ ἀνθρώπινον οὐκ ἐν τοῖς φύσεως ἰδιώμασι δείκνυται, ἀλλὰ κύριος τῆς δόξης ἐστίν· οὐκ ἂν δέ τις εἰπεῖν δύο κυρίους δόξης τολμήσειε, μαθὼν ὅτι εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· πόθεν ἡμῖν ἐπικαλοῦσι τὴν υἱῶν τὴν δυάδα, εἰ τὴν καθ' ἡμῶν κατηγορίαν εὐπρόσωπον ἀφορμὴν εἰς κατασκευὴν τῶν ἰδίων ὑπολήψεων προβαλλόμενοι; τὰ μὲν οὖν παρ' ἡμῶν εἰς ἀπολογίαν, τοιαῦτα. ζητοῦμεν δὲ παρὰ τῆς σῆς ἐν Χριστῷ τελειότητος μείζονα καὶ τελειοτέραν τῆς ἀληθείας τὴν συμμαχίαν, ὡς ἂν μηδεμίαν ἔχοιεν κατὰ τῆς ἀληθείας εἰς κατηγορίαν λαβὴν, οἱ διὰ τῆς καθ' ἡμῶν μέμψεως τὰς ἰδίας ὑπολήψεις κρατύνοντες.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ, ΠΡΟΣ Ἀρμόνιον· περὶ τοῦ, τί τὸ Χριστιανῶν ὄνομα ἢ ἐπάγγελμα.

ΟΠΕΡ ποιοῦσι πρὸς τοὺς κρατοῦντας οἱ τοῖς ἡμερινοῖς ὑποκείμενοι φόροις, ἐπειδὰν πλειόνων ἡμερῶν ἐλλειφθείη τὸ χρέος, ἀθρόως τὸ κατὰ μέρος ὀφλημάτων ἀποτιννύντες ἐν κεφαλαίῳ τὸ ὄφλημα, εἴ τινος ἐπιτύχοιεν εὐπορίας· τοῦτο ποιήσω καὶ αὐτὸς ἐπὶ τῆς σεμνότητός σου. χρεωστῶν γάρ σοι τὸ συνεχῶς ἐπιστέλλειν (διότι τοῖς Χριστιανοῖς ἡ ἐπαγγελία χρέος ἐστὶ) τὴν ἐν τῷ παρελθόντι χρόνῳ τῶν γραμμάτων ἔλλειψιν, ἣν ἀκουσίως πεποίημαι, νῦν ἀποπληρῶσαι βούλομαι, τοσοῦτον ἐκτείνας τῆς ἐπιστολῆς τὸ μέτρον, ὥστε καὶ πρὸς τὰ συνήθη μέτρα τῶν γραμμάτων διαιρουμένην, ἀντὶ πολλῶν νομισθῆναι. ὡς δ᾽ ἂν μὴ μάτην ἀδολεσχοίην τῷ μήκει τοῦ γράμματος· καλῶς ἔχειν ἡγοῦμαι διὰ τῆς ἐπιστολιμαίου ταύτης φωνῆς τὴν κατὰ πρόσωπον ἡμῶν συνουσίαν μιμήσασθαι. μέμνησαι γὰρ πάντως, ὅτι τῶν πρὸς ἀλλήλους πάντοτε ἡμῖν λόγων αἱ ἀφορμαὶ, μελέται πρὸς ἀρετὴν καὶ γυμνασίαι πρὸς θεοσέβειαν ἦσαν· σοῦ μὲν ἐπιστατικῶς ἀεὶ τοῖς λεγομένοις ἀνθυποφέροντος, καὶ οὐδὲν ἀνεξετάστως παραδεχομένου τῶν λεγομένων· ἡμῶν δὲ διὰ τὸ προήκειν τῷ χρόνῳ τὰ ἑκάστοτε παρὰ τῆς τοῦ λόγου ἀκολουθίας ἐπιζητούμενα διαλυόντων. Εἰ μὲν οὖν ἦν δυνατὸν καὶ νῦν γίνεσθαι οὕτως, ὥστε παρὰ τῆς σῆς συνέσεως δίδοσθαι λόγῳ τὴν ἀφορμήν· τῷ παντὶ κρεῖττον ἂν ἦν τὸ τοιοῦτον. διχόθεν γὰρ ἂν ὑπῆρχεν ἀμφοτέροις τὸ κέρδος, ἔκ τε τοῦ προσορᾶν ἀλλήλους, οὗ τί γλύκιον τῶν κατὰ

Sancti Patris noſtri

GREGORII NYSSENI EPISCOPI, AD HARMONIUM, quid nomen profeſsióve Chriſtianorum ſibi velit.

Laurentio Sifano interprete.

QVOD apud magiſtratus, & eos qui
B rerum potiuntur; faciunt ij, qui quotidianis vectigalibus obnoxij ſunt, vt ſi complurium dierum æs alienum ab ipſis perſolutum non ſit, in vnam ſummam coactum ſingularium debitorum æs alienũ dependent, ſiquam fortè nacti fuerint pecuniæ facultatem: id etiam ipſe faciam apud tuam amplitudinem. Nam cùm debeam crebras ad te mittere litteras, (quippe cum Chriſtianis promiſſio debitum ſit) quam in præterito tempore inuitus feci litterarum
C intermiſſionem, nunc explere & compenſare volo, & tantũ epiſtolæ modum excedens, vt ſi ad conſuetum modum literarũ diuidatur, loco multarum epiſtolarum haberi poſſit. Verùm ne fruſtra literarum prolixitate ludam, ac nugando tempus teram, rectè mihi facturus eſſe videor, ſi per epiſtolarem hanc vocem imitatus fuero cõſuetudinem, qua coram inter nos vti ſolemus. Meminiſti enim ſat ſcio, quòd ſemper argumenta ſermonum, quibus inter nos vti ſolebamus, meditationes virtutis erant, & ad
D Dei cultũ atque pietatẽ exercitationes: cùm tu quidem præceptoris ac magiſtri more ſemper iis, quæ dicebantur, ex aduerſo ſubijceres & opponeres, nihilque quod diceretur, abſq. excuſſione atque examinatione admitteres: nos verò, qui ætate præcederemus, quæ per conſequentiã ſermonis idẽtidem requirerentur, diſſolueremus. Si igitur nunc etiam ita fieri poſſet, vt à tua prudentia omni ſermoni occaſio daretur, nihil eo melius ac præſtabilius accidere poſſet: duplex enim vtrique noſtrum lucrum exiſteret, tum ex mutuo conſpectu, (quo quid in

vita mihi dulcius?) tum ex eo, quod plectri in modum à tua prudentia noſtra vetuſta cythara ſuſcitaretur: ſed quoniã vitæ neceſsitas facit, vt corpore ab inuicem diſiuncti ſimus, etiamſi animis ſemper coniungamur, neceſſarium fuerit, ſicubi cõtradictio aliqua nobis exiſtere viſa fuerit, per conſequentiam aduerſus ſermonem etiam tuã ſubire perſonam. Commodum autem fuerit primum argumentum quoddam, vnde aliqua ad animum vtilitas peruenire poſsit, proponere quaſi ſcopum literarum, quò ſpectent: deinde ſic ad rem propoſitam ſermoni operam dare. Igitur ad quærendum à nobis propoſitum eſto, QVÆ SIT CHRISTIANI HOMINIS PROFESSIO; fortaſsis enim haud inutilis erit huius rei conſideratio. Nam ſi plenè atque exactè inuentum fuerit id, quod per hoc nomen declaratur, magnum adiumentum adepti fuerimus ad vitam cum virtute tranſigendam, ſi id quod nominamur, per ſublimem quoque vitæ rationem verè eſſe ſtudeamus. Quemadmodũ enim ſi quis medicus, vel orator, vel geometra vocari deſideraſſet, non admitteret, vt propter imperitiam cognomen reprehenderetur, ſi facto periculo is non inueniretur, cuius nomine appellaretur: ſed qui verè harum alicuius profeſsionum nomine appellari vellet, ne falſo ſumpta appellatio cõuinceretur, ipſo ſtudio atque exercitio fidem faceret appellationi; eodem nos quoque modo, ſi verum hominis Chriſtiani profeſsionis ſcopum ſcrutando inuenerimus, nolimus non eſſe id, quod illud nomen pro nobis pollicetur: ne in nos etiam quadret id quod ab externis & infidelibus de ſimia vulgo narratur. Aiunt enim quendã in vrbe Alexandria circulatorem & præſtigiatorem exercuiſſe ac docuiſſe ſimiam, vt agilitate quadam in formam & habitum ſaltatricis ſeſe componeret, eique ſaltatricis appoſuiſſe perſonam, ac veſtem circumdediſſe exercitio conuenientem: & cùm chorum ei adhibuiſſet, placuiſſe ac celebratum hominũ ſermone, in pretio fuiſſe propter ſimiam, quæ ad cantilenæ modos ac numerum ſeſe flecteret contorqueretque, ac per omnia quæ & faciebat & facere videbatur, naturam occultaret. Cùm autem capti eſſent rei nouitate ſpectatores, quendã cæteris aſtutiorem ibi fuiſſe, qui ludo quodã inhiantibus ſpectaculo oſtẽderit ſimiam eſſe ſimiam.

A τὸν βίον ἐμοί; καὶ ἐκ τοῦ παρὰ τῆς σῆς φρονήσεως, πλήκτρου δίκην, τὴν γηραιὰν ἡμῶν ἀνακινεῖσθαι κιθάραν. ἐπεὶ δὲ ἡ τοῦ βίου ἀνάγκη διεστάναι ἡμᾶς παρασκευάζει τῷ σώματι, κἂν εἰ ταῖς ψυχαῖς συναπτώμεθα· ἀναγκαῖον ἂν εἴη, καὶ τὸ σὸν πρόσωπον ὑποδύεσθαι, εἴ που τις ἀντίρρησις πρὸς τὸν λόγον, κατὰ τὸ ἀκόλουθον, ἡμῖν ἀναφανείη. καλῶς δ᾽ ἂν ἔχοι ὑπόθεσίν τινα τῶν ψυχωφελῶν προθεῖναι τῷ τῶν γραμμάτων σκοπῷ· εἶθ᾽ οὕτω πρὸς τὸ προκείμενον ἀσχοληθῆναι τῷ λόγῳ. οὐκοῦν, ὡς ἐν προβλήματι, ζητείσθω παρ᾽ ἡμῶν, B ΤΙ ΤΟΥ ΧΡΙΣΤΙΑΝΟΥ ΤΟ ΕΠΑΓΓΕΛΜΑ; τάχα γὰρ οὐκ ἔξω τοῦ λυσιτελοῦντος ἡ περὶ τούτου σκέψις γενήσεται. εἰ γὰρ ἀκριβῶς εὑρεθείη τὸ διὰ τοῦ ὀνόματος τούτου δηλούμενον· πολλὴν ἂν λάβοιμεν πρὸς τὸν κατ᾽ ἀρετὴν βίον συνεργίαν· ἀληθῶς, ὅπερ ὀνομαζόμεθα, τοῦτο καὶ εἶναι διὰ τῆς ὑψηλῆς πολιτείας σπουδάζοντες. ὥσπερ γὰρ εἴ τις ἰατρός, ἢ ῥήτωρ, ἢ γεωμέτρης καλεῖσθαι ποθήσειεν, οὐκ ἂν δέξαιτο τῇ ἀπαιδευσίᾳ τὴν ἐπωνυμίαν ἐλέγχεσθαι, μὴ εὑρισκόμενος ἐπὶ τῆς πείρας ὃ ὀνομάζεται· C ἀλλ᾽ ὁ κατὰ ἀλήθειαν τι τούτων προσαγορεύεσθαι θέλων, ὡς ἂν μὴ ψευδώνυμος ἡ κλῆσις ἐλέγχοιτο, αὐτοῖς τοῖς ἐπιτηδεύμασι τὴν προσηγορίαν πιστώσηται· τὸν αὐτὸν καὶ ἡμεῖς τρόπον, εἴπερ τὸν ἀληθῆ σκοπὸν τοῦ Χριστιανοῦ ἐπαγγέλματος ἐξετάζοντες εὕροιμεν· οὐκ ἂν ἑλοίμεθα μὴ εἶναι τοῦτο, ὅπερ τὸ ὄνομα ὑπὲρ ἡμῶν ἐπαγγέλλεται. ὡς ἂν μὴ τὸ περὶ τοῦ πιθήκου διήγημα τὸ παρὰ τοῖς ἔξω περιφερόμενον καὶ ἡμῖν ἐφαρμόσειε. φασὶ γάρ τινα τῶν θαυματοποιῶν ἐπὶ τῆς Ἀλεξάνδρου πόλεως ἀσκήσαντα πίθηκον διά τινος εὐστροφίας D ὀρχηστικῶς σχηματίζεσθαι, καὶ περιθεῖναι αὐτῷ πρόσωπον ὀρχηστικόν, καὶ ἐσθῆτα τοῖς ἐπιτηδεύμασι πρόσφορον. καὶ χορὸν αὐτῷ περιστήσαντα, ἐνευδοκιμεῖν τῷ πιθήκῳ πρὸς τὸν τοῦ μέλους ῥυθμὸν ἑαυτὸν ἐλιγίζοντι, καὶ διὰ πάντων ἐπικρυπτομένῳ τὴν φύσιν, οἷς ἐποίει τε καὶ ἐφαίνετο. κατεχομένου δὲ τοῦ θεάτρου πρὸς τὸ καινοπρεπὲς τοῦ θεάματος, παρόντα τινὰ τῶν ἀστειοτέρων παιδιᾷ τινι δεῖξαι τοῖς προσκεχηνόσι τῷ θεάματι, πίθηκον ὄντα τὸν πίθηκον.

ἐπιβοώντων γὰρ πάντων, καὶ ἐπικροτούντων ταῖς τοῦ πιθήκου περιστροφαῖς, εὐρύθμως πρὸς τὴν ᾠδὴν καὶ τὸ μέλος συγκινουμένου· ῥῖψαι φασὶν αὐτὸν ἐπὶ τῆς ὀρχήστρας τῶν τραγημάτων ἐκεῖνα, ὅσα τὴν λιχνείαν τῶν τοιούτων θηρίων ἐφέλκεται. τὸν δὲ μηδὲν μελλήσαντα, ἐπειδὴ διασπαρέντα εἶδε πρὸ τοῦ χοροῦ τὰ ἀμύγδαλα· ἐκλαθόμενον τῆς τε ὀρχήστρας, καὶ τῶν κρότων, καὶ τῆς ἐσθῆτος καλλωπισμοῦ, ἐπιδραμεῖν τε αὖθις, καὶ τῇ τῆς χειρὸς παλάμῃ συλλέγειν τὰ εὑρισκόμενα. καὶ ὡς ἂν μὴ ἐμποδὼν εἴη τὸ προσωπεῖον τῷ στόματι, περιαιρεῖσθαι κατὰ σπουδὴν ἑαυτοῦ τοῖς ὄνυξι τὴν σεσοφισμένην μορφὴν περιθρύπτοντα. ὥστε αὐτὸν ἀθρόως γέλωτα κινῆσαι τοῖς θεαταῖς, ἀντὶ τῶν ἐπαίνων τε καὶ θαύματος, εἰδεχθῶς καὶ γελοίως ἐκ τῶν τοῦ προσωπείου λειψάνων διαφαινόμενον. ὥσπερ οὖν οὐκ ἐξήρκεσεν ἐκείνῳ τὸ σεσοφισμένον σχῆμα πρὸς τὸ νομισθῆναι ἄνθρωπον, ἀπελεγχθείσης ἐν τῇ λιχνείᾳ τῶν τραγημάτων τῆς φύσεως· οὕτως οἱ μὴ ἀληθῶς αὐτὴν τὴν φύσιν ἑαυτῶν τῇ πίστει μορφώσαντες, ῥᾳδίως ἐν ταῖς τοῦ διαβόλου λιχνείαις ἀπελεγχθήσονται ἄλλο τι ὄντες παρ' ὃ ἐπαγγέλλονται. ἀντὶ γὰρ ἰσχάδος, ἢ ἀμυγδάλης, ἢ τῶν τοιούτων τινὸς, τὸ κενόδοξον καὶ φιλότιμον, καὶ τὸ φιλοκερδὲς καὶ φιλήδονον, καὶ ὅσα ἄλλα τοιαῦτα ἡ κακὴ τοῦ διαβόλου ἀγορὰ, τοῖς λίχνοις τῶν ἀνθρώπων ἀντὶ τραγημάτων προτίθησι, ῥᾳδίως εἰς ἔλεγχον ἄγει τὰς πιθηκώδεις ψυχάς, οἳ διὰ μιμήσεως ἐσχηματισμένης τὸν Χριστιανισμὸν ὑποκρίνονται, τὸ τῆς σωφροσύνης ἢ τὸ τῆς πρᾳότητος, ἢ τινος ἄλλης ἀρετῆς προσωπεῖον ἐν τῷ καιρῷ τῶν παθημάτων ἑαυτῆς ἀφανίζοντες. οὐκοῦν ἀναγκαῖον ἂν εἴη νοῆσαι τοῦ Χριστιανισμοῦ τὸ ἐπάγγελμα· τάχα ἂν τοῦτο γενοίμεθα, ὅπερ τὸ ὄνομα βούλεται. ἵνα μὴ ψιλῇ τῇ ὁμολογίᾳ, καὶ τῷ προσχήματι τοῦ ὀνόματος μόνου καταμορφούμενοι, ἄλλο τι παρὰ τὸ φαινόμενον ὄντες, τῷ τὰ κρυπτὰ καθορῶντι ἐπιδειχθείημεν. τί τοίνυν ὁ Χριστιανισμὸς ἐξ αὐτῆς τῆς προσηγορίας νοεῖται, πρότερον ἐπισκεψώμεθα. ἔστι μὲν οὖν παρὰ τῶν σοφωτέρων μείζονά τινα καὶ μεγαλοφυεστέραν πάντως ἐξευρεθῆναι διάνοιαν, συνεπιπρέπουσαν τῷ ὑψηλῷ τοῦ ὀνόματος. ἃ δὲ ἡμεῖς χωροῦμεν περὶ τούτου τοῦ ὀνόματος, ταῦτά ἐστι. τὸ τοῦ Χριστοῦ ὄνομα εἰ πρὸς τὸ σαφέστερόν τι καὶ γνωριμώτερον ῥῆμα μεταληφθείη,

A Acclamantibus enim cunctis & applaudentibus agilitati ſimiæ, ad cantum & modulationem aptè ſe mouentis & circumagentis, proieciſſe eum aiunt in orcheſtra è bellariis ea, quæ taliũ beſtiarum ingluuiẽ attrahunt atque inuitant: illam verò nihil cunctatam, vt viderit ante chorũ diſperſa amygdala, oblitam & ſaltationis, & plauſuum, & veſtis ornamentorũ, accurriſſe ad ea, & manuum palmis collegiſſe, quæ inueniret: & ne impedimento eſſet, perſonam ori detraxiſſe celeriter, atque vnguibus ſuis aſſimilatam formam corrupiſſe atque dila-
B ceraſſe: atque ita pro laudibus & admiratione riſum abũdè ſpectatoribus mouiſſe, vt quæ turpis ac ridicula ex perſonæ reliquiis ſe conſpiciendã præberet. Quemadmodum igitur illi nõ ſatis fuit falſa atque aſſimulata adſcitáq. forma, ad hoc vt homo exiſtimaretur, deprehenſa per ingluuiem bellariorũ natura: ita qui non verè ipſam naturam ſuã fide formauerint, facilè per diaboli eſcam & ingluuiem conuincẽtur, quòd aliud ſint atque præ ſe ferant ac profiteantur. Prò caricis enim vel amygdalis, aut huiuſ-
C modi aliquo cibo, vana gloria, ambitio, lucri voluptatiſque ſtudiũ, & quæcumque ſunt alia huiuſmodi mala, diaboli annona loco bellariorum auidis hominibus propoſita, ſimiatũ ſimiles animos facilè produnt, qui per fictam imitationem Chriſtianiſmum ſimulant, temperantiæ, manſuetudinis, aut alicuius alterius virtutis perſonam in tempore afflictionum & calamitatum ſibi detrahentes & amouentes. Igitur neceſſe fuerit conſiderare & intelligere Chriſtianiſmi profeſſionem: fortaſſis enim fieri poſſi-
D mus id, quod nomen illud ſibi vult: ne dum nuda profeſſione ac ſpecie prætextúque ſolius nominis inſignimur, aliud atque videamur eſſe ab eo, qui occulta intuetur, demonſtremur. Quamobrem inprimis quid ex ipſa appellatione per Chriſtianiſmum intelligatur, cõſideremus. Fieri igitur poteſt, vt à ſapientioribus quidem maior planè & amplior intellectus, qui ſublimitati nominis reſpondeat, excogitetur: quæ autem nos capere & intelligere de hoc nomine poſſumus, hęc ſunt. Chriſti nomen, ſi ad dilucidius magiſque perſpicuum & intellectu facilius verbum transferatur,

regem ſignificat: quippe cùm ſancta ſcriptura huiuſmodi voce peculiari quodam vſu regiã indicet dignitatem, ſed quoniam, vt ait ſcriptura, numen diuinum verbis explicari ac percipi non poteſt, quippe cùm omnem ſuperet excogitationem & comprehenſionem: neceſſariò qui Spiritus ſancti nomine diuinitùs rapiebantur Prophetæ atque Apoſtoli, multis nominibus, notionibus & conſiderationibus ad intelligendum incorruptibilem naturam nos quaſi manu ducunt, alius ad aliam conſiderationem & intellectum Deo conuenientem nos dirigentes, vt ipſa quidem omnibus impoſita poteſtas regni nomine declaretur: ea verò vis quæ omnis affectus perturbationíſque expers, & ab omni vitioſitate ac malitia vacua, ac libera eſt, virtutis nominibus deſignetur, ita vt vnaquæque virtus de natura excellentiore tum dicatur, tum intelligatur: atque idem ſit & iuſtitia, & ſapientia, & potentia, & veritas, bonitáſque & vita, tum ſalus, incorruptibilitas immortalitáſque, tum immutari ac variari neſcia virtus, & quicumque ſublimis eſt intellectus, qui per hæc nomina declaretur, omnia nihil aliud quam Chriſtus & ſint & dicantur. Si igitur omnis ſublimis intellectus in Chriſti nomine comprehendi intelligitur (ſublimiori enim ſignificatione reliqua quoque continentur, ita vt cæterorum vnumquódque nomen in notione & intellectu regni conſideretur) fortaſſe per conſequentiam aliquo modo quid per Chriſtianiſmum ſignificetur, animaduertere & intelligere poſſimus. Si enim eius quod excellit inter ea nomina quibus incorruptibilis & immortalis natura explicatur, nominis participes ſumus, qui per fidem in eum cum ipſo coniungimur: omnino neceſſe eſt, vt quicumque vnà cum hoc nomine circa immortalem illam naturam conſiderantur intellectus, per conſequentiam cum illis quoque nobis cõmunio nominis ſit. Vt enim participatione Chriſti, Chriſtiani appellationẽ adepti ſumus: ita per conſequens conuenit omnium quoque ſublimium nominum nos adſciſcere cõmunionem ad ſocietatem. Ac quemadmodum in catena qui eam, quæ in extremitate eſt, curuaturã attraxerit, eás, quæ continenter inter ſe cohærent, per vnã attraxerit: ita quoniã Chriſti nomini reliqua quoque quibus ineffabilis ac multiformis illa beatitudo explicatur,

A τὸν βασιλέα σημαίνει, τῆς ἁγίας γραφῆς τὴν βασιλικὴν ἀξίαν τῇ τοιαύτῃ φωνῇ κατά τινα ἰδιάζουσαν χρῆσιν ἐνδεικνυμένης. ἀλλ' ἐπεὶ, καθώς φησιν ἡ γραφὴ, ἄφραστόν ἐστι τὸ θεῖον καὶ ἀκατάληπτον, πάσης ὑπερκείμενον καταληπτικῆς ἐπινοίας· ἀναγκαίως οἱ τῷ ἁγίῳ πνεύματι θεοφορούμενοι προφῆται καὶ ἀπόστολοι, πολλοῖς ὀνόμασί τε καὶ νοήμασιν ἐπὶ τὴν σύνεσιν τῆς ἀφθάρτου φύσεως ἡμᾶς χειραγωγοῦσιν· ἄλλου πρὸς ἄλλο τι τῶν θεοπρεπῶν νοημάτων ἡμᾶς διευθύνοντος· ὥστε τὴν μὲν ἐπὶ πάντων ἐξουσίαν διὰ τῆς βασιλείας ὀνόματι
B παραδηλοῦσθαι· τὸ δὲ πάθους παντὸς καὶ κακίας πάσης ἀμιγὲς καὶ ἐλεύθερον τοῖς τῆς ἀρετῆς ὀνόμασιν ὀνομάζεσθαι, ἑκάστης πρὸς τὸ κρεῖττον νοουμένης τε καὶ λεγομένης. ὥστε τὸ αὐτὸ δικαιοσύνην τε εἶναι, καὶ σοφίαν, καὶ δύναμιν, καὶ ἀλήθειαν, ἀγαθότητά τε, καὶ ζωὴν, καὶ σωτηρίαν, καὶ ἀφθαρσίαν, καὶ τὸ ἀμετάβλητόν τε καὶ ἀναλλοίωτον, καὶ πᾶν ὅ,τι περ ἐστὶν ὑψηλὸν νόημα, διὰ τῶν τοιούτων ὀνομάτων δηλούμενον, πάντα τινὰ Χριστὸν καὶ εἶναι καὶ λέγεσθαι. εἰ τοίνυν περίληψις παντὸς ὑψηλοῦ νοήματος ἐν τῷ τοῦ Χρι-
C στοῦ νοεῖται ὀνόματι· τῷ γὰρ ὑψηλοτέρῳ τῶν σημαινομένων καὶ τὰ λοιπὰ περιέχεται, ὡς ἕκαστον τῶν ἄλλων τῇ ἐννοίᾳ τῆς βασιλείας ἐνθεωρεῖσθαι· τάχα δι' ἀκολούθου γένοιτο ἄν τις ἡμῖν τῆς τοῦ Χριστιανισμοῦ ἑρμηνείας ἡ κατανόησις. εἰ γὰρ τῷ ὑπερέχοντι τῶν τῆς ἀφθάρτου φύσεως ἑρμηνευτικῶν ὀνομάτων συνονομαζόμεθα, οἱ διὰ τῆς εἰς αὐτὸν πίστεως πρὸς αὐτὸν συναπτόμενοι· ἀνάγκη πᾶσα ἐστὶ, καὶ ὅσα μετὰ τοῦ ὀνόματος τούτου περὶ τὴν ἄφθαρτον ἐκείνην θεωρεῖται φύσιν νοήματα, καὶ πρὸς ἐκεῖνα ἡμῖν τὴν ὁμωνυμίαν κατὰ
D τὸ ἀκόλουθον γίνεσθαι. ὡς γὰρ τῇ μετοχῇ τοῦ Χριστοῦ, τὴν τοῦ Χριστιανοῦ προσηγορίαν ἐσχήκαμεν· οὕτω προσήκει κατὰ τὸ ἀκόλουθον, καὶ πάντων ἡμᾶς τῶν ὑψηλῶν ὀνομάτων τὴν κοινωνίαν ἐφέλκεσθαι. καὶ καθάπερ ἐπὶ ἁλύσεως ὁ τὴν κατὰ τὸ ἄκρον ἀγκύλην ἐπισπασάμενος, τὰς συμφυεῖς ἐχομένας ἀλλήλων διὰ τῆς μιᾶς ἂν ἐφελκύσαιτο· οὕτως ἐπεὶ τῷ τοῦ Χριστοῦ ὀνόματι συμφυῶς ἔχει καὶ τὰ λοιπὰ τῶν ἑρμηνευτικῶν τῆς ἀφράστου καὶ πολυειδοῦς ἐκείνης μακαριότητος,

ἐπάναγκες ἂν εἴη τὸν τοῦ ἑνὸς δραξάμενον, καὶ τὰ λοιπὰ τῷ ἑνὶ συνεφέλκεσθαι. εἰ τοίνυν τὸ μὲν ὄνομά τις τοῦ Χριστοῦ ὑποδύοιτο, ὅσα δὲ τῷ ὀνόματι τούτῳ συνθεωρεῖται, μὴ δεικνύοι τῷ βίῳ, καταψεύδεται τοῦ ὀνόματος ὁ τοιοῦτος, κατὰ τὸ προτεθὲν ἡμῖν ὑπόδειγμα, προσωπεῖον ἄψυχον, ἀνθρωπίνῳ χαρακτῆρι μεμορφωμένον, περιθεὶς τῷ πιθήκῳ. οὔτε γὰρ τὸν Χριστὸν ἔστι μὴ δικαιοσύνην εἶναι, καὶ καθαρότητα, καὶ ἀλήθειαν, καὶ κακοῦ παντὸς ἀλλοτρίωσιν· οὔτε Χριστιανὸν ἔστιν εἶναι, τόν γε ἀληθῶς Χριστιανὸν, μὴ κἀκείνων τῶν ὀνομάτων τὴν κοινωνίαν ἐν ἑαυτῷ δεικνύοντα. οὐκοῦν, ὡς ἄν τις ὅρῳ τοῦ Χριστιανισμοῦ τὴν διάνοιαν ἑρμηνεύσειεν, οὕτως ἐροῦμεν, ὅτι Χριστιανισμός ἐστι τῆς θείας φύσεως μίμησις. καὶ μηδεὶς ὡς ὑπέρογκον καὶ ὑπερβαίνοντα τὴν τῆς φύσεως ἡμῶν ταπεινότητα διαβαλλέτω τὸν ὅρον· οὐ γὰρ ἐξέβη τὴν φύσιν ὁ ὅρος. εἰ γάρ τις τὴν πρώτην κατάστασιν τοῦ ἀνθρώπου λογίσαιτο, εὑρήσει διὰ τῶν γραφικῶν διδαγμάτων, ὅτι οὐκ ἐξῆλθε τὰ μέτρα τῆς φύσεως ἡμῶν ὁ ὅρος. ἡ γὰρ πρώτη τοῦ ἀνθρώπου κατασκευὴ κατὰ μίμησιν τῆς τοῦ Θεοῦ ὁμοιότητος ἦν· οὕτω τοῦ Μωϋσέως περὶ τοῦ ἀνθρώπου φιλοσοφήσαντος, ἐν οἷς φησίν· ὅτι ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. καὶ ἡ τοῦ Χριστιανισμοῦ ἐπαγγελία ἐστὶ, τὸ εἰς τὴν ἀρχαίαν εὐκληρίαν ἐπαναγαγεῖν τὸν ἄνθρωπον. εἰ δὲ τὸ ἀρχαῖον Θεοῦ ὁμοίωμα ὁ ἄνθρωπος ἦν· τάχα οὐκ ἔξω τοῦ σκοποῦ τὸν ὁρισμὸν πεποιήμεθα, μίμησιν θείας φύσεως τὸν Χριστιανισμὸν εἶναι ἀποφηνάμενοι. ἡ μὲν οὖν ὑπόσχεσις τῆς προσηγορίας οὕτω μεγάλη. καιρὸς δ' ἂν εἴη διασκοπῆσαι, εἰ τὸ μὴ οὕτως ἔχειν κατὰ τὸν βίον, ἀκίνδυνόν ἐστι τῷ προσποιουμένῳ τὸ ὄνομα. γένοιτο δ' ἂν ἐξ ὑποδειγμάτων σαφὲς τὸ ζητούμενον· ὑποκείσθω τις γραφικὴν ἐπαγγελλόμενος τέχνην, γενέσθω δὲ τούτῳ πρόσταγμα τοῦ κρατοῦντος, τοῖς πόρρωθεν ἀπῳκισμένοις χαράξαι τὴν τῆς βασιλείας μορφήν. εἰ τοίνυν εἰδεχθές τι καὶ δύσμορφον εἶδος ἐπὶ τοῦ πίνακος διαχαράξας, εἰκόνα βασιλέως τὴν ἀσχήμονα ταύτην μορφὴν ὀνομάσειεν· ἆρα οὐκ εἰκὸς ἀγανακτῆσαι τὴν ἐξουσίαν, ὡς τοῦ ἀρχετύπου κάλλους διὰ τῆς κακῆς ἐκείνης γραφῆς ἐν τοῖς ἀγνοοῦσιν ὑβριζομένου; οἷον γὰρ ἐπὶ τῆς εἰκόνος τὸ εἶδος δείκνυται,

A natura cohærent atque coniuncta ſunt: neceſſe fuerit eum qui vnū arripuerit, vna cum ipſo reliqua quoque attrahere. Si quis igitur nomen quidem Chriſti ſumat, quæ vero vnà cum hoc nomine conſiderātur, vita non exprimat, neque repræſentet: is nomen ementitur, iuxta propoſitam à nobis ſimilitudinem perſonā inanimam humanæ figuræ conformatam & aſſimilitam ſimiæ apponens. Fieri enim non poteſt, quin Chriſtus ſit & iuſtitia,& puritas,& veritas,atque cuiuſuis mali vitatio,neq. Chriſtianus eſſe poteſt(qui quidem verè Chriſtianus ſit) B qui non illorum nominū quoque communionem & ſocietatē in ſeſe oſtendat. Quocirca ſicut definitione aliquis quid per Chriſtianiſmum ſignificetur, declarauerit: dicemus, quòd Chriſtianiſmus ſit imitatio diuinæ naturæ. Ac nemo definitioni tanquā immodicæ, noſtræque humilitatem naturæ ſuperāti obtrectet: non enim exceſſit ea naturam. Nam ſi quis primam hominis conditionem & ſtatum conſiderauerit, deprehendet ex documentis ſcripturæ, quod definitio extra modū noſtræ naturæ egreſſa non C ſit. Nam & prima hominis fabricatio ad imitationē Dei ſimilitudinis erat, Moyſe de homine ita philoſophante, dum ait, Fecit Deus hominē, ſecundum imaginem Dei fecit eū: & Chriſtianiſmi profeſſio eſt, vt homo reducatur ad priſtinā & antiquam felicitatem. *Geneſ. 1.* Si igitur antiquitùs homo Dei ſimilitudo erat, forſitan haud abſurdam & à propoſito alienam fecimus definitionē, qui imitationem diuinæ naturæ Chriſtianiſmū eſſe pronunciamus. Profeſſio igitur appellationis ita magna eſt. Non alienum autem & intempeſtiuum iam fuerit diſpicere, an nihil in hoc periculi ſit ei, qui D hoc nomen prætendit, ſi eius vita talis non ſit. Ex ſimilitudinibus autē planum nobis ac perſpicuū fuerit id, quod quærimus. Ponatur aliquis eſſe, qui artem pingendi profiteatur, atque huic imperari à magiſtratu, vt iis qui procul habitant, regis imaginem ſculpat. Si igitur turpem aliquam ac deformem ſpeciem in tabula ſculptam imaginem regis indecoram eam formam nominauerit, an non veriſimile eſt indignaturam eſſe poteſtatem, quòd pulchritudo principalis propter malam illam picturam vituperetur inter ignaros? Qualis enim in imagine ſpecies oſtenditur, talem etiam

formam principalem exiſtimari neceſſe eſt. Quocirca ſi definitio Chriſtianiſmum Dei imitationẽ eſſe dicit, qualem vitam, quam iuxta imitationẽ Dei traduci creditum eſt, inter nos viderit is, qui nondum myſterij rationem acceperit, tale noſtrum quoq. numen eſſe exiſtimabit. itaque ſiquidem omnis boni exempla viderit, bonum credet eſſe numen, quod veneramur: ſin autẽ aliquis affectib. obnoxius, ac beſtiarum ſimilis fuerit, atque alias in alios identidem affectus transformetur, multáſque ferarum formas, morum atque ingenij immanitate induat & repreſentet (feras enim planè videre licet naturæ noſtræ deprauatæ vitiis informari:) deinde Chriſtianũ is ſe nominet, nemine ignorante, quòd eius nominis profeſſio imitationem Dei polliceatur: per vitam ſuam efficiet, vt quod à nobis creditur eſſe numẽ, vituperetur ac reprehendatur inter infideles. Quamobrem ſcriptura quoque talibus acriores ac terribiliores quodammodo minas denũciat, dum dicit: Væ propter quos nomini

Eſa 52. meo obtrectatur inter gentes. Ac mihi

Matth. 5. videtur ad hanc maximè ſententiam & intellectum nos ducens Dominus illud dixiſſe ad eos qui audire poterant: Sitis perfecti, ſicut & pater veſter cœleſtis perfectus eſt. Qui enim patrem eorum qui crediderũt, verum patrem nominauit, vult etiam eos, qui per ipſum geniti ſunt, bonorum perfectioni, quæ in illo ſpectatur, ſimiles eſſe. Dices igitur mihi, & qui fieri poſſit, vt humilitas humana ad eam, quæ in Deo conſpicitur beatitudinem enitatur? quaſi in ipſo videlicet præcepto, rei quæ fieri nequeat, perplexitas atque difficultas emineat & appareat. Qui enim fieri poſſit, vt terrenus ſimilis fiat ei, qui in cœlis eſt? cùm ea quæ in natura conſiſtit differentia oſtendat fieri non poſſe, vt imitando quis eò vſque euadat? Æquè enim fieri non poſſe, vt vel cœleſti magnitudini, & ei, quæ inibi eſt, pulchritudini facie quiſpiam adæquetur, vel homo terrenus cœleſti Deo aſſimiletur. Sed perſpicua hac de re oratio eſt: nimirum quòd non cum natura naturã, humanam inquam, cum diuina comparari iubeat Euangelium, ſed bonas actiones, quod ad eius fieri poſſit, viuendo imitari. Quænam igitur à nobis proficiſcũtur actiones, quę Dei actionum ſimiles ſunt? Ab omni vitioſitate atque malitia, quo ad eius fieri poſſit,

A τοιαύτην ἀνάγκη καὶ τὴν ἀρχέτυπον νομισθῆναι μορφήν. εἰ οὖν Θεοῦ μίμησιν τὸν Χριστιανισμὸν ὁ ὅρος φησίν· ὁ μήπω δεξάμενος τοῦ μυστηρίου τὸν λόγον, ἐπὰν ἐν ἡμῖν ἴδῃ τὸν βίον τὸν κατὰ μίμησιν Θεοῦ κατορθοῦσθαι πεπιστευμένον, τοιοῦτον ἡμῶν καὶ τὸ θεῖον οἰήσεται. ὥστε εἰ μὲν παντὸς ἀγαθοῦ ὑποδείγματα βλέποι, ἀγαθὸν τὸ θεῖον εἶναι πιστεύσει τὸ παρ' ἡμῶν σεβαζόμενον· εἰ δέ τις ἐμπαθὴς εἴη καὶ θηριώδης, ἄλλοτε πρὸς ἄλλα πάθη μεμορφωμένος θηρίων ἐν τῷ ἤθει μορφάς (θηρία γὰρ ἄντικρυς ἐστὶν ἰδεῖν ταῖς τῆς

B φύσεως ἡμῶν διαστροφαῖς ἐμμορφούμενα) ἔπειτα Χριστιανὸν ἑαυτὸν ὁ τοιοῦτος ὀνομάζοι, φανεροῦ πᾶσιν ὄντος, ὅτι ἡ ὑπόσχεσις τοῦ ὀνόματος μίμησιν Θεοῦ ἐπαγγέλλεται· ψεκτὸν ἐν τῷ ἰδίῳ βίῳ τὸ πεπιστευμένον παρ' ἡμῶν θεῖον ἐν τοῖς ἀπίστοις ποιήσει. διὸ καὶ ἀπειλήν τινα φοβερωτέραν ἡ γραφὴ τοῖς τοιούτοις ἐπαγγέλλεται, λέγουσα· οὐαί, δι' οὓς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. καί μοι δοκεῖ πρὸς ταύτην μάλιστα τὴν διάνοιαν ὁδηγῶν ἡμᾶς ὁ κύριος τοῦτο πρὸς τοὺς ἀκοῦσαι δυναμένους εἰπεῖν, ὅτι

C γίνεσθε τέλειοι, ὡς καὶ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος τέλειός ἐστιν. ὁ γὰρ πατέρα τῶν πεπιστευκότων, τὸν ἀληθινὸν ὀνομάσας πατέρα· βούλεται πρὸς τὴν ἐν ἐκείνῳ θεωρουμένην τῶν ἀγαθῶν τελειότητα, καὶ τοὺς δι' αὐτοῦ γεννηθέντας ὁμοίως ἔχειν. ἐρεῖς οὖν μοι, καὶ πῶς ἂν γένοιτο ἀνθρωπίνην ταπεινότητα πρὸς τὴν ἐν τῷ Θεῷ καθορωμένην μακαριότητα ἐκτείνεσθαι; ὡς αὐτόθεν ἐν τῷ προστάγματι τῆς ἀμηχανίας προφαινομένης. πῶς γὰρ ἂν γένοιτο δυνατόν, πρὸς

D τὸν ἐν οὐρανοῖς ὁμοιωθῆναι τὸν γήϊνον, αὐτῆς τῆς κατὰ τὴν φύσιν διαφορᾶς δεικνυούσης τὸ ἀνέφικτον τῆς μιμήσεως; ἐπ' ἴσης γὰρ εἶναι ἀμήχανον, τῷ τε οὐρανίῳ μεγέθει καὶ τοῖς ἐν αὐτῷ κάλλεσι τὴν ὄψιν παρισάζεσθαι, καὶ τὸν ἐκ γῆς ἄνθρωπον τῷ οὐρανίῳ ὁμοιοῦσθαι Θεῷ. ἀλλὰ σαφὴς ὁ περὶ τούτου λόγος· ὅτι οὐ τῇ φύσει τῇ θείᾳ τὴν φύσιν τὴν ἀνθρωπίνην συγκρίνεσθαι κελεύει τὸ εὐαγγέλιον, ἀλλὰ τὰς ἀγαθὰς ἐνεργείας, καθὼς ἂν ᾖ δυνατόν, μιμεῖσθαι τῷ βίῳ. τίνες οὖν εἰσὶν αἱ παρ' ἡμῶν ἐνέργειαι πρὸς τὰς τοῦ Θεοῦ ἐνεργείας ὁμοίως ἔχουσαι; τὸ πάσης κακίας ἀλλοτριοῦσθαι, καθὼς ἂν ᾖ δυνατόν,

ἔργῳ τε καὶ λόγῳ, καὶ διανοίᾳ τῆς περὶ αὐτῆς μολυσμάτων καθαρεύοντας. τοῦτο μίμησίς ἐστιν ὡς ἀληθῶς τῆς θείας τε καὶ τῆς περὶ τὸν οὐράνιον Θεὸν τελειότητος. οὐ γάρ μοι δοκεῖ τὸ στοιχεῖον τοῦ οὐρανοῦ, καθάπερ τι κεχωρισμένον ἐνδιαίτημα Θεοῦ λέγειν τὸ εὐαγγέλιον, ἐν οἷς παρεγγυᾷ τελειοῦσθαι ἡμᾶς, κατὰ τὸν ἐπουράνιον πατέρα· διότι τὸ θεῖον κατὰ τὸ ἴσον ἐν πᾶσιν ἐστὶ, καὶ διὰ πάσης ὡσαύτως διήκει τῆς κτίσεως, καὶ οὐδὲν ἀποχωρισθὲν τοῦ ὄντος ἐν τῷ εἶναι δύναιτο, ἀλλ' ὁμοτίμως ἑκάστου τῶν ὄντων ἡ θεία φύσις ἐφάπτεται, πάντα τῇ περιεκτικῇ δυνάμει ἐντὸς ἑαυτῆς περιείργουσα· καθάπερ καὶ ὁ προφήτης τοῦτο παιδεύει, λέγων· ὅτι κἂν ἐν τῷ οὐρανῷ γένωμαι τῇ διανοίᾳ, κἂν τὰ ὑπόγεια τῷ λογισμῷ καταδυεὶς ἐξετάσω, κἂν ἐπὶ τὰ πέρατα τῶν ὄντων τὸ διανοητικὸν τῆς ψυχῆς ἐπεκτείνω· πάντα ὁρῶ τῇ δεξιᾷ σου περικρατούμενα. ἔχει δὲ ἡ λέξις τοῦτον τὸν τρόπον· ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ εἶ ἐκεῖ· εἰ καταβῶ εἰς τὸν ᾅδην, πάρει. εἰ ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης· καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. οὐκοῦν ἐκ τούτων ἐστὶ μαθεῖν, τὸ μὴ ἀφωρίσθαι κατ' ἐξαίρετον τῷ Θεῷ τὴν οὐράνιον οἴκησιν· ἀλλ' ἐπειδή γε ἐπίσταται καθαρεύειν κακίας ἡ ἄνω λῆξις (τοῦτο πολλαχῇ τῆς ἁγίας γραφῆς παρασημαινούσης ἡμῖν δι' αἰνίγματος) καὶ τῇ κάτω ταύτῃ τῇ ὑλωδεστέρᾳ ζωῇ τὰ κατὰ κακίαν ἐνεργεῖται πάθη· ὡς δὲ τοῦ εὑρετοῦ τῆς κακίας ὄφεως περὶ τὸν γήινον βίον ἰλυσπωμένου καὶ ἕρποντος, καθώς φησιν ὁ λόγος περὶ αὐτοῦ ἐν αἰνίγματι, ὅτι ἐπὶ τὸ στῆθος καὶ τὴν κοιλίαν πορεύεται, καὶ γῆν σιτεῖται διαπαντός. τοῦτο δὲ τό, τε σχῆμα τῆς κινήσεως ἡμῖν ἑρμηνεύει, καὶ τὸ τῆς βρώσεως εἶδος· ὅτι γήινος οὗτος καὶ κατωχισμένος βίος ἐστὶν, ὃς τὴν ἑρπηδόνα τῆς πολυτρόπου κακίας ἐφ' ἑαυτοῦ δέχεται, καὶ τροφὴ τοῦ ἐφέρποντος αὐτὸν θηρίου γίνεται. οὐκοῦν ὁ τὸν οὐράνιον μιμεῖσθαι κελεύων πατέρα, τῶν γηΐνων παθῶν καθαρεύειν κελεύει· ὧν ἡ ἀπόστασις, οὐ διὰ τοπικῆς μεταβάσεως, ἀλλὰ διὰ προαιρέσεως ἐνεργεῖται μόνης. εἰ οὖν ἐν μόνῃ τῆς διανοίας ὁρμῇ κατορθοῦσθαι πέφυκεν ἡ τοῦ κακοῦ ἀλλοτρίωσις· οὐδὲν ἐπίπονον ἡμῖν

A eſſe alienos; atque ab eius inquinationibus, cum opere, cum ſermone, cum mente vacuos ac puros eſſe, id reuera diuinæ, & eius, quæ circa cœleſtem Deũ ſpectatur, perfectionis imitatio eſt. Non enim mihi videtur Euangeliũ elementum cœli tanquã ſeparatum quoddam domicilium Dei dicere, dum iubeq nos ita perfectos eſſe ſicut cœleſtis pater perfectus eſt: quippe cum numen diuinum in omnibus ex æquo ſit, & per omnem itidem creaturã permeet atque peruadat, & nihil, quod ab ente ſeparatum ſit, in eſſentia manere poſsit, ſed B æquabiliter parique ratione ac modo, vnamquamque rem natura diuina amplectatur & attingat, omnia vi comprehenſiua intra ſe cõtinens atq. coërcens: quemadmodum Propheta quoque hoc docet, dicẽs: Siue mente fuero in cœlo, ſiue ſubterranea cogitatione penetrans ſcrutatus fuero, ſiue ad terminos rerum vim animæ cogitatiuã & imaginatiuam extendero: oĩa video dextera tua cõprehendi. Dictio autem ad hunc modũ ſeſe habet: Si aſcendero in cœlũ, tu illic es: ſi deſcẽdero in infernũ, præſto es: ſi ſuſtulero alas meas ad diluculũ, & diuertero C ad extrema maris, etenim illic man' tua deducet me, & dextera tua me detinebit. Igitur ex his diſcere poſſumus, quòd non peculiariter cœleſtis habitatio Deo ſeparata ac deſtinata ſit: ſed quoniam ſuperna natura à vitioſitate & malitia pura eſſe ſolet, multis in locis hoc ſcriptura ſancta nobis ſignificante per ambages & inuolucra, & ab hac inferna, quę ex craſsiori materia cõflata eſt, vita, ea, quæ ex vitioſitate exiſtunt mala deſignantur, cùm hic inuentor vitioſitatis anguis circa vitam terrenã ſerpat atque voluatur, quemadmodũ de eo per verba inuoluta atq. tecta dicit ſcriptura, quòd D ſuper pectus ac ventrẽ ambulet, & terra veſcatur ſemper. Hoc autem tum figura motus, tum genus cibi nobis explicat, quòd hæc terrena & inferna vita ſit, quæ reptationẽ multiformis vitioſitatis in ſeſe admittit, & cibus irrepentis in eam beſtiæ fit. Igitur qui cœleſtem patrem iubet imitari, à terrenis affectibus vacare ac purum eſſe iubet: quorum vitatio non mutatione loci, ſed ex libera voluntate ac ſola animi deſtinatione fit. Quocirca ſi natura ita comparatum eſt, vt ſolo motu mentis & appetitu à malo alienemur, nihil laborioſum nobis præ-

Pſal. 138.

cipit Euangelicus ſermo: neq; enim labor coniunctus eſt affectioni & ardori mẽtis: ſed licet nobis abſq; vllo negotio quocumque velimus per cogitationes accedere. Itaque volenti facile eſt, cœleſtem vitæ traductionẽ vel in terra habere, ſi, quemadmodum Euangelium præſcribit, cœleſtia ſapiamus, cœleſtibus afficiamur, & in theſauris cœleſtibus virtutis diuitias deponamus. Inquit
Matth. 5. enim: Ne congerite vobis theſauros in terra, ſed congregate theſauros in cœlis, vbi neque tinea neque ærugo corrũpit,
Luc. 12. neque fures perfodiunt & furãtur. Quibus verbis oſtendit, quòd nulla vis, quæ beatitudinem illam corrũpere poſſit, in ſuperna vita verſetur. Nam ille qui ad corruptelam & perniciẽ huius vitę multifariam multiſque modis variam ſuam malitiam aduerſus humanã vitam exercet, vel tineæ in modum mentibus innaſcitur, partem cuicúmque inhæſerit, inutilem reddens: vel per vim corroſiuam & corruptiuam, niſi celeriter de parte, quam inuaſerit, excuſſus fuerit, ad proxima queq. ſerpendo progrediens, quæcumque mouendo ſe cõtigerit, iis veſtigium corruptionis imprimit: vel ſi interiora firma ac tuta ſint, per externas circumſtantias inſidiatur. Aut enim voluptate perfodiendo cordis theſaurum inuadit, aut per alium affectũ ex animæ receptaculo virtutem eximit, vel ira, vel triſtitia & angore, vel alia ſimili quapiã perturbatione & affectu rationem ſubducens. Quoniam igitur Dominus in ſupernis theſauris, neque tineã neque æruginem innaſci dicit, neque ab arte furandi malitiam ineſſe, quæ doceat ea, quæ cõmemorauimus, illuc transferenda negotiatio eſt, vbi non modò compilationi atque diminutioni non obnoxij theſauri ſemper permanẽt, verumetiam ſeminum in modum multiplex efficiũt incrementum. Oportet enim prorſus ex natura depoſitarij magnam fieri remunerationem. Quemadmodum enim nos ex natura noſtra faciamus, vt tenuia offeramus, quippe cùm natura ſimus tales: ita conſentaneum eſt eum, qui in omni re diues eſt, iis quæ ex natura habet eos, qui ſua antè dederint, eſſe remuneraturum. Ne quis igitur ſe animo demittat, dum quæ pro viribus ſuis poteſt, diuinis infert theſauris, quaſi pro modo eorum, quæ dederit, recepturus; ſed ſperet iuxta pollicitationẽ eius qui

A ὁ εὐαγγελικὸς ἐξεκαλύπτεται λόγος. οὐδὲ γὰρ συνέζευκται κόπος τῇ τῆς διανοίας ὁρμῇ· ἀλλ' ἔξεστιν ἡμῖν ἀπραγματεύτως, ὅπουπερ ἂν θέλοιμεν, δι' ἐνθυμήσεων παραγίνεσθαι. ὥστε τὴν οὐράνιον διαγωγὴν ῥᾳδίως εἶναι τῷ βουλομένῳ καὶ ἐπὶ γῆς ἔχειν, καθὼς ὑφηγεῖται τὸ εὐαγγέλιον, ἐν τῷ φρονεῖν τὰ οὐράνια, καὶ τοῖς ἐκεῖ θησαυροῖς τὸν τῆς ἀρετῆς πλοῦτον ἐναποτίθεσθαι. μὴ θησαυρίζετε γάρ φησι θησαυροὺς ἐπὶ τῆς γῆς· ἀλλὰ θησαυρίζετε θησαυροὺς ἐν οὐρανοῖς, ὅπου οὔτε σὴς, οὔτε βρῶσις ἀφα-

B νίζει, οὔτε κλέπται διορύσσουσι καὶ κλέπτουσιν. ἐνδείκνυται δὲ διὰ τούτων, τὸ μηδεμίαν τῇ ἄνω ζωῇ φθαρτικὴν τῆς μακαριότητος ἐμπολιτεύεσθαι δύναμιν. ὁ γὰρ ἐπὶ λύμῃ τοῦ τῆδε βίου πολυειδῶς τὴν ποικίλην ἑαυτοῦ κακίαν κατὰ τῆς ἀνθρωπίνης ζωῆς ἐνεργῶν, ἤτοι σητὸς τρόπον ταῖς διανοίαις ἐντίκτεται, ἀχρεῖον τὸ μέρος ᾧπερ ἂν ἐμφυῇ· ἤτοι διὰ τῆς βρωτικῆς τε καὶ ἀφανιστικῆς δυνάμεως, εἰ μὴ ταχέως ἀποτιναχθείη τοῦ μέρους, πρὸς τὰ παρακείμενα μεθέρπων, διαφθορᾶς ἴχνος, οἷς

C ἂν ἐμπελάσῃ, διὰ τῆς κινήσεως ἐνσημαίνεται· ἤ, εἴπερ τὰ ἐντὸς ἀσφαλῶς ἔχοι, διὰ τῶν ἔξωθεν περιστάσεων ἐπιβουλεύει. ἢ γὰρ δι' ἡδονῆς τὸν θησαυρὸν τῆς καρδίας ἐτοιχωρύχησεν· ἢ δι' ἑτέρου πάθους κενὸν τῆς ἀρετῆς τὸ τῆς ψυχῆς δοχεῖον ἐποίησε, θυμῷ ἢ λύπῃ ἢ ἄλλῳ τινὶ τοιούτῳ πάθει τὸν λογισμὸν ὑποκλέψας. ἐπεὶ οὖν ἐν τοῖς ἄνω θησαυροῖς, οὔτε σῆτα φησὶν, οὔτε βρῶσιν ὁ κύριος γίνεσθαι, οὔτε τὴν ἀπὸ τῆς κλεπτικῆς κακίαν διδάσκουσαν ταῦτα, ἅπερ ὑπονοήσαμεν· ἐκεῖ μεταθετέον τὴν

D ἐμπορίαν, ἐν ᾗ τὸ θησαυρισθὲν οὐ μόνον ἄσυλόν τε καὶ ἀμείωτον εἰς ἀεὶ διαμένει· ἀλλὰ καὶ σπερμάτων δίκην, ἐπὶ τὸ πολλαπλάσιον κατεργάζεται τὴν ἐπαύξησιν. χρὴ γὰρ πάντως τῇ φύσει τοῦ τὴν παραθήκην δεχομένου μεγαλύνεσθαι τὴν ἀντίδοσιν. ὥσπερ γὰρ ἡμεῖς κατὰ τὴν ἑαυτῶν ἐνεργοῦμεν φύσιν, πτωχὰ προσάγοντες διὰ τὸ πεφυκέναι τοιοῦτοι· οὕτως εἰκὸς, τὸν ἐν παντὶ πλούσιον ὄντα, ἃ πέφυκεν ἔχειν, ταῦτα τοῖς προδεδωκόσιν ἀντιχαρίζεσθαι. μηδεὶς οὖν ἀθυμείτω, τὰ κατὰ τὴν ἑαυτοῦ δύναμιν τοῖς θείοις θησαυροῖς συνεισφέρων, ὡς πρὸς τὸ μέτρον, ὧν δέδωκε, κομιούμενος· ἀλλ' ἀναμενέτω,

A κατὰ τὴν ἐπαγγελίαν τοῦ εἰπόντος· ὅτι μεγάλα τῶν μικρῶν ἀντικαταλλάξεται, οὐράνια μὲν τῶν γηΐνων, ἀΐδια δὲ τῶν ὠκυμόρων διαμειβόμενος. ἃ τοιαῦτα τῇ φύσει ἐστὶν, ὡς μήτε διανοίᾳ δυνατὸν εἶναι ληφθῆναι, μήτε εἰς ἑρμηνείαν λόγου ἐλθεῖν, περὶ ὧν ἡ θεόπνευστος διδάσκει γραφή· ὅτι οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ταῦτά σοι, ὦ τιμία κεφαλὴ, οὐ μόνον ὑπὲρ τῶν ἐλλειφθέντων γραμμάτων ἀνεπληρώσαμεν· ἀλλὰ καὶ τὰ μετὰ ταῦτα γενόμενα ἐλλείμματα προεξητάσαμεν. σὺ δέ μοι περιείης ἐν κυρίῳ καταθυμίως. τοῦτο δέ σοι εἴη διαπαντὸς καταθύμιον, ὃ καὶ τῷ Θεῷ κεχαρισμένον ἐστὶ, καὶ ἡμῖν καταθύμιον.

dixit, quòd magna paruis ſit comparaturus: cœleſtibus quidem terrena, ſempiternis verò citò peritura permutans, quæ talia natura ſunt, vt neque mente percipi, neque ſermone explicari poſſint, de quibus diuina docet ſcriptura: Quod neque oculus viderit, neque auris audiuerit, neque in cor hominis aſcenderit, quæ præparauerit Deus diligentibus ſe. 1.Cor. 2. His tibi, ô charum caput, non ſolum prætermiſſas litteras reſarciuimus & compenſauimus: verumetiam quæ poſthac prætermittentur ac reliqua fient, per argumentum quærere B anticipauimus. Tu verò mihi viuas in Domino ex animi tui ſententia. Hoc autem ſemper tibi cordi ſit atque probetur, quod & Deo gratum & nobis iucundum eſt.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΕλειότητος. καὶ ὁποῖον χρὴ εἶναι τὸν Χριστιανὸν, πρὸς Ὀλύμπιον μοναχόν.

Πρέπουσα τῇ προαιρέσει σου ἡ σπουδὴ, περὶ τοῦ γνῶναι πῶς ἄν τις διὰ τοῦ κατ' ἀρετὴν βίου τελειωθείη· ὥστε διὰ πάντων κατορθωθῆναί σου τῇ ζωῇ τὸ ἀμώμητον. ἐγὼ δὲ περὶ πάντος μὲν ἂν ἐποιησάμην, ἐν τῷ ἐμῷ βίῳ τῶν σοι σπουδαζομένων εὑρεθῆναι τὰ ὑποδείγματα, ὥστε τοῖς ἔργοις πρὸ τῶν λόγων ἐπιζητουμένην ὑπό σου παρέχειν διδασκαλίαν. οὕτως γὰρ ἂν ἀξιόπιστος ἦν τῶν ἀγαθῶν ἡ ὑφήγησις, τοῦ βίου τοῖς λόγοις συμφθεγγομένου. ἐπεὶ δὲ τοῦτο μὲν εὔχομαι γενέσθαι ποτέ· νῦν δὲ οὔπω τοιοῦτον ἐμαυτὸν βλέπω, ὡς ἀντὶ τοῦ λόγου προδεικνύειν τὸν βίον· ἵνα μὴ καθόλου δοκείην ἀσυντελὴς εἶναί σοι πρὸς τὸν σκοπὸν, καὶ αἰτοῦντος ἐφ' ὃ δεῖ συντεῖναι τὸν ἀκριβῆ βίον, ὑποθέσθαι διενοήθην· ἐντεῦθεν τοῦ λόγου τὴν ἀρχὴν ποιησάμενος. τοῦ ἀγαθοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ χαρισαμένου τὴν κοινωνίαν ἡμῖν τοῦ προσκυνουμένου ὀνόματος, ὥστε ἡμᾶς ἐκ μηδενὸς ἄλλου τῶν περὶ ἡμᾶς ὀνομάζεσθαι, κἂν

EIVSDEM DE PERFECTIONE, ET QVALEM oporteat eſſe Chriſtianum, ad Olympium monachum.

C

Petro Franciſco Zino interprete.

Qværis, qua ratione vita ex virtute poſſit inſtitui, vt omnibus officiorum numeris abſoluta atque perfecta nullis reprehenſionibus ſit obnoxia, digna profectò profeſsione tua poſtulatio. Mihi verò nihil eſſet optatius, quàm vt eorum, quæ cupis, exempla poſſem ex mea vita tibi depro- D mere, vt doctrinam abs te quæſitam factis potius, quàm verbis explicarem. Ea enim demum bene viuendi inſtitutio digna eſt, cui fides habeatur, cum docentis vita congruit orationi. Cæterùm quoniam me id quod opto, nondum aſſecutum video, vt orationis loco poſſim vitam oſtendere, ne imperfectus omnino videar, & à ſigno præ inſcitia penitus aberrare, breuem tibi rectè viuendi formulam tradam, atque illius quidem hinc iam naſcatur exordium. Bonus Dominus noſter Ieſus Chriſtus nos, qui in ipſum credimus, adorandi nominis ſui participes fecit,

vt, ſiue diuites, ſiue nobiles, ſiue obſcuri, ſiue inopes, ſiue doctrinæ aut dignitatis inſignibus exornati ſimus, nulla tamen ex re, quæ nobis adſit, nominemur, ſed his omnibus reiectis, de vno nomine ipſius propriè appellemur Chriſtiani. Cùm igitur hanc nobis è cœlo gratiam attulerit, operæpretium eſt, vt priùs muneris magnitudinem conſideremus, quo meritas largitori Deo gratias habeamus. Deinde tales in omni vita nos præſtemus, quales requirit huiuſce nominis excellentia. Quanta ſit huius muneris magnitudo, quod illius, qui vitæ noſtræ Dominus eſt, nomine nuncupemur, nobis perſpicuum fiet, ſi, quid nomen ipſum à Chriſto deductum ſignificet, animaduertemus, vt intelligamus, quãdo vniuerſi Dominũ in noſtris precationib. hac voce nominamus, quã animis noſtris notionem concipiamus, aut quid per hoc nomẽ cogitantes, aptè credamus ipſum appellare. Id vbi compertum habuerimus, ipſo nomine vt magiſtro & duce ad bene beatéque viuendum vtentes, quæ nobis vitæ ſtudia ſequenda ſint, facilè cognoſcemus. Ad hæc autem duo, quæ inueſtigamus, percipienda tutiſſimũ aditum habebimus, ſi nobis D. Paulum itineris ducem propoſuerimus. Hic enim maximè omniũ exquiſitè, & qui Chriſtus ſit, nouit: & qualem eſſe oporteat, qui ab eo nomen accepit, ex iis, quæ geſſit ipſe, declarauit. Nam adeò accuratè illum imitatus eſt, vt in ſe Dominum ipſum expreſſum oſtenderit, quippe qui diligentiſſima imitatione formam animi ſui ita tranſtulit in ipſum exemplar, vt non amplius, qui loquebatur, Paulus, ſed Chriſtus eſſe videretur, quemadmodum ipſemet dicit, qui propria bona pulchrè ſentiebat. Quoniam experimentum, inquit, quæritis eius, qui in me loquitur Chriſtus. Et viuo ego iam

2.Cor.13. non ego, viuit autem in me Chriſtus. Hic igitur nobis, & quam vim nomen hoc Chriſtus habeat, patefecit, cum

Galat.2. diceret: Chriſtum eſſe Dei virtutem & Dei ſapientiam, cúmque & pacem ipſum nominaret & lucem inacceſſi-

1.Tim.6. bilem, in qua Deus inhabitat, expiationem, & redemptionem, & ſacer-

A πλούσιος τις ὢν τύχῃ, καὶ εὐπατρίδης, κἂν δυσγενὴς ᾖ ἢ πένης, κἂν ἐξ ἐπιτηδευμάτων τινῶν ἢ ἀξιωμάτων τὸ γνώριμον ἔχῃ, πάντων τῶν τοιούτων ὀνομάτων ἀργηκότων, μίαν εἶναι κυρίαν κλῆσιν τοῖς εἰς αὐτὸν πεπιστευκόσι δεδώρηται, τὸ Χριστιανοὺς ὀνομάζεσθαι. Ταύτης δ' οὖν ἡμῖν ἐπικυρωθείσης τῆς χάριτος, ἀναγκαῖον ἂν εἴη πρῶτον τῆς δωρεᾶς νοῆσαι τὸ μέγεθος· ὥστε κατ' ἀξίαν εὐχαριστῆσαι τῷ τὰ τηλικαῦτα δωρησαμένῳ Θεῷ. ἔπειτα δὲ τοιούτους ἑαυτοὺς διὰ τοῦ βίου δεῖξαι, οἵους ἐπιζητεῖ ἡ τοῦ μεγά-

B λου τούτου ὀνόματος δύναμις. τὸ μὲν οὖν μέγεθος τῆς δωρεᾶς, ἧς διὰ τοῦ συνονομασθῆναι τῷ δεσπότῃ τῆς ζωῆς ἡμῶν ἠξιώθημεν, οὕτως ἂν γένοιτο δῆλον ἡμῖν, εἰ αὐτὸ τὸ σημαινόμενον τοῦ κατὰ τὸν Χριστὸν ὀνόματος ἐπιγνοίημεν· ὥστε συνιδεῖν, ὅταν διὰ ταύτης τῆς φωνῆς τὸν τῶν πάντων κύριον ἐν ταῖς εὐχαῖς προσκαλώμεθα, ποίαν ταῖς ψυχαῖς ἡμῶν ἀναλαμβανόμεθα ἔννοιαν, ἢ τί διὰ τοῦ ὀνόματος τούτου καταμανθάνοντες, εὐσεβῶς αὐτὸν ἐπικαλεῖσθαι πιστευόμεθα. ἐπειδὰν δὲ τοῦτο νοήσωμεν· τότε δὲ

C ἀκόλουθον, καὶ οἵους προσήκει ἡμᾶς διὰ τῆς περὶ τὸν βίον σπουδῆς ἐπιδειχθῆναι, σαφῶς μαθησόμεθα· διδασκάλῳ καὶ ὁδηγῷ πρὸς τὸν βίον τῷ ὀνόματι χρώμενοι. Οὐκοῦν τὸν ἅγιον Παῦλον πρὸς τὰ δύο ταῦτα καθηγεμόνα ποιούμενοι, ἀσφαλεστάτην ἕξομεν ὁδηγίαν πρὸς τὴν τῶν ζητουμένων σαφήνειαν. οὗτος γὰρ μάλιστα πάντων ἀκριβῶς, καὶ τί ἐστιν ὁ Χριστὸς, κατενόησε· καὶ οἷον εἶναι χρὴ τὸν ἐπονομαζόμενον αὐτῷ, δι' ὧν ἐποίησεν, ὑφηγήσατο· οὕτως ἐναργῶς αὐτὸν μιμησάμενος, ὡς ἐν ἑαυτῷ

D δεῖξαι τὸν ἑαυτοῦ δεσπότην μεμορφωμένον, διὰ τῆς ἀκριβεστάτης μιμήσεως, μεταβληθέντος τοῦ τῆς ψυχῆς αὐτοῦ εἴδους πρὸς τὸ πρωτότυπον· ὡς μηκέτι Παῦλον εἶναι δοκεῖν τὸν ζῶντά τε καὶ φθεγγόμενον· ἀλλ' αὐτὸν τὸν Χριστὸν ἐν αὐτῷ ζῆν. καθώς φησιν ὁ καλὸς τῶν ἰδίων ἀγαθῶν ἐπαισθόμενος· ὅτι εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. καὶ, ὅτι ζῶ δὲ ἐγὼ οὐκ ἔτι· ζῇ δὲ ἐν ἐμοὶ Χριστός. οὗτος οὖν τὴν κατὰ Χριστὸν ὀνομαζόντος ἐγνώρισεν ἡμῖν τὸ σημαινόμενον, εἰπών· ὅτι Χριστός ἐστι Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· ἀλλὰ καὶ εἰρήνην αὐτὸν ἐκάλεσε, καὶ φῶς ἀπρόσιτον, ἐν ᾧ οἰκεῖ ὁ Θεὸς, ἁγιασμόν τε καὶ ἀπολύτρωσιν, ἀρχιερέα

χιερέα τε μέγαν, καὶ πάσχα, ἱλαστήριον ψυχῶν, (A) ἀπαύγασμα δόξης, χαρακτῆρα ὑποστάσεως, καὶ ποιητὴν αἰώνων, βρῶμα πνευματικὸν καὶ πόμα, καὶ πέτραν, καὶ ὕδωρ, θεμέλιον πίστεως, καὶ γωνίας κεφαλὴν, καὶ Θεοῦ τοῦ ἀοράτου εἰκόνα, καὶ μέγαν Θεὸν, κεφαλήν τε τοῦ τῆς ἐκκλησίας σώματος, καὶ τῆς καινῆς κτίσεως πρωτότοκον, καὶ ἀπαρχὴν τῶν κεκοιμημένων, πρωτότοκον ἐκ νεκρῶν, καὶ πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς, καὶ μεσίτην Θεοῦ καὶ ἀνθρώπων, καὶ υἱὸν μονογενῆ, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, καὶ κύριον τῆς δόξης, καὶ ἀρχὴν τῶν ὄντων (οὕτως εἰπὼν περὶ αὐτοῦ· ὅς ἐστιν (B) ἀρχή) βασιλέα τε δικαιοσύνης πρὸς τούτοις, βασιλέα εἰρήνης, καὶ βασιλέα τῶν ἁπάντων, ἀπερίγραπτον ἔχοντα τῆς βασιλείας τὸ κράτος· καὶ ἄλλα τοιαῦτα πολλά, ὧν οὐκ ἔστι τὸ πλῆθος ῥᾳδίως ἐξαριθμήσασθαι. ἅπερ πάντα συντεθέντα πρὸς ἄλληλα, τῆς ἑκάστου τῶν ἐπωνυμιῶν διανοίας, τὸ παρ' ἑαυτῆς εἰς ἔνδειξιν τοῦ σημαινομένου συνεισφερούσης ἔμφασίν τινα τῆς σημασίας τοῦ κατὰ Χριστὸν ὀνόματος ἡμῖν ἐμποιεῖ· ὅσον χωροῦμεν τῇ ψυχῇ κατανοῆσαι, τοσοῦτον τὰ τῆς ἀφράστου μεγαλειότητος ἡμῖν ἐνδεικνύμενα. ἐπεὶ τοίνυν πάσης (C) ἀξίας τε καὶ ἐξουσίας καὶ δυναστείας ὑπέρκειται τὸ τῆς βασιλείας ἀξίωμα· τῇ δὲ τοῦ Χριστοῦ προσηγορίᾳ κυρίως καὶ πρώτως τὸ βασιλικὸν διασημαίνεται κράτος (προηγεῖται γὰρ, καθὼς ἐν ταῖς ἱστορίαις ἐμάθομεν, τῆς βασιλείας ἡ χρίσις) τῇ δὲ βασιλείᾳ πᾶσα ἡ τῶν λοιπῶν ἐμπεριέχεται δύναμις· τούτου χάριν, ὁ τὰ περιεχόμενα κατανοήσας, καὶ τὴν περιεκτικὴν τῶν κατὰ μέρος συγκατενόησε δύναμιν. αὕτη δέ ἐστιν ἡ βασιλεία, ἧς ἐνδεικτικὸν ὄνομα ἡ τοῦ Χριστοῦ κλῆσίς ἐστιν. οὐκοῦν ἐπειδὴ τοῦ μεγίστου τε καὶ θειοτάτου καὶ πρώτου τῶν ὀνομάτων γέγονε παρὰ τοῦ ἀγαθοῦ δεσπότου ἡμῖν (D) κοινωνία, ὥστε τοὺς τῇ ἐπωνυμίᾳ τοῦ Χριστοῦ τιμηθέντας Χριστιανοὺς ὀνομάζεσθαι· ἀναγκαῖον ἂν εἴη, πάντα τὰ ἑρμηνευτικὰ τῆς τοιαύτης φωνῆς ὀνόματα καὶ ἐν ἡμῖν καθορᾶσθαι· ὡς μὴ ψευδώνυμον ἐφ' ἡμῶν εἶναι τὴν κλῆσιν, ἀλλ' ἐκ τοῦ βίου τὴν μαρτυρίαν ἔχειν. οὐ γὰρ ἐκ τοῦ καλεῖσθαί τι τὸ εἶναι γίνεται· ἀλλ' ἡ ὑποκειμένη φύσις, οἵα ποτ' ἂν οὖσα τύχῃ, διὰ τῆς προσφυοῦς τοῦ ὀνόματος σημασίας γνωρίζεται. οἷόν τι λέγω, εἴ δένδρῳ τις, ἢ πέτρᾳ προσηγορίαν ἀνθρώπου χαρίσαιτο, ἆρα

dotem magnum, & Paſcha, & propitionem animarum, ſplendorem gloriæ, & figuram ſubſtantiæ, & effectorem ſæculorum, cibum ac potum ſpiritualem, petram & aquam, fundamentum fidei, & anguli caput, & Dei inuiſibilis imaginē, & magnum Deum caput corporis Eccleſiæ, & nouæ creaturæ primogenitum, & primitias eorum qui dormierunt, & primogenitum ex mortuis, & primogenitum in multis fratribus, & mediatorem Dei & hominum, & filium vnigenitum gloria & honore coronatum, & Dominum gloriæ, & rerum principium, & regem iuſtitiæ, ad hæc & regem pacis, & regem omnium, imperium regni nullis terminis circumſcriptum obtinentem. His & aliis id genus nominibus eum appellauit, quæ tam multa ſunt, vt præ multitudine haud facilè numero comprehendi poſſint. Quæ quidem omnia ſi inter ſe componantur, & ſingulorum colligantur ſignificationes, mirabilem nobis huius nominis Chriſti vim aperient, & maieſtatis illius, quæ verbis explicari nequit, tantum oſtendent, quantum animis & cogitatione capere valuerimus. Verùm, quoniam omni dignitati, & potentiæ, & principatui regia præcellit amplitudo, Chriſti autem nomine regium ſignificatur imperium: nam vt ex hiſtoriarum libris didicimus, prius vnguntur, qui futuri ſunt Reges: regno autem omnis reliquorum nominum vis continetur; eo fit, vt qui ea, quæ comprehenduntur, cognoſcit, ſimul etiam illa complectentem intelligat poteſtatem. Hoc autem regnum eſt, quod quidem regnum Chriſti appellatione indicatur. Quamobrem cùm omnium maximum, & diuinum, & primum nomen Domini noſtri bonitas nobis impertiuerit, vt Chriſti cognomine decorati appellemur Chriſtiani, neceſſe eſt, vt omnia nomina, quæ vocem hanc interpretantur, in nobis item conſpiciātur expreſſa, ne falsò vocati Chriſtiani videamur, ſed ex vita teſtimoniū habeamus. Neque enim ex appellatione res fiunt, ſed earū ſubiecta natura, quæcumque tandem illa ſit, apti nominis ſignificatione declaratur. Exēpli gratia, ſi arbori, aut petræ hominis vocabulū tribuamus, ideóne plan-

Hebr. 1.

1. Cor. 8.

ta, aut lapis erit homo? minimè verò, ſed oportet vt homo ſit prius: deinde congrua ipſius naturæ appellatione nominetur, ac ne illis quidem, quæ ſimilitudinem aliquam habent inter ſe, idem nomen propriè conuenit, vt ſi quis ſtatuam hominem dicat, aut equum, illius imaginem: ſed vt aliquid propriè & verè nuncupetur, germanam omnino appellationem natura demonſtrabit. Si quid autem ars in ære, aut marmore, aut alio eiuſmodi ſubiecto imitabitur, id ipſius materiæ nomen obtinebit. quapropter qui ſe nominant Chriſtianos, id prius oportet vt ſint, quod exigit ipſum nomen, deinde eam ſibi appellationem accommodent. Ac quemadmodũ ſi quis verum hominem ab homine ſculpto velit ſeiungere, ex vtriuſque proprietatibus id faciat, alterum aſſerens animal rationale atque iudicio prꝗditum, alterum verò materiam inanimatam, quæ imitatione formam induerit: ſic etiam verè Chriſtianum hominem ab eo, qui Chriſtiani tantùm ſpeciem habet, ex propria vtriuſque forma diſtinguemus. Veri Chriſtiani formam exprimunt illa omnia, quæ de Chriſto commemorauimus. Ex quibus ea, quę capere poſſumus, imitamur: quę verò in naturam noſtram ad imitãdum non cadunt, ea veneramur & colimus.

2.Tim.3. Quamobrem, vt aliquis ſit perfectus homo Dei, vt inquit Apoſtolus, nullo modo per malitiam perfectionem imminuens, oportet, vt omnia nomina, quæ Chriſti ſignificationem explicant, in eius vita partim imitatione, partim veneratione colluceant. Quemadmodum enim qui commentitia fabularum monſtra vel oratione vel pictura confingunt, bucephalos quoſdam, aut hippocentauros, aut anguipedes, aut quippiã aliud ex diuerſis generibus componentes, non ad exemplar naturæ dirigunt imitationem, ſed peruerſa illa inuentione naturam prætereuntes, non hominem, ſed aliud quiddã effingunt: quippe qui ex eo, quod videtur, id formant, quod non eſt, cuius licet aliqua pars cuipiam humani corporis parti ſimilis videatur, nemo tamen id, quod abſurda illa compoſitione conflatum eſt, hominem dicat: eodem pacto haud rectè perfectus Chriſtianus appellabitur, qui vel à ratione abhorrens caput obtineat, id eſt ipſum vniuerſi corporis caput,

A ἄνθρωπος ἔσται διὰ τὴν κλῆσιν, ἢ ὁ φυτὸς, ἢ ὁ λίθος, οὐκ ἔστι ταῦτα. ἀλλὰ χρὴ πρότερον εἶναι ἄνθρωπον, εἶθ' οὕτως ὀνομασθῆναι τῇ προσηγορίᾳ τῆς φύσεως. οὐδὲ γὰρ ἐπὶ τῶν ὁμοιωμάτων αἱ κλήσεις ἔχουσι τὸ κύριον· ὡς εἴ τις ἄνθρωπον λέγει τὸν ἀνδριάντα, ἢ ἵππον τὸ μίμημα. ἀλλ' εἰ μέλλοι τι κυρίως καὶ ἀψευδῶς ὀνομάζεσθαι, ἀληθῆ δείξει πάντως τὴν προσηγορίαν ἡ φύσις. ἡ δὲ ἀναδεξαμένη τὴν μίμησιν ὕλη, ὅπερ ἂν οὖσα τύχῃ, τοῦτο καὶ ὀνομάζεται, χαλκὸς, ἢ λίθος, ἤ τι τοιοῦτον ἕτερον, ᾧ ἐπιβάλοιτο ἡ τέχνη τὸ εἶδος

B πρὸς τὸ δοκοῦν σχηματίσασα. οὐκοῦν τοὺς ἀπὸ τοῦ Χριστοῦ ἑαυτοὺς ὀνομάζοντας, πρότερον γενέσθαι χρὴ, ὅπερ τὸ ὄνομα βούλεται· εἶθ' οὕτως ἑαυτοῖς ἐφαρμόσαι τὴν κλῆσιν. καὶ ὥσπερ εἴ τις διακρίνοι ἀπὸ τοῦ ὄντος ἀνθρώπου τὸν ὁμωνύμως ἐπὶ τῆς εἰκόνος λεγόμενον, ἐκ τῶν ἰδιωμάτων ποιήσεται τὴν διάκρισιν· τὸ μὲν γὰρ ζῶον λογικὸν διανοητικὸν ὀνομάσει, τὸ δὲ ἕτερον ὕλην ἄψυχον διὰ μιμήσεως ἐπιλαβοῦσαν τὸ εἶδος· οὕτω καὶ τὸν Χριστιανὸν, τόν τε ἀληθῶς ὄντα καὶ τὸν δοκοῦντα, διὰ τῶν ἐπιφαινομένων τοῖς χαρακτῆρσιν ἰδιωμάτων ἐπιγνωσόμεθα. χα-

C ρακτῆρες δὲ τοῦ ὄντως Χριστιανοῦ πάντα κἀκεῖνά ἐστιν, ὅσα περὶ τὸν Χριστὸν ἐνοήσαμεν. ὧν ὅσα μὲν χωροῦμεν, μιμούμεθα· ὅσα δὲ οὐ χωρεῖ ἡ φύσις πρὸς μίμησιν, σεβόμεθά τε καὶ προσκυνοῦμεν. οὐκοῦν πάντα τὰ ἑρμηνευτικὰ τῆς τοῦ Χριστοῦ σημασίας ὀνόματα, ἐπιλάμπειν χρὴ τῷ Χριστιανῷ βίῳ· τὰ μὲν διὰ μιμήσεως, τὰ δὲ διὰ προσκυνήσεως, εἰ μέλλοι ἄρτιος εἶναι ὁ τοῦ Θεοῦ ἄνθρωπος, καθώς φησιν ὁ ἀπόστολος, μηδαμοῦ διὰ τῆς κακίας ἀκρωτηριάζων τὴν ἀρτιότητα. ὥσπερ γὰρ οἱ τὰς μυθικὰς τερατείας ἢ διὰ τῶν λόγων, ἢ

D διὰ τῆς γραφικῆς πλάσσοντες τέχνης, βουκεφάλους τινὰς, ἢ ἱπποκενταύρους, ἢ δρακοντόποδας, ἢ ἄλλο τι τοιοῦτον ἐξ ἑτερογενῶν συντιθέντες, οὐ πρὸς τὸ τῆς φύσεως ἀρχέτυπον τὴν μίμησιν ἄγουσιν· ἀλλὰ διὰ τῆς παραλόγου ταύτης ἐπινοίας τὴν φύσιν ἐμφαίνοντες, ἄλλο τι πλάσσουσι, καὶ οὐκ ἄνθρωπον, σχηματίζοντες πρὸς τὸ δοκοῦν τὸ ἀνύπαρκτον· καὶ οὐκ ἄν τις ἄνθρωπον εἴποι τὸ πεπλασμένον, διὰ τῆς ἀλλοκότου ταύτης συνθέσεως, κἂν μέρει τινὶ τοῦ ἀνθρωπίνου σώματος προσεοικὸς τύχῃ τὸ μέρος τοῦ πλάσματος· οὕτως οὐδ' ἂν Χριστιανὸς ἀκριβῶς ὀνομασθείη, ὁ τὴν κεφαλὴν ἄλογον ἔχων, τουτέστιν· ὁ τὴν τοῦ παντὸς κεφαλὴν,

ἥτις ὁ λόγος ἐστὶν, ἐν τῇ πίστει μὴ ἔχων, κἂν ἐν A τοῖς ἄλλοις ἄρτιος ᾖ· ἢ ὁ τῇ κεφαλῇ τῆς πίστεως μὴ κατάλληλον ἐνδεικνύμενος τῆς πολιτείας τὸ σῶμα, ἢ δρακόντων θυμοῖς συμφυόμενος, καὶ καθ' ὁμοιότητα τῶν ἑρπετῶν τούτων ἐκθηριούμενος· ἢ τὸ θηλυμανὲς τῶν ἵππων τῷ ἀνθρωπίνῳ χαρακτῆρι συμβάλλων, καὶ διφυής τις ἱπποκένταυρος ἐκ λογικοῦ τε καὶ ἀλόγου γινόμενος. τοιούτους δὲ πολλοὺς ἐστὶν ἰδεῖν, ἐν μόσχου κεφαλῇ· τουτέστιν· ἐν τῷ τῆς εἰδωλολατρείας δόγματι τὸν ἀσχήμονα κατορθοῦντας βίον (οἷον τὸν μινώταυρον γράφουσιν) οἱ ἐν Χριστιανῷ προσώπῳ B θηριώδεις ὑφαρμόζοντες τῷ βίῳ τὸ σῶμα, οἵους τοὺς κενταύρους ἢ τοὺς δρακοντόποδας πλάττουσιν. ὡς ἂν τοίνυν, καθάπερ ἐπὶ σώματος ἀνθρώπου, ὁ Χριστιανὸς γνωρίζοιτο· πάντων προσήκει τῶν κατὰ τὸν Χριστὸν νοουμένων ἀγαθῶν τὸν πιστὸν ἐνσημαίνεσθαι τῷ βίῳ τοὺς χαρακτῆρας. τὸ γὰρ ἐν τινι μὲν εἶναι τοιοῦτον, οἷον τὸ ὄνομα βούλεται· ἐν ἑτέροις δὲ πρὸς τὰ ἐναντία ῥέπειν· οὐδὲν ἕτερόν ἐστιν, ἢ εἰς πολεμίου τάξιν αὐτὸν πρὸς ἑαυτὸν διατέμνεσθαι, δι' ἀρετῆς καὶ κακίας ἐν ἑαυτῷ στασιάζοντα, ἄ- C σπονδον αὐτὸν αὐτῷ καὶ ἀσύμβατον τῷ βίῳ γινόμενον. τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; φησὶν ὁ ἀπόστολος. ἐπεὶ οὖν ἄμικτος τῷ φωτὶ καὶ ἀμεσίτευκτός ἐστιν ἡ ἐναντίωσις· ὁ ἀμφοτέρων ἐχόμενος, καὶ μὴ θατέρου αὐτῶν μεθιεὶς, τῇ τῶν ἀντιστοιχούντων ἀλλήλοις ἐναντιότητι καὶ αὐτὸς κατ' ἀνάγκην συνδιασχίζεται, φῶς κατὰ ταυτὸν καὶ σκότος ἐν τῷ συμμίκτῳ βίῳ γινόμενος· τῆς μὲν πίστεως τὸν φωτισμὸν ἐνιείσης, τοῦ δὲ σκοτεινοῦ βίου τὴν ἐκ τοῦ λόγου λαμπηδόνα καταμελαίνοντος. ἐπεὶ οὖν ἄμικτός ἐστι D καὶ ἀσύμβατος τῷ φωτὶ πρὸς τὸ σκότος ἡ κοινωνία· ὁ ἑκατέρου τῶν ἐναντίων περιεχόμενος, αὐτὸς ἑαυτῷ πολέμιος γίνεται, διχῇ μερισθεὶς πρὸς ἀρετὴν καὶ κακίαν, καὶ ἑαυτῷ πρὸς ἀντίπαλον τάξιν ἀντικαθιστάμενος. ὥσπερ δὲ οὐκ ἔστιν ἐν δύο πολεμίοις ἀμφοτέρους νικητὰς κατ' ἀλλήλων γενέσθαι· ἡ γὰρ τοῦ ἑνὸς νίκη θάνατος τοῦ ἀντικειμένου πάντως ἐργάζεται· οὕτω καὶ ἐπὶ ταύτης τῆς ἐμφυλίου μάχης,

A quod Verbum eſt, fide non habeat, quamuis cæteris partibus abſolutus ſit, vel eo capite præditus reliquas corporis partes aut capiti aut inter ſe minimè conuenientes poſſideat, hoc eſt viuendi rationem à fide alienam inſtituat, cùm & draconum furiis imbutus ira excandeſcat, atque inſtar horum ſerpentium humi repat, & equinam rabiem apponens humanæ formæ fœminarum amoribus inſaniat, & ex duplici natura, humana videlicet, & ferina, veluti hippocentaurus coaleſcat. Eiuſmodi autem hominum genera paſſim licet intueri, B qui vel in vituli capite, in idololatriæ videlicet diſciplina decorè vitam officiis excultam agunt: qualem ſimulant eſſe Minotaurum, vel Chriſtianæ perſonæ belluæ corpus, id eſt flagitioſum viuendi genus adijciunt, quales hyppocentauros, aut anguipedes fingunt. Conſentaneum igitur eſt, vt, quemadmodum in corpore humano ſingulæ partes conueniunt, ſic tota Chriſtiani vita omnibus, quæ in Chriſto ex fide conſiderantur, bonis inſigniatur. Nam ſi vna quidem ex parte talis ſis, qualem C Chriſtianum requirit nomen, ex altera verò in contrarium declines, nihil aliud facias, quàm ſi hoſtis tui vicem obtinens in teipſum diuidaris, quod eam ſeditionem in te per virtutem, & vitium concites, vt nulla ratione tibi ipſe in vita placari conciliariq; poſſis. Etenim quæ ſocietas luci ad tenebras? vt inquit Apoſtolus. Cum igitur luci adeò contrariæ 2. Cor. 6. ſint tenebræ, vt nullo modo cõmiſceri, nullóque medio coniungi poſſint: qui in vtriſque verſatur, nec alterutram negligit partem, illis inter ſe contrariis pugnantibus ipſe quoque neceſſario ſcin- D ditur. Si quidem eodem tempore in ea permiſtus confuſione & lux & tenebræ efficitur, cùm & fides lucem immittat, & vitæ malitia rationis ſplendori tenebras offundat. Quoniam igitur nulla inter lucem & tenebras amicitia, nulla poteſt eſſe coniunctio, qui vtrumque contrarium ſuſcipit, ipſe ſibi hoſtis euadit, cùm ad virtutem & vitium vt duas in partes diuiſus inclinet, & more hoſtili tanquam inſtructa acie ſe ipſum oppugnet Ac quemadmodum illi, qui capitali odio diſſidentes dimicant, vtrique victores eſſe nequeunt: vnius enim victoria alteri victo protſus interitum affert: ſic in domeſtico inteſtinóque diſſidio,

quod ex vitæ permiſtione naſcitur, pars melior ſine alterius internecione victrix eſſe non poteſt. Qui enim fiet, vt pietatis exercitus ſuperior ſit, vitiorũ multitudine veluti phalange hoſtium contrà pugnante, niſi hæc vti debilior à præſtantiore penitus deleatur? tunc autem virtus de malitia victa triumphabit, cùm rationis auxiliis ſuperati omnes tibi cedent aduerſarij, tunc implebitur id, quod ex perſona Dei in prophetia dictum eſt, Ego occidam & viuere faciam: nullo enim pacto id, quod in nobis eſt bonum, poteſt viuere, niſi ex aduerſarij morte vita illi comparetur. Quamdiu autem duobus inhæremus, alterutra manu contraria complectentes, fieri nequit, vt vtrumque conſequamur. Quantum enim ex vna parte malitiæ capimus, tantum ex altera virtutis amittimus. Sed, vt eò vnde digreſſa eſt, reuertatur oratio, vna eſt ad puram diuinámque vitam, virtutem amantibus via, vt cognoſcant, quid Chriſti vocabulum ſignificet, eique viuendi rationem ex vi ſanctorum nominum virtute expolitam & concinnam accommodent. Quęcumque igitur verba ex ſancta Pauli doctrina Chriſti ſignificationem explicantia orationis initio recenſuimus, ea ſi nobis ita proponamus, vt partim, quemadmodum diximus, imitemur, partim colamus, tutiſſimum nobis ad bene beatéque viuendum aditum muniemus. A primis igitur, cum ſeruãtes ordinem, quem ſeries eorum, quæ iam enumerauimus, ſuggerit, incipiamus. Chriſtus Dei virtus & ſapientia. Ex his diſcimus ea, quæ diuinitati cõueniunt, ex quibus Chriſti nomen nobis venerãdum efficitur. Etenim quia res omnes, quę vel ſenſu percipiuntur, vel ſenſus ſuperant cognitionem, per ipſum effectæ ſunt, & in ipſo conſiſtunt, neceſſariò ad definiendam nominis illius, qui cuncta procreauit, ſignificationem, ſapientia & virtus coniunguntur. Nam ex duabus his vocibus ita copulatis id intelligimus. Neque enim eſſent hæc magna & quæ nulla ratione explicari poſſunt creaturarũ miracula,

Deut. 32.

1. Cor. 1.

A τῆς διὰ τοῦ συμμίκτου βίου συνισταμένης, οὐκ ἔστι νικῆσαι τὴν κρείττονα παράταξιν, μὴ πανωλεθρίᾳ τῆς ἄλλης διαφθαρείσης. πῶς γὰρ ὁ τῆς εὐσεβείας στρατὸς κρείττων τῆς κακίας γενήσεται, τῆς πονηρᾶς φάλαγγος τῶν ἐναντίων ἀντιβαρούσης; ἀλλ' εἰ μέλλοι νικᾷν τὸ κρεῖττον, φονευθήσεται πάντως τὸ ἀντικείμενον· καὶ οὕτως ἡ ἀρετὴ κατὰ τῆς κακίας ἕξει τὰ νικητήρια, ὅταν πᾶν τὸ πολέμιον αὐτῇ διὰ τῆς τῶν λογισμῶν συμμαχίας μεταχωρήσῃ πρὸς τὸ ἀνύπαρκτον. καὶ τότε πληροῦται τὸ ἐκ προσώπου τοῦ Θεοῦ διὰ τῆς B προφητείας λεγόμενον· ὅτι ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω. οὐ γάρ ἐστιν ἄλλως τὸ ἐν ἐμοὶ ἀγαθὸν ζῆσαι, μὴ τῷ θανάτῳ τοῦ πολεμίου ζωοποιούμενον. ἕως δ' ἂν τῶν δύο περιεχώμεθα, ἑκατέρᾳ χειρὶ τῶν ἐναντίων ἀπτόμενοι· ἀδύνατον κατὰ ταὐτὸν τῆς ἀμφοτέρων ἔχειν τὴν μετουσίαν. τοῦ γὰρ περιδραξαμένου τῆς κακίας, ἡ ἀρετὴ τῆς λαβῆς ἐξωλίσθησεν. οὐκοῦν πάλιν τὸν ἐξ ἀρχῆς ἀναλάβωμεν λόγον· ὅτι μία πρὸς τὴν καθαράν τε καὶ θείαν ζωήν ἐστι τοῖς φιλαρέτοις ὁδός, τὸ γνῶναι, τί σημαίνει τοῦ Χριστοῦ τὸ ὄ- C νομα, ᾧ χρὴ καὶ τὸν ἡμέτερον συμμορφωθῆναι βίον, διὰ τῆς τῶν λοιπῶν ὀνομάτων ἐμφάσεως εἰς ἀρετὴν ῥυθμιζόμενον. ὅσα τοίνυν ἐν τοῖς προοιμίοις τοῦ λόγου ῥήματά τε καὶ ὀνόματα παρὰ τῆς ἁγίας τοῦ Παύλου φωνῆς ἑρμηνευτικὰ τῆς τοῦ Χριστοῦ σημασίας συνελεξάμεθα, ταῦτα προθέντες εἰς τὴν προκειμένην ἡμῖν σπουδήν, ἀσφαλεστάτην ὁδηγίαν εἰς τὸν βίον τὸν κατ' ἀρετὴν ποιησόμεθα· τὰ μὲν μιμούμενοι, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, τὰ δὲ προσκυνοῦντες καὶ σεβαζόμενοι. γενέσθω δὲ ἡμῖν D τάξις τῶν εἰρημένων ἡ ἀπαρίθμησις. οὐκοῦν ἀπὸ τῶν πρώτων ἀρξόμεθα. Χριστός, φησι, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. διὰ τούτων πρῶτον μὲν τὰς θεοπρεπεῖς ἐννοίας διὰ τῆς τοῦ Χριστοῦ προσηγορίας μανθάνομεν, δι' ὧν σεβάσμιον ἡμῖν τὸ ὄνομα γίνεται. ἐπειδὴ γὰρ πᾶσα ἡ κτίσις, ὅση τε τῇ αἰσθήσει γινώσκεται, καὶ ἡ τῆς αἰσθητικῆς ὑπερκειμένη κατανοήσεως, δι' αὐτοῦ γέγονε, καὶ ἐν αὐτῷ συνέστηκεν· ἀναγκαίως πρὸς τὸν ὁρισμὸν τῆς τοῦ Χριστοῦ προσηγορίας τῆς τὰ πάντα ποιήσαντος, ἡ σοφία τῇ δυνάμει συμπλέκεται. τοῦτο νοούντων ἡμῶν διὰ τῆς τῶν δύο τούτων φωνῶν συζυγίας, τῆς δυνάμεώς τε λέγω καὶ τῆς σοφίας· ὅτι οὐκ ἂν ἦν τὰ μεγάλα ταῦτα καὶ ἄφραστα τῆς κτίσεως θαύματα,

μὴ σοφίας μὲν τὴν γένεσιν αὐτῶν ἐπινοούσης, δυνάμεως δὲ τῇ σοφίᾳ παραμετρούσης πρὸς τὴν τῶν νοηθέντων τελείωσιν, δι' ἧς ἔργα τὰ νοήματα γέγονε. μερίζεται τοίνυν καταλλήλως εἰς διπλῆν ἔμφασιν τὸ τοῦ Χριστοῦ σημαινόμενον, εἴς τε σοφίαν τε καὶ τὴν δύναμιν. ἵν', ὅταν μὲν πρὸς τὸ μέγεθος τῆς τῶν ὄντων συστάσεως ἀποβλέψωμεν, τὴν ἄφραστον αὐτοῦ δύναμιν διὰ τῶν καταλαμβανομένων νοήσωμεν. ὅταν δὲ λογιζώμεθα, ὅπως δὴ τὰ μὴ ὄντα παρῆλθεν εἰς γένεσιν, τῆς πολυειδοῦς ἐν τοῖς οὖσι φύσεως διὰ θείου νεύματος συστάσης· τότε τὴν ἀκατάληπτον σοφίαν τοῦ Χριστοῦ πιστεύειν. ὃ γάρ τις ἐπικαλεῖται προσευχόμενος, καὶ πρὸς ὃ βλέπει τῷ τῆς ψυχῆς ὀφθαλμῷ· τοῦτο πρὸς ἑαυτὸν διὰ τῆς εὐχῆς ἐπισπᾶται. καὶ οὕτω δυνάμει τε κραταιοῦται, πρὸς τὸν ἔσω ἄνθρωπον (καθώς φησιν ὁ ἀπόστολος) ὁ πρὸς τὴν δύναμιν βλέπων· Χριστὸς δέ ἐστιν ἡ δύναμις· καὶ σοφὸς γίνεται, καθὼς ἡ παροιμία φησίν, ὁ τὴν σοφίαν ἐπικαλούμενος, ἥτις πάλιν νοεῖται ὁ κύριος. οὐκοῦν ὁ τῷ Χριστῷ συνονομαζόμενος, ὅς ἐστι δύναμίς τε καὶ σοφία· καὶ τῇ δυνάμει συνονομάζεται, δυναμωθεὶς κατὰ τῆς ἁμαρτίας· καὶ τὴν σοφίαν ἐν ἑαυτῷ δείξει, τῇ ἐκλογῇ τοῦ βελτίονος. σοφίας δὲ καὶ δυνάμεως ἐν ἡμῖν δεικνυμένων· τῆς μὲν τὸ καλὸν αἱρουμένης, τῆς δὲ δυνάμεως τὸ νοηθὲν βεβαιούσης· κατορθοῦται τοῦ βίου τὸ τέλειον δι' ἀμφοῖν συμπλεκόμενον. οὕτω καὶ εἰρήνην τὸν Χριστὸν νοήσαντες, ἀληθῆ τοῦ Χριστοῦ τὴν κλῆσιν ἐφ' ἑαυτῶν ἐπιδείξομεν· ἐὰν διὰ τῆς ἐν ἡμῖν εἰρήνης τὸν Χριστὸν τῷ βίῳ ἐπιδειξώμεθα. ἐκεῖνος τὴν ἔχθραν ἀπέκτεινε, καθώς φησιν ὁ ἀπόστολος. οὐκοῦν μηδὲ ἡμεῖς ἐν ἑαυτοῖς ταύτην ζωοποιήσωμεν, ἀλλὰ νεκρὰν αὐτὴν ἐν τῷ ἡμετέρῳ δείξωμεν βίῳ. μήποτε τὴν καλῶς, ἐπὶ σωτηρίᾳ ἡμῶν, παρὰ τοῦ Θεοῦ νεκρωθεῖσαν, ἡμεῖς ἐπ' ὀλέθρῳ τῶν ψυχῶν ἡμῶν, δι' ὀργῆς καὶ μνησικακίας, καθ' ἑαυτῶν ἀναστήσωμεν, πονηρὰν ἀνάστασιν τῆς καλῶς ἀποθανούσης κατεργασάμενοι. ἀλλ' εἰ τὸν Χριστὸν ἔχομεν, ὅς ἐστιν ἡ εἰρήνη, καὶ ἡμεῖς ἐν ἑαυτοῖς τὴν ἔχθραν νεκροποιήσωμεν· ἵν', ὅπερ ἐν ἐκείνῳ πιστεύομεν, τοῦτο καὶ ἐν τῷ ἡμετέρῳ κατορθώσωμεν βίῳ. ὡς γὰρ ἐκεῖνος τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας,

A niſi & ſapientia eorum procreationem excogitaſſet, & virtus, quæ per ſapientiam excogitata fuerant, confeciſſet: per virtutem enim ipſius ſapientiæ cogitationes opera ſunt. Chriſti igitur ſignificatio in hanc duplicem vim, ſapientiam ſcilicet virtutémque diuiditur, vt quando rerum vniuerſitatis magnitudinem aſpicimus, ex ea immenſam Dei virtutem cognoſcamus. Quando autem conſideramus, quónam modo ea, quæ nulla fuerant, genita ſint, tam multiformi natura in rebus per diuinum ſpiritum exiſtente, incredibilem B ipſius, qui illa excogitarit, ſapientiam adoremus & ſuſpiciamus, cuius cogitata ipſa, ſunt facta. Neque verò ignaua erit hæc fides, qua Chriſtum eſſe virtutem & ſapientiam credimus, ſed ad boni dijudicationem nobis erit adiumento. Quod enim quis ſupplicans appellat, id ad ſeipſum obſecrando trahit, & ducit, atque interiorem hominem virtute ita corroborat, vt Apoſtolus ad virtutem reſpiciens dicit: Chriſtus autem eſt Dei virtus. Et ſapiens fit, vt in Prouerbiis patet, qui ſapientiam inuocat, quæ omnino Dominus eſſe intelligitur. *Prou. 8.*

C Quare ille, qui nomen habet à Chriſto, qui virtus eſt & ſapientia: virtus etiam cum eo appellatur, aduerſus peccatum ſtrenuè ac fortiter pugnat, dum verò id, quod melius eſt, eligit, in ſeipſo ſapientiam oſtendit. Qua quidem ſapientiæ virtutiſque coniunctione vita perfecta conſtituitur: altera enim, quæ recta honeſtáque ſunt, perſpicimus, altera, quæ perſpecta habemus, exequimur, & confirmamus. Iam verò Chriſtum eſſe pacem cogitantes, veram Chriſtiani appellationem oſtendemus, ſi per eam pacem, quæ in nobis eſt, Chriſtum vita noſtra expreſſerimus. Ille D interficit inimicitam, vt inquit Apoſtolus. Ne igitur eã in nobis vllo modo reuiuiſcere patiamur, ſed planè mortuam eſſe declaremus. Ne præclarè pro ſalute noſtra interfectã à Deo, nos in noſtrorũ perniciẽ animorũ iraſcentes, & iniuriarum reminiſcentes excitemus, ea, quæ bene mortua iacent improbè in vitam reuocantes. Sed cùm habeamus Chriſtum, qui eſt pax, nos item inimicitiam occidamus, vt, quod in ipſo credimus, id in noſtra vita proſequamur. Ille enim medium parietem maceriæ ſoluens *Epheſ. 2.* *Ad Eph. 2.*

duos condidit in ſemetipſo in vno homine faciens pacem: ſic & nos reconciliemus non eos tantum qui nos extrinſecus oppugnant, ſed illos etiam, qui in nobis ipſis ſeditiones commouent, vt ne concupiſcat amplius aduerſus ſpiritum caro, & ſpiritus aduerſus carnem, ſed prudētia carnis legi diuinæ ſubiecta in vnum nouum & pacificum hominem reædificati, & ex duobus vnus effecti in nobis ipſis pacem habeamus. Hæc enim eſt pacis definitio, vt diſſidentium concordia eſſe dicatur. Quamobrem, quando naturæ noſtræ bellum inteſtinum ſublatum eſt, in nobis pacem colentes, pax efficimur, & veram ac propriam in nobis hanc Chriſti appellationem declaramus.
Ioan. 1. At Chriſtum eſſe lucem veram, & à mendacio remotiſſimam conſiderantes, diſcimus vitam quoque noſtram veræ lucis radiis illuſtrari oportere.
Rom 13. Solis autem iuſtitiæ radij ſunt ipſæ virtutes, quæ ad nos illuminandos emanant, vt abijciamus opera tenebrarum, & tanquam in die honeſtè ambulemus, & repudiantes abſcondita turpitudinis, atque omnia in luce facientes, ipſi quoque lux euadamus, & quod proprium eſt lucis, aliis per opera ſplendeamus.
1. Cor. 1. Quòd ſi Chriſtum vt ſanctificationem conſiderabimus, ab improbis & impuris omnibus tum factis tum cogitationibus abſtinentes, nos eius nominis verè participes oſtendemus, quippe qui non verbis ſed vitæ noſtræ actionibus ſanctificationis virtutem præ nobis feramus. Porrò cùm redemptionem eſſe Chriſtum diſcimus, qui ſeipſum vt nos redimeret, pretium dedit, ea voce intelligimus, eum tanquā mercedem cuiuſque
1. Tim. 2. animi, præbendo nobis immortalitatem, nos è morte à ſe per vitam coēmptos propriā ſibi poſſeſſionem effeciſſe. Quod ſi eius, qui nos redemit, effecti ſumus, Dominum ita ſequamur, omnino vt non amplius nobis viuamus, ſed
1. Cor. 6. illi, qui nos vitæ ſuæ pretio comparauit: non enim amplius noſtri ipſorum domini ſumus, ſed ille, qui nos coëmit, dominus eſt, nos autem eius dominio mancipati. Illius ergo voluntas nobis pro lege viuendi propoſita ſit. Vt enim cum mors impotenti dominatu nos premeret, peccati lex in nobis omnia adminiſtrabat, ſic, quando vitæ iam addicti ſumus, par vtique ſit, vt ipſius re-

A τοὺς δύο ἔκτισεν ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην· οὕτω καὶ ἡμεῖς εἰς καταλλαγὰς ἀγάγωμεν οὐ μόνον τοὺς ἔξωθεν ἡμῖν προσμαχομένους, ἀλλὰ καὶ τοὺς ἐν ἡμῖν αὐτοῖς στασιάζοντας. ἵνα μηκέτι ἡ σὰρξ ἐπιθυμῇ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ἀλλ' ὑποταγέντος τοῦ σαρκώδους φρονήματος τῷ θείῳ νόμῳ, εἰρηνεύωμεν ἐν ἑαυτοῖς, εἰς ἕνα τὸν καινόν τε καὶ εἰρηνικὸν ἄνθρωπον ἀναστοιχειωθέντες, καὶ εἷς οἱ δύο γενόμενοι. εἰρήνης γὰρ ὅρος, ἡ τῶν διεστηκότων ἐστὶν ὁμοφωνία. ὅταν οὖν ἐξαιρεθῇ τῆς φύσεως ἡμῶν ὁ B ἐμφύλιος πόλεμος· τότε καὶ ἡμεῖς, ἐν ἑαυτοῖς εἰρηνεύσαντες, εἰρήνη γινόμεθα, ἀληθῆ τε καὶ κυρίαν ἐφ' ἡμῶν τοῦ Χριστοῦ τὴν ἐπωνυμίαν ἐπιδεικνύντες. φῶς δὲ ἀληθινὸν καὶ τοῦ ψεύδους ἀπρόσιτον νοήσαντες τὸν Χριστὸν, τοῦτο μανθάνομεν· ὅτι χρὴ καὶ τὸν ἡμέτερον βίον ταῖς τοῦ ἀληθινοῦ φωτὸς ἀκτῖσι καταφωτίζεσθαι. ἀρεταὶ δέ εἰσιν αἱ ἀκτῖνες τοῦ ἡλίου τῆς δικαιοσύνης, εἰς φωτισμὸν ἡμῶν ἀπορρέουσαι, δι' ὧν γίνεται τὸ ἀποθέσθαι τὰ ἔργα τοῦ σκότους, καὶ ὡς ἐν ἡμέρᾳ περιπατεῖν εὐσχημόνως, καὶ C ἀπειπάμενοι τὰ κρυπτὰ τῆς αἰσχύνης, καὶ πάντα ἐν φωτὶ ποιοῦντα, καὶ αὐτὸν φῶς γενέσθαι, ὥστε καὶ ἄλλοις λάμπειν διὰ τῶν ἔργων, ὅπερ φωτός ἐστιν ἴδιον. κἂν ἁγιασμὸν τὸν Χριστὸν εἶναι νοήσωμεν, ἀπὸ πάσης βεβήλου καὶ ἀκαθάρτου πράξεως καὶ ἐννοίας· οὐχὶ ῥήματι τὸν ἁγιασμοῦ τὴν δύναμιν ὁμολογοῦντες, ἀλλὰ τῷ βίῳ. ἀπολύτρωσιν δὲ εἶναι τὸν Χριστὸν μαθόντες, τὸν ἑαυτὸν δόντα λύτρον ὑπὲρ ἡμῶν· τοῦτο διὰ τῆς τοιαύτης φωνῆς παιδευόμεθα, τὸ μαθεῖν ὅτι καθάπερ τιμήν τινα τῆς ἑκάστου ψυχῆς παρασχόμενος ἡμῖν, τὴν ἀθανασίαν κτῆμα ἴδιον τοὺς ἐκ τοῦ θανάτου παρ' αὐτοῦ διὰ D τῆς ζωῆς ἐξαγορασθέντας, ἐποίησεν. εἰ τοίνυν δοῦλοι τοῦ λυτρωσαμένου γεγόναμεν· πρὸς τὸν κυριεύοντα πάντως ὀψαίμεθα, ὡς μηκέτι ἡμᾶς ἑαυτοῖς ζῆν, ἀλλὰ τῷ κτησαμένῳ ἡμᾶς διὰ τοῦ τῆς ζωῆς ἀνταλλάγματος. οὐκέτι γὰρ ἑαυτῶν ἐσμὲν κύριοι· ἀλλ' ὁ ὠνησάμενος, ἐστὶ κύριος, ἡμεῖς δὲ αὐτοῦ τὰ κτήματα. οὐκοῦν νόμος ἔσται τῆς ἡμετέρας ζωῆς, τὸ τοῦ κυριεύοντος θέλημα. ὥσπερ γὰρ τοῦ θανάτου κρατοῦντος ἡμῶν, ὁ τῆς ἁμαρτίας ἐν ἡμῖν νόμος ἐπολιτεύετο· οὕτως ἐπειδὴ τῆς ζωῆς κτῆμα γεγόναμεν, ἀναγκαῖον ἂν εἴη, πρὸς τὸ τῆς κρα-

τοῦτο δεῖ μεθαρμοσθῆναι ἡμῶν τὴν πολιτείαν· μή ποτε τῆς ζωῆς παραπεσόντες θελήματος, πάλιν πρὸς τὸν πονηρὸν τῶν ψυχῶν ἡμῶν τύραννον (τὸν θάνατον λέγω) διὰ τῆς ἁμαρτίας αὐτομολήσωμεν. ἡ δὲ αὐτὴ διάνοια προσοικειώσει ἡμᾶς τῷ Χριστῷ, κἂν Πάσχα αὐτὸν εἶναι, κἂν ἀρχιερέα, παρὰ τοῦ Παύλου ἀκούσωμεν. ἐτύθη γὰρ ὡς ἀληθῶς ὑπὲρ ἡμῶν τὸ Πάσχα Χριστός· ἀλλ' ὁ ἱερεὺς, προσάγων τῷ Θεῷ τὴν θυσίαν, οὐκ ἄλλος τίς ἐστι παρ' αὐτὸν τὸν Χριστόν. ἑαυτὸν γάρ φησιν ἀνήνεγκε προσφορὰν καὶ θυσίαν ὑπὲρ ἡμῶν. οὐκοῦν τοῦτο διὰ τούτων μανθάνομεν, ὅτι πρὸς ἐκεῖνον βλέπων, τὸν ἑαυτὸν προσαγαγόντα προσφορὰν καὶ θυσίαν, πάσχα γενόμενον· καὶ αὐτὸς ἑαυτὸν παραστήσει τῷ Θεῷ θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον, λογικὴ λατρεία γενόμενος. ὁ δὲ τρόπος τῆς ἱερουργίας ἐστὶ, τὸ μὴ συσχηματίζεσθαι τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθαι τῇ ἀνακαινώσει τοῦ νοὸς αὐτοῦ, ἐν τῷ δοκιμάζειν, τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον. οὐ γάρ ἐστι ζώσης τῆς σαρκὸς, καὶ μὴ κατὰ τὸν πνευματικὸν ἱερουργηθείσης νόμον, τὸ ἀγαθὸν τοῦ Θεοῦ θέλημα ἐν αὐτῇ δειχθῆναι. διότι τὸ φρόνημα τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· καὶ τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. οὐδὲ γὰρ δύναται, ἕως ἂν ζῇ ἡ σάρξ. ἧς διὰ τῆς ζωοποιοῦ θυσίας ἱερουργηθείσης, διὰ τοῦ νεκρωθῆναι τὰ ἐπὶ γῆς μέλη, δι' ὧν ἐνεργεῖται τὰ πάθη, ἀνεμποδίστως τὸ εὐάρεστον καὶ τέλειον θέλημα τοῦ Θεοῦ ἐν τῇ ζωῇ τῶν πεπιστευκότων κατορθωθήσεται. οὕτως καὶ ἱλαστήριον ἐν τῷ ἰδίῳ αἵματι ὁ Χριστὸς νοούμενος, διδάσκει τὸν ταῦτα νοήσαντα, αὐτὸν ἕκαστον γενέσθαι ἑαυτῷ ἱλαστήριον, διὰ τῆς τῶν μελῶν νεκρώσεως τὴν ψυχὴν ἀφαγνίζοντα. ὅταν δὲ δόξης ἀπαύγασμα, καὶ χαρακτὴρ ὑποστάσεως ὁ Χριστὸς λέγηται· τῆς προσκυνουμένης αὐτοῦ μεγαλωσύνης, διὰ τῶν ῥημάτων τούτων, τὰς ἐννοίας ἀναλαμβάνομεν. ὁ γὰρ θεόπνευστος ὡς ἀληθῶς καὶ θεοδίδακτος Παῦλος, ὁ ἐν τῷ βάθει τοῦ πλούτου τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ Θεοῦ, τὰ ἄδηλα καὶ τὰ κρύφια τῶν θείων μυστηρίων διερευνώμενος, τὰς γενομένας αὐτῷ θεόθεν ἐλλάμψεις περὶ τῆς τῶν ἀνεξερευνήτων τε καὶ ἀνεξιχνιάστων κατανοήσεως, ἀτονωτέραν ἔχων τῆς διανοίας τὴν γλῶτταν, καθὼς ἐχώρει ἡ ἀκοὴ τῶν δεχομένων τὴν σύνεσιν αὐτοῦ, τὴν ἐν τῷ μυστηρίῳ, δι' αἰνιγμάτων τινῶν ὑπέδειξεν· ὅσον

A rum potientis arbitrio gubernemur, ne quando à vitæ voluntate per peccatum recedentes, rurſus ad improbum mortis in animos noſtros dominatum vltrò delabamur. Illa verò cogitatio nos adſtrin- 1.Cor.5.
get Domino, ſi eũ à Paulo tum Paſcha, Hebr.7.
tum ſacerdotem appellatum eſſe audiuerimus: pro nobis enim verè Paſcha immolatus eſt Chriſtus, ſacerdos autem ſacrificiũ obtulit Deo idẽ ipſe Chriſtus: ſeipſum enim, inquit, tradidit oblationẽ 1.Tim.2. Eph.5.
& hoſtiã pro nobis. Quæ quidem nobis documento ſunt, vt qui Chriſtum Deo ſe oblationem & hoſtiam dediſſe, & fa- Rom.12.
ctum eſſe Paſcha videt, ipſe quoq. corpꝰ ſuum Deo hoſtiam viuentem, ſanctam,
B bene placentem exhibeat, rationabile obſequium factus: ſacrificandi autem modus eſt, vt ne conformetur huic ſæculo, ſed transformetur in renouationem mentis ſuæ, vt probet, quæ ſit voluntas Dei bona, & beneplacens, & perfecta. Neque enim in carne, bona Dei voluntas oſtendi poteſt, niſi ex ſpiritus lege ſacrificata ſit. Quandoqui- Rom.6.
dem prudentia carnis inimica eſt Deo, & legi Dei non eſt ſubiecta. Quocirca, niſi prius caro mortificatis membris, quæ ſunt ſuper terram, quibus obſequimur appetitui, per hoſtiam viuentem ſacrificetur, bene placens & per-
C fecta Dei voluntas ſine impedimento non poteſt in vita credentium obſeruari. Sic etiam dum Chriſtus in proprio ſanguine propitiatio conſideratur, edocemur, vt nos item nobis ipſis propitia- Hebr.1.
tio ſimus, & membra mortificantes animos reddamus immortales. Quando autem gloriæ ſplendor & figura ſubſtantiæ Chriſtus dicitur, his verbis adorandam eius maieſtatem mente concipimus. Paulus enim diuino ſpiritu afflatus, & verè doctus à Deo, qui in alti- 1.Cor.11.
D tudine diuitiarum & ſapientiæ & ſcientiæ Dei diuinorum myſteriorum arcana & recondita ſcrutatus fuerat, cùm ad diuinitùs ſibi oſtenſos ſplendores earum rerum, quæ indagari inueſtigaríque nequeunt, declarandos lingua imbecillior eſſet, quatenus ſuam ipſius in myſterio intelligentiam aures excipientium caperent, ſignificationibus quibuſdam ſubindicauit, tantum videlicet

loquens, quantum cogitationi ſeruiens oratio poterat explicare. Nam cùm omnia, quæ in naturam & potentiam humanam cadunt, de natura diuina cognouiſſet, ſupremæ illius eſſentiæ rationem nullis humanis cogitationibus capi comprehendique poſſe demõſtrat. Itémque cùm ea, quæ de ipſa conſiderantur, pacem nimirum, virtutem, & vitam, & iuſtitiam, & lucem, & veritatem, & id genus alia perſequeretur, rationem ipſius omnino poſſe concipi negauit. Deum enim nec viſum vnquam fuiſſe, nec viſum iri. Quem nullus, inquit, hominum vidit, nec poteſt videre, idcirco quærens, quo modo, quem cogitatio non aſſequitur, nominaret, quia non inuenit nomen, quo eius excellentiam exprimeret, gloriam & ſubſtantiam appellauit id, quod omnibus partibus ſuperat omne bonũ, quod neque oculis cerni, nec mente percipi, nec verbis explicari poteſt, atque ita præſtantiſſimã illam rerum ſubſtãtiam ſine nomine prçteriuit. Arctiſſimam autem neceſſitudinem, qua cum patre nullis terminis circumſcripto & ſempiterno filius ipſe ſine terminis perpetuo coniunctus conſideratur, ſplendorem gloriæ, & figuram appellat, ſplendore naturalem vnionem oſtendens, figura autem indicans æqualitatem. Etenim neque inter ſplendorem & ſplendentem naturam medium intelligitur, nec figura minor illa ſubſtantia, quæ ſub ipſa ſignatur. Sed qui naturam ſplendentem cogitat, ſimul etiam omnino ſplendorem intelligit. Et qui ſubſtantiæ magnitudinem animo concipit, eam figuræ in ipſa conſpicuæ prorſus dimetitur æqualem. Qua de cauſa & formam Dei Dominum vocat, formæ notione non imminuens Dominum, ſed per formam oſtendens magnitudinem Filij, qua intelligitur patris amplitudo, quæ propriam formam non excedit, neque extra figuram, quæ circa ipſam eſt, inuenitur. Nihil enim informe, nihil non pulchrum in patre, nihil, quod non vnigeniti declaret pulchritudinem Quare,
Ioan.14. qui vidit me, inquit Dominus, vidit pa-
Hebr.1. trem. Ex his nihil deeſſe, nihil ſupereſſe ſignificans. Quinetiam cùm omnia dicat eum portare Verbo virtutis ſuæ, ſoluit dubitationem eorum, qui nimis diligenter & anxiè veſtigant ea, quæ

A ὑπουργεῖν τῇ διανοίᾳ δυνατὸς εἶχεν ὁ λόγος, τοσοῦτον φθεγγόμενος. πάντα γὰρ ὅσα χωρεῖ ἡ αἰσθητικὴ δύναμις, καταμηνύσας, ἀνέφικτόν τε καὶ ἀπερίληπτον αἰσθητικοῖς λογισμοῖς τὸν τῆς ὑπερκειμένης οὐσίας προσφέρεται λόγον. διὰ τὰ περὶ αὐτὴν θεωρούμενα λέγων, εἰρήνην, καὶ δύναμιν, καὶ ζωὴν, καὶ δικαιοσύνην, καὶ φῶς, καὶ ἀλήθειαν, καὶ τὰ τοιαῦτα· τὸν περὶ αὐτῆς ἐκείνης λόγον, ἄληπτον εἶναι παντελῶς διωρίσατο, εἰπών· μήτε ἑωρᾶσθαί ποτε τὸν Θεὸν, μήτε ὀφθήσεσθαι. ὃν εἶδε, γάρ φησιν,
B οὐδεὶς, οὐδὲ ἰδεῖν δύναται. διὰ τοῦτο ζητῶν, πῶς ὀνομάσῃ τὸ μὴ δυνάμενον λογισμοῖς ληφθῆναι, ὡς οὐχ εὗρεν ἐμφαντικὸν ὄνομα τῆς τῶν ἀκαταλήπτων ἑρμηνείας· δόξαν καὶ ὑπόστασιν ὠνόμασε τὸ ὑπερκείμενον παντὸς ἀγαθοῦ, τὸ μήτε νοούμενον ἀξίως, μήτε φραζόμενον. τὴν μὲν οὖν ὑπερκειμένην τῶν ὄντων οὐσίαν ἀφῆκεν ἀκατονόμαστον· τὸ δὲ συναφές τι καὶ ἀδιάστατον τοῦ υἱοῦ πρὸς τὸν πατέρα διερμηνεύων, καὶ τὸ τῷ ἀορίστῳ τε καὶ ἀϊδίῳ πατρὶ ἀορίστως τε καὶ ἀϊδίως συνθεω-
C ρούμενον, ἀπαύγασμα δόξης καὶ χαρακτῆρα ὑποστάσεως προσαγορεύει· διὰ μὲν ἀπαυγάσματος, τὸ συμφυὲς ἐνδεικνύμενος· τῷ δὲ χαρακτῆρι, τὸ ἰσοστάσιον. οὔτε γὰρ αὐτῆς πρὸς τὴν ἀπαυγάζουσαν φύσιν ἐπινοεῖταί τι μέσον· οὔτε τῆς τοῦ χαρακτῆρος ἐλάττωσις πρὸς τὴν ὑπ' αὐτοῦ χαρακτηριζομένην ὑπόστασιν. ἀλλὰ καὶ ὁ τὴν ἀπαυγάζουσαν φύσιν νοήσας, καὶ τὸ ἀπαύγασμα ταύτης πάντως κατενόησε· καὶ ὁ τὸ μέγεθος τῆς ὑποστάσεως ἐν νῷ λαβὼν, τῷ ἐπι-
D φαινομένῳ χαρακτῆρι πάντως ἐμμετρεῖ τὴν ὑπόστασιν. διὰ καὶ μορφὴν τοῦ Θεοῦ λέγει τὸν κύριον· οὐ καταμικρύνων τῇ τῆς μορφῆς ἐννοίᾳ τὸν κύριον· ἀλλὰ τὸ μέγεθος τοῦ υἱοῦ διὰ τῆς μορφῆς ἐνδεικνύμενος, ᾗ συνθεωρεῖται τοῦ πατρὸς ἡ μεγαλειότης, οὐδαμοῦ τῆς ἰδίας μορφῆς ὑπερπίπτουσα, οὐδὲ ἔξω τοῦ περὶ αὐτὴν χαρακτῆρος εὑρισκομένη. ἄμορφον γὰρ καὶ ἀκαλλὲς περὶ τὸν πατέρα οὐδέν, ὃ μὴ τῇ ὡραιότητι τοῦ μονογενοῦς ἐπαγγέλλεται. διό φησιν ὁ κύριος· ὅτι ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε καὶ τὸν πατέρα. σημαίνων διὰ τούτου, μήτε ἔλλειψίν τινα εἶναι, μήτε ὑπέρπτωσιν. ἀλλὰ καὶ φέρειν αὐτὸν λέγων τὰ πάντα τῷ τῆς δυνάμεως ῥήματι, λύει τῶν τὰ ἀνεξερεύνητα πο-

λυπραγμονούντων τῆς ἀμηχανίας, οἱ τὸν περὶ τῆς ὕλης ἀναζητοῦντες λόγον, οὐδαμοῦ τῆς πολυπραγμοσύνης ἵστανται. πῶς, λέγοντες, τῷ ἀΰλῳ ἡ ὕλη; καὶ πῶς τὸ ποσὸν ἐκ τοῦ ἀπόσου; καὶ ἐκ τοῦ ἀσχηματίστου τὸ σχῆμα; καὶ ἐκ τοῦ ἀοράτου τὸ χρῶμα; καὶ ἐκ τοῦ ἀορίστου τὸ τοῖς ἰδίοις μέτροις ἐμπεριγραφόμενον; καὶ εἰ μηδεμία ποιότης περὶ τὸ ἁπλοῦν καὶ ἀσύνθετον, πόθεν ἐμπλέκεται ταῖς περὶ αὐτὴν ποιότησιν ἡ ὕλη; πάντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα τῶν ζητουμένων, λύει ὁ εἰπών· ὅτι τὰ σύμπαντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ φέρει ὁ λόγος ἐκ τοῦ μὴ ὄντος εἰς γένεσιν· πάντα γὰρ, ὅσα τὴν ἄϋλον εἴληχε φύσιν, μίαν αἰτίαν ἔχει τῆς ὑποστάσεως, τὸ ῥῆμα τῆς ἀφράστου δυνάμεως. ἐκ δὲ τούτων παιδευόμεθα τὸ, πρὸς αὐτὸ βλέπειν, ἀφ' οὗ τῶν ὄντων ἐστὶν ἡ γένεσις. εἰ γὰρ ἐκεῖθεν εἰς τὸ εἶναι παρήχθημεν, καὶ ἐν αὐτῷ συνεστήκαμεν· ἀνάγκη πᾶσα, μηδὲν ἔξω τῆς γνώσεως πιστεύειν εἶναι, τοῦ ἐν ᾧ ἐσμὲν, καὶ ἀφ' οὗ γεγόναμεν, καὶ εἰς ὃν ἀναλύομεν. ταύτῃ δὲ τῇ διανοίᾳ συγκατορθοῦται, κατὰ τὸ εἰκὸς, τὸ κατὰ τὴν ζωὴν ἀναμάρτητον. τίς γὰρ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ ἐν αὐτῷ ζῆν πιστεύων, μάρτυρα τῆς ἀπεμφαινούσης ζωῆς τολμήσας ποιήσασθαι τὸν ἐν αὐτῷ τὴν ἑκάστου ζωὴν περιέχοντα; βρῶμα δὲ καὶ πόμα πνευματικὸν ὀνομάζων τὸν κύριον ὁ θεῖος ἀπόστολος, ταῦτα διὰ τῶν λεγομένων νοεῖν ὑποτίθεται· ὅτι οὐ μονοειδής ἐστιν ἡ ἀνθρωπίνη φύσις· ἀλλὰ τοῦ νοητοῦ πρὸς τὸ αἰσθητὸν συγκεκραμένου, ἰδιάζουσα καθ' ἕτερον τῶν ἐν ἡμῖν θεωρουμένων ἐστὶν ἡ τροφή· τῆς μὲν αἰσθητῆς βρώσεως τὸ σῶμα διακρατούσης, τῆς δὲ πνευματικῆς τροφῆς τὴν ψυχικὴν ἐμποιούσης ἡμῖν εὐεξίαν. ἀλλ' ὥσπερ ἐπὶ τοῦ σώματος, τὸ στερεόν τε καὶ ὑγρὸν τῆς τροφῆς, μετ' ἀλλήλων μιγνύμενα, συντηρητικὰ τῆς φύσεως γίνεται, διὰ τῆς καταλλήλου πέψεως ἑκάστῳ τῶν ἐν ἡμῖν στοιχειωδῶς συγκεκραμένων καταμιγνύμενα· κατὰ τὸν αὐτὸν τρόπον ἀναλογικῶς ὁ Παῦλος καὶ τὴν νοητὴν καταμερίζει τροφὴν, βρῶσιν ὀνομάζων καὶ πόσιν, τὸ αὐτὸ πρᾶγμα πρὸς τὴν χρείαν τῶν προσφερομένων οἰκείως μεθαρμοζόμενον. τοῖς μὲν γὰρ ἀτονοῦσι καὶ ἐκλελυμένοις ἄρτος γίνεται, στηρίζων καρδίαν ἀνθρώπου· τοῖς δὲ κεκμηκόσι διὰ τὴν πρὸς τὸν βίον τοῦτον ταλαιπωρίαν, καὶ διὰ τοῦτο γενο-

A quæ ſciri non poſſunt. Si quidem hi de materia requirentes rationem, nullo modo præ nimia curioſitate conſiſtunt aut conquieſcũt. Vnde enim (inquiunt) materia ſit illi, qui à materia ſeiunctus eſt? aut quónam pacto ducatur quantum ex eo, qui caret quantitate? aut ex illo figura, qui figuram non habet? aut color ab eo, qui videri non poteſt? aut ab illo, qui fine vacat, id, quod propriis finibus includitur? Quòd ſi nulla adeſt qualitas ſimplici & incompoſito, vnde materia ſuis qualitatibus eſt implicita? Has enim omnes, & alias eiuſmodi quæſtiones ſoluit, qui dicit eum ſic Verbo B virtutis omnia portare, vt generentur ex nihilo. Quæcumque enim, materiæ vel participem vel expertem naturam acceperunt, vnam ſubſtantiæ cauſam habent, verbum virtutis illius, quæ nullis verbis dici poteſt. Ex quo admonemur, vt eum, vnde res omnes ortæ generatæque ſunt, intueamur. Etenim ſi ab illo procreati ſumus, atque in eo conſiſtimus, omnino neceſſe eſt, vt nihil eſſe credamus, quod eius, qui nos procrearit, in quo ſimus, in quem reſoluamur, cognitionem effugiat. Qua quiC dem cogitatione, vt æquum eſt, innocentia vitæ conſeruatur. Quis enim ex ipſo, & per ipſum, & in ipſo ſe viuere credens, turpis, & flagitioſæ vitæ teſtem habere velit eum, quem vniuſcuiuſque vitam in ſe continere ſciat? Eſcam autem & potum ſpiritualem Dominum appellans Diuus Apoſtolus nos commonefacit, vt naturam humanam non ſimplicem, ſed ex mente ſenſúque compoſitam cogitemus, cuius quidem vtrique parti ſit proprius cibus: ſolida enim eſca corpus nutritur: ſpiritali alimenD to valetudo animi conſeruatur. Ac quemadmodum in corpore ſolida & humida alimenta inter ſe miſta naturam nutriunt & tuentur, dum mutuò concocta ſingulis partibus, quæ in nobis ex elementis concretæ ſunt, commiſcentur: ſic mentis alimentum ex proportione diuidens Paulus, eſcam & potum vocat eandem rem, prout aptè & propriè ad accipientium vſum accommodatur: nam imbecillis, afflictiſque panis fit, cor hominis confirmans, ægris autem & huius vitæ miſeria laborantibus, ac propterea ſitientibus fit

Rom. 11.
1. Cor. 10.
Pſal. 103.

vinum cordi lætitiam afferens. Oportet autem per ea, quæ dicta ſunt, vim orationis intelligere, qua animus ex præſenti vſu gratiam accipiens alitur, vt
Pſal.23. indicat ænigma prophetæ, qui loco paſcuæ, & aqua refectionis conſolationem ſignificat, quæ oratione laborantibus & afflictis adhibetur. Sin aliquis etiam ad myſterium reſpiciens dicat cibum, & potum propriè Dominum nominari, ne id quidem à germana ſignificatione receſſerit: verè enim caro ipſius eſt cibus, & ſanguis eius verè eſt po-
Io.6. tus. Atque memorata quidem ſignificatione omnibus, cum poteſtate facultas datur vt participes ſint Verbi, quod ab iis, qui requirunt illud acceptum, fit cibus & potus ſine diſcrimine guſtatus. In altera autem ſignificatione non ſine probatione, aut ſine dilectu fit eiuſmodi cibi potúſque participatio, cum Apoſtolus ita definierit: probet autem, inquit, ſe ipſum quiſque, & ſic de pane illo edat, & de calice bibat.
1.Cor.11. Qui enim indignè manducat, & bibit, iudicium ſibi manducat & bibit. Huc autem reſpiciens Euangeliſta planè videtur eandem ſignificationem confirmaſſe. Cùm myſticæ paſſionis tempore nobilis ille ſenator immaculata mundáque ſindone inuoluens Domini corpus in nouo & puro monumento poſuit. Quamobrem & Apoſtoli præce-
Luc.23. pto & Euangeliſtæ obſeruatione commouemur, vt ſacroſanctum Domini corpus pura conſcientia ſuſcipiamus,
1.Cor.10. Quod ſi aliqua peccati macula infecta ſit, eam aqua lachrymarum abluamus & expurgemus. Verum quia etiam petra dicitur Chriſtus, eam nobis id nomen afferet vtilitatem, vt rectam viuendi rationem firmam ac ſtabilem teneamus, & in rebus aduerſis fortiter perferendis conſtantes ſimus, aduerſúſque omnem peccati impetum ſtrenuos atque inuictos animos præſtemus: ex his enim rebus & aliis eiuſmodi nos item erimus petra, in natura fragili firmum & immutabile Domini robur pro viribus imitantes. Quòd autem à ſapiente
1.Cor.3. Epheſ.2. Luc.20. Architecto fundamentum fidei & anguli caput nuncupatur, id quoque nobis ad vitam ex virtute inſtituendam expediet. Sic enim bonarum omnium & adminiſtrationum ciuilium, & diſci-

A μθύοις διψώδεσιν, οἶνος γάρ ἐστι, τὴν καρδίαν εἰς εὐφροσύνην ἄγων. νοεῖν δὲ χρὴ διὰ τῶν εἰρημένων τοῦ λόγου τὴν δύναμιν, δι᾽ οὗ τρέφεται ἡ ψυχὴ καταλλήλως τῇ χρείᾳ, τὴν ἀπ᾽ αὐτοῦ χάριν προσδεχομένη, κατὰ τὸ αἴνιγμα τοῦ προφήτου, ὃς τόπῳ χλόης καὶ ὕδατος ἀναπαύσεως τὴν ἐκ τοῦ λόγου γινομένην τοῖς κεκμηκόσι παραμυθίαν διασημαίνει. εἰ δὲ πρὸς τὸ μυστήριον τις βλέπων, βρῶμα καὶ πόμα κυρίως ὀνομάζεσθαι λέγοι τὸν κύριον· οὐδὲ τοῦτο τῆς κυρίας ἐμφάσεως ἀπεξένωται. ἀληθῶς γὰρ ἡ σὰρξ αὐτοῦ βρῶσις
B ἐστὶ, καὶ τὸ αἷμα αὐτοῦ ἀληθῶς ἐστὶ πόσις. ἀλλ᾽ ἐπὶ τῆς προρρηθείσης μὲν διανοίας, πᾶσι κατ᾽ ἐξουσίαν ἐστὶν ἡ μετουσία τοῦ λόγου, ὃς γάρ ἐστι βρῶμα καὶ πόμα προσφερόμενος ἀδιακρίτως, ὑπὸ τῶν ἐπιζητούντων αὐτὸν λαμβανόμενος. ἐπὶ δὲ τῆς ἑτέρας ἐννοίας, οὐκ ἔστιν ἀνεξέταστος καὶ ἀδιάκριτος ἡ τῆς τοιαύτης τροφῆς τε καὶ πόσεως μετουσία· οὕτως τοῦ ἀποστόλου προδιορισαμένου, ὅτι δοκιμαζέτω δὲ ἕκαστος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. ὁ δὲ ἀναξίως ἐσθίων καὶ πίνων· εἰς κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει.
C πρὸς ὅ μοι δοκεῖ ὁ εὐαγγελιστὴς βλέπων, ἠσφαλισμένως τὸ τοιοῦτο παρασημειώσασθαι, ὅτι ἐν τῷ καιρῷ τοῦ μυστικοῦ πάθους ὁ εὐσχήμων ἐκεῖνος βουλευτὴς, ἀσπίλῳ καὶ καθαρᾷ τῇ σινδόνι τὸ σῶμα τοῦ κυρίου διαλαβὼν, καινῷ τε καὶ καθαρῷ μνήματι ἐναπέθετο. ὥστε νόμον πᾶσιν ἡμῖν τι, τὸ τοῦ ἀποστόλου παράγγελμα γενέσθαι, καὶ τὸ τοῦ εὐαγγελιστοῦ παρατήρημα, τῇ καθαρᾷ τῇ συνειδήσει τὸ ἅγιον ὑποδέχεσθαι σῶμα· εἴ που τις ἐξ ἁμαρτίας εἴη κηλὶς, τῷ ὕδατι τῶν δακρύων ἀπορρίψαντας. ἀλλὰ πέτρα λεγόμενος ὁ Χριστὸς ὠ-
D φελήσει διὰ τοῦ ὀνόματος τούτου ἡμᾶς, ἐν τῷ παγίῳ τε καὶ ἀμεταθέτῳ τῆς κατ᾽ ἀρετὴν ζωῆς, καὶ ἐν τῷ στεῤῥῶς ἔχειν πρὸς τὴν τῶν παθημάτων ὑπομονὴν, καὶ διὰ τοῦ πρὸς πᾶσαν προσβολὴν ἁμαρτίας ἀντίτυπον καὶ ἀνένδοτον τὴν ψυχὴν ἐπιδείκνυσθαι. διὰ τούτων γὰρ καὶ τῶν τοιούτων πέτρα καὶ ἡμεῖς ἐσόμεθα, μιμούμενοι, καθὼς ἐστὶ δυνατὸν, ἐν τῇ τρεπτῇ φύσει τὸ ἄτρεπτον τοῦ δεσπότου καὶ ἀμετάθετον. εἰ δὲ ὁ αὐτὸς παρὰ τοῦ σοφοῦ ἀρχιτέκτονος καὶ θεμέλιος πίστεως, καὶ γωνίας κεφαλὴ ὀνομάζεται· οὐδὲ οὗτος πρὸς τὴν τοῦ κατ᾽ ἀρετὴν βίου συνδρομὴν ἀσυντελὲς ἡμῖν ἐπιδειχθήσεται. διδασκόμεθα γὰρ διὰ τούτων, ὅτι πάσης ἀγαθῆς

πολιτείας, καὶ παντὸς ἀγαθοῦ μαθήματός τε καὶ ἐπιτηδεύματος, καὶ ἀρχὴ καὶ τέλος ἐστὶν ὁ κύριος. ἥ τε γὰρ ἐλπὶς (ἣν ἀντὶ κεφαλῆς νομίζομεν, πρὸς ἣν πάντα βλέπει, τὰ κατ' ἀρετὴν σπουδαζόμενα) ἐκεῖνός ἐστιν, οὕτως ὀνομασμένος παρὰ τοῦ Παύλου· καὶ ἡ ἀρχὴ τῆς ὑψηλῆς ταύτης τοῦ βίου πυργοποιΐας, ἡ εἰς αὐτὸν γὰρ πίστις, ἐφ' ἧς οἷόν τινα θεμέλιον τὰς ἀρχὰς τοῦ βίου καταβαλλομένων ἡμῶν, καὶ διὰ καθημερινῶν κατορθωμάτων τὰς καθαρὰς ἐννοίας τε καὶ ἐνεργείας νομοθετούντων, οὕτως ἡ τοῦ παντὸς κεφαλὴ καὶ ἡμετέρα γίνεται κεφαλή, τοῖς δύο τῆς ζωῆς ἡμῶν τείχεσι, τοῖς τε κατὰ τὸ σῶμα καὶ τὴν ψυχήν, δι' εὐσχημοσύνης καὶ καθαρότητος ἐποικοδομουμένοις, διὰ τῆς ἀγωνίου συμφυΐας ἑαυτὴν ἐφαρμόζουσα. ὡς ἐὰν ἐλλείπῃ τὸ ἕτερον τῶν οἰκοδομημάτων, ἤτοι τῆς κατὰ τὸ φαινόμενον εὐσχημοσύνης τῇ τῆς ψυχῆς καθαρότητι μὴ συνοικοδομουμένης, ἢ τῆς ψυχικῆς ἀρετῆς τῷ φαινομένῳ μὴ συμβαινούσης· οὐκ ἂν γένοιτο τοῦ ἡμιτελοῦς τούτου βίου κεφαλὴ ὁ Χριστός, ὁ μόνῃ τῇ διπλῇ τε καὶ διαγωνίᾳ οἰκοδομίᾳ ἑαυτὸν ἐφαρμόζων· οὐδὲ γάρ ἐστι δυνατόν, χωρὶς τῆς τῶν δύο τοίχων συμβολῆς, γωνίας γενέσθαι. τότε οὖν ἐπιτεθήσεται τῷ οἰκοδομήματι ἡμῶν τὸ τῆς ἀκρογωνιαίου κάλλος· ὅταν ἀμφοτέρωθεν πρὸς τὸν ὀρθὸν τοῦ βίου κανόνα, τῇ τῆς ἀρετῆς ἀπαρτὶ ἀποστάθμῃ ἐναρμονίως ὁ διπλοῦς βίος, ὀρθός τε καὶ ἀδιάστροφος, καὶ οὐδὲν ἔχων ἐν ἑαυτῷ σκολιὸν ἢ κατεσκολιωμένον. εἰκόνα δὲ τοῦ Θεοῦ τοῦ ἀοράτου τὸν Χριστὸν ὀνομάζων ὁ Παῦλος, τὸν ἐπὶ πάντων Θεὸν καὶ μέγαν Θεὸν (καὶ ταύταις γὰρ ταῖς φωναῖς ἀνακηρύσσει τοῦ ἀληθινοῦ δεσπότου τὸ μεγαλεῖον, λέγων· τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καί, ἐξ ὧν ὁ Χριστὸς, τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας) ταῦτα οὖν λέγων που· παιδεύει διὰ τῶν λεγομένων ἡμᾶς, ὅτι ἀεὶ ὢν ὅπερ ἐστὶν (ἔστι δὲ ἐκεῖνο, ὅπερ ὁ ὢν ἐπίσταται μόνος) τῆς δὲ ἀνθρωπίνης καταλήψεως, κἂν ἀεὶ αὐτῷ διὰ προκοπῆς προσεγγίζῃ ὁ τὰ ἄνω φρονῶν, πάντοτε ἐν ἴσῳ μέτρῳ ὑπερανέστηκεν. ἐπεὶ τοίνυν ὑπερέκεινα πάσης γνώσεώς τε καὶ καταλήψεως, ὁ ἄφραστός τε καὶ ἀνεκλάλητος καὶ ἀδιήγητος, ἵνα σε ποιήσῃ πάλιν εἰκόνα Θεοῦ, καὶ αὐτὸς ὑπὸ φιλανθρωπίας ἐγένετο εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου· ὥστε τῇ ἰδίᾳ μορφῇ, ἣν ἀνέλαβεν, ἐν σοὶ μορφωθῆναι,

A plinarum, & inſtitutorum tum principium, tum etiam finem eſſe Dominum dicimus. *Cor. 1.* Nam & ſpes, quam pro capite accipimus, ad quam rectæ honeſtæque actiones noſtræ omnes tendunt, ille nominatus eſt à Paulo: *Col. 3.* & in principio huiuſce vitæ ædificij, quod ad ipſum dirigitur, fides, in qua vitæ principia tanquam fundamenta iacimus, & quotidianis officiis puras tum cogitationes tum actiones noſtras moderamur. atque ita, quod vniuerſi eſt caput, noſtrum etiam caput efficitur, cùm duobus vitæ noſtræ, corporis videlicet atB que animi muris per honeſtatem & puritatem conſtructis angulari coniunctione apte cohæret. Quòd ſi altera pars deſit ædificio, vt vel animi puritas conſpicuã extrinſecus honeſtatem non habeat, vel hæc, quæ videtur, animi virtute vacet, eius mancæ inchoatæque vitæ caput non erit Chriſtus, quippe qui duplici angularíque fabricæ tantummodo quadrat: neque enim, niſi duo concurrant parietes, angulus fieri poteſt. Quare tunc imponetur ædificio noſtro ſummi angularis faſtigij pulC chritudo, cum ex vtraque parte ad rectam virtutis normam duplex vita & recta, & conſtans, & nihil obliqui curuíque habens, perpendiculo concinnè erit accommodata. At verò cùm Dei inuiſibilis imaginem Paulus Chriſtum appellat, & in omnibus Deum & magnum Deum, *Col. 1.* & his enim vocibus veri Domini magnitudinem prædicat, *Col. 3.* magni, inquiens, Dei, & ſaluatoris noſtri Ieſu Chriſti: & ex quibus Chriſtus ſecundum carnem, *Luc. 1.* qui eſt in omnibus Deus benedictus in ſæcula, nos docet, eum ſemper eſſe, qui eſt. Eſt autem ille maior, quam vt humana mente com- *Rom. 9.*D prehendi poſſit, ſi ſecum ipſe verſetur, per fœlicitatem cœleſtia ſentiens, & æqualem vndique menſuram. Hic igitur longè præſtantior, quàm vt humana cognitione comprehendatur, qui nullis verbis, nulla oratione, nulla vi dici, enarrari, declarariue poteſt, vt te prorſus faceret imaginem Dei ipſe, quo pro ſua erga hominem beneuolentia factus eſt imago Dei inuiſibilis, hoc eſt, ad humanæ naturæ menſuram ſeſe demiſit, vt nos ad diuinitatis menſuram extollamur. Ea enim fuerit negotiatio filij Dei, vt propria forma, quam ſumpſit, effectus homo, ſe rurſus ad exem-

plaris pulchritudinis figuram effingeret, vt eſſet id, quod initio fuerat. Proinde vt nos item ſimus imago inuiſibilis Dei, ad propoſitum nobis exemplar vitæ noſtra viuendi ratio exprimenda eſt, eo nimirum pacto, vt in carne viuentes, minimè viuamus ſecũdum carnem. *Rom. 8.* Si quidem & princeps illa Dei inuiſibilis imago, quæ ad nos per virginitatem appropinquauit, per omnia ad humanæ naturæ ſimilitudinem eatenus tentata eſt, vt nullum peccati experimentum ſuſceperit. *1. Petr. 2.* Qui peccatum non fecit, nec inuentus eſt dolus in ore eius. Quemadmodum igitur ſi pingendi artem diſceremus, magiſter aliquam nobis pulcherrimè depictam formam in tabula proponeret, cuius in ſua quemque pictura oporteret pulchritudinem imitari, vt omnium tabulæ ad propoſitum pulchritudinis exemplar expolirentur: ſic quoniam ſuæ quiſque vitæ pictor exiſtit, artifex autem huiuſce operis voluntas eſt, colores verò ad exprimendam imaginem virtutes ſunt: non mediocre periculum eſt, ne à pulchritudinis exemplari ad turpem ac deformem aliquam perſonam recedat imitatio, & pro Domini forma effigiem vitij ſordidis coloribus adumbremus. Itaque pro noſtra virili nobis enitendum eſt, vt virtutum colores puri ſint, & ſcienter peritéque ad excipiendam imaginem commiſceantur, vt imaginis imago ſimus, & quo ad eius fieri poteſt, imitatione perſpicua pulchritudinis exemplum exprimamus, vt faciebat Paulus, qui ex virtute vitam inſtuens, Chriſti imitator fuit. Quòd ſi clarius ea ſigillatim oratione perſequi volumus, quibus imitando imaginem repræſentamus, vnus color eſt humilitas. Diſcite, inquit, à me, quia mitis ſum & humilis corde: alter eſt patientia, quæ *Matth. 11.* quot modis in imagine inuiſibilis Dei conſpicitur? vbi gladij, & fuſtes, & vincula, verbera, alapis maxillæ percuſſæ, facies ſputis oblita, humeri verberibus traditi, iudicium impium, crudelis ſententia, milites ſubſannationibus, irriſionibus, contumeliis, & calami percuſſionibus immitem ſententiam per delicias exacerbãtes, claui, & fel, & acetum,

A καί σε πάλιν δι' ἑαυτῆς πρὸς τὸν χαρακτῆρα τοῦ ἀρχετύπου συσχηματισθῆναι κάλλους, εἰς τὸ γενέσθαι, ὅπερ ἦς ἐξ ἀρχῆς. Οὐκοῦν εἰ μέλλοιμεν γίνεσθαι καὶ ἡμεῖς εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου· πρὸς τὸ ἐγκείμενον ἡμῖν τοῦ βίου ὑπόδειγμα τυπωθῆναι προσήκει τῆς ζωῆς ἡμῶν τὸ εἶδος. τοῦτο δὲ ἐστι τί; τὸ ἐν σαρκὶ ζῶντας, μὴ κατὰ σάρκα ζῆν. καὶ γὰρ ἡ πρωτότυπος ἐκείνη τοῦ ἀοράτου Θεοῦ εἰκὼν, ἡ διὰ τῆς παρθένου ἐπιδημήσασα, ἐπειράσθη μὲν κατὰ πάντα, καθ' ὁμοιότητα τῆς ἀνθρωπίνης φύσεως· μόνης δ' οὐ παρεδέξατο τῆς B ἁμαρτίας τὴν πεῖραν. ὃς ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, φησὶν, οὐδ' εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. ὥσπερ τοίνυν, εἰ τὴν ζωγραφικὴν ἐπαιδευόμεθα τέχνην, προθέντος ἡμῖν τοῦ διδασκάλου καλλωπισμένην τινὰ μορφὴν ἐπὶ πίνακος· ἔδει πάντως τὸ ἀπ' ἐκείνης κάλλος ἐπὶ τῆς ἰδίας ἕκαστον ζωγραφίας μιμήσασθαι, ὥστε τοὺς πάντων πίνακας κατὰ τὸ ἐγκείμενον τοῦ κάλλους ὑπόδειγμα καλλωπισθῆναι· κατὰ τὸν αὐτὸν τρόπον, ἐπειδὴ τῆς ἰδίας ἕκαστος ἐστὶ ζωῆς ζωγράφος, τεχνίτης δὲ τῆς δημιουργίας ταύτης ἐστὶν ἡ προαίρεσις, C χρώματα δὲ πρὸς τὴν ἀπεργασίαν τῆς εἰκόνος αἱ ἀρεταί· κίνδυνος οὐ μικρὸς, μεταχαράξαι τοῦ πρωτοτύπου κάλλους τὴν μίμησιν εἰς εἰδεχθές τι καὶ ἄμορφον προσωπεῖον, διὰ τῶν ῥυπαρῶν χρωμάτων, ἀντὶ τοῦ δεσποτικοῦ εἴδους τὸν τῆς κακίας χαρακτῆρα σκιογραφήσοντας. ἀλλὰ ὡς ἔστι δυνατὸν, καθαρὰ τῆς ἀρετῆς τὰ χρώματα, κατά τινα τεχνικὴν μίξιν πρὸς ἄλληλα συγκεκραμένα, πρὸς τὴν τοῦ κάλλους μίμησιν παραλαμβάνειν· ὥστε γενέσθαι ἡμᾶς τῆς εἰκόνος D εἰκόνα, δι' ἐνεργοῦς ὡς οἷόν τε μιμήσεως, ἐκμαξαμένους τὸ πρωτότυπον κάλλος, ὡς ἐποίει ὁ Παῦλος, μιμητὴς τοῦ Χριστοῦ διὰ τοῦ κατ' ἀρετὴν βίου γινόμενος. εἰ δὲ χρὴ καὶ τὰ καθ' ἕκαστον διευκρινῆσαι τῷ λόγῳ, δι' ὧν ἡ τῆς εἰκόνος μίμησις γίνεται· ἓν χρῶμα ἡ ταπεινοφροσύνη. μάθετε γάρ φησιν ἀπ' ἐμοῦ· ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. ἕτερον χρῶμα, ἡ μακροθυμία, ἡ πῶς τῇ εἰκόνι τοῦ ἀοράτου Θεοῦ ἐπιφαίνεται; μάχαιραί τε καὶ ξύλα, καὶ δεσμὰ καὶ μάστιγες, σιαγόνες ῥαπιζόμεναι, πρόσωπον ἐμπτυόμενον, νῶτον πληγαῖς ἐκδιδόμενον, κριτήριον ἀσεβὲς, ἀπόφασις ἀπηνὴς, στρατιῶται τῆς σκυθρωπῆς ἀποφάσεως κατατρυφῶντες, ἐν χλευασμοῖς καὶ εἰρωνείαις καὶ ταῖς ἐκ καλάμου πληγαῖς, ἧλοι, καὶ χολὴ, καὶ ὄξος, καὶ πάν-

καὶ πάντα τὰ δεινότατα, οὐδεμιᾶς αἰτίας αὐτῷ προσαγόμενα, μᾶλλον δὲ ὑπὲρ τῆς πολυτρόπου εὐεργεσίας ἀντιδιδόμενα. τίς οὖν κατὰ τῶν ταῦτα ποιούντων ἡ ἄμυνα· πάτερ συγχώρησον αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. μὴ οὐκ ἦν δυνατὸν, ἄνωθεν αὐτοῖς αὐτὸν ἐπιρρῆξαι τὸν οὐρανόν; ἢ χάσματι γῆς ἐξαφανίσαι τοὺς ὑβρίσαντας; ἢ ἐπικλύσαι ἔξω τῶν ἰδίων ὅρων τὴν θάλασσαν, καὶ τοῖς βυθοῖς ποιῆσαι τὴν γῆν ὑποβρύχιον; ἢ τὴν Σοδομιτικὴν αὐτοῖς ἐπιβαλεῖν τοῦ πυρὸς ἐπομβρίαν; ἢ ἄλλο τι ποιῆσαι τῶν σκυθρωπῶν διὰ προστάγματος; ἀλλὰ ταῦτα πάντα ἤνεγκεν ἐν πραότητι καὶ μακροθυμίᾳ, ὁ τῷ σῷ βίῳ δι' ἑαυτοῦ νομοθετῶν τὸ μακρόθυμον. οὕτω καὶ τὰ ἄλλα πάντα περὶ τὸν πρωτότυπον τῆς Θεοῦ εἰκόνα ἔστιν ἰδεῖν, πρὸς ὃν ὁ βλέπων, καὶ κατ' ἐκεῖνον ἐναργῶς καλλωπίζων τὴν ἑαυτοῦ μορφὴν· εἰκὼν καὶ αὐτὸς γίνεται τοῦ Θεοῦ τοῦ ἀοράτου, διὰ τῆς ὑπομονῆς ζωγραφούμενος. ὁ δὲ κεφαλὴν τῆς ἐκκλησίας τὸν Χριστὸν εἶναι μαθὼν, τοῦτο πρὸ πάντων διανοείσθω, ὅτι πᾶσα κεφαλὴ τῷ ὑποκειμένῳ σώματι ὁμοφυής ἐστι καὶ ὁμοούσιος, καὶ μία τίς ἐστι τῶν καθ' ἕκαστον μελῶν πρὸς τὸ ὅλον συμφυΐα, διὰ μιᾶς συμπνοίας κατεργαζομένη πρὸς τὰ μέρη τῷ παντὶ τὴν συμπάθειαν. ἐκ τούτου, εἴ τι τοῦ σώματός ἐστιν ἐκτός· τοῦτο καὶ πρὸς τὴν κεφαλὴν πάντως ἀλλοτρίως ἔχει. παιδεύει τοίνυν διὰ τούτων ὁ λόγος ἡμᾶς, ὅπερ ἐστὶν ἡ κεφαλὴ κατὰ τὴν φύσιν, τοῦτο καὶ τὰ καθ' ἕκαστον γίνεσθαι μέλη, ἵνα πρὸς τὴν κεφαλὴν οἰκείως ἔχῃ. ἡμεῖς δὲ ἐσμὲν τὰ μέλη, οἱ εἰς τὸ σῶμα τοῦ Χριστοῦ συντελοῦντες. εἰ τοίνυν τις ἄρας τὸ μέλος τοῦ Χριστοῦ, ποιήσῃ μέλος πόρνης· διά τινα μάχαιραν ἐμβαλὼν τῆς ἀκολάστου λύσσης, διὰ τοῦ πονηροῦ τούτου πάθους, τὸ μέλος πάντως τῆς κεφαλῆς ἠλλοτρίωσεν. οὕτω δὲ καὶ τὰ λοιπὰ τῆς κακίας ὄργανα, μάχαιραι γίνονται, δι' ὧν τὰ μέλη τοῦ συμφυοῦς ἀποτέμνεται σώματος, καὶ τῆς κεφαλῆς ἀφορίζεται πάντα, καθὼς ἂν τὴν τομὴν ἐνεργήσῃ τὰ πάθη. ἵνα οὖν τοίνυν ἐν τῇ κατὰ φύσιν ὅλον διαμένῃ τὸ σῶμα· πρὸς τὴν κεφαλὴν οἰκείως ἔχειν προσήκει καὶ τὰ καθ' ἕκαστον μέλη, διὰ καθαρὰν τῷ λόγῳ τῆς οὐσίας τὴν κεφαλὴν συντελοῦντα. εἰ ἀφθαρσίαν νοοῦμεν τὴν κεφαλήν· ἐν ἀφθαρσίᾳ χρὴ πάντως συνεστάναι τὰ μέλη. οὕτω καὶ τὰ ἄλλα νοήματα, ὅσα ἡ κεφαλὴ νοεῖται, καὶ ἐπὶ τῶν μελῶν ἀκόλουθόν ἐστι καθορᾶσθαι· τὴν εἰρήνην,

A & grauiſſima quæque ipſi ſine cauſa illata, imo verò pro innumerabilibus beneficiis reddita: tunc ille quo modo iſta patrantes vltus eſt? pater, inquit, ignoſce illis, quia neſciũt, quod faciunt. *Luc. 23.* Nónne poterat contra eos ſuperius vel cœlũ perfringere, vel ipſos terræ hiatibus abolere, vel dimouere ex propriis terminis mare, & voraginibus terrã ſubmergere, vel Sodomiticũ ignis imbrem demittere vnico verbo, vel aliquod aliud acerbum ſuppliciũ irrogare? Attamen hæc omnia miti patiẽtique animo pertulit, vitæque tuæ per ſeipſum leges B patientiæ dedit. Sic alia omnia in principe Dei imagine licet intueri, ad quam qui reſpicit, & ad eius ſimilitudinẽ formam exornat ſuam, ipſe quoque fit imago Dei inuiſibilis per tolerantiã expreſſa. Qui autẽ Eccleſię caput Chriſtũ eſſe didicit, illud in primis cogitet: *Eph. 5.* Vnam eſſe capitis & ſubiecti corporis naturam, & ſingula membra cum toto, naturali quadam neceſſitudine, coniuncta eſſe, quæ partes toti ita cõciliat, vt miro conſenſu inter ſe conueniant. Ex quo fit, vt ſi quid extra corpus eſt, id etiã à capite C omnino ſeiunctum ſit. Ex hoc igitur intelligimus, quod natura caput eſt, idem fieri ſingula membra, vt cum ipſo capite propriè amicéque conſentiant. Nos autem membra ſumus, qui in Chriſti corpus coaleſcimus. *Ibid.* Quare ſi quis membrum Chriſti tollẽs, efficiat membrum meretricis, hic rabiem improbæ illius libidinis tanquam gladium arripiens, per hanc prauam perturbationẽ membrum prorſus abſcindit à capite. *1. Cor. 6.* Sic item reliqua malitię inſtrumenta ſunt veluti gladij, quibus membra à proprio corpore amputantur, & omnia ſeiunguntur D à capite, quorum ſectionem perturbationes efficiunt. Vt igitur totum corpus in naturali amicitia cum capite permaneat, æquum eſt, vt mutua concordia ſingula item membra inter ſe coniungãtur. Quamobrem cùm ipſum caput non modò purum, integrum, caſtúmque ſit, ſed ipſa quodam modo puritas, integritas, & caſtitas exiſtimetur, quæ ſub eiuſmodi caput membra concurrunt, ea item pura, incorrupta, caſtáque ſint, conſentaneum eſt. Denique quidquid de capite cogitamus, vt pacẽ,

ſanctimoniam, veritatem, & alia omnia eiuſdem generis, in membris quoque conſpicienda ſunt. Per filium enim hæc & talia in membris demonſtrantur, quod ea naturali neceſſitudine cum capite cohærere ſit teſtimonio comprobatum: cum ſic Apoſtolus dixerit, Chriſtum eſſe caput, ex quo totum corpus compactum & connexum per omnem iuncturam ſecundum operationem in menſuram vniuſcuiuſque membri augmentum corporis facit.

Coloſſ. 2. Illud præterea ex hoc capitis nomine diſcere debemus, quemadmodum in animalibus ex capite prouenit corpori ad agendum occaſio atque incitatio, ſiquidem & pedum, & manuum motus atque opera omnia, oculorum & aurium ope diriguntur; etenim niſi oculi præſint ſatagenti, & aures imperium excipiant, nihil eorum, quæ propoſita ſunt, rectè fieri poteſt: ſic ex veri capitis ſententia corpus in rebus omnibus modò ad hoc, modò ad illud agendum dirigi & moueri oportere, quocumque ille, qui finxit oculum, &

Pſal. 93. plantauit aurem, ducet. Quando igitur caput, quæ ſupra ſunt, reſpicit, opus eſt, vt quæ capiti aptè ſubnexa ſunt membra, ipſius capitis ductum ſequantur, & ad ea quæ ſupra ſunt, tendant. Verùm quoniam eum eſſe primogenitum creaturæ diſcimus & promogenitum ex mortuis, & primogenitum in multis fratribus, primùm quidem hæreticas opiniones refutemus, vtpotè quæ nullum ex propoſitis verbis prauo ſuo dogmati quærere patrocinium poſſint: deinde vero quæ nobis ad vitam & mores ex his conducunt conſideremus. Hoſtes igitur Dei Vnigenitum Deum, vniuerſi effectorem, ex quo & per quem, & in quo omnia, factum eſſe dicunt & creatum à Deo, ideóque vt creaturæ fratrem, dici creaturæ primogenitum aſſerunt, cùm temporis iure tantummodo præcellat, quemadmodum Ruben non natura ſed temporis prærogatiua propriis fratribus præponebatur. Illud inprimis contra iſtos dicendum eſt, eundem non poſſe & vnigenitum & primogenitum credi: aut enim vnigenitus eſt, aut ex fratribus primogenitus: ſi vnigenitus, fratres non habet, ſin fratrum primogenitus, vnigenitus neque eſſe, neque dici poteſt omnino.

Coloſſ. 1. *Rom. 8.* *Rom. 11.*

A τὸν ἁγιασμόν, τὴν ἀλήθειαν, καὶ πάντα τὰ τοιαῦτα. διὰ γὰρ τοῦ υἱοῦ ταῦτα καὶ τὰ τοιαῦτα ἐν τοῖς μέλεσι δείκνυται, τὸ συμφυῶς ἔχειν αὐτὰ πρὸς τὴν κεφαλὴν, μαρτυρεῖσθαι. οὕτως εἰπόντος τοῦ ἀποστόλου, ὅτι Χριστὸς μέν ἐστιν ἡ κεφαλή, ἐξ αὐτοῦ δὲ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον· διὰ πάσης ἁφῆς, τῆς κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους, τὴν αὔξησιν τοῦ σώματος ποιεῖται. καὶ τοῦτο προσήκει διὰ τοῦ τῆς κεφαλῆς ὀνόματος παιδευθῆναι, ὅτι ὥσπερ ἐπὶ τῶν ζώων ἐκ τῆς κεφαλῆς ἐστι τῷ σώματι τὸ πρὸς τὰς ἐνεργείας ἐνδόσιμον· διὰ

B ὀφθαλμοῦ γὰρ καὶ ἀκοῆς τὰ καθ' ἕκαστον εὐθύνεται, ἥτε διὰ ποδῶν κίνησις, καὶ ἡ διὰ χειρῶν ἐνέργεια· οὐ γάρ ἐστιν ἢ ὀφθαλμοῦ μὴ ἐπιστατοῦντος τῶν σπουδαζομένων, ἢ μὴ δεχομένης τῆς ἀκοῆς τὴν ὑφήγησιν, δεόντως τι τῶν προκειμένων γενέσθαι· οὕτω χρὴ κατὰ τὴν ἀληθινὴν κεφαλὴν καὶ ἡμᾶς τὸ σῶμα καταλλήλως κινεῖσθαι πρὸς πᾶσαν ὁρμὴν καὶ ἐνέργειαν, ὅπουπερ ὁ πλάσας τὸν ὀφθαλμὸν, ἢ ὁ φυτεύσας τὸ οὖς καθηγήσεται. ἐπεὶ οὖν ἡ κεφαλὴ τὰ ἄνω βλέπει· καὶ τὰ μέλη δεῖ πάντως, τὰ ὑφηρ-

C μοσμένα τῇ κεφαλῇ ἕπεσθαι τῇ τῆς κεφαλῆς ὁδηγίᾳ, καὶ πρὸς τὰ ἄνω τὴν ῥοπὴν ἔχειν. ὅταν δὲ πρωτότοκον τῆς κτίσεως εἶναι αὐτὸν ἀκούσωμεν, καὶ πρωτότοκον ἐκ νεκρῶν, καὶ πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· πρῶτον μὲν τὰς αἱρετικὰς ὑπολήψεις ἀποπεμπώμεθα, ὡς οὐδεμίαν συνηγορίαν τῆς πονηρᾶς αὐτῶν δογματοποιίας ἐκ τῶν προκειμένων ῥημάτων ἐχούσας. μετὰ ταῦτα δὲ καὶ τὰ πρὸς τὸν ἠθικὸν βίον διὰ τούτων ἡμῖν συντελοῦντα κατανοήσωμεν. ἐπειδὴ γὰρ τὸν μονογενῆ Θεὸν τὸν τοῦ παντὸς δημιουργὸν, τὸν ἐξ οὗ, καὶ δι' οὗ, καὶ ἐν ᾧ τὰ πάντα, ἔργον εἶναι τοῦ Θεοῦ, καὶ κτίσμα, καὶ

D ποίημα, λέγουσιν οἱ θεομάχοι, καὶ διὰ τοῦτο πάσης τῆς κτίσεως πρωτότοκον αὐτὸν λέγεσθαι, διϊσχυρίζονται· ἢ, ὡς ἀδελφὸν ὄντα τῆς κτίσεως, μόνοις τοῖς τοῦ χρόνου πρεσβείοις αὐτὸν προτερεύοντα, ὡς τὸν Ρουβὶμ τῶν ἰδίων ἀδελφῶν, οὐ φύσει προτεταγμένον, ἀλλὰ τοῖς ἐκ χρόνου πρεσβείοις προτερεύοντα· πρῶτον μὲν τοῦτο πρὸς ἐκείνους ῥητέον, ὅτι οὐκ ἔστι τὸν αὐτὸν καὶ μονογενῆ καὶ πρωτότοκον πιστεύεσθαι. οὔτε γὰρ ὁ μονογενὴς μετὰ ἀδελφῶν νοεῖται· οὔτε χωρὶς ἀδελφῶν ὁ πρωτότοκος, μονογενὴς πάντως οὔτε ἐστὶν, οὔτε λέγεται.

Οὐκοῦν ἀσύμβατά ἐστι καὶ ἀκοινώνητα ταῦτα πρὸς ἄλληλα ἐπὶ τοῦ αὐτοῦ τὰ νοήματα. ὡς ἀδύνατον εἶναι, τὰ δύο τὸν αὐτὸν ὀνομάζεσθαι, καὶ μονογενῆ καὶ πρωτότοκον. Ἀλλὰ μὴν εἴρηται παρὰ τῆς γραφῆς περὶ τοῦ ἐν ἀρχῇ ὄντος λόγου, ὅτι ὁ μονογενὴς Θεός, πρωτότοκος πάσης κτίσεως. Οὐκοῦν ἐπιμελείας προσήκει τῷ μυστηρίῳ τῆς ἀληθείας, ἑκάτερον τούτων τῶν ὀνομάτων εὐσεβῶς διαστέλλοντα. ὥστε μονογενῆ μὲν εἶναι, τὸν προαιώνιον λόγον· τῆς δὲ μετὰ ταῦτα ἐν τῷ Χριστῷ γενομένης κτίσεως πρωτότοκον γενέσθαι τὸν λόγον, σάρκα γενόμενον. καὶ ὅταν αὖ ἡμῖν εἰσηγῆται νόημα, πρωτότοκον αὐτὸν ἐκ νεκρῶν εἶναι μαθόντες, καὶ πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· ἐκεῖθεν καὶ ἐπὶ τῷ πρωτοτόκῳ τῆς κτίσεως ἀκολούθως νοήσωμεν. Οὐκοῦν ἐκ νεκρῶν μὲν πρωτότοκος γὰρ, ὁ ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος. ἵνα ὁδοποιήσῃ σαρκὶ τὴν ἀνάστασιν· καὶ μέλλων ἡμᾶς διὰ τῆς ἄνωθεν γεννήσεως, τῆς δι᾽ ὕδατος καὶ πνεύματος, υἱοὺς ἡμέρας καὶ υἱοὺς φωτὸς ἀπεργάζεσθαι, τοὺς πρότερον ὄντας τέκνα φύσει ὀργῆς· αὐτὸς καθηγεῖται τῆς τοιαύτης γεννήσεως, ἐν τῷ ῥείθρῳ τοῦ Ἰορδάνου ἐπὶ τὴν ἀπαρχὴν τῆς φύσεως ἡμῶν, τὴν τοῦ πνεύματος χάριν ἐπισπασάμενος. ὥστε πάντας τοὺς ἐκ τῆς πνευματικῆς ἀναγεννήσεως εἰς ζωὴν γενομένους, ἀδελφοὺς χρηματίσαι τοῦ προγεννηθέντος διὰ τοῦ ὕδατός τε καὶ πνεύματος. κατὰ τὸν αὐτὸν τρόπον, καὶ τῆς ἐν Χριστῷ γινομένης κτίσεως πρωτότοκον αὐτὸν νοοῦντες, οὐκ ἔξω γινόμεθα τῆς εὐσεβοῦς ὑπολήψεως· ἐπειδὴ γὰρ ἡ ἀρχαία κτίσις παρῆλθε διὰ τῆς ἁμαρτίας ἀχρειωθεῖσα· ἀναγκαίως τὴν τῶν ἀφανισθέντων πάροδον διεδέξατο ἡ καινὴ τῆς ζωῆς κτίσις, διὰ τῆς ἀναγεννήσεως καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως συνισταμένη· ἧς ὁ ἀρχηγὸς τῆς ζωῆς ἡγησάμενος, πρωτότοκος τῆς ζωῆς γίνεται καὶ ὀνομάζεται. Ἀλλ᾽ ὅπως χρὴ πρὸς τοὺς ἀντιτεταγμένους ἔχειν, δι᾽ ὀλίγων τῶν εἰρημένων ῥᾳδίως ἂν γένοιτο τοῖς φιλοπονωτέροις, αὐτάρκη συμμαχίαν πρὸς τὴν ἀλήθειαν ἔχειν. ὅπως δ᾽ ἂν φανείη συντελοῦντα πρὸς τὸν κατ᾽ ἀρετὴν βίον τὰ ῥήματα ταῦτα· διὰ βραχέων ἐπελευσόμεθα. πρωτότοκος ἦν τῶν μετ᾽ αὐτὸν διὰ γεννήσεως προαχθέντων ὁ Ῥουβίμ, ὡς ἐμαρτύρει τοῖς μετ᾽ αὐτὸν γεννηθεῖσι τὴν πρὸς αὐτὸν συγγένειαν ὁ ἐπιφαινόμενος αὐτοῖς χαρακτὴρ, οἰκείως πρὸς τὸν πρωτότοκον ἔχων· ὥστε μὴ ἀγνοεῖσθαι τὴν ἀδελφότητα,

A Quare cum hæc nomina in eodem conuenire coniungíque nequeant, quòd fieri non poſſit, vt idem & vnigenitus & primogenitus nominetur, in ſcriptura autem de Verbo illo, quod erat in principio, dicatur, vnigenitus Deus, & rurſus apud Paulum, primogenitus omnis creaturæ: veritatis iudicio ſic oportet hæc nomina ſeparare & diſtinguere diligenter, vt vnigenitum intelligamus id Verbum, quod eſt ante ſæcula: omnis autem creaturæ in Chriſto factæ, Verbum carnem factum eſſe primogenitum. Quòd ſi, quo modo ille & B primogenitus & mortuis, & primogenitus in multis fratribus intelligatur, didicerimus, ſimul etiam, quo modo ſit creaturæ primogenitus, cognoſcemus. Eſt igitur ex mortuis primogenitus, aut primitiæ dormientium factus, vt omni carni ad reſurrectionem iter aperiret. Cúmque nos, qui natura eramus filij iræ, cœleſti generatione per aquam & ſpiritum filios lucis, & diei filios eſſet effecturus, eiuſmodi generatione in Iordanis flumine dux ipſe præceſſit, vt ad naturæ noſtræ primitias ſpiritus gratiam attraheret, id eſt, vt omnes ex C ſpiritali regeneratione ad vitam generatos fratres ipſe per aquam & ſpiritum antegenitus conſtitueret. Ad eundem modum creaturæ in Chriſto generatæ ipſum primogenitum cogitantes, ab opinione pia minimè receſſerimus. Quoniam igitur vetus creatura tranſiit, per peccatum inutilis reddita, neceſſariò poſt tranſitum eorum quæ deleta ſunt, ſucceſſit noua vitæ creatura, quæ per regenerationem & reſurrectionem ex mortuis conſtituitur, cuius princeps auctórque vitæ primogenitus eſt D & appellatur. Atque hæc quidem pauca ſtudioſis ad repellendos aduerſarios, & ad perſpiciendam veritatem ſatis erunt. Quare iam, quàm vtilia ſint hæc verba ad virtutem & vitam, breuiter percurramus. Ruben eorum, qui poſt ſe geniti ſunt fratres, primogenitus fuit: cognationem autem, qua cum ipſo coniuncti erant ſignum quoque in eis perſpicuum primogenito ſimile teſtabatur, vt fraterna ſanguinis

Ioan. 1. Col. 1. 1. Cor. 15. 1. Theſſ. Gen. 29.

coniunctio formæ ſimilitudine declarata ignorari non poſſet. Quapropter ſi nos item eodem modo per regenerationem aquæ & ſpiritus Domini fratres geniti ſumus, qui propter nos factus eſt primogenitus in multis fratribus, æquũ eſt, vt vitæ ſignis noſtram cum ipſo neceſſitudinem oſtendamus: vitæ enim noſtræ formam impreſſit primogenitus
1. Petr. 2. creaturæ. Quæ autem ſit eius formæ nota, ex ſcriptura ſæpe commemorauimus. Qui peccatum, inquit, non fecit, nec inuentus eſt dolus in ore eius. Proinde vtrum illius, qui generatione præceſſit, appellari fratres debeamus, innocentia vitæ teſtimonium dabit, ſi nulla macula à puritatis coniunctione nos ſeparauerit. Præterea iuſtitia eſt primogenitus, & ſanctificatio, & charitas, & redemptio, & alia eiuſmodi, quibus ſi vita item noſtra fuerit inſignita, adeò præclara prębebimus noſtræ nobilitatis indicia, vt, qui illa cõſpexerint in noſtra vita, ipſi quoque nos Chriſti fratres eſſe, ſint teſtes futuri. Ipſe enim eſt qui reſurrectionis nobis aditũ patefecit, & ob id primitię dormiẽtium factus eſt. Nos igitur oẽs reſurrecturos in ictu oculi in nouiſſima tuba per ea demõſtrauit, tũ quæ in ſeipſo, tũ quæ cæteris qui à morte tenebãtur, effecit. Verum in ea, quæ futura eſt vita non idem omnes è terræ tumulo ſurgẽtes excipit ſtatus, ſed ibunt, inquit, qui bona fecerunt, in reſurrectionem vitæ, qui verò mala egerunt, in reſurrectionem iudicij. Quamobrem
Ioan 5. ſi cuius vita ad formidandam illam ſpectat condemnationem, is tametſi per regenerationem ad fratrum Domini numerum fortè aſcriptus ſit, nomen ementitur, in malitiæ forma nullam cum primogenito cognationem præ ſe ferens. Mediator autem Dei & hominum, qui per ſeipſum genus humanum coniũgit Deo, ſolum illud coniungit quod ea coniunctione ſit dignum, quemadmodum virtute diuina hominem induit, eatenus quidem humanæ naturæ participem, vt nullis naturæ perturbationibus ad peccatum excitantibus ſubiaceret; peccatum enim, inquit, non fe-
1. Petr. 2. cit, nec inuentus eſt dolus in ore eius:

A διὰ τῆς κατὰ τὴν μορφὴν ὁμοιότητος μαρτυρουμένην. οὐκοῦν εἰ διὰ τῆς ὁμοτρόπου ἀναγεννήσεως, τῆς δι' ὕδατος καὶ πνεύματος, καὶ ἡμεῖς ἀδελφοὶ τοῦ κυρίου γεγόναμεν, τοῦ δι' ἡμᾶς γενομένου πρωτοτόκου ἐν πολλοῖς ἀδελφοῖς· ἀκόλουθον ἂν εἴη, διὰ τῶν τοῦ βίου χαρακτήρων ἐπιδεικνύειν τὴν πρὸς αὐτὸν ἀγχιστείαν· ἐμμορφουμένου τῇ ζωῇ ἡμῶν τοῦ πρωτοτόκου τῆς κτίσεως. τίνα δὲ χαρακτῆρα τῆς ἐκείνου μορφῆς παρὰ τῆς γραφῆς μεμαθήκαμεν; ἐν πολλοῖς εἰρήκαμεν, ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν
B τῷ στόματι αὐτοῦ. οὐκοῦν εἰ μέλλοιμεν ἀδελφοὶ χρηματίζειν τοῦ καθηγησαμένου ἡμῶν τῆς γεννήσεως· τὸ ἀναμάρτητον τῆς ζωῆς ἡμῶν πιστώσεται τὴν πρὸς ἐκεῖνον συγγένειαν, μηδενὸς ῥύπου τῆς πρὸς τὴν καθαρότητα συναφείας ἡμᾶς ἀφορίζοντος. ἀλλὰ καὶ δικαιοσύνη καὶ ἁγιασμὸς ὁ πρωτότοκός ἐστι, καὶ ἀγάπη, καὶ ἀπολύτρωσις, καὶ τὰ τοιαῦτα. οὐκοῦν εἰ διὰ τῶν τοιούτων καὶ ὁ ἡμέτερος χαρακτηρίζοιτο βίος· ἐναργῆ παρεξόμεθα τῆς εὐγενείας ἡμῶν τὰ γνωρίσματα, ὥστε τοὺς ταῦτα ἐν τῇ ζωῇ καθορῶντας τῇ ἡμετέρᾳ,
C προσμαρτυρεῖν ἡμῖν τὴν πρὸς τὸν Χριστὸν ἀδελφότητα. αὐτὸς γάρ ἐστιν ὁ ἀνοίξας ἡμῖν τὴν θύραν τῆς ἀναστάσεως, καὶ διὰ τοῦτο ἀπαρχὴ τῶν κεκοιμημένων γενόμενος. ὅτι μὲν οὖν πάντες ἀναστησόμεθα ἐν ἀτόμῳ, ἐν ῥοπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· τοῦτο ἔδειξεν, οἷς τε ἐφ' ἑαυτοῦ, καὶ οἷς ἐπὶ τῶν λοιπῶν, τῶν ὑπὸ τοῦ θανάτου κρατηθέντων ἐποίησεν. οὐ μὴν ἴση κατάστασις ἐν τῷ μετὰ ταῦτα βίῳ πάντας τοὺς ἐκ τοῦ τῆς γῆς χώματος ἀναστάντας ἐκδέξεται· ἀλλὰ πορεύσονται, φησὶν, οἱ μὲν τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνά-
D στασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. ὥστε εἴ τινος πρὸς τὴν φοβερὰν ἐκείνην κατάκρισιν ὁ βίος βλέπει· οὗτος, κἂν διὰ τῆς ἄνωθεν γεννήσεως τοῖς ἀδελφοῖς τοῦ κυρίου συναριθμούμενος τύχῃ, καταψεύδεται τοῦ ὀνόματος, ἐν τῇ μορφῇ τῆς κακίας τὴν πρὸς τὸν πρωτότοκον ἀγχιστείαν ἀρνούμενος. ὁ γὰρ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ὁ δι' ἑαυτοῦ συνάπτων τῷ Θεῷ τὸ ἀνθρώπινον, ἐκεῖνο συνάπτει μόνον, ὅπερ ἂν τῆς πρὸς Θεὸν συμφυΐας ἄξιον ᾖ. ὥσπερ οὖν τὸν ἑαυτοῦ ἄνθρωπον τῇ δυνάμει τῆς θεότητος ἑαυτῷ προσῳκείωσε, μέρος μὲν τῆς κοινῆς φύσεως ὄντα, οὐ μὴν τοῖς πάθεσιν ὑποπεπτωκότα τῆς φύσεως τοῖς εἰς ἁμαρτίαν ἐκκαλουμένοις· ἁμαρτίαν γάρ φησιν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.

οὕτω καὶ τοὺς καθ' ἕκαστον προσάξει τῇ συναφείᾳ τῆς θεότητος, εἰ μηδὲν ἐπάγοιντο τῶν πρὸς τὸ θεῖον συναφείας ἀνάξιον. ἀλλ' εἴ τις ἀληθῶς εἴη Θεοῦ ναός, μηδὲν κακίας εἴδωλον ἢ ἀφίδρυμα ἐν ἑαυτῷ περιέχων· τοῦτον ὑπὸ τοῦ μεσίτου πρὸς μετουσίαν τῆς θεότητος προσληφθήσεται, καθαρὸς γενόμενος πρὸς τὴν ὑποδοχὴν τῆς αὐτοῦ καθαρότητος. οὔτε γὰρ εἰς κακότεχνον ψυχὴν εἰσελεύσεται σοφία, καθὼς ὁ λόγος φησίν· οὔτε ὁ καθαρὸς τῇ καρδίᾳ ἄλλο τι παρὰ τὸν Θεὸν ἐν ἑαυτῷ βλέπει. ὃ διὰ τῆς ἀφθαρσίας προσκολληθεὶς, εἰς τὸ ἑαυτοῦ πᾶσαν τὴν ἀγαθὴν βασιλείαν ἐδέξατο. μᾶλλον δ' ἂν γένοιτο ἡμῖν καταφανὲς τὸ λεγόμενον, εἰ τὴν τοῦ κυρίου φωνὴν, ἣν διὰ τῆς Μαρίας πρὸς τοὺς ἀποστόλους πεποίηται, πρὸς τὴν ἐπιφώνησιν τῶν εἰρημένων συμπαραλάβοιμεν. πορεύομαι, φησὶ, πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. ταῦτα γὰρ ὁ μεσίτης μεταξὺ τοῦ πατρὸς καὶ τῶν ἀποκηρύκτων φησὶν, ὁ δι' ἑαυτοῦ τοὺς ἐχθροὺς τοῦ Θεοῦ καταλλάξας τῇ ἀληθινῇ καὶ μόνῃ θεότητι. ἐπεὶ γὰρ, κατὰ τὸν προφητικὸν λόγον, ἀπηλλοτριώθησαν τῆς ζωοποιοῦ μήτρας διὰ τῆς ἁμαρτίας οἱ ἄνθρωποι, καὶ ἀπὸ τῆς γαστρὸς ἐπλανήθησαν, ἐν ᾗ ἐπλάσθησαν, τὸ ψεῦδος ἀντὶ τῆς ἀληθείας λαλήσαντες· τούτου χάριν, τὴν ἀπαρχὴν τῆς κοινῆς φύσεως ἀναλαβὼν, διὰ ψυχῆς τε καὶ σώματος, ἁγίαν ἐποίησε, πάσης κακίας ἀμιγῆ τε καὶ ἀπαράδεκτον αὐτὴν ἐν ἑαυτῷ διασώσας· ἵνα ταύτην ἀναθεὶς, διὰ τῆς ἀφθαρσίας, τῷ πατρὶ τῆς ἀφθαρσίας, συνεπισπάσηται δι' αὐτῆς πᾶν τὸ συγγενὲς κατὰ τὴν φύσιν αὐτῇ καὶ ὁμόφυλον, καὶ προσδέξηται τοὺς ἀποκηρύκτους εἰς τὴν υἱοθεσίαν, καὶ τοὺς ἐχθροὺς τοῦ Θεοῦ εἰς τὴν τῆς θεότητος αὐτοῦ μετουσίαν. ἐκείνῳ, ὥσπερ ἡ ἀπαρχὴ τοῦ φυράματος, διὰ καθαρότητός τε καὶ ἀπαθείας ᾠκειώθη τῷ ἀληθινῷ πατρὶ καὶ Θεῷ· οὕτω καὶ ἡμεῖς τὸ φύραμα, διὰ τῶν ὁμοίων ὁδῶν τῷ πατρὶ τῆς ἀφθαρσίας κολληθησόμεθα, διὰ τοῦ μιμήσασθαι, καθὼς ἂν ᾖ δυνατὸν, τοῦ μεσίτου τὸ ἀπαθές τε καὶ ἀναλλοίωτον. οὕτω γὰρ ἐσόμεθα τοῦ μονογενοῦς Θεοῦ στέφανος ἐκ λίθων τιμίων, τιμὴ καὶ δόξα διὰ τοῦ βίου γενόμενοι. φησὶ γὰρ ὁ Παῦλος, ὅτι βραχύ τι αὐτὸν ἐλαττώσας, διὰ τὸ πάθημα τοῦ θανάτου, παρὰ τοὺς ἀγγέλους· τοὺς προγόνους εἰς ἀκάνθης φύσιν μετατεθέντας, διὰ τῆς ἁμαρτίας, στέφανον ἑαυτῷ διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας ἐποίησεν, εἰς τιμὴν καὶ δόξαν μεταστοιχειώσας διὰ τοῦ πάθους τὴν ἄκανθαν.

A ſic homines ſingulos ad diuinitatis communionem adducet, ſi nihil ea diuinitatis coniunctione indignum afferant. Si quis nimirum verè ſit templum Dei, nullúmque malitiæ ſimulachrum aut ſtatuam contineat, is à mediatore, vt diuinitatis particeps fiat, admittetur, cùm purus ſit, & ad puritatem ipſius ſuſcipiendam idoneus. Neque enim in maleuolam animam, vt ſcriptum eſt, introibit ſapientia. *Sap. 1.* Et qui mundus eſt corde, nihil in ſeipſo præter Deum videns, incorruptéque ſibi ipſe cohærens, omne bonum regnum accepit. Cæterùm id, B quod dico, magis perſpicuum fiet, ſi verba, quæ Domin⁹ Apoſtolis per Mariam nuntiari voluit, cōſiderabimus: Aſcendo, inquit, ad patrem meum & patrem veſtrum, & Deum meum & Deum veſtrum. *Ioan. 20.* Hæc enim ait mediator inter patrem & abdicatos filios, qui inimicos Dei reconciliauit veræ & ſoli diuinitati. Nam quia per peccatum iuxta propheticum ſermonem alienati ſunt homines à viuifica vulua, & errauerunt ab vtero in quo formati fuerant, pro veritate mendacium loquentes, idcirco na- C turæ communis primitias per corpus & animam aſſumens, eáſque nulla malitia miſtas aut contaminatas in ſe conſeruans ſanctas effecit: vt eas incorruptas dedicans patri, ſimul etiam traheret, quidquid eis natura & genere cognatū eſſet. & eos, qui abdicati reiectique fuerant, filios redderet, & inimicos Dei, diuinitatis eius participes faceret. Vt ergo maſſæ primitię puritate atque innocentia vero patri & Deo conciliatæ ſunt, ſic etiam nos, qui maſſa ſumus, eiuſdem rationibus cum veritatis patre coniungemur, ſi mediatoris innocentiam & con- D ſtantiam pro viribus imitabimur. Sic enim erimus vnigeniti Dei corona ex lapidibus pretioſis, honor & gloria per vitam effecti. Nā Paulus dicit, quoniā minuiſti eum paulo minus ab Angelis, propter cruciatum mortis. *Hebr. 2.* Maiores enim noſtros in ſpinæ naturam ob peccatum conuerſos ſibi ipſe ex mortis diſpoſitione coronam fecit, & ſpinam in honorem & gloriam patiendo commutauit.

A Quocirca cùm ſemel mundi peccatum ſuſtulerit, & capiti coronam de ſpinis acceperit, vt ex honore & gloria coronam contexeret, non paruum periculum eſt, ne aliquo modo propter improbam vitam tribuli eſſe & ſpinæ deprehendamur: atque ita in media Domini corona, quæ per communionem corporis eius fit, inſerti, vocem illam iuſtam omnino exaudiamus: Amice, *Matth. 22.* quomodo huc intraſti, non habens veſtem nuptialem? quomodo te, cum eſſes ſpina, inter eos, qui ad coronam meam ex honore & gloria conficiendam apti ſunt, contexuiſti? Quæ conuentio B *2. Cor. 9.* Chriſto ad Belial? Quæ pars fideli cum infideli? Quæ ſocietas luci ad tenebras? Ne quando igitur vita noſtra contra nos eiuſmodi verbis compelletur, omni ſtudio nobis in eam curam eſt incumbendam, vt ſpinoſa omnia tum facta, tum dicta, tum cogitata ex omni noſtra vita conuulſa proijciamus, vt pura innocentíque viuendi ratione honor & gloria efficiamur, atque vniuerſi caput nobiſmet ipſis vti re pretioſa coronemus. Nullius enim rei vilis vult eſſe Dominus ille, qui gloriæ Dominus eſt. *Pſal. 23.* Quiſquis igitur in homine tum ab- C ſcondito tum manifeſto abhorret ab omni turpitudine & vanitate, eum, qui gloriæ non ignominiæ Dominus eſt, ſibi principem conſtituit. Præterea principium eſt, atque adeo rerum omnium principium minimè alienum ab iis, quæ ex ipſo conſequuntur. Quam- *Galat. 1.* *Ioan. 14.* *Ioan. 8.* obrem ſi quis vitam principium eſſe definiet, vita poſt principium intelligetur. Si lux eſt principium, & ea poſt principium cogitabitur. Quid igitur cum principium eſſe credentes aſſequimur? id nimirum, vt tales ſimus, quale principium noſtrum eſſe credidimus. Neque enim tenebrarum principium D lux dicitur: neque, cùm ad principium vita ſit inſtituta atque directa, eum ordinem & vitæ continuationem mortem eſſe didicimus. Quòd ſi quis naturæ ſimilitudine non ſequatur principium, quod præcedit, eique aptè innocentia virtutéque cohæreat, eius principium eſſe non poterit ille, qui rerum principium eſt. Obſcuræ tenebricoſæque vitę principium eſt mundi iſtius ac tenebrarum princeps. Mortiferi peccati principium eſt ille, qui mortis habet poteſtatem. Idcirco non poteſt eum, qui bonorum omnium principium eſt, principium ſuum eſſe dicere,

κίνδυνος οὖν οὐ μικρὸς, ἅπαξ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, τὸν ἐξ ἀκανθῶν στέφανον ἀναλαβόντος τῇ κεφαλῇ, ἵνα ποιήσῃ τὸν ἐκ τιμῆς τε καὶ δόξης συμπλεκόμενον στέφανον, εὑρεθῆναί τινα τρίβολον ὄντα διὰ τοῦ κακοῦ βίου καὶ ἄκανθαν, εἶτα ἐν μέσῳ τοῦ δεσποτικοῦ στεφάνου διὰ τῆς τοῦ σώματος αὐτοῦ κοινωνίας παρενειρόμενον. πρὸς ὃν ἐρεῖ πάντως ἡ δικαία φωνὴ, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου; πῶς συνεπλάκης τοῖς διὰ τιμῆς καὶ δόξης τῷ ἐμῷ στεφάνῳ ἐνηρμοσμένοις ἄκανθα ὤν; τίς κοινωνία Χριστῷ πρὸς Βελίαν; τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τί κοινὸν τῷ φωτὶ πρὸς τὸ σκότος; ὡς ἂν οὖν μὴ τοιαῦτά ποτε ῥήματα καθ' ἡμῶν ὁ βίος ἡμῶν ἐκκαλέσαιτο· ἐπιμελητέον ἂν εἴη τοῦ πᾶν ἀκανθῶδες ἔργον τι, καὶ ῥῆμα, καὶ νόημα, διὰ πάσης τῆς ζωῆς τοῦ βίου ἡμῶν ἀποσκευάσασθαι· ἵνα τῇ καθαρᾷ τε καὶ ἀπαθεῖ πολιτείᾳ τιμὴ καὶ δόξα γενόμενοι, τὴν τοῦ παντὸς κεφαλὴν δι' ἑαυτῶν στεφανώσωμεν, ὥσπερ τι κειμήλιον καὶ κτῆμα τοῦ δεσπότου γενόμενοι. οὐδενὸς γὰρ ἀτίμου καταδέχεται κύριος εἶναί τε καὶ λέγεσθαι, ὁ τῆς δόξης κύριος. οὐκοῦν ὁ πάσης ἀσχημοσύνης τε καὶ βδελυρίας ἀλλότριος, κατά τε τὸν κρυπτὸν καὶ φαινόμενον ἄνθρωπον, δεσπότην ἑαυτοῦ ποιεῖται τὸν τῆς δόξης καὶ ἀτιμίας κύριον ὄντα τε καὶ λεγόμενον. ἔστι καὶ ἀρχή· ἀρχὴ δὲ παντὸς πράγματος οὐκ ἀλλοτρίως πρὸς τὰ μεθ' ἑαυτὴν ἔχει. εἰ γὰρ ζωὴν τὴν ἀρχὴν εἶναί τις ὁρίσαιτο· ζωὴ πάντως καὶ τὸ μετὰ τὴν ἀρχὴν ἔσται νοούμενον. καὶ εἰ φῶς ἡ ἀρχή· φῶς καὶ τὸ μετὰ τὴν ἀρχὴν νοηθήσεται. τί οὖν διὰ τοῦ πιστεύειν αὐτὸν εἶναι ἀρχὴν ὠφελούμεθα; τὸ γενέσθαι τοιούτους ἡμᾶς, οἵαν εἶναι τὴν ἀρχὴν ἡμῶν πεπιστεύκαμεν. οὐ γὰρ σκότους ἀρχὴ τὸ φῶς ὀνομάζεται· οὐδὲ τῆς ζωῆς εἰς ἀρχὴν τεταγμένης, τὸν θάνατον τὸ συνεχὲς τῆς ζωῆς ἐνοήσαμεν. ἀλλ' εἰ μή τις ὁμοφυῶς πρὸς τὸ καθηγούμενον ἔχοι, δι' ἀπαθείας καὶ ἀρετῆς τῇ ἀρχῇ συναπτόμενος· οὐκ ἂν γένοιτο τούτου ἀρχὴ, ἡ τῶν ὄντων ἀρχή. σκοτεινοῦ βίου, ὁ κοσμοκράτωρ τοῦ σκότους ἀρχή· τῆς θανατηφόρου ἁμαρτίας, ὁ ἔχων τὸ τοῦ θανάτου κράτος. οὐκ ἔστιν οὖν διὰ μοχθηρᾶς ζωῆς ὑπὸ τὴν τοῦ σκότους ἀρχὴν τεταγμένον, τοῦ παντὸς ἀγαθοῦ ἀρχὴν ἑαυτοῦ εἶναι λέγειν ἀρ-

χειν. τοῖς δὲ αὐτῆς ἔχεται διανοίας, τοῖς πρὸς τὸ ἴδιον ἀγαθὸν τὰς θείας φωνὰς ἐκλαμβάνουσι, τὸ καὶ βασιλέα δικαιοσύνης τε καὶ εἰρήνης αὐτὸν ὀνομάζεσθαι. ὁ γὰρ κατὰ τὴν διδασκαλίαν τῆς προσευχῆς, ἐλθεῖν ἐπ' αὐτὸν τὴν τοῦ Θεοῦ βασιλείαν εὐχόμενος, μαθὼν ὅτι δικαιοσύνης τε καὶ εἰρήνης ἐστὶ βασιλεὺς, ὁ ἀληθινὸς βασιλεὺς· κατορθώσει πάντως τῷ ἰδίῳ βίῳ τὴν δικαιοσύνην τε καὶ εἰρήνην, ἵνα βασιλεύσῃ αὐτοῦ, ὁ τῆς δικαιοσύνης βασιλεὺς καὶ τῆς εἰρήνης. ἐκείνου στρατὸς ἂν νοοῖτο τοῦ βασιλέως, πᾶσα ἀρετή. διὰ γὰρ τῆς δικαιοσύνης τε καὶ εἰρήνης, πάσας οἶμαι δεῖν τὰς ἀρετὰς νοεῖν. εἴ τις οὖν λειποτακτήσας ἀπὸ τῆς τοῦ Θεοῦ στρατείας, τῇ παρατάξει τῶν ἀλλοφύλων ἑαυτὸν καταλέξειε, τοῦ εὑρετοῦ τῆς κακίας ὁπλίτης γενόμενος, καὶ ἀποδυσάμενος τὸν θώρακα τῆς δικαιοσύνης, καὶ πᾶσαν τὴν εἰρηνικὴν πανοπλίαν· πῶς ἔτι ὑπὸ τὸν βασιλέα τῆς εἰρήνης ταχθήσεται, ῥίψασπις τῆς ἀληθείας γενόμενος; δηλοῖ γάρ, ὅτι τὸ ἐπίσημον αὐτοῦ τῆς ὁπλίσεως δείξει τὸν βασιλεύοντα, αὐτῆς ἐν σκιογραφουμένοις τοῖς ὅπλοις εἰκόνος ἐν τῷ χαρακτῆρι τοῦ βίου δεικνύον τὸν καθηγούμενον· ὡς μακάριος ἐκεῖνος, ὁ ὑπὸ τὴν θείαν στρατηγίαν τεταγμένος, καὶ τοῖς τάγμασι τῶν ἐν μυριάσιν ἀριθμουμένων καταλεγμένος, καὶ κατὰ τῆς κακίας διὰ τῶν ἀρετῶν ὁπλιζόμενος, αἳ τὴν εἰκόνα τοῦ βασιλέως, τοῖς ἐνδυσαμένοις αὐτὰς, ἐνσημαίνονται). καὶ τί χρὴ περαιτέρω τὸν λόγον προάγειν, πάσας τὰς φωνὰς, αἷς τὸ τοῦ Χριστοῦ διερμηνεύεται ὄνομα, προστιθέντα τῇ ἀκολουθίᾳ τῆς ἐξετάσεως, δι' ὧν ἐστι πρὸς τὸν κατ' ἀρετὴν βίον ὁδηγηθῆναι· ἑκάστου ὀνόματος, διὰ τῆς οἰκείας ἐμφάσεως, συνεργοῦντός τι πάντως ἡμῖν πρὸς τὴν τοῦ βίου τελείωσιν; ἀλλὰ καλῶς ἔχει φημὶ τὴν τῶν μνημονευθέντων ἀνακεφαλαιώσασθαι μνήμην· ὥστε τινὰ γενέσθαι χειραγωγίαν ἡμῖν πρὸς τὸν τοῦ λόγου σκοπὸν, ὃν ἐξ ἀρχῆς ὑπεθέμεθα· ζητοῦντες, πῶς ἄν τις τὸ τέλειον ἐν ἑαυτῷ κατορθώσειεν; οἶμαι γὰρ, εἰ ἀεὶ τοῦτο λογίζοιτο, ὅτι κοινωνός ἐστι τοῦ προσκυνουμένου ὀνόματος, κατὰ τὸ δόγμα τῶν ἀποστόλων Χριστιανὸς χρηματίζων· ἀναγκαίως καὶ τῶν ἄλλων ὀνομάτων, οἷς ὁ Χριστὸς νοεῖται, καὶ ἐφ' ἑαυτοῦ δεῖξαι τὴν δύναμιν, κοινωνὸς ἑκάστης κλήσεως διὰ τοῦ βίου γινόμενος. ὃ δέ τι λέγω, τρία τὰ χαρακτηρίζοντα τοῦ Χριστιανοῦ τὸν βίον ἐστὶ, πρᾶ-

A qui ſub tenebrarum principio flagitioſè vitam inſtituit. Qui voces diuinas ad propriam vtilitatem excipiunt, eodem modo animis afficientur, cùm iuſtitiæ paciſque regem nominari Chriſtum intelligent. Etenim qui ex precandi diſciplina obſecrat, vt in ſeipſum veniat regnum Domini, cùm eum qui verè eſt rex, iuſtitiæ & pacis regem eſſe cognouerit, iuſtitiam prorſus & pacem in propria vita complectetur, vt in ſe rex iuſtitiæ & pacis regnet. Quod ſi huius regis exercitum virtutes faciunt, (nam iuſtitia & pace arbitror virtutes omnes in- *Eſa. 9.*
B telligi) qui Dei militiam deſerens ſe tanquam malitiæ inuentoris militem abiecto iuſtitiæ thorace, & omni armatura pacifica in acie aduerſariorum conſtituet, quo modo hic à veritate alienus ſub iuſtitiæ rege collocabitur? eius enim armaturæ inſigne planè regem ipſius indicabit, quippe qui viuendi ratione tanquam impreſſa armis imagine ducem oſtendat ſuum. Quare beatus ille, qui in diuina militia conſtitutus eſt, & ordinibus eorum, qui in millibus millium numerantur, adſcriptus, *Apo. 5.*
C contra malitiã virtutibus armatur, quæ in eo, qui ipſas induerit, imaginem regis demõſtrant. Cæterùm, quid eſt neceſſe, vt eas voces, quibus Chriſti nomen explicatur, & ad rectam ex virtute viuendi rationem peruenitur, cum ea nominis propria ſit vis, vt nobis omnino ad vitæ perfectionem conducat, proponentes, atque ordine declarantes, longius progrediamur? cùm ſatis mea quidem ſententia ſit, ſi ea, quæ commemorauimus, memoria breuiter repetentes, in ſummã redigamus, quæ nobis ad eũ finem tan-
D quam dux exiſtat, quem orationis initio propoſuimus, cum abs te quæreretur, quo modo quis in ſeipſo perfectum viuendi genus aſſequi poſſet. Si quis enim aſſiduè meditetur & cogitet, ſe adorandi nominis eſſe participem, & ex Apoſtolorum inſtituto Chriſtianum dici, eum ego ſingularũ vitæ appellationum compotem factum, neceſſariò etiam aliorum nominum, quibus filius nuncupatur, arbitror in ſe ipſo oſtenſurum eſſe poteſtatem. Quod autem dico, ſic ferè habet. Tria ſunt, quæ Chriſtiani vitam declarant atque diſtinguunt,

A actio, ſermo, cogitatio. Ex his primas obtinet cogitatio: ſecundo loco ponitur ſermo, qui conceptam & impreſſam animo cogitationem verbis aperit & exponit: poſt cogitationem & ſermonem actio ordine collocatur, quæ animo cogitata factis exequitur. Si quid horum igitur nos, vt fit, aut ad agendum, aut ad cogitandum, aut ad loquendum ducit; opus eſt, vt omnia noſtra tum dicta, tum facta, tum cogitata ad diuinam earum notionum, quibus Chriſtus declaratur, regulam ſic dirigantur, vt nihil cogitemus, nihil dicamus, nihil faciamus, quod à ſublimi earum ſignificatio-

B ne recedat. Nam vt, quidquid non eſt ex fide, Paulus peccatum dicit, ita nos eodem modo cogitantes planè poſſumus affirmare, quæcumque non reſpiciunt Chriſtum, ſeu verba, ſeu opera ſint, ſeu cogitationes, illa omnia ad id omnino ſpectare, quod Chriſto contrarium eſt. Qui enim extra lucē & vitam eſt, is in tenebris prorſus & morte non eſſe non poteſt. quamobrem ſi, quod ex Chriſto non fit, & dicitur & cogitatur, illi, quod eſt bono contrarium, coniunctum eſt: ex hoc, cuius manifeſtū fuerit,

C id quod hinc colligitur, ſcilicet, quod relinquat Chriſtū, qui ab illo ſeiunctus eſt per quæ vel cogitat aliquid, vel agit, vel loquitur. Diuina igitur illa prophetæ verba veriſſima ſunt. Præuaricantes reputaui omnes peccatores terræ. Vt enim qui Chriſtum in perſecutionibus negat, diuini nominis præuaricator eſt: ſic etiam, ſi quis veritatem, & iuſtitiam, & ſanctitatem, & integritatem, & ſi quid aliud virtuti conueniens cogitatur, negat, & quo tempore contra perturbationes & vitia fortiter pugnādum eſt, vitæ conſtantiam abijcit, is à pro-

D pheta præuaricator appellatur. In his enim ſingulis à Chriſto, qui eſt illa omnia, vita recedit, & præuaricatur. Quid igitur aliud eum oportet facere, qui magno Chriſti cognomine dignus effectus eſt, niſi vt omnia ſua tum cogitata, tum dicta, tum facta diligenter exploret, &, vtrum eorum ſingula ad Chriſtum tendant, an ab illo ſint aliena, diiudicet? Multis autem modis fit hæc præclara diiudicatio. Quidquid enim perturbatione aliqua aut agitur aut cogitatur, aut dicitur, id cum Chriſto minimè congruit, ſed aduerſarij notam &

Rom.41.

Pſal. 118.

A ξις, λόγος, ἐνθύμιον. ἀρχὴ γὰρ τοῦ λόγου παντός, ἡ διάνοια. δεύτερον δὲ μετὰ τὴν ἐνθύμησιν, ὁ λόγος ἐστί, τὴν ἐντυπωθεῖσαν τῇ ψυχῇ διάνοιαν διὰ τῆς φωνῆς ἐκκαλύπτων. τρίτην δὲ τάξιν ἐπέχει μετὰ τὸν νοῦν καὶ τὸν λόγον, ἡ πρᾶξις, τὸ νοηθὲν εἰς ἐνέργειαν ἄγουσα. οὐκοῦν, ὅταν εἴς τι τούτων ἡμᾶς ἀκολούθως τοῦ βίου προσαγάγηται· καλῶς ἔχει παντὸς καὶ λόγου καὶ ἔργου καὶ ἐνθυμήματος τὰ θεῖα ταῦτα νοήματα, δι' ὧν ὁ κύριος νοεῖται καὶ ὀνομάζεται, δι' ἀκριβείας ἐπισκοπεῖσθαι, μὴ ἔξω τῆς δυνάμεως τῶν ὑψηλῶν ἐκείνων ὀνομάτων φέρηται ἡμῖν ἢ τὸ ἔρ-

B γον, ἢ ὁ λόγος, ἢ τὸ ἐνθύμιον. ὡς γὰρ ὁ Παῦλός φησιν, ὅτι πᾶν, ὃ μὴ ἐκ πίστεως, ἁμαρτία ἐστίν· οὕτως ἐστὶν ἐκ τοῦ ἀκολούθου νοήσαντα σαφῶς ἀποφήνασθαι, ὅτι πᾶν ὃ μὴ εἰς Χριστὸν ἢ ῥῆμα, ἢ ἔργον, ἢ νόημα, εἰς τὸ ἀντικείμενον τῷ Χριστῷ πάντως ὁρᾷ. οὐ γάρ ἐστι τὸν ἔξω φωτὸς καὶ ζωῆς γινόμενον, μὴ ἐν σκότει πάντως ἢ ἐν θανάτῳ εἶναι. εἰ τοίνυν τὸ μὴ κατὰ Χριστὸν ἐνεργούμενόν τε, καὶ λαλούμενον, καὶ νοούμενον, πρὸς τὸ ἀγαθὸν ἀντικείμενον οἰκείως ἔχει· παντὶ δῆλον ἂν εἴη, τὸ διὰ τούτων ἀναφαινόμενον, ὅτι ἀφίησι

C τὸν Χριστόν, ὁ ἔξω ἐκείνου γινόμενος, δι' ὧν ἢ νοεῖταί τι, ἢ πράττει, ἢ φθέγγεται. ἐν κοινῷ ἀληθεύει ἡ θεία τοῦ προφήτου φωνή, ἥ φησι· παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. ὡς γὰρ ὁ τὸν Χριστὸν ἐν τοῖς διωγμοῖς ἀρνησάμενος, παραβάτης ἐστὶ τοῦ προσκυνουμένου ὀνόματος· οὕτω καὶ εἴ τις ἀλήθειαν ἢ τὴν δικαιοσύνην ἀρνήσαιτο, ἢ τὸν ἁγιασμόν τε καὶ ἀφθαρσίαν· ἢ εἴ τι ἄλλο τῶν κατ' ἀρετὴν νοουμένων, ἐν καιρῷ τῆς τῶν παθημάτων ἐπικρατήσεως, ἀποβάλλου τοῦ βίου· παραβάτης ὀνομάζεται ὑπὸ τῆς προ-

D φητείας, δι' ἑκάστου τούτων τὸν ταῦτα ὄντα παραβαίνων ἐν βίῳ. τί οὖν χρὴ πράττειν τὸν τῆς μεγάλης τοῦ Χριστοῦ ἐπωνυμίας ἀξιωθέντα; τί ἄλλο, ἢ διακρίνειν πάντως φιλοχρίστως ἐν ἑαυτῷ τὰ νοήματά τε, καὶ τὰ ῥήματα, καὶ τὰ ἔργα· εἴ τι πρὸς Χριστὸν ἕκαστον τούτων βλέπει, εἴ τι τοῦ Χριστοῦ ἠλλοτρίωται; πολλὴ δὲ τῆς διακρίσεως τῶν τοιούτων ἐστὶν ἡ εὐκολία. ὃ γὰρ διὰ πάθους τινὸς ἐνεργεῖται, ἢ νοεῖται, ἢ λέγεται· τοῦτο οὐδεμίαν ἔχει πρὸς τὸν Χριστὸν συμφωνίαν, ἀλλὰ τὸν χαρακτῆρα τοῦ ἀντικειμένου

φέρει· ὃς αὐτὴ βορβόρῳ τὰ πάθη τοῦ μαργαρίτη τῆς ψυχῆς προσαλείφων, τὴν λαμπηδόνα τοῦ τιμίου λίθου διαλυμαίνεται. τὸ δὲ καθαρεῦον πάσης ἐμπαθοῦς διαθέσεως, πρὸς τὸν ἀρχηγὸν τῆς ἀπαθείας βλέπει, ὅς ἐστιν ὁ Χριστός. ἐξ οὗ, καθάπερ ἐκ καθαρᾶς καὶ ἀφθάρτου πηγῆς, ἀρυόμενός τις εἰς ἑαυτὸν τὰ νοήματα, τοιαύτην ἑαυτῷ πρὸς τὸ πρωτότυπον δείξει τὴν ὁμοιότητα, οἵα ἐστὶ πρὸς τὸ ὕδωρ τῷ ὕδατι, τῷ τε πηγαίῳ τῷ βρύοντι, καὶ τῷ ἐκεῖθεν ἐν τῷ ἀμφορεῖ γενομένῳ. μία γὰρ τῇ φύσει ἡ καθαρότης, ἥ τε ἐν Χριστῷ, καὶ ἡ ἐν τῷ μετέχοντι θεωρουμένη. ἀλλ' ὁ μὲν πηγάζει· ὁ δὲ μετέχων ἀρύεται, μεταγαγὼν ἐπὶ τὸν βίον τὸ ἐν τοῖς νοήμασι κάλλος. ὥστε συμφωνίαν εἶναι τοῦ κρυπτοῦ ἀνθρώπου πρὸς τὸν φαινόμενον, συμβαινούσης τῆς τοῦ βίου εὐσχημοσύνης τοῖς κατὰ Χριστὸν κινουμένοις νοήμασι. τοῦτο τοίνυν ἐστί, κατά γε τὴν ἐμὴν κρίσιν, τὸ ἐν τῷ Χριστιανῷ βίῳ τέλειον, ὁ πάντων τῶν ὀνομάτων εἰς τὸ τοῦ Χριστοῦ διασημαίνεται ὄνομα, τὸ κοινωνίαν ἔχειν ἐν ψυχῇ τε, καὶ λόγῳ, καὶ ἐν τοῖς τοῦ βίου ἐπιτηδεύμασι· ὥστε ὁλοτελῆ τὸν ἁγιασμόν, κατὰ τὴν εὐλογίαν τοῦ Παύλου, ἐφ' ἑαυτοῦ, ἐν ὁλοκλήρῳ τῷ σώματι καὶ τῇ ψυχῇ καὶ τῷ πνεύματι, ἔξω τῆς πρὸς τὸ κακὸν ἐπιμιξίας διηνεκῶς φυλασσόμενον. Εἰ δέ τις λέγοι δυσκατόρθωτον εἶναι, ἐπειδὴ ἄτρεπτος μόνος ὁ τῆς κτίσεως κύριος, τρεπτὴ δὲ ἡ ἀνθρωπίνη φύσις, καὶ πρὸς τὰς μεταβολὰς ἐπιτηδείως ἔχει· πῶς οὖν ἐστι δυνατόν, τὸ ἐν τῷ ἀγαθῷ πάγιόν τε καὶ ἀμετάτρεπτον ἐν τῇ τρεπτῇ κατορθωθῆναι φύσει; πρὸς τοίνυν τὸν τοιοῦτον λόγον, ἐκεῖνό φαμεν· ὅτι οὐκ ἔστι στεφανωθῆναί τινα τὸν μὴ νομίμως ἀθλήσαντα. οὐκ ἂν δὲ γένοιτο νομίμως ἄθλησις, μὴ ὄντος τοῦ προσπαλαίοντος. εἰ οὖν μὴ ἦν ὁ ἀντίπαλος, οὐδ' ἂν ὁ στέφανος ἦν. ἡ νίκη γὰρ καθ' ἑαυτὴν οὐκ ἔστιν, ἐὰν μὴ ᾖ τὸ ἡττώμενον. οὐκοῦν πρὸς αὐτὸ τὸ τρεπτὸν τῆς φύσεως ἡμῶν ἀγωνισώμεθα, ὥσπερ τινὶ ἀντιπάλῳ διὰ τῶν λογισμῶν συμπλεκόμενοι, οὐ διὰ τοῦ καταβαλεῖν αὐτὴν νικηταὶ γινόμενοι, ἀλλὰ διὰ τοῦ μὴ συγχωρῆσαι πεσεῖν. οὐδὲ γὰρ μόνον πρὸς τὸ κακὸν ὁ ἄνθρωπος τῇ ῥοπῇ χρῆται (ἦ γὰρ ἂν ἀμήχανον ἦν αὐτὸν ἐν ἀγαθῷ γενέσθαι, εἰ πρὸς τὸ ἐναν-

A imaginem gerit, qui animi margaritæ pro cœno perturbationes admiſcet, vt pretioſi lapidis ſplendorem deformet ac deleat. Quod verò ab omni turbida affectione vacuum & purum eſt, id ad tranquillitatis auctorem & principem ſpectat, qui Chriſtus eſt, ex quo tanquam ex puro incorruptóq. fonte, qui ſuas animi notiones atque affectiones haurit & deriuat, talem cum principio atque origine ſimilitudinem præ ſe feret, qualem obtinet cum ipſo fonte, quæ in riuulo decurrit, quæque in amphora reſplendet aqua. Etenim vna & B eadem eſt, quæ in Chriſto, & quæ in mentibus noſtris conſpicitur puritas, ſed illa in fonte naſcitur, hæc inde manat & in nos deriuatur: eam notionum pulchritudinem ad vitam ſecum trahens, vt abſconditi manifeſtique hominis conuenientia & tanquam concentus quidam appareat, cùm vitæ modeſtiam & honeſtatem notiones ex Chriſto prouenientes moderantur & moueant. In hoc igitur (meo quidem iudicio) Chriſtianæ vitæ perfectio ſita eſt, vt nominum, quibus Chriſti nomen ſignificatur, participes, eorum vim & a- C nimo, & oratione, & viuendi inſtitutis exprimamus, vt abſolutam illam à Paulo commendatam ſanctitatem ſuſcipientes nos integro, & corpore, & animo, & ſpiritu nulla mali permiſtione contaminatos conſeruemus. Quod ſi quis ad perfectam virtutem aſſequendam difficillimam eſſe vitam obijciat, cum ex omni creatura ſolus immutabilis ſit Chriſtus, inconſtans autem natura humana, & ad mutationes procliuis, ideóque fieri non poſſe, vt ad eam perueniamus, ibique firmi & immutabiles conſiſtamus: huic reſpondebimus, Athletam nullum coronari, qui D non legitimè certauerit: certamen porrò non eſſe legitimum, ſi nullus, quicum pugnes, adſit aduerſarius. Quamobrem ſi aduerſarius non eſt, corona non erit. victoria enim, niſi aliquid victum ſit, eſſe non poteſt. Cum illo igitur, quod in natura noſtra mutabile eſt, tanquam cum aduerſario ea ratione compoſiti decertemus, vt ipſum non deijcientes, ſed cadere non permittentes, victores ſimus. Neque verò ad malum tantummodo propenſionem habet homo. Nam ſi ad eam partem duntaxat natura procliuis eſſet, ad bonum

1. Theſſ. 5.

2. Tim. 2.

ſeſe non poſſet conuertere. Nunc autem pulcherrimum motionis opus eſt, ipſum in bonis incrementum, cùm impetu illo, quo ad melius trahimur, is qui rectè mouetur, aſſiduè transfertur ad ea, quæ diuiniora ſunt. Id ergo, quod formidandum videbatur, nempe naturam noſtram mutabilem eſſe, nobis tanquam alas, quibus ad maiora volemus, præbere demonſtrauimus: damno enim id nobis futurum fuiſſe, ſi mutationem ad melius ſuſcipere non poſſemus. Ne quis igitur vim in natura mutationibus aptã & idoneam cernens doleat aut conqueratur, ſed ſeſe continenter in melius promouens, & de gloria in gloriam transferens, quotidianis incrementis ita vertatur, vt in dies melior & perfectior fiat, nec vnquam ſe ad perfectionis metam perueniſſe ſibi perſuadeat. Ea enim verè perfectio eſt, vt qui augetur in melius, nunquam conſiſtat, neque terminis illis perfectionem exiſtimet eſſe concluſam.

A πον μόνον τὴν ῥοπὴν εἶχεν ἐκ φύσεως) νυνὶ δὲ τὸ κάλλιστον τῆς τροπῆς ἔργον, ἡ ἐν τοῖς ἀγαθοῖς ἐστὶν αὔξησις, πάντοτε τῆς πρὸς τὸ κρεῖττον ἀλλοιώσεως ἐπὶ τὸ θειότερον μεταποιούσης τὸν καλῶς ἀλλοιούμενον. οὐκοῦν τὸ φοβερὸν εἶναι δοκοῦν, λέγω δὲ τὸ τρεπτὴν ἡμῶν εἶναι τὴν φύσιν, οἷόν τι πτερὸν πρὸς τὴν ἐπὶ τὰ μείζω πτῆσιν ὁ λόγος ἀπέδειξεν, ὡς ζημίαν εἶναι ἡμῖν, τὸ μὴ δύνασθαι τὴν πρὸς τὸ κρεῖττον ἀλλοίωσιν δέξασθαι. μὴ τοίνυν λυπείσθω ὁ βλέπων ἐν τῇ φύσει τὸ πρὸς τὴν μεταβολὴν ἐπι- B τήδειον· ἀλλὰ πρὸς τὸ κρεῖττον πάντοτε ἀλλοιούμενος, καὶ ἀπὸ δόξης εἰς δόξαν μεταμορφούμενος, οὕτω τρεπέσθω, διὰ τῆς καθ' ἡμέραν αὐξήσεως πάντοτε κρείττων γινόμενος, καὶ ἀεὶ τελειούμενος, καὶ μηδέποτε πρὸς τὸ πέρας φθάνων τῆς τελειότητος. αὐτίκα γάρ ἐστιν ὡς ἀληθῶς τελειότης, τὸ μηδέποτε ἱστῆναι πρὸς τὸ κρεῖττον αὐξανόμενον, μηδέ τινι πέρατι περιορίσαι τὴν τελειότητα.

C

EIVSDEM DE PROPOSITO ſecundum Deum & exercitatione iuxta veritatem: & ad Religioſos qui propoſuerant queſtionem, de pietatis ſcopo, & de ratione qua inter ſe conuerſarentur & vna concertarent;

Descriptio svmmaria.

Ex interpretatione Federi Morelli Profeſſ. Reg. Decani.

SI quis cogitatione paulũlum à corpore ſeiuncta, & à perturbationum ſeruitute, & ſtultitia planè liberatus, perſpicaci ac ſyncera mẽtis acie ſuum ipſius animum intuitus fuerit: in eius natura cùm Dei erga nos charitatem, tum opificij illius voluntatem purè conſpiciet: hoc enim modo conſiderans appetitus impetum ad id quod præclarum optimúmque eſt, homini cognatum, & quaſi cohærentem & inſitum comperiet: & intelligibilis illius ac beatæ imaginis, cuius homo ſimulachrum

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ κατὰ Θεὸν σκοποῦ, καὶ τῆς κατὰ ἀλήθειαν ἀσκήσεως, καὶ πρὸς τοὺς ἀπαιτήσαντας ἀσκητὰς περὶ τῆς εὐσεβείας σκοποῦ· καὶ τοῦ ὅπως χρὴ συνεῖναι ἀλλήλοις καὶ συναγωνίζεσθαι, ὑποτύπωσις.

D EI τις σμικρὸν ἀποστήσας τοῦ σώματος τὴν διάνοιαν· καὶ τῆς τῶν παθῶν δουλείας τε καὶ ἀφροσύνης ἔξω γενόμενος, εὐδήλῳ καὶ εἰλικρινεῖ λογισμῷ τὴν αὐτὸς ἑαυτοῦ κατίδοι ψυχήν· ὄψεται καθαρῶς ἐν τῇ ταύτης φύσει τοῦ Θεοῦ τήν τε περὶ ἡμᾶς ἀγάπην καὶ τὸ βούλημα τῆς ἐκείνου δημιουργίας. εὑρήσει γὰρ τοῦτον τὸν τρόπον ἐπισκοπῶν, συνουσιουμένην τε καὶ συμπεφυκυῖαν τῷ ἀνθρώπῳ τὴν ἐπὶ τὸ καλόν τε καὶ ἄριστον τῆς ἐπιθυμίας ὁρμήν· καὶ τῆς νοητῆς ἐκείνης καὶ μακαρίας εἰκόνος, ἧς ὁ ἄνθρωπος μίμημα,

τὸν ἀπαθῆ καὶ μακάριον ἔρωτα συνῃμμένον τῇ φύσει. ἀλλὰ πλάνη τις τῶν ὁρατῶν τούτων καὶ ῥεόντων ἀεὶ διὰ πάθους ἀλόγου καὶ πικρᾶς ἡδονῆς τὴν ἀμαθῆ καὶ ἀφύλακτον ὑπὸ ῥαθυμίας ψυχὴν ἀπατῶσα καὶ γοητεύουσα πρὸς κακίαν ἕλκει δεινήν· γεννωμένην τε ἐκ τῶν ἡδονῶν τοῦ βίου, καὶ γεννῶσαν θάνατον τοῖς ἑαυτῆς ἐρασταῖς. διὰ τοῦτο τὴν γνῶσιν τῆς ἀληθείας τὸ σωτήριον ταῖς ψυχαῖς φάρμακον, ἡ τοῦ σωτῆρος ἡμῶν τοῖς πόθῳ δεχομένοις ἐδωρήσατο χάρις, ὑφ' ἧς λύεται μὲν ἡ ἀπάτη ἡ τὸν ἄνθρωπον γοητεύουσα· τὸ δὲ τῆς σαρκὸς ἄτιμον καταβέννυται φρόνημα· τῷ τῆς ἀληθείας φωτὶ πρὸς τὸ θεῖόν τε καὶ τὴν ἑαυτῆς σωτηρίαν ὁδηγουμένης τῆς ψυχῆς, ἣ τὴν ἕνωσιν ἐδέξατο. δεῖ τοίνυν τὸν μέλλοντα ψυχὴν καὶ σῶμα κατὰ τὸν τῆς εὐσεβείας νόμον προσάγειν Θεῷ, καὶ τὴν ἀναίμακτον αὐτῷ καὶ καθαρὰν ἀποδιδόναι λατρείαν, ἡγεμόνα τε τοῦ βίου τὴν εὐσεβῆ πίστιν ποιούμενον, ἣν αἱ τῶν ἁγίων φωναὶ διὰ πάσης ἡμῖν βοῶσι γραφῆς, οὕτως εὐπειθῆ καὶ εὐήνιον τὴν ψυχὴν τοῖς τῆς ἀρετῆς ἐπιδιδόναι δρόμοις, λύοντα μὲν ἑαυτὸν, τῶν τοῦ βίου δεσμῶν· ὅλον δὲ τῇ πίστει καὶ τῷ βίῳ τοῦ Θεοῦ μόνον γινόμενον, εἰδότα σαφῶς, ὡς ἐν ᾧ πίστις εὐσεβείας καὶ βίος ἄμεμπτος, ἐκεῖ καὶ Χριστοῦ πάρεστι δύναμις. ἐν ᾧ δὲ Χριστοῦ δύναμις, ἐκεῖ κακίας ἀποφυγή· μέγα δὴ μέγα πρὸς κτῆσιν τῶν νοητῶν τοῖς φόβῳ δεχομένοις τὸ ἅγιον βάπτισμα. τὸ γὰρ πλούσιον καὶ ἄφθονον πνεῦμα τὸ ῥέον ἀεὶ τοῖς δεχομένοις τὴν χάριν, ἧς οἱ ἅγιοι πληρωθέντες ἀπόστολοι, ταῖς τοῦ Χριστοῦ ἐκκλησίαις τοὺς καρποὺς ἐπεδείξαντο τοῦ πληρώματος, τοῦτο, τοῖς τὴν δωρεὰν εἰλικρινῶς δεξαμένοις κατὰ τὸ μέτρον τῆς ἑκάστου τῶν μετειληφότων πίστεως. συνεργὸν καὶ σύνοικον παραμένει, οἰκοδομοῦν ἐν ἑκάστῳ τὸ ἀγαθὸν πρὸς τὴν τῆς ψυχῆς ἐν τοῖς τῆς πίστεως ἔργοις σπουδήν. χρὴ οὖν ἕκαστον ἡμῶν δι' ἀρετῆς προκόπτοντα ἀεὶ προσάγειν ἑαυτὸν εἰς ἄνδρα τέλειον, κατὰ τὸν ἀπόστολον· μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ· εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἡ μὲν τοῦ σώματος πρὸς τὸ ἀνελθεῖν ἐπίδοσις, οὐδὲν ἐφ' ἡμῖν. οὐ γὰρ τῇ τοῦ ἀνθρώπου γνώμῃ καὶ ἡδονῇ μετρεῖ τὸ

A eſt, imperturbatum ac felicem amorem naturæ copulatũ. Verùm error quidam harum aſpectabiliũ rerum & quæ ſemper fluunt per rationis expertem affectum, & voluptatẽ amaram, inſtrenuum & incautum præ ignauia animum decipiens atque incantans, ad nefarium vitium trahit è vitæ deliciis procreatum, & mortem ſuis amatoribus gignens. Propterea veritatis notitiam, quod ſalutare medicamentum eſt animis, Saluatoris noſtri gratia iis qui cum deſiderio percipiunt, largita eſt: qua ſoluitur ſanè fraus quæ hominem incantat: & ignobilis faſtus carnis extinguitur & comprimitur: anima quæ tam arctam copu-
B lam nacta eſt per veritatis lucem, ad numen diuinum & ſalutem ſuam deducta. Par eſt igitur, vt is qui corpus & animum iuxta pietatis legẽ adducere Deo cogitat, atque incruentum & purum ipſi cultum exhibere, vitæ ducem inſtituendo piam fidem, quam ſanctorum voces per omnem nobis ſcripturam clamant, adeò morigerum & obſecundantem animum virtutis curriculis exhibere: ſe ipſum à vinculis vitæ exſoluendo: totum verò ſe fidei & vitæ Dei tantum tradendo, dum penitus cognitum planéque perſpectum habet, ei apud quem pietatis fides & inculpata vita exiſtit,
C etiam Chriſti potentiam adeſſe. vbi verò Chriſti virtus eſt; ibi vitij fuga eſt. Magni profectò momenti, magni, inquam, eſt ad rerum intelligibiliũ comparationem in iis qui cum timore ſancto Baptiſmate tincti ſunt. Nam diues & opulentus Spiritus, qui ſemper infunditur in eos qui gratiam acceperunt, qua ſancti Apoſtoli referti, Chriſti Eccleſiis fructus complementi oſtenderunt iis, qui munus ſincerè admiſerũt pro menſura cuiuſque eorum qui fidei partici-
D pes fuere; adiuuans & vnà habitans permanet, & bonum in vnoquoque conſtruit, ad animæ ſtudium in fidei operibus. Ergo par eſt, vt quiſque noſtrùm ſemper ſe in virtute proficientem ad virum perfectum adducat; iuxta Apoſtoli dictum, Quo vſque occurramus omnes ad vnitatem fidei, & agnitionis 4. Eph. 13.
filij Dei, ad virum perfectum, ad menſuram ætatis plenitudinis Chriſti. corporis certè augmentum ad increſcendum non in nobis ſitum eſt. haudquaquam natura ex hominis ſententia &

libidine ſtaturã metitur, ſed ſuo ipſiuſmet impetu & neceſſitate. animi verò in ortus renouatione modus & decus, quæ Spiritus gratia largitur, per eius qui acceptus eſt, ſtudium, à conſilio noſtro pendent: nam quanto magis labores pro pietate extendis, tanto etiam magis animi magnitudo ſimul extenditur: & ſempiternam vitam atque ineffabilem quæ in cœlis eſt lætitiam eiuſdem Spiritus gratia concedit: accipiendi vero munera, & dignitatem gratiâ fruendi, amor per Fidem laboribus obtinet. Iam verò ad idem progreſſæ operum Iuſtitia & Spiritus gratia, in qua anima concurrerunt, eam beata vita certatim complent: ſed à ſe inuicem disiunctæ, nullum animæ emolumentum exhibent. Etenim Dei gratia in animis qui ſalutem fugiunt, non poteſt frequenter adeſſe; hominis vero virtutis vis per ſe non ſufficit ad animos gratiæ expertes, ad vitæ formam abſolutam extollendos. Niſi dominus ædificauerit domum, & cuſtodierit ciuitatem, in vanum laborauerũt, qui ædificant eam. Hinc edocemur non eſſe in mentem inducendum, in humano ſtudio totam ſitam eſſe coronam: verùm ad Dei voluntatem referendam eſſe ſpem de fine obtinendo. porrò Dei voluntas eſt, vt anima per gratiam purgetur, & pura ac munda Deo offeratur. Nam dominus eiuſmodi beatos prędicat, cùm ait, Beati mundo corde, quia ipſi Deum videbunt. Vidéſne puritatis præmium? quid melius eſt quàm Deum videre, quatenus nobis conceſſum eſt? idcircò etiam David hoc poſtulat dicens, fiat cor meum inculpatum in iuſtificationibus tuis, vt non confundar: iubet dedecus metuere, & hoc exuere præcipit, tanquam veſtem ſordidam. Rurſus autem ait, Tunc non confundar, cùm perſpexero in omnibus mandatis tuis. Nam in mandatorum effectu, Spiritus libertatem ac fiduciam collocat. Iterum ait idem, Cor mundum crea in me Deus: & Spiritu principali confirma me. Alibi verò interrogat: Quis aſcendet in montem Domini? deinde reſpondet, Innocens manibus & mundo corde. Par eſt ergo eum qui appetit adiungi alicui, mores illius imitari. Igitur neceſſe eſt vt anima quæ Chriſti ſponſa

Pſal. 127. — Luc. 6. — Pſal. 18. — Pſal. 50. — Pſal. 15. & 27.

A μέγεθος ἡ φύσις. ἀλλὰ τῇ αὐτῆς ὁρμῇ καὶ ἀνάγκῃ. τὸ δὲ τῆς ψυχῆς ἐν τῇ τῆς γεννήσεως ἀνανεώσει μέτρον καὶ κάλλος, ὅπερ δίδωσι διὰ τῆς τοῦ δεχομένου σπουδῆς, ἡ τοῦ πνεύματος χάρις, τῆς ἡμετέρας ἤρτηται γνώμης· ὅσον γὰρ ἐκτείνῃς τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας, τοσοῦτον καὶ τὸ τῆς ψυχῆς συνεκτείνεται μέγεθος. καὶ τὴν μὲν ἀΐδιον ζωὴν καὶ τὴν ἄρρητον ἐν οὐρανοῖς εὐφροσύνην, ἡ τοῦ πνεύματος δίδωσι χάρις· τὴν δὲ ἀξίαν τοῦ δέξασθαι τὰ δῶρα, καὶ ἀπολαῦσαι τῆς χάριτος, ὁ διὰ τῆς πίστεως παρὰ τοὺς πόνους ἔρως ἔχει. συνελθοῦσαι B δὲ εἰς ταὐτὸν δικαιοσύνη ἔργων καὶ πνεύματος χάρις, εἰς ἣν συνῆλθον ψυχήν, ταύτην ζωῆς μακαρίας μετ' ἀλλήλων ἐνέπλησαν· διαζυγεῖσαι δὲ ἀπ' ἀλλήλων, οὐδὲν τῇ ψυχῇ κέρδος παρέχουσιν. ἥ τε γὰρ τοῦ Θεοῦ χάρις ψυχαῖς φευγούσαις τὴν σωτηρίαν, οὐκ ἔχει ἐπιφοιτᾶν. ἥ τε τῆς ἀνθρώπου ἀρετῆς δύναμις, οὐκ ἐξαρκεῖ καθ' ἑαυτὴν πρὸς τὸ τῆς ζωῆς εἶδος ἀναβιβάσαι ψυχὰς ἀμοιρούσας τῆς χάριτος· ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, καὶ φυλάξῃ πόλιν, εἰς μάτην οἱ περὶ ταῦτα πονοῦσι. κἀντεῦθεν C διδασκόμεθα, μὴ δεῖν φρονεῖν ταῖς ἀνθρωπίναις σπουδαῖς ὅλον κεῖσθαι τὸν στέφανον· ἀλλ' ἀναφέρειν ἐπὶ τὸ τοῦ Θεοῦ θέλημα τὰς περὶ τοῦ τέλους ἐλπίδας. ἔστι δὲ θέλημα Θεοῦ, τὸ καθᾶραι διὰ τῆς χάριτος τὴν ψυχήν· καθαρὰν αὐτὴν προσαγαγεῖν τῷ Θεῷ. τοὺς γὰρ τοιούτους ὁ κύριος μακαρίζει, λέγων· μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. ὁρᾷς τὸ βραβεῖον τῆς καθαρότητος; τί κρεῖττον τοῦ ἰδεῖν τὸν Θεόν, καθὼς ἡμῖν ἐνεχώρει. διὸ καὶ ὁ Δαβὶδ αἰτεῖ τοῦτο, λέγων· γενέσθω ἡ καρδία D μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. φοβεῖσθαι κελεύει τὴν αἰσχύνην· καὶ ἀποθέσθαι κελεύει ταύτην, ὡς ἐσθῆτα ῥυπῶσαν. πάλιν δέ φησι, τότε οὐ μὴ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. ἐν γὰρ τῷ πληρώματι τῶν ἐντολῶν τίθεται τὸ πνεῦμα τὴν παρρησίαν. καὶ πάλιν, καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός· καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. ἀλλαχοῦ δὲ ἐρωτᾷ, τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου. εἶτα ἀποκρίνεται· ἀθῷος χερσὶ, καὶ καθαρὸς τῇ καρδίᾳ. δεῖ οὖν τὸν ἐπιθυμοῦντα οἰκειωθῆναί τινι, τὸν ἐκείνου τρόπον μιμεῖσθαι. οὐκοῦν ἀνάγκη καὶ τὴν Χριστοῦ ποθοῦσαν γενέσθαι

νύμφην

A νύμφην ψυχήν, τῷ τοῦ Χριστοῦ ὁμοιωθῆναι κάλλει τὸ κατὰ δύναμιν· δεῖ τὴν μέλλουσαν ἀνίπτασθαι πρὸς τὸ θεῖον ψυχήν, καὶ κολλᾶσθαι Χριστῷ, πᾶσαν ἐξελαύνειν ἁμαρτίαν ἀφ' ἑαυτῆς, κλοπὴν λέγω, καὶ ἁρπαγὴν καὶ μοιχείαν, καὶ πλεονεξίαν, καὶ πορνείαν καὶ γλώσσης νόσον, καὶ πᾶν ὅσον ἐμφανὲς ἁμαρτημάτων γένος, καὶ ὅσον λαθραῖον, τουτέστι φθόνος, ἀπιστία, κακοήθεια, δόλος, καὶ ὅσον ἄλλο ὕπουλον τῆς κακίας σμῆνος. ὅπερ ἐξ ἴσου τῷ φανερῷ γένει τῶν ἁμαρτημάτων ἡ γραφὴ μισεῖ καὶ βδελύσσεται. τίνος ἐσκόρπισεν ὀστᾶ ὁ κύριος; οὐ τῶν ἀνθρωπαρέσκων; B τίνα βδελύσσεται ὁ κύριος, ὡς τὸν ἐναγῆ καὶ μιαιφόνον; οὐ τὸν ὕπουλον ἄνδρα καὶ δόλιον; ἄνδρα γὰρ αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος. οὐ φανερῶς ὁ Δαβὶδ τοῖς λαλοῦσιν εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν, κακὰ δὲ ἐν ταῖς καρδίαις αὐτῶν, καταρᾶται; διὰ τοῦτο καὶ παραγγελλόμεθα, μήτε τὰς παρὰ ἀνθρώπων εὐφημίας διώκειν· μήτε τὰς παρ' αὐτῶν ἀτιμίας αἰσχύνεσθαι· τοὺς γὰρ ἐπιδεικτικῶς οἵαν* τινα ἀρετὴν ποιοῦντας, ἀποστερεῖ τὸν ἐν οὐρανοῖς μισθὸν ἡ γραφή, ὡς ἐνταῦθα τὸν τῶν ἀνθρώπων ἀπολαμβάνοντας C ἔπαινον. ἀλλά φασι, καὶ πῶς λέγει ὁ κύριος; λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. λέγομεν οὖν σοι, ὅτι κελεύει ὁ λόγος τὸν ἑπόμενον ταῖς ἐντολαῖς τοῦ Θεοῦ, πᾶν ὅπερ ἂν ποιῇ πρὸς ἐκεῖνον βλέποντα ποιεῖν· καὶ τούτῳ μόνῳ ἀρέσκειν, μηδεμίαν παρὰ τῶν ἀνθρώπων δόξαν θηρώμενον· ἀλλὰ φεύγειν μὲν τοὺς παρὰ τούτων ἐπαίνους, καὶ τὴν ἐπίδειξιν. διὰ δὲ τοῦ βίου καὶ τῶν ἔργων γνωρίζεσθαι* πᾶσι. ὅπως θεαταὶ τούτων γενόμενοι, οὐκ εἶπε, D θαυμάσωσι τὸν ἐπιδεικνύμενον, ἀλλὰ δοξάσωσι τὸν πατέρα ὑμῶν, τὸν ἐν τοῖς οὐρανοῖς. ἐκεῖ γὰρ κελεύει πᾶσαν ἀναφέρεσθαι δόξαν, καὶ πρὸς τὸ ἐκείνου θέλημα πρᾶξιν ἀπαρτίζεσθαι πᾶσαν, παρ' ᾧ καὶ μισθὸς ἀπόκειται τῶν τῆς ἀρετῆς ἔργων. ὀρέγου τῶν ἄνω ἐπαίνων, τὸ τοῦ Δαβὶδ λέγων· παρὰ σοὶ ὁ ἔπαινός μου. καί, ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. τὸν τῆς ἐνταῦθα τιμῆς ἐφιέμενον τοῖς ἀπίστοις ἐγκαταλέγει ὁ κύριος.

A fieri deſiderat, pulchritudini Chriſti quoad eius fieri poterit ſimilis fiat: Oportet inquam, vt anima quæ aduolare ad numen cogitat, & adhærere Chriſto, omne peccatum à ſe expellat; furtum dico & rapinam & adulterium & auaritiam & ſcortationem, & linguæ virus, & omne manifeſtum delictorum genus, atque etiam occultum, cuiuſmodi eſt inuidia, diffidentia, malignitas, fraus, & quæcumque alia latentia vitiorum examina, quæ æquè ac apertum erratorum genus odit ſcriptura, & abominatur. Quorum diſſipauit oſſa B Dominus? nónne hominibus placere ſtudentium? quem abominatur Dominus vt facinoroſum & ſanguinolentum? nónne ſubdolum virum & fraudulentum? nam virum ſanguinum & dolo- *Pſal. 5.* ſum abominatur Dominus. nónne apertò Dauid, iis qui loquuntur pacem cum vicinis ſuis, mala verò in cordibus *Pſal. 27.* ſuis, imprecatur? Idcircò etiam in mandatis habemus, vt neque ab hominibus laudes aucupemur, neque ignominiarum ab ipſis acceptarum pudeat. Etenim eos qui per oſtentationem, virtutem aliquam exercent ſcriptura ſa- C cra mercede quæ in cœlis eſt priuat; vtpotè qui hic laudationem homi- *Matth. 6.* num accipiunt. Sed inquiunt, & quomodo dicit Dominus, Sic luceat lux veſtra coram hominibus, vt videant *Matth. 5.* opera veſtra bona, & glorificent patrem veſtrum qui in cœlis eſt. ergo hoc tibi dicimus, hunc ſermonem præcipere, vt is qui Dei mandatis obtemperat, quidquid facit, in illum intuendo faciat, atque huic ſoli placere ſtudeat, nullam ab hominibus gloriam venando: verùm fugiat quidem laudes ab his tributas, necnon oſtentationem: per vitam autem & opera D cognoſcatur; vt ſpectatores horum effecti, non dixit, oſtentantem ſe admirentur; ſed patrem veſtrum qui in cœlis eſt glorificent. Nam eò gloriam omnem referri iubet, atque ad illius voluntatem actionem omnem perfici, apud quem etiam merces propoſita eſt virtutis operum. cupidus eſto laudum, quæ in ſuperis conſiſtunt: dicens illud Dauidis, Apud te laus mea. Et, *Pſ. 21. 26.* In Domino laudabitur anima mea. *Pſ. 33. 3.* eum qui honoris hic collati appetens eſt, Dominus inter infideles recenſet.

Ioan. 5. Etenim, quomodo vos poteſtis (inquit)
credere, qui ab hominibus gloriam ac-
cipitis; & gloriam, quæ à Deo ſolo eſt,
non quæritis? Odium etiam ex occul-
tis erratis eſt. proinde audi Dominum
1. Ioan. 3. dicentem. Qui odit fratrem ſuum, ho-
micida eſt, & ſcitis quoniam omnis
homicida non habet vitam æternam.
Itaque expellit à vita eum qui odit fra-
trem ſuum, tanquam homicidam: iam
verò quod nullum diſcrimen ſit inter
mala intus abdita & ea quæ patent,
audi Apoſtolum. Et ſicut non proba-
Rom. 1. uerunt (inquit) Deum habere in no
titia, tradidit illos Deus in reprobum
ſenſum, vt faciant ea quæ non conue-
niunt, repletos omni iniquitate, mali-
tia, fornicatione, auaritia, nequitia:
plenos inuidia, homicidio, contentio-
ne, dolo, malignitate: ſuſurrones, de-
tractores, Deo odibiles, contumelioſos,
ſuperbos, elatos, inuentores malorum,
parentibus non obedientes, inſipientes,
incompoſitos, ſine affectione, abſque
fœdere, ſine miſericordia, qui cùm iuſti-
tiam Dei cognouiſſent, non intellexe-
runt: quoniam qui talia agunt, morte
digni ſunt. Vides vt malignitatem, &
ſuperbiam, & fraudem & cetera occul-
ta vitia cædi & auaritiæ, atque eiuſmodi
malis omnibus adiunxerit? Ita porrò
peruerſæ & ſanatu difficiles ſunt animis
abſconditæ labes, vt nefas ſit ſolo hu-
mano ſtudio ac virtute deteri atque exi-
mi, niſi ſi quis Spiritus potentiam opi-
tulatricem aſſumpſerit. Idcirco, ait
Pſal. 18. Dauid, Ab occultis meis munda me,
& ab alienis parce ſeruo tuo. Nam ex
duobus vnus homo connexus eſt, ex
animo videlicet & corpore: atque hoc
quidem extra ipſum eſt: animus au-
tem intus propter vitam manet. qua-
propter hominem oportet foris qui-
dem euigilare, obſeruando ne quid ex
periculoſis delictis incidens concutiat
& corrumpat. De quo etiam Apoſtolus
minitatur, cum ait, Si quis templum
1. Cor. 3. Dei violauerit, diſperdet eum Deus. par
eſt etiam animi ſenſus intimos omni
cautione cuſtodire, ne quæ vitioſita-
tis ratio alicunde emergens è profun-
do, deprauato pietatis iudicio, animam
ad ſeruitutem redigat, cùm affectibus
ipſam occultè diuellentibus repleuerit.
Deut. 22. Non iunges (inquit beatus Moyſes) in
Leuit. 19. 19. area tua diuerſi generis animalia ſimul;

A πῶς γὰρ δύνασθε, φησὶν, ὑμεῖς πιστεύειν, δόξαν
παρὰ ἀνθρώπων λαμβάνοντες· καὶ τὴν δόξαν
τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; τῶν
ἀφανῶν ἐστι καὶ τὸ μῖσος ἁμαρτημάτων. καὶ ἄκου-
σον τοῦ κυρίου λέγοντος, ὁ μισῶν τὸν ἀδελφὸν
αὐτοῦ, ἀνθρωποκτόνος ἐστί. καὶ οἴδατε ὅτι πᾶς
ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον. ἐκ-
βάλλου οὖν τῆς ζωῆς τὸν μισοῦντα τὸν ἀδελ-
φὸν, ὥσπερ τὸν ἀνδροφόνον. ὅτι δὲ οὐδεμία δια-
φορὰ τῶν ἔνδον κεκρυμμένων κακῶν πρὸς τὰ
ἐμφανῆ, ἄκουσον τοῦ ἀποστόλου· καθὼς οὐκ ἐ-
δοκίμασαν, φησὶ, τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει,
B παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ
μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ,
πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθό-
νου, φόνου, ἔριδος, δόλου, κακοηθείας· ψιθυριστὰς,
καταλάλους, θεοστυγεῖς, ὑβριστὰς, ὑπερηφάνους,
ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς,
ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀ-
νελεήμονας. οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπι-
γνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράττοντες ἄξιοι
θανάτου εἰσί. ὁρᾷς ὅπως τὴν κακοήθειαν καὶ τὴν
ὑπερηφανίαν καὶ τὸν δόλον καὶ τὰ λοιπὰ τῶν κρυ-
C πτῶν, τῷ φόνῳ καὶ τῇ πλεονεξίᾳ καὶ τοῖς τοιούτοις
πᾶσι συνέταξεν. οὕτω δέ ἐστι πονηρὰ καὶ δυσία-
τα ταῖς ψυχαῖς ἐγκεκρυμμένα κακὰ, ὥστε μὴ
δυνατὸν εἶναι διὰ μόνης τῆς ἀνθρωπίνης σπου-
δῆς καὶ ἀρετῆς ἐκτρῖψαι καὶ ἀνελεῖν, εἰ μή
τις τὴν τοῦ πνεύματος δύναμιν σύμμαχον
προσλάβοι. διὸ καὶ ὁ Δαβὶδ φησὶν, ἐκ τῶν
κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλο-
τρίων φεῖσαι τοῦ δούλου σου. ἐκ δύο γὰρ ὁ εἷς
ἄνθρωπος ἥρμοσται, ψυχῆς τε καὶ σώματος.
καὶ τὸ μὲν, αὐτοῦ ἔξωθέν ἐστιν· ἡ δὲ, ἔνδον πα-
ρὰ τὸν βίον μένει. χρὴ οὖν τὸν ἄνθρωπον τὸ
D μὲν ἔξωθεν διαγρυπνεῖν, τηροῦντα μή τι
τῶν σφοδροτέρων ἁμαρτημάτων προσπεσὸν, κατα-
σείσῃ καὶ διαφθείρῃ. περὶ οὗ καὶ ὁ ἀπόστολος
ἀπειλεῖ λέγων, τὸν φθείροντα τὸν ναὸν τοῦ Θεοῦ,
φθερεῖ ὁ Θεός· τὴν δὲ ἔνδον διὰ πάσης φρου-
ρεῖν φυλακῆς. μήτις λόγος κακίας ἐκ βάθους
πόθεν ἀνακύψας, καὶ τὸν τῆς εὐσεβείας λογισ-
μὸν διαφθείρας, δουλώσηται τὴν ψυχὴν
πληρώσας τῶν διελκόντων αὐτὴν λάθρα πα-
θῶν. οὐ ζεύξεις, φησὶν ὁ μακάριος Μωϋσῆς,
ἐν τῇ ἅλωνί σου ζῶα ἀλλογενῆ ἐπὶ τὸ αὐτό·

ὁμοῦ, βοῦν καὶ ὄνον. οὐδὲ συνυφανεῖς ἐν ἱματίῳ ἔριον λίνῳ. οὐ γεωργήσεις ἐν τῇ χώρᾳ τῆς γῆς σου, δύο καρποὺς ἐπὶ τὸ αὐτό. οὐδὲ δὶς περὶ τὸν ἐνιαυτόν. οὐκ ἐπιβιβάσεις ἑτερογενὲς ζῶον ἐπὶ ἕτερον εἰς γονήν. τί ταῦτα βούλεται τὰ αἰνίγματα; τὸ μὴ δεῖν ἐν τῇ αὐτῇ ψυχῇ κακίαν καὶ ἀρετὴν συμφυτεύειν ἀλλήλαις. ποία φιλία σωφροσύνης πρὸς ἀκρασίαν; ποία δικαιοσύνης πρὸς ἀδικίαν ὁμόνοια; ἀεὶ τὸ ἕτερον ὑπεξίσταται τῷ ἑτέρῳ. δεῖ οὖν τὸν σοφὸν γεωργὸν, καθάπερ ἐκ τῆς πηγῆς ποτίμου καὶ ἀγαθῆς, καθαρὰ παραπέμπειν τοῦ βίου τὰ νάματα, μόνα τὰ τοῦ Θεοῦ γεώργια εἰδότα· καὶ τούτοις πονοῦντα διὰ βίου, καὶ παραμένοντα. ὅπως κἂν ὑποφύηταί τις ξένος λογισμὸς ἐν τῷ κρυφίῳ τῆς ἀρετῆς, τοὺς σοὺς ἰδὼν πόνους ὁ πάντα ὁρῶν, ταχέως τῇ ἑαυτοῦ δυνάμει τὴν ὕπουλον ῥίζαν τῶν λογισμῶν πρὸ τῆς βλάστης ἐκτεμεῖν. οὐδὲ γάρ ἐστιν ἁμαρτεῖν τῆς ἐλπίδος, οὐδὲ ἀνεκδίκητον μεῖναι τὸν ἀεὶ προσεδρεύοντα τῷ Θεῷ. εἰ δὲ τὴν ἐν τῷ εὐαγγελίῳ χήραν, ἣ προσῆγε μὲν οὐ φιλανθρώπῳ κριτῇ τὸ τῆς ἀδικίας μέγεθος· ἡ δὲ πολλὴ περὶ τὴν δέησιν σχολὴ καὶ καρτερία νικήσασα τοῦ δικαστοῦ τὸν τρόπον, ἐκκαλεῖ πρὸς τὴν τοῦ ἀδικήσαντος τιμωρίαν. μὴ τοίνυν μηδὲ σὺ προσευχόμενος ἀπείπῃς. εἰ γὰρ τὸ ἐκείνης περὶ τὴν δέησιν ἀναιδὲς ἄρχοντος ἀνελεοῦς ἔκλινε γνώμην· πῶς ἡμᾶς χρὴ τῆς περὶ τὸν Θεὸν ἀπογνῶναι σπουδῆς; οὗ τὸ ἔλεος φθάνειν οἶδας πολλάκις τοὺς αἰτοῦντας. ζηλοῦτε, φησὶν ὁ ἀπόστολος, τὰ πνευματικὰ χαρίσματα· καὶ ἔτι καθ᾽ ὑπερβολὴν, ὁδὸν ὑμῖν δείκνυμι. ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. τί δὲ τὸ κέρδος τῆς ἀγάπης ἐντεῦθεν δηλοῖ, ἡ ἀγάπη οὐ ζηλοῖ· οὐ περπερεύεται· οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς· οὐ παροξύνεται· οὐ λογίζεται τὸ κακόν· οὐ χαίρει τῇ ἀδικίᾳ· συγχαίρει τῇ ἀληθείᾳ· πάντα στέγει· πάντα πιστεύει· πάντα ἐλπίζει· πάντα ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. τί τοῦτό ἐστιν; εἰ καὶ τῶν ἄλλων τις τύχοι χαρισμάτων, ὧν τὸ πνεῦμα παρέχει· γλώσσας λέγω ἐθνῶν, καὶ προφητείαν, καὶ γνῶσιν καὶ χαρίσματα ἰαμάτων·

A veluti bouem & aſinum. Neque contexes in pallio lanam lino. Non coles in ſolo terræ tuæ duo ſimul fructuum genera. Neque bis perannum. Animal alterius generis non facies coire cum altero ad procreandum. *Deut. 22. 9* Quid hæc ſibi volunt ænigmata? quòd in eodem animo vitium & virtutem conſerere inter ſe non oporteat. Quæ temperantiæ amicitia eſt cum incontinentia? Quæ iuſtitiæ concordia eſt cum iniuſtitia? alterum ſemper decedit altero accedente. Quocirca prudentem agricolam, tanquam è potabili & bono fonte puros

B tranſmittere vitæ riuos oportet: quippe qui ſola Dei noualia culta nouit: atque in his per vitam, laborem impendere perſeuerat: vt quāuis externa & aliena quædam cogitatio ſubreperet, in occulto virtutis, qui videt omnia, tuos intuitus labores, citò ſua ipſius poteſtate latentem cogitationum radicem ante germen exſcindat. Neque enim fas eſt à ſpe aberrare, neque inultum manere eum qui ſemper numini adhæret. Quòd ſi viduam, quæ in Euangelio memoratur, ad iudicem non benignum *Luc. 18.*

C adduxit iniuriæ magnitudo: & multa mulierculæ in precatione ſedulitas ac perſeuerantia, iudicis moribus ſuperatis, ipſum ad punitionem eius qui iniurius fuerat excitauit: ne verò tu quoque in orando Deo animum deſpondeas. Nam ſi illius viduę inuerecundia in precando, magiſtratus immitis ſententiam flexit: quî nos in ſtudio cultus Dei deſperare conuenit? cuius miſericordiam ſæpe poſcẽtes anteuertere noſti. Æmulamini, inquit Apoſtolus, ſpiritualia chariſmata. Et adhuc his excellentiorem viam vobis oſtendo. *1. Cor. 12. 31. & c. 13. 1. & 14. 1.* Si linguis hominum loquor & Angelorum, charita-

D tem autẽ non habeam, factus ſum velut æs ſonans, aut cymbalũ tinniens. quod verò charitatis lucrum ſit, hîc declarat. Charitas non æmulatur, non perperam agit, non inflatur, non eſt ambitioſa, non quærit quæ ſua ſunt, non irritatur, non cogitat malum, non gaudet ſuper iniquitate, congaudet veritati, omnia ſuffert, omnia credit, omnia ſperat, omnia ſuſtinet. Charitas nunquam excidit. Quid hoc rei eſt? tametſi alia quis obtineat dona, quæ Spiritus præbet, linguas dico gentium, & prophetiam, & ſcientiam & ſanationum munera:

nondum verò purè liberatus, fuerit, Spiritus auxilio, ab affectionibus, quæ intus perturbant, neque ſalutis perfectum in animo medicamentum acceperit: in timore caſus adhuc conſiſtit: quia charitatem non habet, quæ ſtabilit & confirmat in virtutis ſtatu. Quando igitur ad te venerit precationis illius opulentia, tunc ſenſu pauper eſto, ſubmittens te ſemper, & charitatis ornamentum tanquam fundamentum aliquod theſauri gratię animo comparans, & aduerſus omnem affectum certans: quo vſque ad pietatis metam ventum erit. Rurſus inquit Apoſtolus, Si quæ

2.Cor.5. in Chriſto noua Creatura: vetera tranſierunt. Ceterùm, nouam creaturam appellauit Spiritus ſancti inhabitationem, in puro & inculpato corde, omníque malitia atque improbitate ac dedecore libero. Nam quando animus peccatum odio proſequutus fuerit; ac ſe pro viribus virtutis adminiſtrationi tradiderit, atque cum vita commutatus, ſpiritus in ſe gratiam acceperit, nouus effectus eſt totus, & reparatus atque inſtauratus. quinetiam iſtud, Expur-

1.Cor.5. gate vetus fermentum, vt ſitis noua conſperſio. & hoc quoque, Epulemur, non in fermento veteri, ſed in Azymis ſinceritatis & veritatis. hæc, inquam, cum iis, quæ de noua creatura dicta ſunt, conſonant. Enimuero multos tentator animæ noſtræ laqueos tendit: infirmior autem eſt per ſe humana natura, quàm, vt victoriam ex illo reportare poſſit. Idcirco etiam Apoſtolus amare nos iubet membra armis cœ-

Ephes.6. leſtibus, Induite (inquit) loricam Iuſtitiæ; & calceate pedes in præparatione Euangelij pacis; & ſtate ſuccincti lumbos veſtros in veritate. In omnibus ſumentes ſcutum fidei, in quo poſſitis omnia tela nequiſſimi ignea extinguere. (Hæc vero ſunt impotentes animi motus) deinde galeam ſalutis aſſumere hortatur, ac ſanctum Spiritus gladium. Hunc autem dicit, Verbum in virtute Dei: Quo decet animæ dextram armatam hoſtis fabricas diſcutere. Vidéſne quot ſalutis modos Apoſtolus tibi ſubindicarit, qui ad vnam viam, eandémque metam tendunt; in quibus facile vitæ curriculum, quod ad mandatorum Dei apicem ſpectat, expletur. Itaque eiuſmodi eſt pietatis ſcopus.

A μηδέπω δὲ λυτρωθῇ καθαρῶς ἀπὸ τῶν ἔνδον ἐνοχλούντων παθῶν, τῇ τοῦ πνεύματος βοηθείᾳ· μηδὲ τὸ τέλειον τῆς σωτηρίας ἐν τῇ ψυχῇ δέξηται φάρμακον· ἐν φόβῳ καθέστηκεν ἔτι τῆς πτώσεως, τὴν στηρίζουσαν καὶ βεβαιοῦσαν ἐν τῇ τῆς ἀρετῆς στάσει, μὴ ἔχων ἀγάπην. ὅταν οὖν ἔλθῃ πρός σε τῆς δεήσεως ἐκείνης ὁ πλοῦτος, τότε γίνου τῷ φρονήματι πένης, ὑποπίπτων ἀεί. καὶ τὸ τῆς ἀγάπης καλὸν, ὥσπερ τινὰ κρηπῖδα τοῦ τῆς χάριτος θησαυροῦ· προσδοκῶν τῇ ψυχῇ, καὶ πρὸς πᾶν ἀγωνιζόμενος πάθος, μέχρι τοῦ ἐφικέσθαι τοῦ τῆς εὐσεβείας σκοποῦ. πά-

B λιν, φησὶν ὁ ἀπόστολος, εἴ τις ἐν Χριστῷ καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθε. καινὴν δὲ κτίσιν ἐκάλεσε τὴν ἐν καθαρᾷ καὶ ἀμώμῳ καρδίᾳ, καὶ πάσης ἀπηλλαγμένῃ κακίας καὶ πονηρίας καὶ αἰσχύνης, ἐνοίκησιν τοῦ ἁγίου πνεύματος. ὅταν γὰρ μισήσῃ μὲν ἡ ψυχὴ τὸ ἁμαρτάνειν· οἰκειώσῃ δὲ αὐτὴν κατὰ δύναμιν τῇ τῆς ἀρετῆς πολιτείᾳ. καὶ δέξηται μεταποιηθεῖσα τῷ βίῳ τὴν τοῦ πνεύματος εἰς ἑαυτὴν χάριν; καινὴ γέγονεν ὅλη, καὶ ἀνεκτίσθη. ἀλλὰ καὶ τὸ, ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα.

C καὶ τὸ, ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας, τοῖς περὶ τῆς καινῆς κτίσεως εἰρημένοις, συμφωνεῖ. πολλοὺς μὲν γὰρ ἵστησιν ὁ πειραστὴς τῇ ψυχῇ βρόχους. ἐλάττων δὲ καθ' ἑαυτὴν ἡ ἀνθρωπίνη φύσις τῆς κατ' ἐκείνου νίκης. διὸ καὶ ὁπλίζεσθαι ἡμᾶς ὁ ἀπόστολος κελεύει τὰ μέλη τοῖς οὐρανίοις ὅπλοις, τὸν θώρακα τῆς δικαιοσύνης, λέγων, ἐνδύσασθε, καὶ ὑποδύσασθε ἐν ἑτοιμασίᾳ τῆς εἰρήνης. καὶ περιζώσασθε τὴν ὀσφὺν ἐν ἀληθείᾳ. ἐπὶ πᾶσι δὲ τὸν θυρεὸν τῆς πίστεως ἀναλα-

D βόντες, δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· ταῦτα δέ ἐστι τὰ ἀκόλαστα πάθη· καὶ τὴν περικεφαλαίαν δέξασθαι τοῦ σωτηρίου, παραινεῖ, καὶ τὴν ἁγίαν μάχαιραν τοῦ πνεύματος. ταύτην δὲ λέγει τὸν ἐν δυνάμει Θεοῦ λόγον· ᾧ χρὴ τὴν δεξιὰν τῆς ψυχῆς ὁπλισαμένην τὰς τοῦ ἐχθροῦ μηχανὰς ἀποκρούεσθαι. ὁρᾷς πόσους ὑπέδειξέ σοι τῆς σωτηρίας τρόπους ὁ ἀπόστολος, εἰς μίαν τείνοντας ὁδὸν, καὶ σκοπὸν ἕνα. ἐν οἷς καὶ πληροῦται ῥᾳδίως ὁ πρὸς τὸ ἄκρον τῶν ἐντολῶν τοῦ βίου δρόμος. ὁ μὲν οὖν σκοπὸς τῆς εὐσεβείας τοιοῦτος.

δεῖ δὲ τοὺς φιλοσοφεῖν ἐγνωκότας, ἀκριβῶς εἰδέναι αὐτὸν, ὅπως ῥίψωσι μὲν πάντες τὴν αὐθάδειαν, καὶ τὸ μέγα φρονεῖν ἐπὶ τοῖς κατορθώμασι· τήν τε ἑαυτῶν ψυχὴν μετὰ τοῦ βίου ἀρνησάμενοι, πρὸς ἕνα βλέπωσι πλοῦτον· ὃν τῆς εἰς Χριστὸν ἀγάπης ἆθλον τοῖς ἀγαπῶσιν ἔδωκεν ὁ Θεός. καθώς φησιν ὁ αὐτὸς ἀπόστολος, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν, καὶ τελειωτὴν Ἰησοῦν. μὴ οὖν τοῖς τοῦ πνεύματος δωρήμασιν ἐπαιρώμεθα, καὶ τὸ κατορθῶσαί τι δι' ἀρετὴν, ἀφορμὴν λαμβάνωμεν εἰς τὸ φρονεῖν καὶ σεμνύνεσθαι, πρὶν ἐλθεῖν εἰς τέλος τῶν ἐλπιζομένων· ἵνα μὴ ἐκπέσωμεν τῆς ὁρμῆς, ἀχρεῖον ἑαυτοῖς τὸν προλαβόντα πόνον τῇ αὐθαδείᾳ ποιήσαντες, καὶ ἀνάξιοι φανέντες τῆς τελειότητος, εἰς ἣν ἡ τοῦ πνεύματος ἡμᾶς εἷλκε χάρις. τοῦτο ἐστὶ κατόρθωμα μέγα φιλοσοφίας τὸ μέγαν ὄντα * τοῖς γὰρ * σθαι τῇ καρδίᾳ· καὶ καταγινώσκειν τοῦ βίου, * μὴ ἔχειν ἐν τῷ συνειδότι ἄξιον ἑαυτὸν πεποιηκέναι Θεῷ. τὰ μὲν δὴ κατὰ τὴν ἐλπίδα τοῦ σκοποῦ τοῖς φιλοσόφως ζῆν ᾑρημένοις, ἱκανῶς εἴρηται νομίζομεν. δεῖ δὲ λοιπὸν προσθεῖναι τοῖς εἰρημένοις, ὅπως μὲν χρὴ συνεῖναι τοὺς τοιούτους ἀλλήλοις· ὅπως δὲ τρέχειν μετ' ἀλλήλων ἕως ἂν ἐπὶ τὴν ἄνω πόλιν ἀφίκωνται. χρὴ τοίνυν τὸν τὰ τοῦ βίου τούτου σεμνὰ καθαρῶς ἀτιμάζοντα· καὶ ἀρνούμενον πᾶσαν τὴν κάτω δόξαν, ἀρνήσασθαι μετὰ τοῦ βίου καὶ τὴν οἰκείαν ψυχήν. ἄρνησις δὲ ψυχῆς, τὸ μηδαμοῦ ζητεῖν τὸ ἑαυτοῦ θέλημα, ἀλλὰ τὸ θέλημα τοῦ Θεοῦ· καὶ τούτῳ κεχρῆσθαι καθάπερ ἀγαθῷ κυβερνήτῃ, τῷ τὸ κοινὸν πλήρωμα τῆς ἀδελφότητος μεθ' ὁμονοίας, ἐπὶ τὸν λιμένα τοῦ θείου θελήματος ἀπευθύνοντι· κεκτῆσθαι δὲ οὐδὲν παρὰ τὸ κοινόν· πλὴν τοῦ τὸ σῶμα καλύπτοντος ἱματίου. οὕτω γὰρ ἑτοιμότερον ἔσται τὸ παρὰ τῶν προεστώτων ἐπιτασσόμενον μεθ' ἡδονῆς καὶ ἐλπίδος, προθύμως μὲν τελεῖν, ὡς δοῦλον Χριστοῦ καὶ ἠγορασμένον, εἰς τὴν κοινὴν τῶν ἀδελφῶν χρείαν. τοῦτο γὰρ καὶ ὁ κύριος βούλεται, λέγων, ὁ θέλων ἐν ὑμῖν πρῶτος καὶ μέγας, * ἔστω πάντων ἔσχατος, καὶ πάντων δοῦλος. χρὴ δὲ τὴν τοιαύτην δουλείαν παρὰ τοῖς ἀνθρώποις ἄμισθον εἶναι.

A Eos porrò qui veræ ſapientiæ ſtudio incumbere decreuerunt, probè hanc metam ſcire oportet, vt omnem faſtum & arrogantiam abijciant, neque ob rectè facta ſuperbiant; & cùm animam ſuam cum vita abnegauerint, ad vnam opulentiam oculos conijciant, quam Deus præmium charitatis in Chriſtum conceſſit amantibus. ſicut Apoſtolus ipſe dicit, Per patientiam curramus propoſitum nobis certamen, aſpicientes in autorem fidei, & conſummatorem Ieſum. *Hebr.12.1.* Ne igitur Spiritus ſancti muneribus extollamur, & ex eo quod B rectè egerimus per virtutem, occaſionem faſtus & ſuperbiæ ſumamus: priuſquam ad finem eorum quæ ſperantur veniamus: vt ne excidamus à propoſito, labore prius exhauſto nobis per arogantiam inutili reddito, cùm indigni viſi fuerimus perfectione, ad quam nos Spiritus gratia trahebat. Hoc ingens eſt operæpretium ſtudij ſapientiæ, ſi is qui rectè factis magnus eſt, ſubmiſſo & puro corde ſit, & vitam condemnet, neque cõſcius fuerit, quòd ſe ipſum Deo dignum reputauerit. quæ C igitur pertinent ad ſpem ſcopi attingendi iis qui piè ſapientérque viuere propoſuerunt, abundè explicata eſſe cenſemus. Iam verò reliquum eſt, vt iis quæ dicta ſunt addamus, quomodo tales conuerſari inter ſe oporteat, & quomodo certatim currere, donec ad ſupernam ciuitatem peruenerint. Quocirca opus eſt eum qui huius vitæ res præclaras planè deſpicit, & omnem mundanam gloriam abnegat, etiam cum vita animam propriam abnegare. Animæ verò abnegatio eſt, voluntatem ſuam nuſquam quærere, ſed Dei D voluntatem, eâque veluti bona gubernatrice vti; quæ communem fraternitatis cœtum cum concordia ad portum diuinæ voluntatis dirigit: deinde nihil niſi id quod commune eſt poſſidere; præterquam veſtimentum, quod corpus tegat. ſic namque expeditius erit, quod à præpoſitis iniunctum erit, cum iucunditate & ſpe alacriter perficere, vt ſeruum Chriſti, & ad communem fratrum vſum redemptum. hoc enim vult etiam Dominus, cum ait, Qui vult inter vos primus & magnus eſſe, omnium ſit poſtremus, & omnium ſeruus. *Matth.23. 11.* verùm eiuſmodi ſeruitutem apud homines, gratuitam eſſe oportet.

& qui talis eſt, omnibus debet ſubijci; ac veluti vſuræ debitor, fratribus inſeruire. Adhæc eos qui huic ſpirituali choro præficiuntur, magnitudinem ſuæ curæ conſiderantes, & malitiæ quæ fidei inſidiatur, & doloſas artes meditatur, pro dignitate ſuæ præfecturæ ſolicitos eſſe conuenit; & non ratione poteſtatis magnos ſpiritus gerere. etenim decet in præfectura conſtitutos, maiorem quidem quàm alij laborem ſuſcipere, ſubmiſſius verò, quàm ſubditi ſe gerere, ac pro ſerui imagine exemplóve vitam ſuam alijs exhibere, dum illos reputant depoſitum eſſe Dei, qui fidei ſuæ commiſſi ſunt. Sic igitur præpoſitos oportet fratrum curam habere; vt probi tenerorum educatores puerorum, qui ipſis à parentibus traditi ſunt: enimuero hi puerorum habitus conſiderantes, huic verbera, illi monita; alteri laudem, alteri aliquid eiuſmodi admouent; ac nihil horum ad gratiam, neque ad odium præſtant: quemadmodum ſpirituales quoque præpoſiti facere debent. Si ita inuicem affecti fueritis, cùm ſubiecti tum Magiſtri; illi quidem cum gaudio iuſſis ac mandatis obtemperantes: hi verò cùm voluptate fratres ad perfectum ſtatum prouehentes: & ſi honoribus inuicem præueniatis, Angelorum in terris vitam degetis. Inducat verò ſibi quiſque in mentem, ſe non fratri ſolùm cum quo verſatur inferiorem infirmiorémque eſſe, ſed quouis etiam homine; hoc enim cognoſcens, diſcipulus reuera Chriſti erit. cùm ergo humilitatis fructus ſciatis, & faſtus damnum, imitamini Dominum, & vno in corpore atque anima vna ad ſupernam vocationem currite, diligentes Deum & vos inuicem. Nam amor & timor Domini primum legis complementum eſt. Verumtamen non ſimpliciter, neque fortuitò nobis aduerſus Deum charitas indi atque inſeri ſolet, ſed per labores multos & magnas curas, & cooperatione Chriſti: prout dixit Sapientia, Si enim (inquit) quæſieris eam, quaſi pecuniam, & ſicut theſauros effoderis illam, tunc intelliges timorem Domini, & ſcientiam Dei inuenies. Agnitione verò Dei inuenta, etiam metum facile comprehendes, & quod ſequitur rectè perficies, charitatem dico in vicinum.

Prou. 2.

A καὶ ὀφείλει ὁ τοιοῦτος ὑποτετάχθαι πᾶσι. καὶ καθάπερ δημοσίου χρεώστης θεραπεύειν τοὺς ἀδελφούς. χρὴ δὲ καὶ τοὺς προεστῶτας τοῦ πνευματικοῦ τούτου χοροῦ, τότε μέγεθος τῆς αὐτῶν σκοποῦντας φροντίδος, καὶ τῆς ἐφεδρευούσης τὴν πίστιν κακίας* λογιζομένης τὰς τέχνας ἀξίως τῆς ἐπιστασίας ἀγωνίζεσθαι· καὶ μὴ πρὸς τὴν ἐξουσίαν αἴρειν τὸ φρόνημα. δεῖ γὰρ ἐν τῇ ἐπιστασίᾳ μείζονα μὲν τῶν ἄλλων τοὺς προεστῶτας πονεῖν· ταπεινοτέρως δὲ τῶν ἀρχομένων φρονεῖν, καὶ τύπον δούλου τὸν ἑαυτῶν βίον παρέ-

B χειν τοῖς ἄλλοις, παρακαταθήκην Θεοῦ νομίζοντας ἔχειν, οὓς ἐπιστεύθησαν. οὕτως οὖν χρὴ τοὺς προεστῶτας ἐπιμελεῖσθαι τῶν ἀδελφῶν, ὡς ἂν χρηστοὶ παιδαγωγοὶ παίδων ἁπαλῶν, οὓς ἐπιστεύθησαν παρὰ τῶν πατέρων αὐτῶν. ἐκεῖνοι γὰρ τῶν παίδων τὰς ἕξεις σκοποῦντες, τῷ μὲν πληγάς· τῷ δὲ νουθεσίαν· τῷ δὲ ἔπαινον· τῷ δὲ ἄλλο τι τῶν τοιούτων προσάγουσιν οὐδὲν, οὔτε πρὸς χάριν, οὔτε πρὸς ἀπέχθειαν τούτων ποιοῦντες, καθὼς καὶ οἱ πνευματικοὶ προεστῶτες ποιεῖν ὀφείλουσιν. ἐὰν οὕτως ἔχητε πρὸς

C ἀλλήλους· οἵ τε ὑφεστῶτες καὶ οἱ διδάσκαλοι· οἱ μὲν πειθόμενοι μετὰ χαρᾶς τοῖς ἐπιταττομένοις· οἱ δὲ μεθ' ἡδονῆς τοὺς ἀδελφοὺς ἐπὶ τὸ τέλειον προσαγόμενοι, καὶ ταῖς τιμαῖς ἀλλήλους προηγεῖσθε, τὸν τῶν ἀγγέλων ἐπὶ τῆς γῆς ζήσεσθε βίον. πειθέτω δὲ ἕκαστος ἑαυτόν, ὡς οὐ τοῦ συνόντος ἀδελφοῦ μόνον ἐστὶ καταδεέστερος ἀλλὰ καὶ παντὸς ἀνθρώπου. τοῦτο γὰρ γινώσκων, μαθητὴς ἔσται ὄντως Χριστοῦ. Εἰδότες οὖν τῆς ταπεινότητος τοὺς καρπούς, καὶ τὴν ζημίαν τοῦ τύφου, μιμήσασθε τὸν δεσπότην, καὶ

D ἑνὶ σώματι καὶ μιᾷ ψυχῇ χωρεῖτε πρὸς τὴν ἄνω κλῆσιν, ἀγαπῶντες τὸν Θεὸν καὶ ἀλλήλους. ἀγάπη γὰρ καὶ φόβος ὁ πρὸς κύριον, τὸ πρῶτον τοῦ νόμου ἐστὶ πλήρωμα. πλὴν οὐχ ἁπλῶς, οὐδὲ αὐτομάτως ἡμῖν ἡ πρὸς Θεὸν ἀγάπη ἐγγίνεσθαι πέφυκεν· ἀλλὰ διὰ πολλῶν πόνων καὶ μεγάλων φροντίδων, καὶ συνεργίας τῆς τοῦ Χριστοῦ, καθὼς εἴρηκεν ἡ Σοφία. ἐὰν γὰρ ζητήσῃς αὐτήν, φησιν, ὡς ἀργύριον καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς, τότε συνήσεις φόβον κυρίου, καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις. Θεοῦ δὲ ἐπίγνωσιν εὑρών, καὶ φόβον συννοήσεις ῥᾳδίως, καὶ τὸ ἐφεξῆς κατορθώσεις, τὸ ἀγαπᾶν, λέγω, τὸν πλη-

σίον· τοῦ γὰρ πρώτου καὶ μεγάλου πόνῳ κτηθέντος, τὸ δεύτερον ἔλαττον ὄν, ἀπονώτερόν ἐστιν. ἐπεὶ ὁ τὸν Θεὸν μὴ ἀγαπῶν ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης διανοίας, πῶς ἂν ὑγιῶς τε ἀδόλως ἐπιμελοῖτο τῆς τῶν ἀδελφῶν ἀγάπης; τὸν δὲ μὴ τὴν ψυχὴν ὅλην ἀποδιδόντα Θεῷ, μηδὲ πρὸς τὴν ἐκείνου κεχηνωμένον ἀγάπην, εὑρὼν ὁ τῆς κακίας τεχνίτης χειροῦται ῥᾳδίως λογισμοῖς πονηροῖς ὑποσκελίζων, νῦν μὲν βαρέα φαίνεσθαι ποιῶν τὰ τῆς γραφῆς ἐπιτάγματα, καὶ ἐπαχθῆ τὴν εἰς τοὺς ἀδελφοὺς θεραπείαν· νῦν δὲ ἐπαίρων εἰς ἀλαζονείαν καὶ τῦφον ἀπ' αὐτῆς τῆς εἰς τοὺς ὁμοδούλους διακονίας, ὡς τὴν παρὰ τῶν ἀνθρώπων δόξαν ζητεῖν· καὶ τιμὴν παρὰ τῶν ἀδελφῶν ἐπαιτεῖν· καὶ οὕτω τὰ τῶν ἀπίστων πραγματευόμενος, καὶ ποιῶν. ἄπιστος γὰρ ὁ τὰς ἀνθρωπίνας ἀντὶ τῶν οὐρανίων θηρεύων τιμὰς, ὡς αὐτός πού φησιν ὁ κύριος· πῶς δύνασθε ὑμεῖς πιστεύειν, δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; ἀγάπης οὖν ἡμῖν παρούσης τοῦ Θεοῦ, ἀνάγκη καὶ τὰ λοιπὰ ταύτῃ συνέπεσθαι· καὶ τὸ φιλάδελφον, τὸ πρᾶον, τὸ ἀνυπόκριτον, τὸ περὶ τὰς εὐχὰς διαρκὲς καὶ σπουδαῖον, καὶ ἁπλῶς πᾶσαν ἀρετήν. ὡς δὲ μεγάλου τοῦ κτήματος ὄντος, μεγάλων δεῖ πόνων περὶ τὴν κτῆσιν, οὐ πρὸς ἔνδειξιν ἀνθρώπων γινομένων, ἀλλ' εἰς τὸ ἀρέσαι Θεῷ τῷ τὰ κρυπτὰ εἰδότι. τοῖς δὲ ἀγαπῶσι τὸν Θεὸν, εὔκολος τε ἡδὺς ὁ πόνος τῶν ἐντολῶν· ἐλαφρὸν καὶ ἐπέραστον ἡμῖν τὸν ἀγῶνα τῆς πρὸς ἐκεῖνον ἀγάπης ποιούσης. διὸ καὶ ὁ πονηρὸς πάντα ἀγωνίζεται τρόπον, ἐκβαλεῖν τὸν τοῦ κυρίου φόβον ἐκ τῶν ψυχῶν ἡμῶν, καὶ διαλῦσαι τὴν πρὸς ἐκεῖνον ἀγάπην ἡδοναῖς παρανόμοις. δεινὸς γάρ ἐστιν, εἰ ῥᾳθυμοῦντας εὕροι τοὺς φύλακας, κλέψαι καιρὸν, καὶ ἐπεισελθεῖν τοῖς τῆς ἀρετῆς πόνοις, καὶ καταπεῖραι τῷ σίτῳ τὰ αὐτοῦ ζιζάνια· λοιδορίαν λέγω, τῦφον, κενοδοξίαν, τιμῆς ἐπιθυμίαν, καὶ τὰ λοιπὰ τῆς κακίας δημιουργήματα. δεῖ οὖν ἐγρηγορέναι, καὶ τηρεῖν πάντοθεν τὸν ἐχθρόν. ὅπως κἂν προσβάλῃ τινὰ μηχανὴν ὑπ' ἀναισχυντίας, πρὶν ἅψασθαι τῆς ψυχῆς ἀποκρουσθῆναι. μνημονεύετε δέ μοι συνεχῶς καὶ τούτου· ὅτι Ἄβελ μὲν προσέφερεν τῷ κυρίῳ θυσίαν ἀπὸ τῶν πρωτοτόκων

A Nam cùm primum & magnum labore comparatum eſt; ſecundum quod minus eſt, leuioris laboris eſt. quandoquidem qui Deum non amat ex toto corde, & ex tota mente, quînam ſincere & ſedulo charitatis in fratres curam haberet? Verum enimuero cùm malitiæ artifex nactus eſt eum qui totam animam Deo non tradit, & vacuus eſt à dilectione illius; facile mancipat & prauis cogitationibus præcipitem dat: dum nunc facit vt grauia videantur ſcripturæ mandata, & oneroſum miniſterium fratribus exhibitum: modò

B ad ſuperbiam & faſtum extollit ab ipſo in conſeruos officio; vt gloriam ab hominibus quærat, & honorem à fratribus exigat: itáque infidelium acta ambiat & præſtet. Etenim infidelis eſt qui humanos pro cœleſtibus honores venatur; quemadmodum Dominus ipſe alicubi dicit: Quomodo vos credere poteſtis, qui gloriam à vobis inuicem *Ioan. 5.* accipitis, & honorem à Deo ſolo non quæritis? Quapropter ſi charitas à Deo adfuerit, neceſſum eſt reliqua etiam huic adhærere; & fraternum amorem,

C & lenitatem & candorem abſque fictione; perſeuerantiam & ſedulitatem in precibus, omnémque in genere virtutem. Quoniam autem quando magna eſt poſſeſſio, magnis etiam ad eam acquirendam laboribus opus eſt: non qui ad oſtentationem hominum ſuſcipiuntur: verùm ad placendum Deo, *Luc. 8. & 12.* qui occulta nouit. Atqui Deum amantibus facilis & iucundus eſt labor mandatorum: cùm leue & gratum nobis certamen efficiat charitas erga Deum. Quapropter Malus omni ratione contendit vt Dei metum ex animis noſtris

D expellat, & amorem in Deum voluptatibus illegitimis diſſoluat: enimuero ſubtilis eſt, ſi torpentes ſocordia inuenerit cuſtodes, in rapienda opportunitate, & ſenſim inuadendis virtutis laboribus, atque inſerendis zizaniis *Matth. 13.* ſuis frumento: conuicium dico, faſtum, inanem gloriam, honoris cupiditatem, & alia vitij effecta. Itaque vigilare oportet, & vndique inimicum obſeruare; vt etiamſi fabricam admouerit aliquam præ impudentia ſua, antequam animam attingat, excutiatur. Hoc quoque frequenter in memoriam reuocate, quod Abel quidem obtulit Domino ſacrificium de primogenitis *Gen. 4.*

ouium, & de adipibus: Cain autem ex A fructibus quidem terræ, ſed non ex ouibus. & reſpexit (inquit) Deus ad victimas Abel: ad munera autem Cain non attendit. igitur ex hiſtoria ſacra diſcere licet quàm acceptum ſit Domino omne quod cum timore & fide fit; non quod ſumptuoſè abſque charitate. Neque enim aliter Abraham accepiſſet benedictionem à Melchiſedec, niſi primitias & præcipua obtuliſſet ſacerdoti Dei. Præcipua verò dicit, & primitias manubiarum animam ipſam & mentem, dum præcipit nobis non ſordidè ſacrificare Deo laudationes & preces; B ac neque Domino quæuis offerre: ſed ſi quid in anima primarium fuerit: imò ipſam totam Deo conſecrare. ceterum quæ virtutis partes præſtantiores cenſendæ ſint, & quibus primò ante alias incumbendum ſit, & quibus ſecundo, & reliquis deinceps, dici non poteſt. Nam virtutes inter ſe connexæ ſunt: ac per ſe inuicem cultores ad cacumen extollunt. Etenim ſimplicitas obedientiæ tradit obedientia fidei: hæc verò ſpei, & ſpes iuſtitiæ: iuſtitia miniſterio, & miniſterium humilitati: ab hac autem C clementia aſſumitur, quæ gaudio admouet; gaudium charitati: hæc precationi: & ſic à ſe inuicem pendent: & ſublimem eum qui appenſus adhæret ad ipſum verticem optatæ rei vehunt. ſicuti ex aduerſo improbitas amicos ſuos per proprias partes ſuas ad extremam deprimit nequitiam. Nobis verò amplius orationi inſiſtendum eſt: ſiquidem hæc veluti chori virtutum Antiſtita quædam eſt, & per ſanctitatem arcanam & ſpiritualem & affectum inenarrabilem, Deo coniungit eum qui D in prece perſeuerat: qui deſiderio feruens, ſatietatem precationis non inuenit: imò ſemper à bonis appetitu corripitur iuxta id quod dictum eſt, Qui edunt me, adhuc eſurient, & qui bibunt me, adhuc ſitient. atque alibi, Dediſti lætitiam in corde meo. & Dominus, Regnum cœlorum intra vos eſt. Regnum appellauit gaudium deſuper inſitum animis per ſpiritum: quod eſt arrabo ſępiterni gaudij quo tunc fruentur ſanctorũ animæ. Igitur quoniam de-

Geneſ. 14.

Eccleſ. 49. 29.

Pſal. 4. 7.

Luc. 17. 21.

A προβάτων, καὶ ἀπὸ στεάτων· Κάϊν δὲ ἀπὸ μὲν τῶν καρπῶν τῆς γῆς, ἀλλ' οὐκ ἀπὸ τῶν προβάτων. καὶ ἐπεῖδε, φησὶν, ὁ Θεὸς, ἐπὶ ταῖς θυσίαις τοῦ Ἀβέλ· ἐπὶ δὲ τοῖς δώροις τοῦ Κάϊν οὐ προσέσχεν. ἔστι τοίνυν μαθεῖν ἐκ τῆς ἱστορίας, ὡς εὐάρεστον τῷ κυρίῳ πᾶν τὸ μετὰ φόβου καὶ πίστεως· οὐ τὸ πολυτελῶς ἄνευ ἀγάπης γινόμενον. οὐδὲ γὰρ Ἀβραὰμ ἄλλως ἐδέξατο τὴν εὐλογίαν παρὰ τοῦ Μελχισεδὲκ, ἀλλ' ἢ τὰς ἀπαρχὰς καὶ τὰ κύρια προσήνεγκε τῷ ἱερεῖ τοῦ Θεοῦ. κύρια δὲ λέγει καὶ ἀκροθίνια τῶν ὑπαρ- B χόντων· αὐτὴν τὴν ψυχὴν καὶ τὸν νοῦν, κελεύων ἡμῖν μὴ μικροπρεπῶς θύειν τῷ Θεῷ τὰς αἰνέσεις καὶ τὰς εὐχάς. μηδὲ τὰ τυχόντα τῷ δεσπότῃ προσάγειν. ἀλλ' εἴ τι κύριον τῆς ψυχῆς, μᾶλλον δὲ αὐτὴν τὴν ὅλην ἀνατιθέναι Θεῷ. περὶ μέν τοι τῶν τῆς ἀρετῆς μερῶν ποῖον κρεῖττον νομίζεσθαι, καὶ πρὸ τῶν ἄλλων ἐπιτηδεύειν· καὶ ποῖον τούτου δεύτερον, καὶ τὰ λοιπὰ ἐφεξῆς, οὐκ ἔστιν εἰπεῖν. ἀλλήλων γὰρ ὁμοίως ἔχονται· καὶ δι' ἀλλήλων ἐπὶ τὴν κορυφὴν τοὺς χρωμένους ἀνάγουσι. ἡ μὲν γὰρ ἁπλότης, τῇ ὑπακοῇ παραδί- C δωσι· ἡ δὲ ὑπακοὴ, τῇ πίστει· αὕτη δὲ τῇ ἐλπίδι· καὶ ἡ ἐλπὶς τῇ δικαιοσύνῃ· κἀκείνη, τῇ διακονίᾳ· καὶ αὕτη, τῇ ταπεινότητι· παρὰ δὲ ταύτης ἡ πρᾳότης παραλαμβάνεται· ἣ δὲ τῇ χαρᾷ προσάγει. ἡ δὲ χαρὰ, τῇ ἀγάπῃ, ἐκείνη τῇ εὐχῇ· καὶ οὕτως ἀλλήλων ἐξηρτημέναι, καὶ ἐξαρτήσασαι τὸν ἐχόμενον, ἐπ' αὐτὴν ἀνάγουσι τοῦ ποθουμένου τὴν κορυφήν. καθάπερ ἀπεναντίας ἡ πονηρία τοὺς ἑαυτῆς φίλους, διὰ τῶν οἰκείων αὐτῆς μερῶν ἐπὶ τὴν ἐσχάτην κατάγει κακίαν. δεῖ δὲ ἡμᾶς τῇ εὐχῇ πλέον προσκαρτερεῖν. αὕτη D γὰρ κορυφαῖός τις τοῦ χοροῦ τῶν ἀρετῶν αὕτη τυγχάνει, καὶ συνάπτει δι' ἁγιότητος μυστικῆς καὶ πνευματικῆς ἐνεργείας, καὶ διαθέσεως ἀρρήτου, Θεῷ τὸν τῇ εὐχῇ προσκαρτεροῦντα· ὃς ζέων τῷ πόθῳ, κόρον τῆς εὐχῆς οὐχ εὑρίσκει. ἀεὶ δὲ τῷ πόθῳ τοῦ ἀγαθοῦ εὑρίσκεται κατὰ τὸ εἰρημένον, οἱ τρώγοντές με, ἔτι πεινάσουσι. καὶ οἱ πίνοντές με, ἔτι διψήσουσι. καὶ ἀλλαχοῦ, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. καὶ ὁ κύριος, ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι. βασιλείαν δὲ τὴν ἄνωθεν ταῖς ψυχαῖς διὰ τοῦ πνεύματος ἐγγινομένην εὐφροσύνην ἐκάλεσεν, ἥ τις ἐστὶν ἀῤῥαβὼν τῆς αἰωνίου χαρᾶς, ἧς ἀπολαύσουσι τότε αἱ τῶν ἁγίων ψυχαί. ἐπεὶ τοίνυν δι-

δέδεικται τίς ὁ τῆς εὐσεβείας σκοπός, ὃν χρὴ προκεῖσθαι τοῖς τὸν θεοφιλῆ βίον αἱρουμένοις, ὅς ἐστι ψυχῆς καθαρισμός, καὶ τοῦ πνεύματος δι' ἔργων ἀγαθῶν προκοπῆς ἐνοίκησις· ἕκαστος ὑμῶν κατὰ τὸν ἀποδειχθέντα τρόπον παρασκευάσας τὴν ψυχήν, καὶ μεστὴν θείου ποιήσας ἔρωτος, οὕτως ἀποδότω ἑαυτὸν ταῖς εὐχαῖς καὶ νηστείαις· μεμνημένος τοῦ παρακαλοῦντος, τὸ ἀδιαλείπτως προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν. ἡ γὰρ περὶ τὴν εὐχὴν σπουδή, μεγάλα ἡμῖν χαρίζεται· μόνον συντόνῳ καὶ ὀρθῇ συνειδήσει τοῦτο ποιοίτο ἕκαστος, μηδαμοῦ κατὰ τὴν διάνοιαν ἑκουσίως περιπλανώμενος· μηδὲ ὥσπερ ὑπ' ἀνάγκης ἀκούσιον χρέος ἀποδιδούς, ἀλλ' ἔρωτα καὶ πόθον ἀποπληρῶν τῆς ψυχῆς. δίδωσι δὲ καὶ αὐτὸς ὁ κύριος τοῖς αἰτοῦσιν ὅπως εὔχεσθαι δεῖ, κατὰ τὸ εἰρημένον, ὁ διδοὺς εὐχὴν τῷ εὐχομένῳ. δεῖ οὖν αἰτεῖν, καὶ εἰδέναι τὸν τῇ εὐχῇ προσκαρτεροῦντα πράγματι τοσούτῳ μετὰ πολλῆς σπουδῆς καὶ δυνάμεως ἐναθλεῖν τῷ ἀγῶνι. ἐπεὶ μάλιστα ἡ κακία τοῖς τοιούτοις ἐφεδρεύει, πάντοθεν ζητοῦσα περιτρέψαι τὴν σπουδήν. ἐκεῖθεν ἄνεσις σώματος καὶ ψυχῆς, ἐντεῦθεν μαλακία καὶ ἀκηδία, καὶ ὀλιγωρία, καὶ τὰ λοιπά, δι' ὧν ἀπόλλυται ψυχὴ κατὰ μέρος ἁρπαζομένη, καὶ αὐτομολοῦσα πρὸς τὸν ἐχθρὸν αὐτῆς. χρὴ οὖν ἐφεστάναι τῇ ψυχῇ καθάπερ σοφὸν κυβερνήτην τὸν λογισμόν, παρασκευάζοντα εὐθυπλοεῖν πρὸς τὸν ἄνω λιμένα· καὶ τὴν ψυχὴν ἀκέραιον ἀποδιδόντα τῷ πιστεύσαντι Θεῷ. καὶ τοὺς προεστῶτας δὲ χρὴ συναντιλαμβάνειν τῷ τοιούτῳ καὶ διὰ πάσης σπουδῆς καὶ νουθεσίας τρέφειν τὴν περὶ τὸ προκείμενον τοῦ εὐχομένου ἐπιθυμίαν. τῶν γὰρ ὄντως εὐχομένων ὁ καρπὸς τῶν ἀρετῶν τοῖς συνιοῦσιν ἐπιδεικνύμενος, οὐ τῷ προκόψαντί τι μόνῳ, ἀλλὰ καὶ τοῖς ἔτι νηπίοις καὶ δεομένοις διδασκαλίας, χρήσιμος γίνεται, προτρέπων αὐτοὺς εἰς μίμησιν ὧν ὁρῶσι. καρπὸς δὲ εἰλικρινοῦς εὐχῆς, ἁπλότης, ἀγάπη, ταπεινοφροσύνη, καρτερία, ἀκακία, καὶ τὰ τοιαῦτα, ἃ πρὸ τῶν αἰωνίων καρπῶν, παρὰ τὸν βίον ὁ τοῦ σπουδαίου * • ἐνταῦθα βλαστάνει. τούτοις εὐχὴ καλλωπίζεται τοῖς καρποῖς· ἀποροῦσα δὲ τούτων, μάταιον ἔχει πόνον· καὶ οὐκ αὐτὴ μόνον, ἀλλὰ καὶ πᾶσα φιλοσοφίας ὁδὸς τοιαύτην μὲν ἔχουσα βλάστην, δικαιοσύνης ὄντως ἐστὶν ὁδός, καὶ

A claratum eſt quis ſit pietatis ſcopus, quem iis propoſitum eſſe conuenit, qui Deo charam inſtituunt vitam, quæ eſt animæ purgatio, & Spiritus ſancti per bonorum operum profectum inhabitatio: quiſque veſtrum anima eo quo demonſtratum eſt modo præparata, ac referta amore diuino, ita ſe ipſum precibus & ieiuniis tradat: memor eius qui ad aſſiduè orandum cohortatur, & ad non ſegniter agendum. Etenim ſedulitas in precatione, magna nobis largitur: duntaxat intenta & recta conſcientia faciat hoc quiſque; nuſquam cogi-
B tatione ſponte circum vagans: neque vt neceſſitate exortum debitum exſoluens: ſed animi deſiderium atque amorem complens. Suggeret etiam Dominus ipſe petentibus, quomodo precandum ſit, iuxta id quod dictum eſt, Qui precem dat precanti. Igitur & petere oportet, & ſcire eum qui in precatione, quæ tanti momenti eſt, perſeuerat, magno ſtudio magnâq. virium contentione, certamen ſubire. Quoniam vitium inſidiatur eiuſmodi potiſſimum, vndique ſtudium honeſti quærens euertere. hinc corporis & animi
C labes: inde mollitia, & incuria & negligentia, & cetera, quibus anima profligatur, per partes direpta, & ad hoſtem ſuum transfuga. Quamobrem par eſt rationem, tanquam prudentem gubernatorem, animæ præſidere, vt ipſam comparet ad rectà nauigandum, & appellendum ad portum qui ſurſum eſt; & eandem integram reddat Deo, qui fidei commiſit & repetit. Porrò præpoſitos vna opitulari huic decet, atque omni ſtudio & admonitione precantis cupiditatem in propoſito ſuo alere. Etenim eorum qui verè precantur virtututum fructus intelligentibus oſtenſus,
D non iis modò qui progreſſi fuerint, ſed & infantibus adhuc, & diſciplinæ egentibus vtilis exiſtit: dum ipſos ad ea quæ vident imitanda concitat. Ceterùm puræ ac ſinceræ precationis fructus eſt, Simplicitas, Charitas, Humilitas, Tolerantia, Innocentia: aliáque eiuſmodi, quæ æternis fructibus anteeunt, per ſtudioſi vitam * hic pullulant. Hiſce fructibus decoratur precatio: quibus ſi deſtituatur, inanem ſumit laborem: neque ipſa duntaxat, ſed etiam omnis philoſophiæ via & ratio, quæ germen habet eiuſmodi; Iuſtitiæ reapſe eſt ſe-

A mita, & ad rectum ducit exitum, his autem priuata, nomen inane relinquitur. Ecquis eſt vſus vitis excultæ, niſi fructus adſint, quorum gratia labores exantlauit agricola? quod lucrum eſt ieiunij & adorationis & peruigilij, ſi pax & gaudium & charitas, & reliqui fructus gratiæ ſpiritus non adfuerint? quapropter labores ieiunij & orationis & ceterorum operum, cum multa iucunditate & charitate & ſpe conſiſtere conuenit. Flores vero laborum & fructus, Spiritus ſanctiſſimi operatione adeſſe credendum eſt. Quòd ſi quis hæc ſibi ipſi imputauerit, & omnia laboribus ſuis tribuerit, vice B æternorum fructuum illorum, arrogantiæ ſpiritus huic homini inſeritur. idcirco ob virtutem ſuſcepta certamina cum iucunditate par eſt ſuſtinere, & animi liberationem ab affectibus Deo acceptum ferre: vt ſic anima ſemetipſa melior effecta, & potentiſſimi hoſtis malitia ſuperior, domicilium bonum præbeat ſe adorando ſanctóque Spiritui, à quo immortali Chriſti pace accepta copulatur per eam, & adglutinatur Domino. Quod ſi quidam, qui nondum perfectæ precationis vigorem tenent; neque debitum huic negotio ſtudium, & vim obtinent, priuati C ſunt hac virtute; in ceteris compleant obedientiam, pro viribus miniſtrantes, alacriter operantes, ſedulo cum voluptate cultum impendentes, non ob mercedem vllam, neque humanæ gloriæ cauſa, neque vt alienis corporibus & animis inſeruientes, ſed tanquam Chriſti ſeruis, & noſtris viſceribus, vt purum & fraudis expers opus noſtrum Domino pateat. nemo autem imbecillitatem prætexat ad honeſtarum a-D ctionum ſtudium. Nihil enim Deus præcipit, quod fieri non poſſit; quippe cùm dicat, Si quis præbuerit poculum aquæ frigidæ in nomine meo, Amen dico vobis, non amittet mercedem ſuam. quid hoc mandato facilius? atqui merces tam leuis & expeditæ operæ, cœleſtis eſt. Et rurſus, Quandiu feciſtis vni de his, mihi feciſtis: Iuſſum quidem exiguum eſt: Obtemperantiæ verò quæſtus ingens. quare nihil præter vires expoſcit. Verùm ſiue paruum, ſiue magnum quid facias, ſequitur te merces ex propoſito.

Matth.10. 42. *Marc.9.* *Matth.9.* *Matth.29. 40.*

A πρὸς ὀρθὸν ἄγει τέλος· τούτων δὲ ἐστερημένη, κενὸν ὄνομα καταλείπεται. τί ὄφελος ἀμπέλου πεποιημένης, καρπῶν μὴ παρόντων, ὧν ἕνεκα ὁ γεωργὸς τὸν πόνον ὑπέμεινε; τί κέρδος νηστείας καὶ προσευχῆς καὶ ἀγρυπνίας, εἰρήνης ἀπούσης καὶ χαρᾶς καὶ ἀγάπης, καὶ τῶν λοιπῶν τῆς τοῦ πνεύματος χάριτος καρπῶν. δεῖ οὖν τοὺς μὲν πόνους τῆς νηστείας καὶ τῆς εὐχῆς καὶ τῶν λοιπῶν ἔργων μετὰ πολλῆς ἡδονῆς καὶ ἀγάπης καὶ ἐλπίδος ὑφίστασθαι. τὰ δὲ ἄνθη τῶν πόνων καὶ τοὺς καρποὺς τῇ τοῦ πνεύματος εἶναι πιστεύειν ἐνεργείᾳ. εἰ δ᾽ ἂν ἑαυτῷ τις λογίζοιτο ταῦτα, καὶ τὸ πᾶν ἀνατιθείη τοῖς πόνοις ἀντὶ τῶν ἀκηράτων ἐκείνων B καρπῶν, ἀλαζονείας τῷ τοιούτῳ φρόνημα φύεται. διὸ χρὴ τοὺς μὲν ὑπὲρ τῆς ἀρετῆς ἀγῶνας μεθ᾽ ἡδονῆς ὑπομένειν· τὴν δὲ λύτρωσιν τῆς ψυχῆς ἐκ τῶν παθῶν τῷ Θεῷ ἀνατίθεσθαι. ὡς ἂν οὕτω κρείττων ἑαυτῆς ἡ ψυχὴ γενομένη· καὶ τῆς τοῦ ἐχθροῦ δυνατωτάτης κακίας, οἰκητήριον ἀγαθὸν ἑαυτὴν παρέξῃ τῷ προσκυνητῷ καὶ ἁγίῳ πνεύματι, παρ᾽ οὗ τὴν ἀθάνατον τοῦ Χριστοῦ λαβοῦσα εἰρήνην, συνάπτεται δι᾽ αὐτῆς, καὶ προσκολλᾶται τῷ κυρίῳ. εἰ δέ τινες μήπω τὸν τῆς ἄκρας εὐχῆς τόνον ἔχοντες, μηδὲ τὴν ὀφειλομένην τῷ πράγματι C σπουδήν τε καὶ δύναμιν, ἀπολιμπάνονται ταύτης τῆς ἀρετῆς, ἐν τοῖς ἄλλοις πληρούτωσαν τὴν ὑπακοὴν κατὰ δύναμιν διακονοῦντες, προθύμως ἐργαζόμενοι, σπουδαίως θεραπεύοντες μεθ᾽ ἡδονῆς, μὴ ἐπὶ μισθῷ τινι, μηδὲ τῆς ἀνθρωπίνης δόξης ἕνεκα· μηδὲ ὡς ἀλλοτρίοις σώμασι καὶ ψυχαῖς ὑπηρετούμενοι· ἀλλ᾽ ὡς Χριστοῦ δούλοις, ὡς ἡμετέροις σπλάγχνοις, καθαρὸν ἡμῶν καὶ ἄδολον τὸ ἔργον ἀποφαίνειν τῷ κυρίῳ. προφασιζέσθω δὲ μηδεὶς ἀδυναμίαν D εἰς τὴν τῶν καλῶν ἔργων σπουδήν· οὐδὲν γὰρ ὁ Θεὸς ἀδύνατον ἐπιτάττει. ὃς ἐάν, φησιν, ποτίσῃ ποτήριον ψυχροῦ εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. τί τῆς ἐντολῆς ταύτης εὐχερέστερον· καὶ ὁ μισθὸς τοῦ εὐχεροῦς ἔργου, ἐπουράνιος. καὶ πάλιν· ἐφ᾽ ἑνὶ τούτων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε. τὸ μὲν ἐπίταγμα μικρόν· τὸ δὲ τῆς ὑπακοῆς κέρδος, πολύ. ὥστε οὐδὲν ὑπὲρ δύναμιν ἀπαιτεῖ· ἀλλὰ κἂν μικρὸν, κἂν μέγα ποιῇς, ἕπεταί σοι κατὰ τὴν προαίρεσιν ὁ μισθός.

ἐὰν μὲν γὰρ εἰς ὄνομα καὶ φόβον Θεοῦ, λαμπρὰ A καὶ ἀναφαίρετος ἦλθε ἡ δωρεά· ἐὰν δὲ εἰς ἐπίδειξιν, ἄκουσον ὀμνύοντος αὐτοῦ τοῦ κυρίου· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν. ἵνα δὲ μή τις τοῦτο πάθοι, παραγγέλλει τοῖς μαθηταῖς, καὶ δι' ἐκείνων ἡμῖν. Βλέπετε μὴ ποιήσητε τὴν ἐλεημοσύνην ὑμῶν, ἢ τὴν εὐχὴν, ἢ τὴν νηστείαν, ἔμπροσθεν τῶν ἀνθρώπων· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν, τῷ ἐν τοῖς οὐρανοῖς. αὐτῷ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

nam ſi in nomine & timore Dei fiat, illuſtre & quod eripi non poſſit donum venit. ſin autem, ad oſtentationem, audi iurantem ipſum Dominum, Amen dico vobis, receperũt mercedem ſuam, *Matth. 6.* Iam ne quis hoc experiatur, præcipit diſcipulis, & per illos nobis: Videte *Ibidem.* ne eleemoſynam veſtram, aut preces aut ieiunium faciatis coram hominibus: alioquin mercedem non habebitis apud patrem veſtrum, qui in cœlis eſt. Huic gloria in ſæcula, Amen.

B

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΥΣ ἀχθομένους ταῖς ἐπιτιμήσεσι.

ΘΕΙΟΝ ἀληθῶς καὶ ἱερὸν χρῆμα ὁ λόγος Θεοῦ, κτῆμα ἐξαίρετον, οὐκ ἄλλοθεν προσγινόμενον, ἀλλὰ συγκεκραμένον τῇ φύσει, ἀνθρώπῳ δῶρον τιμιώτατον παρὰ τοῦ δημιουργήσαντος εἰς αὐτὸν ἐλθόν. διὸ καὶ καθ' ὁμοίωσιν Θεοῦ γεγενῆσθαι λέγεται. τούτῳ C γοῦν ἔχει καὶ πρὸς τὰ ἄλλα ζῷα τὴν διαφορὰν, καὶ τῷ θεοειδεῖ πλεονεκτήματι ἰδιαζόντως χαρακτηρίζεται, σφόδρα τοῖς ἄλλοις πολλὴν ἔχων τὴν κοινωνίαν πρὸς τὰ βοσκήματα· ὀφθαλμῶν γὰρ τύπος, καὶ σαρκῶν διάπλασις, τῶν τε ἐπὶ τῆς ἐπιφανείας, καὶ τῶν ἐν γαστρὶ κρυπτομένων, οὐ σεμνύνει τὸν ἄνθρωπον· ἐπεὶ καὶ ἐν χερσαίοις, καὶ ἐνύδροις, καὶ πτηνοῖς, καὶ πᾶσιν ἁπλῶς ζῴοις τὴν ἐκείνων μετουσίαν βλέπεται. τοῦτο δὲ ἡγεμόνα τῶν πάντων ποιεῖ, καὶ μα- D κάριον ἀποδείκνυσιν. ὅπερ Θεὸς ἔχων πλουσίως ὀλίγον ἡμῖν ἐχαρίσατο, ἵνα πρῶτον ἐκεῖνον βλέπωμεν, καὶ γνωρίζωμεν λόγον τοῦ λόγου δοτῆρα, καὶ λατρεύωμεν τῷ οὕτως ἡμᾶς καλῶς τῇ ἰδίᾳ κατακοσμήσαντι χάριτι. διὰ λόγου ἰσχύομεν τῶν ἰσχυρῶν πλέον ἀσθενεῖς ὄντες τὸ σῶμα, καὶ πάντα δουλούμεθα, καὶ ταῖς ἡμετέραις ὑπηρετεῖσθαι χρείαις κελεύομεν. οὕτω ταύρους δαμάζομεν καὶ ὑπάγομεν τῷ ζυγῷ, καὶ γῆν ἀρότροις ἀνατέμνειν παρασκευάζομεν, καὶ ἵππον ταχὺν τοῖς ψαλίοις κατάγχοντες ἔχομεν εὐπειθῆ, καὶ τὸν βραδὺν ὄνον τοῖς ῥοπάλοις ἐπείγοντες ποιοῦμεν ὀξύτερον, καὶ τὰς σκληρὰς

EIVSDEM ADVERSVS EOS QVI CASTIGATIONES ægre ferunt.

SERMO Dei ac ratio verè diuina res eſt & ſacra, eximia poſſeſſio, non aliunde adnata, ſed cum natura commixta homini munus precioſiſſimum ab opifice in eum deſcendens, itaque & ad ſimilitudinem Dei fieri dicitur. Etenim hoc etiam ab aliis animantibus differt, & diuina quadam prærogatiua peculiariter inſignitur, valde alioqui aliis in rebus magna cum pecudibus communicatione præditus. nam oculorum figura, & corporis compoſitio, eorúmque & quæ ad cutem extant, & in ventre latitant, hominem non nobilitant: quandoquidem & terreſtres, & aquatiles, & volucres, & omnes denique animantes illorum participes cernantur. hoc verò principem omnium facit, & beatiſſimum demonſtrat: quo copioſè Deus ditatus eius paulum nobis impertiuit, in primis vt illum intueamur, & agnoſcamus ſermonẽ ſermonis ac rationis largitorem, & religioſè ſeruiamus ei qui tam bene nos ſua ipſius gratia exornauerit. Sermone rationéque nos longe corpore imbecilliores, fortiores fortioribus exiſtimus, & omnia ſeruituti mancipamus, ac vſui noſtro iubemus obſecundare. ita tauros domamus, & iugo ſubijcimus, terrámque aratris proſcindere apparamus, ac celerem equum frenis comprimentes obedientem habemus, & tardum aſinum fuſtibus compellentes facimus celeriorem, duráſque

mulas vehicula trahere oneráque baiulare cogimus: elephantorum verò effuſam corporis molem, ac camelorum magnitudinem ad id quod placet facili arte traducimus. Hinc etiam maris profundum traijcimus, & exiguo ligno ratione gubernante pelagus immenſum luſtramus, & cum itineris illius indicibus amotis è conſpectu terræ abijmus, cœleſtibus ſignis tuto proficiſmur, ac nauta ea duce iter facit, vt ſtella Magi ducebantur. Cœli autem latitudines & conformationes repertæ ſunt, & ſtellarum multitudo, & qua quæque ſit magnitudine, quoque interuallo, itémque lunæ figura, & quid Soli accidat, quòd certis quibuſdam temporibus radium abſcondat. iam verò de terra quoque commota philoſophamur, quíque fiat vt naturalibus ſoluta firmamentis ipſaque ſubſiliat, & incolas quæque adiacent concutiat. ex ſignis obſeruatis & æſtus perſpicimus, & imbres futuros prędicimus. præterea ad ea quæ terra parit rationem admouentes, naturas herbarum perquirimus, & hanc faucio ſalutarem decernimus, alteram ſomno non dormienti conciliando idoneam, aliam iecinori ſanando, & aliam lienis tumoribus comprimendis. Omitto ſcientias, artes relinquo, tum neceſſarias, tum quæ ad delicias omnigenas attinent, varium quoq. ſtudiorũ orbem. Cæterùm tale animal, ſapiens, ad agendum idoneum, laborioſum, memoria valens, quódq; quod hic & quæ alibi ſunt cernit, quia variis voluptatibus ac diuerſis affectibus circumagitur, vnius rei penuria laborat, veræ viuendi rationis, & ſuæ ipſius ſalutis. atque qui aëris commutationes intueris, reſurrectionem non vides: qui annorum conuerſiones noſti, vitæ mutationem non cernis: qui à famulo tuo adminiſtrati rationem exigis, iudicis & Domini poteſtatem contemnis. Hæc eius non ſunt qui ratione præditus eſt, ſed eius qui rationem in inſaniam conuertit. iuſtitiam nõ meditaris, virtutem addiſcis, precationem negligis: cuius rei heſternus indicio dies eſt. quibus enim oculis diem dominicum intueris, qui ſabbatum dedecoraſti? an hos neſcis dies germanos eſſe? ac ſi in alterum iniurius ſis, te in alterum impingere? Tu mentis & rationis compos non pro-

A ἡμιόνοις ὀχήματα ἕλκειν καὶ ἀχθοφορεῖν ἀναγκάζομεν· ἐλεφάντων δὲ τὴν ἐκκεχυμένην πολυσαρκίαν, καὶ καμήλων τὸ μέγεθος εὐμηχάνως πρὸς τὸ δοκοῦν μεταχειριζόμεθα. ἐντεῦθεν καὶ βάθος περαιούμεθα, καὶ μικρῷ ξύλῳ διὰ κυβερνητικῆς τὰ ἄφατα τῶν πελαγῶν ἐφοδεύομεν, καὶ τῆς πορείας ἐκείνης οὐκ ἔχοντες σύμβολα, ὅταν γῆν ἀποκρύψωμεν, τοῖς κατ᾽ οὐρανὸν σημείοις ἀσφαλῶς ὁδηγούμεθα, καὶ ὁδηγεῖ τὸν ναύτην ὡς τοὺς μάγους ἀστήρ. οὐρανοῦ δὲ πλάτη καὶ σχήματα ἐξευρέθη καὶ πλῆ-
B θος ἀστέρων, καὶ ὅπως ἕκαστος μεγέθους ἔχει, καὶ διαστήματος, καὶ τῆς σελήνης σημείωσις, καὶ τί πάσχων ὁ ἥλιος κατά τινας χρόνους τὴν ἀκτῖνα καλύπτεται· ἤδη δὲ καὶ κατὰ γῆς κινουμένης φιλοσοφοῦμεν, ὅπως λυομένη τῶν φυσικῶν ἐρεισμάτων αὐτή τε ἀναβράσσεται, καὶ τοὺς ἐποίκους μετὰ τῶν ἐπικειμένων κλονεῖ. συμβόλοις δὲ τοῖς παρατετηρημένοις καὶ αὐχμοὺς προθεωροῦμεν, καὶ ἐπομβρείας προμαντευόμεθα· καὶ τοῖς ἐκ γῆς φυομένοις τὸν λόγον προσάγοντες, τὰς φύσεις τῶν βοτανῶν ἐξετάζομεν, καὶ τὴν μὲν τῷ τραυ-
C ματίᾳ σωτήριον ἀποφαίνομεν, ἄλλην ἐπιτήδειον πρὸς ὕπνον τῷ μὴ καθεύδοντι, ἑτέραν ἥπατος ἰατικήν, καὶ ἄλλην τὰς ἐπαναστάσεις τοῦ σπληνὸς καταστέλλουσαν. ἐῶ τὰς ἐπιστήμας, ἀφίημι τὰς τέχνας, τὰς ἀναγκαίας, τὰς πρὸς τρυφὴν πάσας, τὴν ποικίλην τῶν ἐπιτηδευμάτων περίοδον. τὸ δὲ τοιοῦτον ζῶον, τὸ σοφόν, τὸ πρακτικόν, τὸ δραστήριον, τὸ μνημονικόν, τὸ ἐνταῦθα ὂν καὶ τὰ ἀλλαχοῦ βλέπον, διὰ τὸ ποικίλαις ἡδοναῖς καὶ διαφόροις πάθεσι περιέλκεσθαι, ἑνὸς ὀλιγώρως ἔχει, τῆς ἀληθοῦς ζωῆς καὶ τῆς οἰκείας σωτηρίας.
D καὶ ὁ περιβλέπων τροπὰς ἀέρων, τὴν ἀνάστασιν οὐχ ὁρᾷς, ὁ τὰς μεταβολὰς τῶν ἐνιαυτῶν εἰδώς, τὴν μεταβολὴν οὐ βλέπεις τοῦ βίου. ὁ τὸν ἴδιον δοῦλον ἀπαιτῶν τὰς εὐθύνας ὧν διαπράττεται, τοῦ σοῦ κριτοῦ καὶ κυρίου τῆς ἐξουσίας καταφρονεῖς. ταῦτα οὐκ ἔστι τοῦ λογικοῦ, ἀλλ᾽ εἰς μωρίαν τὸ λογικὸν παρατρέποντος. δικαιοσύνην οὐκ ἀσκεῖς, τὴν ἀρετὴν οὐ μανθάνεις, εὐχῆς ἀμελεῖς. καὶ τοῦτο ἐδήλωσεν ἡ χθιζὴ ἡμέρα. ποίοις γὰρ ὀφθαλμοῖς τὴν κυριακὴν ὁρᾷς, ὁ ἀτιμάσας τὸ σάββατον; ἢ οὐκ οἶδας ὡς ἀδελφαὶ αὗται αἱ ἡμέραι; κἂν εἰς τὴν ἑτέραν ἐξυβρίσῃς, τῇ ἑτέρᾳ προσκρούεις; ἔχων νοῦν καὶ λόγον, οὐ προορᾷς

ρᾷς τὸ πρέπον καὶ συμφέρον· οὐδ᾽ ἐμμελῶς
ποιῇ τὴν σαυτοῦ ἀθανασίας τὴν ἐπιμέλειαν· οὐδὲ
διασκέπτῃ τὴν σαυτοῦ φύσιν ὅς τις εἶ, καὶ τί γε-
νέσθαι δύνασαι· γαστρὶ δὲ καὶ λαγνείαις, καὶ ἀρ-
γίᾳ, καὶ ὕπνῳ τοῦ Θεοῦ καὶ εὐεργέτου προδίδως
τὸ δῶρον, ἵνα σοι ἄχρηστον καὶ ἀνωφελὲς καὶ μά-
ταιον γένηται. αἴσχιστον τοῦτο, καὶ νηπίας φρενός, καὶ
τῆς ἐπαχθοῦς κατηγορίας ἄξιον. ἧττον δ᾽ ἂν ἦν
κακόν, εἰ μὴ νοοῦντες οἴκοθεν καὶ παρ᾽ ἑαυτῶν τὸ
συμφέρον, ἄλλου γοῦν εἰσηγουμένου τὸ χρήσιμον,
ἐπειθόμεθα. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ καὶ
σφόδρα τοῖς διδασκάλοις ἀχθόμεθα. καὶ χαλε-
πῶς αὐτῶν τὴν νουθεσίαν φέρομεν, καὶ ταῖς συμ-
βουλαῖς βαρυνόμεθα. ναυτιῶμεν δὲ πρὸς τὴν
παιδείαν τῶν καλῶν, ὡς οἱ κακόσιτοι τῶν ἀρρώ-
στων πρὸς τὰ ὄψα τὰ παρὰ τῶν ἰατρῶν αὐτοῖς
ὀρεγόμενα. κἂν ἐπίπληξις γένηται, χαλεπαί-
νομεν· κἂν τραχυτέρου ἀκούσωμεν ῥήματος,
δυσανασχετοῦμεν· κἂν ἀποκλεισθῶσιν ἡμῖν ἀ-
φορισμῷ αἱ θύραι τῆς ἐκκλησίας, βλασφημοῦ-
μεν. τοῦτος δὲ οὐκ ἔστι μανθανόντων τρόπος, οὐδὲ
ὑπακοὴ μαθητῶν, ἀλλὰ στασιαστῶν καὶ μαχομέ-
νων φιλονεικία. παιδίου γὰρ τάξιν ὁ μαθητὴς
ἐπέχειν ὀφείλει, ὅς τέχνης ἢ ἐπιστήμης ἐπιθυμοί-
η μιᾶς τῶν ἔξωθεν. ὁ δὲ εὐσέβειαν ἀσκούμενος
μετὰ πλείονος τῆς προσθήκης, εἶναι βρέφος ὀφεί-
λει· ἐπεὶ καὶ ὁ κύριος ἐκείνην τὴν ἡλικίαν ὡς εὐ-
πειθῆ τοῖς παρ᾽ ἑαυτοῦ ἐπαίνοις ἐσέμνυνε. τὸ παι-
δίον τοίνυν οὐκ ἐμβαίνει τοῖς χαρακτῆρσι καὶ
ταῖς γραμμαῖς ἅσπερ ἂν ὁ διδάσκαλος τῷ κη-
ρῷ ἐνσημήνηται· οὐδὲ στοιχεῖα καινοτομεῖ, ὑπ᾽
ἐξουσίας ἐμπλήκτου νεωτερίζον περὶ τὰ γράμ-
ματα, ἀλλὰ πρότερον μὲν τῇ γραφίδι τοῖς τοῦ
διδασκάλου τύποις ἐνασκεῖ τὴν χεῖρα· ὀνόματα δὲ
οὐκ ἄλλα τοῖς στοιχείοις ἐπιλέγει, ἀλλ᾽ ἅπερ ἤκου-
σε· παντὶ δὲ τρόπῳ καὶ λόγῳ καὶ ἔργῳ μιμεῖται
τοῦ καθηγητοῦ τὴν παράδοσιν. ἂν δέ που καὶ ῥα-
θυμήσαν ἀποτυμπανισθῇ τῷ σκύτει, οὐ θρασύ-
νεται τῇ πληγῇ, οὐδὲ τὰς δέλτους τοῦ διδασκάλου
περιρρήξας ἀποφοιτᾷ, ἀλλ᾽ ἐπ᾽ ὀλίγον τῇ ἀλ-
γηδόνι πικρὸν ἐπιστάξας τὸ δάκρυον, ἔχεται τῶν
μαθημάτων. καὶ συντονώτερον περὶ τὴν μελέ-
την, ἀλλ᾽ οὐκ ἀμελέστερον γίνεται. ἄλλοτε πά-
λιν ὀλιγωρήσας ὡς νέος, κελεύεται μένειν ἀπό-
σιτος, καὶ τῷ λιμῷ τὴν ῥαθυμίαν καταδικά-
ζεται. παραμένει δὲ τῷ διδασκαλείῳ καὶ μόνος,

A uides quid deceat & conducat, nec concinne tuæ curam geris immortalitatis, nec tuam interpellas naturam quiſnam ſis, & quid de te fieri poſſit: ſed ventre, libidine, ocio, ac ſomno, Dei & benefactoris donum prodis, vt ſit inutile tibi, incommodum & inane. turpiſſima hæc res eſt, & iuuenilis id eſt ſtulti animi, & graui accuſatione digna. Minus autem malum eſſet, ſi nos intrinſecus & à nobiſipſis quid expediret non intelligentes, cum alius quod vſui ſit adducit, ei crederemus. Id verò non habet ita, ſed etiam valde

B nos magiſtris & doctoribus indignamur, ac eorum admonitionem ægre ferimus, & conſiliis grauamur: nauſeamus verò ad rerum honeſtarum diſciplinam, perinde ac ægroti cibum faſtidientes ad opſonia quæ illis medici exoptant. Ac ſi quis increpet, exacerbamur: ſi aſperius verbum audiamus, indignamur: ſique nobis ad ſeparationem eccleſiæ fores obſerantur, ad conuicia ferimur, ac blaſphemamus. Ij non ſunt diſcentium mores, neque obedientia diſcipulorum, ſed ſeditioſo-

C rum & pugnacium contentio. Puelli enim vicem diſcipulus ſubire debet, qui artem vel ſcientiam aliquam de externis deſiderauerit. qui verò pietatem meditatur, maiori cum acceſſione infans eſſe debet: prǽſertim cum etiam Dominus illam ætatem veluti ad obediēdum paratam ſuis ipſius laudibus ornauerit. Atqui puellus non inſurgit in characteres & lineamenta quæ præceptor in cera inſcripſerit, neque noua molitur elementa, aliquid noui in literis licentiâ ſtolida attētans, ſed primam graphio in notis præceptoris manum exercet. no-

D mina verò non alia ex elemētis colligit, quàm ea quæ audiuit, ſed omni modo, ratione ac opera magiſtri traditionem imitatur. Quòd ſi, quando negligentius quid egerit, cutis eius verberibus afficiatur, plagis contumax non efficitur, neq; perfractis tabellis à magiſtro abit, ſed aliquandiu dolori amaras inſtillans lachrymas, diſciplinis adhæreſcit, verſatúrque acrior in meditatione, non autem negligentior euadit. Aliâs rurſum ſi tanquam iuuenis ac nouus parum rem curet, à cibis abſtinere iubetur, & famis pœna propter ſocordiam damnatur: permanet verò in ludo etiam ſolus,

aliis ad prandium diſcedentibus pueris, præceptum religioſe obſeruans. Chriſtianus autem non ſic, qui audiuit tamen, Niſi conuertamini, & quaſi puelli fiatis, non intrabitis in regnum cœlorum: ſed ſi quando aſperius ſacerdotem ſpecie ac voce corrigentem erratum perceperit, palàm contrà dicit, & inter dentes murmurat, & circũiens forum ac plateas conuiciatur: etſi ab eccleſia excludatur, orationem contemnit, ſe cùm à populo, tum à myſteriis ſine vlla diſſimulatione abducẽs: aut fortè ne huic quidem ſupplicio addictus, ſe ab eccleſia ſummouet, ira contra epiſcopum cõmotus, ac Deum & dominum auerſatus. Sed eiuſmodi homini dicendum eſt quod Paulo, cùm adhuc Saulus eſſet, dictum eſt, Durum tibi eſt, ô homo, contra ſtimulos calcitrare: ſiue à teipſo Deum dimiſeris, reputato quòd qui à ſole ſeiunctus eſt, in tenebris & caligine vitam degit: ſiue orationibus vt indignus interdictus ſis, per pœnitentiam primum ſtatum reuocato. Nihil falſi aut mendacij ſcriptum eſt in Euangeliis, neque Chriſti prædictio exitum fallacem habet. Per Petrum epiſcopus dedit clauem cœleſtiũ honorum. agnoſce quod ſolutus, ſolutus es, & ligatus vinculis inuiſibilibus conſtrictus es. Si oculi tibi eſſent quibus cerneres animi ſubſtantiam, oſtenderem tibi qui à communione abactus es, ſpeciem condemnati, grauiſſimis vinculis ceruice depreſſi, nullum membrorum liberum aut ſolutum habentis. Atque vtinam cum vita ſupplicium terminaretur: nunc vero ſi quid humanum euenerit, & derepente mors acceſſerit, vt latro de nocte, ſcito tibi occluſa quæ illic ſunt eſſe. Diligentes ſunt & qui non ludant illius regni ianitores. vident animam ſeparationis notas ferentem: quaſi quendam fœtore & ſordibus carceris notatum, abigunt ea ſemita quę ad bona ducit. nõ concedũt vt ordines iuſtorũ cernat, & angelicam lætitiam. miſera verò tum ſuæ ſe temeritatis vehemẽter accuſans, lugénſque, ac plorãs, & gemens in locum quendã triſtem tanquam angulum abiecta permanebit, luctu nũquam finituro, ac inſolabili in æternum pœnas luens. Nolite fieri, inquit, ſicut equus & mulus, quibus non eſt intellectus:

A τῶν ἄλλων παίδων ἀναχωρησάντων ἐπ' ἄριστον, τηρῶν τὸ πρόσταγμα σὺν εὐλαβείᾳ πολλῇ. ὁ Χριστιανὸς δὲ οὐχ οὕτως, ὁ ἀκούσας, ἂν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὅταν αὐστηρότερον ἴδῃ τὸν ἱερέα σχήματι καὶ φωνῇ διορθούμενον τὸ πλημμέλημα, προφανῶς ἀντιλέγει, καὶ ὑπ' ὀδόντα γογγύζει, καὶ περιιὼν τὴν ἀγορὰν καὶ τὰ ἄμφοδα λοιδορεῖται. κἂν τῆς ἐκκλησίας ἀποκλεισθῇ, καταφρονεῖ τῆς εὐχῆς, ἀπαραιτήτως τοῦ λαοῦ καὶ τῶν μυστηρίων ἀποτεμνόμενος· ἢ τυχὸν οὐδὲ ὑποβληθεὶς ταύτῃ τῇ τιμωρίᾳ, ἑαυτὸν τῆς ἐκκλησίας ἀπάγει
B διὰ τὴν ὀργὴν τὴν πρὸς τὸν ἐπίσκοπον, καὶ τὸν Θεὸν καὶ δεσπότην ἀποστρεφόμενος. λεκτέον δὲ τῷ τοιούτῳ τὸ πρὸς Παῦλον λεχθὲν, ἡνίκα ἔτι Σαῦλον ἐτύγχανε, σκληρόν σοι ἄνθρωπε, πρὸς κέντρα λακτίζειν· εἴτε ἀπὸ σαυτοῦ τὸν Θεὸν ἀφῆκας, λόγισαι ὅτι ὁ τοῦ ἡλίου χωριζόμενος, ἐν σκότει καὶ ζόφῳ διάγει τὸν βίον· εἴτε ἀπεβλήθης τῶν εὐχῶν ὡς ἀνάξιος, ἀνακάλεσαι τῇ μετανοίᾳ τὴν προτέραν κατάστασιν. οὐδὲν ψεῦδος ἐν εὐαγγελίοις γέγραπται, οὐδὲ πρόρρησις τοῦ Χριστοῦ ἐσφαλμένην ἔχει τὴν ἔκβασιν. διὰ Πέτρου ἔδωκε τοῖς ἐπισκόποις τὴν κλεῖδα τῶν
C ἐπουρανίων τιμῶν· γίνωσκε ὅτι λυθεὶς λέλυσαι, καὶ δεθεὶς τοῖς ἀοράτοις δεσμοῖς κατασφίγγῃ. εἰ ὀφθαλμοὺς εἶχες πρὸς τὴν οὐσίαν τῆς ψυχῆς, ἔδειξα ἄν σοι τοῦ ἀφωρισμένου σχῆμα κατακεκριμένου, βαρυτάτοις δεσμοῖς τὸν αὐχένα πιεζομένου, οὐδὲν τῶν μελῶν ἐλεύθερον ἢ ἄνετον ἔχοντος. καὶ εἴθε τῷ βίῳ ἡ τιμωρία συνωρίζετο· νυνὶ δὲ ἀνθρώπινόν τι συμβῇ, καὶ ἄφνω παρέλθῃ ἡ τελευτὴ, ὡς κλέπτης ἐν νυκτὶ, γίνωσκε κεκλεῖσθαί σοι τὰ ἐκεῖ. ἐπιμελεῖς εἰσὶ καὶ μὴ παιζό-
D μενοι οἱ τῆς βασιλείας θυρωροί· ὁρῶσι τὴν ψυχὴν τὰ τοῦ ἀφορισμοῦ φέρουσαν σύμβολα. ὥς τινα τοῦ δεσμωτηρίου τῇ κόμῃ καὶ τῷ ῥύπῳ κατηγορούμενον, ἀπελαύνουσιν αὐτὴν τῆς ἐπὶ τὰ καλὰ φερούσης ὁδοῦ. οὐ συγχωρήσουσιν ἰδεῖν τάγματα δικαίων, καὶ ἀγγελικὴν εὐφροσύνην· ἡ δὲ ἀθλία τότε πολλὰ τῆς ἀβουλίας ἑαυτὴν καταμεμφομένη, οἰμώζουσα δὲ καὶ ὀδυρομένη, καὶ στένουσα, καὶ σκυθρωπῷ τινὶ τόπῳ, οἷον γωνίᾳ προσερριμμένη διατελέσει, τὸν ἄληκτον ὀδυρμὸν καὶ ἀπαραμύθητον εἰς αἰῶνας ἐκτίνουσα. μὴ γίνεσθε, φησὶν, ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις.

ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξεις. τὸν σκληρὸν ὁ ψαλμὸς ἀπαλύνων ταῦτά φησι, καὶ οἷον ἐλαίῳ ἐκμαλάσσων ταῖς παραινέσεσι. κάμψον οὖν τὸν αὐχένα, εἶξον ὡς ζυγῷ τοῖς προστάγμασι. τὸ σκληρὸν ἀπορρήγνυται, τὸ εἶκον καὶ καμπτόμενον ὀρθοῦται· καὶ διδάσκει σε τοῦτο καὶ ἐπὶ τοῖς φυτοῖς πεῖρα. μὴ τὸν χαλινὸν ἐνδακὼν ὁρμήσῃς ἐπὶ τὸν κρημνὸν, ἢ τὸ βάραθρον, ἀλλὰ παρακλιθεὶς τὸν αὐχένα τῇ χειρὶ τοῦ ἀναβάτου ἐπὶ τὴν σώζουσαν ὁδὸν κατευθύνθητι. ὅταν ἐπιτιμήσεως δέξῃ, εἰπὲ ἀπὸ εὐλαβοῦς ψυχῆς τὸ Δαβιτικὸν, ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. μὴ ἐπισκοπικῆς αὐθαδείας εἶναι τὸν ἀφορισμὸν νομίσῃς· πατρῷος ὁ νόμος, παλαιὸς τῆς ἐκκλησίας κανὼν ἀπὸ τοῦ νόμου ἀρξάμενος καὶ κρατυνθεὶς ἐν τῇ χάριτι. θεώρησον τὸν ἅγιον Παῦλον δι' ἐπιστολῶν τὰς ἀποφάσεις τοῦ ἀφορισμοῦ κατὰ τῶν ὑπευθύνων ἐκπέμποντα, καὶ τὸν Κορίνθιον νεανίσκον τῷ τοιούτῳ ἰατρεύοντα φαρμάκῳ, τὸν τῇ μητρυιᾷ σατανικῶς ἐπιμανέντα· ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει. μαστιγοῖ δὲ υἱὸν ὃν παραδέχεται. οὐ γάρ εἰσιν αἱ ῥίζαι τῆς παιδείας γλυκεῖαι, ἀλλὰ πικραί· καρπὸν δὲ εἰς ὕστερον βλαστάνουσι κηρίων ἡδύτερον. καὶ διὰ τοῦτο χρεία τῷ μὲν ἀσχολουμένῳ τοῦ μόχθου, τῷ δὲ ἀσκοῦντι καὶ πληγῆς καὶ τραχύτητος· καὶ ἐν μὲν Μωσαϊκῷ νόμῳ αἱ τέσσαρες δεκάδες μέχρι νῦν αἱ νομικαὶ τῶν πληγῶν παραμένουσιν, οὐ τῷ εὐαγγελικῷ δὲ βίῳ. ἐπὶ πάντων ὁ λόγος ἐστὶ, καὶ ἔλεος, καὶ ῥάβδος, καὶ παράκλησις, καὶ πληγή. οὐ γὰρ τύπτομέν σε ὡς οἰκέτην, ἀλλὰ παιδεύομέν σε ὡς ἐλεύθερον. σοὶ γὰρ ἐκ τῆς Σάῤῥας τῆς ἐλευθέρας τὸ γένος, οὐκ ἐκ τῆς Ἄγαρ τῆς δούλης. αἰδούμεθά σε ὡς υἱὸν τῆς ἐλευθέρας, οὐκ ἀτιμάζομεν ὡς γέννημα τῆς παιδίσκης. διὰ τοῦτο ταῖς ἐλευθερίοις ἐπιτιμήσεσι λυποῦμέν σε πλημμελοῦντα, οὐ σῶμα ξαίνοντες, ἀλλὰ ψυχὴν ἀνιῶντες. εἰ δὲ καὶ τούτου φειδόμεθα, πῶς σε παιδεύσομεν; δυσμεταχείριστός ἐστιν ὁ διδασκαλικὸς λόγος, καὶ ἡ ἀγωγὴ τῆς ἀρετῆς, καὶ ποικίλην ἐπιζητεῖ τῆς ἐπιστασίας οἰκονομίαν, τοῖς ὑποκειμένοις ἤθεσιν ἑαυτὴν προσαρμόζουσα. ἔστι τις εὐπειθὴς καὶ τὴν γνώμην εὐάγωγος; τούτῳ ὁ πρᾶος καὶ ἁπαλὸς ἁρμόζει λόγος. ἄλλος σκληρὸς καὶ ἀνάγωγος; μαστίγων χρῄζει.

A in camo & freno maxillas eorum conſtringes. Durum & contumacem Pſalmus emolliens hæc ait, & veluti oleo adhortationibus mitigans. incurua ergo ceruicem : præcepta tanquam iugum ſubi. Quod durum eſt confringitur : quod cedit & flectitur, rectum efficitur. quod te etiam in plantis experientia docet. Ne freno dentibus compreſſo rapiaris in præcipitium, aut barathrum, ſed accommodata manui ſeſſoris ceruice, ad viam quæ te ſeruet recta ducaris. cum increparis, dic animo religioſo Dauiticum illud : B Bonum mihi eſt, quod humiliaueris me, vt diſcam iuſtificationes tuas. Ne ſegregationem arbitreris eſſe ab epiſcoporum audacia profectam. paterna lex eſt, antiqua eccleſiæ regula, quæ à lege traxit originem, & in gratia obtinuit. Contemplare ſanctum illum Paulum per epiſtolas ſeparationis pœnas in obnoxios pronunciandas mandantem, & Corinthium iuuenem eiuſmodi medicamento ſanantem, qui ſatanica rabie percitus, nouercæ ſe cōmiſcuerat. quem enim Dominus diligit, caſtigat. C flagello autem ferit quem ſuſcepit. Non ſunt radices eruditionis dulces, ſed amaræ : fructum autem in poſterum germinãt fauis ſuauiorem: & idcirco labore quidem ei qui exercetur opus eſt: ei autem qui exercet, & verbere, & aſperitate. Ac in lege Moſaica decades quatuor hucuſque plagarum permanent, non autem in euangelica vita : ſiquidem omnium ſermo eſt, miſericordia & virga, adhortatio & plaga. Non enim tibi verbera inferimus vt ſeruo, ſed te caſtigamus vt liberum. tibi enim ex Sarra libera D genus eſt, non ex Agar ſerua. Reueremur te vt liberæ filium, non dedecoramus vt ancillæ progeniem, ob id liberis increpationibus te angimus peccantem, non corpus pungentes, ſed animum crucíantes. Quòd ſi ab hac re abſtineamus, quo te pacto caſtigabimus? docendi ratio eſt tractatu difficilis, inſtitutióque virtutis, ac variam requirit adminiſtrationis diſpenſationem, quæ ſe moribus vt ſeſe offerunt accommodet. Eſt quiſpiam obediens & ad inſtituendum animo facilis? huic lenis & mitis congruit ſermo. alius durus & indocilis? verberibus eget.

A Quid igitur faciemus, cum virgæ non conceduntur? cúmne nulla cura, nulla prouidentia dignabimur? Non ita ſane: ſed cum verbis ad aliam accommodam rei ſubiectæ formam concinnè traducemus: ac quemadmodum opſonia condimentorum exiguo additamento ad contrarias qualitates permutantur, ex acri in dulce, & ex dulci in acre conuerſa: ita & noſter ſermo figurarum adiectione ad varios vſus transformatur, vt quod cuiuſque educationi congruit intelligatur. Ne igitur in angulis de me obloquaris, aſperum nominans docen-

B di genus, neque cùm tuorum ſcelerum participibus communes mei reprehenſiones faciens, aſſideas epiſcopum cum vanitatis conſeſſu iudicans. Equidem non ægre feram quaſi animo nouum quid paſſus, ſi è diſcipulis meis contumaciores indignētur. eſt enim ea hominum peculiaris quædam affectio, quæ ab initio ad finem vſque vitam comitatur: ac qui aliis imperat, parentibus in totum is moleſtus & grauis eſt, imo etiam ſceleratis & iniquis odioſus. quiſquis enim peccatum prohibet, ægritudinem parit. Ac me id prēter eas res quę

C extrinſecus occurrunt, ſatis hiſtoria Eccleſiaſtica docet. Quis Moſe paſtor præſtantior? quis princeps ita moderatus ac lenis? qui omnia in populi gratiā factus, nutritor, imperator, ſacerdos, verus pater, in bello ſeruans, in deſerto nuſquam aut ſata, aut aratro culta bona ſuppeditans, ius apte dicens, ſine errore dux viæ: & tandem tamen ſeditionibus vt iniurius agitatus eſt, conuinciis vt lædens petitus, vt latrones & fraudatores murmure turbatus, maledictis vt imperitus imperator ac malus præfectus laceſſitus, periclitatus etiam eſt ne ipſo

D fungendi ſacerdotij officio priuaretur, quādo Dathan & Abiron filiíque Core ſeditioſam ſecum plebem vnà rupto fœdere ex populo abducentes, profani ſe ſacerdotes ſanctorum magno conatu eſſe contenderunt, ac fœminas qui ſuffirent elegerunt: & nō multo poſt ſancta attigerunt, ignémque myſticum accenderunt, quod ante incenſum ſuffientes exuſſit. Vſqueadeo populi præfectura docendíque munus res eſt offendiculis obnoxia, vt Moſi ne fratres quidem pepercerint: quin & Maria obloquebatur, & Aaron conuiciabatur:

A τί οὖν ποιήσομεν, ἐπειδὰν ῥάβδοις οὐ μεταχειριζόμεθα; καταλείψομεν αὐτὸν ἀπερίοπτον; οὐχ οὕτως. ἀλλὰ τὸν αὐτὸν λόγον μεταρρυθμίσομεν εἰς ἄλλο σχῆμα τῇ ὑποκειμένῃ χρείᾳ κατάλληλον· καὶ ὥσπερ τὰ ὄψα τῇ μικρᾷ προσθέσει τῶν ἀρτυμάτων πρὸς τὰς ἐναντίας ποιότητας διαμείβεται, ἀπὸ τοῦ στρύφοντος εἰς τὸ γλυκὺ, καὶ ἀπὸ τοῦ γλυκέος εἰς τὸ στρυφνὸν μεταβαλλόμενα· οὕτως καὶ ὁ ἡμέτερος λόγος τῇ προσθήκῃ τῶν σχημάτων πρὸς διαφόρους χρείας μετατυποῦται, ἵν' ἐπινοηθῇ ἑκάστου τὸ πρόσφορον. μὴ οὖν ἐν ταῖς γωνίαις μου καταλάλει, τραχὺ

B ὀνομάζων τὸ διδασκαλικὸν, μηδὲ τοὺς κοινωνοὺς τῶν ἁμαρτημάτων κοινωνοὺς τῶν κατ' ἐμοῦ ποιούμενος μέμψεων, καθέζῃ κρίνων ἐπίσκοπον μετὰ τοῦ συνεδρίου τῆς ματαιότητος. ἐγὼ δὲ οὐ παραδεχθήσομαι τὴν ψυχὴν καινόν τι πάσχων, εἰ ἄχθονταί μου τῶν μαθητῶν οἱ σκληρότεροι. πάθος γάρ ἐστι τοῦτο ἀνθρώπινον ἐξ ἀρχῆς εἰς τέλος τῷ βίῳ παρακόλουθον· καὶ βαρὺς μὲν ὁ ἄρχων ὡς ἐπὶ πολὺ τοῖς ἀρχομένοις· τοῖς δὲ μιαροῖς καὶ παρανόμοις καὶ μίσους ἄξιος.

C λυπεῖ γὰρ τὴν ἁμαρτίαν κωλύων· καὶ μετὰ τοῦτο μετὰ τῶν ἔξωθεν πραγμάτων ἱκανῶς καὶ ἡ ἐκκλησιαστικὴ ἱστορία διδάσκει. τίς κρείττων ποιμὴν Μωσέως, τίς δὲ ἄρχων ἐμμελὴς οὕτως καὶ ἤπιος· πάντα γινόμενος τῷ λαῷ, τροφεὺς, στρατηγὸς, ἱερεὺς, αὐτοπατὴρ, ἐν πολέμοις σώζων, ἐν ἐρήμῳ ἄσπαρτα καὶ ἀνήροτα χορηγῶν ἀγαθὰ, δικάζων ἐμμελῶς, ἀπλανῶς ὁδηγῶν· καί ποτε ἐπὶ τούτων κατεστασιάσθη ὡς ἀδικῶν, ὑβρίσθη ὡς βλάπτων, κατεγογγύσθη ὡς οἱ κλέπτοντες καὶ νοσφιζόμενοι, ἐβλασφημήθη ὡς ἀνεπιστήμων στρατηγὸς καὶ προστάτης οὐκ ἀγα-

D θὸς, ἐκινδύνευσε καὶ αὐτῆς τῆς ἱερωσύνης ἀπελαθῆναι, ἡνίκα Δαθὰν καὶ Ἀβειρὼν καὶ υἱοὶ Κορὲ δῆμον στασιώδη μεθ' ἑαυτῶν τοῦ λαοῦ ἀπορρήξαντες, βέβηλοι τῶν ἁγίων ἱερεῖς ἐφιλονείκουν εἶναι, καὶ τὰς θυμιατρίδας μετεχειρίζοντο, καὶ ὅσων οὐδέπω τῶν ἁγίων ἥπτοντο, καὶ τὸ πῦρ αὐτόματον τὸ μυστικὸν, ὃ παρὰ τῶν θυμιαμάτων τοὺς θυμιατὰς κατέφλεξε. καὶ τοσοῦτόν γε ἐστὶν εὐπρόσκρουστον προστασία λαοῦ καὶ τὸ διδασκαλικὸν ἐπιτήδευμα, ὥστε οὐδὲ οἱ ἀδελφοὶ τοῦ Μωϋσέως ἐφείσαντο, ἀλλὰ καὶ Μαρία κατελάλει, καὶ Ἀαρὼν ἐλοιδόρει,

καὶ τὸ φορτικὸν τῆς ἀρχῆς τὴν φυσικὴν παρώξυνεν εὔνοιαν, καὶ τοὺς οἰκειοτάτους τῷ πολυμόχθῳ ἀνδρὶ ἐπανέστησεν· ἀλλ' οὐδὲν περὶ τοῦτο. ὁ μὲν γὰρ ἦν Μωϋσῆς, καὶ οὐδὲν ἑαυτοῦ χείρων ἐγένετο. οἱ δὲ τῶν εἰς τὸν ἡγεμόνα πλημμελημάτων παρὰ Θεοῦ τὰς δίκας καὶ ἀπῃτήθησαν, καὶ ἀπέτισαν. τί οἱ μετὰ τοῦτον. οὐχ Ἡσαΐας τὴν εὐσέβειαν διδάσκων ἐπρίσθη; οὐκ Ἱερεμίας τὴν εἰδωλολατρείαν ἀποκηρύττων καταβοήθη, καὶ λάκκοι αὐτὸν καὶ τιμωρίαι καταρρακτῶν ἐδέξαντο; οὐ Ζαχαρίας μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου ἐπολεμήθη καὶ ἐφονεύθη; ὁ κύριος ἡμῶν ὁ αὐτὸς, οὐ περὶ τῶν προβάτων ὁ ποιμὴν ἐσφάγη; οὐ περὶ τῶν παιδευομένων μισηθεὶς ἐσταυρώθη; τί Παῦλον τῆς κεφαλῆς ἀπέτεμε· τί Πέτρον ἐπὶ τὸν σταυρὸν ὕψωσε· τί τοὺς καθ' ἕκαστον τῶν μαθητῶν ταῖς ποικίλαις τιμωρίαις παρέδωκεν; οὐ τὸ κωλύειν τὴν ἁμαρτίαν, καὶ παιδεύειν δικαιοσύνην; ἀεὶ γὰρ ἐχθροὶ τῶν ἐλεγχομένων μαθητῶν οἱ τῆς ἀληθείας φίλοι τε καὶ διδάσκαλοι. ἡμεῖς δὲ οὐδέπω ὑπὲρ τῆς ἀληθείας ἐρραπίσθημεν, οὐδέπω τῷ σωματὶ τὸν κίνδυνον ἐδεξάμεθα. καὶ τί μέγα εἰ γογγυσθῶμεν οἱ τοῦ σταυρωθέντος διάκονοι; ὡς πατὴρ ἢ μήτηρ δέχομαί σου τὰς σκιρτήσεις καὶ τοὺς παροξυσμούς.

A ac imperij onus importunum naturalem concitauit beneuolentiam, & amiciſſimos quoſque viro laborioſo vt inſurgerent fecit. Verum nihil ad hoc ille: ſiquidem erat perpetuò Moyſes, & nihil ſeipſo deterior euadebat. Ab illis verò peccatorum in ducem Deus pœnas exegit, quas luerunt. Quid qui poſt eum præfuerunt? nónne religionem docens Eſaias ſerra diſſectus eſt? nónne Hieremias contra cultum idolorum concionans clamore fatigatus eſt, & lacus eum & catarractarum ſupplicia exceperunt? Num Zacharias in-
B ter templum & altare bello petitus eſt & trucidatus? Dominus quoque noſter ipſe nónne pro ouibus paſtor occiſus eſt? nónne pro iis quos erudiebat, odio habitus cruci ſuffixus eſt? Quid Paulo caput abſcidit? quid Petrum ad crucem ſuſtulit? quid ſingulos diſcipulos variis tormentis tradidit? nónne quod prohiberent peccatum, & docerēt iuſtitiam? Semper enim diſcipulis quos reprehendunt, inuiſi ſunt veritatis amatores & magiſtri. Nos autem nondum veritatis nomine colaphum vllum paſſi ſumus,
C neque adhuc corporis periculum ſubiimus. ac quid magni murmuremus, qui crucifixi miniſtri ſumus? Veluti pater aut mater tuas inſolentias exacerbationéſque amplector.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ πρὸ ὥρας ἀφαρπαζομένων νηπίων, πρὸς Ἱέριον.

Σοὶ μὲν ὦ ἄριστε, πάντες σοφισταί τε καὶ λογογράφοι τὴν τοῦ λέγειν πάντως ἐπιδείξονται δύναμιν, ἐν τινι σταδίῳ τῷ πλάτει τῶν σῶν θαυμάτων ἐνδιαθέοντες. καὶ γὰρ πῶς οὐδὲν μεγαλοφωνότερον ποιεῖ τὸν λόγον γόνιμά τις καὶ ἀμφιλαφὴς προτεθεῖσα τοῖς δυναμένοις ὑπόθεσις, περὶ ἣν ὑψοῦται ὁ λόγος, τοῖς μεγέθεσι τῶν πραγμάτων συνεπαιρόμενος, ἡμεῖς δὲ κατὰ τοὺς γεραιοὺς τῶν ἵππων ἔξω τοῦ σταδίου τῆς ὑποθέσεως μένοντες τὸ οὖς μόνον ταῖς ἐπὶ σοὶ τῶν λόγων ἁμίλλαις ἐνωτιασόμεθα, εἴπου τις καὶ μέχρις ἡμῶν φθάσειεν ἦχος. τῶν

EIVSDEM DE INFANTIBVS, qui præmature arripiuntur, ad Hierium.

Laurentio Sifano interprete.

D DICENDI quidem vim, qua quiſq; prędituſ fuerit, oēs & oratores & rerū ſcriptores haud difficulter tibi, ô vir optime, veluti in ſtadio quodā per amplitudinē miraculorū tuorū diſcurrentes vtique demonſtrabūt. (Etenim præclarū & egregium copioſumq. dicēdi peritis propoſitū argumētum erigere,& vna cum magnitudine rerū quaſi in altū tollere, & magis quodāmodo grandiloquā atq. ſonoram efficere ſolet orationem.) Nos verò tanquā equi veluti extra ſtadiū argumenti manētes, aurē duntaxat iis, quæ propter te fiant, orationū certaminib. præbebimus, ſi fortè etiā ad nos vſq; vehementi

impetu & incitato curru per tua miracula agitans orationẽ aliquis ſonus peruenire poſſit. Sed quoniam accidit, vt etiam ſi propter ſenectutem extra certamina maneat equus, ſæpe tamẽ fremitu pulſúque ac ſonitu laſciuientium inſultantiúmq; ad alacritatem erectus & caput tollat, & veluti in certamine verſãs, tum ardorẽ in oculis, tum in ſpiritu flatuque animos oſtentet, & crebro motu pedum vngulas identidem ſolo illidat, cui ſola alacritas ad certamina adeſt, facultas autem currendi ante lapſo tempore abſumpta eſt: eodem modo noſtra quoque oratio propter ſenectutẽ extra certamina manens, ſtadio cedens eruditione florẽtibus, ſolam tibi alacritatem & voluntatem in gratiam tuam certãdi oſtendit, ſiquidẽ ita floreret, vt qui nunc eloquentia vigent. Sed quam oſtendo, prompta voluntas & animi propenſio, non eò pertinet, vt ex tuis rebus aliquid exponere velim. (id enim vehemens, copioſáq; & elaborata vix aſſequatur oratio, quin multa non aſſequatur, quę pro dignitate rei nõ tractet, quæ immenſam & omni imitatione ſuperiorẽ hanc morum & ingenij concordãtiam & conſonantiam ex cõtrariis rebus compoſitam & contemperatam ſuſceperit explicandam. quo pacto, ſicut palpebrarum prominẽtibus pilis, quaſi vallo obiecto, puritatem & vehementiam radiorum natura obumbrans & frangens, tẽperatum ac dilutũ ſplendorem oculis infert, quo placidus ſol pro eo modo, quem vſus poſcit, cum vmbra quam palpebræ faciunt, cõtemperatus exiſtat: ita morum grauitas atque maieſtas cum moderata animi demiſſione cõmixta, non auertat oculos intuentium, ſed iucundum efficiat obtutum, vt neque grauitatis ac ſeueritatis ſplendor obſcuretur, neque latens in animo vis propter humilitatem deſpiciatur, ſed alterũ ęqualiter in vtroque, tum in celſitudine ac ſublimitate comitas & humanitas, tũ in humilitate vice verſa grauitas & ſeueritas animaduertatur?) Alius hæc exponat, & animũ iſtum compluribus oculis inſignitum, laudibus proſequatur: forſitan enim pilos capitis numero æquant animi oculi vndique pariter & ex æquo certum & acutum cernentes, vt & ex longinquo proſpiciant: nihilque fugiat ac lateas eos ex propinquo, nec experientiam vtilitatis & commodi magiſtram expectent,

A σφοδρῷ τε καὶ συντεταμένῳ τῷ δρόμῳ διὰ τῶν σῶν θαυμάτων τὸν λόγον ἐλαυνόντων. ἐπεὶ δὲ συμβαίνει κἂν ὑπογήρως ἔξω μένῃ τῶν ἀγώνων ὁ ἵππος, πολλάκις αὐτὸν τῷ κτύπῳ τῶν καταχροαινόντων εἰς προθυμίαν διεγειρόμενον, τήν τε κεφαλὴν αἴρειν, καὶ ὀρθὸν ἐναγώνιον, πνέειν τὸ θυμῶδες καὶ ὑποκινεῖν τοὺς πόδας πυκνῶς τῷ ἐδάφει ταῖς ὁπλαῖς ἐπανασείοντα, ᾧ προθυμία μόνη πρὸς τοὺς ἀγῶνας ἐστίν· ἡ δὲ τοῦ τρέχειν δύναμις προανηλώθη τῷ χρόνῳ. τὸν αὐτὸν τρόπον καὶ ὁ ἡμέτερος λόγος ἐξαγώνιος μένων διὰ τὸ γῆρας, καὶ παραχωρῶν τοῦ
B σταδίου τοῖς ἀκμαίοις κατὰ τὴν παίδευσιν, μόνην σοι δείκνυσι τὴν προθυμίαν τοῦ ἐθέλειν ἂν καὶ ἐπὶ σοῦ ἀγωνίσασθαι· εἴπερ ἥβωσιν οἱ κατὰ τοὺς νῦν τοῖς λόγοις ἀκμάζοντες. ὅσον δέ μοι τῆς προθυμίας ἐστὶν ἡ ἐπίδειξις, οὐκ ἐν τῷ διηγεῖσθαι τι τῶν σῶν. τοῦτο γὰρ μόγις ἂν ὁ σφριγῶν τε καὶ συντεταμένος τύχοι λόγος, ὡς μὴ πολὺ κατόπιν τῆς ἀξίας ἀπολειφθῆναι ὁ τὴν ἀμήχανον ταύτην ἁρμονίαν τοῦ ἤθους διερμηνεύων ἐκ τῶν ἐναντίων συγκεκραμένην. πῶς καθάπερ ταῖς τῶν βλεφάρων προβολαῖς τὸ τῶν ἀκτί-
C νων ἄκρατον ἡ φύσις ἐπισκιάζουσα, κεκραμένον προσάγει τὸ φέγγος τοῖς ὄμμασιν, ὡς ἂν προσηνὴς ὁ ἥλιος γένοιτο πρὸς τὴν ἐκ τῶν βλεφάρων σκιὰν συμμέτρως τῇ χρείᾳ κατακιρνάμενος· οὕτως τὸ σεμνόν τε καὶ μεγαλοφυὲς τοῦ ἤθους τῇ ἐμμέτρῳ ταπεινοφροσύνῃ καταμιγνύμενον, οὐκ ἀποστρέφει τὰς ὄψεις τῶν προσορώντων, ἀλλὰ δι' ἡδονῆς βλέπειν παρασκευάζει, ὡς μήτε τῆς σεμνότητος τὴν μαρμαρυγὴν ἀμαυροῦσθαι, μήτε διὰ ταπεινότητος καταφρονεῖσθαι τὸ ἐνδιάθετον· ἀλλὰ τὸ ἴσον ἐν ἑκατέρῳ θεωρεῖσθαι τὸ ἕτερον. ἔν τε τῷ ὑψηλῷ
D τὴν χρηστότητα, καὶ ἐν τῷ ταπεινῷ τὸ ἔμπαλιν τὴν σεμνότητα; ἄλλος ταῦτα διεξεργάσθω, καὶ τὸ πολυόμματον τῆς ψυχῆς ὑμνείτω· ἰσάριθμοι ταῖς θριξὶ τάχα τῆς κεφαλῆς, οἱ τῆς ψυχῆς ὀφθαλμοὶ πανταχόθεν ἐπίσης ὀξύ τι καὶ ἀπλανὲς δεδορκότες, ὥστε πόρρωθέν τε προϊδεῖν· καὶ μὴ ἀγνοεῖν ἐκ τοῦ συνεγγύς, μηδὲ τὴν πεῖραν ἀναμένειν τοῦ λυσιτελοῦντος διδάσκαλον,

ἀλλὰ τὸ μὲν τοῖς τῶν ἐλπίδων ὀφθαλμοῖς προορᾷν· τὸ δὲ θεωρεῖν διὰ τῆς μνήμης· ἄλλο τι δὲ κατὰ τὸ ἐνεστὼς ἐν κύκλῳ περιαθρεῖν. πάντα δὲ κατὰ ταὐτὸν ἐνεργεῖν ἀσυγχύτως πάσαις ταῖς τοιαύταις ἐνεργείαις, τὸν νοῦν καταλλήλως ἐπιμερίζοντα· τό τε σεμνὸν τῆς πενίας πλοῦτον θαυμαζέτω πάλιν ἐκεῖνος, εἴ τις ἐστὶν ἐν τῷ καθ' ἡμᾶς βίῳ εἰδὼς τὸ τοιοῦτον ἐν ἐπαίνῳ ποιεῖσθαι καὶ θαύματι. τάχα δὲ εἰ καὶ μὴ πρότερον ἦν, ἀλλὰ νῦν διὰ σὲ καὶ πενίας αὐξήσει πόθος, καὶ παρὰ τὴν πολυταλάντων τοῦ χρυσοῦ πλίνθων, ἡ σὴ πλινθότης μακαρισθήσεται. τίνα γὰρ μακαριστὸν οὕτως ἀπέδειξε γῆ τε καὶ θάλασσα, ταῖς ἰδίαις ἑκάτερα προσόδοις δεξιουμένη, ἢ ὡς τὸν σὸν βίον ἡ πρὸς τὴν ὑλικὴν περιουσίαν ἀποδιάθεσις; ὡς γὰρ οἱ τοῦ σιδήρου τὸν ἰὸν ἀποξέοντες, στιλπνὸν αὐτὸν καὶ ἀργυροειδῆ κατεργάζονται, οὕτως σοι φανερωτέρα γέγονεν ἡ τοῦ βίου ἀκτὶς, ἀεὶ δι' ἐπιμελείας τοῦ ἰοῦ τῶν χρημάτων καθαιρομένη. καὶ ταῦτα παρείσθω τοῖς εἰπεῖν δυναμένοις, καὶ ὅτι καλῶς ἐπίστασαι ἐν τισὶν ἐστὶ τὸ λαβεῖν τοῦ καθαρεῦσαι λήμματος ἐνδοξότερον. ἔξεστι γάρ μοι μετὰ παρρησίας εἰπεῖν· ὅτι οὐ πάντων ὑπερορᾷς τῶν λημμάτων, ἀλλ' ὧν οὔπω τις ἅψασθαι τῶν προλαβόντων δεδύνηται, μόνος περιδράξω διπλῇ τῇ χειρί. ἀντὶ γὰρ ἐσθῆτος τινὸς ἢ ἀνδραπόδων ἢ χρημάτων, αὐτὰς τῶν ἀνθρώπων τὰς ψυχὰς λαβὼν ἔχεις, τῷ θησαυρῷ τῆς ἀγάπης ἐναποθέμενος. ταῦτα λογογράφοι καὶ σοφισταὶ διεξίτωσαν, οἷς κόσμος καλῶς τὰ τοιαῦτα γράφειν· ὁ δὲ γήρειος ἡμῶν λόγος τοσοῦτον ἑαυτὸν ὑποκινείτω, ὅσον βάδην ἐπεξελθεῖν τῷ προτεθέντι ἡμῖν παρὰ τῆς σῆς σοφίας προβλήματι· τί χρὴ γινώσκειν περὶ τῶν πρὸ ὥρας ἀναρπαζομένων, ἐφ' ὧν μικροῦ δεῖν ἡ γένεσις τῷ θανάτῳ συνάπτεται· καὶ ὁ σοφὸς ἐν τοῖς ἔξω Πλάτων πολλὰ ἐκ προσώπου ἀναβεβιωκότος περὶ τῶν ἐκεῖθεν δικαστηρίων φιλοσοφήσας, ἀφῆκεν ἀπόρρητα, ὡς κρείττονα ὄντα δηλαδὴ, ἢ ὥστε ὑπὸ λογισμὸν ἀνθρώπινον ἥκειν. εἰ μὲν οὖν τι τοιοῦτον ἐν τοῖς ἐξητασμένοις ἐστὶν, ὡς λύειν τὰς τοῦ προβλήματος ἀμφιβολίας,

A ſed aliud quidem oculis ſpei prouideāt, aliud verò per memoriam cernāt: aliud item in præſentia vndique circumque circa animaduertant: omnia verò ſimul & eodem tempore omnibus huiuſmodi actionibus abſque confuſione conuenienter & aptè mens ſeſe diſtribuens accommodánſque efficiat & operetur. Venerandas itē paupertatis diuitias admiretur, ſi quis noſtra ætate eſt qui eiuſmodi rem cum laude & admiratione celebrare ſciat. Ac forſitā etiamſi prius non erat, at nunc propter te paupertatis quoque deſiderium florebit, tuáque te-
B nuitas atq; frugalitas ingentibus Crœſi auri ponderibus beatior habebitur. Quemnā enim vel terra vel mare ambo ſuos prouētus benignè impartientes ita beatum redditerūt, vt tuam vitam animus iſte materialiū facultatum & mundanarum opum contemptor? Vt enim illi, qui à ferro rubiginem abſtergunt & abradunt, ſplendidum id & ad argenti decus accedens afficiunt: ita tibi vitę radius, dū ſemper à rubigine pecuniarum diligenter expurgatur, clarior euaſit. Hæc quoque eloquentibus ac dicendi
C facultate prēditis relinquantur: & quod pulchrè calles, in quibus rebus ex ſumptione, & acceptione, quàm ex abſtinentia lucri plus laudis ac gloriæ quis ferre poſſit. Liceat enim mihi cum bona venia tua dicere, quod non omnia lucra deſpicis atque cōtemnis: ſed quæ nemo ſuperiorum adhuc attingere & aſſequi potuit, ea ambabus manibus ſolus complexus es. Pro veſte enim aliqua pretioſa, pro mancipiis, pro pecuniis ipſas hominum animas captas, & in dilectionis theſauro depoſitas tenes. Hæc ſcriptores & oratores, quibus huiuſmodi
D res pulchrè deſcribere ornamento eſt, exponant: noſtra autē ſenilis oratio tantùm ſeſe moueat & excitet, vt pedetentim perſequatur à tua ſapientia nobis propoſitam quæſtionem: nempe, quid ſtatuere & iudicare oporteat de iis, qui præmaturè abripiuntur, in quibus natiuitas morti propemodum coniungitur. Quas res etiā ſapiens ille inter externos Plato, cum multa ex perſona eius, qui reuixiſſet, de iudiciis, quæ illic apud inferos exerceantur, philoſophico more diſſeruiſſet, reliquit inexplicatas, vt quæ maiores videlicet eſſent, quàm quæ ſub ratiocinationē & coniecturā humanā cadere poſſent. Si igitur aliquid quidē tale eſt in iis quę perpēdimus atq. ſcrutati ſum⁹, quod ſoluat propoſitæ quęſtionis ambiguitates,

amplecteris & approbabis, nimirum inuentam rationem: ſin minus, ſenectuti prorſus ignoſces, ſolámque animi noſtri propenſionem, qua tibi gratum facere cupimus, approbabis. Etenim Xerxem illum, qui vniuerſam propemodum, quæ ſub ſole eſt, terram vna caſtra fecit, & omnem terrarum orbem ſecum mouit, cum aduerſus Græcos expeditionem fecit, tenet fama, pauperis cuiuſdã munus cum voluptate accepiſſe: Id autem donum aqua erat: eaque non in fictili vaſe ferebatur, ſed in caua manuũ palma continebatur: ſic ergo tu quoque pro ea, qua prædictus es animi magnitudine, prorſus illum imitaberis, cui pro munere voluntas fuit, ſi noſtrum donum & exiguum & aqueum fuerit inuentum. Quemadmodum in cœleſtibus miraculis apparentes pulchritudines ex æquo quidem videt, ſiue eruditus, ſiue rudis & idiota fuerit, is qui in cœlum ſuſpicit: ſed aliter de illis cogitat is, qui à Philoſophia ad contemplationem earũ venit: aliter item is, qui ſolis ſenſibus id, quod apparet, permittit. Hic enim vel radiis ſolis delectatur, vel pulchritudinem ſiderum miraculo dignam iudicat, vel numerum lunaris curſus in menſe obſeruat. At is, qui animo perſpicax, & per eruditionem ad contemplationem cœleſtium purgatus & excultus eſt, omiſſis his, quibus ratione minus vtentiũ ſenſus delectatur, rerum vniuerſarum harmoniam, hoc eſt, conſentientem & quaſi concinnẽtem conſpirationem, copulationem atque coagmentationem intuetur, & ex circulari atque in orbem redeunte motu eam quæ ex contrariis fit, aptitudinẽ & congruentiam contemplatur: quo pacto orbes interiores reuolutione motúq. contrario, atque inerrantium cœlóque inhærẽtium & infixarũ ſtellarum ambitus rotundus, retrò verſentur atq. ferantur: quomodo ſidera, quæ in iis conſpiciuntur, multiformiter figurẽtur, tum in appropinquationibus, acceſſibus, congreſſibúſve, tum receſſibus, digreſſibus, diſtantiis elongationibúſve, tũ ſubiectionibus atq; defectibus, & obliquis tranſcurſibus indeficientẽ, indeſinentem, ſtabilem perpetuámque illam concordantiam & harmoniã ſemper æqualiter & eodẽ modo efficiẽtia: à quib⁹ ne minimi quidem ſideris ſitus, quẽ non contempletur, prætermittitur: ſed omnia parem curam præbent iis qui per ſapientiã ad ſupera mentem traduxerũt: eodem modo tu quoque,

A δέξῃ δηλαδὴ τὸν εὑρεθέντα λόγον. Εἰ δὲ μή, συγγνώσῃ πάντως τῷ γήρᾳ, μόνην τὴν προθυμίαν ἡμῶν εἰς τὸ χαρίζεσθαί τι σοι τῶν κεχαρισμένων ἀποδεξάμενος. καὶ γὰρ τὸν Ξέρξην ἐκεῖνον τὸν πᾶσαν τὴν ὑφ' ἡλίῳ μικροῦ δεῖν ἓν στρατόπεδον ποιησάμενον καὶ πᾶσαν ἑαυτῷ συγκινοῦντα τὴν οἰκουμένην, ὅτε κατὰ τῶν Ἑλλήνων ἐστράτευσε, μεθ' ἡδονῆς δέξασθαί φησιν ὁ λόγος πένητος τινὸς δῶρον· ὕδωρ δὲ τὸ ξένιον ἦν. καὶ τοῦτο οὐκ ἐν κεραμίῳ φερόμενον, ἀλλ' ἐν τῷ κοίλῳ τῆς τῶν χειρῶν παλάμης περιεχόμενον. οὕτως οὖν καὶ σὺ κατὰ τὴν προσοῦσάν σοι μεγαλοψυχίαν μιμήσῃ πάντως
B ἐκεῖνον, ᾧ δῶρον ἐγένετο ἡ προαίρεσις, εἴπερ ἡμῶν βραχύ τε καὶ ὑδατῶδες εὑρεθείη τὸ δῶρον. ὥσπερ ἐπὶ τῶν οὐρανίων θαυμάτων ὁρᾷ μὲν ἐπίσης τὰ φαινόμενα κάλλη, κἂν πεπαιδευμένος κἂν ἰδιώτης τύχῃ τις ὢν ὁ πρὸς τὸν οὐρανὸν ἀναβλέπων· διανοεῖται δὲ τὰ περὶ αὐτῶν οὐχ ὁμοίως· ὅ τε ἀπὸ φιλοσοφίας ὁρμώμενος, καὶ ὁ μόναις ταῖς αἰσθήσεσι τὸ φαινόμενον ἐπιτρέπων. ἔστι μὲν γὰρ ἢ ταῖς ἀκτῖσιν ἥδεται τοῦ ἡλίου, ἢ τὸ κάλλος τῶν ἄστρων θαύματος ἄξιον κρίνει, ἢ τὸν ἀριθμὸν τοῦ σεληναίου δρόμου ἐπὶ τοῦ μηνὸς παρετήρησεν. ὁ δὲ
C διορατικὸς τὴν ψυχήν, καὶ διὰ παιδεύσεως πρὸς τὴν κατανόησιν τῶν οὐρανίων κεκαθαρμένος, καταλιπὼν ταῦτα δι' ὧν εὐφραίνεται τῶν ἀλογωτέρων ἡ αἴσθησις, πρὸς τὴν τοῦ παντὸς ἁρμονίαν βλέπει, καὶ ἐκ τῆς ἐγκυκλίου κινήσεως τὴν ἐκ τῶν ἐναντίων εὐαρμοστίαν ἐπισκοπεῖ, πῶς τῇ ἀπλανεῖ περιφορᾷ οἱ ἐντὸς κύκλοι πρὸς τὸ ἔμπαλιν ἀνελίσσονται· πῶς τὰ ἐν αὐτοῖς θεωρούμενα τῶν ἄστρων πολυειδῶς σχηματίζεται ἐν προσεγγισμοῖς τε καὶ ἀ-
D ποστάσεσι, καὶ ὑποδρομαῖς τε καὶ ἐκλείψεσι, καὶ ταῖς ἐπὶ τὰ πλάγια παραδρομαῖς, τὴν ἀδιάλειπτον ἐκείνην ἁρμονίαν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐξεργαζόμενα, οἷς οὐδὲ τοῦ βραχυτάτου τῶν ἄστρων ἡ θέσις ἀθεώρητος παρορᾶται· ἀλλὰ πάντα τὴν ἴσην παρέχει φροντίδα τοῖς διὰ τῆς σοφίας ἐπὶ τὰ ἄνω τὸν νοῦν μετοικίσασιν, τὸν αὐτὸν τρόπον καὶ σύ,

ὦ τιμία μοι κεφαλή, τὴν ἐν τοῖς οὖσι τοῦ Θεοῦ A οἰκονομίαν βλέπων ἀφεὶς ἐκεῖνα περὶ ἃ τῶν πολλῶν ἄσχολός ἐστιν ἡ διάνοια, πλοῦτον λέγω καὶ τῦφον, καὶ δόξης ἐπιθυμίαν κενῆς, ἅπερ αὐτίκρυς ἀκτίνων δίκην περιαστράπτοντα τοὺς ἀλογωτέρους ἐκπλήττειν εἰώθει· οὐδὲ τὰ δοκοῦντα μικρότερα τῶν ἐν τοῖς οὖσι θεωρουμένων ἀνεξέταστα καταλείπεις, ἀνερευνῶν τι καὶ διασκοπούμενος τὴν ἀνωμαλίαν τῆς ἀνθρωπίνης ζωῆς· οὐ μόνον τὴν κατὰ πλοῦτον καὶ πενίαν θεωρουμένην, ἢ τὴν κατὰ τὰ ἀξιώματα καὶ τὰ γένη διαφορᾶς· οἶδας γὰρ ὅτι οὐδενός ἐστι ταῦτα· οἷς τὸ εἶναι οὐ καθ' ὑπόστασιν οἰκείαν B ἐστίν, ἀλλ' ἐν τῇ ματαίᾳ ὑπολήψει τῶν τοῖς μὴ οὖσιν ὡς ὑφεστῶσι προσκεχηνότων. εἰ οὖν τις ἀφέλοιτο τοῦ λαμπρυνομένου τῇ δόξῃ τῶν εἰς αὐτὰ βλεπόντων τὴν ὑπόνοιαν, οὐδὲν ὑπολειφθήσεται τῷ μεγαλοφρονοῦντι ἐπὶ τῷ διακένῳ φυσήματι, κἂν πᾶσα τῶν χρημάτων ἡ ὕλη παρ' αὐτῷ κατορωρυγμένη τύχῃ. ἀλλά σοι διὰ φροντίδος ἐστὶ γνῶναι τά τε ἄλλα τῆς θείας οἰκονομίας πρὸς ὅ,τι τῶν γινομένων ἕκαστον βλέπει, καὶ τίνος χάριν τοῖς μὲν εἰς γῆρας μακρὸν παρατείνεται ἡ ζωή, ὁ δὲ τοσοῦτον μετέχει τοῦ C ζῆν, ὅσον δι' ἀναπνοῆς τὸν ἀέρα σπάσαι, καὶ εὐθὺς καταλῆξαι τὸν βίον. εἰ γὰρ οὐδὲν ἀθεεὶ τῶν ἐν κόσμῳ ἐστί, πάντα δὲ τῆς θείας ἐξήρτηται βουλήσεως, σοφὸν δὲ καὶ προνοητικὸν τὸ θεῖον, πάντως τις ἔπεστι καὶ τούτοις λόγος τῆς σοφίας ἅμα τοῦ Θεοῦ καὶ τῆς προνοητικῆς ἐπιμελείας τὰ γνωρίσματα φέρων. τὸ γὰρ εἰκῇ τι καὶ ἀλόγως γινόμενον, οὐκ ἂν ἔργον εἴη Θεοῦ. Θεοῦ γὰρ ἴδιον, καθώς φησιν ἡ γραφή, τὸ πάντα ἐν σοφίᾳ ποιεῖν. τί οὖν τὸ σοφὸν ἐν ἐκείνῳ; παρῆλθε διὰ γεννήσεως εἰς τὸν βίον ὁ ἄνθρωπος, ἔσπασε τὸν ἀέρα, ἀπὸ οἰμωγῆς τὸ ζῆν ἤρξατο, D ἐλειτούργησε τῇ φύσει τὸ δάκρυον, ἀπήρξατο τοῦ βίου τῶν θρήνων, πρὶν τινὸς μετασχεῖν τῶν κατὰ τὸν βίον ἡδέων, πρὶν τονωθῆναι τὴν αἴσθησιν, ἔτι λελυμένος ταῖς τῶν μελῶν ἁρμονίαις, ἁπαλός τε καὶ διακεχυμένος, καὶ ἀδιάρθρωτος, καὶ τὸ ὅλον εἰπεῖν, πρὶν γενέσθαι ἄνθρωπος, εἴπερ

A ô charum mihi caput, cum adminiſtrationem Dei in rebus vniuerſis cõſideras, omiſſis illis, circa quæ vulgi mens occupata eſt, (de diuitiis loquor, & deliciis, & vanæ gloriæ cupiditate, quæ res planè radiorum in modũ quaſi fulgure præſtringentes eos, qui ratione minus vtuntur, obſtupefacere, atque perculſos, attonitos & conſternatos reddere ſolent) nec ea quidẽ, quæ minima videntur ex iis, quæ in rebus vniuerſis conſiderãtur, inexcuſſa relinquis, conſiderans, diſpiciens & ſcrutans inæqualitatẽ humanæ vitæ; non eam duntaxat, quæ circa diui- B tias & paupertatem conſideratur, vel dignitatum & generum differentias (noſti enim hæc pro nihilo eſſe, quibus eſſentia non eſt ſecundum propriã ſubſiſtentiam, ſed in vana opinione eorũ, qui rebus non entibus, quaſi ſubſiſtentibus inhiant: nam ſi quis adimat ei, qui gloriæ ſplendore inflatus eſt, opinionem & exiſtimationem eorum qui has res intueri ſolent, nihil relinquetur ei, qui magnos ſibi ob res vanas ſpiritus ſumit, & ineptè inflatus eſt, etiãſi vel vniuerſa pecuniarum materia penes eum defoſſa ſit.) Sed tibi curæ eſt ſcire, cum reliqua diuinæ C adminiſtrationis, quò quidque ſpectet eorum quæ fiunt, tum qua de cauſa alij quidem in longam ſenectutem vita producatur, alius vero hactenus vitæ particeps ſit, quatenus per reſpirationem aërem hauriat, & protinus vitã finiat. Nam ſi nihil eorum, quæ in mundo ſunt, non à Deo eſt, ſed omnia à diuina voluntate pendent, ac ſapientia prouidendiq; virtute præditũ numen diuinum eſt: prorſus etiam his aliqua ratio ſubeſt, quæ ſapientiæ Dei ſimul & eius curæ, qua proſpicitur ac prouidetur rebus vniuerſis, inſignia ferat. Quod enim temerè ac ſine ratione fit, opus Dei non fuerit. Dei D namque proprium eſt, quemadmodum inquit ſcriptura, omnia cum ſapientia facere. Quod igitur ſapienter factum in illo? Prodiit homo per natiuitatem in vitam: hauſit aërem: à gemitu vitam inchoauit: lacrymas naturæ muneris vice impendit: primitias vitæ ſoluit, & libamina fecit de fletu, priuſquam alicuius rei in vita iucũdę particeps fuiſſet, priuſquã ſenſib. vegetatus & firmatus eſſet: etiam nunc membrorum cõpage atque coagmentatione ſolutus, tener ac diffuſus, inarticulatus, artubus nõdum compoſitis atque formatis, & vt ſummatim dicam, priuſquam homo factus eſſet (ſiquidem

hominis propriũ donum rationis eſt: at A hic rationis nondum capax erat) hic qui nihilo plus habebat, quã is, qui materno vtero continetur, præterquam quòd in aëre fuit, in ea ętate cùm ſit per mortem ſoluitur, vel expoſitus, vel ſuffocatus, vel ſponte per infirmitatem viuere deſinẽs; quid de eo cogitare oportet? quomodo item de iis, qui hunc exitũ vitæ habuerunt, ſentire? an illa quoque anima iudicem videbit? tribunali cum aliis ſiſtetur? ſubibit actæ vitæ iudiciũ? accipiet pro merito retributionem & compenſationem? vel igni purgata, iuxta Euange- B lij verba, vel in rore benedictionis refrigerata atque refocillata?

EXPLICATIO.

Hinc planè manifeſtum eſt, quòd purgatorium ignem pater hic tormenta cruciatúſque dicit, quibus poſt mortem quiſque eorum, qui peccauerunt, & ante mortem, non vt dignum & par erat, pœnitentiam egerunt, in flamma afficiuntur: iuxta parabolam Euangelicam de diuite & Luc.16. *Lazaro. Perſpicuum eſt enim, quòd huius hic parabolæ meminit, dum dicit, vel igne purgata (hoc propter diuitem) vel in rore benedictionis* Matth.25. *refrigerata (hoc propter Lazarum.) At illa iuſti iudicij ſententia, Abibunt hi quidem ad æter-* C *num ſupplicium, iuſti verò ad vitam æternam: nondum ante iudicium locum habet in his.*

Sed haud ſcio quomodo hæc de huiuſmodi anima cogitare oporteat. Nomen enim retributionis & remunerationis aliquid oportere prorſus antè præbitum eſſe ſignificat: at ei, qui omnino non vixit, materia aliquid præbendi prærepta eſt. In quibus autem datio non eſt, nec compenſatio quidem & retributio propriè nominabitur. Vbi autem retributio non eſt, neque bonũ neque malum, quod vel ſpe- D retur, vel metuatur, propoſitum eſt. Id enim nomen eorum, quæ in alterutram partem intelliguntur, compenſationem & retributionẽ promittit: quod autem neque in bono neq; in malo inuenitur, in nulla re prorſus eſt: ſine medio eſt enim eiuſmodi oppoſitionis contrarietas, boni & mali inquam, quorum neutrum continget ei, qui nõ alterius exemplum & ſpecimen præbuerit. Quod igitur in nulla re eſt, ne eſſe quidẽ prorſus aliquis dixerit: Quod ſi quis tale & eſſe, & in bonis eſſe, dicat, Deo bona talibus dante, non reddente: quã huius attributionis cauſam afferet? vbi iuſtitiã in hac

A ἀνθρώπου ἴδιον ἡ λογικὴ χάρις ἐστίν· ὁ δὲ οὔπω ἐν ἑαυτῷ τὸν λόγον ἐχώρησεν), οὗτος ὁ μηδὲν πλέον ἔχων, οὗ ἐν τῇ μητρῴᾳ νηδύϊ συνεχομένου, πλὴν τοῦ ἐν ἀέρι γενέσθαι, ἐν τούτῳ τῆς ἡλικίας ὢν, διὰ θανάτου λύεται, ἢ ἐκτεθεὶς, ἢ καταπνιγεὶς, ἢ κατὰ τὸ αὐτόματον δι' ἀῤῥωστίας τοῦ ζῆν παυσάμενος, τί χρὴ περὶ αὐτοῦ ἐννοεῖν; πῶς περὶ τῶν οὕτω τετελευτηκότων ἔχειν; ὄψεται ἄρα κἀκείνη ἡ ψυχὴ τὸν κριτὴν, παραστήσεται μετὰ τῶν ἄλλων τῷ βήματι, ὑφέξει τῶν βεβιωμένων τὴν κρίσιν; λήψεται τὴν B κατ' ἀξίαν ἀντίδοσιν, ἢ πυρὶ καθαιρομένη κατὰ τὰς τοῦ εὐαγγελίου φωνὰς, ἢ τῇ δρόσῳ τῆς εὐλογίας ἀναψύχουσα; [ἐντεῦθεν δῆλον σαφῶς, ὅτι καθάρσιον πῦρ ὁ πατὴρ, τὰς μετὰ τὴν τελευτὴν ἑκάστου τῶν ἡμαρτηκότων, καὶ μὴ μετανοησάντων ἀξίως πρὸ τελευτῆς, ἐν φλογὶ βασάνους φησί· κατὰ τὴν ἐν τῷ εὐαγγελίῳ παραβολὴν, περί τε τοῦ πλουσίου, καὶ τοῦ Λαζάρου. δῆλον γὰρ ὅτι ταῦτα ὧδε μέμνηται τῆς παραβολῆς τῷ εἰπεῖν, ἢ πυρὶ καθαιρομένη· τοῦτο διὰ τὸν πλούσιον· ἢ τῇ δρόσῳ τῆς εὐλογίας ἀναψύχουσα, τοῦ- C το διὰ τὸν Λάζαρον. ἡ δὲ ἀπόφασις τοῦ δικαίου κριτοῦ, ἀπελεύσονται οὗτοι μὲν εἰς αἰώνιον κόλασιν, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον· οὔπω πρὸ τῆς κρίσεως χώραν ἔχει ἐν τούτοις.] ἀλλ' οὐκ οἶδα πῶς χρὴ ταῦτα περὶ τῆς τοιαύτης ἐννοῆσαι ψυχῆς. τὸ γὰρ τῆς ἀντιδόσεως ὄνομα, τὸ χρῆναί τι πάντως προπαρεσχῆσθαι σημαίνει. τῷ δὲ μὴ βεβιωκότι ὅλως, ἡ ὕλη τοῦ τι παρασχεῖν προαφήρηται, ἐφ' ὧν δὲ δόσις οὐκ ἔστιν, οὐδὲ ἀντίδοσις κυρίως ὀνομασθήσεται. μὴ οὔσης δὲ τῆς ἀντιδόσεως, οὔτε ἀγαθόν ἐστιν οὔτε κακὸν τὸ D κατ' ἐλπίδα προκείμενον. τὸ γὰρ ὄνομα τοῦτο, τὴν καθ' ἑκάτερον νοουμένων τὴν ἀμοιβὴν ἐπαγγέλλεται· τὸ δὲ μήτε ἐν ἀγαθῷ, μήτε ἐν κακῷ εὑρισκόμενον, ἐν οὐδενὶ πάντως ἐστίν· ἄμεσος γὰρ ἡ τῆς τοιαύτης ἀντιθέσεως ἐναντιότης, ἡ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ λέγω, ὃ οὐδέτερον ἔσται, τῷ μὴ θατέρου κατάρξαντι. τὸ δὲ ἐν μηδενὶ ὂν, οὐδὲν εἶναι τις εἴποι ὅλως. εἰ δέ τις τὸ τοιοῦτον καὶ εἶναι λέγοι, καὶ ἐν ἀγαθοῖς εἶναι διδόντος, οὐκ ἀποδιδόντος τοῦ Θεοῦ τὰ ἀγαθὰ τοῖς τοιούτοις, ποίαν λέγει τῆς ἀποκληρώσεως ταύτης αἰτίαν; ποῦ τὸ δίκαιον συναποδείξει

τῷ λόγῳ; πῶς δὲ ταῖς εὐαγγελικαῖς φωναῖς σύμφωνον δείξει τὸ νόημα; ἐκεῖ συναλλαγματικήν τινα τῆς βασιλείας τὴν ἐμπορίαν τοῖς ἀξιουμένοις προσγίνεσθαι λέγει. ἐπειδὴ γὰρ τὸ καὶ τὸ φησὶ πεποιήκατε, τὴν βασιλείαν ἀντιλαβεῖν ἐστὲ δίκαιοι. ἐνταῦθα δὲ μηδεμιᾶς μήτε πράξεως μήτε προαιρέσεως ὑπαρχούσης, τίνα καιρὸν ἔχει τὸ τούτοις παρὰ τοῦ Θεοῦ γίνεσθαι λέγειν τὸ ἐξ ἀμοιβῆς ἐλπιζόμενον; εἰ δέ τις ἀβασανίστως τὸν τοιοῦτον δέξεται λόγον, ὡς πάντως ἐν ἀγαθοῖς ἐσομένου τοῦ παρελθόντος οὕτως ἐπὶ τὸν βίον, ἐκ τούτου μακαριώτερος (B) ἀναφανήσεται τῆς ζωῆς ὁ μὴ μετέχων ζωῆς, εἴπερ ἐκείνῳ μὲν ἀναμφίβολος ἡ τῶν ἀγαθῶν μετουσία, κἂν βαρβάρων τύχῃ γονέων, καὶ μὴ νενομισμένῳ κυηθῇ γάμῳ· τῷ δὲ βεβιωκότι τὸν χωρητόν τε καὶ νόμιμον τῇ φύσει χρόνον, πάντως ἢ πλέον ἢ ἔλαττον ὁ τῆς κακίας μολυσμὸς τῇ ζωῇ καταμίγνυται· ἢ εἰ μέλλοι παντελῶς τῆς πρὸς τὸ κακὸν κοινωνίας ἐκτὸς εἶναι, πολλῶν αὐτῷ δεῖν ἱδρώτων πρὸς αὐτὸ τοῦτο καὶ πόνων. οὐ γὰρ ἀκμητὶ κατορθοῦται τοῖς μετιοῦσιν ἡ ἀρετή, οὐδὲ ἄπονος ἐστὶ τοῖς ἀνθρώποις (C) ἡ τῶν καθ' ἡδονὴν ἀλλοτρίωσις· ὥστε ἓν τῶν ἀνιαρῶν ἐξ ἀμφοτέρων συνενεχθῆναι δεῖν πάντως, τὸν μετασχόντα τοῦ χρονιωτέρου βίου, ἢ νῦν τῷ ἐπιπόνῳ τῆς ἀρετῆς ἐναθλοῦντα, ἢ τότε διὰ τὴν ἐν κακίᾳ ζωὴν τῇ ἀντιδόσει τῶν ἀλγεινῶν ὀδυνώμενον· ἐπὶ δὲ τῶν ἀώρων τοιοῦτον ἐστὶν οὐδέν. ἀλλ' εὐθέως ἡ ἀγαθὴ λῆξις τοὺς ἐν ἀωρίᾳ μεταστάντας ἐκδέχεται, εἴπερ ἀληθὴς τῶν οὕτως ὑπειληφότων ὁ λόγος. οὐκοῦν ἐκ τοῦ ἀκολούθου καὶ τοῦ λόγου προτιμοτέρα δειχ- (D) θήσεται ἡ ἀλογία· καὶ ἡ ἀρετὴ οὐδενὸς ἀξία διὰ τούτων ἀναφανήσεται. Εἰ γὰρ μηδεμία γέγονε ζημία πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν τῷ μὴ μετασχόντι τῆς ἀρετῆς, μάταιον ἂν εἴη, τὸ περὶ ταύτην πονεῖν, καὶ δυόντος τῆς ἀλόγου καταστάσεως ἐν τῇ τοῦ Θεοῦ κρίσει προτερευούσης. Ταῦτα σὺ πάντα καὶ τὰ τοιαῦτα διανοούμενος, ἐξετάσαι τὸν περὶ τούτου λόγον διεκελεύσω, ὡς δεῖν ἡμῖν διὰ τῆς ἀκο-

A attributione ſimul ineſſe oratione demõſtrabit? quomodo autẽ hanc opinionem cũ Euãgelicis vocibus concordantem oſtendet? Illic quidẽ tanquã ex negotio contracto regnũ eos, qui digni habẽtur, conſequuturos eſſe dicit. quoniã enim hoc & hoc, inquit, feciſtis, ęquum eſt, vt regnũ loco remunerationis accipiatis. Hic vero cum nullũ neq, factum neq; volũtas ſubſit: qua ratione & occaſione quis dicet, etiã his à Deo cõtingere id, quod ex retributione & compenſatione ſperatur? Quòd ſi quis ſine vlla excuſſione & examinatione huiuſmodi o-
B pinionem amplectetur, quaſi prorſus in bonis futurus ſit is, qui hoc modo prodierit in vitam, ex hac opinione meliore conditione beatiorq; eſſe videbitur, qui vitæ particeps omnino nõ eſt, quàm qui viuit, ſi quidem ille proculdubio bonorum particeps erit, etiamſi barbaros parentes habeat, & iuſtis legitimíſque nuptiis conceptus non ſit: illius autẽ vitæ, qui id, quod natura capit atque conſueuit, viuẽdo tempus exegerit, prorſus vel maior vel minor coinquinatio vitioſitatis admiſcebitur: aut ſi penitus à cõmu-
C nione mali vacuus erit, multis ei ad hoc ipſum ſudoribus & laboribus opus erit. Non enim abſque negotio, qui virtuti ſtudent, eam aſſequũtur: neque abſque labore hominibus contingit, vt à malis voluptatibus alieni ſint: adeò vt prorſus oporteat eũ, qui diutius in vita futurus ſit, altero ex duobus moleſtis implicatũ conflictari, vel nunc in laborioſo exercitio virtutis decertantẽ, vel tunc propter vitam per malitiam & nequitiam tranſactam, in retributione triſtiũ & acerba-
D rum rerum cruciatus & dolores tolerantem: in præmaturis autem nihil eſt eiuſmodi. Sed protinus eos, qui immatura ætate ex hac vita tranſlati ſunt (ſi modò vera eorũ, qui ita ſuſpicantur & credunt, opinio eſt) bona ſors atque conditio excipit. Ergo ex conſequenti rationis carentia etiã ipſa ratione eſſe præſtantior & optabilior oſtendetur: & virtus nullius precij per hæc apparebit. Nã ſi nullum damnum ac detrimentũ, quantum ad vſum & participationẽ bonorum attinet, accidit ei, qui particeps virtutis non fuit, vanum & inutile eius ſtudium fuerit, quum ſtatus & ordo rationis expers priores partes in iudicio Dei obtineat. Hæc & eiuſmodi omnia, cum animo agitares, hortatus es me, vt huius rei rationem ſcrutarer, vt per conſequentem & con-

ſentaneam quæſtionem ac diſputationem nobis in aliqua firma opinione de hac re mens ſtatueretur. Ego verò animaduertens quãta difficultas ac perplexitas inſit in ea quæ nobis ad conſiderandũ & contemplandũ propoſita quæſtio ęſt, cõuenire quidem opinor etiam præſenti cõmentationi Apoſtolicã vocem, qua ille vſus eſt in arduis & mentis cogitationi inacceſſis& incõprehenſibilibus quęſtionibus. O altitudo, inquiẽs, diuitiarum & ſapientiæ & cogitationis Dei: quàm inſcrutabilia iudicia eius, & inueſtigabiles vitæ eius! Quis enim cognouit mentẽ Domini? ſed quoniã rurſus Apoſtolus ait, proprium ſpiritualis eſſe, omnia ſcrutari, indagare, exquirere & examinare: atque cõmendat eos, qui à diuina gratia in omni ratione omníq; cognitione ditati ſunt: rectè me facturũ eſſe cẽſeo, ſi quoad eius fieri poterit, inquiſitionem & inueſtigationem non negligam, neque quod in his quæritur, ita deſpiciam atque contemnã, vt id abſq; ſcrutatione atque contemplatione prætermittam; ne ad ſimilitudinem argumenti propoſitæ quęſtionis, oratio quoque de ea re imperfecta euaneſcat, vel etiam ante tempus veluti infans aliquis modo natus, prius quàm in lucem prodeat & augeſcat, tanquam morte quadam, in quæſtione veritatis deficiẽtium ignauia atque ſocordia intereat atque corrumpatur. Haud igitur incõmodum exiſtimo non ſtatim à fonte & initio more oratorũ in iudiciis decertantium cum oppoſitionibus implicari atq; confligere, ſed quodã orationi impoſito ordine, per conſequentia propoſitæ quæſtionis producere commentationem. Quiſnam igitur eſt ille ordo? Noſſe primùm vnde natura humana, & cuius rei gratia procreata ſit. Si enim hæc nos nõ fugerint, nec à propoſita quidem nobis cõmentatione aberrauerimus. Iam verò ſuperuacuum fuerit oratione probare, quòd quicquid ſecundum Deum in rerum natura, tum mente percipitur, tum videtur, ex ipſo Deo eſſentiam habeat: cùm nemo, opinor, eorum, qui vtcumq; rerum veritatem contemplati fuerint, huiuſmodi opinionẽ oppugnaturus ſit. Cõſtat enim inter omneis ex vna cauſſa pendere res vniuerſas, nullamque rem ipſam ex ſeſe eſſentiã habere, neque ſui ipſius principium & cauſam eſſe; ſed vnam quidem eſſe naturã non creatam & ſempi-

Rom. 11.

1. Cor. 2.

A ἀκολούθου ζητήσεως ἐπί τινος βεβαίου νοήματος ἡ
περὶ αὐτοῦ ἱδρυνθείη διάνοια. ἐγὼ δὲ πρὸς
τὸ δυσθεώρητον τοῦ προτεθέντος ἡμῖν σκέμματος
βλέπων, ἁρμόζειν μὲν οἶμαι καὶ τὴν τοῦ
ἀποστόλου φωνὴν τῷ παρόντι λόγῳ, ἣν ἐπὶ τῶν
ἀνεφίκτων ἐκεῖνος πεποίηται λέγων. ὢ βάθος
πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα
τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ
ὁδοὶ αὐτοῦ· τίς γὰρ ἔγνω νοῦν κυρίου; ἐπεὶ δὲ
πάλιν ὁ ἀπόστολος ἴδιον τοῦ πνευματικοῦ φησὶ,
τὸ ἀνακρίνειν τὰ πάντα, καὶ ἀποδέχεται τοὺς παρὰ
B τῆς θείας χάριτος πλουτισθέντας ἐν παντὶ
λόγῳ καὶ πάσῃ γνώσει, καλῶς ἔχειν φημὶ μὴ
καταλιγωρῆσαι τῆς δυνατῆς ἐξετάσεως, μηδὲ
παριδεῖν τὸ ζητούμενον ἐν τούτοις ἀνερεύνητόν τε
καὶ ἀθεώρητον, ὡς ἂν μὴ καθ' ὁμοιότητα τῆς τοῦ
προβλήματος ὑποθέσεως, καὶ ὁ περὶ αὐτοῦ
λόγος ἀτελὴς ἀφανισθείη, ἢ καὶ ἄωρος, καθάπερ
τι νήπιον τῶν ἀμβλωθέντων πρὶν εἰς φῶς προελθεῖν
καὶ ἁδρυνθῆναι, ὑπ' ἴσῃ θανάτῳ τῇ ῥᾳθυμίᾳ
τῶν πρὸς τὴν ζήτησιν τῆς ἀληθείας ἀτονούντων
διαφθειρόμενος. φημὶ τοίνυν καλῶς
C ἔχειν μὴ ῥητορικῶς τι καὶ ἀγωνιστικῶς εὐθὺς
κατὰ στόμα πρὸς ἀντιθέσεις συμπλέκεσθαι,
ἀλλά τινα τάξιν ἐπιθέντας τῷ λόγῳ, δι' ἀκολούθου
προάγειν τὴν περὶ προβλήματος
θεωρίαν. τίς οὖν ἡ τάξις; τὸ γνῶναι πρότερον ὅθεν
ἡ ἀνθρωπίνη φύσις, καὶ οὗ χάριν ἦλθεν
εἰς γένεσιν. εἰ γὰρ τούτων μὴ διαμάρτωμεν,
οὐδὲ τῆς προκειμένης ἡμῖν θεωρίας ἡμαρτηκότες
ἐσόμεθα. τὸ μὲν οὖν ἐκ Θεοῦ
πᾶν ὅτιπερ ἐστὶ κατ' αὐτὸν ἐν τοῖς οὖσι ἐν τῇ
φύσει νοούμενόν τι καὶ ὁρώμενον τὸ εἶναι ἔχειν,
περιττὸν ἂν εἴη λόγῳ κατασκευάζεσθαι, οὐ-
D δενὸς οἶμαι τῶν ὁπωσοῦν ἐπεσκεμμένων τὴν
τῶν ὄντων ἀλήθειαν πρὸς τὴν τοιαύτην ὑπόληψιν
ἐνισταμένου. ὁμολογεῖται γὰρ παρὰ πάντων,
μιᾶς αἰτίας ἐξῆφθαι τὸ πᾶν, καὶ οὐδὲν
τῶν ὄντων αὐτὸ ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχειν, οὐδὲ
ἑαυτοῦ εἶναι ἀρχὴν καὶ αἰτίαν· ἀλλὰ μίαν
μὲν φύσιν εἶναι ἄκτιστον καὶ ἀΐδιον ἀεὶ κατὰ
τὰ αὐ-

τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν, παντὸς διαστηματικοῦ νοήματος ὑπερκειμένην, ἀναύξητόν τε καὶ ἀμείωτον, καὶ παντὸς ὅρου ἐπέκεινα θεωρουμένην· ἧς ἔργον, καὶ χρόνος, καὶ τόπος, καὶ τὰ ἐπὶ τούτοις πάντα, καὶ εἴ τι πρὸ τούτων καταλαμβάνοι ἡ ἔννοια νοητόν τε καὶ ὑπερκόσμιον, ἓν δὲ τῶν γεγονότων καὶ τὴν ἀνθρωπίνην φύσιν εἶναι φαμὲν, λόγῳ τινὶ τῆς θεοπνεύστου διδασκαλίας ὁδηγῷ πρὸς τοῦτο συγχρώμενοι· ὅς φησι πάντων παρὰ τοῦ Θεοῦ παραχθέντων εἰς γένεσιν, καὶ τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς ἀναδειχθῆναι, ἐξ ἑτερογενῶν συγκεκραμένον τὴν φύσιν, τῆς θείας τε καὶ νοερᾶς οὐσίας, πρὸς τὴν ἑκάστου τῶν στοιχείων αὐτοῦ συνεισενεχθεῖσαν μοῖραν καταμιχθείσης· γενέσθαι δὲ τοῦτον παρὰ τοῦ πεποιηκότος, ἐφ' ᾧ τε εἶναι τῆς θείας τε καὶ ὑπερκειμένης δυνάμεως ἔμψυχόν τι ὁμοίωμα. βέλτιον δ' ἂν εἴη καὶ αὐτὴν παραθέσθαι τὴν λέξιν ἔχουσαν οὕτως· καὶ ἐποίησε φησὶν, ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. τὴν δὲ αἰτίαν τῆς τοῦ ζώου τούτου κατασκευῆς τῶν πρὸ ἡμῶν τινὲς ταύτην ἀποδεδώκασιν, ὅτι διχῆ διῃρημένης τῆς κτίσεως πάσης, καθώς φησιν ὁ ἀπόστολος, εἰς τὸ ὁρατόν τε καὶ ἀόρατον· σημαίνεται διὰ μὲν τοῦ ἀοράτου, τὸ νοητὸν καὶ ἀσώματον· διὰ δὲ τοῦ ὁρατοῦ, τὸ αἰσθητόν τε καὶ σωματῶδες. εἰς δύο τοίνυν ταῦτα διῃρημένων πάντων τῶν ὄντων, εἰς τε τὸ αἰσθητὸν λέγω καὶ εἰς τὸ κατ' ἔννοιαν θεωρούμενον. καὶ τῆς μὲν ἀγγελικῆς τε καὶ ἀσωμάτου φύσεως, ἥτις τῶν ἀοράτων ἐν τοῖς ὑπερκοσμίοις τε καὶ ὑπερουρανίοις διαιτωμένης, διὰ τὸ κατάλληλον εἶναι τῇ φύσει τὸ ἐνδιαίτημα· ἥτε γὰρ νοερὰ φύσις λεπτή τις καὶ καθαρὰ καὶ ἀβαρὴς καὶ εὐκίνητος, τότε οὐράνιον σῶμα λεπτόν τε καὶ κοῦφον καὶ ἀεικίνητον· τῆς δὲ γῆς ὃ δὴ τῶν αἰσθητῶν ἐστιν ἔσχατον οἰκείως τε καὶ καταλλήλως πρὸς τὴν τῶν νοητῶν ἐν αὐτῇ διαγωγὴν οὐκ ἐχούσης. τίς γὰρ ἂν γένοιτο τοῦ ἀναφεροῦς τε καὶ κούφου πρὸς τὸ βαρύ τε καὶ ἐμβριθὲς κοινωνία; ὡς ἂν μὴ τελείως ἄμοιρός τε καὶ ἀπόκληρος ἡ γῆ τῆς νοερᾶς τε καὶ ἀσωμάτου διαγωγῆς εἴη, τούτου χάριν προμηθείᾳ

A ternam quæ ſemper ſimiliter & eodem modo ſeſe habeat, omni interuallari intellectu ſuperior, incrementi diminutioniſque expers, quæ vltra omnem terminum eſſe conſpiciatur & intelligatur: cuius opus ſit & tempus & locus, & his conſequentia omnia, ac ſi quid ante hæc cogitatio comprehendit, tum ſola mente comprehenſile, tum ſupramundanum: vnum autem ex iis, quæ facta ſunt, naturã quoq; humanam eſſe dicimus, oratione quadam diuinæ doctrinæ duce ad hoc vtentes: quæ ait, omnibus à Deo ad generationem pro- B ductis, hominem quoque ſuper terram creatum eſſe, cuius natura ex diuerſi generis rebus contemperata ſit, diuina intellectualique natura ad eam, quæ cuiuſque elementi ei contributa eſt, portionem admixta: hunc autem idcirco factum eſſe à creatore, vt eſſet diuinæ atque ſuperæ virtutis animatum quoddam ſimulachrum. Commodius autem fuerit etiam ipſam in medium afferre dictionem, quæ talis eſt: Et fecit inquit, Deus hominem, ſecundum imaginem Dei fecit eum. *Gen. 1.* Porrò cauſſam C creationis huius animalis, quidam eorum, qui ante nos fuerunt, hanc reddiderunt; quòd cùm bifariam diuiſa ſit omnis creatura, quemadmodum inquit Apoſtolus, in viſibile ſcilicet, & inuiſibile: per inuiſibile quidem, id quod mente percipi poteſt, & incorporeum: per viſibile autem, ſenſibile & corporeum ſignificatur. Cùm igitur in hæc duo diuiſa ſint omnia quæ ſunt, in ſenſibile, inquam, & in id, quod per mentis agitationem & cogitationem conſideratur & intelligitur: atque angelica D quidem & incorporea natura (quæ ex inuiſibilibus eſt) in ſupramundanis & ſupercœleſtibus partibus domicilium habeat, propterea quod ea ſedes illi naturæ conueniens & accommodata ſit: nam ſicut natura intellectualis tenuis quædam, pura, ponderis expers & agilis eſt, ita corpus quoque cœleſte, tenue, leue & ſemper mobile eſt: terra autem, quæ extremũ nimirum ex ſenſibilibus eſt, cum ad hoc apta atque accõmodata non ſit, vt in ea degãt ea, quę ſola mente comprehendũtur (quam enim communionem habeat id quod leue eſt ac ſurſum fertur, cum eo quõd graue ac ponderoſum eſt?) ne terra penitus expers ac vacua eſſet ab intellectuali & incorporea conuerſatione, idcirco prouidentia meliori,

cum intellectuali diuinæque animæ naturæ terrena portio circundata & obducta eſſet, aiunt humanã cõſtatam eſſe naturam, vt per eam, qua cum pondere corporis coaluit coniunctionem, aptè atque accõmodatè viueret anima in elemento terræ, quæ nonnihil cognationis & affinitatis habet cum natura carnis. Hæc autem omnia huc ſpectant, vt nimirum in omni creatura per intellectualem naturam glorificaretur & celebraretur ea virtus & poteſtas, quæ ſuprà præſidet rebus vniuerſis, tũ cœleſtibus, tum terreſtribus, per eandẽ efficientiam (dico autem per hoc, vt ad Deum reſpiciant) ad eandem intẽtionem inter ſeſe coniũctis. Porrò efficientia reſpiciendi ad Deum, nihil eſt aliud, quàm vita intellectuali naturæ cõueniens & accommodata. quemadmodum enim terrena corpora terrenis conſeruantur cibis, ac corpoream quandã in his vitæ ſpeciem deprehendimus, quę in brutis pariter & ratione præditis exercetur: ita ponere oportet, eſſe quandam etiam mentis intellectu comprehenſibilem & inuiſibilem vitam, per quam in ſua eſſentia natura cõſeruatur. Quòd ſi carnis alimentum affluere ac diffluere ſolitum, per tranſitum ipſum vim quandam vitalem ſubminiſtrat quibus ingeſtum fuerit: quanto magis participatio eius, qui reuera eſt, qui ſemper manet atque eodem modo ſemper ſe habet, in ſua eſſentia conſeruat eum, qui particeps eius fuerit. Si igitur hæc propria conueniénſq; intellectuali naturæ vita eſt, ſi Dei particeps ſit, nequaquã per contraria participatio cõtigerit, niſi aliquo modo id, cuius participatio eſt, cognatũ fuerit ei, quod appetit & particeps eſſe cupit. Vt enim oculo viſus atque fruitio ſplendoris contingit ex eo, quòd naturalem in ſeſe ſplendorem habet ad apprehenſionem ac perceptionem eius, quod eiuſdem generis eſt: ac neque digitus, neque aliud vllum corporis membrum viſum exercet, propterea quòd nullus in alio quopiam membrorum à natura inditus ſit ſplendor: ita planè neceſſe eſt etiã in participatione Dei quiddam cum eo, cuius fruitio atque participatio eſt, cognatum eſſe in natura fruentis. Idcirco ſcriptura dicit, ſecundum imaginem Dei hominem
Geneſ. 1. eſſe factum, vt per id quod ſimile eſt, ſimile, opinor, videret. Deum autem videre, vita animæ eſt: quemadmodum in præcedentibus dictum eſt. Quoniam autem

A κρείττονι τὴν ἀνθρωπίνην συστῆναι γένεσιν, τῇ νοερᾷ τε καὶ θείᾳ τῆς ψυχῆς οὐσίᾳ, τῆς γηΐνης μοίρας περιπλασθείσης· ὡς ἂν τῇ πρὸς τὸ ἐμβριθές τε καὶ σωματῶδες συμφυΐᾳ καταλλήλως ἡ ψυχὴ τῷ στοιχείῳ τῆς γῆς ἐμβιοτεύοι, ἐχούσης τι πρὸς τὴν τῆς σαρκὸς οὐσίαν συγγενὲς καὶ ὁμόφυλον. σκοπὸς δὲ τῶν γινομένων ἐστὶ, τὸ ἐν πάσῃ τῇ κτίσει διὰ τῆς νοερᾶς φύσεως, τὴν τοῦ παντὸς ὑπερκειμένην δοξάζεσθαι δύναμιν, τῶν τε ἐπουρανίων καὶ τῶν ἐπιχθονίων, διὰ τῆς αὐτῆς ἐνεργείας· λέγω δὲ διὰ τοῦ πρὸς τὸν Θεὸν βλέπειν ἀλλήλοις πρὸς τὸν
B αὐτὸν σκοπὸν συναπτομένων· ἡ δὲ τοῦ βλέπειν πρὸς τὸν Θεὸν ἐνέργεια, οὐδὲν ἄλλο ἐστὶν, ἢ ζωὴ τῇ νοερᾷ φύσει ἐοικυῖά τε καὶ κατάλληλος. ὥσπερ γὰρ τὰ σώματα γήϊνα ὄντα, ταῖς γηΐναις διακρατεῖται τροφαῖς, καὶ τὸ σωματῶδες ζωῆς εἶδος ἐν τούτοις καταλαμβανόμενον, ὁμοίως ἐν ἀλόγοις τε καὶ λογικοῖς ἐνεργούμενον· οὕτως εἶναί τινα χρὴ καὶ νοητὴν ζωὴν ὑποτίθεσθαι, δι' ἧς ἐν τῷ ὄντι συντηρεῖται ἡ φύσις. Εἰ δὲ ἡ τῆς σαρκὸς τροφὴ ἐπίρρυτός τις οὖσα καὶ ἀπορρέουσα διὰ αὐτῆς παρόδου δύ-
C ναμίν τινα ζωτικὴν ἐναποτίθεται οἷς ἂν γένηται, πόσῳ μᾶλλον ἡ μετουσία τοῦ ὄντως ὄντος, τοῦ ἀεὶ μένοντος καὶ πάντοτε ὡσαύτως ἔχοντος, ἐν τῷ εἶναι φυλάσσει τὸν μετασχόντα; Εἰ οὖν αὕτη ἐστὶν ἡ οἰκεία τε καὶ κατάλληλος τῇ νοερᾷ φύσει ζωὴ, τὸ τοῦ Θεοῦ μετέχειν, οὐκ ἂν διὰ τῶν ἐναντίων γένοιτο ἡ μετουσία, εἰ μὴ τρόπον τινὰ συγγενὲς εἴη τῷ ὀρεγομένῳ τὸ μετεχόμενον. ὡς γὰρ ὀφθαλμῷ γίνεται τῆς αὐγῆς ἡ ἀπόλαυσις, τῷ φυσικὴν αὐγὴν ἐν ἑαυτῷ πρὸς τὴν τοῦ ὁμογενοῦς ἀντίληψιν ἔχειν, καὶ οὔτε δάκτυλος οὔτε ἄλλο τι τῶν μελῶν τοῦ
D σώματος ἐνεργεῖ τὴν ὅρασιν, διὰ τὸ μηδεμίαν ἐκ φύσεως αὐγὴν ἐν ἄλλῳ τινὶ τῶν μελῶν κατεσκευάσθαι, οὕτως ἀνάγκη πᾶσα καὶ ἐπὶ τῆς τοῦ Θεοῦ μετουσίας εἶναί τι συγγενὲς πρὸς τὸ μετεχόμενον ἐν τῇ φύσει τοῦ ἀπολαύοντος. διὰ τοῦτό φησιν ἡ γραφὴ κατ' εἰκόνα Θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον· ὡς ἂν, οἶμαι, τῷ ὁμοίῳ βλέπειν τὸ ὅμοιον· τὸ δὲ βλέπειν τὸν Θεὸν ἐστὶν, ἡ ζωὴ τῆς ψυχῆς, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται. ἐπεὶ δὲ

πως ἡ τοῦ ἀληθῶς ἀγαθοῦ ἄγνοια καθάπερ τις ὁμίχλη τῷ διορατικῷ τῆς ψυχῆς ἐπεσκότισεν, παχυνθεῖσα δὲ ἡ ὁμίχλη νέφος ἐγένετο, ὥστε διὰ τοῦ βάθους τῆς ἀγνοίας τὴν ἀκτῖνα τῆς ἀληθείας μὴ διαδύεσθαι, ἀναγκαίως τῷ χωρισμῷ τοῦ φωτὸς καὶ ἡ ζωὴ αὐτῆς συνεξέλιπεν. εἴρηται γὰρ τὴν ἀληθῆ ζωὴν τῆς ψυχῆς ἐν τῇ μετουσίᾳ τοῦ ἀγαθοῦ ἐνεργεῖσθαι, τῆς δὲ ἀγνοίας πρὸς τὴν θείαν κατανόησιν ἐμποδιζούσης ἐκπεσεῖν τῆς ζωῆς τὴν ψυχὴν τὴν τοῦ Θεοῦ μὴ μετέχουσαν. μηδεὶς δὲ γενεαλογεῖν ἡμᾶς ἀναγκαζέτω τὴν ἄγνοιαν, πόθεν αὕτη λέγων καὶ ἀπὸ τίνος; ἀλλ' ἐξ αὐτῆς νοείτω τῆς τοῦ ὀνόματος σημασίας, ὅτι ἡ γνῶσις καὶ ἡ ἄγνοια τῶν πρός τι πὼς ἔχειν τὴν ψυχὴν ἐνδείκνυται. οὐδὲν δὲ τῶν πρός τι νοουμένων τε καὶ λεγομένων οὐσίαν παρίστησιν. ἄλλος γὰρ ὁ τοῦ πρός τι, καὶ ἕτερος ὁ τῆς οὐσίας λόγος. εἰ οὖν ἡ γνῶσις οὐσία οὐκ ἔστιν, ἀλλὰ περὶ τὴν διάνοιαν ἐνέργεια, πολὺ μᾶλλον ἡ ἄγνοια πόρρω τοῦ κατ' οὐσίαν εἶναι ὡμολόγηται. τὸ δὲ μὴ κατ' οὐσίαν ὄν, οὐδὲ ἔστιν ὅλως. μάταιον τοίνυν ἂν εἴη περὶ τοῦ μὴ ὄντος, τὸ ὅθεν ἐστὶ περιεργάζεσθαι. ἐπεὶ τοίνυν ζωὴν εἶναι ψυχῆς, τὴν τοῦ Θεοῦ μετουσίαν ὁ λόγος εἶναί φησι· γνῶσις δὲ κατὰ τὸ ἐγχωροῦν ἐστὶν ἡ μετουσία· ἡ δὲ ἄγνοια οὐχὶ τινός ἐστιν ὕπαρξις, ἀλλὰ τῆς κατὰ τὴν γνῶσιν ἐνεργείας ἀναίρεσις· τῷ δὲ μὴ ἐνεργεῖσθαι τοῦ Θεοῦ τὴν μετουσίαν ἡ τῆς ζωῆς ἀλλοτρίωσις ἀναγκαίως ἐπηκολούθησεν. τοῦτο δ' ἂν εἴη τῶν κακῶν τὸ ἔσχατον, ἀκολούθως ὁ τοῦ παντὸς ἀγαθοῦ ποιητὴς τὴν τοῦ κακοῦ θεραπείαν ἐν ἡμῖν κατεργάζεται. ἀγαθὸν γὰρ ἡ θεραπεία· τὸν δὲ τρόπον τῆς θεραπείας ἀγνοεῖ πάντως, ὁ μὴ πρὸς τὸ εὐαγγελικὸν βλέπων μυστήριον. κακοῦ τοίνυν ἀποδειχθέντος τοῦ ἀλλοτριωθῆναι Θεοῦ, ὅστις ἐστὶν ἡ ζωή, ἡ θεραπεία τοῦ τοιούτου ἀρρωστήματος ἦν, τὸ πάλιν οἰκειωθῆναι Θεῷ, καὶ ἐν τῇ ζωῇ γενέσθαι. ταύτην οὖν τῆς ζωῆς κατ' ἐλπίδα προκειμένης τῇ ἀνθρωπίνῃ φύσει, οὐκ ἔστιν εἰπεῖν κυρίως ἀντίδοσιν τῶν εὖ βεβιωκότων γενέσθαι τὴν τῆς ζωῆς μετουσίαν, καὶ τιμωρίαν τὸ ἔμπαλιν. ἀλλ' ὅμοιόν ἐστι τῷ κατὰ τοὺς ὀφθαλμοὺς ὑποδείγματι τὸ λεγόμενον.

A eius, quod verè bonum eſt, ignorantia, veluti nebula quædam perſpectiuæ animæ facultati tenebras offudit: nebula vero denſata nubes facta eſt, adeò vt per profunditatem ignorantiæ radius veritatis penetrare non poſſit, neceſſariò vnà cum priuatione lucis etiam vita ipſius defecit. Dictum eſt enim veram animæ vitam, per boni participationem exerceri: ignorantia verò Dei contemplationi atque cognitioni officiente vita excidiſſe animam, quæ Dei particeps non ſit. Porrò nemo nobis neceſſitatem imponat originē ignoB rantiæ exponendi, vnde hæc inquiens, & à quo? ſed ex ipſa ſignificatione nominis intelligat, quòd ſcientia atque ignorantia indicent, animam aliquo modo ſeſe ad aliquid habere. Nihil autem eorum, quæ ad aliquid & intelliguntur & dicuntur, ſubſtantiam exprimit atque demonſtrat. Alia enim eſt eius, quod ad aliquid dicitur, & alia ſubſtantiæ ratio. Si igitur ſcientia ſubſtantia non eſt, ſed mentis circa aliquam rem actio, multò magis certum atque extra controuerſiam eſt, ignorantiam longè abeſſe ab eo, vt C ſubſtantia ſit. Quod autem ſecundum ſubſtantiam non eſt, nec omnino quidem eſt. Abſurdum igitur nec vanum fuerit de eo quod non eſt, vnde ſit, curioſè inquirere. Quoniam igitur vitam quidem animæ, Dei participationem eſſe ſermo dicit: eaque participatio in eo verſatur, vt quantum ei licet & capit, ſcientia prædita ſit: ignorantia autem non alicuius ſubſtantia, ſed eius, quæ per ſcientiam fit, actionis interitus atque peremptio eſt: ac neceſſariò conſequitur, vt vbi participatio Dei non exercetur, priuatio & alienatio vitæ ſit: (id autem malorum fuerit extremum) D conſequenter omnis boni factor curationem mali in nobis operatur. Bona enim res curatio eſt: at modum curationis prorſus ignorat, qui non reſpicit ad myſterium Euangelicum. Cùm igitur malum eſſe demonſtratum ſit, ſi à Deo, qui eſt vita, alienati ſimus: curatio eiuſcemodi infirmitatis erat, Deo rurſus coniungi atque conciliari, & in vita verſari. Cùm ergo hæc vita per ſpem humanæ naturæ propoſita ſit, non propriè dici poteſt remunerationem eorum, qui bene vixerunt, participationem & vſum vitæ fore, & ſupplicium vice verſa. Sed quod dicitur ſimile eſt ei, quam de oculis in medium afferimus ſimilitudini.

Ioan. 1.

Neque enim ei, qui oculos purgatos habet, præmium quoddam & honorarium eſſe dicimus eorum, quæ cerni poſſunt animaduerſionem: aut oculis laboranti, contrà, condemnationem quandam & pœnalem ſentẽtiam, quod non compos eſt efficientiæ videndi. Sed vt neceſſariò conſequitur, vt is, qui ſecundum naturam diſpoſitus eſt, videat, is verò, cuius ex morbo natura vitiata ac deprauata eſt, viſionem non exerceat: eodem modo beata quoque vita cognata ac propria eorum eſt, quibus animæ ſenſoria purgata ſunt: in quibus autem ignorantiæ vitium, quaſi quædam lippitudo participationi veri luminis officit, neceſſariò ſequitur, vt non participes ſint eius, cuius participationem & vſum vitam eſſe dicimus participantis. His igitur à nobis hoc modo diſtinctis & explicatis, tempeſtiuum fuerit propoſitam nobis oratione tractare atque diſcutere quæſtionem. Huiuſmodi autem quiddam erat quod proponebatur. Si pro eo, quod iuſtum eſt, bonorum remuneratio atque retributio fit, in quibus verſabitur is, qui infans in tenera ætate vitam finiuit, neque boni in hac vita neque mali quicquam conatus & exorſus, vt per hæc ei pro merito retributio fiet? Cui ad conſequentiam eorum, quæ examinata ſunt, reſpicientes, reſpondebimus quòd bonum, quod expectatur, ſecundum naturam quidem humani generis proprium eſt: dicitur autem ſecundum quendam intellectum, idem etiam retributio: atque eadem rurſus ſimilitudine ſenſus hic explicabitur. Ponantur enim in oratione noſtra duo quidam, qui in morbum quendam inciderint oculorum, quorum vnus maiori cum ſtudio magíſque ſedulò ſeſe curationi permittat, omnia, quæ ab arte medica adhibeantur, quantumuis etiam dolorem facientia, ſuſtinens: alter verò à balneis & nimio vini vſu ſeſe minus abſtinere poſſit, nullum medici conſilium quod ad ſanitatem oculorum pertineat, admittens. Dicimus igitur ad finem & euentum vtriſque ſpectantes, vtrumque ſuæ voluntatis dignos recipere fructus; hunc quidem priuationem, illum verò vſum & fruitionem lucis. quod enim neceſſario ſequitur, id per abuſionem, retributionem & compenſationem nominamus. Hæc etiam ad ea, quæ de infantibus quæruntur, dici poſſunt, quòd

A Οὐδὲ γὰρ τῷ κεκαθαρμένῳ τὰς ὄψεις ἔπαθλόν τι φαμὲν εἶναι καὶ γέρας τινὰ τὴν τῶν ὁρατῶν κατανόησιν, ἢ τῷ νοσοῦντι τὸ ἔμπαλιν καταδίκην τινὰ καὶ τιμωρητικὴν ἀπόφασιν, τὸ μὴ μετέχειν τῆς ὁρατικῆς ἐνεργείας. ἀλλ' ὡς ἀναγκαίως ἕπεται τῷ κατὰ φύσιν διακειμένῳ τὸ βλέπειν, τῷ τε ἀπὸ πάθους παρενεχθέντι τῆς φύσεως, τὸ μὴ ἐνεργεῖν τὴν ὅρασιν· τὸν αὐτὸν τρόπον καὶ ἡ μακαρία ζωὴ συμφυής ἐστι καὶ οἰκεία τοῖς κεκαθαρμένοις τὰ τῆς ψυχῆς αἰσθητήρια· ἐφ' ὧν δὲ καθάπερ τις λήμη τὸ κατὰ τὴν ἄγνοιαν πάθος ἐμποδίζει πρὸς τὴν μετουσίαν τοῦ ἀληθινοῦ φωτὸς γίνεται, ἀναγκαίως ἕπεται τὸ
B μὴ μετέχειν ἐκείνου, οὗ τὴν μετουσίαν ζωὴν εἶναι φαμὲν τοῦ μετέχοντος. τούτων τοίνυν οὕτως ἡμῖν διῃρημένων, καιρὸς ἂν εἴη διεξετάσαι τῷ λόγῳ τὸ προτεθὲν ἡμῖν πρόβλημα. τοιοῦτον δέ τι λεγόμενον ἦν. εἰ κατὰ τὸ δίκαιον γίνεται τῶν ἀγαθῶν ἡ ἀνταπόδοσις, ἐν τίσιν ἔσται ὁ ἐν νηπίῳ τελευτήσας τὸν βίον, μήτε κακὸν ἐν τῇ ζωῇ ταύτῃ καταβαλλόμενος, μήτε ἀγαθόν· ὥστε διὰ τούτων γενέσθαι αὐτῷ τὴν κατ' ἀξίαν ἀντίδοσιν. ᾧ πρὸς τὴν ἀκολουθίαν τῶν ἐξητασμένων ὁρῶντες ἀποκρινούμεθα, ὅτι τὸ προσδοκώμενον ἀγαθὸν, οἰκεῖον μέν ἐστι κατὰ φύσιν
C τῷ ἀνθρωπίνῳ γένει· λέγεται δὲ κατά τινα διάνοιαν τὸ αὐτὸ, καὶ ἀντίδοσις· τῷ δὲ αὐτῷ ὑποδείγματι πάλιν τὸ νόημα τοῦτο σαφηνισθήσεται. δύο γάρ τινες ὑποκείσθωσαν τῷ λόγῳ ἀρρωστήματι τινὶ κατὰ τὰς ὄψεις συνενεχθέντες. τούτων δὲ ὁ μὲν σπουδαιότερον ἑαυτὸν ἐπιδιδότω τῇ θεραπείᾳ, πάντα ὑπομένων τὰ παρὰ τῆς ἰατρικῆς προσαγόμενα κἂν ἐπίπονα ᾖ· ὁ δὲ πρὸς λουτρά τε καὶ οἰνοφλυγίας ἀκρατέστερον διακείσθω, μηδεμίαν τοῦ
D ἰατρεύοντος συμβουλὴν πρὸς τὴν τῶν ὀφθαλμῶν ὑγίειαν παραδεξάμενος. φαμὲν τοίνυν πρὸς τὸ πέρας ἑκατέρου βλέποντες, ἀξίως ἀπολαβεῖν ἑκάτερον τῆς προαιρέσεως αὐτοῦ τοὺς καρπούς· τὸν μὲν τὴν στέρησιν τοῦ φωτὸς, τὸν δὲ τὴν ἀπόλαυσιν. τὸ γὰρ ἀναγκαίως ἑπόμενον, ἀντίδοσιν ἐκ καταχρήσεως ὀνομάζομεν. ταῦτα καὶ ἐπὶ τῶν νηπίων ζητουμένων ἔστιν εἰπεῖν, ὅτι

λὴ τῆς ζωῆς ἐκείνης ἀπόλαυσις, οἰκεία μέν ἐστι τῇ ἀνθρωπίνῃ φύσει· τῆς δὲ κατὰ τὴν ἄγνοιαν νόσου, πάντων σχεδὸν τῶν ἐν τῇ σαρκὶ ζώντων ἐπικρατούσης· ὁ μὲν ταῖς καθηκούσαις θεραπείαις ἑαυτὸν ἐκκαθάρας, καὶ οἷόν τινα λήμην τοῦ διορατικοῦ τῆς ψυχῆς ἀποκλύσας τὸ ἄγνοιαν, ἄξιον τῆς σπουδῆς ἔχει τὸ κέρδος, ἐν τῇ ζωῇ τῇ κατὰ φύσιν γινόμενος. ὁ δὲ τὰ διὰ τῆς ἀρετῆς φεύγων καθάρσια, καὶ δυσίατον ἑαυτῷ διὰ τῆς ἀπατηλῆς ἡδονῆς κατασκευάζων τὸ ἀγνοίας τὴν νόσον, παρὰ φύσιν διατεθεὶς, ἀλλοτριοῦται τοῦ κατὰ φύσιν, καὶ ἀμέτοχος γίνεται τῆς οἰκείας ἡμῖν καὶ καταλλήλου ζωῆς. τὸ δὲ ἀπειρόκακον νήπιον μηδεμιᾶς νόσου τὴν τῶν ψυχῆς ὀμμάτων πρὸς τὴν τοῦ φωτὸς μετουσίαν ἐπιπροσθούσης, ἐν τῷ κατὰ φύσιν γίνεται, μὴ δεόμενον τῆς ἐκ τοῦ καθαρθῆναι ὑγείας, ὅτι μηδὲ τὴν ἀρχὴν τὴν νόσον τῇ ψυχῇ παρεδέξατο. καί μοι δοκεῖ διά τινος ἀναλογίας οἰκείως ἔχειν ὁ παρὼν τοῦ βίου τρόπος τῇ προσδοκωμένῃ ζωῇ. καθάπερ γὰρ θηλῇ τε καὶ γάλακτι ἡ πρώτη τῶν νηπίων ἡλικία τιθηνουμένη ἐκτρέφεται. εἶτα διαδέχεται ταύτην καταλλήλως ἑτέρα τῷ ὑποκειμένῳ τροφὴ, οἰκείως τε καὶ ἐπιτηδείως πρὸς τὸ τρεφόμενον ἔχουσα. ἕως ἂν ἐπὶ τὸ τέλειον φθάσῃ· οὕτως οἶμαι καὶ τὴν ψυχὴν διὰ τῶν ἀεὶ κατ᾽ ἀλλήλων τάξει τινὶ καὶ ἀκολουθίᾳ μετέχειν τῆς κατὰ φύσιν ζωῆς, ὡς χωρεῖ καὶ δύναται τῶν ἐν τῇ μακαριότητι προκειμένων καταλαμβάνουσα, καθὼς καὶ παρὰ τοῦ Παύλου τὸ τοιοῦτον ἐμάθομεν, ἄλλως τρέφοντος τὸν ἤδη διὰ τῆς ἀρετῆς αὐξηθέντα, καὶ ἑτέρως τὸ νήπιον καὶ ἀτελέστερον. πρὸς μὲν γὰρ τοὺς τοιούτους φησὶν, ὅτι γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε· πρὸς δὲ τοὺς πεπληρωκότας τὸ μέτρον τῆς νοητῆς ἡλικίας, τελείων δέ ἐστι, φησὶν, ἡ στερεὰ τροφὴ τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων. καθάπερ τοίνυν οὐκ ἔστιν ἐν τοῖς ὁμοίοις εἰπεῖν εἶναι τόν τε ἄνδρα καὶ τὸ νήπιον, κἂν μηδεμία νόσος ἑκατέρῳ τούτων προσάπτηται. πῶς γὰρ ἂν ἐν τῷ ἴσῳ τῆς τρυφῆς γένοιτο, οἱ τῶν αὐτῶν μὴ μετέχοντες;

A quòd illius vitæ vſus atque fruitio, propria quidem humanæ naturæ ſit: ſed cùm ignorantiæ morbo omnes propemodum, qui in carne viuunt, correpti ſint: qui quidem idoneis & competentibus curationibus ſeſe expurgauerit, & veluti lippitudinem quandam à perſpectiua vi animæ ignorantiam quaſi deriuerauerit, abluerit atque ſuſtulerit, dignum ſtudio lucrum conſequutus in ea, quæ ſecundum naturam eſt, vita verſatur. qui autem ea, quæ per virtutem adhibentur, purgatoria fugit remedia, curatúq; difficilem ſibi per fallaces voluptates ignorantiæ morbũ efficit, præter naturã diſpoſitus & affectus alienus eſt ab eo, quod ſecundum naturam eſt, & expers fit eius vitę, quę nobis propriè conuenit & accõmodata eſt. At puellus B infans ſimplex omniſq; malitiæ expers, nullo etiam nunc oculorũ animi morbo participationi lucis officiẽte, in eo, quod naturale eſt, verſatur, ſanitate, quæ per purgationem contingit, non indigens: quippe nec ab initio quidem prorſus in animum morbum admiſit. Ac mihi prǽſens vitæ ratio per quãdam conuenientiam atque proportionem affinis & pro- C pinqua eſſe videtur ei vitæ, quam expectamus. Quemadmodum enim prima infantium ætas mamma ac lacte nutrita educatur: deinde alius conueniens ei, cui adhibetur, excipit cibus, qui idoneus ac proprius ſit eius, qui enutritur, donec ad perfectam peruenerit ætatem: ita opinor etiam animam per ea quæ ſemper competentia ſibi atque accommodata ſint, ordine atque conſequentia quadam participem fieri eius vitæ, quę ſecundum naturam eſt, quantam capit ac poteſt, de iis, quæ in beatitudine propoſita ſunt, partem capien- D tem, quemadmodum etiam id à Paulo didicimus, aliter nutriẽte eum, qui iam per virtutem creuerit, aliter infantem & imperfectiorem. nam ad huiuſmodi quidem dicit: Lactis potu vos alui, & non cibo: nondum enim poteratis. ad eos autem qui iam impleuerant menſuram ætatis, quæ ratione ac mente percipitur, Perfectorum autem eſt, inquit, ſolidus cibus, qui per habitum ſenſoria habent exercitata. Quemadmodum igitur dici non poteſt, in ſimilibus eſſe virum & infantem, etiamſi neuter eorum morbo aliquo implicetur: (quo pacto enim in paribus verſari deliciis poſſint, qui earumdem rerum particeps nõ ſunt?)

1.Cor.3.

Hebr.5.

ſed morbo quidem nullo affligi, & in A hoc, & in illo ſimiliter dicitur, quamdiu paſſionis & afflictionis vterque expers eſt: ſed fructus deliciarum non amplius ab iiſdem ſimiliter percipitur. (Nam huic quidem licet vel orationibus delectari, vel rebus præeſſe, vel cum laude ac gloria magiſtratus gerere, vel benefaciendo hominibus egentibus clareſcere, vel ſi res ita tulerit cum vxore, quæ cordi ſit, matrimonio iunctum eſſe, ac domui præeſſe: ac ſi qua alia per hanc vitam vnà cum his iucunda licet inuenire, tum acroamata, tum ſpectacula, venationes, lauatra, gymnaſia, B conuiuales animi delectationes, ac ſi quid aliud eiuſmodi eſt. At infanti delitiæ ſunt lac, nutricis vlnæ quieta ac placida motio, quæ ſomnum inuitet & demulceat. nam imperfectæ ætatis ea natura eſt, vt quæ ſuperet hanc, oblectationem non capiat) eodem modo, qui per virtutem in hac vita animas nutriuerunt, &, vt inquit Apoſtolus, mentis ſuæ ſenſuum inſtrumenta exercuerunt, ſi ad incorpoream illam vitam traducantur, pro oratione habitus ac potentiæ, quæ in ipſis inſit, diuinarum deliciarum participes erunt, vel maio- C rem vel minorem, ſecundum præſentem cuiuſque potentiam propoſitorum partem capientes. At anima, quæ virtutem nondum guſtauit, eorum quidem malorum, quæ ex improbitate ac nequitia oriuntur, vt quæ ab initio prorſus in malitiæ morbum non inciderit, expers manet: illius autem vitæ, quam Dei tum cognitionem tum participationem eſſe, oratio ſuperior definiuit, tantam in initio partem capit, quantæ capax eſt id, quod enutritur. quo ad tanquam cibo quodam conuenienti & accommodato ad contemplationẽ eius, qui reuera eſt, grandis effecta maioris D partis capax efficiatur, largiter & abundè pro arbitrio partem capiens eius qui reuera eſt. Ad hæc reſpicientes malorum quidem, quæ ex improbitate ac nequitia exiſtunt, pariter expertem animam eſſe dicimus tum eius, qui per omnem virtutem progreſſus facit, tum eius, qui ne vitæ quidem penitus particeps fuit. non tamen in eodem ſtatu atque conditione pari vtriuſque horum conuerſationem vitæque traductionem eſſe intelligimus. hic enim cœleſteis, vt ait propheta, narrationes, per quas gloria Dei annuntiatur, audiuit,

A ἀλλὰ τὸ μὲν μὴ κακοῦσθαι νόσῳ τινὶ, καὶ ἐπὶ τούτου καὶ ἐπ' ἐκείνου λέγεται παραπλησίως, ἕως ἂν ἔξω πάθους ἑκάτερος ᾖ· τὴν δὲ κατὰ τρυφὴν ἀπόλαυσιν, οὐκέτι ὁμοίως παρὰ τῶν αὐτῶν ἐνεργεῖται. τῷ μὲν γὰρ ὑπάρχει καὶ διὰ λόγων εὐφραίνεσθαι, καὶ πραγμάτων ἐπιστατεῖν, καὶ εὐδοκίμους ἀρχὰς μετιέναι, καὶ ταῖς τῶν δεομένων εὐεργεσίαις λαμπρύνεσθαι, γαμετῇ τε συνοικεῖν, ἂν οὕτω τύχῃ καταθυμία, καὶ οἴκου ἄρχειν, καὶ ὅσα κατὰ τοῦτόν ἐστιν ἡδέα τὸν παραβατὸν βίον εὑρεῖν, ἀκροάματά τε καὶ θεάματα, θῆραι καὶ λουτρὰ, καὶ γυμνάσια, καὶ συμπόσια, καὶ B θυμηδίαι, καὶ εἴ τι τοιοῦτον ἕτερον. τῷ δὲ νηπίῳ ἡ τρυφὴ, τὸ γάλα ἐστὶ, καὶ ἡ τῆς τιθήνης ἀγκάλη, καὶ ἠρεμαία κίνησις τὸν ὕπνον ἐφελκομένη τε καὶ ἡδύνουσα. τὴν γὰρ ὑπὲρ τοῦτο εὐφροσύνην, τὸ ἀτελὲς τῆς ἡλικίας χωρῆσαι φύσιν οὐκ ἔχει· τὸν αὐτὸν τρόπον οἱ διὰ τῆς ἀρετῆς ἐν τῷ τῇδε βίῳ τὰς ψυχὰς θρέψαντες, καὶ καθὼς φησὶν ὁ ἀπόστολος, καταγυμνάσαντες ἑαυτῶν τὰ νοητὰ αἰσθητήρια, εἰ πρὸς τὴν ἀσώματον ἐκείνην μετοικισθεῖεν ζωὴν, πρὸς λόγον τῆς ἐνυπαρχούσης αὐτοῖς ἕξεώς τε καὶ δυνάμεως τῆς θείας τρυφῆς μεταλήψονται, ἢ πλείονος C ἢ ἐλάττονος κατὰ τὴν παροῦσαν ἑκάστου δύναμιν τῶν προκειμένων μετέχοντες. ἡ δὲ ἄγευστος τῆς ἀρετῆς ψυχὴ, τῶν μὲν ἐκ πονηρίας κακῶν, ἅτε μήτε τὴν ἀρχὴν συνενεχθεῖσα τῇ τῆς κακίας νόσῳ, διαμένει ἀμέτοχος· τῆς ζωῆς ἐκείνης ἣν Θεοῦ γνῶσίν τε καὶ μετουσίαν ὁ περὶ τούτων λόγος ὡρίσατο, τοσοῦτον μετέχει παρὰ τὴν πρώτην, ὅσον χωρεῖ τὸ τρεφόμενον, ἕως ἂν καθάπερ τινὶ τροφῇ κατ' ἀλλήλῳ τῇ θεωρίᾳ τοῦ ὄντος ἐναδρυνθεῖσα χωρητικὴ τοῦ πλείονος γένηται, ἐν δαψιλείᾳ τοῦ ὄντως ὄντος D κατ' ἐξουσίαν μετέχουσα. πρὸς ταῦτα βλέποντες, ἔξω μὲν τῶν ἐκ πονηρίας κακῶν ὁμοίως εἶναι φαμὲν τὴν ψυχὴν, τοῦ τε διὰ πάσης ἀρετῆς ἥκοντος, καὶ τοῦ μηδὲ ὅλως μετεσχηκότος τοῦ βίου. οὐ μὴν ἐν τῷ ὁμοίῳ τὴν ἑκατέρου τούτων διαγωγὴν ἐννοοῦμεν. ὁ μὲν γὰρ ἤκουσε, καθὼς ὁ προφήτης φησὶ, τῶν οὐρανίων διηγημάτων, δι' ὧν ἡ δόξα τοῦ Θεοῦ καταγγέλλεται,

καὶ διὰ τῆς κτίσεως πρὸς τὴν κατανόησιν ὡδηγήθη τοῦ δεσπότου τῆς κτίσεως, καὶ διδασκάλῳ τῇ ὄντως σοφίᾳ ἐχρήσατο τῇ ἐν τοῖς οὖσι θεωρουμένῃ σοφίᾳ, τότε τοῦ φωτὸς τούτου κάλλος κατανοήσας, ἀναλογικῶς τὸ τοῦ ἀληθινοῦ φωτὸς κάλλος ἐνόησε, καὶ ἐν τῷ παγίῳ τῆς γῆς τὸ τοῦ πεποιηκότος αὐτὴν ἀμετάθετον ἐπαιδεύθη. καὶ τὸ ἀμέτρητον τοῦ οὐρανίου μεγέθους κατανοήσας, πρὸς τὸ ἄπειρόν τι καὶ ἀόριστον τῆς ἐμπεριεχούσης τὸ πᾶν δυνάμεως ὡδηγήθη. τάς τε ἀκτῖνας ἰδὼν τοῦ ἡλίου ἐκ τῶν τοσούτων ὑψωμάτων μέχρις ἡμῶν διηκούσας, τὸ μὴ ἀπιστεῖν τὰς νοητικὰς τοῦ Θεοῦ ἐνεργείας πρὸς ἕκαστον ἡμῶν ἀπὸ τοῦ τῆς θεότητος ὕψους κατιέναι διὰ τῶν φαινομένων ἐπίστευσεν. εἰ γὰρ εἷς ὢν φωστὴρ κοινῇ τι τὸ ὑποκείμενον ἅπαν τῇ φωτιστικῇ δυνάμει διαλαμβάνει, καὶ πᾶσι τοῖς μετέχουσιν ἑαυτὸν ἐπινέμων, ὅλος ἑκάστῳ καὶ ἀδιαίρετος πρόσεστι, πόσῳ μᾶλλον ὁ τοῦ φωστῆρος δημιουργός, καὶ πάντα ἐν πᾶσι γίνεται, καθώς φησιν ὁ ἀπόστολος, καὶ ἑκάστῳ πρόσεστι, τοσοῦτον ἑαυτὸν διδούς, ὅσον τὸ ὑποκείμενον δέχεται. ἀλλὰ καὶ στάχυν τις ἰδὼν ἐπὶ γῆς, καὶ τὴν ἐκ φυτοῦ βλάστην, ἢ βότρυν ὥριμον, καὶ τὸ τῆς ὀπώρας κάλλος, ἢ ἐν καρποῖς ἢ ἐν ἄνθεσι, καὶ τὴν αὐτόματον πόαν, καὶ ὄρος ἐπὶ τὸ αἰθέριον ὕψος ἀπὸ τῆς ἄκρας ἀνατεινόμενον, καὶ τὰς ἐν ὑπωρείαις πηγὰς μαζῶν δίκην ἐκ τῶν λαγόνων τοῦ ὄρους ἐπιρρεούσας, ποταμούς τε διὰ τῶν κοίλων ῥέοντας, καὶ θάλασσαν ὑποδεχομένην τὰ πανταχόθεν ῥεύματα καὶ ἐν τῷ μέτρῳ μένουσαν, κύματά τε τοῖς αἰγιαλοῖς ὁριζόμενα, καὶ οὐκ ἐπεξιοῦσαν ὑπὲρ τοὺς τεταγμένους ὅρους κατὰ τῆς ἠπείρου τὴν θάλασσαν. ταῦτα καὶ τὰ τοιαῦτα βλέπων, πῶς οὐχ ἅπαντα διαλάβοι τῷ λόγῳ, δι' ὧν γίνεται ἡ διδασκαλία τοῦ ὄντος, εἰ μικρὰν ἑαυτῷ δύναμιν πρὸς τὴν μετουσίαν τῆς τρυφῆς ἐκείνης προσκατεσκεύασεν; ἵνα δὲ παρῶ τὰ μαθήματα, ὅθεν θήγεται πρὸς ἀρετὴν ἡ διάνοια, γεωμετρίας τε καὶ ἀστρονομίας, καὶ τὴν διὰ τοῦ ἀριθμοῦ κατανόησιν τῆς ἀληθείας, πᾶσάν τε μέθοδον ἀποδεικτικὴν τῶν ἀγνοουμένων καὶ βεβαιωτικὴν τῶν κατειλημμένων, καὶ

A & per creaturam ad conſiderationem Domini creaturę deductus eſt, & ad cognoſcendam eam, quæ verè ſapientia eſt, magiſtra vſus eſt ea ſapientia quæ in rebus vniuerſis cõſideratur, & ineſſe intelligitur: atque huius lucis pulchritudine animaduerſa, per conuenientem ſimilitudinem ac proportionẽ, veræ lucis pulchritudinem conſiderauit & intellexit: & per ſoliditatem ac firmitudinem terræ, eius, qui fecit eam, didicit immobilitatem ac ſtabilitatẽ. Immenſa quoque cœli magnitudine animaduerſa, ad infinitam & indeterminatã potentiam B res vniuerſas in ſe continentẽ deductus eſt; conſpectiſque radiis ſolis ab tantis altitudinibus ad nos vſque pertinentes, per ea quæ apparent, prouidentiæ diuinæ efficientis facultatem nõ deeſſe credidit, vt ab altitudine Deitatis, ad vnũquemque noſtrum deſcendat. Nam ſi vnum luminare & cõmuniter quicquid ſubiectum eſt, illuminatrice vi occupat & comprehendit, & omnibus vtentibus atque fruentibus ſeipſum impertiens, totus vnicuiq; & indiuiſus adeſt: quanto magis luminaris fabricator, & omnia C in omnibus, vt Apoſtolus inquit, exiſtit & vnicuiq; adeſt, tantum ſeſe exhibens, quantum ſubiectum capit. Quinetiam ſi quis vel ſpicam ſuper terram conſpexerit, vel ex planta germen enatum, vel racemum maturum, vel autumni pulchritudinem, tum in fructibus tum in floribus, vel ſpontè prouenientem herbam, vel montem ad æthceam altitudinem à cacumine pertinentem, & fonteis in locis depreſſis vberum in modum ex lateribus & hiatibus montis affluentes: tum amnes per concaua loca fluentes, tum mare, quod & omnia vn- D dique flumina excipit, & in ſua menſura manet, fluctúſque littoribus terminat, & non vltra conſtitutos fines in continentem mare erumpens: hæc & huiuſmodi ſi quis conſideret, quo pacto non omnia ratione comprehendat, per quæ theologis cognitio exiſtit eius, qui eſt? nunquid paruam ſibi vim ad participationem illarum deliciarum comparauit? vt omittam interim diſciplinas, quibus mens ad virtutem acuitur, geometriam, aſtronomiamque, & eam, quæ per numerum contingit, cognitionem veritatis, atque omnem rationem ac viam demonſtratiuam eorum, quæ ignorantur, & confirmatiuam eorum, quæ comprehenſa & intel-

lecta ſunt: adhæc item diuinę ſcripturæ philoſophiam, quæ perfectam iis, qui per eam diuina fuerint edocti myſteria, affert purgationem. At is, qui harum rerum nullius cognitionem adeptus eſt, neque per mundum ad cognitionem ſupramundanarum rerum quaſi manu ductus eſt, ſimplex adeò, tener & inexercitatus mentéque incultus vitam tranſiens, non in iiſdem verſetur, in quibus ſuperiorem illum verſaturum oratio demõſtrauit, vt idcirco non amplius iuxta prolatam à nobis oppoſitionem beatior eſſe oſtendatur is, qui vitæ particeps nõ fuit, eo qui præclarè particeps eius fuit. Nam eo quidẽ, qui cum vitio nequitiáque vixit, non modò ſimplex, vitiíque ac malitiæ expers, verumetiam is forſitan, qui nec prorſus quidem ab initio prodiit in vitam, beatior fuerit.
Matth.26. Tale enim de Iuda quoque per Euangelicam vocem didicimus, quòd in talibus is qui penitus in rerum natura non eſt, eo qui cũ vitioſitate prouenit in rerum naturam, meliore conditione ſit. Nam illi quidem ob profunditatem innatæ vitioſitatis in infinitum prorogatur ea, quæ per purgationẽ fit pœna, eum vero, qui non eſt, quomodo dolor attingere poſſit? Quòd ſi quis comparat immaturam infantium vitã cum ea, quæ ſecundum virtutem agitur, is reuera infans & importunus eſt, qui huiuſmodi iudicio de rebus vtatur. Interrogas ergo cuius rei gratia in ea ætate quis è vita ſubducitur? quid per hoc diuina ſapientia prouidendo cauet? Quòd ſi de his quidem dicas, quę illegitimum partum arguunt, & idcirco à parẽtibus de medio tolluntur, immeritò malitiæ operum à Deo rationẽ repoſcas, qui ea, quæ in hac parte non rectè facta ſunt, in iudicium adducit. Sin autem aliquis, etiamſi diligẽter educetur & curetur à parentibus, votaque ab iiſdem pro eo ſtudioſè ſuſcipiantur, vitę tamen particeps non eſt, morbo ad mortem vſque inualeſcente (quod ſolius haud dubiè cauſſæ eſt) hanc de talibus coniecturam facimus, quòd perfectæ prouidentiæ ſit, nõ modò morbos contractos curare, verumetiam ne ab initio quidem prorſus aliquis in rebus vetitis verſetur, prouidere. Veriſimile enim eſt eum, qui id quod futurum eſt æquè atque præteritum cognouit, progreſſum vitæ infantis ad perfectionem prohibere, ne quod vi præſcia malum animaduerſum eſt, in eo, qui ita victurus fuiſſet,

A περί γε τούτων, τὴν τῆς θεοπνεύστου γραφῆς φιλοσοφίαν, τελείαν ἐπάγουσαν κάθαρσιν τοῖς δι' αὐτῆς τὰ θεῖα πεπαιδευμένοις μυστήρια. ὁ δὲ μηδενὸς τούτων ἐν γνώσει γενόμενος, μηδὲ χειραγωγηθεὶς διὰ τοῦ κόσμου πρὸς τὴν τῶν ὑπερκοσμίων ἀγαθῶν κατανόησιν, ἁπαλός τις καὶ ἀγύμναστος καὶ ἀτελὴς τὴν διάνοιαν παρελθὼν τὸν βίον, ἐκεῖνος οὐκ ἂν ἐν τοῖς αὐτοῖς εἴη, ἐν οἷς ὁ λόγος τὸν προλαβόντα ἀπέδειξεν, ὡς μηκέτι διὰ τοῦτο μακαριώτερον ἀποδείκνυσθαι κατὰ τὴν προενεχθεῖσαν ἡμῖν ἀντίθεσιν,
B τὸν μὴ μετασχόντα τοῦ βίου τοῦ μετασχόντος καλῶς. τοῦ μὲν γὰρ κακίᾳ συνεζηκότος οὐ μόνον ὁ ἀπειρόκακος ἂν εἴη μακαριώτερος, ἀλλὰ καὶ ὁ μηδὲ τὴν ἀρχὴν παρελθὼν εἰς τὸν βίον. τοιοῦτον γὰρ καὶ περὶ τοῦ Ἰούδα διὰ τῆς εὐαγγελικῆς φωνῆς ἐδιδάχθημεν, ὅτι ἐπὶ τῶν τοιούτων, κρεῖττον τοῦ κατὰ κακίαν ὑφεστῶτος ἐστὶ, τὸ παντελῶς ἀνυπόστατον. τῷ μὲν γὰρ διὰ τὸ βάθος τῆς ἐμφυείσης κακίας εἰς ἄπειρον παρατείνεται ἡ διὰ τῆς καθάρσεως κόλασις, τοῦ δὲ μὴ ὄντος, πῶς ἂν ὀδύνη καθάψαιτο; εἰ δέ τις πρὸς τὸν
C κατ' ἀρετὴν βίον κρίνοι τὸν νηπιώδη καὶ ἄωρον, ἄωρος ὁ τοιοῦτός ἐστι τοιαύτῃ κρίσει περὶ τῶν ὄντων χρώμενος. ἐρωτᾷς οὖν ὅτου χάριν ἐν τούτῳ τῆς ἡλικίας ὢν τῆς ζωῆς ὑπεξάγεται; τί διὰ τούτου τῆς θείας σοφίας προμηθουμένης; ἀλλ' εἰ μὲν περὶ τούτων λέγοις, ὅσα τῆς παρανόμου κυήσεως ἔλεγχος γίνεται, καὶ διὰ τοῦτο παρὰ τῶν γεννησαμένων ἐξαφανίζεται, οὐκ εἰκότως ἂν τῶν τῆς κακίας ἔργων τὸν Θεὸν ἀπαιτοίης τὸν λόγον, τὸν τὰ μὴ καλῶς ἐπὶ τούτῳ γεγενημένα εἰς κρίσιν ἄγοντα. εἰ δέ τις καὶ διατρε-
D φομένων τῶν γεννητόρων καὶ δι' ἐπιμελείας θεραπευόντων, καὶ δι' εὐχῆς σπουδαζόντων, ὅμως οὐ μετέχει τοῦ βίου, κατακρατοῦντος μέχρι θανάτου τοῦ ἀρρωστήματος· ὃ μόνης τῆς αἰτίας ἀναμφιβόλως ἐστί· ταῦτα περὶ τῶν τοιούτων εἰκάζομεν, ὅτι τελείας ἐστὶ προνοίας, οὐ μόνον γεγονότα θεραπεύειν τὰ πάθη, ἀλλ' ὅπως ἂν μηδὲ τὴν ἀρχήν τις τοῖς ἀπηγορευμένοις ἐγγένοιτο προνοεῖν. τὸν γὰρ ἐγνωκότα ἐπίσης τῷ παρεληλυθότι τὸ μέλλον, ἐπικωλύειν εἰκὸς τὴν ἐπὶ τὸ τέλειον τῆς ζωῆς τοῦ νηπίου πρόοδον, ὡς ἂν μὴ τῇ προγνωστικῇ δυνάμει τὸ κατανοηθὲν κακὸν ἐπὶ τοῦ μέλλοντος οὕτως

βιώσεσθαι τελειωθείη, καὶ γίνηται τῷ τοιαύτῃ προαιρέσει συζήσεσθαι μέλλοντι, ὕλη κακίας ὁ βίος. ὑποδείγματι δέ τινι ῥᾴδιον ἂν εἴη παραστῆσαι τὸ νόημα. ἔστω γὰρ καθ' ὑπόθεσιν παντοδαπή τις εὐωχία προκειμένη τῷ συμποσίῳ, ἐπιστατείτω δέ τις τοιοῦτος τῶν δαιτυμόνων, οἷος ἀκριβῶς εἰδέναι τὰ τῆς ἑκάστου φύσεως ἰδιώματα, καὶ τί μὲν κατάλληλον τῇ τοιαύτῃ κράσει, τί δὲ ἐπιβλαβὲς καὶ ἀνοίκειον· προσκείσθω δὲ τούτῳ καὶ αὐθεντική τις ἐξουσία, τοῦ κατὰ τὸ ἴδιον βούλημα τὸν μέν τινα μετέχειν τῶν προκειμένων ἐᾶν, τὸν δὲ ἀποτρέπειν, καὶ πάντα ποιεῖν, ὡς ἂν κατὰ τὴν ἑαυτοῦ κρᾶσιν ἕκαστος τῶν καταλλήλων προσάπτοιτο, ἵνα μήτε ὁ νοσώδης ἐπιτριβείη, προσθεὶς ὕλην διὰ τῶν ἐδωδίμων τῇ νόσῳ, μήτε ὁ εὐρωστότερος κάμοι εἰς πληθωρικὴν ἀηδίαν ἐκπίπτων τῇ κατάλληλῳ τροφῇ. ἐν τούτοις ἢ μεσοῦντος τοῦ συμποσίου τις τῶν τῇ οἰνοφλυγίᾳ προσκειμένων ἐξάγηται, ἢ ἐν ἀρχῇ ὢν τῆς μέθης· ἢ μέχρι τέλους παραμένῃ τῷ δείπνῳ, ταῦτα τοῦ ἐπιστάτου οἰκονομοῦντος, ὡς ἂν εὐσχημονοίη διαρκῶς ἡ τράπεζα τῶν ἐκ πλησμονῆς τε καὶ μέθης τε καὶ παραφορᾶς κακῶν καθαρεύουσα. ὥσπερ οὖν τῆς τῶν ἡδυσμάτων κνίσης ἀποσπώμενος οὐκ ἐν ἡδονῇ ποιεῖται τῶν καταθυμίων τὴν στέρησιν, ἀλλ' ἀχρίστην τινὰ τοῦ ἐπιστατοῦντος καταγινώσκει, ὡς φθόνῳ τινὶ καὶ οὐ προνοίᾳ τῶν προκειμένων ἀπείργοντος, εἰ δὲ πρὸς τοὺς ἔτι ἀσχημονοῦντας τῇ παρατάσει τῆς μέθης, βλέποι ἐν ἐμέτοις καὶ καρηβαρείαις καὶ τῷ παραφθέγγεσθαί τι τῶν οὐ δεόντων, χάριν ὁμολογεῖ τῷ πρὸ τοῦ τοιούτου πάθους τῆς ἀμέτρου πλησμονῆς ἀποσπάσαντι. εἰ δὲ νενόηται ἡμῖν τὸ ὑπόδειγμα, ῥᾴδιον ἂν εἴη προσαγαγεῖν τὸ ἐν τούτῳ καταλειφθὲν ἡμῖν θεώρημα τῷ προκειμένῳ νοήματι. τί γὰρ τὸ προκείμενον ἦν; ὅτου χάριν ὁ Θεός, πολλῆς οὔσης τοῖς πατράσι σπουδῆς φυλαχθῆναι ἑαυτοῖς τὸν τοῦ βίου διάδοχον, ἄωρον πολλάκις ἐν τῷ ἀτελεῖ τῆς ἡλικίας ἐᾷ τὸ τεχθὲν ἀναρπάζεσθαι; πρὸς οὓς ἐροῦμεν τὸ συμποτικὸν ἐκεῖνο ὑπόδειγμα, ὅτι τῆς τοῦ βίου τραπέζης πολλήν τε καὶ παντοδαπὴν τῶν ἐδωδίμων τὴν παρασκευὴν ἐχούσης· νοεῖ

A perficiatur, atque ei, qui ea voluntate arbitrioque victurus fuiſſet, vitij nequitiæque materia vita fiat. Atque hunc intellectum ſimilitudine quadam facile fuerit exprimere atque repræſentare. Sit enim exempli gratia, ex omni genere ciborum opiparum quoddam ac dubium conuiuis epulum propoſitū; huic præſit ex conuiuis is, qui exactè cuiuſque naturæ proprietatē nouerit, quid tali quidem temperamēto atque complexioni cōmodum, quid item noxiū & incommodum ſit: addita ſit item huic cum authoritate poteſtas & officiū quoddā,
B vt ad ſuum arbitrium alium quidem vti & frui appoſitis ſinat, alium verò prohibeat, & omnia faciat ad hoc, quo quiſq; ſuo temperamento atque complexioni commoda conueniētiáque attingat, ne vel morbo obnoxius per eſculenta materiam morbo adijciens conficiatur, vel robuſtior incommodo cibo moleſtiam ex humorum abundantia contrahat atque laboret. In his aliquis vinolentiæ addictus, vel ex medio conuiuio educatur, vel cùm incipiat inebriari: vel in finem vſque permaneat in cœna, hæc ita
C præfecto adminiſtrante, vt nullum ex abundantia atque ebrietate mentiſque deprauatione malum exiſtens in medio relinquatur, ſed perpetuus decor & honeſtas in menſa ſeruetur. Quemadmodum igitur ei, qui à nidore condimentorum auellitur, priuatio eorum, quæ cordi ſunt, ingrata atque iniucunda eſt, atque importunitatis ac temeritatis cuiuſdam præfectum condemnat, quaſi inuidia quadam & non prouidentia ab appoſitis arcētem. Sed ſi ad eos, qui pro-
D rogatione ebrietatis vomendo, caputq; grauatum iactando, ac temerè quæ non decet proferendo, etiam nunc ſe turpiter gerentes reſpiciat, gratiam habet ei, qui antequam talia ſibi acciderent, ab immoderata repletione cum prohibuerit. Si igitur ſimilitudo à nobis intellecta eſt, facile fuerit in ea comprehenſam à nobis ſpeculationē ad propoſitum ſenſum accōmodare. Quid enim erat propoſitū? Cuius rei gratia cùm plurimum ſtudij parētes in hoc ponant, vt ſuarum ſibi facultatum ſucceſſor reſeruetur, Deus ſæpe ante tempus ac præmaturè in imperfecta ætate abripi ſinit id quod natum eſt? His qui ita interrogant, referemus cōuiualem illā ſimilitudinem, quòd cùm multum ac varium eſculentorum apparatum vitæ menſa habeat (intellige

autem mihi ſecundum peritiam rei culinariç artiſque condiẽdorum ciborum, nõ omneis vitæ partes voluptatis melle dulceſcere, ſed alicubi etiam acerbioribus caſibus vitam condiri: qualia nimirum artifices voluptatum ad epulas & ventrem pertinentium excogitant & tractant, vel acrioribus, vel ſalſuginoſis, vel aſtringentibus appetitus conuiuarum excitantes.) quoniam ergo non per omnia negocia officiáque vita ſuauis & iucunda eſt, ſed in aliquibus etiam ſalſamentum obſonium eſt, vel aſtrictiua, vel acetoſa, vel mordax quædam & acris qualitas ingeſta, & rebus intrita ſumptu difficilem efficit vitæ cibum conditum, pleni item variæ mixturæ fraudis crateres ſunt: quorum alij quidem inflationis vitium per faſtus fraudem ingenerant, alij vero in temeritatem ac vecordiam deuocant eos qui imbiberint, aliis item malè quæſitorum vomitum per turpem ſolutionem mouent: ne ergo in tali menſæ apparatu diutius immoretur, qui non rectè ac decenter conuiuio vtatur, citius educitur ex cœtu atque conſeſſu conuiuarum, id lucri faciens, quod in illa moleſtia atque turpitudine non verſetur, quarum rerum immoderata ſumptio helluonibus conciliatrix exiſtit. Hoc eſt, quod dico perfectæ atque abſolutæ prouidentiæ opus eſſe, non ſolum contractos curare morbos, verum etiam prohibere antequam contrahantur. Quam adeò opinionem etiam de morte infantium modò natorum habemus, quod is, qui ratione omnia facit humanitate adductus vitiis materiam aufert, ſpatium temporis voluntati per vim præſciam notatæ & animaduerſæ non dans, vt per opera in nequitiæ vitiiſque excellentia oſtendatur, qualis ſit cùm ad malum impetum habeat & effectum. Sæpenumero autem per huiuſmodi etiam caſus ſimulatam atque prætenſam auaritiæ neceſſitatem arguit is, qui vitæ conuiuium conſtituit, vt opinor, nudatus ſpecioſis prætextibus ac velamentis auaritiæ morbus appareat nullo falſo tegumento obumbratus. Nam vulgò plerique aiunt, idcirco ſe cupiditati rem augẽdi indulgere, vt ditiores ex ſeſe natos reddant. quorũ morbum proprium eſſe, & ex neceſſitate non innaſci arguit inexcuſabilis auaritia eorum, qui

Interpres legit τύφ.

A δοκεῖ μοι κατὰ τὴν ὀψαρτυτικὴν ἐμπειρίαν μὴ πάντα τῷ τῆς ἡδονῆς μέλιτι τὰ τοῦ βίου καταγλυκαίνεσθαι, ἀλλ' ἔστιν ὅπου καὶ τοῖς αὐστηροτέροις τῶν συμπτωμάτων τὴν ζωὴν ἐπαρτύεσθαι, οἷα δὴ φιλοτεχνοῦσιν οἱ τὴν περὶ γαστέρα καὶ θοίνην ἡδονῶν τεχνῖται, τοῖς δριμυτέροις ἢ ἁλμῶσιν, ἢ παραστύφουσι τὰς ὀρέξεις τῶν δαιτυμόνων ἀναρριπίζοντες. ἐπεὶ οὖν οὐ διὰ πάντων ἐστὶ τῶν πραγμάτων μελιηδὴς ὁ βίος, ἀλλ' ἔστιν ἐν οἷς ἅλμη τὸ ὄψον ἐστίν, ἢ στύψις, ἢ ὀξῶδες, ἢ δηκτική τις καὶ δριμεῖα ποιότης ἐντεθεῖσα τοῖς πράγμασι, δύσληπτον ποιεῖ

B τὴν καρυκείαν τοῦ βίου, πλήρεις δὲ οἱ τῆς ἀπάτης κρατῆρες παντοδαποῦ κεράματος· ὧν οἱ μὲν τὸ φυσῶδες πάθος διὰ τοῦ τύφου τῆς ἀπάτης ἐμποιοῦσιν, οἱ δὲ εἰς παραφορὰν τοὺς ἐμπιόντας ἐξεκαλέσαντο, ἄλλοις δὲ τῶν πονηρῶς κτηθέντων τὸν ἔμετον διὰ τῆς αἰσχρᾶς ἀποτίσεως ἀνεκίνησαν. ὡς ἂν οὖν μὴ ἐπιχρονίζοι τῇ τοιαύτῃ τῆς τραπέζης παρασκευῇ ὁ μὴ δεόντως τῷ συμποσίῳ χρησάμενος, θᾶττον ἐξάγεται τοῦ τῶν δαιτυμόνων πληρώματος, κερδαίνων τὸ μὴ ἐν ἐκείνοις γενέσθαι, ὧν ἡ ἀμε-

C τρία τῆς ἀπολαύσεως τοῖς λαιμάργοις προξενος γίνεται. τοῦτό ἐστιν, ὅ φημι τελείας εἶναι τῆς προνοίας κατόρθωμα, τὸ μὴ μόνον συστάντα θεραπεύειν τὰ πάθη, ἀλλὰ καὶ κωλύειν πρὸ τῆς συστάσεως. ὃ δὴ καὶ περὶ τοῦ θανάτου τῶν ἀρτιτόκων ὑπενοήσαμεν, ὅτι ὁ λόγῳ τὰ πάντα ποιῶν ὑπὸ φιλανθρωπίας ἀφαιρεῖται τῆς κακίας τὴν ὕλην, μὴ διδοὺς καιρὸν τῇ προαιρέσει τῇ διὰ τῆς προγνωστικῆς δυνάμεως γνωρισθείσῃ διὰ τῶν ἔργων ἐν κακίας ἐξοχῇ δειχθῆναι, οἵα ἐστίν, ὅταν πρὸς τὸ κακὸν τὴν

D ὁρμὴν ἔχοι. πολλάκις δὲ τὴν σεσοφισμένην τῆς φιλαργυρίας ἀνάγκην διὰ τῶν τοιούτων ἐλέγχει ὁ συνιστῶν τὸ τοῦ βίου συμπόσιον, ὡς ἂν οἶμαι, γυμνὸν τῶν εὐπροσώπων προκαλυμμάτων τὸ τῆς φιλαργυρίας ἀρρώστημα φαίνοιτο, μηδενὶ παραπετάσματι πεπλασμένον συσκιαζόμενον. φασὶ γὰρ οἱ πολλοὶ διὰ τοῦτο ταῖς τοῦ πλείονος ἐπιθυμίαις ἐπιπλατύνεσθαι, ὡς ἂν πλουσιωτέρους τοὺς ἐξ αὐτῶν γεγονότας ποιήσαιεν, ὧν ἐλέγχει τὴν νόσον ἰδίαν οὖσαν οὐκ ἐξ ἀνάγκης ἐπιγινομένην ἡ ἀπροφάσιστος

τὴν ἀτέκνων πλεονεξίαν. πολλοὶ γὰρ οὔτε ἔχοντες διαδοχὴν ἐπὶ πολλοῖς οἷς ἐμόχθησαν, οὔτε ἐν ἐλπίσι τοῦ σχεῖν ὄντες, ἀντὶ μυρίων τέκνων πολλὰς ἐπιθυμίας ἐν ἑαυτοῖς παιδοτροφοῦσιν, οὐκ ἔχοντες ποῦ τὴν ἀνάγκην τῆς ἀρρωστίας ταύτης ἐπαπενέγκωσιν. Εἰ δέ τινες κακῶς ἐπιδημοῦντες τῷ βίῳ, τυραννικοί τε καὶ πικροὶ τὴν προαίρεσιν, πάσαις ἀκολασίαις δεδουλωμένοι, θυμῷ παραπλῆγες, φειδόμενοι τῶν ἀνηκέστων κακῶν οὐδενός, λῃσταί τε καὶ ἀνδροφόνοι, καὶ πατρίδων προδόται, ἢ εἴ τι τούτων ἐστὶν ἐναγέστερον, οἷον πατροφόνοι τε, καὶ μητραλῷαι, καὶ παιδοκτόνοι, καὶ ταῖς παρανόμοις μίξεσιν ἐπιλυσσῶντες, οἱ τοιοῦτοί τινες ὄντες ἐν τῇ κακίᾳ ταύτῃ γηράσκουσι· πῶς ἐρεῖ τις συμβαίνειν ταῦτα τοῖς προεξητασμένοις; εἰ γὰρ ὁ πρὸ ὥρας ἀνάρπαστος, ὡς ἂν μὴ εἰς τέλος κατὰ τὸ ὑπόδειγμα τοῦ συμποσίου τοῖς πάθεσι τῆς ζωῆς ταύτης ἐλλαιμαργήσειεν, προνοητικῶς ὑπεξάγεται τοῦ βιωτικοῦ συμποσίου· τίνος χάριν ὁ τοιοῦτος μέχρι γήρως ἐμπαροινεῖ τῷ συμποσίῳ, πονηρὰν ἑαυτῷ τε καὶ τοῖς συμπόταις τὴν τῶν κακῶν ἑωλοκρασίαν ἐπισκεδάζων; ἀλλὰ διὰ τί, πάντως ἐρεῖς, τὸν μὲν προνοητικῶς ὑπεξάγει τοῦ βίου πρὶν τελειωθῆναι διὰ τοῦ κακοῦ τὴν προαίρεσιν, τὸν δὲ καταλείπει γενέσθαι τοιοῦτον, ὡς ἄμεινον αὐτῷ εἶναι τὸ μὴ γενέσθαι ὅλως. πρὸς δὲ τοῦτο, τοιοῦτόν τινα τοῖς εὐγνωμονεστέροις ἀποδώσομεν λόγον, ὅτι πολλάκις ἡ ζωὴ τῶν εὖ βεβιωκότων καὶ τοῖς ἐξ αὐτῶν αἰτία τοῦ βελτίονος γίνεται, καὶ μυρίαι τούτων ἐκ τῆς θεοπνεύστου γραφῆς αἱ μαρτυρίαι, δι' ὧν σαφῶς διδασκόμεθα τῆς παρὰ τοῦ Θεοῦ γινομένης τοῖς ἀξίοις κηδεμονίας καὶ τοὺς ἐξ αὐτῶν συμμετέχειν. ἀγαθὸν δ' ἂν εἴη κεφάλαιον καὶ τὸ ἐμποδὼν τινὶ πρὸς κακίαν γενέσθαι τῷ μέλλοντι πάντως κατ' ἐκείνην βιώσεσθαι. ἐπεὶ δὲ τῶν ἀδήλων ὁ λόγος ἐν τούτῳ καταστοχάζεται, πάντως οὐδεὶς αἰτιάσεται, πολλαχῆ τοῦ στοχασμοῦ τὴν διάνοιαν ἄγοντος. οὐ μόνον γὰρ τοῖς καθηγουμένοις τοῦ γένους εἴποι τις ἂν τὸν Θεὸν χαριζόμενον ὑπεξάγειν τῆς κακῆς ζωῆς τὸν κατ' αὐτὴν βιωσόμενον, ἀλλ' εἰ καὶ μηδὲν εἴη

A liberis carent. Multi enim, cùm nec habeāt multorū labore partorū bonorum ſucceſſores, nec aliquando habituros eſſe ſe ſperēt, pro infinitis liberis multas intra ſeſe cupiditates alunt, non habentes in quos conferant huius morbi neceſſitatem. Quòd ſi qui malè in vita verſantur, ac dedita opera conſultoque crudeles, truces atque tyrannici ſunt, omnibus libidinibus obnoxij, iracundia pręcipites, à nullo incurabili malo abſtinentes, latrones, homicidæ, patriæ proditores, ac ſi quid his eſt deteſtabilius, magiſve nefarium & execrandū: veluti B patricidæ, matrū pulſatores, liberorum interfectores, & quadam quaſi rabie mentis legibus vetitos concubitus ſectantes: qui cùm tales adeò ſint, in hac nequitia atque vitioſitate cōſeneſcunt: quomodo dicet aliquis hæc congruere & conuenire cum iis, quæ ſupra quęſita atque tractata ſunt? Nam ſi is, qui præmaturè abripitur, ne iuxta ſimilitudinem conuiuij ad finem vſque in vitiis huius vitæ quaſi helluetur atque debacchetur, prouida quadam cautione ac beneuolentia ex vitali ſubducitur conuiuio: qua de cauſſa, qui talis eſt, vſque C ad ſenectutem in conuiuio debacchatur, noxiā tum ſibi, tum compotoribus & conuiuiis malorum crapulam offundens? Sed cur, prorſus inquis, hunc quidem prouida beneuolentia ſubducit ex vita prius quam per malum voluntas perficiatur, illum verò relinquit talem fieri, vt melius ipſi eſſet penitus natum non eſſe? Ad hoc item eiuſmodi quandam benignioribus & æquioribus rationem reddemus, quòd ſæpenumero vita eorum, qui bene vixerint, etiam iis, qui ex ipſis nati ſunt, D cauſſa melioris conditionis eſt. Atque ſexcenta horum ex diuina ſcriptura teſtimonia ſunt, quibus apertè docemur, eius curæ beneficiique quod digni à Deo conſequuntur, etiam ex ipſis progenitos vna participes eſſe. Haud contemnenda autem ſors fuerit etiam alicui impedimento fuiſſe ad malitiam & nequitiam, qui iuxta illam omnino victurus fuiſſet. Sed quoniam hîc in rebus incertis oratio coniecturis vtitur, nullus omnino reprehendet, ſi in multas partes coniectura mentem diducit. Non ſolum enim authoribus generis gratificantem Deum dixerit aliquis ex improba vita ſubducere eum, qui in ea victurus fuiſſet, verum etiam ſi nihil

Quæ hîc interpres inſeruerat, cùm in noſtro MS. nō habeantur, omiſimus.

eiuſmodi ſit in iis, qui præmaturè abripiuntur, haud abſurdum fuerit opinari, atrocius ac periculoſius illos ſeſe in vitioſa vita geſturos fuiſſe, quàm illorum quenquam, qui ob vitam nequam atque improbam nobilitati fuerint. Nam nihil fieri ſine Deo ex multis rebus didicimus: rurſum verò nō fortuita eſſe, nec ratione carere ea, quæ diuinitus adminiſtrantur, nemo non conceſſerit, ſciens quòd Deus ratio ac ſapientia eſt, & omnis virtus ac veritas. Nihil autem rationis, ratione caret: neque ſapientis aliquid inſipiens eſt: neque tum virtus, tum veritas admiſerit atque ſuſtinuerit id, quod cum virtute coniunctum, ac veritatis particeps non fuerit. Siue igitur ſecundum iam dictas cauſſas præmaturè & ante tempus aliqui abripiuntur, ſiue quid etiam aliud, præter ea, quæ dicta ſunt, eſt, aſſentiri conuenit, hæc intentione atque prorſus conſilio fieri meliore. Noui autem quandam etiam aliam rationem, quam à ſapientia Apoſtoli didici: per quam nonnullis, qui nequitia excellerent ad arbitrium ſuum viuere permiſſum fuit. Cùm tractaſſet enim diutius eiuſmodi (Rom. 1.) ſententiam in epiſtola ad Romanos, & ex aduerſo ſubieciſſet ſibi id quod ex conſequentia opponebatur, non iam amplius rectè accuſari malū, ſiquidem diuinitus habeat, vt malus ſit, qui prorſus futurus non fuiſſet, ſi noluiſſet is, qui potitur rerum vniuerſarum: ſic occurrit orationi per profundiorem quandam ſpeculationem, oppoſitionem ſoluens. Ait enim Deum cuique id, quo dignus ſit, tribuentem alicubi nequitiæ quoque intentione atque conſilio quodam meliore locum dare. Idcirco enim paſſum eſſe naſci, atq; adeò talem naſci Ægyptium illum tyrannum, vt illius plaga Iſraël multus ille populus omnémque ex numeris collectam comprehenſionem excedens, erudiretur & inſtitueretur. Nam cùm æqualiter diuina potentia per omnia cognoſcatur, & ad benefaciendum iis, qui digni ſunt, ſufficiens ſit, & ad punitionem nequitiæ facultas ei non deſit: quoniam omnino oportebat populum illum deduci ex Ægypto, ne qua eis Ægyptiorum malorum, quod ad vitæ errorem attinet, communio contagioque accideret: idcirco aduerſarius ille Dei, propter omnem nequitiam nominatus & nobilitatus Pharao, in

A τοιοῦτον ἐπὶ τῶν πρὸ ὥρας ἀναρπαζομένων, οὐδὲν ἀπεικὸς οἴεσθαι, τὸ χαλεπώτερον ἂν ἐκείνους ἀπολαμβάνεσθαι τοῦ κατὰ κακίαν βίου, ἢ τούτων ἕκαστον τῶν ἐπὶ πονηρίᾳ γνωρισθέντων παρὰ τὸν βίον. Τὸ γὰρ μηδὲν ἀθεεὶ γίνεσθαι, διὰ πολλῶν ἐγνώκαμεν· τὸ δ᾽ αὖ πάλιν μὴ τυχαῖά τε καὶ ἄλογα εἶναι τὰ θεόθεν οἰκονομούμενα, πᾶς ἂν ὁμολογήσειεν, εἰδὼς ὅτι ὁ Θεὸς λόγος ἐστὶ καὶ σοφία, καὶ πᾶσα ἀρετὴ καὶ ἀλήθεια, * τὸ μὴ ἐνάρετόν τε καὶ ἔξω τοῦ ἀληθοῦς καταδέξαιτο. Εἴτε οὖν B κατὰ τὰς εἰρημένας αἰτίας ἄωροι τινὲς ἀναρπάζονται, εἴτε τι καὶ ἕτερον παρὰ τὰ εἰρημένα ἐστὶ τὸ πάντως ἐπισκοποῦν τῷ βελτίονι ταῦτα γίνεσθαι συνομολογεῖσθαι προσήκει. Οἶδα δέ τινα καὶ λόγον ἕτερον παρὰ τῆς τοῦ ἀποστόλου σοφίας μαθών, δι᾽ οὗ τινες τῶν κατὰ κακίαν ὑπερβεβηκότων κατὰ τὴν ἑαυτῶν προαίρεσιν ζῆσαι ἀφείθησαν. Γυμνάσας γὰρ ἐπὶ πλέον τὴν τοιαύτην διάνοιαν ἐν τῷ πρὸς Ῥωμαίους λόγῳ, καὶ ἀντιπενεγκὼν ἑαυτῷ τὸ ἐκ τοῦ ἀκολούθου ἀντιπιπτόμενον, τὸ μὴ ἂν C εὐλόγως ἐν αἰτίᾳ τὴν κακίαν ἔτι γίνεσθαι, εἴπερ θεόθεν ἔχει τὸ κακὸς εἶναι, οὐκ ἂν γενόμενος πάντως, εἴπερ ἀβούλητον ἦν τῷ ἐπικρατοῦντι τῶν ὄντων· οὕτως ἀπαντᾷ τῷ λόγῳ διὰ βαθυτέρας τινὸς θεωρίας, τὴν ἀντιφορὰν ὑπεκλύων. Φησὶ γὰρ τὸν Θεὸν ἑκάστῳ τὸ κατ᾽ ἀξίαν νέμοντα, ἔστιν ὅπου καὶ τῇ κακίᾳ διδόναι χώραν ἐπισκοπῷ τῷ βελτίονι. Τούτου γὰρ ἕνεκεν εἴασε γενέσθαι, καὶ τοιοῦτον γενέσθαι τὸν Αἰγύπτιον τύραννον, ὡς ἂν τῇ ἐκείνου πληγῇ ὁ Ἰσραὴλ παιδευθείη, ὁ πολὺς ἐ- D κεῖνος λαός, καὶ πᾶσαν τὴν ἐξ ἀριθμοῦ περίληψιν διαβαίνων. Ἴσως γὰρ τῆς θείας δυνάμεως διὰ πάντων γνωριζομένης καὶ πρὸς τὸ εὐεργετεῖν τοὺς ἀξίους ἱκανῶς ἐχούσης, καὶ πρὸς τὴν κόλασιν τῆς κακίας οὐκ ἀτονούσης· ἐπεὶ δὲ πάντως ἐχρῆν ἀποικισθῆναι τῆς Αἰγύπτου τὸν λαὸν ἐκεῖνον, ὡς ἂν μή τις αὐτοῖς γένοιτο τῶν Αἰγυπτίων κακῶν κατὰ τὴν τοῦ βίου πλάνην κοινωνία· τούτου χάριν ὁ θεόμαχος ἐκεῖνος ὁ ἐπὶ παντὶ κακῷ ὀνομαστὸς Φαραὼ τῇ ζωῇ

ζωῇ τῶν εὐεργετουμένων συνανέσχεν τε, καὶ συνήκμασεν, ὡς ἂν τῆς διπλῆς τοῦ Θεοῦ ἐνεργείας ἐφ' ἑκατέρων μεριζομένης ἀξίως τὴν γνῶσιν τῶν δύο λάβῃ ὁ Ἰσραήλ. τὸ μὲν κρεῖττον ἐφ' ἑαυτοῦ διδασκόμενος· τὸ δὲ σκυθρωπότερον ἐπὶ τῶν διὰ κακίαν μαστιζομένων ὁρῶν, ὡς τῷ ὑπερβάλλοντι τῆς σοφίας εἰδότος τοῦ Θεοῦ καὶ τὸ κακὸν ἐπὶ τῇ τοῦ ἀγαθοῦ συνεργίᾳ μεταχειρίζεσθαι. χρεία γὰρ τῷ τεχνίτῃ, εἰ χρὴ τὸν ἀποστολικὸν λόγον καὶ διὰ τῶν ἡμετέρων λόγων βεβαιωθῆναι. χρεία τοίνυν τῷ διὰ τῆς τέχνης πρός τι τῶν βιωφελῶν ἐργαλείων τυποῦντι τὸν σίδηρον, οὐ μόνον τοῦ εὐκόλως τῇ τέχνῃ εἴκοντος ἔκ τινος φυσικῆς ἁπαλότητος, ἀλλὰ κἂν λίαν ἀντίτυπος ὁ σίδηρος ᾖ, κἂν μὴ ῥᾳδίως διὰ πυρὸς ἐκμαλάσσηται, καὶ πρὸς τὸ σκεῦος τῶν χρησίμων τοῦ βίου τυπωθῆναι, τῷ ἀνυπείκτῳ τε καὶ στερρῷ μὴ οἷός τε ᾖ, καὶ τούτου ἡ τέχνη ἐπιζητεῖ τὴν συνεργίαν. ἄκμονι γὰρ χρήσεται τῷ τοιούτῳ ὡς ταῖς ἐπὶ τούτου πληγαῖς τὸν εὐεργῆ τε καὶ ἁπαλὸν πρός τι τῶν χρησίμων ἀποτυποῦσθαι. ἀλλ' ἐρεῖ τις· ἔτι οὐ πάντες παρὰ τὸν βίον τοῦτον τῆς ἑαυτῶν μοχθηρίας ἀπέλαυσαν. οὐδὲ γὰρ οἱ κατ' ἀρετὴν βιοτεύοντες ἐν τῇ ζωῇ ταύτῃ τῶν τῆς ἀρετῆς ἱδρώτων ἀπώναντο. τί οὖν, φησι, τούτων εἶναι τὸ χρήσιμον ἐπὶ τῶν ἐν κακίᾳ ἀτιμωρήτως βεβιωκότων, παραθήσομαί σοι καὶ πρὸς τοῦτο λόγον, τῶν ἀνθρωπίνων λογισμῶν ὑψηλότερον. φησὶ γάρ που τῆς ἑαυτοῦ προφητείας ὁ μέγας Δαβὶδ μέρος τι τοῖς ἐναρέτοις εὐφροσύνης καὶ τὸ τοιοῦτον εἶναι, ὅταν ἀντιπαραθεωρῶσι τοῖς οἰκείοις ἀγαθοῖς τὴν τῶν κατακρίτων ἀπώλειαν. εὐφρανθήσεται γάρ, φησι δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβοῦς. τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ, οὐχ ὡς ἐπιχαίρων ταῖς τῶν αἰκιζομένων ὀδύναις, ἀλλ' ὡς τότε μάλιστα γνωρίζων τὸ ἐξ ἀρετῆς τοῖς ἀξίοις παραγινόμενον. σημαίνει γὰρ διὰ τῶν εἰρημένων, ὅτι προσθήκη τῆς εὐφροσύνης καὶ ἐπίτασις τοῖς ἐναρέτοις γίνεται, ἡ τῶν ἐναντίων ἀντιπαράθεσις. τὸ γὰρ εἰπεῖν ὅτι τὰς χεῖρας ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ νίψεται, τοιαύτην παρίστησι τὴν διάνοιαν. ὅτι τὸ καθαιρόμενον αὐτοῦ τῆς καθ

A vita eorum quibus bene fiebat, & exortus eſt, & floruit, vt duplici efficientia Dei in vtriſque diſtributa iuſtam vtriuſque cognitionem Iſraël acciperet, dum id quidem, quod melius erat in ſeipſo diſceret, triſtius autem, in iis, qui ob nequitiam & malitiam flagellabantur, videret, cùm excellentia ſapientiæ ſuæ Deus nimirum etiam malum ad adiuuandum bonum tractare & accommodare ſciat. Opus enim erat artifici (ſi etiam noſtris verbis Apoſtolicum ſermonem confirmari oportet) opus igitur erat per artem excudenti ferrum ad vti-
B le quoddam vitæ inſtrumentum non ſolùm eo, quod ex naturali quadam teneritate ac mollitudine facilè arti cederet, verumetiam ſi admodum durum, rigidum atque reſiſtens ferrum ſit; etiamſi non facilè per ignem molleſcat, & ad aliquod vitæ neceſſarium inſtrumentum ob renitentiam ac firmitudinem ſuam excudi ac formari non poſſit, etiam huius ars adiumentum requirit. Nam pro incude tali vtetur, vt ictibus in ea ferrum tenerum & ad opus apertum ad aliquod vtile inſtru-
C mentum excudatur & efformetur. Sed dicet aliquis, quòd non omnes in hac vita, ſuæ nequitiæ pœnas dent. nam nec qui ſecundum virtutem quidem viuunt, in hac vita virtutis ſudorum fructus capiunt. quam ergo, inquit, in his vtilitatem, qui in nequitia impunè vixerunt, eſſe dicemus? Adducam tibi in medium rationem etiam ad hoc humanis cogitationibus ac ratiocinationibus ſublimiorem. Ait enim magnus Dauid in quodam loco ſuæ prophetiæ, partem quandam lætitiæ hoc quoque virtute præditis eſſe, ſi è regione ſuorum bonorum oppoſita damnatorum
D pernicie vtraque conſiderent & inter ſe comparent atque contendant. Lætabitur enim, inquit, iuſtus, cùm viderit vltionem impij: manus ſuas lauabit in ſanguine peccatoris: non quod inſultet doloribus mœrentium, ſed quòd tunc maximè cognoſcat & animaduertat id, quod ex virtute dignis accedit. Significat enim per dicta verba, quòd contrariorum ex aduerſo comparatio, acceſſio lætitiæ atque incrementum virtute præditis exiſtit. Nam per id, quod dixit, Manus in ſanguine peccatoris lauat, huiuſmodi nobis præbet ſententiam, quòd puritas eius in

Pſal. 57.

TTT

vita actionis in perditione peccatorum demõſtratur. Nam lauandi dictio puritatis ſpeciem & imaginem ſignificat. In ſanguine autẽ nemo lauatur, ſed polluitur & inquinatur. itaque per hoc planũ fit, quod rerum acerbarum ex aduerſo comparatio virtutis beatitudinem demonſtrat. Contrahenda eſt igitur oratio in capita, vt intellectus atque ſententiæ, quas tractauimus atque ſcrutati ſumus, memoriæ haud difficulter mandari poſſint. Nam immatura mors infantium neque in doloribus ac mœſtitia eſſe eum, qui ſic viuere deſiit, intelligendum eſſe nobis ſuggerit, neque in pari ipſum & eadem conditione ac ſorte verſari cum iis, qui per omnem virtutem in hac vita purgati ſunt, prouidentia meliori exuperantiam vitiorum prohibente Deo in iis, qui ita victuri fuiſſent. Quòd autem nonnulli malorum diutius viuunt, id redditam ſententiam non ſubuertit. Nam in gratiam parentum malum in illis impeditur ac prohibetur: quibus autem nullus à parentibus ad Deum aditus erat, ne ad eos quidem, qui ex ipſis prognati ſunt, amplius eiuſmodi beneficij genus vna tranſmittitur: aut multo ſæuior & atrocior illis, qui ob nequitiam nobiles ſunt, viſus fuiſſet is, qui per mortem malus fieri prohibitus eſt, ſiquidem liberam, expeditam, & non præcluſam nequitiam habuiſſet: aut ſi qui etiam ad ſummum nequitiæ modum progreſſi ſunt, apoſtolica contemplatio rem, de qua quærimus, conſolatur, quòd nimirum is, qui omnia cum ſapientia facit, etiam per malum aliquid boni efficere ſciat. Quòd ſi quis etiam in nequitia atque improbitate faſtigium ac verticem tenet, & iuxta propoſitam à nobis ſimilitudinem, ad nullum vſum ab arte Dei fabricatus eſt, hoc lætitiæ eorum, qui bene vixerunt, appendix, & additamentum exiſtit. quemadmodum prophetia intelligendum proponit, quod in bonis haud paruum quis exiſtimauerit, nec prouidentia Dei indignum.

A τὴν ζωὴν ἐνεργείας, ἐν τῇ ἀπωλείᾳ τῶν ἁμαρτωλῶν διαδείκνυται. ἡ γὰρ τοῦ νίψασθαι λέξις, καθαρότητος ἔμφασιν διερμηνεύει. ἐν αἵματι δὲ οὐχὶ νίπτεταί τις, ἀλλὰ μολύνεται. ὥστε διὰ τούτου δῆλον γενέσθαι, ὅτι ἡ τῶν σκυθρωποτέρων ἀντιπαράθεσις, τὴν τῆς ἀρετῆς μακαριότητα δείκνυσιν. συναπτέον τοίνυν ἐπὶ κεφαλαίῳ τὸν λόγον, ὡς ἂν εὐμνημόνευτα γένοιτο τὰ ἐξητασμένα νοήματα. ἡ γὰρ ἄωρος τελευτὴ τῶν νηπίων οὔτε ἐν ἀλγεινοῖς εἶναι τὸν οὕτω τὴν ζωὴν παυσάμενον νοεῖν ὑποτίθεται, οὔτε κατὰ τὸ ἴσον τοῖς διὰ πάσης ἀρετῆς

B κατὰ τὸν τῇδε βίον κεκαθαρμένοις γίνεται, προμηθείᾳ κρείττονι τοῦ Θεοῦ τὴν τῶν κακῶν ἀμετρίαν κωλύοντος ἐπὶ τῶν μελλόντων οὕτω βιώσασθαι. τὸ δὲ ἐπιβιῶναί τινας τῶν κακῶν, οὐκ ἀνατρέπει τὴν ἀποδοθεῖσαν διάνοιαν. τῇ γὰρ πρὸς τοὺς γεννησαμένους χάριτι τὸ κακὸν ἐπ' ἐκείνων ἐνεποδίσθη. οἷς δὲ οὐκ ἦν τις ἐκ γονέων πρὸς τὸν Θεὸν παρρησία, οὐδὲ τοῖς ἐξ ἐκείνων τὸ τοιοῦτον ἐπὶ τῆς εὐεργεσίας εἶδος συμπαρεπέμφθη· ἢ πολλῷ χαλεπώτερος τῶν ἐπὶ κακίᾳ γνωρίμων ὁ κωλυθεὶς διὰ τοῦ θανάτου

C γενέσθαι κακὸς ἐφάνη ἄν, εἴπερ ἀκώλυτον εἶχε τὴν πονηρίαν· ἢ εἴ τινες καὶ εἰς τὸ ἀκρότατον τῆς πονηρίας μέτρον προσεληλύθασιν, ἡ ἀποστολικὴ θεωρία παραμυθεῖται τὸ ζήτημα, ὡς εἰδότος τοῦ πάντα ἐν σοφίᾳ ποιοῦντος, καὶ διὰ τοῦ κακοῦ τι τῶν ἀγαθῶν κατεργάσασθαι. εἰ δέ τις καὶ ἐν πονηρίᾳ τὸ ἄκρον ἔχει, καὶ ἐπ' οὐδενὶ χρησίμῳ κατὰ τὸ ῥηθὲν ἡμῖν ὑπόδειγμα παρὰ τῆς τοῦ Θεοῦ τέχνης κατεχαλκεύθη, τοῦτο προσθήκη τῆς εὐφροσύνης τῶν εὖ βεβιωκότων γίνεται, καθὼς ἡ προφη-

D τεία νοεῖν ὑποτίθεται, ὅπερ οὐ μικρὸν ἐν ἀγαθοῖς ἄν τις λογίσαιτο, οὐδὲ τῆς τοῦ Θεοῦ προμηθείας ἀνάξιον.

A

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ, ΛΟΓΟΣ εἰς τὴν γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ εἰς τὰ νήπια τὰ ἐν Βηθλεὲμ ἀναιρεθέντα ὑπὸ Ἡρώδου.

B

ΣΑΛΠΙΣΑΤΕ ἐν νεομηνίᾳ σάλπιγγι, φησὶν ὁ Δαβὶδ, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν. τὰ δὲ τῆς θεοπνεύστου διδασκαλίας προστάγματα, νόμος ἐστὶ πάντως τοῖς ἀκούουσιν. Οὐκοῦν ἐπεὶ πάρεστιν ἡ εὔσημος ἡμέρα τῆς ἑορτῆς ἡμῶν· πληρώσωμεν καὶ ἡμεῖς τὸν νόμον, σαλπιγκταὶ τῆς ἱερουργίας γινόμενοι, ἡ δὲ νομικὴ σάλπιγξ καθὼς κελεύει νοεῖν C ὁ ἀπόστολος, ὁ λόγος ἐστί. φησὶ γὰρ, μὴ ἄδηλον δεῖν γίνεσθαι τὸν τῆς σάλπιγγος ἦχον, ἀλλὰ διεσταλμένον τοῖς φθόγγοις πρὸς τὴν τῶν ἀκουόντων σαφήνειαν. Οὐκοῦν ἠχήσωμεν καὶ ἡμεῖς, ἀδελφοὶ, λαμπρόν τινα ἦχον καὶ ἐξάκουστον, οὐδὲν τῆς κερατίνης ἀτιμότερον. καὶ γὰρ καὶ ὁ νόμος ἐν τοῖς τῆς σκιᾶς τύποις προδιαζωγραφῶν τὴν ἀλήθειαν ἐν τῇ σκηνοπηγίᾳ, τὸν ἐκ τῶν σαλπίγγων ἦχον ἐνομοθέτησε· καὶ ἡ παροῦσα τῆς ἑορτῆς ὑπόθεσις, τὸ τῆς ἀληθινῆς σκηνοπηγίας ἐστὶ μυστήριον. ἐν ταύτῃ γὰρ σκη- D νοπηγεῖται τὸ ἀνθρώπινον σκήνωμα τῷ δι' ἡμᾶς ἐνδυσαμένῳ τὸν ἄνθρωπον· ἐν ταύτῃ τὰ διαπεπτωκότα ἡμῶν ὑπὸ τοῦ θανάτου σκηνώματα πάλιν συμπήγνυται ὑπὸ τοῦ ἐξ ἀρχῆς τὸ οἰκητήριον ἡμῶν οἰκοδομήσαντος. εἴπωμεν καὶ ἡμεῖς τὸ τῆς ψαλμῳδίας, τῷ μεγαλοφώνῳ Δαβὶδ συγχορεύοντες, ὅτι εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. πῶς ἐρχόμενος; οὐ καθάπερ διὰ πλοίου τινὸς, ἢ ὀχήματος· διὰ δὲ τῆς παρθενικῆς ἀφθαρσίας ἐπὶ τὸν ἀνθρώπινον βίον διαπεράσας. οὗτος ὁ Θεὸς ἡμῶν, οὗτος ὁ κύριος ἐπέφανεν ἡμῖν εἰς τὸ συστήσασθαι

Sancti Patris noſtri

GREGORII NYSSENI EPISCOPI, ORATIO IN diem natalem Domini noſtri Ieſu Chriſti, & in infantes qui in Bethlehem occiſi ſunt ab Herode.

Franciſco Zino interprete.

BVCCINATE, inquit Dauid in Neomenia tuba, in inſigni die ſolennitatis veſtræ. *Pſal. 80.* Cœleſtis autem doctrinæ inſtituta omnino ſunt inſtar legis apud eos, qui audiunt. Quamobrem, quoniam adeſt inſignis dies ſolennitatis noſtræ, nos item obſeruemus legem, & efficiamur ſacræ celebritatis buccinatores. Legalis autem tuba, vt declarat Apoſtolus, eſt oratio. Incertum enim, inquit, tubæ *Cor. 14.* clangorem eſſe non oportere, ſed ſonis diſtinctum, vt ea, quæ dicuntur, perſpicua ſint. Edamus igitur & nos, fratres, clarum aliquem ſonum, qui non minus exaudiatur, quàm ſi ederetur cornea tuba. Quandoquidem & lex in vmbræ figuris antè depingens veritatem, in tabernaculorum celebritate tubis vt caneretur, mandauit. Et præſens celebritatis argumentum, veræ tabernaculi extructionis myſterium eſt. *Leuit. 23.* In hac enim humanum ei tabernaculum ſigitur, qui propter nos formam hominis induit. In hac tabernacula noſtra, quæ morte corruerant, inſtaurantur ab eo, qui ab initio conſtruxerat ædificium. Nos etiam ea verba pſalmi cum vocali Dauide plaudentes dicamus: Benedictus, qui venit in nomine Domini. Quomodo autem venit? non nauigio, aut curru aliquo, ſed incorrupta virginitate in vitam humanam traiecit. Hic Deus noſter, hic Dominus *Pſal. 117.* illuxit nobis, vt diem hanc ſolennem

conſtitueret in condenſis vſque ad cornua altaris. Quod autem myſterium, fratres, in iis, quæ dicta ſunt, contineatur, neutiquam ignoramus. ſcimus enim vniuerſas res procreatas eſſe veluti templum quoddam Domini, à
Eſa. 98. quo procreatæ ſunt. Verum, quia ſuperinducto peccato obſtructa erant ora illorum, qui victi fuerant, & exultationis vox obticuerat, & dies feſtos celebrantium conſenſus diſtractus erat, cùm humana natura cum beatarum mentium natura in celebrando non conueniret, idcirco venerunt Prophetarum & Apoſtolorum turbæ, quas lex corneas vocat, quia ex vero vnicorni confectæ ſunt. Hæ ſpiritu ſancto inflatæ cõtinuum veritatis ſonum protulerunt, vt auribus eorum, qui propter peccatum obſurduerant, patefactis, per condenſationem tabernaculi inferioris cum eximiis & præſtantibus illis virtutibus, quæ ad altare ſupernum aſtant, concinentem, vna ſolennitas celebraretur. Diuini enim illius altaris cornua ſunt eximiæ & præſtantes cœleſtis naturæ Virtutes, & Principatus, & Poteſtates, & Throni, & Dominationes, quibuſcum per tabernaculi excitationem in celebritate coniungitur humana natura, renouatione corporum condenſata. Nam condenſari, & ornari, & indui idem eſt, vt illi, qui hæc intelligunt, interpretantur. Agite igitur, ad ſpiritalem choream animis noſtros excitemus, nobiſque chori ducem, & principem, & coryphæum Dauidem proponamus, & vnà cum illo dulcem illam emittamus vocem, quam ante cecinimus. Sic igitur rurſum repetamus. Hæc eſt dies quam
Pſal. 117. fecit Dominus: exultemus, & lætemur in ea. In hac tenebræ incipiunt minui, & creſcente ſplendore, noctis termini contrahuntur. Neque enim caſu aut ſponte ſua contingunt hæc, fratres, in hac die ſolenni, qua humanæ vitæ ſplendet diuina vita: ſed per ea, quæ cernuntur mentis aciem intendentibus, arcanum quoddam oſtendit natura, ac tantum non vocem emittens docet eos, qui audire poſſunt, quid ſibi velit, quòd in aduentu Do-

A τὴν ἑορτὴν ταύτην ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. πάντως δὲ οὐκ ἀγνοοῦμεν, ἀδελφοὶ, τὸ ἐν τοῖς εἰρημένοις μυστήριον· ὅτι πᾶσα ἡ κτίσις ἕν τι τοῦ δεσπότου τῆς κτίσεως ἐστὶν ἀνάκτορον. ἀλλ', ἐπειδὴ τῆς ἁμαρτίας ἐπεισελθούσης ἐφράγη τῶν τῇ κακίᾳ κατειλημμένων τὰ στόματα, καὶ κατεσιγάσθη φωνὴ ἀγαλλιάσεως, καὶ διεσπάσθη τῶν ἑορταζόντων ἡ συμφωνία, τῆς ἀνθρωπίνης κτίσεως οὐ συνεορταζούσης τῇ ὑπερκοσμίῳ φύσει· διὰ τοῦτο ἦλθον αἱ τῶν
B προφητῶν καὶ ἀποστόλων σάλπιγγες, ἃς κερατίνας ὁ νόμος φησὶ, διὰ τὸ εἶναι αὐτῶν τὴν κατασκευὴν ἐκ τοῦ ἀληθινοῦ μονοκέρωτος. αἳ κατὰ τὴν τοῦ πνεύματος δύναμιν, σύντονον τὸν τῆς ἀληθείας ἤχησαν λόγον. ἵνα τῆς ἀκοῆς τῶν ὑπὸ τῆς ἁμαρτίας ἐμπεφραγμένων διανοιχθείσης, μία γένηται σύμφωνος ἑορτὴ, διὰ τοῦ πυκασμοῦ τῆς σκηνοπηγίας τῆς κάτω κτίσεως πρὸς τὰς ἐξεχούσας καὶ προβεβλημένας περὶ τὸ ἄνω θυσιαστήριον δυνάμεις συνηχοῦσα. τὰ γὰρ κέρατα τοῦ νοητοῦ θυσιαστηρίου,
C αἱ προβεβλημέναι τε καὶ ἐξέχουσαι τῆς νοερᾶς φύσεως δυνάμεις εἰσὶν, ἀρχαί τε καὶ ἐξουσίαι, καὶ θρόνοι, καὶ κυριότητες· πρὸς ἃς τῇ κοινωνίᾳ τῆς ἑορτῆς συνάπτεται διὰ τῆς κατὰ τὴν ἀνάστασιν σκηνοπηγίας ἡ ἀνθρωπίνη φύσις, τῇ ἀνακαινίσει τῶν σωμάτων πυκαζομένη. τὸ γὰρ πυκάζεσθαι, ἴσον ἐστὶ τῷ κοσμεῖσθαι ἢ περιβάλλεσθαι, καθὼς ἑρμηνεύουσιν οἱ ταῦτα γινώσκοντες. δεῦτε τοίνυν πρὸς τὴν πνευματικὴν χορείαν τὰς ψυχὰς ἡμῶν διεγείραντες, ἔξαρχον ἢ καθηγεμόνα καὶ κορυφαῖον τῆς χοροστασίας ἡμῶν, τὸν Δα-
D βὶδ προστησώμεθα. καὶ εἴπωμεν μετ' ἐκείνου τὴν γλυκεῖαν φωνὴν ἐκείνην ἣν φθάσαντες ἐμελῳδήσαμεν, καὶ πάλιν αὐτὴν ἀναλάβωμεν, ὅτι αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος. ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, ἐν ᾗ μειοῦσθαι τὸ σκότος ἄρχεται, καὶ τὰ τῆς νυκτὸς μέτρα τῷ πλεονάζοντι τῆς ἀκτῖνος συνωθεῖται πρὸς ἔκλειψιν. οὐ συντυχική τις, ἀδελφοὶ, γέγονε κατὰ τὸ αὐτόματον ἡ τοιαύτη περὶ τὴν ἑορτὴν οἰκονομία, τὸ νῦν ἐπιφαίνεσθαι τῇ ἀνθρωπίνῃ ζωῇ τὴν θείαν ζωήν· ἀλλά τι μυστήριον διὰ τῶν φαινομένων τοῖς διορατικωτέροις διηγεῖται ἡ κτίσις. μονονουχὶ φωνὴν ἀφιεῖσα καὶ διδάσκουσα τὸν ἀκούειν δυνάμενον, τί βούλεται ἐν τῇ παρουσίᾳ τοῦ δεσπότου ἡ μι-

ρα ὑπεραυξανομένη, καὶ νὺξ κολοβουμένη; ἐγὼ γάρ μοι δοκῶ τοιαῦτά τινα διεξιούσης ἀκούειν τῆς κτίσεως· ὅτι ταῦτα βλέπων, ὦ ἄνθρωπε, νόει τὸ διὰ τῶν φαινομένων κρυπτόν σοι δηλούμενον. ὁρᾷς ἐπὶ τὸ ἀκρότατον μῆκος προσελθοῦσαν τὴν νύκτα, καὶ ἱσταμένην τῆς ἐπὶ τὸ πρόσω φορᾶς, καὶ εἰς τὸ ἔμπαλιν ἀναλύουσαν. νόησον ὅτι ἡ πονηρὰ τῆς ἁμαρτίας νὺξ, ἐφ' ὅσον οἷόν τε ἦν αὐξηθεῖσα, καὶ διὰ πάσης κακῶν ἐπινοίας ἐπὶ τὸ ἀκρότατον τῆς πονηρίας μέγεθος φθάσασα, σήμερον ἀνεκόπη τῆς ἐπὶ πλεῖον νομῆς, καὶ τὰ ἀπὸ τούτου πρὸς ἔκλειψίν τι καὶ ἀφανισμὸν συνελαύνεται; ὁρᾷς τὴν τοῦ φωτὸς ἀκτῖνα διαρκεστέραν, καὶ ὑψηλότερον τῆς συνηθείας τὸν ἥλιον; νόει τοῦ ἀληθινοῦ φωτὸς τὴν παρουσίαν, τοῦ ταῖς εὐαγγελικαῖς ἀκτῖσι πᾶσαν τὴν οἰκουμένην καταφωτίζοντος. τάχα δὲ καὶ τοῦ μὴ κατ' ἀρχὰς ἐπιφανῆναι τὸν κύριον, ἀλλ' ἐπ' ἐσχάτων τῶν χρόνων γενέσθαι τῇ ἀνθρωπίνῃ ζωῇ τῆς θεότητος αὐτοῦ τὴν ἐμφάνειαν, ταύτην ἄν τις τὴν αἰτίαν εὐλόγως ὑπονοήσειεν, ὅτι ὁ μέλλων ἐπὶ καθαιρέσει τῆς κακίας τῷ ἀνθρωπίνῳ καταμίγνυσθαι βίῳ, ἀναγκαίως πᾶσαν ἀνέμεινε τὴν παρὰ τοῦ ἐχθροῦ ῥιζωθεῖσαν ἁμαρτίαν ἀναβλαστῆσαι· εἶθ' οὕτως ἐπήγαγε, καθώς φησι τὸ εὐαγγέλιον, τὴν ἀξίνην τῇ ῥίζῃ. καὶ γὰρ τῶν ἰατρῶν οἱ τῇ τέχνῃ προσέχοντες, ἔνδοθεν ἔτι τὸ σῶμα τοῦ πυρετοῦ διασμύχοντος, καὶ κατ' ὀλίγον ὑπὸ τῶν νοσοποιῶν αἰτίων ἐξαπτομένου ἐνδιδόασι τῷ ἀρρωστήματι, μέχρις ἂν εἰς ἀκμὴν προέλθῃ τὸ πάθος, οὐδεμίαν ἐκ τῶν σιτίων ἐπάγοντες τῷ ἀσθενοῦντι βοήθειαν· ἐπειδὰν δὲ στάσιμον γένηται τὸ κακὸν, τότε τὴν τέχνην ἐπάγουσιν, ἐκφανείσης πάσης τῆς νόσου· οὕτως καὶ ὁ τοὺς κακῶς ἔχοντας τὴν ψυχὴν ἰατρεύων, ἀνέμεινε τὴν ἐκ κακίας νόσον, ᾗ κατεκρατεῖτο τῶν ἀνθρώπων ἡ φύσις, πᾶσαν ἐκκαλυφθῆναι, ὡς ἂν μηδὲν τῶν κεκρυμμένων ἀθεράπευτον μείνειε· τοῦ ἰατροῦ μόνον τὸ φανὲν θεραπεύοντος. διὰ τοῦτο οὔτε κατὰ τοὺς καιροὺς τοῦ Νῶε πάσης σαρκὸς ἐν ἀδικίᾳ καταφθαρείσης, ἐπάγει διὰ τῆς ἰδίας ἐμφανείας τὴν ἴασιν, ὅτι οὔπω τῆς Σοδομιτικῆς κακίας ὁ βλαστὸς ἐξεφύη· οὔτε τῷ καιρῷ τῆς Σοδόμων καταστροφῆς ὁ κύριος φαίνεται. διότι πολλὰ ὑπολείπων κακῶν ἔτι τῇ ἀνθρωπίνῃ κατεκρύπτετο φύσει. ποῦ γὰρ ὁ θεομάχος Φαραώ; Ποῦ τῶν Αἰγυπτίων ἡ ἀδάμαστος πονηρία;

A mini dies augetur, & nox imminuitur. Mihi enim videor eam ſic loquentem exaudire : Conſidera homo, qui hæc aſpicis, ex iis, quæ videntur, ea tibi aperiri, quæ condita ſunt. Vides noctem ad ſummam longitudinem perueniſſe; & cùm progredi vlterius nequeat, conſiſtere, ac regredi ? Cogita exitioſam peccati noctem, quæ malis omnibus artibus aucta ad ſummum malitiæ cumulum venerat, hodie reciſam eſſe, ne longius ſerperet, atque illuc deinceps redigi, vt planè deficiat, ac deleatur. Vides vberiores lucis radios, & ſolem B ſolito ſublimiorem? cogita veræ lucis præſentiam Euangelij radijs totum orbem terrarum illuſtrare. Quòd autem humanæ vitæ non ab initio, ſed ab extremis temporibus Dominus apparuerit, hanc meritò fortaſſe cauſam quiſpiam exiſtimabit, quòd qui, malitiam vt tolleret, humanam vitam erat ingreſſurus, expectauit neceſſario, vt omne ab inimico ſatum propagatumque peccatum germinaret, ac tum demum, vt legitur in Euangelio, radici ſecurim admouit. Nam & qui præſtant medendi *Mat. 3.* C facultate, dum febris adhuc corpus exurit, & ex cauſis morbum efficientibus paulatim intenditur, obſecundant morbo, quoad vis ad ſummum peruenerit, nec cibi ſubſidium vllum ægrotanti præbent : at vbi malum conſtiterit, patefacto iam toto morbo, tunc artem adhibent. Sic animorum ægrotantium medicus expectauit, dum malitiæ morbus, quo natura hominum victa laborabat, ſe totum aperiret, ne latens aliquid incuratum remaneret, ſi curaret id ſolum, quod cerneretur. Itaque D nec Noë tempeſtate, cùm omnis caro in iniquitate corrupta eſſet, aduentu ſuo medicinam attulit, quia nondum Sodomitici ſceleris germen pullulauerat : nec tempore euerſionis Sodomorum Dominus aduenit, quoniam in humana natura multa adhuc mala latitabant. Vbi enim impius Pharao? Vbi indomita Ægyptiorum malitia?

Nec tunc igitur tempus fuit, vt reparator vniuerſi, tempore inquam Ægyptiorum malorum huic vitæ ſe commiſceret: ſed oportebat, vt Iſraëlitarum iniquitas pateſieret. Oportebat, vt regnum Aſſyriorum, & ſuperbia Nabuchodonoſor, adhuc latitans, in vita oſtenderetur. Oportebat, vt piorum cædes tanquam ſcelerata ſpinoſaque planta ex mala Diaboli radice prodiret. Oportebat, vt Iudæorum prophetas *Matth. 23.* occidentium, & à Deo miſſos lapidibus obruentium, ac Zacharia tandem inter templum & altare interfecto, piaculum admittentium rabies detegeretur. Ad ſceleratorum germinum numerum adde & infantium ab Herode patratam cædem. Cùm igitur malitiæ vis ſe totam effudiſſet, multíſque luxurians modis creuiſſet in animis eorum, qui ſingulis ſæculis ſcelere inſignes extiterant: tunc Deus, vt ad *Act. 17.* Athenienſes Paulus ait, ignorantiæ tempora deſpiciens, in diebus vltimis aduenit: quando non erat intelligens, *Pſal. 13.* nec requirens Deum: quando cuncti *Rom. 3.* declinauerant & facti erant inutiles: *Galat. 3.* quando concluſa erant omnia ſub peccato: quando iniquitas abundabat: quando vitiorum tenebræ ad ſummum *Eſa. 9.* vſque terminum venerant. Tunc apparuit gratia: tunc veræ lucis enituit radius: tunc in tenebris & vmbra mortis ſedentibus ortus eſt iuſtitiæ ſol: tunc humanam carnem indutus multa ſerpentis capita pede contriuit, ad terrámque allidens conculcauit. Ne quis autem mala, quæ nunc in vita ſunt, reſpiciens, falſa nos dicere ſuſpicetur, quòd in extremis temporibus ſplenduiſſe nobis Dominum aſſeramus. Nam (objiciat aliquis) qui tempora, quibus malitia retegeretur, expectauit, vt illam auctam cumulatámque radicitus euelleret, ſic eam tollere, atque abolere cunctam debuerat, vt nullæ ipſius in vita reliquiæ remanerent. Nunc autem & homicidia, & furta, & adulteria, & reliqua omnia flagitia & ſcelera debacchantur. Is ergo, qui hæc ſpectans ſic objicit, inſigni peruulgatóque exemplo quæſtionem ipſemet ſoluat. Quemadmodum, cùm ſerpentes interficiuntur, non continuò reliquas partes vnà cum capite mori videmus:

A οὐ μὴν οὐδὲ τότε τὸν διορθωτὴν τοῦ παντὸς εὔκαιρον ἦν, τῇ τῶν Αἰγυπτίων λέγω κακίᾳ, καταμιχθῆναι τῷ βίῳ. ἀλλ' ἔδει καὶ τὴν Ἰσραηλιτῶν τῆς παρανομίας ἀναφανῆναι, ἔδει καὶ τὴν Ἀσσυρίων βασιλείαν, καὶ τὴν Ναβουχοδονόσορ τὴν ὑπερηφανίαν ὑποσημύχουσαν ἔτι τῷ βίῳ φανερὰν γενέσθαι. ἔδει τὴν κατὰ τῶν ὁσίων μιαιφονίαν οἷόν τινα πονηρὰν καὶ ἀκανθώδη βλάστην τῆς κακῆς τοῦ διαβόλου ῥίζης ἀναδραμεῖν· ἔδει τὴν τῶν Ἰουδαίων κατὰ τῶν ἁγίων τοῦ Θεοῦ φανερωθῆναι λύσσαν τῶν τοὺς προφήτας ἀποκτεινάντων καὶ λιθοβολούντων τοὺς ἀπεσταλμένους, καὶ τέλος μεταξὺ τοῦ ναοῦ καὶ τοῦ B θυσιαστηρίου τὸ κατὰ τὸν Ζαχαρίαν ἄγος ἐργασαμένων. πρόσθες τῷ καταλόγῳ τῶν πονηρῶν βλαστημάτων, καὶ τὴν Ἡρώδου τὴν παιδοφονίαν. ἐπεὶ οὖν πᾶσα τῆς κακίας ἡ δύναμις ἐκ τῆς πονηρᾶς ῥίζης ἀνεδείχθη, καὶ ηὔξησε πολυειδῶς ἐν ταῖς προαιρέσεσι τῶν καθ' ἑκάστην γενεὰν τῇ κακίᾳ γνωρίμων ὑλομανήσασα, τότε καθώς φησι πρὸς Ἀθηναίους ὁ Παῦλος, τοὺς χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, ἐπὶ τῶν ἐσχάτων ἡμερῶν παραγίνεται· ὅτε οὐκ ἦν ὁ συνιῶν καὶ ἐκζητῶν τὸν Θεόν· ὅτε πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. C ὅτε συνεκλείσθη τὰ πάντα εἰς ἁμαρτίαν. ὅτε ἐπλεόνασεν ἡ ἀνομία. ὅτε πρὸς τὸ ἀκρότατον μέτρον ὁ τῆς κακίας ζόφος ηὔξησε· τότε ἐπεφάνη ἡ χάρις· τότε ἡ τοῦ ἀληθινοῦ φωτὸς ἀκτὶς ἐπανέτειλε· τότε ἐπέφανε τῆς δικαιοσύνης ὁ ἥλιος, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις· τότε τὰς πολλὰς κεφαλὰς τοῦ δράκοντος συνέθλασεν ἐπιβὰς τῷ ποδὶ, διὰ τῆς ἀνθρωπίνης σαρκὸς, καὶ τῇ γῇ προσθλάσας καὶ καταπατήσας. καὶ μηδεὶς πρὸς τὰ νῦν ἐν τῷ βίῳ βλέπων καταψεύδεσθαι νομιζέτω τὸν λόγον, καθ' ὃν D ἐν τοῖς τελευταίοις ἔφαμεν χρόνοις ἐπιλάμψαι τῷ βίῳ τὸν κύριον. ἐρεῖ γὰρ ὁ ἀντιλέγων τυχὸν, ὅτι τὸν ἀναμείναντα τοὺς χρόνους πρὸς τὴν τῆς κακίας φανέρωσιν, ὅπως αὐξηθεῖσαν αὐτὴν ἐξέλῃ προθέλυμνον, πᾶσαν εἰκὸς αὐτὴν ἀνῃρηκέναι, ὡς μηδὲν αὐτῆς ὑποληφθῆναι τῷ βίῳ λείψανον. νυνὶ δὲ καὶ φόνοι, καὶ κλοπαὶ, καὶ μοιχεῖαι, καὶ πάντα τολμᾶται τὰ πονηρότατα. ἀλλ' ὁ πρὸς τοῦτο βλέπων, ὑποδείγματί τινι τῶν γνωρίμων τὴν περὶ τούτων ἀμφιβολίαν λυσάτω. ὥσπερ γὰρ ἐπὶ τῆς τῶν ἑρπετῶν ἀναιρέσεως ἔστιν ἰδεῖν οὐκ εὐθὺς τὸν κατόπιν ὁλκὸν τῇ κεφαλῇ συννεκρούμενον,

ἀλλ' ἡ μὲν τέθνηκε, τὸ δὲ ἔτι ἐμψυχοῦται τῷ ἰδίῳ θυμῷ καὶ τῆς ζωτικῆς δυνάμεως οὐκ ἐστέρηται· οὕτω καὶ ὁ τοῦ δράκοντος ἀναιρέτης, ὅτε πολὺ γέγονε τὸ θηρίον πάσαις ταῖς καθέκαστον συναυξηθὲν γενεαῖς τῶν ἀνθρώπων, τὴν κεφαλὴν ἀνελὼν, τουτέστι, τὴν τῶν κακῶν ἀναιρετικὴν δύναμιν, τὴν πολλὰς ἔχουσαν ἐν ἑαυτῇ κεφαλὰς, οὐδένα τοῦ κατόπιν ὁλκοῦ πεποίηται λόγον εἰς ἀφορμὴν γυμνασίου τοῖς ἐφεξῆς, τὴν ἐν τῷ νεκρῷ θηρίῳ κίνησιν ὑπολειφθῆναι ποιήσας. τίς οὖν ἡ θλασθεῖσα κεφαλή; ἡ θάνατον εἰσενεγκοῦσα τῇ πονηρᾷ συμβουλῇ, ἡ τὸν θανατηφόρον ἰὸν ἐμβαλοῦσα τῷ ἀνθρώπῳ διὰ τοῦ δήγματος. ὁ τοίνυν καταλύσας τοῦ θανάτου τὸ κράτος, τὴν ἐν τῇ κεφαλῇ τοῦ ὄφεως δύναμιν, καθώς φησιν ὁ προφήτης, συνέθλασεν· ὁ δὲ λοιπὸς τοῦ θηρίου ὁλκὸς τῷ ἀνθρωπίνῳ συνεσπαρμένος βίῳ, ἕως ἂν ᾖ τὸ ἀνθρώπινον ἐν τοῖς κατὰ κακίαν κινήσεσιν, ἀεὶ τῇ φολίδι τῆς ἁμαρτίας περιτραχύνει τὸν βίον· τῇ μὲν δυνάμει ἤδη νεκρός ἐστι, τῆς κεφαλῆς ἀχρειωθείσης· ἐπειδὰν δὲ παρέλθῃ ὁ χρόνος, καὶ στῇ τὰ κινούμενα κατὰ τὴν προσδοκωμένην τῆς ζωῆς ταύτης συντέλειαν, τότε τὸ οὐραῖόν τι καὶ τὸ ἔσχατον τοῦ ἐχθροῦ καταργεῖται. τοῦτο δὲ ἐστὶν ὁ θάνατος· καὶ οὕτως ὁ παντελὴς ἀφανισμὸς τῆς κακίας γίνεται· πάντων εἰς ζωὴν διὰ τῆς ἀναστάσεως ἀνακληθέντων· τῶν μὲν δικαίων, εὐθὺς εἰς τὴν ἄνω λῆξιν μετοικισθέντων, τῶν δὲ ταῖς ἁμαρτίαις ἐνισχημένων, τῷ τῆς γεέννης πυρὶ παραδιδομένων. ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὴν παροῦσαν χαρὰν, ἣν εὐαγγελίζονται τοῖς ποιμέσιν οἱ ἄγγελοι, ἣν οἱ οὐρανοὶ διηγοῦνται τοῖς μάγοις, ἣν τὸ πνεῦμα τῆς προφητείας διὰ πολλῶν καὶ διαφόρων ἀνακηρύττει· ὡς καὶ τοὺς μάγους κήρυκας γενέσθαι τῆς χάριτος. ὁ γὰρ ἀνατέλλων τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἀδίκους, ὁ βρέχων ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, ἤνεγκε τὴν ἀκτῖνα τῆς γνώσεως, καὶ τὴν δρόσον τοῦ πνεύματος καὶ εἰς ἀλλότρια στόματα· ὥστε τῇ παρὰ τῶν ἐναντίων μαρτυρίᾳ βεβαιωθῆναι μᾶλλον ἡμῖν τὴν ἀλήθειαν. ἀκούεις τοῦ οἰωνιστοῦ Βαλαὰμ ἐπιπνοίᾳ κρείττονι τοῖς ἀλλοφύλοις ἐπιθειάζοντος, ὅτι ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ; ὁρᾷς τοὺς ἀπ' ἐκείνου τὸ γένος κατάγοντας μάγους, ἐπιτηροῦντας κατὰ τὴν προῤῥησιν τοῦ προπάτορος, τὴν τοῦ καινοῦ ἀστέρος ἀνατολὴν, ὃς παρὰ τὴν τῶν λοιπῶν ἀστέρων φύσιν μόνος καὶ κινήσεως μετεῖχε, καὶ στάσεως, πρὸς

A ſed, cùm interierit caput, illæ tamen adhuc vitam retinent, nec vitali priuantur motu: ſic accidit in Draconis interitu. Etenim ingens cùm eſſet admodum fera, quippe quę ſingulis hominum ætatibus excreuerat, qui multiplex eius caput, id eſt vim illam malorum inuentricem multa in ſe capita continentem ſuſtulit, cæterarum ipſius partium tractus neglexit, vt interfectæ feræ motum poſteris ad exercitationis occaſionẽ relinqueret. Ecquod igitur colliſum & effractum eſt caput? illud quod impio conſilio mortẽ intulerat, quod morſu mor-
B tiferum homini virus iniecerat. Quamobrem qui mortis euertit imperiũ, vim quæ in capite ſerpentis erat, vt ait Propheta, confregit. reliqua vero pars corporis in genus humanum diſperſa, quæ quoad homines vitiorum motionibus permouentur, ſquama peccati vitam irritat, atque aſperam reddit, poteſtate quidem iam mortua eſt, cum eius caput contuſum atque inutile factum ſit: at, vbi tempus tranſierit, & ea, quę mouentur, conſtiterint, aduenerítque vitæ huius abſolutio, quam expectamus, tunc & cauda & extrema pars inimici, mors
C ipſa nimirum deſtruetur, atque ita delebitur omnino cũcta malitia, cum omnes in vitam per reſurrectionem reuocati, qui iuſti erunt, ad cœleſtem quietem accedent, qui autem peccatis obnoxij, in gehennæ ignem detrudentur. Sed ad præſens gaudium reuertamur, quod paſtoribus nunciant Angeli, cœli enarrant Magis, & prophetiæ ſpiritus multis variiſque rationibus prædicat, vt etiam Magi gratiæ præcones fiant. Nam qui ſolem ſuum oriri facit ſuper iuſtos & iniuſtos, quique pluit ſuper malos & bonos, cognitionis radium, & rorem ſpiri-
D tus alienis etiam linguis demiſit, vt aduerſariorum teſtimonio magis etiam apud nos veritas confirmaretur. Audiuiſti hariolum Balaam meliori numine afflatum ſic alienigenis prædicentem: Orietur Stella ex Iacob. Ecce tibi, qui ab eo genus duxerũt, Magi ex prædictione ipſius nouum obſeruant ortum ſtellæ, quæ præter aliarum ſtellarum naturam & motus & ſtatus eſt particeps,

& ad vtilitatem hac vtitur viciſſitudine. Etenim cum cæteræ ſtellæ partim in orbe non errante ſemel infixæ ſtatum immobilem ſortitæ ſint, partim nunquam ceſſent à motu, hæc & mouetur, dum Magis ſe ducem præbet, & ſtat,
Eſa. 9. dum illis oſtendit locum. Audis Eſaiam clamantem: puer natus eſt nobis, & filius datus eſt nobis. Diſce ab eodem propheta, quomodo natus ſit puer, quomodo datus ſit filius. Num iuxta naturæ legem? minimè verò, inquit: legibus enim naturę non paret, qui naturæ Dominus eſt. Quomodo igitur natus eſt puer? dic. Ecce, inquit, Virgo in vtero concipiet, & pariet filium, & vocabunt nomen eius Emmanuel. Quod, ſi interpreteris, ſignificat Nobiſcum Deus. O rem admirandam! Virgo mater efficitur, & permanet virgo. Cernis nouum naturæ ordinem? In aliis mulieribus quandiu aliqua eſt virgo, non eſt mater. Nam poſteaquam eſt facta mater, virginitatem non habet. Hic autem vtrumque nomen in idem concurrit. Eadem enim & mater & virgo eſt. Nec virginitas partum ademit, nec partus virginitatem ſoluit. Decebat enim, vt qui in vitam humanam introibat, vt homines integros incorruptoſque ſeruaret, ab incorrupta ſibi deſeruiente integritate initium duceret. Nam hominum conſuetudo expertem connubij incorruptam appellat. Hoc mihi antè
Exod. 2. magnus ille Moſes per eam lucem, in qua ſibi Deus apparuit, videtur cognouiſſe, qui, cùm rubus arderet, nec tamen conſumeretur, Tranſiens enim, inquit, videbo viſionem hanc magnam, non loci motum, vt arbitror, per tranſitum declarans, ſed temporis tranſitū. Quod enim tunc per flammā & rubum ſignificabatur, progrediente tempore, quod intercedebat, perſpicuè in myſterio virginis apertum fuit. Quemadmodum enim illic eſt rubus, & accendit ignem, & non comburitur; ita hîc eſt virgo, quæ lucem parit, & non corrūpitur. Quod autem per rubum Virginis corpus, quod Deum peperit, intelligatur, ne te ſimilitudinis pudeat. Nam omnis caro propter peccati ſuſceptio-
2.Reg.23. nem, & ob id ipſum tantum, quod eſt
Mat. 13. caro, peccatum eſt. Peccatum autem in ſcriptura vocatur ſpina. Ac ne à propoſito longius euagemur, fortè non erit intempeſtiuum, ſi incorruptæ ma-

A τὴν χρείαν ἑκατέρων τούτων μεταβαίνων. τῶν γὰρ λοιπῶν ἀστέρων, τῶν μὲν ἅπαξ καταπεπηγότων τῇ ἀπλανεῖ σφαίρᾳ, καὶ ἀκίνητον εἰληχότων τὴν στάσιν, τῶν δὲ μὴ παυομένων ποτὲ τῆς κινήσεως· οὗτος καὶ κινεῖται, προηγούμενος τῶν μάγων, καὶ ἵσταται καταμηνύων τὸν τόπον. ἀκούεις τοῦ Ἡσαΐου βοῶντος, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν. μάθε παρ' αὐτοῦ τοῦ προφήτου πῶς ἐγεννήθη τὸ παιδίον. πῶς ἐδόθη υἱός; ἆρα κατὰ τὸν νόμον τῆς φύσεως; οὔ, φησὶν ὁ προφήτης. οὐ δουλεύει φύσεως νόμοις ὁ δεσπότης τῆς φύσεως. ἀλλὰ πῶς
B ἐγεννήθη τὸ παιδίον; εἰπέ· ἰδού, φησὶν, ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. ὢ τοῦ θαύματος ἡ παρθένος μήτηρ γίνεται, καὶ διαμένει παρθένος. ὁρᾷς τὴν καινοτομίαν τῆς φύσεως. ἐπὶ τῶν ἄλλων γυναικῶν ἕως παρθένος ἐστὶ, μήτηρ οὐκ ἔστιν· ἐπειδὴ δὲ ἂν μήτηρ γένηται, τὴν παρθενίαν οὐκ ἔχει. ἐνταῦθα δὲ τὰ δύο συνέδραμε κατὰ ταυτὸν τὰ ὀνόματα· ἡ γὰρ αὐτὴ καὶ μήτηρ καὶ παρθένος ἐστί· καὶ οὔτε ἡ παρθενία τὸν τόκον ἐκώλυσεν· οὔτε ὁ τόκος τὴν παρθενίαν ἔλυσεν. ἔπρεπε γὰρ τὸν ἐπὶ ἀφθαρσίᾳ
C τοῦ παντὸς ἐν τῷ ἀνθρωπίνῳ βίῳ γινόμενον, ἀπὸ τῆς ὑπηρετούσης αὐτοῦ τῇ γεννήσει τῆς ἀφθαρσίας ἄρξασθαι. τὴν γὰρ ἀπειρόγαμον, ἄφθορον οἶδεν ὀνομάζειν ἡ τῶν ἀνθρώπων συνήθεια. τοῦτό μοι δοκεῖ προκατανενοηκέναι τῇ γενομένῃ διὰ τοῦ φωτὸς αὐτοῦ θεοφανείᾳ Μωϋσῆς ἐκεῖνος ὁ μέγας, ὅτε ἐξεπλήττετο τῆς βάτου τὸ πῦρ, καὶ ἡ βάτος οὐκ ἐμαραίνετο· διαβὰς γὰρ, φησὶν, ὄψομαι τὸ μέγα ὅραμα τοῦτο. οὐ τοπικὴν οἶμαι δηλῶν κίνησιν διὰ τῆς βάσεως, ἀλλὰ τὴν περιοδικὴν τοῦ χρόνου διάβασιν. τὸ γὰρ τότε προδιατυπωθὲν ἐν τῇ φλογὶ καὶ τῇ βάτῳ, διαβάντος τοῦ μέσου χρό-
D νου, σαφῶς ἐν τῷ κατὰ τὴν παρθένον μυστηρίῳ ἀπεκαλύφθη. ὥσπερ γὰρ ἐκεῖ ἡ θάμνος, καὶ ἅπτει τὸ πῦρ καὶ οὐ καίεται, οὕτω καὶ ἐνταῦθα ἡ παρθένος, καὶ τίκτει τὸ φῶς, καὶ οὐ φθείρεται. εἰ δὲ βάτος προδιατυποῖ τὸ θεοτόκον σῶμα τῆς παρθένου μὴ αἰσχυνθῇς τῷ αἰνίγματι. πᾶσα γὰρ σὰρξ διὰ τὴν τῆς ἁμαρτίας παραδοχὴν, κατ' αὐτὸ τοῦτο ὅτι σάρξ ἐστι μόνον, ἁμαρτία ἐστίν· ἡ δὲ ἁμαρτία παρὰ τῆς γραφῆς τῇ τῆς ἀκάνθης ἐπωνυμίᾳ κατονομάζεται. εἰ δὲ μὴ πόρρω τῶν προκειμένων ἀποφερόμεθα, τάχα καὶ τὸν μεταξὺ τοῦ ἰσοῦ καὶ

τοῦ θυσιαστηρίου φονευθέντα Ζαχαρίαν οὐκ ἄκαιρον εἰς μαρτυρίαν τῆς ἀφθόρου μητρὸς παραστήσασθαι. ἱερεὺς ἐστὶ ὁ Ζαχαρίας οὗτος· οὐχ ἱερεὺς δὲ μόνον, ἀλλὰ καὶ ἐν τῷ τῆς προφητείας χαρίσματι. ἡ δὲ τῆς προφητείας δύναμις ἀναγκαῖος ἐν τῇ βίβλῳ τοῦ εὐαγγελίου κηρύττεται, ὅτι προοδοποιοῦσα τοῖς ἀνθρώποις ἡ θεία χάρις, μὴ ἄπιστον τὸν ἐκ παρθένου τόκον ἡγήσασθαι, τοῖς ἐλάττοσι θαύμασι προγυμνάζει τὴν ἄπιστον πρὸς συγκατάθεσιν· τῇ στείρᾳ καὶ παρήλικι τίκτεται παῖς. τοῦτο προοίμιον τοῦ κατὰ τὴν παρθενίαν θαύματος γέγονεν. ὡς γὰρ ἡ Ἐλισάβετ, οὐ δυνάμει φύσεως γίνεται μήτηρ, ἄγονος τὸν βίον καταγηράσασα, ἀλλ' ἐπὶ τὸ θεῖον βούλημα τοῦ παιδὸς ἡ γέννησις ἀναφέρεται· οὕτω καὶ τῆς παρθενικῆς ὠδῖνος ἡ ἀπιστία, τῇ πρὸς τὸ θεῖον ἀναφορᾷ τὸ πιστὸν ἔχει. ἐπειδὴ τοίνυν προλαμβάνει τὸν ἐκ παρθενίας ὁ ἀπὸ τῆς στείρας, ὁ πρὸς τὴν φωνὴν τῆς κυοφορούσης τὸν κύριον πρὶν εἰς φῶς ἐλθεῖν ἐν τῇ μητρῴᾳ νηδύϊ σκιρτήσας, ἅμα τε παρῆλθεν εἰς γένεσιν ὁ τοῦ λόγου πρόδρομος, τότε λύεται τῷ Ζαχαρίᾳ διὰ τῆς προφητικῆς ἐπιπνοίας ἡ σιωπή· καὶ ὅσα διεξέρχεται Ζαχαρίας, προφητεία τοῦ μέλλοντος ἦν. οὗτος τοίνυν ὁ τῷ προφητικῷ πνεύματι πρὸς τὴν τῶν κρυπτῶν γνῶσιν χειραγωγούμενος, τὸ τῆς παρθενίας μυστήριον ἐπὶ τοῦ ἀφθάρτου τόκου κατανοήσας· οὐκ ἀπέκρινεν ἐν τῷ ναῷ τοῦ ταῖς παρθένοις κατὰ τὸν νόμον ἀποκεκληρωμένου τόπου τὴν ἄγαμον μητέρα· διδάσκων τοὺς Ἰουδαίους, ὅτι ὁ τῶν ὄντων δημιουργὸς καὶ βασιλεὺς πάσης κτίσεως, ὑποχείριον ἔχει μετὰ πάντων ἑαυτῷ τὴν ἀνθρωπίνην φύσιν, τῷ ἰδίῳ θελήματι πρὸς τὸ δοκοῦν αὐτὴν ἄγων, οὐκ αὐτὸς ὑπὸ ταύτης δυναστευόμενος, ὡς ἐν τῇ δυνάμει αὐτοῦ εἶναι, καινὴν γέννησιν δημιουργῆσαι· ἥ τις τὴν γεννωμένην μητέρα, τὸ παρθένον εἶναι οὐκ ἀφαιρήσεται. διὰ τοῦτο αὐτὴν οὐκ ἀπέκρινεν ἐν τῷ ναῷ τοῦ χοροῦ τῶν παρθένων. ἦν δὲ ἐστὶ ὁ τόπος τὸ μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου διάστημα. ἐπεὶ οὖν ἤκουον βασιλέα τῆς κτίσεως εἰς γέννησιν ἀνθρωπίνην οἰκονομικῶς προελθεῖν· φόβῳ τοῦ μὴ γενέσθαι βασιλεῖ ὑποχείριοι, τὸν ταῦτα μαρτυροῦντα περὶ τοῦ τόκου, διαχειρίζονται, πρὸς αὐτῷ τῷ θυσιαστηρίῳ τὸν ἱερέα ἱερουργήσαντα. ἀλλὰ μακρὰν τῶν προκειμένων ἀποπεπλανήμεθα, δέον ἐπὶ τὴν ἐν τῷ εὐαγγελίῳ Βηθλεέμ, τῷ λόγῳ ἀναδραμεῖν. εἰ γὰρ ποιμένες ὄντως

A tris teſtem eum, qui inter templum & altare fuit occiſus, proferamus. Hic eſt ſacerdos Zacharias, non ſacerdos ſolum, verum etiam propheta. *Luc. 1.* Ac prophetiæ quidem poteſtas in Euangelij libro declaratur, cum viam hominibus muniens diuina gratia, ne Virginis partus incredibilis putaretur, minoribus miraculis fidelium aſſenſum ſic exercuit, vt fœmina ſterilis, & vir iam ætate confectus filium ſuſciperent. Hoc mirandi partus prooemiũ fuit. Etenim ſicut Eliſabet, quæ ſterilis ad ſenectutem peruenerat, non poteſtate naturæ B fit mater, ſed ei diuino conſilio filius naſcitur, ſic quod in virgineo partu non credendum videtur, ſi referatur ad Deum, credibile eſt. Quoniam igitur ex virginitate prouenientem is qui è ſterili naſcitur, qui ad vocem illius, quæ Dominum vtero gerebat, antequam in lucem prodiret, in aluo matris exiliuit, ſimul ac natus eſt præcurſor Verbi, prophetico ſpiritu Zachariæ ſilentium ſoluitur. Quæcunque autem diſſeruit Zacharias propheta, ad futurum ſpectabant. Hic igitur diuino numine ad C occultorum cognitionem ductus, cum virginitatis myſterium in partu incorrupto non ignoraret, in ſacro templo Virginem matrem à loco virginibus per legem aſſignato non ſemouit, Iudæoſque docuit, naturam humanam vnà cum reliquis omnibus rerum omnium effectori & regi ita ſubiectam eſſe, vt arbitratu ſuo eam ipſe regeret, non autem ab ea regeretur: itaque in manu ipſius eſſe, nouam ortus rationem moliri, quæ matrem eſſe virginem non impediret, quamobrem eam ſe à virginum locum non excluſiſſe. locus autem ille D erat ſpatium quoddam inter templum & altare. Cùm igitur audiuiſſent Iudæi, rerum omnium regem in vitam humanam diuino ordine prodiiſſe, metuentes ne regi ſubderentur, ſacerdotem, qui hæc de ipſo partu teſtificabatur, ad ipſum altare ſacrificantem interfecerunt. Sed longè à propoſito aberrauimus, cùm ad Bethleem, de qua in Euangelio, oratione recurrere nos oportet. *Matth. 23.* Nam ſi vere paſtores ſumus, & pro-

priis gregibus inuigilamus, ad nos vtique ſpectat Angelorum vox, quæ magnum hoc gaudium nuntiat. *Luc.2.* Oculos igitur in cœleſtem exercitum intendamus, tripudium ſpectemus Angelorum, diuinum ipſorum cantum audiamus. Quinam plaudentium ſonus? Gloria (clamant) in altiſſimis Deo. Cur diuino numini, quod in altiſſimis cernitur, gloriam tribuũt? Quoniam, inquiunt, & in terra pax. Ob hoc ſpectaculum gaudio perfuſi ſunt Angeli. In terra pax. Quæ prius deteſtabilis erat, quæ ſpinis, ac tribulis plena ſolitudo, quæ damnatorum exilium, quæ belli regio, *Pſal.84.* hæc pacem ſuſcepit. O rem admirabilem! Veritas de terra orta eſt, & iuſtitia de cœlo proſpexit. Talem dedit hominum terra fructum ſuum. Et hæc fiunt pro bona in hominibus voluntate. Deus humanæ naturæ commiſcetur, vt ad ſublimitatem diuinam hominem tollat. His auditis in Bethlehem proficiſcamur, nouum ſpectaculum contemplemur. Quomodo partu ſuo virgo lætetur, quomodo quæ nuptias non eſt experta lactet infantulum. Sed prius auſcultemus, quid de ipſa memoriæ proditum ſit. Audiui ergo quandam hiſtoriam apocrypham tales de ea prodentem narrationes. Virginis pater fuit inſignis quidam ciuis, obſeruantia legis & vitæ probitate inprimis nobilis, qui ſine filiis ad ſenectutem peruenerat, cùm minus idoneam ad gignendum vxorem haberet. Habebatur autem matribus ex lege quidam honor, quo carebant fœminæ, quæ liberos nullos ſuſceperant. Quapropter & hæc *1.Reg.1.* imitata id, quod de matre Samuelis ſcriptum eſt, & ſanctum ſanctorum accedit, & ſupplicat Deo, ne legum benedictione priuetur, quæ nihil in legem peccaſſet. Quòd ſi mater euaſerit, ſe, quodcumque pepererit, ei dedicaturam. Quamobrem cùm voti compos effecta filiam ſuſcepiſſet, eam vocauit Mariam, vt ipſo etiam nomine teſtaretur acceptum munus à Deo. Illam igitur, cum iam grandiuſcula eſſet, nec vbere matris amplius indigeret, ducens ad templum Deo reddidit, & ſtudioſè promiſſum exoluit. Sacerdotes autem, quamdiu paruula fuit, ad Samuelis ſimilitudinem in ſanctis ædibus educarunt, ſed

A ἡμεῖς, καὶ τοῖς ἰδίοις ἐπαγρυπνοῦμεν ποιμνίοις, πρὸς ἡμᾶς πάντως ἐστὶν ἡ τῶν ἀγγέλων φωνή, ἡ εὐαγγελιζομένη τὴν χαρὰν τὴν μεγάλην ταύτην. οὐκοῦν ἀναβλέψωμεν εἰς τὴν οὐράνιον στρατιάν, ἴδωμεν τὴν τῶν ἀγγέλων χοροστασίαν, ἀκούσωμεν τῆς θείας αὐτῶν ὑμνῳδίας. τίς ὁ ἦχος τῶν ἑορταζόντων; δόξα ἐν ὑψίστοις Θεῷ βοῶσι. διὰ τί δοξάζει ἡ τῶν ἀγγέλων φωνὴ τὴν ἐν τοῖς ὑψίστοις θεωρουμένην θεότητα; ὅτι φησί, καὶ ἐπὶ γῆς εἰρήνη· περιχαρεῖς γεγόνασιν ἐπὶ τῷ φαινομένῳ οἱ ἄγγελοι. ἐπὶ γῆς εἰρήνη. ἡ πρότερον κατηραμένη, ἡ τῶν ἀκανθῶν καὶ τριβόλων γόνιμος, τὸ τοῦ πολέμου χωρίον, ἡ τῶν καταδίκων ἐξορία, αὕτη
B εἰρήνην ἐδέξατο. ὢ τοῦ θαύματος· ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. τοιοῦτον ἔδωκεν ἡ τῶν ἀνθρώπων γῆ τὸν καρπὸν αὐτῆς. καὶ ταῦτα γὰρ ὑπὲρ τῆς ἐν ἀνθρώποις εὐδοκίας. Θεὸς τῇ ἀνθρωπίνῃ κατακιρνᾶται φύσει· ἵνα συνεπαρθῇ τῷ ὕψει τοῦ Θεοῦ τὸ ἀνθρώπινον. ταῦτα ἀκούσαντες, διέλθωμεν εἰς τὴν Βηθλεέμ, ἴδωμεν τὸ καινὸν θέαμα, πῶς ἐπαγάλλεται ἡ παρθένος τῷ τόκῳ, πῶς ἡ ἀπειρόγαμος τιθηνεῖται τὸ νήπιον. πρότερον δὲ τίς αὕτη καὶ πόθεν τῶν τὰ περὶ αὐτῆς ἱστορούντων ἀκούσωμεν. ἤκουσα τοίνυν ἀποκρύφου τινὸς ἱστο-
C ρίας, τοιαῦτα παρατιθεμένης τὰ περὶ αὐτῆς διηγήματα. ἐπίσημός τις ἦν ἐν τῇ κατὰ νόμον ἀκριβεῖ πολιτείᾳ, καὶ γνώριμος ἐπὶ τοῖς καλλίστοις, ὁ τῆς παρθένου πατήρ. ἄπαις δὲ κατεγήρα τὸν βίον ὅτι αὐτῷ πρὸς τεκνογονίαν οὐκ ἐπιτηδείως εἶχεν ἡ σύνοικος. ἦν δέ τις ἐκ τοῦ νόμου τιμὴ ταῖς μητράσιν, ἧς οὐ μετεῖχον αἱ ἄγονοι. μιμεῖται τοίνυν καὶ αὕτη τὰ περὶ τὴν μητέρα τοῦ Σαμουὴλ διηγήματα. καὶ ἐντὸς τοῦ ἁγίου τῶν ἁγίων γενομένη ἱκέτις γίνεται τοῦ Θεοῦ, μὴ ἔξω πεσεῖν τῆς ἐκ τῶν νόμων
D εὐλογίας, ἐξαμαρτοῦσα περὶ τὸν νόμον οὐδέν· γενέσθαι δὲ μητέρα, καὶ ἀφιερῶσαι τῷ Θεῷ τὸ τικτόμενον. δυναμωθεῖσα δὲ νεύματι θείῳ, πρὸς τὴν χάριν ἣν ᾔτησεν, ἔλαβεν. ἐπειδὴ δὲ ἐτέχθη τὸ παιδίον, ὠνόμασε μὲν αὐτὴν Μαριάμ· ὡς ἂν καὶ διὰ τῆς ἐπωνυμίας τὸ θεόσδοτον διασημαίνοιτο τῆς χάριτος. ἀδρυνθεῖσαν δὲ ἤδη τὴν κόρην ὡς μηκέτι δεῖσθαι προσανέχειν τῇ θηλῇ, ἀποδοῦναι τῷ Θεῷ, καὶ πληρῶσαι τὴν ἐπαγγελίαν, καὶ προσάγειν τῷ ναῷ ἐσπουδάσθη. οἱ δὲ ἱερεῖς, τέως μὲν καθ' ὁμοιότητα τοῦ Σαμουὴλ ἐν τοῖς ἁγίοις ἀνα-

τρέφειν τὴν παῖδα, αὐξηθείσης δὲ, βουλὴν ἄγειν ὅ,τι ποιήσαντες τὸ ἱερὸν ἐκεῖνο σῶμα, οὐκ ἂν εἰς τὸν Θεὸν ἐξαμάρτοιεν. τὸ μὲν γὰρ ὑποζεῦξαι τῷ νόμῳ τῆς φύσεως, καὶ καταδουλῶσαι αὐτὴν διὰ τοῦ γάμου τῷ ἀνδρὶ, τῶν ἀτοπωτάτων ἐτύγχανεν. ἱεροσυλία γὰρ ἄντικρυς ἐνομίσθη, θείου ἀναθήματος ἄνθρωπον γενέσθαι κύριον, ἐπειδὴ κυριεύειν ἐκ τῶν νόμων ὁ ἀνὴρ ἐτάχθη τῆς συνοικούσης. τὸ δὲ τοῖς ἱερεῦσιν ἐντὸς τοῦ ἀνακτόρου γυναῖκα συναναστρέφεσθαι, καὶ ἐν τοῖς ἁγίοις ὁρᾶσθαι, οὔτε νόμιμον ἦν, καὶ ἅμα τῷ πράγματι τὸ σεμνὸν οὐ προσῆν. βουλευομένοις δὲ αὐτοῖς περὶ τούτων, θεόθεν γίνεται συμβουλή. δοῦναι μὲν αὐτὴν ἀνδρὶ μνηστείας ὀνόματι· τοῦτον δὲ τοιοῦτον εἶναι, ὅστις πρὸς φυλακὴν τῆς παρθενίας αὐτῆς ἐπιτηδείως ἔχει. εὑρέθη τοίνυν ὁ Ἰωσὴφ, ὅστις ἐπιζητεῖ ὁ λόγος, ἐκ τῆς αὐτῆς φυλῆς τε καὶ πατριᾶς τῇ παρθένῳ, καὶ μνηστεύεται κατὰ συμβουλὴν τῶν ἱερέων αὐτῷ τὴν παῖδα· ἡ δὲ συνάφεια μέχρι μνηστείας ἦν. τότε μυσταγωγεῖται παρὰ τοῦ Γαβριὴλ ἡ παρθένος. τὰ δὲ ῥήματα τῆς μυσταγωγίας, εὐλογία ἦν. χαῖρε, φησὶ, κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. ἀπεναντίον τῇ προτέρᾳ φωνῇ τῇ πρὸς γυναῖκα, νῦν γίνεται πρὸς τὴν παρθένον ὁ λόγος. ἐκείνη λύπαις ἐν ταῖς ὠδῖσι διὰ τὴν ἁμαρτίαν κατεδικάσθη· ἐπὶ δὲ ταύτης ἐκβάλλεται διὰ τῆς χαρᾶς ἡ λύπη· ἐπ᾽ ἐκείνης, αἱ λῦπαι τῆς ὠδῖνος προηγήσαντο· ἐν ταύτῃ δὲ χαρὰ τὴν ὠδῖνα μαιεύεται· μὴ φοβοῦ φησίν. ἐπειδὴ πάσῃ γυναικὶ φόβον παρέχει ἡ τῆς ὠδῖνος προσδοκία· ἐκβάλλει τὸν φόβον, ἡ τῆς γλυκείας ὠδῖνος ἐπαγγελία. ἐν γαστρὶ λήψῃ, φησὶ, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τί οὖν ἡ Μαρία; ἄκουσον καθαρᾶς παρθένου φωνήν. ὁ ἄγγελος τὸν τόκον εὐαγγελίζεται· κἀκείνη τῇ παρθενίᾳ προσφύεται, προτιμοτέραν τῆς ἀγγελικῆς ἐμφανείας τὴν ἀφθαρσίαν κρίνουσα. καὶ οὔτε τῷ ἀγγέλῳ ἀπιστεῖν ἔχει, οὔτε τῶν κεκριμένων ἐξέρχεται. ἀπείρηταί μοι, φησὶν, ἀνδρὸς ὁμιλία· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; αὕτη τῆς Μαρίας ἡ φωνὴ, ἀπόδειξις τῶν κατὰ τὸ κρύφιον ἱστορουμένων ἐστίν. εἰ γὰρ ἐπὶ γάμῳ παρείληπτο παρὰ τοῦ Ἰωσὴφ· πῶς ἂν ἐξενίσθη τῷ τὸν τόκον αὐτῇ προμηνύοντι; πάντως ποτὲ καὶ αὐτὴ μήτηρ γενέσθαι προσδεχομένη κατὰ τὸν νόμον τῆς φύσεως; ἐπειδὴ δὲ τὸ

A cùm iam adoleſceret, conſulebant, quidnam agerent de ſacro illo corpore, ne Deum offenderent. Etenim naturæ legi illam ſubijcere, vt cuipiam in matrimonio collocata ſeruiret, abſurdiſſimum videbatur. Inſtar enim ſacrilegij fuiſſet, ſi muneris Deo ſacrati dominus homo fieret. Legibus enim erat conſtitutum, vt maritus dominaretur vxori. Vt autem inter templũ vna cum ſacerdotibus mulier verſaretur, & in ſanctis conſpiceretur, neq; legibus permiſſum erat, neque grauitas & honeſtas id ferebat. Deliberantes igitur in hanc ſen-
B tentiam diuinitus conuenerunt, vt eam connubij nomine cuipiam deſponderent, qui tamen ad cuſtodiam virginitatis eius duntaxat eſſet idoneus. Ad hoc autem munus aptiſſimus inuentus eſt Ioſeph, ex eadem cum virgine tribu & familia, qua erat virgo. Sacerdotum ergo conſilio Ioſeph puellam ſponſam accipit. Quæ tamen coniunctio ſponſalia non eſt egreſſa. Tunc ad Virginem miſſus eſt Gabriel, qui ei diuinæ volũtatis arcanũ aperiret. His autẽ fauſtiſſimis verbis vſus eſt. Aue gratia plena, Dominus tecum. Contraria hęc eſt oratio illis *Luc. 1.*
C vocib⁹, quas prima mulier audiuit. Tũc enim illa doloribus propter peccatum damnata eſt. Nunc autẽ in hac per gaudium dolor expellitur. In illa moleſtiæ *Gen. 3.*
partũ pręceſſerunt. Huic partum lætitia prænũtiat. Ne timeas, inquit, Quoniam omnibus mulieribus timorem affert partus expectatio, dulcis partus promiſſione timor eximitur. In vtero, inquit, concipies, & paries filium, & voca- *Matth. 1.*
bis nomẽ eius Ieſum. Ipſe enim ſaluum faciet populum ſuum à peccatis eorum. Quid autem Maria? Audi pudicam Virginis vocem. Angelus partum nun-
D tiat. At illa virginitati inhæret, & integritatem Angelicæ demonſtrationi anteponendam iudicat: nec Angelo fidem non habet, nec à propoſito recedit ſuo. Interdixi, inquit, mihi cõſuetudine viri. quomodo iſtud erit mihi, quoniam virum non cognoſco? Hæc Mariæ vox declarat, ea, quæ ex hiſtoria incerti auctoris cõmemoraui, non eſſe penitus abſurda. Si enim liberorum cauſa ducta fuiſſet à Ioſeph, quomodo parituram Angelo prænuntianti, ſe rem nouam & alienam audire præ ſe tuliſſet, cùm ipſa quoque ſeſe obſtrinxiſſet naturæ lege, vt aliquando mater eſſet? Verùm quia

carnem Deo conſecratam, tanquam ſanctum aliquod oblatum munus oportebat intactam integrámque præſtare, idcirco, licet, inquit, Angelus ſis, licet è cœlo venias, licet id quod oſtenditur, naturam ſuperet humanam, tamen me virum cognoſcere nefas eſt. Quomodo ſine viro mater ero? Ioſeph enim ſponſum noui, ſed virum non cognoſco. Quid ad hæc auſpex Gabriel? Quem thalamum ſtatuit puro impollutóque connubio? Spiritus ſanctus, inquit, ſuperueniet in te, & virtus Altiſſimi obumbrabit tibi. O beatum vterum illum, quæ bonitatis ac puritatis præſtantia ad ſe traxit animi bona! In reliquis enim omnibus vix animus purus Spiritus ſancti præſentiam capit: hic autem caro fit ſpiritus receptaculum. Sed & virtus Altiſſimi obumbrabit tibi. Quid ſignificat arcanus hic ſermo; Chriſtus Dei uirtus eſt & ſapientia, vt ait Apoſtolus. Virtus igitur Altiſſimi, quæ Chriſtus eſt, per aduentum Spiritus ſancti formatur in Virgine. Quemadmodum enim vmbra ad precedentium corporum figuram effingitur, ſic forma & indicium diuinitatis Dei in virtute ipſius, qui paritur, oſtendetur, & imago, & ſignum, & adumbratio, & ſplendor exemplaris per admirabilem rerum affectionem demonſtrabitur. Verùm hortatur nos Euangelium, vt in Bethlehem oratione reuertamur, & quæ in antro ſint myſteria videamus. Quidnam eſt hoc? Puer pannis inuolutus & poſitus in præſepi, & Virgo poſt partum, incorrupta mater complectitur filium. Emittamus illam prophetæ vocem: Sicut audiuimus, ſic vidimus in ciuitate Domini virtutum, in ciui-
Pſal. 42. tate Dei noſtri. Num hæc, quæ audiuimus de Chriſto, fortuna & caſu contigerunt, & ſcripta ſunt, an hiſtoriæ ſubeſt aliqua ratio? Quid ſibi vult hæc domini in antro ſedes? hæc in præ-
1. Cor. 15. ſepi reclinatio? cur tempore deſcriptionis tributorum in vitam ingreditur? An
Eſa. 53. 1. Petr. 2. perſpicuum eſt, eum quemadmodum à legis execratione nos eripit, factus ipſe pro nobis execratio, & liuores noſtros in ſe transfert, vt eius liuore nos curemur, ſic etiam vectigalem fieri,

A ἀφιερωθεῖσαν τῷ Θεῷ σάρκα, οἷόν τι τῶν ἁγίων ἀναθημάτων ἀνέπαφον ἔδει φυλάττεσθαι· διὰ τοῦτο φησὶ, κἂν ἄγγελος ᾖς, κἂν οὐρανόθεν ἥκῃς, καὶ ὑπὲρ ἄνθρωπον τὸ φαινόμενον ᾖ· ἀλλὰ τὸ γνῶναί με ἄνδρα, τῶν ἀμηχάνων ἐστί. πῶς ἔσομαι μήτηρ χωρὶς ἀνδρός; τὸν γὰρ Ἰωσὴφ μνηστῆρα μὲν οἶδα, ἄνδρα δὲ οὐ γινώσκω. τί οὖν ὁ νυμφοστόλος Γαβριήλ; οἵαν παστάδα τῷ καθαρῷ καὶ ἀμιάντῳ παρίστησι γάμῳ; πνεῦμα ἅγιον, φησὶν, ἐπελεύσεται ἐπὶ σε, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. ὢ μακαρίας γαστρὸς ἐκείνης, ἣ
B δι' ὑπερβολὴν καθαρότητος τὰ τῆς ψυχῆς ἀγαθὰ πρὸς ἑαυτὴν ἐπεσπάσατο. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων, μόλις ἂν ψυχὴ καθαρὰ πνεύματος ἁγίου παρουσίαν δέξαιτο· ἐνταῦθα δὲ δοχεῖον τοῦ πνεύματος ἡ σὰρξ γίνεται. ἀλλὰ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. τί τοῦτο σημαίνει; δι' ἀπορρήτων ὁ λόγος, ὅτι Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ὥς φησιν ὁ ἀπόστολος. τοῦ οὖν ὑψίστου Θεοῦ ἡ δύναμις ἥτις ἐστὶν ὁ Χριστὸς, διὰ τῆς ἐπελεύσεως τοῦ ἁγίου πνεύματος ἐμμορφοῦται τῇ παρθενίᾳ. καθάπερ γὰρ ἡ τῶν σωμάτων σκιὰ τῷ
C τύπῳ τῶν προηγουμένων σχηματίζεται· οὕτως ὁ χαρακτὴρ καὶ τὰ γνωρίσματα τῆς τοῦ υἱοῦ θεότητος, ἐν τῇ δυνάμει τοῦ τικτομένου διαφανήσεται, εἰκὼν καὶ σφραγὶς καὶ ἀποσκίασμα καὶ ἀπαύγασμα τοῦ πρωτοτύπου, διὰ τῆς τῶν ἐνεργειῶν θαυματοποιίας δεικνύμενος. ἀλλ' ἐπὶ τὴν Βηθλεὲμ ἡμᾶς ἀναδραμεῖν τῷ λόγῳ προτρέπεται τὸ ἀγγελικὸν εὐαγγέλιον, καὶ κατιδεῖν τὰ ἐν τῷ σπηλαίῳ μυστήρια. τί τοῦτο; παιδίον ἐν σπαργάνοις διειλημμένον, καὶ ἐπὶ φάτνης ἀναπαυόμενον· καὶ ἡ μετὰ τόκον παρθένος, ἡ ἄφθορος
D μήτηρ περιέπει τὸ ἔκγονον. εἴπωμεν οἱ ποιμένες ἡμεῖς τὴν τοῦ προφήτου φωνήν· ὅτι καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει τοῦ κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. οὐκ ἄρα συντυχικῶς ταῦτα κατὰ τὸ συμβὰν, καὶ γέγονεν, καὶ ἐπὶ τοῦ Χριστοῦ ἱστόρηται; καὶ οὐδεὶς ἔπεστι τῇ ἱστορίᾳ λόγος; τί βούλεται τῷ δεσπότῃ ἡ ἐν σπηλαίῳ καταγωγή; ἡ ἐπὶ φάτνης ἀνάκλισις; τὸ ἐν τῷ καιρῷ τῆς τῶν φόρων ἀπογραφῆς καταμιχθῆναι τῷ βίῳ, ἢ δῆλόν ἐστιν, ὅτι ὥσπερ τῆς νομικῆς ἡμᾶς ἐξαιρεῖται κατάρας, αὐτὸς ὑπὲρ ἡμῶν κατάρα γενόμενος. καὶ τοὺς ἡμετέρους μώλωπας εἰς ἑαυτὸν μετατίθησιν, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν· οὕτω καὶ ἐν φόρῳ γίνεται,

ἡμᾶς

ἵν' ἡμᾶς τῶν πονηρῶν δεσμῶν ἐλευθερώσῃ, οἷς ὑπέκειντο οἱ ἄνθρωποι, ὑπὸ τοῦ θανάτου φορολογούμενοι. τὸ δὲ σπήλαιον ἰδὼν ἐν ᾧ τίκτεται ὁ δεσπότης, τὸν ἀφεγγῆ καὶ ὑπόγειον τῶν ἀνθρώπων νόησον βίον, ἐν ᾧ γὰρ ὁ τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις ἐπιφαινόμενος· σπαργάνοις δὲ περισφίγγεται, ὁ τὰς σειρὰς τῶν ἡμετέρων ἁμαρτημάτων περιβαλλόμενος. ἡ δὲ φάτνη τὸ τῶν ἀλόγων ἐστὶν ἐνδιαίτημα, ἐν ᾗ γεννᾶται ὁ λόγος· ἵνα γνῷ βοῦς κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. βοῦς ὁ ὑπεζευγμένος τῷ νόμῳ· ὄνος, τὸ ἀχθοφόρον ζῶον, τὸ τῇ ἁμαρτίᾳ τῆς εἰδωλολατρείας πεφορτισμένον. ἀλλ' ἡ μὲν κατάλληλος τῶν ἀλόγων τροφὴ καὶ ζωὴ χόρτος ἐστίν· ὁ ἐξανατέλλων γὰρ χόρτον τοῖς κτήνεσι φησὶν ὁ προφήτης· τὸ δὲ λογικὸν ζῶον ἄρτῳ τρέφεται. διὰ τοῦτο τοίνυν τῇ φάτνῃ ἥ τις ἐστὶ τῶν ἀλόγων ἑστία, ὁ ἐξ οὐρανοῦ καταβὰς ἄρτος τῆς ζωῆς προτίθεται· ἵνα καὶ τὰ ἄλογα τῆς λογικῆς μεταλαβόντα τροφῆς, ἐν λόγῳ γένηται. μεσιτεύει τοίνυν ἐπὶ τῆς φάτνης τῷ βοῒ καὶ τῷ ὄνῳ ὁ ἀμφοτέρων κύριος· ἵνα τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον· καὶ τούτου τὸν βαρὺν ζυγὸν τοῦ νόμου περιελών· κἀκεῖνον τοῦ τῆς εἰδωλολατρείας ἄχθους ἀποφορτίσας. ἀλλ' ἀναβλέψωμεν εἰς τὰ οὐράνια θαύματα. ἰδοὺ γὰρ οὐ προφῆται μόνον καὶ ἄγγελοι τὴν χαρὰν ταύτην ἡμῖν εὐαγγελίζονται, ἀλλὰ καὶ οἱ οὐρανοὶ διὰ τῶν οἰκείων θαυμάτων τὴν τοῦ εὐαγγελίου δόξαν ἀνακηρύττουσιν. ἐξ Ἰούδα ἡμῖν ὁ Χριστὸς ἀνατέταλκε, καθὼς φησὶν ὁ ἀπόστολος, ἀλλ' οὐ καταυγάζεται ὁ Ἰουδαῖος ὑπὸ τοῦ ἀνατείλαντος. ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας οἱ μάγοι, καὶ τῆς τῶν πατέρων εὐλογίας ἀλλότριοι· ἀλλὰ προφθάνουσι τῇ γνώσει Ἰσραηλίτην λαὸν καὶ τὸν οὐράνιον φωστῆρα γνωρίσαντες, καὶ τὸν ἐν σπηλαίῳ βασιλέα μὴ ἀγνοήσαντες. ἐκεῖνοι δωροφοροῦσιν, οὗτοι ἐπιβουλεύουσιν· ἐκεῖνοι προσκυνοῦσιν, οὗτοι διώκουσιν· ἐκεῖνοι εὑρόντες τὸν ζητούμενον, χαίρουσιν· οὗτοι ἐπὶ τῇ γεννήσει τοῦ μηνυθέντος, ταράττονται. ἰδόντες γάρ, φησι, οἱ μάγοι τὸν ἀστέρα ἐπὶ τοῦ τόπου οὗ ἦν τὸ παιδίον, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Ἡρώδης δὲ ἀκούσας τὸν λόγον, ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ.

A vt nos à grauiſſimo vectigali, quod ab
homine mors exigit liberaret? Quòd
autem ſpeluncam vides, in qua paritur
Dominus, cæcam hominũ vitam,& ſub
terra demerſam cogita, in qua naſcitur Pſal. 9.
ille, qui in tenebris ambulantibus,& in
regione vmbræ mortis ſedentibus ſe o-
ſtendit: pannis autẽ obuoluitur & faſciis
conſtringitur, qui peccatorũ noſtrorum
catenas ſubit & vincula. Præſepe verò,
in quo Verbum gignitur, beſtiarum eſt Eſa. 1.
domus, vt cognoſcat bos poſſeſſorem
ſuum,& aſinus præſepe Domini ſui. Per
bouem intellige illũ, qui legis iugo ſub-
B iectus eſt: per aſinum autẽ, quod eſt ani-
mal ferendis oneribus natum, eum, qui
ſimulacrorum cultus onuſtus eſt crimi-
ne. Cæterũ cõmune rationis expertium
animalium pabulum & vita fœnum eſt,
producens, inquit Propheta, fœnum iu-
mentis. Quod autem ratione præditum Pſal. 103.
eſt animal, veſcitur pane. Idcirco in præ-
ſepi, quod eſt animalium ratione vacan- Ioan. 6.
tium ſedes, è cœlo delapſus vitæ panis
proponitur, vt & quæ à ratione remota
ſunt animalia, rationis cibo nutriantur,
atque ita ratione decorentur. Medium
C igitur in præſepi ſe inter bouẽ & aſinum
vtriuſque Dominus locat, vt medium
parietẽ maceriæ ſoluens, duos condat in Epheſ. 2.
ſemetipſo: in vnum nouũ hominem ab
altero graue legis iugũ eripiens, alterum
ſimulacrorum cultus onere liberãs. Sed
oculos ad mirabilia cœlorũ ſpectacula
tollamus. Ecce enim nõ prophetæ ſolũ
& Angeli gaudiũ hoc nobis denuntiant,
verum etiam cœli rebus ſuis admirãdis
Euangelij gloriam prædicant. Ex Iuda,
vt ait Apoſtolus, Propheta Chriſtus or-
D tus eſt. Sed eius ortu non illuminatur Rom. 9.
Iudæus. Peregrini & à teſtamentorum
promiſſione benedictionéque patrum
alieni ſunt Magi, qui cognitione popu-
lum Iſraëlitam anteuertunt, & cœle-
ſtem agnoſcentes lucem, & in ſpelunca
Regem non ignorantes. Hi munera
afferunt; illi inſidias ſtruunt. Hi vene-
rantur, illi perſequuntur. Hi gaudent
inuento, quem exquirebant; illi nun-
tiatio ipſius ortu reformidant. Viden- Matth. 2.
tes enim, inquit, ſtellam ſupra locum,
vbi erat puer, gauiſi ſunt gaudio ma-
gno valde. Herodes autem audiens tur-
batus eſt, & omnis Hieroſolyma cũ illo.

Hi & tanquam Deo thus offerunt, & auro dignitatem regiam colunt. Et prophetica quadā gratia per myrrham mortis diſpoſitionem ſubſignificāt. Illi verò cunctos infantes vnū in locum coactos internecione tollendos cenſent. Quod eos mihi non ſolum crudelitatis, verum etiam ſummæ dementiæ videtur coarguere. Quid enim ſibi vult iſta puerorū trucidatio? cur auſi ſunt homicidæ ſe tanto ſcelere obſtringere? Quoniam nouum quoddā inquiunt mirandúmque cœli portentum regis indicium Magis nunciauit. Quid igitur tum? aut portendenti ſigno fidē habes vt vero, aut, quod rumore iactatur, vanum putas. Si talis eſt, qui cœlos ſibi fecerit inſeruire, prorſus eſt ſupra manum tuam. Sin autem in poteſtate tua eſt, vt ille vel viuat, vel moriatur, eum fruſtra pertimeſcis. Qui enim id agit, vt imperio tuo ſubditus ipſe ſit, cur ei parātur inſidiæ? cur horrendum illud mandatum tranſmittitur? cur impia fertur ſententia, vt miſeri infantes trucidentur? Quid peccarunt, quid morte, aut ſupplicio dignum admiſerunt? Crimen vnum duntaxat habent, quòd nati ſunt, & in lucem editi. Et propterea neceſſe fuit, vt ciuitas carnificibus compleretur? vt cogeretur matrum multitudo, & infantium populus, vt adeſſent etiam patres, & generis propinquitate coniuncti ad ſæuum facinus congregarentur? Quis oratione calamitatem deſcribat? Quis acerbitatem enarrans oculis aſpiciendam proponat? mixtam illam lamentationem, luctuoſum queſtum puerorū, matrum, propinquorum, patrum ad minas carnificum miſerabiliter exclamantiū? Quis dicendo poſſit exprimere carnificem gladio contra puerum irruentem, & toruo trucique vultu contuentem, verbiſque crudelibus alloquētem, vna quidem manu corripientem infantulum, altera verò gladium adigentem? matrem porrò ex altera parte filium ad ſe trahentem, obijcientémque ceruicem ſuam acuto gladio, ne miſerum filium carnificis manu necatū propriis oculis intueretur? Quis explicet ea, quę patres agunt, reuocationes, ſuſpiria, poſtremos filiorum complexus? præſertim cum idem à multis fiat eodem tempore?

A οἱ μὲν ὡς Θεῷ προσάγουσι λίβανον, καὶ τὴν βασιλικὴν ἀξίαν τῷ χρυσῷ δεξιοῦνται. τὴν δὲ κατὰ τὸ πάθος οἰκονομίαν, προφητικῇ τινι χάριτι διὰ τῆς σμύρνης ἀποσημαίνουσιν· οἱ δὲ, πανωλεθρίαν τῆς νεολαίας πάσης καταδικάζουσιν. ὅ μοι δοκεῖ, μὴ τῆς πικρίας μόνον, ἀλλὰ καὶ τῆς ἐσχάτης ἀνοίας αὐτῶν τὴν κατηγορίαν ἔχειν. τί γὰρ βούλεται αὐτοῖς ἡ παιδοφονία; καὶ ἐπὶ τίνι σκοπῷ τὸ τοιοῦτον ἄγος τοῖς μιαιφόνοις τετόλμηται; ἐπειδὴ καινόν τι σημεῖον, φησὶν, τῶν κατ' οὐρανὸν θαυμάτων τὴν τοῦ βασιλέως ἀνάδειξιν τοῖς
B μάγοις ἐμήνυσε. τί οὖν ὡς ἀληθεῖ πιστεύεις τῷ μηνύσαντι σημείῳ, ἢ μάταιον ὑπονοεῖς τὸ θρυλλούμενον; εἰ μὲν γὰρ τοιοῦτός ἐστιν, οἷος τοὺς οὐρανοὺς ἑαυτῷ συνδιατιθέναι, οὐχ ὑπὸ τὴν σὴν χεῖρα πάντως ἐστίν. Εἰ δὲ ἐπὶ σοὶ τὸ ζῆν αὐτὸν ἢ τεθνάναι ποιεῖς, μάτην πεφόβησαι τὸν τοιοῦτον. ὁ γὰρ οὕτω προέχων, ὥστε ὑποχείριος εἶναι τῇ σῇ ἐξουσίᾳ, ὑπὸ τίνος ἐπιβουλεύεται; διὰ τί τὸ φρικτὸν ἐκεῖνο καταπέμπεται πρόσταγμα; ἡ πονηρὰ κατὰ τῶν νηπίων ψῆφος, ἀναιρεῖσθαι τὰ δείλαια βρέφη· τί ἀδικήσαντα; τίνα
C θανάτου καὶ κολάσεως αἰτίαν καθ' ἑαυτῶν παρασχόμενα; ἓν ἔγκλημα ἔχοντα μόνον, τὸ γεννηθῆναι καὶ εἰς φῶς ἐλθεῖν, καὶ ὑπὲρ τούτου ἔδει καταπληρωθῆναι δημίων τὴν πόλιν, καὶ συναχθῆναι δῆμον μητέρων καὶ νηπίων, λαὸν συμπαρόντων αὐτοῖς, καὶ τῶν γεννησαμένων, καὶ πάντων ὡς εἰκὸς ἐπὶ τὸ πάθος ἀθροιζομένων τῶν κοινωνούντων τοῦ γένους. τίς ἂν ὑπογράψειε τῷ λόγῳ τὰς συμφοράς; τίς ἂν ὑπ' ὄψιν ἀγάγοι διὰ τῶν διηγημάτων τὰ πάθη; τὸν σύμμικτον ἐκεῖνον θρῆνον; τὴν γοερὰν συνῳδίαν; παίδων,
D μητέρων, συγγενῶν, πατέρων, πρὸς τὴν τῶν δημίων ἀπειλὴν ἐλεεινῶς εἰσβοώντων. πῶς δ' ἄν τις διαγράψειε γυμνῷ τῷ ξίφει προσεστῶτα τῷ νηπίῳ τὸν δήμιον; ἐμβλέποντα δριμύ τι καὶ φονικὸν, καὶ φθεγγόμενον ἄλλα τοιαῦτα, καὶ τῇ χειρὶ τὸ βρέφος πρὸς ἑαυτὸν ἕλκοντα, καὶ τῇ ἑτέρᾳ τὸ ξίφος ἀνατεινόμενον, τὴν δὲ μητέρα ἑτέρωθεν πρὸς ἑαυτὴν ἀνθέλκουσαν τὸ παιδίον, καὶ τὸν ἴδιον αὐχένα τῇ τοῦ ξίφους ἀκμῇ προσυπέχουσαν, ὡς ἂν μὴ ἴδῃ τοῖς ὀφθαλμοῖς τὸ δείλαιον τέκνον βρέφος ταῖς χερσὶ τοῦ δημίου διαφθειρόμενον. πῶς δ' ἄν τις τὰ τῶν πατέρων διηγήσαιτο; τὰς ἀνακλήσεις, τὰς οἰμωγὰς, τὰς τελευταίας τῶν τέκνων περιπλοκάς; καὶ πολλῶν ἅμα τοιούτων κατὰ ταὐτὸν γινομένων;

τίς ἂν τὸ πολυειδὲς καὶ πολύτροπον τῆς συμφορᾶς τραγῳδήσειε, τὰς διπλᾶς τῶν ἀρτιτόκων ὠδῖνας; τοὺς δριμεῖς καυτῆρας τῆς φύσεως; ὅπως τὸ ἄθλιον βρέφος ὁμοῦ τε τῷ μαζῷ προσεφύετο, καὶ διὰ τῶν σπλάγχνων τὴν καιρίαν ἐδέχετο; ὅπως ἡ δειλαία μήτηρ καὶ τὴν θηλὴν ἐπεῖχε τῷ τοῦ νηπίου στόματι, καὶ τὸ αἷμα τοῦ τέκνου τοῖς κόλποις ἐδέχετο; πολλάκις δέ που τῇ ῥύμῃ τῆς χειρὸς ὁ δήμιος, μιᾷ τοῦ ξίφους ὁρμῇ, τὸ τέκνον τῇ μητρὶ συνδιήλασε. καὶ ἓν τοῦ αἵματος τὸ ῥεῖθρον ἐγίνετο ἔκ τε τῆς μητρῴας πληγῆς, καὶ ἐκ τῆς καιρίας τοῦ τέκνου καταμιγνύμενον. ἐπεὶ δὲ καὶ τοῦτο πρόσκειται τῇ μιαρᾷ τοῦ Ἡρώδου φωνῇ, τὸ μὴ μόνον κατὰ τῶν ἀρτιγενῶν τὴν θανατηφόρον ἐξενεχθῆναι ψῆφον, ἀλλ᾽, εἴ τις καὶ εἰς δεύτερον προῆλθεν ἔτος καὶ οὗτος ἀνάρπαστον γενέσθαι. γέγραπται γάρ, ὅτι ἀπὸ διετοῦς καὶ κατωτέρω. ἕτερον ἐν τούτοις, κατὰ τὸ εἰκός, πάθος ὁ λόγος βλέπει. ὅτι πολλάκις ὁ μεταξὺ χρόνος, δύο τέκνων μητέρα τὴν αὐτὴν ἐποίησεν. οἷον οὖν ἦν ἐπὶ τῶν τοιούτων πάλιν τὸ θέαμα, δύο δημίων περὶ μίαν ἀσχολουμένων μητέρα. τοῦ μὲν, τὸ παραθέον πρὸς ἑαυτὸν ἕλκοντος. τοῦ δέ, τὸ ὑπομάζιον ἀνασπῶντος τοῦ κόλπου. τί πάσχειν εἰκὸς ἐπὶ τούτοις τὴν ἀθλίαν μητέρα; πρὸς δύο τέκνα μεριζομένης τῆς φύσεως, ἑκατέρου κατὰ τὸ ἴσον τοῖς μητρῴοις σπλάγχνοις τὸ πῦρ ἀναφλέγοντος, οὐκ ἐχούσης ποίῳ ἢ τίνι τῶν πονηρῶν ἀκολουθήσῃ δημίων. τοῦ μὲν ἐντεῦθεν, τοῦ δὲ ἑτέρωθεν πρὸς τὴν σφαγὴν ἐφελκομένων τὰ νήπια· προσδράμῃ ἐπὶ τῷ νεογνῷ, ἄσημον ἔτι καὶ ἀδιάρθρωτον τὸν ὀδυρμὸν ἀφιέντι. ἀλλ᾽ ἀκροᾶται τοῦ ἄλλου ἤδη φθεγγομένου, καὶ ψελλιζομένῃ τῇ φωνῇ μετὰ δακρύων τὴν μητέρα ἀνακαλοῦντος. τί πάθῃ; τίς ἂν γένηται; τίνος τῇ φωνῇ ἀντιβοήσῃ; τίνος τῇ οἰμωγῇ ἀντοδύρηται; ποίῳ ἐπιθρηνήσῃ θανάτῳ ἴσως ἐφ᾽ ἑκατέρῳ μαστιζομένη τοῖς κέντροις τῆς φύσεως; ἀλλ᾽ ἐπαναγάγωμεν τὴν ἀκοὴν τὴν ἐπὶ τοῖς παισὶ θρηνῶν· καὶ πρὸς τὰ εὐθυμότερα καὶ μᾶλλον τῇ ἑορτῇ πρέποντα τὴν διάνοιαν τρέψωμεν. κἂν ὑποβοῶσα κατὰ τὴν προφητείαν ἡ Ῥαχὴλ τὴν σφαγὴν τῶν τέκνων ὀλοφύρηται. ἐν γὰρ ἡμέρᾳ ἑορτῆς, καθώς φησιν ὁ σοφὸς Σολομών, ἀμνηστία πρέπει κακῶν. τίς δ᾽ ἂν γένοιτο τῆς ἑορτῆς ἡμῖν ταύτης ἐπισημοτέρα; ἐν ᾗ τὴν πονηρὰν τοῦ διαβόλου σκοτομήνην διασχίσας ὁ τῆς δικαιοσύνης ἥλιος,

A Quis variam multiplicémque calamitatem, & conduplicatos puerperarum dolores partus exponat? & acerrimas, quas admouebat natura, faces? Quo modo puer infelix & vberi ſimul inhæreret, & per viſcera lethalem plagam acciperet? Quo modo miſera mater ſimul infantis ori ſubderet vbera, & ſinu ſanguinem eius exciperet? Manus autem impetu ſæpenumero carnifex vno gladij ictu filium & matrem conſauciabat, & vnus ſanguinis riuus ex matris plaga & ex mortifero vulnere filij mixtus decurrebat. Iam verò, cùm B nefaria Herodis ſententia non ſolum nuper geniti necarentur, ſed etiam illi, qui alterum agebant annum, raperentur ad mortem, (ſcriptum eſt enim eum iuſſiſſe, bimulos & minores interfici) videre erat matres non paucas, quæ eo temporis ſpatio duos filios enixæ fuerant. Quódnam igitur rurſum in his ſpectaculum cernebatur, cum duo carnifices circa matrem vnam eſſent occupati, vnuſque prope currentem filium ad ſe raperet, alter autem lactentem adhuc infantulum è gremio matris euelleret? Quid tum faciat ma- C ter infelix, cùm natura bifariam in filios diuellatur, & vtroque filio maternis viſceribus ex æquo faces admouente, neſciat vtrum ex carnificibus prius ſequatur, cùm vnus ex hac, alter ex illa parte pueros ad cædem trahat? procurratne ad nuper genitum, confuſos indiſtinctóſque gemitus emittentem? at inhibetur ab altero iam loquente, balbutientíque lingua matrem inclamãte. Quídnam agat? quò ſe vertat? vtrius voci voce ſua reſpondeat? vtrius gemitum gemitu excipiat ſuo? vtrius defleat necem, cùm vtérque naturæ ſtimulis æque miſeram feriat? Sed amouea- D mus aures ab hiſce queſtibus, & ad lætiora diéique feſto magis conuenientia cogitationem conuertamus, licet Rachel, vt inquit Propheta, clamans filiorum cædem deploret. In die enim feſto, vt ait ſapiens Salomon, malorum decet obliuiſci. Quæ ante nobis celebrior dies hac eſſe poteſt, in qua malas diaboli tenebras diſcutiens iuſtitiæ ſol

Matth. 2.
Hier. 31.
Eccl. 7.

per naturam noſtram illucet mundo? In qua, qui cecidit, excitatur? qui hoſtis factus eſt, in gratiam recipitur? qui eiectus eſt reuocatur? qui è vita excidit ad vitam redit? qui ſeruitutem ſeruiuit, regni dignitatem aſſequitur? qui mortis vinculis conſtrictus eſt, ad regionem viuentium reuertitur? Nunc vt Propheta teſtatur, æreæ mortis portæ confringuntur, ferrea comminuuntur vincula, quibus antea genus hominum in mortis cuſtodia detinebatur. Nunc, vt cecinit Dauid, recluditur porta iuſtitiæ. Nunc per totum orbem vna voce feſtum celebrantium clamor exauditur. Per hominem mors, & per hominem ſalus. Primus in peccatum lapſus eſt. Iacentem ſecundus ſuſcitauit. A muliere mulier defenſa eſt. Prima peccato aditum patefecit: hæc vt iuſtitiæ pateret aditus, miniſtra fuit. Illa ſerpentis conſilium eſt ſecuta, hæc ſerpentis interfectorem exhibuit, & lucis auctorem in lucem edidit. Illa per lignum induxit peccatum, hæc per lignum gratiam intulit. lignum autē Crucis intelligo, cuius fructus eſt ſemper virēs, & guſtantibus vita fit immortalis. nemo autē hanc gratiarū actionē paſchatis tantum myſterio putet cōuenire. Sic enim cogitet, paſcha quidem diuinę diſpoſitionis eſſe finem, qui tamen finis cōſequi nequeat, niſi principium antecedat. Quid igitur antiquius eſt? ortus nimirum mortis diſpoſitione. Huius igitur bona ſunt pars bonorum ipſius ortus. quòd ſi quis munera, quæ in Euangeliis commemorantur, enumeret, ſi recenſeat miracula curationum, in inopia & fame ciborum copiam, mortuorum è monumentis excitationem, ſubitam atque improuiſam effectionem vini, expulſiones dæmonum, varias affectiones ad valetudinem reuocatas, claudorum ſaltus, illitos luto cæcorum oculos, diuinam doctrinam, leges latas, arcanam ſimilitudinum ſignificationem: hæc omnia huiuſce diei gratia comprehenduntur. Hæc enim bonorum, quæ deinceps conſecuta ſunt, omnium initium fuit. Quamobrem exultemus, & lætemur in ea. Negligamus, vt hortatur Propheta, exprobrationem hominum,

Pſal. 106. Pſal. 117. Pſal. 43.

A δι' αὐτῆς τῆς ἡμετέρας φύσεως ἐπιλάμπει τῷ κόσμῳ. ἐν ᾗ ὁ πεπτωκὼς ἀνεγήγερται· ὁ ἐκπεπολεμωμένος εἰς καταλλαγὰς ἄγεται· ὁ ἀποκηρυχθεὶς ἐπανάγεται· ὁ ἐκπεπτωκὼς τῆς ζωῆς εἰς τὴν ζωὴν ἐπανέρχεται· ὁ τῇ αἰχμαλωσίᾳ δεδουλωμένος εἰς τὴν τῆς βασιλείας ἀξίαν ἐπαναλαμβάνεται· ὁ τοῖς δεσμοῖς τοῦ θανάτου πεπεδημένος, ἄνετον πρὸς τὴν χώραν τῶν ζώντων ἐπανατρέχει. νῦν, κατὰ τὴν προφητείαν, αἱ χαλκαῖ τοῦ θανάτου πύλαι συντρίβονται· οἱ σιδηροῖ συγκλῶνται μοχλοί. οἷς πρότερον κατειργμένον ἦν τὸ τῶν ἀνθρώπων γένος ἐν τῇ τοῦ
B θανάτου φρουρᾷ· νῦν ἀνοίγεται, καθώς φησιν ὁ Δαβίδ, ἡ πύλη τῆς δικαιοσύνης· νῦν ὁμόφωνος κατὰ πᾶσαν τὴν οἰκουμένην ὁ ἦχος τῶν ἑορταζόντων ἀκούεται. δι' ἀνθρώπου θάνατος, καὶ δι' ἀνθρώπου ἡ σωτηρία· ὁ πρῶτος εἰς ἁμαρτίαν ἔπεσεν· ὁ δεύτερος τὸν πεπτωκότα ἀνέστησεν, ἀπολελόγηται ὑπὲρ τῆς γυναικὸς ἡ γυνή. ἡ πρώτη, τῇ ἁμαρτίᾳ τὴν εἴσοδον δέδωκεν· αὕτη δέ, τῇ εἰσόδῳ τῆς δικαιοσύνης ὑπηρετήσατο. ἐκείνη τοῦ ὄφεως τὴν συμβουλὴν ἐπεσπάσατο· αὕτη τὸν ἀναιρέτην τοῦ ὄφεως προεστήσατο, καὶ τὸν
C φωτὸς τὸν γενέτην ἀπεκύησεν· ἐκείνη διὰ τοῦ ξύλου τὴν ἁμαρτίαν εἰσήγαγε, αὕτη διὰ τοῦ ξύλου τὸ ἀγαθὸν ἀντεισήγαγε. ξύλον δὲ λέγω τὸν σταυρόν· οὗ δὴ τοῦ ξύλου τούτου καρπὸς ἀειθαλὴς καὶ ἀμαράντινος ζωὴ τοῖς γευομένοις γίνεται. καὶ μηδεὶς ἐν τῷ κατὰ τὸ πάσχα μυστηρίῳ μόνον τὴν τοιαύτην εὐχαριστίαν πρέπειν ὑπονοείτω. λογιζέσθω γὰρ ὅτι τὸ πάσχα πέρας τῆς οἰκονομίας ἐστί. πῶς δ' ἂν ἐγένετο τὸ πέρας, εἰ μὴ ἡ ἀρχὴ καθηγήσατο; τί τίνος ἐστὶν ἀρχηγικώτερον; ἡ γέννησις δηλαδή, τῆς κατὰ τὸ πάθος οἰκονομίας. ἐκείνου καὶ τὰ τοῦ πάσχα καλά, τῆς περὶ τὴν γέν-
D νησιν εὐφημίας, μέρος ἐστί. κἂν τὰς εὐεργεσίας τὰς ἐν τοῖς εὐαγγελίοις ἱστορηθείσας τις καταλέγῃ, καὶ διεξέρχηται τὰ κατὰ τὰς ἰάσεις θαύματα, τὴν ἐξ ἀπόρων τροφήν, τὴν τῶν τεθνηκότων ἐκ τῶν μνημάτων ἐπιστροφήν, τὴν αὐτοσχέδιον γεωργίαν τοῦ οἴνου, τὴν τῶν δαιμονίων φυγήν, τὴν τῶν ποικίλων παθημάτων εἰς ὑγείαν μεταβολήν, τὰ τῶν χωλῶν ἅλματα, τοὺς ἐκ πηλοῦ ὀφθαλμούς, τὰς θείας διδασκαλίας, τὰς νομοθεσίας, τὴν διὰ τῶν παραβολῶν ἐπὶ τὰ ὑψηλότερα μυσταγωγίαν. πάντα ταῦτα τῆς γεννήσεως ἡμέρας χάρις ἐστίν· αὕτη γὰρ ἦρξε τῶν ἐφεξῆς ἀγαθῶν. οὐκοῦν ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. μὴ φοβούμενοι τὸν ὀνειδισμὸν τῶν ἀνθρώπων, καὶ

τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττώμενοι, καθὼς καὶ ὁ προφήτης παρεγγυᾶται, οἳ καταχλευάζουσι τῆς οἰκονομίας τὸν λόγον, ὡς οὐκ εὐπρεπὲς ὂν σώματος ὑπελθεῖν φύσιν, καὶ διὰ γεννήσεως ἑαυτὸν τῇ ἀνθρωπίνῃ ζωῇ καταμίξαι τὸν κύριον. ἀγνοοῦντες, ὡς ἔοικε, τὸ περὶ τούτου μυστήριον, ὅπως ἡ τοῦ Θεοῦ σοφία τὴν σωτηρίαν ἡμῖν ᾠκονομήσατο. ἑκουσίως ταῖς ἁμαρτίαις ἡμῶν ἐπεπράθημεν, ἀργυρωνήτων δίκην τῷ ἐχθρῷ τῆς ζωῆς ἡμῶν κατεδουλώθημεν. τί σοι γενέσθαι παρὰ τοῦ δεσπότου μάλιστα καταθύμιον ἦν; οὐ τὸ ἐξαιρεθῆναι τῆς συμφορᾶς; τί περιεργάζῃ τὸν τρόπον; τί νομοθετεῖς τῷ εὐεργέτῃ; τῆς εὐεργεσίας μὴ ἀντιλαμβανόμενος. ὥσπερ ἂν εἴ τις καὶ τὸν ἰατρὸν ἀπωθούμενος καὶ μεμφόμενος τῆς εὐεργεσίας, ὅτι μὴ οὕτως, ἀλλ' ἑτέρως τὴν θεραπείαν ἐνήργησε, εἰ δὲ τὸν ὄγκον τῆς οἰκονομίας ὑπὸ φιλοπραγμοσύνης ἐπιζητεῖς· ἀρκεῖ σοι τοσοῦτον μαθεῖν, ὅτι τὸ θεῖον οὐχ ἕν τι μόνον τῶν ἀγαθῶν, ἀλλὰ πᾶν ὅπερ ἐστὶ κατ' ἐπίνοιαν ἀγαθόν, ἐκεῖνό ἐστι· δυνατόν, δίκαιον, ἀγαθόν, σοφόν· πάντα ὅσα τῆς θεοπρεποῦς σημασίας ἐστὶν ὀνόματά τε καὶ νοήματα. σκόπησον δὲ τοίνυν, εἰ μὴ πάντα περὶ τὸ γενόμενον ἡμῖν τὰ εἰρημένα συνέδραμεν· ἡ ἀγαθότης, ἡ σοφία, ἡ δύναμις, ἡ δικαιοσύνη. ὡς ἀγαθός, τὸν ἀποστάτην ἠγάπησεν· ὡς σοφός, τὴν ἐπίνοιαν τῆς ἐπανόδου τῶν καταδεδουλωμένων ἐμηχανήσατο· ὡς δίκαιος, οὐ βιάζεται τὸν καταδουλωσάμενον, τὸν ὠνῆς δικαίως κτησάμενον· ἀλλ' ἑαυτὸν δίδωσιν ἀντὶ τῶν κεκρατημένων ἀντάλλαγμα, ἵνα καθάπερ τις ἐγγυητὴς εἰς ἑαυτὸν μεταθεὶς τὴν ὀφειλήν, ἐλευθερώσῃ τῶν κρατούντων τὸν κατεχόμενον. ὡς δυνατός, οὐκ ἐνεκρατήθη τῷ ᾅδῃ, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. οὐδὲ γὰρ ἦν δυνατὸν κρατηθῆναι ὑπὸ τῆς φθορᾶς τὸν ἀρχηγὸν τῆς ζωῆς. ἀλλ' αἰσχρὸν τὸ εἰς γένεσιν ἀνθρωπίνην ἐλθεῖν, καὶ τῶν τῆς σαρκὸς παθημάτων ὑποστῆναι τὴν πεῖραν; τὴν τῆς εὐεργεσίας ὑπερβολὴν λέγεις, ἐπειδὴ γὰρ ἄλλως οὐκ ἦν ἐξαιρεθῆναι τῶν τοσούτων κακῶν τὸ ἀνθρώπινον· ὑπομένει ὁ πάσης ἀπαθείας βασιλεὺς τὴν ἰδίαν δόξαν τῆς ἡμετέρας ζωῆς ἀνταλλάξασθαι. καὶ ἡ μὲν καθαρότης ἐν τῷ ἡμετέρῳ γέγονε ῥύπῳ· ὁ δὲ ῥύπος τῆς καθαρότητος οὐ προσάπτεται, καθώς φησι τὸ εὐαγγέλιον· ὅτι τὸ φῶς ἐν τῇ σκοτίᾳ ἔλαμψεν, ἡ δὲ σκοτία αὐτὸ οὐ κατέλαβεν.

A nec deſpectione ipſorum ſinamus nos vinci, qui diuinæ diſpoſitionis & prouidentiæ rationem irrident, quaſi non decuerit Dominum ſubire corporis naturam, nec in hominum vita naſcendo verſari. Ignorant enim rei myſterium, quo Dei ſapientia nobis ſalutem afferre conſtituit. Eramus ſponte peccatis noſtris venditi, & inſtar eorum, qui argento veneunt, vitæ noſtræ inimico mancipati. Quid tibi à Domino optandum fuit? nónne vt à calamitate liberareris? cur igitur curioſè in modum inquiris? benefactori benemerēdi rationem præ-
B ſcribis? non ſecus ac ſi quis benemerito ſuccenſeat medico, quòd ſe non hac, ſed illa ratione curauerit. Quòd ſi diuini conſilij rationē curioſitate ductus exquiris, hoc tibi ſatis ſit intelligere, non vnum aliquod bonorum, ſed quidquid boni cogitatione ac mente concipitur, illud eſſe diuinum numen, potens, iuſtum, bonum, ſapiens, omnia denique nomina, & notiones, quibus natura diuina declaratur. Conſidera igitur mihi, vtrum in hoc beneficio, quo nos affecit, cernantur omnia, quæ
C dicendo percurri, bonitas, ſapientia, iuſtitia, potentia. Vt bonus deſertorem amauit, vt ſapiens rationem inuenit, qua ſeruitute oppreſſum in libertatem vindicaret, vt iuſtus in ſeruitute continentem & emptionis iure poſſidentem non coëgit, ſed ſe ipſum pro illo, qui victus erat, tradidit, & tanquam vas & ſponſor debitum ipſe perſoluit, vt eum, qui obſtrictus erat, liberaret, vt potens non detentus eſt in inferno, *Act. 2.*
nec eius caro vidit corruptionem. Ne-
D que enim fieri poterat, vt vitæ auctor *Pſal. 15.*
ac Dominus à corruptione teneretur. At turpe, inquies, fuit, eum in vitam humanam ingredi, & carnis moleſtias experiri. Immo verò hic apparet muneris amplitudo. Etenim cùm aliter è tantis malis homo liberari non poſſet, beatitudinis rex gloriam ſuam cum vita noſtra commutauit. At puritas quidem ad noſtras ſordes ſeſe demiſit: ſordes tamen ipſæ puritatem non attigerunt. Lux enim, vt in Euange-
lio legitur, in tenebris fulſit, tenebræ *Ioan. 1.*
autem eam non comprehenderunt.

Nam tenebræ præſentia ſplendoris A euaneſcunt: ſol in tenebris non ob-
2.Cor.5. ſcuratur. Quod mortale eſt, abſorbetur à vita, quemadmodum ſcribit Apoſtolus, non autem vita à morte conſumitur. Quod corruptum fuit, cum incorrupto ſeruatur. Corruptio autem ad incorruptionem non accedit. Idcirco communis rerum omnium procreatarum concentus exurgit, Dominum ſuum vna voce collaudantium, ſic omni lingua cœleſtium, terreſtrium, atque infernorum exclamante, Dominus Ieſus Chriſtus in gloria eſt Dei patris, laudandus in æternum, Amen.

ἀφανίζεται γὰρ τῇ παρουσίᾳ τῆς ἀκτῖνος, ὁ ζόφος· οὐκ ἐναμαυροῦται τῷ ζόφῳ ὁ ἥλιος. τὸ θνητὸν ὑπὸ τῆς ζωῆς καταπίνεται, καθώς φησιν ὁ ἀπόστολος· οὐκ ἐνδαπανᾶται ἡ ζωὴ τῷ θανάτῳ. τὸ κατεφθαρμένον τῷ ἀφθάρτῳ συνδιασώζεται· ἡ δὲ φθορά, τῆς ἀφθαρσίας οὐ προσάπτεται. διὰ τοῦτο κοινὴ πάσης γίνεται συνῳδία τῆς κτίσεως, ὁμόφωνον πάντων τὴν δοξολογίαν ἀναπεμπόντων τῷ δεσπότῃ τῆς κτίσεως. πάσης γλώσσης ἐπουρανίων τε καὶ ἐπιγείων καὶ καταχθονίων βοώσης, ὅτι κύριος Ἰησοῦς B Χριστὸς εἰς δόξαν Θεοῦ πατρός, εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

EIVSDEM IN SANCTVM Stephanum protomartyrem Encomium.

Laurentio Siſano interprete.

QVAM pulchra bonorum conſequentia eſt: quàm iucunda lætitiæ ſucceſſio? Ecce enim diẽ feſtum C ex die feſto, & gratiã pro gratia accipimus. Heri Dominus vniuerſi nos pauit: hodie Domini imitator, quomodo hic? aut quomodo ille? ille hominum pro nobis induens; hic pro illo hominem exuens. Ille vitæ ſpeluncam propter nos ſubiens; hic propter illum ex ſpelunca excedens: ille pro nobis faſciis inuolutus, hic pro illo lapidatus: ille mortem interimens, hic morti iacenti inſultans. Enimuerò, fratres, cõcurramus etiam nos ſermone ad theatrum, quo magnus ille athleta laborat, & aduerſus improbum humanæ vitæ aduerſariũ ad certamen accingitur
1.Cor.4. in ſtadio cõfeſſionis. Reuera enim iuxta vocem Pauli, mũdo & angelis & hominibus ſpectaculo fuit magnus ille Stephanus, qui primus Stephano, id eſt, corona confeſſionis redimitus & ornatus eſt, martyrũ cœtui aditum fecit: qui primus vſque ad ſanguinẽ peccato aduerſatus eſt. Ac mihi videtur ſupramundanorum exercitus omnis, & omnes angelorum legiones, tam miniſtrantium, quàm aſſiſtentium: ac ſi quid aliud dignitate præditum in ſupernis partibus

ΤΟΥ ΑΥΤΟΥ ΕΓΚΩΜΙΟΝ Εἰς τὸν ἅγιον Στέφανον, τὸν πρωτομάρτυρα.

Ὡς καλὴ τῶν ἀγαθῶν ἡ ἀκολουθία. ὡς γλυκεῖα τῆς εὐφροσύνης ἡ διαδοχή. ἰδοὺ γὰρ ἑορτὴν ἐξ ἑορτῆς, καὶ χάριν ἀντιλαμβανόμεθα χάριτος. χθὲς ἡμᾶς ὁ τοῦ παντὸς δεσπότης εἱστίασε, σήμερον ὁ μιμητὴς τοῦ δεσπότου. πῶς οὗτος, ἢ πῶς ἐκεῖνος; ἐκεῖνος τὸν ἄνθρωπον ὑπὲρ ἡμῶν ἐνδυσάμενος· οὗτος, τὸν ἄνθρωπον ὑπὲρ ἐκείνου ἀποδυσάμενος. ἐκεῖνος, τὸ τοῦ βίου σπήλαιον δι' ἡμᾶς ὑπερχόμενος· οὗτος τοῦ σπηλαίου δι' ἐκεῖνον ὑπεξερχόμενος. ἐκεῖνος, ὑπὲρ ἡμῶν σπαργανούμενος· οὗτος ὑπὲρ ἐκείνου καταλιθούμενος. ἐκεῖνος ἀναιρῶν τὸν θάνατον, οὗτος ἐπεμβαίνων τῷ θανάτῳ κειμένῳ. D ἀλλὰ γὰρ συνδράμωμεν ἀδελφοὶ καὶ ἡμεῖς τῷ λόγῳ πρὸς τὸ θέατρον, ὡς ὁ ἀθλητὴς ὁ μέγας ἐναγωνίζεται, πρὸς τὸν πονηρὸν ἀντίπαλον τῆς ἀνθρωπίνης ζωῆς ἐν τῷ σταδίῳ τῆς ὁμολογίας ἀποδυόμενος. ἀληθῶς γὰρ κατὰ τὴν Παύλου φωνήν, θέατρον ἐγενήθη τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις ὁ μέγας Στέφανος. πρῶτος τὸν στέφανον τῆς ὁμολογίας ἀναδησάμενος, πρῶτος τῷ χορῷ τῶν μαρτύρων ὁδοποιήσας τὴν εἴσοδον, πρῶτος ἀντικαταστὰς πρὸς τὴν ἁμαρτίαν μέχρις αἵματος. καί μοι δοκεῖ πᾶσα τῶν ὑπερκοσμίων ἡ στρατιά, καὶ πᾶσαι τῶν ἀγγέλων αἱ μυριάδες τῶν τε λειτουργούντων καὶ τῶν παρεστηκότων, καὶ εἴ τι κατὰ τὴν ἄνω λῆξιν τῶν

ὑμνίων ἀκούομεν, ἐν ἀρχαῖς τε καὶ δυνάμεσι καὶ A θρόνοις καὶ ἐξουσίαις καὶ κυριότησι, καὶ πᾶσα ἡ οὐρανία πανήγυρις, θέαμα ποιεῖται τότε τὸν ἀθλητὴν, τῷ ἀνταγωνιστῇ συμπλεκόμενον. ἐφηπλώσατο μὲν γὰρ οἷόν τι στάδιον τοῖς ἀνταγωνιζομένοις ὁ ἀνθρώπινος βίος, ἀντεφέροντο δὲ ἀλλήλοις ἀμφότεροι· ὅ τε πονηρὸς ἀντίπαλος τῆς ἀνθρωπίνης ζωῆς ἀπὸ τοῦ πτώματος τῶν πρωτοπλάστων μέχρι τῶν κατὰ Στέφανον χρόνων τῇ κατὰ τῶν ἀνθρώπων ἐγγυμνασάμενος νίκῃ· καὶ ὁ μέγας τῆς πίστεως ἀγωνιστὴς, ἀντ' οὐδενὸς κρίνων τοῦ ἀντιπάλου τὴν ἔφοδον· ὅπλα δὲ κατ' ἀλλή- B λων ἀμφοτέροις ἦν, τῷ μὲν εὑρετῇ τοῦ θανάτου ἀπειλή· τῷ δὲ μαθητῇ τῆς ζωῆς, ἡ ὁμολογία τῆς πίστεως. τίς γὰρ οὐκ ἂν ἠγάσθη τὸ καινὸν τοῦτο τῆς ἀγωνίας εἶδος; ὅτε ζωῇ καὶ θανάτῳ ἡ ἀλήθεια διεκρίνετο, καὶ ἀπόδειξις ἐγίνετο τῆς ἀληθείας ὁ θάνατος. ὁ γὰρ κῆρυξ τῆς κεκρυμμένης πίστεως καὶ ἀγνοουμένης ζωῆς, ἔργῳ διήγγελλε τοῖς ἀνθρώποις τὸ κήρυγμα. τὸ γὰρ ἑτοίμως τοῦτον καταλιπεῖν τὸν βίον, ἀπόδειξις τοῖς ὀρθῶς κρίνουσιν ἦν, τοῦ τὴν προτιμοτέραν ζωὴν ἀντὶ τῆς καταλειπομένης ἀλλάξασθαι. C ἀλλὰ καλὸν ἂν εἴη καθάπερ ἐπὶ πίνακος ἀκριβῶς τῷ λόγῳ διαζωγραφῆσαι τὴν ἄθλησιν, ὡς ἂν καθ' ὁδὸν ἡμῖν διὰ τῆς τῶν γεγονότων ἀκολουθίας, ἡ τῶν θαυμάτων τάξις ἐπιδείκνυται. ἄρτι μὲν γὰρ ἡ ἄνωθεν βιαία πνοὴ πᾶσαν τὴν ἐναέριον καὶ ἀπατηλὴν τῶν δαιμόνων διασκεδάσασα δύναμιν, ἐπλήρωσε τῶν ἀποστόλων τὸν οἶκον· καὶ πυροειδῶς εἰς γλώσσας διαμερισθὲν τὸ πνεῦμα κατὰ τὸν ἀριθμὸν τῶν δεχομένων τὴν χάριν ἐν ἑκάστῳ ἐγίνετο. ἤδη δὲ, πρὸς τὸ παράδοξον τοῦ κατὰ τὴν φωνὴν D καὶ τὴν γλῶσσαν θαύματος, τοὺς ἐκ παντὸς ἔθνους Ἱεροσολύμοις ἐπιδημοῦντας, ἔκπληξίς τε κατειλήφει καὶ σύγχυσις τῶν εἰς ποικίλας τε καὶ διαφόρους γλωσσῶν ἰδέας διεσχισμένων, πάντων ἀθρόως ὁμογλώσσων τοῖς μαθηταῖς γεγενημένων. ὅτε οὐκ ἐκ προπαιδεύσεως καὶ μελέτης τινὸς, ἀλλ' ἐξ ἐπιπνοίας τοῦ πνεύματος, ἀθρόως τοῖς ἀποστόλοις ταύτης ἐνδεδοθείσης τῆς χάριτος, ἡ τοῦ φθέγγεσθαι δύναμις προσεγίνετο. ἔδει γὰρ τοὺς ἐπὶ τῇ γηΐνῃ πυργοποιΐᾳ τὴν ὁμοφωνίαν λύσαντας, ἐπὶ τῇ πνευματικῇ πάλιν τῆς ἐκκλησίας οἰκοδομῇ, εἰς ὁμοφωνίαν ἐλθεῖν. καὶ

A audimus, quod in principatibus, & virtutibus & thronis & poteſtatibus & dominationibus verſetur: & omnis cœleſtis conuentus tunc athletam cum aduerſario confligentem ſpectaculo ſibi propoſuiſſe. Patebat enim veluti ſtadium quoddam decertantibus humana vita, tendebant autem vterque alter alteri infeſti, hinc quidem improbus humanæ vitæ aduerſarius, iam inde à lapſu primo cõditorum hominum, vſq; ad tempora Stephani, victoriis de hominibus partis exercitatus: illinc verò magnus ille fidei athleta, nihili faciens aduerſarij B incurſum. Arma autem ambobus alteri aduerſus alterũ erant: inuentori quidem mortis, mortis terror: diſcipulo autem vitæ, confeſſio fidei. Quis enim non admiratus eſſet nouam hanc certaminis formam, cum veritas vita ac morte dijudicabatur, ac documentum veritatis mors fuit? nam præco fidei abſconditæ ac vitæ, quæ ignorabatur, reipſa prædicationẽ hominibus diuulgabat: per hoc enim quod haud grauatè neque cunctanter hanc vitam deſeruit, rectè re æſtimantibus demonſtrabatur, C quòd ea, quæ relinquebatur vita, præſtantiori cõmutaretur. Verùm haud incommodũ fuerit, tanquã in tabula, oratione exactè quaſi depingere concertationem, vt per rerum geſtarum ſeriem cõmodè miraculorum ratio demonſtretur. Nuper enim violentus ille ac vehemens flatus ſupernè delatus, diſſipatis atque diſiectis omnibus aëriis ac fallacibus dęmonũ copiis, domicilium Apoſtolorum repleuerat, & linguarũ in modum ignearum diuiſus pro numero donum accipientiũ ſpiritus in vnoquoque reſederat: ac iam ad inopinatum & in- D auditũ vocis ac linguæ miraculum eos qui ex omni gente profecti, Hieroſolymis verſabantur, conſternatio confuſióque inuaſerat, omnibus qui in varias ac diuerſas linguarum formas diuiſi fuerant, repentè cum diſcipulis eiuſdem linguæ factis, cùm nulla præcedente diſciplina atque exercitatione, ſed ex inſpiratione ſpiritus repentè atque ex tempore hoc dono repræſentato, facultas loquendi Apoſtolis acceſſiſſet. Oportebat enim eos, qui in terrenæ turris extructione communionem linguæ, vociſque cõcordiam ſoluerant, in ſpirituali eccleſiæ ædificatione rurſus ad commercium linguæ venire, at-

Act. 2.

que idcirco ſancti Spiritu diſpenſatio rectè gratiam hinc orditur, vt cōmune hominum beneficium in omnem intellectum humanæ vocis diſpertiretur, ne ſi in vnam linguam ſolam prædicatio pietatis includeretur, inefficax & inutilis hominibus diuerſæ linguæ maneret. Iam igitur cùm Phariſæi quidem ſuis etiam ipſorum auribus non crederent, ac miraculo rei obſtupefactos cæteros errare contenderent irridentes, quaſi muſtum talem væcordiam atque furorem Apoſtolis ingeneraſſet: *Act.2.* Petrus autem vno orationis complexu, animarum millia tria quaſi verriculo captas Chriſto lucrifeciſſet: ac deinceps ſemper adiectione eorum, qui ſalui fierent, eccleſia numero ac multitudine creſceret: itémque is, qui à natiuitate claudus fuerat, ſpecioſam portam templi rurſus iis, qui ſalui fierent, aperuiſſet, cui aſſidens ſuæ ſanationis miraculo anima claudicantes ad fidem adduxerat: cùm multi igitur ad prædicationem fidei confluerent, atque maiorem manum gratiæ miniſtrantium res poſtularet: tunc ſapien- *Act.3.* tia ac gratia abundans Stephanus à ſpiritu in auxilium Apoſtolorum voca- *Act.6.* tur. Ac nemo nomine miniſterij motus, ſecundum eum ab Apoſtolica dignitate locū obtinere ſuſpicetur: quo- *1.Cor.4.* niam etiam Paulus ſeſe miniſtrum myſteriorum Chriſti agnoſcit: nec vniuerſarum rerum dominum qui per carnem humanam ſalutem adminiſtrabat, miniſterij nominis puduit, cum diceret ſeſe in medio eſſe tanquam miniſtrum, qui diuiſiones miniſteriorum *Ephes.4.* *1.Cor.12.* efficit, vt inquit Apoſtolus. Quemadmodum enim ignis apta comprehenſa materia, flammam in altum tollit, & illuſtriorem ſplendorem efficit: ita etiam Spiritus ſanctus, cum in magna illa Stephani animi indole verſaretur, gratiæ radios clariores efficiebat: quamobrem omnes, in quibus eruditionis atque ſcientiæ nonnihil inerat, in ſeſe conuertebat: ex iis qui cæteris præſtare videbantur, coitione atque conſpiratione facta, veluti in phalangas quaſdam conſtipati, ſic impetum Stephani ſuſtinere nitebantur. At ille omnibus pariter inuictus erat, ſiue cum multis ſolus, ſiue cum paucis congrederetur. Tunc igitur in ſpeciem quidem Ale-

A διὰ τοῦτο καλῶς ἐντεῦθεν ἡ τοῦ ἁγίου πνεύματος οἰκονομία τῆς χάριτος ἄρχεται. ὥστε τὴν κοινὴν τῶν ἀνθρώπων εὐεργεσίαν, εἰς πᾶσαν διάνοιαν τῆς ἀνθρωπίνης καταμερίσαι φωνῆς. ἵνα μὴ μιᾷ γλώσσῃ μόνῃ, τὸ κήρυγμα τῆς εὐσεβείας ἐναποκλειόμενον, ἄπρακτον τοῖς ἀλλογλώσσοις μείνῃ καὶ ἀνενέργητον. ἤδη τοίνυν τῶν μὲν Φαρισαίων καὶ ταῖς ἰδίαις ἀκοαῖς ἀπιστούντων, καὶ τοὺς ἐκπεπληγμένους τὴν θαυματουργίαν διεσφάλθαι καταχλευαζόντων, ὡς γλεύκους αὐτοῖς τὴν τοιαύτην παραφορὰν ἐμποιήσαντος. τοῦ δὲ Πέτρου μιᾷ τοῦ λόγου περιβολῇ τρισχιλίας ψυχὰς τῷ Χριστῷ σαγηνεύσαντος, καὶ κα- B θεξῆς ἀεὶ τῇ προσθήκῃ τῶν σωζομένων τῆς ἐκκλησίας εἰς πλῆθος ἐπιδιδούσης, καὶ τοῦ ἐκ γενετῆς χωλοῦ πάλιν τὴν ὡραίαν τοῦ ἱεροῦ πύλην τοῖς σωζομένοις ἀνοίξαντος, ᾗ προσκαθήμενος τῷ καθ' ἑαυτὸν θαύματι τῆς ἰάσεως, τοὺς κατὰ ψυχὴν χωλεύοντας ἐπὶ τὴν πίστιν ἐχειραγώγησε. πολλῶν τοίνυν πρὸς τὸ κήρυγμα τῆς πίστεως συῤῥεόντων, καὶ τῆς χρείας πλείονα τὴν πολυχειρίαν ἐπιζητούσης τῶν διακονούντων τῇ χάριτι· τότε καλεῖται πρὸς ἐπικουρίαν τῶν ἀποστόλων ὑπὸ τοῦ πνεύματος, ὁ πολὺς τῇ σοφίᾳ καὶ τῇ χάριτι Στέφανος. καὶ μηδεὶς τῷ τῆς δια- C κονίας ὀνόματι, δευτερεύειν αὐτὸν παρὰ τὴν ἀποστολικὴν ἀξίαν ὑπονοείτω· ἐπεὶ καὶ Παῦλος ἑαυτὸν οἶδε διάκονον μυστηρίων Χριστοῦ, καὶ ὁ τοῦ παντὸς κύριος ὁ διὰ σαρκὸς τὴν ἀνθρωπίνην σωτηρίαν οἰκονομῶν, οὐκ ἐπῃσχύνθη τῷ τῆς διακονίας ὀνόματι, εἰπών· ἐν μέσοις εἶναι ὡς ὁ διακονῶν, ὁ τὰς διαιρέσεις τῶν διακονιῶν ἐνεργῶν, ὥς φησιν ὁ ἀπόστολος. καθάπερ γὰρ τὸ πῦρ τῆς ἐπιτηδείας ὕλης δραξάμενον, εἰς ὕψος αἴρει τὴν φλόγα, καὶ περιφανεστέραν τὴν αὐ- D γὴν ἀπεργάζεται· οὕτω τὸ πνεῦμα τὸ ἅγιον ἐν τῇ τοῦ Στεφάνου μεγαλοφυΐᾳ γενόμενον, ἐκδηλοτέρας ἐποίει τὰς ἀκτῖνας τῆς χάριτος. διὸ πάντες πρὸς αὐτὸν ἀφεώρων, ἐν ὅσοις ἦν γνώσεώς τινος μετουσία καὶ παιδεύσεως· καὶ κατὰ συστάσεις οἱ τῶν λοιπῶν δοκοῦντες πλέον ἔχειν, οἷον εἰς φάλαγγάς τινας δι' ἀλλήλων καταπυκνούμενοι, οὕτως ὑπομένειν ἐπειρῶντο τοῦ Στεφάνου τὴν προσβολήν. ὁ δὲ πᾶσιν ἐπίσης ἄμαχος ἦν, καὶ πολλοῖς συμμίσγων κατ' αὐτὸν καὶ ἐλάττοσιν. ἐν τούτῳ τοίνυν, τὸ μὲν φαινόμενον, Αλε-

ξανδρεῖς καὶ Λιβερτῖνοι καὶ Κυρηναῖοι καὶ οἱ πανταχόθεν ὄντες ἄνθρωποι πρὸς τὸν τῆς ἀληθείας ἀγωνιστὴν συμπλεκόμενοι. ὁ δὲ διὰ τοῦ φαινομένου νοούμενος, ὁ πατὴρ τοῦ ψεύδους ἦν, δι' ἀνθρωπίνων προσώπων πρὸς τὴν ἐν τῷ Στεφάνῳ λαλουμένην ἀλήθειαν ἑαυτὸν ἀντεγείρων. ἀλλ' ἡ μὲν ἀλήθεια κατὰ τοῦ ψεύδους τροπαιοφόρος ἦν· καλῶς τρεψαμένου τοῦ ἀριστέως πάντας τοὺς προαγωνιστὰς τῆς ἀπάτης· ὁ δὲ διάκονος τῆς ἀληθείας παρὰ τοῦ ἐχθροῦ τῆς ἀληθείας ἐπεβουλεύετο, ὡς οὐχὶ φανερῶν τὴν οὖσαν, ἀλλὰ ποιῶν τὴν μὴ οὖσαν ἀλήθειαν. τί ταῦτα συσκευάζῃ κατὰ τοῦ κήρυκος; πρὸς τὸν διάβολον εἴποιμι ἄν, εἰ σοί τις ἔστι δύναμις, τὴν ἐν τῷ Στεφάνῳ βλέψον ἀλήθειαν· εἰ δὲ ἐκείνη τῶν σῶν μηχανημάτων ὑψηλοτέρα, τί περὶ τὸ σκεῦος τῆς ἀληθείας ἀπασχολεῖς τὴν κακόνοιαν; καὶ ἀναιρεῖς τὸ περιέχον, καταλιπὼν τὸ ἐγκείμενον; οἷόν τι ποιοῦσιν οἱ κύνες, τοὺς λίθους οἷς βάλλονται περιχαίνοντες, τοῦ βάλλοντος οὐχ ἁπτόμενοι. ἐπεὶ τοίνυν ἀπηλέγχθη διὰ τῶν ἀντιταμένων τὸ ψεῦδος, καὶ οὐκέτι οἷός τε ἦν ὁ πονηρὸς ἄλλον τινὰ προαγωνιστὴν τῆς ἀπάτης εὑρεῖν, πάντων πρὸς τὴν φανέρωσιν τῆς ἀληθείας ἀποβλεπόντων· ἀναμέμνηται τοῦ ἰδίου παλαίσματος, καὶ καταμερίσας ἑαυτοῦ τὴν ἐνέργειαν εἴς τε τοὺς κατηγόρους καὶ τοὺς δικαστάς. καὶ ἐν ἀμφοτέροις γενόμενος, τοὺς μὲν λέγειν τὰ ψευδῆ κατὰ τοῦ Στεφάνου προήγετο, τοὺς δὲ μετ' ὀργῆς τὴν συκοφαντίαν προσδέχεσθαι. καὶ ποικίλως ἑαυτὸν τοῖς Ἰουδαίοις ἐγκατασπείρας, πάντα γέγονε τῷ Στεφάνῳ, καὶ κατήγορος καὶ δικαστὴς, καὶ δήμιος, καὶ πᾶσα ἡ λοιπὴ τοῦ θανάτου ὑπηρεσία. οὐκ εἰδὼς οἵῳ πτώματι μετὰ τὴν τοιαύτην ἐπὶ Στεφάνῳ ψῆφον κατενεχθήσεται. καθάπερ γὰρ οἱ ἔμπειροι τῶν ἀθλητῶν ὑποβαίνοντες τῷ σώματι τῶν προσπαλαιόντων, χαλεπώτερον αὐτοῖς διά τινος τεχνικῆς εὐστροφίας τὸ πτῶμα κατασκευάζουσιν· οὕτω καὶ ὁ μέγας Στέφανος εἰς γῆν κλιθεὶς τὸ χαλεπὸν σύντριμμα τοῦ ἀντικειμένου εἰργάσατο. ἐντεῦθεν γὰρ γέγονε τοῖς ἀποστόλοις ἐπὶ τὴν οἰκουμένην ὁ δρόμος. αὕτη τῆς πανταχοῦ τοῦ λόγου διαφοιτήσεως ἦν ἀρχή. Εἰ γὰρ μὴ τῇ κατ' ἐκείνου μιαιφονίᾳ ὁ δῆμος τῶν Ἰουδαίων κατὰ τῶν ἀποστόλων ἐμάνη, μόνοις ἂν τάχα Ἱεροσολύμοις ἡ τοῦ εὐαγγελίου χάρις

A xandrini, Libertiníque & Cyrenenſes, quique vndique cõuenerant homines, cum veritatis athleta confligebant: qui autem per id quod apparebat intelligitur, is pater mendacij erat, per figuras humanas aduerſus eam, quæ à Stephano proferebatur, veritatem inſurgens. Sed veritas quidem de mendacio trophæũ reportabat, cùm vir ille ſtrenuus omneis propugnatores fraudis in fugam egregiè vertiſſet: miniſter autem veritatis ab hoſte veritatis inſidiis petebatur, quaſi non patefaceret eam, quę reuera eſſet, ſed eam, quæ non eſſet, fin- B geret veritatem. Quid hæc moliris aduerſus præconẽ? ad diabolum dixerim. Si tibi aliquæ ſunt vires, incõmoda veritati, quæ in Stephano elucet: ſin autem illa tuis machinationibus ſublimior eſt, quid circa veritatis vas malignitatẽ exerces, atque omiſſo eo quod continetur, tollis è medio id quod cõtinet, non ſecus ac facere ſolent canes, qui lapides quibus petuntur rictu inuadunt, & eum à quo petuntur, non attingunt? Poſteaquam igitur mendacium per ea, quę opponebantur, confutatum atque conui- C ctum erat, nec quenquam alium improbus ille poſtea propugnatorem fraudis inuenire poterat, omnibus ad patefactam veritatem reſpicientibus, non obliuiſcitur ſui certaminis, atque efficaciam ſuam tam in accuſatores quàm in iudices partitur, cùm vtriſque ſeſe inſinuaſſet, hos quidem, vt falſa aduerſus Stephanum dicerent, impulit, illos verò, vt animo irato calumniam admitterent, induxit: cúmque variis modis etiam Iudæis ſeſe inſeruiſſet, omnium aduerſus Stephanum fungitur officio, accuſatoris, iudicis, carnificis, & reli- D qui totius miniſterij mortis, ignorans cum quanta ruina poſt talem aduerſus Stephanum ſententiam, præceps abiturus eſſet. Quemadmodum enim periti athletæ ſubeuntes corpus aduerſariorum per quandam artificioſam agilitatem atque habilitatem, grauiorem lapſum eis ſtruunt: ita magnus quoque Stephanus humi proſtratus, grauem illam contuſionem aduerſarij confecit. Hinc enim in orbem terrarum Apoſtoli currere cœperunt, hoc in omneis parteis ſermonis diuulgationis initium eſt. Nam niſi ab illius cæde populus Iudæorum in Apoſtolos ſæuiiſſet, forſitan ſolis Hieroſolymis Euangelij gratia

Act. 8. Ibid.

incluſa eſſet, nunc verò agitati à Iudęis, alius aliò gentium per orbem terrarum diſperſi ſunt, vndique per myſteriorum doctrinam diabolum exturbantes: hoc modo Samaria ſermonem recipit: hoc modo obiter in via ſalus Eunuchi à Philippo conficitur: ita magnum illud Eccleſiæ inſtrumentum Paulus ira minisque à diabolo armatus aduerſus ipſum armatorem tela vertit, ex omni eum exterminans orbe terrarum, vt nullum relinqueret locum fidei Chriſti inacceſſum: hinc Ægyptij, Syri, Parthi, & Meſopotamitæ, Itali & Galli, Illyrij, Macedones Chriſtum agnoſcunt, & omnes vndique gentes ſermo percurrens ad fidem adducit. Vides Stephani athleticam ſcientiam? quàm multis ruinis obtritus ſit aduerſarius, cùm per calumniam aduerſario ſuperior fuiſſe videretur? Verùm ad ſtadium denuò reuertamur. Quibus verbis populum concitant calumniatores? Non deſinit, inquiunt, verba contumelioſa loqui aduerſus locum hunc ſanctum & legem: audiuimus enim ex eo, cùm diceret, Ieſus Nazarenus hic demolietur locum hunc, & mutabit inſtituta, quæ nobis tradidit Moyſes. Accuſatio quidem diaboli oratorum talis eſt: ſed quænam eſt audientium amentia? cuius criminis nomine in accuſatum ſæuiunt? quam nequitiam in his verbis deprehenderunt? Nam quæ quidem aduerſus eum proferebantur, in poſterum euentura erant. Aiebant enim eum dixiſſe locum euerſum iri, & inſtituta Moſis commutatum iri. Quod igitur maleficium in his verbis continetur, ſiue vera, ſiue falſa loquatur? Nam ſi quidem mentitur, id quod angit & malè habet, non eueniet: ſin autem vera dicit, quænam ineſt iniuria ſermoni, quo prædicitur id, quod euenturum ſit? Nam quæ fiunt, prorſus euenient, ſiue ſileamus, ſiue loquamur: at cædes prædicentis quam adfert incommodorum correctionem? Deinde accuſatur quidẽ Ieſus Nazarenus: ſententia autem, qua pœna atque ſuppliciũ decernitur, aduerſus Stephanũ fertur. Atqui ſi is, qui delinquit, iram mouet & crimini datur loci & inſtitutorum mutatio; atque hæc accuſator non à Stephano, ſed ab Ieſu fieri dicit: aduerſus accuſatum prorſus commoueri iudices

Act. 7.

Ibidem.

A ἐναπεκλείετο· νυνὶ δὲ διωχθέντες παρὰ τῶν Ἰουδαίων, ἄλλος ἀλλαχῆ τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν διεσπάρη, πανταχόθεν τὸν διάβολον διὰ τῆς τῶν μυστηρίων διδασκαλίας ἐξείργοντες. οὕτω δέχεται τὸν λόγον Σαμάρεια· οὕτως ὁδοῦ πάρεργον ἡ τοῦ εὐνούχου σωτηρία παρὰ τοῦ Φιλίππου γίνεται· οὕτω τὸ μέγα σκεῦος τῆς ἐκκλησίας Παῦλος θυμῷ καὶ ἀπειλῇ παρὰ τοῦ διαβόλου καθοπλισθεὶς, ἐπ' αὐτὸν τρέπει τὸν ὁπλίτην τὰς ἀκίδας, πάσης αὐτὸν ὑπερορίζων τῆς οἰκουμένης, ὡς μηδένα τόπον καταλιπεῖν τῇ

B πίστει τοῦ Χριστοῦ ἀνεπίβατον. ἐντεῦθεν Αἰγύπτιοι, Σύροι, Πάρθοι, καὶ Μεσοποταμῖται, Ἰταλοὶ, καὶ Γαλάται, Ἰλλυριοὶ, Μακεδόνες· καὶ τὰ πανταχόθεν ἔθνη προσάγει τῇ πίστει διατρέχων ὁ λόγος. ὁρᾷς τοῦ Στεφάνου τὴν ἀθλητικὴν ἐπιστήμην· πόσοις συνετρίβη πτώμασιν ὁ ἀντίπαλος; δόξας διὰ τῆς συκοφαντίας ὑπέρτερος τοῦ προσπαλαίοντος γενέσθαι. ἀλλ' ἐπανέλθωμεν πάλιν ἐπὶ τὸ στάδιον. τίσι λόγοις ἀνακινοῦσι τὸν δῆμον οἱ συκοφάνται; οὐ παύεται φασὶ λαλῶν ῥήματα βλάσφημα κατὰ τοῦ τόπου τοῦ

C ἁγίου τούτου καὶ τοῦ νόμου· ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. ἡ μὲν οὖν κατηγορία τῶν τοῦ διαβόλου ῥητόρων τοιαύτη· ἡ δὲ τῶν ἀκουόντων ἄνοια τίς; ἐπὶ τίνι χαλεπαίνουσι τῷ κατηγορηθέντι; τίνα κακίαν ἐν τοῖς εἰρημένοις ἐφώρασαν; τὰ μὲν γὰρ προφερόμενα κατ' αὐτοῦ, τῶν ἐσύστερον ἐκβησομένων ἦν. ἔφησαν γὰρ αὐτὸν εἰρηκέναι, τὸν τόπον καταλυθήσεσθαι, καὶ τὰ νόμιμα τοῦ Μωϋσέως μετατεθήσεσθαι. τί οὖν ἐν τούτοις

D ἐστὶ τὸ ἀδίκημα; κἂν ἀληθεύῃ, κἂν ψεύδηται. εἰ μὲν γὰρ ψεύδεται, τὸ λυποῦν οὐκ ἐκβήσεται· εἰ δὲ ἀληθεύει, τί ἀδικεῖ ὁ λόγος προμηνύων τὴν ἔκβασιν; τὰ γὰρ γινόμενα, πάντως ἐκβήσεται καὶ σιωπώντων, καὶ μή· ὁ δὲ φόνος τοῦ προμηνύσαντος, τίνα φέρει τῶν λυπούντων διόρθωσιν; εἶτα, κατηγορεῖται μὲν Ἰησοῦς ὁ Ναζωραῖος. ἡ δὲ τῆς τιμωρίας ψῆφος, ἐπὶ τὸν Στέφανον φέρεται. καί τοι εἰ ὁ ἀδικῶν κινεῖ τὴν ὀργὴν· ἀδίκημα δὲ ἐστὶν, ἡ τοῦ τόπου καὶ τῶν ἐθῶν μεταποίησις· ταῦτα δὲ οὐ παρὰ Στεφάνου, ἀλλὰ παρὰ Ἰησοῦ γίνεσθαι φησὶν ὁ κατήγορος· ἐπὶ τὸν κατηγορηθέντα πάντως ἔδει συγκινεῖσθαι τὸ δι-

A καθαίρεσιν. ὢ τῆς ἀδίκου τῶν ἀκουόντων ψήφου. Ἐπειδή, φησίν, ὁ Ἰησοῦς μεταποιήσει τοὺς νόμους, καταλιθωθήτω ὁ Στέφανος. πῶς δὲ καταλύσει τὸν νόμον ὁ Ἰησοῦς, ὁ οὕτως ἔχων περὶ τὸν νόμον; ὁ πάντα πρὸς βεβαίωσιν τῶν ἀρχαίων νομοθετήσας; ὁ εἰπών· Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι· ὁ τὸν περὶ τοῦ μὴ φονεῦσαι νόμον, διὰ τοῦ μηδὲ τὴν ἀρχὴν ὀργισθῆναι τοῖς μαθηταῖς βεβαιώσας· ὁ τῇ ἐπιθυμίᾳ συνεκβαλὼν τὴν μοιχείαν· ὁ διὰ τοῦ μὴ ἀμύνασθαι τὸν παραλελυπηκότα κελεῦσαι, τὸ μηδὲ ἀρχὴν χειρῶν ἀδίκων νομοθετήσας· ὁ διὰ τῆς τῶν
B περισσόντων μεταδόσεως, τὸ κατὰ πλεονεξίαν πάθος ὑπορείσας· πῶς οὖν οὔτε ἐμνημονεύθη ταῦτα, οὔτε συνεξητάσθη τῇ κρίσει; ἐβουλόμην νῦν παρεῖναί μοι τῶν μιαιφόνων ἐκείνων δικαστῶν τὸ συνέδριον, καὶ μαθεῖν περὶ τῶν τόπων ὑπὲρ ὧν χαλεπαίνουσι. ποῦ ὁ διώνυμος ἐκεῖνος ναός, ποῦ τὰ ἀπιστούμενα τῶν λίθων μεγέθη; ποῦ τὸ χρυσίον ἐκεῖνο τὸ τῇ λοιπῇ ὕλῃ περὶ τὸν ναὸν μικροῦ δεῖν ἰσοστάσιον; ποῦ αἱ νόμιμοι ἱερουργίαι; ὁ κριός, ὁ μόσχος, ὁ ἀμνός, ἡ δάμαλις, ἡ περιστερά,
C ἡ τρυγών, ὁ ἀποπομπαῖος χίμαρος; εἰ διὰ τοῦτο θάνατον τοῦ Στεφάνου καταψηφίζονται, ἵνα μηδὲν τῶν σκυθρωπῶν ἐκείνων εἰς πέρας ἔλθοι· δειξάτωσαν ὅσα διὰ τῆς μιαιφονίας ἑαυτοῖς διεσώσαντο; Εἰ δὲ οὐδὲν τούτων ἐστὶν ὑπὲρ οὗ τὴν ψῆφον ἐκείνην ἐξήνεγκαν· ἀντὶ τίνος ὁ φόνος; εἰπάτωσαν. ἀλλ' ἴδωμεν ἐν τοῖς ἐφεξῆς τῶν ἀγώνων, ὅπως ἀμύνεται τοὺς μιαιφόνους, ὁ ταῖς νιφάσι τῶν λίθων καταχωννύμενος. ποίας ἀντιπέμπει βολάς, κατὰ τῶν ἀφιέντων τὰς τῶν λίθων βολίδας; μαθέτωσαν
D Ἰουδαίων παῖδες τὰ τῶν Χριστιανῶν ὅπλα, οἷς πρὸς ἄμυναν τῶν λυπούντων χρησάμενος ὁ μέγας Στέφανος, νόμον τῷ βίῳ τὸ ἔργον πεποίηται. οἱ μὲν γὰρ θηριώδει τινὶ καὶ ἀπηνεῖ τῇ λύσσῃ κύκλῳ περιστάντες τὸν ἅγιον, πρὸς ἕνα σκοπὸν οἱ πάντες ἔβλεπον. πᾶν τὸ ὑπὸ χεῖρα γινόμενον ὅπλον κατὰ τοῦ Στεφάνου ποιούμενοι· ὁ δέ, καθάπερ τις ἱερεύς, κατὰ τὸν πνευματικὸν νόμον ἁγνὴν θυσίαν ἱερουργῶν, οὐκ ἀλλότριον, ἀλλὰ τὸ ἴδιον προσάγων σῶμα, καὶ ἀντὶ τῆς σπονδῆς ἀπορραίνων τοῦ αἵματος, δι' ἑαυτοῦ τὸν Θεόν, ὃν

A oportebat. O iniuſtam audientium ſententiam! Quoniam, inquit, Ieſus mutabit leges, lapidetur Stephanus: quomodo autem legem Ieſus abrogabit, qui ita affectus erat erga legem? qui omnia ad confirmationem antiquarum legum inſtituit? qui dixit, Non veni diſſoluturus legem, ſed impleturus? qui legẽ de non Matth. 5.
interficiendo, per hoc, quòd nec prorſus quidem iraſci quemquam voluit, diſcipulis confirmauit? qui adulterium vnà Ibid.
cum libidine atque concupiſcentia elecit? qui per id, quod noluit, vt quiſquã vlciſcatur eum, à quo antè læſus eſſet,
B ne laceſſendum quidem iniuria quemquam eſſe ſanxit? qui per cõmunicationem facultatum, auaritiæ vitium exterminauit? Quî fit igitur, vt hæc neque commemorata, neque in cognoſcendo ſimul quæſita atq; examinata ſint? Vellem nunc adeſſe mihi ſanguinariorum illorum iudicum conſilium, ac de locis, quorum nomine ſæuiunt infenſi, ſciſcitari, vbi celebre illud templum? vbi incredibiles lapidum magnitudines? vbi aurum illud, quod reliquam templi materiam pretio propemodum æquabat?
C vbi legitima ſacrificia? aries, vitulus, agnus, iuuenca, columba, turtur, auertendis malis ſacrificari ſolitus caper? ſi idcirco Stephanũ capitis condemnant, vt ne quid triſtium illarum rerum eueniret, oſtendant quæcũque per cædem illam nefariã ſibi conſeruarint, quòd ſi nihil horum reliquum eſt, quorum nomine ſententiam illam tulerunt? dicant cuius rei gratia cędes ab ipſis perpetrata ſit? Verùm videamus in reliquo certamine, qua ratione ſanguinarios vlciſcatur is, qui veluti niualibus floccis crebris incidentibus, ita lapidũ quaſi gran-
D dinis imbre obruebatur? quibus contra iaculis petat eos, qui lapidũ in eum tela emittebant? Cognoſcant Iudæi arma Chriſtianorũ, quibus iniuriam vlciſcendo magnus Stephanus vſus, ſui facti exemplo legẽ vitę ſanxit. Nam illi quidem ferina quadam atque immani rabie vndique ſanctum circunſtantes, in vnum illum tanquam ſcopum omnes intenti erant, quicquid ad manum eſſet, eo vice teli aduerſus Stephanum vtentes, hic verò tanquam ſacerdos quidem, iuxta legem ſpiritualem, puram hoſtiam immolans, non alienum, ſed ſuum altaribus admouens corpus, & loco libaminis ſanguinem ſpargens, per ſeſe Deum,

quem in cœleſtibus adytis cernebat, delinquentibus placabat, beneficio nefariam cædem eorum compenſans, clamans audientibus homicidis, ac dicens: Domine ne imputes eis hoc peccatum. *Act. 7.* Atque hic quidem oratione peccatum eorum, quod ſceleratis manibus ſuis ſanguinarij quaſi exarabant, delebat: illi verò etiam ad orationem exaſperabantur: ac non prius eum impetere remiſerunt, quàm magnus Stephanus veluti teneris floribus vel rore quodam leui circumfuſus in dulcem ſimul ac beatum ſomnum delatus eſt. Verùm victoria certamen præuenit, & ante certamen athletam corona victoriæ decoratum videmus. Antequam enim certamen ſpectauerimus, ad finem certaminis oratione prouecti ſumus. Oportebat enim opinor oratione non præterire ea, per quæ maximè martyris virtus oſtendebatur, qualis ad cædem propenſorum conſeſſus, & quomodo omnibus ex æquo animus ad cædem concitatus: quanta congregatis ad malum conſpiratio: qualis cuiúſque obtutus: quibus habitus, qualis dentium motus & affectus eſſet, ſicut diuina ſcriptura ſignificat, quòd diſſecarentur cordibus ſuis, & frenderent dentibus ſuis in eum: *Ibidem.* qui in medio tot ac talium ſtans, contráque omnem vim aduerſariam, quæ à ſanguinariis illis repræſentabatur, ſeſe contra exuſcitans, per omnia magnitudine animi atque indolis excellebat: iræ quidem lenitatem: minis verò deſpicientiam: mortis terrori, vitæ contemptum: odio, dilectionem: maleuolentiæ, beneuolentiam: calumniæ, veritatis prædicationem opponens. Non enim vno modo victor declarabatur, ſed aduerſus omnem malitiæ ſpeciem, quæ tunc ab Iudæis repræſentabatur, ſeſe per varias virtutes diſtribuens cum omnibus & conflixit, & omneis ſuperauit. Ita audio in gymnicis quoque certaminibus eos, qui viribus cæteros antecedunt, aduerſus totum ſæpe ſtadium gymnicum ſeſe certamini offerentes & accingentes, de omnibus victoriæ præmia reportare. Talis martyrum ſtadij princeps erat: qui aduerſus omneis aduerſarij copias cùm ſeſe oppoſuiſſet, aduerſus omneis victoria clarus deſignatur. Nam fal-

A ἐν τοῖς οὐρανίοις ἀδύτοις ἔβλεπεν, ὑπὲρ τῶν πλημμελούντων ἐξιλεοῦτο. εὐεργεσίᾳ τὴν μιαιφονίαν αὐτῶν ἀμειβόμενος, βοῶν ἐν ταῖς τῶν φονευτῶν ἀκοαῖς, καὶ λέγων, Κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ ὁ μὲν ἐξήλειφεν αὐτῶν διʼ εὐχῆς τὴν ἁμαρτίαν, ἣν τοῖς παρανόμοις αὐτῶν χερσὶν οἱ μιαιφόνοι ἐχρεογράφουν· οἱ δὲ καὶ πρὸς τὴν εὐχὴν παρωξύνοντο. καὶ οὐ πρότερον ἀνίεσαν βάλλοντες, ἕως οὗ ὁ μέγας Στέφανος καθάπερ ἄνθεσιν ἁπαλοῖς, ἢ δρόσῳ τινὶ κούφῃ περιρρεόμενος εἰς τὸν γλυκὺν καὶ μακάριον ὕπνον ἐκλίθη. ἀλλʼ ἔφθασεν ἡ νίκη τοὺς ἄθλους, καὶ πρὸ τῶν ἀγώνων ὁρῶμεν τὸν Στεφανίτην. B πρὶν γὰρ θεωρῆσαι τὴν ἀγωνίαν, πρὸς τὸ πέρας τῶν ἄθλων ὑπὸ τοῦ λόγου προήχθημεν. ἔδει γὰρ οἶμαι μὴ παραδραμεῖν ἐκεῖνα τῷ λόγῳ, διʼ ὧν μάλιστα ἡ τοῦ μάρτυρος ἀρετὴ διεδείκνυτο. οἷον ἦν τὸ τῶν φονώντων συνέδριον; καὶ πῶς κατὰ τὸ ἴσον πᾶσι, πρὸς τὸν φόνον ὁ θυμὸς διεγήγερτο· ὅση πρὸς τὸ κακὸν ἦν τοῖς συνειλεγμένοις ἡ σύμπνοια, οἷον ἑκάστου τὸ βλέμμα, οἷον τὸ σχῆμα, οἷον τὸ περὶ τοὺς ὀδόντας πάθος, καθὼς παρασημαίνεται ἡ θεία γραφὴ, ὅτι διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπʼ αὐτόν. καὶ ἐν μέσῳ τοιούτων καὶ τοσούτων ἑστὼς, καὶ πάσῃ C τῇ ἀντικειμένῃ δυνάμει τῇ ἐν τοῖς μιαιφόνοις ἐνεργουμένῃ ἑαυτὸν ἀντεγείρων, διὰ πάντων ὑπερέσχε τῷ μεγαλοφυεῖ τοῦ φρονήματος. ἀντιθεὶς τῷ μὲν θυμῷ τὴν μακροθυμίαν, ταῖς δὲ ἀπειλαῖς τὴν ὑπεροψίαν, τῷ δὲ τοῦ θανάτου φόβῳ, τὴν τῆς ζωῆς καταφρόνησιν· τῷ δὲ μίσει, τὴν ἀγάπην· τῇ δυσμενείᾳ, τὴν εὐμένειαν. τῇ συκοφαντίᾳ, τὴν τῆς ἀληθείας φανέρωσιν. οὐ γὰρ διʼ ἑνὸς τρόπου νικητὴς ὁ τῆς ἀληθείας ἀγωνιστὴς ἀπεδείκνυτο. ἀλλὰ πρὸς πᾶν εἶδος κακίας τῆς D τότε τοῖς Ἰουδαίοις ἐνεργουμένης ἑαυτὸν διὰ τῆς ποικίλης ἀρετῆς καταμερίσας, καὶ πᾶσι συνεπλάκη καὶ καθυπερέσχε τῶν πάντων. οὕτως ἀκούω καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι τοὺς πλεονεκτοῦντας κατὰ τὴν δύναμιν, πρὸς ὅλον πολλάκις ἀποδυομένους τὸ γυμνικὸν στάδιον, κατὰ πάντων φέρεσθαι τῶν ἀντιπάλων τὰ νικητήρια. τοιοῦτος ὁ τοῦ σταδίου τῶν μαρτύρων καθηγησάμενος. ὃς πρὸς πᾶσαν τὴν ἀντικειμένην τὴν δύναμιν ἑαυτὸν ἀντιτάξας, λαμπρὸς τῇ κατὰ πάντων ἀναδείκνυται νίκῃ. τὴν γὰρ

ψευδωνύμου σοφίας τὴν διὰ Λιβερτίνων καὶ Κυρηναίων καὶ τῶν ἀπὸ τῆς Ἀλεξάνδρου πόλεως σοφῶν αὐτῷ παρατασσομένην, διὰ τῆς ἀληθοῦς σοφίας κατηγωνίσατο· τὸν φόβον, διὰ τῆς παρρησίας· τὴν ἀπειλὴν, διὰ τῆς ὑπεροψίας· τὴν πικρίαν, διὰ τῆς εὐποιΐας· τὸ ψεῦδος, διὰ τῆς ἀληθείας. οἱ μὲν, πρὸς τὸν φόνον ἔβλεπον, καὶ ἤδη τὰς χεῖρας τοῖς λίθοις ἐξώπλιζον, καὶ τῷ βλέμματι καὶ τῷ ἄσθματι καὶ τῇ τῶν ὀδόντων συμπλοκῇ τὴν πικρίαν ἐπισημαίνοντες· ὁ δὲ ὡς ἀδελφοὺς ἑώρα, καὶ ὡς πατέρας ἠσπάζετο. ἄνδρες γὰρ, φησιν, ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου. οἱ μὲν, τὴν συκοφαντίαν πιθανῶς συνέπλεκον· τῷ δὲ, τὸ τῶν φονώντων συνέδριον τῆς ἀληθείας φροντιστήριον ἦν. οὐκ ἀπέκοπτε φόβῳ τὸν λόγον· οὐδὲ πάρετος πρὸς τὴν ἐλπίδα τῶν κινδύνων ἐγίνετο· οὐδὲ πρὸς τὸν θάνατον ἔβλεπεν· ἀλλ' ἐπὶ τὸ ὕψος τὴν ψυχὴν ἔχων, καὶ τὰ ἐν ποσὶ πάντα παρορῶν, ὡς παιδία μάτην ἀφραίνοντα, ἐπαιδαγώγει τῷ λόγῳ τοῖς παρ' αὐτῶν ἐκείνων πιστευομένοις, εἰς ἀπόδειξιν τοῦ πεπλανῆσθαι αὐτοὺς, περὶ τῶν δογμάτων συγχρώμενος. Ἀβραὰμ τῷ λόγῳ παράγεται καὶ ἡ κατ' αὐτὸν ἱστορία πᾶσα, δι' ὀλίγων ὑπ' ὄψιν ἄγεται. εἶτα ἡ τῶν ἐφεξῆς ἁγίων διαδοχή. Μωϋσῆς ἐπὶ τούτοις τικτόμενος, ἀνατρεφόμενος, παιδευόμενος, ἐπὶ τοῦ ὄρους μυσταγωγούμενος· μαστίζων τὴν Αἴγυπτον, τὸν Ἰσραὴλ διασώζων, τὸ κατὰ τὸν κύριον προμηνύων μυστήριον. ὃ καὶ μάλιστα συγκινεῖ τὸ συνέδριον, καὶ ἀναθερμαίνει τὴν νόσον· ὅτι καὶ Μωϋσῆς, οὗ δὴ προσεποιοῦντο ὑπερσπουδάζειν, συνήγορος τοῦ δόγματος ἀπεδείκνυτο. ἐφ' ᾧ καὶ διαναστάντες, τὸ πέρας ἐπάγουσιν ἄξιον καὶ τῆς ἰδίας πικρίας, καὶ τῆς τοῦ Στεφάνου ἐπιθυμίας. ὁ μὲν γὰρ ἐκβὰς τὴν φύσιν, καὶ πρὶν ἐκβῆναι τοῦ σώματος, βλέπει τοῖς καθαροῖς ὀφθαλμοῖς τὰς οὐρανίας αὐτῷ πύλας διϊσταμένας, καὶ τὸ ἐντὸς τῶν ἀδύτων διαφαινόμενον, αὐτήν τε θείαν δόξαν, καὶ τὸ τῆς δόξης ἀπαύγασμα. καὶ τῆς μὲν πατρικῆς δόξης, οὐδεὶς ὑπογράφεται χαρακτὴρ διὰ τοῦ λόγου· τὸ δὲ ἀπαύγασμα, ἐν τῷ ὀφθέντι τοῖς ἀνθρώποις εἴδει, τῷ ἀθλητῇ καθορᾶται, ὡς ἦν χωρητὸν τῇ ἀνθρωπίνῃ φύσει, οὕτω φαινόμενον. ὁ μὲν οὖν ἔξω γεγονὼς τῆς ἀνθρωπίνης φύσεως,

A ſam ſapientiam per libertinos Cyrenenſes & Alexandrinos ſapientes aduerſus ſe luctantem, per veram ſapientiam deuicit: terrorem per libertatem loquendi, & ingenuam increpandi fiduciam: minas per deſpicientiam: ſæuitiam per beneficentiam: mendacium per veritatem. Illi quidem ad cædem ſpectabant, & iam manus lapidibus armabant, obtutu, anhelatione, dentium colliſione ſæuitiam præ ſe ferentes: hic verò tanquam fratres aſpiciebat, & tanquam patres ſalutabat. Viri enim fratres, inquit, & patres audite. Illi quidem
B calumniam probabiliter confingebant: huic verò conſilium ad cædem propenſiorum pro curia veritatis erat: non metu præcidebat orationem, non languidus fractuſque ac remiſſus metu periculorum erat, non mors ei ante oculos verſabatur: ſed erecto animo omnia quæ ante pedes erant contemnens, tanquam puerulos miſerè inſipientes regebat ac moderabatur oratione, ad demonſtrandum eos in errore doctrinarum verſari, ſimul etiam iis documentis, quibus ab illis ipſis fides derogari
C non poterat, vtens. Abraham orationi adhibetur, totaque illius hiſtoria paucis ante oculos ponitur: deinde cæteri ſancti, qui ſucceſſerunt. Ad hæc Moyſes vt natus, vt educatus, vt eruditus & inſtitutus, vt in monte ſacris initiatus & inſtructus ſit, vt Ægyptum flagellaret, Iſraëlem ſeruaret, myſterium Domini prædiceret. Quod etiam maximè concitat concilium, & morbum incendit, quòd etiam Moyſes, cuius ſe nimirum vehementer ſtudioſos eſſe videri volebant, patronus doctrinæ huius demonſtraretur: quamobrem etiam ſurgen-
D tes finem imponunt, qualem & Stephanus deſiderabat, & illorum crudelitatem decebat. Nam ille quidem naturam egreſſus, etiam antequam corpore exceſſiſſet, puris oculis cœleſtes ſibi portas apertas videt, & id quod intra adyta apparebat, cùm ipſam diuinam gloriam, tum gloriæ ſplendorem conſpicatur, ac paternæ quidem gloriæ nulla deſcribitur oratione figura: ſplendor verò in ea, qua ab hominibus viſus erat, forma ab athleta conſpicitur, ſic apparens, vt humana capere poterat natura. Atque hic quidem extra naturam humanam conſtitutus,

& in angelicum decorem transforma-
tus, vt ipſis etiam nefariis homicidis mi-
raculo eſſet, in angelicam dignitatem
forma faciei mutata, cùm vidit effu-
gientia aſpectum, tum eam, quæ ſibi
apparebat, gratiam ſublato clamore ſi-
gnificauit: illi verò continuerunt aures,
& narrationem viſionis nõ admiſerunt:
Act. 7. hoc ſaltem ex omnibus rectè facientes:
neque enim dignæ erant prophanorum
& impurorum aures, quæ diuiuæ ap-
paritionis acciperent narrationes, atqui
ille quidem gratiam præſentibus com-
municabat narrando, in commune pro-
ponens ea, quorum contemplatione
Ibid. ſolus dignus iudicatus erat, Video in-
inquiens, cœlos apertos, & filium ho-
minis ſtantem à dextris Dei. Hi verò
exclamantes voce magna, & conti-
nentes aures ſuas, impetum vnanimiter
in eum fecerunt. Rectè adiecit eorum
factis hiſtoria clamorem, vt oſtenderet
deſtinatæ voluntatis eorum cum So-
domitis cognationem. Etenim illo-
rum ſcelus clamor à iudicante nomi-
natus eſt. Clamor enim, inquit, Sodo-
morum & Gomorræ ad me aſcendit.
Gen. 18. Clamauerũt igitur hi quoque, vt etiam
eorum aduerſus Stephanum clamor au-
diretur. Non ignorabat autem athleta
ſe per crudelitatem cædem nefariam
perpetrantium beneficium accipere.
Nam orbe lapides vndique conijcien-
tium quaſi corona cinctus, ita accepit
id, quod agebatur, quaſi corona victo-
riæ præmium in manibus aduerſario-
rum necteretur. Quare etiam benigna
precatione ſanguinarios compenſat,
rogans ne in contrarios euentus faci-
nus, quod in ipſo perpetrabatur, diui-
deretur, vt ſibi quidem vitam, aduerſa-
riis autem exitium adferret: ſed quibus
ipſe dignus iudicatus eſſet, ab iis ne ho-
ſtes quidem, quaſi bonorum ſibi aliqua
ex parte authores, excluderentur. Sic
is, qui Chriſtum cernit aduerſus hoſtes
ſeſe gerere nouit. Quoniam enim pa-
Matth. 5. tientiæ legiſlatorem videbat, recorda-
tus eſt legum ab eo latarum inimicos
diligere iubentium, & benefacere odio
proſequentibus, & pro hoſtilia facien-
tibus orare. Verùm athleta quidem non
humanis laudibus celebratur, neque in
certando gloriam ex hominibus conſla-
tam ſibi propoſitam habebat: ſed cùm
magnificentia facinoris egregij totum
mundum ſuperauerit, humanarum quoque virium modos ſimul prætergreſſus eſt,

A καὶ πρὸς τὴν ἀγγελικὴν μεταποιηθεὶς χάριν, ὡς καὶ αὐτοῖς εἶναι τοῖς μιαιφόνοις ἐν θαύματι, πρὸς τὴν τῶν ἀγγέλων ἀξίαν τοῦ περὶ τὸ πρόσωπον εἴδους ἀλλοιωθέντος· καὶ εἶδε τὰ ἀθέατα, καὶ τὴν ὀφθεῖσαν αὐτῷ χάριν ἐξεβόησεν. οἱ δὲ συνεῖχον τὰ ὦτα, καὶ τὸ διήγημα τῆς ὀπτασίας οὐ προσεδέχοντο. καλῶς τοῦτο γοῦν ἐν πᾶσι ποιήσαντες. οὐδὲ γὰρ ἦν ἀξία βεβήλων ἀκοὴ θείας ἐμφανείας διηγήματα δέξασθαι. ἐκεῖνος μὲν οὖν ἐκοινώνησε τοῖς παροῦσι τῆς χάριτος, εἰς τὸ κοινὸν ἔκφορα προθεὶς τῷ διηγήματι, ὧν κατὰ μόνας ἠξίωτο θεωρεῖν, λέγων, τοὺς οὐρανοὺς ἀνεῳγμένους. καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δε-
B ξιῶν ἑστῶτα τοῦ Θεοῦ· οἱ δὲ, κράξαντες φωνῇ μεγάλῃ καὶ συσχόντες τὰ ὦτα, ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν. καλῶς προσέθηκεν ἡ περὶ αὐτῶν ἱστορία τὴν κραυγὴν τοῖς ἔργοις· ἵνα δείξῃ τῆς προαιρέσεως αὐτῶν τὴν πρὸς τοὺς Σοδομίτας συγγένειαν. καὶ γὰρ τὸ ἐκείνων ἀνόμημα, κραυγὴ παρὰ τοῦ κρίνοντος ὠνομάσθη. κραυγὴ γάρ, φησι, Σοδόμων καὶ Γομόρρας ἀνῆλθε πρός με. ἔκραξαν τοίνυν καὶ οὗτοι, ἵνα ἀκουσθῇ καὶ αὐτῶν ἡ ἐπὶ Στεφάνου κραυγή. οὐ μὴν ἠγνόει ὁ ἀθλητὴς διὰ τῆς πικρίας τῶν μιαιφονούντων εὐεργετούμενος. ὥσπερ γὰρ περὶ αὐτὸν τῶν καταλευόν-
C των κύκλῳ στεφανωθεὶς, οὕτως ἐδέξατο τὸ γινόμενον, ὡς στέφανον νικητήριον ἐν ταῖς χερσὶ τῶν ἐναντίων πλεκόμενον. διὸ καὶ εὐλογίᾳ τοὺς μιαιφόνους ἀμείβεται. οὐκ ἀξιῶν πρὸς τὰς ἐναντίας ἐκβάσεις τὴν ἐπ' αὐτῷ πρᾶξιν καταμερίζεσθαι· ὡς ἐκείνῳ μὲν τὴν ζωήν, τοῖς δὲ ἀντικειμένοις φέρειν τὸν ὄλεθρον· ἀλλ' ὧν αὐτὸς ἠξίωτο, καὶ τοὺς πολεμίους ὡς ἀγαθῶν αὐτῷ συναιτίους, μὴ ἐκπεσεῖν. οὕτως οἶδεν ὁ Χριστὸν βλέπων τοῖς πολεμοῦσι προσφέρεσθαι. ἐπειδὴ γὰρ εἶδε
D τὸν τῆς μακροθυμίας νομοθέτην, ὑπεμνήσθη τῶν νόμων τῶν ἀγαπᾶν τοὺς ἐχθροὺς κελευόντων, καὶ καλῶς ποιεῖν τοῖς μισοῦσι, καὶ ὑπὲρ τῶν πολεμούντων προσεύχεσθαι. ἀλλ' ὁ μὲν ἀθλητὴς, οὐκ ἐξ ἀνθρωπίνων ἐπαίνων δοξάζεται. οὐδὲ γὰρ ὁ σκοπὸς αὐτῷ τῆς ἀθλήσεως πρὸς τὴν ἐξ ἀνθρώπων ἔβλεπε δόξαν· ἀλλ' ὑπερβὰς πάντα τὸν κόσμον τῇ μεγαλοφυΐᾳ τοῦ κατορθώματος, καὶ τὰ μέτρα τῆς ἀνθρωπίνης δυνάμεως συμπαρέδραμε.

πᾶσαν ἐγκωμιαστικὴν δύναμιν κατόπιν ἑαυτῆς ῥίψας. Ἐκεῖνος μὲν ἐχέτω κατὰ παντὸς ἀνθρωπίνου λόγου τὰ νικητήρια· ἡμῖν δὲ συναγωνιζέσθω ἡ κατ' αὐτὸν ἱστορία πρὸς τὴν τῶν ψυχῶν σωτηρίαν. καθάπερ γὰρ ἐν τοῖς σωματικοῖς ἀθληταῖς, οἱ τῶν ἀγώνων παυσάμενοι, παιδοτριβοῦσι τοὺς νέους ταῖς ἀθλητικαῖς γυμνασίαις, διά τινος τεχνικῆς εὐστροφίας ἐκδύειν τὰς λαβὰς τῶν ἀντιπαλαιόντων διδάσκοντες· οὕτως οἶμαι δεῖν καὶ ἡμᾶς διὰ τοῦ μεγάλου Στεφάνου παιδοτριβηθῆναι τὴν εὐσέβειαν, ὡς ἂν δι' αὐτοῦ φύγοιμεν τὰς τῶν πνευματομάχων λαβάς. Φασὶ γὰρ οἱ λυσσῶντες κατὰ τῆς δόξης τοῦ πνεύματος, συνήγορον εἶναι τῆς ἐκείνων ἀτοπίας τὸν Στέφανον, ὃς ἐνατενίσας τῷ οὐρανῷ, εἶδε δόξαν Θεοῦ καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. λέγουσι τοίνυν ἐπ' ἀνατροπῇ τῶν τῆς εὐσεβείας δογμάτων, ὅτι εἰ μετὰ πατρὸς καὶ υἱοῦ δεῖ πάντως ἀριθμεῖσθαι τὸ πνεῦμα· πῶς οὐκ εἶδεν ὁ Στέφανος ἐν τῇ ὀπτασίᾳ μετὰ τοῦ υἱοῦ καὶ τὸ πνεῦμα; πῶς οὖν ὀρέξει τὴν χεῖρα τοῖς διὰ τῶν τοιούτων λόγων ὑποσκελιζομένοις ὁ Στέφανος; πῶς ἀνορθώσει τῇ ἀγωνιστικῇ τέχνῃ τοὺς ὑποκλάζοντας; ἢ αὐτόθεν ἐστὶν ἡ βοήθεια ἡ ἀνατρέπουσα τὴν ἀπιστίαν τοῦ προσπαλαίοντος. ζητεῖς, ὦ πνευματομάχε, ὅτι εἰ ἡ δόξα τοῦ πατρὸς ὤφθη, καὶ ὁ υἱὸς τὴν ἐκ δεξιῶν στάσιν ἔχων, ποῦ τὸ πνεῦμα; εἰ ἦν ἐν σοὶ τὸ πνεῦμα, οὐκ ἂν προκείμενον τὸν περὶ αὐτοῦ λόγον παρέδραμες, ὥσπερ οἱ πηροὶ τὰς ὄψεις, τὸ πρὸ τῶν ποδῶν κείμενον χρυσίον ἀγνοοῦντες παρέρχονται. ἀλλὰ νῦν γοῦν ἄκουσον, εἴ γε μὴ συνέχεις κατὰ τοὺς Ἰουδαίους τὴν ἀκοήν· πῶς εἶδε τὴν ὑπερουράνιον δόξαν ὁ Στέφανος; τίς αὐτῷ τὰς πύλας τῶν οὐρανῶν διεπέτασεν; ἆρ' ἀνθρωπίνης δυνάμεως ἦν τὸ κατόρθωμα; ἆρά τινος τῶν ἀγγέλων πρὸς τὸ ὕψος ἐκεῖνο τὴν κάτω κειμένην φύσιν ἀναβιβάσαντος; οὐκ ἔστι ταῦτα· οὐ γὰρ οὕτως ἡ κατ' αὐτὸν ἱστορία φησὶν, ὅτι Στέφανος δὲ πολὺς κατὰ τὴν δύναμιν ὢν, ἢ τῆς ἀγγελικῆς βοηθείας πλήρης γενόμενος, εἶδεν ἃ εἶδεν. ἀλλὰ τί λέγει; Στέφανος δὲ πλήρης ὢν πνεύματος ἁγίου, εἶδε τὴν δόξαν τοῦ Θεοῦ, καὶ τὸν μονογενῆ τοῦ Θεοῦ υἱόν. οὐ γάρ ἐστι, καθώς φησιν ὁ προφήτης, τὸ φῶς ὀφθῆναι,

A omni laudatiua facultate poſt ſe abiecta. Igitur ille quidem in omni humano ſermone victoriæ præmia obtineat: nos autem hiſtoria ſua adiuuet ad animarum ſalutem. Quemadmodum enim inter corporeos athletas ij, qui in publicis certaminibus contendere deſierunt, iuuenes athleticis exercitationibus per artificioſam quandam agilitatem & habilitatem aſſuefaciunt, prehenſiones aduerſariorum fruſtrari atque eludere docentes: ita nos quoque opinor oportere per magnum Stephanum exerceri & aſſuefieri
B ad pietatem, vt per eum fugiamus atque euitemus Pneumatomachorum, id eſt, Spiritus ſancti hoſtium, correptiones atque vexationes. Aiunt enim illi qui aduerſus gloriam ſancti Spiritus inſaniunt, ſuæ abſurditati & importunitati Stephanum patrocinari, qui cœlum intentis oculis contuitus, vidit gloriam Dei & Ieſum ſtantem à dextris Dei. Ad euerſionem igitur pietatis doctrinæ in hunc modum dicunt: ſi cum patre & filio ſpiritum omnino numerari oportet: quî fit, vt Stepha- Act. 7.
C nus in apparitione vnà cum filio ſpiritum quoque non viderit? Quomodo igitur iis, qui per hæc ipſa verba ſupplantantur, manum Stephanus porriget? quo pacto certandi arte labaſcentes eriget? Sanè ex eodem loco exiſtit auxilium, quod euertat aduerſarij incredulitatem. Quæris ô pneumatomache, ſi gloria patris apparuit, & filius à dextris ſtationem obtinens, vbi ſpiritus? Quod ſi in te ſpiritus eſſet, non propoſitum de eo verbum te præterijſſet: quemadmodum ij, qui capti ſunt oculis, aurum ante pedes obiectum ignorantes
D prætereunt. At nunc ſaltem audi, niſi aures fortè contines, ſicuti Iudæi faciebant: quomodo Stephanus ſupercœleſtem gloriam vidit? quis ei portas cœlorum patefecit? nunquid humanarum virium id opus erat? num quis ex angelis ad illam ſublimitatem infernam naturam euexit? Non hæc ita ſunt, non enim ita de eo hiſtoria dicit, nempe: Stephanus autem cùm viribus polleret, aut cùm abūdè ei ſuppeteret angelicum auxiliū, vidit ea, quæ vidit. Sed quid dicit? Stephanus autem cùm eſſet plenus Spiritu ſancto, vidit gloriam Dei, & vnigenitum Dei filiū. Non enim fieri poteſt, vt inquit Propheta, vt lumen videatur, Ibidem.

niſi per lumen conſpiciatur. In lumine enim, inquit, tuo videbimus lumen. Si igitur non niſi per lumen fieri luminis contemplatio poteſt, quomodo ſi quis
Pſal. 35. extra radios verſetur, ſolem contueri poteſt? Quoniam igitur per lumen patris, hoc eſt, per ſpiritum ſanctum illinc procedentem vnigenitum conſpicitur lumen: idcirco gloria ſpiritus prius illuminatus plena mentis comprehenſione, & patris & filij gloriam percipit & animaduertit. Nam quomodo
Ioan. 1. alioqui dictum Euangelicum, Deum nemo vidit vnquam, verum eſſe dicemus? qua ratione item Apoſtolum non contraria iis, quæ memoriæ prodita ac literis mandata ſunt, clamare?
1. Tim. 6. cùm dicit, Nec quiſquam hominum vidit, neque videre poteſt? Nam ſi ab humana vi atque natura, & patris & filij gloria percipi poſſet, mendax & vanus prorſus eſſet is, qui dixit, homines diuini ſpectaculi capaces non eſſe. Atqui neque illum mentiri, & hiſtoriam veram eſſe neceſſe eſt. Ergo malitia Spiritus ſancti hoſtium, manifeſto deprehenſa apparet, quia teſtimonio ſcripturæ probatum eſt, à ſimili ſimilia cerni. Nam non in humana natura ac vi manens Stephanus numē diuinum cernit: ſed cum gratia ſancti Spiritus permixtus & contemperatus, per illum ſublatus & euectus eſt ad Dei contemplationem.
1. Cor. 12. Quocirca ſi abſque ſpiritu neque Dominum Ieſum dicere licet, vt inquit Apoſtolus, neque paternam gloriam contemplari: demonſtratum eſt apertè, quòd vbi ſpiritus ſit, illic etiam filius cernitur, & paterna gloria comprehenditur. Verùm aliud nobis ex iis, quæ in hiſtoria continentur, impietatis telum à Chriſtomachis, id eſt, Chriſti hoſtibus objicitur. Aiunt enim inferiorem vnigeniti dignitatem per hæc ſignificari. Nam per hoc, quòd aſſiſtat ad dexteram patris, demonſtrare conantur, eum ſubditum eſſe patris poteſtati. Quid igitur Paulus? dicam ad eos: quid item ante illum etiam Propheta Dauid? ambo per doctrinam ſancti Spiritus vnigeniti gloriam exponentes?
Pſal. 109. Coloſſ. 3. Hebr. 1. Nam & Dauid ait, Dixit dominus domino meo, ſede à dextris meis: & Apoſtolus in dextera ſolij Dei ſedere dominum dicit. Si igitur ſtatio diminutionis, ſeſſio prorſus eiuſdē ſortis conditionis, & honoris ſignum eſt. Aut igitur

A μὴ ἐν τῷ φωτὶ καθορώμενον. ἐν γὰρ τῷ φωτί σου, φησίν, ὀψόμεθα φῶς. εἰ οὖν οὐκ ἐνδέχεται μὴ ἐν τῷ φωτὶ γενέσθαι τὴν τοῦ φωτὸς θεωρίαν· πῶς γάρ ἐστιν ἀπιδεῖν εἰς τὸν ἥλιον ἔξω τῶν ἀκτίνων γενόμενον. ἐπεὶ οὖν ἐν τῷ φωτὶ τοῦ πατρὸς, τουτέστιν ἐν τῷ πνεύματι τῷ ἁγίῳ τῷ ἐκεῖθεν ἐκπορευομένῳ, τὸ μονογενὲς καθορᾶται φῶς· διὰ τοῦτο προκαταυγασθεὶς τῇ δόξῃ τοῦ πνεύματος, ἐν περινοίᾳ τῆς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ δόξης γίνεται. ἐπεὶ, πῶς τὴν εὐαγγελικὴν ἀπόφασιν ἀληθεύειν φήσομεν, ὅτι Θεὸν οὐ-
B δεὶς ἑώρακε πώποτε; πῶς δὲ τὸν ἀπόστολον μὴ ἐναντία τοῖς ἱστορηθεῖσι βοᾶν, ὅταν λέγῃ· οὔτε τις εἶδεν αὐτὸν ἀνθρώπων, οὔτε ἰδεῖν δύναται. εἰ γὰρ ἀνθρωπίνῃ φύσει τε καὶ δυνάμει, ἥ τε τοῦ πατρὸς ἥ τε τοῦ υἱοῦ δόξα χωρητὴ καθίστη· ψευδὴς πάντως, ὁ ἀχώρητον ἀνθρώποις ἀποφηνάμενος εἶναι τὸ θεῖον θέαμα. ἀλλὰ μὴν οὔτε ἐκεῖνον ψεύδεσθαι, καὶ τὴν ἱστορίαν ἀληθεύειν ἐπάναγκες. ἄρα φανερῶς ἡ κακουργία τῶν πνευματομάχων πεφώραται, ὅτι τῷ ὁμοίῳ καθορᾶσθαι τὰ ὅμοια παρὰ τῆς γραφῆς μεμαρτύρηται. ὁ γὰρ Στέ-
C φανος οὐκ ἐν τῇ ἀνθρωπίνῃ φύσει τε καὶ δυνάμει μένων τὸ θεῖον βλέπει· ἀλλὰ πρὸς τὴν τοῦ ἁγίου πνεύματος χάριν ἀνακραθεὶς, δι' ἐκείνου ὑψώθη πρὸς τὴν τοῦ Θεοῦ κατανόησιν. οὐκοῦν εἰ χωρὶς τοῦ πνεύματος οὔτε κύριον Ἰησοῦν ἔστιν εἰπεῖν, καθώς φησιν ὁ ἀπόστολος, οὔτε τὴν πατρικὴν δόξαν κατανοῆσαι· δέδεικται σαφῶς, ὅτι ὅπου τὸ πνεῦμά ἐστιν, ἐκεῖ καὶ ὁ υἱὸς καθορᾶται, καὶ ἡ πατρικὴ δόξα καταλαμβάνεται. ἀλλ' ἕτερον ἡμῖν ἐκ τῶν ἱστορηθέντων ὅπλον ἀσεβείας παρὰ τῶν χριστομάχων προβάλλεται. φασὶ γὰρ τὸ καταδεὲς τοῦ μονογενοῦς
D διὰ τούτου σημαίνεσθαι· τὸ γὰρ παρεστάναι αὐτὸν τῇ δεξιᾷ τοῦ πατρὸς, ἀπόδειξιν ποιοῦνται τοῦ ὑποχείριον εἶναι τῇ τοῦ πατρὸς ἐξουσίᾳ. τί οὖν ὁ Παῦλος πρὸς αὐτοὺς εἴποιμι ἄν; τί δὲ, καὶ πρὸ ἐκείνου ὁ προφήτης Δαβίδ; ἀμφότεροι τῇ διδασκαλίᾳ τοῦ πνεύματος τὴν τοῦ μονογενοῦς δόξαν ἐκδιηγούμενοι; ὅ, τε γὰρ Δαβὶδ φησὶν, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. ὁ δὲ ἀπόστολος, ἐν δεξιᾷ τοῦ θρόνου τοῦ Θεοῦ κεκαθικέναι λέγει τὸν κύριον. εἰ οὖν ἡ στάσις τῆς ἐλαττώσεως, ἡ καθέδρα πάντως τῆς ὁμοτιμίας ἐστὶ σημεῖον. ἢ τοίνυν

παραγραφέσθωσαν τὰς θεοπρεπεῖς μαρτυρίας, δι' ὧν τὸ ὑψηλὸν τῆς δεξιᾶς διασημαίνεται, ἢ καὶ ταύτην εὐσεβῶς ἐκδεχέσθωσαν. εἷς γὰρ ἐφ' ἑκάστου τῶν εἰρημένων διδάσκαλος, ἡ τοῦ πνεύματος χάρις. ὁ μὲν γὰρ Στέφανος πλήρης ὢν πνεύματος ἁγίου εἶδέν τε ἃ εἶδε· καὶ ἃ εἶδεν, ἐφθέγξατο. ὁ δὲ Δαβὶδ, ἐν πνεύματι αὐτὸν καλεῖ κύριον, καθὼς λέγει τὸ εὐαγγέλιον. Παῦλος δὲ, καθὼς αὐτὸς ἐκεῖνός φησιν, ἐν πνεύματι λαλεῖ τὰ μυστήρια. εἰ οὖν εἷς ὁ διδάσκαλος, οὐδεμίαν πρὸς ἑαυτὸν διαφωνίαν ἔχων· ὁ γὰρ διδάσκαλος ἐστὶ τὸ πνεῦμα τῆς ἀληθείας τὸ ἐν τοῖς θεοφορουμένοις γινόμενον· πῶς ἄν τις διαφωνίαν τινὰ τῶν δογμάτων καθυποπτεύσειεν; ἀλλ' ἑτέρα ἡ καθέδρα φησί, καὶ ἑτέρα ἡ στάσις ἐνδείκνυται νοεῖν, κατὰ τὸ προχείρως νοούμενον· φημὶ κἀγώ. ἀλλ' οὐχ ὅσαπερ ἐπὶ τῶν σωμάτων ἡ τῶν ῥημάτων ἔμφασις δείκνυσι, τοῦτο καὶ ἐπὶ τῆς ἀσωμάτου φύσεως εὐαγὲς ἐστὶ λογίζεσθαι. ἐπ' ἀνθρώπου μὲν γὰρ ἡ καθέδρα, τὴν ἐπὶ τῶν ἰσχίων τοῦ σώματος ὑπογράφει θέσιν, ὡς ἂν μὴ διὰ παντὸς κάμνοι τῆς ἀγκύλης ὁ τόνος, ἐφ' ἑαυτοῦ τὸ βάρος ἀνέχων τοῦ σώματος. καὶ τὸ ἔμπαλιν ἡ στάσις, ὄρθιον ἐπὶ γονάτων ἑρμηνεύει τὸν ἄνθρωπον, οὐκ ἐπ' ἰσχίων διὰ καθέδρας ἀναπαυόμενον. ἐπὶ δὲ ὑπερεχούσης φύσεως, καθαρεύει τῶν τοιούτων νοημάτων ἡ καθέδρα τε καὶ ἡ στάσις, ἐπίσης ἑκατέρας τῆς κατὰ τὸ πρόχειρον νοουμένης ἐμφάσεως κεχωρισμένη. οὔτε γὰρ τὴν ἐπ' ἀγκύλῃ στάσιν τοῦ ἀσωμάτου, οὔτε τὴν ἐπὶ ἰσχίων καθίδρυσιν τοῦ ἀσχηματίστου παραληψόμεθα· ἀλλὰ δι' ἑκατέρας φωνῆς τὸ ἐν παντὶ ἀγαθῷ στάσιμον, καὶ ἐν παντὶ ἀμετάθετον, εὐσεβῶς νοήσομεν. ὅ,τι γὰρ ἑστάναι καὶ ὁ καθῆσθαι τὸ θεῖον λέγων, οὐδὲν πρὸς ἀλλήλους ἐν τῇ τῶν ῥημάτων ἐπιστήμῃ περὶ τὸν νοῦν διαφέρονται. ὁ μὲν βεβηκέναι παγίως· ὁ δὲ, καθιδρῦσθαι ἀμεταθέτως τὸ θεῖον ἐν τῷ ἀγαθῷ δογματίζοντες. ὥσπερ δὲ ὁ προφήτης Δαβὶδ, καὶ ὁ ἀπόστολος Παῦλος τὴν τοῦ μονογενοῦς καθέδραν ἐν τοῖς καθ' ἑαυτὸν ἑκάτερος λόγοις διηγούμενοι, οὐκ ἔδωκαν νοεῖν, ὅτι τοῦ πατρὸς ἑστῶτος, ὁ υἱὸς ἐν καθέδρᾳ ἐστί, καίτοι γε μόνης μνησθέντες τῆς τοῦ υἱοῦ καθίσεως· τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Στεφάνου, τοῦ υἱοῦ τὴν στάσιν ἀκούσας,

A auguſta ac diuina reijciant teſtimonia, per quæ ſublimitas dextræ ſignificatur: aut etiam hoc piè recipiant. Vna enim cuiuſque dicti magiſtra ac doctrix gratia ſancti Spiritus eſt. Nam Stephanus quidem cum plenus eſſet Spiritu ſancto, & vidit ea, quæ vidit, & quæ vidit, loquutus eſt: Dauid autem in ſpiritu dominum eum vocat, vt inquit Euangelium, Paulus verò, ſicut ille ipſe dicit, per ſpiritum loquitur myſteria. Si igitur vnus magiſter eſt, qui nullam ſecum diſcrepantiam habet (magiſter enim ſpiritus veritatis eſt, qui B fuit in iis, qui numine afflati atque diuinitate rapti fuerunt) qua ratione quis diuerſitatem & diſcrepantiam doctrinarum ſuſpicari poſſit? At aliam ſeſſio, inquit, & aliam ſtatio, prout in promptu ac facile eſt intelligere, ſententia indicat. Nec ego nego. Verùm non id, quod in corporibus verborum ſignificatio oſtendit, hoc etiã in incorporea natura fas eſt exiſtimare. Nam in homine quidem ſeſſio, in natibus corporis poſitionem deſignat, ne ſemper contentio genuum ac poplitum in C ſeſe corporis pondus ſuſtinens laboret: & contra ſtatio, arduum & erectum ſuper genua hominem ſignificat, non in natibus ſedendo quieſcentem. In ſuperna autem & excellente natura ab huiuſmodi intellectibus & ſeſſio & ſtatio vacua atque aliena eſt, vtraque pariter ab ea, quam expeditè atque in promptu eſt intelligere, ſignificatione ſeparata. Neque enim in poplitibus ſtationem eius, quod incorporeum eſt, neque in natibus ſeſſionem eius, quod expers figuræ eſt, accipiemus: ſed per vtramque vocem id, quod D in omni bono ſtabile, & in omni bono immutabile eſt, piè intelligimus. Nam tam is qui ſtare, quàm qui ſedere numen diuinum dicunt, nihil, quod ad ſententiam attinet, diuerſitate verborum inter ſe differunt: ille quidem firmiter ſtare, hic verò immutabiliter conſtitutum & in bono fundatum eſſe numen diuinum cenſentes. Quemadmodum autem Propheta Dauid & Apoſtolus Paulus in ſuis vterque ſcriptis vnigeniti ſeſſionem memorantes, non indicarũt, quod patre ſtante filius in ſede ſit, licet ſolius ſeſſionis filij mentionem feciſſent: eodem modo cùm etiã in Stephani hiſtoria filij ſtationem audiueris,

Act. 7.
Matth. 22.
1. Cor. 14.
Pſal. 109.
Act. 7.

nulla de cauſſa nec rectè de patris ſeſſione ſuſpicatus fueris. Quemadmodum enim in Paulo atque Dauide ſedere patrem ex eo, quòd filius ſedeat à dextris, ſimul conſtat: tametſi ſermo nihil antè de patre docuiſſet: ad eundem modum etiam in hiſtoria Stephani, filij ſtatio idem etiam in gloria patris ſimul indicat: ſic enim imaginis ratio conſeruari poſſit: vt quicquid in hac tam intelligitur quàm cõſpicitur, idem etiam in originali ac principali forma eſſe credatur, & vt in bono bonum, & in lumine lumen, & in omnibus primitiua ac principalis pulchritudo per proprias notas in imagine deſignatur: ita etiam in ſeſſione filij, quemcumque tandem hoc nomen intellectum præbet, patris quoque ſeſſio comprehenditur, ſimiliter & in ſtatione ſtatio, ne ratio imaginis per abolitionem proprietatum ab originali ac primitiuo alienata intercidat atque dilabatur. Hæc à nobis, fratres, ad propoſitam quæſtionem, cùm viſio Stephani talem ſpeculationem in orationem intuliſſet, obiter conſiderata, diſcuſſa atque explicata ſint. Contingat autem nobis, vt non ſolùm ſpectatores Stephani certaminis, verumetiam repleti Spiritu ſancto gratiæ participes ſimus, ad euerſionem aduerſariorum, ad gloriam Domini noſtri Ieſu Chriſti, cui gloria, potentia atque imperium in ſæcula ſæculorum, Amen.

A οὐκέτ' ἂν εὐλόγως περὶ τῆς τοῦ πατρὸς καθέδρας ὑπονοήσας. ὡς γὰρ ἐπὶ τοῦ Παύλου καὶ τοῦ Δαβὶδ τὸ καθῆσθαι τὸν πατέρα, διὰ τοῦ καθίσαι τὸν υἱὸν ἐκ δεξιῶν συνωμολόγηται, καί τοι τοῦ λόγου μηδὲν περὶ τοῦ πατρὸς προδιδάξοντος· κατὰ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Στεφάνου, ἡ τοῦ υἱοῦ στάσις, τὸ ἴσον καὶ ἐπὶ τῆς δόξης τοῦ πατρὸς συνενδείκνυται. οὕτω γὰρ ἂν, ὁ τῆς εἰκόνος διασωθείη λόγος· εἰ πᾶν ὅπερ ἐστὶν ἐν τούτῳ νοούμενόν τε καὶ καθορώμενον, τὸ αὐτὸ καὶ ἐν τῷ ἀρχετύπῳ πιστεύοιτο, καὶ ὡς ἐν τῷ B ἀγαθῷ τὸ ἀγαθὸν, καὶ ἐν τῷ φωτὶ τὸ φῶς, καὶ ἐν πᾶσι τὸ πρωτότυπον κάλλος διὰ τῶν οἰκείων ἐν τῇ εἰκόνι χαρακτηρίζεται· οὕτω καὶ ἐν τῇ καθέδρᾳ τοῦ υἱοῦ, ὅτι ποτὲ νοεῖν τοῦτο τὸ ὄνομα δίδωσι, καὶ ἡ τοῦ πατρὸς καθέδρα καταλαμβάνεται. ὁμοίως καὶ ἐν τῇ στάσει ἡ στάσις. ὡς ἂν μὴ διαπέσοι τῆς εἰκόνος ὁ λόγος ἐν τῇ ἀπαλλάξει τῶν ἰδιωμάτων τοῦ ἀρχετύπου ἀλλοτριούμενος. Ταῦτα ἡμῖν, ἀδελφοὶ, κατὰ πάροδον πρὸς τὸ προκείμενον ζήτημα τεθεωρήσθω, τῆς τοῦ Στεφάνου ὀπτασίας τὴν C τοιαύτην θεωρίαν ἐπεισενεγκούσης τῷ λόγῳ. γένοιτο δὲ ἡμᾶς, μὴ θεατὰς μόνον γενέσθαι τῆς τοῦ Στεφάνου ἀθλήσεως, ἀλλὰ καὶ μετόχους τῆς χάριτος, πληρωθέντας τοῦ ἁγίου πνεύματος, εἰς καθαίρεσιν τῶν ἀντιδίκων, εἰς δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

EIVSDEM IN DIEM LVMINUM, in quo baptizatus eſt Dominus noſter.

Laurentio Siſano interprete.

NVNC agnoſco meum gregem: hodie video formam Eccleſiæ cõſuetam, quando etiam carnalium curarum poſthabito negotio, iuſta plenitudine ad cultum Dei concurriſtis, atque ædem quidem populus anguſtam reddit, intra ſacra adyta penetrans & irrumpens: quotquot autem

D ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ἡμέραν τῶν φώτων, ἐν ᾗ ἐβαπτίσθη ὁ κύριος ἡμῶν.

ΝΥΝ γνωρίζω τὴν ἐμὴν ἀγέλην, σήμερον βλέπω σχῆμα τῆς ἐκκλησίας τὸ σύνηθες, ἡνίκα καὶ τῶν σαρκικῶν φροντίδων τὴν ἀσχολίαν μισήσαντες, ἀκεραίῳ τῷ πληρώματι πρὸς τὴν θεραπείαν τοῦ Θεοῦ συνεδράμετε. καὶ στενοχωρεῖ μὲν ὁ λαὸς τὸν οἶκον, εἴσω τῶν ἱερῶν ἀδυτάτων γινόμενος· πληροῖ δὲ

τὸν ἔξω χῶρον ἐν τοῖς προτεμενίσμασιν, ὅσον οὐ χωρεῖται παρὰ τῶν ἔνδον, κατὰ τὴν εἰκόνα τῶν μελισσῶν. αἱ μὲν γὰρ ἔνδον ἐργάζονται, αἱ δὲ ἔξωθεν περιβομβοῦσι τοῦ σμήνους. οὕτως οὖν ποιεῖτε ὦ παῖδες, καὶ μήποτε ταύτην τὴν σπουδὴν ἀπολίπητε. πάθος γὰρ ὁμολογῶ πάσχων ποιμαντικόν, καὶ βούλομαι ἐπὶ τῆς ὑψηλῆς ταύτης καθήμενος σκοπιᾶς, κύκλῳ περὶ τοὺς πρόποδας τῆς κορυφῆς βλέπειν ἠθροισμένον τὸ ποίμνιον· καὶ οὕτως μοι συμβαίνει, προθυμίας τε ἐμπίπλαμαι θαυμαστῆς, καὶ κάμνω τὸν λόγον ἡδέως, ὡς οἱ ποιμένες τὰ μέλη τὰ νόμια. ὅταν δὲ ἑτέρως ἔχῃ, καὶ τὴν ἔξω πλάνην ἦτε πλανώμενοι, ὡς ὑπόγυιον ἐπὶ τῆς παρελθούσης κυριακῆς πεποιήκατε· σχετλιάζω πολλά, καὶ τὴν σιωπὴν ἀσπάζομαι. βούλομαι δὲ τὴν ἐνθένδε φυγήν, καὶ ζητῶ τὸν Ἡλίου τοῦ προφήτου Κάρμηλον, ἢ τινα πέτραν ἀοίκητον. φίλον γάρ πως τοῖς ἀθυμοῦσι τὸ ἄμικτον καὶ φιλέρημον. νῦν δὲ βλέπων ὑμᾶς σὺν αὐτοῖς τοῖς γένεσιν ἀθρόως πανηγυρίζοντας, ὑπομιμνήσκομαι λογίου προφητικοῦ, ὃ πόρρωθεν Ἡσαΐας ἀνύμνησε, τὴν εὔτεκνον καὶ πολύπαιδα προαναφωνῶν ἐκκλησίαν. τίνες, φησίν, οἵδε; ὡς νεφέλαι πέτονται, καὶ ὡς περιστεραὶ σὺν νεοσσοῖς ἐπ' ἐμέ. οὐ μὴν ἀλλὰ πρὸς τούτοις κἀκεῖνο, στενός μοι ὁ τόπος· ποίησόν μοι τόπον, ἵνα κατοικήσω. ταῦτα γὰρ ἡ τοῦ πνεύματος δύναμις εἰς τὴν πολυάνθρωπον τοῦ Θεοῦ ἐκκλησίαν ἐθέσπισεν, ἣ χρόνοις ὕστερον ἔμελλεν ἀπ' ἄκρων τῆς γῆς εἰς ἄκρα πληρῶσαι τὴν οἰκουμένην ἅπασαν. ἧκε τοίνυν ἄγων καὶ περιφέρων ὁ χρόνος μνήμην ἁγίων μυστηρίων, καθαιρόντων τὸν ἄνθρωπον, ἃ καὶ τὴν δυσέκνιπτον ἁμαρτίαν ἀπορρύπτει τῆς ψυχῆς καὶ τοῦ σώματος· ἐπανάγει δὲ πρὸς τὸ ἐξ ἀρχῆς κάλλος ὅπερ ὁ ἀριστοτέχνης Θεὸς ἐφ' ἡμῖν διεπλάσατο· καὶ διὰ τοῦτο ὁ μύστης λαός, οἱ πεπειραμένοι τῶν ἀγαθῶν τῆς ἡμετέρας πίστεως ἠθροίσθητε· ἐπάγεσθε δὲ καὶ τὸν ἄπειρον ἔτι, οἷα πατέρες χρηστοί, μελέτῃ καὶ προσαγωγῇ ὁδηγοῦντες τοὺς ἀμυήτους πρὸς τὴν τελείαν τῆς εὐσεβείας κατάληψιν· ἐγὼ δὲ ἀμφοτέροις συνήδομαι· τοῖς μὲν τελεσθεῖσιν, ὅτι μεγάλην δωρεὰν ἐπλουτήσατε· τοῖς δὲ ἀμυήτοις, ὅτι

ab iis, qui intus ſunt non admittuntur, apum in modum locum externum in veſtibulis implent. Nam apum aliæ quidem intus in opere occupatæ ſunt: aliæ verò foris alueare circumſtrepunt. Sic igitur facite, ô filij, & nunquam hoc ſtudium deſeratis. Affectu enim me paſtorali affici fateor: ac volo in hac ſublimi ſpecula ſedens circa ſubiectos vertici colles vndique congregatum gregem contueri. Et vbi id mihi contigerit, cùm mira impleor animi alacritate, tum ſicuti paſtores circa ruſticas cantilenas, ita circa orationem operam ſumo lubenter. Cum autem aliter ſe res habet,
B & externo gentilium errore occupati eſtis, ſicut non ita pridem (nempe) præterita dominica feciſtis: magna moleſtia afficior, & ſilentium teneo: atque hinc fugere, cupio, ac quæro Heliæ Prophetæ Carmelum, aut aliquam petram inhabitatam. Amica enim quodammodo animi ægritudine affectis fuga conſuetudinis & captatio ſolitudinis eſt. Nunc verò quum video vos vnà cum ipſis familiis & cognationibus cateruatim conuentum celebrare, venit mihi in mentem oraculi prophetici: quod olim à
C longè prædicauit Eſaias, felicitatem eccleſiæ in numeroſa atq; egregia ſobole procreanda prædicens. Qui ſunt, inquit, iſti? vt nubes volant, & vt columbæ cum pullis ad me. Quinetiam his adijcit illud: Anguſtus eſt mihi locus, fac mihi locum vt inhabitē. Hæc enim virtus ſpiritus de populoſa Eccleſia Dei vaticinata eſt: quæ poſterioribus temporibus ab extremitatibus terræ ad extremitates omnem terrarū orbem repletura erat. Venit igitur agens & in orbem reuoluens tempus memoriā ſanctorum initiorum, quæ hominem purgant, quæ
D etiam peccatū, quod difficulter eluitur, tum ab anima tum à corpore abſtergūt atque depellunt: quæ item ad priſtinam pulchritudinem, quam optimus artifex Deus in nobis effinxerat, reducūt. Atq; idcirco vos quidem, qui ex hoc populo initiati eſtis, bona fidei noſtræ experti conueniſtis, atque adducitis etiam expertem adhuc & imperitam harum rerum multitudinem, tanquam boni patres cura atque conciliatione non initiatos ad perfectam pietatis cōprehenſionem deducentes. Ego verò gratulor vtriſque: initiatis quidē, quòd magno dono ditati eſtis: nō initiatis verò, quòd

Eſa. 60.

bona futura ſperatis, iudicij ſcilicet & pœnæ remiſſionem, vinculorum ſolutionem, conciliationem & coniunctionem cum Deo, fiduciam ingenuam & aditum liberum loco ſeruilis humilitatis, parem cum Angelis honoris conditionẽ. Hæc enim nobis, ac ſi quid his ſimile eſt ac affine, lauachri gratia ſpõdet & dat. Quamobrẽ aliis ſcripturarũ materiis & argumẽtis in alia tempora reiectis in propoſito argumento permaneamus, pro viribus cõuenientia atque accommodata diei feſto dona offerentes. Suũ enim & proprium cuique celebritati gratum & acceptum eſt. Ita nuptias quidem epithalamiis cantilenis celebramus: luctu verò funebribúſque lamentationibus iuſta mortuis & inferias damus: in negotio ſerio loquimur: in conuiuiis contractionem & contentionem animi ſoluimus. Vnumquódque tempus ab alienarum rerum confuſione atque perturbatione integrum ſeruamus. Natus igitur eſt velut ante paucos dies qui ante omnem naturam, tam ſenſilem quam ſpiritualem, natus eſt. Baptizatur hodie ab Ioanne, vt ſordidatum & contaminatum expurgaret, ſpiritúmque ſupernè adduceret, & hominem in cœlos extolleret: vt lapſus erigeretur, & qui deiecerat, confunderetur & dehoneſtaretur. Ac ne admireris quòd Deo res noſtræ tanto ſtudio ac curæ fuerunt, vt etiam ipſe per ſeſe hominis ſalutem præſtaret ac repræſentaret. Solicitudine enim adhibita maleficus nobis inſidiatus eſt, cum cura item creatoris ſeruamur. Atque ille quidem inuidus & nequam, cùm peccatum aduerſus nos introduceret, dignum ſuo conſilio velamentum ſerpentem nactus eſt: impurus in ſimilem ſeſe inſinuans, voluntate ac ſtudio terrenus & ſubterraneus reptili inhabitans: Chriſtus verò, cùm illius nequitiam & improbitatem corrigeret, hominem perfectum aſſumit, & ſeruat hominem, & omnium noſtri forma atque figura exiſtit, vt vniuſcuiúſque actionis primitias ſanctificaret, & ſtudium traditionis haud ambiguum ſeruis relinqueret. Baptiſma igitur peccatorum expiatio eſt, remiſſio delictorum, renouationis & regenerationis cauſſa. Regenerationem autem intellige eam, quæ cogitatione cernitur, oculis non videtur: non enim verè quemadmodum Hebræus ille Nicodemus dixit, atque

A καλὴν προσδοκίαν ἐλπίζετε, ἄφεσιν εὐθυνῶν, λύσιν δεσμῶν, οἰκείωσιν πρὸς Θεὸν, παῤῥησίαν ἐλευθέριον, ἀντὶ δουλικῆς ταπεινότητος ἰσοτιμίαν τὴν πρὸς ἀγγέλους. Ταῦτα γὰρ ἡμῖν, καὶ εἴ τι τούτοις ἀκόλουθον, ἡ τοῦ λουτροῦ χάρις ἐγγυᾶται καὶ δίδωσι. διὸ τὰς ἄλλας τῶν γραφῶν ὑποθέσεις ἑτέροις καιροῖς ἀναθέμενοι, τῷ προκειμένῳ σκοπῷ παραμείνωμεν, τὰ οἰκεῖα καὶ πρόσφορα τῇ ἑορτῇ δωροφοροῦντες εἰς δύναμιν· φίλον γὰρ ἑκάστῃ πανηγύρει τὸ ἴδιον. οὕτως γάμους μὲν ταῖς ἐπιθαλαμίοις ᾠδαῖς δε-
B ξιούμεθα· πένθει δὲ τὰ νενομισμένα τοῖς ἐπικηδίοις θρήνοις εἰσφέρομεν· ἐν πράγματι σπουδαιολογούμεθα· ἐν εὐωχίαις λύομεν τῆς ψυχῆς τὸ πεπυκνωμένον καὶ σύντονον· ἕκαστον δὲ καιρὸν τηροῦμεν τῆς ἀλλοτρίας ἀνεπιθόλωτον. ἐγεννήθη τοίνυν Χριστὸς, ὡς πρὸ ὀλίγων ἡμερῶν, ὁ πρὸ πάσης οὐσίας αἰσθητῆς τε καὶ νοητῆς γεννηθείς. βαπτίζεται σήμερον παρὰ Ἰωάννου· ἵνα τὸν ἐῤῥυπωμένον ἀποκαθάρῃ, πνεῦμα δὲ ἄνωθεν ἀγάγῃ, καὶ ἄνθρωπον εἰς οὐρανοὺς ἀνυψώσῃ· ἵνα ὁ πεσὼν διεγερθῇ, καὶ ὁ
C ῥίψας καταισχυνθῇ. καὶ μὴ θαυμάσῃς εἰ τοσοῦτον ἐγένετο τῷ Θεῷ τὸ καθ' ἡμᾶς περισπούδαστον· ἵνα καὶ αὐτουργήσῃ τοῦ ἀνθρώπου τὴν σωτηρίαν. μετὰ μερίμνης γὰρ τοῦ κακουργήσαντος ἐπεβουλεύθημεν· μετὰ φροντίδος δὲ τοῦ δημιουργοῦ σωζόμεθα. καὶ ὁ μὲν μοχθηρὸς καὶ βάσκανος κατὰ τοῦ γένους, ἡμῖν τὴν ἁμαρτίαν καινοτομούμενος, ἄξιον τῆς ἑαυτοῦ γνώμης προκάλυμμα τὸν ὄφιν ἐφεύρετο, ὁ ἀκάθαρτος τῷ ὁμοίῳ ἐπεισελθὼν, ὁ γήϊνος καὶ χθόνιος τὴν προαίρεσιν ἐνοικήσας τῷ ἑρπετῷ. Χριστὸς δὲ ὁ τὴν ἐκείνου πο-
D νηρίαν ἐπανορθῶν, τέλειον ἀναλαμβάνει τὸν ἄνθρωπον, καὶ σώζει τὸν ἄνθρωπον, καὶ γίνεται πάντων ἡμῶν τύπος καὶ χαρακτὴρ, ἵν' ἑκάστης πράξεως ἁγιάσῃ τὴν ἀπαρχὴν, καὶ τὸν ζῆλον τῆς παραδόσεως ἀναμφίβολον καταλίπῃ τοῖς δούλοις. Βάπτισμα τοίνυν ἐστὶν ἁμαρτιῶν κάθαρσις, ἄφεσις πλημμελημάτων, ἀνακαινισμοῦ καὶ ἀναγεννήσεως αἰτία. ἀναγέννησιν δὲ νόησον, ἐννοίᾳ θεωρουμένην, ὀφθαλμοῖς οὐ βλεπομένην. οὐ γὰρ ὄντως κατὰ τὸν Ἑβραῖον Νικόδημον, καὶ τὴν

ἐκείνου παχυτέραν διάνοιαν τὸν πρεσβύτην ἐναλλάζομεν εἰς παιδίον· οὔτε τὸν ῥυσὸν καὶ πεπολιωμένον εἰς ἁπαλὸν καὶ νέον μετασκευάσομεν, οὐ πάλιν εἰς τὴν γαστέρα τῆς μητρὸς τὸν ἄνθρωπον ἐπανάξομεν· ἀλλὰ τὸν κατεστιγμένον ταῖς ἁμαρτίαις, καὶ κακοῖς ἐπιτηδεύμασιν ἐμπαλαιωθέντα χάριτι βασιλικῇ ἐπανάγομεν εἰς τὸ τοῦ βρέφους ἀνεύθυνον. ὡς γὰρ τὸ ἀρτίτοκον παιδίον ἐλεύθερόν ἐστιν ἐγκλημάτων καὶ τιμωριῶν· οὕτως καὶ ὁ τῆς ἀναγεννήσεως παῖς οὐκ ἔχει περὶ τίνος ἀπολογήσεται, βασιλικῇ δωρεᾷ τῶν εὐθυνῶν ἀφεθείς. Ταύτην δὲ τὴν εὐεργεσίαν οὐ τὸ ὕδωρ χαρίζεται. ἦν γὰρ ἂν πάσης τῆς κτίσεως ὑψηλότερον· ἀλλὰ Θεοῦ πρόσταγμα, καὶ ἡ τοῦ πνεύματος ἐπιφοίτησις, μυστικῶς ἐρχομένη πρὸς τὴν ἡμετέραν ἐλευθερίαν. ὕδωρ δὲ ὑπηρετεῖ πρὸς ἔνδειξιν τῆς καθάρσεως. ἐπειδὴ γὰρ εἰώθαμεν ῥύπῳ καὶ βορβόρῳ τὸ σῶμα καθυβρισθὲν ὕδατι νίπτοντες καθαρὸν ἀποφαίνειν· διὰ τοῦτο καὶ ἐπὶ τῆς μυστικῆς πράξεως αὐτὸ προσλαμβανόμεθα, τῷ αἰσθητῷ πράγματι τὴν ἀσώματον δηλοῦντες λαμπρότητα. μᾶλλον δὲ, εἰ δοκεῖ, καὶ λεπτότερον προσκαρτερήσωμεν τῇ περὶ τοῦ λουτροῦ ζητήσει. ὥσπερ ἐκ πηγῆς τινὸς ἀρξάμενοι τοῦ γραφικοῦ παραγγέλματος. ἐὰν μή τις γεννηθῇ, φησὶν, ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. διὰ τί τὰ δύο, καὶ οὐχὶ μόνον τὸ πνεῦμα αὔταρκες ἐνομίσθη πρὸς τὴν συμπλήρωσιν τοῦ βαπτίσματος; σύνθετος ὁ ἄνθρωπος, καὶ οὐχ ἁπλοῦς, ὡς ἀκριβῶς ἐπιστάμεθα· καὶ διὰ τοῦτο τῷ διπλῷ καὶ συνεζευγμένῳ τὰ συγγενῆ καὶ ὅμοια φάρμακα πρὸς θεραπείαν ἀπεκληρώθη· σώματι μὲν τῷ φαινομένῳ ὕδωρ τὸ αἰσθητὸν, ψυχῇ δὲ τῇ ἀοράτῳ πνεῦμα τὸ ἀφανὲς, πίστει καλούμενον, ἀρρήτως παραγινόμενον. τὸ γὰρ πνεῦμα, ὅπου θέλει, πνεῖ· καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει. εὐλογεῖ τὸ σῶμα τὸ βαπτιζόμενον, καὶ τὸ ὕδωρ τὸ βαπτίζον. διὸ μὴ καταφρονήσῃς τοῦ θείου λουτροῦ, μηδὲ ὡς κοινὸν αὐτὸ ἐξευτελίσῃς, διὰ τὴν χρῆσιν τοῦ ὕδατος. τὸ γὰρ ἐνεργοῦν μέγα, καὶ ἀπ' ἐκείνου θαυμαστὰ γίνεται τὰ τελούμενα. ἐπεὶ καὶ τὸ θυσιαστήριον τοῦτο τὸ ἅγιον, ᾧ παρεστήκαμεν, λίθος ἐστὶ κατὰ τὴν φύσιν κοινὸς, οὐδὲν διαφέρων τῶν ἄλλων πλακῶν, αἳ τοὺς τοίχους ἡμῶν οἰκοδομοῦσι, καὶ

A crassius intellexerat, ſenem mutabimus in puerum: neque rugoſum & canum in tenerum & iuuenẽ transformabimus: aut iterum hominem in vterum matris reducemus, ſed compunctum notis peccatorum & malis moribus inueteratum gratia regia eò redigimus, vt innocens ſit ſicuti infans. Vt enim modò natus puellus à criminibus & pœnis liber eſt, ita etiam regenerationis puer non habet, cuius nomine cauſam dicat, vt qui regio dono cauſæ dictioni exemptus, & à rationibus vitæ reddendis liberatus ſit. Hoc autem beneficium non aqua B largitur (eſſet enim omni creatura ſublimior) ſed Dei præceptum & ſpiritus, qui myſticè ad noſtrã libertatem venit, acceſſus. Aqua verò ſubſeruit ad oſtendendam purgationem. Quoniam enim ſordibus & cœno fœdatũ corpus aqua lauantes purum reddere ſolemus, propterea etiam in myſtica actione eam adhibemus, re ſub ſenſum cadenti incorporeum ſplendorem ſignificantes. Imò verò, ſi videtur, etiam ſubtilius explicando perſeueremus in quæſtione lauacrhi, tanquam à fonte quodam initium præcepti ſcripturæ facien- C tes. Niſi quis, inquit, natus fuerit ex aqua & ſpiritu, non poteſt intrare in regnum Dei. *Ioan. 3.* Quare bina illa, & non ſolus ſpiritus ſufficiens exiſtimatus eſt ad completionem baptiſmatis? Compoſitus eſt homo & non ſimplex, vt certò ſcimus. Atque idcirco duplici coniunctóque cognata ſimiliáque medicamenta ad curationem deſtinata atque attributa ſunt, corpori quidem, quod apparet, aqua, quæ ſub ſenſum cadit; *Ibid.* animæ verò, quæ viſum effugit, Spiritus, qui non apparet, qui fide vocatur, qui ineffabiliter accedit. D Spiritus enim, vbi vult, ſpirat, & vocem eius audis, ſed neſcis vnde veniat, & quò vadat. corpus quod baptizatur, & aquam quæ baptizat, benedicit. Quare ne contemnas diuinum lauachrum, neque id tanquam commune propter vſum aquæ parui facias, & leui momento ducas. Nam id, quod operatur, magnum eſt, & ab illo mirabiles exiſtunt effectus. Nam & altare hoc ſanctum, cui adſiſtimus, lapis eſt natura cummunis, nihil differens ab aliis cruſtis lapideis, ex quibus parietes noſtri extruuntur, & pa-

uimenta exornantur: ſed quoniam Dei A cultui conſecratum atque dedicatum eſt, ac benedictionem accepit, menſa ſancta, altare immaculatum eſt, quòd non amplius ab omnibus, ſed à ſolis ſacerdotibus iiſque venerantibus contractatur. Panis item, panis eſt initio communis: ſed vbi eum myſterium ſacrificauerit, corpus Chriſti fit & dicitur: Sic myſticum oleum, ſic vinum: cùm ſint res exigui pretij ante benedictionem, poſt ſanctificationem, quæ à ſpiritu procedit, vtrumque eorum excellenter operatur. Eadem item verbi vis etiam ſacerdotem auguſtum & ho- B norandum facit, nouitate benedictionis à communitate vulgi ſegregatum. Quum enim heri ac tempore ſuperiori vnus è multitudine ac plebe eſſet, repente redditur præceptor, præſes, doctor pietatis, myſteriorum latentium præſul: eaque contingunt ei, cùm nihil vel corpore vel forma mutatus, ſed quod ad ſpeciem externam attinet, ille ſit, qui erat, inuiſibili quadam vi ac gratia, inuiſibilem animam in melius transformatam gerens. Atque ita ad multas res animum aduertens, contemnenda C quidem videbis ea, quæ apparent, magna verò, quæ ab illis efficiuntur: ac maximè cùm ex veteri hiſtoria cognata atque ſimilia eius, de quo quæritur,
Exod. 4. argumenti exempla collegeris. Virga Moyſis, virga erat è nuce ſeu corylo. Etenim quid aliud atque lignum commune, quod à cuiuſque manu cæditur & portatur, & concinnatur adaptaturque ad id quod viſum fuerit, & igni
Exod. 17. ad arbitrium traditur. Vbi autem Deus
Exod. 4. voluit per illam efficere ſublimia illa,
Exod. 20. quæque nulla vi dicendi exprimi poſſunt, miracula, mutabatur lignum in D ſerpentem. Et item alibi percutiens aquas, aliàs quidē in ſanguinem aquam redigebat: aliàs verò ranarum fœtum infinitum edebat ac producebat: & rurſus mare ſcindebat, quod vſque ad imum fundum diducebatur, & non confluebat. Similiter vnius Prophetæ indumentum, quod erat ex pelle caprina, Heliſæum per totum terrarum orbem fama celebratum effecit. Lignum autem crucis omnibus hominibus ſalutare eſt, cum ſit pars, vt audio, arboris vilis, contemptioriſque quam aliæ mul-
Exod. 3. tæ ſint. Et frutex rubi, Moyſi diuinas
3. Reg. 21. apparitiones oſtendit. Item Heliſæi reliquiæ mortuum excitauerunt. Et lutum

A κονιατίζουσι τὰ ἐδάφη. ἐπειδὴ δὲ καθιερώθη τῇ τοῦ Θεοῦ θεραπείᾳ, καὶ τὴν εὐλογίαν ἐδέξατο· ἔστι τράπεζα ἁγία, θυσιαστήριον ἄχραντον, οὐκέτι παρὰ πάντων ψηλαφώμενον, ἀλλὰ μόνων τῶν ἱερέων, καὶ τούτων εὐλαβουμένων. ὁ ἄρτος πάλιν ἄρτος ἐστὶ τέως κοινός· ἀλλ' ὅταν αὐτὸν τὸ μυστήριον ἱερουργήσῃ, σῶμα Χριστοῦ λέγεταί τε καὶ γίνεται. οὕτως τὸ μυστικὸν ἔλαιον, οὕτως ὁ οἶνος, ὀλίγου τινὸς ἄξια ὄντα πρὸ τῆς εὐλογίας· μετὰ τὸν ἁγιασμὸν τὸν τοῦ πνεύματος, ἑκάτερον αὐτῶν ἐνεργεῖ διαφόρως. ἡ αὐτὴ δὲ τοῦ B λόγου δύναμις, καὶ τὸν ἱερέα ποιεῖ σεμνὸν καὶ τίμιον τῇ καινότητι τῆς εὐλογίας τῆς πρὸς τοὺς πολλοὺς κοινότητος χωριζόμενον. χθὲς γὰρ καὶ πρῴην εἷς ὑπάρχων τῶν πολλῶν καὶ τοῦ δήμου, ἀθρόον ἀποδείκνυται καθηγεμών, πρόεδρος, διδάσκαλος εὐσεβείας, μυστηρίων λανθανόντων μυσταγωγός· καὶ ταῦτα ποιεῖ, μηδὲν τοῦ σώματος ἢ τῆς μορφῆς ἀμειφθείς· ἀλλ' ὑπάρχων κατὰ τὸ φαινόμενον ἐκεῖνος ὃς ἦν, ἀοράτῳ τινὶ δυνάμει καὶ χάριτι τὴν ἀόρατον ψυχὴν μεταμορφωθεὶς πρὸς τὸ βέλτιον. καὶ οὕτως ἐπὶ C πολλὰ τῶν πραγμάτων φέρων τὸν νοῦν, εὐκαταφρόνητα μὲν ὄψει τὰ φαινόμενα, μεγάλα δὲ τὰ ἀπ' ἐκείνων τελούμενα· καὶ μάλιστα, ὅταν ἐκ τῆς παλαιᾶς ἱστορίας ἀναλέξῃ τὰ συγγενῆ τοῦ ζητουμένου καὶ ὅμοια. τοῦ Μωϋσέως ἡ ῥάβδος ἦν καρυίνη. καὶ τί γὰρ ἄλλο, ἢ ξύλον κοινόν, ὃ πᾶσα χεὶρ κόπτει καὶ φέρει, ῥυθμίζει τε πρὸς τὸ δοκοῦν, καὶ τῷ πυρὶ κατ' ἐξουσίαν δίδωσιν· ἡνίκα δὲ ὁ Θεὸς ἠθέλησεν ἐπιτελέσαι δι' ἐκείνης τὰ ὑψηλὰ καὶ τοῦ λόγου κρείττονα θαύματα, μετέβαλλε τὸ ξύλον εἰς ὄφιν. καὶ πάλιν ἑτέρωθι τύπτων τὰ ὕδατα· ποτὲ μὲν αἷμα τὸ ὕδωρ ἐποίει, ποτὲ D δὲ βατράχων γονὴν ἀνέβλυζεν ἄπειρον. καὶ πάλιν τὴν θάλατταν ἔτεμνε μέχρι βυθῶν διακοπτομένην καὶ μὴ συρρέουσαν. ὁμοίως εἷς τῶν προφητῶν μηλωτή, αἰγὸς οὖσα δέρμα, λόγιμον τῆς οἰκουμένης τὸν Ἐλισσαῖον εἰργάσατο. τὸ δὲ τοῦ σταυροῦ ξύλον, πᾶσιν ἀνθρώποις ἐστὶ σωτήριον, μέρος ὤν, ὡς ἀκούω, εὐκαταφρονήτου φυτοῦ, καὶ τῶν πολλῶν ἀτιμοτέρου. καὶ θάμνος βάτου τῷ Μωυσεῖ τὰ θεοφάνεια ἔδειξε· καὶ τοῦ Ἐλισσαίου τὰ λείψανα νεκρὸν ἀνέστησε· καὶ πη-

θεὶς τὸν τυφλὸν τὸν ἐκ κοιλίας ἐφώτισε. καὶ ταῦτα πάντα ὕλαι τυγχάνοντα ἄψυχοι καὶ ἀναίσθητοι τοῖς μεγάλοις θαύμασιν ἐμεσίτευσαν, τὴν τοῦ Θεοῦ δεξάμενα δύναμιν. κατὰ δὲ τὴν ὁμοίαν ἀκολουθίαν τῶν λογισμῶν, καὶ τὸ ὕδωρ οὐδὲν ἄλλο τυγχάνον ἢ ὕδωρ, ἀνακαινίζει τὸν ἄνθρωπον εἰς τὴν νοητὴν ἀναγέννησιν, τῆς ἄνωθεν χάριτος εὐλογούσης αὐτό. ἐὰν δέ μοι πάλιν διστάζων τις καὶ ἀμφιβάλλων πράγματα παρέχῃ, συνεχῶς ἐρωτῶν καὶ διαπυνθανόμενος, πῶς ὕδωρ ἀναγεννᾷ καὶ ἡ ἐπ' ἐκείνῳ τελουμένη μυσταγωγία; λέξω πρὸς αὐτὸν δικαιότατα. δεῖξόν μοι τὸν τρόπον τῆς γεννήσεως τῆς κατὰ σάρκα· κἀγώ σοι διηγήσομαι τῆς κατὰ ψυχὴν παλιγγενεσίας τὴν δύναμιν. ἐρεῖς τυχὸν, ὥς τινα λόγον ἀποδιδοὺς, σπέρματος αἰτία ποιεῖ τὸν ἄνθρωπον. ἀντάκουε τοίνυν καὶ παρ' ἡμῶν, ὡς ὕδωρ εὐλογούμενον καθαίρει καὶ φωτίζει τὸν ἄνθρωπον. ἂν δέ μοι πάλιν ἀνθυποκρούσῃς τὸ, πῶς; ἀντιβοήσομαί σοι σφοδρότερον, πῶς ἡ ὑγρὰ καὶ ἄμορφος οὐσία, ἄνθρωπος γίνεται. καὶ κατὰ πάσης τῆς κτίσεως οὕτως ὁ λόγος προβαίνων· ἐφ' ἑκάστῳ πράγματι γυμνασθήσεται. πῶς οὐρανὸς, πῶς γῆ, πῶς θάλασσα, πῶς τὰ καθέκαστον; πανταχοῦ γὰρ ὁ λογισμὸς τῶν ἀνθρώπων ἀπορῶν πρὸς τὴν εὕρεσιν, πρὸς ταύτην καταφεύγει τὴν συλλαβὴν, ὡς πρὸς καθέδραν οἱ τῷ βαδίζειν ἀδυνάτοι. καὶ ἵνα συνελὼν εἴπω, πανταχοῦ ἡ τοῦ Θεοῦ δύναμις καὶ ἐνέργεια ἀκατάληπτός ἐστι καὶ ἀτεχνολόγητος· ὑφιστῶσα μὲν εὐκόλως ἅπερ ἂν ἐθέλῃ, τὴν δὲ λεπτομερῆ γνῶσιν τῆς ἐνεργείας ἡμῖν ἀποκρύψασα. διὸ καὶ ὁ μακάριος Δαβὶδ, ἐπιστήσας ποτὲ τὸν νοῦν τῇ μεγαλοπρεπείᾳ τῆς κτίσεως, καὶ θαύματος ἀπόρου πληρωθεὶς τὴν ψυχὴν· ἐκεῖνο τὸ παρὰ πάντων ᾀδόμενον ἀπεφθέγξατο· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. τὴν μὲν γὰρ σοφίαν ἐνενόησε· τὴν δὲ τέχνην τῆς σοφίας οὐχ εὗρε. καταλιπόντες τοίνυν τὸ ὑπὲρ δύναμιν ἀνθρωπικὴν πολυπραγμονεῖν, ἐκεῖνο μᾶλλον ζητήσωμεν, ὃ καὶ μερικὴν ὑποφαίνει κατάληψιν· τίνος ἕνεκεν δι' ὕδατος ἡ κάθαρσις; καὶ πρὸς ποίαν χρείαν αἱ τρεῖς καταδύσεις παραλαμβάνονται; ὃ

A cæcum ex vtero matris natum illuminauit. Atque hæc omnia cum materiæ ſint inanimatæ atque ſenſus expertes, poſteaquam vim Dei accepiſſent, magnis miraculis media interceſſerunt. Ac ſimili conſequẽtia rationum, etiam aqua, cùm nihil aliud ſit quam aqua, ſuperna gratia benedicente ei, in eam quæ mente percipitur, hominem renouat regenerationem. Quòd ſi quis mihi rurſus dubitando & ambigendo negotium exhibeat, continenter interrogans & ſciſcitans, qua ratione aqua, ea quæ per illam peragitur, initiatione B regeneret; dicam optimo iure ad eum: Oſtende mihi modum natiuitatis, quæ fit ſecundum carnem: & ego tibi vim regenerationis, quæ ſecundum animam fit, exponam. Dices fortaſſe quaſi quandam rationem reddens: Semen cauſſa hominis effectrix eſt. Audi igitur contrà à nobis, quòd aqua quæ benedicitur, purgat & illuminat hominem. Quòd ſi mihi rurſus contrà ſubijcias, quomodo? clamabo contra te vehementius, quomodo humida atque informis natura homo fit? Atque de omni C creatura ita oratio progrediens, in vnaquaque re exercebitur, quî cœlum? quî terra? quî mare? quî res ſingulares? Vbique enim ratio hominum ad inuentionem perplexa hæſitans ad hanc ſyllabam confugit, ſicuti ad ſellam, qui ingredi & ambulare non poſſunt. Et vt rem paucis abſoluam, vbique diuina vis & efficacitas incomprehenſibilis eſt, nulláque vel ratione vel arte explorari poteſt, creans quidem atque producens facilè quæcumque vult, ſubtilem verò cognitionem efficientiæ nos celans. Quare etiam beatus Dauid cùm aliquando animum & mentem adhi- D buiſſet ad magnificentiam creaturæ, animíque perplexitate ob inſcrutabilia miracula repletus eſſet, illud quod ab omnibus canitur notabile dictum pronuntiauit: Quanta magnificentia perfecta ſunt opera tua, Domine: omnia cum ſapientia feciſti. Nam ſapientiam quidem animo concepit, artem verò ſapientiæ non inuenit. *Pſal. 136.* Omittentes igitur inquirere atque ſcrutari ea, quæ vires ſuperant humanas, illud potius quæramus, quod etiam particulare oſtendit comprehenſionem, cuius rei gratia per aquam purgatio fiat? & cur ternæ immerſiones adhibeantur. Quod igi-

tur & patres docuerunt, & noſtra mens aſſenſum præbens accepit, hoc eſt. Quatuor elementa nota habemus, ex quibus mundus conſtitutus eſt: quæ etiam ſi nomina ſilentio prætereantur, omnibus nota ſunt. Quòd ſi propter ſimpliciores etiam nomina (eorum) edere ad rem pertinet: ignis (eſt) & aër, terra & aqua. Cum igitur Deus & ſeruator noſter pro nobis ſuſceptam adminiſtrationem impleret, vnum ex his quatuor terram (ſcilicet) ſubiit, vt illinc vitam excitaret. nos verò Baptiſma aſſumentes ad imitationem Domini & doctoris & præceptoris noſtri, in terra quidem non ſepelimur (hæc enim infirmitatem & corruptionem naturæ noſtræ cooperiens morte penitus perempti corporis tegumentum exiſtit,) ſed ad terræ cognatum elementum aquam venientes, in illa, ſicuti Seruator in terra, nos abſcondimus, ídque cum ter ſimul facimus, triduo peractam nobis reſurrectionis gratiam effingimus, eaque facimus, non ſilentio myſterium aſſumentes, ſed trium ſanctarum hypoſtaſeon, in quas credidimus, in quas etiam ſperamus, ex quibus nobis contingit, vt & nunc ſimus, & rurſus futuri ſimus, nominibus ſuper nos pronuntiatis. Forſitan offenderis, qui aduerſus gloriam Spiritus confidenter pugnas, & inuides Paracleto venerationem, qua pij eum venerantur. Sed omitte mecum confligere, & oppone te, ſi potes, Domini vocibus, quæ inuocationem & cognominationem baptiſmatis hominibus inſtituerunt. Et quæ ſunt verba dominici præcepti? Baptizantes eos in nomen Patris & Filij & Spiritus ſancti. Quomodo in nomen Patris? quia principium eſt omnium rerum. Qua ratione in Filium? quoniam conditor creaturæ eſt: quomodo in Spiritum ſanctum? quia vim omnia abſoluta reddendi habet. Submittimus igitur nos Patri, vt ſanctificemur: ſubmittimus item nos Filio, vt hoc ipſum fiat: ſubmittimus nos Spiritui quoq; ſancto, vt id efficiamur, quod (ille) eſt ac dicitur. Non eſt differentia ſanctificationis, quaſi Patre amplius, Filio minus, & minus quàm vterque Spiritu ſancto ſanctificãte. Cur igitur trinas illas hypoſtaſeis cõcidis ac diuidis in diuerſas naturas, ac treis efficis Deos inter ſe diſſimileis, cùm vnam & eandẽ ab omnibus etiã gratiã accipias?

Matth. 28.

A τοίνυν καὶ οἱ πατέρες ἐδίδαξαν, καὶ ὁ ἡμέτερος νοῦς συντιθέμενος κατεδέξατο, οὗτος τυγχάνει. τέσσαρα στοιχεῖα γνωρίζομεν, ἀφ' ὧν ὁ κόσμος ἔχει τὴν σύστασιν, γνώριμα πᾶσι, κἂν σιωπηθῇ τὰ ὀνόματα. εἰ δὲ προσήκει, διὰ τοὺς ἁπλουστέρους, καὶ τὰς προσηγορίας εἰπεῖν· πῦρ καὶ ἀήρ, γῆ καὶ ὕδωρ. ὁ τοίνυν Θεὸς ἡμῶν καὶ Σωτήρ, τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν πληρῶν, τὸ τέταρτον τούτων ὑπῆλθε τὴν γῆν, ἵν' ἐκεῖθεν τὴν ζωὴν ἀνατείλῃ. ἡμεῖς δὲ τὸ βάπτισμα παραλαμβάνοντες, εἰς μίμησιν τοῦ κυρίου καὶ διδασκάλου καὶ καθηγε-
B μόνος ἡμῶν, εἰς γῆν μὲν οὐ θαπτόμεθα (αὕτη γὰρ τοῦ νεκρωθέντος παντελῶς σώματος ἐστὶ σκέπη, τὴν ἀσθένειαν καὶ φθορὰν τῆς φύσεως ἡμῶν περιστέλλουσα) ἐπὶ δὲ τὸ συγγενὲς τῆς γῆς στοιχεῖον τὸ ὕδωρ ἐρχόμενοι, ἐκείνῳ ἑαυτοὺς ἐγκρύπτομεν, ὡς ὁ Σωτὴρ τῇ γῇ. καὶ τρίτον τοῦτο ποιήσαντες, τὴν τριήμερον ἑαυτοῖς τῆς ἀναστάσεως χάριν ἐξεικονίζομεν. καὶ ταῦτα ποιοῦμεν οὐ σιωπῇ παραλαμβάνοντες τὸ μυστήριον, ἀλλὰ τῶν τριῶν ἁγίων ὑποστάσεων ἐπιλεγομένων ὑμῖν, εἰς ἃς ἐπιστεύσαμεν. ἐφ' αἷς καὶ ἐλπίζομεν, ἐξ
C ὧν ἡμῖν καὶ τὸ νῦν εἶναι, καὶ τὸ πάλιν ἔσεσθαι περιγίνεται. τάχα δυσχεραίνεις ὁ πρὸς τὴν δόξαν τοῦ πνεύματος τολμηρῶς μαχόμενος, καὶ ζηλοτυπεῖς τὸν παράκλητον τοῦ σεβάσματος, ᾧ παρὰ τῶν εὐσεβῶν σέβεται. καταλιπὼν δὲ ἐμοὶ συμπλέκεσθαι, ἀντίστηθι ταῖς τοῦ κυρίου φωναῖς, εἰ δύνασαι, αἳ τὴν ἐπίκλησιν τοῦ βαπτίσματος τοῖς ἀνθρώποις ἐνομοθέτησαν. τί δέ, φησι, τὸ τοῦ δεσπότου παράγγελμα; βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. πῶς εἰς τὸ ὄνομα τοῦ πατρός; ἐπειδὴ
D ἀρχὴ τῶν πάντων· πῶς εἰς τὸν υἱόν; ἐπειδὴ δημιουργὸς τῆς κτίσεως· πῶς εἰς τὸ πνεῦμα τὸ ἅγιον; ἐπειδὴ τελειωτικὸν τῶν πάντων. ὑποκύπτομεν οὖν τῷ πατρί, ἵνα ἁγιασθῶμεν· ὑποκύπτομεν καὶ υἱῷ, ἵνα αὐτὸ τοῦτο γένηται· ὑποκύπτομεν καὶ ἁγίῳ πνεύματι, ἵνα τοῦτο γενώμεθα ὅπερ ἐστὶ καὶ λέγεται. οὐκ ἔστι τοῦ ἁγιασμοῦ διαφορά, ὡς πλέον τοῦ πατρὸς ἁγιάζοντος, ἔλαττον δὲ τοῦ υἱοῦ, ἧττον δὲ τῶν δύο τοῦ ἁγίου πνεύματος. διὰ τί οὖν τὰς τρεῖς ὑποστάσεις κατακερματίζεις εἰς διαφόρους φύσεις, καὶ τρεῖς ἐργάζῃ Θεοὺς ἀνομοίους ἀλλήλων, μίαν παρὰ πάντων καὶ τὴν αὐτὴν χάριν δεχόμενος;

ἐπειδὴ

ἐπειδὴ δὲ τὰ ὑποδείγματα ἐμψυχότερον ἀεὶ πρὸς τοὺς ἀκούοντας τὸν λόγον ἐργάζεται· εἰκόνι βούλομαι παιδεῦσαι τῶν βλασφημούντων τὴν γνώμην· ἐκ τῶν γηΐνων καὶ ταπεινῶν σαφηνίζων τὰ μεγάλα, καὶ κατ' αἴσθησιν μὴ βλεπόμενα. εἰ γάρ σοι συνέβη συμφορὰν αἰχμαλωσίας ὑπομεῖναι, καὶ εἶναι παρὰ τοῖς πολεμίοις· δουλεύειν δὲ καὶ ταλαιπωρεῖσθαι, καὶ στένειν τὴν παλαιὰν ἐλευθερίαν ἣν εἶχες· ἄφνω δὲ τρεῖς γνώριμοι καὶ πολῖται ἐν τῇ χώρᾳ τῶν σῶν δεσποτῶν καὶ τυράννων γενόμενοι ἠλευθέρωσάν σε τῆς ἐπικειμένης ἀνάγκης, λύτρα δόντες ἐξ ἴσης, καὶ τὴν δαπάνην τῶν χρημάτων ἐξ ἰσομοιρίας πρὸς ἑαυτοὺς διελόμενοι· ἆρα τῆς χάριτος ἐκείνης τυχών, οὐκ ἂν ὁμοίως τοὺς τρεῖς ὡς εὐεργέτας ἑώρας, καὶ τῶν λύτρων τὴν ἀμοιβὴν ἐξ ἰσομοιρίας εἰσέφερες, κοινῆς ὑπὲρ σοῦ καὶ τῆς σπουδῆς καὶ τῆς δαπάνης γεγενημένης, εἴπερ δίκαιος ὑπάρχεις τῆς εὐεργεσίας κριτής; καὶ ταῦτα μὲν ὅσον ἐν ὑποδείγμασιν· οὐ γὰρ νῦν ἡμῖν σκοπὸς τὸν τῆς πίστεως ἀπευθύνειν λόγον. πρὸς δὲ τὸν ἐνεστῶτα καιρὸν καὶ τὴν προκειμένην ὑπόθεσιν ἀναδράμωμεν. εὑρίσκω γὰρ ὅτι τὴν τοῦ βαπτίσματος χάριν οὐ μόνον τὰ μετὰ τὸν σταυρὸν ἐκήρυξεν εὐαγγέλια· ἀλλὰ καὶ πρὸ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου πανταχοῦ ἡ παλαιὰ γραφὴ τῆς παλιγγενεσίας ἡμῶν προετύπωσε τὴν εἰκόνα· οὐ τηλαυγῶς τὴν μορφὴν ἐμφανίζουσα, αἰνίγμασι δὲ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν προϋποφαίνουσα. καὶ ὡς ὁ ἀμνὸς προεκηρύττετο καὶ ὁ σταυρὸς προεφητεύετο· οὕτως καὶ τὸ βάπτισμα πραγματικῶς καὶ λογικῶς ἐμηνύετο. ἀναμνήσωμεν δὲ τοὺς φιλοκάλους τῶν τύπων· ἀπαιτεῖ γὰρ ὁ τῆς ἑορτῆς καιρὸς ὡς ἀναγκαίαν τὴν μνήμην. ἡ Ἄγαρ ἡ παιδίσκη τοῦ Ἀβραάμ, ἣν καὶ Παῦλος ἀλληγορεῖ πρὸς Γαλάτας διαλεγόμενος, ἐκπεμφθεῖσα τῆς οἰκίας τοῦ κυρίου, διὰ τὴν ὀργὴν τῆς Σάρρας (χαλεπὸν γὰρ ταῖς νομίμοις γυναιξὶν ὑποπτευομένη δούλη πρὸς τὸν δεσπότην) ἔρημος ἐφέρετο πρὸς ἔρημον γῆν, ὑπομάζιον ἔχουσα βρέφος τὸν Ἰσμαήλ. ἐπειδὴ δὲ ἐν ἀπορίᾳ τῶν ἀναγκαίων γέγονεν, αὐτή τε ἐγγὺς ἦλθε θανάτου, καὶ πρό γε αὐτῆς τὸ παιδίον· τὸ γὰρ ὂν ἐν τῷ ἀσκῷ ὕδωρ ἐδαπανήθη· ἐπεὶ μηδὲ οἷόν τε τὴν συναγωγὴν αὐτάρκειαν ἔχειν ζωῆς,

A Quoniam autem ſimilitudines ſemper orationem apud auditores magis viuidam reddunt: ſimulachro volo maledicentium mentem erudire, per terrena atque humilia, magna, quæque ſenſu non cernuntur, declarans. Nam ſi eiuſmodi tibi calamitas accidiſſet, vt captiuus eſſes apud hoſtes: ſeruus autem & afflictus cum gemitu antiquam libertatem, quam habuiſſes, deſiderares: atque repentè noti & ciues tres, qui in regionnem tuorum dominorum ac tyrannorum adueniſſent, ex æquis partibus dato pretio, quo redimereris, ſum-
B ptuque pecuniario ęqualiter inter ſe diuiſo, liberaſſent te ab vrgente neceſſitate: an non hoc beneficium cōſequutus, ſimiliter illos tres pro benefactoribus haberes, & pretij, quo redemptus eſſes compenſationem ex æquis partibus tribueres: cùm & ſtudium pro te commune, ſumptuſque communis fuiſſet, ſi modò iuſtus beneficij æſtimator eſſes? Atque hęc quidem quatenus per exempla rem demonſtrare conueniebat: non enim nunc nobis propoſitum eſt, rectæ fidei tradere rationem. Sed ad præſens
C tempus ac propoſitum argumentum recurramus. Nam inuenio, quod non ſolùm poſt crucem, Euangelia gratiam baptiſmatis prædicauerunt, ſed & antè incarnationem Domini vbique vetus ſcriptura regenerationis noſtræ imaginem præfigurauit: non apertè & euidenter formam oſtendens, ſed ænigmatibus & inuolucris humanitatem Dei præmonſtrans. Et vt agnus antè prædicabatur, & crux prophetabatur, ita etiam baptiſma, & verbis & reipſa indi-
D cabatur. At redigamus honeſtarum rerum ſtudioſis in memoriam figuras. exigit enim tempus feriarum (eam) tanquam neceſſariam cōmemorationem. Agar ancilla Abrahami, cuius etiam Paulus ad Galatas verba faciens, allegoricam mentionem facit, ab domo domini ſui propter iram Sarræ ablegata (moleſta enim legitimis vxoribus res eſt, propter Dominum ſuſpecta ancilla) deſerta ac deſtituta ferebatur ad terram deſertam, lactentem ſecum habens puerum Iſmaëlem. Cùm autem redacta eſſet ad inopiam rerum neceſſariarum, ipſaque prope mortē, & ante eam adeò puer veniſſet (quam enim in vtre aquam habuerat, conſumpta erat: quoniam ne fieri quidem poterat, vt Synagoga,

Gen 18.

Galat. 4.

Gen. 21.

quæ olim in figuris perennis fontis verſabatur, ſufficientiam vitæ haberet) angelus in inſperato apparet, & oſtendit ei puteum aquæ viuentis: atque inde cùm hauſiſſet, ſeruat Iſmaëlem. Vide igitur figuram myſticam, quemadmodum ſtatim ab initio per aquam viuen- *Geneſ. 45.* tem, quæ non prius eſſet, ſed per angelum dono data eſſet, pereunti ſalus contigerit. Item poſteriori tempore nuptiis coniungi oportebat Iſaacum, propter *Gen. 24.* quem etiam Iſmaël vnà cum matre paterna ſede pulſus erat. Miſſus autem ſeruus Abrahami pronubus & nuptiarum conciliator, vt domino ſuo ſponſam adduceret, inuenit Rebeccam ad puteum: ac nuptiæ, quæ Chriſti genus effecturæ erant, ad aquam initium ac primam pactionem cōuentionémque habuerunt. Quinetiam ipſe quoque Iſaac cùm gregibus præfectus eſſet, in omnibus locis ſolitudinis, puteos fodiebat, quos alienigenæ obſtruebant, & aggere obruebant & occultabant, ad figuram eorum, qui poſtea fuerunt, impiorum, qui donum baptiſmatis prohibebant & impediebant, veritati ſeſe opponentes. Verùm tamē martyres & ſacerdotes puteos fodientes vicerunt, omnemque terrarum orbem baptiſmatis donum inundauit. Per eandē item ſcripturæ vim feſtinans *Gen. 29.* ad ſponſalia etiam Iacob, inopinatò ad puteum obuiam factus eſt Racheli. Impoſitum autem erat puteo ſaxum magnum, quòd vbi cœtus paſtorum conueniſſet, reuoluere, ac ſic deinde & ſibi & ouibus aquam haurire ſolebant. At Iacob ſolus amouet ſaxum, ac potu ſponſæ ſuæ reficit oues. Ænigma, opinor, ea res (erat) & vmbra futuri. Quis eſt enim impoſitus lapis alius atque ipſe *Eſa. 28.* Chriſtus? de quo dicit Eſaias: Et immittam in fundamenta Sion lapidem pretioſum, honoratum, electum. Et *Dan. 2.* Daniel ſimiliter: Sectus eſt lapis abſque manu, id eſt, Natus eſt Chriſtus abſque viro. vt enim nouum, inauditum & inuſitatum eſt, lapidem ab rupe abſcindi ſine opera latomi, atque inſtrumentis latomicis: ita ſuperat omne miraculum, videri partum ex virgine innupta. Impoſitus igitur erat puteo lapis, qui mente cernitur Chriſtus, abſcondens in profundo atque myſterio lauacrum regenerationis, quod adhuc multo tempore, tanquam longo fune, ad reuelationem opus habebat.

A τὴν τίως ἐν τοῖς τύποις διαφερομένην τῆς ἀενάου πηγῆς· ἄγγελος ἐκ τοῦ παραδόξου φαίνεται, καὶ δείκνυσιν αὐτῇ φρέαρ ὕδατος ζῶντος· κἀκεῖθεν ἀρυσαμένη, σώζει τὸν Ισμαήλ. ὅρα τοίνυν τύπον μυστικόν· ὅπως εὐθὺς ἐξ ἀρχῆς δι' ὕδατος ζῶντος τῷ ἀπολλυμένῳ ἡ σωτηρία, οὐ πρότερον ὄντος, ἀλλὰ δι' ἀγγέλου κατὰ χάριν δοθέντος. χρόνοις δὲ ὕστερον πάλιν γάμοις ἔδει καταζευχθῆναι τὸν Ισαάκ, δι' ὃν καὶ ὁ Ισμαὴλ σὺν τῇ μητρὶ τῆς πατρικῆς ἑστίας ἠλάθη. ἀποσταλεὶς δὲ ὁ οἰκέτης τοῦ Α-B βραὰμ προμνήστωρ, ὥστε τῷ κυρίῳ νυμφεύσασθαι, εὑρίσκει τὴν Ρεβέκκαν ἐπὶ τοῦ φρέατος· καὶ γάμος, ὁ μέλλων ποιεῖν τὸ γένος Χριστοῦ, ἐπὶ ὕδατος ἔλαβε τὴν ἀρχὴν καὶ τὴν πρώτην συνθήκην. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Ισαάκ, ἡνίκα ταῖς ἀγέλαις ἐφειστήκει, πανταχοῦ τῆς ἐρημίας ὤρυσσεν φρέατα, ἅπερ ἐνέφραττον καὶ κατεχώννυον οἱ ἀλλόφυλοι· εἰς τύπον τῶν εἰς ὕστερον ἀσεβῶν, ὅσοι τὴν τοῦ βαπτίσματος χάριν ἐκώλυον καὶ ἀνεστόμουν, ζυγομαχοῦντες πρὸς τὴν ἀλήθειαν. ἀλλ' ὅμως οἱ μάρτυρες καὶ οἱ ἱερεῖς φρεωρυχοῦντες C ἐνίκησαν, καὶ πᾶσαν τὴν οἰκουμένην ἡ τοῦ βαπτίσματος δωρεὰ ἐπέκλυσε. κατὰ τὴν αὐτὴν δὲ τοῦ λόγου δύναμιν σπεύδων καὶ ὁ Ιακὼβ ἐπὶ μνηστείαν· ἀδοκήτως ἐπὶ τοῦ φρέατος συνήντησε τῇ Ραχήλ· ἐπέκειτο δὲ λίθος μέγας τῷ φρέατι, ὃν πλῆθος ποιμένων συνιὸν ἀπεκύλισεν· εἶθ' οὕτως ἑαυτοῖς καὶ τοῖς προβάτοις ὑδρεύοντο· ὁ δὲ Ιακὼβ μόνος ἀποκυλίει τὸν λίθον, καὶ ποτίζει τῆς μνηστῆς τὰ πρόβατα. αἴνιγμα, οἶμαι, τὸ πρᾶγμα καὶ σκιὰ τοῦ μέλλοντος. τίς γὰρ ὁ ἐπικείμενος λίθος, εἰ μὴ αὐτὸς ὁ Χριστός; περὶ οὗ φησὶν Ησαΐας· καὶ ἐμ-D βαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἔντιμον, ἐκλεκτόν. καὶ Δανιὴλ ὁμοίως, ἐτμήθη λίθος ἄνευ χειρός· τουτέστιν· ἐγεννήθη Χριστὸς ἄνευ ἀνδρός. ὡς γὰρ καινόν ἐστι καὶ παράδοξον, λίθον πέτρας ἀποτμηθῆναι ἄνευ λιθοτόμου καὶ ὀργάνων λιθουργικῶν· οὕτω παντὸς ἐπέκεινα θαύματος, ἐξ ἀνυμφεύτου παρθένου τόκον ὀφθῆναι. ἐπέκειτο τοίνυν τῷ φρέατι ὁ λίθος ὁ νοητὸς Χριστὸς, κρύπτων ἐν βάθει καὶ μυστηρίῳ τὸ τῆς παλιγγενεσίας λουτρὸν, ἔτι χρόνου πολλοῦ δεόμενον εἰς ἀποκάλυψιν ὡς σχοινίου μακροῦ.

οὐδεὶς δὲ τὸν λίθον ἀπεκύλισεν, εἰ μὴ Ἰσραὴλ, A ὅς ἐστι, νοῦς ὁρῶν Θεόν. ἀλλὰ καὶ ἀνιμᾶται τὸ ὕδωρ, καὶ ποτίζει τὰ πρόβατα τῆς Ῥαχὴλ, τουτέστι, μυστήριον κεκρυμμένον ἀποκαλύψας δίδωσι ζωτικὸν ὕδωρ τῇ ἀγέλῃ τῆς ἐκκλησίας. καὶ τὸ τῶν τριῶν ῥάβδων τοῦ Ἰακὼβ πρόσθες. ἀφ' οὗ γὰρ αἱ τρεῖς ῥάβδοι τῇ πηγῇ προσετέθησαν· ἐκ τότε ὁ Λάβαν ὁ πολύθεος, πένης ἐγένετο, πλούσιος δὲ καὶ πολυάρνιος Ἰακώβ. ἀλληγορηθήτω δὲ ὁ Λάβαν εἰς τὸν διάβολον, καὶ ὁ Ἰακὼβ εἰς τὸν Χριστόν. μετὰ γὰρ τὸ βάπτισμα, Χριστὸς πᾶσαν ἦρεν τὴν ἀγέλην τοῦ B Σατανᾶ, καὶ αὐτὸς ἐπλούτησε. Μωσῆς δὲ ὁ μέγας, βρέφος ὑπάρχων ἀστεῖον καὶ ὑπομάζιον, ὑποπεσὼν τῇ κοινῇ καὶ σκυθρωπῇ ψήφῳ, ἣν ὁ σκληρὸς Φαραὼ κατὰ τῶν βρεφῶν τῶν ἀρρένων ἐξήνεγκεν, ἐξετέθη πρὸς ταῖς ὄχθαις τοῦ ποταμοῦ, οὐ γυμνὸς, ἀλλ' ἐμβληθεὶς λάρνακι· ἔδει γὰρ εἶναι τυπικῶς τὸν νόμον ἐν κιβωτῷ· ἐγγὺς δὲ κατετέθη τοῦ ὕδατος· γείτνια γὰρ ὁ νόμος τῇ χάριτι, καὶ τὰ ἐφήμερα τῶν Ἑβραίων ῥαντίσματα, ἃ μικρὸν ὕστερον ἔμελλε τῷ τελείῳ καὶ θαυμαστῷ βαπτίσματι καλυ- C φθήσεσθαι. ὡς δὲ Παύλῳ τῷ θεσπεσίῳ δοκεῖ, καὶ ὁ λαὸς αὐτὸς τὴν ἐρυθρὰν περαιωθεὶς θάλασσαν, τὴν ἐξ ὕδατος σωτηρίαν εὐηγγελίσατο. παρῆλθεν ὁ λαὸς, καὶ βασιλεὺς ὁ Αἰγύπτιος μετὰ τῆς στρατιᾶς ἐβυθίσθη, καὶ ὑπὸ τὸ μυστήριον διὰ τῶν ἔργων προεφητεύετο. καὶ νῦν γὰρ, ἡνίκα ἂν ὁ λαὸς ἐν τῷ τῆς παλιγγενεσίας ὕδατι γένηται, φεύγων τὴν Αἴγυπτον, τὴν μοχθηρὰν ἁμαρτίαν· αὐτὸς μὲν ἐλευθεροῦται καὶ σώζεται, ὁ δὲ διάβολος μετὰ τῶν ἰδίων ὑπηρετῶν, λέγω δὴ τῶν πνευμάτων τῆς πο- D νηρίας, ἀποπνίγεται τῇ λύπῃ καὶ φθείρεται, συμφορὰν ἰδίαν τὴν τῶν ἀνθρώπων σωτηρίαν ἡγούμενος. ἱκανὰ μὲν οὖν καὶ ταῦτα εἰς βεβαίωσιν τῆς προκειμένης πραγματείας ἦν. πλὴν οὐδὲ τῶν ἑξῆς ἀμελητέον τῷ φιλοκάλῳ. πολλὰ γὰρ παθὼν, ὡς ἐδιδάχθημεν, ὁ τῶν Ἑβραίων λαὸς, καὶ τὴν μοχθηρὰν διανύσας τῆς ἐρήμου περίοδον· οὐ πρότερον τὴν γῆν τῆς ἐπαγγελίας ἀπέλαβε, πρὶν ὁδηγοῦντος Ἰησοῦ, καὶ τὴν ζωὴν αὐτοῦ κυβερνῶντος, εἰς τὸν Ἰορδάνην ἐπεραιώθη. Ἰησοῦς δὲ καὶ τοὺς δώδεκα λίθους ἀποθέμενος ἐν τῷ ῥεύματι, πρόδηλόν ἐστιν,

A Nemo autem lapidem amouebat, niſi Iſraël, quæ eſt mens videns Deum. Quin etiam haurit aquam, & potum præbet ouibus Rachelis, hoc eſt, myſterio, quod abſconditum erat, reuelato, dat aquã vitalem Eccleſiæ gregi. Adde huc trium virgarum Iacobi rem geſtam. Ex quo enim tres illæ virgæ fonti appoſitæ ſunt, ex eo tempore Laban ille multorum Deorum ſuperſtitione implicitus, pauper euaſit: Iacob autem ditari & agnis abundare cœpit. Allegorico autem ſenſu Laban ad diabolum, Iacob ad Chriſtum referatur. Nam poſt baptiſma Chriſtus omnẽ diaboli gregem abſtulit, & ipſe ditatus eſt. Moyſes autem ille magnus, cùm puer ſcitus & elegans, atque etiam nunc ſub vberibus eſſet, communi ac triſti ſententię, quam durus ille Pharao aduerſus infantes maſculos tulerat, ſubiectus, expoſitus eſt ad ripas amnis, non nudus, ſed ciſtæ impoſitus. Oportebat enim legem typicè & allegoricè eſſe in arca. Prope aquam autem depoſitus eſt. Vicina enim gratiæ lex eſt, & quotidianæ Hebræorũ aſperſiones: quæ, paulò poſt futurum erat vt C perfecto atque admirando baptiſmate obtegerentur. Atque vt diuino Paulo videtur, etiam populus ipſe, qui rubrum mare tranſiuit, eam, quæ ex aqua contingit, ſalutem annuntiauit. Tranſiuit populus, & rex Ægyptius cum exercitu ſubmerſus eſt, & myſterium per opera prædicebatur. Etenim nunc quando populus fugiens Ægyptum, improbum (ſcilicet) peccatum, in aqua regenerationis verſatur, ipſe quidem liberatur & ſeruatur; diabolus verò cum ſuis miniſtris (de ſpiritibus nimirum improbis loquor) animi dolore ſuffoca- D tur, & conficitur, pro ſua calamitate hominum ſalutẽ ducens. Atque etiam hæc quidem nobis ad confirmationes propoſiti tractatus ſuffecerint. Verumtamen ne ſequentia quidem honeſtarum rerum ſtudioſo negligenda ſunt. Multis enim incommodis conflictatus, quemadmodum didicimus, Hebræorum populus, & laborioſo atque moleſto ſolitudinis confecto circuitu, non prius terram promiſſionis recepit, quàm ducente Ieſu, vitamque eius gubernante ad Iordanem peruenit. Perſpicuum eſt autem, quòd etiam Ieſus, qui duodecim ſaxa in flumine depoſuit,

Gen.29. Gen.30. Exod.2. 1.Cor.10. Exod.14. Iosue 4.

duodecim diſcipulos miniſtros baptiſmatis præparabat ac prædeſtinabat. Porrò ſacrificium illud admirabile, quódque omnem humanam ſuperat mentem, Theſbitæ illius ſenis, quid aliud tandem atque re ipſa præſignificat fidem in Patrem & Filium & Spiritum ſanctum, atque redemptionem? Poſteaquam enim vniuerſus Hebræorum populus patria conculcata pietate, in errorem multorum deorum cultus prolapſus erat: & rex Achaab ab ſimulachrorum cultu deludebatur, cum malam vitæ ſociam ſceleſtiſſimámque impietatis magiſtram haberet infauſtam & execrandam Hiezabelem: repletus Propheta gratia ſpirituali, & cum Achaabo congreſſus, teſte rege, omnique populo ſacerdotibus Baal ſe oppoſuit ad certamen ingens & admirabile; atque illos, qui propoſuerant atque profeſſi erant, quòd abſque igni bouem ſacrificaturi eſſent, ridiculos ac miſeros oſtendit, fruſtra precantes & inuocantes Deos, qui nulli ſunt: tandem ipſe ſuo ac vero Deo inuocato exceſſibus pluribus & adiectionibus mirabiliter propoſitum certamen peregit. Non enim ſimpliciter precatus, lignis, quæ arida eſſent, ignem è cœlo ſuperinduxit: ſed cùm miniſtros hortatus eſſet ac iuſſiſſet, vt multam aquam afferrent, ac ter in ligna fiſſa amphoriſcos effudiſſet, oratione ignem accendit ex aqua, vt ex repugnantia naturali elementorum, quæ præter ſpem & opinionem ad concordiam & mutuum adiumentum concurrerant, cum magna exuperantia atque exceſſu naturæ, ſui Dei potentiam demonſtraret. Hoc modo Helias quidem apertè eam, quæ in poſterum peragenda erat, baptiſmatis inſtitutionem & initiationem, per admirabile illud ſacrificium nobis prædixit. Aqua enim ter ſuperinfuſa accenſus eſt ignis, vt ſignificaretur, quòd vbi aqua myſtica eſt, illic etiā ſpiritus eſt ille viuificans, ardens, igneus, qui impios comburit, & fideles illuminat. Quinetiam huius quoque diſcipulus Heliſæus, quum ad eum ſupplex veniſſet Naaman Syrus, qui lepræ morbo laborabat, cùm lauiſſet in Iordane, purgat ægrotum, & generali vſu aquæ, & ſpeciali amnis illius immerſione apertè præmonſtrans futurum. Ex omnibus enim ſolus Iordanis,

Reg. 3. cap. 18.

Reg. 21.

3. Reg. 21.

Ibidem.

4. Reg. 11.

A ὅτι τοὺς δώδεκα μαθητὰς, τοὺς ὑπουργοὺς τοῦ βαπτίσματος, προηυτρέπιζεν. ἡ δὲ θαυμαστὴ ἱερουργία καὶ πάντα νοῦν ἀνθρώπων ὑπερβαίνουσα τοῦ Θεσβίτου τοῦ γέροντος, τί ποτε δῆλον, ἢ προφητικῶς προμηνύει τὴν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πίστιν, καὶ ἀπολύτρωσιν; ἐπειδὴ γὰρ ἅπας ὁ τῶν Ἑβραίων λαὸς τὴν πατρῴαν πατήσας εὐσέβειαν, εἰς τὴν πολύθεον πλάνην ἐξέπεσε, καὶ ὁ βασιλεὺς Ἀχαὰβ παρὰ τῆς εἰδωλολατρείας ἐπαίζετο, κακὴν τοῦ βίου κοινωνὸν καὶ παμμιαρὰν τῆς ἀσεβείας ἔχων διδάσκαλον τὴν δυσώνυμον Ἰεζάβελ· πλησθεὶς ὁ προφήτης τῆς πνευματικῆς χάριτος, ἐλθὼν B δὲ εἰς συντυχίαν τῷ Ἀχαὰβ, ὑπομάρτυρι τῷ βασιλεῖ καὶ παντὶ τῷ λαῷ, τοῖς τοῦ Βαὰλ ἱερεῦσιν ἀντικατέστη πρὸς ἀγῶνα θαυμαστὸν καὶ ἐξαίσιον. καὶ προβαλλόμενος αὐτοῖς τὸ χωρὶς πυρὸς ἱερουργῆσαι τὸν βοῦν· καταγελάστους ἔδειξε καὶ ἀθλίους, μάτην εὐχομένους καὶ κράζοντας τοῖς οὐκ οὖσι θεοῖς. τέλος, ἐπικαλεσάμενος αὐτὸς τὸν ἴδιον καὶ ἀληθινὸν Θεὸν, ὑπερβολαῖς πλείοσι καὶ προσθήκαις, θαυμαστῶς ἐξετέλεσε τὸ προβληθὲν ἀγώνισμα. οὐ γὰρ ἁπλῶς εὐξάμενος ἤγαγε τὸ πῦρ ἐξ οὐρανοῦ κατὰ τῶν ξύλων ξηρῶν ὑπαρχόντων· ἀλλὰ τοῖς ὑπηρέταις ἐγκε- C λευσάμενος καὶ προστάξας ὕδωρ κομίσαι πολύ. τρίτον δὲ τῶν σχιδάκων καταχέας τοὺς ἀμφορεῖς, εὐχῇ τὸ πῦρ ἀνῆψεν ἐξ ὕδατος· ἵνα ἐκ τῆς φυσικῆς τῶν στοιχείων ἐναντιότητος, ἐκ τοῦ παραδόξου συνδραμόντων εἰς φιλίαν καὶ συνεργίαν, μετὰ πολλῆς ὑπερβολῆς τοῦ ἰδίου Θεοῦ τὴν δύναμιν ἐνδείξηται. ταῦτα μὲν ὁ Ἠλίας σαφῶς τὴν ἐς ὕστερον μέλλουσαν τελεῖσθαι τοῦ βαπτίσματος μυσταγωγίαν διὰ τῆς θαυμαστῆς ἐκείνης ἱερουργίας ἡμῖν προανεφώνησεν. D ὕδατι γὰρ ἀνήφθη τὸ πῦρ τρίτον ἐπαντληθέντι· ὥστε δηλοῦσθαι, ὅτι ὅπου ὕδωρ τὸ μυστικὸν, ἐκεῖ καὶ πνεῦμα τὸ ζωπυροῦν, τὸ θερμὸν, τὸ πυροειδὲς, τὸ τοὺς ἀσεβεῖς καῖον καὶ τοὺς πιστοὺς φωτίζον. οὐ μὴν ἀλλὰ καὶ ὁ τούτου μαθητὴς Ἐλισσαῖος, ἐλθόντος πρὸς αὐτὸν ἱκέτου Νεεμὰν τοῦ Σύρου τοῦ τὴν λέπραν νοσοῦντος, λούσας ἐν τῷ Ἰορδάνῃ, καθαίρει τὸν ἄρρωστον· καὶ τῇ γενικῇ χρήσει τοῦ ὕδατος καὶ τῷ ἰδικῷ τοῦ ποταμοῦ βαπτίσματι σαφῶς προϋποφαίνων τὸ μέλλον. μόνος γὰρ Ἰορδάνης ποτα-

ἐν ἑαυτῷ δεξάμενος τοῦ ἁγιασμοῦ καὶ τῆς εὐλογίας τὴν ἀπαρχὴν, ὥσπερ ἔκ τινος πηγῆς τοῦ ἰδίου τύπου τῷ κόσμῳ παντὶ τὴν τοῦ βαπτίσματος ἐποχέτευσε χάριν. Ταῦτα μὲν οὖν ἐνεργὰ καὶ προακτικὰ μιμήματα τῆς διὰ τοῦ λουτροῦ παλιγγενεσίας. κατίδωμεν δὲ λοιπὸν τὰς διὰ λόγων καὶ φωνῶν προφητείας. ὁ μὲν οὖν Ησαΐας κέκραγε, λέγων· λούσασθε, καθαροὶ γένεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. ὁ δὲ Δαβὶδ· προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Ιεζεκιὴλ δὲ τῶν δύο σαφέστερον καὶ λευκότερον γράφων, ὑπισχνεῖται τὴν καλὴν ἐπαγγελίαν· καὶ ῥανῶ ἐφ' ὑμᾶς καθαρὸν ὕδωρ, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν καθαριῶ ὑμᾶς, καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ὑμῖν· καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην. καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν. ἐναργέστατα δὲ καὶ ὁ Ζαχαρίας τόν τε Ιησοῦν προφητεύει τὸν ἐνδεδυμένον τὸ ῥυπαρὸν ἱμάτιον, τὴν δουλικὴν καὶ ἡμετέραν σάρκα, ἐκδύων δ' αὐτὸν τῆς σκυθρωπῆς ἐσθῆτος, κοσμεῖ τῇ καθαρᾷ καὶ λαμπρᾷ στολῇ. διδάσκων ἡμᾶς διὰ τοῦ εἰκονικοῦ ὑποδείγματος, ὅτι δὴ ἐν τῷ βαπτίσματι τοῦ Ιησοῦ πάντες ἡμεῖς ἐκδυόμενοι τὰς ἁμαρτίας ὡς χιτῶνά τινα πτωχικόν τε καὶ πολυκόλλητον, τὸν ἱερὸν καὶ κάλλιστον τὸν τῆς παλιγγενεσίας μετενδυόμεθα. ποῦ δὲ θήσομεν κἀκεῖνο τοῦ Ησαΐου τὸ λόγιον, πρὸς τὴν ἔρημον κεκραγός· εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον, καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ιορδάνου. πρόδηλον γὰρ ὡς οὐ τόποις ἀψύχοις καὶ ἀναισθήτοις τὴν εὐφροσύνην διαγγελίζεται· ἀλλὰ τροπολογεῖ διὰ τῆς ἐρήμου τὴν αὐχμώδη ψυχὴν καὶ ἀκόσμητον. ὥσπερ δὴ καὶ ὁ Δαβὶδ, ὅταν λέγῃ· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. καὶ πάλιν· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν ἰσχυρὸν τὸν ζῶντα. καὶ αὖθις ἐν εὐαγγελίοις ὁ κύριος· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. καὶ πρὸς τὴν Σαμαρεῖτιν· πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου, διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα.

A cùm in ſe recepiſſet ſanctificationis & benedictionis primitias, tanquam ex quodam fonte ſuæ figuræ in totum mundum donum baptiſmatis, quaſi per riuum & aquæductum transfudit. Atque hæc quidem opere atque reipſa deſignata ſunt indicia regenerationis, quæ per lauacrum contingit. Videamus autem deinceps eas, quæ per ſermones ac voces editæ ſunt, prophetias. Igitur Eſaias quidem clamat dicens: *Eſa. 1.* Lauamini, puri eſtote, auferte *Pſal. 33.* nequitias ab animabus veſtris. Dauid autem: Accedite ad eum, & illuminamini, & vultus veſtri non confun-
B dentur. Hiezechiel autem vtroque a- *Hieze. 36.* pertius, clarius & candidius ſcribens, pollicetur bonam promiſſionem: Et ſpargam ſuper vos aquam puram, & purgamini ab omnibus immunditiis veſtris, & ab omnibus ſimulachris veſtris mundabo vos, & dabo vobis cor nouum, & ſpiritum nouum dabo vobis: & auferam cor lapideum de carne veſtra: & dabo vobis cor carneum: & ſpiritum meum in vobis dabo. Euidentiſſimè autem etiam Zacharias & *Zach. 3.* Ieſum prophetat indutum pallio ſor-
C dido, ſeruili, ſcilicet, noſtráque carne: & exuens eum triſti veſte, pura ſplendidáque ſtola exornat, docens nos per imaginariam ſimilitudinem, quòd nimirum in baptiſmate Ieſu, omnes nos exuentes peccata, tanquam tunicam mendici vilem & ex multis pannis conſutam, ſacram atque pulcherrimam, nempe regenerationis (veſtem) inuicem induimus. Vbi verò ponemus etiam illud Eſaiæ oraculum, ad ſolitudinem clamantis: *Eſa. 35.* Lætare ſolitudo ſitiens, exultet ſolitudo, ac floreat vt lilium: & efflorеſcent & exultabunt deſerta Ior-
D danis. Perſpicuum eſt enim, quòd non locis inanimatis & ſenſu carentibus lætitiam annuntiat: ſed per ſolitudinem tropicè & allegoricè ſquallidam & inornatam animam ſignificat. quemadmodum ſanè etiam Dauid, cùm dicit: Anima mea ſitit, ſicut terra aquarum *Pſal. 41.* penuria laborans. Et rurſus: Sitiuit anima mea ad Deum fortem, viuum. *Pſal. 41.* Itemque Dominus in Euangeliis: Si *Ioan. 7.* quis ſitit veniat ad me, ac bibat. Et ad Samaritanã: Quicumque bibit ex aqua *Ioan. 4.* hac, ſitiet rurſus: at qui biberit ex aqua, quã ego dabo ei, non ſitiet in æternum. *Eſa 55.*

Atque honor etiam Carmeli datur animæ habenti ſimilitudinem cum deſerto : hoc eſt donum, quod contingit per ſpiritum.. Quoniam enim Helias quidem Carmelum incolebat : (clarus autem mons propter virtutem inhabitantis & fama celebratus eſt) Ioannes
Luc. 1. autem Baptiſta in ſpiritu Heliæ reſplendens, Iordanem ſanctificabat : idcirco Propheta vaticinabatur honorem Carmeli illi fluuio datum iri. Atque etiam gloriam Libani ex ſimilitudine procerarum arborum tranſtulit ad amnem, Vt enim Libanus ille ſatis magnam cauſam admirationis ipſas arbores habet, quas producit & alit : ita Iordanis celebratur, quòd homines regeneraret ac plantaret in paradiſo Dei, quorum iuxta
Pſal. 1. vocem pſalmi, ſemper florentium & virtutibus quaſi frondentium folium quidem non defluet : fructu autem in tempore percepto Deus lætabitur, tanquam bonus plantator ſuis operibus gaudens. Porrò diuinus Dauid etiam vocem prædicens, quam de cœlis pater ſuper filium, dum baptizaretur, emiſit, vt ad naturalem Deitatis dignitatem deduceret audientes, qui prius ad eam, quæ ſub ſenſum cadebat, humanam vilitatem reſpiciebant, libro Pſalmorum ſuo dictum il-
Pſal. 28. lud inſcripſit: Vox Domini ſuper aquas, vox Domini in magnificentia. Verùm teſtimoniis quidem, ex diuina ſcriptura in medium afferendis, hic finis eſto. (Progredietur enim oratio ad infinitam prolixitatem, ſi quis voluerit omnia ſigillatim electa vni libro mandare.) Vos autem omnes, qui dono regenerationis vobis placetis, ac pro gloria ſalutarem renouationem habetis, oſtendite mihi poſt myſticam gratiam morum immutationem, & in melius tranſformationis differentiam puritate vitæ inſtituti indicate. Nam nihil quidem ex iis rebus, quæ ſub oculos cadunt, immutatur, corporis item ſigna integra manent, eiuſque quæ videtur, naturæ figura non mutatur. Sed opus eſt aliqua prorſus euidenti demonſtratione, per quam agnoſcamus hominem recens natum, ſignis quibuſdam manifeſtis, nouum à vetere diſcernentes: hęc autem ſigna eſſe opinor eos, qui ſecundum propoſitum fiunt, animæ motus, per quos ſeſe ſegregans à vetere

A καὶ ἡ τιμὴ δὲ τοῦ Καρμήλου δίδοται τῇ ψυχῇ τῇ ἐχούσῃ τὴν ὁμοίωσιν πρὸς τὴν ἔρημον· τουτέστιν ἡ διὰ τοῦ πνεύματος χάρις. ἐπειδὴ γὰρ Ἠλίας μὲν ᾤκει τὸν Κάρμηλον (ὀνομαστὸν δὲ τὸ ὄρος ἐγένετο διὰ τὴν τοῦ ἐνοικήσαντος ἀρετὴν καὶ ἀοίδιμον) ὁ δέ γε Ἰωάννης ὁ Βαπτιστὴς ἐν τῷ πνεύματι Ἠλιοὺ διαλάμπων, τὸν Ἰορδάνην ἡγίαζε· διὰ τοῦτο ὁ προφήτης ἐθέσπιζε, τὴν τιμὴν τοῦ Καρμήλου τῷ ποταμῷ δοθήσεσθαι. καὶ τὴν δόξαν δὲ τοῦ Λιβάνου, ἐκ τῆς παραβολῆς τῶν ὑψηλῶν δένδρων, ἐπὶ τὸν ποταμὸν
B μετήνεγκεν. ὡς γὰρ ἐκεῖνος ὁ Λίβανος ἱκανὴν ἔχει θαύματος ἀφορμὴν, αὐτὰ τὰ δένδρα ἃ φύει καὶ τρέφει· οὕτως ὁ Ἰορδάνης δοξάζεται, ἀνθρώπους ἀναγεννῶν καὶ φυτεύων ἐν τῷ τοῦ Θεοῦ παραδείσῳ· ὧν κατὰ τὴν ψαλμικὴν φωνὴν ἀνθούντων ἀεὶ καὶ ταῖς ἀρεταῖς κομώντων, τὸ μὲν φύλλον οὐκ ἀποῤῥυήσεται, τὸν δὲ καρπὸν ἐν καιρῷ δεξάμενος ὁ Θεὸς εὐφρανθήσεται, ὡς ἀγαθὸς φυτοκόμος τοῖς ἰδίοις ἔργοις ἐπαγαλλόμενος. ὁ δὲ θεσπέσιος Δαβὶδ καὶ τὴν φωνὴν προφητεύων, ἣν ἐξ οὐρανῶν ὁ πατὴρ ἐπαφῆ-
C κε τῷ υἱῷ βαπτιζομένῳ, ἵνα πρὸς τὸ φυσικὸν τῆς θεότητος ἀξίωμα τοὺς ἀκούοντας ὁδηγήσῃ, πρὸς τὸ αἰσθητὸν τέως τὸ κατὰ τὸν ἄνθρωπον εὐτελὲς βλέποντας, ἐνέγραψεν ἐκεῖνο τῇ βίβλῳ· τὸ φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων, φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ. ἀλλὰ ταῖς μὲν ἐκ τῆς θείας γραφῆς μαρτυρίαις, μέχρι τούτου παυστέον· χωρήσει γὰρ ὁ λόγος εἰς πλῆθος ἄπειρον, εἴ τις βουληθῇ τὰ καθέκαστον ἐκλέγων ἑνὶ παραθέσθαι βιβλίῳ. ὑμεῖς δὲ πάντες, ὅσοι τῷ δώρῳ τῆς παλιγγενεσίας ἐγκαλλωπίζεσθε, καὶ καύχημα φέρετε ἀνακαινισμὸν τὸν σωτήριον· δείξατέ μοι μετὰ τὴν
D μυστικὴν χάριν τὴν τῶν τρόπων ἐναλλαγὴν, καὶ τὴν ἐπὶ τὸ κρεῖττον μετακοσμήσεως τὴν διαφορὰν τῇ καθαρότητι τῆς πολιτείας γνωρίσατε. τῶν μὲν γὰρ ὑποπιπτόντων τοῖς ὀφθαλμοῖς, οὐδὲν ἀλλοιοῦται. οἱ δὲ τοῦ σώματος χαρακτῆρες μένουσιν ἀμετάβλητοι, καὶ ἡ τῆς ὁρωμένης φύσεως διάπλασις οὐκ ἀμείβεται. χρεία δὲ πάντως τινὸς ἐναργοῦς ἀποδείξεως, δι' ἧς ἐπιγνωσόμεθα τὸν ἀρτίτοκον ἄνθρωπον, συμβόλοις τισὶ φανεροῖς τὸν νέον ἀπὸ τοῦ παλαιοῦ διακρίνοντες. ταῦτα δὲ οἶμαι τυγχάνειν τὰ κατὰ πρόθεσιν τῆς ψυχῆς κινήματα, ἀφ' ὧν ἑαυτὴν χωρίζουσα τῆς παλαιᾶς

συνηθείας, νεωτέραν δὲ τέμνουσα τῆς πολιτείας ὁδόν, διδάξει σαφῶς τοὺς γνωρίμους, ὡς ἄλλη τις ἐξ ἄλλης γεγένηται, οὐδὲν τῆς παλαιᾶς ἐφελκομένη γνώρισμα. ἔστι δὲ οὗτος τῆς μεταποιήσεως ὁ τρόπος· ἐάν μοι πεισθέντες τὸν λόγον ὡς νόμον φυλάξητε. ἦν ὁ πρὸ τοῦ βαπτίσματος ἄνθρωπος, ἀκόλαστος, πλεονέκτης, ἅρπαξ τῶν ἀλλοτρίων, λοίδορος, ψεύστης, συκοφάντης, καὶ εἴ τι τούτοις ὅμοιον καὶ ἀκόλουθον· γενέσθω νῦν κόσμιος, σώφρων, ἀρκούμενος τοῖς ἰδίοις, καὶ ἐκ τούτων τοῖς ἐν πενίᾳ μεταδιδούς, φιλαλήθης, τιμητικός, εὐπροσήγορος, πᾶσαν ἁπλῶς ἐπαινουμένην πρᾶξιν ἀσκῶν. ὡς γὰρ τῷ φωτὶ τὸ σκότος λύεται· καὶ ἀφανίζεται τὸ μέλαν ἐπιχρισθείσης λευκότητος· οὕτω καὶ ὁ παλαιὸς ἄνθρωπος τοῖς τῆς δικαιοσύνης ἔργοις ἐπικοσμηθεὶς ἀφανίζεται. ὁρᾷς ὅπως καὶ ὁ Ζακχαῖος τῇ μεταβολῇ τοῦ βίου τὸν τελώνην ἀπέκτεινεν, τοῖς μὲν τοῖς ζημιωθεῖσιν ἀδίκως τετραπλῆν ἐπάγων τὴν ἀπόδοσιν· ἐμέριζε δὲ τοῖς πτωχοῖς τὰ κατάλοιπα, ἃ πρότερον παρὰ τῶν πτωχῶν θλιβομένων κακῶς ἐθησαύρισεν. εὐαγγελιστὴς ὁ Ματθαῖος ἄλλος τελώνης, ὁμότεχνος τοῦ Ζακχαίου, εὐθέως μετὰ τὴν κλῆσιν ὥσπερ τι προσωπεῖον ἤμειψε τὸν βίον. διώκτης ὁ Παῦλος· ἀλλὰ μετὰ τὴν χάριν ἀπόστολος, βαρείας φέρων τὰς ἁλύσεις ὑπὲρ Χριστοῦ, εἰς ἀπολογίαν καὶ μετάνοιαν τῶν ἀδίκων δεσμῶν· ἃ παρὰ τοῦ νόμου ποτὲ λαβὼν κατὰ τῶν εὐαγγελίων ἐβάστασε. τοιαύτην προσήκει εἶναι τὴν ἀναγέννησιν· οὕτως ἐξαλείφειν τὴν πρὸς τὴν ἁμαρτίαν συνήθειαν· οὕτως πολιτεύεσθαι τοὺς υἱοὺς τοῦ Θεοῦ. τέκνα γὰρ ἐκείνου μετὰ τὴν χάριν ἀκούομεν. καὶ διὰ τοῦτο προσήκει ἀκριβῶς ἐπισκέπτεσθαι τὰ τοῦ γεννήτορος ἡμῶν ἰδιώματα· ἵνα πρὸς ὁμοιότητα τοῦ πατρὸς ἑαυτοὺς μορφοῦντες καὶ σχηματίζοντες, γνήσιοι φαινώμεθα παῖδες τοῦ πρὸς τὴν εἰσποίησιν ἡμᾶς τὴν κατὰ χάριν καλέσαντος. φαῦλον γὰρ κατηγόρημα ὁ νόθος καὶ ὑποβολιμαῖος, τὴν πατρικὴν εὐγένειαν ἐπὶ τῶν ἔργων ψευδόμενος. διό μοι δοκεῖ καὶ αὐτὸς ὁ κύριος ἐν εὐαγγελίοις τοὺς τοῦ βίου κανόνας διατάττων ἡμῖν, ἐκείνοις χρῆσθαι πρὸς τοὺς μαθητευομένους τοῖς λόγοις, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, προσεύχε-

A conſuetudine, ac nouum vitæ inſtituti iter ingrediens, apertè familiares docebit, quod alia quædam ex alia facta ſit, nullum poſt ſe veteris nequitiæ veſtigium ac ſignum relinquens. Eſt autem hic transformationis modus, ſi mihi credentes orationem pro lege ſeruaueritis. Erat ante baptiſma homo proteruus, auarus & fraudator, raptor rerum alienarum, conuitiator & maledicus, mendax, calumniator, ac ſi quod his ſimile (vitium) eſt & affine. Sit nunc modeſtus, ſobrius, ſuis contentus, & ex his paupertate conflictantibus impartiens, B veritatis ſtudioſus, honorem libenter aliis deferens, comis & affabilis: vt ſummatim dicam, omnem laude dignam actionem exercens. Vt enim aduentante luce, tenebræ diſcutiuntur, & albo colore illito atramentum aboletur: ita etiam vetus homo iuſtitiæ operibus exornatus aboletur. Vides vt etiam Zacchæus mutatione vitæ inſtituti publicanum occidit, iis, qui damnum iniuria acceperant, quadruplum eius quod amiſerant, reponens: diſtribuit item pauperibus reliqua, quæ prius à pauperibus malè extorta collegerat. C Euangeliſta Matthæus alius publicanus eundem cum Zacchæo quæſtum faciens, eandémque artem exercens, ſtatim poſt vocationem tanquam perſonam quandam vitæ mutauit inſtitutum. Perſequutor (erat) Paulus, ſed poſt gratiam Apoſtolus, graues (illas) ferens pro Chriſto catenas ad pœnitentiam & purgationem iniuſtorum vinculorum, quæ cùm aliquando accepiſſet à lege, aduerſus Euangelia portabat. Talem conuenit eſſe regenerationem, ita abolere oportet conſuetudinem cum peccato, ita filios Dei in vita ſeſe gerere decet: filij enim illius D poſt gratiam vocamur. Atque idcirco exactè conuenit inſpicere genitoris noſtri proprietates, vt ad ſimilitudinem patris noſmet formantes & affingentes, veri, iuſtique ac legitimi filij fiamus eius, qui nos ad adoptionem, quæ per gratiam contingit, vocauit. Graue enim probrum eſt, adulterinus, ſpurius & ſubdititius, qui factis ſuis paternam nobilitatem fallat atque ludificetur: propterea mihi videtur etiam ipſe Dominus in Euangeliis viuendi regulas nobis præſcribens, illis ad diſcipulos vti verbis: Benefacite odio proſequentibus vos, orate pro iis, qui lædunt &

Luc. 19. Matth. 9. Luc. 5. Act. 9. Matth. 5.

perſequuntur vos: vt ſitis filij patris A veſtri, qui eſt in cœlis, quoniam ſolem ſuum exoriri ſinit ſuper malos & bonos, & pluuiam mittit ſuper iuſtos & iniuſtos. Filios enim tunc fieri dicit, cùm ſimilitudinem paternæ bonitatis, humanitatem erga populares & proximos præſtando, ſenſibus ſuis & cogitationibus impreſſerint. Idcirco etiam poſt adoptionis dignitatem, diabolus nobis vehementius inſidiatur, inuido oculo contabeſcens, dum recens nati hominis feſtinantis ad cœleſtem rempublicam, vnde ille excidit, pulchritudinem intuetur, & acerbas nobis ac vehementes B excitat tentationes, ſecundum quoque ornamentum ſicuti priorem ornatum auferre ſtudens. Verùm vbi ſenſerimus

Rom. 6. eius incurſus, conuenit Apoſtolicum dictum nobiſmetipſis ſubijcere: Quicumque in Chriſtum baptizati ſumus, in mortẽ ipſius baptizati ſumus. Quòd ſi conformes morti facti ſumus, mortuũ prorſus deinceps in nobis peccatum eſt, lancea baptiſmatis, ſicut ille ſcortator à Phineeſo zelote, qui ſtudio atq; amore

Num. 25. Dei flagrabat, expulſum. Fuge igitur à nobis execrãde atq; infauſte, mortuum enim ſpoliare vis, qui olim ſe tibi con- C iunxerat, qui propter voluptates olim ſenſum amiſerat: mortuus corpora non amat: mortuus non capitur diuitiis: mortuus non calumniatur: mortuus non mentitur, non rapit ea, quæ ad ſe non pertinent: non conuitiatur ſibi obuiam factis: aliam vitæ regulam, aliam morum inſtitui normã, didici res mundanas contemnere, terrena prætercurrere, & ad cœleſtia feſtinare, quemad-

Galat. 6. modum etiam Paulus palàm ac diſertè teſtatur, quòd mundus ſibi, & ipſe mundo crucifixus eſſet. Hæc animæ verè regeneratæ verba: hæ recens initiati hominis voces, proprium pactum memo- D ria tenentis, quòd pactum in traditione myſterij cum Deo fecit, cùm omnem & pœnam, cruciatum & voluptatem pro illius dilectione ſe neglecturũ eſſe promiſit. Atque hæc quidem ad ſacrum diei argumẽtum: quem diem in orbem ſtatis circuitibus annus actus ad nos retulit, dicta ſufficiant. Haud alienum deinceps fuerit, vt ad eum, qui tantum nobis donum benignè largitus eſt, conuerſo ſermone, hoc modo finem dicen-

A ρὰ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων· ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. υἱοὺς γὰρ τότε γίνεσθαι λέγει, ὅταν τῆς πατρικῆς ἀγαθότητος τὴν ὁμοίωσιν ἐν τῇ πρὸς τοὺς ὁμοφύλους φιλανθρωπίᾳ τοῖς οἰκείοις λογισμοῖς ἐντυπώσωνται. Διὰ τοῦτο καὶ μετὰ τὸ τῆς υἱοθεσίας ἀξίωμα, καὶ ὁ διάβολος ἡμῖν ἐπιβουλεύει σφοδρότερον· βασκάνῳ τηκόμενος ὀφθαλμῷ, ὅταν βλέπῃ τοῦ νεογενοῦς ἀνθρώπου τὸ κάλλος, σπεύδοντος πρὸς τὴν ἐπουράνιον πο- B λιτείαν, ἀφ' ἧς ἐκεῖνος ἐξέπεσε· καὶ πυρώδεις ὑμῖν ἐπεγείρει τοὺς πειρασμοὺς, συλῆσαι σπουδάζων καὶ τὴν δευτέραν ἐπικόσμησιν, ὡς τὸν κόσμον τὸν πρότερον. ἀλλ' ὅταν αἰσθώμεθα τῆς ἐκείνου προσβολῆς· προσήκει τὴν ἀποστολικὴν ῥῆσιν ἑαυτοῖς ἐπιλέγειν· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. εἰ δὲ σύμμορφοι τοῦ θανάτου γεγόναμεν· νεκρὰ πάντως λοιπὸν ἐν ἡμῖν ἡ ἁμαρτία, τῷ σιρομάστῃ διελαθεῖσα τοῦ βαπτίσματος, ὡς ὁ πόρνος ἐκεῖνος παρὰ ζηλωτοῦ τοῦ Φινεές. φεῦγε τοίνυν ἀφ' C ἡμῶν, δυσώνυμε· νεκρὸν γὰρ θέλεις συλεύειν, τὸν πάλαι σοι συνταξάμενον, τὸν ἀπολέσαντα πάλαι πρὸς τὰς ἡδονὰς τὰς αἰσθήσεις. νεκρὸς σωμάτων οὐκ ἐρᾷ, νεκρὸς οὐχ ἁλίσκεται πλούτῳ, νεκρὸς οὐ συκοφαντεῖ, νεκρὸς οὐ ψεύδεται, οὐχ ἁρπάζει τὰ μὴ προσήκοντα, οὐ λοιδορεῖται τοῖς προστυγχάνουσι. πρὸς ἄλλην μοι ζωὴν ὁ βίος ἐκανονίσθη· ἐπαιδεύθην τῶν ἐγκοσμίων καταφρονεῖν, τὰ γήινα παρατρέχειν, καὶ σπεύδειν πρὸς τὰ οὐράνια· καθὼς καὶ Παῦλος διαρρήδην μαρτύρεται· ὅτι κόσμος ἐκείνῳ ἐσταύρωται, κἀκεῖνος τῷ κόσμῳ. Ταῦτα ψυχῆς ἀληθῶς ἀνα- D γεννηθείσης τὰ ῥήματα· αὗται τοῦ νεοτελοῦς ἀνθρώπου φωναὶ, τοῦ μεμνημένου τῆς οἰκείας ὁμολογίας, ἣν ἐν τῇ παραδόσει τοῦ μυστηρίου πρὸς Θεὸν ἐποιήσατο, πάσης καὶ τιμωρίας καὶ ἡδονῆς ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης καταφρονεῖν ὑποσχόμενος. Ταῦτα μὲν οὖν αὐτάρκως πρὸς τὴν ἱερὰν τῆς ἡμέρας ὑπόθεσιν, ἣν ὁ κυκλωθεὶς ἐνιαυτὸς τεταγμέναις πρὸς ἡμᾶς ἤνεγκε περιόδοις. καλὸν δὲ λοιπὸν τῷ φιλανθρώπῳ τῆς τοσαύτης δωρεᾶς χορηγῷ προσαναπαῦσαι τὸν λόγον, φωνὴν ὀλίγην ὑπὲρ τῶν παρα-

ῥημάτων μεγάλων τὴν ἀμοιβὴν ἀντιπροσφέροντες. σὺ γὰρ ἀληθῶς ὑπάρχεις, δέσποτα, καθαρὰ καὶ ἀέναος τῆς ἀγαθωσύνης πηγή, ὃς ἀπεστράφης ἡμᾶς δικαίως, καὶ ἠλέησας φιλανθρώπως. ἐμίσησας, καὶ διηλλάγης· κατηράσω, καὶ ηὐλόγησας· ἐξώρισας τοῦ παραδείσου, καὶ πάλιν ἀνεκαλέσω· ἐξέδυσας τὰ φύλλα τῆς συκῆς τὴν ἀσχήμονα σκέπην, καὶ περιέβαλες ἱμάτιον πολύτιμον· ἤνοιξας τὸ δεσμωτήριον, καὶ ἀφῆκας τοὺς κατακεκριμένους· ἐρράντισας ὕδατι καθαρῷ, καὶ τῶν ῥύπων ἐκάθαρας. οὐκέτι καλούμενος παρὰ σοῦ ὁ Ἀδὰμ αἰσχυνθήσεται, οὐδὲ παρὰ τοῦ συνειδότος ἐλεγχόμενος ἐγκαλύψεται, ὑπὸ τῇ λόχμῃ τοῦ παραδείσου κρυπτόμενος. οὔτε μὴν ἡ φλογίνη ῥομφαία κυκλώσει τὸν παράδεισον, ἀπείργουσα τοῖς ἐγγίζουσι ποιοῦσα τὴν εἴσοδον· πάντα δὲ ἡμῖν τοῖς κληρονόμοις τῆς ἁμαρτίας μετεσκευάσθη πρὸς εὐφροσύνην· καὶ βατὸς μὲν ἀνθρώπῳ παράδεισος, καὶ οὐρανὸς αὐτός· συνηρμόσθη δὲ εἰς φιλίαν ἡ κτίσις, ἡ ἐγκόσμιός τε καὶ ὑπερκόσμιος, πάλαι πρὸς ἑαυτὴν στασιάζουσα· καὶ ἀγγέλοις οἱ ἄνθρωποι ἐγενόμεθα σύμφωνοι, τὴν ἐκείνων εὐσεβοῦντες θεολογίαν. διὰ δὲ ταῦτα πάντα, τὸν τῆς χαρᾶς ὕμνον ᾄσωμεν τῷ Θεῷ, ὃν στόμα τῷ πνεύματι κάτοχον πάλαι προφητικῶς ἐξεβόησεν· ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ μοι· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. κοσμήτωρ δὲ πάντως τῆς νύμφης ὁ Χριστός, ὁ ὤν, καὶ προών, καὶ ἐσόμενος, εὐλογητὸς νῦν καὶ εἰς τοὺς αἰῶνας, ἀμήν.

A di faciamus, exiguã vocem magnarum rerum compenſationis loco proferentes. Tu enim reuera Domine, purus ac perennis fons bonitatis es, qui iuſtè nos aduerſatus, ac benignè noſtri miſertus es, odio proſequutus & reconciliatus es: execratus es, & benedixiſti: exterminaſti ex paradiſo, & iterum reuocaſti: exuiſti nos foliis ficulneis, indecoro illo tegumento, & circumdediſti pallio pretioſo, aperuiſti carcerem, ac dimiſiſti condemnatos: aſperſiſti aqua pura, & à ſordibus mundaſti. Non ſi poſthac à te voce-
B tur Adam, erubeſcet, neque conſcientia coarguente, ſub luco paradiſi latens præ pudore ſe obuelabit; neque verò flammeus gladius paradiſum circumdabit, qui aditu accedentes prohibeat, & locum efficiat inacceſſum; ſed omnia nobis hæredibus peccati ad lætitiam traducta ſunt, ac paradiſus quidem atque ipſum adeò cœlum homini patet: creatura autem tam mundana, quàm ſupramundana olim inter ſe diſſidens ad amicitiam coiit, atque reconciliata eſt: & homines cum
C angelis illorum colentes theologiam concordes facti ſumus atque conſenſimus. Propter hæc igitur omnia, gaudij hymnum Deo canemus, quem os ſpiritu obſeſſum olim propheticè magna voce pronuntiauit: Exultet anima mea in Domino, induit enim me pallio ſalutari, & tunica lætitiæ circumdedit me, vt ſponſo adaptauit mihi mitram, & vt ſponſam exornauit me ornamento. Ornator autem ſponſæ prorſus eſt Chriſtus, qui eſt, & antè
D erat, & futurus eſt benedictus nunc & in ſæcula, Amen.

A

EIVSDEM IN SANCTVM PASCHA, ET DE TRIDVANO feſto Reſurrectionis Chriſti, Oratio.

Petro Franciſco Zino interprete.

SIQVA Patriarcharum benedictio diuino ſpiritu confirmata eſt, quòd in lege præmium vitam ex virtute inſtituentibus promiſſum, ſi quid veritatis veterum hiſtoriarum ænigmata portenderunt, ſi quid boni quod ſupra naturam ſit, prophetarum oracula prænuntiarunt, ea omnia hodierno munere continentur. Quo nobis non aliter, quàm ſi ſpectaculo nobis aliquo propoſito lumen vnum ex innumerabilibus facibus cõflatum præſtringeret aciem oculorum, omnis Chriſti benedictio tanquam lux per ſe fulgens, magnum hunc animis noſtris ſplendorem ex multis & variis ſcripturæ radiis prouenientem emittit. Licet enim ex ſingulis eius diuinis exemplis mutuum huiuſce celebritatis teſtimonium colligere. Quæris Abrahæ benedictionem? (*Geneſ. 26.*) præſentia contemplare, & habebis id, quod requiris. Cœli ſtellas non vides? Has, inquam, ſtellas, quæ nuper ex ſpiritu nobis exortæ, ſtatim cœlum Eccleſiam reddiderunt: ſtellarum enim radiis præclara virorum virtute pietatéque præſtantium gratia ſignificatur: quos ſi quis Abrahæ filios ex promiſſione natos cœli ſideribus ſimiles dixerit, à veritate non aberrabit. Moſem illum eximium admiraris, qui ſcientiæ cognitioníſque præſtantiæ res omnes à Deo procreatas comprehendit? ecce tibi primæ mundi procreationis ſabbatum, cui benedixit Deus. Ex illo ſabbato præſens hoc ſabbatum agnoſce, quietis hunc diem, cui ſupra dies alios Dominus benedixit. In hoc enim verè ab omnibus operibus ſuis Deus vnigenitus conquieuit, qui diuino ſalutis humanæ curandæ conſilio, cum per mortem carni quietem præbuiſſet, & in id, quod erat, per reſurrectionem reuertiſſet, quid-

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟ ἅγιον Πάσχα, καὶ περὶ τῆς τριημέρου προθεσμίας τῆς τοῦ Χριστοῦ ἀναστάσεως, λόγος.

Εἴ τις πατριαρχῶν εὐλογία θείῳ πνεύματι τὸ βέβαιον ἔχουσα, εἴ τι τῆς πνευματικῆς νομοθεσίας ἀγαθὸν δι' ἐπαγγελίας τοῖς κατορθοῦσιν ἐλπίζεται, εἴ τις διὰ τῶν ἰστορικῶν αἰνιγμάτων τῆς ἀληθείας προδιατύπωσις εἶναι πιστεύεται, εἴ τις προφητικὴ φωνὴ, τὰ ὑπὲρ φύσιν εὐαγγελίζεται, πάντα ἐκεῖνα τῆς παρούσης χάριτός εἰσι. καὶ ὥσπερ κατὰ τὸ προκείμενον τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα, ἓν φῶς περιαστράπτει τὴν ὄψιν ἐκ μυρίων λαμπάδων ἐρανιζόμενον, οὕτω πᾶσα ἡ τοῦ Χριστοῦ εὐλογία πυρσοῦ δίκην καθ' ἑαυτὴν λάμπουσα, τοῦτο ἡμῖν τὸ μέγα φῶς ἀπεργάζεται, τὸ ἐκ πολλῶν τε καὶ ποικίλων τῆς γραφῆς ἀκτίνων συγκεκερασμένον. ἔξεστι γὰρ λαβεῖν ἀφ' ἑκάστου τῶν θεοπνεύστων ἀποδειγμάτων τὸ τῆς παρούσης ἱερομηνίας κατάλληλον. ζητεῖς τὴν τοῦ Ἀβραὰμ εὐλογίαν; ἔχεις τὸ ζητούμενον εἰς τὰ παρόντα βλέπων. ὁρᾷς τὰ ἄστρα τοῦ οὐρανοῦ; ταῦτα λέγω τὰ ἄστρα, τὰ ἐκ τοῦ πνεύματος ἡμῖν ἀρτίως ἀνατείλαντα, καὶ οὐρανὸν ἀθρόως τὴν ἐκκλησίαν ποιήσαντα, ὧν ἡ τῆς ψυχῆς ἀστράπτουσα χάρις, ταῖς τῶν πυρσῶν ἀκτῖσι διασημαίνεται· καὶ ταῦτα τις εἰπὼν ὄντως τοῦ Ἀβραὰμ εἶναι τέκνα ἐξ ἐπαγγελίας αὐτῷ γεγεννημένα, τὰ τοῖς ἄστροις τοῦ οὐρανοῦ ὁμοιούμενα, τῆς ἀληθείας οὐχ ἁμαρτήσεται. καὶ θαυμάζεις τὸν ὑψηλὸν Μωϋσέα, τὸν πᾶσαν τὴν τοῦ Θεοῦ κτίσιν διαλαβόντα τῇ δυνάμει τῆς γνώσεως; ἰδού σοι τὸ τῆς πρώτης κοσμογενείας τὸ εὐλογημένον σάββατον. γνώριζον δι' ἐκείνου τοῦ σαββάτου, τοῦτο τὸ σάββατον, τὴν τῆς καταπαύσεως ἡμέραν· ἣν εὐλόγησεν ὁ Θεὸς ὑπὲρ τὰς ἄλλας ἡμέρας. ἐν ταύτῃ γὰρ κατέπαυσεν ἀληθῶς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὁ μονογενὴς Θεός, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας τῇ σαρκὶ σαββατίσας. καὶ εἰς ὃ ἦν πάλιν ἐπανελθών, διὰ τῆς ἀναστάσεως ἅπαν τὸ κείμενον

ἑαυτῷ συναναστήσας, ζωὴ, καὶ ἀνάστασις καὶ ἀνατολὴ καὶ ἡμέρα τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις γενόμενος. πλήρης τοι ἡ ἱστορία τῆς συγγενοῦς εὐλογίας. ὁ πατὴρ τοῦ Ἰσαὰκ ἐκείνου τοῦ ἀγαπητοῦ μὴ φειδόμενος, καὶ ὁ μονογενὴς προσφορὰ καὶ θυσία γενόμενος, καὶ ἀμνὸς ἀντὶ τούτου σφαγιαζόμενος. ἔξεστι γὰρ ἰδεῖν ἐν τῇ ἱστορίᾳ πᾶν τὸ τῆς εὐσεβείας μυστήριον. ὁ ἀμνὸς τοῦ ξύλου ἐξήρτηται ἐκ τῶν κεράτων κατεχόμενος. ὁ δὲ μονογενὴς βαστάζει ἐφ' ἑαυτοῦ τὰ τῆς ὁλοκαρπώσεως ξύλα. ὁρᾷς ὁ πάντα φέρων τῷ ῥήματι τῆς δυνάμεως, ὁ αὐτὸς καὶ τὸ φορτίον φέρει τῶν ἡμετέρων ξύλων, καὶ ὑπὸ τοῦ ξύλου ἀναβιβάζεται, βαστάζων ὡς Θεὸς, καὶ ἀμνὸς βασταζόμενος; οὕτως τοῦ ἁγίου πνεύματος τὸ μέγα μυστήριον τυπικῶς ἀμφοτέροις ἐπιμερισαμένου, τῷ τε ἠγαπημένῳ υἱῷ, καὶ τῷ συμπαραδειχθέντι προβάτῳ, ὥστε δειχθῆναι ἐν μὲν τῷ προβάτῳ τὸ τοῦ θανάτου μυστήριον, ἐν δὲ τῷ μονογενεῖ τὴν ζωὴν, τὴν μὴ διακοπτομένην τῷ θανάτῳ. εἰ δὲ βούλει καὶ αὐτὸν τὸν Μωϋσέα λαβεῖν τῇ τῶν χειρῶν ἐκτάσει τὸν σταυρὸν διαγράφοντα, καὶ ὡς τῷ σχήματι τούτῳ τὸν Ἀμαλὴχ καταστρεφόμενον, ἔξεστί σοι βλέπειν ἐν τῇ ἀληθείᾳ τὸν τύπον, καὶ τῷ σταυρῷ τὸν Ἀμαλὴχ ὑποπίπτοντα. ἔχεις καὶ τὸν Ἡσαΐαν, οὐ μικράν σοι πρὸς τὴν παροῦσαν συνεισφέροντα χάριν. παρ' αὐτοῦ γὰρ προεδιδάχθης τὴν ἀνύμφευτον μητέρα, τὴν ἀπάτορα σάρκα, τὴν ἀνώδυνον ὠδῖνα, τὸν ἀμόλυντον τόκον. οὕτως εἰπόντος τοῦ προφήτου. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθ' ἡμῶν ὁ Θεός. ὅτι δὲ ἀπόνως γέγονεν ἡ ὠδὶς, πρότερον μέν σε τὸ εἰκὸς διδαξάτω. ἐπειδὴ γὰρ πᾶσα ἡδονὴ συνημμένον ἔχει τὸν πόνον, ἀνάγκη πᾶσα ἐπὶ τῶν συνημμένως θεωρουμένων, τοῦ ἑνὸς μὴ ὄντος, μηδὲ τὸ ἕτερον εἶναι. ὅπου τοίνυν ἡδονὴ τοῦ τόκου οὐ καθηγήσατο, οὐδὲ ὁ πόνος ἐπηκολούθησεν. ἔπειτα δὲ καὶ ἡ τοῦ προφήτου λέξις βεβαιοῖ τὸν λόγον, ἔχουσα οὕτως· πρὶν εἰσελθεῖν τὸν πόνον τῶν ὠδίνων αὐτῆς ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν. ἢ, ὥς φησιν ἕτερος τῶν ἑρμηνέων, πρὶν ὠδινῆσαι, ἔτεκεν. ἐκ ταύτης, φησὶ, τῆς παρθένου μητρὸς, παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν. οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος, καὶ τὰ ἑξῆς. τοῦτο τὸ παιδίον, οὗτος ὁ υἱὸς, ὡς πρόβατον ἐπὶ

A quid iacebat ſecum exſuſcitans, vita, & *Eſa. 9.*
reſurrectio, & aurora, & mane, & dies in
tenebris & vmbra mortis degentibus
factus eſt. Simili benedictione hiſtoria
item referta eſt. Pater Iſaac dilecto fi- *Gen. 22.*
lio non parcens ſuo, & vnigenitus obla-
tio, & victima factus, & agnus loco il-
lius, qui immolabatur. Licet enim to-
tum in hac hiſtoria pietatis myſterium
intueri. Agnus è ligno cornibus hærens
pendebat. Vnigenitus autē holocauſti
ligna geſtabat. Cernis quo modo qui
cuncta fert verbo virtutis ſuæ, is & li-
gnorum noſtrorum fert onus, & ſuper
B lignum extollitur, ferens quidem vt
Deus, ſublatus autem tanquam agnus?
Sic enim Spiritus ſanctus vtraque re
magni myſterij figurā partitus eſt, cùm
dilecto filio, tum ſimul oſtenſo agno: vt
per agnum mortis ſacramentum ſigni-
ficaret, per vnigenitum autem vitam
morte non ereptam oſtenderet. Si vis
& Moſem ipſum conſiderare, manuum
extenſione crucem deſcribentem, eaq; *Exod. 17.*
forma Amalechitas in fugam verten-
tem, veritate figuram expreſſam, &
Amalech cruci cedētem animaduertes.
C Habes & Eſaiam, qui gratiam hodier-
nam non parum illuſtrat. Ab ipſo enim
matrem innuptam, ſine patre carnem,
ſine dolore puerperium, ſine labe par-
tum ante didiciſti. Sic enim loquitur
Propheta. Ecce virgo in vtero conci-
piet, & pariet filium: & vocabunt no- *Eſa. 7.*
men eius Emmanuel, quę vox ſignificat,
Nobiſcum Deus. Etenim ſine dolore
partum extitiſſe, ipſa rei æquitas te do-
cebit. Nam cùm omnis voluptas dolo-
rem coniunctum habeat, neceſſe eſt, vt
in iis, quæ ita copulata ſunt, cùm vnum
abeſt, alterum etiam abſit. Itaque cùm
D nulla cōcipiendi voluptas anteceſſerit,
ne pariendi quidem dolor eſt conſecu- *Eſa. 66.*
tus. Hoc autem Prophetæ verbis etiam
comprobatur, quæ ſic habent: Ante-
quam veniret dolor partus eius, effugit,
& peperit maſculum. Aut, quemadmo-
dum alius interpres ait: Antequam do-
lores ſentiret, peperit. Ex hac, inquit,
Virgine matre puer natus eſt nobis, & fi- *Eſa. 9.*
lius datus eſt nobis. Cuius imperiū ſuper
humerum eius, & vocatur nomen eius
magni conſilij Angelus, Deus fortis, po-
tens, princeps pacis, pater futuri ſæcu- *Eſa. 53.*
li. Hic puer, hic filius, vt ouis ad occi-

ſionem ductus eſt, & tanquam agnus coram tondente ſe, obmutuit. Vel potius, inquit Hieremias, hic eſt agnus ille manſuetus, qui ad victimam ducitur. Hic eſt ille panis, cui lignum
Hier. 11. inijciunt qui panis ligníque ſunt hoſtes. Imò verò illud è propheta, quod apertiſſimum, & clariſſimum eſt, &
Ione 1. quo myſterium planiſſimè declaratur, accipiamus, Ionæ nimirum exemplum, qui ſine offenſione in cetum ingreſſus, & ſine moleſtia rurſum egreſſus, cùm in eius viſceribus tribus diebus, & totidem noctibus permanſiſſet, Domini apud inferos commorationem
Matth. 22. indicauit. Hæc & horum ſimilia oportet ex ſingulis ſcripturæ locis indagare, atque ſeligere. Omnia enim illa ex præſentibus cernis. Et ex ho-
Ibidem. dierna lætitia, vt in Euangelio legimus, tota lex pendet, & prophetæ. Et, quemadmodum Paulus ait, omnis
2. Tim. 3. ſcripturæ, diuino Spiritu dictante exaratæ, legíſque ſumma in hac gratia concluditur. Hæc enim & malorum eſt finis, & bonorum principium. Nam exempli cauſa, mors regnauit ab Adam,
Rom. 5. imperij peſtiferi ducens initium, & impotens illius dominatus ad Moſem vſque permanſit, cum eius vis à lege minime reprimeretur. Venit vitæ regnum, & ſolutum eſt mortis imperium. Apparuit alia generatio, alia vita, alius viuendi modus, ipſius na-
Ioan. 1. turæ noſtræ commutatio. Quæ nam generatio? quæ non ex ſanguinibus, neque ex voluntate viri, neque ex voluntate carnis, ſed ex Deo facta eſt. Quînam, inquies, hoc fieri poteſt? Audi, nam paucis explicabo. Fœtus hic per fidem concipitur, per baptiſmatis regenerationem in lucem editur: nutricem habet Eccleſiam: huius doctrinam & inſtituta ſugit tanquam vbera: illi cœleſtis panis eſt cibus: ætatis perfectio eſt ſublimis viuendi ratio, nuptiæ conſuetudo ſapientiæ: liberi, ſpes: domus, regnum: hæreditas & opulentia, deliciæ paradiſi: finis non mors, ſed vita illa, quæ dignis parata eſt beatiſſima, & ſempiterna. Hoc in melius commutationis initium videns magnus ille Zacharias ambigit, quod illi nomen imponat, quomodo præſentem gratiam appellet.

A σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. μᾶλλον δὲ, ὥς φησιν Ἱερεμίας, τοῦτό ἐστι τὸ ἀρνίον τὸ ἄκακον, τὸ ἀγόμενον τοῦ θύεσθαι. οὗτος ὁ ἄρτος, ᾧ τὸ ξύλον ἐμβάλλουσιν, οἱ τοῦ ἄρτου καὶ τοῦ ξύλου πολέμιοι. μᾶλλον δὲ τὸ πάντων γνωριμώτερόν τε, καὶ φανερώτερον, ἐκ τοῦ προφήτου λάβωμεν, δι' οὗ περιγράφεται σαφῶς τὸ μυστήριον, τὸν Ἰωνᾶν λέγω, τὸν ἀπαθῶς κατὰ τοῦ κήτους καταδυόμενον, καὶ δίχα πάθους ἐκ τοῦ κήτους ἀναδυόμενον, τὸν τε τρισὶν ἡμέραις καὶ τοσαύταις νυξὶν ἐν τοῖς κητῴοις σπλάγχνοις, τὴν ἐν ᾅδου διατριβὴν τοῦ κυρίου προδιαγραψάμενος. ταῦτα καὶ τὰ τοιαῦτα δεῖ σε παρ' ἑκάστης
B γραφῆς ἀναζητεῖν καὶ ἐκλέγεσθαι. πάντα γὰρ ἐκεῖνα, διὰ τῶν παρόντων ὁρᾷς. καὶ ἐν τῇ παρούσῃ φαιδρότητι, ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται, καθώς φησί που τὸ εὐαγγέλιον. καὶ πᾶς θεόπνευστος λόγος καὶ νόμος ἐν ταύτῃ ἀνακεφαλαιοῦται τῇ χάριτι, κατὰ τὴν τοῦ Παύλου φωνήν. τοῦτο γάρ ἐστι, καὶ τῶν σκυθρωπῶν τὸ πέρας, καὶ τῶν ἀγαθῶν ἡ ἀρχή. οἷόν τι λέγω· ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ τῆς φθοροποιοῦ δυνάμεως λαβὼν τὴν ἀρχήν, ἀλλὰ καὶ μέχρι Μωϋσέως αὐτοῦ τὸ πονηρὸν κράτος διέμεινεν, οὐδὲν τοῦ νόμου τὴν κακὴν τοῦ θανάτου δυναστείαν
C ἐμβλυνάντος. ἦλθεν ἡ τῆς ζωῆς βασιλεία, καὶ κατελύθη τοῦ θανάτου τὸ κράτος. καὶ γέγονεν ἄλλη γέννησις, βίος ἕτερος, ἄλλο ζωῆς εἶδος, αὐτῆς τῆς φύσεως ἡμῶν μεταστοιχείωσις. τίνος ἡ γέννησις; οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ γενομένη. πῶς τοῦτο; σαφῶς σοι παραστήσω διὰ τοῦ λόγου τὴν χάριν. οὗτος ὁ τόκος, διὰ πίστεως κυοφορεῖται, διὰ τῆς τοῦ βαπτίσματος ἀναγεννήσεως εἰς φῶς ἄγεται. τροφὸς τού-
D του ἡ ἐκκλησία γίνεται· μαζὸς, τὰ διδάγματα· τροφὴ, ὁ ἄνωθεν ἄρτος· ἡλικίας τελείωσις, ἡ ὑψηλὴ πολιτεία· γάμος, ἡ τῆς σοφίας συμβίωσις· τέκνα, αἱ ἐλπίδες· οἶκος, ἡ βασιλεία· κλῆρος καὶ πλοῦτος, ἡ ἐν τῷ παραδείσῳ τρυφή. τέλος δὲ ἀντὶ θανάτου, ἡ ἀΐδιος ζωὴ, ἐν τῇ ἀποκειμένῃ τοῖς ἁγίοις μακαριότητι. ταύτην ὁρῶν καὶ ὁ μέγας Ζαχαρίας τὴν ἀρχὴν πρὸς τὸ ἀγαθὸν ἀλλοιώσεως, καὶ ἀμφιβάλλει, περὶ τῆς τοῦ ὀνόματος κλήσεως. τί χρὴ κυρίως προσειπεῖν τὴν ἐνεστῶσαν χάριν.

τὰ γὰρ

τὰ γὰρ ἄλλα τὰ περὶ τὸ πάθος θαύματα διεξελθὼν, καὶ τοῦτό φησι, περὶ τοῦ καιροῦ τούτου· ὅτι οὐχ ἡμέρα καὶ οὐχὶ νύξ. δι' ὧν ἐνδείκνυται, ὅτι ἡμέρα μὲν κληθῆναι, οὐ δύναται ἡλίου μὴ ὄντος, νὺξ δὲ οὐκ ἔστι τοῦ μηδὲ σκότος εἶναι. τὸ γὰρ σκότος ἐκάλεσεν ὁ Θεὸς νύκτα, καθώς φησι Μωϋσῆς. ἐπεὶ οὖν κατὰ μὲν τὸν χρόνον, νύξ· κατὰ δὲ τὸ φῶς ἡμέρα, τούτου ἕνεκεν φησὶν ὁ προφήτης, καὶ οὐχ ἡμέρα καὶ οὐχὶ νύξ. εἰ οὖν μήτε νὺξ κατὰ τὸν προφήτου λόγον ὁ καιρὸς οὗτός ἐστιν, ἄλλο τι παρὰ ταῦτα πάντως ἡ παροῦσα χάρις ἐστὶ καὶ ὀνομάζεται. βούλεσθε εἴπω ὃ ἐντεθύμημαι; αὕτη ἐστὶν ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἄλλη παρὰ τὰς ἐν ἀρχῇ ἐστὶν αὕτη.* ἐν ταύτῃ γὰρ ποιεῖ ὁ Θεὸς τῇ ἡμέρᾳ οὐρανὸν καινὸν, καὶ γῆν καινὴν, καθώς φησιν ὁ προφήτης. ποῖον οὐρανόν; τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως· ποίαν γῆν; τὴν ἀγαθὴν καρδίαν φημὶ, καθὼς εἶπεν ὁ κύριος, τὴν γῆν τὴν πίνουσαν τὸν ἐπ' αὐτῇ ἐρχόμενον ὑετὸν, καὶ τὴν πολύχουν στάχυν ἀδρύνουσαν, ἐν ταύτῃ τῇ κτίσει, ἥλιος μέν ἐστιν ὁ καθαρὸς βίος· ἄστρα δὲ, αἱ ἀρεταί· ἀὴρ δὲ, ἡ διαφανὴς πολιτεία· θάλασσα δὲ, τὸ βάθος ἐστὶ τοῦ πλούτου τῆς σοφίας τε καὶ γνώσεως· πόα καὶ βλαστήματα, ἡ ἀγαθὴ διδασκαλία καὶ τὰ θεῖα δόγματα, ἅπερ ὁ λαὸς τῆς νομῆς, τουτέστιν ἡ ποίμνη τοῦ Θεοῦ ἐπινέμεται. δένδρα δὲ ποιοῦντα καρπὸν, ἡ τῶν ἐντολῶν ἐργασία. ἐν ταύτῃ κτίζεται ὁ ἀληθινὸς ἄνθρωπος, ὁ κατ' εἰκόνα γινόμενος Θεοῦ καὶ ὁμοίωσιν. ἆρα σοι οὐ κόσμος γὰρ ἡ ἀρχὴ αὕτη, ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος; περὶ ἧς φησὶν ὁ προφήτης Ζαχαρίας, ὅτι οὔτε ἡμέρα κατὰ τὰς ἄλλας ἡμέρας, οὔτε νὺξ κατὰ τὰς ἄλλας νύκτας; καὶ οὔπω τὸ ἐξαίρετον τῆς παρούσης χάριτος ὁ λόγος ἐκήρυξεν. αὕτη ἔλυσε τὰς τοῦ θανάτου ὠδῖνας. αὕτη τὸν τῶν νεκρῶν πρωτότοκον ἐμαιεύσατο. ἐν ταύτῃ συνετρίβησαν αἱ σιδηραῖ τοῦ θανάτου πύλαι. ἐν ταύτῃ οἱ χαλκοῖ τοῦ ᾅδου μοχλοὶ συνεθλάσθησαν. νῦν ἀνοίγεται τοῦ θανάτου τὸ δεσμωτήριον. νῦν κηρύσσεται τοῖς αἰχμαλώτοις ἡ ἄφεσις. νῦν γὰρ τοῖς τυφλοῖς ἡ ἀνάβλεψις. νῦν τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, ἡ ἐξ ὕψους ἀνατολὴ ἐπεσκέψατο. βούλεσθέ τι καὶ περὶ τῆς τριημέρου προθεσμίας μαθεῖν; ἀρκεῖ τοσοῦτον μαθεῖν, ὅτι ἐν οὕτω ὀλίγῳ τῷ χρονικῷ διαστήματι, ἤρκεσεν ἡ παντοδύναμος σοφία

A Etenim cùm ea, quæ ad cruciatus mortémque pertinent, percurriſſet, de tempore hoc, Neque dies, inquit, neque nox. Quibus verbis oſtendit, neque diem, cùm ſol non adſit, vocari poſſe, neque noctem, cùm abſint tenebræ, quas Deus, vt Moſes ſcribit, noctem nominauit. Quamobrem, cùm & nox tenebris, & dies ſole præſcribatur, Propheta, Neque dies, inquit, neque nox. *Gen. 1.* Quòd ſi neque nox, neque dies, tempus hoc dici poteſt, alio nomine profectò præſens gratia eſt appellanda. Vultis exponam vobis, quid ipſe ſentiam? B Hæc eſt dies illa, quam fecit Dominus, à diebus illis longè diuerſa, qui mundi procreationis initio ſunt conſtituti, [quos temporis curſus dimetitur. Alterius hęc eſt procreationis initium.] *Pſ. 117.* In hac enim die cœlum nouum facit Deus & terram nouam, vt ait Propheta. Ecquod cœlum? firmamentum eius, quæ in Chriſto eſt fidei. *Eſa. 65.* Ecquam terram? cor bonum, inquam, vt dixit Dominus, terrã quæ bibit ſuper ſe venientem imbrem, & ſpicam multiplicem parit. *Leuit. 8.* In hac creatione, ſol quidem eſt C vita munda, ſtellæ virtutes, aër præclara conuerſatio, mare altitudo diuitiarum, ſapientiæ & ſcientiæ; herbæ & germina, bona doctrina, diuinâque documenta, quæ populus paſcuæ, hoc eſt, Dei grex carpit, atque depaſcitur; arbores ferentes fructum, mandatorum obſeruatio. *Eſa. 61.* In hac die verus homo procreatur ad imaginem, & ſimilitudinem Dei. Annon mundus tibi fit hoc principium, hæc dies, quam fecit Dominus? Quam neque diem eſſe dicit Propheta diebus aliis, neque noctem aliis noctibus ſimilem? Sed quod D in hac gratia præſtantiſſimum eſt, nondum explicauimus. Hæc mortis dolores diſſoluit. Hæc mortuorum primogenitum edidit. In hac ferreę mortis portæ confractæ ſunt. In hac æręi inferorum vectes comminuti. Nunc mortis carcer aperitur. *Hebr. 6.* Nunc captiuis libertas denuntiatur. Nunc cæcis videndi facultas præbetur. *Luc. 1.* Nunc oriens ex alto inuiſit eos qui in tenebris & vmbra mortis conſidebant. *Eſa. 9.* Vultis etiam de tridui præfinito termino aliquid intelligere? Illud dixiſſe contenti ſimus, tam exiguum temporis ſpatium fuiſſe ſatis, vt omnipotens ſapientia

in corde terræ exiſtens magnam illam mentem in eo habitantem ſtultam redderet. *Eſa. 10.* Sic enim illum nominat Propheta, magnam mentem illum & Aſſyrium appellans. Quoniam igitur domicilium quoddam mentis eſt cor; in eo enim principatus animi eſſe creditur: idcirco Dominus manet in corde terræ, vbi eſt mentis illius cœleſte domicilium, vt conſilium eius ſtultum reddat, *Eſa. 19.* vt ait Propheta, & apprehendat ſapientes *Iob 5.* in aſtutia eorum, & ſapientes ipſorum conatus in cõtrarium vertat. Nam quia fieri non poterat, vt princeps tenebrarum meram lucis præſentiam attingeret, niſi partem aliquam carnis in ipſa conſpexiſſet, idcirco, poſteaquam diuinam carnem vidit, & res admirandas, quæ per ipſam à Diuinitate efficiebantur, aſpexit, ſperauit, ſe, ſi morte carnem affeciſſet, omnem etiam virtutem, quæ in ipſa erat, ſuperaturum. Itaque dum inhians ad carnis eſcam aſpirat, Diuinitatis hamo transfixus eſt, atque ita draco per hamum ductus eſt, *Iob. 40.* vt ait Iob, qui per ſe, quod futurum erat, prænuntians, Hamo, inquit, draconem duces. Audiamus autem à Propheta, quænam erant ea, quæ cor iſtud terræ aduerſus vniuerſum inibat cõſilia, cùm aduerſus Domini carnem fauces aperuit. *Eſa. 10.* Quid in eum dicit Eſaias, illius redarguens cogitata? Tu dixiſti in corde tuo, In cœlum aſcendam, ſuper aſtra cœli ponam ſolium meum, (ſedebo in monte excelſo,) ſupra nubes conſcendam, & ero ſimilis altiſſimo. Hæc ſecum ſceleratum cor cogitabat. Antè verò, quid magna illa mens in malitia, quid improbus ille Aſſyrius ſecum ipſe loqueretur, ex Eſaiæ item verbis intelligamus; *Ibidem.* Dixi, Fortitudine manus meæ faciam, & prudentia ſapientiæ meæ terminos gentium auferam, & fortitudinem eorum prædabor, & concutiam vrbes habitatas, & orbem terrarum vniuerſam tanquam nidum comprehendam, & tanquam oua derelicta tollam, & non erit, qui effugiat me, aut contradicat mihi. Hac ille ſpe deceptus eum, qui propter ſuam erga genus humanum beneuolentiam in terris nobiſcum verſabatur, in ſe ſuſcepit. Verum quænam illi eorum loco, quæ ſperabat euenerint, Propheta calamita-

A ἐν τῇ καρδίᾳ τῆς γῆς γενόμενος ὁ κύριος, τὸν μέγαν ἐκεῖνον νοῦν τὸν ἐν αὐτῇ διαιτώμενον καταμωρᾶναι. οὕτω γὰρ ὁ προφήτης αὐτὸν κατονομάζει, μέγαν νοῦν αὐτὸν ἀποκαλῶν καὶ Ἀσσύριον. ἐπεὶ οὖν οἰκία τίς ἐστι τοῦ νοῦ ἡ καρδία· ἐν ταύτῃ γὰρ τὸ ἡγεμονικὸν εἶναι πιστεύεται· διὰ τοῦτο γίνεται ἐν τῇ καρδίᾳ τῆς γῆς ὁ κύριος, ἥ τις ἐστὶ τοῦ νοὸς ἐκείνου οὐράνιον ἐνδιαίτημα, ὥστε τὴν βουλὴν αὐτοῦ μωρᾶναι, καθὼς ὁ προφήτης φησὶ, καὶ δράξασθαι τῶν σοφῶν ἐν τῇ πανουργίᾳ αὐτῶν, καὶ περιτρέψαι αὐτῶν πρὸς τὸ ἐναντίον τὰ σοφὰ ἐγχειρήματα. ἐπειδὴ γὰρ ἀμήχανον ἦν τὸν ἄρχοντα τοῦ σκότους ἀκράτῳ προσομιλῆσαι B τῇ τοῦ φωτὸς παρουσίᾳ, μὴ σαρκός τινα μοῖραν θεωρήσαντα ἐν ἑαυτῷ· διὰ τοῦτο ὡς εἶδε τὴν θεοφόρον σάρκα, εἶδε δὲ καὶ τὰ παρ' αὐτῆς ἐνεργούμενα τῆς θεότητος θαύματα, ἤλπισεν εἰ τῆς σαρκὸς διὰ τοῦ θανάτου κρατήσει, καὶ πάσης τῆς ἐν αὐτῇ κρατήσειν δυνάμεως. καὶ τούτου χάριν τὸ τῆς σαρκὸς δέλεαρ περιχανών, τῷ τῆς θεότητος ἀγκίστρῳ περιεπάρη, καὶ οὕτως ἤχθη ὁ δράκων διὰ τοῦ ἀγκίστρου, καθὼς φησιν ὁ Ἰὼβ, ὁ προαναφωνήσας δι' αὐτοῦ τὸ ἐσόμενον· λέγων ὅτι ἄξεις τὸν δράκοντα ἐν ἀγκίστρῳ. ἀκούσωμεν δὲ παρὰ τῆς τοῦ προφήτου φωνῆς· τίνα ἦν, ἃ C ἡ καρδία τῆς γῆς αὕτη κατὰ τοῦ παντὸς βουλεύσατο, ὅτε κατὰ τῆς σαρκὸς τοῦ κυρίου τὸ στόμα ἤνοιξε. τί λέγει πρὸς αὐτὸν Ἡσαΐας ἐλέγχων αὐτόν; σὺ εἶπας ἐν τῇ καρδίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν νεφελῶν θήσω τὸν θρόνον μου, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. ταῦτα ἡ πονηρὰ καρδία καθ' ἑαυτῆς ἐβουλεύσατο. καὶ ἔτι πρὸ τούτων, ὁ μέγας ἐν κακίᾳ, νοῦς ὁ πονηρὸς Ἀσσύριος, οἷα πρὸς αὐτὸν διεξῄει, ἀκούσωμεν πάλιν ἐκ τῆς Ἡσαΐου φωνῆς, ἃ εἶπε, D τῇ ἰσχύϊ τῆς χειρός μου ποιήσω· καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. μετὰ ταύτης τῆς ἐλπίδος δέχεται ἐν ἑαυτῷ τὸν διὰ φιλανθρωπίαν τοῖς κάτω ἐπιδημήσαντα. τί δὲ αὐτῷ ἀπὸ τῶν ἐλπισθέντων γίνεται, διηγεῖται σαφῶς ἐν

προφητεία τὸ κατ' ἐκείνου πάθος λέγουσα. πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος; πῶς συνετρίβη ἐπὶ τὴν γῆν, ᾧ ὑπεστρώθη ἡ σῆψις; ᾧ ἔνδυμα γίνεται ἡ περιβολὴ τῶν σκωλήκων, καὶ ὅσα ἄλλα περὶ τοῦ ἀφανισμοῦ αὐτοῦ διεξέρχεται, ἅπερ ἔξεστι τῷ βουλομένῳ ἐξ αὐτῶν τῶν γεγραμμένων δι' ἀκριβείας μαθεῖν· ἐμοὶ δὲ πρὸς τὸν σκοπὸν ἐπανακτέον τὸν λόγον. Διὰ τοῦτο γίνεται ἡ ἀληθινὴ σοφία, ἐν τῇ μεγαλορρήμονι ταύτῃ καρδίᾳ τῆς γῆς, ἵνα ἐξαφανίσῃ ἐξ αὐτῆς τὸν μέγαν ἐν κακίᾳ νοῦν, καὶ φωτισθῇ τὸ σκότος, καὶ καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς, καὶ τὸ κακὸν εἰς ἀνυπαρξίαν μεταχωρήσῃ, τοῦ ἐσχάτου ἐχθροῦ καταργηθέντος, ὅς ἐστιν ὁ θάνατος. Ταῦτά σοι ἡ τριήμερος προθεσμία κατείργασται. μὴ βραδεῖα σοι ἡ χάρις; μὴ δι' ἄκρας περιόδου τοσοῦτον ἀγαθὸν κατώρθωται; βούλει γνῶναι τὸ ὑπερβάλλον τῆς δυνάμεως, τῶν ἐν οὕτω βραχεῖ χρόνῳ κατορθωθέντων; ἀρίθμησόν μοι πάσας τὰς μεταξὺ γενεὰς τῶν ἀνθρώπων, ἀπὸ τῆς πρώτης τῶν κακῶν εἰσόδου καὶ μέχρι τῆς ἀναλύσεως, πόσοι καθ' ἑκάστην γενεὰν ἄνθρωποι ἐν πόσαις ἀριθμούμενοι μυριάσιν. ἀδύνατόν ἐστιν ἀριθμῷ διαληφθῆναι τὸ πλῆθος, ὧν ἐν ταῖς διαδοχαῖς ἡ κακία συνεπλατύνετο, καὶ ὁ κακὸς τῆς πονηρίας πλοῦτος εἰς τοὺς καθ' ἕκαστον μεριζόμενος, δι' ἑκάστου μείζων ἐγίνετο, καὶ οὕτω πολυγονοῦσα συνδιεξῄει ταῖς ἀεὶ ἐπιγινομέναις γενεαῖς ἡ κακία χεομένη τῷ πλήθει πρὸς ἄπειρον, ἕως εἰς τὸ ἀκρότατον τοῦ κακοῦ προελθοῦσα, πάσης κατεκράτησε τῆς ἀνθρωπίνης φύσεως, οὕτω τοῦ προφήτου καθολικῶς ἀποφηναμένου· ὅτι πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν, καὶ οὐκ ἦν ἐν τοῖς οὖσιν οὐδὲν, ὃ μὴ κακίας ὄργανον ἦν. τὴν οὖν τοσαύτην τοῦ κακοῦ σωρείαν τὴν ἀπὸ καταβολῆς κόσμου μέχρι τῆς κατὰ τὸ πάθος τοῦ κυρίου οἰκονομίας συναθροισθεῖσαν, ὁ ἐν τρισὶ διαχέας ἡμέραις, μακρὰν σοι πεποίηται τῆς ὑπερβαλλούσης δυνάμεως τὴν ἐπίδειξιν; ἢ οὐχὶ πασῶν τῶν ἐν ταῖς ἱστορίαις θαυματοποιιῶν ἰσχυροτέραν; ὥσπερ γὰρ πλεονάζει τοῦ Σαμψὼν τὸ θαῦμα, οὐ κατὰ τὸ κατισχῦσαι μόνον τοῦ λέοντος, ἀλλὰ καὶ τὸ ἄπονον αὐτὸν διαχειρίσασθαι γυμναῖς

A tem ipſius declarans apertè ſignificat, quomodo, inquiens, cecidit è cœlo Lucifer, qui manè oriebatur? Quomodo contritus eſt in terram? ſuper *Eſa. 14.* eum ſtrata eſt putredo, indumentum ipſius eſt vermium operimentum. Et cætera, quibus interitus eius deſcribitur, quæ cuilibet licet ex Prophetæ ſcriptis intelligere: mihi enim ad propoſitum redeundum eſt. Ob id igitur vera ſapientia in arroganti corde terræ verſatur, vt magnam illam in malitia mentem deleat, vt tenebræ diſcutiantur à luce, vt, quod mortale eſt, ab-
B ſorbeatur à vita, & extremo inimico, morte nimirum, deſtructo, malum euertatur. Hæc tibi præſcripto tridui ſpatio confecta ſunt. *1. Cor. 15.* Num tarda videtur hæc gratia? Num nimis longo interuallo tantum bonum partum eſt? Vis eximiam virtutem agnoſcere, qua tam exiguo temporis ſpatio hæc geſta ſunt? Omnes mihi hominum ætates enumera, quæ iam inde ab ipſo primo malorum ortu vſque ad eorum interitum extiterunt: quot ſingulis ætatibus homines, quàm multa cunctis ætati-
C bus hominum millia fuerunt: Iniri ne poterit numerus multitudinis eorum, per quos malitia iure quodammodo hæreditario ſic propagata eſt, vt malæ improbitatis diuitiæ in ſingulos diſpertitæ ſingulorum ſtudio, & opera auctæ ſint, atque ita fœcunda malitia ætatibus ordine ſuccedentibus perfuſa creuerit in infinitum, donec ad ſummum mali cumulum perueniens totam naturam humanam occupauit? Sic *Pſal. 13.* enim ſine exceptione Propheta ſententiam tulit, Omnes, inquiens, declinauerunt, ſimul inutiles facti ſunt,
D adeò, vt nihil inueniretur, quod malitiæ non eſſet inſtrumentum. Tantum igitur malorum aceruum, ab ipſa mundi conſtitutione ad mortem vſque Domini cumulatum & auctum, qui tribus diebus diſſoluit, & euertit, paruam ne tibi præſtantis potentiæ, virtutíſque ſuæ ſignificationem dedit? Non ne vis eius, rerum omnium, quæ monumentis hiſtoriarum admirandæ commemorantur, apparuit excellentiſſima? *Iud. 14.* Quemadmodum enim Samſonis facinus eo magis admiramur, quòd non ſolum leonem vicit, ſed eum ſine labore ſuperauit, quódque nuda

A inermique manu tantam feram, tanquam ludens occidit & dilacerauit: ſic ea re Domini virtus excelluit, quòd nullo negotio malitiam deleuit. Neque enim ſuperioribus cataractis patefactis, abyſſiſque proprios terminos tranſilientibus, & tumefactis, aquarum immenſa vis ingruit, quæ terram obruens vniuerſam, montéſque tranſcendens, & montium faſtigia ſuperans, orbem tanquam nauigium ſimul cum ipſis nautis atque vectoribus demerſerit. Neque, vt Sodomitarum temporibus contigit, ignis, & flammarum imber, quod corruptum erat, B purgans expiauit. Neque aliud quidquam accidit eiuſmodi. Sed ſimplex quædam & incomprehenſa peregrinatio, ſola vitæ, luciſque præſentia in tenebris, & regione vmbræ mortis conſidentibus tenebras omnes diſpulit, & mortem ipſam interfecit. Aliudne

Eſa. 9. quidquam adiungam iis, quæ dicta ſunt? In ſerpente malum exortum eſt. Mulier draconis inſidiis decepta fuit. Mulieris illecebris vir ipſe ceſſit. Tribus hiſce gradibus malum emerſit. Quorſum hæc ſpectat commemoratio? Licet ex hoc mali ordine quendam C boni ordinem illi reſpondentem animaduertere. Hæc tria cerno mali receptacula: primum, in quo primo cōſtitit: alterum, in quod defluxit: tertium, in quo poſtea inhæſit. Quare cùm in his tribus redundarit, nempe in natura diabolica, & in genere mulierum, & in virorum plenitudine; conſentaneum fuit, vt trium dierum ſpatio morbus expelleretur, ſingulis generibus malitia laborantibus tributo curationis die, vt vno quidem viri curarentur, altero fœminarum genus, extremo autem extremus hoſtis, mors, deſtrueretur, & qui mortis miniſtri ſunt Principes, & D Poteſtates Virtutum aduerſariarum & imperantium profligarentur. Nec admireris boni prouentum fieri temporis interuallo. Nam & in prima mundi procreatione momento poterat diuina virtus cuncta perficere, attamen rerum fabricationi tempora diſtribuit: vt primo quidem die pars earum vna conſtitueretur, ſecundo autem altera,

A καὶ ἀόπλοις χερσὶ τὸν θῆρα καταπαίζοντα διασπαράσθαι, οὕτω καὶ τοῦ δίχα πάσης ἐργωδίας τὸν κύριον τὴν τοσαύτην ἀφανίσαι κακίαν, ἀπόδειξις μείζων ἐστί, τῆς τῆς δυνάμεως ὑπερβαλλούσης. οὐχ ὑδάτων ἀπείρων ἐπιρροαὶ ἐκ τῶν ἄνωθεν καταρακτῶν, τῶν ὑποκειμένων ἐγκαταπίπλυσαι, οὐδὲ ἄβυσσοι τῶν ἰδίων ὅρων ὑπεροιδήσασαι, καὶ τοῖς πελάγεσι τὴν γῆν ἐπικλύζουσαι. οὐδὲ πᾶσα ἡ οἰκουμένη νηὸς δίκην αὐτάνδρος ὑπὸ βυθῷ καλυπτομένη, οὐδὲ ὄρη γινόμενα βύθια, καὶ κορυφαὶ τῶν ὀρῶν ὑποβρύχιοι. οὐδὲ καθ' ὁμοιότητα Σοδόμων αἱ τῆς φλογὸς αἱ ἐπομβρίαι B τῷ πυρὶ τὸ διεφθορὸς ἐκκαθαίρουσαι. οὐδὲ ἄλλό τι τοιοῦτον οὐδέν. ἀλλὰ ἁπλῆ τις καὶ ἀκατάληπτος ἐπιδημία μόνη ζωῆς καὶ φωτὸς παρουσία, τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, ἔκλειψιν παντελῆ καὶ ἀφανισμὸν, τοῦ τε σκότους καὶ τοῦ θανάτου πεποίηται. εἴπω τι πρὸς τοῖς εἰρημένοις, καὶ ἕτερον; ἐφύη τὸ κακὸν ἐν τῷ ὄφει. ἡττήθη ἡ γυνὴ τῆς πείρας τοῦ δράκοντος. ἡττήθη μετὰ ταῦτα τῆς γυναικὸς ὁ ἀνήρ. διὰ τριῶν ἔσχε τὸ κακὸν τὴν γένεσιν. πρὸς τί μοι βλέπει τούτων ἡ μνήμη; ἔστι τινὰ τοῦ ἀγαθοῦ τάξιν διὰ C τῆς ἐν τῷ κακῷ τάξεως κατανοῆσαι. τρία βλέπω ταῦτα τοῦ κακοῦ δοχεῖα· πρῶτον μὲν, ἐν ᾧ τὸ πρῶτον συνέστη· δεύτερον εἰς ὃ μετεῤῥύη· τρίτον, ἐν ᾧ μετὰ ταῦτα ἐπεγένετο. ἐπεὶ τοίνυν ἐν τοῖς τρισὶ τούτοις ἡ κακία ἐπλημμύρε, τῇ διαβολικῇ λέγω φύσει, καὶ τῷ τῶν γυναικῶν γένει, καὶ τῷ πληρώματι τῶν ἀνδρῶν, τούτου χάριν ἀκολούθως ἐν τρισὶν ἡμέραις ἡ νόσος ἐξαφανίζεται, ἑκάστῳ γένει τῶν ἐν κακίᾳ νενοσηκότων, μιᾶς ἡμέρας ἀποκληρωθείσης πρὸς ἴασιν· ἐν μιᾷ ἡμέρᾳ οἱ ἄνδρες τῆς νόσου καθαίρονται· ἐν τῇ δευτέρᾳ, τὸ τῶν γυναικῶν θεραπεύεται D γένος· ἐν τῇ τελευταίᾳ, ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος, καὶ περὶ αὐτὸν ἀρχαί τε, καὶ ἐξουσίαι, καὶ δυνάμεις τῶν ἀντικειμένων δυνάμεων τῶν τε προκαθημένων συναφανίζονται. μὴ θαυμάσῃς δὲ εἰ χρονικοῖς διαστήμασιν ἡ τοῦ ἀγαθοῦ κτίσις ἐπιμερίζεται. καὶ γὰρ παρὰ τὴν πρώτην τοῦ κόσμου γένεσιν, οὐκ ἠπόρει ἡ θεία δύναμις ἅπαντα ἐν ἀκαρεῖ τελειῶσαι τὰ ὄντα, ἀλλ' ὅμως συμπαραλαμβάνεται τῇ δημιουργίᾳ τῶν ὄντων καὶ τὰ χρονικὰ διαστήματα· ὡς τόδε μέν τι κατὰ τὴν πρώτην ἡμέραν τελειωθῆναι τὸ μέρος τῆς κτίσεως, ἐν δὲ τῇ δευτέρᾳ τὸ ἕτερον,

καὶ ἐφεξῆς ὁμοίως ἐπεραιώθη τὰ ὄντα ῥηταῖς ἡμέραις τοῦ Θεοῦ τὴν κτίσιν ἅπασαν συναρμοσαμένου· οὕτω καὶ ἐνταῦθα κατὰ τὸν ἄρρητον αὐτοῦ τῆς σοφίας λόγον, ἐν τρισὶν ἡμέραις τῶν ὄντων τὸ κακὸν ἐξοικίζεται, ἐξ ἀνδρῶν, ἐκ γυναικῶν, καὶ τοῦ γένους τῶν ὄφεων, ἐν οἷς πρώτοις ἡ τῆς κακίας φύσις ἔσχε τὴν γένεσιν. ἀλλὰ περὶ μὲν τῆς τοῦ ἀριθμοῦ τῶν ἡμερῶν αἰτίας, ταῦτα ὑπενοήσαμεν· εἴτε δὲ ὀρθῶς, εἴτε καὶ μή, ἐν τῇ κρίσει τῶν ἀκροατῶν καταλειψόμεθα. οὐ γὰρ ἀπόφασις ὁ λόγος ἐστίν, ἀλλὰ γυμνασία καὶ ζήτησις. Εἰ δὲ ζητεῖς δι᾽ ἀκριβείας ἰδεῖν ἐν τῷ πάθει τῶν ἡμερῶν τούτων τὴν προθεσμίαν· λείπει γὰρ τῷ ἀριθμῷ οὐκ ὀλίγον, εἰ μετὰ τὴν ἐνάτην τῆς παρασκευῆς ὥραν ἀριθμοίης τὸν χρόνον, ἀφ᾽ ἧς ταῖς πατρικαῖς χερσὶ τὸ πνεῦμα παρέθετο, μικρὸν ἐπίσχες, καὶ παρέξει σοι τυχὸν ὁ λόγος τὴν περὶ τούτου σαφήνειαν. τίς οὖν ὁ λόγος; ἀνάβλεψον εἰς τὸ μεγαλεῖον τῆς θείας δυνάμεως, καὶ οὐκ ἀγνοήσεις τὸ ἐν τούτῳ ζητούμενον. μνήσθητι τῆς δεσποτικῆς ἀποφάσεως. τί περὶ αὐτοῦ ἀποφαίνεται ὁ τοῦ παντὸς ἐξημμένος τὸ κράτος; πῶς αὐτοκρατορικῇ ἐξουσίᾳ, καὶ οὐ φύσεως ἀνάγκῃ διαζεύγνυσι τὴν ψυχὴν ἐκ τοῦ σώματος. ἐν οἷς, φησίν, ὅτι οὐδεὶς αἴρει τὴν ψυχήν μου, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν ἀφ᾽ ἑαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. τοῦτό μοι στῆσον, καὶ τὸ ζητούμενον σεσαφήνισται. ὁ γὰρ πάντα κατὰ τὴν δεσποτικὴν αὐθεντίαν οἰκονομῶν, οὐκ ἀναμένει τὴν ἐκ τῆς προδοσίας ἀνάγκην, καὶ τὴν λῃστρικὴν ἔφοδον τῶν Ἰουδαίων, καὶ τὴν τοῦ Πιλάτου παράνομον κρίσιν, ὥστε τὴν ἐκείνων κακίαν, ἀρχηγὸν καὶ αἰτίαν τῆς κοινῆς τῶν ἀνθρώπων σωτηρίας γενέσθαι· ἀλλὰ προλαμβάνει τῇ οἰκονομίᾳ τὴν ἔφοδον κατὰ τὸν ἄρρητον τῆς ἱερουργίας τρόπον, καὶ τοῖς ἀνθρώποις ἀόρατον, καὶ ἑαυτὸν προσήνεγκε προσφορὰν καὶ θυσίαν ὑπὲρ ἡμῶν, ὁ ἱερεὺς ἅμα, καὶ ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. πότε τοῦτο; ὅτε βρωτὸν ἑαυτοῦ τὸ σῶμα εἰς βρῶσιν*, σαφῶς ἐνδείκνυται τὸ ἤδη γεγενῆσθαι ἐντελῆ τοῦ ἀμνοῦ τὴν θυσίαν. οὐ γὰρ ἂν ἦν τὸ σῶμα τοῦ ἱερείου πρὸς ἐδωδὴν ἐπιτήδειον, εἴπερ ἔμψυχον ἦν. οὐκοῦν ὅτε παρέσχε τοῖς μαθηταῖς ἐμφαγεῖν τοῦ σώματος, καὶ τοῦ αἵματος ἐμπιεῖν·

A atque ita deinceps reliquæ, donec omnia perfecta ſunt, & abſoluta, eo dierum numero, qui ſcriptus eſt, Deo cuncta perficiente: ſic etiam hîc ea ſapientiæ ratione, quæ verbis explicari non poteſt, tribus diebus malum eijcitur, & excluditur ab hominibus, mulieribus, & à ſerpentium genere, in quibus primis natura vitij ortum habuit. Hæc de trium dierum numeri cauſa cogitauimus: rectè, nec ne, auditorum iudicium eſto. Neque enim verba noſtra certam demonſtrationis rationem habere volumus, ſed B ita quærendo nos exercemus. Quòd ſi re ipſa præfinitum horum dierum numerum planè vis perſpicere (neque enim illi parum deeſt, ſi poſt horam nonam paraſceuæ tempus conſideres, qua quidem hora Dominus patris manibus ſpiritum commendauit) pauliſper attende, & fortaſſe, quod quæris, inuenies. Quónam inquies pacto? Diuinæ potentiæ magnitudinem conſidera, & quod ſcire cupis, intelliges. Recordare, quid de ſe Dominus pronuntiarit, & eam ipſius eſſe virtutem C cognoſces, vt voluntate, non autem naturæ neceſſitate animam à corpore diſiungat. Nemo enim, inquit, tollit animam meam à me, ſed ego pono illam à meipſo. Poteſtatem enim habeo ponendi eam, & poteſtatem habeo iterum aſſumendi. *Ioan. 10.* Hoc nobis ita conſtituto perſpicuè patebit id, quod quæſitum eſt. Qui enim poteſtate ſua cuncta diſponit, non ex proditione ſibi impendentem neceſſitatem, non Iudæorum quaſi prædonum impetum, non inquam Pilati ſententiam expectat, vt eorum malitia ſit communis hominum D ſalutis principium & cauſa: ſed conſilio ſuo anteuertit, & arcano ſacrificij genere, quod ab hominibus cerni non poterat, ſe ipſum pro nobis hoſtiam offert, & victimam immolat, ſacerdos ſimul exiſtens, & agnus Dei, ille, qui mundi peccatum tollit. *Ibidem.* Quando id præſtitit? cùm corpus ſuum diſcipulis congregatis edendum, & ſanguinem bibendum præbuit, tunc apertè declarauit agni ſacrificium iam eſſe perfectum. Nam victimæ corpus non eſt ad edendum idoneum, ſi animatum ſit. Quare cùm corpus edendum, & ſanguinem bibendum diſcipulis exhibuit,

A iam arcana, & non aſpectabili ratione corpus erat immolatū, vt ipſius myſteriū peragētis poteſtati collibuerat. Et anima in illis erat, in quibus eadem ipſa poteſtas illam depoſuit, ſimúlque cum diuina virtute, quæ cum illa erat coniuncta, in ea regione cordis verſata eſt. Itaque ſi quis inde tempus incipiat dimetiri, cùm ſacrificium Deo factum eſt à magno illo Principe ſacerdotum, qui ratione, quæ nec verbis explicari, nec oculis perſpici potuit, ſe ipſum pro communi hominum ſalute tanquam agnum obtulit, non recedet à veritate. B Erat enim veſpera, cum ſacrum illud corpus comederunt: quam quidem veſperam nox, quæ paraſceuem antecedit, excepit. Huic ſucceſſit paraſceuæ dies, quæ nocte illa propter ſolis obſcurationem interiecta in dies duos & noctem vnam diuiſa eſt. Nam, ſi Deus noctem tenebras appellauit, *Geneſ. 1.* tribus autem *Matth. 27.* horis tenebræ factæ ſunt ſuper vniuerſam terram, ſpatium illud in diei medio conſtitutum nox fuit, quę ſingulis illius ex vtraque parte ſectionibus binos dies definiuit: vnum quidē ab ortu ſolis vſq; ad ſextam horam, alterum autem ab hora nona vſque ad veſperam. C Atque ita duas iam noctes habemus, & totidem dies. Hinc ſabbati nox eſt ſubſecuta, & ſabbati dies. Ex quibus tres dies, & noctes itidem tres cōficiuntur. Reliquum eſt, vt Reſurrectionis horā inquiramus: qua quidem inuenta veritas extabit. Quando igitur ſurrexit Dominus? Veſpere ſabbatorum tibi Matthæus clara *Matth. 28.* voce denuntiat. Hæc eſt Reſurrectionis hora ſecundum Angeli vocem. Hic terminus fuit commorationis Domini in corde terræ. Veſpera enim tam profunda, quæ quidem veſpera noctis, quam vna ſabbatorum dies cōſequitur, D principium erat, terræ motus factus eſt. Tunc Angelus in veſtimentis fulgens reuoluit lapidem monumenti. Mulieres autem mane ſurgentes, cùm diei iam lux appareret, & orientis ſolis ſplendor cerneretur, tum viſum pergunt reſurrectionem, quæ iam facta erat: & miraculum quidem cognouerunt, horam autem qua contigiſſet, non didicerunt. Angelus enim ſurrexiſſe quidem Dominum nuntiauit; quando autem ſurrexerit, non patefecit. At magnus Matthæus ſolus ex omnibus Euangeliſtis tempus accuratè deſcripſit, di-

A ἤδη κατὰ τὸ θελητὸν τῇ ἐξουσίᾳ τοῦ τὸ μυστήριον οἰκονομοῦντος ἀῤῥήτως τε καὶ ἀοράτως τὸ σῶμα ἐτέθυτο, καὶ ἡ ψυχὴ ἐν ἐκείνοις ἦν, ἐν οἷς αὐτὴν ἡ ἐξουσία τοῦ οἰκονομοῦντος ἐναπέθετο μετὰ τῆς ἐγκεκραμένης αὐτῇ θείας δυνάμεως, τὸν ἐν καρδίᾳ ἐκεῖνον χῶρον περιπολοῦσα. οὐκοῦν ἀφ᾽ οὗ προσηνέχθη τῷ Θεῷ ἡ θυσία παρὰ τοῦ μεγάλου ἀρχιερέως, τοῦτον ἑαυτοῦ ἀμνὸν ὑπὲρ τῆς κοινῆς ἁμαρτίας ἀῤῥήτως τε καὶ ἀοράτως ἱερουργήσαντος, ἀπὸ τότε τὶς ἀριθμῶν τὸν χρόνον τῆς ἀλη- B θείας οὐχ ἁμαρτήσεται. ἑσπέρα μὲν γὰρ ἦν ὅτε ἐβρώθη τὸ ἱερὸν ἐκεῖνο καὶ ἅγιον σῶμα. νὺξ δὲ τὴν ἑσπέραν ἐκείνην ἡ πρὸ τῆς παρασκευῆς διεδέξατο. εἶτα ἡ τῆς παρασκευῆς ἡμέρα, τῇ ἐπεισάκτῳ νυκτὶ διατμηθεῖσα, εἰς μίαν νύκτα καὶ εἰς ἡμέρας δύο καταψηφίζεται. Εἰ γὰρ τὸ σκότος ὁ Θεὸς ἐκάλεσε νύκτα, ἐν δὲ ταῖς τρισὶν ὥραις ἐγένετο σκότος ἐπὶ πᾶσαν τὴν οἰκουμένην, αὕτη ἐστὶν ἡ κατὰ τὸ μέσον τῆς ἡμέρας καινοτομηθεῖσα νὺξ, τὰ δύο τμήματα τῆς ἡμέρας δι᾽ ἑαυτῆς περιγράφουσα, τὸ μὲν ἀπὸ τοῦ ὄρθρου, ἐπὶ τὴν ἕκτην ὥραν, τὸ δὲ ἀπὸ τῆς C ἐνάτης ἐπὶ τὴν ἑσπέραν. ὥστε εἶναι μέχρι τούτου, δύο νύκτας καὶ ἡμέρας δύο. εἶτα, ἡ τοῦ σαββάτου νὺξ. καὶ μετὰ ταύτην ἡ τοῦ σαββάτου ἡμέρα, ἔχεις τὰς τρεῖς νύκτας. ζήτησόν μοι λοιπὸν τὴν ἀναστάσιμον ὥραν, καὶ εὑρήσεις τὴν ἐν τοῖς εἰρημένοις ἀλήθειαν. πότε οὖν τοῦτο; ὀψὲ σαββάτων Ματθαῖος βοᾷ. αὕτη τοι ἡ ὥρα τῆς ἀναστάσεως κατὰ τὴν τοῦ ἀγγέλου φωνήν. ἔστιν ὅρος τῆς ἐν καρδίᾳ τῆς γῆς διαγωγῆς τοῦ κυρίου. ἑσπέρας γὰρ ἤδη βαθείας γεγενημένης· ἀρχὴ δὲ ἦν τῆς νυκτὸς ἐκείνης, ἡ ἑσπέρα, ἣν διαδέχεται ἡ μία τῶν σαββάτων ἡμέρα, τότε ὁ σεισμὸς γέγονε. τότε D ὁ καταστράπτων τοῖς ἐνδύμασιν ἄγγελος, ἀποκυλίει τὸν λίθον τοῦ μνημείου. αἱ δὲ γυναῖκες μικρὸν ἐπορθρίσασαι, ὑποφαινούσης ἤδη τῆς ἡμέρας τὸ φέγγος, ὡς καί τινα ἡλιακὴν αὐγὴν τῆς ἀνατολῆς ὑποφαίνεσθαι, τότε ἱστοροῦσι τὴν ἤδη γεγενημένην ἀνάστασιν· αἳ τὸ μὲν θαῦμα ἔγνωσαν, τὴν δὲ ὥραν οὐκ ἐδιδάχθησαν. ὅτι μὲν γὰρ ἠγέρθη, εἶπε πρὸς αὐτὰς ὁ ἄγγελος· τὸ δὲ πότε, τῷ ῥήματι οὐ προσέθηκεν. ἀλλ᾽ ὁ μέγας Ματθαῖος μόνος τῶν εὐαγγελιστῶν πάντων τὸν καιρὸν δι᾽ ἀκριβείας ἐπισημαίνεται, εἰ-

πρώτην τὴν ἑσπέραν εἶναι τοῦ σαββάτου τὴν ὥραν τῆς ἀναστάσεως. Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἕστηκεν ἡμῖν ἡ προθεσμία, ἀπὸ τῆς μετὰ τὴν πέμπτην ἑσπέρας, εἰς τὴν τοῦ σαββάτου ἑσπέραν διαμετρουμένου τοῦ χρόνου τῆς ἐμβολίμου νυκτός, καθὼς εἴρηται, τὴν παρασκευὴν εἰς ἡμέρας δύο καὶ νύκτα μίαν καταμεριζούσης. ἔδει γὰρ ἐπὶ τοῦ δεσπόζοντος ἐν τῇ δυναστείᾳ αὐτοῦ τῶν αἰώνων, ἢ τοῖς συντεταγμένοις τοῦ χρόνου μέτροις τὰ ἔργα κατ᾽ ἀνάγκην συμπαρατείνεσθαι· ἀλλὰ πρὸς τὴν τῶν ὄντων χρείαν καινοτομεῖσθαι τοῦ χρόνου τὰ μέτρα, καὶ συντομώτερον τὴν τῶν ἀγαθῶν ἐνέργειαν τῆς θείας δυνάμεως ἐπιτελούσης, κολοβώτερα τοῦ χρόνου συσταλῆναι τὰ μέτρα· ὡς μήτι ἐλάττονα τῶν τριῶν ἡμερῶν καὶ τῶν τοσούτων νυκτῶν ἀριθμηθῆναι τὸν χρόνον. ἐπειδὴ τοῦτον τὸν ἀριθμὸν ὁ μυστικὸς καὶ ἀπόρρητος ἐπιζητεῖ λόγος, μήτι τὰ συνήθη τῶν ἡμερῶν τε καὶ νυκτῶν ἀναμετρούμενα διαστήματα πρὸς τὸ τάχος τῆς ἐνεργείας τὴν θείαν ἐμποδίζεσθαι δύναμιν. ὁ γὰρ ἐξουσίαν ἔχων καὶ θεῖναι ἀφ᾽ ἑαυτοῦ τὴν ψυχὴν καὶ ἀναλαβεῖν ὅτε ἐβούλετο, ἐξουσίαν εἶχεν ὡς ποιητὴς τῶν αἰώνων, οὐχὶ δουλεῦσαι διὰ τῶν ἔργων τῷ χρόνῳ, ἀλλὰ ποιῆσαι κατὰ τὰ ἔργα τὸν χρόνον. ἀλλ᾽ οὔπω τοῦ μεγίστου τῶν κεφαλαίων ὁ λόγος ἥψατο. ζητεῖν γὰρ τοὺς φιλομαθεστέρους εἰκός, πῶς ἐν τῷ χρόνῳ τρισὶν ἑαυτὸν ὁ κύριος δίδωσιν, τῇ τε καρδίᾳ τῆς γῆς καὶ τῷ παραδείσῳ σὺν τῷ λῃστῇ καὶ ταῖς πατρῴαις χερσί. πρὸς τοὺς Φαρισαίους μὲν γάρ, φησιν, ὅτι ὥσπερ Ἰωνᾶς μὲν ἦν ἐν τῇ κοιλίᾳ τοῦ κήτους, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς κατὰ τὸ τριήμερον τοῦ χρόνου διάστημα· πρὸς μὲν τὸν λῃστήν, ὅτι σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· πρὸς δὲ τὸν πατέρα, ὅτι εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου. οὔτε γὰρ ἐν καταχθονίοις εἴποι τις ἂν τὸν παράδεισον, οὔτε ἐν παραδείσῳ τὰ καταχθόνια· ὥστε κατὰ ταὐτὸν ἐν ἀμφοτέροις εἶναι, ἢ χεῖρα τοῦ πατρὸς λέγεσθαι ταῦτα. ἀλλὰ τοῦτο μέν, ἐν τοῖς εὐσεβῶς λογιζομένοις τυχὸν οὐδὲ ζητήσεως ἄξιον. ὁ γὰρ πανταχοῦ ὢν διὰ τῆς θείας δυνάμεως, καὶ πᾶσι πάρεστι καὶ οὐδενὸς ἀπολείπεται. ἐγὼ δὲ καὶ ἕτερον οἶδα λόγον περὶ τούτου μαθών, ὃν βουλομένοις ὑμῖν δι᾽ ὀλίγων ἐκθήσομαι. ὅτε ἦλθεν ἐπὶ τὴν παρθένον τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἡ τοῦ ὑψίστου δύναμις αὐτῇ ἐπεσκίασεν, ἐπὶ τῷ τὸν καινὸν ἄνθρωπον ἐν αὐτῇ

A cens Reſurrectionis horam fuiſſe ſabbati veſperam. Quę cùm ita ſe habeant, conſtat nobis præfinitũ tridui ſpatium à veſpera poſt quintam vſque ad veſperam ſabbati tempus reſurrectionis ita dimetientibus, vt interiecta nox, quemadmodum dictum eſt, connumeretur, quæ paraſceuē in dies duos, & noctem vnam partitur. Decebat enim, vt in eius imperio, qui ſeculis dominatur, noua ratione ſpatia temporis accommodarentur ad rerum vtilitatem, non autem res neceſſario ſtatutis temporis terminis extenderentur, & diuina potentia celerius bona nobis ad exitum perducente, termini temporis ita contraherentur, vt non pauciores tamen, quàm tres dies, & totidem noctes continerent, B hunc enim numerum myſtica & arcana ratio poſtulabat, nec ſolita dierũ & noctium ſpatia celerem diuinæ virtutis actionem retardarent. Qui enim & ponendæ & rurſum ſumendæ animæ, cum vellet, habebat poteſtatem, poterat etiam, tanquam ſeculorum auctor, efficere, vt actionibus ſuis tempus inſeruiret, non autem actiones tempori. Sed rerum maximarum caput nondum attigimus. C Illud enim à ſtudioſis oportuit inueſtigari, quo modo vno eodemque tempore Dominus ſe tribus his dederit, cordi terræ, paradiſo cum latrone, patriſque manibus. Nam ad Phariſæos quidem, quemadmodum, inquit, Ionas fuit in ventre ceti tribus diebus: ſic erit & filius hominis in corde terræ triduano temporis ſpatio. Ad latronem autem, Hodie mecum eris in paradiſo: Ad patrem verò, In manus tuas commendo ſpiritum meum. Nemo enim aut paradiſum apud inferos eſſe dixerit, aut inferos in paradiſo, vt eodem D tempore vtrobique fuerit, aut his patris manus indicari. At hæc piè conſiderantibus ne quæſtione quidem fortaſſe videantur digna. Qui enim diuina potentia ſua vbique eſt, is & rebus adeſt omnibus, & nullo excluditur loco. Verùm ego rationem aliam præterea memini me didiciſſe, quam vobis, ſi placet, breuiter explicabo. Quãdo Spiritus ſanctus in Virginē venit, eiq; Altiſſimi virtus obumbrauit, vt homo nouus in ipſa

Io. 10.
Hebr. 1.
Matth. 12.
Luc. 23.
Luc. 1.

gigneretur, qui propterea vocatus eſt nouus, quòd à Deo præter hominum conſuetudinem creatus eſt, vt Dei eſſet domicilium non manufactum: neque enim in manufactis, hoc eſt, hominum opera conſtructis Altiſſimus habitat, *Act.17.* tunc ſapientia ſibi domum exædificante, *Prou.9.* obumbratione tanquam ſigni forma intus ædificio conſtituto, duabus illis partibus, ex quibus humana conſtat natura (animum & corpus intelligo) potentia diuina coniuncta eſt, ſeſe vtrique pariter commiſcens: oportebat enim, vt, cum vtraque pars propter peccatum ſupplicio mortis eſſet obnoxia (ſiquidem animæ mors eſt à vera vita ſeiunctio, corporis autem mors eſt ipſa corruptio & diſſolutio) oportebat, inquam, vt vitæ cõiunctio ab vtraque parte mortem expelleret. Itaq; Diuinitate vtriq; hominis parti copulata, in vtráque perſpicua excellentis naturę indicia patuerunt. Corpus enim attactu ſuo morbos curans, Diuinitatem præ ſe ferebat. Animus autem potenti illa voluntate diuinam virtutem indicabat. Quemadmodum enim tangendi ſenſus eſt corporis proprius, ſic animi proprius eſt voluntatis motus. Accedit leproſus corpore iam diſſolutus atque cõfectus. Quomodo curatur à Domino? Animus *Matth.8.* vult, corpus [attingit. Vtroque modo expellitur morbus. Statim enim, vt ſcriptum eſt, diſceſſit ab eo] lepra. Rurſum *Matt.15.* cum tot hominum millia, apud ſe conſiderent in ſolitudine, noluit eos ieiunos dimittere. Manibus igitur panes fregit. Vides, quo modo Diuinitas vtrique parti cõiuncta per vtrâque declaratur, cùm & corpus agat, & animus velit? Verùm non eſt neceſſe, vt res omnes admirandas eodem pacto perfecta recenſeamus. Sunt enim omnibus notæ. Quamobrem ad id, cuius gratia hæc commemorauimus, reuertemur. Quo modo eodem tempore & apud inferos, & in Paradiſo Dominus fuerit, quæritur? Cuius quidem quæſtionis vna ſolutio eſt, vt dicamus, nihil auium, aut inacceſſum eſſe Deo, in quo omnia conſiſtun' Altera ſolutio eſt illa, ad quam nun: oratio noſtra ſpectabat: nempe Deum qui totũ hominem per ſuã cum illo coniũctionem in naturam diuinam mutauerat, mortis tempore à neutra illius, quam ſemel aſſumpſerat, parte

A συστῆναι, τὸν διὰ τοῦτο καινὸν ὀνομασμένον, ὅτι κατὰ Θεὸν ἐκτίσθη, οὐ κατὰ ἀνθρωπίνην συνήθειαν. ὥστε γενέσθαι Θεοῦ δοχεῖον ἀχειροποίητον· οὐ γὰρ κατοικεῖ ἐν χειροποιήτοις τοῖς ὑπὸ ἀνθρώπων λέγω κατεσκευασμένοις ὁ ὕψιστος. τότε αὖθις τὸν οἶκον τῆς σοφίας οἰκοδομούσης, καὶ ὑπὸ τῆς δυνάμεως ἀποσκιάσματι οἱονεὶ τύπῳ σφραγῖδος ἔνδοθεν καταμορφωθέντος, τότε ἀμφοτέροις, δι' ὧν ἡ ἀνθρωπίνη φύσις συνέστηκε, ψυχῇ τε λέγω καὶ σώματι, ἡ θεία κατακιρνᾶται δύναμις, ἑκατέρῳ καταλλήλως ἑαυτὴν καταμίξασα. ἔδει γὰρ τῶν
B δύο τούτων διὰ τῆς παρακοῆς νεκρωθέντων· ἐπειδὴ νέκρωσίς ἐστι, τῆς μὲν ψυχῆς ἡ τῆς ὄντως ζωῆς ἀλλοτρίωσις· τοῦ σώματος δὲ, ἡ φθορά τε καὶ διάλυσις· ἀμφοτέρων τούτων τῇ ἐπιμιξίᾳ τῆς ζωῆς ἐξοικισθῆναι τὸν θάνατον. πρὸς ἑκάτερον τοίνυν τῶν τοῦ ἀνθρώπου τμημάτων καταλλήλως τῆς θεότητος ἐμμιχθείσης, δι' ἀμφοτέρων ἐπίδηλα τῆς ὑπερεχούσης φύσεως τὰ γνωρίσματα ἦν. τὸ μὲν γὰρ σῶμα, τὴν ἐν αὐτῷ θεότητα διὰ τῆς ἁφῆς ταῖς ἰάσεσιν ἐνεργοῦν, ἐπεσήμαινε· ἡ δὲ ψυχὴ ὑπὸ δυνατῷ ἐκείνῳ θελήματι τὴν θείαν ἐνε-
C δείκνυτο δύναμιν. ὥσπερ γὰρ ἡ κατὰ τὴν ἁφὴν αἴσθησις τοῦ σώματός ἐστιν ἰδία, οὕτω καὶ τῆς ψυχῆς ἡ κατὰ προαίρεσιν κίνησις. προσέρχεται ὁ λεπρὸς διερρυηκὼς ἤδη καὶ ἠχρειωμένος τῷ σώματι. πῶς γὰρ ἐπὶ τούτου παρὰ τοῦ κυρίου ἡ ἴασις; ἡ ψυχὴ θέλει καὶ τὸ σῶμα * ἡ λέπρα. πάλιν τοὺς ἐν πολλαῖς χιλιάσι κατὰ τὴν ἔρημον αὐτῷ προσεδρεύσαντας, ἀπολῦσαι μὲν νήστεις, οὐ θέλει· ταῖς χερσὶ δὲ διακλᾶται τοὺς ἄρτους. ὁρᾷς, πῶς δι' ἀμφοτέρων ἡ ἐν ἑκατέρῳ συμπαρομαρτοῦσα θεότης δημοσιεύεται. τῷ τε ἐνεργοῦντι σώματι, καὶ τῇ ὁρμῇ τοῦ ἐν τῇ ψυχῇ γινομένου θελήμα-
D τος. καὶ τί χρὴ πάντα διεξιέναι αὐτὰ θαύματα ὁμοιοτρόπως ἐπιτελούμενα, τοῖς πρὸ δήλοις ἐναχλοῦντα τὸν λόγον; ἀλλ' οὗ χάριν τῶν εἰρημένων ἐμνήσθην, πρὸς ἐκεῖνο καὶ μεταβήσομαι. πῶς κατὰ ταὐτὸν καὶ ἐν τῷ ᾅδῃ, καὶ ἐν τῷ παραδείσῳ ὁ κύριος; οὗ ζητήματος λύσις ἐστὶ μία, τὸ μηδὲν ἄβατον εἶναι Θεῷ ἐν ᾧ τὰ πάντα συνέστηκεν. ἑτέρα δὲ πρὸς ἣν νῦν ὁ λόγος βλέπει· ὅτι ὅλον τὸν ἄνθρωπον τοῦ Θεοῦ, διὰ τῆς πρὸς ἑαυτὸν ἀνακράσεως εἰς τὴν θείαν φύσιν μετασκευάσαντος, ἐν τῷ καιρῷ τῆς κατὰ τὸ πάθος οἰκονομίας οὐ θατέρου μέρους τὸ ἅπαξ εἰληφθὲν

ἀνακεχώρηκεν. ἀμεταμέλητα γὰρ τοῦ Θεοῦ τὰ χαρίσματα. ἀλλὰ τὴν μὲν ψυχὴν τοῦ σώματος, ἡ θεότης ἑκουσίως διέζευξεν, ἑαυτὴν δὲ ἐν ἀμφοτέροις μένουσαν ἔδειξεν. διὰ μὲν γὰρ τοῦ σώματος, ἐν ᾧ τὴν ἐκ τοῦ θανάτου καταφθορὰν οὐκ ἐδέξατο, κατήργησε τὸν ἔχοντα τοῦ θανάτου τὸ κράτος, διὰ δὲ τῆς ψυχῆς, ὡδοποίησε τῷ λῃστῇ τὴν ἐπὶ τὸν παράδεισον εἴσοδον, καὶ τὰ δύο κατ᾽ αὐτὸν ἐνεργεῖται δι᾽ ἀμφοτέρων τῆς θεότητος τὸ ἀγαθὸν κατορθούσης. διὰ μὲν τῆς τοῦ σώματος ἀφθαρσίας, τὴν τοῦ θανάτου κατάλυσιν· διὰ δὲ τῆς ψυχῆς, τῆς πρὸς τὴν ἰδίαν ἑστίαν ἐπανελθούσης, τὴν ἐπὶ τὸν παράδεισον τῶν ἀνθρώπων ἐπάνοδον. ἐπεὶ οὖν διπλοῦν μὲν τὸ ἀνθρώπινον σύγκριμα, ἁπλῆ δὲ καὶ μονοειδὴς ἡ τῆς θεότητος φύσις, ἐν τῷ καιρῷ τῆς τοῦ σώματος ἀπὸ τῆς ψυχῆς διαζεύξεως, οὐ συνδιασχίζεται τῷ συνθέτῳ τὸ ἀδιαίρετον, ἀλλὰ τὸ ἔμπαλιν γέγονε. τῇ γὰρ ἑνότητι τῆς θείας φύσεως τῆς κατὰ τὸ ἴσον ἐν ἀμφοτέροις οὔσης, πάλιν πρὸς ἄλληλα τὰ διεστῶτα συμφύεται. καὶ οὕτω γέγονεν, ὁ θάνατος μὲν, ἐκ τῆς τῶν συμπεφυκότων διαιρέσεως, ἡ ἀνάστασις δὲ, ἐκ τῆς τῶν διαιρεθέντων ἑνώσεως. Εἰ δὲ ζητεῖς πῶς ἐν τῷ παραδείσῳ ὤν, ἐν ταῖς χερσὶ τοῦ πατρὸς ἑαυτὸν παρατίθεται, ἑρμηνεύσει σοι ὁ ὑψηλὸς Ἡσαΐας τὸ περὶ τούτων ζητούμενον. εἶπε γὰρ ἐκ θείου ἐκ προσώπου τοῦ Θεοῦ περὶ τῆς ἄνω Ἱερουσαλὴμ, ἣν οὐκ ἄλλην παρὰ τὸν παράδεισον εἶναι πιστεύομεν, ὅτι ἐπὶ τῶν χειρῶν μου, ἐζωγράφησά σου τὰ τείχη. εἰ οὖν ἐν ταῖς χερσὶ τοῦ πατρὸς περιγέγραπται ἡ Ἱερουσαλὴμ, ἥτις ἐστὶν ὁ παράδεισος, δηλονότι ὁ ἐν παραδείσῳ γενόμενος ταῖς πατρῴαις πάντως ἐνδιαιτᾶται παλάμαις, ἐν αἷς ἡ θεία πόλις τὴν περιγραφὴν ἔχει. καὶ ταῦτα μὲν εἰς τοσοῦτον. ὅσα δὲ τῶν Ἰουδαίων ἀκούομεν κατατρεχόντων ἐν σφοδρᾷ κατηγορίᾳ τοῦ δόγματος, ἄξιον ἂν εἴη προσθεῖναι διὰ βραχέων τῷ λόγῳ. λέγουσι γὰρ ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ τοῖς Ἰουδαίοις νενομοθετῆσθαι παρὰ τοῦ Μωϋσέως τὴν τεσσαρεσκαιδεκάτης τοῦ σεληναίου δρόμου περίοδον, καὶ τῶν ἑπτὰ ἡμερῶν τὴν ἀζυμοφαγίαν, καὶ ὄψον ἐπὶ τοῖς ἀζύμοις ποιεῖσθαι τῶν πικρίδων τὴν πόαν. εἰ οὖν ἐπιμελὴς ὑμῖν ἡ τῆς τεσσαρεσκαιδεκάτης ἐστὶ παρατήρησις, συμπαραφυλαττέσθω, φησὶν, ὁ Ἰουδαῖος, καὶ ἡ πικρὶς καὶ τὸ ἄζυμον. εἰ δὲ ταῦτα τοῦ παρορᾶσθαι ἄξια, τίς ἡ περὶ ἐκείνης σπουδή; οὐ γὰρ δὴ τοῦ αὐτοῦ

receſſiſſe. Nunquam enim illum ſuorum munerum pœnitet. Diuinitas Rom. 11.
ergo voluntate quidem animum à corpore diſiunxit, ſed in vtroque tamen Act. 2.
ſe manere demonſtrauit. Nam per corpus, in quo corruptionem ex morte prouenientem non admiſit, euertit eum, qui habebat mortis imperium: per animum autem latroni patefecit aditum in Paradiſum. Vtrumque autem eodem tempore perfectum eſt. Diuinitate per vtramque hominis partem hæc bona præſtante, vt per corporis incorruptionem mortem ipſam diſſolueret, per animi verò in ſede propria conſtitutionem hominibus aditum in Paradiſum aperiret. Quoniam igitur duplex eſt hominis concretio, ſimplex autem atque vna Diuinitatis natura, cum homo dirimatur atque diſtrahitur, Diuinitas ipſa, quæ indiuidua eſt, non ſeparatur, ſed contra potius propter vnitatem naturæ diuinæ, quæ vtrique hominis parti ex æquo ineſt, quæ ſciuncta ſeparatáque erant, rurſum coeunt, & coniunguntur. Atque ita ex partium coniunctarum diuiſione mors ſequitur, ex diuiſarum autem coniunctione reſurrectio. Quòd ſi quæris quo modo in Paradiſo ſe patris manibus commendarit, tibi ſublimis Eſaias reſpōdebit de cœleſti Hieruſalem, quam nihil aliud, niſi Paradiſum eſſe credimus, ex Dei perſona: Deſcripſi muros, inquiens, tuos in manibus meis. Quare ſi Hieruſalem, hoc eſt, Eſa 49.
Paradiſus, in manibus patris deſcripta eſt, conſtat eum, qui in Paradiſo ſit, in patris manibus, in quibus deſcriptionem habet diuina ciuitas, commorari. Ac de his quidem hactenus. Verùm quia Iudæi vehementer inſtitutum noſtrum accuſant, non alienum erit, vt, quæ nobis obijciunt, breuiter refellamus. Dicunt igitur in Paſchate celebrando ſic à Moſe quartumdecimum Exod. 12.
lunæ curſus circuitum in lege præſcriptum eſſe, vt ſeptem diebus pane ſine fermento, & herbis amaris pro obſonio veſcerentur. Quapropter, ſi quartumdecimum, inquiunt, diem obſeruatis, ſimul etiam hos cibos comedite. Sin illos reſpuitis, cur in die obſeruando ſtudium ponitis? Neque enim dicēdum

eſt, quæ ab eodem legiſlatore ſunt conſtituta, partim eſſe tanquam iuſta atque animis vtilia comprobanda, partim vt iniuſta & inutilia repudianda. His argumentis concludunt, aut omnia, quæ in Paſchate celebrando iuſſa ſunt, aut nihil obſeruare nos oportere. Quid autem nos ad hæc? Meminerimus nobis eſſe mandatum, ne hominum maledictis, & contumeliis ſuccumbamus.
Matth. 8. Nouimus vtilem panis ſine fermento cõfecti obſeruationem, nec amararum herbarum lucrum, aut diei quartædecimæ vſum ignoramus. Lex, vt paucis
Hebr. 10. rationem hanc explicemus, futurorum bonorum vmbram continens, vnum illud propoſitum habet, vt variis mandatis homo ab immixta naturæ ſuæ malitia purgetur. Huc ſpectat circumciſio, huc ſabbati, huc ciborum, huc variæ animalium immolationis, huc omnium denique legis cerimoniarum & inſtitutorum obſeruatio. Longum autem eſſet, ea quæ lex per ænigmata præſcribit, munditiam animi ſignificantia, ſigillatim recenſere. Quemadmodum igitur per circumciſionem, quæ ſpiritu peragitur, natura cupiditates abijcit, vitam carni obnoxiam amputans, & circumcidens: per ſabbatum autem inſtituimur, vt quieſcentes à peccatis abſtineamus: & animalium mactatio nos docet, vt perturbationes, & vitia mactemus: & ciborum immundorum interdictio nos monet, vt ab impura, immundáque vita recedamus: ſic & hæc celebritas illam indicat celebritatem, ad quam animus per azyma præparatur, dum ſeptem diebus à fermento iubet abſtinere. Septem enim dierum numerus prætereuntem hunc temporis curſum ſignificat, qui per hebdomadas circumuoluitur. Diligenter enim quotidie cauendum eſt, ne dies inſtans vllas heſternæ malitiæ reliquias conſeruet, ne quid acerbitatis, aut amaritudinis hodierno
Epheſ. 4. fermento veteris improbitatis mixtio pariat. Sol ne occidat ſuper iracundiam veſtram, inquit Apoſtolus, qui præcipit, vt diem feſtum celebremus, non in
1. Cor. 5. fermento veteri, nec fermento malitiæ & nequitiæ, ſed in azymis ſynceritatis & veritatis. Quod autem de vno malitiæ genere didicimus, id ſimili ratione de reliquis malitiæ generibus dictum

A νομοθέτου, τὸ μὲν ὡς δίκαιον καὶ ψυχωφελές· τὸ δὲ ἄχρηστον κρίνεται καὶ ἀπόβλητον ὡς ἐπιβλαβὲς εἶναι, ἢ πάντα κατορθοῦσθαι παρ᾽ ὑμῶν, ὅσα περὶ τοῦ πάσχα διηγόρευται, ἢ μηδενὸς ὑμᾶς περιέχεσθαι. τί οὖν ἡμεῖς; μνησθῶμεν τοῦ παραγγείλαντος· μὴ φοβεῖσθαι τὸν ὀνειδισμὸν τῶν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθαι. οἴδαμεν γὰρ τῶν ἀζύμων τὴν ψυχωφελῆ παρατήρησιν, καὶ τῶν πικρίδων τὸ κέρδος, καὶ τῆς τεσσαρεσκαιδεκάτης τὸ χρήσιμον. ὁ δὲ λόγος οὗτός ἐστιν, ὃν δι᾽ ὀλίγων ἐπισκεψόμεθα. ὁ τὴν σκιὰν
B τῶν μελλόντων ἀγαθῶν ἔχων νόμος, πρὸς ἕνα κατὰ τὸν προηγούμενον βλέπει σκοπόν. ὅπως ἂν διὰ τῶν ποικίλων παραγγελμάτων καθαρθείη τῆς ἐμμιχθείσης κακίας ὁ ἄνθρωπος. τοῦτο ἐν τῇ περιτομῇ, τοῦτο ἐν τοῖς σαββάτοις, τοῦτο ἐν τῇ τῶν ἐδωδίμων παρατηρήσει, τοῦτο ἐν τῇ ποικίλῃ ζωοθυσίᾳ, τοῦτο ἐν τοῖς καθ᾽ ἕκαστον παρατηρήμασι κατορθοῦται τοῦ νόμου. καὶ μακρὸν ἂν εἴη τὰ περὶ ἑκάστου νῦν αἰνιγματωδῶς εἰς τὸ τοῦ βίου καθάρσιον παρὰ τοῦ νόμου δηλούμενα δι᾽ ἀκριβείας ἐκτίθεσθαι. ὥσπερ τοίνυν διὰ τῆς περιτομῆς τῆς πνευματικῶς ἐπιτελουμένης ἡ
C φύσις τὸ ἐμπαθὲς ἀποτίθεται, περιαιρουμένη τὸν σαρκώδη βίον· διὰ δὲ τοῦ σαββατισμοῦ, τὴν ἐν τοῖς κακοῖς ἀπραξίαν διδάσκεται· ἡ δὲ ζωοθυσία, κατασφάζει τὰ πάθη, καὶ ἡ νενομισμένη περὶ τὰ βρώματα τῶν ἀκαθάρτων διάκρισις, συμβουλεύει σοι, τοῦ ῥυπῶντός τε καὶ ἀκαθάρτου βίου τὴν ἀλλοτρίωσιν. οὕτω καὶ ἡ ἑορτὴ σοι αὕτη τὴν ἑορτὴν ἐκείνην ἐνδείκνυται, πρὸς ἣν ἡ ψυχὴ διὰ τῶν ἀζύμων παρασκευάζεται, ἐν ἑπτὰ ἡμέραις τῆς τοῦ ζυμωτοῦ βρώσεως καθαρεύουσα, ὧν τὸ αἴνιγμα τοιοῦτον ἐστίν· ὁ τῶν ἑπτὰ ἡμερῶν ἀριθμὸς τὸν παροδικὸν τοῦτον χρόνον ἐν-
D δείκνυται, τὸν δι᾽ ἑβδομάδων ἀνακυκλούμενον, ἐν ᾧ χρὴ δι᾽ ἐπιμελείας εἰς τὴν ἐνεστῶσαν ἡμέραν μηδὲν τῆς χθιζῆς κακίας λείψανον διασώζεσθαι. ὡς ἂν μή τινα στύψιν καὶ ὀξίδα τῷ σημερινῷ φυράματι ἡ τῆς ἑώλου κακίας ποιήσειεν. ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, φησὶν ὁ ἀπόστολος, ὁ μὴ ἐν ζύμῃ παλαιᾷ μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ᾽ ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας ἑορτάζειν ἐγκελευόμενος. ὃ δὲ περὶ τοῦ ἑνὸς τῆς κακίας εἴδους ἔγνωμεν, ἀναλόγως οὕτω περὶ τῶν λοιπῶν τῆς κακίας εἰδῶν διδασκό-

μεθα· ἡ δὲ πικρὶς ἐκβάλλει τὸ καταβεβλακευμένον ἐν τῷ βίῳ καὶ ἔκλυτον· ἀντεισάγει δὲ τὸν ἐγκρατῆ καὶ κατεσκληκότα, καὶ τῇ αἰσθήσει δυσάλγητον βίον. ἐπειδὴ πᾶσα παιδεία οὐ δοκεῖ πρὸς τὸ παρὸν χαρᾶς εἶναι, ἀλλὰ λύπης. ὁ τοίνυν διὰ πάσης τῆς τοῦ βίου τούτου ἑβδομάδος ἀνεπίμικτον παλαιᾶς κακίας καὶ ἄζυμον τὴν ἀεὶ ἐνεστῶσαν καθαρεύουσαν ἡμέραν, ὄψον τῆς ζωῆς ποιούμενος τὴν ἐγκράτειαν, οὗτος ἑαυτὸν πάσης σκοτεινῆς ἐπιμιξίας χωρίζει. τοῦτο γὰρ ἡ τεσσαρεσκαιδεκάτη τοῦ σεληνιακοῦ δρόμου ἐνδείκνυται. ἐπειδὴ γὰρ ἐννέα εἰσὶν αἱ πᾶσαι τοῦ σεληνιακοῦ δρόμου, καὶ εἴκοσι καὶ ἡμίσεια, ἐν αἷς ἐκ νεομηνίας ἡ σελήνη δι' αὐξήσεως τελειωθεῖσα τῷ κύκλῳ πάλιν διὰ μειώσεως εἰς τὴν παντελῆ τοῦ φωτὸς ἔκλειψιν ἐπανέρχεται, δηλονότι τὸ ἥμισυ τοῦ μνημονευθέντος ἀριθμοῦ τεσσαρεσκαιδεκάτη ἐστὶ, καὶ μικρὸν ἐπὶ πρός. ἐκεῖνο ὅταν ἐν τούτῳ τύχῃ οὖσα ἡ σελήνη τῷ σχήματι, ἐπειδὴ συμπεριιοῦσα κατὰ τὸν ἴδιον δρόμον, τῷ νυκτερινῷ διαστήματι, προστίθησι τὸ λεῖπον τῷ κύκλῳ ὥστε πληρωθεῖσαν φωτὸς ταῖς αὐγαῖς τῆς ἡμέρας, τὰς παρ' ἑαυτῆς λαμπηδόνας συμπαρακαταμίξαι, ὡς μήτε κατὰ τὴν ἑσπέραν, μήτε κατὰ τὸν ὄρθρον, σκότους τινὰ παρενθήκην διακόψαι τοῦ φωτὸς τὴν συνέχειαν, ἐν τῇ διαδοχῇ τῶν στοιχείων, ἀδιαιρέτου τῆς αὐγῆς μενούσης. πρὶν γὰρ ἀκριβῶς τὴν ἡλιακὴν ἀκτῖνα καταδῦναι, ἀντιφαίνεται δι' εὐθείας ἡ σελήνη τῷ ἡλίῳ κατὰ τὸ διάμετρον, καὶ τῷ ἰδίῳ φωτὶ καταλάμπει τὸ ὑποκείμενον. καὶ πάλιν πρὶν παντῶς τὸν κύκλον αὐτῆς ὑπελθεῖν τὸν ὁρίζοντα, τοῖς λειψάνοις τοῦ σεληνιακοῦ φωτὸς ἡ τῆς ἡμέρας αὐγὴ καταχειριᾶται. καὶ οὕτως τῆς πανσεληνίου ἐκείνης ἡμέρας τὸ σκότος ἐξαφανίζεται, κατά τε τὸν ὄρθρον, καὶ τὴν ἑσπέραν, τῇ τῶν φωστήρων διαδοχῇ λαμπρυνόμενον. ὅπερ τοίνυν τῷ αἰσθητῷ φωτὶ κατὰ τὴν τεσσαρεσκαιδεκάτην συμβαίνει, τὸ διὰ πάσης νυκτός τε καὶ ἡμέρας ἀπαράδεκτον εἶναι τῆς ἐπιμιξίας τοῦ σκότους, τοῦτο βούλεται ὁ πνευματικὸς νόμος, σύμβολον γενέσθαι τοῖς πνευματικῶς ἑορτάζουσιν, ὥστε διὰ πάσης τῆς κατὰ τὴν ζωὴν ἑβδομάδος, ἓν πάσχα φωτεινὸν καὶ ἀσκότιστον, ὅλον τὸν χρόνον αὐτοῖς τῆς ζωῆς ἐργάζεσθαι. αὕτη γὰρ τῶν περὶ τὸ πάσχα παραγγελμάτων τοῖς Χριστιανοῖς ἡ κατάστασις. διὰ τοῦτο πρὸς τὴν τεσσαρεσκαιδεκάτην βλέπομεν, διὰ τοῦ αἰσθητοῦ τούτου καὶ ὑλικοῦ φωτὸς, τοῦ ἀΰλου τε καὶ νοητοῦ,

A exiſtimemus. Amaritudo enim è vita torporem, & ignauiam expellit, & illius loco fortem & duram, & aſperam viuendi rationem introducit. Si quidem omnis diſciplina principio videtur non lætitiam, ſed moleſtiam afferre. Quare qui vitæ totius hebdomadem nulla veteri malitia commiſtam, ſed ab ipſius fermento liberam tranſigit, temperantiam in victu tanquam obſonium adhibens, is ab omni tenebricoſa mixtione ſe ipſum auocat. Hoc enim quartædecimæ lunæ curſus ſignificat. Nam cùm totum ipſius curſum nouem & viginti dies cum dimidio conficiant, quo quidem ſpatio luna tum creſcendo circulum perficit, tum decreſcendo minuitur, vt omni prorſus luce deficiat, fit, vt horum dierum dimidium numeri quatuordecim dies & paulo amplius contineat. Cùm igitur proprio curſu progrediens nocturno ſpatio ſic orbem ſuum luce compleuerit, vt diei ſplendori nitorem adiungat ſuum, ſequitur, vt neque veſperi, neque mane tenebras vllas ſinat interponi, quibus continua lucis ſeries interrumpatur, cum in elementis perpetua luminis ſucceſſio maneat. Priuſquam enim ſolis occidentis radij planè deficiant, è regione cernitur luna, quæ luce ſua mundum illuſtrat. Et rurſum antequam hinc curſu confecto luna diſcedat, lucis eius reliquiis diei ſplendor adiungitur. Atque ita ex illa nocte, qua luna plena eſt, tenebræ penitus excluduntur, mutua Solis & Lunæ tum veſperi, tum mane ſucceſſione. Quod igitur luci ſenſibus expoſitæ quartadecima die contingit, vt per totam noctem atque diem nullam tenebrarum mixtionem admittat, D id ſpiritalis lex vult eſſe documentum, vt per totam vitæ hebdomadam præclarum vnum Paſcha & à tenebris remotiſſimum celebrantes, omne temporis ſpatium in luce tranſigamus. Hæc eſt celebrandi Paſchatis apud Chriſtianos inſtitutio, atque obſeruatio. Idcirco quartamdecimam hanc diem attendimus, vt ex hac luce, quæ ſenſu percipitur, & in materia ſita eſt,

lucem materia ſeiunctam, & quæ ſola mente comprehenditur, intelligamus, &, dum videmur lunam plenam inquirere, quæ perpetuum ex ſe lumen tota nocte præbeat, nihil aliud nobis ea re legem præſcribere exiſtimemus, niſi vt omne tempus, quod nox dieſque dimetitur, virtutibus illuſtratum & ſplendidum, & nullis tenebroſis actionibus permixtum inquinatúmve traducamus. Ac de his quidem ſatis. Quæ vero ad Crucē pertinent, per quam paſſionis myſteriū perficitur, quis ea facilè dicendo queat explicare? Annon enim innumerabiles erant moriendi rationes, quibus mortis pro nobis obeundæ conſilium expleri poterat? Hanc tamen ex omnibus vnam is, qui mortis, quam vellet, optionem habebat, ſibi delegit atque præſcripſit. Oportet enim, inquit, filium hominis. Non dixit, hæc & hæc filius hominis patietur, vt aliquis futura prænuntians ſimpliciter dixiſſet, ſed neceſſarium arcana quadam ratione, ac debitum eſſe ſignificat, dum, oportet, inquit, filium hominis multa pati, & reprobari, & tertia die reſurgere. Vim enim illius verbi, oportet, mihi conſidera, & inuenies id in ea contineri, vt ſignificet, fieri aliter non oportere, niſi vt per Crucem mors oppetatur. Quæ huiuſce rei cauſa? Pauli ſolius eſt eam exponere, per arcana illa verba, quæ in adytis Paradiſi conſtitutus audiuit: ſolius, inquam, Pauli eſt, hoc crucis myſterium explanare, quemadmodum etiam ex parte aliqua in epiſtola ad Epheſios facit, dum arcanum hoc patefaciēs, Vt poſſitis, inquit, comprehendere cum omnibus ſanctis, quæ ſit latitudo, & longitudo, & ſublimitas, & profundum, ſcire etiam ſupereminentem ſcientiæ charitatem Chriſti, vt impleamini in omnem plenitudinem Dei. Neque enim fruſtra diuinus ille Apoſtoli oculus Crucis figuram excogitauit. Sed ea item re facile oſtendit, ſe omnibus ignorantiæ ſquamis ab oculis mentis excuſſis, ipſam rerum veritatem clarè perſpexiſſe. Nouit enim, ea figura, quatuor cornibus è medio prouenientibus deſcripta, potentiam per omnia commeantem & prouidentiam illius, qui in ipſa manifeſtatus eſt ſignificari, & idcirco partes illius ſingulas propriis nominibus appellauit.

Matth. 16. *Marc* 8. *Luc.* 9. *Ioan.* 12.

Epheſ. 3.

A τὴν φαντασίαν ἀναλαμβάνοντες, ὡς τὸ μὴ δοκεῖν σελήνην πλήθουσαν ἐπιζητεῖν, τὸ παρ' ἑαυτῆς φέγγος διαρκὲς παρεχομένην ἡμῖν παννύχιον, τῇ δὲ ἀληθείᾳ, νόμον ἡμῖν εἶναι τὸ παράγγελμα τοῦ πάντα τὸν χρόνον τὸν νυκτὶ καὶ ἡμέρᾳ διαμετρούμενον, λαμπρὸν ἡμῖν διαρκῶς εἶναι, καὶ τῶν ἔργων τῶν σκοτεινῶν, ἀνεπίμικτον. καὶ περὶ μὲν τούτων, τοσαῦτα. ὅσα δὲ ὁ σταυρὸς ἐμπεριέχει νοήματα, δι' οὗ τελειοῦται τὸ περὶ τὸ πάθος μυστήριον, τίς ἂν ῥᾳδίως τῷ λόγῳ σαφηνίσειε; μὴ γὰρ οὐκ ἦσαν μυρίοι τρόποι πρὸς B θάνατον φέροντες, ὧν ἦν δυνατὸν πληρωθῆναι τὴν ὑπὲρ ἡμῶν τοῦ θανάτου οἰκονομίαν; ἀλλ' ἐκ πάντων ἐστὶν ὡρίσθη παρ' αὐτοῦ τοῦ ἑαυτοῦ κατ' ἐξουσίαν τὸ πάθος ὁρίσαντος. δεῖ γάρ, φησί, τὸν υἱὸν τοῦ ἀνθρώπου. οὐκ εἶπεν, καὶ τὰ πείσεται ὁ υἱὸς τοῦ ἀνθρώπου, ὡς ἄν τις ἁπλῶς εἴποι προαγορεύων τὸ λεγόμενον, ἀλλὰ τὸ ἀναγκαῖον κατά τινα λόγον ἀπόρρητον γενέσθαι ὀφείλει δογματίζει τῷ ῥήματι, ἐν τῷ εἰπεῖν ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ C ἀναστῆναι. κατανόησόν μοι γὰρ τοῦ δεῖ τὴν διάνοιαν, δι' ἧς εὑρίσκεται τὸ μὴ δεῖν ἄλλως ἢ διὰ τοῦ σταυροῦ γενέσθαι πάντως τὸ πάθος τὸ δογματιζόμενον. τίς οὖν ὁ περὶ τούτου λόγος; μόνου τοῦ μεγάλου Παύλου ἐστί, τοῦ ἐκ τῶν ἀῤῥήτων ῥημάτων παιδευθέντος, ἃ ἐν τοῖς ἀδύτοις τοῦ παραδείσου μυηθεὶς ἠκροάσατο· καὶ τὸ περὶ τούτου μυστήριον διασαφῆσαι, καθὼς ἐν μέρει διὰ τῆς πρὸς Ἐφεσίους λόγων τὸ κρυπτὸν ὑπῃνίξατο λέγων· ἵνα ἐξισχύσητε καταλαβέσθαι συμπᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος, τὸ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν ἀγάπην τῆς γνώσεως τοῦ D Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ. οὐ γὰρ ἀργῶς ὁ θεῖος ἐκεῖνος ὀφθαλμὸς τοῦ ἀποστόλου, τὸ σχῆμα τοῦ σταυροῦ κατενόησε. ἀλλ' ἔδειξε καὶ διὰ τούτου σαφῶς, ὅτι πάσας τῆς ἀγνοίας λεπίδας ἀποβαλὼν τῶν ὀμμάτων, πρὸς αὐτὴν ὁρᾷ καθαρῶς τὴν ἀλήθειαν. οἶδεν γὰρ ὅτι τὸ σχῆμα τοῦτο τέτρασι προβολαῖς ἀπὸ τῆς ἐν τῷ μέσῳ συμβολῆς μεριζόμενον, τὴν διὰ πάντων ἥκουσαν τοῦ ἐν αὐτῷ φανέντος δύναμίν τε καὶ πρόνοιαν διασημαίνει, καὶ τούτου χάριν ἑκάστην προβολὴν ἰδιαζούσαις κατονομάζει φωναῖς.

βάθος

A βάθος λέγων, τὸ ἐκ τοῦ μέσου κάτω, καὶ ὕψος τὸ ὑπερκείμενον· πλάτος δὲ καὶ μῆκος, τὸ ἐκ πλαγίου παρατεινόμενον μετὰ τὴν συμβολὴν ἑκατέρωθεν· ὡς τὸ μὲν, ἔνθεν τοῦ μέσου πλάτος· τὸ δὲ, ἑτέρωθεν μῆκος προσαγορεύεσθαι· δι' ὧν τοῦτο μοι δοκεῖ σαφῶς διασημαίνειν τῷ λόγῳ. ὅτι οὐδὲν τῶν ὄντων ἐστὶν, ὃ μὴ τῇ θείᾳ διακρατεῖται φύσει, τὸ ὑπερουράνιον, τὸ ὑποχθόνιον, τὸ ἐπὶ τὰ πέρατα τῶν ὄντων πάντοθεν ἐκ πλαγίου παρατεινόμενον. σημαίνει γὰρ διὰ μὲν τοῦ ὕψους, τὸ ὑπερκείμενον· διὰ δὲ τοῦ βάθους, τὸ ὑποχθόνιον· τῷ μήκει δὲ καὶ τῷ πλάτει, τὰ διὰ μέσου πέρατα, B τὰ ὑπὸ τῆς πάντα διακρατούσης δυνάμεως συνεχόμενα· ἔστω δὲ διὰ τῶν ἐν τῇ σῇ ψυχῇ γινομένων ἐν τῇ περὶ Θεοῦ ἐννοίᾳ ἡ τῶν λεγομένων ἀπόδειξις. ἀνάβλεψον γὰρ εἰς τὸν οὐρανὸν, καὶ τὰ κάτω βάθη τῷ λογισμῷ κατανόησον, ἔκτεινον ἐπὶ τὰ πλάγια καὶ τὰ ἄκρα τὰ τοῦ παντὸς συστάσεως τὴν διάνοιαν, καὶ λόγισαι τίς ἐστιν ἡ ταῦτα συνέχουσα δύναμις, οἷόν τις σύνδεσμος τοῦ παντὸς γινομένη. καὶ ὄψει ὡς αὐτομάτως ἐν τῇ διανοίᾳ ἡ περὶ τῆς θείας δυνάμεως ἔννοια τὸ σχῆμα τοῦ σταυροῦ ἐγχαράσσεται, C ἐκ τῶν ὑψηλοτέρων ἐπὶ τὰ βάθη καθῆκον, καὶ ἐπὶ τὰ πέρατα τῶν ἄκρων ἐγκαρσίως παρατεινόμενον. τοῦτο τὸ σχῆμα καὶ ὁ μέγας Δαβὶδ ἐν τῷ καθ' ἑαυτὸν ὕμνησε λέγων. ποῦ πορευθῶ, ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω. ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν· τοῦτο τὸ ὕψος. ἐὰν καταβῶ εἰς τὸν ᾅδην· τοῦτο τὸ βάθος. ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, ὅ ἐστιν ἡ ἀνατολὴ τοῦ ἡλίου· τοῦτο τὸ πλάτος. εἰ κατασκηνώσαιμι εἰς τὰ ἔσχατα τῆς θαλάσσης· οὕτω γὰρ τὰς δυσμὰς ὀνομάζει· τοῦτο τὸ μῆκος. ὁρᾷς πῶς διαζωγραφεῖ D τὸ τοῦ σταυροῦ σχῆμα, διὰ τῶν λεγομένων; σὺ εἶ, φησὶν, ὁ διὰ πάντων ἥκων, καὶ σύνδεσμος τῶν γινομένων, καὶ πάντα ἐν ἑαυτῷ διαλαμβάνων τὰ πέρατα. ἄνω σὺ εἶ, κάτω σὺ πάρει, ἐν τῷ πέρατι τούτῳ ἡ χείρ σου ἐστὶν, καὶ ἐν τῷ ἑτέρῳ ἡ δεξιά σου ὁδηγεῖ. διὰ τοῦτο καὶ ὁ μέγας ἀπόστολος, ἔνθα πληρωθῆ τὰ πάντα τῆς πίστεως καὶ ἐπιγνώσεως, προσκυνεῖσθαι λέγει τὸν ὑπὲρ πᾶν ὄνομα ὄντα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ὑπό τε τῶν οὐρανίων καὶ τῶν ἐπιγείων καὶ τῶν καταχθονίων, πάλιν καὶ διὰ τούτων κατὰ τὸ σχῆμα τοῦ σταυροῦ μερίζει τοῦ σταυροῦ τὴν προσκύνησιν.

Eam enim, quæ à medio deorſum vergit, profundum vocat: quæ autem ſurſum, ſublimitatem: latitudinem verò & longitudinem illas, quæ vtrinque tranſuerſæ protenduntur: vt, quæ hinc à medio producitur, latitudo; quæ autem illinc, longitudo nominetur: quib° apertè mihi videtur ſermone declarare, nihil in rebus creatis eſſe, quod non diuina natura incolume tueatur, quod eſt ſupra cœlos, quod ſub terra, quódque ad extrema mundi tranſuerſum vndique protenditur: Nam per altitudinem, id quod eſt ſurſum; per profundum, quod ſubterraneum; per longitudinem & latitudinem in medio poſita extrema ſignificat, quæ à virtute torum hoc vniuerſum tuente continentur. Potes autem ex iis quæ in anima tua fiunt, ea quæ de Deo cogitanda ſunt declarata contemplari. Cœlum enim ſuſpice, & partes infimas animo complectere, extremóſque ac ſummos orbis terminos cogitatione comprehende, atque conſidera, quænam potentia tanquam vniuerſitatis vinculum hæc omnia deuinciat, atque contineat. Videbiſque ſponte ſua in ea diuinæ potentiæ contemplatione Crucis figuram exprimi in animo ac mente tua, à ſuperis ad infera, ab extremis ad extrema protentam, atque deſcriptam. Figuram hanc magnus etiam Dauid de ſe loquens expreſſit; Quò ibo, inquit, à ſpiritu tuo, & quò à facie tua fugiã? Si aſcendero in cœlũ (hæc eſt ſublimitas) tu illic es. Si deſcendero in infernum (hoc eſt profundum) ades. Si ſumpſero pennas meas diluculo, id eſt, ad ortum ſolis (hęc eſt latitudo.) Et habitauero in extremis maris: ſic enim occaſum appellat (hæc eſt longitudo.) Cernis quo modo Crucis figuram deſcribat? Tu es, inquit, qui per omnia commeas, qui cuncta deuincis, qui in te ipſo comprehendis vniuerſa. Tu ſupra es, tu es infra, In hac extrema parte manus eſt tua, & in altera viæ dux eſt dextera tua. Ob id magnus item Apoſtolus, cum omnia fide & cognitione repleta fuerint, fore dicit, vt is, qui ſuper omnia eſt, in nomine Ieſu Chriſti adoretur, & à cœleſtibus, & à terreſtribus, & ab infernis: quibus verbis per crucis figuram diuidit Chriſti adorationem.

Pſ. 138.

Philip. 2.

AAAA

Cœleſtis enim regio in ſublimis crucis A parte adorationis cultum exhibet, mundana in mediis, inferna ad profundum pertinet. Idem mea quidem ſententia ſignificat etiam Iota illud, ſi cum apice
Matth. 5. coniunctum cōſideretur, quod & cœlo ſtabilius, & terra firmius, & omni rerum conſtitutione certius eſt. Cœlum enim & terra tranſibunt, & huius mundi figura præterit: Iota autem ex lege, & apex vnus non præterit. Linea recta è
Matth. 24. 1. Cor. 7. ſublimi in imum deſcendens Iota dicitur. Obliquè autē ad latera pertingens apex nōminatur, id quod ab ipſis nauigantibus licet diſcere, qui lignum illud B tranſuerſum malo adiacens, cui vela ſuſpendunt, Græcè eodem nomine quo apicem nominant, nempe ceræam. Quamobrem diuina hæc Euāgelij verba mihi videntur in Crucis figura tanquam ænigmate & ſpeculo quodam illud oſtendere, in quo omnia conſiſtetunt, quod omnibus, quæ in ipſo continentur, ſtabilius eſt, atque æternum: cuius potentia cuncta moderatur. Proinde Dominus ait, oportere filium hominis, nō ſimpliciter mori, ſed crucifigi,
Matth. 20. Ioan. 12. 1. Cor. 5. vt crux Deum geſtās, aduerſariis omnipotentē illius, qui in ipſa penderet, vim, C quique omnia in omnibus eſt, figura ſua patefaceret. Nobilis ille ſenator Ioſeph, fratres, ab Arimathæa non eſt nobis ſilentio prætereundus, qui cùm immaculati ſanctique illius corporis munus accepiſſet, ſindone mundo illud inuoluit, & in monumento nouo ac puro collocauit. Quod ab honeſto hoc ſenatore geſtum eſt, nobis ſit tanquā lex, vt idem nos quoque præſtemus, cum illud corporis munus ſuſcipimus, ne id ſordido conſcientiæ linteo inuoluamus, néve in cordis monumēto mortuorum oſſibus, omniq; immunditia pleno reponamus.
1. Cor. 11. Sed vnuſquiſque, vt ſcribit Apoſto- D lus, ſe ipſum probet, ne munus indignè ſuſcipienti ſit in iudicium. Verùm, dum hæc loquor, lucida Angeli ſtola mentis aciem mihi perſtringit, & dulcis ille terræmotus, quo grauis ille humani monumenti lapis reuolutus eſt, omnibúſque reſurrectionis fores patefactæ ſunt, præ voluptate cor meum concutit. Curramus & nos ad conſpiciendum ſpectaculum hoc nouum, & admirabile.

A ἡ μὲν γὰρ ὑπερκόσμιος λῆξις, εἰς τὸ ἄνω τοῦ σταυροῦ μέρος τῷ δεσπότῃ πληροῖ τὴν προσκύνησιν· ἡ δὲ ἐγκόσμιος ἐν τοῖς μέσοις· ἡ δὲ ὑποχθόνιος, τοῦ βάθους ἔχεται. τοῦτο καὶ τὸ Ἰῶτα ἐστὶ κατὰ τὸν ἐμὸν λόγον, τὸ μετὰ τῆς κεραίας θεωρούμενον, ὃ καὶ τοῦ οὐρανοῦ μονιμώτερον, καὶ τῆς γῆς σταθερώτερον, καὶ πάσης τῆς τῶν ὄντων συστάσεως διαρκέστερον. ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, καὶ ὅλου τοῦ κόσμου παράγει τὸ σχῆμα· τὸ δὲ ἰῶτα ἐκ τοῦ νόμου, καὶ ἡ κεραία οὐ παραδέχεται. ἡ ἐγκάθετος γραμμὴ, ἡ ἄνωθεν ἐπὶ τὸ βάθος καθήκουσα, ἰῶτα λέγεται. ἡ δὲ B ἐγκαρσίως ἀγομένη διὰ πλαγίου κεραία ὀνομάζεται, καθὼς ἐστὶ καὶ παρὰ τῶν ναυτιλλομένων τοῦτο μαθεῖν. τὸ γὰρ ξύλον τὸ διὰ πλαγίου τῷ ἱστῷ ἐπικείμενον, οὗ καὶ τὴν ὀθόνην ἐξαπλοῦσι, κεραίαν λέγουσιν ἐκ τοῦ σχήματος ὀνομάζοντες. διό μοι δοκεῖ πρὸς τοῦτο βλέπειν ἡ θεία τοῦ εὐαγγελίου φωνή. ὅτι ἐκεῖνο ἐστὶν ἐν ᾧ τὰ πάντα συνέστηκε, τὸ τῶν ἐν αὐτῷ περιεχομένων ἀϊδιώτερον, ὃ τὴν ἑαυτοῦ δύναμιν τὴν συντηρητικὴν πάντων τῶν ὄντων, οἷον δι' αἰνίγματος καὶ ἐσόπτρου τινὸς τῷ κατὰ τὸν σταυρὸν σχήματος ὑποδείκνυσι. διὰ δὴ τοῦτο, φησὶν, ὅτι δεῖ τὸν υἱὸν τοῦ C ἀνθρώπου, οὐχ ἁπλῶς ἀποθανεῖν, ἀλλὰ σταυρωθῆναι, ἵνα γένηται τοῖς διορατικωτέροις θεολόγος ὁ σταυρὸς τὴν παντοδύναμον ἐξουσίαν τοῦ ἐπ' αὐτῷ δειχθέντος, καὶ πάντα ἐν πᾶσιν ὄντος, διακηρύσσων τῷ σχήματι. μὴ παρασιωπήσωμεν, ἀδελφοὶ, μηδὲ τὸν εὐσχήμονα βουλευτὴν ἐκεῖνον, τὸν ἀπὸ Ἀριμαθίας Ἰωσὴφ, ὃς δῶρον τὸ ἄχραντον καὶ ἅγιον ἐκεῖνο σῶμα λαβὼν, καθαρὰν περιτίθησιν αὐτῷ σινδόνα, καὶ καθαρῷ μνημείῳ ἐναποτίθεται. νόμος ἡμῖν ἔστω τὸ τοῦ εὐσχήμονος ἐκείνου βουλευτοῦ ἔργον, τοῦ καὶ ἡμᾶς ὁμοίως βουλεύεσθαι, ὅταν λάβωμεν ἐκεῖνο τὸ δῶρον τοῦ σώ- D ματος, μὴ ἐρρυπωμένῃ τῇ τῆς συνειδήσεως σινδόνι λαμβάνειν, μηδὲ ὀδωδότι ἐξ ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας τῷ μνήματι τῆς καρδίας ἐναποτίθεσθαι· ἀλλὰ, καθώς φησιν ὁ ἀπόστολος, δοκιμαζέτω ἕκαστος ἑαυτὸν, ἵνα μὴ κρίμα ἡ χάρις γένηται τῷ ἀναξίως δεχομένῳ τὴν χάριν. ἀλλὰ γὰρ μεταξὺ λέγων αἰσθάνομαι τῇ φωτεινῇ στολῇ τοῦ ἀγγέλου καταστραπτόμενος, καί μου διασείει ὑφ' ἡδονῆς τὴν καρδίαν ὁ γλυκὺς ἐκεῖνος σεισμὸς, ὁ τὸν βαρὺν λίθον τοῦ ἀνθρωπίνου μνήματος ἀποκυλίων, δι' οὗ ἀνοίγεται πᾶσιν ἡ θύρα τῆς ἀναστάσεως. δράμωμεν καὶ ἡμεῖς ἐπὶ τὴν θέαν τοῦ παραδόξου θεάματος.

διαφέγγει γὰρ ἤδη τὸ σάββατον, μὴ κατόπιν τῶν A γυναικῶν ἀπαντήσωμεν. ἔστω καὶ ἐν ταῖς ἡμετέραις χερσὶν τὰ ἀρώματα, ἡ πίστις καὶ ἡ συνείδησις. αὕτη γὰρ τοῦ Χριστοῦ ἐστιν ἡ εὐωδία. μηκέτι μετὰ τῶν νεκρῶν τὸν ζῶντα ζητήσωμεν. τὸν γὰρ οὕτως αὐτὸν ζητοῦντα, ἀπωθεῖται ὁ κύριος, λέγων· μή μου ἅπτου· ἀλλ' ὅταν ἀναβῶ πρὸς τὸν πατέρα, τότε σοι ἔξεστιν ἅπτεσθαι. ἀκούσωμεν τί εὐαγγελίζεται καὶ ἡ γυνὴ ἡ προλαβοῦσα τὸν ἄνδρα διὰ τῆς πίστεως, καὶ καλῶς τοῦτο ποιήσασα, ἵνα διὰ τοῦ κατάρξασθαι πρὸς τὸ ἀγαθὸν περὶ τῆς τοῦ κακοῦ αἰτίας ἀπολογήσηται· B τί οὖν ἐστι τὸ τῆς γυναικὸς εὐαγγέλιον; ὄντως οὐκ ἐξ ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ. ἄκουε γάρ, φησιν, ὃ ἐντέταλται ἡμῖν ὁ κύριος πρὸς ὑμᾶς εἰπεῖν, ὑμᾶς οὓς καὶ ἀδελφοὺς αὐτοῦ κατονομάζει, ὅτι πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. ὢ καλόν τε καὶ ἀγαθὸν εὐαγγέλιον· ὁ δι' ἡμᾶς γενόμενος καθ' ἡμᾶς, ἵνα διὰ τοῦ γενέσθαι ἡμῖν ὁμογενής, ἀδελφοὺς ἡμᾶς ἑαυτοῦ ποιήσῃ, προσάγει τὸν ἑαυτοῦ ἄνθρωπον τῷ ἀληθινῷ πατρί, C ἵνα δι' αὐτοῦ ἅπαν τὸ ὁμογενὲς ἐφελκύσηται, ὡς μηκέτι ὄνειδος εἶναι τοῖς δουλεύσασι τοῖς μὴ φύσει οὖσι θεοῖς· διὰ τὸ προσαχθῆναι πάλιν τῷ ζῶντι καὶ ἀληθινῷ Θεῷ, μηδὲ ἀποβλήτους καὶ ἀποκηρύκτους τῆς πατρῴας κληρονομίας γενέσθαι, τοὺς τῷ υἱῷ διὰ τῆς υἱοθεσίας ἀκολουθήσαντας. ὁ ἐν πολλοῖς ἀδελφοῖς πρωτότοκος διὰ τῆς σαρκὸς ποιήσας ἑαυτόν, πᾶσαν τὴν κτίσιν ἧς ἐκοινώνησε διὰ τῆς ἀνακραθείσης αὐτῷ σαρκὸς ἐπεσπάσατο. ἀλλ' ἐπειδὴ ὁ πρὸ τοῦ D πάσχα ἄρτος ὁ ἄζυμος, ὄψον τὴν πικρίδα ἔχει, ἴδωμεν τίνι ἡδύσματι ὁ μετὰ τὴν ἀνάστασιν ἄρτος ἡδύνεται. ὁρᾷς τοῦ Πέτρου ἁλιεύοντος ἐν ταῖς χερσὶ τοῦ κυρίου ἄρτον καὶ κηρίον μέλιτος; νόησον τί σοι ἡ πικρία τοῦ βίου κατασκευάζεται. οὐκοῦν ἀναστάντες καὶ ἡμεῖς ἐκ τῆς τῶν λόγων ἁλείας, ἤδη τῷ ἄρτῳ προσδράμωμεν, ὃν καταγλυκαίνει τὸ κηρίον τῆς ἀγαθῆς ἐλπίδος, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Sabbatum enim iam illuxit. Ne permittamus, vt mulieres anteuertant. Sint etiam in manibus noſtris aromata fidei, puræque conſciētiæ. In his enim cōſiſtit bonus odor Chriſti. Ne quæramus amplius viuentē cum mortuis. Dominus enim eū à quo ſic requiritur, reijcit & arcet, dicēs, Noli me tāgere: cùm autē aſcēdero ad patrē, tunc me licebit attingere. [Ideſt, cùm nō corporeā amplius, ſeruilémque formā, ſed eum, qui eſt in gloria patris, qui eſt in forma Dei, & Deum Verbum, fidei conceperitis, tunc me, non autem ſimplicem ſerui formam, adoretis.] Audiamus bonum nuntium, quē nobis mulier affert, quæ fide prior, quàm vir, accedit, ac merito quidē, vt incipiēs ipſa ad bonū currere, diluat crimen, in quod incidit, cū antè cucurrit ad malum. Ecquod igitur eſt hoc mulieris Euangeliū? Nō ex hominibus profectò, neque per homines, ſed per Ieſum Chriſtum. Audite, inquit, quod mihi Dominus, vt vobis quos fratres etiam nominat, nuntiarē, ipſe mandauit. Aſcendo, inquit, ad patrem meum, & patrem veſtrum, Deum meum, & Deum veſtrum. O nuntium præclarum & bonum! Qui pro nobis factus eſt homo, is cùm ſit Vnigenitus, quo nos fratres efficiat ſuos, ſe hominem ad verum patrem adducit, vt per ſe ipſum omnes cognatos ſecum trahat, ne poſſit illis amplius obijci, quòd eos, qui natura Dij non ſunt, adorauerint. Etenim cum ad viuentem & verum Deum adorandum reuocati ſint, ab hæreditate paterna tanquam reiecti reprobatíque non poſſunt excludi, quoniam filium verum ipſi per adoptionem filij ſecuti ſunt. Qui multis in fratribus primogenitum creaturæ ſe per carnem efficiens, omnem naturam humanam, cuius particeps eſſe voluit, aſſumptæ carnis neceſſitudine ſibi coniunxit. Sed quia panis azymus ante Paſcha pro obſonio herbas amaras habet, videamus qua iucunditate poſt Reſurectionem panis efficiatur dulcis. Cernis in manibus Domini Petro piſcante panem, & fauum mellis? Inde conſidera, in quid amaritudo vitę commutetur. Quare nos item ex piſcatu verborum Dei iam ad panem illum cœleſtem accurramus, quem ſpei fauus dulcē reddit in Chriſto Ieſu Domino noſtro, cui gloria & potentia vnà cum patre & Spiritu ſancto, nunc & ſemper, & in ſæcula ſæculorum, Amen.

A

EIVSDEM DE RESVRRECTIONE DOMINI NOSTRI Ieſu Chriſti, & quod nullo modo inter ſe contrarij Euangeliſtæ diuerſis modis memoriæ prodiderint ea, quæ acciderunt in reſurrectione Emmanuelis.

Laurentio Siſano interprete.

ORATIO II.



VAMQVAM omnes quidem propemodum, dilecti, eam quæ à nobis in dominica nocte commodè atque competenter introducta eſt, Euangeliorum approbant lectionem de reſurrectione magni Dei & ſeruatoris noſtri Ieſu Chriſti: nonnulli tamen vtilitatem quidem ſe ſenſiſſe non negant, ſed quod putent ſe aliquantò tectius & obſcurius doctos eſſe de eadem re non eadem ſed contraria, & auditorem magis ad incredulitatem inducentia dicentibus Euãgeliſtis, perturbari ſe aiunt. Cui enim credendum eſt? Matthæo, qui veſperi ſabbatorum reſurrectionem accidiſſe ſcribit? an Ioanni, qui hoc idem mane, cùm adhuc tenebræ eſſent, cõtigiſſe memoriæ prodidit? An Lucæ & Marco: quorum hic ortum ſolis, ille profundum diluculum eundem articulum temporis, quo illa contigerint, nominauit? Ad ſolutionem igitur propoſiti dubij, aliarúmque circa ſcrutationem dictorum exorientium quæſtionum, excitari nos licet infirmos à Deo, qui reſurrexit, & planam adhibere interpretationẽ oportet. Etenim eum qui ſemen lectionis deiecit, eamque in auribus vniuerſorum ſparſit, æquum eſt inde quoque ortarum quæſtionum reddere rationem. Hoc itaque facere etiam, atque ex illis ipſis, quæ ſuper his dubitãtes dicebant, rationem inferre conabor. Neque enim ſacri Euangeliorũ ſcriptores, vel veſperi ſabbatorũ, vel maiori parte noctis præterita, vel diluculo rurſus, vel poſt ſolaris radij emerſum, reſurrexiſſe Dominũ dixerũt. (Sic enim cõtrarietas eſſet, ſi vnũ factũ, non in vno potius, ſed in diuerſis temporibus accidiſſe ſcriptores memoriæ prodidiſſent.) Sed mulieres ſcripſerunt,

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΗΣ ἀναστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ὅτι κατὰ μηδὲν ἀλλήλοις ἐναντιωθέντες οἱ εὐαγγελισταὶ, διαφόρως τὰ συμβεβηκότα τῇ ἀναστάσει τοῦ Ἐμμανουὴλ ἱστόρησαν.

ΛΟΓΟΣ Β'.

B ΑΝΤΕΣ μὲν, ἀγαπητοὶ, ὡς εἰπεῖν ἀποδέχονται τὴν ἐν τῇ κυριακῇ νυκτὶ παρ' ἡμῶν εἰσηγηθεῖσαν ἁρμοδίως τῶν ἱερῶν εὐαγγελίων ἀνάγνωσιν, περὶ τῆς ἀναστάσεως τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τινὲς μὲν τὸ μὲν ὠφελεῖσθαι ὁμολογοῦσι, πυκνότερον δέ πως ἀκροᾶσθαι δοκοῦντες ταράττεσθαι φασὶ, τῶν εὐαγγελιστῶν μὴ τὰ αὐτὰ λεγόντων περὶ τοῦ αὐτοῦ πράγματος, ἀλλ' ἐναντία, καὶ τὸν ἀκροατὴν μᾶλλον, πρὸς τὴν ἀπιστίαν ἐναγόντων. C τίνι γὰρ πιστευτέον; Ματθαίῳ γράφοντι τὴν ἀνάστασιν, ὀψὲ γεγενῆσθαι σαββάτων; ἢ Ἰωάννῃ τὸ αὐτὸ τοῦτο συμβεβηκέναι πρωῒ ἔτι σκοτίας οὔσης, ἱστορηκότι; ἢ Λουκᾷ καὶ Μάρκῳ· τῷ μὲν, ὄρθρον βαθύν· τῷ δὲ, ἀνατολὴν ἡλίου τὸν αὐτὸν καιρὸν ὀνομάσασι; πρὸς οὖν τὴν τοῦ ὑποκειμένου προβλήματος λύσιν, καὶ τῶν ἄλλων τῶν κατὰ τὴν ἐξέτασιν τῶν ῥητῶν ἀναφυομένων ζητήσεων, διεγερθῆναι δεῖ παρὰ τοῦ ἀναστάντος Θεοῦ· καίτοι ἀσθενεῖς ὄντας ἡμᾶς καὶ τὴν ἑρμηνείαν παραστῆσαι σαφῆ. καὶ γὰρ D ὁ τὸ σπέρμα τῆς ἀναγνώσεως καταβαλλόμενος, καὶ ταύτην πλατύνας ἐν ταῖς ἁπάντων ἀκοαῖς, δίκαιός ἐστι καὶ τῶν φυέντων ἐντεῦθεν ἐρωτημάτων ἀποδοῦναι τὸν λόγον. τοῦτο δὴ καὶ ποιῆσαι πειράσομαι, ἐξ αὐτῶν ὧν οἱ ἐπαπορήσαντες ἔφασαν τὴν λύσιν ἐπαγαγεῖν. οὐδὲ γὰρ εἶπον οἱ τῶν εὐαγγελίων ἱεροὶ συγγραφεῖς, ὀψὲ σαββάτων, ἢ παρῳχηκότος τοῦ πλείονος τῆς νυκτὸς, ἢ ὄρθρου πάλιν, ἢ μετὰ τὴν τῆς ἡλιακῆς ἀκτῖνος βολὴν ἐγηγέρθαι τὸν κύριον. οὕτω γὰρ ἂν ἐναντίωσις ἦν τὸ ἓν πρᾶγμα τῶν συγγεγραφότων, οὐκ ἐνὶ μᾶλλον, ἀλλ' ἐν διαφόροις ἱστορησάντων γεγενῆσθαι καιροῖς. ἀλλὰ τὰς γυναῖκας ἔγραψαν,

ἄλλοτε ἄλλως ἐπιπαραγενέσθαι τῷ τάφῳ, καὶ οὐ κατὰ τὸν αὐτὸν καιρόν· πῶς γὰρ τὰς διαφόρως ἐλθούσας; πάσας δὲ ὁμοίως ἀκηκοέναι παρὰ τῶν ἀγγέλων περὶ τοῦ σωτῆρος, ὅτι ἠγέρθη, οὐκ ἔστιν ὧδε, μὴ προστεθέντος τοῦ πότε. ὡς καὶ ἐκείνην μὲν ὁμολογουμένως καὶ συμφώνως τὴν θείαν νύκτα τῆς ἀναστάσεως γενομένης· μηδενὸς δὲ τὴν ὥραν ἐπισημηναμένου, τὴν πᾶσιν ἄγνωστον, πλὴν τοῦ ἀναστάντος Θεοῦ, καὶ τοῦ πατρὸς τοῦ μόνου γινώσκοντος οὕτω τὸν υἱὸν, ὡς αὐτὸς ἔγνωσται τῷ πατρί· καὶ τοῦ πνεύματος τοῦ πάντα ἐρευνῶντος, καὶ τὰ βάθη τοῦ Θεοῦ. Ματθαῖος γὰρ ἔφη Μαρίαν τὴν Μαγδαληνὴν καὶ τὴν ἄλλην Μαρίαν ὀψὲ σαββάτων ἐπὶ τὴν θέαν ἐληλυθέναι τοῦ τάφου· σεισμόν τε γεγενῆσθαι μέγαν· ἄγγελον δὲ καταβεβηκέναι ἐξ οὐρανοῦ, τὸ μὲν εἶδος ἀστραπῇ, χιόνι δὲ τὴν στολὴν παραπλήσιον, ἵνα τῷ μὲν φοβερῷ καταπλήξῃ τοὺς φύλακας· οἳ καὶ τὴν θέαν οὐκ ἀνεχόντες, μικροῦ καὶ ἀπώλοντο καταστάντες, τῷ δέει νεκροί· τῷ φαιδρῷ δὲ, προσκαλέσηται τὰς γυναῖκας, καὶ θάρσος ἐμποιήσῃ, ταῖς τὴν φύσιν εὐπτοήτοις καὶ δειλαῖς, καὶ τὴν ἀνάστασιν δι' αὐτοῦ τοῦ σχήματος ἀναγγείλῃ περιχαρῶς. ἐπεὶ καὶ τούτων χάριν ἀπέσταλτο. τὸν γὰρ λίθον ἀποκυλίσας, εὗρεν ἐγηγερμένον τὸν κύριον, κεκλεισμένον τὸν τάφον, καὶ ταῖς σφραγῖσι κατησφαλισμένον, καὶ τῇ στρατιωτικῇ φρουρᾷ πεφυλαγμένον, ἀπολειπόντα θεοπρεπῶς, ὃν τρόπον καὶ τῶν θυρῶν κεκλεισμένων εἴσω τοῦ δωματίου γενόμενος τοῖς μαθηταῖς ἐπεφοίτησε. διὸ καὶ ἔλεγεν· οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μηνύων ὁ ἄγγελος τῆς οἰκείας ἀφίξεως προτεθαυματουργῆσθαι τὴν τοῦ σωτῆρος ἀνάστασιν, ἣν ὡς Θεὸς ἰδίᾳ δυνάμει πληρώσας, τὴν οἰκονομίαν ἐνήργησεν, ἀγγελικῆς συμμαχίας οὐ δεηθείς. Εἰ γὰρ τοῦτο μὴ ἦν, εἶπεν ἄν, ἰδοὺ ἐγείρεται, δηλῶν τὸ παραυτίκα γινόμενον· ἐπειδὴ δὲ προεγεγόνει τῷ παρεληλυθότι χρόνῳ χρησάμενος, ἔφησεν· οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. κἀκεῖ δὲ ἐκ τούτου δείκνυται σαφῶς ὡς οἱ ἀπόστολοι κηρύττοντες τὸ εὐαγγέλιον, ἔλεγον τὸν Χριστὸν ἐγηγέρθαι ὑπὸ τοῦ πατρὸς, διὰ τὸ τῶν ἀκουόντων ἀσθενὲς, εὐπαράδεκτον τὸν λόγον ταύτῃ κατασκευάζοντες.

A alio tempore alias ad ſepulchrum veniſſe, & non circa eundem temporis articulum (quomodo enim eas, quæ diuerſis temporibus venerunt?) omnes verò ſimiliter audiuiſſe ab angelis dè ſeruatore, Surrexit, non eſt hîc: non adiecto quando. Quaſi in illa diuina nocte abſque controuerſia, & in hoc omnibus conſentientibus reſurrectio quidem acciderit, nemo verò horam notauerit, quæ omnibus ignota erat, præterquam cùm Deo, qui reſurrexit: tum patri, qui ſolus ita noſcit filium, vt ipſe cognitus eſt à filio: tum ſpiritui, B qui omnia ſcrutatur, etiam profunditates Dei. Matthæus enim dixit Mariam Magdalenam & aliam Mariam veſperi ſabbatorum veniſſe ad videndum ſepulchrum: terræmotum autem factum eſſe magnum: atque angelum de cœlo deſcendiſſe, cuius aſpectus quidem fulguri, ſtola verò niui haud diſſimilis fuerit, vt ipſo terribili quidem habitu perterrefaceret cuſtodes, qui etiam non ferentes viſionem, parum abfuit, quin perirent, mortui facti metu: candore verò inuitaret C mulieres, & fiduciam inijceret natura timidis ac formidoloſis, reſurrectionémque per ipſum habitum cum ingenti lætitia annunciaret. His enim de cauſſis miſſus erat. Cùm enim lapidem reuoluiſſet, reperit reſurrexiſſe Dominum, ſepulchro quod ſigillis munitum fuerat, ac præſidio militum cuſtodiebatur, ſicut Deum decebat, clauſo relicto, quemadmodum clauſis quoque ianuis penetrans in domicilium ad diſcipulos acceſſit. Quare etiam dicebat: Non eſt hîc, ſed ſurrexit: ſignificans Angelus ante ſuum D aduentum admirabiliter accidiſſe reſurrectionem ſeruatoris, quam vt Deus propria virtute exequens in iis, quæ diſpoſita ac deſtinata erant, peragendis nullum angelorum auxilium deſiderauit. Niſi enim hoc ita eſſet, dixiſſet: Ecce reſurgit, ſignificans id, quod ſtatim fieret: ſed quoniam ante factum erat, præterito tempore vtens dixit: Non eſt hîc, ſed ſurrexit. Atque illud etiam ex hoc aperte demõſtratur, quòd Apoſtoli cùm prædicarent Euangelium propter infirmitatem audientium dicebant Chriſtum reſuſcitatum eſſe à patre, acceptabilem & commendabilem hoc modo ſermonem reddentes.

Matth. 28.

Sed angelus, qui primus reſurrectionis annũtiatricem vocem rupit, nudam deſignans ac maieſtatis pleniſſimam Deóque maximè conuenientem eius, qui reſurrexerat, poteſtatẽ, clamabat: Non eſt hic, ſed ſurrexit. Itaque quòd dicitur eum reſuſcitatum eſſe à patre, audientium quidem, vt dixi, diſponebat atque moderabatur infirmitatem, eundem verò continet, & non alium intellectum. Nam in quo operatur pater? In propria potentia videlicet & virtute. Quænam eſt autem virtus ac potentia patris? Nemo alius præterquã Chriſtus: Chriſtus enim Dei virtus ac potentia, Deique ſapientia eſt. Ergo ſeipſum reſuſcitauit Chriſtus, etſi à patre dicitur eſſe reſuſcitatus. Cæterùm ὀψὲ σαββάτων, id eſt ſerò vel veſperi ſabbatorum, non ſignificat veſperum, qui poſt occaſum ſolis fuit: neque enim ſingulariter dixit, ſerò ſabbati, ſed pluraliter, ſerò ſabbatorum. Sabbata verò omnẽ ſeptimanam vocare ſolent Hebræi. Nam ne longius abeas, Euangeliſtæ, vno ſabbatorum, inquiunt: cùm dicendum fuiſſet, primo die ſeptimanæ. Sic nimirum etiam in communi conſuetudine vtimur, ſecundum ſabbatorũ, & tertium ſabbatorum appellantes ſecundum & tertium diem ſeptimanæ. Non dixit igitur, ſerò ſabbati, aut veſperi ſabbati, vt veſperum illius diei ſignificaret: ſed ſerò ſabbatorum, vt tardius, & multum diſtans indicaret. Etenim aliquando nos quoque ita dicere ſolemus, ὀψὲ τοῦ καιροῦ παραγέγονας, id eſt, ſerò vel tardius ad tempus veniſti: ὀψὲ τῆς ὥρας, id eſt ſerò vel tardius ad horam: ὀψὲ τῆς χρείας, id eſt, ſerò ac tardius, quàm vſus & neceſſitas poſtulaſſet: non veſperam, neque tempus, quod poſt occaſum ſolis eſt, ſignificantes: ſed tardius, & poſt quã vſus & neceſſitas poſtulauerit, aut poſt tempus cõmodum & opportunũ factum eſſe quippiã hoc modo indicãtes. Atq; ὀψὲ σαββάτων, id eſt, ſerò, vel veſperi ſabbatorum, lõgius & tardius præteritæ ſeptimanæ tempus ſignificat. Impletur quælibet ſeptimana occaſu ſolis ſabbatum excipiente. Nam etiam Matthæus cùm temporis articulum, qui multum diſtabat à fine expletæ ſeptimanæ, ſignificaret, & quaſi ſeipſum interpretaretur, adiecit, quæ illuceſcit in vnã ſabbatorum. Præterierat, inquit, in tantũ nox, vt eſſet tempus gallorum cantus, qui cantus lucem futuri diei præcedit. Tũc nimirum atque in hoc articulo temporis, non autem veſpera quæ ſabbatum inſequitur, finientes ic-

A ὁ δὲ ἄγγελος τὴν εὐαγγελιζομένην τὴν ἀνάστασιν ῥήξας φωνὴν, γυμνὴν ἐκφαίνων τὴν θεοπρεπεστάτην ἐξουσίαν τοῦ ἀναστάντος ἐβόα· οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. καὶ τὸ ἐγηγέρθαι δὲ αὐτὸν ὑπὸ τοῦ πατρὸς λέγεσθαι, τὴν μὲν ἀκουόντων ὡς ἔφην οἰκονομεῖ τὸ ἀσθενές· τὸν δὲ αὐτὸν ἔχει νοῦν, καὶ οὐκ ἕτερον. ἐν τίνι γὰρ ὁ πατὴρ ἐνεργεῖ; ἐν τῇ οἰκείᾳ δυνάμει δηλονότι. τίς δὲ ἐστὶν ἡ δύναμις τοῦ πατρὸς; οὐδεὶς ἄλλος, ἢ ὁ Χριστός· Χριστὸς γὰρ Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία. οὐκοῦν ἑαυτὸν ἀνέστησεν ὁ σωτὴρ

B εἰ καὶ ὑπὸ τοῦ πατρὸς ἐγηγέρθαι λέγεται. τὸ δὲ ὀψὲ σαββάτων, οὐ τὴν ἑσπέραν τὴν μετὰ τὴν δύσιν τοῦ ἡλίου δηλοῖ· οὐδὲ γὰρ ἑνικῶς εἶπεν ὀψὲ σαββάτου, ἀλλὰ πληθυντικῶς ὀψὲ σαββάτων. σάββατα δὲ τὴν πᾶσαν ἑβδομάδα καλεῖν Ἑβραίοις ἔθος. αὐτίκα γοῦν οἱ εὐαγγελισταὶ τῇ μιᾷ τῶν σαββάτων. φασὶ δὲ τῇ πρώτῃ ἡμέρᾳ τῆς ἑβδομάδος εἰπεῖν. οὕτω δὲ καὶ ἐν τῇ συνηθείᾳ κεχρήμεθα, δευτέραν σαββάτων, καὶ τρίτην σαββάτων προσαγορεύοντες τὴν δευτέραν καὶ τρίτην τῆς ἑβδομάδος ἡμέραν. οὐκ εἶπεν οὖν, ὀψὲ σαββάτου, ἢ ἑσπέρας

C σαββάτου, ἵνα τὴν ἑσπέραν τῆς ἡμέρας ἐκείνης δηλώσῃ· ἀλλ' ὀψὲ σαββάτων, ἵνα τὸ βράδιον καὶ πολὺ διεστηκὸς ἐμφήνῃ. καὶ γάρ που καὶ οὕτως ἡμῖν σύνηθες λέγειν, ὀψὲ τοῦ καιροῦ παραγέγονας· ὀψὲ τῆς ὥρας, ὀψὲ τῆς χρείας· οὐχὶ τὴν ἑσπέραν, καὶ τὸν μετὰ ἡλίου δυσμὰς χρόνον δηλοῦσιν· ἀλλὰ τὸ βράδιον, καὶ κατόπιν τῆς χρείας, ἢ τοῦ καιροῦ γενέσθαι τὸν τρόπον τοῦτον μηνύουσι. καὶ τὸ ὀψὲ σαββάτων, τὸ πόῤῥω καὶ βράδιον τῆς παρῳχηθείσης ἑβδομάδος δηλοῖ. πληροῦται δὲ ἑβδομὰς ἑκάστη, ταῖς μετὰ τὸ σάββατον ἡλίου δυσμαῖς, ἀμέλει καὶ τὸ πολὺ

D διεστηκὸς τοῦ καιροῦ πρὸς τὸ τέλος τῆς πληρωθείσης ἑβδομάδος ὁ Ματθαῖος δηλῶν, καὶ ὥσπερ ἑρμηνεύων ἑαυτὸν, ἐπήγαγε τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων. προκεχωρήκει, φησὶν, ἡ νὺξ, τοσοῦτον, ὡς εἶναι τὸν καιρὸν τῆς τῶν ἀλεκτρυόνων βοῆς, ἥ τις τὸ φῶς τῆς μελλούσης ἡμέρας προανακρούεται. ταύτῃ τοι, καὶ ἐν τῷ καιρῷ τούτῳ, καὶ οὐ τῇ μετὰ τὸ σάββατον ἑσπέρας κα-

παραλύοντες τὰς νηστείας τῆς εὐφροσύνης ἀρχόμεθα, τῆς κατὰ πάντων κρατησάσης συνηθείας συνηγορούσης τῷ πράγματι. τοῦ καιροῦ τοίνυν ὄντος τούτου, ἡ Μαγδαληνὴ Μαρία καὶ ἡ ὁμώνυμος ἐπὶ τάφον ἦλθον, καὶ τὸν ἄγγελον τὸν ἐξ οὐρανοῦ καταβεβηκότα τὸν προειρημένον ἐθεάσαντο τρόπον, ἀποκυλίσαντα τὸν λίθον καὶ ἐπ' αὐτὸν καθεζόμενον, ὑφ' οὗ καὶ προσκληθεῖσαι, τὸν τόπον εἶδον, ὅπου ἔκειτο ὁ κύριος, καὶ προσταχθεῖσαι τοῖς μαθηταῖς δραμεῖν καὶ ἀπαγγεῖλαι, ἐξελθοῦσαι ταχὺ τοῦ μνήματος ἔδραμον· καὶ δὴ τρεχούσαις προσαπαντήσας ὁ Ἰησοῦς προσεφώνησε, χαίρετε. καὶ γὰρ ἔδει πρῶτον τὸ γυναικῶν γένος, καὶ τὴν ἀνάστασιν εὐαγγελισθῆναι παρὰ τοῦ ἀγγέλου, καὶ τὸν κύριον ἰδεῖν, καὶ πρώτην παρ' αὐτοῦ φωνὴν ἀκοῦσαι, τὸ χαίρετε. ἐπεὶ καὶ γυνὴ πρώτη τῆς ἀπάτης τοῦ ὄφεως ἤκουσε, καὶ εἶδε παρανόμως τὸν τοῦ ἀπηγορευμένου ξύλου καρπὸν, καὶ λύπῃ κατεδικάζετο. διὸ καὶ προσκυνεῖν ὁ σωτὴρ καὶ κρατεῖν τοὺς πόδας συνεχώρει, ὡς πρώταις ἀποπεσούσαις καὶ ἀλλοτριωθείσαις αὐτοῦ· καὶ τοῖς μαθηταῖς τὴν χαρὰν διαγγέλλειν ἐκέλευσε, χαρᾶς ἄγγελον ἀνδράσι γυναῖκα γενέσθαι βουλόμενος, τῆς λύπης τῷ Ἀδὰμ γενομένην διάκονον, τὰ ἐναντία διὰ τῶν ἐναντίων ἰώμενος· πορευομένων δὲ αὐτῶν, φησὶν, ἀπαγγεῖλαι τοῖς μαθηταῖς, ἰδού τινες τῆς κουστωδίας ἐλθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα, καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις λέγοντες· εἴπατε ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων, καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν· οἱ δὲ λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν, καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. ἡ μὲν οὖν ἄλλη Μαρία· ταύτην δὲ εἶναι τὴν θεοτόκον πιστεύειν ἀκόλουθον, ὅτι μηδὲ ἀπελείφθη τοῦ πάθους, ἀλλ' ἵστατο παρὰ τῷ σταυρῷ, ὡς Ἰωάννης ἱστόρησεν, ἣ καὶ ἔπρεπε τὰ τῆς χαρᾶς εὐαγγελίσασθαι, ῥίζῃ τῆς χαρᾶς οὔσῃ, καὶ καλῶς ἀκουσάσῃ τὸ χαῖρε κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ· τὸ πρόσταγμα τοῦ κυρίου πληροῦσα, τοῖς μαθηταῖς πάντως ἀπήγγειλεν. οὐ γὰρ ἦν θέμις μὴ πληρωθῆναι τὸ οὕτω

A iunia, incipimus nos oblectare atque lętari, cõſuetudine, quæ apud omnes obtinuit, hanc rem comprobãte. Cum igitur hic temporis eſſet articulus, Maria Magdalena atque altera eiuſdem nominis ad ſepulchrum venerunt, & Angelum, qui de cœlo deſcenderat, quemadmodum dictum eſt, viderunt: qui reuoluto lapide ſuper eum ſedebat: à quo etiam inuitatæ viderunt locum, vbi poſitus erat Dominus: & currere iuſſæ, quæque acceperant, mandata diſcipulis edere, egreſſæ celeriter è monumento currebant: itaque currentibus obuiam
B factus Ieſus appellauit eas, dicẽs, Auete. Etenim oportebat primum muliebrem *Matth. 28.*
ſexum & ab Angelo bonum reſurrectionis accipere nuntium, & Dominum videre, & primam ab eo vocem audire, Auete. Quoniam mulier quoque prima audiuerat fraudem ſerpentis, & contra præceptum viderat ligni interdicti fructum, & pœna triſtitiæ ac doloris condemnata fuerat. Quapropter etiã adorare ſeruator & pedes apprehendere & contrectare permittebat, vt iis quæ primæ deſciuerant & alienatę erant ab eo:
C & diſcipulis gaudium annuntiare iubebat, cum mulierẽ, quæ triſtitiæ miniſtra Adamo fuerat, gaudij nuntiam viris eſſe vellet, contrariis contraria curans. Euntibus *Ibid.*
autem illis, inquit, vt mandata referrent diſcipulis, Ecce quidã de cuſtodia in vrbem venerunt, ac renũtiauerũt principibus ſacerdotum omnia, quæ acciderant. Atque illi coacti, vnaque cum ſenioribus habito cõſilio ſatis magnam pecuniam dederunt militibus dicẽtes, Dicite, diſcipuli eius noctu venerint,
D & ſurripuerint eum nobis dormientibus. Et ſi hoc delatum fuerit ad præſidem, nos perſuadebimus ei, & vos ſecuros reddemus: illi autẽ accepta pecunia, fecerunt quemadmodum erant edocti: & diuulgat' eſt hic rumor apud Iudæos vſque in hodiernũ diem. Atque altera quidem Maria (hanc autem deiparam fuiſſe credere conſentaneum eſt: quoniam nec à paſſione quidem abfuit, ſed ſtabat iuxta crucem, vt Ioannes memoriæ prodidit, quã etiam decebat ea, quæ ad gaudium pertinebant, annuntiare, vt quæ radix gaudij eſſet, ac pręclarè audiuiſſet illud, Aue gratia plena, Dominus tecum) mandatũ Domini exequẽs diſcipulis omnino expoſuit. Non enim fas erat non adimpleri id, quod ita clarè

πρὸς τὸν Πέτρον καὶ τὸν ἄλλον μαθητὴν, ὃν ἐφίλει Ἰησοῦς, ἐβόα λέγουσα, ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. ὁρᾷς ὡς ἐκ τῶν λογοποιηθέντων νύκτωρ παρὰ Ἰουδαίοις μετὰ τὴν τῶν φυλάκων παραγγελίαν περιηχηθέν τι τοιοῦτον, παρεκινήθη τὸν λογισμόν· καὶ ᾠήθη τοὺς ἐναντίους κλέψαι τὸ σῶμα τοῦ Ἰησοῦ, ἵνα τὴν κλοπὴν τοῖς ἀποστόλοις ἐπιφημίσωσι. πλὴν ὁ Πέτρος καὶ Ἰωάννης ἑτοίμως διανέστησαν, καὶ ἐπὶ τὸν τάφον ἔδραμον. οὐ γὰρ ἦν παράδοξον τὸ λεγόμενον, ἵν' ὡς ἐπὶ τῆς ἀναστάσεως ἀπιστήσωσι· μᾶλλον δὲ καὶ πιστὸν καὶ οὐκ ἀπᾷδον τῆς Ἰουδαϊκῆς κακουργίας. ἀφόβως δὲ τοῦτο ἐποίουν, καὶ ἡσυχίας ὑπαρχούσης καὶ ἔτι σκότους ὄντος, καὶ παρὰ τοῦ Θεοῦ τὸ θαρρεῖν λαβόντες. ἀλλὰ ἐλθόντες εὗρον ἐναργῆ τὰ σημεῖα τῆς ἀναστάσεως. ὁρῶσι γὰρ ἐν τῷ μνήματι τὰ ὀθόνια κείμενα. τοῦτο δὲ οὐκ ἄν ποτε ἐγένετο, κλαπέντος τοῦ σώματος. πρῶτον μὲν γὰρ τοῖς κλέπταις φίλον τὸ λωποδυτεῖν· ἔπειτα δὲ, τὸ ταχέως ἐνεργεῖν ἄγαν τὴν κλοπὴν, ἵνα μὴ φωραθῶσι καὶ τὰ πάνδεινα πάθωσι. περὶ δὲ τοῦ σώματος τοῦ Ἰησοῦ, γέγραφεν ὁ Ἰωάννης ὧδέ πως· ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἦν τοῖς Ἰουδαίοις ἐνταφιάζειν. πῶς οὖν οὐκ ἐργῶδες τοῖς κλέπτουσι τὸ λύειν τοὺς δεσμοὺς, καὶ τὸ σῶμα τῶν ὀθονίων ἀπογυμνοῦν προσκεκολλημένων καὶ δυσαποσπάστως ἐχόντων, καὶ πρὶν ἀπαμφιασθῆναι ῥηγνυμένων; μίγματι γὰρ ἀλόης, καὶ σμύρνης συνεπλέχθησαν, ὅπερ ἐκόμισε Νικόδημος· ἀλλὰ καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον, οὐδένα θόρυβον ὡς ἐπὶ κλεπτῶν ἐδήλου λαβόντων τὸ σῶμα. ποῦ γὰρ σχολὴν εἶχον οἱ κλέπται καὶ τοιαύτην ἄδειαν, ὡς καὶ τὸ τῆς κεφαλῆς κάλυμμα κατὰ τάξιν εἱλεῖν καὶ τιθέναι χωρίς; ὥστε καὶ τοῦτο συνίστησι σαφῶς τῆς ἀναστάσεως τὴν ἀλήθειαν· ἅμα δὲ καὶ μυστήριον παρεδήλου θεοπρεπὲς, ὡς ἡ κεφαλὴ τῆς θεότητος τάξιν ἐπέχουσα· κατὰ τὸ, ἡ κεφαλὴ τοῦ Χριστοῦ ὁ Θεός· καὶ οἱ περὶ αὐτῆς λόγοι μένουσι, καὶ μετὰ τὴν ἐνανθρώπησιν οἱονεὶ ἐνειλημμένοι καὶ ἀδιάλυτοι· κἂν τὰ κάτω τὰ περὶ τὴν οἰκονομίαν

A accurriſſet ad Petrum & ad alium diſcipulum, quem diligebat Ieſus, clamabat, dicens, Suſtulerunt Dominum ex monumento, & neſcio vbi poſuerint eum. Vides quod cum ex iis, quæ poſt relationem cuſtodũ noctu apud Iudęos cõficta erant, aliquid tale ad aureis eius perueniſſet, mente immutata atq; deprauata eſt: ac putauit aduerſarios furatos eſſe corpus Ieſu, vt furtũ in Apoſtolos conferrent. At Petrus & Ioannes ſine mora ſurrexerunt, & ad ſepulchrum cucurrerunt. Non enim nouum & inopinatum erat quod dicebatur, vt, quod ad reſur-
B rectionem attinet, fidem non haberent: imò verò etiam credibile & non diſcordans & alienum erat à malitia Iudaica. Intrepidè autem & abſque metu id agebant, cùm ſilentium eſſet, tenebris nondum diſcuſſis, Deoque fiduciam eis atque animi præſentiam ſubminiſtrante. Sed cum eò veniſſent, manifeſta atque euidentia ſigna reſurrectionis inuenerunt. Vident enim in ſepulchro linteamina iacentia: quod nequaquam accidiſſet, ſi corpus furto ſublatum fuiſſet. Primũ enim furibus mos eſt veſtes de-
C trahere atq; ſpoliare: deinde admodum celeriter committere furtum, ne in ipſo facinore deprehẽſi peſſimè mulctentur. De corpore autẽ Ieſu in hunc ferè modum ſcripſit Ioannes. Obuinxerũt eum linteis cum aromatibus, prout mos erat Iudæis ſepelire. Quomodo igitur non multi negotij res furantibus fuiſſet vincula ſoluere, corpúſq; nudare linteaminibus, quæ iam adhæſiſſent, & facilè auelli non potuiſſent, ac priuſquam detracta eſſent rumperentur? Mixtura enim aloës & myrrhæ, quam attulerat Nicodemus cõſerta & implicata erant.
D Quin etiam ſudarium, quod fuerat in capite eius, non cum linteaminibus poſitum, ſed ſeparatim inuolutum in vnum locum nullius trepidationis, quaſi furto ſublato corpore fuiſſet, indicium erat. Qui enim otium, taliſque ſecuritas furibus fuiſſet, vt tegumentum etiam capitis aptè inuoluerent, & ſeparatim deponerent? Itaque hoc etiam manifeſto veritatem reſurrectionis oſtendebat: ſimul autem etiam myſterium à diuina maieſtate haud alienum innuebat: nimirum quod caput deitatis locum obtinens (iuxta illud, caput Chriſti Deus) & qui de eo extant ſermones, manent circa carnis humanæ aſſumptionem quaſi inuoluti atque indiſſolubiles: etiãſi inferiora, quæ circa diſpoſitionem

Ioan. 19.

& adminiſtrationẽ, quam in carne peregit, & circa eam, quam cum hominibus in terra conuerſationẽ habuit (quarum rerum figura, linteamina erant) acciderunt, quantum eius fieri potuit à nobis diſſoluta atque contrectata ſint. Atque his viſis Petrus & comes eius crediderunt, cùm non ſimpliciter ſolùm, verumetiam præſtãtiori mente ac ſenſu Apoſtolico rem ſpectaſſent. Plenum enim luminis erat ſepulchrum, vt etiamſi nox adhuc eſſet, dupliciter tamen, tum ſenſibiliter, tum ſpiritualiter viderent

Ioan. 20. ea, quæ intus erant. Nam ſi lux iuſtis perpetuo, prout ſcriptum eſt, multò magis iuſtorum Deo. Non crediderunt autem, inquit, quia nõdum nouerant ſcripturam, quòd oporteret eum à mortuis reſurgere. Atqui ſciebant, quia ſeruator eis ſæpe prædixerat, quòd reſurrecturus eſſet: ſed non tanquam à ſcriptura, atque inde petitis oraculis (quæ fieri non poterat, quin euenirent) adducti, ſed tanquam circa fidem adhuc labeſcentes atque claudicantes. Cæterùm quòd nudus Ieſus abſque linteaminibus reſurrexit, ſignificat eum nequaquam poſthac cibi potúſve, aut indumentorum geſtaminis atque operimenti egentem in carne cognitum iri. Et ſi id, quod decretum, diſpoſitum ac deſtinatũ erat, exequens & adminiſtrans ſponte ſua ſe his rebus ſubiecit, vt qui eiuſdem nobiſcum naturæ particeps eſſet: deinde ſignificat etiam Adami in priſtinum ſtatum reſtitutionem, in quo nudus erat in paradiſo, & non erubeſcebat. Nam de cętero tanquam Deus, licet incarnatus, gloria, quæ Deum maximè deceret, circumdatus erat, cùm ipſe ſit is, qui lumine tanquã pallio induitur, vt inquit Propheta Dauid. Ac Petrus quidẽ & Ioannes fide ipſis ex iis, quæ viderant, facta, domum reuerterunt: Mariæ verò nihil dixerunt. Curabat enim & operã dabat is, qui ſolus ſapiens eſt, vt fidem non habens per ea quæ videret potius, quàm quæ audiret, ad credendum adduceretur.

Prou. 13. 9. Stabat igitur iuxta monumentum foris plorans, & cùm inclinaſſet ſe, vidit Angelos duos veſte candida inſigneis & illuſtreis, ſedẽtes vnũ ad caput, alterum ad pedes, vbi iacuerat corpus Ieſu: & cùm lamentationem lætitia cõmutare oporteat, lacrymari non deſiſtebat, adeò vt Angeli quaſi cum increpatione dicerent, Mulier quid fles? perinde ac ſi dicerent, Mulicbres hæ ſunt lacrymæ, non læti animi

A οἰκονομίαν, καὶ τὴν ἐπὶ γῆς μετὰ ἀνθρώπων ἀναστροφήν, ὧν τύπος ἦν τὰ ὀθόνια, κατὰ τὸ δυνατὸν ἡμῖν διαλέλυταί τε καὶ ἐψηλάφηται. καὶ ταῦτα ἰδόντες οἱ περὶ τὸν Πέτρον ἐπίστευσαν, οὐχ ἁπλῶς μόνον, ἀλλὰ καὶ κρείττονι νῷ καὶ ἀποστολικῷ θεασάμενοι. πλήρης γὰρ ἦν ὁ τάφος φωτός, ὥστε καὶ νυκτὸς οὔσης ἔτι, διπλῶς θεάσασθαι τὰ ἔνδον, καὶ αἰσθητῶς καὶ πνευματικῶς. Εἰ γὰρ φῶς δικαίοις κατὰ τὸ γεγραμμένον διαπαντός, πολλῷ μᾶλλον τῷ τῶν δικαίων Θεῷ. Οὐκ ἐπίστευσαν δέ, φησιν, ἐπεὶ μηδέπω ᾔδεισαν τὴν γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. καὶ μὴν ᾔδεισαν τοῦ Σωτῆρος αὐτοῖς

B πολλάκις προειρηκότος, ὡς ἀναστήσεται· ἀλλ' οὐχ ὡς ἀπὸ τῆς γραφῆς πεπεισμένοι, καὶ τῶν ἐκεῖθεν φερομένων χρησμῶν, οὓς μὴ ἐκβῆναι τῶν ἀδυνάτων ἦν, ἀλλ' ἔτι περὶ τὴν πίστιν ὀκλάζοντες. παρίστησι δὲ τὸ γυμνὸν τὸν Ἰησοῦν ἀναστῆναι, τῶν ὀθονίων χωρίς, τὸ μηδαμῶς αὐτὸν ἔτι κατὰ σάρκα γνωσθήσεσθαι τροφῆς ἢ ποτοῦ δεηθησόμενον, ἢ ἐνδυμάτων περιβολῆς. εἰ καὶ τὴν οἰκονομίαν πληρῶν, τούτοις ἑκὼν ὑπέθηκεν ἑαυτόν, ὡς τῆς αὐτῆς φύσεως κοινωνήσας ἡμῖν. ἔπειτα δὲ δηλοῖ, καὶ τὴν τοῦ Ἀδὰμ εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν, ὅτε γυμνὸς ἦν ἐν τῷ παρα-

C δείσῳ καὶ οὐκ ᾐσχύνετο. λοιπὸν γὰρ ὡς Θεός, εἰ καὶ σεσαρκωμένος, δόξῃ τῇ θεοπρεπεστάτῃ περιεβέβλητο, αὐτὸς ὢν ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἤ φησιν ὁ προφήτης Δαβίδ. ἀλλ' ὁ μὲν Πέτρος καὶ Ἰωάννης πιστωθέντες ἐκ τῶν τεθεαμένων ἀνεχώρησαν οἴκαδε· τῇ Μαρίᾳ δὲ εἶπον οὐδέν. ᾠκονόμει γὰρ ὁ μόνος σοφός, ὡς ἀπιστοῦσαν, ἐκ θέας αὐτὴν προσάγεσθαι μᾶλλον, ἢ ἀκοῆς. εἱστήκει τοίνυν πρὸς τῷ μνήματι ἔξω κλαίουσα, καὶ παρακύψασα εἶδεν ἀγγέ-

D λους δύο λευκοὺς καὶ φαιδροὺς τῇ στολῇ, καθεζομένους ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ δέον τὸν ὀδυρμὸν εἰς εὐφροσύνην μεταβαλεῖν, τῶν δακρύων οὐκ ἔληγεν, ὥστε τοὺς ἀγγέλους οἱονεὶ μετ' ἐπιτιμήσεως εἰπεῖν, γύναι τί κλαίεις; ὡσανεὶ ἔλεγον, γυναικεῖα ταῦτα τὰ δάκρυα, οὐκ εὔφρονος νοῦ.

A ποῦ γὰρ χώραν ἔχει τὸ μετὰ τοιαύτην θέαν ὀδύρεσθαι; κἀκείνης τῆς αὐτῆς ἀπιστίας ἐχομένην· παρετείνετο γὰρ τὸ πάθος, ἵνα τοῖς κατὰ μικρὸν προστιθεμένοις εἰς πίστιν τελείως ἐκκαθαρθείη, πρὸς αὐτοὺς εἶπεν· ὅτι ἦραν τὸν κύριόν μου ἐκ τοῦ μνημείου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστι. τοῦτο μὲν ἐκ τῶν δακρύων ἐπισκοτουμένη, καὶ οἷον ἀχλύϊ βεβαρημένη, τοῦτο δὲ τοῦ Ἰησοῦ οἰκονομοῦντος, τὸ μὴ γνωσθῆναι αὐτῇ· διὸ καὶ εἶπε· γύναι τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα B ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ. τάχα δὲ οὐκ ἔξω τοῦ πρέποντος κηπουρὸν ὑπέλαβεν εἶναι τὸν Ἰησοῦν· τῷ ὄντι γὰρ ἦν αὐτὸς ὁ τοῦ παραδείσου γεωργὸς, ἀληθὴς καὶ ἀθάνατος, ἐν τῷ τοῦ μνήματος κήπῳ καθάπερ ἐν τῷ παραδείσῳ τὴν γυναῖκα τὴν ἐξ ἀπιστίας τὸν Ἀδὰμ τὸν πρῶτον κηπουρὸν ἀπατήσασαν διορθούμενος. οὕτως οὖν ἅπαντα μυστηριώδη, καὶ λόγων ἔμπλεα θειοτέρων καὶ ὑψηλῶν. ἀλλὰ ταῦτα τῆς Μαρίας εἰπούσης, καὶ περὶ C τὴν ἔρευναν ἐπιονημένης τοῦ σώματος, καὶ μᾶλλον ἐπιστραφείσης, ὥστε καὶ πορευθῆναι, βασανισθεῖσαν ἱκανῶς θεασάμενος ὁ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· φωνῇ μιᾷ τὴν ἀπιστίαν ἐξέκοψε, καὶ τὸ βλέμμα τῆς γυναικὸς ὤξυνε πρὸς ἐπίγνωσιν, εἰπὼν μόνον ὡς αὐτὸς ἐγίνωσκε, ἐντρεπτικῶς Μαριάμ. καὶ παραχρῆμα ἐπιστραφεῖσα, καὶ Ραββουνὶ προσηγόρευσεν, ὃ λέγεται διδάσκαλε, καὶ τῶν θείων ποδῶν ἐκείνων ἐζήτει λαβέσθαι, καὶ ἤκουσε, μή μου ἅπτου. οὔπω γὰρ ἀναβέβηκα πρὸς D τὸν πατέρα μου· ταύτης, φησὶν, ἤδη τῆς φωνῆς τυχοῦσα τῆς δωρεᾶς, καὶ ἁψαμένη μου μετὰ τῆς ἄλλης Μαρίας, καὶ προσκυνήσασα, καὶ τοὺς πόδας κρατήσασα κατεφρόνησας, ὡς καὶ ἀπιστῆσαι, καὶ οὐδὲν μέγα διενοήθης περὶ ἐμοῦ, ἀλλ' ἔτι περὶ τὸ μνῆμα ἐζήτεις τὸν ἄνωθεν θεϊκῶς πρὸς τὸν πατέρα ὑπάρχοντα. καὶ νῦν μή μου ἅπτου, εἰ μετὰ τῆς αὐτῆς διανοίας, τὸ πρὸς τὸν πατέρα ἀναβῆναι νομίζεις ἐλλείπειν μοι.

A Qui enim locum habet lamentatio poſt tale ſpectaculum? Atque illa in eadem incredulitate perſeuerans (prorogabatur enim & extendebatur perturbatio, vt per ea quæ paulatim adijciebantur, ad credendum perfectè expurgaretur) ad eos dixit, Suſtulerunt Dominum meum ex monumento, & neſcio vbi poſuerint eum. Atque hæc loquuta conuerſa eſt retrorſum, & videt Ieſum ſtantem, nec ſciebat quòd Ieſus eſſet, partim quòd præ lachrymis offuſa tenebris, & quaſi caligine grauata eſſet: partim quòd etiam Ieſus interea rem B ita diſponeret, vt ab ea non agnoſceretur. Quamobrem etiam dixit: Mulier quid ploras? quem quæris? Illa exiſtimans quòd hortulanus eſſet, dicit ei, Domine, ſi tu aſportaſti eum, dic mihi, vbi poſueris eum, atque ego eum tollam. Forſitan autem non abs re, neque extra decorum, hortulanum eſſe putabat Ieſum: ſanè enim ipſe verus & immortalis agricola paradiſi erat, in horto monumenti, ſicut in paradiſo mulierem, quæ Adamum primum hortulanum per incredulitatem deceperat, lapſam corrigens atque emendans. Sic C igitur vniuerſa myſteriorum plena, rationibúſque diuinis ac ſublimibus referta ſunt. Cæterùm cùm hæc dixiſſet Maria, & circa ſcrutationem corporis ſollicita hæreret, ac iam etiam magis conuerſa eſſet vt abiret, ſatis territam & exanimatam cõſpicatus is, qui penetrat vſque ad diuiſionem animæ atque ſpiritus, artuum quoque ac medullarum, qui iudicare quoque ſcit de cogitationibus cordis ac mentis agitationibus, vnica voce incredulitatem exemit, viſumque mulieris acuit ad agnitionem, cùm dixiſſet ſolùm vt ipſe ſciebat, cum D redargutione & motu ad reuerentiam, Maria. Atque illa extemplò conuerſa, & Rabouni, quod dicitur, magiſter, eum appellabat, & diuinos illos pedes conabatur apprehendere: & audiuit, Ne me tangas: nondum enim aſcendi ad patrem meum: hoc, inquit, donum iam conſequuta, quæ vna cum altera Maria & contrectaſti me & adorauiſti, pedéſque tenuiſti, contempſiſti adeò, vt etiam non credideris: ac nihil magnum de me in animo concepiſti, ſed adhuc circa monumentum quærebas, qui diuinitus ſupra apud patrem eram. Ac nunc ne me attingas, ſi eadem mentis agitatione ad patrem aſcenſionem deeſſe mihi exiſtimas.

Nondum enim, vt tu cogitas, aſcendi ad patrem meũ: ſed vade ad fratres meos, & dic eis, Aſcendo ad patrem meũ, & patrem veſtrum, & Deũ meum, ac Deum veſtrum. Quoniam, inquit, ſecundum carnem primogenitus ſui inter multos fratres, non mihi nunc, ſed vobis fratribus, corporaliter aſcendam ad patrem meum, & patrem veſtrũ, & Deum meũ, ac Deum veſtrũ. Niſi enim Deus meus appellatus eſſet, cum innocentiam humanæ naturæ, propterea quòd, ſicut in principio generis, peccatũ ignorabam, in me vidit: veſter pater vel Deus, vtpote eorũ qui ab eo abalienati eratis, appellatus non eſſet. Quapropter etiam Paulus Hebræis ſcribens dicebat: Non

Hebr. 8. enim in manufacta introiuit Chriſtus, ad ſimilitudinem facta verorum: ſed in ipſum cœlum, vt appareat nunc in conſpectu Dei pro nobis. Venit igitur Magdalena Maria, & annuntiat diſcipulis, quòd vidiſſet Dominũ qui hæc dixiſſet

Luc. 23. & 24. ſibi. Cùm veniſſet autem, atque ea annuntiaſſet, rurſus inuenit Mariã Iacobi,

Marc. 16. & Ioannẽ, & alias nonnullas cum ipſis, cum apparatu aromatum & vnguentorum ad ſepulchrũ properantes, diſcuſſis tenebris, ac profundo diluculo (hoc eſt, iuſto ac vero, & nunc primũ incipiente)

Luc. 24. vt inquit Lucas, & adiungẽs ſe vnà cum eis ibat, ac propter ardens erga Ieſum deſiderium dux earũ videbatur, ac propter hanc claritatem, quam ex facto adepta eſt, prima apud Euangeliſtas numeratur. Cupiebat enim etiam illis non ex iis, quæ ab ſeſe & ab altera Maria audiuiſſent, ſed ex illis ipſis, quæ vidiſſent, vel angelorum præſentia fidem fieri reſurrectionis: & erat cum eis prudenter ac dedita opera tacens, nihílque dicens, cùm admirantes atque dubitantes eam interrogaret: ſed expectabat rerum geſtarũ teſtimonium, & credebat fore, vt etiam illis ſigillatim certa fides plenaque perſuaſio per oculorum fieret inſpectionẽ. Itaque cùm lapidem à monumento reuolutum vidiſſent, ingreſſæ ſunt, & non inuento corpore Ieſu, anxiæ atque hæſitantes vident aſtantes ſibi viros duos ſtolis quaſi effulgurantes: à quibus audiuerunt, Quid

Ibidem. quæritis viuentem cum mortuis? non eſt hìc, ſed ſurrexit, &cæt. Et reuerſæ, inquit, à monumento nuntiauerunt hæc omnia vndecim illis viris, & cæteris

A ὔπω γὰρ ἀναβέβηκα κατά σε πρὸς τὸν πατέρα μου· πλὴν πορεύου πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. ἐπειδὴ γέγονα, φησὶ, κατὰ σάρκα πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, οὐκ ἐμαυτῷ νῦν, ἀλλ' ὑμῖν τοῖς ἀδελφοῖς, σωματικῶς ἀναβήσομαι πρὸς τὸν πατέρα μου. καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. εἰ μὴ γὰρ ἐμοῦ Θεὸς ἐχρημάτισας, ἐν ἐμοὶ τὸ ἄμωμον τῆς ἀνθρωπίνης φύσεως διὰ τὸ ἀγνοεῖν ἁμαρτίαν, ὡς ἐν ἀρχῇ τοῦ γένους

B ἰδὼν, οὐκ ἂν ὑμῶν ἐκλήθη πατὴρ, ἢ Θεὸς τῶν ἀπαλλοτριωθέντων αὐτοῦ. διὸ καὶ Παῦλος Ἑβραίοις ἐπιστέλλων ἔλεγε. οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν. ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν νῦν ἐμφανισθῆναι τῷ προσώπῳ Θεοῦ ὑπὲρ ἡμῶν. ἔρχεται οὖν ἡ Μαγδαληνὴ Μαρία ἀπαγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν κύριον καὶ ταῦτα εἶπεν αὐτῇ. παραγενομένη δὲ καὶ ἀπαγγείλασα, πάλιν εὑρίσκει Μαρίαν τὴν Ἰακώβου, καὶ Ἰωάννην, καὶ ἄλλας σὺν αὐταῖς μετὰ παρασκευῆς ἀ-

C ρωμάτων καὶ μύρων πρὸς τὸν τάφον ἐπειγομένας τοῦ σκότους ὑποχωρήσαντος, καὶ ὄρθρου βαθέος ὄντος· τουτέστιν, ἀκριβοῦς, καὶ ἄρτι πρώτου ἀρξαμένου· καθώς φησιν ὁ Λουκᾶς. καὶ ἀναμίξασα ἑαυτὴν σὺν αὐταῖς, ἐπορεύετο διὰ τὸ θερμὸν τοῦ πόθου τοῦ περὶ τὸν Ἰησοῦν ἐξάρχειν αὐτῶν δοκοῦσα, καὶ πρώτη παρὰ τοῖς εὐαγγελισταῖς ἀριθμουμένη, διὰ τὸ ἐντεῦθεν ἐπίσημον. ἐπεθύμει γὰρ καὶ αὐταῖς, οὐκ ἐξ ὧν παρ' αὐτῆς καὶ τῆς ἄλλης Μαρίας ἤκουον, ἀλλ' ἐξ αὐτῆς τῆς θέας, ἢ ἀγγέλων ἐπιστασίας πιστωθῆναι πρὸς τὴν ἀνάστασιν· καὶ συνῆν αὐταῖς συνετῶς σιω-

D πῶσα, καὶ μηδὲν λέγουσα διαπορουμέναις. δηλαδὴ τὴν τῶν πραγμάτων ἀναμένουσα μαρτυρίαν, καὶ πιστεύουσα καὶ αὐταῖς αὐτοῖς ὄμμασιν, ἰδίαν τινὰ πληροφορίαν ἐνδυθήσεσθαι, καὶ δὴ τὸν λίθον ἀποκεκυλισμένον ἰδοῦσαι τοῦ μνήματος, εἴσω ἐγένοντο, καὶ οὐχ εὑροῦσαι τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἀπορούμεναι, βλέπουσιν ἐπιστάντας αὐταῖς ἄνδρας δύο, ταῖς στολαῖς ἐξαστράπτοντας, καὶ ἤκουον παρ' αὐτῶν. τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη, καὶ τὰ ἑξῆς. καὶ ὑποστρέψασαι, φησὶν, ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα, καὶ πᾶσι

τοῖς

ταῖς λοιπαῖς. ἀλλ' ὡς πλῆθος ὄντες, μᾶλλον ἠπίστησαν καὶ τὸ ἀπαγγελθὲν ἔσκωψαν καὶ διέπτυσαν. ἐφάνησαν γὰρ ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς, ὥστε τὸν Πέτρον πρὸς τὴν ἐκείνων ἀπιστίαν διαστασιάσαντα, καὶ ἠρέμα πως καὶ αὐτὸν θορυβηθέντα καὶ σαλευθέντα, πάλιν ἐπὶ τὸ μνημεῖον δραμεῖν καὶ παρακύψαι, καὶ ἰδεῖν πάλιν τὰ ὀθόνια κείμενα, ἅπερ εἰσελθὼν ἤδη καὶ θεασάμενος ἀκριβέστερον, ὅθεν ἀρκεσθεὶς τῷ παρακύψαι μόνον, καὶ μηδὲν ἰδὼν ἀλλοιότερον, ἀπῆλθε θαυμάζων καὶ ἐκπληττόμενος τὸ γεγονός, καὶ δοξάζων τὸν ταῦτα οἰκονομήσαντα. B καὶ πάλιν ἡ Μαγδαληνὴ Μαρία, καθάπερ ταῖς περὶ Ἰωάνναν ὄρθρου βαθέος συνεπορεύθη φερούσαις ἃ ἦσαν ἑτοιμάσασαι πρὸ τοῦ σαββάτου μύρα τε καὶ ἀρώματα· τὸν αὐτὸν τρόπον καὶ τῇ Σαλώμῃ, ξένῃ γυναικὶ παρὰ τὰς ἄλλας τὰς ὠνομασμένας, βραδέως μέν, ὠνησαμένῃ δ' ὅμως ἀρώματα, ἀλλὰ μετὰ τὸ σάββατον ἀόκνως μετὰ τῆς αὐτῆς διανοίας συνέτρεχεν, παραλαβοῦσα καὶ Μαρίαν τὴν Ἰακώβου μεθ' ἑαυτῆς, ὥστε καὶ τῇ ἀγορασίᾳ τῶν ἀρωμάτων κεκοινωνηκέναι δοκεῖ. κοινωνήσασαι γὰρ τῆς ὁδοῦ, τὸ πᾶν C κοινὸν ἐλογίσαντο σπούδασμα· καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνῆμα. ἔτι τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων ἐμφέρεται δηλοῦν, ὡς πρὸς ταῖς ἤδη γεγενημέναις, καὶ αὕτη τῶν γυναικῶν ἡ ἐπὶ τὸ μνῆμα ἄφιξις γέγονεν· τὸ δὲ λίαν πρωῒ σαφηνίζων ὁ Μάρκος, ἀνατείλαντος τοῦ ἡλίου προσέθηκεν. καὶ ἔλεγον, φησί, πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου; καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος. ἦν γὰρ μέγας σφόδρα. τῆς γὰρ Σαλώμης δι- D καίως ἀπορουμένης, ὡς τὸ παράπαν μὴ ἐπιδημησάσης τῷ τάφῳ, καὶ ταῦτα πρὸς τὰς συμβαδιζούσας λεγούσης, ἐκεῖναι σιωπῇ ἄγουσαι κατὰ τὸν εἰρημένον ἀνωτέρω τρόπον, καὶ τοὺς ὀφθαλμοὺς ἄρασαι, τῷ βλέμματι τὴν ἀπόκρισιν ἐποιήσαντο. καὶ γὰρ ὁ λίθος ἀποκεκυλισμένος ὑπ' ὄψιν ἐφαίνετο. διὰ δὲ τὴν κοινὴν καὶ μίαν ὁδοιπορίαν πρὸς ἀλλήλας αὐτὰς ἠπορηκέναι καὶ διειλέχθαι γέγραπται, τῇ ἀληθείᾳ τῆς ἱστορίας καὶ τῇ φύσει τῶν πραγμάτων ἡμῶν προσεχόντων,

A omnibus. Sed vt erant vulgus & multitudo confuſa, magis ad incredulitatem deflexerunt, atque id quod relatum erat, cauillabantur, reſpuebant, & auerſabantur. Videbantur enim verba earum quaſi deliramenta, neque fidem illis habebant: adeò vt Petrus etiam ipſe paulatim propter illorum incredulitatem aliquo modo perturbatus & fluctuans ſurrexerit, ac rurſus ad monumentum cucurrerit, atque proſpiciens iterum quoque viderit linteamina iacentia, quæ iam antea ingreſſus B plenius & exactius inſpexerat, vnde ſolum proſpexiſſe contentus, ac nihil à priore ſtatu immutatum conſpicatus, abiit conſternatus & admirans id quod acciderat: ac glorificans eum qui hæc ita ordinaſſet & adminiſtraſſet. Ac Maria Magdalena rurſus, quemadmodum vnà cum iis, quæ cum Ioanna erant, mulieribus portantibus quæ ante ſabbatum præparauerant, vnguenta atque aromata, profundo diluculo profecta erat: ita cum Salome quoque muliere peregrina, quæ præter nominatas licet tardè, emerat tamen aromata, ſed poſt C ſabbatum, eadem mente impigrè currebat, aſſumpta ſecum etiam Maria Iacobi, ita vt etiam in coëmptione aromatum ſociæ fuiſſe videantur. Cum enim ſociæ eſſent itineris, totam rem geſtam commune ſtudium eſſe exiſtimabant: & valde manè vna ſabbatorum veniunt ad monumentum. Præterea in exactioribus ac plenioribus exemplaribus continetur id, quod ſignificatur, præter iam factas viſitationes etiam hunc mulierum ad monumentum contigiſſe acceſſum. Quid autem λίαν πρωΐ, id eſt, valde manè, hic expli- *Marc.16.* D cans Marcus, adiecit, orto ſole. Et dicebant, inquit, ad inuicem, Quis reuoluet nobis lapidem ab oſtio monumenti? & ſublatis oculis vident lapidem reuolutum. Erat enim magnus valde. Cum enim Salome meritò dubitaret, vt quæ omnino ad ſepulchrum non acceſſiſſet, atque hæc ad comites ſuas diceret, illæ tacẽtes, prout ſuperius dictum eſt, cùm ſuſtuliſsẽt oculos, aſpectu ipſo reſponſum dederunt: etenim lapis reuolutus in conſpectu apparebat. Quoniam autem vnà ibant, & commune eis iter erat, idcirco inter ſe dixiſſe ac dubitaſſe ſcriptum eſt, ſi rerum naturam atque hiſtoriæ veritatem conſideremus,

A ac diſcernamus, cuius earum proprium fuerit dubitare. Nam eas, quæ iam ſæpè lapidem reuolutum vidiſſent, de hoc ſollicitas eſſe, probabile non erat. Sed quoniam inter has mulieres, de quibus eſt apud Marcũ, perſona Salome ignara infertur, abſque controuerſia, oratio probabilis ac veriſimilis eſt. Nam nec illas conſentaneum eſt dixiſſe, Quis reuoluet nobis lapidem, propterea quòd Iudæi obſignaſſent aditum ſepulchri, adhibita cuſtodia militum, & tertius dies inſtaret. Dixerant enim ſcelerati illi ad Pilatum, Recordati ſumus, quod impoſtor ille dixit, cum adhuc viueret: Poſt tres dies reſurgam. Si mulieres igitur ſciebant miraculum, quod per Angelum factum erat, & quòd lapis remotus eſſet, & cuſtodes expauefacti mortuiſq; ſimiles facti receſſiſſent, quo modo ſollicitæ & anxiæ de reuolutione lapidis erant? ſin autem miraculum ignorabant, cuſtodiam militum conſiderare, ac non de aperiendo monumento cogitare oportebat. Verum, vt dixi, Salome & hoc ignorabat, & ipſius ſolius ea verba erant. Nam Maria Magdalena atque
Matth. 28. altera Maria cùm ſediſſent è regione ſepulchri, quemadmodum memoriæ prodidit Matthæus, magnóque ſtudio atque induſtria aſſidentes id egiſſent, tum ſignacula Iudæorum, tum armatorum cuſtodiam oculis ſuis conſpexerant. Ingreſſa autem Salome cum vtraque Maria, viderunt iuuenem ſedentem à dextris, amictum ſtola candida, & expauerunt omnes: hæc quidem, quòd fide indigeret, ac magis humano more affecta eſſet: illæ verò quod ſæpius ad monumentum veniſſent, curioſéque ac ſuprà quam neceſſe atq; opus eſſet, deinceps explorare atq; inueſtigare reſurrectionem viderentur. Nam idcirco etiam iu-
Marc. 16. uenis apparuit, qui magnitudine perterrefacere ac metum inijcere poſſet, ac terrori alacritatem & lætitiam miſcens, per candorem ſtolæ, cùm propter diem ſcilicet feſtum, tum ne metu obrigeſcerent, acerbius eas alloquitur, caſtigans verbis & admonens, ne poſt tot ſpectationes curioſæ eſſent, ſed potius firmæ manerent in iis, quæ vidiſſent. Ite enim, inquit, dicite diſcipulis eius & Petro (diſcipulis quidem, vtpotè iis qui ſæpe non crediderunt: Petro verò, vt qui iterum eadem vobiſcum curioſitate adductus ad monumentum venit)

καὶ διακρινόντων τίνος ἰδίαν ὑπῆρχε τὸ διαπορεῖν. ταῖς γὰρ ἤδη πολλάκις ἀποκεκυλισμένον θεασαμέναις τὸν λίθον, περὶ τούτου φροντίζειν ἀπίθανον. ἀλλ' ἐπειδὴ ταῖς παρὰ τῷ Μάρκῳ ταύταις γυναιξὶν, ἀγνοοῦν τὸ τῆς Σαλώμης ἐμφέρεται πρόσωπον, ἀμάχως ὁ λόγος ἔχει τὸ πιθανόν. ἐπεὶ κἀκείνων οὐκ ἀκόλουθον τὸ λέγειν, τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον, τῶν Ἰουδαίων σφραγισαμένων τὴν εἴσοδον τοῦ τάφου, καὶ τὴν τῶν στρατιωτῶν παρακαταστησαμένων φρουρὰν, καὶ τῆς τρίτης ἡμέρας ἐνεστώσης. πρὸς γὰρ τὸν Πι-
B λᾶτον εἶπον οἱ μιαροὶ, ἐμνήσθημεν ὅτι ὁ πλάνος ἐκεῖνος εἶπεν ἔτι ζῶν· μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. εἰ μὲν οὖν ᾔδεσαν αἱ γυναῖκες τὸ διὰ τοῦ ἀγγέλου γενόμενον θαῦμα, τήν τε ἀποκύλισιν τοῦ λίθου, καὶ τὴν τῶν φυλάκων ἐκ τοῦ φόβου νέκρωσίν τε καὶ ἀναχώρησιν, πῶς διηπόρουν περὶ τοῦ ἀποκυλισθῆναι τὸν λίθον; εἰ δὲ ἠγνόουν τὸ θαῦμα, τὴν στρατιωτικὴν φρουρὰν ἐννοεῖν ἔδει, καὶ τὴν ἄνοιξιν τοῦ μνήματος μὴ φαντάζεσθαι. ἀλλ', ὡς ἔφην, ἡ Σαλώμη, καὶ τοῦτο ἠγνόει, καὶ αὐτῆς μόνης τὰ ῥήματα ἦν. Μαρία γὰρ ἡ
C Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθεσθεῖσαι τοῦ μνήματος ἐξ ἐναντίας ὡς ὁ Ματθαῖος ἱστόρησεν, καὶ φιλοπόνως προσεδρεύσασαι, καὶ τὰς σφραγῖδας τῶν Ἰουδαίων, καὶ τὴν τῶν ὁπλιτῶν φυλακὴν ὄψει περιέλαβον. εἰσελθοῦσα δὲ ἡ Σαλώμη σὺν ταῖς Μαρίαις ἀμφοῖν, νεανίσκον εἶδον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐπτοήθησαν ἅπασαι· ἡ μὲν ὡς ἐνδεῶς ἔχουσα πίστεως καὶ ἀνθρωπινώτερον διακειμένη· αἱ δὲ ὡς ἐπιχωριάζουσαι συχνῶς τῷ μνήματι, καὶ πολυπραγμονεῖν δοκοῦσαι λοιπὸν, πέρα τοῦ δέοντος τὴν ἀνάστασιν. διὰ γὰρ τοῦτο καὶ νεανίσκος ὤφθη καταπλῆξαι τῷ μεγέ-
D θει καὶ φόβον ἐμποιῆσαι δυνάμενος, καὶ μιγνὺς τῷ φοβερῷ τὸ φαιδρὸν, διὰ τοῦ λευκοῦ τῆς στολῆς, καὶ ὡς ἐν ἑορτῇ, καὶ ἵνα μὴ παγῶσι τῷ δέει, σφοδρότερον αὐταῖς διαλέγεται, παιδεύων αὐτὰς δι' ὧν ἔλεγεν μετὰ τοσαύτας θέας μὴ περιέργως διακεῖσθαι, βεβαίως δὲ μᾶλλον ἐφ' οἷς εἶδον ἑστάναι. ὑπάγετε γὰρ, φησιν, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ. τοῖς μὲν μαθηταῖς, ὡς πολλάκις ἠπιστηκόσι· τῷ δὲ Πέτρῳ, ὡς μετὰ τῆς αὐτῆς ὑμῖν πολυπραγμοσύνης δεύτερον ἐπὶ τὸ μνῆμα ἐλθόντι.

ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν, ἐκεῖ A αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν· ὑμῖν ταῖς γυναιξὶν ὀψὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων ἐπιφανεὶς, ὡς ὁ Ματθαῖος συνέγραψεν. τοῖς γὰρ μαθηταῖς οὐδέποτε φαίνεται φήσας, ὡς μετὰ τὴν ἔγερσιν αὐτοῖς ἐν τῇ Γαλιλαίᾳ φανήσεται· εἰ μή τι γε ἐκεῖνο ἐρεῖ τις, ὅπερ ὁ Ματθαῖος, καὶ Μάρκος ἔγραψε μετὰ τὸ δεῖπνον τὸ μυστικὸν ἐξελθόντων αὐτῶν εἰς τὸ ὄρος τῶν ἐλαιῶν μετὰ τὸ ὑμνῆσαι, ὑπὸ τοῦ σωτῆρος εἰρημένον ὧδέ πως, μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἐξελθοῦσαι δὲ B ἐκ τοῦ μνήματος αἱ Μαρίαι καὶ ἡ Σαλώμη, τρόμῳ τε καὶ ἐκπλήξει συνεχόμεναι, φυγάδες ἐγένοντο, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γὰρ, τοῦτο μὲν διὰ τὸ φοβερὸν τοῦ νεανίσκου, τοῦτο δὲ διὰ τὸ τὴν ἡμέραν ἤδη προελθεῖν, καὶ τοὺς Ἰουδαίους, ὡς εἰκὸς, φοιτῶντας ἄνω καὶ κάτω περινοστεῖν. ἐν μὲν τοῖς ἀκριβεστέροις ἀντιγράφοις τὸ κατὰ Μάρκον εὐαγγέλιον, μέχρι τοῦ ἐφοβοῦντο γὰρ, ἔχει τὸ τέλος. ἐν δέ τισι πρόσκειται καὶ ταῦτα, ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτων ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς C ἐκβεβλήκει ἑπτὰ δαιμόνια. τοῦτο δὲ ἐναντίωσιν τινὰ δοκεῖ ἔχειν, πρὸς τὰ ἔμπροσθεν ἡμῖν εἰρημένα. τῆς γὰρ ὥρας τῆς νυκτὸς ἀγνώστου τυγχανούσης, καθ' ἣν ὁ σωτὴρ ἀνέστη, πῶς ἐνταῦθα ἀναστῆναι πρωῒ γέγραπται; ἀλλ' οὐδὲν ἐναντίον φανήσεται τὸ ῥητὸν, εἰ μετ' ἐπιστήμης ἀναγνωσόμεθα. δεῖ γὰρ ὑποστίξαι χρὴ συνετῶς, ἀναστὰς δὲ, καὶ οὕτως ἐπαγαγεῖν, πρωῒ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἵνα τὸ μὲν ἀναστὰς, ἔχει τὴν ἀναφορὰν συμφώνως τῷ Ματθαίῳ πρὸς τὸν προλαβόντα καιρὸν D τὸ δὲ πρωῒ, πρὸς τὴν τῇ Μαρίᾳ γενομένην ἐπιφάνειαν ἀποδοθείη. πρώτη σὺν τῇ ἄλλῃ Μαρίᾳ, καὶ πάλιν μόνη θεασαμένη τὸν κύριον. πρωῒ γάρ ἐστιν ἅπαν τὸ διάστημα, τὸ μετὰ τὴν τῶν ἀλεκτρυόνων βοήν. τεσσάρων τοίνυν ὄντων καιρῶν, καὶ τοσούτων ἀφίξεων, καθ' ἃς αἱ γυναῖκες ἐπὶ τὸ μνῆμα ἦλθον, ἕκαστον εὐαγγελιστὴν ἕνα καιρὸν ᾠκονόμησεν γράψαι τὸ πνεῦμα τὸ ἅγιον. καὶ ὁ μὲν Ματθαῖος, τὰς ὀψὲ σαββάτων παραγενομένας ἐπὶ τὸ μνῆμα ἱστόρησεν,

A quòd pręcedet vos in Galilęam: ibi eum videbitis, ſicut dixit vobis: vobis mulieribus ſero ſabbatorum, ea die quæ luceſcit in primam ſabbatorum, vt Matthæus conſcripſit. Diſcipulis enim nunquam apparet eum dixiſſe, quòd poſt reſurrectionem ipſis in Galilæa appariturus eſſet, niſi fortè quis illud dixerit, quòd & Matthæus, & Marcus ſcripſerunt, poſt cœnam myſticam exeuntibus ipſis dicto hymno in montem oliuarum, ab ſeruatore ſic quodammodo dictum, Poſtquam autem reſurrexero, præcedam vos in Galilæam. Egreſſæ autem è B monumento Mariæ & Salome, tremore atque terrore correptæ profugiebãt, ac nemini quicquam dicebant: timebant enim, partim quidem propter terrorem adoleſcentis, partim verò quòd iam dies progreſſus eſſet, & Iudæi (vt eſt veriſimile) ſurſum deorſum obambulantes ad cædem parati eſſent. In exemplaribus paulò diligẽtius & exactius ſcriptis Euangelium ſecundũ Marcum hactenus, Timebant enim, finem habet. In nonnullis adiecta ſunt etiam hæc, Cúm ſurrexiſſet autem manè primo die ſab- C batorum apparuit primùm Marię Magdalenæ, ex qua eiecerat ſeptẽ dæmonia. Hoc autem contrariũ quiddam iis, quæ à nobis ſuprà dicta ſunt, continere videtur. Cùm enim hora noctis, qua ſeruator ſurrexit, ignota ſit, quî fit, vt in hoc loco, manè eum reſurrexiſſe, ſcriptum ſit? Sed hoc dictum nullo modo contrarium apparebit, ſi aptè atque ſciẽter legerimus. Etenim ſubnotare & ſubdiſtinguere doctè atque intelligenter oportet, Cùm ſurrexiſſet autem: atque ita ſubiungere conſequenter, manè primo die ſabbati apparuit primum Mariæ Magdale- D næ: vt verbum quidem ἀναστὰς, id eſt, cùm ſurrexiſſet, conuenientem cum Matthæo ad ſuperius tẽpus relationem habeat: verbum verò πρωῒ, id eſt, manè, ei quę Mariæ facta eſt, apparitioni attribuatur: quæ prima cum altera Maria, atque iterum ſola viderat Dominum: πρωῒ enim, id eſt, manè, vel diluculo, vniuerſum illud ſpatium eſt, quod poſt gallorum cantũ intercedit. Cùm igitur quaternæ temporũ ſint vices, totidémque acceſſus, quibus mulieres ad monumentum venerunt, Spiritus ſanctus rem ita diſpenſauit atque ordinauit, vt ſinguli Euangeliſtæ ſingulos temporum articulos conſcriberent. Ac Matthæus quidem illas, quæ veſperi ſabbatorum venerunt ad monumentum, hiſtoria comprehendit,

Margin: Matth. 28. (beside "thæus conſcripſit. Diſcipulis enim nunquam"); Matth. 26. Marc 14. (beside "quòd & Matthæus, & Marcus ſcripſerunt, poſt cœnam myſticam"); Matth. 28. (beside "guli Euangeliſtæ ſingulos temporum articulos conſcriberent. Ac Matthæus quidem")

& Angelum vnum deſcendiſſe de cœlo, qui lapidem reuoluiſſet: Ioãnes autem, Mariam Magdalenam veniſſe ſolam in tenebris ante lucem conſcripſit, atque Angelos duos intra monumentum vidiſſe: Lucas alias circa ipſum diluculũ: Marcus verò aliam oriente ſole, adiunctis nonnullis, quæ iam etiam antea ad monumentum fuiſſent. Atque illas quidem duos viros qui ipſis aſtitiſſent: has verò ſedentẽ à dextris iuuenem vidiſſe: atque omnes ſtolis albis indutos fuiſſe memoriæ prodiderunt. Itaque ſiquis ea, quæ ſinguli ſecundum ordinem temporum ſcripſerunt, compoſuerit, poſſit vnam conſonantiam, concordantiámque & vnum corpus hiſtoriæ totius efficere: perinde ac ſi vnus totam rem geſtam, & nõ complures ſcripſiſſent. Nam ſi vnius quidẽ aduentus mulierum, quæ in vno temporis articulo accidiſſet, omnes quatuor mentionem feciſſent, & eoſdem Angelos dixiſſent apparuiſſe: vel vna atque eadem apparitione ſiue viſione ab vniuerſis edita, hanc in diuerſis temporibus accidiſſe dixiſſent, & non vnius quiſque temporis mẽtionem feciſſet, diſcrepantiæ atque diſſenſionis reprehenſionem effugere narratio non poſſet. Sin autem & perſonę & tempora diuerſa fuerunt, & eorum, qui apparuerunt, facies nõ eædem: cùm Deus compluribus modis fidem facere voluerit incredibili miraculo reſurrectionis: & quod vnus prætermiſit, alius hiſtoria perſecutus eſt Euangeliſta: qui fieri poteſt, vt nõ tota narratio pura & ab omni reprehenſione libera ſit? Quoniam autem multarum Mariarum in Euangeliis mentio fit, treis numero omneis eſſe ſtatuere debemus: quas Ioannes comprehenſim numerauit, cùm diceret, Stabant autem iuxta crucem Ieſu mater eius, & ſoror matris eius, Maria Cleophæ, & Maria Magdalena. Nam Mariã Iacobi, & Ioſæ matrẽ apud alios Euangeliſtas nominatam, Deiparam & non aliam eſſe credimus. Quoniam enim ita diſpoſitum & deſtinatum erat, vt & diuinus partus obumbraretur, & ſanguinariis Iudæis non manifeſtaretur, quòd circa ipſum tẽpus, quo ad lectum iugalem ducenda erat, virgo ex Spiritu ſancto concepiſſet: quemadmodum litteris mandatum eſt, quòd & vir huius & pater Ieſu vocatus ſit Ioſeph: eodem modo Ioſæ & Iacobi filiorum Ioſeph

Ioan. 20. *Luc. 24.* *Marc. 16.*

A καὶ ἄγγελον ἕνα καταβεβηκότα ἐξ οὐρανοῦ καὶ τὸν λίθον ἀποκυλίσαντα· ὁ δὲ Ἰωάννης, Μαρίαν τὴν Μαγδαληνὴν ἐληλυθέναι μόνην ἐν τῷ σκότει πρὸ τῆς ἕω συγγέγραφε, καὶ δύο ἀγγέλους ἔνδον τοῦ τάφου θεάσασθαι· Λουκᾶς δὲ ἄλλας κατ' αὐτὸν τὸν ὄρθρον· Μάρκος δὲ ἑτέρας ἀνίσχοντος ἡλίου, συνάμα μεμιγμένων τινῶν, καὶ τῶν ἤδη παραγενομένων. καὶ ταῖς μὲν δύο ἄνδρας ἐπιστάντας αὐταῖς· ταῖς δὲ καθήμενον ἐν τοῖς δεξιοῖς νεανίσκον ἰδεῖν· στολαῖς δὲ ἅπαντας ἠμφιεσμένους λευκαῖς. ὥστε δύνασθαί τινα κατὰ τὴν καιρῶν τάξιν τὰ παρ' ἑκάστου γεγραμμένα συνθέντα, μίαν ἁρμονίαν καὶ ἓν σῶμα B πάσης τῆς ἱστορίας ἐργάσασθαι· καθάπερ ἑνὸς τὸ πᾶν γεγραφότος καὶ οὐ πολλῶν. εἰ μὲν γὰρ μιᾶς ἀφίξεως τῶν γυναικῶν ἐν ἑνὶ καιρῷ γενομένης οἱ τέσσαρες ἐμνημόνευσαν, καὶ οὐ τοὺς αὐτοὺς εἶπον ἀγγέλους ἐπιφανῆναι, ἢ μίαν τε τὴν αὐτὴν ἐπιφάνειαν ἤγουν ὀπτασίαν ἅπαντες εἰπόντες ταύτην ἔφασαν ἐν διαφόροις γεγενῆσθαι καιροῖς, οὐχ ἑνὸς μνημονεύσαντες ἕκαστος χρόνου, διαφωνίας εἶχε μέμψιν ὁ λόγος. Εἰ δὲ καὶ οἱ καιροὶ διάφοροι καὶ τὰ πρόσωπα, καὶ αἱ τῶν ἐπιφανέντων ὄψεις οὐχ αἱ αὐταί· τοῦ Θεοῦ βουληθέντος διὰ πολλῶν τρόπων C πιστώσασθαι τὸ ἄπιστον θαῦμα τῆς ἀναστάσεως· καὶ τὸ τῷ ἄλλῳ μὴ λεχθὲν, ἕτερος ἱστόρησεν εὐαγγελιστής· πῶς οὐκ ἔστιν ἡ διήγησις ὅλη καθαρὰ καὶ ἐλευθέρα πάσης λαβῆς; ἐπειδὴ δὲ πολλῶν Μαριῶν ἐν τοῖς εὐαγγελίοις φέρεται μνήμη, τρεῖς εἶναι ταύτας πάσας γινώσκειν ὀφείλομεν, ἃς ὁ Ἰωάννης συλλήβδην ἠρίθμησε φήσας· εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ, ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλεοπᾶ, καὶ Μαρία ἡ Μαγ- D δαληνή. Μαριὰμ γὰρ τὴν Ἰακώβου, καὶ Ἰωσῆ μητέρα παρὰ τοῖς ἄλλοις εὐαγγελισταῖς ὠνομασμένην, τὴν θεοτόκον εἶναι καὶ οὐκ ἄλλην πεπιστεύκαμεν. καθάπερ γὰρ διὰ τὴν οἰκονομίαν καὶ τῷ ἐπισκιασθῆναι τὸν θεῖον τόκον, καὶ μὴ φανερωθῆναι τοῖς μιαιφόνοις Ἰουδαίοις περὶ αὐτὸ τὸ μέλλειν ἐπὶ τὴν παστάδα ἄγεσθαι τὴν παρθένον ἐκ πνεύματος ἁγίου συλλαβεῖν ἀναγέγραπται· ὡς ἄνδρα ταύτης χρηματίσαι τὸν Ἰωσὴφ, καὶ πατέρα τοῦ Ἰησοῦ· τὸν αὐτὸν τρόπον τοῦ Ἰωσῆ καὶ τοῦ Ἰακώβου παίδων ὄντων τοῦ τέκτονος Ἰωσὴφ, παιδικὴν

ἀγόντων τὴν ἡλικίαν ἐκ προηγησαμένου γάμου καὶ προτετελευτηκυίας γυναικὸς, μήτηρ ἡ θεοτόκος προσηγορεύετό τε καὶ ὠνομάζετο. ταῦτά τοι καὶ βλασφημοῦντες κατὰ τοῦ σωτῆρος ἔλεγον οἱ Ἰουδαῖοι, οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, Ἰάκωβος καὶ Ἰωσῆ, καὶ Σίμων, καὶ Ἰούδας; καὶ διὰ τοῦτο ὁ μὲν Ἰωάννης, καὶ παρὰ τῷ σταυρῷ ἑστῶσαν οἷα δὴ μετὰ παρρησίας θεολογῶν, ἐκ τῆς ἀληθείας αὐτῆς μητέρα τοῦ Ἰησοῦ προσηγόρευσεν· οἱ δὲ λοιποὶ τῶν εὐαγγελιστῶν τὰ πολλὰ περὶ τὴν οἰκονομίαν ἀσχοληθέντες, οἰκονομικῶς αὐτὴν μητέρα Ἰακώβου καὶ Ἰωσῆ προσηγόρευσαν. οὗτοι γὰρ ἦσαν οἱ πρῶτοι καὶ ἐπίσημοι παῖδες τοῦ Ἰωσήφ· τοῦτο δηλοῦντος τοῦ λόγου σαφῶς, ὅτι μετὰ ταύτης τῆς οἰκονομίας, καὶ τῆς ἐντεῦθεν ὑπονοίας, ἀκινδύνως ἡ Μαρία τῷ σωτηρίῳ πάθει παρῆν. Εἰ γὰρ παρθένος ὑπεγινώσκετο τοῖς πολλοῖς, ὑπὸ τῶν βασκάνων Ἰουδαίων ἀπώλετο ἄν. ἔστι δὲ αὐτὴν παρὰ τοῖς εὐαγγελισταῖς καὶ τοῦ ἑνὸς μόνου τῶν παίδων τοῦ Ἰωσὴφ ὀνομαζομένην εὑρεῖν Μαρίαν τὴν Ἰακώβου, καὶ Μαρίαν τὴν Ἰωσῆ. ὁ δὲ Μάρκος, Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆ μητέρα αὐτὴν εἶπεν, ἐπειδὴ ἦν ἄλλος Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, διὰ τοῦτο μέγας, ὅτι τοῖς ἀποστόλοις τοῖς δώδεκα συνηρίθμητο. ὁ γὰρ μικρὸς οὐκ ἦν αὐτοῖς ἐναρίθμιος. ἐκεῖνο δὲ ἄν τις εἰκότως ἐπαπορήσειε· πῶς ὁ σωτὴρ ὑποσχόμενος τοῖς μαθηταῖς, τοῦτο μὲν καὶ διὰ τῶν ἀγγέλων, τοῦτο δὲ καὶ διὰ τῆς οἰκείας φωνῆς εἰς τὴν Γαλιλαίαν ἀφικόμενος ὀφθήσεται, ἐφαίνη τὴν ἐπαγγελίαν καὶ ἐν Ἱερουσαλὴμ πληρῶν. κατὰ μὲν τὸν Λουκᾶν ἐν αὐτῇ τῇ ἡμέρᾳ τῆς ἀναστάσεως συνηθροισμένοις τοῖς ἕνδεκα· κατὰ δὲ τὸν Ἰωάννην, καὶ ἐν αὐτῇ καὶ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ποιεῖται τὴν ἐπιφάνειαν, στὰς ἐν μέσῳ, καὶ λέγων, εἰρήνη ὑμῖν, καὶ τῷ Θωμᾷ ψηλαφᾶν ἐνδιδοὺς ἑαυτόν. ἀλλὰ τοῦτο φιλανθρώπου φιλοτιμίας πλοῦτον παρίστησιν, οὐ ψεύδους ἔχει κατηγορίαν. οὐ γὰρ εἶπεν ἐν τῇ Γαλιλαίᾳ με ὄψονται μόνον, οὔτε μὴν ἐν Ἱερουσαλὴμ φανεὶς, οὐκ ὤφθη κατὰ τὴν Γαλιλαίαν ὡς ἐπηγγείλατο· τοῦτο γὰρ ἦν τοὺς οἰκείους ψεύσασθαι λόγους· εἰ δὲ καὶ ἐν Ἱερουσαλὴμ ἀποκεκλεισμένοις ἐν δωματίῳ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἐπιφαίνη δεομένοις τῆς αὐτοῦ παρουσίας,

A fabri ex prioribus nuptiis & præmortua vxore puerilem ætatem agentium mater Deipara & appellabatur & nominabatur: hæc nimirum obtrectantes etiam Iudæi de ſeruatore dicebant, An non hic eſt filius fabri? nónne mater eius vocatur Maria, & fratres eius Iacobus, & Ioſes, & Simon, & Iudas? Atque idcirco Ioannes quidem, vt qui liberè *Matth. 13.* diuinam hiſtoriam conſcriberet, eam, quæ ſtabat iuxta crucem, id quod reipſa *Marc. 6.* erat, matrem Ieſu appellauit: cæteri verò Euangeliſtæ, qui multum circa diſpoſitionem laborauerunt, certo conſilio B matrem eam Iacobi & Ioſæ appellauerunt (hi enim primi erant, & inſignes filij Ioſephi) hoc apertè ſignificante ſcriptura, quòd hac diſpoſitione & ordinatione atque inde concepta opinione abſque periculo Maria paſſioni ſalutari intererat. Nam ſi vulgus eam eſſe virginem ſciuiſſet, perdita forſitan fuiſſet ab inuidis Iudæis. Reperias autem eam etiam vnius ſolius filiorum Ioſephi matrem apud Euangeliſtas nominatam eſſe Mariam Iacobi, & Mariam Ioſæ. Marcus autem Iacobi parui, & C Ioſæ matrem eam vocauit, quoniam alter erat Iacobus Alphæi, magnus idcirco, quia duodecim Apoſtolis connumeratus erat. Nam paruus non erat *Matth. 27.* de numero eorum. De illo autem aliquis fortaſſis haud immeritò addubitauerit: quo pacto ſeruator diſcipulis partim per Angelos, partim ſua ipſius voce pollicitus, quòd profectus in Galilæam eis apparitus eſſet, viſus ſit Hieroſolymis quoque promiſſum præſtare. Nam ſecundum Lucam quidem in *Luc. 24.* ipſa die reſurrectionis ipſis vndecim congregatis: vt Ioannes autem ſcri- *Ioan. 20.* D bit, & in hoc ipſo, & octauo die præſtat apparitionem ſtans in medio ac dicens, Pax vobis, atque etiam Thomæ ſe contrectandum præbens. Verùm hoc liberalitatis & humanitatis diuitias oſtendit, non mendacij crimen continet. Non enim dixit, In Galilæa duntaxat me videbunt, neque verò Hieroſolymis viſus, non apparuit in Galilæa ſicuti promiſerat (hoc enim eſſet ſuos ſermones falſos reddere mentiendo) ſed ſi & in Hieruſalem propter metum Iudæorum concluſis in domicilio aduentúque & præſentia ſua opus habentibus apparuit,

& promiſſum præſtitit in Galilæa quoque viſus, cùm vtraque benignè iuxta ac verè acciderint, effugere licet omnẽ criminationem. Mihi autẽ magnam ac latentem videtur in ſe continere ſignificationem, quod apud Matthæũ dictum *Matth. 28.* eſt de diſcipulis, nempe, vt abeant in Galilæam, atque ibi me videbunt. Cum enim futurũ eſſet, vt ſępius eis appareret, ad vnam tanquam præcipuam & pręter cæteras eximiam apparitionem ſpectant verba promiſſionis, iuxta quam appariturus erat eis in monte. Nam tunc cùm acceſſiſſent & adoraſſent eum, quibuſdam ambigentibus, cum authoritate plena majeſtatis diuinæ dixit: Data eſt mihi poteſtas omnis in cœlo & in terra. Nam quæ naturaliter habebat tanquam Deus, hæc dicitur accipere tanquam homo certo cõſilio factus. Quamobrem etiam dicebat, Glorifica me, pater, apud temetipſum gloria, quam habebam antequam mũdus eſſet apud te. Niſi enim hãc propriã haberet, vt Deus, fieri non poſſet, vt eam tanquã alienam acciperet, Deo & patre per prophetam dicente, Gloriam meã alteri non dabo. Ac deinde adiũgit verba, quibus totum orbem terrarum habitatum capturi & quaſi irretituri erant, & in quibus conſiſtit vniuerſum myſteriũ pietatis. *Ibid.* Euntes enim, inquit, docete omnes gentes, baptizãtes eos in nomine Patris, & Filij, & Spiritus ſancti, docentes eos ſeruare omnia, quæ præcepi vobis. Ac deinceps adijcit ea, quibus finem horum verborum & euentum ſpondet. Et ecce ego vobiſcum ſum omnibus diebus vſque ad conſummationem ſæculi, Amen. Propterea dicebat, Renuntiare fratribus meis, vt abeant in Galilæam, atque ibi me videbũt. Ad hanc apparitionem, tanquam propriam quandã atque præcipuam, vt dixi, reſpiciens: quam magis etiam eis per alia verba prædixerat, quæ in Euangelicis ſcriptis non continentur. Niſi enim hoc ita eſſet, non dixiſſet Mattheus, Vndecim autem Apoſtoli abierunt in Galilæam, in montem vbi conſtituerat eis Ieſus: cùm nuſquam in Euangeliis pollicitus ſit Dominus in monte ſe facturum eſſe apparitionem. Nam ante hanc apparitionem, quæ in monte accidit, etiam ad mare quoq; Tiberiadis, quod eſt Galilææ, apparuit illis, qui ſeptẽ numero vnà erant: Petro nimirum, Thomæ, Nathanaëli,

A καὶ τὴν ἐπαγγελίαν ἐπλήρωσεν ἐν τῇ Γαλιλαίᾳ φανείς, ἐκφυγεῖν ἐστι πᾶσαν κατηγορίαν, ἀμφότερα γινόμενα φιλανθρώπως ἅμα καὶ ἀληθῶς. ἐμοὶ δὲ δοκεῖ πολλὴν ἔμφασιν ἔχειν τὸ εἰρημένον παρὰ τῷ Ματθαίῳ περὶ τῶν μαθητῶν, τὸ ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. πολλῶν γὰρ αὐτοῖς ἔσεσθαι ἐπιφανειῶν, πρὸς μίαν ὡς ἐξαίρετον παρὰ τὰς ἄλλας ἀποβλέπει τὰ τῆς ἐπαγγελίας, καθ' ἣν ἔμελλεν αὐτοῖς ἐπὶ τοῦ ὄρους φανήσεσθαι. τότε γὰρ προσεληλυθόσιν αὐτῷ καὶ προσκεκυνηκόσι, τινῶν ἀμφι- B βαλλόντων, μετ' ἐξουσίας ἔφη θεοπρεποῦς, ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. ἃ γὰρ εἶχε φυσικῶς ὡς Θεός, ταῦτα λέγεται λαμβάνειν ὡς γενόμενος ἄνθρωπος οἰκονομικῶς. διὸ καὶ ἔλεγεν, δόξασόν με σύ πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. εἰ γὰρ μὴ εἶχεν αὐτὴν ἰδίαν, ὡς Θεός, τῶν ἀδυνάτων ἦν αὐτὸν ταύτην, ὡς ἀλλοτρίαν λαβεῖν, τοῦ Θεοῦ καὶ πατρὸς διὰ τοῦ προφήτου λέγοντος, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. καὶ ἐπιφέρει λοιπὸν τὰ ῥήματα δι' ὧν ἔμελλον τὴν οἰκουμένην ὅλην σαγηνεύειν, καὶ ἐν C οἷς ἐστιν ἅπαν τὸ τῆς εὐσεβείας μυστήριον. πορευθέντες γάρ, φησι, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. καὶ προστίθησι λοιπὸν τὸ τέλος τῶν ῥημάτων τούτων, καὶ τὴν ἔκβασιν ἐγγυώμενος. καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀμήν. διὰ ταῦτα ἔλεγεν, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. πρὸς ταύτην τὴν ὄψιν, ὡς ἰδίαν τινὰ καὶ ἐξαίρετον, ὡς ἔφην, ἀποτει- D νόμενος, ἣν αὐτοῖς μᾶλλον καὶ δι' ἑτέρων ῥημάτων προεμήνυεν, ἃ τοῖς εὐαγγελικοῖς γράμμασιν οὐκ ἐμφέρεται. εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν εἶπεν ὁ Ματθαῖος, οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς· οὐδαμοῦ τῶν εὐαγγελίων ἐπὶ τοῦ ὄρους ὑποσχομένου τοῦ κυρίου ποιεῖσθαι τὴν ἐπιφάνειαν. ἐπεὶ πρὸ ταύτης τῆς θέας τῆς ἐν τῷ ὄρει, καὶ ἐπὶ τῆς θαλάττης αὐτοῖς τῆς Τιβεριάδος, ἥτις ἐστὶ τῆς Γαλιλαίας, ἐφάνη τὸν ἀριθμὸν οὖσιν ἑπτά· Πέτρῳ καὶ Θωμᾷ, καὶ Ναθαναὴλ,

καὶ τοῖς υἱοῖς Ζεβεδαίου, καὶ ἄλλοις δύο τῶν μαθητῶν, ὡς Ἰωάννης συνέγραψεν. ἀλλὰ πρὸς τὸ ὄρος ἀπέβλεπεν οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς, τὸ κἀκεῖ με ὄψονται, δηλαδὴ θεοπρεπῶς ἐντελλόμενος, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. καὶ γὰρ οὐδ' ἀπὸ σκοποῦ μοι δοκεῖ τὸ ἐν τῷ ὄρει τῆς Γαλιλαίας καὶ μὴ ἑτέρωθί που ταῦτα εἰρῆσθαι τὰ ῥήματα. Γαλιλαία γὰρ, ἡ κατακυλιστὴ τῇ Ἑλλάδι γλώττῃ ἑρμηνεύεται. διὸ καὶ Γελγὲλ ὁ τροχὸς ὀνομάζεται. καθάπερ οὖν ἐξ ὄρους ὑψηλοῦ τοῦ σωτηρίου στόματος προενεχθέντα ταῦτα τὰ ῥήματα, δίκην τροχοῦ κατὰ τῆς οἰκουμένης ἐκυλίσθη, καὶ πᾶσαν ἐπέδραμεν· καὶ ἐβαπτίσθησαν ἅπαντες, καὶ τὰ ἔθνη καὶ πόλεις εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἀλλὰ τούτων ἀκούσαντες τῶν ῥημάτων οἱ μαθηταὶ, πρὸς οὐδὲν ἔθνος ἐπορεύθησαν εὐθέως, ἀλλ' ἔμενον ἐν Ἱερουσαλὴμ μέχρι τῆς πεντηκοστῆς, ἀναμένοντες τὴν ἐνδημίαν τοῦ ἁγίου πνεύματος, ἥ τις αὐτοῖς ἐν πυρίναις ἐπεφοίτησε γλώσσαις. οὕτω γὰρ αὐτοῖς ἐπὶ τεσσαράκοντα ἡμέρας διαφόρως φαινόμενος καὶ συναλιζόμενος, ἥ φησιν ἐν ἀρχῇ τοῦ βιβλίου τῶν πράξεων ὁ Λουκᾶς, ἐνετέλλετο, καὶ παρήγγελλε λέγων, ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς, ἣν ἠκούσατέ μου, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ. καλῶς δὲ ἄγαν τὸ μὴ χωρίζεσθαι, τουτέστι μὴ μακρὰν ἀφίστασθαι, μηδὲ πόρρω γίνεσθαι, καὶ οὐκ εἶπε μὴ ἐξιέναι τὸ παράπαν τῆς Ἱερουσαλήμ. πῶς γὰρ ἔμελλε τοῦτο εἰπεῖν, ὁ προστάξας αὐτοῖς εἰς τὴν Γαλιλαίαν ἐλθεῖν; καὶ τὸ εἰρημένον δὲ ἐν τῷ τέλει τοῦ εὐαγγελίου τοῦ Λουκᾶ· καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν· ὁμοίως δὲ καὶ τὸ παρὰ τῷ Μάρκῳ γεγραμμένον. ὁ μὲν οὖν κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ, νοητέον ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ γεγενῆσθαι κατὰ τὸ ἐν ταῖς πράξεσιν ἱστορημένον. ἃ γὰρ ἐπιτεμόντες ἐν εὐαγγελίοις εἰρήκασι, ταῦτα τῷ πλάτει τῆς ἱστορίας ἐξαπλοῦνται καὶ σαφηνίζεται. ταῦτά ἐστι τὰ τοῖς εὐαγγελικοῖς ἀναγνώσμασι τῆς κυριακῆς νυκτὸς περιεχόμενα, καὶ θορυβεῖν τὸν ἀγνοοῦντα δυνάμενα,

A filiis Zebedæi, aliiſque duobus ex diſcipulis, vt Ioannes ſcriptum reliquit. Verùm ad montem, vbi conſtituerat eis Ieſus, reſpiciebat illud verbum, Ibi me videbunt, diuinæ majeſtatis plena videlicet oratione mandantem & præcipientem. Euntes, docete omnes gẽtes, baptizantes eos in nomine Patris, & Filij, & Spiritus ſancti. Etenim nec abs re quidẽ mihi, nec extra propoſitũ videtur, quod in monte Galilææ, & non aliquo alio loco hæc verba dicta fuerunt. Nam Galilæa, lingua Græca κατακυλιστή, id eſt, deuoluta, ſiue deuolubilis interpretatur,
B vnde etiam Gelgel Rota nominatur. Igitur velut ex monte excelſo, Saluatoris videlicet ore prolata hæc verba, rotæ in modum, in orbem terrarum habitarum deuoluta ſunt, & omnẽ percurrerunt: atque vniuerſi baptizati ſunt, & gentes, & ciuitates, in nomine Patris, & Filij, & Spiritus ſancti. Cæterùm his verbis auditis, diſcipuli ad nullam gentem ſtatim profecti ſunt, ſed manſerũt Hieruſalem vſq; ad Pentecoſten, expectãtes aduentũ & præſentiam Spiritus ſancti, qui in igneis linguis ad eos acceſſit. Nam
C cùm ita variis modis eis ad quadraginta dies appareret, & congregaret in vnum, quemadmodum Lucas ait in principio libri Actorum, præcipiebat & mãdabat ne ab Hieroſolymis diſcederent, ſed vt expectarent promiſſum patris, de quo (inquit) audiſtis ex me, quoniã Ioannes quidem aqua baptizauit, vos autem baptizabimini Spiritu Sancto. Admodum autẽ pulchrè, μὴ χωρίζεσθαι (id ſonat Latinè ne ſepararentur, vel diſiungerentur) hoc eſt, ne longè diſtarent, neu procul abeſſent, non autem dixit, ne prorſus exirent ex Hieruſalem. Nam qua ratione hoc dicturus fuiſſet, qui præceperat eis, vt in
D Galilæã venirent? Quod autem in fine Euangelij Lucæ dictum eſt: Et accidit dum benediceret eis, diſceſſit ab eis, & tollebatur in cœlũ: itémq; quod apud Marcum ſcriptum eſt: ac Dominus quidem, poſtquam loquutus fuiſſet eis, aſſumptus eſt in cœlum, & ſedet à dextris Dei: intelligendũ eſt, accidiſſe quadrageſimo die, ſecundum id quod in Actis memoriæ proditum eſt. Quæ enim breuiter & conciſim in Euãgelijs dixerunt, hæc latiore narratione explicãtur & declarantur. Hæc ſunt, quæ in Euãgelicis lectionibus dominicæ noctis continentur, quæ ignorãtem perturbare poſſint,

Luc.24.

Marc.16.

quæ etiam vobis tanquam debitum A dependimus: vos autem quæ facturi ſitis hæc audientes, erubeſco dicere, conſiderans concurſum ad ſpectaculum, rabiémque multitudinis. Præbeat autem nobis Dominus virtutem ad declinandum à malo & ad bonum faciendum, per gratiam atque benignitatem Domini & Dei & ſeruatoris noſtri Ieſu Chriſti: cui gloria & imperium cum Patre & Spiritu ſancto nunc & ſemper, & in ſæcula ſæculorum, Amen.

ἃ καὶ ὡς χρέος ὑμῖν καταθέμεθα· ὑμεῖς δὲ τίνα ποιεῖν ὀφείλετε ταῦτα ἀκούοντες, ἐρυθριῶ λέγειν τὸν ἐπὶ τὰς θέας δρόμον καὶ τὴν λύσσαν τῶν πολλῶν λογιζόμενος. παράσχοι δὲ ἡμῖν ὁ κύριος δύναμιν, εἰς τὸ ἐκκλίνειν ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

B

EIVSDEM DE SACRO feſto Paſchæ & de Reſurrectione, habita in magna die Dominica.

Laurentio Siſano interprete.

ORATIO III.

PAVPERES homines, qui dies feſtos amant, & cùm lubenti ac parato animo, tum habitu cultúq; ſplendido conuētus ac celebritates frequentant, etſi de ſuo ſibi ſuppeditare ſumpt⁹ ad eā, cui ſtudent, elegantiam non poſſunt, à notis tamē atq; propinquis omnē magnificū ac precioſum ornatū corrogantes, efficiūt, vt nihil ſibi deſit ad præſentē vſum. Quod mihi quoq; præſenti die accidere videtur. Quū enim ipſe nihil præclarū atq; magnificum à me ipſo poſſim ad propoſitas laudes cōcelebrandas conferre, ad ſacrā cantionem, quam paulò ante concinuimus, confugiā: atq; inde argumento atq; occaſione ſumpta dictioni ſcripturę mea quoq; coniungēs & quaſi attexens, ſoluā æs alienū: ſi modò etiam aliquæ pauperi ſeruo ex animi gratitudine erga dominum ſuū profectę laudes ſuppetunt. Dicebat igitur paulò
Pſal. 116. antè Dauid, & nos vnà cum illo: Laudate Dominū omnes gentes, laudate eum omnes populi. Omnem hominem ab Adamo vſque, neminem prętermittens quem non inuitet, ad hymnum vocat: ſed occidentales, orientales, & ſi quis circa alterutros, vel ſeptentrionibus vicinus, vel meridianarū partiū incola eſt, ſimul omnes allicit, & inuitat hoc pſal-

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟ ἅγιον πάσχα, καὶ περὶ τῆς ἀναστάσεως. ἐλέχθη τῇ μεγάλῃ κυριακῇ.

ΛΟΓΟΣ Γ'.

ΟΙ πένητες τῶν ἀνθρώπων, φιλέορτοί τε καὶ πρόθυμοι τῇ ψυχῇ, καὶ γαῦροι τῷ σχήματι, τὰς C πανηγύρεις κατασπαζόμενοι, κἂν ἑαυτοῖς μὴ ἐπαρκῶσιν εἰς τὴν σπουδαζομένην φαιδρότητα, παρὰ τῶν οἰκείων καὶ γνωρίμων πᾶσαν πολυτέλειαν ἐρανιζόμενοι, ἀνενδεεῖς ἑαυτοὺς εἰς τὴν προκειμένην χρείαν παρασκευάζουσιν. ὅπερ δοκῶ πρὸς τὴν παροῦσαν ἡμέραν πάσχειν ἐγώ. οὐδὲν γὰρ ἔχων μεγαλοπρεπὲς ἐν ταῖς προκειμέναις εὐφημίαις παρ' ἐμαυτοῦ συντελεῖν, πρὸς τὴν ἱερὰν ᾠ- D δὴν ἣν ἀρτίως ἤσαμεν καταφεύξομαι. ἐκεῖθεν δὲ τὰς ἀφορμὰς χρησάμενος, ἀποτίσω τὸ χρέος τῇ γραφικῇ λέξει προσυφάνας καὶ τὰ ἐμά, εἴ τινα ἄρα καὶ τύχοιεν παρὰ τῷ πένητι δούλῳ τῆς εἰς τὸν δεσπότην εὐχαριστίας ἐγκώμια. ἔλεγεν τοίνυν ἀρτίως ὁ Δαβὶδ καὶ ἡμεῖς μετ' ἐκείνου· αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. πάντα τὸν ἐξ Ἀδὰμ ἄνθρωπον πρὸς τὸν ὕμνον καλεῖ, μηδένα καταλιμπάνων ἔξω τῆς κλήσεως· ἀλλὰ τοὺς ἑσπερίους, τοὺς ἑῴους, τοὺς παρ' ἑκάτερα, εἴ τις τῆς ἄρκτου γείτων καὶ τῆς μεσημβρίας ἔνοικος ὁμοῦ πάντας δημαγωγεῖ τὸ ψαλ-

μῷ. καὶ ἀλλαχοῦ μὲν ἀπὸ μέρους τισὶ τῶν ἀνθρώπων προσδιαλέγεται, ἢ τοὺς ὁσίους καλῶν, ἢ τοὺς παῖδας πρὸς ὕμνον ἐγείρων· ἐπὶ δὲ τοῦ παρόντος ἔθνη καὶ λαοὺς τῷ ψαλτηρίῳ συνάγει. ὅταν γὰρ, κατὰ τὸν ἀπόστολον, παρέλθῃ τὸ σχῆμα τοῦ κόσμου τούτου, βασιλεὺς δὲ καὶ Θεὸς ἐπιφανῇ πᾶσιν ὁ Χριστὸς, πᾶσαν ψυχὴν ἄπιστον πληροφορήσας καὶ γλῶσσαν βλάσφημον χαλινώσας, στήσῃ δὲ Ἑλλήνων τὴν ματαιότητα, καὶ Ἰουδαίων τὴν πλάνην, καὶ τῶν αἱρέσεων τὴν ἀδάμαστον γλωσσαλγίαν· τότε δὴ τότε πάντα τὰ ἔθνη καὶ οἱ ἀπ' αἰῶνος λαοὶ ὑποκύψαντες, ἄμαχον τὴν προσκύνησιν ἀναπέμψουσι, καὶ θαυμαστή τις ἔσται συμφωνία δοξολογίας, τῶν μὲν ὁσίων συνήθως ὑμνούντων, τῶν δὲ ἀσεβῶν, ἐξ ἀνάγκης ἱκετευόντων· καὶ τότε ἀληθῶς ὁ ἐπινίκιος ὕμνος συμφώνως παρὰ πάντων ᾀσθήσεται, καὶ τῶν κρατηθέντων καὶ τῶν νικησάντων· τότε καὶ ὁ τῆς ταραχῆς ὑπαίτιος ὁ τὴν τοῦ δεσπότου φαντασθεὶς ἀξίαν, μαστιγίας οἰκέτης ὀφθήσεται πᾶσι, παρ' ἀγγέλων πρὸς τὴν τιμωρίαν συρόμενος, καὶ πάντες οἱ τῆς ἐκείνου κακίας ὑπηρέται καὶ συνεργοὶ, ταῖς πρεπούσαις κολάσεσι καὶ δίκαις ὑποβληθήσονται· εἷς δὲ φανήσεται βασιλεὺς καὶ κριτὴς, κοινὸς δεσπότης παρὰ πάντων ὁμολογούμενος· ἡσυχία δὲ ἔσται κατεσταλμένη, ὥσπερ ὅταν ἄρχοντος ἐπὶ βήματος καθημένου, ὁ μὲν κῆρυξ ὑποσημαίνῃ τὴν σιωπὴν, οἱ λαοὶ δὲ καὶ ὄψιν καὶ ἀκοὴν συντείναντες τὴν τῆς ἑρμηνείας ἀκρόασιν ἀναμένωσιν. διὰ τοῦτο, αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοὶ, αἰνέσατε ὡς δυνατὸν, ἐπαινέσατε ὡς φιλάνθρωπον· ὅτι πεσόντας καὶ νεκροὺς ὄντας αὖθις ἐζωοποίησεν, καὶ τὸ πονῆσαν σκεῦος ἀνενεώσατο πάλιν, καὶ τὴν ἐν τοῖς τάφοις τῶν λειψάνων ἀηδίαν, εἰς ζῶον ἄφθαρτον φιλανθρώπως ἐμόρφωσεν, καὶ ψυχὴν τὴν πρὸ τεσσάρων χιλιάδων ἐτῶν καταλιποῦσαν τὸ σῶμα, ὡς ἐκ μακρᾶς ἀποδημίας, εἰς ἰδίαν οἰκίαν ἐπανήγαγεν, οὐδὲν ἀπὸ χρόνου καὶ λήθης ξενιζομένην πρὸς τὸ ἴδιον ὄργανον, ἀλλὰ θᾶττον ἐπ' αὐτὸ χωροῦσαν, ἢ ὄρνις ἐπὶ τὴν καλιὰν τὴν οἰκείαν καθίπταται. εἴπωμεν γὰρ τὰ οἰκεῖα τῆς ἑορτῆς, ἵνα ἀκολούθως καὶ προσφυῶς τοῖς πράγμασιν ἑορτάσωμεν. τὸ γὰρ ἀνοίκειον καὶ ἀλλότριον πρὸς τὸ μηδὲν

A mo. Atque aliàs quidem ſpeciatim nonnullos homines appellat, aut ſanctos vocans, aut pueros ad hymnum excitans: in præſenti verò gentes ac populos pſalterio cogit in vnum. Cùm enim, vt Apoſtolus ait, figura huius mundi tranſierit, (1. Cor. 7.) rex verò ac Deus Chriſtus, omni anima incredula ad plenam fidem ac certam cognitionem traducta, linguaque maledica cohibita atque frænata, omnibus apparuerit: inhibuerit item Græcorum vanitatem, & Iudæorũ errorem, & hæreſeon indomitũ linguæ morbum: tunc nimirum, tunc omnes gentes, & qui à B ſæculo vſq; ſunt populi procumbentes conſentientem & concordem adorationem præſtabunt, & admirabilis quidam concentus & conſenſus glorificationis erit, ſanctis quidem more ſolito laudes dicentibus, impiis autem ex neceſſitate ſupplicantibus: & tunc reuera victoriæ carmen conſentienter ab omnibus canetur tam victis, quàm victoribus, tum etiam ſeruus ille verbero turbæ author, qui ſibi domini ſui dignitatem imaginatione ſumpſerat & arrogauerat, videbitur omnes admonens, dum ab Angelis C ad ſupplicium trahetur, & omnes illius nequitiæ miniſtri & ſocij debitis ſuppliciis ac pœnis afficiẽtur: vnus autem rex ac iudex apparebit, quem omnes communem dominum eſſe confiteantur: quies item erit atque ſilentium, quemadmodum fieri ſolet, cùm pro tribunali ſedente Prætore præco ſilẽtium indicit, & populi auribus & oculis ſimul intenti concionãtis vocem expectant. Idcirco, Laudate Dominum omnes gentes, laudate eum omnes populi, laudate tanquam potentem, laudate tanquam be- D nignum & humanum: quoniam eos qui ceciderãt & mortui fuerant, rurſus vitæ reſtituit, vas fractum de integro renouauit, ſitum atque iniucunditatem reliquiarum, quæ in ſepulchris erant, ad animal incorruptibile benignè redegit, animam quæ ante quatuor millia annorum corpus reliquerat, veluti ex longa peregrinatione ad ſuum domicilium reduxit, eámque non præ ſpatio temporis & obliuione quaſi peregrinã erga ſuum inſtrumentum affectam, ſed citius ad id tendentem, quàm auis ad nidum ſuum deuolat. Dicamus enim ea, quæ propriè ad feſtum pertinent, vt ad ipſas res accommodatè & conuenienter feriemur. Nam quod improprium eſt & alienum,

præterquàm quòd nihil prodeſt, res eſt inordinata, incompoſita atque abſurda, non ſolùm in iis orationibus, quæ de religione ac pietate habẽtur, verumetiam in externis, & iis quę ad mundanam pertinent ſapientiam. Quis enim eſt orator ita ſtultus adeoque ridiculus, qui ad nuptias hilaritate & iucũditate plenas vocatus, relicto apto & iucũdo genere orationis, quod accõmodatum ſit, ac quaſi congratuletur hilaritati ac feſtiuitati conuentus, triſtia quædam carmina atque lugubria pronuntiet, & ex tragœdia petitas calamitates in conuiuio nuptiali & in thalamo occinat? Aut ex contrario mortuo alicui iuſta exequi & orationẽ funebrem habere iuſſus, oblitus præſentis caſus, iucundum ſe præbeat & hilarem apud mœſtitia plenum conuẽtum? Quòd ſi in rebus mundanis res decora eſt ordo atque ſcientia, multo profectò magis eam obſeruari conuenit in rebus magnis atque cœleſtibus. Chriſtus igitur nobis reſurrexit hodie Deus, calamitatibus & caſibus amplius non obnoxius, immortalis. (Ac ſubſiſte parumper tu ethnice, omiſſo petulãti ac proteruo riſu, quoad omnia audiueris) non ad neceſſitatem caſuum, vel de cœlo deſcendere coactus, vel reſurrectionem tanquam inexpectatum inopinatúmve beneficium præter ſpem adeptus, ſed qui nouiſſet omniũ rerum finem, atque ita initium feciſſet, vt qui in oculis diuinitatis haberet propoſitorum cognitionem, & priuſquam de cœlo deſcẽderet, videret & gentium perturbationem, & duritiam Iſraëlis, & Pilatum pro tribunali ſedere, & Caipham veſtem ſibi diſcindere, & ſeditioſam plebem ira inflammari, & Iudam prodere, & Petrum propugnare, & paulò poſt ſeipſum per reſurrectionem ad gloriam immortalitatis trãsformare: ac quicquid futurum erat, cognitione præſcriptũ habens, non diſtulit beneficium homini pręſtare, neque in longiorem diem contulit earum rerum adminiſtrationem, ſed quemadmodum illi, qui debilem aliquem ab impetu torrentis & voraginis rapi vident, licet haud ignorantes quod fieri poſſit, vt cœno torrentis ipſi quoq; inuoluantur, & lapidum, quos ſecum aqua rapit atque prouehit, ictibus lędantur, tamen præ miſericordia periclitantis ingredi non grauantur: ita Seruator noſter humanus vltrò ac ſponte ſua contumelioſa & ignominioſa ſuſcepit, vt eum, qui fraude

A ὠφελεῖν, ἄτακτόν ἐστι καὶ ἀλλόκοτον, οὐκ ἐν τοῖς περὶ θρησκείας καὶ εὐσεβείας λόγοις, ἀλλὰ καὶ ἐπὶ τῆς ἔξωθεν καὶ τῆς τοῦ κόσμου σοφίας. τίς γὰρ οὕτως ἀνόητος ἢ καταγέλοιος ῥήτωρ, ὡς κληθεὶς εἰς φαιδρότητα γάμου ἀποστῆναι μὲν τῶν ἁρμοδίων λόγων καὶ γλαφυρῶν συνευπαθούντων ταῖς τῆς πανηγύρεως χάρισι, γοερὰ δὲ μέλη θρηνῳδεῖν καὶ τὰ ἐκ τραγῳδίας κακὰ τῶν παστάδων κατολοφύρεσθαι; ἢ τὸ ἔμπαλιν ἐπιταχθεὶς ἑνὶ τῶν τετελευτηκότων τὰ νενομισμένα τελεῖν, ἐπιλαθέσθαι μὲν τοῦ πάθους, φαιδρύνεσθαι δὲ πρὸς τὸν κατηφείας γέμοντα σύλλογον; εἰ δὲ ἐν τοῖς ἐγκοσμίοις καλὸν ἡ τάξις καὶ ἐπιστήμη, πολλῷ δήπου πλέον ἐν τοῖς μεγάλοις καὶ οὐρανίοις ἁρμοδιώτερον. Χριστὸς τοίνυν ἀνέστη σήμερον ὁ Θεός, ὁ ἀπαθής, ὁ ἀθάνατος. καὶ μικρὸν ἐπίσχες ὁ ἐθνικός, παρεὶς τὸν προπετῆ γέλωτα, μέχρις ἂν πάντων ἀκούσῃς· οὐ πρὸς ἀνάγκην παθῶν, οὐδὲ τὴν ἐξ οὐρανῶν κάθοδον βιασθείς, οὐδὲ τὴν ἀνάστασιν ὡς ἀπροσδόκητον εὐεργεσίαν παρ' ἐλπίδας εὑρών, ἀλλ' εἰδὼς πάντων τῶν πραγμάτων τὸ τέλος, καὶ οὕτως τὴν ἀρχὴν ποιησάμενος, ἔχων ἐν ὀφθαλμοῖς τῆς θεότητος τῶν προκειμένων τὴν γνῶσιν, καὶ πρὶν ἐξ οὐρανῶν κατελθεῖν, βλέπων καὶ τῶν ἐθνῶν τὴν ταραχήν, καὶ τοῦ Ἰσραὴλ τὴν σκληρότητα, καὶ Πιλᾶτον προκαθήμενον, καὶ Καϊάφαν ἑαυτοῦ τὴν ἐσθῆτα περιαναρρήσσοντα, καὶ τὸν στασιώδη δῆμον φλεγμαίνοντα, καὶ Ἰούδαν προδιδόντα, καὶ Πέτρον ὑπερμαχόμενον, καὶ μετ' ὀλίγον ἑαυτὸν τῇ ἀναστάσει εἰς δόξαν ἀφθαρσίας μεταμορφούμενον· καὶ πᾶν τὸ μέλλον ἔχων ὑπογεγραμμένον τῇ γνώσει, οὐκ ἀνεβάλετο τὴν εἰς τὸν ἄνθρωπον χάριν, οὐδὲ ὑπερέθετο τὴν οἰκονομίαν, ἀλλ' ὥσπερ οἱ τὸν ἀσθενῆ παρὰ χαράδρας συρόμενον βλέποντες, εἰδότες ὡς ἔστι καὶ βορβόρῳ τοῦ χειμάρρου ἐνειληθῆναι, καὶ τῆς πληγῆς ἀνασχέσθαι τῶν λίθων τῶν συνωθουμένων παρὰ τοῦ ὕδατος, ὅμως διὰ τὸ συμπαθὲς τὸ περὶ τὸν κινδυνεύοντα οὐκ ὀκνοῦσι τὴν εἴσοδον· οὕτως καὶ ὁ φιλάνθρωπος ἡμῶν σωτήρ, ἐθελοντὴς ὑβριστικὰ καὶ ἄτιμα κατεδέξατο, ἵνα τὸν ἐξ ἀπάτης ἀπολλύμε-

νοι σώσῃ, κατῆλθεν εἰς τὸν βίον, ἐπειδὴ προῄδει καὶ τὴν ἄνοδον ἔνδοξον. ἀποθανεῖν τῷ ἀνθρωπίνῳ ἑαυτὸν συνεχώρησεν, ἐπειδὴ καὶ τὴν ἔγερσιν προεγίνωσκε. οὐ γὰρ ὡς εἷς τῶν κοινῶν ἀνθρώπων, ῥιψοκινδύνως ἐτόλμα τῇ ἀδηλίᾳ τοῦ μέλλοντος ἐπιτρέπων τὴν ἔκβασιν, ἀλλ' ὡς Θεὸς ᾠκονόμει τὸ προκείμενον, ἐπὶ ῥητῷ καὶ ἐγνωσμένῳ τῷ τέλει. αὕτη τοίνυν ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, μὴ μέθαις καὶ κώμοις, μὴ χοροῖς καὶ παροινίαις, ἀλλὰ ταῖς θεοειδέσιν ἐννοίαις· σήμερον ἅπασαν τὴν οἰκουμένην ἔστιν ἰδεῖν ὡς μίαν οἰκίαν εἰς συμφωνίαν ἑνὸς πράγματος συγχυθεῖσαν τοῦ κατὰ συνήθειαν πράγματος, μετασκευασθεῖσαν δὲ, ἑνὶ συνθήματι εἰς τὴν σπουδὴν τῆς εὐχῆς, αἱ λεωφόροι τοὺς ὁδοιπόρους οὐκ ἔχουσι, θάλασσα σήμερον ναυτῶν καὶ πλωτήρων ἔρημος, γεωργὸς τὴν σκαπάνην καὶ τὸ ἄροτρον ῥίψας, εἰς τὸ τοῦ ἑορτάζοντος σχῆμα ἐκαλλωπίσατο, αἱ καπηλεῖαι τῆς ἐμπορείας σχολάζουσιν· αἱ ὀχλήσεις ἐλύθησαν ὡς χειμὼν ἐπιφανέντος ἔαρος· θόρυβοι δὲ ταραχαὶ καὶ ζάλαι τοῦ βίου, τῇ εἰρήνῃ τῆς ἑορτῆς ὑπεξέστησαν· ὁ πένης ὡς πλούσιος καλλωπίζεται· ὁ πλούσιος τῆς συνηθείας περιφανέστερος δείκνυται· ὁ πρεσβύτης ὡς νέος τρέχει πρὸς τὴν μετουσίαν τῆς εὐφροσύνης· ὁ ἀσθενὴς, καὶ τὴν νόσον βιάζεται· τὸ παιδίον τῇ ἐξαλλαγῇ τῆς ἐσθῆτος, αἰσθητῶς ἑορτάζει, ἐπειδὴ νοητῶς οὐδέπω δύναται· ἡ παρθένος, ὑπερευφραίνεται τὴν ψυχὴν, ὅτι τῆς ἰδίας ἐλπίδος λαμπρὰν δὲ οὕτως τιμωμένην τὴν ὑπόμνησιν βλέπει· ἡ ἔγγαμος ὅλῳ τῷ πληρώματι τῆς οἰκίας ἑορτάζουσα χαίρει· νῦν γὰρ αὐτὴ καὶ ὁ σύνοικος, καὶ οἱ παῖδες, καὶ οἱ οἰκέται, καὶ πάντες ἐφέστιοι ἀγάλλονται. καὶ ὥσπερ τὸ σμῆνος τῶν μελισσῶν τὸ νέον καὶ ἀρτίτοκον, πρῶτον τῆς καταδύσεως ἢ τῶν καλαθίσκων πρὸς τὸν ἀέρα καὶ τὸ φῶς ἐξιπτάμενον, ἀθρόον ὁμοῦ καὶ συνημμένοι ἑνὶ κλάδῳ δένδρου προσαπλάσσεται· οὕτως ἐπὶ ταύτης τῆς ἑορτῆς, ὁλόκληρα τὰ γένη πρὸς τὰς ἑστίας συντρέχει, καὶ ἀληθῶς τῇ μιμήσει πρὸς τὴν μέλλουσαν ἡμέραν, ἡ παροῦσα καλῶς ἀναφέρεται. ἀθροιστικαὶ γὰρ ἀνθρώπων ἀμφότεραι, ἐκείνη μὲν καθόλου, αὕτη δὲ ἐπὶ μέρους· ἵνα δὲ τὸ ἀληθέστερον εἴπωμεν, ὅσον εἰς φαιδρότητα φέρει καὶ εὐθυμίαν, αὕτη τῆς προσδοκωμένης χαριε-

A perierat, ſeruaret, deſcēdit in mundum, quoniam præuidebat etiam glorioſum aſcenſum. Mori ſe generi humano permiſit, quoniam reſurrectionem quoque præſentiebat, & animo prouidebat. Non enim ſicuti vnus ex vulgaribus hominibus temerè ſeſe periculis obijciebat, incertitudini futuri euentus rem committens, ſed tanquā Deus rem propoſitam certo, deſtinatóq; fine regebat. Hæc igitur eſt dies, quàm fecit Dominus, exultemus & lætemur in ea, nō ebrietatibus & comeſſationibus, non choris & debacchationibus inſanis, ſed diuinis ac B Deo cōuenietibus cogitationibus. Hodie vniuerſum orbem terrarum videre licet, perinde ac ſi vna domus eſſet, in vnius rei de more fieri ſolitæ conſenſum ac quaſi conſonantiam coijſſe atque coaluiſſe, vnoque ſigno, quaſi teſſera accepta ad ſtudium orationis traductum: viæ publicæ viatoribus carent: mare hodie à nautis & vectoribus deſertū: agricola aratro ac ligone proiecto in habitum feriantis compoſitus & exornatus eſt: cauponæ à quæſtu vacāt: ſtrepitus tanquam hyems appetente vere ceſſant: tumultus, turbæ, vitæ procellæ paci & quieti C diei feſti deceſſerunt: pauper vt diues exornatur: diues ſolito ſplendidior conſpicitur: ſenex perinde ac iuuenis accurrit, vt particeps lætitiæ fiat: infirmus quoque vim morbo adfert: puellus infans mutatione veſtis ſenſu externo feſtum colit, quandoquidem interiori animi ſenſu nondum poteſt: virgo in animo ſuo vehementer lætatur, quòd ſuæ ſpei recordationem adeò ſplendidè honorari cernit: materfamilias cum toto grege domus, nemine familiarū atque domeſticorū abſente, feſtum celebrans lætatur: nunc enim ipſa atque maritus, D & liberi, & ſerui, omnéſque domeſtici lætantur. Ac veluti nouum ac recens editum examen apum ex latibulis primum & aluearibus ſimul coactū atque confertum in aërem ac lucem euolans ramo alicuius arboris ſeſe applicat & conſidit: haud aliter in hoc feſto integræ familiæ ad ſedes quæq; ſuas confluunt. Ac profectò ipſa imitatione præſens dies ad futurum rectè refertur atq; comparatur. Vtérque enim hominum congregator eſt: ille vniuerſorum, hic ſingularium: vt autem verius dicamus, quantum ad lætitiam pertinet & hilaritatem, hæc quam illa, quæ expectatur,

Pſal. 117.

gratior ac iucundior eſt, quippe tunc quidem neceſſe eſt etiam lamentantes videri, quorum videlicet peccata deteguntur: præſentis verò diei iucunditas nullos admittit triſteis & animo demiſſos. Nam & iuſtus lætatur, & is qui conſcientiã puram non habet, ex reſipiſcentia ſui correctionẽ ſperat, atque omnis in præſenti die triſtitia ſopita eſt: nullus autem adeò ęgritudine preſſus & obnoxius eſt, quin per huius feſti magnificentiam mali ſui remiſſionem ſentiat atque leuamen: hoc die nexi ſoluuntur: debitor dimittitur: ſeruus bono & humano præconio atque edicto Eccleſiæ manumittitur, nec tamen alapis fœdè os eius cæditur, plagáq; à plaga liberatur: nec, quemadmodum in pompa fieri ſolet, in edito atque ſublimi ſuggeſto populo oſtentatur, à rubore & contumelia libertate ſuam exorſus: ſed ita decorè ac honeſtè dimittitur, vt notum eſt: beneficio item afficitur is, qui adhuc in ſeruitute manet. Nam etiãſi multa ac grauia ſint delicta, quæ veniam ac deprecationem excedant, huius diei ſerenitatis & humanitatis veneratione Dominus recipit abiectum, & inter viles & ignominioſos conſpicuum, quemadmodum Pharao ex carcere pincernã. Nouit enim quod tempore reſurrectioni deſtinato, ad cuius ſimilitudinẽ præſentem diem cohoneſtamus, etiam ſeipſum opus habere lenitate ac bonitate Domini, & quaſi mutuo miſericordiã hic dans expectat in tempore ſuo relationẽ & compenſationem. Audiſtis domini: Cuſtodite ſermonem pro bono, ne traducatis me apud ſeruos, quaſi falsò ac non ſyncerè laudibus celebrem diem, dimittite ægritudinem afflictis & anxiis animis, quemadmodum Dominus corporibus mortificationem: traducite infames ad honeſtatem: reſtituite ignominia notatos in famæ integritatem: traducite ad gaudium afflictos: ad libertatem ſermonis fiducia ac libertate carentes. Educite ex angulo tanquã ex ſepulchris proiectos. Effloreſcat & emineat in omnibus ſicuti flos, decor diei feſti. Nã ſi natalis dies hominis regis carcerẽ aperit: dies victoria celebris & illuſtris, Chriſtus reſurgens afflictos, oppreſſos & conſtrictos nõ dimittet? Pauperes amplectimini veſtram nutricem: qui oblæſa, vitiata, corrupta mutilatáue corpora habetis, curatricem veſtrarum calamitatum (diem) ſalutate, quippe propter ſpem reſurrectionis virtuti ſtudetur, & vitium odio habetur.

A στέρα, ἐπεὶ τότε μὲν ἐπωδύνους καὶ τοῖς ὀδυρομένοις ὁρᾶσθαι ὧν αἱ ἁμαρτίαι ἀποκαλύπτονται· νῦν δὲ ἀνεπίδεκτος τῶν σκυθρωπῶν ἐστιν ἡ εὐπάθεια. ὅτι γὰρ δίκαιος εὐφραίνεται, καὶ ὁ τὸ συνειδὸς μὴ καθαρεύων, ἀναμένει τὴν ἐκ τῆς μετανοίας διόρθωσιν, καὶ πᾶσα ἡ λύπη ἐπὶ τῆς παρούσης ἡμέρας κοιμίζεται· οὐδεὶς δὲ οὕτως κατώδυνος, ὡς ἄνεσιν μὴ εὑρέσθαι τῇ μεγαλοπρεπείᾳ τῆς ἑορτῆς· νῦν ὁ δεσμώτης λύεται· ὁ χρεώστης ἀφίεται· ὁ δοῦλος ἐλευθεροῦται τῷ ἀγαθῷ καὶ φιλανθρώπῳ τῆς ἐκκλησίας κηρύγματι, οὐ ῥαπιζόμενος ἀσχημόνως κατὰ τὴν συνήθειαν, καὶ πληγῇ τῆς πληγῆς ἀφιέμενος· οὐδὲ ὥσπερ ἐν πομπῇ
B τῷ δήμῳ δεικνύμενος ἐφ' ὑψηλοῦ βήματος, ὕβριν δὲ ἔχων καὶ ἐρυθριασμὸν τὴν ἀρχὴν τῆς ἐλευθερίας· ἀλλ' οὕτως κοσμίως ἀφιέμενος, ὡς γινώσκεται, εὐεργετεῖται δὲ καὶ ὁ μένων ἐπὶ τῆς δουλείας ἔτι. εἰ γὰρ καὶ πολλὰ καὶ βαρέα τὰ ἁμαρτήματα, παραίτησιν ὑπερβαίνοντα καὶ συγγνώμην, αἰδούμενος ὁ δεσπότης τὸ τῆς ἡμέρας γαληνὸν καὶ φιλάνθρωπον, δέχεται τὸν ἀπερριμμένον, καὶ ἐν τοῖς ἀτίμοις ὁρώμενον, ὡς ὁ Φαραὼ τὸν οἰνοχόον ἐκ τοῦ δεσμωτηρίου. οἶδεν γὰρ ὡς κατὰ τὴν προθεσμίαν τῆς ἀναστάσεως, ἧς καθ' ὁμοιότητα τὴν παροῦσαν τιμῶμεν, χρῄζει καὶ αὐτὸς τῆς ἀνεξικακίας
C καὶ τῆς ἀγαθότητος τοῦ δεσπότου, καὶ δανείζων ἐν τούτῳ τὸν ἔλεον, προσδοκᾷ τὴν ἀπόδοσιν ἐν καιρῷ. ἠκούσατε οἱ δεσπόται, φυλάξατε τὸν λόγον ὡς ἀγαθόν, μὴ διαβάλλητέ με παρὰ τοῖς δούλοις ὡς ψευδῶς τὴν ἡμέραν ἐγκωμιάζοντα, ἀφέλετε τὴν λύπην τῶν θλιβομένων ψυχῶν, ὡς ὁ κύριος τῶν σωμάτων τὴν νέκρωσιν, μεταμορφώσατε τοὺς ἀτίμους εἰς ἐπιτιμίαν, τοὺς θλιβομένους εἰς χαράν, τοὺς ἀπαρρησιάστους εἰς παρρησίαν, ἐξαγάγετε τῆς γωνίας
D τοὺς ῥιφέντας ὡς τάφων· ἐπανθησάτω τὸ τῆς ἑορτῆς κάλλος ὡς ἄνθος τοῖς πᾶσιν. εἰ γὰρ βασιλέως ἀνθρώπου γενέθλιος ἡμέρα ἀνοίγει δεσμωτήριον, ἡ ἐπινίκιος ἡμέρα Χριστὸς ἀναστὰς οὐκ ἀφήσει τοὺς τεθλιμμένους; οἱ πτωχοὶ τὴν ὑμετέραν τροφὸν ἀσπάσασθε· οἱ διερρυηκότες καὶ λελωβημένοι τὰ σώματα, τὴν ἰωμένην ὑμῶν τὰς συμφοράς. διὰ γὰρ τὴν ἀπὸ τῆς ἀναστάσεως ἐλπίδα καὶ ἀρετὴ σπουδάζεται καὶ κακία μισεῖται.

ἐπεὶ

ἐπεὶ δὲ ἀναστάσεως ἀναιρεθείσης, εἷς παρὰ πᾶσι κρατῶν εὑρεθήσεται λόγος. Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. πρὸς ταύτην βλέπων ὁ ἀπόστολος τὴν ἡμέραν, τῆς ζωῆς τῆς ἐπικαίρου καταφρονεῖ· ἐπιθυμεῖ δὲ τῆς μελλούσης, ἐξευτελίζων δὲ τὰ ὁρώμενα φησίν· εἰ ἐπὶ τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. διὰ ταύτην τὴν ἡμέραν κληρονόμοι Θεοῦ ἄνθρωποι, καὶ συγκληρονόμοι Χριστοῦ. διὰ ταύτην τὴν ἡμέραν ὅσαπερ οἱ σαρκοβόροι ὄρνιθες ἔφαγον πρὸ χιλίων ἐνιαυτῶν μέρος τοῦ σώματος, εὑρεθήσεται μὴ λεῖπον, καὶ ὅσαπερ κήτη, καὶ κύνες καὶ τὰ ἐνάλια ζῶα κατεβοσκήθησαν, ἐγειρομένῳ τῷ ἀνθρώπῳ συναναστήσεται· καὶ ὅσαπερ διέφλεξε πῦρ, καὶ σκώληξ ἐν τάφοις κατεδαπάνησεν, καὶ ἁπλῶς πάντα τὰ σώματα ὅσα μετὰ τὴν γένεσιν ἠφάνισεν ἡ φθορὰ, ἀνελλιπῆ καὶ ἀκέραια ἀποδοθήσεται ἐκ τῆς γῆς, καὶ ὡς Παῦλος διδάσκει ἐν ῥοπῇ ὀφθαλμοῦ τελεσθήσεται ἡ ἀνάστασις. ῥοπὴ δὲ ὀφθαλμοῦ, ἐπίμυσις βλεφάρων ἐστί. καὶ τούτου τοῦ τάχους οὐκ ἂν ἕτερον ὀξύτερον γένοιτο. οὐδὲ ἀνθρωπικῶς κατὰ τὴν δύναμιν τὴν σαυτοῦ λογιζόμενος, πόσα διαστήματα χρόνων διαγράφεις ἐν τῇ ψυχῇ σου· πρότερον, ἵνα τὰ διασαπέντα τῶν ὀστέων καὶ γεωθέντα εἰς τὴν σκληρότητα καὶ λειότητα συμπαγῇ, ἑνωθέντα δὲ ἐκ τῆς θρύψεως πάλιν εἰς ῥυθμὸν ἁρμονίας, καὶ τὴν φυσικὴν συνέλθῃ συναφείαν. εἶτα ἐπινοεῖς τὴν τῶν σαρκῶν περίπλασιν, καὶ νεύρων ἀποτεταμένας συνδέσεις, καὶ φλεβῶν καὶ ἀρτηριῶν λεπτοὺς ὀχετοὺς ὑφηπλωμένους τῷ δέρματι· ψυχῶν δὲ ἀμύθητον καὶ ἀναρίθμητον πλῆθος ἐκ τινῶν ἀπορρήτων οἰκήσεων· γνωρίζουσαν δὲ ἑκάστην ὡς ἱμάτιον ἐξαίρετον τὸ ἴδιον σῶμα, καὶ τούτῳ πάλιν ἐνοικοῦσαν ὀξέως, ἀπλανῆ δὲ ἔχουσαν τὴν διάκρισιν κατὰ πλῆθος τοσούτου ὁμοφύλων πνευμάτων. ἐννόησον γὰρ τὰς ἀπὸ Ἀδὰμ ψυχὰς, καὶ τὰ ἀπ' ἐκείνου σώματα πλῆθος τοσούτων οἰκιῶν λυθεισῶν, καὶ οἰκοδεσποτῶν ἐκ μακρᾶς τῆς ἀποδημίας ὑποστρεφόντων, πάντα δὲ παραδόξως πληρούμενα· οὔτε γὰρ οἰκία ἀνακτιζομένη βραδύνει, οὔτε ὁ ἔνοικος πλανᾶται καὶ θυραυλεῖ, ζητῶν ποῦ τὰ ἴδια καὶ ἐξαίρετα.

A Quoniam ſublata reſurrectione vnus apud omnes obtinens ſermo reperietur. Edamus & bibamus: cras enim morimur. Ad hunc diem reſpiciens Apoſtolus temperariam vitam contemnit, & futurã deſiderat & affectat, extenuans autem ea, quæ videntur, Si in hac, inquit, vita ſpem poſuimus, maximè omnium hominũ miſerabiliores ſumus. (1. Cor. 15.) Propter hanc diem homines hæredes Dei & cohæredes Chriſti exiſtunt: propter hunc diem pars corporis, quam ante mille annos carniuoræ aues comederint, integra reperietur, & quam vel B canes, vel cete cæteráque animalia marina deuorauerint, vnà cum homine ſuſcitato reſurget: quinetiam quod ignis concremauerit, quod vermis in ſepulchris abſumpſerit: & vt rem in ſummam conferã, omnia denique corpora, quotquot poſt generationem corruptio aboleuerit & è medio ſuſtulerit, integra nullâque ſui parte carentia reddentur è terrã; & vt Paulus docet, in momento oculi perficietur reſurrectio. (Ibidem.) Ictus autem ſeu momentum oculi clauſio palpebrarum eſt. Atque hac velocitate nulla res alia celerior eſſe poſſit: neque C humano more pro captu tuo reputans deſcripſeris in animo tuo quot ſint temporum interualla, primum vt oſſa putrefacta & in terram redacta in priſtinam duritiem & leuitatem compingantur: vnita verò ex ipſa fractione rurſus in aptam & conuenientem compagem & naturalem coëant iuncturam & commiſſuram: neque verò deinde animaduerteres carnium obductionem, & neruorum productas coniunctiones, venarum arteriarúmque tenues & exiles ductus, & quaſi alueos ſub cute explicatos: animarum inenarrabilium & innu- D merabilium multitudinem ex arcanis quibuſdam habitationibus (euolantem,) earúmque vnamquamque ſuum corpus tanquam veſtem peculiarem agnoſcentem, & in hoc rurſus celeriter inhabitantem, certóque diſcrimine vtentem in tanta multitudine ſpirituum generis eiuſdem. Cogita enim ab Adam animas, & ab illo vſque corpora, tot numero domibus ſolutis ac deſertis, patribúſque familiâs ex longa quaſi peregrinatione reuertentibus, eaque omnia perfici admirabiliter & extra communem captum: neque enim vel domus tardè renouatur & inſtauratur, vel incola oberrat, ac quaſi ſub dio manet, dum propria ac peculiaria quærit;

ſed protinus ad eam tendit, tanquam columba ad ſuam turrim, etiamſi multæ atque frequentes circa eundem locum fuerint iiſdem notis inſignes. Vnde rurſus recordatio & prioris vitæ expenſio retractatióque, atque cuiuſq; actionis cogitatio, quæ adeò celeriter vnà cum animali ante tot ſæcula diſſoluto abſoluitur atque perficitur? Atqui vel ex ſomno profundiori excitatus homo paulisper ignorat qui ſit, & vbi degat: familiarúmque & conſuetarum rerum obliuiſcitur, donec vigilia diſcuſſo torpore rurſus vim memoriæ conſeruatricem & efficaciam recreauerit, & redintegrauerit. Hæc & ſimilia cogitationes vulgi ſubeuntia ingenti mentem implent admiratione, & vnà cum admiratione inducunt incredulitatem. Quoniam enim mens eorum de quibus dubitat & quęrit, ſolutionem non inuenit, neque ſuam curioſitatem inuentione ac diſſolutione ſedare poteſt, deinceps propter infirmitatem ſuarum cogitationum & ſenſuum tendit ad incredulitatem, eijciens & reprobans rerum veritatem. Enimuerò quoniam curſu ſuo progrediens oratio ad eã, quæ frequenter tractatur, quæſtionem peruenit, atq. argumentũ non alienum, ſed proprium huius diei feſti eſt; age paululum ad initium huic diſputationi aptum atque conueniens quęſtionem propoſitam reuocantes, certam perſuaſionem inducere ac fidem facere conemur iis, qui perperam ambigunt de rebus manifeſtis. Creator rerum vniuerſarum cùm ſtatuiſſet hominem creare, non quod facilè contemni poſſet, ſed quod cæteris omnibus dignitate præſtaret, animal in rerum naturam produxit, eiúſque quæ ſub cœlo eſt, creaturæ regẽ deſignauit, hoc cum animo deſtinaſſet, & talem perfeciſſet ſapientia formáque diuina præditum, ac multa gratia atque decore ornatum, nunquid eo conſilio illum in rerum naturã produxit, vt genitus corrumperetur, & extremum ſubiret interitum? At vanum id conſilium, ineptum propoſitum & abſurda fuiſſet intentio: ac vehemẽter ſanè indigna res eſt talem cogitationem ad Deum referre, & huiuſmodi quicquam de eo ſentire: Puerulis enim hac ratione aſſimilatur ſtudioſè ædificantibus, & celeriter ſtructuram ſoluentibus: quippe nullum finem vtilem mente eorum ſpectante. Contrarium autem prorſus edocti ſumus: quoniã eum, quem primum finxit, immortalem creauit,

A εὐθὺς δὲ ἐπ' αὐτὴν χωρεῖ, ὥσπερ περιστερὰ πρὸς τὸν ἴδιον πύργον, κἂν πολλοὶ καὶ συνεχεῖς περὶ τὸν αὐτὸν τόπον ὦσι δι' ὁμοίων σημάτων ἐκλάμποντες. πόθεν πάλιν ἡ ἀνάμνησις καὶ ὁ ἀναλογισμὸς τοῦ προτέρου βίου, καὶ ἑκάστης πράξεως ἔννοια, οὕτως ὀξέως συναπαρτιζομένη τῷ ζώῳ περὶ τοσούτων αἰώνων διαλυθέντι; καί τοι γε καὶ ἐξ ὕπνου ἄνθρωπος ἀνεγερθεὶς βαθυτέρου, ἐπ' ὀλίγον ἀγνοεῖ ὅστις ἐστὶ καὶ ὅποι διάγει, καὶ τῶν συνήθων ἐπιλανθάνεται, μέχρις ἂν ἡ ἐγρήγορσις τὴν νάρκην ἀποσκεδάσασα, πάλιν B τὸ μνημονικὸν καὶ ἐνεργὲς ἀναζωπυρήσῃ. Ταῦτα καὶ τὰ τοιαῦτα τοὺς λογισμοὺς τῶν πολλῶν ὑποτρέχοντα θαύματος ὑπερβάλλοντος πληροῖ τὴν διάνοιαν, συνεισάγει δὲ τὴν ἀπιστίαν τῷ θαύματι. ἐπειδὴ γὰρ ὁ νοῦς οὐχ εὑρίσκει τῶν ἀπορουμένων καὶ ζητουμένων τὴν λύσιν, οὐδὲ δύναται τὴν ἑαυτοῦ πολυπραγμοσύνην εὑρήσει καὶ καταλύσει προσαναπαύσαι, χωρεῖ πρὸς ἀπιστίαν λοιπὸν ἐν τῇ ἀσθενείᾳ τῶν ἰδίων λογισμῶν, ἐκβάλλων καὶ ἀθετῶν τὴν τῶν πραγμάτων ἀλήθειαν. μᾶλλον δὲ ἐπειδὴ ὁδῷ προ- C βαίνων ὁ λόγος πρὸς τὸ συνεχῶς λαλούμενον ἀφίκετο ζήτημα, καὶ τῆς παρούσης ἑορτῆς ὑπόθεσις οἰκεία καὶ συγγενής, φέρε μικρὸν εἰς ἀρχὴν πρέπουσαν ἀναγαγόντες τὸ προκείμενον, πληροφορίαν ἐμποιῆσαι πειραθῶμεν τοῖς πρὸς τὰ φανερὰ κακῶς ἀμφιβάλλουσιν. ὁ τῶν ὅλων δημιουργὸς θελήσας κτίσαι τὸν ἄνθρωπον, οὐχ ὡς εὐκαταφρόνητον ζῶον, ἀλλ' ὡς τιμιώτερον πάντων εἰς τὸ εἶναι παρήγαγεν, καὶ τῆς ὑπ' οὐρανὸν κτίσεως ἀνέδειξε βασιλέα. τοῦτο προελόμενος, καὶ τοιοῦτον ἀπαρτίσας σοφὸν καὶ θεοει- D δῆ, καὶ πολλῇ κατακοσμήσας τῇ χάριτι, ἆρα μετὰ γνώμης τοιαύτης εἰς τὸ εἶναι παρήγαγεν, ἵνα γεννηθεὶς φθαρῇ, καὶ τελείαν ὑποστῇ τὴν ἀπώλειαν; ἀλλὰ μάταιος ὁ σκοπὸς, καὶ σφόδρα ἀνάξιον τὴν τοιαύτην ἔννοιαν εἰς Θεὸν ἀναφέρειν· παιδίοις γὰρ οὕτως ἀπεικάζεται, οἰκοδομοῦσι σπουδῇ, καὶ λύουσι ταχέως τὸ κατασκεύασμα, πρὸς οὐδὲν πέρας εὔχρηστον τῆς διανοίας αὐτῶν καταληγούσης. πᾶν δὲ τοὐναντίον ἐδιδάχθημεν· ὅτι τὸν πρωτόπλαστον ἀθάνατον ἔκτισεν.

ἐπισυμβάσης δὲ τῆς παραβάσεως καὶ τῆς ἁμαρτίας, εἰς δίκην τοῦ πλημμελήματος τῆς ἀθανασίας ἐστέρησεν· εἶτα ἡ πηγὴ τῆς ἀγαθότητος ὑπερβλύζουσα τὴν φιλανθρωπίαν, καὶ πρὸς τὸ ἔργον ἐπικλασθεῖσα τῶν ἰδίων χειρῶν, σοφίᾳ καὶ ἐπιστήμῃ κατεκόσμησεν, ὅς εἰς τὴν ἀρχαίαν ἡμᾶς εὐδόκησεν ἀνακαινίσαι κατάστασιν. ταῦτα καὶ ἀληθῆ τυγχάνει, καὶ τῆς περὶ Θεοῦ ὑπολήψεως ἄξια. προσμαρτυρεῖ γὰρ αὐτῷ μετὰ τῆς ἀγαθότητος καὶ τὴν δύναμιν. τὸ δὲ ἀπαθῶς ἔχειν καὶ σκληρῶς πρὸς τὰ ἀρχόμενά τε καὶ ποιμαινόμενα, οὐδὲ ἀνθρώπων ἐστὶ χρηστῶν καὶ βελτίστων. οὕτως ὁ ποιμὴν βούλεται ἐρρῶσθαι τὸ ποίμνιον αὐτῷ, καὶ σχεδὸν ὑπάρχειν ἀθάνατον· καὶ ὁ βουκόλος παντοδαπαῖς θεραπείαις αὔξει τὰς βοῦς· καὶ τὰς αἶγας διδυμοτόκους ὑπάρχειν ὁ αἰπόλος εὔχεται· καὶ πᾶς ἀγελάρχης ἁπλῶς διαμένειν αὐτῷ καὶ εὐθηνεῖσθαι ποθεῖ τὴν ἀγέλην, πρός τι τέλος εὔχρηστον ἀφορῶν. τούτου δὲ οὕτως ἔχοντος, καὶ ἐκ τῶν ἀρτίως ἡμῖν εἰρημένων δειχθέντος πρεπωδέστατον ὑπάρχειν τῷ δημιουργῷ καὶ τεχνίτῃ τῆς φύσεως ἡμῶν ἀναπλάσαι τὸ φθαρὲν ποίημα, πρόδηλον ὡς οἱ τοῖς ἑξῆς ἀπειθοῦντες οὐκ ἄλλοθέν ποθεν ἀπομάχονται, ἢ διὰ τὸ νομίζειν ἀδύνατον εἶναι τῷ Θεῷ τὸ τεθνηκὸς καὶ διαλυθὲν ἀνεγεῖραι. νεκρῶν ἀληθῶς καὶ ἀναισθήτων τὸ φρόνημα, τὸ ἀδύνατον καὶ ἀμήχανον ἐπὶ Θεοῦ λογιζομένων, καὶ τὰ τῆς ἰδίας ἀσθενείας ἐπὶ τὴν παντοδύναμον φερόντων μεγαλοπρέπειαν. ἵνα δὲ λόγοις ἐλεγκτικοῖς τῆς ἀνοίας αὐτῶν καθικώμεθα ἐκ τῶν γεγονότων καὶ ὄντων ἀποδειχθήτω τὸ μέλλον καὶ ἀπιστούμενον. ἤκουσας ὅτι ὁ χοῦς ἐπλάσθη, καὶ ἐγένετο ἄνθρωπος. δίδαξον οὖν με παρακαλῶ ὁ πάντα ἀξιῶν τῇ σοφίᾳ τῇ ἑαυτοῦ περιδράσσεσθαι, πῶς ὁ λεπτὸς χοῦς ὁ ἐσκεδασμένος συνήχθη; πῶς ἡ γῆ σὰρξ ἐγένετο; καὶ ἡ αὐτὴ ὕλη, καὶ ὀστέα ἐποίησε, καὶ δέρμα, καὶ πιμελὴν, καὶ τρίχας. πῶς μιᾶς οὔσης τῆς σαρκὸς διάφοροι αἱ ἰδέαι τῶν μελῶν καὶ αἱ ποιότητες καὶ ἁφαί; πῶς ὁ πνεύμων ἁπαλὸς τὴν ἁφὴν, πελιδνὸς τὴν χρόαν; τὸ ἧπαρ στριφνὸν καὶ ἐρυθρόν; ἡ καρδία πεπιλημένη καὶ σκληρότατον μόριον ἐν σαρκί;

A verùm cùm poſtea accidiſſet tranſgreſſio atque peccatum, in pœnam delicti eum immortalitate priuauit: deinde fons bonitatis exundans humanitate, & ad opus manuum ſuarum flexus, ſapientia atque ſcientia adornauit, donec ita factu commodum ei viſum eſt eſſe, vt in priſtinum nos ſtatum reſtitueret ac renouaret. Hæc & vera ſunt, & digna ea, quam de Deo habere par eſt, opinione. Teſtantur enim eius non bonitatem ſolum, verumetiam potentiam. Nam non moueri ac durum eſſe aduerſus ſubiecta noſtræque curæ com-
B miſſa, nec hominum quidem benignorum & optimorum eſt. Ita opilio vult valere ſibi gregem, ac propemodum immortalem eſſe: item bubulcus variis curis boues auget: caprarius item capras fœtus gemellos quoque tempore parere optat: & in ſumma, omnis paſtor pecoriſque magiſter ad finem quendam vtilem reſpiciens, cum durare atque permanere ſibi gregem atque armentum deſiderat, tum fœtura feliciter propagari cupit. Hoc cum ita ſit, & ex iis quæ à nobis modò dicta
C ſunt oſtenſum ſit, maximè decere artificem ac creatorem generis noſtri reformare & inſtaurare corruptum opus: palàm eſt, quòd qui cæteris fidem non habent, non ex aliqua alia cauſſa pugnant & aduerſantur, quam quod arbitrantur fieri non poſſe, vt Deus id, quod mortuum ac diſſolutum eſt, reſuſcitet. Mortuorum reuera ſenſuque carentium cogitatio, qui exiſtimant aliquid eſſe, quod à Deo perfici & expediri non poſſit, & ſuam ipſorum infirmitatem maieſtati omnipotentia aſſignant. Sed vt argumentis & probatio-
D nibus eorum reprehendamus amentiam, ex præſentibus & præteritis oſtendatur id quod futurum quidem eſt, ſed futurum eſſe nō creditur. Audiſti quòd puluis ad formam redactus & homo factus eſt. Doce igitur me, quæſo, tu qui tua ſapientia omnia complecti vis, qua ratione tenuis puluis diſſipatus coactus ſit? quomodo terra caro facta ſit? atque eadem materia, qua ratione & oſſa, & cutem, & adipem, & pilos confecerit? quomodo cum vna ſit caro, diuerſæ cùm formæ membrorum, tum qualitates & tactus ſint? quomodo pulmo tactu mollis, colore liuidus? iecur ſolidum, firmū & non cedens ac rubeum? cor conſtrictū ac duriſſima particula carnis?

lien rarus & niger? omentum album & inſtar piſcatoris retis à natura complicatum? Conſideremus & illa, quo pacto prima mulier ex parua parte lateris integrum animal ſimile perfecto ac primo facta eſt?& pars ad omnia ſuffecit, & exiguum totum conſtituit? coſta facta eſt caput, manus & pedes, viſcerum & inteſtinorum flexuoſa tortuoſáque ac varia figura atq; diſtinctio; caro, pili, oculus, naſus, os? omnia denique (ne longius orationem producã) omnia admirabilia, abhorrentia à cõmuni opinione & ſenſu, ac mentis noſtræ, qui Deo cõparati vniuerſi exigua quæpiam portiuncula ſumus, captum excedentia: apud Deum verò rationes fabricationis in promptu ſunt & faciles, omnémq; dubitationem excludentes, & admodum certæ. Quo igitur pacto ſana mente prædíti eſſe videbuntur, qui concedũt ex vna quidem coſta hominem eſſe factum, non autem credũt ex integri hominis materia eundem renouari? Non poteſt fieri, non poteſt, vt humanæ mẽtis agitationibus diuina vis in rebus efficiendis inquirendo explorari & inueſtigari poſſit. Nam ſi omnia à nobis percipi comprehendique poſſent, non præſtaret nobis is qui præſtat. quod loquor de Deo? nec cum brutis quidẽ animalibus, quod ad quaſdam attinet potentias & facultates comparandi aliquo modo, ſed & illis quoque inferiores ſumus. Ne longius abeas, curſu quidem nos equi, canes, aliáq; animalia multa pręcedũt: viribus item cameli & muli: notatione verò viarũ, aſini nobis antecellũt: & acumen viſus & acies oculorum, qua capreæ præditæ ſunt, in oculis noſtris non reperitur. Quocirca cãdidos, gratos & ſanos homines fidem habere decet iis, quæ à Deo dicuntur: modos autem & cauſſas actionũ & operum, tanquam noſtram intelligentiam excedentes, exquirere non oportet. Dicetur enim cuilibet iſtorũ curioſorum: Oſtẽde mihi ratione atq; oratione tua, quomodo hæ res, quas videmus, ad eſſentiã productæ ſint? dic, qua arte multiforme opus hoc creauit? Nam ſi hæc excogitaueris & cõpereris, meritò perplexus & implicitus hæſitas, & ſuccẽſes & indignaris, quòd regenerationis trãſformationẽ neſcis, qui generationis rationẽ haud ignores. quòd ſi illa tibi nihil aliud quàm ſomniũ & imaginatio ſunt, atque vndique cognitio perplexa, inexplicabilis & inueſtigabilis eſt, ne indigneris, ſi cũ rationem fabricationis ignores, etiam correctionẽ atq; reparationẽ corrupti non intelligis.

A ὁ σπλὴν ἀραιὸς καὶ μέλας, ὁ ἐπίπλοος λευκὸς, καὶ δίκτυον ἁλιευτικὸν συμπεπλεγμένον παρὰ τῆς φύσεως; σκεψώμεθα κἀκεῖνα, πῶς ἡ πρώτη γυνὴ ἀπὸ μικροῦ μέρους τῆς πλευρᾶς, ὑπέστη ζῶον ὁλόκληρον, ὅμοιον τῷ τελείῳ καὶ πρώτῳ· καὶ τὸ μέρος πρὸς πάντα διήρκεσεν, καὶ τὸ ὀλίγον τὸ πολὺ συνεστήσατο; ἡ πλευρὰ, ἐγένετο κεφαλὴ, χεῖρες καὶ πόδες, ἐγκάτων σκολιὰ, καὶ ποικίλη διάπλασις· σὰρξ, καὶ τρίχες, ὀφθαλμὸς, καὶ ῥὶς, καὶ στόμα; καὶ πάντα ἁπλῶς· ἵνα μὴ μακρὸν ἀπαγάγω τὸν λόγον, πάντα θαυμαστὰ καὶ παράδοξα ἡμῖν τοῖς ὀλίγοις, πρόχειροι δὲ παρὰ Θεῷ τῆς κατασκευῆς οἱ λόγοι καὶ λίαν ὁμολογούμενοι. B πῶς οὖν σωφρονεῖν δόξουσιν οἱ τὴν μὲν μίαν πλευρὰν συγχωροῦντες γενέσθαι ἄνθρωπον, ἀπὸ δὲ ὁλοκλήρου τῆς τοῦ ἀνθρώπου ὕλης ἀπιστοῦντες τὸν αὐτὸν ἀνακτίζεσθαι; οὐκ ἔστιν, οὐκ ἔστιν ἐπινοίαις ἀνθρωπικαῖς Θεοῦ πολυπραγμονεῖν ἐνεργείας. Εἰ γὰρ πάντα ἦν ἡμῖν καταληπτὰ, οὐκ ἂν κρείττων ἦν ἡμῶν ὁ κρείττων. τί λέγω περὶ Θεοῦ; οὐδὲ πρὸς τὰ ἄλογα τῶν ζώων ἐπί τινων δυνάμεων σύγκρισίν τινα ἔχομεν, ἀλλὰ κἀκείνων ἀπολειπόμεθα. αὐτίκα δρόμῳ μὲν ἡμᾶς ὑπερβάλλονται ἵπποι, καὶ κύνες, καὶ ἄλλα πολλά· δυνάμει δὲ κάμηλοι καὶ ἡμίονοι· C σημειώσει δὲ ὁδῶν, οἱ ὄνοι· καὶ τὸ τῆς δορκάδος ὀξυωπὸν ἐν ἡμετέροις ὀφθαλμοῖς οὐχ εὑρίσκεται. διὸ εὐγνωμόνων καὶ σωφρονούντων ἐστὶ, πιστεύειν τοῖς παρὰ τοῦ Θεοῦ λεγομένοις· τοὺς δὲ τρόπους καὶ τὰς αἰτίας τῶν ἐνεργειῶν, ὡς ὑπερβαινούσας, μὴ ἀπαιτεῖν. ἐπεὶ λεχθήσεταί σοι τῶν πολυπραγμόνων, δεῖξόν μοι τῷ λόγῳ σου τὴν τῶν ὁρωμένων οὐσίωσιν. εἰπὲ ποίᾳ τέχνῃ τὴν πολύμορφον ταύτην ἐργασίαν ἐδημιούργησεν; ἂν γὰρ ταῦτα ἐξεύρῃς, εἰκότως ἀμηχανεῖς καὶ ἀ- D σχάλλεις διότι τὴν τῆς παλιγγενεσίας μετακόσμησιν ἀγνοεῖς, ὁ τῆς γενέσεως τὸν λόγον εἰδώς. Εἰ δὲ ὄναρ σοι ἐκεῖνα καὶ φαντασία, καὶ πανταχόθεν ἡ ἐπίγνωσις ἄπορος, μὴ ἀγανάκτει, εἰ τὸν λόγον τῆς κατασκευῆς ἀγνοῶν, καὶ τὴν διόρθωσιν τοῦ φθαρέντος οὐ συνορᾷς.

ὁ αὐτὸς τεχνίτης ἐστὶ καὶ τῆς πρώτης κτίσεως, καὶ τῆς δευτέρας μετακοσμήσεως. οἶδεν ὅπως τὸ ἴδιον ἔργον διαλυθὲν ἀπομεῖναι, συναρμόσει πάλιν εἰς τὴν ἀρχαίαν κατάστασιν. εἰ σοφίας χρεία, ἡ πηγὴ τῆς σοφίας παρ' ἐκείνῳ· εἰ δυνάμεως, οὐ χρῄζει συνεργοῦ καὶ συλλήπτορος. οὗτος ἐστὶν ὁ κατὰ τὴν φωνὴν τοῦ σοφωτάτου προφήτου μετρήσας τῇ χειρὶ τὸ ὕδωρ· καὶ τὸν μέγαν καὶ ἄπλετον οὐρανὸν σπιθαμῇ, καὶ τὴν γῆν δρακί. θεώρησον εἰκόνας, ἐνεργείας σημεῖα παρεχομένας τῆς ἀπορρήτου δυνάμεως, ἀπόγνωσιν ἐμποιούσας τοῖς λογισμοῖς ἡμῶν, τοῦ μηδὲν δύνασθαι ἄξιον τῆς τοῦ Θεοῦ φύσεως φαντασθῆναι. παντοδύναμος καὶ ἔστι καὶ λέγεται. τάχα γὰρ οὐ συμμαχήσεις πρὸς τοῦτο, ἀλλὰ δώσεις ὡς συγκεχωρημένον κρατεῖν. τῷ δὲ πάντα δυναμένῳ, οὐδὲν ἄπορον ἢ ἀμήχανον. ἔχεις πολλὰ τῆς πίστεως ἐνέχυρα ἀναγκαστικῶς σε συνελαύνοντα πρὸς τὸ συντίθεσθαι τοῖς παρ' ἡμῶν λεγομένοις· πρῶτον μὲν πᾶσαν τὴν ποικίλην καὶ πολυσύνθετον κτίσιν βοῶσαν παντὸς κηρύγματος εὐσημότερον, ὅτι ὁ μέγας καὶ σοφὸς τεχνίτης, ὁ πάντα τὰ βλεπόμενα τεχνησάμενος. πρὸς δὲ ταύτην προμηθεὶς ὢν ὁ Θεὸς καὶ τὰ τῶν ἀπίστων ψυχάρια πόρρωθεν καθορῶν, ἔργῳ τὴν τῶν νεκρῶν ἔγερσιν ἐβεβαίωσεν, πολλὰ σώματα τῶν τετελευτηκότων ψυχώσας. διὰ τοῦτο Λάζαρος τεταρταῖος νεκρὸς τῆς θήκης ἐξήλατο, καὶ τῆς χήρας ὁ μονογενὴς ἀπεδόθη τῇ μητρὶ ἐκ τῆς κλίνης καὶ τῆς ἐκφορᾶς πρὸς τοὺς ζῶντας ἀναζυγείς, καὶ ἄλλοι μυρίοι οὓς ἀπαριθμεῖσθαι νῦν ὀχληρόν. τί λέγω περὶ τοῦ Θεοῦ καὶ σωτῆρος; ὁπότε ἵνα ἐπιπλέον δυσωπηθῶσιν οἱ ἀμφιβάλλοντες, καὶ τοῖς δούλοις αὐτοῦ τοῖς ἀποστόλοις τὴν τοῦ ἐγείρειν νεκροὺς ἐχαρίσατο δύναμιν. ἔστιν οὖν ἡ ἀπόδειξις ἐναργής. καὶ διατί οἱ φιλόνεικοι πράγματα ἡμῖν παρέχετε, ὡς ἀναποδείκτων λόγων ἐξηγηταῖς; ὡς εἷς ἠγέρθη, οὕτως καὶ δέκα. ὡς οἱ δέκα, καὶ τριακόσιοι· ὡς τριακόσιοι, καὶ πολλοί. ὁ γὰρ ἑνὸς ἀνδριάντος τεχνίτης, ἔσται ῥᾳδίως καὶ μυρίων δημιουργός. οὐκ εἴδετε τοὺς μηχανικούς, ὅπως τῶν μεγάλων καὶ ἐξαισίων οἰκοδομημάτων ἐν ὀλίγῳ κηρῷ τὰς μορφὰς καὶ τοὺς τύπους προαναπλάττουσιν;

A Idem artifex eſt & primæ creationis & ſecundæ transformationis. Nouit quomodo ſuum opus diſſolutũ rurſus concinnet, & ad priſtinum ſtatum reducat. Si ſapientia opus eſt, fons ſapientiæ eſt apud illum: ſi potentia & viribus opus eſt, non indiget ſocio atque adiutore. Hic eſt qui iuxta vocem ſapientiſſimi Prophetæ, manu ſua dimenſus eſt aquam, & magnum & immenſum cœlum palmo, & terram pugno. *Eſa. 40.* Contemplare imagines, euidentia ſigna præbentes ineffabilis potentiæ, cogitationibus noſtris deſperationem inducentes, nihil B dignum Dei natura poſſe nos imaginari. Omnipotens & eſt & dicitur. Forſitan enim non aduerſaberis in hoc, ſed dabis tanquam conceſſum obtinere, atque ita ſe habere. At ei qui omnia poteſt, nihil eſt perplexum, nihil quod explicari aut expediri perficiue non poſſit. Multa fidei pignora habes, quæ neceſſariò te cõpellant, vt aſſentiaris iis, quæ à nobis dicuntur: primum quidem vniuerſam creaturam variam & multiplicem, cuiuſuis præconis voce clarius & ſignificantius proclamantem, quòd & magnus & ſapiens artifex ſit is, qui ea C quæ vidẽtur, fabricatus eſt. Cùm autem aduerſus hanc creaturam Deus prouidus ſit, atque etiam procul infidelium animulas intueatur, ipſo opere reſurrectionem mortuorum confirmauit, multis corporibus mortuorum anima reſtituta. Hac de cauſa Lazarus quartum iam diem mortuus exiluit è ſepulchro: *Ioan. 11.* Vnicus item ille viduæ filius ex lectica, *Luc. 7.* qua efferebatur, ad viuos reuocatus matri ſuæ redditus eſt: atque alij ſexcenti, quos enumerare nunc moleſtum fuerit. Quid dico de Deo ac ſeruatore? D quandoquidem, vt magis flectantur & moueantur illi qui ambigunt, etiam ſeruis ſuis Apoſtolis mortuos excitandi virtutem largitus eſt. Demonſtratio igitur euidens eſt ac manifeſta. Et cur nobis negocium exhiberis, contentioſi, quaſi ſermonum, qui demonſtrari non poſſint auctoribus? Quemadmodum vnus excitatus eſt, eodem modo decem: quemadmodum decem, ita & trecenti: vt trecenti, ita etiam plures. Vnius enim ſtatuæ artifex vel ſexcentarum facilè opifex erit. Annon videtis mechanicos, quemadmodum magnorum & ingentium ædificiorum formas & figuras in exigua cera ſpeciminis loco effingunt atque deſignant?

A Ac ratio quæ in paruo eſt, eandem vim habet in multis ac magnis ſtructuris. Magnum cœlum artificioſum Dei opificium eſt. Ac quoniam Deus hominem animal rationale fecit, vt comprehenſione operum glorificet ſapientem & ſolertem eorum fabricatorem, videas aſtronomi ſphæram paruam quidem, ſed in manu ſcientis ita moueri, quemadmodum à Deo cœlum mouetur. Ac minima ſtructura magni illius opificij ſimulachrum eſt: & ratio, quæ in paruis eſt, declarat immenſa, quæ noſtrum ſenſum & intellectum exuperant & excedunt. Sed cur hæc expoſui? vt B intelligas, quòd ſi me quoque interrogaueris, quo modo corporum, quæ ab ſæculo vſque fuerunt, reſurrectio futura erit? contra ſtatim audies: quomodo Lazarus, qui quartum iam diem ſepultus erat, reſuſcitatus eſt? Perſpicuum enim eſt, quòd eam fidem & probationem quæ in vno fit, etiam in multis ſimiliter homo ſanus admiſerit: Poſito quòd Deus ſit, qui faciat, nihil dixeris eſſe, quod fieri non poſſit: neque tua cogitatione percipi poſſe putes illius, qui comprehendi non poteſt, ſapientiam. Neque enim illi quicquam infinitum: C at tibi ea, quæ pertinent ad infiniti quæſtionem, inſcrutabilia & inueſtigabilia ſunt. Videbimus autem hanc rationem pulchrè, ſi præter ea quæ dicta ſunt, ſcrutemur & exquiramus modum generationis noſtræ, non primum & antiquiſſimum illum, à Deo proditum & inſtitutum, de quo in ſuperioribus dicta ſunt hæc: ſed eum qui vſque ad hoc tempus conſimiliter à natura perficitur. Inexplicabilis enim hic eſt, & cogitationi humanæ inacceſſus. Nam qua ratione, cum res humida rudis & informis ſit, ſemen in caput concreſcit? in tibias & coſtas dureſcit & conſo- D lidatur? cerebrum efficit tenerum rarúmque, & os quo continetur, adeò durum ac rigidum, variam denique animalis fabricationem & cōpoſitionem? vt breuiter dicam, ac nimius ne ſim minuatim ſingula perſequendo. Quemadmodum igitur ſemen, quod initio informe eſt, dum occulta & ineffabili arte Dei tractatur, in ſpeciem redigitur, & in corpora grandeſcit & adoleſcit: ita non modo non eſt abſonum & abſurdum, verum etiam admodum conſentaneum atque probabile, materiam, quæ eſt in ſepulchris, quæ quondam erat in forma, rurſus in priſtinā renouari figuram,

καὶ ὁ ἐν τῷ μικρῷ λόγος τὴν αὐτὴν ἔχει δύναμιν ἐν ταῖς πολλαῖς καὶ μεγάλαις κατασκευαῖς. μέγας ὁ οὐρανὸς, τεχνικὸν τοῦ Θεοῦ δημιούργημα. ἐπεὶ δὲ λογικὸν ζῶον ὁ Θεὸς τὸν ἄνθρωπον ἐποίησεν, ἵνα τῇ καταλήψει τῶν ποιημάτων δοξάσῃ τὸν σοφὸν καὶ εὐμήχανον ποιητὴν, ἔχει τὸ τοῦ ἀστρονόμου σφαιρίον μικρὸν μὲν, ἐν δὲ τῇ χειρὶ κινούμενον τοῦ ἐπιστήμονος οὕτως ὡς οὐρανὸς παρὰ τοῦ Θεοῦ. καὶ τὸ ἐλάχιστον κατασκεύασμα τοῦ μεγάλου δημιουργήματος εἰκὼν γίνεται· καὶ ἐν τοῖς μικροῖς ὁ λόγος ἑρμηνεύει τὰ ἄμετρα καὶ τὰ τὴν αἴσθησιν ἡμῶν ὑπερβαίνοντα. ταῦτα δὲ πρὸς τί δηλῶ; ἵνα γινώσκῃς ὅτι κἂν ἐρωτήσῃς με πῶς ἔσται τῶν ἀπ' αἰῶνος σωμάτων ἡ ἀνάστασις, ἀντακούσῃ ταχέως, πῶς ὁ τεταρταῖος ἠγέρθη Λάζαρος. πρόδηλον γὰρ ὡς τὴν ἐπὶ τῷ ἑνὶ πληροφορίαν, καὶ τοῖς πολλοῖς ὁμοίως ὁ σωφρονῶν παραδέξεται, Θεὸν ὑποτιθέμενος τὸν ποιοῦντα, μηδὲν εἴπῃς ἀδύνατον, μηδὲ τῇ σαυτοῦ ἐννοίᾳ καταληπτὴν νομίσῃς τὴν τοῦ ἀκαταλήπτου σοφίαν. οὔτε γὰρ ἐκείνῳ τι ἄπειρον, καὶ σοὶ τὰ τοῦ ἀπείρου ἀνεξερεύνητα. ὀψόμεθα δὲ τοῦτον τὸν λόγον καλῶς, ἂν πρὸς τοῖς εἰρημένοις καὶ τὸν τρόπον τῆς γενέσεως ἡμῶν δοκιμάσωμεν, οὐ τὸν πρῶτον καὶ πρεσβύτατον ἐκεῖνον τὸν παρὰ Θεοῦ, περὶ οὗ ἐν τοῖς ἔμπροσθεν εἴρηται ταῦτα, ἀλλὰ τὸν μέχρι νῦν ἀκολούθως παρὰ τῆς φύσεως ἐκτελούμενον. ἄπορος γὰρ οὗτος καὶ λογισμῷ ἀνθρωπίνῳ ἀπρόσιτος. πῶς γὰρ τὸ σπέρμα οὐσία οὖσα ὑγρὰ καὶ ἄπλαστος καὶ ἀειδὴς, εἰς κεφαλὴν πήγνυται, καὶ εἰς ἀντικνήμια καὶ πλευρὰς στερεοῦται, καὶ ποιεῖ ἐγκέφαλον ἁπαλὸν καὶ μανὸν, καὶ τὸ περιέχον αὐτὸν ὀστέον οὕτως σκληρὸν καὶ ἀντίτυπον, καὶ τὴν ποικίλην τοῦ ζώου κατασκευήν· ἵνα συντόμως εἴπω, καὶ μὴ παρέλκω λεπτομερῶς ἐπεξιὼν τοῖς καθέκαστα. ὡς οὖν τὸ σπέρμα ὑπάρχον ἄμορφον ἐν ἀρχαῖς, εἰς σχῆμα τυποῦται, καὶ εἰς ὄγκους ἁδρύνεται, τῇ ἀπορρήτῳ τοῦ Θεοῦ κατασκευαζόμενον τέχνῃ· οὕτως οὐδὲν ἄπιστον, ἀλλὰ καὶ πάνυ ἀκόλουθον, τὴν ἐν τοῖς τάφοις ὕλην, τὴν ποτὲ οὖσαν ἐν εἴδει, αὖθις εἰς τὴν παλαιὰν ἀνασχηματισθῆναι διάπλασιν,

καὶ πάλιν γενέσθαι τὸν χοῦν ἄνθρωπον· ὥσπερ δὲ καὶ τὸ πρῶτον ἐκεῖθεν ἔσχε τὴν γένεσιν, συγχωρήσωμεν τῷ Θεῷ δύνασθαι τοσοῦτον, ὅσον ὁ κεραμεὺς ἰσχύει· τί γὰρ ἐκεῖνος ποιεῖ, λογισώμεθα· πηλὸν λαβὼν ἄμορφον, εἰς σκεῦος ὁδοποιεῖ, καὶ τοῦτο πρὸς τὴν ἀκτῖνα τὴν ἡλιακὴν προστιθέμενος ξηραίνει καὶ στερεὸν ἀπεργάζεται. ἔστι δὲ ἀμφορίσκος, ἢ πίναξ, ἢ πίθος τὸ πλαττόμενον· ἀλλ᾽ ἐμπεσόντος τινὸς ἀτάκτως καὶ ἀνατρέψαντος, συντρίβεται καταπεσὼν, καὶ γίνεται ἄμορφος γῆ· ὁ δὲ τεχνίτης βουληθεὶς ὀξέως ἐπανορθοῖ τὸ συμβὰν, καὶ πάλιν πηλὸν σχηματίσας τῇ τέχνῃ, οὐδὲν χεῖρον τοῦ ποτε ὄντος ἀπεργάζεται τὸ σκεῦος. καὶ ὁ μὲν κεραμεὺς ἐστὶ, μικρὸν τῆς τοῦ Θεοῦ δυνάμεως κτίσμα, ὁ δὲ Θεὸς ἀπιστεῖται ὑπισχνούμενος ἀνακαινίζειν τὸν τεθνηκότα; πολλῆς ταῦτα τῆς ἀνοίας ἐστί. θεωρήσωμεν καὶ τὸ τοῦ σίτου ὑπόδειγμα, ᾧ Παῦλος ὁ πάνσοφος παιδεύει τοὺς ἄφρονας, λέγων, ἄφρον, σὺ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι, σίτου, ἤ τινος τῶν λοιπῶν σπερμάτων; ὁ δὲ Θεὸς δίδωσιν αὐτῷ σῶμα, καθὼς ἠθέλησεν. ἀκριβῶς προσσχῶμεν τῇ γενέσει τοῦ σίτου, καὶ τάχα τὸν ἀναστάσεως λόγον διδαχθησόμεθα· ὁ σῖτος ῥίπτεται εἰς τὴν γῆν. διασαπεὶς δὲ ἐν τῇ νοτίδι, καὶ ὡς ἂν εἴποι τις τελευτήσας, ἀπολήγει εἴς τινα γαλακτώδη οὐσίαν. ἥτις παγεῖσα μικρὸν, ὀξὺ καὶ λευκὸν γίνεται κέντρον, αὐξηθεῖσα δὲ ὅσον προκύψαι τῆς γῆς, ἐκ τοῦ λευκοῦ πρὸς ἠρέμα χλοαζόμενον μεταβάλλεται. εἶτα, γίνεται πόα καὶ κόμη τῶν βώλων· ἐφαπλωθεῖσα δὲ αὐτοῖς καὶ σκεδασθεῖσα μετρίως, πολυσχιδῆ κάτωθεν ὑποστρέφει τὴν ῥίζαν, τῷ μέλλοντι βάρει τὴν ὑποβάθραν προευτρεπίζουσα. καὶ ὥσπερ οἱ ἱστοὶ τῶν πλοίων πλείστοις πανταχόθεν διατείνονται κάλοις, ἵνα πάγιοι μένωσιν ἰσορρόποις ταῖς ὁλκαῖς ἀντισπώμενοι, οὕτως αἱ σχοινοειδεῖς ἀποφύσεις τῆς ῥίζης, ἀντιλαβαὶ τῶν ἀσταχύων γίνονται καὶ ἐρείσματα. ἐπειδὰν εἰς κάλαμον ὁ σῖτος διαναστῇ, καὶ πρὸς τὸ ὕψος ἐπείγηται, γόνασιν αὐτὸν καὶ κόμβοις ὁ Θεὸς ὑπερείδει, οἷον οἰκίαν τινὰ συνδέσμοις ἀσφαλιζόμενος διὰ τὴν προσδοκωμένην τῆς κόμης βαρύτητα. εἶτα, τῆς ἰσχύος ἑτοιμασθείσης, τὴν κάλυκα σχίσας, προσάγει τὸν ἄσταχυν. καὶ πά-

A ac rurſus puluerem fieri hominẽ: quemadmodum nimirum etiam initio nactus eſt inde generationem. Concedamus Deo, quòd tantum poſſit, quantũ valet figulus: & quid hic faciat, cõſideremus. Rude atque informe lutum acceptum ad formam vaſis redigit, idq; radiis ſolis expoſitum ſiccat ac durat. Eſt autem, verbi gratia, id quod fingitur atque formatur vrceolus, vel ſcutella, vel dolium: ſed ſi quid temerè inciderit & ſubuerterit, collapſum confringitur, & rudis & informis terra fit, ſuámq; ſpeciem amittit. At artifex, ſi voluerit celeriter corrigit ac reficit id, quod caſu corruptum

B eſt, ac rurſus arte lutum fingens nihilo priore deterius vas efficit. Atque hic quidem figulus parua potẽtię Dei creatura eſt, & Deo non creditur pollicenti ſe mortuos renouaturum? Multum amentiæ eſt iſta pronuntiare. Conſideremus item ſimilitudinem tritici, qua ſapientiſſimus Paulus inſipientes corripit & inſtituit, dicens, Stulte, tu quod ſeminas, non id quod naſcetur corpus ſeminas, ſed nudum granum, exempli gratia, tritici aut alicuius reliquorũ ſeminum? *1. Cor. 15.*

C Deus autem dat ei corpus, quemadmodum voluit. Diligenter attendamus generationi tritici, & celeriter reſurrectionis rationem diſcemus. Triticum in terram proijcitur, computrefactum autem humore, & vt ita dicam, mortuum, deſinit in lacteam quandam naturam, quæ paulatim concreta atque coalita, quaſi ſtimulus quidam fit albus & acutus: aucta deinde in eam magnitudinem, vt terra prominere & extare poſſit, ex albo ſenſim in herbeſcentem viriditatem mutatur: poſtea fit herba & coma glebarum: qui-

D bus infuſa & leuiter ſparſa compluribus nixam fibris radicem ſubtus alit, futuro ponderi ſuſtentaculum & adminiculum pręparans: ac quemadmodum nauium mali plurimis vndique funibus diſtenduntur, vt firmi ſtabileſque permaneant, ęquilibribus tractibus obnixi: ita funium in modum ex radice enatæ fibræ ſuſtentamenta ſpicarum & retinacula fiunt. Poſtquam autem in culmum erectum triticum in altum tendere cœperit, geniculis & nodis Deus id firmat, veluti domum aliquam coniuncturis muniens, propter eam, quæ ſperatur comæ grauitatẽ: poſt hæc maturis iam viribus, diductis vaginis, quibus includebatur, producit ſpicam. Atque

illic rurſus miracula maiora. Ordine enim porrecto ſtructam vndique videre licet ei frugem agnaſcendo quaſi circũfundi: & ſingula grana peculiarem & proprium folliculũ & quaſi cellam habent. Poſtremò prætendũtur ariſtæ graciles quædam & acutæ, arma, opinor, aduerſus auiculas ſeminibus inſidiari ſolitas, vt dum illarũ quaſi ſpiculis punguntur, frugem carpere atque vaſtare deſinant. Vides quantũ vnum granum putrefactum miraculorum effectum in ſe contineat, ac cum ſolum ceciderit, quã multiplex reſurgat? At homo nihil inſuper accipit amplius, ſed recipit id quod habebat, ac propterea noſtri renouatio videtur eſſe facilior, quã id quod in agricultura accidit frumento. Tranſi hinc ad conſiderationem arborum, vt hyems eis omnibus annis loco mortis ſit. Decidunt enim poma, folia defluũt, arida remanent ligna omni decore ſpoliata. Poſtquam autem tempus veris aperierit, flos eis gratiſſimus innaſcitur: florem foliorum tegumentum excipit: at tunc veluti pulchrum & amœnũ ſpectaculum cum hominum oculos in ſe conuertunt, tum auium cantatricum frondibus inſidentium quaſi officinæ exiſtunt, & admirabilis quædam circa eas amœnitas ac gratia relucet, adeò vt multi ædes auro & lapide tum Theſſalico, tum Laconico exornatas deſeruerint, & iucundiorem ſibi ſub arboribus habitationem eſſe duxerint. Idcirco Patriarcha quoque Abraham ſub quercu tabernaculum fixit, non prorſum inopia domicilij, ſed quia tenebatur ea, quæ ex ramis edebatur, voluptate. Etiam vita ſerpentium me deducit ad comprobationem propoſitæ rationis. Illorum enim viuida virtus hyberno tempore mortificatur, ac menſes ſex in cauernis deliteſcunt penitùs immobiles. Cum autem ſtatutum tempus aduenerit, & tonitrua in mundo exaudita fuerint, quaſi quoddam ſignum fragorẽ (tonitruũ) accipientes, celeriter exiliunt, & longo interuallo conſueta agunt. Quænã huius rei ratio eſt? Dicat mihi quæſitor arbiter & explorator operum Dei, doceátque me, qua ratione concedat angueis quidem fragore tonitrui mortuos reſuſcitari, homines verò non admittat tuba Dei de cœlo reſonante animam recipere & viuificari? quemadmodum diuina ſcriptura dicit, Canet enim tuba, & mortui reſurgent.

A λιν ἐκεῖ θαύματα κρείττονα. στοιχηδὸν γὰρ ὁ στάχυς αὐτῷ περιφύεται, καὶ τὸν κόκκον ἕκαστος ἐξαίρετον ἔχει τὴν ἀποθήκην, καὶ τελευταῖοι περιβέβληνται οἱ ἀνθέρικες ὀξεῖς καὶ λεπτοί, ὅπλα οἶμαι κατὰ τῶν σπερμολόγων ὀρνίθων, ἵνα τῇ ἐκείνων ἀκμῇ νυττόμενοι, τὸν καρπὸν μὴ λυμαίνωνται. ὁρᾷς ὅσην εἷς κόκκος διασαπεὶς θαυματουργίαν ἔχει· καὶ μόνος πεσὼν μεθ' ὅσων ἐγείρεται; ἄνθρωπος δὲ οὐδὲν προσλαμβάνει πλέον. ὃ δὲ εἶχεν ἀπολαμβάνει, καὶ διὰ τοῦτο τῆς γεωργίας τοῦ σίτου, ὁ ἡμέτερος ἀνακαινισ-
B μὸς εὐκολώτερος ἀναφαίνεται. ἐντεῦθεν μετάβηθι πρὸς τὴν ἔννοιαν τῶν δένδρων, ὅπως ὁ χειμὼν αὐτοῖς καθ' ἕκαστον ἔτος ἀντὶ θανάτου γίνεται. ἀπορρεῖ γὰρ ἡ ὀπώρα, καὶ τὸ φύλλον πίπτει, καὶ ξηρὰ μένει τὰ ξύλα πάσης χάριτος ἐστερημένα. ἐπειδὰν δὲ τοῦ ἔαρος ὁ καιρὸς ἐπιλάβοι, ἄνθος αὐτοῖς χαριέστατον ὑποφύεται, καὶ μετὰ τὸ ἄνθος ἐπιγίνεται τῶν φύλλων ἡ σκέπη, καὶ τότε ὡς εὐειδὲς θέαμα ἀνθρώπων τε τὰς ὄψεις ἐφέλκεται, καὶ ὀρνίθων ᾠδικῶν ἐργαστήρια γίνεται, τοῖς πετάλοις ἐγκαθημένων, καὶ θαυμαστή τις πε-
C ρὶ αὐτὰ χάρις ἐκλάμπει· ὥστε πολλοὶ καὶ οἴκους ἀφῆκαν χρυσῷ κεκοσμημένους, καὶ λίθῳ τῷ Θετταλῷ καὶ Λάκωνι, τερπνὴν δὲ μᾶλλον ἑαυτοῖς ἔθεντο τὴν ὑπὸ δένδρα διαγωγήν. διὸ καὶ ὁ πατριάρχης Ἀβραὰμ ὑπὸ δρυῒ τὴν σκηνὴν ἐπήξατο, οὐκ οἰκίας πάντως ἀπορῶν, ἀλλὰ τῆς ἐπὶ τῶν κλάδων ἐπαγαλλόμενος τέρψεως. ὁδηγεῖ με πρὸς συγκατάθεσιν τοῦ προκειμένου λόγου καὶ τῶν ἑρπετῶν ἡ ζωή. νεκροῦται γὰρ ἐκείνων ὥρᾳ χειμῶνος ἡ ζώπυρος δύναμις, καὶ τὸν χρόνον τῶν ἓξ μηνῶν ἐν τοῖς
D φωλεοῖς κατάκειται, παντελῶς ἀκίνητα. ἐπειδὰν δὲ ὁ τεταγμένος ἔλθῃ καιρός, καὶ βροντὴ κατηχήσῃ τοῦ κόσμου. ὥσπερ τι σύνθημα τῆς ζωῆς τὸν κτύπον δεχόμενα ὀξέως ἀναπηδᾷ, καὶ διὰ μακροῦ τοῦ χρόνου ἐνεργεῖ τὰ συνήθη. τίς ὁ λόγος ἐστί, λεγέτω μοι ὁ τῶν πράξεων τοῦ Θεοῦ βασανιστὴς καὶ ἐπιγνώμων, καὶ διδασκέτω με, πῶς βροντὴ μὲν τοὺς ὄφεις διεγείρεσθαι συγχωρεῖ νεκροὺς ὑπάρχοντας, ἀνθρώπους δὲ οὐ δίδωσι ψυχοῦσθαι τῆς τοῦ Θεοῦ σάλπιγγος ἐξ οὐρανῶν ἐπηχούσης, καθὼς ὁ θεῖος λόγος φησί· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἀναστήσονται.

καὶ ἀλλαχοῦ πάλιν σαφέστερον, καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ. μὴ τοίνυν ταῖς ἀλλοιώσεσι καὶ τοῖς ἀνακαινισμοῖς ἀπιστῶμεν. καὶ γὰρ φυτῶν καὶ ζώων διαφόρων ὁ βίος, καὶ αὐτῶν γε τῶν ἀνθρώπων ἡμᾶς ἐκπαιδεύει, ὡς οὐδὲν ἐν ταυτότητι τῶν ἐν φθορᾷ καὶ γενέσει, ἐν ἀλλοιώσει δὲ καὶ τροπῇ. καὶ πρῶτόν γε εἰ δοκεῖ τὴν ἐν ταῖς ἡλικίαις ἡμῶν μεταβολὴν καταμάθωμεν. τὸ παιδίον τὸ ὑπομάζιον, οἷόν ἐστι γνωρίζομεν, ὀλίγου χρόνου παρελθόντος, τὴν ἑρπυστικὴν λαμβάνει δύναμιν, καὶ οὐδὲν διαφέρει τῶν μικρῶν σκυλακίων, τέτρασιν ἐρειδόμενον βάσεσιν. περὶ τὸν τρίτον ἐνιαυτὸν ὄρθιον γίνεται, καὶ φωνὴν ὑποτραυλιζομένην καὶ ψελλιζομένην προΐεται· εἶτα διαρθροῖ τὸν λόγον, καὶ χαρίεν ἀποτελεῖται μειράκιον· ἀπ᾽ ἐκείνης τῆς ἡλικίας πρὸς τὸν ἔφηβον καὶ νεανίσκον ἐκβαίνει· ἰούλου δὲ τὴν παρειὰν καλύπτοντος, γενειὰς λάσιος μετ᾽ ὀλίγον, καὶ ἄλλος ἐξ ἄλλου· εἶτα, ἀνὴρ ἀκμάζων, τραχὺς καὶ τληπαθής. ἐπειδὰν δὲ παρέλθωσι τέσσαρες δεκάδες ἐνιαυτῶν, ἀρχὴ τῆς ὑποστροφῆς χαίνει τὴν κεφαλὴν, καὶ ἡ ῥώμη πρὸς ἀσθένειαν ἀποκλίνει, καὶ παραγίνεται τελευταῖον τὸ γῆρας, τέλειος ἀφανισμὸς τῆς ἰσχύος. κλίνεται δὲ τὸ σῶμα καὶ κυρτοῦται πρὸς γῆν, ὡς οἱ λίαν ὑπερξηρανθέντες τῶν ἀσταχύων, καὶ τὸ λεῖον ἀποτελεῖται ῥυσὸν, καὶ πάλιν βρέφος ὁ ποτὲ νεανίσκος καὶ ἀριστεὺς, ψελλιζόμενος, ἀνοηταίνων, ἐπὶ χειρῶν καὶ ποδῶν ὁμοίως ἕρπων, ὡς πάλαι. ταῦτα πάντα τί σοι δοκεῖ; οὐκ ἀλλοιώσεις; οὐ μεταβολαὶ πολύτροποι; οὐ διάφοροι καινότητες τὸ θνητὸν ζῷον μεταμορφοῦσαι καὶ πρὸ θανάτου; ὁ δὲ ὕπνος ἡμῶν καὶ ἡ ἐγρήγορσις, πῶς οὐκ ἂν τῷ σοφῷ γένοιντο διδασκάλιοι τοῦ ζητουμένου; ὁ μὲν γὰρ εἰκών ἐστι τοῦ θανάτου· ἡ δὲ τῆς ἀναστάσεως μίμημα. διὸ καί τινες τῶν ἔξωθεν σοφῶν, ἀδελφὸν προσεῖπον τοῦ θανάτου τὸν ὕπνον, διὰ τὴν ὁμοιότητα τῶν ἀφ᾽ ἑκατέρου συμβαινόντων παθῶν. λήθη γὰρ ὁμοίως ἐπ᾽ ἀμφοτέρων καὶ ἄγνοια τῶν παρελθόντων καὶ τῶν μελλόντων, καὶ τὸ σῶμα κεῖται ἀναίσθητον, φίλον οὐκ εἰδὸς, ἐχθρὸν οὐ γινώσκον, τοὺς περιεστῶτας καὶ θεωροῦντας μὴ βλέπον, παρειμένον, νεκρὸν,

A Et alibi apertiꝰ, Et emittet angelos ſuos cũ tubæ voce magna, & cõgregabit electos ſuos. Ne igitur fidẽ detrahamus mutationibus & renouationibus. Etenim plãtarũ & animaliũ diuerſorũ, atq; ipſorũ adeò hominũ vita nos edocet, quòd nihil eorũ, quę generationi & corruptioni obnoxia ſunt, in eodẽ ſtatu ſubſiſtat, ſed in aliũ ſubinde vertatur atque mutetur. Ac primũ quidẽ, ſi placet, eã, quę in ætatibus noſtris fit, mutationẽ perpẽdamus & cõſideremus. Puellum lactẽtem, qualis ſit, haud difficulter agnoſcimus. Exiguo ſpatio temporis præterito, vires B ad rependũ adipiſcitur, ac nihil à paruulis catulis differt, niſu quaterno ſeſe ſuſtentans. Circa annũ tertium accidit, vt erectus & arduus ingrediatur, & vocem aliquo modo vel balbutientem vel blæſam, & titubãtem impeditámque emittat: deinde articulatè atq; perfectè verba pronunciat, & lepidus adoleſcẽtulus & puſio fit: ex illa ætate in impuberem adoleſcẽtem euadit: lanugine verò maxillas ac mentum veſtiente, barbatus & hirſutus paulatim, & alius ex alio: deinde iam plenè adultus vir, aſper laborioC ſúſque exiſtit. Cùm autem præterierint anni quadraginta, initiũ flexionis adeſt, canitiéſque paulatim caput dealbat, & robur ad infirmitatẽ declinat, & tãdem ſenectus accedit, extrema virium abolitio. Corpus autem flectitur & ad terram curuatur, quemadmodũ ſpicæ, quæ nimium exaruerũt: quod exporrectum ac læue fuerat, rugoſum & contractũ efficitur, & is qui quondã vigore ætatis ac virium præſtabat, infans rurſus euadit, balbutiens, ineptiens, delirans, manibus ac pedibus ſimiliter, vt olim, repẽs. Hæc omnia quid tibi eſſe videntur? an non D alteratio? num variæ mutationes? num diuerſæ nouitates, quæ mortale animal etiã ante mortem transformant? Quinetiã ſomnus noſter & vigilia quomodo ſapienti & acuto homini documentum propoſitæ quæſtionis eſſe non poſſunt? Ille enim mortis imago, hęc reſurrectionis imitamentũ eſt. Quocirca etiã nonnulli externi ſapientes germanũ Mortis Somnũ vocarũt, propter ſimilitudinem eorum, qui in vtroq; accidunt, affectus & perturbationes. Obliuio namque pariter & ignorantia præteritorum & futurorum in vtroque contingit, corpus ſine ſenſu iacet, amicum non nouit, inimicum ignorat, circumſtantes & ſpectantes non videt, tabidum, fractum, languidum, ſolutum, remiſſum, modò non mortuum,

1. Cor 15.
Matth. 24.

omnis expers efficaciæ, nihil differens ab iis, quæ in loculis & ſepulchris repoſita ſunt. Perinde nimirũ dormientem, ſi velis, compilas, ac ſi mortuus eſſet, euacuas & exhauris ædes, vincula inijcis, ac nullus eorum quæ fiunt ſenſus interuenit. Paulò pòſt vbi intermiſſio aliqua aut laxamentum affectus aduenerit, quaſi modò vitæ redditus homo ſurgit, paulatim ad ſuiipſius rerumque rediẽs ſenſum, pedetentim efficacias recipit, tanquam animatus vigiliæ recreatione. Quòd ſi extante etiam nunc in rerum natura atque ſuperſtite animali, tam multæ nocte & interdiu mentis alienationes, alterationes, mutationes, obliuiones & memoriæ vitæ coniũctæ ſunt: valde ſtultum & contentioſum eſt Deo non credere vltimã renouationem promittenti, cùm etiam primæuæ formationis auctor ſit. Quod autem maximè contradicentes armat, & incredulitatis eorum cauſſa efficiens eſt: hoc, vt opinor, præcipuum eſt, quod corporum extremam fieri abolitionem & interitum exiſtimant. Sed res ita ſe non habet. Non enim omnino intereunt & abolentur, ſed diſſoluuntur in eas res, ex quibus, compoſita ſunt: & ſunt in aqua, in aëre, in terra & in igne. Manentibus autem principalibus elementis, & iis, quæ ex illis conſtant, poſt diſſolutionem ad ea accedentibus, in quibus prorſus ſaluæ manent etiam partes: cùm Deo maximè quidem facilè eſt vel ex iis, quæ non ſunt, creare (etenim ſic in principiis rerum vniuerſa naturam & originem ſumpſerunt) tum ex principiis ſuppetentibus naturam efficere longè certè facillimum & expeditiſſimum eſt. Ne igitur præclaram ſpem hominum, correctionem & emẽdationem videlicet infirmitatis ac fragilitatis noſtræ, & ſecundam, vt ita dicam, generationem à morte liberam tollamus, neque nimio ſtudio voluptatis benignam, ſtudióque & amore hominum factam promiſſionem Dei ſugillemus atque dehoneſtemus. Mihi enim præſentis argumenti aduerſarij videntur eſſe homines vitij atq; nequitiæ amici, virtutis inimici, libidinoſi, auari, & oculis intẽperantes, tum auditu & olfactu, omnibus denique ſenſibus influentem & obrepentem ipſis voluptatem in ſeſe admittentes. quoniam autem tractatus reſurrectionis iudicium propoſitum habet, & ſacros libros audiunt, in quibus expreſsè

A πάσης ἀμοιροῦν ἐνεργείας, οὐδὲν διαφέρει τῶν ἀποκειμένων ἐν τάφοις καὶ θήκαις. οὕτω τοι συλᾷς ὡς νεκρὸν εἰ θέλοις τὸν καθεύδοντα, κενοῖς τὴν οἰκίαν, δεσμὰ περιάγεις, καὶ οὐδεμία τῶν πραττομένων αἴσθησις ἐπιγίνεται. ὀλίγον δὲ ὕστερον, ὅταν ἀνοχή τις καὶ λώφησις γένηται τοῦ πάθους, ὥσπερ ἄρτι ζωοποιηθεὶς ὁ ἄνθρωπος διανίσταται, κατὰ μικρὸν εἰς συναίσθησιν ἑαυτοῦ καὶ τῶν πραγμάτων ἐρχόμενος, καὶ σχολῇ τὰς ἐνεργείας ἀναλαμβάνων, καὶ οἷον ψυχούμενος τῇ ζωπυρήσει τῆς ἐγρηγόρσεως. εἰ δὲ
B ὑφεστῶτος ἔτι τοῦ ζώου καὶ περιόντος τοσαῦται νύκτωρ καὶ μεθ' ἡμέραν ἐκστάσεις, ἀλλοιώσεις, μεταβολαὶ, λῆθαι καὶ μνῆμαι τῷ βίῳ παραπεπήγασι, λίαν ἀβέλτερον καὶ φιλόνεικον, Θεῷ μὴ πιστεύειν τὸν ἔσχατον ἀνασχηματισμὸν ἐπαγγελλομένῳ, τῷ καὶ τὴν πρώτην πλάσιν δημιουργήσαντι. ὃ δὲ μάλιστα φράττει τοὺς ἀντιλέγοντας, καὶ ἀπιστεῖν παρασκευάζει· τοῦτο παρὰ πάντων, ὡς οἶμαι, τὸ νομίζειν ἀφανισμὸν παντελῆ γίνεσθαι τῶν σωμάτων. ἔχει δὲ οὐχ οὕτως. οὐ γὰρ τέλεον ἀφανίζεται, ἀλλὰ διαλύεται εἰς τὰ ἐξ ὧν συνετέθη· καὶ ἔστιν ἐν ὕ-
C δατι, καὶ ἀέρι, καὶ γῇ, καὶ πυρί. τῶν δὲ πρωτοτύπων στοιχείων μενόντων, καὶ τῶν ἀπ' ἐκείνων μετὰ τὴν διάλυσιν ἐκείνοις προσχωρησάντων, ἐν οἷς καθόλου σώζεται καὶ τὰ μέρη· Θεῷ δὲ μάλιστα μὲν εὔπορον ἐξ οὐκ ὄντων δημιουργεῖν· καὶ γὰρ οὕτως ἐν ἀρχαῖς ἔλαβε τὰ πάντα τὴν φύσιν· τὸ δὲ ἐξ ἀρχῶν τῶν οὐσῶν φυσιουργεῖν πολλῷ δήπου ῥᾷστον καὶ εὐχολώτατον. μὴ τοίνυν τὴν καλὴν ἐλπίδα τῶν ἀνθρώπων ἀνέλωμεν, τὴν ἐπανόρθωσιν τῆς ἀσθενείας ἡμῶν, καὶ τὴν δευτέραν, ὡς ἂν εἴποι τις φύσιν τὴν ἐλευθέραν θανάτου, μηδὲ
D φιληδονίας ὑπερβολῇ τὴν ἀγαθὴν καὶ φιλάνθρωπον τοῦ Θεοῦ ὑπόσχεσιν καθυβρίσωμεν. ἐμοὶ γὰρ δοκοῦσιν οἱ τῆς προκειμένης ὑποθέσεως ἐναντίοι, ἄνδρες εἶναι κακίας ἑταῖροι καὶ ἀρετῆς ἐχθροὶ, λάγνοι καὶ πλεονέκται, καὶ ἀκρατεῖς ὀφθαλμοῖς, καὶ ἀκοῇ καὶ ὀσφρήσει, καὶ πάσαις ταῖς αἰσθήσεσι ῥέουσαν ἐπ' αὐτοῖς τὴν ἡδονὴν εἰσδεχόμενοι. ἐπειδὴ δὲ ὁ τῆς ἀναστάσεως λόγος προκειμένην ἔχει τὴν κρίσιν, καὶ τῶν ἱερῶν βίβλων ἀκούουσι λεγουσῶν

διαῤῥήδην, ὡς οὐκ ἀνεύθυνος ἡμῶν ὁ βίος· ἀλλ᾽ ὅταν πρὸς τὴν δευτέραν ἀνακαινισθῶμεν ζωὴν, πάντες παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ὡς ὑπ᾽ ἐκείνῳ κριτῇ τὰς πρὸς ἀξίαν ἀμοιβὰς τῶν βεβιωμένων κομίσασθαι· συνειδότες ἑαυτοῖς πράξεις αἰσχίστας, πολλῶν ἀξίας τιμωριῶν, μίσει τῆς κρίσεως ἀναιροῦσι καὶ τὴν ἀνάστασιν. ὥσπερ οἱ πονηροὶ τῶν δούλων, οἱ τὴν οὐσίαν τοῦ κυρίου δαπανήσαντες. θανάτου δὲ τοῦ δεσπότου καὶ ἀπωλείας ἑαυτοῖς ὑπογράφοντες, καὶ πρὸς τὴν ἰδίαν ἐπιθυμίαν διακένους λογισμοὺς ἀναπλάσσοντες, ἀλλ᾽ οὐδεὶς οὕτως φρονήσει τῶν σωφρονούντων. τί γὰρ ὄφελος δικαιοσύνης καὶ ἀληθείας καὶ χρηστότητος, καὶ παντὸς τοῦ καλοῦ; ὑπὲρ τίνος δὲ μοχθοῦσι καὶ φιλοσοφοῦσιν ἄνθρωποι; γαστρὸς ἡδονὴν δουλαγωγοῦντες, καὶ ἀγαπῶντες ἐγκράτειαν, καὶ ὕπνου πρὸς ὀλίγον μεταλαγχάνοντες, καὶ παρατατόμενοι πρὸς χειμῶνα καὶ πνῖγος, εἰ ἀνάστασις οὐκ ἔστιν; εἴπωμεν πρὸς αὐτὰ τὰ ῥήματα Παύλου· φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. εἰ ἀνάστασις οὐκ ἔστιν, ἀλλὰ πέρας τοῦ βίου θάνατος, ἄνελέ μοι κατηγορίας καὶ ψόγους· δὸς ἀκώλυτον τῷ ἀνδροφόνῳ τὴν ἐξουσίαν· ἄφες τὸν μοιχὸν μετὰ παῤῥησίας ἐπιβουλεύειν τοῖς γάμοις, τρυφάτω κατὰ τῶν ἐναντίων ὁ πλεονέκτης, μηδεὶς ἐπικοπτέτω τὸν λοίδορον, ὀμνύτω συνεχῶς ὁ ἐπίορκος· μένει γὰρ θάνατος καὶ τὸν εὔορκον. ψευδέσθω ἄλλος ὅσα βούλεται· οὐδεὶς γὰρ τῆς ἀληθείας καρπός. μηδεὶς ἐλεείτω τὸν πένητα· ἄμισθος γάρ ἐστιν ὁ ἔλεος. ταῦτα τὰ φρονήματα, χείρονα ποιεῖ τοῦ κατακλυσμοῦ σύγχυσιν, καὶ πάντα μὲν ἐκβάλλει σώφρονα λόγον· πᾶν δὲ νόημα μανικὸν καὶ λῃστρικὸν ἐπιθήγει. Εἰ γὰρ ἀνάστασις οὐκ ἔστιν, οὐδὲ κρίσις· Εἰ δὲ κρίσις ἀνῄρηται, καὶ φόβος Θεοῦ συνεκβάλλεται. ὅπου δὲ φόβος οὐ σωφρονίζει, ἐκεῖ χορεύει μετὰ τῆς ἁμαρτίας ὁ διάβολος. καὶ λίαν ἁρμοδίως πρὸς τοιούτους ὁ Δαβὶδ ἐκεῖνον ἀνέγραψε τὸν ψαλμόν· εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν. εἰ ἀνάστασις οὐκ ἔστι, μῦθος ὁ Λά-

A ac diſertè continetur, quòd noſtra vita quæſtioni & examinationi exempta non ſit: ſed cum ad alteram vitam renouati fuerimus, futurum, vt omnes ad tribunal Chriſti ſiſtamur, vt illo iudice dignas actæ vitæ retributiones & compenſationes recipiamus: quod ſibi conſcij ſunt turpiſſimarum ac fœdiſſimarum actionum, quibus multas pœnas meriti ſunt, odio iudicij tollunt etiam reſurrectionem: quemadmodum ſerui mali, qui facultates & bona domini conſumpſerunt, & mortem & interitum (interim) Domini ſibi propo- B nunt, & pro eo quod cupiunt & optant, vanas cogitationes ſibi fingunt. Verùm nemo ſanus ita ſentiet. Quæ eſt enim vtilitas iuſtitiæ? quod commodum veritatis, bonitatis & omnis honeſtatis? cuius rei gratia homines laborant, & ſtudio ſapientiæ dediti ſunt? ventris voluptatem ſibi ſubiugantes, continentiam temperantiámque amplexantes, ſomno ad exiguum tempus indulgentes, tempeſtatem & æſtum tolerantes, ſi reſurrectio non eſt? Dicamus iuxta verba Pauli: Edamus & bibamus, cras e- 1.Cor.15. C nim morimur: Si reſurrectio nulla, finis verò vitæ mors eſt; tolle mihi accuſationes atque reprehenſiones: permitte homicidæ, vt abſque impedimento ſua licentia vtatur: ſine adulterum liberè inſidiari matrimoniis: inſultet aduerſariis diues auarus & alieni vſurpator, nemo conuitiatorem coërceat, iuret aſſiduè periurus: manet enim mors etiam iuſtum, religioſum, ac pium, iuríſque iurandi obſeruantem: mentiatur quiuis alius quantum velit: nullus enim veritatis fructus: nemo pauperis miſereatur: expers enim miſericordia mer- D cedis eſt. Huiuſmodi ſenſus & cogitationes peiorem diluuio inducũt confuſionem, & omnem ſanam quidem rationem expellunt: furioſorum autem & latronum quaſlibet cogitationes & conſilia acuunt atque confirmant. Nam ſi reſurrectio non eſt: ne iudicium quidem erit: ſublato autem iudicio, etiam timor Dei ſimul eijcitur. Vbi autem timor non cohibet, & in officio homines continet, ibi cum peccato diabolus tripudiat, atque choreas ducit. Atque admodum conuenienter & aptè aduerſus tales Dauid illum Pſalmum ſcripſit: Dixit amens in corde ſuo, non eſt Deus. Corrupti & abominabiles facti ſunt in ſtudiis & exercitiis ſuis. Quod ſi reſurrectio non eſt, fabula La-

zarus & diues ille eſt: item formidabilis & horrendus ille hiatus: & ille intolerabilis ardor ignis & inflammatio: lingua item ardens: adhæc deſiderata gutta aquæ, digitúſque mendici. Palàm enim eſt, quòd hæc omnia nobis futuram ſignificant reſurrectionem. Lingua enim ac digitus non incorporeæ membra animæ intelliguntur, ſed partes corporis. Ac nemo putet hæc iam contigiſſe, ſed prædictionem eſſe futuri: euenient autem tunc, cùm renouatio animam mortuis reddiderit, & ad reddendam actæ vitæ rationem vnumquemque reduxerit, compoſitũ eodem modo quo prius, ex anima & corpore conſtantem. Porrò *Ezech. 24.* Ezechiel diuino ſpiritu raptus, & magnarum viſionum ſpectator, ad quam vtique ſententiam & intellectum deducebatur, cùm vidit magnum illum, ac longè latéq; patentem campum humanis oſſibus completum, de quibus iubebatur prophetare? carnes quidem illis ſtatim obducebãtur: quæ autem ſoluta ac temerè nullóq; ordine diſiecta erant, in aptum conuenientémque ſibi inuicem ordinem & compagem redigebantur atque coaleſcebant. An non perſpicuum eſt, quòd per huiuſmodi nobis ſcripta carnis huius reſuſcitationem abundè ſatis demonſtrat? Mihi verò qui aduerſus hunc ſermonem pertinaciter contendunt, non impij ſolùm, verumetiam inſani eſſe videntur. Reſurrectione enim & reditus ad vitã, & tranſformatio, & omnia talia vocabula ad corpus corruptioni obnoxium cogitationem audientis ducunt. Nam anima quidem, ſi ipſa per ſeſe examinetur & excutiatur, nunquam reſurget, quandoquidem non moritur, ſed interitus & corruptionis eſt expers. Cum autem ſit immortalis, mortale corpus ſocium habet actionũ: atque idcirco apud iuſtum iudicem, tempore reddendarum rationum, rurſus ſocio ſuo inhabitabit, vt cum illo communes recipiat vel pœnas vel præmia. Enimuerò quo magis nobis oratio conſentanea ſit, hoc modo rem conſideremus. Hominem quid eſſe dicimus, vtrumque ſimul, an alterum ſeparatim? At manifeſtum eſt, quod coniunctio amborum deſignat animal. Non enim conuenit in rebus notis, ac nihil controuerſiæ in ſe continentibus, ſuperfluo vti ſermone. Cùm hoc ita ſit, illud quoque inſuper cõſideremus, vtrùm ea, quæ cõmittunt ac perpetrant homines,

A ζαρος καὶ ὁ πλούσιος, καὶ τὸ φρικῶδες χάσμα· καὶ ἡ τοῦ πυρὸς ἄσχετος φλόγωσις, καὶ ἡ διακαὴς γλῶσσα, καὶ ἡ ποθουμένη σταγὼν τοῦ ὕδατος, καὶ ὁ δάκτυλος τοῦ πτωχοῦ. πρόδηλον γὰρ ὅτι ταῦτα πάντα, τὸ μέλλον ἐξεικονίζει τῆς ἀναστάσεως. γλῶσσα γὰρ καὶ δάκτυλος, οὐ τῆς ἀσωμάτου μέλη ψυχῆς νοεῖται, ἀλλὰ μέρη τοῦ σώματος, καὶ μηδεὶς οἰέσθω ταῦτα ἤδη πεπρᾶχθαι, ἀλλὰ προαναφώνησιν εἶναι τοῦ μέλλοντος· ἔσται δὲ τότε ὅταν ἡ μετακόσμησις ψυχώσασα τοὺς νεκροὺς πρὸς τὰς εὐθύνας ἕκαστον τῶν βεβιωμένων ἀναγάγῃ, σύνθετον ὄντα καθὼς B πρότερον, καὶ διὰ ψυχῆς καὶ σώματος συνεστῶτα. ὁ δὲ θεοφορούμενος Ἰεζεκιὴλ, καὶ τῶν μεγάλων ὀπτασιῶν θεωρὸς, πρὸς ποίαν ἄρα διάνοιαν ὁδηγούμενος ἔβλεπε τὸ μέγα καὶ ἀνηπλωμένον ἐκεῖνο πεδίον, τὸ γέμον τῶν ἀνθρωπίνων ὀστέων, καθ' ὧν ἐκελεύετο προφητεύειν. καὶ σάρκες μὲν ἐκείνοις εὐθὺς περιεφύοντο, τὰ δὲ λελυμένα καὶ ἀτάκτως διερριμμένα, εἰς τάξιν καὶ ἁρμονίαν ἀλλήλοις συνεκολλᾶτο. ἢ πρόδηλον, ὡς διὰ τῶν τοιούτων λόγων τὴν τῆς σαρκὸς ταύτης ἀναβίωσιν ἡμῖν ἱκανῶς ὑποδείκνυσιν; ἐμοὶ δὲ C δοκοῦσιν οἱ πρὸς τοῦτον τὸν λόγον ἐριστικῶς ἔχοντες, οὐ δυσσεβεῖς μόνον, ἀλλὰ καὶ παραπαίοντες εἶναι. ἀνάστασις γὰρ καὶ ἀναβίωσις καὶ μετακόσμησις καὶ πάντα τὰ τοιαῦτα ὀνόματα, πρὸς τὸ σῶμα τὸ τῇ φθορᾷ ὑποκείμενον τοῦ ἀκροωμένου φέρει τὴν ἔννοιαν. ὡς ἥ γε ψυχὴ αὐτὴ καθ' ἑαυτὴν ἐξεταζομένη, οὔποτε ἀναστήσεται, ἐπειδὴ μὴ τελευτᾷ, ἀλλ' ἄφθαρτός ἐστι καὶ ἀνώλεθρος· ἀθάνατος δὲ ὑπάρχουσα, θνητὸν ἔχει τὸ κοινωνὸν τῶν πραγμάτων· καὶ διὰ τοῦτο παρὰ τῷ δικαίῳ κριτῇ ἐν τῷ καιρῷ τῶν εὐθυνῶν ἐνοικήσει πάλιν τῷ συνεργῷ, ἵνα D μετ' ἐκείνου κοινὰς δέξηται τὰς κολάσεις ἢ τὰς τιμάς. μᾶλλον δὲ ἵνα καὶ πλέον ἡμῖν ὁ λόγος ἀκολουθότερος γένηται· οὕτω σκοπήσωμεν, τὸν ἄνθρωπον τί φαμεν, τὸ συναμφότερον, ἢ τὸ ἕτερον; ἀλλὰ πρόδηλον ὡς ἡ συζυγία τῶν δύο χαρακτηρίζει τὸ ζῶον. οὐ γὰρ προσῆκεν ἐν τοῖς ἀναμφισβητήτοις καὶ γνωρίμοις παρέλκειν. τούτου δὲ οὕτως ἔχοντος, κἀκεῖνο προσλογισώμεθα, πότερον, ἃ πράττουσιν ἄνθρωποι, οἷ-

μοι

μοιχείαν, φόνον, κλοπὴν, καὶ πᾶν εἴτι τούτοις ἑπόμενον, ἢ τοὐναντίον, σωφροσύνην, ἐγκράτειαν, καὶ πᾶσαν τὴν ἀντίθετον τῆς κακίας ἐνέργειαν, τῶν δύο φαμὲν ὑπάρχειν ἀποτελέσματα, ἢ τῇ ψυχῇ μόνῃ τὰς πράξεις περιορίζομεν; ἀλλὰ κἂν οὕτω πρόδηλος ἡ ἀλήθεια. οὐδαμοῦ γὰρ ἀποχωρίζουσα τοῦ σώματος ἡ ψυχὴ, ἢ τὴν κλοπὴν ἐπιτηδεύει, ἢ τὴν τοιχωρυχίαν ἐργάζεται· οὐδ᾽ αὖ μόνη τῷ πεινῶντι τὸν ἄρτον δίδωσιν, ἢ ποτίζει τὸν διψῶντα, ἢ πρὸς τὸ δεσμωτήριον ἀόκνως ἐπείγεται, ἵνα θεραπεύσῃ τὸν δεσμωτηρίῳ κακοχούμενον· ἀλλ᾽ ἐπὶ πάσης πράξεως ἀλλήλοις ἀμφότερα συνεφάπτεται καὶ συναποτελεῖ τὰ γινόμενα. πῶς τοίνυν τούτων οὕτως ἐχόντων, καὶ κρίσιν τῶν βεβιωμένων ἔσεσθαι συγχωρῶν, ἀποσπᾷς τοῦ ἑτέρου τὸ ἕτερον; καὶ κοινωνῶν ὄντων τῶν εἰργασμένων, τῇ ψυχῇ μόνῃ περιορίζεις τὸ δικαστήριον; εἰ δέ τις ἀκριβὴς γένοιτο δικαστὴς τῶν ἀνθρωπίνων πλημμελημάτων, καὶ σκοπήσειε ἐπιμελῶς, πόθεν φύονται αἱ πρῶται τῆς ἁμαρτίας αἰτίαι, τάχα πρῶτον ἀτακτοῦν ἐν τοῖς ἐγκλήμασιν εὑρήσει τὸ σῶμα. ἠρεμούσης γὰρ πολλάκις τῆς ψυχῆς, καὶ γαλήνην ἐχούσης ἀτάραχον, εἶδεν ὁ ὀφθαλμὸς ἐμπαθῶς, ἃ μὴ θεάσασθαι βέλτιον ἦν, καὶ τῇ ψυχῇ παραπέμψας τὴν νόσον, εἰς χειμῶνα καὶ κλύδωνα τὴν ἡσυχίαν μετέβαλεν. ὁμοίως αἱ ἀκοαὶ ἀσχημόνων τινῶν ἢ παροξυντικῶν ἐπακούσασαι λόγων, οἷον διά τινων σωλήνων ἑαυτῶν τὸν τῆς ταραχῆς, ἢ τὸν τῆς ἀκοσμίας βόρβορον τοῖς λογισμοῖς ἐπεισρέουσιν. ἔστι δὲ ὅτε καὶ ἡ ῥὶς διὰ τῆς αἰσθήσεως καὶ τῶν ἀτμῶν μεγάλα τι καὶ ἀνείκαστα κακὰ διατίθησι τὸν ἔσωθεν ἄνθρωπον. οἴδασι καὶ χεῖρες διὰ τῆς ἐπαφῆς καρτερᾶς ψυχῆς ἐκθηλῦναι στερρότητα. καί μοι κατὰ μικρὸν οὕτως ἐπιόντι καὶ σκοπουμένῳ ὑπαίτιον εὑρίσκεται τῶν πολλῶν ἁμαρτιῶν τὸ σωμάτιον. φέρει δὲ καὶ τοὺς ὑπὲρ ἀρετῆς πόνους καὶ τοῖς ἀγῶσιν ἐμμοχθεῖ τῶν καλῶν, τεμνόμενον σιδήρῳ, καὶ πυρὶ φλεγόμενον, καὶ ξαινόμενον μάστιξι, καὶ βαρυνόμενον ἀργαλέοις δεσμοῖς, καὶ πᾶσαν ὑπομένον λώβην, ἵνα μὴ προδῷ τὴν ἱερὰν φιλοσοφίαν, ὥσπερ τινὰ πόλιν καλλίπυργον κεκυκλωμένην ὑπὸ τῆς κακίας πολέμῳ.

A verbi gratia, adulterium, cædem, furtum, ac quicquid his affine eſt: aut ex contrario, ſobrietatem, continentiam, & omnem vitio oppoſitam actionem, vtriuſque dicimus eſſe effectus, an animæ ſolum circūſcribimus actiones? At etiam in hoc manifeſta veritas eſt. Nuſquam enim à corpore ſeparata anima vel furtum committit, vel parietes perrumpit: neque cōtrà ſola vel panem eſurienti dat, vel potum ſitienti præbet, vel in carcerē haud grauatim concedit, vt officium & miniſterum pręſtet ei, qui B carcere affligitur: ſed in omni actione ambo ſibi inuicem coniuncta ſimul & capeſſunt & perficiunt ea, quę aguntur. Qua ratione igitur cùm hæc ita ſint, & anteactorum iudicium fore concedas, alterū ab altero diuellis? & cùm alterum alteri in cōmiſſis & perpetratis ſocium eſſe des, anima ſola iudicium determinas atque circumſcribis? Quòd ſi quis verus delictorum humanorum iudex fuerit, & diligenter perpenderit, vnde primæ peccati cauſſæ oriantur, fortaſſe prius in culpa atque crimine corpus inueniet officij & honeſtatis fineis exce-C dere. Nam quieſcente ſæpenumerò anima, & in tranquillo ſtatu ſine vlla perturbatione conſtituta, oculus cōmotus videt ea, quæ non conſpexiſſe melius fuiſſet, & in animam morbum tranſmittens, in tempeſtatem ac turbinem, quietem ac tranquillitatem conuertit. Similiter aures inuerecundis quibuſdam atque exacerbantibus verbis exceptis, per quaſdam quaſi ſui ipſarum fiſtulas, perturbationis aut inuerecundiæ cœnum cogitationibus inferunt atque inducunt. Nonnunquam etiam naſus olfactu & attractu vaporum magnis & D inconceſſis vitiis, hominem inficit interiorem. Solent item manus contractatione validæ animæ robur effœminare. Atque ego paulatim ita progrediens atque conſiderans, magnæ peccatorum partis corpuſculum eſſe cauſſam inuenio. Tolerat autem etiam pro virtute labores, & in certaminibus honeſtarum rerum laborat & affligitur, dum vel ferro ſecatur, vel igni crematur, vel flagris cæditur, vel grauibus vinculis oneratur, & omnē ſuſtinet aduerſitatem & afflictionem, ne ſacram prodat philoſophiam, tanquam egregiis turribus ornatam vrbem quandam bello vitiorum atque nequitiæ circumſeſſam.

Si igitur in præclaris factis vnà cum anima laborat & affligitur, & in peccatis non abeſt: quibus rationibus & argumentis motus ſolam incorpoream in iudicium adducis? At neque iuſta neque ſanorum hominum oratio eſt. Si ſola & nuda peccauit, ſolam etiam puniet: ſin autem manifeſtũ habet adiutorem, non hunc iuſtus iudex dimittet. Ego autem etiam hoc ſcripturã audio prodentem, quòd condemnati iuſtis afficientur ſuppliciis, igne, tenebris, verme. quę omnia compoſitorum, ac materialium corporum pœnæ cruciatúſque ſunt: Animam verò per ſeſe ſeparatim ignis nunquam attigerit: nec tenebræ quidem ei moleſtæ fuerint, vtpotè quæ oculis caret, & videndi inſtrumentorum expers eſt. Quid autem vermis effecerit, qui corporum nõ ſpirituum corruptricem vim habet? Atque idcirco conſentaneis his conſiderationibus & ratiocinationibus vndique compellimur ad comprobandam reſurrectionẽ mortuorum, quam conuenientibus temporibus Deus perficiet rebus ipſis ſuas promiſſiones confirmans. Credamus igitur dicenti:

1. Cor. 15. Canet enim tuba, & mortui reſurgent:

Ioan. 15. ac rurſus, Venit hora, in qua omnes qui in monumentis ſunt, audient vocem eius, & prodibunt hi qui bona fecerunt, in reſurrectionem vitæ, qui autem mala faciunt, in reſurrectionem iudicij. Non enim promittit ſolùm, verum etiam operibus quæ quotidie facit, apertè docet quod ſit omnipotens. Neque enim in initio dum crearet, laborauit ac defatigatus eſt, neque in transformando ſapientia indigebit. Præſentia conſideremus, & rei futuræ fidem non detrahemus. Cùm enim omnis efficacia diuina comitem habeat ſtuporem & conſternationem: tum magnum & inexplicabile miraculum eſt, cùm patrum & proauorum ſimilitudines plenè tranſire animaduertimus in formas liberorum, ac poſteros maiorum ſuorum quaſi exprimere atque referre figuras. Tunc nimirum artem præſtantiſſimi opificis ac ſeruatoris Dei omnem ſolertiam in ſeſe complexam cum ingenti ſtupore admiror, quomodo eorum, quę nec extent, nec appareant, primorum illorum exemplarium imitamenta arcano myſterio creentur & effingantur, quaſi alteros quoſdam eos, qui mortui ſunt, per efficaciam formarum excitantia.

A Εἰ τοίνυν ἐν κατορθώμασι συμμοχθεῖ τῇ ψυχῇ, καὶ ἐν ἁμαρτήμασιν οὐκ ἀπολιμπάνεται· πόθεν ὁρμώμενος μόνην τὴν ἀσώματον ἐπὶ τὸ δικαστήριον ἄγεις; ἀλλ' οὐκ ἔστιν οὔτε δίκαιος οὔτε σωφρονούντων ὁ λόγος. εἰ μόνη καὶ γυμνὴ διήμαρτεν, μόνην καὶ κολάσει· εἰ δὲ φανερὸν ἔχει τὸν συνεργὸν, οὐκ ἀφήσει τοῦτον ὁ κριτὴς δίκαιος ὤν. ἐγὼ δὲ καὶ τοῦτο τῆς γραφῆς ἀκούω λεγούσης, ὅτι τοῖς κατεγνωσμένοις ἐπιτεθήσονται δίκαιαι τιμωρίαι, πῦρ καὶ σκότος, καὶ σκώληξ. ἃ πάντα τῶν συνθέτων καὶ ὑλικῶν σωμάτων κολάσεις εἰσίν· ψυχῆς δὲ καθ' ἑαυτὴν, οὔποτ' ἂν ἅψαιτο πῦρ· οὐδ' αὖ σκότος αὐτὴν λυπήσειεν

B ἀμοιροῦσαν ὀφθαλμῶν, καὶ τῶν βλεπτικῶν ὀργάνων. τί δ' αὖ καὶ σκώληξ πράξειεν, σωμάτων ὑπάρχων φθαρτικὸς οὐ πνευμάτων; καὶ διὰ τοῦτο τοῖς ἀκολούθοις λογισμοῖς πανταχόθεν συνελαυνόμεθα πρὸς συγκατάθεσιν τῆς ἐγέρσεως τῶν νεκρῶν, ἣν τοῖς καθήκουσι χρόνοις ἐκτελέσει ὁ Θεὸς, ἔργοις βεβαιῶν τὰς ἰδίας ἐπαγγελίας. πιστεύσωμεν τοίνυν τῷ λέγοντι· σαλπίσει γὰρ καὶ οἱ νεκροὶ ἀναστήσονται· καὶ πάλιν· ἔρχεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦ-

C λα πράξαντες εἰς ἀνάστασιν κρίσεως. οὐ γὰρ ὑπισχνεῖται μόνον, ἀλλὰ καὶ τοῖς ἔργοις οἷς ἐκτελεῖ καθ' ἡμέραν, διδάσκει σαφῶς ὡς ἐστι παντοδύναμος. οὔτε γὰρ ἐν ἀρχῇ δημιουργῶν ἔκαμεν, οὔτε μεταμορφῶν ἀπορήσει σοφίας. τὰ παρόντα θεωρήσωμεν, καὶ τῷ μέλλοντι οὐκ ἀπιστήσομεν. πάσης γὰρ ἐνεργείας τοῦ Θεοῦ ἀκόλουθον ἐχούσης τὴν ἔκπληξιν· τὸ πολὺ τὸ θαῦμα καὶ ἄφραστον, ὅταν τὰς τῶν πατέρων καὶ προπάππων ὁμοιότητας κατί-

D δωμεν μεταβαινούσας ἀκριβῶς εἰς τὰς τῶν ἀπογόνων μορφὰς, καὶ ἐκμαγεῖα γινομένους τοὺς παῖδας ἀπὸ τῶν προπατόρων. τότε δὴ τὴν πάνσοφον τέχνην τοῦ ἀριστοτέχνου Θεοῦ καὶ σωτῆρος ὑπερεκπλήττομαι· πῶς τῶν μήτε ὄντων μήτε φαινομένων ἀρχετύπων αἱ μιμήσεις ἐν ἀπορρήτῳ μυστηρίῳ δημιουργοῦνται καὶ ἀναπλάσσονται, ἄλλους τινὰς τοὺς τεθνεῶτας διὰ τῆς ἐνεργείας τὸν τύπον ἐγείρουσαι.

A πολλάκις δὲ καὶ πολλῶν ὁμοῦ προσώπων τὰ ἰδιώματα ἐν ἑνὶ ἐξεικονίζεται σώματι. τοῦ πατρὸς ἡ ῥίς, τοῦ πάππου ὁ ὀφθαλμός, τοῦ θείου τὸ βάδισμα· τῆς μητρὸς τὸ φθέγμα. καὶ εἷς ἄνθρωπος θεωρεῖται καθάπερ τι φυτὸν πολλῶν δένδρων ταῖς ἐπιβολαῖς δεξάμενον, καὶ μυρία καρποφορεῖν γένη τοῖς ὀπωρίζουσιν. ταῦτα πάντα θαυμαστὰ μὲν καὶ ὅπως γίνεται ἡμῖν ἀγνοούμενα, πρόχειρα δὲ τῷ δημιουργῷ καὶ μετὰ πολλῆς, ὡς ἴσμεν, τῆς ῥᾳστώνης ἐπιτελούμενα. ἄτοπον δὲ λίαν καὶ ἀμαθὲς, τὰ μὲν τῶν σαπέντων καὶ φθαρέντων ἤδη σωμάτων γνωρίσματα ἐν τοῖς νῦν καθ' ἡμέραν φυομένοις B ἐγείρεσθαι, καὶ τὰ ἀλλότρια μεταβαίνειν εἰς ἄλλους, τὰ δὲ ἴδια καὶ ἐξαίρετα, περὶ αὐτοὺς τοὺς ποτὲ κεκτημένους ἀνανεοῦσθαι καὶ ἀναβιώσκεσθαι μὴ συνομολογεῖν, ἀλλὰ τοὐναντίον ἀκυροῦν καὶ διαμάχεσθαι, καὶ μῦθον, οὐ λόγον τὴν ἐπαγγελίαν νομίζειν, τοῦ πᾶν τόδε τὸ ὁρώμενον συστησαμένου καὶ κοσμήσαντος ὡς ἠθέλησεν. ἀλλ' ἡμεῖς μὲν πεπιστεύκαμεν τῇ ἀναστάσει, δόξαν ἀναπέμποντες τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν C τε ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Sæpè autem multarum etiam perſonarum proprietates ſimul in vno corpore exprimuntur & effinguntur. Patris naſus, aui oculus, patrui inceſſus: matris ſonus vocis & loquelæ. Atque vnus homo ſpectatur tanquam planta quędam, quæ multarum arborum ſurculis inſititiis in ſe receptis innumera quoque fructuum genera decerpentibus & colligentibus præbet. Hæc omnia admirabilia quidem ſunt, ſed quo pacto fiant, nobis ignotum eſt: opifici autem facilia atque expedita, & ab eo nullo negotio, vt ſcimus, perficiuntur. Valde autem ab- B ſurdũ & cum multa imperitia coniunctum fuerit, ſi quis putrefactorum quidem & corruptorum iam corporum inſignia concedat, in iis, qui nunc quotidie naſcuntur excitari, & aliena tranſire in alios: propria autem ac peculiaria in iis, qui aliàs ea habuerunt, renouari ac reuiuiſcere, non etiã ſimul aſſentiatur, ſed contrà improbet atque impugnet, ac fabulam, non verum ſermonem exiſtimet eſſe promiſſionem eius, qui hoc omne quod videtur, conſtituit, & vt voluit, ornauit. Nos verò credimus re- C ſurrectioni, gloriam reddentes Patri & Filio & Spiritui ſancto, nunc & ſemper & in ſæcula ſæculorum, Amen.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟ ἅγιον καὶ σωτήριον πάσχα.

ΛΟΓΟΣ Δ'.

Η ΜΕΝ ἀληθινὴ τοῦ σαββάτου κατάπαυσις, ἡ τὴν εὐλογίαν τοῦ Θεοῦ δεξαμένη, ἐν D ᾗ κατέπαυσεν ἀπὸ τῶν ἑαυτοῦ ἔργων ὁ κύριος ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας τῇ ἀπραξίᾳ τοῦ θανάτου ἐνσαββατίσας, ἤδη πέρας ἔχει, καὶ τὴν ἰδίαν ἔδειξε χάριν καὶ ὀφθαλμοῖς καὶ ἀκοαῖς καὶ καρδίᾳ· διὰ πάντων τούτων τῆς ἑορτῆς ἡμῖν τελεσθείσης, οἷς εἴδομεν, οἷς ἠκούσαμεν, οἷς τῇ καρδίᾳ τὴν εὐφροσύνην προσεδεξάμεθα. τὸ μὲν γὰρ ὁρώμενον τοῖς ὀφθαλμοῖς, φῶς ἦν τῇ τοῦ πυρὸς νεφέλῃ διὰ τῶν λαμπάδων ἡμῖν ἐν τῇ νυκτὶ δαδουχούμενον. ὁ δὲ παννύχιος τῶν ἀκοαῖς προσηχῶν λόγος, ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς,

EIVSDEM DE SANCTO & ſalutari feſto Paſchæ.

ORATIO IV.

Eodem interprete.

VERA quidem ſabbati requies, quæ benedictionem Dei accepit, in qua requieuit Dominus ab operibus ſuis, pro ſalute mundi mortis efficacia fracta feriatus, iam finem habet, & gratiam ſuam cùm oculis, tum auribus, tum cordi demonſtrauit, per hæc omnia, quæ vidimus, quæ audiuimus, per quæ corde lætitiam recepimus, à nobis feſto peracto. Nam quod oculis cernitur, lumẽ nocte nobis per lampades in nube ignis præferebatur. Sermo autem per totam noctem aureis noſtras circumſonans in pſalmis, hymnis, cantionibúſque ſpiritualibus

tanquam flumen quoddam gaudij per aureis in animum influens, nos optima ſpe repleuit. Cor verò, dum & iis quæ dicebantur & videbantur, oblectaretur, inexplicabilis beatitudinis figuram accipiebat, dum per ea, quæ apparebant, quaſi manu duceretur ad eũ, qui videri non poteſt. Itaq; huius requietis bona per ſeſe fidem facientia ineffabili ſpei eorũ, quę deſtinata atque repoſita ſunt, imago ſunt illorum bonorum, quæ neque oculus vidit, neque auris audiuit, neq; in cor hominis aſcenderunt. Quoniam igitur hæc lucida nox commixtis lampadum luminibus cum matutinis radiis ſolis vnum continuũ nullarum interpoſitione tenebrarum diremptum diem effecit: conſideremus & intelligamus, fratres, prophetiam, quę dicit: Hic eſt dies, quem fecit Dominus: in quo opus propoſitum eſt non graue aliquod & effectu difficile, ſed gaudium, ſed lætitia, ſed exultatio, ita dicente ſcriptura, Exultemus & lætemur in eo. O mãdata præclara! ô dulcem conſtitutionẽ! quis ſine mora atq; procraſtinatione talibus præceptis non obtemperabit? imò quis non in damno ponet vel exiguam iuſſorum dilationẽ? lætitia eſt opus, & exultatio eſt id quod præcipitur, per quæ propter peccatum facta condemnatio reſcinditur, & in gaudium triſtia conuertuntur. Hoc eſt ſapientiæ notabile dictum, in die lætitiæ obliuio atque abolitio malorum. Obliuionem primæ contra nos ſententiæ pronuntiatæ dies hic induxit: imò verò abolitionem, non obliuionem. Deleuit enim & quaſi eraſit omnem penitus memoriam cõtra nos factæ condẽnationis. Tunc in doloribus partus edebatur: nunc abſque parturitionis cruciatibus natiuitas exiſtit. Tunc ex carne carnes nati ſumus: nunc quod natũ eſt, ſpiritus eſt ex ſpiritu. Tũc filij hominũ, nunc filij Dei nati ſumus. Tunc in terrã de cœlis relegati ſumus: nunc is qui cœleſtis eſt, etiã nos cœleſtes fecit. Tunc per peccatũ mors regnabat: nunc inuicem iuſtitia per vitam recipit imperium. Tunc vnus morti locum introeũndi dedit: per vnũ etiã nunc cõtrà vita introducitur. Tunc per mortẽ vita excidimus: nunc à vita mors deletur. Tunc præ pudore ſub ficu occultati fuimus: nunc per gloriam ligno vitæ appropinquamus. Tunc propter inobedientiam ex paradiſo expulſi ſumus:

Pſal. 117.

A οἷόν τι ῥεῦμα χαρᾶς, δι' ἀκοῆς εἰς τὴν ψυχὴν εἰσρέον· πλήρεις ἡμᾶς τῶν ἀγαθῶν ἐλπίδων ἐποίησεν. ἡ δὲ καρδία τοῖς λεγομένοις τε καὶ βλεπομένοις εὐφραινομένη, τὴν ἄφραστον ἐτυποῦτο μακαριότητα, διὰ τῶν φαινομένων χειραγωγουμένη πρὸς τὸ ἀόρατον. ὥστε τῶν ἀγαθῶν ἐκείνων, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, εἰκόνα εἶναι τὰ τῆς καταπαύσεως ταύτης ἀγαθὰ, δι' ἑαυτῶν τὴν ἀνεκφώνητον ἐλπίδα τῶν ἀποκειμένων πιστούμενα. ἐπεὶ τοίνυν φωτεινὴ νὺξ αὕτη, B ταῖς ἐκ τῶν λαμπάδων αὐγαῖς ταῖς ὀρθριναῖς ἀκτῖσι τοῦ ἡλίου συμμίξασα, μίαν κατὰ τὸ συνεχὲς ἡμέραν ἐποίησε, μὴ διαμερισθεῖσα τῇ παρενθήκῃ τοῦ σκότους· νοήσωμεν, ἀδελφοὶ, τὴν προφητείαν τὴν λέγουσαν· ὅτι αὕτη ἐστὶν ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος. ἐν ᾗ ἔργον ἐστὶν, οὐ βαρύ τι καὶ δυσκατόρθωτον· ἀλλὰ χαρὰ καὶ εὐφροσύνη καὶ ἀγαλλίαμα. οὕτως εἰπόντος τοῦ λόγου· ὅτι ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ὢ καλῶν προσταγμάτων· ὢ γλυκείας νομοθεσίας. τίς ὑπερτίθεται πρὸς τὸ ὑπακοῦσαι τοιούτοις προστάγμασι; τίς δὲ οὐχὶ ζημίαν ἡγεῖ- C ται, καὶ τὴν ἐν ὀλίγῳ τῶν προσταγμάτων ἀναβολήν; εὐφροσύνη τὸ ἔργον, καὶ ἀγαλλίαμά ἐστι τὸ ἐπίταγμα· δι' ὧν λύεται ἡ ἐπὶ τῇ ἁμαρτίᾳ κατάκρισις, καὶ εἰς χαρὰν τὰ λυπηρὰ μεθαρμόζεται. τοῦτό ἐστι τὸ τῆς σοφίας ἀπόφθεγμα, ὅτι ἐν ἡμέρᾳ εὐφροσύνης, ἀμνηστία κακῶν. λήθην ἐποίησε τῆς πρώτης καθ' ἡμῶν ἀποφάσεως, ἡ ἡμέρα αὕτη· μᾶλλον δὲ ἀφανισμὸν, οὐχὶ λήθην. ἐξήλειψε γὰρ καθόλου πᾶν μνημόσυνον τῆς καθ' ἡμῶν κατακρίσεως. τότε ἐν λύπαις ὁ τοκετός· νῦν χωρὶς ὠδίνων ἡ γέννησις. τότε ἐκ σαρκὸς ἐγεννήθημεν σάρκες· νῦν τὸ γεννηθὲν πνεῦμά ἐστιν ἐκ πνεύ- D ματος. τότε υἱοὶ ἀνθρώπου· νῦν τέκνα Θεοῦ ἐγεννήθημεν. τότε εἰς γῆν ἀπ' οὐρανῶν ἀπελύθημεν· νῦν ὁ ἐπουράνιος καὶ ἡμᾶς οὐρανίους ἐποίησε. τότε διὰ τῆς ἁμαρτίας ὁ θάνατος ἐβασίλευσε· νῦν ἀντιμεταλαμβάνει διὰ τῆς ζωῆς ἡ δικαιοσύνη τὸ κράτος. εἷς ἤνοιξε τότε τοῦ θανάτου τὴν εἴσοδον· δι' ἑνὸς καὶ νῦν ἡ ζωὴ ἀντεισάγεται. τότε διὰ τοῦ θανάτου τῆς ζωῆς ἐξεπέσαμεν· νῦν ὑπὸ τῆς ζωῆς ἀναιρεῖται ὁ θάνατος. τότε ὑπ' αἰσχύνης τῇ συκῇ ὑπεκρύβημεν· νῦν διὰ δόξης τῷ ξύλῳ τῆς ζωῆς προσεγγίζομεν. τότε διὰ τῆς παρακοῆς τοῦ παραδείσου ἐξῳκίσθημεν·

νῦν διὰ πίστεως τοῦ παραδείσου εἴσω γινόμεθα. A πάλιν ὁ καρπὸς τῆς ζωῆς εἰς τρυφὴν ἡμῖν πρόκειται κατ' ἐξουσίαν. πάλιν ἡ τοῦ παραδείσου πηγὴ, ἡ τετραχῆ διὰ τῶν εὐαγγελικῶν ποταμῶν μεριζομένη, ἅπαν ποτίζει τὸ πρόσωπον τῆς ἐκκλησίας· ὡς καὶ μεθύσκειν ἡμῶν τὰς αὔλακας τῶν ψυχῶν, ἃς ὁ σπείρων τὸν λόγον τῷ ἀρότρῳ τῆς διδασκαλίας ἀνέτεμε, καὶ πληθύνεσθαι τῆς ἀρετῆς τὰ γεννήματα. τί οὖν ἐπὶ τούτοις προσήκει ποιεῖν; τί ἄλλο, ἢ μιμεῖσθαι τὰ ὄρη τὰ προφητικὰ, καὶ τοὺς βουνοὺς τοῖς σκιρτήμασι. τὰ ὄρη γὰρ, φησιν, ἐσκίρτησαν ὡσεὶ B κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. Οὐκοῦν δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, τῷ καθελόντι τοῦ πολεμίου τὴν δύναμιν, καὶ τὸ μέγα τρόπαιον τοῦ σταυροῦ ὑπὲρ ἡμῶν ἀναστήσαντι ἐν τῷ πτώματι τοῦ ἀντικειμένου. ἀλαλάζωμεν. ἀλαλαγμὸς δέ ἐστιν ἐπινίκιος εὐφημία, παρὰ τῶν κεκρατηκότων ἐγειρομένη κατὰ τῶν ἡττημένων. ἐπεὶ οὖν πέπτωκεν ἡ τοῦ πολεμίου παράταξις, καὶ αὐτὸς ἐκεῖνος ὁ τὸ κράτος ἔχων τῆς πονηρᾶς τῶν δαιμόνων στρατιᾶς οἴχεται καὶ ἠφάνισται, καὶ εἰς τὸ μὴ ὂν ἤδη μετακεχώρηκεν· εἴπωμεν, ὅτι C Θεὸς μέγας κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· ὁ εὐλογήσας τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητος αὐτοῦ· καὶ συναγαγὼν ἡμᾶς εἰς τὴν πνευματικὴν ταύτην χοροστασίαν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ φωσφόρον καὶ ἁγίαν ἀνάστασιν τοῦ κυρίου καὶ Θεοῦ ἡμῶν. D

ΛΟΓΟΣ Ε'.

Εὐλόγητος ὁ Θεός. εὐφημήσωμεν σήμερον τὸν μονογενῆ Θεὸν, τὸν τῶν οὐρανίων γεννήτορα, τὸν τῶν κρυφίων λαγόνων τῆς γῆς ὑπερκύψαντα, καὶ ταῖς φωσφόροις ἀκτῖσι τὴν ὅλην οἰκουμένην ἐπισκιάσαντα. εὐφημήσωμεν σήμερον τὴν ταφὴν τοῦ μονογενοῦς, τὴν ἀνάστασιν τοῦ νικητοῦ, τὴν χαρὰν τοῦ κόσμου, τὴν ζωὴν τῶν ἐθνῶν τοῦ κόσμου. εὐφημήσωμεν σήμερον τὸν τὴν ἁμαρτίαν ἐνδυ-

nunc per fidem in paradiſum admittimur. Rurſus fructus vitæ ad delicias nobis propoſitus eſt ad arbitrium. Rurſus fons paradiſi quadripartitò diductus per Euangelicos amneis vniuerſam Eccleſiæ faciem irrigat, adeò vt etiam ſulci animarum noſtrarum inebrietur, quos is qui ſementem ſermonis facit, aratro doctrinæ proſcidit, ac multiplicentur germina fructúſque virtutis. Quid igitur ob hæc facere conuenit? quid aliud, quàm imitari monteis propheticos & colleis exultationibus. Montes enim, inquit, exultauerunt vt arietes, & colles B ſicut agni ouium. Venite igitur exultemus Domino, qui fregit vires & potentiam hoſtis, & magnũ pro nobis crucis trophæum in ruina aduerſarij erexit. ἀλαλάζωμεν, id eſt, iubilemus. ἀλαλαγμὸς autem, ſiue iubilus, eſt in victoria fauſta ac læta acclamatio, quæ à victoribus aduerſus victos excitatur. Quoniam igitur proſtrata eſt acies hoſtis, atque ille ipſe, qui imperiũ nepharij exercitus dæmonum obtinebat, periit, deletus & ad nihilum iam redactus eſt: dicamus, quod Deus ſit magnus dominus, & rex magnus ſu- C per omnem terram, qui benedixit coronæ anni benignitatis ſuę, & conduxit nos in hunc chorum & cœtum ſpiritualem, per Chriſtum Ieſum dominum noſtrum, cui gloria in ſæcula, Amen.

EIVSDEM IN ILLVSTREM & ſanctam Domini Deíque noſtri Reſurrectionem,

ORATIO V.

Ex interpretatione Fed. Morelli Prof. Reg. Decani.

BENEDICTVS Deus. Dicamus bona verba, & celebremus hodie vnigenam Dei filium, verum cœleſtium procreatorem: qui ex occultis terræ ſinubus emerſit, & clariſſimis radiis orbem terrarum operuit. Celebremus hodie ſepulturam vnigeniti: Reſurrectionẽ victoris, gaudium mundi, & vitam gentium mundi. Celebremus hodie eum qui peccatũ induerat.

Celebremus hodie Dei Verbum, quod mundi Sapientiam arguit; Prophetarum prædictionem confirmauit; Apoſtolorum vinculum connexuit; Eccleſiæ vocationem, Spiritus gratiam explicauit. Ecce enim nos qui olim alieni à Dei notitia eramus, Deum agnouimus,
Pſal. 21. & olim ſcriptum perfectum eſt: Reminiſcentur, & conuertentur ad Dominum omnes fines terræ: & adorabunt in conſpectu eius vniuerſæ familiæ gentium. Cuius rei memores erunt? Antiqui lapſus, & nouæ reſurrectionis, & emendationis quæ poſtea ſecuta eſt: Euæ interitus, virginis ortus, gentium reſtitutionis, delinquentium abſolutionis, prophetarum prædictionis: Apoſtolorum prædicationis: piſcinæ regenerationis: in Paradiſum introductionis: reditus in cœlos: rerum opificis ad vitam redeuntis, cùm indecentiam exuiſſet, ac diuina magnificentia, quod erat mortale & corruptum, in immortale & incorruptum commutaſſet. Qualem verò indecentiam depoſuit? eam quam dixit Eſaias his verbis, Et vidimus ipſum, & non erat ſpecies, nec decor. Sed facies eius erat ignobilis: inferior forma præ filiis hominum. Quando ignobilis erat? quando cùm ſceleratis Iudæis conuerſabatur, & Samaritanus & dæmonio exagitatus dicebatur. Quando Iudas Iſcariotes & tenebrarum progenies tenebant ad cędem eum, quem nullus locus capere poteſt. Non abs re dicebat ipſis
Luc 3. 7. Ioannes, Genimina viperarum, quis oſtendit vobis fugere à futura ira? Verè enim ira Dei manebit ſuper ipſis. quando fuit ignobilis? Tum cùm nobile germen æquitatis graui colapho cæſum eſt. Et cùm verum iuriſiurandi præſidem, cum ſacramento iuramenti interrogarent. Quando ſine honore fuit? Cùm iudicaretur iudex, & arbiter mundi damnaretur: cùm ſeruus inquireret, & herus conticeſceret: cùm lux quieſceret, & caligo exultaret: cùm figmentum audaciam præ ſe ferret, & rerum opifex perpeteretur. Quando fuit inglorius? cùm tauri cornibus impeterent, & iuuencus ſe ſubmitteret: cùm rugiret Leo, & ſuperbirent tauri: ſicut ſcriptum eſt, Circundederunt me vituli
Pſal. 21. v. 12. & 13. multi, tauri pingues obſederunt me. Aperuerunt ſuper me os ſuum, ſicut leo rapiens & rugiens. Quando fuit inho-

A σάμενον. ἀναφημήσωμεν τήμερον τὸν Θεὸν λόγον, ὃς τὴν τοῦ κόσμου σοφίαν ἤλεγξε· τῶν προφητῶν τὴν προῤῥησιν ἐκύρωσεν· τῶν ἀποστόλων τὸν σύνδεσμον συνήθροισε. τῆς ἐκκλησίας τὴν κλῆσιν, τοῦ πνεύματος τὴν χάριν ἐφήπλωσε. ἰδοὺ γὰρ ἡμεῖς οἵ ποτε ξένοι τῆς τοῦ Θεοῦ ἐπιγνώσεως, τὸν Θεὸν ἐπέγνωμεν· καὶ τὸ γεγραμμένον πεπλήρωται· μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς. καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. τί μνησθήσονται; τῆς παλαιᾶς πτώσεως, τῆς νέας ἀναστάσεως, τῆς ἀρχαίας παραβάσεως, καὶ τῆς ὕστερον διορθώσεως· τῆς θνήσεως τῆς Εὔας, τῆς παρθένου τὴν γέν-
B νησιν· τῶν ἐθνῶν τὴν ἐπανόρθωσιν· τῶν ἁμαρτωλῶν τὴν ἄφεσιν· τῶν προφητῶν τὴν προῤῥησιν· τῶν ἀποστόλων τὸ κήρυγμα· τῆς κολυμβήθρας τὴν ἀναγέννησιν· τοῦ παραδείσου τὴν εἰσοίκησιν· τῶν οὐρανῶν τὴν ἐπάνοδον· τὸν δημιουργὸν ἀνιστάμενον τὸν τὴν ἀπρέπειαν ἀποδυσάμενον, καὶ τῇ θεϊκῇ μεγαλουργίᾳ τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μεταλλάξαντα. καὶ ποίαν ἀπρέπειαν ἀπέθετο; ἣν Ἡσαΐας εἶπε, καὶ εἴδομεν αὐτόν, φησί, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος. ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον· ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. πότε ἦν ἄτιμος; ὅτε τοῖς ἀλιτηρίοις Ἰουδαίοις
C προσωμίλει, καὶ Σαμαρείτης, καὶ δαιμόνιον ἔχων ἐκαλεῖτο. ὅτε Ἰούδας ὁ Ἰσκαριώτης, καὶ τὰ τοῦ σκότους γεννήματα πρὸς φόνον ἐχειροῦντο τὸν ἀχώρητον. οὐκ ἀσκόπως ἔλεγεν αὐτοῖς Ἰωάννης, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ὄντως γὰρ ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτούς. πότε ἦν ἄτιμος; ὅτε τὸ βλάστημα τῆς ἐπιεικείας ῥάπισμα διελάμβανεν· καὶ μεθ' ὅρκων ἠρώτων τὸν ὅρκων δικαστὴν ὑπάρχοντα. πότε ἦν ἄτιμος; ὅτε ἐδικάζετο ὁ δικαστής, καὶ ἐκρίνετο
D ὁ κριτὴς τοῦ κόσμου. ὁ οἰκέτης ἠρώτα, ὁ δεσπότης ἐσιώπα, καὶ τὸ φῶς ἡσύχαζε, καὶ τὸ σκότος ἐγαυρία· τὸ πλάσμα ἐθρασύνετο, καὶ ὁ δημιουργὸς ἐκαρτέρει. πότε ἦν ἄτιμος; ὅτε οἱ ταῦροι ἐκεράτιζον· καὶ ὁ μόσχος παρείσατο. ὅτε ὁ λέων ὠρύετο· καὶ οἱ ταῦροι ἐγαυριῶντο. καθὼς γέγραπται· περιεκύκλωσάν με μόσχοι πολλοί· ταῦροι πίονες περιέσχον με. ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων καὶ ὠρυόμενος. πότε ἦν ἄτιμος;

ὅτε οἱ κύνες ὕλακτον, καὶ ὁ δεσπότης ἠνείχετο. ὅτε οἱ λύκοι ἥρπαζον, καὶ τὸ πρόβατον παρίστατο. ὅτι λῃστὴς εἰς ζωὴν ἐκαλεῖτο· ἡ δὲ ζωὴ τοῦ κόσμου εἰς θάνατον εἵλκετο· ὅτε ἐβόων ἐκεῖνοι τὴν ἄτακτον καὶ ὀλέθριον φωνὴν, ἆρον, ἆρον, σταύρωσον αὐτόν· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. οἱ κυριοκτόνοι, οἱ προφητοκτόνοι· οἱ θεομάχοι· οἱ μισόθεοι· οἱ τοῦ νόμου ὑβρισταί· οἱ τῆς χάριτος πολέμιοι· οἱ ἀλλότριοι τῆς πίστεως τῶν πατέρων· οἱ συνήγοροι τοῦ διαβόλου· τὰ γεννήματα τῶν ἐχιδνῶν, οἱ ψιθυρισταὶ, οἱ καταλάλοι, οἱ ἐσκοτισμένοι τῇ διανοίᾳ· ἡ ζύμη τῶν Φαρισαίων· τὸ συνέδριον τῶν δαιμόνων· οἱ ἀλάστορες, οἱ πάμφαυλοι, οἱ λιθασταὶ, οἱ μισόκαλοι. εἰκότως γὰρ ἔκραζον, ἆρον, ἆρον, σταύρωσον αὐτόν. ἐβάρει γὰρ αὐτοὺς ἡ ἐπιδημία τῆς θεότητος μετὰ σαρκὸς, καὶ ἐλύπει τὸν ἔλεγχον ὁ τρόπος· ἔθος γὰρ ἁμαρτωλοῖς μισεῖν τὴν τῶν δικαίων συντυχίαν. πότε ἦν ἄτιμος; ὅτε αὐτὸν ἐφραγέλλωσαν. καὶ τὸ σῶμα αὐτοῦ τὸ ἅγιον ἐβασάνιζον, φέροντα ἑκουσίως πάθος· ἵνα τοὺς παλαιοὺς μώλωπας τῶν ἡμετέρων ἁμαρτημάτων θεραπεύσῃ. ὅτε τὸ ξύλον τοῦ σταυροῦ ἐπὶ τῶν ὤμων ἐβάστασε τὸ κατὰ τοῦ διαβόλου τρόπαιον. ὅτε στέφανον ἐξ ἀκανθῶν περιέθηκαν τῷ στεφανοῦντι τοὺς πεποιθότας ἐπ' αὐτόν· ὅτε πορφύραν ἐνέδυσαν τὸν ἀφθαρσίαν τοῖς ἀναγεννωμένοις δι' ὕδατος καὶ πνεύματος ἁγίου χαριζόμενον· ὅτε προσήλωσαν τῷ ξύλῳ τὸν τῆς ζωῆς καὶ τοῦ θανάτου κύριον ὑπάρχοντα. πότε ἦν ἄτιμος; ὅτε ἐθριάμβευον ἐμπαίζοντες οἱ στρατιῶται τὸν τῶν στρατιῶν τῶν οὐρανῶν δεσπότην. πότε ἦν ἄτιμος; ὅτε καλάμῳ περιθέντες σπόγγον, ἐμπλήσαντες ὄξους ἐπότιζον αὐτόν· καὶ χολὴν ἐδίδουν τῷ τὸ μάννα αὐτοῖς ἐπομβρήσαντι. ὅτε αἱ πέτραι ἐρρήγνυντο, καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίζετο· τῶν ἀλιτηρίων τὴν τόλμαν ἐκπληττόμενα· ὅτε ὁ ἥλιος ἐπένθει, καὶ τὸ σκότος ὡς σάκκον ἐνεδύετο, πενθῶν τὴν τῶν Ιουδαίων ἀπώλειαν. ἐθρήνει γὰρ ἡ ἡμέρα τὰς Ιουδαίων συμφοράς· ὅτε ἐν μέσῳ λῃστῶν ἡ ζωὴ ἐκρέματο· τοῦ μὲν ὀνειδίζοντος καὶ καταλαλοῦντος· τοῦ δὲ τῇ μετανοίᾳ λῃστεύοντος τὸν παράδεισον. πότε ἦν ἄτιμος; ὅτε τὸ σῶμα πρὸς ταφὴν ἐδίδοτο. πότε ἦν ἄτιμος; ὅτε στρατιῶται ἐφύλαττον, καὶ ἡ γῆ κατέκρυπτεν τὸν τὴν γῆν ἐπὶ τῶν ὑδάτων ἑδράσαντα·

A noratus? cùm canes latrarent, & Dominus patienter ferret. Cùm lupi diriperent, & ouis conſiſteret. Cùm latro vocaretur ad vitam, at vita mundi traheretur ad mortem. Cùm inconcinna& exitioſa voce clamarent, Tolle, tolle, crucifige eum. *Luc. 23. 18.* Sanguis ipſius ſuper nos & ſuper filios noſtros. Domini cæſores, Prophetarum occiſores, Dei hoſtes: Dei oſores: in legem iniurij; Gratiæ aduerſarij: alieni à fide parentum, patroni Diaboli: progenies viperarum: ſuſurrones, blaterones, mente inuoluta tenebris: fermentum Phariſæo- B rum: conſeſſus Dæmonum. Facinoroſi, deterrimi, lapidatores, honeſtatis oſores. Atenim meritò clamabant, Tolle, tolle, crucifige eum. Grauis enim ipſis erat diuinitatis cum carne conuerſatio: & conſuetudo reprehendendi, infeſta erat: Nam in more poſitum eſt peccatoribus, odiſſe iuſtorum cœtum & ſucceſſum. Quādo fuit ignobilis? Cùm ipſum flagris inſectati ſunt, & ſanctum eius corpus torſerunt, qui lubenter cruciatum perferebat: vt antiquos vibices noſtrorum animi vulne- C rum ſanaret: quando lignum crucis ſuper humeris geſtabat, vt trophæum aduerſus diabolum. Cùm coronam è ſpinis impoſuerunt ei, qui corona donat eos qui confidunt in ipſo: Quando purpura induerunt eum, qui immortalitatem largitur iis, qui regenerantur ex aqua & Spiritu ſancto. *Tit. 3.* Quando ſuffixerunt ligno vitæ necíſque Dominum: *1. Petr. 2.* Quando fuit inglorius? cùm milites, cœleſtis exercitus imperatorem illudentes triumpharent. Quando fuit ignominioſus? cùm adiuncta arundini ſpongia, eáque aceto madefacta po- D tum ei dederunt, & fel obtulerunt ei qui manna abundè ipſis infuderat. Quando petræ diruptæ ſunt, & velum templi ſciſſum eſt: quaſi flagitioſorum audaciam ſtuperent. Quando luxit ſol, & caliginem tanquam ſaccum induit, Iudæorum ruinam deplorans: dies enim ipſe lamētabatur Iudæorū ærumnas, cum in medio latronū vita pendêret: altero quidē conuiciante, & obloquēte: altero verò pœnitētia paradiſum deprædante. Quando fuit inglorius? Quādo corpus eius ſepulturæ traditum eſt. Quando fuit ignobilis? Cùm milites ipſum cuſtodierunt, & terra eū abſcondit, qui ſuper aquis terram fundauerat:

& cùm Apoſtoli occultarent ſe, & tentationum magnitudinem ferre non poſſent. Sed videbis, chariſſime, Dei miracula, & poſt paſſionem, lætitiæ ſucceſſus profectúſque. Ignobilis in claritatis decus mutatus eſt, & mundi gaudium immortale eſt cum corpore. tunc parturiit terra, & dies concepit, & mors regeſſit omnium vitam. Non enim fieri poterat, vt is à morte detineretur, qui verbo tenet omnia. Celebremus igitur Reſurrectionem tertio die factã, æternæ vitæ conciliatricem. Vt enim Maria Dei parens virginalibus atque innuptis partubus non ſolutis, Dei voluntate & S. Spiritus gratia genuit ſeculorum opificem, ex Deo Deum Verbum: Sic etiam terra ex propriis penetralibus fœtu mortis edito, herum Iudæorũ iuſſa eſt exerere. Etenim detinere non poterat corpus, quod immortalitatis vehiculum extiterat. Quocirca cum Propheta Dauid decentis ſtatus conſtitutionem, mortis ſolutionem, & quondam ſeruorum libertatẽ conſideraret, exclamat & enunciat, Dominus regnauit, decorem indutus eſt, Qualem cedò decorẽ induit? perpetuam integritatem, atque immortalitatem, Apoſtolorum cœtum, Eccleſiæ coronã. Non amplius Iudas prodit. Non amplius Caiphas minitatur. non amplius Herodes ad puerorum cædem armatur. Non iudicat amplius Pilatus: neque amplius Iſraëlitę ipſo potiuntur. Enimuerò quod fragile & caducum erat, factum eſt incorruptum. Tum qui apud eos cẽſebatur homo nudus, Deus verus eſt demonſtratus. Idcirco nos etiam clamamus, Vbinã tuus eſt, ô mors, aculeus? Vbi tua eſt, inferne, victoria?
Pſal. 92. Decorem induit: Induit Dominus potentiam, & accinxit ſe. Potentiam dicit ſalutis diſpenſationem per carnem factam. Quandoquidem nihil illa potentius. Per corpus enim, liber à corpore Dæmonas depulit. Per crucem oppoſitas poteſtates obſedit. Nam quoniam primùm terram concuſſerat peccatum, reſurgens Dominus noſter Ieſus Chriſtus, vt prædixerat, ſtabiliuit ipſam ligno crucis, ne vllo vnquam lapſu præceps in perniciem rueret, neque erroris tempeſtatibus agitaretur. Teſtem verò dictorum producamus B. Paulum aien-
1. Cor. 15. v. 53. Pſal. 92. tem: Oportet enim corruptibile hoc induere incorruptibilitatem, & mortale hoc induere immortalitatem. Ideó-

A ὅτε οἱ ἀπόστολοι ἐκρύπτοντο, τῶν πειρασμῶν τὸν ὄγκον οὐ δυνάμενοι φέρειν, ἀλλὰ ὅρα ἀγαπητὲ τοῦ Θεοῦ τὰ θαύματα, καὶ μετὰ τὸ πάθος τῆς χαρᾶς τὰ κατορθώματα· ὁ ἄτιμος εἰς εὐδοξίαν μετεβάλλετο, καὶ ἡ τοῦ κόσμου χαρὰ ἄφθαρτος ἐγήγερται μετὰ τοῦ σώματος. τότε ὤδινεν ἡ γῆ, καὶ ἐκυοφόρησεν ἡ ἡμέρα, καὶ ἀπέπλυσεν ὁ θάνατος τὴν πάντων ζωήν. οὐ γὰρ ἦν δυνατὸν κρατεῖσθαι ὑπὸ τοῦ θανάτου τὸν πάντα λόγῳ κρατοῦντα. ἑορτάσωμεν τοίνυν τριήμερον ἀνάστασιν ζωῆς αἰωνίου πρόξενον. ὥσπερ γὰρ Μαρία ἡ θεοτόκος
B παρθενικὰς καὶ ἀνυμφεύτους ὠδῖνας οὐ λύσασα βουλήσει Θεοῦ καὶ πνεύματος χάριτι ἐγέννησε τὸν τῶν αἰώνων ποιητήν, τὸν ἐκ Θεοῦ Θεὸν λόγον, οὕτως καὶ ἡ γῆ ἐκ τῶν οἰκείων λαγόνων τὰς ὠδῖνας τοῦ θανάτου λύσασα ἀπέπλυσε κελευσθεῖσα τὸν τῶν Ἰουδαίων δεσπότην. οὐ γὰρ ἠδύνατο κατέχειν σῶμα φορεῖον ἀθανασίας γενόμενον. σκοπῶν τοίνυν ὁ προφήτης Δαβὶδ τῆς εὐπρεπείας τὴν διόρθωσιν, τοῦ θανάτου τὴν λύσιν, τῶν ποτὲ δούλων τὴν ἐλευθερίαν, βοᾷ καὶ λέγει, ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.
C ποίαν εὐπρέπειαν ἐνεδύσατο; τὴν ἀφθαρσίαν, τὴν ἀθανασίαν, τῶν ἀποστόλων τὴν σύγκλητον, τῆς ἐκκλησίας τὸν στέφανον. οὐκέτι Ἰούδας προδίδωσιν· οὐκέτι Καϊάφας ἀπειλεῖ· οὐκέτι Ἡρώδης πρὸς παιδοκτονίαν ὁπλίζεται· οὐκέτι Πιλᾶτος δικάζει, οὔτε Ἰσραηλῖται κρατοῦσι. τὸ γὰρ φθαρτὸν γέγονεν ἄφθαρτον, καὶ ὁ παρ᾽ αὐτοῖς νομιζόμενος ἄνθρωπος ψιλὸς, Θεὸς ἀποδέδεικται ἀληθινός· διὸ καὶ ἡμεῖς βοῶμεν. ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο κύριος δύναμιν, καὶ περιεζώσατο. δύναμιν
D λέγει τὴν διὰ σαρκὸς οἰκονομίαν. ἐπεὶ γὰρ ἐκείνης δυνατώτερον οὐδὲν, διὰ σώματος ὁ ἀσώματος δαίμονας κατέβαλε. διὰ σταυροῦ τὰς ἀντικειμένας δυνάμεις ἐξεπολιόρκησεν. ὅπερ γὰρ τὰ πρῶτα ἔκλονει τὴν γῆν ἡ ἁμαρτία, ἀναστὰς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καθὼς προεῖπεν ἐστερέωσεν αὐτὴν τῷ ξύλῳ τοῦ σταυροῦ μηκέτι πρὸς ὄλισθον ἀπωλείας βαδίζειν· μήτε χειμῶσι τῆς πλάνης ῥιπίζεσθαι. μάρτυρα δὲ τοῦ λόγου τὸν μακάριον Παῦλον ἀγάγωμεν, λέγοντα ἁπλῶς· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσα-

A σθαι ἀφθαρσίας. διὸ καὶ ὁ ψαλμῳδὸς λέγει, ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε· ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. καὶ, ἡ βασιλεία σου, βασιλεία αἰώνιος, ἣ οὐ διαφθαρήσεται. καὶ πάλιν· ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων. καὶ πάλιν· ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, ἀμήν.

que Pſalmographus ait, Parata eſt ſedes tua ex tunc, à ſeculo tu es: &, Regnum tuum, regnum ſempiternum; quod non corrumpetur. & iterum, Regnum tuum, regnum omnium ſæculorum, Ac rurſus, Dominus regnauit: exultet terra: lætentur inſulæ multæ: Quia ipſi gloria & fortitudo conuenit, Amen.

Pſal. 45. Pſal. 144. v. 13. Pſal. 95. Pſal. 96. 1.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ λεγομένην παρὰ ἐπιχωρίᾳ τῶν Καππαδοκῶν ἔθει ἐπισωζομένην,

B

Ἥτις ἐστὶν ἡ ἀνάληψις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΩΣ γλυκὺς συνέμπορος τοῦ ἀνθρωπίνου βίου ὁ προφήτης Δαβὶδ, ἐν πάσαις ταῖς ὁδοῖς τῆς ζωῆς εὑρισκόμενος; καὶ πάσαις ταῖς πνευματικαῖς ἡλικίαις προσφόρως καταμιγνύμενος; παντὸς τάγματος τῶν προκοπτόντων συνεφαπτόμενος; C τοῖς κατὰ Θεὸν νηπίοις συμπαίζει· τοῖς ἀνδράσι συναγωνίζεται· παιδαγωγεῖ τὴν νεότητα· ὑποστηρίζει τὸ γῆρας· τοῖς πᾶσι πάντα γίνεται· στρατιωτῶν ὅπλον, ἀθλητῶν παιδοτρίβης, γυμναζομένων παλαίστρα, νικώντων στέφανος, ἐπιτραπέζιος εὐφροσύνη, ἐπικήδειος παραμυθία. οὐκ ἔστι τι τῶν κατὰ τὸν βίον ἡμῶν τῆς χάριτος ταύτης ἀμέτοχον. τίς προσευχῆς δύναμις, ἧς μὴ Δαβὶδ συνεφάπτεται; τίς ἑορτῆς εὐφροσύνη, μὴ τοῦ προφήτου ταύτην φαιδρύνοντος; ὃ δὴ καὶ νῦν ἐστιν ἰδεῖν· ὅτι καὶ ἄλλως μεγάλην ἡμῖν οὖσαν τὴν ἑορτὴν, μείζονα D δι᾽ ἑαυτοῦ ὁ προφήτης ἐποίησεν, προσφόρως τῇ ὑποθέσει τὴν ἐκ τῶν ψαλμῶν συνεισενεγκὼν εὐφροσύνην. ἐν μὲν γὰρ τῷ ἑνὶ, πρόβατόν σε κελεύει γενέσθαι παρὰ τοῦ Θεοῦ ποιμαινόμενον· καὶ οὐδενὸς τῶν ἀγαθῶν ὑστερούμενον· ᾧ καὶ πόα νομῆς, καὶ ὕδωρ ἀναπαύσεως, καὶ τροφὴ καὶ σκηνὴ, καὶ τρίβος, καὶ ὁδηγία, καὶ πάντα γίνεται ὁ ποιμὴν ὁ καλός· πρὸς πᾶσαν χρείαν τὴν ἑαυτοῦ χάριν προσφόρως καταμερίζων, δι᾽ ὧν ἁπάντων παιδεύει τὴν ἐκκλησίαν, ὅτι χρή σε πρότερον γενέσθαι τοῦ καλοῦ ποιμένος, διὰ τῆς ἀγαθῆς κατηχήσεως πρὸς τὰς θείας τῶν

EIVSDEM IN DIEM quæ dicitur indigenâ Cappadocum more conſecrata,

Quæ eſt Aſcenſio Domini noſtri Ieſu Chriſti.

Franciſco Zino interprete.

QVAM dulcis hominum comes Propheta Dauid in omnibus vitæ itineribus! quàm aptus ſpiritualibus cũctis ætatibus! quàm omni proficientium ordini conditionique commodus inuenitur! Cum illis, qui apud Deum pueri infantéſque ſunt, colludit. Viris in certamine & pugna ſe ſocium præbet. Iuuentutem erudit: ſenectutem confirmat: omnibus omnia fit; militum arma, magiſter pugilum, palæſtra certantium, corona victorum; in conuiuiis hilaritas, in funere lugentiũ conſolatio. Nulla denique pars humanæ vitæ illius munere & gratia vacat. Quænam eſt precationis facultas quam Dauid non ſubminiſtret? Quæ celebritas lætitiæ, quam non exornet Propheta? id, quod in præſentia quoq; licet intueri. Hodiernam enim celebritatem, ſatis per ſe magnam, ipſe maiorem efficit, dum illi gaudium è pſalmis appoſitè adiungit. In vno enim illorum ouem te iubet eſſe, quæ à Deo paſcaris, & omnibus bonorum copiis affluas, vt cui & herba, & pabulum, & aqua refrigerij ſuppetat. Tibi & cibum, & tabernaculum, & viam, & ducem, & omnia ſe præbet paſtor egregius, gratiámque ſuam ad omnẽ vſum aptè diſtribuit. Ex quibus omnib. Eccleſiam inſtruit, oportere te primum boni paſtoris ouem fieri per bonam catecheſim & initiationẽ ad

Pſal. 24.

diuinæ doctrinæ paſcua fonteſque deductũ, vt cum illo ſepeliaris per baptiſmum in mortem, neque tamen mortem eiuſmodi reformidare. Non enim mors eſt iſta, ſed mortis vmbra & ſimilitudo. Ibidem. Nam ſi ambulauero, inquit, in medio vmbræ mortis, non timebo, vt malum, id quod acciderit, quoniam tu mecum es. Deinde ſpiritus virga conſolatur. Spiritus enim conſolator eſt. Tum menſam myſticã proponit ex aduerſo menſę dęmonum inſtructam. Per idololatriam enim hominum vitam afflixerunt dæmones, quibus contraria eſt ſpiritus menſa. Ad hæc oleo ſpiritus caput vngit, & vinum, quod lætitia cor afficit, addens, ſobriam illam animo ebrietatem inijcit, & è caducis fluxiſque rebus mentem trahit ad ſempiternas. Etenim qui tali eſt affectus ebrietate, breuem vitam cum immortalitate commutat, & in longitudine dierum habitat in domo Domini. Hæc nobis in vno pſalmorum elargitus, ad maiorem & perfectiorem in altero, qui proximè ſequitur, voluptatem animum excitat, cuius ſententiam vobis, ſi videtur, paucis explicabo. Pſal. 23. Domini eſt terra & plenitudo eius. Quid igitur noui cõtingit, homo, ſi Deus noſter in terra viſus eſt, ſi cum hominibus vixit? Ipſe terram creauit, & condidit. Quare nec inuſitatum nec abſurdum eſt, vt ad propria Dominus veniat. Neque enim in orbe verſatur alieno, ſed in eo, quem ipſe conſtituit, & fabricatus eſt, ſuper maria terram fundauit, & effecit, vt ſecus fluminum decurſum optimè collocata eſſet. Quã autem ob cauſam aduenit, niſi vt te ex peccati voragine liberatum, & regni currum, id eſt, virtutis inſtitutum in ipſo aſcenſu adhibentem, in montem adduceret? Neque enim licet in montem illum aſcendere, niſi virtutes tibi comites adiunxeris, & innocens manibus fueris, & nullo ſcelere coinquinatus, ſed mundo corde ad nullam vanitatem animum tuum applicueris, nec dolo proximum tuum deceperis. Iſtius aſcenſus præmium eſt benedictio, huic repoſitam Deus miſericordiã largitur. Hæc eſt generatio quærentium eum, per virtutem in ſublime conſcenden-

A διδαγμάτων νομάς τε καὶ πηγὰς ὁδηγούμενον, εἰς τὸ συνταφῆναι αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, καὶ μὴ φοβηθῆναι τὸν τοιοῦτον θάνατον. οὐ γὰρ θάνατος τοῦτό ἐστιν, ἀλλὰ θανάτου σκιὰ καὶ ἐκτύπωμα. ἐὰν γὰρ πορευθῶ, φησὶν, ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι ὡς κακὸν τὸ γινόμενον· ὅτι σὺ μετ' ἐμοῦ εἶ. μετὰ ταῦτα παρακαλέσας τῇ βακτηρίᾳ τοῦ πνεύματος· ὁ γὰρ παράκλητος τὸ πνεῦμά ἐστι· τὴν μυστικὴν προτίθησι τράπεζαν, τὴν ἐξ ἐναντίας τῆς τῶν δαιμόνων τραπέζης ἑτοιμασθεῖσαν. ἐκεῖνοι γὰρ ἦσαν οἱ διὰ B τῆς εἰδωλολατρείας τὴν ζωὴν τῶν ἀνθρώπων ἐκθλίβοντες· ὧν ἐξ ἐναντίας ἡ τοῦ πνεύματος τράπεζα. εἶτα μυρίζει τὴν κεφαλὴν τῷ ἐλαίῳ τοῦ πνεύματος, καὶ προσθεὶς αὐτῷ οἶνον τὸν τὴν καρδίαν εὐφραίνοντα, τὴν νήφουσαν ἐκείνην μέθην ἐμποιεῖ τῇ ψυχῇ, στήσας τοὺς λογισμοὺς ἀπὸ τῶν προσκαίρων πρὸς τὸ ἀΐδιον· ὁ γὰρ τῆς τοιαύτης γευσάμενος μέθης, διαμείβεται τὴν ὠκυμόρου τὸ ἀτελεύτητον εἰς μακρότητα ἡμερῶν, τὴν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ διαγωγὴν παρατείνων. τοιαῦτα ἡμῖν ἐν τῷ ἑνὶ τῶν ψαλμῶν χαρισάμενος, πρὸς C μείζονα καὶ τελεωτέραν εὐφροσύνην ἐν τῷ ἑξῆς ψαλμῷ τὴν ψυχὴν ἐπεγείρει. καὶ εἰ δοκεῖ, καὶ τούτου τὴν διάνοιαν ἡμῖν παραθώμεθα, δι' ὀλίγων ἐπιτεμόμενοι. τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. τί οὖν ξενίζῃ, ὦ ἄνθρωπε, εἰ ὁ Θεὸς ἡμῶν ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. κτίσμα γὰρ ἐκείνου ἡ γῆ, διότι καὶ ποίημα. οὐκοῦν οὐ καινὸν, οὐδὲ ἔξω τοῦ πρέποντος, τὸ εἰς τὰ ἴδια ἐλθεῖν τὸν δεσπότην· οὐ γὰρ ἐν ἀλλοτρίῳ τῷ κόσμῳ, ἀλλ' ὃν αὐτὸς συνεστήσατο, ὁ ἐπὶ θαλασσῶν θεμελιώσας τὴν γῆν, καὶ πρὸς τὴν τῶν ποταμῶν δίοδον εὔθετον αὐτὴν εἶναι παρασκευάσας. ὑπὲρ D τίνος οὖν ἡ παρουσία; ἵνα σε τῶν βαράθρων τῆς ἁμαρτίας ἐκβαλὼν ἐπὶ τὸ ὄρος ἀγάγῃ, βασιλείας ὀχήματι πρὸς τὴν ἄνοδον τῇ κατ' ἀρετὴν πολιτείᾳ χρησάμενον. οὐ γάρ ἐστιν ἀνελθεῖν ἐπὶ τὸ ὄρος ἐκεῖνο, εἰ μὴ τῶν ἀρεταῖς συνοδεύοιτο· ταῖς μὲν χερσὶν ἀθῷος γινόμενος, καὶ μηδεμιᾷ πονηρᾷ πράξει ῥυπούμενος· καθαρὸς δὲ τῇ καρδίᾳ, πρὸς οὐδὲν μάταιον τὴν ψυχὴν ἑαυτοῦ φέρων, μηδέ τινα δόλον τῷ πλησίον ἐξαρτυόμενος. ταύτης τῆς ἀναβάσεως ἔπαθλόν ἐστιν ἡ εὐλογία· τούτῳ δίδωσι τὴν ἀποκειμένην ἐλεημοσύνην ὁ κύριος. αὕτη ἐστὶν ἡ τῶν ζητούντων αὐτὸν γενεὰ, τῶν δι' ἀρετῆς πρὸς ὕψος ἀναβαινόντων,

καὶ ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. τὸ δὲ ἐφεξῆς τῆς ψαλμῳδίας, καὶ αὐτῆς τάχα τῆς εὐαγγελικῆς διδασκαλίας ἐστὶν ὑψηλότερον. τὸ μὲν γὰρ εὐαγγέλιον, τὴν ἐπὶ γῆς τοῦ κυρίου διαγωγὴν, καὶ τὴν ἀναστροφὴν διηγήσατο. ὁ δὲ ὑψηλὸς οὗτος προφήτης, ἐκβὰς αὐτὸς ἑαυτὸν, ὡς ἂν μὴ βαρύνοιτο τῷ ἐφολκίῳ τοῦ σώματος, καὶ ταῖς ὑπερκοσμίοις δυνάμεσιν ἑαυτὸν καταμίξας, τὰς ἐκείνων ἡμῖν φωνὰς διεξέρχεται· ὅτι προπομπεύουσαι τοῦ δεσπότου ἐπὶ τὴν κάθοδον ἐπιστῆναι κελεύουσι τῶν περιγείων ἀγγέλων τῶν τὴν ἀνθρωπίνην ζωὴν πεπιστευμένων, τὰς εἰσόδους, λέγουσαι. ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. καὶ ἐπειδὴ εἰς ὃ ἂν γένηται ὁ τὸ πᾶν ἐν ἑαυτῷ περιέχων, σύμμετρον ἑαυτὸν τῷ δεχομένῳ ποιεῖ· οὐ γὰρ μόνον ἐν ἀνθρώποις ἄνθρωπος γίνεται, ἀλλὰ κατὰ τὸ ἀκόλουθον πάντως, καὶ ἐν ἀγγέλοις γινόμενος, πρὸς τὴν ἐκείνων φύσιν ἑαυτὸν συγκατάγει. διὰ τοῦτο χρήζουσιν οἱ πυλωροὶ τοῦ κεκενωκότος· τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; οὗ χάριν τὸν κραταιὸν αὐτοῖς καὶ δυνατὸν ἐν πολέμῳ ὑποδεικνύουσι, τὸν μέλλοντα πρὸς τὸν αἰχμαλωτίσαντα τὴν ἀνθρωπίνην φύσιν συμπλέκεσθαι, καὶ καταλύειν τὸν ἔχοντα τοῦ θανάτου τὸ κράτος· ἵνα τοῦ ἐσχάτου ἐχθροῦ ἀφανισθέντος εἰς ἐλευθερίαν τε καὶ εἰρήνην ἀνακληθῇ τὸ ἀνθρώπινον. πάλιν διεξέρχεται τὰς ὁμοίας φωνάς. πεπλήρωται γὰρ ἤδη τὸ τοῦ θανάτου μυστήριον, καὶ κατώρθωται κατὰ τῶν πολεμίων ἡ νίκη, καὶ ἐγήγερται τὸ κατ' αὐτῶν τρόπαιον ὁ σταυρός. καὶ πάλιν ἀνέβη εἰς ὕψος αἰχμαλωτεύων τὴν αἰχμαλωσίαν, ὁ δοὺς τὴν ζωήν τε καὶ τὴν βασιλείαν, τὰ ἀγαθὰ ταῦτα δόματα τοῖς ἀνθρώποις. καὶ δεῖ πάλιν ἀνοιχθῆναι τὰς ὑπερκειμένας πύλας αὐτῷ· ἀντιμεταλαμβάνουσι τὴν προπομπὴν οἱ ἡμέτεροι φύλακες, καὶ ἀνοιχθῆναι αὐτῷ τὰς ὑπερκειμένας πύλας διακελεύονται, ἵνα πάλιν ἐν αὐταῖς δοξασθῇ. ἀλλ' ἀγνοεῖται ὁ τὴν ῥυπαρὰν στολὴν τοῦ ἡμετέρου βίου περιβαλλόμενος, οὗ τὸ ἐρύθημα τῶν ἱματίων ἐκ τῆς ληνοῦ τῶν ἀνθρωπίνων κακῶν. διὰ τοῦτο παρ' ἐκείνων ἡ ἐρωτηματικὴ αὕτη φωνὴ πρὸς τοὺς προπομπεύοντας γίνεται. τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; εἶτα, ἡ τούτων ἀπόκρισις, οὐκέτι, ὁ κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ·

A tium, & quærentium faciem Dei Iacob. Huiuſce Pſalmi pars reliqua forſitan Euangelica etiam voce doctrináque ſublimior eſt. *Pſal. 23.* Nam Euangelium Domini cõſuetudinem & vitam, quam egit in terra, & eius reditum in cœlum narrat. Hic autem excelſus Propheta ſupra ſe ipſum egrediens, tanquam corporis onere nihil prematur, infert ſe cœleſtibus poteſtatibus, & voces earum nobis exponit, cum in cœlum redeuntem Dominum ipſæ comitantes, Angelis, qui verſantur in terris, quibúſque in humanam vitam ingreſ- B ſus commiſſus eſt, imperant ad hunc modum: Tollite portas Principes veſtras, & eleuamini portæ æternales, & introibit Rex gloriæ. Et quoniam, vbicumque fuerit ille, qui in ſe ipſo omnia continet, pro ſuſcipientium captu ſe ipſum dimetitur: neque enim ſolum inter homines homo fit, verumetiam, dum inter Angelos verſatur, ad illorum vocem ſeſe demittit: idcirco narrantis ianitores interrogant: Quis eſt *Hebr. 2.* iſte Rex gloriæ? reſpondent ipſis demonſtrántque fortem & potentem in C prælio, qui pugnaturus erat contra illum, qui naturam humanam in ſeruitute captiuam detinebat, & euerſurus eum qui mortis habebat imperium, vt grauiſſimo hoſte ſuperato, genus hominum in libertatem & pacem vindicaret. Rurſum repetit eaſdem voces. Completum enim iam eſt mortis myſterium, & victoria de hoſtibus reportata, & contra ipſos excitatum crucis trophæum. Aſcendit in *Pſal. 67.* altum, captiuam ducens captiuitatem, qui vitam, & regnum, & præclara hæc dona hominibus tribuit. Impoſitæ illi rurſus patefaciendę ſunt portæ. D Occurrunt ei noſtri cuſtodes, & portas iubent recludi, vt in ipſis rurſum gloriam aſſequatur. Verùm non agnoſcunt eum, qui ſordidam vitæ noſtræ *Eſa. 63.* ſtolam indutus eſt, cuius rubra ſunt veſtimenta ex humanorum malorum torculari. Itaque rurſus comites eius vocibus illis interrogantur. Quis eſt iſte Rex gloriæ? Reſpondetur autem non amplius: Fortis, & potens in prælio:

ſed Dominus virtutum, qui mundi A principatum obtinuit, qui ſummatim omnia in ſe collegit, qui priſtinum in ſtatum cuncta reſtituit, ipſe eſt Rex gloriæ. Cernitis, quomodo dulciorem nobis celebritatẽ Dauid effecerit, dum Eccleſiæ hilaritati gratiam immiſcet ſuam. Proinde nos item, quantum poſſumus, imitemur Prophetam in charitate erga Deum, in manſuetudine vitæ, in tolerantia erga illos qui nos odio proſequuntur, vt prophetæ doctrina nobis ad bene beatéque viuendum dux magiſtraque ſit, in Christo Ieſu Domino noſtro, cui gloria B in ſæcula ſæculorum, Amen.

ἀλλὰ κύριος τῶν δυνάμεων, ὁ τοῦ παντὸς ἐξημμένος τὸ κράτος, ὁ ἀνακεφαλαιώσας τὰ πάντα ἐν ἑαυτῷ, ὁ ἐν πᾶσι πρωτεύων, ὁ εἰς τὴν πρώτην κτίσιν ἀποκαταστήσας τὰ πάντα· αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. ὁρᾶτε ὅπως ὑμῖν γλυκυτέραν τὴν ἑορτὴν ὁ Δαβὶδ ἀπειργάσατο, τὴν ἰδίαν χάριν τῇ φαιδρότητι τῆς ἐκκλησίας ἐγκαταμίξας. Οὐκοῦν μιμησώμεθα καὶ ἡμεῖς τὸν προφήτην, ἐν οἷς δυνατόν ἐστι κατορθῶσαι τὴν μίμησιν, ἐν τῇ πρὸς Θεὸν ἀγάπῃ, ἐν τῇ τοῦ βίου πρᾳότητι, ἐν τῇ πρὸς τοὺς μισοῦντας μακροθυμίᾳ· ἵνα γένηται ἡ τοῦ προφήτου διδασκαλία τῆς κατὰ Θεὸν πολιτείας χειραγωγία, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

EIVSDEM DE OCCVRSV Domini, de Deipara virgine & de iuſto Simeone, Oratio.

Laurentio Siſano interprete.

QVI cœleſtium rerum ſenſu, ſapientia atq; intellectu C ſublimis eſt, ac terrenarum rerum deſpectu atque contẽptu excelſus ille Paulus, illa diuinitùs rapi ſolita mens, illa à Chriſto moueri conſueta lingua, pulcherrimus ille velociter atq; celeriter exarantis ſcribæ calamus, qui eleganter eccleſiæ conſcripſit placita atque decreta veritatis, in manu potentis à Deo confectum illud telũ, qui in corde principis mundi tenebrarũ lethale ac mortiferum vulnus inflixit, fulgur illud quod ab Hieroſolymis & circũiacentibus regionibus vſq; D ad Illyricũ, imò verò ad extremos vſq; terminos terræ luxit, illa diuini tonitrui in myſtica Euãgelij rota, quæ per omnẽ orbẽ terræ voluebatur, clariſſima maximéq; ſonora vox: is (inquam) tanquam ex ipſis paradiſi adytis ac penetralibus, vbi arcana illa verba auribus ſuis perceperat, loquẽs: imò verò tanquã ex ipſo ſolio ſublimi & excelſo gloriæ, cui adſiſtit, preuiã & honorificam præſenti ſancto ac dominico diei feſto, ad excipiendum regẽ gloriæ pompam parans, tanquã maximè myſticũ ſenatũ quendam,

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ὑπαπαντὴν τοῦ κυρίου, καὶ εἰς τὴν θεοτόκον, καὶ εἰς τὸν δίκαιον Συμεῶνα λόγος.

Ὁ ΤΗ φρονήσει τῶν οὐρανίων μετέωρος, ὁ τῇ καταφρονήσει τῶν ἐπιγείων μετάρσιος, Παῦλος ὁ θεόληπτος νοῦς, ἡ χριστοκίνητος γλῶττα, ὁ τοῦ ὀξυγράφου γραμματέως ὡραιότατος κάλαμος, ὁ καλλιγραφήσας τῇ ἐκκλησίᾳ τῆς ἀληθείας τὰ δόγματα, τὸ ἐν τῇ χειρὶ τοῦ δυνατοῦ θεοχάλκευτον βέλος, ὃ ἐν τῇ καρδίᾳ τοῦ κοσμοκράτορος τοῦ σκότους καιρίαν ἐμπῆξαι πληγήν, ἡ ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ· μᾶλλον δὲ μέχρι τῶν περάτων τῆς γῆς φαίνουσα ἀστραπή, ἡ τῆς θείας βροντῆς ἐν τῷ μυστικῷ τροχῷ τοῦ εὐαγγελίου, τῷ κατὰ πάσης κυλιομένῳ τῆς οἰκουμένης, ἡ διειδεστάτη καὶ μεγαλόθροος φωνή· οὗτος ὡς ἐξ αὐτῶν τῶν τοῦ παραδείσου ἀδύτων φθεγγόμενος, ἔνθα τῶν ἀρρήτων ῥημάτων αὐτήκοος γέγονε· μᾶλλον δὲ ὡς ἐξ αὐτοῦ τοῦ θρόνου τοῦ ὑψηλοῦ τε καὶ ἐπηρμένου τῆς δόξης ἔνθα παρίσταται· προπομπὴν ἔντιμον τῇ παρούσῃ ἁγίᾳ καὶ δεσποτικῇ ἑτοιμαζόμενος ἑορτῇ, πρὸς ὑποδοχὴν τοῦ βασιλέως τῆς δόξης· καθάπερ τινὰ μυστικωτάτην σύγκλητον, τὴν τῆς ἐκκλη-

ἐκκλησίας λαὸν, τὸ βασίλειον ἱεράτευμα σχεδὸν, ὡς ἄν τις εἴποι, παρασκευάζει τῆς εὐσχήμονος πολιτείας τὴν τάξιν, εὔρυθμόν τε καὶ εὐαρμοστίαν διαγραφόμενος φησὶν, ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσίν· ἀλλὰ τῇ κακίᾳ νηπιάζετε· ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε. οὕτω γὰρ τῷ παντελείῳ καὶ αἰωνίῳ Θεῷ, ᾧ τὴν πανήγυριν ἄγομεν σήμερον, τῷ δι᾽ ἡμᾶς κατὰ σάρκα ἐπ᾽ ἐσχάτων νηπιάσαντι· ἐξ οὗ πᾶν δώρημα καὶ τελειωτικὸν, τῷ τὴν κατὰ φύσιν ὑπερφυῶς τῆς ἀρετῆς τελειότητα καὶ ἐν τῷ ἀνθρωπίνῳ ἑαυτοῦ καταστήματι ἐπιδειξαμένῳ, σύσσωμοί τε καὶ συμμέτοχοι γενησόμεθα, καὶ πρὸς τιμὴν αὐτοῦ καὶ δόξαν ἡ ἐκκλησίας ἔσται συνέλευσις. οὕτω γὰρ τὴν ἀρτιγενῆ αὐτοῦ σωματικῶς θεοφάνειαν ὁ προφητικὸς αἰνιττόμενος λόγος, τοῖς χαρακτῆρσι τῆς θεοπρεποῦς αὐτοῦ ὑπογράφει τελειότητος. δι᾽ ὅτι· πρὶν ἢ γνῶναι φησὶ τὸ παιδίον καλὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, ἐκλέξεται τὸ ἀγαθὸν, ὅπερ ἄκρας καὶ τελειοτάτης διακρίσεώς τε καὶ ὄντως φρονήσεως γνώρισμα· πρὸς ὅπερ ἡμᾶς ὁμοιότητα διασκευάζων ὁ μέγας ἀπόστολος, τὸ προτεθὲν αὐτοῦ θεόπνευστον λόγιον ἔφησεν· ὡς ἐν τούτῳ τῆς κατ᾽ εἰκόνα τε καὶ ὁμοίωσιν θεοτευξίας ἐμφερῶς ἐν ἡμῖν γνωριζομένης, καὶ τῆς τοῦ πρωτοτύπου κάλλους ὑπεραγιότητος γινωσκομένης. καθάπερ γὰρ βασιλεῖ τῶν ὑπ᾽ αὐτοῦ στρατευμάτων προπεμπτήριον ἑτοιμαζομένων μεγαλαυχίαν, χρυσορόφους τε καὶ ἐξειλεγμένους εἶναι τοὺς πρὸς δορυφορίαν αὐτοῦ συνειλεγμένους προσήκει, καὶ τῆς ἐκείνου θέας τὸ ἐκτύπωμα εὐσημότατα περιβεβλῆσθαι· οὕτως ἡμᾶς ἀναγκαῖον μεταμορφουμένους τῇ ἀνακαινίσει τοῦ νοὸς ἡμῶν, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθεμένους, καὶ τῆς θείας εἰκόνος τὴν ὁμοίωσιν, κατὰ τὸ ἐφικτὸν ἀνθρώποις ἐν ἑαυτοῖς περιφέροντας, οὕτως ἐν ταῖς σωτηρίοις καὶ πνευματικαῖς ἀπαντᾷν ἑορταῖς, ἵνα ἔσωνται ἡμῖν κατὰ τὸν τοῦ προφήτου λόγον,

A eccleſiæ (nempe) populum regium illud ſacerdotium, quàm fieri ac dici poteſt exactiſſimo & exquiſitiſſimo ordine, ac quaſi in quincuncem redacto parans & inſtruens, ac benè cõpoſitæ atque conſtitutę vitæ rationis ordinẽ concinnum, aptum & conuenientem præſcribens, Fratres, inquit, Nolite effici pueri ſenſibus, ſed malitia paruuli eſtote: animo verò ac mente perfecti eſtote. Sic enim cum Deo vndique perfecto ac ſempiterno (cui ſolennem hodie cœtum atque conuentum agimus atque celebramus, qui propter nos ſecũdum carnem B quo vltimis temporibus infans fuit, omne donum atque perfectio exiſtit, qui naturalem virtutis perfectionem etiam in humana ſua conditione ac ſtatu excellenter ac mirificè demonſtrauit,) eiuſdem vnà corporis, participes atque conſortes euademus, & eccleſiæ conuentus illi honori erit, & gloriam eius augebit. Sic enim nuper genitam eius in corpore diuinam apparitionem oratio prophetica inuolutis ac tectis verbis ſignificans, ſignis & figuris auguſtæ ac diuinæ perfectionis eius per hæc ver- C ba deſcribit: nempe, Priuſquàm noſſet, inquit, puellus bonum & malum, non obtemperat improbitati, eliget bonum. quæ res ſummi perfectiſſimíque iudicij, diſcretionis, ac veræ prudentiæ ſignum & indicium eſt: ad cuius ſimilitudinem nos inſtruens magnus Apoſtolus, propoſitum diuino inſtinctu edidit oraculum: quaſi per hoc ea, quæ iuxta ſimilitudinem & imaginem inſtituta eſt Dei fabricatio in nobis ex propinquo commodè ac propriè indicetur, primitiuæque pulchritudinis ſanctitas excellens agnoſcatur & ani- D maduertatur. Quemadmodum enim, quum regem qui ſub eo ſunt exercitus magnifica pompa comitari atque producere parant, auro tectos atque delectos eſſe, & formæ illius clariſſimè expreſſam imaginem præ ſe ferre atque geſtare conuenit eos, qui ad ſatellitium & cuſtodiam corporis eius collecti ſunt: eodem modo neceſſe eſt, vt nos renouatione mentis & animi noſtri noſmetipſos transformantes, & veterem hominem deponentes, & quoad homines id aſſequi poſſunt, diuinæ imaginis ſimilitudinem in nobis circumferentes atque geſtantes, ita tandem in ſalutaribus & ſpiritualibus diebus feſtis prodeamus & conueniamus, vt redigantur nobis, iuxta Prophetæ orationem,

1. Cor. 14. 20.

Eſa. 7. 16.

Comparatio à regũ ingreſſu.

EEEE

Zach.8.19. ieiunium quartum, ieiunium quintum, ieiunium ſeptimum, & ieiunium decimum in lætitiam & bonos dies feſtos. vbi ieiuniũ ſublimiore nimirum atque excelſiore ac myſtico ſenſu intelligendum eſt, verſa atque tranſlata ſignificatione ad temperãtiam & continentiam ab omnibus tum carnis tum ſpiritus ſordibus & inquinamentis. Nam per quaternarium & quinariũ numerum, itémque per ſeptenariũ & denarium omnis carnalis, eáq; quæ ſenſibus deceptioni ac fraudi obnoxiis & opportunis familiaris & addicta eſt, atque cum præſenti mundo concluditur, ſpecies ac repræſentatio ſignificatur. Nam eam, quæ & magis corporea & carnis amãs eſt, vitæ tranſactionem per quaternarium numerum accipimus, quippe corporibus ex quatuor elementis contemperatis: at ea, quæ per ſenſus fit, ad lapſum facilitas atque procliuitas (quippe quum numero quinque ſint) quinarij nomine deſignatur. Septenarius verò numerus etiam Solomoni inferæ naturæ æuum, quod per ſeptimanas in ſemetipſum reuoluitur & in orbem redit, ſignificare ſolet. Denarius autem numerus ab externis ad excelſiorem in-
Matt.6.22 tellectum & ſentẽtiam myſticam tranſlatione facta, indicat interni hominis ſenſuũ expurgationem, vt oculo mentis & animi ſimplice atque pellucido exiſtente, totum corpus lucidum ſit, vt inquit ſanctum Euangelium: animæ item aures diuino gaudio atque lætitia repleantur, quam vt aures ſuæ percipiant, etiam magnus ille Dauid precatur: guſtandi autem vis & facultas eius in Domini benignitate atque commoditate exerceatur, proclamat, & in perceptione Chriſti ſua-
1.Ioã.1.1. uis odoris, quem diuinus Paulus redolebat, odorandi & olfaciendi habitus conſtituatur, & internis diſcretionis & iudicij manibus contrectetur verbum vitæ, vt tonitrui filius dicit. Nam intellectualium atque ſpiritualium ſenſuum in his exercitatio per abſtinentiam & alienationem iis contrariorum effici ſolet ieiunium, quod apud Deum laudatur, atque hac ratione proſperè nobis ſuccedit conatus, & contingit, vt malitia quidem infantes ſimus, prudentiæ verò, quæ cùm Deo
Pſal.45.5. coniuncta eſt, perfectam cognitionem & habitum aſſequamur. Hoc modo nos irrigans Apoſtolicarum ſimul ac Propheticarum doctrinarum de ſcaturiginibus

A νηστεία ἡ τετάρτη, καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ ἑβδόμη, καὶ νηστεία ἡ δεκάτη εἰς εὐφροσύνην καὶ εἰς ἑορτὰς ἀγαθάς· τῆς νηστείας ἀναγωγικῶς δηλαδὴ νοουμένης, ἐν τῇ τῆς ἀποχῆς τε καὶ ἐγκρατείας παντὸς μολυσμοῦ, καὶ σαρκός τε καὶ πνεύματος τρόπῳ. διὰ γὰρ τετράδος τε καὶ πέμπτης, καὶ μὴν ἑβδόμης τε καὶ δεκάτης πᾶσα σαρκική τε καὶ τῇ εὐεξαπατήτῳ τῶν αἰσθήσεων προσφυής, καὶ τῷ παρόντι βίῳ συγκλειομένη σημαίνεται ἔμφασις. τὴν γὰρ σωματικωτέραν τε καὶ φιλόσαρκον
B διαγωγὴν διὰ τῆς τετράδος μανθάνομεν, ὡς ἐκ τεσσάρων στοιχείων τῶν σωμάτων συγκεκραμένων· τὸ δὲ διὰ τῶν αἰσθήσεων εὐόλισθον, ὡς πέντε καθεστώτων, τὸ τῆς πέμπτης ὄνομα ὑπαινίσσεται. ἡ ἑβδόμη δέ, καὶ κατὰ τὸν Σολομῶντα τὸν εἰς ἑαυτὸν ἑβδοματικῶς ἀνακυκλούμενον τῆς κάτω λήξεως αἰῶνα ἐμφαίνειν ἐπίσταται. ἡ γε μὴν δεκάτη τοῦ ἐντὸς ἀνθρώπου τὴν τῶν αἰσθήσεων κάθαρσιν πρὸς τὰ ἔξωθεν ἀνηγμένου ὑποδείκνυσιν· ὥστε τὸν τοῦ νοῦ ὀφθαλμὸν ἁπλοῦν τε καὶ διαυγῆ ὑπάρχειν,
C ἵνα ὅλον τὸ σῶμα φωτεινὸν ἔσται, ὡς φησι τὸ ἅγιον εὐαγγέλιον, ἥ τε τῆς ψυχῆς ἀκοὴ τῆς θείας πληροῦται ἀγαλλιάσεώς τε καὶ εὐφροσύνης, ἣν ἀκουτισθῆναι καὶ Δαβὶδ ὁ μέγας ἐπεύχεται· τὴν δὲ γευστικὴν αὐτῆς δύναμιν ἐν τῇ τοῦ κυρίου ἐγγυμνάσασθαι χρηστότητι, ὡς ὁ ψάλλων ἐν προφήταις ἀναφθέγγεται, καὶ ἐν ἀντιλήψει τῆς τοῦ Χριστοῦ εὐωδίας, ἣν ὁ θεῖος Παῦλος ἀπέπνεε, τὴν ὀσφραντικὴν ἕξιν καθίστασθαι· καὶ ταῖς ἔσω τῆς διακρίσεως χερσὶ ψηλαφᾶν τὸν λόγον τῆς ζωῆς, ὡς ὁ τῆς βροντῆς υἱὸς διηγόρευσεν. ἣ γὰρ ἐν
D τούτοις τῶν νοητῶν αἰσθήσεων γυμνασία, ἐν τῇ τῶν ἐναντίων τούτοις ἀποχῇ τε καὶ ἀλλοτριώσει τὴν ἐπαινουμένην παρὰ Θεῷ νηστείαν ἀπεργάζεσθαι πέφυκεν· οὕτω τε κατορθοῦν ἡμᾶς προσγίνεται τὸ τῇ κακίᾳ μὲν νηπιάζειν, τῆς κατὰ Θεὸν δὲ φρονήσεως ἐν τελειότητι γίνεσθαι. οὕτως ἡμᾶς ἀρδεύουσα ἡ τῶν ἀποστολικῶν τε καὶ προφητικῶν διδαγμάτων ἐκ τῶν κρουνῶν

τοῦ πνεύματος συῤῥέουσα μεγαλειότης, καὶ τὸν τοῦ Θεοῦ ποταμὸν τῶν μυστικῶν ὑδάτων πληρώσασα, τὴν ἐπουράνιον πόλιν τοῦ Θεοῦ, τὴν ταῖς ὑπερκοσμίοις συγκροτουμένην δυνάμεσιν τοῖς τοῦ ποταμοῦ τούτου ὁρμήμασιν εὐφραίνειν ἐπίσταται, ὡς τῆς ψαλμῳδίας βοώσης ἠκούσαμεν. καὶ γὰρ ἡ τῶν ἄνω πνευμάτων ἁγία ὁμήγυρις, τῇ τῶν ἀνθρώπων σωτηρίᾳ λίαν ἐφήδεται. οὕτω γὰρ κοινῇ πανηγυρίζειν σὺν τοῖς ἐπιγείοις τὰ οὐράνια εἴωθεν, τὴν ἀγγελοπρεπῆ πολιτείαν τῶν ἐπὶ γῆς ἀσπαζομένων. ὅτε γὰρ ὁ Θεὸς ἡμῶν ἐστὶν, ὃν προδεικτικῶς ὁ προφήτης διήγγειλεν, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, καὶ τὴν ἄνω μακαριότητα ἐπὶ γῆς φυτευομένην ἐθεάσαντο ἄγγελοι, δόξα ἐν ὑψίστοις Θεῷ ἀνεφθέγγοντο, καὶ ἐπὶ γῆς εἰρήνην εὐηγγελίζοντο, θείας εὐδοκίας ἐν ἀνθρώποις γεγενημένης· οὕτω τὸ τῆς θείας λειτουργίας ἐξαίρετον, καὶ ὄντως καθαρόν τι καὶ μονότροπον αὐχοῦντες οἱ τῶν ἁγίων ἀγγέλων μακάριοι θίασοι, τῆς ἀληθοῦς ἁγιότητος ἐν ἡμῖν ὁρῶντες τοὺς χαρακτῆρας, οὐκ ἀποβλήτους ποιήσονται κοινωνοὺς τῆς ἀκηράτου εὐφροσύνης συμπαραλήψεσθαι· καθάπερ τὸν ῥυπαρᾷ ἐστολισμένον ἐσθῆτι ἀπόκριτον τοῦ θείου γάμου ὁ τῆς εὐαγγελικῆς παραβολῆς ἐποιήσατο λόγος. καὶ γὰρ ὅτε κατὰ τὸν ἀρχέτυπον καιρὸν, ὡς ἄν τις εἴποι, τῆς παρούσης ἑορτῆς ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων καὶ μορφὴν δούλου ἐλόμενος, ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων γενόμενος, τὴν νομικὴν πληρῶν διαγόρευσιν τεσσαρακοντα ἡμερῶν ὑπάρχων βρέφος, ὁ ἀΐδιος λόγος ἐπὶ τὸν ναὸν ἐχώρει σὺν τῇ τεκούσῃ· καὶ τῇ καταλλήλῳ τῆς διατεταγμένης θυσίας διαγωγῇ, αἱ τῶν ἀσωμάτων ταξιαρχίαι δουλικῶς τὸν αὐχένα ὑποκλίνουσαι, ἐκ τοῦ ἀοράτου θεοπρεπῆ τὴν προπομπὴν ἡτοιμάζοντο, καὶ τὸ τῆς ἀῤῥήτου σοφίας ἐξεθείαζον πέλαγος· καὶ τὴν πλήρωσιν τῆς προχειροτέρας τοῦ νομικοῦ γράμματος διατάξεως, φανέρωσιν τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι ἐξεδέχοντο· οὗ τινος ἡμεῖς τὴν ἀνάμνησιν ἑορτάζοντες σήμερον,

A ſpiritus confluens ſenſuum & intellectuum maieſtas, & amnem Dei myſticis aquis replens cœleſtem ciuitatem Dei, quæ ex ſupramundanis poteſtatibus conflatur, huius amnis fluctuum impetu exhilarare ſcit, vt pſalmodiam clamantem audiuimus. Etenim ſanctus ſupernorum ſpirituum cœtus, hominum ſalute vehemẽter delectatur. nam ita cœleſtes ſpiritus communiter vnà cum terrenis dies feſtos concelebrare ſolent, terreſtribus nimirum angelicam vitam amplectentibus. Quum enim Deus noſter hic, quem ante demon- *Baruc. 3.*
B ſtrando Propheta manifeſtauit ac diuulgauit, in terra viſus, & vnà cum hominibus conuerſatus eſt, ac ſuperam beatitudinem in terra plantari Angeli viderunt, Gloria in excelſis Deo proclamabant, & in terram pacis bonum nuntium apportabant: (quippe quum diuina bona voluntas & affectio in hominibus acquieuiſſet) atque ita diuini officij atque miniſterij eximiam ac verè puram, integrámque & ſingularem rationem laudantes & extollentes beati ſanctorum Angelorum cœtus, veræque ſanctitatis in nobis ſigna cernen- *Luc. 2.*
C tes, non aſpernandos & repudiandos, (quemadmodum Euangelicæ ſimilitudinis ſermo ex nuptiis diuinis abſtractum & eiectum facit eum, qui veſte ſordida amictus erat) ſed dignos iudicabunt, qui ſempiternæ lætitiæ ſocij adſumamur. Etenim quando circa primitiuum & originale, (vt ſic dixerim) tempus præſentis diei feſti inſtituti, is, qui forma diuina præditus erat, & formam ſerui ſumpſerat, mediator & interceſſor inter Deum & homines factus, legis præceptum *Matth. 22.*
D exequens, quadraginta dies natus infans, ſempiternum illud verbum vnà cum genitrice conuenientem atque præſcriptam hoſtiam portante ad templum pergebat, incorporeorum ſpirituum ordines ſeruilem in modum ceruicem flectentes, inuiſibiliter Deo conuenientem pompam parabant, & ineffabilis ſapientiæ pelagus venerabantur, & eius, quæ primo intuitu obuia, vulgóque nota eſt, legalis literæ conſtitutionis expletionem & exequutionem pro manifeſtatione myſterij, in Deo qui omnia creauit, abſconditi expectabant: cuius nos myſterij memoriam hodie celebrantes,

ſpiritualibus ſpeculationibus, quemadmodum incorporeæ mentes & ſpiritus, nos oblectemus, & diuinorum miraculorum maieſtatem prædicatione atque laudatione celebrantes, ſocij illorum dignitatis efficiemur: non legali vmbra animi oculum obſcurantes, ſed, iuxta dictum ſapientiſſimi Pauli, detecta facie nimirum gloriam Dei quaſi in ſpeculo contemplantes &
2. Cor. 3. inſpicientes. Nam quum lex dicat,
Exod. 11. Omne maſculinum, quod aperiat vuluam ſanctificari, oportere autem eam
Leuit. 12. mulierem quæ recens edito partu maſculæ prolis mater euaſerit, ſpatio quadraginta à partu dierum purificatam, ita tandem cum certa atque ſtatuta hoſtia accedere ad templum Dei: illi quidem, qui velamentum in corde ſuo, dum legunt vetus teſtamentum, circumferunt, iiſdem quotannis hoſtiis, vt ita dicam (quæ nunquam accedentes perfectos reddere poſſunt,) exiſtimare debent ſtultè & imperitè ſe eiuſmodi conſtitutionem exequi atque implere. Nos autem, quibus, quum
Hebr. 9. ad Deum conuerteremur, eiuſmodi velamen ademptum eſt, qui ſemel in conſummatione æui ad reiectionem & reprobationem peccati per hoſtiam eius manifeſtatum fuiſſe magnum pietatis myſterium credidimus, prout dignum eſt lumine veritatis, prælucente face ſpiritus præſentis ſolennis diei feſti atque conuentus myſterium conſiderare atque ſpectare oportet, paulò rem altius repetendo ſpeculationem atque conſiderationem aggredientes: & tamen illud certè prius coniecturis & ſignis aſſequentes atque notantes propoſitum legis præceptum, prout, re quæſita atq; diſceptata efficitur atque conſequitur, in ſolo Deo carnem induto diſtinctè, diſertè, deſtinatè ſimul atque ita certo, vt nemini inſuper alteri contingere potuerit, impleri videri. Solus enim ille ineffabiliter conceptus, & inexplicabiliter in vtero geſtatus, eam, quæ per nuptias prius aperta non fuerat, virginalē vuluam aperuit, etiam poſt nouū & admirabilem progreſſum illæſa ſeruans & inuiolata ſignacula virginitatis, & ſolus maſculus ſpiritualiter eſſe creditus eſt: quippe quum nullam contraxerit muliebris peccati cōtagionem, vnde etiam verè ſanctus, vt par eſt, vocatus eſt. Quemadmodum etiam Gabriel

A πνευματικαῖς θεωρίαις κατὰ τὰς ἀσωμάτους νόας τρυφήσωμεν, καὶ τὴν θείων θαυμασίων τὸ μεγαλεῖον δοξάζοντες, κοινωνοὶ τῆς ἐκείνων ἀξίας ἐσόμεθα· οὐ τῇ νομικῇ σκιᾷ τὸ ὄμμα τῆς ψυχῆς ἀμαυρούμενοι, ἀλλὰ τὸ δὴ λεγόμενον τῷ σοφωτάτῳ Παύλῳ, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι. τοῦ γὰρ νόμου λέγοντος, πᾶν ἀρσενικὸν διανοῖγον μήτραν ἁγιάζεσθαι, δεῖν δὲ τὴν ἀρτιτόκον γυναῖκα ἄρσενος παιδὸς γενομένην μητέρα, τεσσαράκοντα ἡμερῶν μετὰ
B τὸ τεκεῖν καθαρθεῖσαν διαστήματι, οὕτω μετά τινος εὐκρινοῦς ὡρισμένης θυσίας ἐπὶ τὸ τοῦ Θεοῦ προσιέναι τέμενος· οἱ μὲν τὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης τῇ καρδίᾳ αὐτῶν περιφέροντες, ταῖς αὐταῖς κατ' ἐνιαυτὸν θυσίαις, ἵν' οὕτως εἴπω, (αἳ οὐδέποτε δύνανται τοὺς προσερχομένους τελειῶσαι) νηπιοφρόνως τὴν τοιαύτην νομοθεσίαν νομιζέτωσαν πληροῦν. ἡμῖν δὲ, οἷς ἐν τῇ πρὸς Θεὸν ἐπιστροφῇ τὸ τοιοῦτον περιῄρηται κάλυμμα, ἅπαξ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας
C αὐτοῦ πεφανερῶσθαι τὸ μέγα τῆς εὐσεβείας πεπιστευκόσι μυστήριον, ἐπαξίως τοῦ θείου τῆς ἀληθείας φωτὸς, τῇ δᾳδουχίᾳ τοῦ πνεύματος τὸ τῆς παρούσης πανηγύρεως θεωρητέον μυστήριον, μικρὸν ἄνωθεν προσβαλλούσης τῷ θεωρήματι, κἀκεῖνό γε μὴν εὐχερῶς προσημειουμένοις· ὅτι κατὰ τὸ τῆς ἐξετάσεως ἀκόλουθον τὸ προτεθὲν τοῦ νόμου θέσπισμα ἐπὶ μόνῳ τῷ σαρκωθέντι Θεῷ ὡρισμένως τε καὶ ἀνεπισυμβάτως ἑτέρῳ ὁρᾶται πληρούμενον. μόνος γὰρ αὐτὸς ἀρρήτως συλληφθεὶς, καὶ ἀφράστως κυηθεὶς, μὴ προδιανοιγομένην
D τῷ γάμῳ τὴν παρθενικὴν μήτραν ἀνέῳξε, τὰ σήμαντρα τῆς παρθενίας ἀπαράτρωτα καὶ μετὰ τὴν παράδοξον πρόοδον φυλαξάμενος, καὶ μόνος ἄρρεν πνευματικῶς εἶναι πεπίστευται, μηδὲν τῆς θηλυπρεποῦς ἁμαρτίας ἐπαγόμενος, ὅθεν καὶ ὄντως ἅγιος ἐπαξίως κέκληται· ὥσπερ καὶ Γαβριὴλ

νὰ τοῦ ζωοποιοῦ τόκου τῇ θεοτόκῳ φέρων εὐαγγέλια, οἱονεὶ τὴν περὶ τούτου προδιωρισμένην τε καὶ εἰς αὐτὸν μόνον ὁρῶσαν νομοθεσίαν ἐν ἀναμνήσει ποιούμενος. διὸ καὶ τὸ γεννώμενον ἅγιον, ἔλεγε, κληθήσεται υἱὸς Θεοῦ· ὡς κυρίως τῆς τοῦ ἁγίου ἁρμοζούσης ἐπωνυμίας τῷ τὴν παρθένον μήτραν τῇ θείᾳ διανοίξαντι θαυματουργίᾳ. καὶ ἐπὶ μὲν τῶν ἄλλων πρωτοτόκων ἅγια ταῦτα κληθήσεσθαι βεβασανισμένως τὰ βάθη τοῦ νόμου ἐγκύψασα ἡ εὐαγγελικὴ ἀκρίβεια διηγόρευσεν, ὡς τῇ τοῦ Θεοῦ ἀφιερώσει τὸ οὕτω καλεῖσθαι κληρωσαμένων· ἐπὶ δὲ τοῦ πρωτοτόκου πάσης κτίσεως, ἅγιον τὸν γεννώμενον ὁ ἄγγελος εἴρηκεν, ὡς τοῦτο κυρίως ὑπάρχων, καὶ τὴν ὄντως ἁγιότητα ἐν τῇ ἀποπομπῇ τῆς κακίας, καὶ τῇ τοῦ ἀγαθοῦ ἐπιλογῇ ἅμα τῷ γεννηθῆναι, ὥς φησιν ὁ προφήτης, ἐπιδειξάμενος. ἀλλ' ἐπαναχτέον ἐπὶ τὴν θάλασσαν τῆς θεωρίας, ὡς ἡ θεία προστάσσει τῷ νομοθέτῃ φωνή, τῆς τοῦ πνεύματος χάριτος, ὡς ἐν στύλῳ πυρὸς καὶ νεφέλης, τῇ τῶν γραφῶν λαμπρότητι τοῦ ἐνθέου τῆς ἐκκλησίας στρατοπέδου προηγουμένης, ἵνα τῇ ῥάβδῳ τῆς δυνάμεως τῇ ἀποστελλομένῃ ἐκ τῆς ἄνω Σιών, ὡς ὁ ψάλλων φησίν, δι' ἧς οἱ ἐχθροὶ κυριεύονται, τὸ τοῦ γράμματος περάσαντες πέλαγος, ἔνθα καὶ ἔνθα διηρημένον ἐν τῇ εὐκρινεῖ διαβάσει τῶν νοημάτων, τὸ Αἰγύπτιον τῶν ἀπειθούντων τῇ χάριτι διαδράσωμεν φρόνημα, συγκλυσθέντων αὐτοῖς τῆς ἀληθείας τοῖς ῥείθροις· οἷς διὰ σπουδῆς ἐστιν, ἐμποδίζειν ἡμῖν τὴν ἐπὶ τὴν πνευματικὴν γῆν τῆς ἐπαγγελίας τοῦ εὐαγγελίου ὁδόν· ἐθέλειν τε ἐν τῇ σιδηρᾷ καμίνῳ τοῦ γράμματος (ὅπερ ἡ Αἴγυπτος ὠνόμασται) προσμένειν ἡμᾶς τῷ πηλῷ καὶ τῇ πλινθείᾳ δουλεύοντας, τουτέστι ταῖς σωματικαῖς τοῦ νόμου παρατηρήσεσιν. ἔφη τοίνυν τῷ Μωϋσῇ ἐν Αἰγύπτῳ ὁ τῶν ὅλων Θεός, ἤδη τὴν κατὰ τῶν πρωτοτόκων Αἰγύπτου διορισάμενος πληγήν· ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενὲς διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ἰσραήλ, ἀπὸ ἀνθρώπου ἕως κτήνους. ἧς τινος θείας νομοθεσίας τὸ συνεσταλμένον, ὥσπερ ἐξαπλώσας ὁ μακάριος Μωϋσῆς ἐν τῇ πρὸς τὸν λαὸν διαλέξει ἀποφαίνεται·

A bonum viuifici partus Deiparæ nuntium apportans, quaſi ad mentem & memoriam redigens eam, quæ de illo tum prædeſtinata erat, tum ad eum ſolum ſpectabat, legis conſtitutionem. Quamobrem etiam, quod naſcetur ſanctum, inquiebat, vocabitur filius Dei: quippe propriè ſancto cognomento ei conueniente, qui mirifica atque diuina operatione vuluam aperuit virginalem. Atque de aliis quidem primogenitis animalibus diligenter & exquiſitè profunditatem legis inſpiciens, diligens & accurata doctrina Euangelica
B ſancta hæc vocatum iri dixit, quippe ex eo, quòd Deo conſecrarentur ac dedicarentur, hoc vocabulum ſortita atque adepta: de illo verò qui omnis creaturæ primogenitus fuit, ſanctum eum qui naſceretur, Angelus dixit, vt qui propriè is eſſet qui vocaretur, & veram ſanctitatem per reiectionem malitiæ & electionem bonitatis ſimul ac natus eſt, vt inquit Propheta, in ſeſe declaraſſet. Verùm redeundum eſt ad mare ſpeculationis, vt diuina vox imperat legiſlatori, gratia Spiritus, vt in co-
C lumna ignis & nubis, ſplendore ſcripturarum diuino numine afflatum exercitum eccleſiæ præcedente, vt virga virtutis, quæ emittitur ex ſupera Sione, vt pſalmographus inquit, per quam inimici in poteſtatem rediguntur, literæ pelagus ab hac & ab illa parte vtrinque diductum atque diuiſum per diſtinctum ac dilucidum intellectuum tranſitum tranſgreſſi, Ægyptium ſenſum gratiæ non credentium effugiamus, illis ipſis veritatis vndis & fluctibus ſubmerſis, qui ſtudent nos Euangelij itinere ad ſpiritualem terram promiſſio-
D nis pergentes prohibere & impedire, voluntque nos ad ferreum literæ fornacem, (quæ res Ægyptus nominata eſt) id eſt, luto fingendo, lateribúſque coquendis, id eſt, corporalibus legis obſeruationibus ſeruientes, manere. Dicebat igitur ſummæ rerum Deus Moyſi in Ægypto, quum iam plagam illam & pœnam aduerſus Ægypti primogenita ſtatuiſſet: Sanctifica mihi omne primogenitum, primóque partu editum, quod aperit omnem vuluam in filiis Iſraël ab homine vſque ad pecus. Cuius diuinæ conſtitutionis complicatam & inuolutam ſententiam, tanquam explicans & exponens quum populum alloqueretur beatus Moyſes,

Et accidet, inquit, quum dominus Deus tuus introduxerit te in terram Chananæorum, quemadmodum iurauit tibi & patribus tuis dum dicebat, Et dabo tibi eam; ſegregabis omne quod aperiet vuluam, maſcula (videlicet) domino: & omne aperiens vuluã ex boum armentis, aut in pecoribus tuis, quæcumque tibi nata fuerint, maſculina domino dedicabis. Omne autem aperiens vuluam aſinæ, oue cõmutabis: quòd ſi non cõmutaueris, redimes illud, & omnem primogenitum filiorum tuorũ redimes, id eſt, pro eo pretium dabis quo redimatur. Sic enim in libro Numerorum diuinum oraculũ exponit atque declarat, verba faciens ad eum, qui ſummum ſacerdotiũ nactus erat: Et omne quod aperit vuluam de omni carne quæ offeruntur Domino ab homine vſque ad pecus, tibi erit: prçterquam quod pretio redimentur primogeniti hominum, atque etiã redimi ſines primogenita quadrupedum immũdarum. Atque redemptio (hæc eſt:) à menſtruo redimi patieris, pretij æſtimatio eſt argenti quinque ſiclorũ iuxta ſiclum ſanctum. Verumtamen in primo natos vitulos & primogenitas oues & capras redimi nõ ſines: ſancta enim hæc & pura ſunt: & ſanguinem eorum altari adhibebis. Enimuerò iam diuina vox cum immundis quadrupedibus ſimul & coniunxit & vnà numerauit atque recenſuit primogenitos Iſraëlis: quippe qui eam, quæ reuerà puritas & ſanctitas eſt, per eum, qui ſecundum legem exercebatur, cultum non haberent, etiamſi ſanctificari eos deſtinatione atque attributione legalis cõſtitutionis moris erat. Nam ſimiliter atque pro iis quæ in ſacrificiis reijci ac reprobari ſolebant, redemptionis pretiũ pro primogenitis hominum lege diuina apud eos ſancitum erat: quippe quum is, qui apud Iudæos erat minus ratione nixus ſtatus, indignus eſſet qui rationalem cultum offerret, & ad maximè myſticum noui teſtamenti altare pro ſpirituali holocauſto adduceretur. Pretia vero redẽptionis erant, veluti ipſi conuenientia, vt quæ ſolita eſſet offerre ſacrificia quæ ex lege fiunt per ſanguinem (quæ ſacrificia Eſaias Propheta, tanquam ex perſona Dei loquens, ne requiſiuiſſe quidem de manibus eorum affirmat,) quippe ad ſpiritualem nimirum perfectam & abſolutam conſecrationem & initiationem mente

A καὶ ἔσται ὡς ἂν εἰσαγάγῃ σε κύριος ὁ Θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσέν σοι καὶ τοῖς πατράσι σου, καὶ δώσω σοι αὐτήν, ἀφοριεῖς πᾶν διανοῖγον μήτραν τὰ ἀρρενικὰ τῷ κυρίῳ· καὶ πᾶν διανοῖγον μήτραν ἐκ τῶν βουκολίων, ἢ ἐν τοῖς κτήνεσί σου, ὅσα ἂν γένηταί σοι, τὰ ἀρρενικὰ τῷ κυρίῳ· πᾶν δὲ διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτῳ· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό, καὶ πᾶν πρωτότοκον τῶν υἱῶν σου λυτρώσῃ, τουτέστι, λύτρα δώσεις ὑπὲρ αὐτοῦ. οὕτω γὰρ ἐν τῇ βίβλῳ
B τῶν ἀριθμῶν ὁ θεῖος σαφηνίζει χρησμός, τῷ τῆς ἀρχιερωσύνης ἐπειλημμένῳ διαλεγόμενος· καὶ πᾶν διανοῖγον μήτραν ἀπὸ πάσης σαρκὸς ἃ προσφέρουσι τῷ κυρίῳ, ἀπὸ ἀνθρώπου ἕως κτήνους, σοὶ ἔσται· ἀλλ' ἢ λύτροις λυτρωθήσεται τὰ πρωτότοκα τῶν ἀνθρώπων, καὶ τὰ πρωτότοκα τῶν κτηνῶν τῶν ἀκαθάρτων λυτρώσῃ. καὶ ἡ λύτρωσις αὐτοῦ· ἀπὸ μηνιαίου λυτρώσῃ ἡ συντίμησις, ἀργυρίου πέντε σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον· πλὴν τὰ πρωτότοκα τῶν μόσχων, καὶ τὰ πρωτότοκα τῶν προ-
C βάτων, καὶ τῶν αἰγῶν οὐ λυτρώσῃ· ἅγια γάρ ἐστι· καὶ τὸ αἷμα αὐτῶν προσχέεις πρὸς τὸ θυσιαστήριον. ἤδη μὲν οὖν τοῖς ἀκαθάρτοις τῶν κτηνῶν συμπαρέζευξέ τε καὶ συγκατέλεξε τοῦ Ἰσραὴλ τὰ πρωτότοκα ἡ θεία φωνή· ὡς τὸ ὄντως κεκαθαρμένον καὶ ἅγιον ἐν τῇ κατὰ νόμον λατρείᾳ οὐκ ἔχοντα, εἰ καὶ ἁγιάζεσθαι αὐτὰ τῇ ἀποκληρώσει τῆς νομοθεσίας ἐνομίζετο. ὁμοίως γὰρ εἰς θυσίαν Θεοῦ ἀποβλήτοις, λύτρα δίδοσθαι ἀντὶ τῶν ἀνθρώπων παρ' αὐτοῖς ἐπεθέσπιστο· ὡς τῆς παρὰ Ἰουδαίοις ἀλογωτέρας καταστάσεως ἀναξίας ὑπαρχούσης τὴν λο-
D γικὴν ἀναφέρειν λατρείαν, καὶ τῷ τῆς καινῆς διαθήκης μυστικωτάτῳ εἰς πνευματικὴν ὁλοκάρπωσιν προσάγεσθαι θυσιαστηρίῳ. λύτρα δέ, ὥσπερ ἑαυτῇ κατάλληλα εἰθισμένῃ προσάγειν τὰς κατὰ νόμον δι' αἱμάτων θυσίας· ἃς ὁ προφήτης Ἡσαΐας, ὡς ἐκ προσώπου τοῦ Θεοῦ, μηδὲ ἐκζητηκέναι παρὰ τῶν χειρῶν αὐτῶν διισχυρίζεται· ὡς πρὸς τὴν πνευματικὴν δηλαδὴ τελείωσιν τοῦ σκοποῦ νομοθέτου

ὁρῶντος. τὰ δὲ εἰς θυσίαν προσαγόμενα, ὧν τὸ αἷμα προσχεῖσθαι τῷ θυσιαστηρίῳ ἐνενόμιστο, ἅγια διεσταλμένως ὠνόμασται· κἀν τούτῳ δηλαδὴ τῆς ἀληθείας προδιαγραφομένης τῷ τύπῳ. ὁ γὰρ ἑαυτὸν προσαγαγὼν τῷ Θεῷ καὶ πατρὶ θυσίαν, καὶ προσφορὰν εἰς ὀσμὴν εὐωδίας, ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, οὗτος μόνος κυρίως καὶ ἀληθῶς ἅγιος ἐστί τε καὶ ὀνομάζεται. ἀλλ' ἴσως ἐρεῖ ὁ ἀπειθὴς Ἰουδαῖος, ὡς τῇ κατὰ νόμον θυσίᾳ οὐ δυνάμενα προσάγεσθαι τῶν κατ' αὐτὸν ἀκαθάρτων κτηνῶν τὰ πρωτότοκα, λύτροις ἀντικαταλλάσσεσθαι εἰώθει· B ὁμοίως καὶ τῶν ἀνθρώπων πρωτοτόκων εἰς θυσίαν μὴ κατασφαττομένων (καὶ γὰρ ἀπεικὸς τοῦτό γε καὶ θείας νομοθεσίας ἀλλότριον) ταύτῃ τῇ τῶν λύτρων ἀμοιβῇ καθιεροῦσθαι εἰκός. ἀλλ' ἐπισκεψάσθω, εἴγε μὴ τῷ ἐπιπροσθοῦντι ταῖς τῆς ψυχῆς αὐτοῦ ὄψεσι καλύμματι ἐμποδίζεται, ὡς ἤδη ἐν ἑτέρᾳ νομοθεσίᾳ, τοὺς Λευίτας εἰληφέναι εἰς ἀφιέρωσιν ἀντὶ τῶν πρωτοτόκων, τὸ ἱερὸν ἐδίδαξε γράμμα· οὑτωσὶ φάσκον ἐν τοῖς ἀριθμοῖς ἐπὶ λέξεως. καὶ ἐλάλησε κύριος πρὸς Μωϋσῆν λέγων· ἰδοὺ εἴληφα C τοὺς Λευίτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ, ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσραήλ· λύτρα αὐτῶν ἔσονται, καὶ ἔσονταί μοι οἱ Λευῖται. ἐμοὶ γὰρ πᾶν πρωτότοκον ἡγίασα ἐν Ἰσραὴλ, ἐν ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ. εἶτα δὲ ἀκριβὲς τῆς ἀμοιβῆς διαγορεύων ὁ νόμος, εἶπε κύριος φησὶ πρὸς Μωσῆν λέγων· ἐπίσκεψαι πᾶν πρωτότοκον τῶν υἱῶν Ἰσραὴλ ἀπὸ μηνιαίου καὶ ἐπάνω, καὶ λαβὲ τὸν ἀριθμὸν ἐξ D ὀνόματος αὐτῶν. καὶ λήψῃ τοὺς Λευίτας ἐμοὶ ἀντὶ πάντων τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραήλ. εἶτα τῆς συναριθμήσεως τῶν πρωτοτόκων πρὸς τὸν ἀριθμὸν τῶν Λευιτῶν ἐν πλεονασμῷ εὑρημένης, φησίν· ἐλάλησεν κύριος τῷ Μωϋσῆ λέγων· λάβε τὰ λύτρα τῶν πλεοναζόντων παρὰ τοὺς Λευίτας ἀπὸ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, καὶ λήψῃ πέντε σίκλους κατὰ κεφαλὴν κατὰ τὸ δίδραχμον τὸ ἅγιον. εἰ τοίνυν κατὰ τὸ ἱερὸν γράμμα οἱ Λευῖται λύτρα εἰσὶν τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ, ὡς καὶ ἡ τῆς συναριθμήσεως ἀκρίβεια δηλοῖ, ὥστε τῶν πλεονα-

A atque intentione legiſlatoris ſpectante. quæ autem ad ſacrificium offerebãtur, quorum ſanguinem ante altare profundi moris erat, ſancta diſtinctè nominata ſunt: quippe quum etiam in hac nimirum figura veritas longè antè deſcribatur atque deſignetur. Nam qui ſeipſum obtulit Deo ac patri victimam & oblationem in odorem ſuauitatis, dominus noſter Ieſus Chriſtus, is ſolus propriè & verè ſanctus & eſt & nominatur. *Epheſ. 5.* Sed forſitan dicet incredulus Iudęus, quum non poſſent primogenita earũ quadrupedum, quæ more illorum immundæ B habebantur, pro legitima victima offerri, pretio commutari ac redimi conſueuiſſe: ſimiliter etiã quum hominum primogeniti pro victimis non mactarentur, (etenim id ſanè abſurdum & à ſanctione diuina alienum fuiſſet) rectè ac meritò pretij cõpenſatione redemptos eos & conſecratos fuiſſe. At niſi fortè velamento, quod animi oculis eorum officit, impeditur, conſideret iam in alia conſtitutione ſacras literas docuiſſe, Leuitas ſumptos eſſe qui loco primogenitorum conſecrarentur, ſic in Numeris C ad verbum dicẽtes: Et loquutus eſt dominus ad Moyſen dicens, Ecce ſumpſi Leuitas de medio filiorum Iſraël pro omni promogenito aperiente vuluam à filijs Iſraël. pro pretio illorum erunt, & erunt mei Leuitæ. mihi enim omne primogenitum in Iſraël ſanctificaui in illo die, quo percuſſi omne primogenitũ in terra Ægypto. Deinde certam & exquiſitam cõpenſationis atque permutationis rationem quoque præſcribens & exprimens lex, loquutus eſt dominus, in- D quit, ad Moyſen dicens: Inſpice atque *Num. 3. 12. & 46.* conſidera omnem primogenitum filiorum Iſraël, à menſtruo & ſupra, & nominatim inito numerũ eorum, & accipies Leuitas mihi pro omnibus primogenitis filiorum Iſraël. Deinde computatione atque recẽſione facta, quum deprehenſum eſſet numerum primogenitorum ſuperare numerũ Leuitarum, loquutus eſt, inquit, Dominus Moyſi dicens: Accipe pretia redemptionis eorum, qui ſupra Leuitarum numerũ redundant de primogenitis filiorum Iſraël, & accipies quinque ſiclos in ſingula capita iuxta didrachmum ſanctum. Si igitur Leuitæ primogenitorum filiorum Iſraël redemptionis pretia, prout eſt in ſacris literis, ſunt, quemadmodum etiam exacta computatio declarat, ita vt etiam à lege definitum

atque ſtatutum pondus ac pretium pro iis, qui inter eos numero ſuperabant, daretur: qua ratione ſingulatim pro vnoquoq; primogenito redemptionis dari pretium lex præcepit? Nam de quadrupedibus quidem, quæ ad ſacrificium & victimam non idoneæ, nec dignæ erant, quæ aſſumerentur, vel permutari eas, vel pretium quo redimerentur pro iis dari lex iubet, de hominibus autem & redemptionis pretium dari, atque etiam per Leuitas compenſationem fieri docemur. quod etiã cum ipſa litera legali non concordare nec cõciliari poſſe, ſed diſcrepare videtur, quemadmodum de quadrupedibus conſtitutio oſtendit, & ipſa rei natura docet. Nam ſi etiam pòſt, quàm Leuitæ pro primogenitis ad cultum diuinum ſegregati erant, pretij redemptionis pro illis dari præceptum eſt, perſpicuum eſt Leuitas non habuiſſe in ſe vim parem & dignam, quæ acciperetur pro redemptione & compenſatione. Quòd ſi ita eſt, multò magis indigna eſt ea, quæ per argentum fiebat redemptio primogenitorum: quanto nimirum etiam natura rationis & ſenſus expers vilior eſt, quàm natura humana. Verumtamen quandoquidem, vt inquit Propheta, oculos ſuos occluſerunt, & quod hinc conſequitur cernere non poſſunt: nunquid etiam audire poterunt ipſum ſapiẽtiſſimum Michæam exclamantem? ego quidem non arbitror. Etenim etiam auribus ſuis grauiter audiunt. Veniat tamen beatus hic Propheta, magna voce hæc clamans, & ſpiritu prophetico præſignificans tam Iudaicorum primogenitorum, quàm corporearum hoſtiarũ oblationis reiectionem ac reprobationem. Dicit enim: Per quam rem comprehendam dominum, apprehẽdam Deum meum altiſſimum? an comprehendam eum per vitulos anniculos? an admittet dominus per mille arietes, aut per decem millia caprarum pinguium? an dabo primogenita mea impietatis, fructum ventris mei pro peccatis meis? Audiant qui cor craſſum habent, qua de re eos ante nos accuſauerit Propheta, vt primogenita impietatis ea, quæ ſecundum carnem primogenita Iſraëlis erant, Beatus Michæas nominauerit? quî igitur ſancta hæc exiſtimârunt, quæ prophetico verbo impietatis primogenita nominata ſunt? dicant nobis verè balbutientes linguæ, quæ non poſſunt recte pronunciare & eloqui

A ζόντων ἐν αὐτοῖς σταθμὸν ὡρισμένον τῷ νόμῳ ἀντιδοθῆναι· ποίῳ λόγῳ καθ᾽ ἕκαστον τῶν πρωτοτόκων λύτρα δίδοσθαι ὁ νόμος διηγόρευσεν; ἐπὶ μὲν γὰρ τῶν ἀπροσδέκτων εἰς θυσίαν κτηνῶν, ἢ καταλλάττεσθαι ταῦτα ἢ λύτρα ὑπὲρ αὐτῶν δίδοσθαι ὁ νόμος φησίν· ἐπὶ δὲ τῶν ἀνθρώπων, καὶ λύτρα δίδοσθαι, καὶ ἤδη τὴν ἀντάμειψιν διὰ τῶν Λευιτῶν γενέσθαι μανθάνομεν. ὅπερ ἀσύμφωνον καὶ αὐτῷ τῷ νομικῷ γράμματι φαίνεται, ὡς ἡ ἐν τοῖς κτήνεσι νομοθεσία δηλοῖ, καὶ αὐτὴ ἡ φύσις ὑφηγεῖται τοῦ

B πράγματος. εἰ γὰρ καὶ μετὰ τὴν τῶν Λευιτῶν πρὸς λειτουργίαν Θεοῦ ἀντὶ τῶν πρωτοτόκων ἀποκλήρωσιν λύτρα δίδοσθαι ἀντ᾽ αὐτῶν διηγόρευται, δῆλον ὡς τῶν Λευιτῶν οὐκ ἐχόντων τὸ εἰς ἀντάλλαξιν ἰσοστάσιόν τι καὶ ἀξιόδεκτον. Εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον ἀναξιωτέρα ἡ διὰ τῆς τοῦ ἀργυρίου προσαγομένη λύτρωσις, ὅσον πᾶσα ἡ ἄλογος καὶ ἀναίσθητος φύσις τῆς ἀνθρωπίνης οὐσίας ἀτιμοτέρα καθέστηκεν· πλὴν ἐπείπερ κατὰ τὸν προφήτην τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, καὶ τὸ ἐκ τούτου ἀκόλουθον βλέπειν οὐ δύνανται. ἆ-

C ρα δυνήσονται ἀκούειν κἂν αὐτοῦ σοφωτάτου διακεκραγότος Μιχαίου; ἐγὼ μὲν οὐκ οἶμαι. καὶ γὰρ καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἀκούουσιν· ὅμως ἰέτω ὁ μακάριος οὗτος προφήτης μεγαλοφώνως ταῦτα βοῶν, καὶ τῷ προφητικῷ προσημαινόμενος πνεύματι τὴν τῶν Ἰουδαϊκῶν πρωτοτόκων ἀποβολήν, ὁμοίως τῇ τῶν σωματικῶν θυσιῶν προσαγωγῇ. φησὶ γάρ· ἐν τίνι καταλάβω τὸν κύριον, ἀντιλήψομαι Θεοῦ μου ὑψίστου; Εἰ καταλήψομαι αὐτὸν ἐν μόσχοις ἐνιαυσιαίοις; εἰ προσδέξεται κύριος ἐν χιλιάσι κριῶν, ἢ ἐν μυριάσι χιμάρων πιόνων;

D Εἰ δῶ πρωτότοκά μου ἀσεβείας; καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτιῶν μου; ἀκουέτωσαν οἱ τὴν καρδίαν παχεῖαν ἔχοντες, ὅπερ αὐτῶν ὁ προφήτης πρὸ ἡμῶν κατηγόρησεν, ὡς πρωτότοκα ἀσεβείας ὁ μακάριος Μιχαίας τὰ κατὰ σάρκα Ἰσραὴλ πρωτότοκα ἐξωνόμασε; πῶς οὖν ἅγια ταῦτα ὑπειλήφασιν, ἅπερ προφητικῷ λόγῳ ἀσεβείας πρωτότοκα ὠνομάσθησαν; λεγέτωσαν ἡμῖν αἱ ὄντως ψελλίζουσαι γλῶσσαι, αἱ μὴ δυνάμεναι ὀρθολεκτεῖν

τὴν ἀλήθειαν, πῶς ὁ προφήτης ἐν πνεύματι ἁγίῳ φθεγγόμενος καρπὸν ἀσεβείας ταῦτα καλεῖν ἀπετόλμησε; πῶς ὁ περὶ τῆς τούτων λυτρώσεως λόγος τὸ ὁμαλὸν καὶ ἀκόλουθον ἑαυτῷ ἔχων οὐ φαίνεται, ὅσον κατὰ τὸ τοῦ γράμματος παρέχειν; καί τοί γε τοῦ νόμου παρ' ἡμῖν ἁγίου τε καὶ πνευματικοῦ εἶναι νοουμένου τε καὶ πιστευομένου. ὁρᾶτε τῶν Ἰουδαϊκῶν ἁρμάτων συνδεδεμένους ἄξονας, καθάπερ πάλαι τῶν Αἰγυπτίων τοὺς δίφρους ἐπὶ τῶν ἐρυθραίων ναμάτων· ἀλλ' ἐπαφείσθω ἀντὶ ῥάβδου τῇ θαλάσσῃ τοῦ λόγου ἡ τοῦ ἀληθοῦς νομοθέτου καὶ βασιλέως τῆς δόξης Χριστοῦ δύναμις καὶ βοήθεια, καὶ ὁδηγησάτω τὸν λαὸν αὐτοῦ εἰς ὁδὸν εὐθεῖαν ἀναγωγῆς τε καὶ θεωρίας, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου γνώσεώς τε καὶ ἀληθείας, καὶ ἐπικαλυψάτω τοὺς ἐναντίους τῆς θείας δόξης τὸ ἀπροσμάχητον· ἧς ἴσως πεπλήρωται ἡ σύμπασα γῆ, τοῦ γνῶναι τὸν κύριον, ὡς φησιν ἡ γραφή, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. ἄρτι μὲν τὴν πρωτότοκον τοῦ διαβόλου γονὴν, ἤγουν τὴν ἁμαρτίαν ὁ σαρκωθεὶς Θεὸς ἐνέκρωσέ τε καὶ ἐξηφάνισεν, ἅμα τῷ γεννηθῆναι κατὰ τὴν σάρκα, τὴν κατάκρισιν ἑαυτῷ τῆς κακίας ποιησάμενος, καὶ τὸν παντελῆ ταύτης ἀφανισμὸν ἐν ἑαυτῷ ἐργασάμενος, θρηνῶν τὰς ἐναντίας δυνάμεις ἐπλήρωσεν, καθάπερ σκεύη τινὰ παρ' αὐτῶν λαβὼν τοὺς ἀπὸ ἀνατολῶν ἐλθόντας Μάγους, καὶ τῇ προσκυνήσει καὶ ἐπιγνώσει τῆς αὐτοῦ δεσποτείας εὔχρηστα σκεύη τῷ δεσπότῃ γεγενημένους εἰς συνεργίαν τῆς οἰκοδομῆς τῆς ἐκκλησίας, τῆς ὄντως θεοτεύκτου σκηνῆς, ἣν ἔπηξεν ὁ κύριος καὶ οὐκ ἄνθρωπος· ἄρτι δὲ καθάπερ πηλοῦ καὶ πλινθείας πάλαι τὸν Ἰσραὴλ, οὕτω τοῦ γηΐνου φρονήματος τὸ ἀνθρώπινον γένος ἐν αὐτῷ λυτρωσάμενος, φυγεῖν μὲν Αἰγύπτου τοῦτο πεποίηκε, τουτέστι τὸ τοῦ θανάτου στυγνὸν καὶ ζοφῶδες φρούριον. ἁγιάζει δὲ τῷ Θεῷ καὶ πατρὶ οὐ μόνον τὰ τῶν ἀνθρώπων πρωτότοκα, ἀλλ' ἤδη καὶ πᾶν τὸ ἀνθρώπινον φῦλον, διὰ τῆς ἐν αὐτῷ ἀπαρχῆς τοῦ ἡμετέρου φυράματος, τουτέστι τῆς ἐξ ἡμῶν ληφθείσης αὐτῷ σαρκὸς ἐμψυχωμένης νοερῶς, ὅλον ὥσπερ ἀναζυμώσας εἰς ἁγιασμὸν τῆς ἀνθρωπίνης

A veritatem, quomodo Propheta per Spiritum ſanctum loquens fructum impietatis auſus ſit ea vocare? qui fiat vt oratio, quæ de redemptione horum loquitur, æqualis & ſecum conſentanea eſſe non videatur, quantum attinet ad eam, quæ ſe prima fronte atque inſpectione offert, literæ ſententiam? quanquam lex apud nos & ſancta & ſpiritualis eſſe tum intelligitur, tum creditur. Videte Iudaicorum curruum colligatos axeis, quemadmodum Ægyptiorum olim vehicula in rubris vndis: verùm loco virgæ immittatur in mare orationis veri B legiſlatoris & regis gloriæ Chriſti virtus & auxilium, & deducat populum ſuum in vitam rectam altioris ſenſus ac ſpeculationis, vt eamus in vrbem domicilij ſcientiæ atque veritatis, & obruat aduerſarios inexpugnabilis & inuicta gloria diuina: cuius plena eſt vniuerſa terra, vt cognoſcamus Dominum, vt inquit ſcriptura, ſicut aqua multa ad operiendum maria. Iam nunc quidem carnem indutus Deus primogenitam diaboli ſobolem ſiue C peccatum & mortificauit & aboleuit, & ſimulátque natus eſt in carne, condemnationem vitioſitatis ſibi confecit, & abſolutam eius abolitionem per ſeſe præſtitit ac repræſentauit, ploratibus & lamentationibus copias aduerſarias oppleuit, tanquam vaſa atque inſtrumenta quædam ab iis ablatis, Magis, qui ab Orientalibus partibus venerunt, & adoratione & agnitione dominicæ poteſtatis eius commoda & apta domino inſtrumenta facti ſunt, in ſubſidium & adiumentum ædificationis Eccleſiæ, à Deo re- D uerà confecti tabernaculi, quod Dominus fixit & non homo: iam nunc item tanquam à luto & lateritio opere olim Iſraëlem, ſic à terreno ſenſu humanum genus quum per ſeſe liberaſſet & redemiſſet, vt Ægyptum quidem, id eſt, mortis horrendum & caliginoſum caſtellum fugeret, effecit. Sanctificat autem Deo & patri non ſolùm hominum partus primogenitos, ſed etiam omne genus humanum per eas, quas in ſeſe ſumpſit, noſtræ maſſæ atque materiæ primitias, id eſt, per carnem, quæ intellectualiter, & vt mente ſola percipi poteſt, animabatur, à nobis ſumptam totam ad ſanctificationem quaſi refermentans humanæ

Exod. 14.
Num. 14.
Matth. 2.
Hebr. 8.

naturæ maſſam atque concretionem. Nam meritò dixerim ego quoq; nunc, ſicuti diuinus ait Apoſtolus, Si primitiæ ſanctæ ſunt, etiam materia atque maſſa inde confecta ſancta fuerit. Ac quemadmodum olim oratio, qua lex ferebatur, typicè, id eſt, per figuram, qua futurũ præſignificabatur, eam tribum, cui ſacerdotij munus obuenerat, pro primogenitorum primitiis Deo obtulit: ita nunc per claram veritatis effigiem pontificem & Apoſtolum noſtræ confeſſionis ſanctum illum & innocentem, qui ab inquinamentis malitiæ vacuus, qui omniũ peccati tam ſordium quàm ſenſus atque cogitationis expers fuit, corporaliter pro ea, quæ per fidem ei ſanctificata eſt, humana natura Deo ac patri oblatum eſſe intelligimus. & eò magis quòd ne numero quidẽ ſuperare ac redundare præter eum qui ſeipſum dedit pro pretio, quo multi redimerentur, totam humanã naturam videmus, quod quidem attineat ad rationem ſanctitatis: (quemadmodum in vmbra legis Leuitis numero plures primogeniti inuenti ſunt) ſed lõgiſſimo ſpatio à tergo relictã, quatenus abſque omni contradictione id, cui benedicitur benedicente inferius eſt. Ac tunc quidem ad ſolam Iſraëliticam gentem Leuitici ſacerdotij dignitas referebatur, ac pro eorum primogenitorũ duntaxat, qui apud Iſraëlitas naſcerẽtur, redemptionis pretio Leuitas ſumptos eſſe, ſcripturæ teſtimonio de ipſis proditum eſt: Chriſtus verò, qui futurorum bonorum pontifex aduenit, vt ſapientiſſimus Paulus inquit, & non ſecundum ordinem Aaron, ſed ſecundum ordinem Melchiſedec, quemadmodum diuinum præſignificauit oraculum, ſacerdotij quidem tranſlatione, eo quòd ipſe eſſet ex alia tribu (perſpicuum eſt enim ex Iuda ortum eſſe Dominum noſtrum Ieſum Chriſtum) etiam legis tranſlationem effecit, & ab legali vmbra tranſtulit nos ad Euangelium regni cœlorum, quemadmodum ab Leuitica tribu ad regiam tribum ſacerdotij dignitatem traduxit: aſſimilatione verò quæ fit ſecundum ordinem Melchiſedec, non pro ſolo Iſraële, ſed pro omnibus gentibus pretium redemptionis ſeſe patri obtulit, & omnium hominum confeſſionis pontifex extitit. quoniam Melchiſedec quoque tam ex parte gentium extranearum, quàm ex genere Abrahami eſſe oſten-

Rom. 11. Num. 3. Hebr. 7. Hebr. 9. Hebr. 7.

A οὐσίας τὸ σύγκριμα. Εἰ γὰρ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα, φήσαιμι ἂν νῦν εἰκότως κἀγὼ κατὰ τὸν θεῖον ἀπόστολον. καὶ καθάπερ πάλαι τὴν ἱερατεύειν λαχοῦσαν φυλὴν ἀντὶ τῆς τῶν πρωτοτόκων ἀπαρχῆς ὁ νομοθέτης λόγος τυπικῶς τῷ Θεῷ προσηγάγετο· οὕτω νῦν ἐν τῷ λαμπρῷ χαρακτῆρι τῆς ἀληθείας τὸν ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν τὸν ὅσιόν τε καὶ ἄκακον καὶ ἀμίαντον, καὶ παντὸς ἁμαρτωλοῦ κεχωρισμένον ῥύπου τε καὶ φρονήματος τῷ Θεῷ καὶ πατρὶ σωματικῶς προσενηνέχθαι γινώσκομεν ἀντὶ τῆς καθαγιασθείσης αὐτῷ διὰ πίστεως ἀνθρωπότητος· καὶ B τοσούτῳ μᾶλλον, ὅσωπερ οὐδὲ ὑπερτεροῦσαν καὶ ὑπερπλεονάζουσαν παρὰ τὸν ἑαυτὸν δεδωκότα λύτρον ἀντὶ πολλῶν ὅλην ὁρῶμεν τὴν ἀνθρωπότητα κατὰ τὸν τῆς ἁγιότητος λόγον (καθάπερ ἐν τῇ σκιᾷ τοῦ νόμου ἐν πλεονασμῷ παρὰ τοὺς Λευΐτας τὰ πρωτότοκα εὑρίσκεται) ἀλλὰ κατόπιν αὐτοῦ παμπληθὲς ἀπολελειμμένην, καθόσον χωρὶς πάσης ἀντιλογίας τὸ εὐλογούμενον ἔλαττον τοῦ εὐλογοῦντος καθέστηκε· καὶ τότε μὲν εἰς μόνον τοῦ Ισραὴλ τὸ ἔθνος τὸ τῆς Λευιτικῆς ἱερωσύνης ἀξίωμα ἐχρημάτιζε, καὶ μόνον τῶν παρ' αὐτοῖς πρωτοτόκων λύτρα εἶναι οἱ Λευῖται μεμαρτυρήκασι. C Χριστὸς δὲ ὁ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, ὡς ὁ πάνσοφος Παῦλος φησὶν, καὶ οὐ κατὰ τὴν τάξιν Ααρὼν, ἀλλὰ κατὰ τὴν τάξιν Μελχισεδὲκ· καθὼς τὸ θεῖον προεχρησμῴδησε λόγιον, τῇ μὲν μεταθέσει τῆς ἱερωσύνης, τὸ ἐξ ἑτέρας αὐτὸν εἶναι φυλῆς (πρόδηλον γὰρ ὅτι ἐξ Ιούδα ἀνατέταλκε ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός) καὶ τὴν τοῦ νόμου μετάθεσιν ἀπειργάσατο, ἀπὸ τῆς κατὰ νόμον σκιᾶς D ἐπὶ τὸ τῆς βασιλείας τῶν οὐρανῶν μεταθέμενος ἡμᾶς εὐαγγέλιον, καθάπερ ἀπὸ τῆς Λευϊτικῆς ἐπὶ τὴν βασιλικὴν φυλὴν τὸ τῆς ἱερωσύνης ἀξίωμα· τῇ δὲ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀφομοιώσει οὐχ ὑπὲρ μόνου τοῦ Ισραὴλ, ἀλλ' ὑπὲρ πάντων τῶν ἐθνῶν λύτρον ἑαυτὸν τῷ πατρὶ προσηγάγετο, καὶ τῆς πάντων ἀνθρώπων ὁμολογίας ἀρχιερεὺς καθέστηκεν. ἐπεὶ καὶ ὁ Μελχισεδὲκ ἐκ τῆς ἐθνικῆς μοίρας εἶναι γνωρίζεται, καὶ ἐκ τοῦ Ἀβραὰμ

γμοις εὑρίσκεται. ἡ δὲ κατὰ νόμον τῶν πέντε διδράχμων ὑπὲρ ἑκάστου τῶν πρωτοτόκων συντίμησις, ἐμφαίνειν οἶδεν αἰνιγματωδῶς, ὡς χρὴ ἕκαστον ἡμῶν πᾶσαν αἴσθησιν ἁγιάζειν Θεῷ καὶ τὰ ἐν ταύταις, καθαρὸν καὶ ἡδονῆς πάσης ἀτόπου ἀλλότριον προσάγειν τῷ κτίσαντι καθάπερ τι λύτρον εὐαγές τε καὶ ἔννομον. Ταύτης ἡμεῖς σήμερον τῆς ἱερᾶς τελετῆς τὴν ἀνάμνησιν ἑορτάζομεν, αὕτη ἡμῖν ἡ πνευματικὴ τοῦ μυστηρίου ἀνάπτυξις τὴν παροῦσαν συνεκρότησεν ἁγίαν πανήγυριν· καθ' ἣν νομικῶς μὲν προσήγετο ὁ Σωτὴρ κατὰ τὸ φαινόμενον, νοητῶς δὲ καὶ πνευματικῶς τὴν ἀπαρχὴν τοῦ ἡμετέρου φυράματος τῷ πατρὶ προσαγαγὼν, ὅλον αὐτὸ ἱερὸν ἀπεδείκνυε καὶ πρὸς θείαν προσαγωγὴν ἐπιτήδειον. τοῦτο γὰρ πάλαι ὁ νόμος ὤδινε, καὶ πρὸς τοῦτο ἑώρα ἥ τε περὶ τῶν πρωτοτόκων νομοθεσία καὶ τῆς τῶν Λευιτῶν ἀντιδόσεως καὶ τῆς τῶν διδράχμων συντιμήσεως. οὕτως ἡμᾶς διεβίβασε διὰ τῆς θαλάττης τῶν ἁγίων γραφῶν ἡ χάρις τοῦ πνεύματος. ἀλλ' εἴδωμεν καὶ τὴν τῶν ἐναντίων συγκλεισίν τε καὶ ἀπόδειξιν. ἤδη μὲν οὖν ἀνωτέρω κατάδηλος ἡμῖν ἡ περὶ τῶν Λευιτῶν τε καὶ πρωτοτόκων πᾶσα νομοθεσία γεγένηται, ἀλλὰ καθὼς ὁ μέγας Μωϋσῆς παραθαρσύνων τὸν λαὸν μηκέτι ὄψεσθαι τοὺς Αἰγυπτίους διεβεβαιώσατο· οὕτω κἀγὼ νῦν προάγομαι τὸν τοῦ Θεοῦ περιούσιον λαὸν εὐαγγελίζεσθαι, ὡς οὐκέτι τὸ σκιῶδες λατρείας τὸ σωματικὸν στρατόπεδον θεασόμεθα. ποῦ γὰρ μετὰ τὴν φανέρωσιν τοῦ μεγάλου ἀρχιερέως ἡ τῶν Λευιτῶν ἱερουργία; ποῦ μετὰ τὸ τοῦ κόσμου καθάρσιον λύτρον ἡ τῶν πρωτοτόκων συντίμησις; ποῦ ἡ λοιπὴ τῆς νομικῆς τελετῆς ἀκρίβεια; οὐχ ὁρᾷς ὅτι ἕως ὅτε ἡ νὺξ τῆς ἀγνοίας κατεῖχε τὰ σύμπαντα, ἀστέρων δίκην ἀμυδράν τινα καὶ σύμμετρον αὐγὴν ἡ κατὰ νόμον παρεῖχε λατρεία, ὅτε δὲ ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος, καὶ ἡ ἐξ ὕψους ἀνατολὴ ἐπέφανε, καὶ τῆς σωτηρίας ἡμέρα ἐπέλαμψεν· ἀφανὴς ἡ τῶν νομικῶν διατάξεων δᾳδουχία ἐγένετο τῷ ὑπερλάμποντι φωτὶ νικωμένη τῆς χάριτος. οὐκ ἠδάφησαν καθάπερ οἱ τριστάται καὶ τὰ ἅρματα ὁ περιώνυμος ἐκεῖνος ναός; καὶ πᾶσα ἡ τῶν ἀρχιερέων ἐπ'

A ditur atque reperitur. Porrò quę ex lege fiebat æſtimatio quinque didrachmorum pro vnoquoque primogenito, per abditas verborum ambages & inuolucra ſignificare ſolet, oportere vnūquemque noſtrum omnes ſenſus Deo ſanctificare, atque ea quæ per ſenſus fiunt, purum & ab omni inhoneſta voluptate alienum quaſi quoddam redemptionis pretium ſanctum atq; legitimū offerre creatori. Huius ſacri diei feſti nos hodie memoriā celebramus, hæc myſterij explicatio ſpiritualis præſentem ſanctum atque ſolennē conuentum coēgit: qua B explicatione ex lege quidem, vt apparebat, Seruator offerebatur, ſed vt ſpiritu intelligitur & mente percipitur, primitias noſtræ conſperſionis patri offerens totā eam ſacrā reddebat, & ad diuinam oblationē idoneā efficiebat. Hoc enim olim lex parturiebat, & ad hoc ſpectabat conſtitutio legis tum de primogenitis, tum de Leuitarum compenſatione, tum de didrachmorū æſtimatione. Sic per mare ſcripturarum diuinarū gratia Spiritus nos tranſduxit. Sed videamus etiā aduerſariorum concluſionē atque demonſtrationē. Ac iam quidē ſuperius C nobis tum de Leuitis, tum de primogenitis tota conſtitutio legis patefacta eſt: ſed quēadmodum magnus Moyſes populum animo confirmans & adhortans, affirmabat illū Ægyptios non amplius viſurū eſſe: ita ego quoq; nunc proueho, vt peculiari Dei populo bonū nuntium apportē, fore vt nō amplius vmbratilis cultus corporea caſtra videamus. Vbi enim, poſtquā proditus eſt magnus ille pontifex, Leuitarum ſacrificium eſt? vbi poſteaquā mundus pretio redēptus & expiatus eſt, primogenitorū computatio atq; æſtimatio? vbi reliquarū cęre D moniarū legaliū exacta illa præſcriptio atq; obſeruatio? Non vides, quoad nox ignorātiæ res vniuerſas occupatas tenebat ſtellarū in modum obſcurū quendā, modicū atq; exilē ſplendorē præbuiſſe eum, qui ex legis pręſcriptio cultus præſtabatur? ſed poſtquā iuſtitię ſol exortus eſt, & oriens ex alto apparuit, & ſalutis dies illuxit, euanuit legaliū conſtitutionum fax ſuperante lumine gratiæ victa: nónne proſtratū & ſolo ęquatum iacet, quēadmodum proceres & currus, præclarū illud templū? nónne omnis elatio atq; ſuperbia, omnes ſpiritus, quos nomine eius pontifices ſumpſerant, conci-

Exod. 14.

Ad Christi aduentū lex vetus obſoleuit.

derunt atq; demiſſi ſunt? an non omnis demerſa atque confuſa eſt eorum illa tam benè ordinata atque conſtituta legalis diſciplina? nónne funditùs perijt ea, quæ apud Iudæos vigebat, inſtitutorum conſuetudinem diligens & Deut. 12. accurata obſeruatio? Vbi enim hoſtias pro nuper enixis mulieribus offerre poſſint, quum ille delectus ad eam rem locus dirutus atque collapſus ſit, & apertè dictum ſit, non licere in aliquo alio loco hoſtias ab iis offerri? vbi ſacerdotalis illa & ſtola, & dignitas, & omnia reliqua? Verùm ne ſingulatim omnia perſequentes, ſicuti mortuorum crebra attrectatione atque inſpectione animi oculo terrorem ingeneremus, illos quidem ſinamus mortuos iuxta aquam literæ legalis: nos autem benigno Deo victoriæ carmen & hymnum canamus, & verè cœleſti cibo nutriti, & ex vera petra profluentis aquæ potu refecti, veniamus ad montem Dei Luc. 2. Choreb, id eſt, ad altam Euangelij doctrinam, vt voce diuinarum tubarum, verbis nimirum beati Lucæ internas aures admoueamus, tanquam ex ſacris adytis & penetralibus ſacræ doctrinæ ſpiritus clamantis: Et factum eſt, quum impleti eſſent dies purificationis eorum, adduxerunt parentes puellum Ieſum, vt ſiſterent & exhiberent eum domino, ſicut ſcriptum eſt in lege domini, Omne maſculinum aperiens vuluam, ſanctum domino vocabitur: & vt darent hoſtiam, prout dictum eſt in lege domini, par turturum, aut duos pullos columbarum. Et ecce homo erat Hieroſolymis cui nomen erat Simeon, & is homo iuſtus & religioſus, expectans conſolationem Iſraëlis, & Spiritus ſanctus erat in eo, & oraculum ei reddiderat Spiritus ſanctus eum non viſurum mortem prius, quàm vidiſſet Chriſtum domini in carne, & venit inſtinctu Spiritus in templum. Quid eſt id quod dicit, Expectans conſolationem Iſraëlis? hoc eſt, expectans, dum manifeſta fieret veritas, & ab vmbra legali ad eam populus Iſraëliticus tranſiret. vt dimiſſus ab ea ſubiectione, qua elementis mundi obnoxius erat, veritatis elementorum doctrina inſtitueretur, eiúſque perfectione concinnaretur. Neque enim dicere quis poteſt, quum Iudæi verſarentur in mœrore

A αὐτοῦ μεγαλοφροσύνη καὶ ἔπαρσις; οὐ πᾶσα κατεκλύσθη αὐτῶν καὶ συνεχέθη ἡ νομικὴ εὐταξία; οὐκ ἄρδην ἀπόλωλε τὴν παρὰ Ιουδαίοις ἐθῶν ἡ ἀκρίβεια; ποῦ γὰρ τὰς θυσίας τὰς ὑπὲρ τῶν ἀρτιτόκων γυναικῶν προσαγάγοιεν τοῦ ἐκλελεγμένου τόπου διαπεπτωκότος, καὶ σαφῶς διῃρημένου, μὴ ἐξεῖναι ἑτέρωθί που παρ' αὐτῶν τὰς θυσίας προσάγεσθαι; ποῦ ἡ ἱερατικὴ στολή τε καὶ ἀξία καὶ τὰ λοιπὰ ἅπαντα; ἀλλ' ἵνα μὴ τὰ καθ' ἕκαστον διεξιόντες, καθάπερ νεκρῶν συνεχεῖ ἐπαφῇ τε καὶ B θεωρίᾳ τὸ ὄμμα τῆς ψυχῆς διαδειξώμεθα, ἐκείνους μὲν ἐάσωμεν τεθνηκότας παρὰ τὸ ὕδωρ τοῦ νομικοῦ γράμματος· ἡμεῖς δὲ τῷ φιλανθρώπῳ Θεῷ τὸν ἐπινίκιον ὕμνον ᾄσωμεν, καὶ τῇ ὄντως οὐρανίῳ τραφέντες τροφῇ, καὶ τοῖς ἐκ τῆς ἀληθινῆς πέτρας νάμασι ποτισθέντες, ἔλθωμεν ἐπὶ τὸ ὄρος τοῦ Θεοῦ Χωρήβ· τουτέστι, τὴν ὑψηλὴν τοῦ εὐαγγελίου διδασκαλίαν, ἵνα τῇ φωνῇ τῶν θείων σαλπίγγων, τοῖς ῥήμασι τοῦ μακαρίου Λουκᾶ τὴν ἔσω ἀκοὴν προσοκείλωμεν, καθάπερ ἐξ ἁγίων ἀδύτων βοῶντος τῆς μυσταγωγίας τοῦ πνεύματος· C καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, ἀνήγαγον οἱ γονεῖς τὸ παιδίον Ιησοῦν παραστῆσαι τῷ κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ κυρίου, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται· καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς περιστερῶν. καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ιερουσαλὴμ ᾧ ὄνομα Συμεὼν, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τοῦ Ισραήλ· καὶ πνεῦμα ἅγιον ἦν ἐπ' αὐτῷ, καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ D πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἂν ἴδῃ τὸν Χριστὸν κυρίου ἐν σαρκὶ, καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν. τί ἐστι, προσδεχόμενος παράκλησιν τοῦ Ισραήλ; τουτέστιν, ἀναμένων τὴν φανέρωσιν τῆς ἀληθείας, καὶ τὴν πρὸς ταύτην τοῦ Ισραηλίτου λαοῦ ἀπὸ τῆς νομικῆς σκιᾶς μεταχώρησιν· ἐπὶ τῷ ἀφεθέντα τοῦ ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου εἶναι τῷ τῆς ἀληθείας στοιχειοῦσθαι διδασκαλείῳ, καὶ τὴν κατ' αὐτὴν καταρτίζεσθαι τελειότητι. οὐδὲ γὰρ ἂν ἔχοι τις εἰπεῖν, ὡς ἐν δυσπαθείᾳ ὄντων τῶν Ιουδαίων, καὶ ἐν

καὶ ἐν αἰχμαλωσίᾳ τινὶ κατισχημένων, τὴν τούτων ἀνάκτησιν καὶ πρὸς τὸ εὔθυμον καὶ ἀρχαῖον ἐπάνοδον ἐξεδέχετο· πάσης αὐτοῖς τῆς παλαιᾶς συνηθείας ἐννομουμένης καὶ τοῦ ναοῦ ἑστῶτος, καὶ τῶν ἐν αὐτῷ θυσιῶν προσαγομένων, καὶ πάσης ἑτέρας ἰδιωτικῆς τοῦ γένους αὐτῶν ὑπαρχούσης πολιτείας πεφυλαγμένης. εἰ δὲ τὸ ὑπὸ Ῥωμαίοις αὐτοὺς εἶναι προβάλλεται, καὶ τὸ καθεστάναι τὸν Ἡρώδην βασιλέα τῆς Ἰουδαίας ἀλλόφυλον τὸ γένος ὑπάρχοντα, γινωσκέτω ὁ τοιοῦτος, ὡς οὐδὲν παρὰ τοῦτο ἡ κατὰ νόμον πολιτεία παρεβλάπτετο ἐκ τοῦ ὑπὸ ἀλλοεθνοῦς τὸν Ἰσραὴλ βασιλεύεσθαι, ὥστε τὴν περὶ τούτου παράκλησιν τὸν δίκαιον πρεσβύτην ἐκδέχεσθαι. καὶ γὰρ διαφόρως συμβέβηκε καθάπερ τινὰ στασιώδη υἱὸν ὑπὸ τοῦ πατρὸς αὐστηρῷ τινι παιδαγωγῷ πρὸς σωφρονισμὸν παραδοθῆναι· οὕτω τὸν Ἰσραὴλ πολλάκις ὑπὸ βασιλείαν γενέσθαι ἀλλόφυλον. καὶ δηλοῖ μὲν ἐν Αἰγύπτῳ τοῦ λαοῦ ἐπὶ πλεῖστον ὅσον διατριβή, καὶ ὁ προφήτης Ἱερεμίας ἐν τοῖς χρόνοις Σεδεκίου τοῦ βασιλέως ἐκ θείου προστάγματος πρὸς αὐτόν τε καὶ τὸν ὑπ' αὐτοῦ λαὸν διαλεγόμενος, ὑπὸ τὸ σκῆπτρον τοῦ Ναβουχοδονόσορ γενέσθαι, καὶ προσχωρῆσαι τοῖς Χαλδαίοις. οὐ μόνον δὲ τοὺς ἀξίους καθεστῶτας πληκτικωτέρας διαγωγῆς ἀλλοφύλῳ σκήπτρῳ ὑποτετάχθαι οὐκ ἦν ἀπεικός· ἀλλ' ἤδη καὶ τῶν δικαίων τινάς, καὶ ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, κατὰ Παῦλον εἰπεῖν, οὐκ ἄρχοντας, ἀλλ' ἀρχομένους ὑπὸ βαρβάρων καὶ ἀθέων ἀνδρῶν ἡ τοῦ Θεοῦ μακροθυμία παρέδειξεν· ὥστε τὸ τῆς εὐσεβείας αὐτῶν δόκιμον ἰσχυρῶς διαφαίνεσθαι. καὶ δείκνυσιν ὅ, τε Ἀβραὰμ ἐν Αἰγύπτῳ γενόμενος, καὶ τὴν γυναῖκα ὑπὸ τοῦ Φαραὼ ἀφαιρούμενος, καὶ ἐν παροικίᾳ τὴν ἐπηγγελμένην αὐτῷ γῆν οἰκῶν. ὡσαύτως τε ὁ τούτου υἱός, καὶ ὁ ἐκείνου γόνος, τὸν Ἰσαάκ φημι καὶ τὸν Ἰακώβ, αὖθις τε ὁ ἐκείνου σωφρονέστατος παῖς Ἰωσήφ, δοῦλος γενόμενος, καὶ τὸ δεσμωτήριον οἰκεῖν καταδικαζόμενος· οὐκοῦν οὐ τὴν εἰς κοσμικὴν εὐδοξίαν τε καὶ μεγαλαυχίαν παράκλησιν τοῦ Ἰσραὴλ ὁ σοφὸς Συμεὼν ἐξεδέχετο· ἀλλὰ τὴν ὄντως ἀληθῆ, τὴν εἰς τὸ τῆς ἀληθείας κάλλος μετάθεσιν. χρηματισθέντος γὰρ αὐτῷ πρὸ τῆς τοῦ βίου μεταλλαγῆς ἰδεῖν,

A atque afflictione& in captiuitate aliqua detinerêtur, illum horũ recuperationẽ, & in priſtinum locum & ſtatum reſtitutionem, ac reditum ad animi tranquillitatem atque lætitiã expectaſſe: quippe quũ omnes illi antiqui ritus ab iis rectè & iuxta legis præſcripta obſeruarentur, & templum ſtaret, & conſuetæ in eo hoſtiæ offerrentur, reliquúſq; priuatus ſtatus gentis eorum incolumis ſeruaretur. Quòd ſi quis proponit eos ſubditos fuiſſe Romanis, & Herodem, qui genere alienigenà eſſet, regem Iudææ conſtitutum fuiſſe, is cogitet idcirco nihil legali B ſtatui nocitum & incõmodatum fuiſſe, quòd populus Iſraëliticus ab diuerſæ gentis rege gubernabatur, vt eius rei iuſtus ille ſenex conſolationẽ expectaret. Etenim diuerſis modis contigit, vt tanquam filius ſeditioſus& contumax à patre aſpero atque ſeuero alicui pædagogo traditur in diſciplinam coërcendus & caſtigandus, ita Iſraëliticus populus ſępè externo regno ſubiugaretur. quam rem indicat illius populi in Ægypto quam diutiſſima commoratio, & Propheta Hieremias temporibus Sedeciæ Hier.34. C regis iuſſo diuino quũ ad illum ipſum, tum ad populum, qui eius imperio ſubditus erat, verba faciẽs dixit fore, vt ſub ſceptrũ Nabuchodonoſoris redigerentur, & Chaldæis dederẽtur. Non ſolum autẽ hos, qui acerbiore vitæ conditione digni fuerũt, alieno ſceptro ſubijci non erat alienum: verumtiam iuſtos nõnullos, quibus mundus dignus non erat, vt more Pauli loquar, vt illorum pietas inſignis vehementer eluceret, non imperantes, ſed barbarorũ & impiorum hominum imperio ſubiectos Dei lenitas effecit. Atque id vel Abraham demon- D ſtrat, qui in Ægypto fuit, cui (ibidem verſanti) vxor à Pharaone adempta eſt, Gen.12.10 qui in terra ſibi promiſſa tanquam inquilinus habitauit: itidémq; huius filius, & illius ſoboles, Iſaacũ dico & Iacobũ, ac rurſus illius caſtiſſimus & integerrimus filius Ioſeph, qui ſeruus factus eſt, & ad carcerem condemnatus fuit. Gen.39. Quocirca ſapiens Simeon non eam Iſraëlis conſolationem, quæ ad bonam famã & exiſtimationem magnámq; gloriam atque ſplendorem pertineret, opperiebatur: ſed reipſa veram, nempe traductionem ad pulchritudinem veritatis. Nam cum oraculum ei redditum eſſet fore, vt antequam è vita migraret,

FFFF

Chriſtum domini videret, ſpiritualiter expectabat, vt ſimul populi quoque (Iſraëlitici) conſolatio exiſteret ac manifeſtaretur. Venit igitur hic inſtinctu ſpiritus in templum, & dum inducerent parentes puellum Ieſum, vt facerent iuxta morem conſuetum ex lege pro eo, ipſe quoque accepit eum in vulnas ſuas, & laudauit Deum, ac dixit: Nunc dimittis ſeruum tuum domine, ſecundum verbum tuum in pace: quia viderunt oculi mei ſalutare, quod paraſti in conſpectu omnium populorum, lumen ad reuelationem gentium, & gloriam plebis tuæ Iſraëliticæ. O verè beate térque beate ſenex, quàm beatus ille tuus reuerà ſacer in ſacrum introitus, per quem ad vitæ exitum currebas! quàm beati oculi tui animi ſimul & corporis! hi quidem, quòd viſibilem apparitionem Dei perceperunt: illi verò, qui non id quod videtur ſolummodo intuiti ſunt, ſed ipſo ſpiritus lumine illuſtrati, etiam in corpore Deum verbum agnouerunt, qui diuinum ſalutare viderunt, quod paratum erat ante faciem omnium populorum. Quàm beatæ tuæ manus, quæ verbum vitæ contrectauerunt! quàm beata tua lingua, quæ viuifici luminis reuelati, bonum nuntium diuulgauit! Ac quid ſingulatim per vnumquodque membrum laudem accommodare tibi feſtino, quum iam anteà te totum laudabilem, & beatum, ſanctóque Spiritu correptum Euangeliſta docuerit? Sed veni, ô beate pater, ea, quæ in te reſonat Spiritus ſuggeſtione, & filios eccleſiæ alumnos doce tanquam in vaſis teſtaceis, paucis tuis verbis abſconditum theſaurum: quandoquidem ad vos veſtríque ſimiles, qui canitie ſuperi ſenſus & intellectus ornati, & reuerà πρεσβῦται, id eſt, ſeniores eſtis, & eccleſiæ patres appellamini, diuinus ſermo nos ducit vt ſalutares doctrinas diſcamus, Interroga patrem tuum, inquiens: & annuntiabit tibi ſeniores tuos, & dicent tibi. Igitur, quæ illius tunc linguam mouit ad diuinorum verborum pronuntiationem, potentia ſpiritus etiam nobis nunc aperientibus os, verba ſuggerat & ſubminiſtret. Nunc dimittis, inquit, ſeruum tuum domine, ſecundum verbum tuum in pace.

Deut. 32.

A τὸν Χριστὸν κυρίου συναναφαίνεσθαι, πνευματικῶς τὴν τοῦ λαοῦ παράκλησιν ἐξεδέχετο. ἦλθεν οὖν οὗτος ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν, καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεὸν καὶ εἶπεν· νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριον, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν
B λαοῦ σου Ἰσραήλ. ὦ μακάριε ἀληθῶς καὶ τρισμακάριε πρεσβῦτα, ὡς μακαρία σου ἐκείνη ἡ ὄντως ἱερὰ εἰς τὸ ἱερὸν εἴσοδος, δι' ἧς πρὸς τὴν τοῦ βίου ἔξοδον ἔδραμες· ὡς μακάρια σου τὰ ὄμματα τῆς ψυχῆς ὁμοῦ καὶ σώματος· τὰ μὲν τῆς ὁρατῆς θεοφανείας ἐν ἀντιλήψει γενόμενα· τὰ δὲ μὴ πρὸς τὸ ὁρώμενον ἀπιδόντα μόνον, ἀλλ' αὐτῷ τῷ τοῦ πνεύματος καταυγασμένα φωτί, καὶ τὸν ἐν τῷ σώματι Θεὸν λόγον γνωρίσαντα, τὰ τὸ θεῖον εἰδότα σωτήριον, τὸ κατὰ πρόσωπον πάντων τῶν λαῶν ἡτοιμασμένον. ὡς μα-
C κάριαί σου αἱ χεῖρες αἱ τὸν λόγον τῆς ζωῆς ψηλαφήσασαι· ὡς μακαρία σου ἡ γλῶττα ἡ τὴν ἀποκάλυψιν τοῦ ζωτικοῦ φωτὸς εὐαγγελισαμένη. καὶ τί ἄν σοι καθ' ἕκαστον τῶν μελῶν ἰδικῶς ἁρμόζειν ἐπιχειρῶ ἔπαινον, ἤδη σε ὅλον ἐπαινετὸν καὶ μακάριον, καὶ τῷ ἁγίῳ πνεύματι κάτοχον τοῦ εὐαγγελιστοῦ προδιδάξαντος; ἀλλὰ δεῦρο ὦ μακάριε πάτερ, τῇ ἐν σοὶ ὑπηχήσει τοῦ πνεύματος δίδαξον ὡς τέκνα τῆς ἐκκλησίας τὰ θρέμματα τὸν ἀποκεκρυμμένον θησαυρόν, καθάπερ ἐν ὀστρακίνοις σκεύεσι τοῖς ὀλίγοις σου ῥήμασιν· ἐπείπερ πρὸς ὑμᾶς τε
D καὶ τοὺς καθ' ὑμᾶς τῇ πολιᾷ τῆς ἄνω φρονήσεως κεκοσμημένους καὶ πρεσβυτέρους ὄντως ὑπάρχοντας, καὶ τῆς ἐκκλησίας πατέρας χρηματίζοντας, ὁ θεῖος ἡμᾶς ὁδηγεῖ λόγος μαθητευομένους τὰ σωτηριώδη διδάγματα, ἐπερώτησον λέγων τὸν πατέρα σου· καὶ ἀναγγελεῖ σοι τοὺς πρεσβυτέρους σου· καὶ ἐροῦσί σοι. ἡ τὴν ἐκείνου τηνικαῦτα γλῶτταν κινήσασα τότε πρὸς θεολογίαν τοῦ πνεύματος δύναμις, καὶ ἡμῖν διδότω λόγον νῦν ἐν ἀνοίξει τοῦ στόματος. νῦν ἀπολύεις, φησί, τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ.

ἐξ ὅτε γὰρ Χριστὸς ἐνηνθρώπησε, καὶ τὴν πολεμοποιὸν ἁμαρτίαν ἐξηφάνισε, καὶ τῷ πατρὶ ἡμᾶς κατήλλαξεν, ἐν εἰρήνῃ ἡ τῶν ἁγίων μετάστασις γίνεται. τοῦτο γὰρ προφητικῶς καὶ ὁ μέγας Δαυὶδ προενδεικνύμενος ἔλεγεν· ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω· τὸ μὴ παρὸν, ἀλλὰ μέλλον κατὰ τὴν τοῦ Χριστοῦ παρουσίαν αἰνιττόμενος· καὶ ὡς μονοτρόπως τῆς τοιαύτης ἐλπίδος, τῆς εἰρηναίας φημὶ ἐν Χριστῷ κοιμήσεως, τοῖς ἁγίοις εἰσοικισθείσης διὰ τοῦ πνεύματος, φησίν· ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. ὁ δὲ μακάριος πρεσβύτης Συμεὼν ἤδη παρόντα τὸν καιρὸν θεασάμενος φησὶν, νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, τὸ ἐνεστηκὸς τῆς θείας δεικνύων ἐπαγγελίας· ὅτι εἶδον, φησιν, οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· τουτέστι τὴν διὰ Χριστοῦ γενομένην παντὶ τῷ κόσμῳ σωτηρίαν, καὶ οὐ μόνῳ τῷ Ἰσραήλ. πῶς οὖν ἀνωτέρω μεμαρτύρηται τὴν τοῦ Ἰσραὴλ προσδέχεσθαι παράκλησιν, νῦν δὲ ὤφθη τὸ τοῦ Θεοῦ σωτήριον ἐνώπιον πάντων τῶν λαῶν ἀναφθεγγόμενος; ἐπειδὴ τότε τὴν τοῦ Ἰσραὴλ ἔσεσθαι παράκλησιν ἔγνω τῷ πνεύματι, ὅτε καὶ πᾶσι τοῖς λαοῖς ἡτοίμασται τὸ σωτήριον. ὅρα δὲ τὸ ἀκριβὲς τῆς θείας ἐμπνεύσεως. φῶς γάρ, φησιν, εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ· ὁμόλογα τῷ μεγάλῳ Παύλῳ ἐν τῷ τὸν Ἰσραὴλ ὑπαριθμεῖσθαι φθεγγόμενος. ὅτε γάρ, φησι, τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε καὶ πᾶς Ἰσραὴλ σωθήσεται. οὐκοῦν καὶ αὐτὸς προτάξας τὴν κλῆσιν τῶν ἐθνῶν, τελευταῖον κατὰ τὴν προφητείαν, τὴν τοῦ παντὸς Ἰσραὴλ ἐταμιεύσατο ἐπιστροφήν· κἂν ὅτι ἤδη τὸ κατάλειμμα σέσωσται διὰ τῶν ἤδη ἐξ Ἰουδαίων προσδραμόντων τῇ χάριτι. θέα δέ μοι καὶ τὸ τῶν ὑψηλῶν νοημάτων κυριόλεκτον. φῶς γὰρ εἰς ἀποκάλυψιν ἐθνῶν εἰρηκὼς, τὴν τοῦ θείου σωτηρίου ἀποκάλυψιν νοεῖν ἡμῖν δίδωσιν, ὡς ἐν σκότῳ παντελεῖ καὶ τελείᾳ ζοφώσει μηδένα αὐγασμὸν θεογνωσίας ἔχοντα. πρὸ γὰρ τῆς Χριστοῦ παρουσίας καθεστήκει τὰ ἔθνη, καθὼς καὶ ὁ μακάριος Ἡσαΐας τὸν ἐν σκότει λαὸν καθήμενον εὐαγγελιζόμενος, τὸ μέγα φῶς αὐτοὺς ἰδεῖν διηγόρευσεν.

A Nam ex quo Chriſtus homo factus eſt, & peccatum, quod bellum cõflabat, ſuſtulit atque deleuit, ac patri nos reconciliauit, ſanctorũ ſtatus mutatus in pace conquieſcit. Hoc enim etiam magnus Dauid Prophetarũ more præſignificans dicebat, In pace in idipſum dormiam & ſomnũ capiam: non id quod aderat, per verborum innuens inuolucra, ſed quod circa aduentũ Chriſti futurum erat. Ac quaſi ſingulariter eiuſmodi ſpes (pacificæ, inquam, in Chriſto dormitionis atque quietis) ſanctis per Spiritum ingenerata eſſet, Quoniã tu domine, inquit,
B ſingulariter in ſpe cõſtituiſti me. At beatus ſenex Simeon iam præſentem illum temporis articulũ videns. Nunc dimittis, inquit, ſeruum tuũ domine, ſecundum verbum tuum in pace, præſentem & inſtantem indicans promiſſionem diuinam: quia viderunt, inquit, oculi mei ſalutare tuum, quod paraſti in cõſpectu omnium populorũ, id eſt, eam, quæ per Chriſtum vniuerſo mundo & non ſoli Iſraël parata eſt, ſalutem. Quî igitur ſuperius dictus eſt expectare conſolationem Iſraëlis, nunc verò videtur coram
C omnibus populis ſalutare Dei prædicare? quia nunc Iſraëlem conſolatum iri Spiritu cognouit, quum etiam omnibus populis ſalutare præparatũ fuiſſet. Vide autẽ accuratam diligentiã inſpirationis diuinæ. Lumen enim, inquit, ad reuelationem gentium, & gloriam plebis tuæ Iſraël: conſentanea atque conuenientia magni Pauli verbis dicens, vbi poſt gentes numerat Iſraëlem. Quãdo enim, inquit, plenitudo gentiũ intrauerit, tunc etiã vniuerſus Iſraël ſaluus erit. Quamobrem quum etiã ipſe vocationem gentium præpoſuiſſet, in poſtremam pro- *Rom. 11.*
D phetiæ partem conuerſionem vniuerſi Iſraëlis reiecit: etſi iam reliquiç per eos, qui iam ex Iudæis ad gratiam acceſſerunt, ſeruatæ ſunt. Conſidera item mihi ſublimium ſententiarum propriam ac diſtinctam eloquutionem. Quum enim lumen ad reuelationem gentium dixerit, diuini ſalutaris reuelationem nobis intelligendã præbet, quippe quum in denſiſſimis tenebris & ſumma caligine nullum Dei cognitionis ſplendorem extraneæ gentes haberent. Nam ante aduentum Chriſti gentes in tenebris verſabantur, quemadmodum *Eſa. 9. 2.* beatus Eſaias quoque populo, qui in tenebris ſedebat, bonum nuntium apportans, magnum lumen eos viſuros dixit.

A Quoniam autem Iſraël etſi modice, tamen typica ſaltem & vmbratili lege illuminabatur, de illo quidem loquens verbo luminis abſtinuit, ſed gloriā cum conſequuturum eſſe vaticinatus eſt, veterem rem geſtam in memoriam reducens, nempe quemadmodum admirabilis ille Moyſes olim, quo tēpore cum
Exod. 33. Deo colloquebatur, ſplēdidam faciem habuit & illuminatam: ita etiam illos ipſos cum diuino, quod humanam naturam aſſumpſit, lumine per fidem congreſſos & virtute ſpiritus illuminatos, vetúſque velamentum deponentes, & eadem imagine ſe de gloria in gloriam transformantes, quemadmodum quaſi
2. Cor. 3. Spiritu domini Apoſtolus ait, gloria atq. B ſplendore præditos apparituros eſſe. Porro quod diuinus Simeon dixit, in ruinam & reſurrectionem multorum in Iſraël dominum poſitum eſſe, oſtendit ipſa conuenientia ſentētiarum cum iis,
Eſa. 49. quæ Prophetæ prodiderunt, vnum &
1. Petr. 2. eundem Deum atque legiſlatorem tum in Prophetis, tum in nouo teſtamento loquutum eſſe. Nam lapidem offendiculi & petram ſcandali in cauſſa fore, vt non confundantur qui in illum credāt, propheticus ſermo dixit. Igitur ruina quidem eſt ijs, qui propter incredulitatem humilitate carnis illius offenduntur: reſurrectio verò ijs, qui firmitudi- C nem diuinæ diſpoſitionis & adminiſtrationis agnouerint. Quinetiam quum fore, vt ipſius Deiparæ animam gladius pertranſiret, apertè prædicit eam, quæ fuit in cruce paſſionem. Nam quum ob ea, quæ ab illa noua atque inaudita conceptione vſque ad tempus ſupplicij diuinitus de eo tum dicta tum facta erant, vnum quaſi perpetuum & indiuiduum corpus, ſublimiorem videlicet ac maieſtati diuinæ conuenientiorem de eo Deipara haberet opinionem, qua- D ſi ſectionem quandam eam perpeſſam eſſe exiſtimabimus per ignominioſam illam crucifixionem, etſi reſurrectionis miraculum ſectionem plena atque perfecta quaſi cicatrice obducta ſanauit. Sed nec ſolam quidē illam eiuſmodi caſui atq; affectioni alligatum iri & obnoxiā fore ſignificat, ſed futurū etiā prædicit, vt ex multis cordibus cogitationes ambiguæ, diſcordātes & ancipites manifeſtarētur, ne in diuerſitate de illo opi-
Luc. 2. nionū virgo Dei genitrix aliquo modo perturbaretur. Quoniā autē Anna prophetiſſa præ ſenectute exile quiddā loquitur, quòd etiā non admodum clarè exaudiri poteſt,

A ὅτι δὲ ὁ Ἰσραὴλ εἰ καὶ μετρίως, ὅμως γοῦν τῷ τυπικῷ ἐφωτίζετο νόμῳ, φῶς μὲν ἐπ' ἐκείνῳ οὐκ εἴρηκεν· δόξαν δὲ αὐτὸν κληρώσασθαι προεφήτευσε, παλαιᾶς ἱστορίας ἀναμιμνήσκων, ὅτι καθάπερ πάλαι ὁ θαυμάσιος Μωϋσῆς τοῦ Θεοῦ συνόμιλος γεγονὼς δεδοξασμένον ἔσχε τὸ πρόσωπον, οὕτω καὶ αὐτοὶ τῷ θείῳ τῆς ἐνανθρωπήσεως διὰ πίστεως προσομιλήσαντες φωτὶ, καὶ τῇ τοῦ πνεύματος καταλαμφθέντες δυνάμει, ἐν δόξῃ φανήσονται, τὸ παλαιὸν ἀποθέμενοι κάλυμμα, καὶ τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι, ἀπὸ δόξης εἰς δόξαν, ὥς φησιν ὁ ἀπόστολος, καθάπερ ἀπὸ κυρίου πνεύματος. B τὸ εἰρηκέναι δὲ τὸν θεόφρονα Συμεῶνα εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ κεῖσθαι τὸν κύριον, δείκνυσι τῇ συμβάσει τῶν νοημάτων πρὸς τὰ προφητικὰ διηγήματα, ἕνα καὶ τὸν αὐτὸν Θεόν τε καὶ νομοθέτην ἔν τε προφήταις καὶ τῇ καινῇ διαθήκῃ λελαληκέναι. τὸν γὰρ λίθον τοῦ προσκόμματος καὶ τοῦ σκανδάλου τὴν πέτραν αἰτίαν τοῦ μὴ καταισχυνθῆναι τοὺς ἐπ' αὐτὸν πιστεύοντας, ὁ προφητικὸς διηγόρευσε λόγος. οὐκοῦν πτῶσις μέν ἐστι τοῖς τῷ ταπεινῷ τῆς σαρκὸς ἐξ ἀπιστίας προσπταίουσιν· ἀνάστασις δὲ τοῖς τὸ στερεὸν τῆς θείας οἰκονομίας ἐπε- C γνωκόσιν. ἀλλὰ καὶ αὐτῆς τῆς θεοτόκου ψυχῆς ῥομφαίαν διελεύσεσθαι λέγων, σαφῶς τὸ ἐν τῷ σταυρῷ προφητεύει πάθος. τοῖς γὰρ ἐξ αὐτῆς τῆς παραδόξου συλλήψεως μέχρι τοῦ καιροῦ τοῦ πάθους θεοπρεπῶς εἰς αὐτὸν εἰρημένοις τε καὶ πεπραγμένοις, ἓν ὥσπερ ἀδιάτμητον σῶμα, τὴν ὑψηλοτέραν τε καὶ θεοπρεπεστέραν περὶ αὐτοῦ ἐχούσης τῆς θεοτόκου ὑπόληψιν, τομὴν ὥσπερ τινὰ πεπονθέναι αὐτὴν νομιοῦμεν, ἐν τῷ ἀδόξῳ τῆς σταυρώσεως, εἰ D καὶ τὸ τῆς ἀναστάσεως θαῦμα συνούλωσιν παντελῆ τῆς τομῆς ἀπειργάσατο. ἀλλ' οὐδὲ μόνην αὐτὴν τῷ τοιούτῳ πάθει ἐνσχεθῆναι σημαίνει, ἀλλ' ἐκ πολλῶν καρδιῶν διαλογισμοὺς ἀμφιβολίας τε καὶ διχονοίας ἀναφανῆναι προλέγει· ὡς ἂν ἐν τῷ διαφόρῳ τῆς περὶ αὐτοῦ ὑπολήψεως, μὴ ἵνα κλόνον σχοίη ἡ θεομήτωρ παρθένος. ὅτι δὲ ἡ προφῆτις Ἄννα ἐκ τοῦ γήρως ἀδρανές τι καὶ οὐ λίαν ἐξάκουστον φθέγγεται,

ἀλλ' οὐδὲ τὸ ὑψηλὸν εὐαγγέλιον αὐτολεξεὶ τὰ ἐξ αὐτῆς λεχθέντα παρήγαγε, πρῶτον μὲν ἐκ τοῦ εὐαγγελιστοῦ πυθώμεθα, τίς τε καὶ πόθεν αὕτη καθέστηκε, καὶ ἐπὶ ποίοις καὶ πότε τῷ ἱερῷ ἐφέστηκεν, αὖθις τε τίνων ἔλεγε διανοίας ἐρευνήσωμεν. Φησὶ τοίνυν ὁ μακάριος Λουκᾶς, ὡς ἦν Ἄννα ἡ προφῆτις θυγάτηρ Φανουὴλ ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς· καὶ αὐτὴ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων· ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα B καὶ ἡμέραν· καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Θεῷ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. τίς ὁ λόγος τοῦ τοιαύτην ἀκριβῆ τὴν περὶ τῆς προφήτιδος ταύτης τὸν εὐαγγελιστὴν ποιήσασθαι τὴν ἀφήγησιν, ὥστε καὶ τὸν ταύτης πατέρα, καὶ τὴν φυλὴν ἐν ἐπιμνήσει ποιήσασθαι, καὶ ὅπερ ἐπ' οὐδενὶ ἑτέρῳ σχεδὸν ἱστορημένον εὕρηται; τὸν μὲν περὶ τούτου ἀκριβῆ λόγον μόνος ἂν εἰδείη αὐτὸς ὁ τῶν ἁγίων Θεός, καὶ οἱ τῇ αὐτοῦ ἐπιπνοίᾳ πνεύματι λαλεῖν κατὰ τὸν θεῖον ἀπόστολον δεδιδαγμένοι μυστήρια· C καθὰ δὲ τὸ ἡμῖν ἐφικτόν, καὶ ἑτέρας κατ' ἐκεῖνο καιροῦ τῇ μακαρίᾳ ταύτῃ συνωνύμους ὑπάρχειν φαμέν, καὶ τῶν αὐτῶν ἐκείνῃ ἔχεσθαι ἱερῶν σπουδασμάτων, τοῦ ἐν νηστείαις καὶ προσευχαῖς προσκαρτερεῖν. πρὸς οὖν τὸ εὐκρινὲς εἶναι τὸ ταύτης πρόσωπον τῇ τοῦ πατρὸς αὐτῆς ἐπιμνήσει καὶ τῆς φυλῆς τὸ ἴδιον προσεγράψατο· μεγάλοις δὲ αὐτὴν ἐγκωμίοις ἐστέψατο, καὶ πάντως τὸ παρὰ τοῖς ἀκούουσιν ἀξιόπιστον ἔχουσιν, οἷς καὶ περὶ τοῦ κυ- D ρίου διελέγετο. ἀλλ' ἐπεί, ὡς εἴρηται, τὸ τοῦ λόγου διηχημένον καὶ μεγαλόφωνον ὑπὸ τοῦ γήρως ἀφῄρηται, πλησίον αὐτῆς ὥσπερ τοῦ στόματος τὸ οὖς τῆς διανοίας ἐνθέμενοι διὰ τῆς παρούσης ὑποθέσεως ἐρεύνης, ἴδωμεν τί καὶ αὕτη διελέγετο τοῖς τὴν λύτρωσιν προσδεχομένοις ἐν Ἱερουσαλήμ. κατὰ γὰρ τὸ τῆς ἐννοίας ἀκόλουθον ἐκ τῶν προφητικῶν λόγων, τὴν περὶ τοῦ κυρίου ἐποιεῖτο διάλεξιν· ἐπεὶ καὶ οὗτοι, πρὸς οὓς ταῦτα λαλεῖν αὐτὴν τὸ εὐαγγέλιον ἔφησεν, πάντως ἐκ τῶν ἐν τοῖς προφήταις

A ac ne ſublime quidem Euangelium ad verbum memoriæ prodidit ea quæ dixerit, primum quidem ab Euangeliſta ſciſcitemur quænã & vnde ipſa fuerit, cuiúſve rei gratia & quãdo in templum ſuperuenerit, deinde quęnam fuerit eorum, quæ dixerit, ſententia, ſcrutemur. Ait igitur beatus Lucas, Erat Anna Propheti ſſa, filia Phanuelis, de tribu Aſer. hæc ætate multum prouecta erat, ac vixerat cum viro ſuo annos ſeptem à virginitate ſua: & hæc vidua erat annos nata circiter octoginta quatuor,, quæ non diſcedebat de templo, ieiuniis & B deprecationibus Deum colens noctes atque dies, & hæc in ipſa hora atque articulo tẽporis ſuperueniens corãm confitebatur gratiáſq; Deo agebat, loquebatur de illo omnibus qui expectabant redemptionem in Hieruſalem. Quid ſibi vult quòd tam accuratã ac plenam de hac propheti ſſa narrationem Euangeliſta inſtituit atque exponit, vt etiam patris eius ac tribus, atque earum rerum, quæ de nemine propemodum alio memoriæ prodita reperiuntur, mentionem faciat? Ac veram quidem huius C rei rationem ipſe ſanctorum Deus nouerit, & qui eius inſpiratione & inſtinctu Spiritu eius myſteria loqui, vt diuinus inquit Apoſtolus, edocti ſunt: quatenus autem nos coniectura aſſequi po- 1. Cor. 14. tuimus, etiam alias in illo tempore dicimus eiuſdem cum beata hac nominis fuiſſe, quæ etiam eiſdem, quibus illa, ſacris ſtudiis, vt in ieiuniis & orationibus aſſiduè perſeuerarent, deditæ & addictæ eſſent. Vt igitur certa eſſet & ab aliis diſcerni facilè poſſet huius perſona, patris eius mentioni etiam propriam illius tribum aſcripſit: ac magnis D laudibus, quæ prorſus etiam apud auditores, iis quæ de domino quoque dicebat, vim fidei faciendæ haberent, eam cumulat & ornat. Sed quoniam, vt dictum eſt, ſenectus orationi vocis claritudinem & reſonantiam ademit, propius eius quaſi ori mentis aurem admouentes, per eam quæ præſenti inhæret & inſita eſt argumento, ſcrutationem, videamus quidnam etiam hæc diceret iis, qui Hieroſolymis expectabant redemptionem. Nam, prout conſentaneum ac par eſt cogitare, ex ſcriptis prophetarum de domino verba faciebat: quoniam & illi, ad quos hæc eam loqui Euangelium dixit, prorſus ex diuinis oraculis quæ extant in prophetis,

didicerant redemptionem expectare. Prorſus ad deſcribendum myſterium in promptu habuit magni Eſaiæ verba:
Eſa.9. & 60. Puer natus eſt nobis, filius etiam datus eſt nobis, cuius imperium fuit ſuper humerum eius, & vocatur nomen eius, magni conſilij nuntius. Adde his, Illuminare illuminare Hieruſalem: venit enim lumen tuum: & gloria domini ſuper te exorta eſt. Etiam magnus Dauid producebatur:
Pſal.84. Miſericordia & veritas ſibi obuiam venerunt, iuſtitia & pax ſeſe
Pſal.97. mutuo oſculatæ ſunt, & viderunt omnes fines terræ ſalutare Dei noſtri. Ac indicatiuè de eo: Ante ſolem, inquit,
Pſal.71. permanet nomen eius, ac benedicentur in eo omnes tribus terræ. Omnes gentes beatum eum dicent, & ſeruient ei, & adorabunt eum, & notum fecit dominus ſalutare ſuum filijs Iſraël. Præterea
Malach.3. pretioſa & angelica ſapientis Malachiæ vox proferebatur: Ecce ego mittam nuntium meum, & parabit viam ante faciem tuam, & repente veniet in templum ſuum dominus, & nuntius teſtamenti quem vos vultis. Atque alijs aliundè ſumptis myſticis propheticorum oraculorum floribus, coronam illam beatam, qua diuinam naturam explicabat, debili quidem adhuc & tremebunda manu, vtpotè multum ætate prouecta, nexuit & concinnauit. Tunc enim fortè capere non poterant auditores ſublimium de domino ſententiarum narrationem, quando etiam poſt tot ſignorum editionem, ac diuinorum myſteriorum prędicationem ſapientiæ atque ſcientiæ theſaurorum diſpenſator Chriſtus ſuis diſcipulis dicebat: Multa habeo quæ vobis loquar, ſed non poteſtis nunc portare: ſed etiam obſcure anus illa & prophetiſſa de domino verba fecit, vtpotè legis ſuſtinens perſonam quæ inueterata ſenióque confecta, ac prope ad interitum redacta, nouo teſtamento ceſſit: verumtamen non inutilis intelligentibus auditoribus eius ſermocinatio fuit, quemadmodum nec in ea, quæ à lege per vmbras & ænigmata verborúmque inuolucra fiebat, magni myſterij præſignificatio. Venite igitur vos quoque patres & fratres ſpirituales, qui dies feſtos celebrare & epulari didiciſtis in nouitate ſpiritus & non per litteræ vetuſtatem, qui in azymis ſinceritatis & veritatis pretioſum & viuificum paſcha

A ἐκ φερομένων θείων χρησμῶν προσδέχεσθαι λύτρωσιν μεμαθήκασιν. πάντως αὐτῇ πρόχειρος εἰς ὑπογραφὴν τοῦ μυστηρίου ὁ τοῦ μεγάλου Ἡσαΐου λόγος καθεστήκει· παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ ὅτι καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. καὶ μήν, φωτίζου φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. καὶ Δαβὶδ ὁ μέγας παρήγετο· ἔλεος καὶ ἀλήθεια συνηντήκασι, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν, καὶ εἴδοσαν
B πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. καὶ ἐνδεικτικῶς εἰς αὐτόν· πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν, καὶ δουλεύσουσιν αὐτῷ καὶ προσκυνήσουσιν αὐτῷ, καὶ ὅτι ἐγνώρισε κύριος τὸ σωτήριον αὐτοῦ τοῖς υἱοῖς Ἰσραήλ. αὖθίς τε ἡ τιμία καὶ ἀγγελοπρεπὴς τοῦ σοφοῦ Μαλαχίου φωνή· ἰδοὺ ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν μου, καὶ ἑτοιμάσει ὁδὸν πρὸ προσώπου σου· καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ κύριος, καὶ ὁ ἄγγελος τῆς διαθή-
C κης, ὃν ὑμεῖς θέλετε. καὶ ἄλλοις ἄλλοθεν προφητικῶν λογίων μυστικοῖς ἄνθεσι τὸ θεολόγον καὶ μακάριον στέφος ἐπλέξατο, ἀσθενεῖ μὲν ἔτι καὶ ὑποτρόμῳ χειρί, ὡς δὴ προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς. οὐ γάρ που ἐχωρεῖτο τότε τοῖς ἀκούουσιν ἡ τῶν ὑψηλῶν περὶ τοῦ κυρίου νοημάτων ἀφήγησις, ὅτε καὶ μετὰ τὴν τοσαύτην τῶν σημείων ἐπίδειξιν καὶ τὴν ἐνθέων μυστηρίων ἀνακήρυξιν ὁ τῶν τῆς σοφίας καὶ τῆς γνώσεως θησαυρῶν ταμίας Χριστὸς τοῖς ἑαυτοῦ ἔλεγε μαθηταῖς· πολλὰ ὑμῖν ἔχω λαλῆσαι, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅμως εἰ καὶ ἀμυδρῶς
D ἡ γηραλέα καὶ προφῆτις τὸν περὶ τοῦ κυρίου ἐποιήσατο λόγον, ὡς τοῦ νόμου ἔχουσα πρόσωπον, ὅσπερ παλαιωθέν τε καὶ γηράσαν καὶ ἐγγὺς ἀφανισμοῦ γεγονός, τῇ καινῇ διαθήκῃ παρεχώρησεν. ἀλλ' οὖν οὐκ ἀσυντελὴς ἡ παρ' αὐτῆς διάλεξις τοῖς συνετοῖς ἀκροαταῖς γέγονεν, ὥσπερ οὐδὲ ἡ παρὰ τοῦ νόμου ἐν σκιαῖς καὶ αἰνίγμασι τοῦ μεγάλου μυστηρίου προαναφώνησις. διότι οὖν καὶ ὑμεῖς πατέρες καὶ ἀδελφοὶ πνευματικοί, οἱ ἑορτάζειν δεδιδαγμένοι ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος, οἱ ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας τὸ τίμιον καὶ ζωοποιὸν πάσχα

τῆς θυσίας Χριστοῦ ἑορτάζειν ὀφείλοντες· οἱ τῇ θείᾳ ἀναγεννήσει τοῦ ἁγίου βαπτίσματος τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, τὸν κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης φθειρόμενον, καὶ τὸν νέον ἐνδυσάμενοι, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος, δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν· εἴπωμεν δέ, ὡς φοβερὰ τὰ ἔργα σου κύριε, εἰ καὶ ἐν τῷ πλήθει τῆς δυνάμεώς σου οἱ ἐχθροί σου ἐψεύσαντο, ἑκουσίως πρὸς τὸ φανὲν τῷ κόσμῳ θεῖόν σου φῶς τοὺς ὀφθαλμοὺς ἀπομύσαντες. προφθάσωμεν δὲ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ· ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ, τῆς τε εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθανώμεθα· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός, ἵνα τὸν ῥύπον τῆς ἁμαρτίας ἀπονιψώμεθα, καὶ ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ πνευματικὴ ἡμῶν νεότης· καθάπερ καὶ τοῦ μακαρίου πρεσβύτου Συμεῶνος, ἵνα καὶ ἡμεῖς εἰρηνικῶς τε καὶ περιχαρεῖς ἐν ἀγαθῇ πεποιθήσει καὶ σωτηρίῳ ἐλπίδι πρὸς τὴν τοῦ βίου ἔξοδον δράμωμεν, καὶ μὴ μετ' αἰσχύνης καὶ δέους τὸν παρόντα βίον ὑπεξέλθωμεν, καί πως τινὰ μὴ βουλόμενοι, καθάπερ οἱ πονηρὰ ἑαυτοῖς συνεγνωκότες ἀηδῆ τε καὶ κατεστυγνωμένην τοῦ βασιλέως τὴν ἐπιστασίαν ἔχουσι· μιμησώμεθα τῆς μακαρίας Ἄννης τὸ ἐν νηστείαις τε καὶ προσευχαῖς σύντονον καὶ ἀνένδοτον, μὴ γυναικὸς χείρους φανείημεν, καὶ ταῦτα ὑπὸ τὴν σκιὰν πολιτευομένης τοῦ νόμου, ἔνθα τὸ ἐν τούτοις εὐδόκιμον σπάνιον. ἀλλ' ἡμεῖς τῷ φωτὶ καταλαμπόμενοι τῆς χάριτος, καὶ τῷ τρανῷ τε καὶ ἐκτυπωτέρῳ τῆς ἐλπίδος βοηθούμενοι, καὶ τῷ κράτει τοῦ πνεύματος δυναμούμενοι, μὴ χωρισθῶμεν τῶν ἱερῶν διδαγμάτων, ἐξ ὧν ἡ σωτήριος ἕξις ταῖς ψυχαῖς ἐντίκτεσθαι εἴωθεν· καθάπερ κἀκείνη ἀχώριστος εἶναι τοῦ ἱεροῦ μεμαρτύρηται, μὴ περιπλαζώμεθα τοὺς λογισμοὺς ἀπὸ τοῦ θείου φόβου, ἀλλ' ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ τὰς σάρκας ἡμῶν καὶ τὰ νοήματα κατὰ τὴν τοῦ προφήτου εὐχὴν καθηλώσωμεν. ἀκούσωμεν τοῦ μεγάλου Παύλου διδάσκοντος· ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ, καὶ μὴ τὰς πρὸς αὐτὸν συν-

A victimæ Chriſti celebrare debetis: qui diuina regeneratione ſacri baptiſmatis veterem hominem, qui iuxta concupiſcentias fraudulentas corrumpebatur, depoſuiſtis, & nouum, qui renouatur ad agnitionem iuxta imaginem creatoris, induiſtis, venite exultemus domino, iubilemus Deo ſalutari noſtro: dicamus illud, Quàm terribilia opera tua domine, etſi in multitudine potentiæ tuæ inimici tui fruſtrati ſunt, ſponte ſua ad diuinum tuum lumen, quod mundo apparuit, oculos claudentes. Præoccupemus faciem eius in confeſſione, & in

B pſalmis iubilemus ei: offeramus ſemper Deo hoſtiam laudationis, hoc eſt, fructum labiorum confitentium nomini eius, nec obliuiſcamur beneficij eius atque communicationis: talibus enim victimis Deus delectatur atque placatur, vt ſordes peccati abluamus, & renouabitur ſicut aquilæ iuuentus noſtra ſpiritualis: quemadmodum etiam B. ſenis Simeonis, vt nos quoque pacificè gaudióque perfuſi atque hilariter cum bona fiducia ac ſpe ſalutis ad exitum vitæ curramus, & non cum pudore & *Hebr. 13.*

C metu, & quodam modo nolentes & inuiti ad exitiũ vitę contendamus: quemadmodum qui male ſibi conſcij ſunt, ægrè ac moleſtè regis aduentum ferunt. imitemur B. Annæ in ieiuniis atque orationibus continuum ſtudium atque perpetuam diligentiam, ne muliere deteriores eſſe videamur, ſub vmbra legis præſertim viuente, vbi talibus virtutibus clarorum hominum rara ſunt exempla. Verum nos qui lumine gratiæ illuſtramur, qui vera & manifeſta ſpe nitimur & adiuuamur, qui viribus ſpiritus confirmamur, ne diſceda-

D mus à ſacris doctrinis, ex quibus ſalutaris habitus animis innaſci conſueuit: quemadmodum illam quoque memoriæ proditum eſt à templo non diſceſſiſſe, ne cogitationes noſtras circumuagari & à timore Dei aberrare ſinamus, ſed ex ipſo & per ipſum carnes noſtras ac ſenſus noſtros, quemadmodum optat ille Propheta, configamus. audiamus magnum Paulum docentem: Coniunxi vos vni viro, vt virginem caſtam Chriſto exhiberem, & ne fœdera & pacta inita cum illo per conſociationem & conſuetudinem *Pſal. 118. 110.* *1. Cor. 11.*

cum vitæ noſtræ viciatore, faciendo A quæ ille voluerit, negligamus ac reſcindamus: etiam in hoc imitantes, propheciſſæ caſtitatem & nuptias vnicas & ſingulares: ſed iuxta ſententiam verborum, quæ ſe prima acie offert, ne deſeratis imitationem propheciſſæ, quicumque à ſingularibus nuptiis ſoluti & liberati eſtis: ac ſi fieri poteſt, ad ſecundas nuptias ne tranſeatis. nam ita melius vobiſcum iri B. Paulus, quod ad hoc attinet negotium, confirmat. Offeramus etiã nos ad ſuperum altare tamquam par turturum, animi & corporis puritaté: aut tamquam duos pullos colũbarum, prouiſionem bonarum B aut honeſtarũ rerum, non ſolum coram domino, verum etiã coram hominibus, vt etiam nos omnibus, quæ lex diuina præſcribit, ſpiritualiter defuncti & ſapientia ac gratia proficiẽtes, & ad menſuram plenæ ætatis Chriſti peruenientes, & interno homine perfecti, & Spiritus ſancti domicilium euadentes, reuertamur in patriam noſtram veram, cœleſtem Hieroſolymam in qua digni efficiamur, qui beata atque perpetua lętitia ſimul & regno fruamur per Chriſtum Ieſum dominum noſtrum, cui glo- C ria & imperium, cum Patre & ſancto Spiritu, nunc & ſemper, & in ſæcula ſæculorum, Amen.

θήκας ἀθετήσωμεν διὰ τὸ πρὸς τὸν φθορέα τῆς ζωῆς ἡμῶν ἐπιμιξίας ἐκ τοῦ ποιεῖν τὰ ἐκείνου θελήματα· κἀν τούτῳ μιμούμενοι τῆς προφήτιδος τὸ σῶφρόν τε καὶ μονόζυγον, ἀλλὰ κατὰ τὸ πρόχειρον μὴ ἀπολειφθείη τι τῆς μιμήσεως, ὅσοι μονογαμίας ἐλύθητε, καὶ εἰ δυνατὸν, πρὸς δεύτερον γάμον μὴ ἔλθητε. οὕτω γὰρ μακαριώτερον ἔσεσθαι Παῦλος ὑμᾶς περὶ τούτου διαβεβαιοῦται. προσαγάγωμεν καὶ ἡμεῖς ἐπὶ τὸ ἄνω θυσιαστήριον ὡς ζεῦγος τρυγόνων τὴν τῆς ψυχῆς καὶ τοῦ σώματος καθαρότητα· ἢ ὡς δύο νεοσσοὺς περιστερῶν τὸ προνοεῖσθαι καλὰ, οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων, ἵνα πάντα καὶ ἡμεῖς πνευματικῶς κατὰ τὸν θεῖον νόμον τελέσαντες, ἐν σοφίᾳ τε καὶ χάριτι προκόπτοντες, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ φθάνοντες, καὶ τὸν ἔσω ἄνθρωπον τελειούμενοι, καὶ πνεύματος ἁγίου γενόμενοι ἐνδιαίτημα, ὑποστρέψωμεν εἰς τὴν πατρίδα ἡμῶν τὴν ἀληθινὴν, τὴν ἐπουράνιον Ἱερουσαλὴμ· ἐν ᾗ καταξιωθείημεν τῆς μακαρίας καὶ διηνεκοῦς εὐφροσύνης τε καὶ βασιλείας ἀπολαύειν ἐν Χριστῷ Ἰησοῦ, ᾧ δόξα καὶ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

EIVSDEM ORATIO DE Deitate Filij & Spiritus ſancti, cui inſerta eſt laudatio conſtantis fidei iuſti illius Patriarchæ Abrahami.

Laurentio Siſano interprete.

QVALE quiddam in florentibus pratis accidere ſolet iis D qui earum rerum ſpectandarum ſtudio tenentur, quorum oculi propter pulchritudinis decus æquale non in vno aliquo flore, qui in cõſpectu ſit, defigitur, ſed dum nullo non potiri volunt, in omneis cupiditate fuſi, id quod in eo negotio ſummum eſt ſæpenumero non aſſequũtur: tale quiddam etiã animo meo pratum ſcripturæ ſpectantis vſu venit. Sententiarum enim pulchritudinis varietas ad omnia

ΤΟΥ ΑΥΤΟΥ, ΠΕΡΙ ΘΕΟτητος υἱοῦ καὶ πνεύματος, καὶ ἐγκώμιον εἰς τὸν δίκαιον Ἀβραὰμ, λόγος.

ΟΙΟΝ τι πάσχουσι πρὸς τοὺς πολυανθεῖς τῶν λειμώνων οἱ τῶν τοιούτων φιλοθεάμονες, οἷς οὐ πρός ἕν τι τῶν φαινομένων διὰ τὸ τῆς ὥρας ὁμότιμον ὁ ὀφθαλμὸς ἐφίσταται, ἀλλ' ἐπὶ πάντα ταῖς ἐπιθυμίαις χεόμενοι τῶν μηδενὸς ἐθέλειν διαμαρτεῖν, πολλάκις τοῦ παντὸς ἀποπίπτουσι· τοιοῦτόν τι πέπονθε κἀμοῦ ἡ διάνοια πρὸς τὸν λειμῶνα τῆς γραφῆς ἀποβλέποντος. τὸ γὰρ ποικίλον τῆς ὥρας τῶν νοημάτων ὁμοτίμως ἐπὶ πάντα τὴν ψυχὴν ἐφελ-

κάλλιμον, ἀστάτην ποιεῖ τὴν ἐπιθυμίαν, τῷ μὴ δύνασθαι ῥᾳδίως εὑρεῖν ἐν τοῖς ὁμοτίμοις τὸ προτιμότερον. ἰδοὺ γὰρ πῶς ὑπολάμπει διὰ τοῦ μεγάλου Δαβὶδ τῆς προφητείας τὰ ἄνθη; οἷον δὲ ἄνθος ὁ θεῖος Ἀπόστολος τῆς τοῦ παραδείσου γεωργίας ὑποσημαίνων τὸ κάλλος, καὶ πολλὴν ἀποπνέων τοῦ Χριστοῦ τὴν εὐωδίαν; τῶν δὲ εὐαγγελικῶν λειμώνων τὸ κάλλος τίς ἂν ὑπεξέλθοι λόγος ἀνθρώπινος; ἀλλά μοι δοκεῖ καλῶς ἔχειν ἐν καιρῷ μνησθῆναι τῆς παροιμιακῆς ἐπαινέσεως, καὶ ζηλῶσαι τὴν μέλισσαν· ἣν φησὶν ἡ γραφὴ τῇ ῥώμῃ μὲν εἶναι ἀσθενῆ (οὐ γὰρ ὤφθη ποτὲ ὅλον δρεψαμένη τὸ ἄνθος, καὶ ὑπὲρ νώτου ἐπὶ σίμβλα κομίζουσα) ἀλλὰ τὸ λεπτὸν καὶ χνοῶδες τῆς ἐν τῷ μέσῳ κόμης ἐκτιναχθὲν διὰ τῶν πτερύγων ταῖς ἀγκύλαις ὑπολαβοῦσα, δι' ἐκείνων ἐργάζεται τὴν σοφὴν ἐργασίαν ἐκείνην, ταῖς ἓξ ἀγκύλαις ἰσαρίθμους γωνίας εἰς ὄρθιον ἀνεγείρουσα, καὶ διὰ μέσου τῇ λειότητι τῶν πτερύγων, οἷόν τισιν ἀλοιφαῖς, τοὺς λεπτοὺς ἐκείνους καὶ ὑμενώδεις τοίχους ἐπιλεαίνουσα. εἰ δὲ μέλλει καὶ ὁ ἡμέτερος λόγος βασιλεῦσί τε καὶ ἰδιώταις, καθώς φησιν ὁ Σολομὼν, εἰς ὑγίειαν ἐπιτήδειος γίνεσθαι, εὐχῇ τὴν χάριν ἐπισπασώμεθα ἐγώ τε καὶ ὑμεῖς παραπλησίως. κοινὸν γὰρ τὸ κέρδος, μᾶλλον δὲ τὸ πλέον ὑμέτερον· ἐπείπερ τὸ λαβεῖν τι καλὸν τοῦ παρασχεῖν κερδαλεώτερον. ἀπαγορεύει τὸ εὐαγγέλιον παλαιοῖς ἀσκοῖς οἶνον νέον ἐναποτίθεσθαι· τάχα πρὸς τὸν παρόντα καιρὸν βλέπει τὸ αἴνιγμα. ὁ γὰρ νεοθλιβὴς οἶνος, διὰ τὴν φυσικῶς ἐγγινομένην τοῦ ὑγροῦ ζέσιν, πνεύματος πλήρης ἐστὶ, διὰ τῆς φυσικῆς κινήσεως ἐξαφρίζων τὸν ἰλυώδη ῥύπον ἀφ' ἑαυτοῦ. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶ κατά γε τὸν ἐμὸν λόγον, ἢ ἡ περὶ τοῦ ἁγίου πνεύματος διδασκαλία, καθώς φησιν ὁ Ἀπόστολος, ὅτι τῷ πνεύματι ζέοντες, ὧν οἱ σαθροί τε καὶ διεῤῥυηκότες ἀσκοὶ, καὶ ὑπὸ τῆς ἀπιστίας πεπαλαιωμένοι οὐ στέγουσιν, ἀλλὰ περιῤῥήγνυνται τῇ μεγαλοφυΐᾳ τοῦ δόγματος. διὰ τοῦτο ἐάν τι ὑψηλὸν αὐτοῖς ἐκ διδασκαλίας ἐγγένηται νόημα, σχίζονται περὶ τὸν ὄγκον τοῦ δόγματος· καὶ αὐτοί γε ἀχρειοῦνται διὰ τοῦ ῥήγματος, τήν τε τοῦ πνεύματος χάριν εἰκῇ ῥέειν παρασκευά-

A pariter animum attrahens, efficit vt cupiditas eius, dum in pari decore prædi-tis haud facilè quod potius ſequatur reperire poteſt, inconſtans ſit, & ab aliis ad alia properet atque feſtinet. Ecce enim quomodo per prophetiam magni Dauidis flores enitent? qualis verò flos diuinus Apoſtolus, paradiſi culturæ pulchritudinem oſtendens, ac multam odoris Chriſti redolens ſuauitatẽ? nam Euangelicorum pulchritudinem pratorum quænam oratio explicet humana? Verùm mihi haud alienum eſſe videtur, in tempore prouerbialis illius B mentionem facere laudationis, & apem imitari: quam dicit ſcriptura viribus quidem infirmam eſſe, (nunquam enim *Eccl. 11. 3.* viſa eſt totum colligere florem, & ſuper dorſum ad aluearia portare) ſed tenuem illum qui in medio floris quaſi lanugini adhæret, alis excuſſum puluerem curuatis ſuſcipiens cruribus, per illa ſcitum illud efficit opus, ſenis pedum curuaturis numero pares in directum excitans angulos, ac per mediũ leuitate alarum, quaſi quibuſdam vncturis, tenueis illos in modum membranæ parietũ ordines C expoliens. Quod ſi futurum eſt vt noſtra quoque oratio & regibus & priuatis hominibus, vt inquit Solomon, ad ſanitatem conducat, precibus & votis eam gratiam nobis pariter conciliemus & ego & vos. Lucrum enim commune eſt, immò maior pars eius veſtra eſt: quandoquidem accipere aliquid boni plus adfert lucri, quàm aliquid præbere. Vetat Euangelium in vtres veteres vinum nouum infundere: forſitan ad hæc tempora ſpectat ſermonis tecti inuolu-D crum. Nam vinum recens expreſſum, propter eum qui naturaliter exiſtit in eo liquoris feruorem, flatu plenum eſt, naturali motu limoſas ab ſeſe per ſpumam exhalans atque reijciens ſordes. Hoc autem nihil aliud eſt, vt mea quidem fert opinio, niſi ea quæ de Spiritu ſancto traditur doctrina, (quemadmodum dicit Apoſtolus) ſpiritu feruentes quam putres perfluentéſque vtres ac præ incredulitate inueterati non continent, ſed doctrinæ maieſtate rumpuntur. Idcirco ſi qua ſublimis eis ex doctrina ingenerata fuerit ſententia, ſcinduntur circa amplitudinẽ doctrinæ: ac quum ipſi quidẽ per rupturam inutiles redduntur, tùm efficiunt vt in vanum ac fruſtrà effluat gratia Spiritus ſancti,

In animum enim malitioſum ſapientia non ingredietur, quêadmodum inquit ſcriptura. Imò agite permittite mihi pauperum cõſuetudinem imitari: nam & illi ſolent, quum aliquis eos opipara menſa fuerit dignatus, remoto pudore de epulis ſibi appoſitis etiã in poſterum diẽ cibos prouidere. Proinde ego quoque ex heſterna magnificentia exiguis quibuſdam depromptis reliquiis, illinc pro viribus meis conficiam orationem, pleraque eorum, quæ hodie propoſita ſunt, perfectioribus conuiuis reſeruans. Quę ſunt igitur heſterni epuli reliquiæ, quas conuiuæ non comederunt neque concoxerunt? Hiſtoria actorum Apoſtolicorũ, quæ nobis narrabat vt Athenis hoſpes Paulus ſeſe gereret, quemadmodũ populo illius vrbis inſano ſimulachrorum cultui dedito, & ſacrificiorum nidoribus addicto, Spiritus ſanctus in beato Paulo concitaretur, tanquam flumen quoddam inũdans in animo Apoſtoli coãguſtatus, & inter indignos non inueniens locum erumpendi. Quapropter cum Stoicis & Epicureis conflictatur, & in colle Martio ſtans, ex illorum inſtitutis occaſione ſumpta, ad Dei agnitionem eos adducere conatur: nam pro orationis procemio ſumit altare quoddam, eiúſq; titulum & inſcriptionem. Quorſum igitur illius memini lectionis? quoniam nunc quoque ſunt, qui, ſicuti Athenienſes illi, nulli alij rei vacant, niſi vt dicant & audiant aliquid noui, qui vel heri vel paulò antè ab ſellularijs, plebeijs & ſeruilibus opificijs prodierunt, ſubitarij atque tumultuarij quidam theologicarum ſententiarum authores, forſitan famuli quiddam & verberones à ſeruilibus miniſteriis profugi, magnificè nobis de rebus incomprehenſibilibus philoſophantur. Prorſus haud ignoratis ad quos oratio ſpectet. Omnia namque loca vrbis talibus repleta ſunt, angiporta, biuia, fora, plateæ: veſtimentorum inſtitores, menſis argentariis pręfecti, qui eſculenta nobis vendunt. Si quem eorũ de obolis interroges, ille tibi de geniti & nõ geniti natura philoſophatur: quòd ſi de pretio & ęſtimatione panis ſciſciteris, pater maior eſt, inquit, & filius ſubiectus: quòd ſi lauacrum cõmodum eſſe dixeris, ille ex non entibus filium eſſe cenſet. Neſcio quo nomine hoc malum oporteat ap-

A ζουσιν. εἰς γὰρ κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, καθώς φησιν ἡ γραφή. μᾶλλον δὲ συγχωρήσατέ μοι μιμήσασθαι τὴν τῶν πενήτων συνήθειαν· ἐπεὶ κἀκείνοις σύνηθες, ὅταν ποτὲ πλουσίας ἀξιωθῶσι τραπέζης, ἀνεπαισχύντως ἐκ τῶν παρατεθέντων αἴρειν, καὶ εἰς τὴν ὑστεραίαν ἐπισιτίζεσθαι. κἀγὼ τοίνυν ἐκ τῆς χθιζῆς πολυτελείας μικρόν τι παραχειρισάμενος λείψανον, ἐκεῖθεν κατὰ τὴν ἐμαυτοῦ δύναμιν ὀψοποιήσω τὸν λόγον, τὰ πολλὰ τῶν σήμερον παρατεθέντων τοῖς τελειοτέροις τῶν δαιτυμόνων
B ταμιευσάμενος. τί τοίνυν ἦν τὸ τῆς χθιζῆς πανδαισίας ἄβρωτόν τε καὶ ἀκατέργαστον; ἡ τῶν ἀποστολικῶν πράξεων ἱστορία τὴν ἐν Ἀθήναις ἐπιδημίαν τοῦ Παύλου διηγήσατο ἡμῖν, πῶς εἰδωλομανοῦντος τοῦ τῆδε λαοῦ, καὶ ταῖς ἐπιβωμίοις κνίσαις προσεστηκότος, τὸ πνεῦμα τὸ ἅγιον ἐν τῷ μακαρίῳ παρωξύνετο Παύλῳ, οἷόν τι ῥεῦμα πλημμυροῦν ἐν τῇ ψυχῇ τοῦ ἀποστόλου στενοχωρούμενον, καὶ μὴ εὑρίσκον ἐν τοῖς ἀναξίοις τὴν διέξοδον. διὰ τοῦτο στωϊκοῖς τε καὶ ἐπικουρείοις συμπλέκεται, καὶ εἰς ἄρειον καθίσας πάγον, ἐκ τῶν συνήθων αὐτοῖς πρὸς τὴν θεο-
C γνωσίαν προσάγεται. βωμὸς γάρ ἐστιν αὐτῷ καὶ ἐπίγραμμα, τὸ τοῦ λόγου προοίμιον. εἰς τί τοίνυν ἐμνήσθην τοῦ ἀναγνώσματος; ὅτι καὶ νῦν εἰσὶ κατ' ἐκείνους τοὺς Ἀθηναίους, εἰς οὐδὲν ἕτερον εὐκαιροῦντες, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον, χθιζοί τινες καὶ πρωΐζοι ἐκ τῶν βαναύσων ἐπιτηδευμάτων ὁρμώμενοι, αὐτοσχέδιοί τινες τῆς θεολογίας δογματισταί, τάχα τινὲς οἰκέται καὶ μαστιγίαι, καὶ τῶν δουλικῶν διακονημάτων δραπέται, σεμνῶς ἡμῖν περὶ τῶν ἀλήπτων φιλοσοφοῦσιν. οὐκ ἀγνοεῖτε πάντως, πρὸς τίνας ὁ λόγος βλέπει. πάντα γὰρ τὰ κατὰ τὴν πόλιν
D τῶν τοιούτων πεπλήρωται, οἱ στενωποί, αἱ ἀγοραί, αἱ πλατεῖαι, τὰ ἄμφοδα· οἱ τῶν ἱματίων κάπηλοι, οἱ ταῖς τραπέζαις ἐφεστηκότες, οἱ τὰ ἐδώδιμα ἡμῖν ἀπεμπολοῦντες. ἐὰν περὶ τῶν ὀβολῶν ἐρωτήσῃς, ὁ δέ σοι περὶ γεννητοῦ καὶ ἀγεννήτου ἐφιλοσόφησε· κἂν περὶ τιμήματος ἄρτου πύθοιο, μείζων ὁ πατὴρ ἀποκρίνεται, καὶ ὁ υἱὸς ὑποχείριος· εἰ δὲ τὸ λουτρὸν ἐπιτήδειόν ἐστιν εἴποις, ὁ δὲ ἐξ οὐκ ὄντων τὸν υἱὸν εἶναι διωρίσατο. οὐκ οἶδα τί χρὴ τὸ κακὸν τοῦτο ὀνο-

μάσαι, φρενῖτιν ἢ μανίαν, ἤτι τοιοῦτον κακὸν ἐπιδήμιον, ὃ τῶν λογισμῶν τὴν παραφορὰν ἐξεργάζεται. διὰ τοῦτο φημὶ πρὸς τούτους βλέπειν τὴν κατὰ τὸν ἀπόστολον ἱστορίαν. ἃ γὰρ περὶ τῶν Ἀθηναίων ἡ γραφὴ διεξέρχεται, ταῦτα νῦν ἐστιν ἐπὶ τούτων ἰδεῖν· μᾶλλον δὲ εἰ χρὴ τἀληθῆ λέγειν, κἀκείνων ἐστὶ τὰ κατὰ τούτους ἀσυγγνωστότερα. οἱ μὲν γὰρ οἱονεὶ λήμῃ τινὶ τῇ περὶ τὰ εἴδωλα πλάνῃ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς κατεχόμενοι, ἰδεῖν αὐτοπροσώπως τὴν εὐσεβῆ περὶ τῶν ὄντων ἀδυνατοῦντες ἀλήθειαν· ὅμως οὖν ἐπαφῇ τινι τῶν λογισμῶν τοσοῦτον ἐνενόησαν, ὅτι οὐ πάντῃ καταληπτὸν τὸ θεῖόν ἐστιν, οὐδὲ οἷον ὁ λογισμὸς οἴεται, τοιοῦτον τῇ φύσει τὸ ὑπερκείμενον. διὸ τὸν ὄντως Θεὸν ἄγνωστον εἶναι ὁμολογήσαντες, βωμῷ καὶ γράμματι τιμῶσι τὸν ἀγνοούμενον· ὅτι γὰρ πρὸς τὸν ὄντως ὄντα Θεὸν ἔβλεπεν αὐτῶν ἡ διάνοια, μαρτυρεῖ αὐτὸς ὁ ἀπόστολος, ἐκεῖνον καταγγέλλων αὐτοῖς τὸν Θεόν, εἰς ὃν εὐσεβεῖν ἐκεῖνοι διὰ τῆς τοῦ βωμοῦ τιμῆς ᾤοντο. πῶς οὖν οὐ χαλεπώτεροι τῶν μνημονευθέντων οἱ νῦν ματαιάζοντες; οἱ μὴ συγχωροῦντες ὑπὲρ τὴν κατάληψιν αὐτῶν εἶναι τὸ θεῖον, ἀλλ᾽ οὕτω τὸν Θεὸν γινώσκειν μεγαλαυχοῦντες ὡς αὐτὸς ἑαυτόν; πῶς ἄν τις κατ᾽ ἀξίαν τὴν πήρωσιν τῶν δειλαίων καταθρηνήσειεν; οἱ τοσούτου φωτὸς τῆς ἀληθείας τὴν οἰκουμένην πᾶσαν ἐν τῇ καθ᾽ ἡμᾶς ζωῇ διὰ τῆς εὐσεβοῦς πίστεως περιλάμποντος, μόνοι πρὸς τὴν αὐγὴν ἀμβλυωποῦσιν; ἢ ἀγνοεῖτε ποῖον λέγω πλεονάζειν φῶς ἐν τῇ ἡμετέρᾳ ζωῇ; ἀριθμήσατέ μοι τοὺς βασιλικοὺς φωστῆρας, οἳ τοῖς εὐαγγελικοῖς ἰσάριθμοι πάντα μικροῦ δεῖν τὸν κόσμον διαλαβόντες, δι᾽ εἰρήνης καὶ εὐσεβείας καταφωτίζουσιν· ὅτι μιμεῖται ὁ Θεὸς ὁ τοῦ παντὸς ποιητὴς τὴν πρώτην τῆς κοσμογενείας θαυματουργίαν, οὐ μόνον τὸν μέγαν φωστῆρα εἰς τὴν τῶν ὁρωμένων τάξας ἀρχήν, ἀλλὰ καὶ συμπαραζεύξας αὐτῷ καὶ τὸν ἐλάττω φωστῆρα, τὸν ταῖς πατρικαῖς ἀκτῖσι συμπαραλάμποντα. εἶτα τοιούτων ἡμῖν ἐν τῷ κοινῷ τῶν ἀγαθῶν προκειμένων, ὥσπερ ὑπὸ δαιμόνων πληγῆς ἐνθουσιῶντες, ἀναιδῶς πρὸς τὴν ἀλήθειαν τῶν δογμάτων ἀντικαθίστανται; κατὰ τοὺς στωϊκούς τε καὶ Ἐπικουρείους ἐκείνους, πρὸς οὓς ὁ Παῦλος παρ᾽ Ἀθηναίοις συμπλέκεται. καὶ ἵνα

A pellare, phreneſin an furorem, aut aliquod eiuſmodi malum quod in populo graſſetur, quod efficiat mentis peruerſionem. Quapropter Apoſtoli hiſtoriam ad hos dico pertinere. nam quæ do Athenienſibus narrat ſcriptura, hæc nunc in his licet videre: imò verò ſi oportet vera dicere, horũ peccatum minore, quàm illorũ error, venia dignum eſt, atque his minus quàm illis ignoſci debet. Quanquã enim illi, quòd eorum animi oculos tanquam lippitudo quædam ſimulachrorum cultus error inuaſerat, recta facie ſua piam de rebus qui- B buſque veritatem videre non poterant: tamen rationũ quaſi quadam attrectatione tantùm intellexerunt, quòd numen diuinũ penitùs comprehendi non poſſit, nec quale eam ratio eſſe putat, natura talis ſupera diuina maieſtas ſit. Quamobrem verum Deum cognoſci non poſſe fatentes, ara atque titulo honorant quem ignorabant: nam mentem illorum eum, qui reuerà Deus eſt, ſpectaſſe, Apoſtolus teſtatur, dum illum eis Deum annuntiabat, quem piè ſe colere per honorem altaris exiſtimabant. Quî C igitur memoratis non grauius peccant, qui nunc ſtultitiã ſuam prodũt? qui non concedunt ſupra captum ſuum eſſe numen diuinũ, ſed ita Deũ ſeſe cognoſcere gloriãtur, vt ipſe ſeſe cognoſcit? quî poſſit aliquis dignè talẽ miſerorum mentis cæcitatẽ deplorare? qui tanta luce vniuerſum terrarũ orbem in vita noſtra per rectam fidẽ colluſtrante, ſoli ad ſplendorem, quod attinet ad veritatis agnitionem, cæcutiunt? an ignoratis quam lucem in vita noſtra dicã abundare? Numerate mihi regia luminaria, quæ Euãgelicis luminaribus numero paria vni- D uerſum propemodum cõplexa mũdum in pace atque pietate illuſtrant: quãdo factor rerum vniuerſarũ Deus primum illud mundi originis opus mirificũ imitatur, qui non ſolum magnum luminare conſtituit in principatu rerum quæ videntur, verumetiam ei ſimul coniunxit luminare quoque minus, quod à paternis radijs accepto lumine vnà collucet. Et eiuſmodi nobis in communi propoſitis commodis, quaſi à dæmonibus accepta plaga in furorem acti, impudenter aduerſus veritatem ſententiarum ſeſe opponunt? quemadmodum Stoici & Epicurei illi, cũ quibus Paulus apud Athenienſes conflictatur. Ac ne

putetis per calumniā decurrere oratio- A
nem, ipſas ſententias memoratorū con-
ſideremus. Materiale numē diuinū eſſe
Stoici ſuſpicātur, creatum etiam hi vni-
genitum filium eſſe fingunt: prorſus au-
tem ſcitis quanta creato cum materiali
cognatio ſit. Item Epicurei opinantur
nullam ſuperam poteſtatem præeſſe nec
cōſtitutioni nec adminiſtrationi rerum,
ſed omnia temerè caſúq; fortuito ferri,
nulla prouidentia res peruadente: &, vt
conciſius ac breuius errorem eorum in-
dicemus, ad ἀθεΐαν, id eſt, negationem
numinis diuini eorum ſpectant opinio-
nes. Videamus igitur an non ſint imita-
tores Epicureorū, qui filium (Dei) igno-
minia afficiunt? Ac nemo orationi ex B
aduerſo opponat: Epicurus neque pa-
trem nouit, neque deitatem eius confi-
tetur; & quomodo æquè impij ſunt hi
atque illi, qui patris deitatē non negant
nec reijciunt? paululùm enim moratus
atque cunctatus, reperies Anomœum
alterum quoque eſſe Epicurum. Sic au-
tem rem conſideremus. Splendorē glo-
riæ Chriſtum eſſe dixit Apoſtolus, & ex-
preſſam imaginem ſubſtantiæ, & poten-
tiam Dei, & ſapientiam, & quæcumque
ſunt talia, quorum vnumquodque tan-
quam in coniunctionibus quibuſdam
neceſſariis nullo modo per ſeſe ſolum
ac ſeparatim intelligitur, ſed vtraque C
coniunctim & vnum cum altero com-
prehenditur. Splendor enim prorſus
alicuius rei ſplendor eſt, item effigies
& imago alicuius rei prorſus effigies
eſt. Quemadmodum igitur ex lumine
ſplendor exiſtere non poſſit non ex-
tante cauſſa colluſtrante: ita ſplendo-
rem edens natura per ſeſe, niſi ſimul
intelligatur ſplendor, intelligi non poſ-
ſit. Similiter item effigies quoque &
imago ſubſtantiam oſtendit, & ſub-
ſtantia per imaginem cognoſcitur: ita D
Dei quoque potentia abſque Deo eſſe
non poteſt, ac Deus abſque potentia
intelligi naturaliter non poteſt. Qui
igitur vnum aliquod eorum, quæ per
hanc copulationem ſignificatur, eſſe
negat, vnà cum potentia prorſus etiam
id quod reliquum eſt tollit. Atqui di-
cunt impietatis propugnatores, filium
aliquando non fuiſſe. Ergo ſi filius non
erat, omnino neque pater erat: ſi non
erat ſplendor, neque id quod ſplen-
dorem edit, erat: ſi non erat effigies &
imago, omnino neque ſubſtantia erat: ſi non erat potentia, non erat ſapientia:

A μὴ νομίσητε καταπρέχειν ἐν συκοφαντίᾳ τὸν
λόγον, αὐτὰ τὰ δόγματα τῶν μνημονευθέντων
ἐπισκεψώμεθα. ὑλικὸν τοῖς Στωϊκοῖς τὸ θεῖον εἶναι
ὑπονοεῖται, κτιστὸν δὲ οὗτοι τὸν μονογενῆ υἱὸν εἶναι
κατασκευάζουσιν· ἴστε δὲ πάντως, ὅση ἐστὶ τοῦ
κτιστοῦ πρὸς τὸ ὑλικὸν ἡ συγγένεια. πάλιν τοῖς
Ἐπικουρείοις οὐδὲν ὑπερκεῖσθαι δοκεῖ τῆς τῶν
ὄντων συστάσεώς τε καὶ διοικήσεως, ἀλλ' αὐτο-
μάτως τὰ πάντα φέρεσθαι, μηδεμιᾶς προ-
νοίας διὰ τῶν πραγμάτων ἡκούσης· καὶ ὡς ἂν
συντομώτερον εἴποιμεν τὴν πλάνην αὐτῶν,
πρὸς ἀθεΐαν αὐτοῖς βλέπει τὰ δόγματα. σκε-
ψώμεθα τοίνυν εἰ μὴ μιμηταὶ τῶν Ἐπικου-
B ρείων, οἱ τὸν υἱὸν ἀθετοῦντές εἰσι; καὶ μηδεὶς ἀν-
θυπενέγκῃ τῷ λόγῳ, ὅτι Ἐπίκουρος οὐδὲ τὸν πα-
τέρα οἶδεν, οὐδὲ ὁμολογεῖ αὐτοῦ τὴν θεότητα, καὶ
πῶς κατὰ τὸ ἴσον ἀσεβοῦσιν οὗτοι, οἱ μὴ ἀθετοῦντες
τοῦ πατρὸς τὴν θεότητα; μικρὸν γὰρ ἐπισχών, εὑρή-
σεις καὶ τὸν Ἀνόμοιον ἄλλον Ἐπίκουρον. οὑτωσὶ δὲ
σκεψώμεθα. ἀπαύγασμα τῆς δόξης εἶπεν τὸν υἱὸν
ὁ ἀπόστολος, καὶ χαρακτῆρα τῆς ὑποστάσεως, καὶ
δύναμιν Θεοῦ καὶ σοφίαν, καὶ ὅσα τοιαῦτα· ὧν ἕ-
καστον καθάπερ ἐν συζυγίαις τισὶν ἀναγκαίαις,
οὐδὲν ἀφ' ἑαυτοῦ κατὰ μόνας νοεῖται, ἀλλὰ συνημ-
μένως ἀμφότερα, καὶ μετ' ἀλλήλων καταλαμβά-
C νεται. τὸ γὰρ ἀπαύγασμα πάντως τινός ἐστιν ἀπαύ-
γασμα, καὶ ὁ χαρακτὴρ τινὸς χαρακτὴρ πάντως
ἐστίν. ὥσπερ τοίνυν οὐκ ἂν ἀπαύγασμα εἴη τὸ φῶς,
μὴ οὔσης τῆς καταυγαζούσης αἰτίας, οὕτως ἡ ἀπαυ-
γάζουσα φύσις οὐκ ἂν καθ' ἑαυτὴν νοηθείη, μὴ
συνεπινοουμένου τοῦ ἀπαυγάσματος. ὁμοίως δὲ
καὶ ὁ χαρακτὴρ τὴν ὑπόστασιν δείκνυσι, καὶ
ὑπόστασις διὰ χαρακτῆρος γνωρίζεται· οὕτω
καὶ ἡ τοῦ Θεοῦ δύναμις χωρὶς Θεοῦ εἶναι οὐ δύ-
ναται, καὶ ὁ Θεὸς χωρὶς τῆς δυνάμεως νοη-
D θῆναι φύσιν οὐκ ἔχει. ὁ τοίνυν εἴ τι τῶν κατὰ τὴν
συζυγίαν ταύτην σημαινομένων μὴ εἶναι λέ-
γων, συναιρεῖ πάντως τῇ δυνάμει καὶ τὸ λει-
πόμενον. ἀλλὰ μὴν λέγουσιν οἱ τῆς ἀσεβείας
προστάται, ὅτι ὁ υἱός ποτε οὐκ ἦν. εἰ τοίνυν οὐκ
ἦν ὁ υἱός, πάντως οὐδὲ ὁ πατὴρ ἦν· εἰ οὐκ ἦν
τὸ ἀπαύγασμα, οὐδὲ τὸ ἀπαυγάζον ἦν· εἰ
οὐκ ἦν ὁ χαρακτήρ, πάντως οὐδὲ ἡ ὑπόστα-
σις ἦν. εἰ οὐκ ἦν ἡ δύναμις, οὐκ ἦν ἡ σοφία·
Εἰ

Εἰ δὲ ταῦτα οὐκ ἦν, ὧν ἄνευ Θεὸς οὐκ ἔστι ὁ ἐπὶ πάντων Θεὸς πῶς ἦν; κατασκευάζεται γὰρ διὰ τούτων τὸ μὴ εἶναι Θεόν. οὐ γάρ ἐστιν ἐννοῆσαι δόξαν ἀλαμπῆ, οὐχ ὑπόστασιν ἀχαρακτήριστον, οὐκ ἄνευ σοφίας σοφὸν, οὐκ ἄνευ δυνάμεως δυνατὸν, οὐκ ἄπαιδα πατέρα. οὐκοῦν ἀποδέδεικται διὰ τῶν εἰρημένων, ὅτι ὁ τὸν υἱὸν ἀθετῶν, συναθετεῖ καὶ τὸν πατέρα; ὅπου δὲ οὔτε ὁ υἱὸς δοξάζεται, οὔτε ὁ πατὴρ εἶναι πιστεύεται, καθόλου ἡ θεότης ἠθέτηται· τὸ δὲ ἀθετεῖν τὴν θεότητα, οὐδενὸς ἄλλου ἢ Ἐπικούρου ἐστίν. οὐκοῦν Ἐπικούρειοι οἱ νῦν δογματισταὶ τῆς ἀπάτης ἀναπεφήνασι, οἱ διὰ τῆς εἰς τὸν μονογενῆ υἱὸν ὕβρεως, τὰς ὑπεροχὰς τῷ πατρὶ χαριζόμενοι, καὶ λέγοντες ὅτι ὁ μὲν μείζων, ὁ δὲ ἐλάττων· ὁ μὲν πέμπει, ὁ δὲ ἀποστέλλεται, εἰ καί τινας ῥήσεις ἐκ τῆς γραφῆς περὶ τούτου παράγοντες οἱ ἀνόητοι προτείνονται, καὶ φασὶν αὐτὸν ὁμολογεῖν τὸν κύριον, ὅτι ἐπέμφθη παρὰ τοῦ πατρός. εἶτα ὅτι μὲν ἐπέμφθη γινώσκεις, ὅτι δὲ ὁ πέμψας μετ' αὐτοῦ ἐστιν οὐκ ἀκήκοας; (ὁ πέμψας με φησὶ, μετ' ἐμοῦ ἐστιν) καὶ οὐκ ἐδιδάχθης διὰ τῶν εἰρημένων, ὅτι καὶ ἀποστέλλεται καὶ οὐ χωρίζεται; ἀποστέλλεται μὲν γὰρ διὰ φιλανθρωπίαν, οὐ χωρίζεται δὲ διὰ τὸ τῆς φύσεως ἄτμητον. Φασὶ δὲ πάλιν παρὰ τοῦ μονογενοῦς ὡμολογῆσθαι, τὸ μείζονα εἶναι αὐτοῦ τὸν πατέρα, ἐν ᾧ λέγει, ὅτι ὁ πατήρ μου μείζων μου ἐστίν. οὐκοῦν ἐξετάσωμεν, ἀδελφοὶ, ἆρα μὴ ψεύδεται ὁ εἰπὼν, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί; εἰ μείζων ὁ πατὴρ τοῦ υἱοῦ, πῶς χωρεῖται τὸ μεῖζον ἐν τῷ ἐλάττονι; εἰ ἐλάττων ὁ υἱὸς τοῦ πατρὸς, πῶς πληροῦται τὸ μεῖζον ὑπὸ τοῦ λείποντος; ὅτε γὰρ μείζων στενοχωρεῖται πάντως ἐν τῷ ἐλάττονι, καὶ ὁ ἐλάττων ἐπεκταθῆναι πρὸς τὸ ὑπερβάλλον οὐ δύναται· ὥστε ἀνάγκην εἶναι, λείπειν μὲν ἐν τῷ πατρὶ τὸν υἱὸν, περισσεύειν δὲ ἐν τῷ υἱῷ τὸν πατέρα. καὶ ψεύδεται ὁ εἰπὼν, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, (δέον εἰπεῖν εἴπερ ἐλάττων ἐστὶν, ὅτι ἐγὼ ἐν τῷ μέρει τοῦ πατρὸς) καὶ ὁ πατὴρ ἐν ἐμοί. ἀληθέστερον γὰρ ἦν εἰπεῖν, εἴπερ μείζων ὁ πατὴρ, ὅτι μέρος τι τοῦ πατρὸς ἐν ἐμοί· εἰ δὲ ὅλος ὁ πατὴρ ἐν ὅλῳ τῷ υἱῷ, καὶ ὅλος ὁ υἱὸς ἐν ὅλῳ τῷ πατρὶ, ποῦ τὸ πλέον καὶ ποῦ τὸ λεῖπον; καὶ τί χρὴ πολλὰ λέγειν, δέον μιᾷ φωνῇ πᾶσαν αὐτῶν περιγράψαι τὴν φλυαρίαν;

A quòd ſi hæc non erant ſine quibus Deus non eſt, is qui eſt ſuper omnia, Deus qui erat? per hæc enim efficitur Deum non eſſe. Non enim cogitari poteſt nec gloria ſine ſplendore, nec ſubſtantia ſine effigie, nec ſine ſapientia ſapiens, nec abſque potentia potens, nec abſque filio pater. An non per modò dicta demonſtratum eſt, eum qui filium negat, ſimul etiam negare patrem? vbi autem neque filius glorificatur, nec pater eſſe creditur, Deitas prorſus reprobatur: reprobare verò Deitatem nullius alterius atque Epicuri eſt. Ergo Epicurei nobis

B eſſe demonſtrati ſunt fraudis doctores, qui per contumeliam, qua filius afficitur, præſtantiam patri largiuntur, ac dicunt hunc quidẽ maiorem, illum verò minorem eſſe: hunc quidem mittere, illum verò mitti: atque etiã dicta quædam ex ſcriptura hac de re proferentes, ſtultè prætendunt, & aiunt dominum ipſum confiteri ſe miſſum eſſe à patre. Et quòd miſſum quidem eſſe intelligis, eum autem qui miſit cum illo eſſe non audiſti? (Qui miſit me, inquit, mecum eſt.) & nõ per ea dicta edoctus es quòd

C & mittitur & non ſeparatur? nam mittitur quidẽ propter humanitatem, non ſeparatur autem propter naturæ indiuiduitatem. Aiunt item rurſus filium vnigenitum confeſſum eſſe quòd ipſo maior ſit pater, dum dicit, Pater meus maior me eſt. Igitur excutiamus, fratres, nunquid mentiatur qui dixit, Ego in patre ſum, & pater in me eſt? Si maior filio pater eſt, qui capitur & locum habet id quod maius eſt in minore? ſi minor patre filius eſt, qui completur id quod maius eſt à minore? nam & maior coarctatur prorſus in minore, & minor extendi ad exuperantiam & ex-

D aggerationem non poteſt: adeò vt neceſſe ſit deeſſe quidem in patre filium, redundare autem in filio patrem. Ac mentitur qui dixit, Ego ſum in patre, (quum oporteret dicere, ſi quidem minor eſt, Ego ſum in parte patris,) & pater in me eſt: verius enim erat dicere, (ſi quidem maior eſt pater,) pars quædam patris eſt in me. Quòd ſi totus pater in toto filio eſt, & totus filius in toto patre, vbi id quod plus, & vbi id quod minus eſt? & quid opus eſt multa dicere, quum vna voce omnem eorum circumſcribere oporteat verborum petulantiam atque garrulitatem?

qui quum eſſet in forma Dei, non exiſtimauit rapinam eſſe quòd Deo par eſſet. Dic mihi quum audiſti id quod par eſt, id quod impar eſt intellexiſti? O nouam doctrinam, quæ per id quod par eſt, id quod impar eſt interpretatur. Sed forſitan conſentaneum eſt etiam aliquem diſcendi cupidum harum rerum requirere rationem, quî fiat vt & pater filio maior, & filius patri æqualis & par ſit? videntur enim hæc inter ſeſe nullo modo conuenire. Igitur omiſſa decertatione cum vulgo aduerſariorum, de rebus propoſitis diſſeram vobis more paterno. Non omneis Euangelij voces, quæcumque res à domino geſtas (nos) docent, eiuſdem arbitror eſſe conditionis, neque ab eadem proferri dignitate. Nam aliæ quidem altitudinem filij Dei diuinitatis cum verborum maieſtate declarant: aliæ verò ſeſe demittunt & accommodant ad humilitatem humanæ naturæ. Nam vbi Dominus quidē dicit, Ego præcipio tibi, Et, Volo, mūdus eſto, &, Pater in me eſt, & ego ſum in patre, &, Qui vidit me, vidit patrem, &, Ego & pater vnum ſumus, &, Nemo filium nouit niſi pater, &, Omnia mea tua ſunt & tua mea, &, Glorificatus ſum in eis, & quæcumque ſunt eiuſmodi, indicant eam potētiam, quæ ſupra omnem eſt & naturam & poteſtatem: ſed quū ad infirmitatem noſtræ naturæ ſermonem inclinat, illa pronuntiat: Pertriſtis eſt anima mea, ſi fieri poteſt tranſeat calix iſte: Filius non poteſt à ſeſe facere quicquam: Mandatum accepi quid dicam & quid loquar: Vado ad patrem meum & patrem veſtrum, & ad Deum meum & ad Deum veſtrum. In his pone etiam lacrymas ſuper Lazaro profuſas, & laſſitudinē ex itinere contractā, & cibi appetitionem, & aquę petitionem, & curſum ad ficum, & quòd Dominus ignorabat arborem illam fructu carere, & in nauigio ſomnum. Hæc enim omnia & quæcumque ſunt talia non eius, quod erat in principio, verbi Dei dignitatem, ſed eius qui ſeſe in forma ſerui humiliauerat, ad naturæ noſtræ imbecillitatem declarant accōmodationem atque demiſſionem: Dictum eſt igitur, Qui miſit me, maior me eſt? igitur videamus à quo hæc oratio proferatur. Quomodo miſſus eſt? an forma Dei præditus, an forma ſerui accepta? in plena Deitate manens,

A ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. εἰπέ μοι, τὸ ἴσον ἀκούσας τὸ μὴ ἴσον ἐνόησας; ὢ καινῆς διδασκαλίας διὰ τοῦ ἴσου τὸ ἄνισον ἑρμηνευούσης. ἀλλ' ἴσως εἰκός ἐστι καὶ τῶν πολυμαθεστέρων τινὰ τὸν περὶ τούτων λόγον ἐπιζητεῖν, πῶς καὶ μείζων ὁ πατὴρ τοῦ υἱοῦ, καὶ ἴσος ὁ υἱὸς τοῦ πατρός; δοκεῖ γάρ πως μὴ συμβαίνειν ἀλλήλοις ταῦτα. οὐκοῦν ἀφεὶς τὸ πρὸς τοὺς πολλοὺς ἀντιπάλους διαπληκτίζεσθαι, πατρικῶς ὑμῖν περὶ τῶν προκειμένων διαλεχθήσομαι. οὐ πά-
B σας ὁμοτίμους οἶδα τὰς τοῦ εὐαγγελίου φωνάς, ὅσαι τὰ περὶ τοῦ κυρίου διδάσκουσιν, οὐδ' ἀπὸ τῆς αὐτῆς δηλουμένας ἀξίας. αἱ μὲν γὰρ τὸ ὕψος τῆς θεότητος τοῦ υἱοῦ τοῦ Θεοῦ μεγαλοφώνως κηρύσσουσιν· αἱ δὲ πρὸς τὸ ταπεινὸν τῆς ἀνθρωπίνης συγκαταβαίνουσι φύσεως. ὅταν μὲν γὰρ λέγῃ ὁ κύριος, ἐγὼ ἐπιτάσσω σοι· καὶ, θέλω, καθαρίσθητι· καὶ, ὁ πατὴρ ἐν ἐμοὶ, κἀγὼ ἐν τῷ πατρί· καὶ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ, οὐδεὶς οἶδε τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ.
C καὶ, πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ, δεδόξασμαι ἐν αὐτοῖς· καὶ ὅσα τοιαῦτα, τὴν ἐπέκεινα πάσης φύσεώς τε καὶ ἐξουσίας ἐνδείκνυται δύναμιν. ἐπειδὰν δὲ πρὸς τὸ ἀσθενὲς τῆς ἡμετέρας φύσεως ἐπικλίνῃ τὸν λόγον, ἐκεῖνα φθέγγεται· περίλυπός ἐστιν ἡ ψυχή μου, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον· οὐ δύναται ὁ υἱὸς ἀφ' ἑαυτοῦ τι ποιεῖν, ἐντολὴν ἔλαβον τί εἴπω, καὶ τί λαλήσω· πορεύομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. ἐν τούτοις τίθει καὶ τὸ ἐπὶ Λαζάρῳ
D δάκρυον, καὶ τὸν ἐκ τῆς ὁδοιπορίας κόπον, καὶ τὴν τῆς τροφῆς ἔφεσιν, καὶ τὴν τοῦ ὕδατος αἴτησιν, καὶ τὸν ἐπὶ τῆς συκῆς δρόμον, καὶ τὴν τοῦ φυτοῦ ἀκαρπίας τὴν ἄγνοιαν, καὶ τὸν ἐπὶ τοῦ πλοίου ὕπνον. ταῦτα γὰρ πάντα, καὶ ὅσα τοιαῦτα, οὐχὶ τοῦ ἐν ἀρχῇ ὄντος λόγου Θεοῦ τὴν ἀξίαν, ἀλλὰ τοῦ ταπεινώσαντος ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ τὴν πρὸς τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν παραδηλοῖ συγκατάβασιν. Εἴρηται τοίνυν, ὅτι ὁ πέμψας με, μείζων μου ἐστίν; οὐκοῦν σκοπήσωμεν παρὰ τίνος ὁ λόγος. πῶς ἐπέμφθη; ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἢ μορφὴν δούλου λαβών; ἐν τῷ πληρώματι ὢν τῆς θεότητος,

ἢ κενώσας ἑαυτὸν ἐν τῇ τοῦ δούλου μορφῇ; πάντῃ γὰρ οἶμαι πρόδηλον εἶναι, ὅτι ἡ θεία δύναμίς τε καὶ φύσις πανταχοῦ οὖσα, καὶ διὰ πάντων διήκουσα, καὶ τὸ πᾶν περιδεδραγμένη, οὐκ ἀπεικότως πέμπεσθαι λέγοιτο· οὐ γάρ ἐστί τι κενὸν ἔξω ταύτης, ἐν ᾧ πρότερον μὴ οὖσα, ὅταν πεμφθῇ, παραγίνηται· ἀλλὰ τῇ συντηρητικῇ δυνάμει διακρατοῦσα τὸ πᾶν, οὐκ ἔχει εἰς ὃ μεταχωρήσει, αὐτὴ τοῦ παντὸς οὖσα πλήρωμα. ἡ τοίνυν πρὸς τὸ ἡμέτερον ταπεινόν τε καὶ ἀσθενὲς τοῦ υἱοῦ τοῦ Θεοῦ κάθοδος, κατὰ γνώμην τοῦ πατρὸς γεγενημένη, ἀποστολὴ λέγεται. ἡ γὰρ ἐκ τῆς ἀκηράτου φύσεως πρὸς τὴν ἡμετέραν ζωὴν μετάστασις οὐ τοπικὴν ποιεῖται τοῦ κυρίου τὴν κίνησιν, ἀλλὰ τὴν ἀπὸ τοῦ ὕψους τῆς δόξης πρὸς τὸ ταπεινὸν τῆς σαρκὸς ἐνδείκνυται κάθοδον. κατέβη τοίνυν καὶ ἐφάνη οὐ γυμνὸς ὁ λόγος, ἀλλὰ σὰρξ γενόμενος· οὐχ ἡ τοῦ Θεοῦ μορφὴ καθ' ἑαυτήν, ἀλλ' ἐν τῇ τοῦ δούλου μορφῇ θεωρούμενος. οὗτος οὖν ἐστιν, ὁ εἰπὼν μὴ δύνασθαί τι ἀφ' ἑαυτοῦ ποιεῖν, δῆλον ὅτι καθὸ γέγονε σάρξ· τὸ γὰρ μὴ δύνασθαι, ἀσθενείας ἐστίν. ὡς γὰρ τῷ φωτὶ τὸ σκότος, καὶ ὁ θάνατος τῇ ζωῇ, οὕτως τῇ δυνάμει ἀντιδιαστέλλεται ἡ ἀσθένεια· ἀλλὰ μὴν Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία, οὐκ ἀδυνατεῖ οὖν πάντως ἡ δύναμις. εἰ γὰρ ἡ δύναμις ἀσθενείη, τί τὸ δυνάμενον; ὅταν οὖν ἀποφαίνηται ὁ λόγος, ὅτι οὐ δύναται ποιεῖν, δῆλον ὅτι οὐχὶ τῇ θεότητι τοῦ μονογενοῦς τὴν ἀδυναμίαν προστίθησιν, ἀλλὰ τῇ ἀσθενείᾳ τῆς ἡμετέρας φύσεως προσμαρτυρεῖ τὸ ἀδύνατον. ἀσθενὴς δὲ ἡ σάρξ, καθὼς γέγραπται, ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. οὐκοῦν δι' ἀμφοτέρων ἀληθεύει ἡ θεία γραφή, καὶ τὸ μεῖζον ὁμολογοῦσα, καὶ τὸ ἴσον μὴ ἀρνουμένη. ὅταν γὰρ πρὸς τὸ ἀνθρώπινον ὁ λόγος βλέπῃ, μείζονα ὁμολογεῖ τὸν διὰ σαρκὸς ὁρώμενον τοῦ μὴ ὁρωμένου. ὅταν δὲ πρὸς τὸ θεῖον χειραγωγῇ τὴν διάνοιαν, ἀργεῖ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος ἡ συγκριτικὴ αὕτη ἀντιπαράθεσις, καὶ ἀντὶ τούτων ἑνότης κηρύττεται· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. τὰ δὲ παρηλλαγμένα κατὰ τὸ ἄνισον, ἓν εἶναι οὐ δύναται. ἆρα ὑμῖν ὁ λόγος ἡμῶν ἱκανῶς ἀπολελόγηται, τὴν αἱρετικὴν ἀνισότητα τῶν τῆς εὐσεβείας ἀφορίζων δογμάτων; ἢ ζητεῖτε, καθάπερ ἐν δικαστηρίῳ,

A an quum ſeipſum in forma ſeruili exinaniuiſſet? Penitùs enim perſpicuum eſſe arbitror, diuinam potentiam atque naturam, quum vbique ſit ac per omnia pertineat atque peruadat, & res vniuerſas amplexa ſit, mitti haud rectè dicit: non enim extra eam aliquid vacuum & inane eſt, quò, quum prius ibi non eſſet, poſtea quam miſſa fuerit accedat: ſed quum conſeruatrice vi ſua res vniuerſas coërceat atque contineat, non habet quò tranſeat, quum ipſa ſit rerum vniuerſitatis plenitudo. Deſcenſus igitur filij Dei ad noſtram humilitatem B & infirmitatem, qui voluntate patris accidit, miſſio dicitur. Nam ab immortali natura ad noſtram vitam migratio non de loco ad locum motum Domini ſignificat, ſed ab altitudine gloriæ ad humilitatem carnis indicat deſcenſum. Deſcendit igitur & apparuit non nudum verbum, ſed caro factum: non Dei forma per ſeſe, ſed in forma ſerui apparens. Hic igitur eſt qui dixit ſe non poſſe facere quicquam ab ſeipſo, videlicet, in quantum caro factus eſt: nam non poſſe, imbecilli- C tatis eſt. Vt enim luci tenebræ, & vitæ mors, ita potentiæ opponitur infirmitas: atqui Chriſtus Dei potentia atque Dei ſapientia eſt: ergo potentia prorſus potentia non caret. nam ſi potentia imbecilla eſt, quid eſt id quod potens ſit? Quum igitur verbum dicit, ſe non poſſe, perſpicuum eſt non Deitati vnigeniti filij impotentiam attribuere: ſed imbecillitatem noſtræ naturæ impotentem eſſe teſtari. Infirma autem caro eſt, quemadmodum ſcriptum eſt: Spiritus quidem promptus eſt, caro autem infirma. Ergo per vtraque D vera dicit diuina ſcriptura, dum & maioritatem confitetur, & æqualitatem non negat. Nam vbi verbum humanam ſpectat naturam, eum qui non videtur maiorem eo dicit eſſe qui per carnem videbatur: ſed vbi mentem ad diuinitatem ducit, ceſſat hæc maioris & minoris ex aduerſo oppoſita comparatio, atque pro his vnitas prædicatur, Ego & pater vnum ſumus. at ea quæ per inæqualitatem variant, vnum eſſe non poſſunt. Vtrum oratio noſtra reſpondendo vobis ſatisfecit, hæreticam inæqualitatem à pietatis ſententiis certis ſegregans atque ſecernens? an, quemadmodum in iudicio,

requiritis per plures teſtes confirmari orationem? Igitur permittite mihi vt commemoratione cuiuſdam rei geſtæ, quæ in hiſtoria vetere continetur, liberè ad arbitrium meum nonnihil extendam & amplificem orationis breuitatem. forſitan autem nobis narratio non erit à propoſito aliena. Audite Apoſtolicam lectionem, Abrahami hiſtoriam paucis exponentem, dum dicit: Abrahamo pollicitus Deus, quoniam per neminem maiorem poterat iurare, per ſeipſum iurat dicens quæ dixit. Quoniam igitur veriſimile eſt incognita pleriſque eſſe ea quæ continet hiſtoria, paucis vobis, quoad eius potero, exponam. Deus iubet Abrahamum patria ſua, cognatis atque propinquis relictis, alibi quærere ſedes: & erat ille patriarcha in terra aliena durans in fide promiſſionis. Conſtantia fidei viri aduerſus Deum probatur per diuturnam protogationem earum rerum, quas ſperabat: promiſſio autem erat, Abrahamum patrem & authorem fore gentis. Multum temporis interceſſerat, & iam ad ſenectutem ætate eius inclinata, naturæ id quod par eſt accidebat, atque adhuc ſpes prorogabatur: ſicuti conſentaneum ac veriſimile eſt in ſenili ætate, vires ad procreandum liberos tum ipſius, tum coniugis eius erant extinctæ. Atque id amoto pudore hiſtoria ſignificat, dum dicit deſijſſe Sarræ fieri muliebria per quæ conceptio fit: ac corpus quidem conſumpta iuuenili ætate naturæ parebat ac ſenectute incuruabatur, ſed erga Deum ſpes quaſi ſenectutis expers in eis vigebat. Intereà naſcitur eis Iſaac, vt ipſe partus non naturæ opus, ſed effectus diuinæ potentiæ videretur. Dono Dei admodum læti erant, vt par eſt: cani eorum per filium rurſus quaſi refloruerant, largiter lactis ſcaturigines ad vſum decrepitæ affluebant: quæ ſenio confecta erat, lacte abundantem mammam filio admouebat. Lætabatur & exultabat miraculo, quod acciderat præter naturam, dicens: Quis dixiſſet Abrahamo Sarram filium lactare? deinde infans grandis euadebat, & ad adoleſcentulorum tendebat ætatem, ac iam puer erat in flore ætatis, in ſummo pulchritudinis vigore, iucundum parentibus ſpectaculum, pulchritudine proficiens, ad ſummum progrediens ætatis vigorem,

A διὰ πλειόνων μαρτύρων βεβαιωθῆναι τὸν λόγον; ἐνδοῦναι δότε μοι κατ' ἐξουσίαν ὑπομηκῦναι τοῦ λόγου τὸ σύντομον, μνήμῃ τινὸς τῆς κατὰ τὴν παλαιὰν ἱστορίαν. ἔσται δὲ ὑμῖν ἴσως οὐκ ἀπὸ σκοποῦ τὸ διήγημα. ἀκούσατε τῆς ἀποστολικῆς ἀναγνώσεως τὴν κατὰ τὸν Ἀβραὰμ ἱστορίαν ἐν ὀλίγῳ διηγουμένης, ἐν οἷς φησὶ τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, καθ' ἑαυτοῦ ὤμοσε λέγων ἃ εἴρηκεν. ὅπερ τοίνυν εἰκὸς ἄγνωστα εἶναι τοῖς πολλοῖς τὰ τῆς ἱστορίας, δι' ὀλίγων ὑμῖν, ὡς δι' οἷός τε ὦ διηγήσομαι. ἀποικίζει τὸν Ἀβραὰμ τῆς οἰκείας συγγενείας τε καὶ τόπου διὰ προστάγματος

B ὁ Θεός· καὶ ἦν ἐπὶ τῆς ἀλλοδαπῆς ὁ πατριάρχης, ἐγκαρτερῶν τῇ ἐλπίδι τῆς ὑποσχέσεως. βάσανος προσάγεται τῷ ἀνδρὶ τῆς πρὸς τὸν Θεὸν βεβαιότητος, ἡ χρονία τῶν ἐλπιζομένων παράτασις· ἦν δὲ ὑπόσχεσις ἦν, πατέρα ἔθνους γενέσθαι τὸν Ἀβραάμ. χρόνος διέβη πολὺς, καὶ ἡ φύσις τὸ ἴδιον ἔπασχεν, ἤδη πρὸς τὸ γηραιὸν αὐτοῦ τῆς ἡλικίας ἐπικλιθείσης, καὶ ἔτι ἡ ἐλπὶς παρετείνετο· ἀπέσβη κατὰ τὸ εἰκὸς ἐν τῷ γηραιῷ τῆς ἡλικίας αὐτῷ τε καὶ τῇ ὁμοζύγῳ ἡ πρὸς παιδοποιίαν ἰσχύς. καὶ τοῦτο ἀνεπαισχύντως ἡ ἱστορία παρασημαίνεται, ἐκ-

C λελοιπέναι φάσκουσα τῆς Σάῤῥας τὰ γυναικεῖα, δι' ὧν ἐνεργεῖται ἡ σύλληψις· καὶ τὸ μὲν σῶμα τῇ φύσει ὑπήκουεν τῆς νεότητος ὑπαναλωθείσης καὶ τῷ γήρᾳ ἐκάμπτετο, ἡ δὲ πρὸς τὸν Θεὸν ἐλπὶς ἀγήρως τις ἦν ἐν αὐτοῖς καὶ ἀκμάζουσα. ἐν τούτῳ τίκτεται αὐτοῖς ὁ Ἰσαάκ, ἵνα φανῇ οὐχὶ φύσεως ἔργον ὁ τόκος, ἀλλὰ θείας δυνάμεως ἀποτέλεσμα. ἐμπεριχαρεῖς ἦσαν, ὡς εἰκὸς, τῇ τοῦ Θεοῦ δωρεᾷ· ἀνήβησεν αὐτοῖς διὰ τοῦ παιδὸς πάλιν ἡ πολιά, δα-

D ψιλεῖς αἱ τοῦ γάλακτος πηγαὶ τῇ παρήλικι πρὸς τὴν χρείαν ἐπιῤῥέουσαι· ἐπεῖχεν ἡ γεγηρακυῖα τῷ παιδὶ τὴν θηλὴν πλημμυροῦσαν. ἐπηγάλλετο τῷ παρὰ φύσιν θαύματι λέγουσα, τίς εἴπῃ τῷ Ἀβραὰμ ὅτι θηλάζει τέκνον ἡ Σάῤῥα; εἶτα ἡδρύνετο τὸ νήπιον κατ' ὀλίγον, καὶ εἰς τὴν τῶν μειρακίων ἡλικίαν ἐπέσχεν, καὶ ἤδη παῖς ἦν ἐν αὐτῇ τῆς ἡλικίας, ἐν ἀκμῇ τῆς ὥρας, γλυκὺ θέαμα τοῖς γεννησαμένοις, εἰς ὥραν ἐπιδιδοὺς, εἰς ἀκμὴν προϊών,

καὶ τῆς ψυχῆς ἀρετὰς συναύξων τῷ κάλλει τοῦ σώματος. ὅπως εἶχεν εἰκὸς ἐπ' αὐτῷ τοὺς γεννήσαντας, ὑμεῖς τὸ πρᾶγμα τοῖς λογισμοῖς ὑποθέντες, ἐν ἑαυτοῖς ἐξετάσατε· ὅπως διατίθεται πατὴρ παίζοντα βλέπων υἱὸν, καὶ σπουδάζοντα ἐν παλαίστραις ἐν παιδείαις, ἐν μαθήμασιν ἢ ἐν ταῖς ἡδίσταις τῶν ἡλικιωτῶν συνουσίαις. ἐν τούτοις πεῖρα προσάγεται τῷ πατριάρχῃ καὶ βάσανος, τίνι τὸ πλέον νέμει, τῇ πρὸς τὸν Θεὸν ἀγάπῃ, ἢ τῇ περὶ τὴν φύσιν ῥοπῇ. φρίττω μεταξὺ διηγούμενος τὸ τῆς πείρας ἀπότομον. χρηματίζει πάλιν ὁ Θεὸς, καὶ προσκαλεῖται τὸν αὐτὸν ἐξ ὀνόματος· ὁ δὲ προθύμως ὑπακούει τῇ κλήσει, ἐξ ὧν ἤδη τετύχηκε, πάντως προσθήκην δευτέρας χάριτος ἐκδεχόμενος. ἀλλὰ τὸ ἐπίταγμα, τί; λάβε μοί, φησι, τὸν υἱόν σου. οὔπω πλήσσει τάχα τοῦ παιδὸς τὴν καρδίαν ὁ λόγος· πάντως γὰρ τοιοῦτον ὑπελογίζετο, ὅτι γάμῳ συναρμόσαι διακελεύεται καὶ ἐπισπεῦσαι τὸν θάλαμον, ὡς ἂν εἰς πέρας ἔλθοι ἡ ἐπὶ τοῦ σπέρματος εὐλογία. ἀλλ' ἴδωμεν τὴν προσθήκην τοῦ λόγου· λάβε μοί, φησι, τὸν υἱόν σου τὸν ἀγαπητὸν, τὸν μονογενῆ. ὅρα τὰ κέντρα τοῦ λόγου, πῶς κεντεῖ τοῦ πατρὸς τὰ σπλάγχνα; πῶς ἀναρριπίζει τὴν τῆς φύσεως φλόγα; πῶς ἀνεγείρει τὸ φίλτρον, καὶ υἱὸν ἀγαπητὸν καὶ μονογενῆ καλῶν; ὡς ἂν διὰ τῶν τοιούτων ὀνομάτων τὸ φίλτρον τὸ πρὸς αὐτὸν ἀναζέσειεν. εἶτα λαβὼν τί ποιήσω; ἀνένεγκέ μοί, φησί· μὴ ἱερέα καταστῆσαι κελεύεις, ὃν ἀνενεγκεῖν προσέταξας; οὐχ ἱερέα, ἀλλὰ θῦμα καὶ ἱερεῖον διὰ θυσίας ὁλοκαυτούμενον. ἀνένεγκέ μοι, φησὶ, εἰς ὁλοκάρπωσιν ἐπὶ τοῦ ὄρους, οὗ ἐάν σοι δείξω. τί πεπόνθατε ἀκούοντες τοῦ διηγήματος, ὅσοι πατέρες ἐστὲ, καὶ τὴν πρὸς τοὺς παῖδας στοργὴν παρὰ τῆς φύσεως ἐδιδάχθητε; οἴδατε πάντως ὅπως δέχεται πατρὸς ἀκοὴ μονογενοῦς τέκνου σφαγήν. τίς οὐκ ἂν κατεπλάγη πρὸς τὴν φωνήν; ἀποστρέψαι τὴν ἀκοήν; ἐναποθανεῖν τῷ προστάγματι μᾶλλον ἢ τῇ καρδίᾳ τὸν λόγον δέξασθαι; οὐκ ἂν ἐδικαιολογήθη πρὸς αὐτὸν, αὐτὴν τὴν φύσιν συνήγορον ἑαυτοῦ προστησάμενος; τί ταῦτα προστάσσεις, λέγων, ὦ κύριε; διὰ τοῦτο πατέρα ἐποίησας, ἵνα παιδοκτόνον ἀπεργάσῃ; διὰ τοῦτό με

A vnà cum corporis pulchritudine virtutes augens. Quomodo propter eum affectos fuiſſe parentes veriſimile ſit, vos rem cogitationibus ſubiectam intra voſipſi perpendite atque iudicate: vt afficiatur pater ludentem videns filium, & palæſtræ, literis, diſciplinis, iucundiſſimis æqualiū cœtibus operam dantem? Interea exploratur atque periculum fit, vtrum dilectioni erga Deum patriarcha plus tribueret, an propenſioni erga naturam. Horreſco dum expono tentationis vehemētiam atque periculi atrocitatem. Deus rurſus colloquitur cum
B illo, ac nominatim appellat eundem: atque ille haud cunctāter dicto audiens eſt vocanti, ex iis quæ iam conſequutus erat, ſecundi doni additamentum prorſus exſpectans. ſed iubetur, quid? Accipe mihi, inquit, filium tuum. Nondum fortaſſe cor patris oratio percutit: planè enim eiuſmodi quid ſuſpicatur, nimirum quod nuptiis filium copulare iuſſurus eſſet, & matrimonium accelerare, vt euentum ſortiretur benedictio ſuper ſemine facta. Sed videamus quid adijciatur orationi: Accipe mihi, inquit, filium
C tuum iſtum dilectum, iſtum vnigenitum. Vide ſtimulos orationis, quemadmodum pugant viſcera patris? vt eliciant flammam naturæ? vt excitet incendium amoris, & filium dilectum & vnigenitum vocans? vt per eiuſmodi nomina efferueſceret erga eum amoris vis. Et vbi accepero, quid faciam? Offer mihi, inquit: an ſacerdotem conſtituere iubes, quem offerre præcepiſti? non ſacerdotem, ſed hoſtiam & victimam, quæ per ſacrificium igni tota abſumatur. Offer mihi, inquit, in ſacrificium holocauſti in monte, quem-
D cumque tibi monſtrauero. Quomodò affecti eſtis narrationem audientes, quicumque patres eſtis & amoris erga liberos affectione ab natura acceptam habetis? noſtis planè vt accipiant aures paternæ vnigeniti filij mactationem. Quis non obſtupuiſſet & attonitus fuiſſet ad hanc vocem? quis aures non auertiſſet? quis in iuſſo accipiendo potius emortuus non eſſet, quàm in cor admitteret orationem? an non merito ac iure cum eo expoſtulaſſet, ipſam naturam pro ſe patronam opponens? ac dixiſſet, Cur hæc Domine iubes? idcircóne patrem feciſti, vt filij percuſſorem redderes? idcircóne me

huius doni dulcedinem guſtare feciſti, vt mundo fabulam me efficeres? Meis ipſius manibus filium trucidabo? & cognatum ſanguinem tibi libabo, & tu hæc iubes, & talibus victimis delectaris? interficiam filium à quo me ſepultum iri ſperaui? Eiuſmodíne ei conſtruam thalamum? talémne ei lætitiam nuptiarum præparabo? & eius nomine accendam non tædam nuptialem, ſed rogum ſepulchralem? ergo ſuper his etiam coronabor? itáne ero pater gentium, cui neque filij vnius eſſe patrem cōceſſum ſit? Nunquid eiuſmodi quippiam Abraham dixit aut cogitauit? nihil minus: ſed vbi quò præceptum ſpectaret animaduertit, Dei reſpiciens dilectionem, ſtatim naturæ oblitus eſt, & tanquam terrenum pondus vitioſos naturæ excutiens & exuens affectus, totum Deo ſeſe permiſit, & id quod iubebatur exequi parabat: ac ne cum vxore quidem hac de re communicauit, rectè ſanè ſibíque vtiliter faciens, qui fœminam non idoneam iudicaret, quam in conſilium adhiberet. nam nec Adamo vtile atque conducibile fuit, quòd conſilium Euæ ſequutus eſt. Quamobrem ne quid Sarra muliebrium atque maternorum affectuum impulſione committeret, & ſinceræ aduerſus Deum dilectionis Abrahami vehementiam infringeret, coniugem ſuam ſtudio fefellit, vt ea quod agebatur ignoraret. Nam ſi quid tale agi Sarra reſciuiſſet, quam multa veriſimile eſt eam vel facturam, vel apud illum conqueſturam ac deploraturam fuiſſe? quàm verò miſerabilibus affectibus circumfuſa filio atque vlnis implicita fuiſſet, ſi eum violenter trahi ad necem animaduertiſſet? quibus item vſa verbis eſſet? Parce naturæ, ô vir, ne praua de te narrandi mundo præbeas occaſionem: vnicus hic mihi partus eſt, vnicus in pariendo Iſaac, in vlnis ſolus: hic mihi partus & primus & poſtremus: quem poſt hunc in menſa conſpiciemus? quis me dulci illa voce appellabit? quis matrem nominabit? quis colet atque curabit ſenectutem? quis mortuam obuoluet ad ſepulturam? quis corpori addet ſepulchrum? Vides florem iuuenis, quem ſi quis in inimico videret, pulchritudinis omnino miſereretur. Hic longarum precum fructus, hic ramus eſt ſucceſſionis, hæ generis ſunt reliquiæ, hic baculus eſt ſenectutis. Si in hunc

A τῆς γλυκείας ταύτης ἐγεύσας δωρεᾶς, ἵνα μῦθόν με ποιήσῃς τῷ βίῳ; ταῖς ἐμαυτοῦ χερσὶ κατασφάξω τὸν παῖδα, καὶ τοῦ συγγενοῦς αἵματος σπείσω σοι; καὶ σὺ ταῦτα κελεύεις, καὶ τοιαύταις ἐπιτέρπῃ θυσίαις; ἀποκτείνω τὸν υἱόν, ὑφ' οὗ ταφήσεσθαι προσεδόκησα; τοιοῦτον αὐτῷ πήξω τὸν θάλαμον; τοιαύτην αὐτῷ τὴν εὐφροσύνην παρασκευάσω τοῦ γάμου; καὶ ἅψω ἐπ' αὐτῷ οὐχὶ λαμπάδα γαμήλιον, ἀλλὰ πῦρ ἐπιτάφιον; ἐπὶ τούτοις καὶ στεφανώσομαι; οὕτως ἔσομαι πατὴρ ἐθνῶν, ὁ μηδὲ παιδὸς συγ-
B χωρούμενος; ἆρά τι τοιοῦτον εἶπεν ὁ Ἀβραάμ, ἢ ἐνενόησεν; οὐδαμῶς· ἀλλ' ἐπειδὴ τὸν σκοπὸν εἶδε τοῦ ἐπιτάγματος, πρὸς τὴν θείαν ἀναβλέψας ἀγάπην, εὐθὺς τὴν φύσιν ἠγνόησε, καὶ οἷόν τι γεῶδες ἄχθος τὰς ἐμπαθεῖς τῆς φύσεως διαθέσεις ἀποδυσάμενος, ὅλον ἔδωκεν ἑαυτὸν τῷ Θεῷ, καὶ τοῦ προστάγματος ἦν· καὶ οὔτε τῇ γαμετῇ περὶ τούτου ἀνεκοινώσατο, καλῶς γε ποιῶν καὶ λυσιτελῶς ἑαυτῷ, ἀναξιόπιστον εἰς συμβουλὴν κρίνας τὸ θῆλυ. οὐδὲ γὰρ τῷ Ἀδὰμ συνήνεγκε τὴν συμβουλὴν δε-
C ξαμένῳ τῆς Εὔας. διὰ τοῦτο ὡς ἂν μὴ πάθῃ τι γυναικεῖον καὶ μητρῷον ἡ Σάρρα, καὶ τὸ σφοδρόν τι καὶ ἀκραιφνὲς τῆς πρὸς τὸν Θεὸν ἀγάπης τοῦ Ἀβραὰμ ἐπικλάσειεν, λαθεῖν ἐπετήδευσε τὴν ὁμόζυγον. πόσα γὰρ ἦν εἰκός, εἴ τι τοιοῦτον ἔγνω γινόμενον, ἢ δράσαι τὴν Σάρραν, ἢ πρὸς αὐτὸν ἀποδύρασθαι; οἷα δ' ἂν ἔπαθε περιχυθεῖσα τῷ παιδὶ καὶ ταῖς ἀγκάλαις ἐμπλεξαμένη, εἰ πρὸς τὴν σφαγὴν ἔβλεπεν αὐτὸν βιαίως ἑλκόμενον; οἵοις δ' ἂν ἐχρήσατο λόγοις; φεῖσαι τῆς φύσεως, ἆνερ, μὴ γένῃ πονη-
D ρὸν τοῦ βίου διήγημα· μονογενής μοι ὁ τόκος οὗτος, μονογενὴς ἐν ὠδῖσιν ὁ Ἰσαάκ, ἐν ἀγκάλαις μόνος· οὗτός μοι τόκος καὶ πρῶτος καὶ ὕστατος· τίνα μετὰ τοῦτον ἐπὶ τραπέζης ὀψόμεθα; τίς προσερεῖ μοι τὴν γλυκεῖαν φωνήν; τίς ὀνομάσει μητέρα; τίς θεραπεύσει τὸ γῆρας; τίς περιστελεῖ μετὰ τὸν θάνατον; τίς ἐπιχώσει τάφον τῷ σώματι; ὁρᾷς τὸ ἄνθος τοῦ νέου, ὃ καὶ ἐν ἐχθρῷ τις βλέπων, πάντως ἂν τὴν ὥραν ἠλέησεν. οὗτος τῆς μακρᾶς εὐχῆς ὁ καρπός, οὗτος τῆς διαδοχῆς ὁ κλάδος, οὗτος τοῦ γένους τὸ λείψανον, οὗτος ἡ βακτηρία τοῦ γήρως. εἰ κατὰ τού-

A τοῦ φέρεις τὸ ξίφος, ταύτην μοι δὸς τῇ δει-
λαίᾳ τὴν χάριν· κατ' ἐμοῦ πρῶτον χρῆσαι
τῷ ξίφει, καὶ τότε ποίησον τὸ δοκοῦν ἐπὶ τούτου·
κοινὸν ἀμφοτέρων ἔστω τὸ χῶμα, κοινὴ κόνις ἐ-
πικαλυψάτω τὰ σώματα, κοινὴ στήλη διηγεί-
σθω τὰ πάθη· μὴ ἴδῃ Σάρρας ὁ ὀφθαλμὸς μή-
τε Ἀβραὰμ παιδοκτονοῦντα μήτε Ἰσαὰκ χερ-
σὶ πατρῴαις παιδοκτονούμενον. Ταῦτα πάντως
ἂν καὶ τὰ τοιαῦτα παρὰ τῆς Σάρρας ἐγένετο
τῷ Ἀβραὰμ τὰ ῥήματα, εἴπερ τῶν γινομένων
προῃσθάνετο. ἀλλ' ὡς ἂν μηδὲν ἐμπόδιον πρὸς
τὴν ἐγχείρησιν γένοιτο, ὄνῳ τὰς σχίδακας ἐπι- B
θεὶς, καί τινας τῶν παίδων ἐπαγόμενος, ὅλος
τοῦ θείου θελήματος ἦν. εἶτα καταλιπὼν τοὺς
παῖδας, ὡς ἂν μή τι ἀγεννέστερον καὶ ἀνδρα-
ποδῶδες ἐκεῖνοι βουλεύσοιντο, κωλύσοντες τοῦ
παιδὸς τὴν ἱερουργίαν, μόνον ἐπάγεται τὸν υἱὸν,
ἱκανῶς ἤδη πρὸς τὰ βαρύτερα τῶν ἔργων ὑφ'
ἡλικίας ἀνδριζόμενον. μετασάξας γὰρ ἀπὸ τῆς
ὄνου ἐπὶ τὸν παῖδα τὸ ἄχθος, ἐκεῖνον ὑπήγα-
γε τῷ φορτίῳ τῶν ξύλων. πάλιν δριμύσσει τὰ
τοῦ πατρὸς σπλάγχνα ἡ φωνὴ τοῦ παιδός· ἄλ-
λος οὗτος πειρασμὸς οὐδὲν τοῦ προλαβόντος C
φιλανθρωπότερος. προσκαλεῖται τὸν πατέρα
ὁ Ἰσαὰκ τῇ γλυκείᾳ ταύτῃ φωνῇ, καὶ φησί,
πάτερ· ὁ δὲ οὐ καταπνίγεται δάκρυσι, τὸ μι-
κρὸν ὕστερον μηκέτι ἀκούσεσθαι τῆς τοιαύτης φω-
νῆς ἐννοήσας, οὐδ' ἐποιμώζει τῷ λόγῳ, οὐδέ τι
θρηνῶδες καὶ γοερὸν ἀποφθέγγεται, ἀλλ' ἑστώ-
σῃ καὶ ἀκλινεῖ τῇ ψυχῇ, καὶ δέχεται τοῦ παιδὸς
τὴν φωνὴν, καὶ τὴν ἰδίαν προΐεται. φησὶ γὰρ
πρὸς αὐτὸν, τί ἐστι τέκνον; ἐνταῦθά μοι κατα-
νόησον τὸ συνετὸν ἅμα καὶ λελογισμένον τοῦ νέου, D
πῶς τὸ δοκοῦν παρεωρᾶσθαι παρὰ τοῦ πατρὸς, ἀ-
προσκρούστως εἰς ὑπόμνησιν ἄγει, οὔτε παρά-
νοιαν, οὔτε λήθην τῷ πατρὶ ὀνειδίζων· ἀλλ' ἐν
προσποιήσει δῆθεν τοῦ θελῆσαι μαθεῖν, τοῦ πα-
ροράματος ὑπομιμνήσκων. ἰδοὺ γάρ, φησι, τὰ
ξύλα, τὸ πῦρ, ἡ μάχαιρα· τὸ ἱερεῖον ποῦ; ὁ δὲ,
εἴτε παραθαρρύνων τὸν παῖδα, εἴτε ὡς προ-
φήτης τὸ μέλλον διεγγυώμενος, ὁ Θεὸς φησὶν
ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέ-
κνον. καὶ ἐπὶ τούτοις ἔτι ἡ πεῖρα τῆς τοῦ πατριάρ-
χου ψυχῆς παρετείνετο. καταλαμβάνει τὸν
προρρηθέντα χῶρον αὐτῷ, οἰκοδομεῖ τῷ Θεῷ
τὸ θυσιαστήριον, ὁ παῖς παρετίθει τῷ πατρὶ τὰς ὕλας· ἡτοιμάζετο ἡ πυρά. καὶ οὔπω τὸ ἔργον

A gladium fers, hanc mihi miſeræ veniam
da, in me primum vtere gladio, & tunc
fac quod videtur in hoc: communis
amborum tumulus eſto, communis
contegat corpora puluis, communis
titulus vtriuſque cladem prodat, ne vi-
deat oculus Sarræ nec Abrahamum fi-
lium ſuũ interficere, nec Iſaacum filium
manibus paternis trucidari. His prorſ-
ſus & eiuſmodi verbis Sarra aduerſus
Abrahamũ vſa fuiſſet, ſi quidem quod
agebatur præſenſiſſet. Sed ne quid rem
quam agebat impediret, quum aſinum
lignis onerasſet, & ſeruos aliquot aſſum-
B pſiſſet, totus diuinæ voluntati deditus
erat: deinde relictis ſeruis, ne quod illi
ſeruili ſuæ conditioni conueniens ſor-
didum conſilium caperent, prohibituri
filij immolationem, ſolum filium ſecum
ducit, qui iam ætate ſatis firmus erat ad
opera grauiora ſubeũda. Ab aſina enim
onere in filium tranſlato, illum humeris
ſubire onus lignorum iuſſit. Rurſus pa-
tris viſcera filij vulnerat vox: alia hæc
eſt tentatio nihilo mitior priore. Appel-
lat patrem Iſaac dulci hac voce & ait,
Pater: at ille non ſuffocatur lachrymis,
C vt qui cogitaret fore vt paulò poſt ta-
lem non amplius vocem audiret, neque
orationi ingemiſcit, nec lamentabile ac
flebile verbũ vllum profert, ſed ſedato,
conſtãti atque tranquillo animo quum
filij vocem accipit, tum ſuam inuicem
reddit. Ait enim ad eum, Fili quid eſt?
Hic mihi conſidera intelligẽtiam ſimul
& prudentem iuuenis moderationem,
quo pacto quum ſe negligi à patre pu-
taret, eius rei abſque vlla animi offen-
ſione illum commonefacit, neque de-
D mentiam patri neque obliuionem ex-
probrans, ſed ſimulando ſeſe velle ſcire
quid ageretur, negligentiæ ſui atque
deſpicientiæ commonefaciens. Ecce
enim, inquit, ligna, ignis, gladius, ſed vi-
ctima vbi eſt? at ille ſiue animũ addere
filio volens, ſiue tanquam vates id quod
futurum erat ſpondens, Deus, inquit,
fili, prouidebit ſibi ouẽ in holocauſtum.
Et ſuper his etiam nunc tentatio atque
exploratio animi Patriarchæ proroga-
batur. Peruenit tandem ad locum ſibi
præmonſtratum, ædificat Deo altare,
filius iuxta patrem ligna ponebat, para-
batur rogus. ac nondum opus prohibe-

tur ne quis puſillanimis dicat, ſi huc vſq; tentationẽ cõſiſtere ac permanere contigiſſet, non ſui ſimilem in ſtudio ſacrificandi Abrahamum permãſurum fuiſſe, ſi diſcrimini magis appropinquaſſet. Poſthęc pater filiũ tangit, nec rei gerendæ natura aduerſatur: tradit ſeſe patri filius tractandũ, quẽmadmodum ille vellet. Vtrum illorum duorũ plus admirer? hunc qui propter dilectionẽ erga Deum filio manus iniecit, an illũ qui patri vſq; ad mortẽ parebat & obediebat? Certant inter ſeſe, hic quidem ſuper naturã ſeſe tollens, ille verò morte grauius & atrocius eſſe ducẽs aduerſari atque reſiſtere patri: deinde prius vinculis filium pater cõſtringit. Sæpenumero miſerabilis huius rei imaginẽ in pictura vidi, nec abſq; lacrymis ſpectaculũ præterij, adeò perſpicuè atq; euidẽter ars pingendi oculis rem geſtã ſubiecit. Procũbit Iſaac ante patrẽ propter ipſum altare flexis genib⁹ nixus, & manus retrorſum habẽs adductas: ille verò poſt genuũ curuaturã pedibus inſiſtẽs, & ſiniſtra manu capillum eius ad ſeſe adducens, inclinato capite intuetur vultũ miſerabiliter ad ipſum oculos attollentis, ac dexterã armatã gladio dirigit ad faciendum, ac iam gladij mucro corpus tangebat, & tunc demum diuinitùs ad eum editur vox quæ rem agendã prohiberet. vox autem eiuſmodi quædã erat. Vix enim quemadmodum pullũ quendã equinũ contumacẽ & indomitũ freniſq; & habenis minus obtẽperantẽ, ac de recto itinere declinãtem, multiſque gyris & anfractibus ex tranſuerſo exultantem rurſus in viã rectam reduximus orationem. Hoc enim nobis propoſitum erat vt oſtenderemus Apoſtolum orationi teſtimonium perhibere, nempe patrem filio maiorem nõ eſſe. Hîc enim ſcriptura quum angelum orationi Dei præpoſuiſſet, ſubijcit vocem: vocauit enim eum Angelus Domini & dixit, Propterea quod feciſti verbum hoc, & non peperciſti filio tuo dilecto, per me iuraui, facturum me eſſe omnia hæc quæ etiam in orationis promiſſione cognoſci poſſunt. Quis igitur eſt qui cum Abrahamo colloquutus eſt? nunquid pater? at nequaquam dixeris alicuius Angelum eſſe patrem. Ergo filius vnigenitus is erat, de quo Propheta dicit, Vocatur nomen eius magni conſilij Angelus. Hoc autẽ Paulus, qui arcanis ſacris in paradiſo ini-

A κωλύεται. ὡς ἂν μή τις τὴν μικροψυχοτέραν εἴποι, εἰ μέχρις ἐκείνου συνέβη στῆναι τὴν πεῖραν, οὐκ ἂν αὐτὸς διέμεινεν ὁμοίως, εἰ μᾶλλον τῷ πάθει ἤγγισεν. ἅπτεται μετὰ ταῦτα τοῦ παιδὸς ὁ πατὴρ, καὶ οὐκ ἀντιβαίνει τῷ γινομένῳ ἡ φύσις· δίδωσιν ἑαυτὸν τῷ πατρὶ ὁ παῖς χρήσασθαι ὅτι βούλεται. τίνα πλέον ἐξ ἀμφοτέρων θαυμάσω; τὸν ἐπιβαλόντα διὰ τὴν πρὸς Θεὸν ἀγάπην τῷ παιδὶ τὰς χεῖρας, ἢ τὸν μέχρι θανάτου τῷ πατρὶ ὑπακούσαντα; φιλοτιμοῦνται πρὸς ἀλλήλους, ὁ μὲν τῆς φύσεως ἑαυτὸν ὑ-

B περαίρων, ὁ δὲ χαλεπώτερον τοῦ θανάτου τὸ ἀντιπίπτειν τῷ πατρὶ λογιζόμενος. ἐντεῦθεν δεσμοῖς πρότερον διαλαμβάνει ὁ πατὴρ τὸν παῖδα. εἶδον πολλάκις ἐπὶ γραφῆς εἰκόνα τοῦ πάθους, καὶ οὐκ ἀδακρυτὶ τὴν θέαν παρῆλθον, ἐναργῶς τῆς τέχνης ὑπ' ὄψιν ἀγούσης τὴν ἱστορίαν. πρόκειται ὁ Ἰσαὰκ τῷ πατρὶ παρ' αὐτῷ τῷ θυσιαστηρίῳ, ὀκλάσας ἐπὶ γόνυ, καὶ περιηγμένας ἔχων εἰς τοὐπίσω τὰς χεῖρας· ὁ δὲ ἐπιβεβηκὼς κατόπιν τῷ ποδὶ τῆς ἀγκύλης, καὶ τῇ λαιᾷ χειρὶ τὴν κόμην τοῦ παιδὸς πρὸς ἑαυτὸν ἀνακλάσας, ἐπικύπτει τῷ προσώπῳ, ἐλεει-

C νῶς πρὸς αὐτὸν ἀναβλέποντι, καὶ τὴν δεξιὰν καθωπλισμένην τῷ ξίφει πρὸς τὴν σφαγὴν κατευθύνει, καὶ ἅπτεται ἤδη τοῦ σώματος ἡ τοῦ ξίφους ἀκμή, καὶ τότε αὐτῷ γίνεται θεόθεν φωνὴ τὸ ἔργον κωλύουσα. ἡ δὲ φωνὴ τοιαύτη τις ἦν. μόγις γὰρ καθάπερ πῶλόν τινα δυσαγωγόν τε καὶ δυσήνιον, τῆς εὐθείας παρατραπέντα, καὶ πολλοῖς κύκλοις ἐν πλαγίῳ διασκιρτήσαντα, πάλιν εἰς τὴν εὐθεῖαν τὸν λόγον ἠγάγομεν. τοῦτο γὰρ ἦν τὸ προκείμενον ἡμῖν, δεῖξαι τὸν ἀπόστολον μαρτυροῦντα τῷ λόγῳ, ὅτι μείζων τοῦ υἱοῦ ὁ πατὴρ οὐκ ἔστιν. ἐνταῦθα γὰρ ἄγγελον τοῦ λόγου τοῦ Θεοῦ

D ἡ γραφὴ προτάξασα, ἐπάγει φωνήν· ἐφώνησε γὰρ αὐτὸν ἄγγελος κυρίου καὶ εἶπεν, ὅτι ἀνθ' ὧν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ, κατ' ἐμαυτοῦ ὤμοσα, ποιῆσαι ἅπερ καὶ ἐν τῇ ἐπαγγελίᾳ τοῦ λόγου ἔστι μαθεῖν. τίς οὖν ἐστιν ὁ χρηματίσας τῷ Ἀβραάμ; ἆρα μὴ ὁ πατήρ; ἀλλ' οὐκ ἂν εἴποις ἄγγελόν τινος εἶναι τὸν πατέρα. οὐκοῦν ὁ μονογενὴς Θεός, περὶ οὗ ὁ προφήτης φησίν, ὅτι καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. τοῦτο δὲ οὐκ ἀγνοεῖ πάντως ὁ Παῦλος ὁ ἐν παραδείσῳ μυη-

θεὶς τὰ ἀπόρρητα, ὅτι παρὰ τοῦ μονογενοῦς υἱοῦ ἔνορκος αὕτη ἡ ὑπόσχεσις. λέγει δὲ ὁ Παῦλος, ὅτι τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς λόγος, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ. πῶς οὖν οὗτοι λέγουσι μείζονα τοῦ υἱοῦ τὸν πατέρα, τοῦ Παύλου λέγοντος ὅτι οὐκ ἔχει τὸ μεῖζον; ἀλλ' ἐπανέλθωμεν πάλιν ἐπὶ τὸν εὐαγγελικὸν οἶνον τὸν νέον, ὡς ἂν δεξάμενοι διὰ τῆς διδασκαλίας καὶ αὐτοὶ τὴν ζέσιν τοῦ πνεύματος, ἐπιτήδεια δοχεῖα τοῦ τοιούτου οἴνου γενοίμεθα, μήτε αὐτοὶ διασχιζόμενοι, μήτε τὴν ἐγκεκρυμμένην ἡμῖν χάριν ἐκχέοντες. ἤκουον τῆς ψαλμῳδίας περὶ τῶν παρόντων, οἶμαι, κακῶν προφητευούσης· λέγει γὰρ περὶ τῶν ἁμαρτωλῶν, ὅτι ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, καὶ ἐπλανήθησαν ἀπὸ γαστρός. μήτραν οἶμαι τῶν κατὰ Θεὸν γεννωμένων, τὴν ἐκκλησίαν λέγεσθαι. αὕτη γὰρ κυοφοροῦσα τῇ ἰδίᾳ νηδύϊ τοὺς ἐν αὐτῇ τελεσφορουμένους, εἰς φῶς διὰ τῆς πίστεως ἄγει. ἀλλ' οἱ ἁμαρτωλοὶ κατὰ τὰ ἀμβλωθρίδια τῶν γεννημάτων, τῆς μήτρας ἠλλοτριώθησαν, καὶ τῆς γαστρὸς τῆς γνησίας ἀπεπλανήθησαν. οὐχ ὁρῶ γὰρ ἐν τοῖς μητρῴοις κόλποις τοὺς ἀποστάτας τῆς πίστεως, καὶ λέγω τὴν προφητείαν περὶ τούτων λέγειν, τῶν διὰ τῆς ἀπάτης πεπλανημένων, ὅτι ἐπλανήθησαν ἀπὸ γαστρός. ἐπλανήθησαν τῷ λαλῆσαι ψευδῆ. θυμὸς αὐτοῖς, φησί, κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, οὐχ ἁπλῶς ὄφεως, ὡς ἂν μὴ πρὸς τὸ θηρίον τοῦτο τὴν εἰκασίαν ποιεῖν· ἀλλ' ἡ τοῦ ἄρθρου προσθήκη τὸ ἀρχέτυπον κακὸν δι' αἰνιγμάτων δείκνυσιν. ἀλλ' οὐκ ἄκαιρος ἴσως ἡμῖν ἡ μνήμη τοῦ ὄφεως, εἰς ἔλεγχον τῶν θρασυστομούντων κατὰ τοῦ πνεύματος. ἐπειδὴ γὰρ οἴονται ταύτην ἰσχυρὰν ἔχειν κατὰ τοῦ πνεύματος λαβήν, τὸ μὴ προσειρῆσθαι Θεὸν τὸ πνεῦμα παρὰ τῆς ἁγίας γραφῆς, (ὥς αὐτοί γε νομίζουσιν· οὐ γὰρ ἡμεῖς συντιθέμεθα) καὶ φασὶ φύσεως μὲν εἶναι σημαντικὴν τὴν θεότητα, τοῦ δὲ ὀνόματος τούτου μὴ ἐπικειμένου τῷ πνεύματι, τὸ μὴ τῆς αὐτῆς φύσεως εἶναι τῷ πατρί, καὶ τῷ υἱῷ τὸ πνεῦμα κατασκευάζουσιν, λαβέτωσαν τῆς ἀνοήτου αὐτῶν βλασφημίας τὸν ὄφιν κατήγορον. ὡς γὰρ ἡμεῖς φαμὲν ὅτι ἡ θεία φύσις ὄνομα σημαντικὸν ἢ οὐκ ἔχει ἑαυτῆς ἢ ἡμῖν οὐκ ἔχει· ἀλλ' εἴ τι καὶ λέ-

A tiatus & inſtitutus eſt, prorſus haud ignorat, nẽpe ab vnigenito filio iureiurando confirmatã hanc factam eſſe promiſſionẽ. Dicit autẽ Paulus, Abrahamo pollicitus Deus (id eſt, Deus verbum) quandoquidẽ per neminem maiorẽ poterat iurare, iurauit per ſemetipſũ. Quî igitur iſti dicunt patrẽ filio maiorẽ eſſe, quum Paulus neget eũ habere (aliquid) maius? Sed redeamus rurſus ad Euãgelicum illud vinũ nouũ, vt & ipſi per doctrinam ſpiritus accepto feruore, idonea vaſa atque receptacula talis vini fiamus, B neque ipſi rumpentes, neq; reconditam & abditam in nobis gratiã effundentes. Audiui ſcriptorẽ Pſalmorũ de præſentibus, opinor, malis vaticinãtem ac prædicentem: dicit enim de peccatoribus his verbis, Abalienati ſunt ab vtero peccatores, & aberrauerũt à ventre. Vterum opinor eorum qui ſecundum Deum naſcuntur, Eccleſiam dici. Hæc enim in vtero ſuo geſtans eos qui ad perfectionem in ea perueniunt, in lucẽ per fidem producit. Sed peccatores quemadmodum fœtus abortiui ab vtero abalienati ſunt, & à vero atq; germano ventre ab- C errauerunt: non enim in materno ſinu gremióq; video fidei deſertores, & aio prophetiã de his loqui qui per fraudem ſeducti errant, nempe à ventre illos aberraſſe. errauerũt eo quod loquuti ſunt falſa. Furor eis, inquit, ad ſimilitudinem illius ſerpentis, nõ planè atq; ſimpliciter ſerpentis, ne cum beſtia hac comparari atq; aſſimilari videãtur: ſed adiectio articuli originale atq; principale malum per ænigmata verborúmq; inuolucra oſtendit. Sed fortaſſe non intempeſtiuè à nobis ſerpẽtis eſt mentio facta, ad coarguendum eos qui temerè & inconſide- D ratè aduerſus Spiritum ſanctũ loquũtur. Quoniã enim hanc firmam ac validam aduerſus Spiritũ ſanctum habere ſe putant reprehenſionem, quod à ſancta nimirum ſcriptura Spiritus ſanctus nõ appelletur Deus, (vt ipſorũ ſaltem opinio fert: non enim nos cum illis concordamus) & aiunt naturæ quidẽ ſignificatricem eſſe vocẽ Deitatis: & quod hoc nomen Spiritu ſancto impoſitũ nõ ſit, non eiuſdẽ cũ Patre ac filio naturæ Spiritum ſanctum eſſe fingunt, accipiant ſerpentem illum ſtultæ ſuæ vituperationis ac maledicentiæ accuſatorem. Quandoquidem enim nos dicimus diuinã naturam nomen quo ſignificetur, aut non habere, aut nobis non habere, ſed ſi quod etiam

dicitur ſiue à cõſuetudine humana, ſiue A à ſancta ſcriptura aliquid eſſe eorũ quæ circa eam notantur & eſſe animaduertuntur: ipſam verò diuinam naturã inexplicabilem & ineffabilem manere, & omnem quæ per vocem fit, ſuperare ſignificationem: tempeſtiuum videtur hanc vobis ſcripturæ partẽ proponere, quod ad Euam loquitur ille ſerpens, oſtendens Deitatis nomen videndi efficientiæ continere ſignificationem. Suadens enim eis vt vetitos fructus guſtarent, hoc ipſos ex inobedientia cõmodum ac lucrum conſequuturos eſſe pollicetur. Aperientur, inquit, oculi veſtri, B & eritis ſicut dij. Vides quòd vocem Deitatis in ſeſe cernendi efficientiæ ſignificationem continere teſtatur? non enim poteſt aliquid cerni niſi oculis apertis: ergo non naturã, ſed facultatem videndi ſignificat appellatio Deitatis. Nónne igitur confitentur Spiritum ſanctum videre? an etiam de hoc contendent? nam ſi quidẽ videt, ab efficientia prorſus cognominatur: ſin autem hoc etiam ratione atq; oratione ſeſe doceri deſiderant, etſi ſuperuacuũ quidem eſt confeſſis iiſque rebus de quibus conſtat C immorari, verùm tamen hanc quoque cum animi lenitate ignorantibus adijciamus orationem. Quis Ananiæ ſacrilegium deprehẽdit? quî Petrus reſciuit Ananian ipſum rei ſuæ furẽ fuiſſe, quod ſacrilegium vnà cum coniuge ſolus in occulto cõmiſerat? nónne Spiritus ſanctus & in Petro erat, & Ananiæ Satanas aderat? Idcirco dicit Petrus, Cur impleuit Satanas cor tuum, vt mentireris Spiritui ſancto? non mẽtitus es hominibus, ſed Deo. Quemadmodum igitur is qui dicit, Qui animal ratione præditum contumelia afficit, hominem contumelia afficit, non ad duos quoſdam D refert contumeliam, ſed ad vnam perſonam quæ diuerſis proprietatibus cognoſcitur relatio fit: ita Petrus quoque, quum & Spiritui ſancto & Deo dixiſſet Ananiam eſſe mentitum, rem eandem per duo vocabula piè intelligentibus demonſtrat. Verùm efficiamur etiam nos dono Spiritus ſancti perſpicaces veritatis inueſtigatores & participes Deitatis, per Chriſtum Ieſum Dominum noſtrum, cui gloria atque imperium in ſæcula ſæculorum, Amen.

γεται εἴτε παρὰ τῆς ἀνθρωπίνης συνηθείας, εἴτε παρὰ τῆς ἁγίας γραφῆς, τῶν τι περὶ αὐτὴν ἀποσημανθέντων ἐστίν· αὐτὴ δὲ ἡ θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν. εὔκαιρον εἶναι μοι τοῦτο τῆς γραφῆς ὑμῖν παραθέσθαι τὸ μέρος, ὃ πρὸς τὴν Εὔαν διεξῆλθεν ὁ ὄφις, δεικνὺς ὅτι τὸ τῆς θεότητος ὄνομα τῆς ὁρατικῆς ἐνεργείας τὴν σημασίαν ἔχει. συμβουλεύων γὰρ ἅψασθαι τῶν ἀπηγορευμένων, τοῦτο τῆς παρακοῆς αὐτοῖς τὸ κέρδος κατεπαγγέλλεται, ὅτι διανοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοί. ὁρᾷς ὅτι τὴν θεατικὴν ἐνέργειαν προσμαρτυρεῖ τῇ φωνῇ τῆς θεότητος; οὐ γάρ ἐστι θεάσασθαί τι μὴ τῶν ὀφθαλμῶν ἀνοιγέντων. οὐκοῦν οὐχὶ τὴν φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησιν. ἆρ' οὖν οὐχ ὁμολογοῦσι θεάσασθαι τὸ πνεῦμα τὸ ἅγιον; ἢ καὶ περὶ τούτου ζυγομαχήσουσιν; εἰ μὲν γὰρ τεθέαται, τῇ ἐνεργείᾳ πάντως ἐπονομάζεται· εἰ δὲ καὶ τοῦτο ζητοῦσι λόγῳ μαθεῖν, περιττὸν μὲν τοῖς ὁμολογουμένοις ἐνδιατρίβειν· πλὴν ἀλλὰ προσθῶμεν τοῖς ἀγνοοῦσι, καὶ οὕτως ἐν μακροθυμίᾳ τὸν λόγον. τίς τοῦ Ἀνανίου τὴν ἱεροσυλίαν ἐφώρασεν; πῶς ἔγνω Πέτρος αὐτὸν ἑαυτοῦ τὸν Ἀνανίαν κλέπτην γενόμενον, ἣν ἐν παραβύστῳ μετὰ τῆς ὁμοζύγου μόνος εἰργάσατο; οὐ τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐν Πέτρῳ ἦν, καὶ τῷ Ἀνανίᾳ ὁ Σατανᾶς παρῆν; διὰ τοῦτο φησὶν ὁ Πέτρος, εἰς τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. ὥσπερ τοίνυν ὁ λέγων ὅτι τὸ λογικὸν ὑβρίσας, τὸν ἄνθρωπον ὕβρισεν, οὐκ εἰς δύο τινὰς φέρει τὴν ὕβριν, ἀλλὰ πρὸς ἕν ἐστι πρόσωπον ἡ ἀναφορὰ διαφόροις ἰδιώμασι γνωριζόμενον· οὕτω καὶ ὁ Πέτρος, καὶ πνεῦμα καὶ Θεὸν εἰπὼν περὶ τοῦ Ἀνανίου διεψευσμένον, ταὐτὸν τὰ δύο τοῖς νοοῦσιν εὐσεβῶς ἀποδείκνυσιν. ἀλλὰ γενοίμεθα καὶ ἡμεῖς διορατικοὶ τῆς ἀληθείας καὶ μέτοχοι τῆς θεότητος κατὰ τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΤΑΦΙΟΣ

λόγος εἰς τὸν ἴδιον ἀδελφὸν τὸν μέγαν Βασίλειον.

ΚΑΛΗΝ ἐπέθηκεν ὁ Θεὸς τὴν τάξιν ταῖς ἐτησίοις ταύταις ἡμῶν ἑορταῖς, ἃς διά τινος τεταγμένης ἀκολουθίας κατὰ τὰς ἡμέρας ταύτας ἤδη τε ἠγάγομεν, καὶ πάλιν ἄγομεν. ἡ δὲ τάξις B ἡμῖν ἐστὶ τῶν πνευματικῶν πανηγύρεων ἣν καὶ ὁ μέγας Παῦλος ἐδίδαξεν, ἄνωθεν τὴν τοιούτων τὴν γνῶσιν ἔχων. Φησὶ γὰρ ἐκεῖνος, ἐν πρώτοις μὲν τοὺς ἀποστόλους τε καὶ τοὺς προφήτας τετάχθαι, μετ' ἐκείνους δὲ τοὺς ποιμένας καὶ διδασκάλους. συμβαίνει τοίνυν τῇ ἀποστολικῇ ταύτῃ ἀκολουθίᾳ, ἡ τάξις τῶν τοῦ ἐνιαυτοῦ πανηγύρεων. ἀλλὰ τὴν προτέραν οὐ συναριθμῶ ταῖς ἄλλαις. ἡ γὰρ ἐπὶ τῇ θεοφανείᾳ τοῦ μονογενοῦς υἱοῦ χάρις, ἡ διὰ τῆς ἐκ παρθένου γεννήσεως ἀναδειχθεῖσα τῷ κόσμῳ, οὐχ ἁπλῶς C ἐστὶν ἁγία πανήγυρις, ἀλλ' ἁγία ἁγίων, καὶ πανήγυρις πανηγύρεων. ἐκείνου τὰς μετ' αὐτὴν ἀριθμήσωμεν. προφῆται ἡμῖν ἀπόστολοί τε καὶ προφῆται, τῆς πνευματικῆς χοροστασίας κατήρξαντο. τὰ δύο γὰρ πάντως περὶ τοὺς αὐτούς ἐστι χαρίσματα, τό τε ἀποστολικὸν πνεῦμα, καὶ τὸ τῆς προφητείας. εἰσὶ δὲ οὗτοι· Στέφανος, Πέτρος, Ἰάκωβος, Ἰωάννης, Παῦλος· εἶτα μετὰ τούτους φυλάξας τὴν ἑαυτοῦ τάξιν, ἐξάρχει τῆς παρούσης ἡμῖν πανηγύρεως, ὁ ποιμὴν καὶ δι- D δάσκαλος. τίς οὗτος; εἴπω τὸ ὄνομα, ἢ ἀρκεῖ ἡ χάρις ἀντὶ τοῦ ὀνόματος δεῖξαι τὸν ἄνδρα. διδάσκαλον γὰρ καὶ ποιμένα μετὰ τοὺς ἀποστόλους ἀκούσας, ἐνόησας πάντως τὸν μετὰ τοὺς ἀποστόλους ποιμένα τε καὶ διδάσκαλον. τοῦτον λέγω τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν ὑψηλὸν βίῳ τε καὶ λόγῳ Βασίλειον, τὸν ἀστεῖον τῷ Θεῷ ἐκ γεννήσεως, τὸν τοῖς ἤθεσι πολιὸν ἐκ νεότητος, τὸν παιδευθέντα μὲν κατὰ Μωσέα πάσῃ σοφίᾳ τῶν ἔξωθεν λόγων· τοῖς δὲ ἱεροῖς γράμμασιν ἐκ βρέφους καὶ μέχρι τῆς τελειώσεως συντραφέντα καὶ συναυξηθέντα καὶ συνακμάσαντα,

EIVSDEM ORATIO FVNEbris, qua fratris ſui Baſilij magni laudes & memoriam concelebrat.

Laurentio Siſano interprete.

BONVM impoſuit Deus ordinem anniuerſariis his noſtris feriis, quas per ordinatam quandam viciſſitudinem & ſeriem his diebus & iam celebrauimus, & rurſus celebramus. Ordo autem nobis ſpiritualium celebritatum atque conuentuum is eſt, quem magnus etiam Paulus docuit, ſupernè atq; cœlitùs eiuſmodi rerum cognitionem adeptus. Ait enim ille, in primis quidē Apoſtolos & Prophetas conſtitutos & ordinatos eſſe, poſt illos verò paſtores & doctores. (1. Cor. 12.) Conuenit igitur ordo ſolennium conuentuum & celebritatum cum Apoſtolica hac ordinatione. Sed primā celebritatem vnà cum aliis non numero. Nam quę propter diuinam vnigeniti filij apparitionem, per partum virginis à mundo feſtiuitas inſtituta eſt, ea non ſimpliciter ſancta celebritas eſt, ſed ſancta ſanctarum, & celebritas celebritatum. Igitur eas, quæ hanc conſequuntur, numeremus. Primum nobis Apoſtoli & Prophetæ ſpiritualis cœtus initium fecerunt. Vtraque enim prorſus circa eoſdem ſunt dona, & Apoſtolicus ſpiritus, & ſpiritus prophetiæ. Sunt autem hi. Stephanus, Petrus, Iacobus, Ioannes, Paulus: deinde poſt hos conſeruato ordine ſuo, paſtor & magiſter pręſentem nobis celebritatem auſpicatur. Quis eſt hic? dicam nomen, an nominis vicem gratia atque feſtiuitas ſupplet ad virum oſtendēdum? Cùm enim de magiſtro atque paſtore poſt Apoſtolos audiueris, intellexiſti prorſus eum qui Apoſtolos conſequitur paſtor & doctor. Hunc dico, qui vas eſt electionis, ſublimem illum & vita & ſermone Baſilium, gratum & acceptum Deo à natiuitate, (Act. 7.) qui moribus canus ab iuuentute, qui ſicut Moyſes, eruditus fuit omni ſapientia atque ſcientia externarum diſciplinarum, ſacris verò literis ab infantia vſque ad perfectionem & conſummationem innutritus, vnà creuit, in adulta atque confirmata ætate vnà

verſatus eſt, vnde docens omnem hominem in omni ſapientia tã externa quàm diuina, veluti vir quidam fortis & ſtrenuus bellator ambidexter, per vtramq; eruditionẽ in aduerſarios ſeſe armans, per vtramque diſciplinam vincit reluctantes, vtraque armatura præcedens & ſuperans eos, qui per alterutram aduerſus veritatem aliquas vires habere ſe putabant, eos quidem qui de hæreticorum ſentẽtia ſcripturas proferrent, ſcripturis euertens atq; confutans: Græcos autem ac gentiles per ſuam ipſorum irretiens atque illaqueans eruditionem. Sed victoria de aduerſariis non ruinam iis, qui victi eſſent, adferebat, ſed reſurrectionem. Qui enim veritati ſuccumbebant, victoriam & coronam de errore atque mendacio referebant. Hunc igitur habemus nunc etiam nos, qui conſtituat nobis præſentem celebritatem, genuinum & verum miniſtrum & interpretem ſpiritus, ſtrenuum Chriſti militem, ſonorum & vocalem ſalutaris præconij atque prædicationis præconem, liberè pro Chriſto loquendo decertantem, & in principiis pugnam cientem: cui ſecũdas poſt Apoſtolos parteis tempus ſolùm dat. Nam ſi eodem tempore, quo Paulus, vitæ particeps humanæ fuiſſet Baſilius, ſicuti Syluanus & Timotheus: ita prorſus vna cum Paulo literarum monumentis celebratus eſſet. Atque vt intelligatur, quòd coniecturam faciendo à veritate non aberro, hoc modo rationem ineamus. Prætermittatur ea oratio, qua explicetur, qui ſancti, quos ſanctos tempore anteceſſerint. (Temporis enim natura in præterito & futuro, quod ad virtutem & vitium attinet, eodem modo ſeſe habet, cùm neque hoc, neque contrariũ ſit: In libero enim arbitrio atque propoſito voluntatis, non in tempore bonum conſiſtit) at fides cum fide, cum oratione oratio conferatur. Nam ſi quis iuſtus æſtimator fuerit in conferendis inter ſe miraculis, reperiet vnam in ambobus gratiã, quæ ex eodem ſpiritu iuxta conuenientiam atque proportionem fidei exiſteret in vtroque. Quòd ſi tempore Paulus præcedit, & multis ætatibus pòſt Baſilius exhibitus ac deſignatus eſt: diuinæ adminiſtrationis quam hominum gratia ſuſcepit, opus dicis, non affers probationem circa virtutem diminutionis. Nam & Moyſes multis temporibus poſterior Abrahamo: Samuel Moyſe, & hoc Helias: & ille Magnus Ioannes, & poſt Ioannem Paulus: & poſt hunc Baſilius. Quemadmodum

A ὅθεν διδάσκων πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ τῇ θείᾳ τε καὶ τῇ ἔξωθεν, οἷά τις ἀριστεὺς περιδέξιος δι' ἑκατέρας παιδεύσεως τοῖς ἀντιτεταγμένοις ἑαυτὸν ἀντοπλίζων, ὑπερῄρει δι' ἀμφοτέρων τοὺς παραπαλαίοντας, ὑπερέχων ἐν ἑκατέρῳ τοὺς ἐν θατέρῳ τινὰ κατὰ τῆς ἀληθείας ἰσχὺν ἔχειν νομίζοντας, τοὺς μὲν ἐκ τῆς αἱρέσεως τὰς γραφὰς προβαλλομένους, ταῖς γραφαῖς ἀνατρέπων· Ἕλληνας δὲ διὰ τῆς ἰδίας αὐτῶν συμποδίζων παιδεύσεως. ἡ δὲ κατὰ τῶν ἀντιπάλων νίκη οὐ τὸν ὄλεθρον ἐποίει τῶν ἡττημένων, ἀλλ' ἀνάστασιν. οἱ γὰρ ἡττώμενοι τῆς ἀληθείας, νικη-
B ταὶ καὶ στεφανῖται κατὰ τῆς πλάνης καὶ τοῦ ψεύδους ἐγίνοντο. τοῦτον οὖν ἔχομεν καὶ ἡμεῖς νῦν τὸν διαθέντα ἡμῖν τὴν παροῦσαν πανήγυριν, τὸν γνήσιον ὑποφήτην τοῦ πνεύματος, τὸν γενναῖον τοῦ Χριστοῦ στρατιώτην, τὸν μεγαλόφωνον κήρυκα τοῦ σωτηρίου κηρύγματος, τὸν ἀγωνιστήν τε καὶ πρόμαχον τῆς ὑπὲρ Χριστοῦ παρρησίας· ᾧ τὰ δεύτερα μετὰ τοὺς ἀποστόλους ὁ χρόνος δίδωσι μόνον. εἰ γὰρ κατὰ τὸν αὐτὸν τῷ Παύλῳ χρόνον μετεῖχε τοῦ ἀνθρωπίνου βίου Βασίλειος, οὕτως ἂν πάντως συνεγράφη τῷ Παύλῳ ὡς Σιλουα-
C νὸς καὶ Τιμόθεος· καὶ ὅτι οὐκ ἔξω τῆς ἀληθείας στοχαζόμεθα, οὑτωσὶ τὸν λόγον καταμηνύσωμεν. παρείσθω τὸ προτερεύειν τοὺς ἁγίους τῷ χρόνῳ. ἡ γὰρ τοῦ χρόνου φύσις ἐν τῷ παρῳχηκότι καὶ τῷ μέλλοντι, πρὸς ἀρετήν τε καὶ κακίαν ὁμοίως ἔχει, οὔτε τοῦτο οὖσα, οὔτε τὸ ἕτερον· ἐν γὰρ προαιρέσει τὸ ἀγαθὸν, οὐκ ἐν χρόνῳ· ἀλλ' ἐξεταζέσθω πρὸς τὴν πίστιν ἡ πίστις, καὶ πρὸς τὸν λόγον ὁ λόγος. εὑρήσει γὰρ ὅγε δικαίως ἐκ παραλλήλου ἀντεξετάζων τὰ θαύματα, μίαν ἐπ' ἀμφοτέρων τὴν χάριν ἐκ τοῦ αὐτοῦ πνεύματος ἐγγινομένην ἐν ἑκατέρῳ κατὰ τὴν ἀναλογίαν τῆς
D πίστεως. εἰ δὲ προῆκε τῷ χρόνῳ Παῦλος, καὶ πολλαῖς ὕστερον γενεαῖς ἀνεδείχθη Βασίλειος, τῆς θείας ὑπὲρ τῶν ἀνθρώπων οἰκονομίας λέγεις τὸ ἔργον, οὐκ ἀπόδειξιν τῆς κατ' ἀρετὴν ἐλαττώσεως. ἐπεὶ καὶ Μωσῆς τοῦ Ἀβραὰμ πολλοῖς χρόνοις μεταγενέστερος· καὶ Σαμουὴλ, Μωϋσέως, καὶ τούτου Ἠλίας· κἀκεῖνος ὁ μέγας Ἰωάννης. καὶ μετὰ Ἰωάννην, Παῦλος· καὶ μετὰ τοῦτον Βασίλειος. ὥσπερ

οὖν

σῶν ἐν τοῖς προάγουσιν οὐδὲν ὁ χρόνος δευτε-
ρεύων, εἰς τὴν κατὰ Θεὸν δόξαν τοὺς ἁγίους ἠ-
λάττωσεν· οὕτω καὶ νῦν ἐν τῷ τῆς ἀρετῆς λό-
γῳ σιωπάσθω τὰ πρεσβεῖα τοῦ χρόνου. ὃ γὰρ
τοιοῦτον, καθὼς ἔφαμεν, τῆς ὑπὲρ τῶν ἀν-
θρώπων τοῦ Θεοῦ προμηθείας τὴν ἀπόδειξιν
ἔχει. ὁ γὰρ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν,
καθώς φησιν ὁ προφήτης, καὶ τὴν συνδιεξιοῦ-
σαν ταῖς ἀνθρωπίναις γενεαῖς τοῦ διαβόλου κα-
κίαν κατανοῶν, πρόσφορόν τε καὶ κατάλλη-
λον τῷ καθ' ἑκάστην γενεὰν ἀρρωστήματι τὸν
ἰατρὸν ἐπιμετρεῖ, ὡς ἂν μὴ ἀθεράπευτον πα-
ρίδοι τῶν ἀνθρώπων τὴν νόσον, δι' ἐρημίαν τῶν
διορθουμένων κατακρατοῦσαν τοῦ γένους. τούτου
χάριν ἐπικρατούσης ποτὲ τῆς Χαλδαϊκῆς φι-
λοσοφίας, οἳ τὴν τῶν ὄντων αἰτίαν ἐν τῇ ποιᾷ
κινήσει τῶν ἄστρων ὡρίζοντο· ὑπάρχειν δέ τι-
να τῶν φαινομένων δύναμιν ποιητικὴν τῶν ὄν-
των οὐκ ᾤοντο· τότε τὸν Ἀβραὰμ ἀναδείκνυ-
σιν, ὃς ἐπιβάθρᾳ τῇ τοιαύτῃ παιδεύσει χρη-
σάμενος, ἀνεζήτησε τὸν διὰ τῶν ὁρωμένων νοού-
μενον· καὶ ὁδὸς τοῖς ἐφεξῆς ἐγένετο πίστεως, τῆς
εἰς τὸν ὄντως ὄντα Θεόν, αὐτὸς πρὸς ταύτην
καθηγησάμενος, διὰ τοῦ καταλιπεῖν τὴν πα-
τρῴαν ἀπάτην, καὶ τὴν τῶν αἰσθητηρίων πρὸς
τὴν φαινομένην κτίσιν συγγένειαν. Εἶτα τῶν
Αἰγυπτίων δαιμονίαν τινὰ καὶ γοητικὴν σοφίαν
ἐξευρηκότων, ἐξ ὑποθήκης, οἶμαι, τοῦ ποικί-
λως δι' ἀπάτης καταβυθίζοντος, ἀνέδειξε τὸν
Μωϋσέα τῷ ὑπερβάλλοντι τῆς σοφίας τὴν
Αἰγυπτίαν ἀπάτην ἐξαφανίσοντα. ἐπιγινώ-
σκει δὲ πάντως τὸν λόγον ὁ τὴν γραφὴν ἐ-
πιστάμενος, πῶς ἀντεπιδεικνυμένων τοῖς θείοις
σημείοις τῶν γοήτων τὰς ἰδίας ἀπάτας, ὑπερέ-
σχε κατὰ κράτος Μωϋσῆς, διὰ τῆς ἄνωθεν
συμμαχίας τὴν Αἰγυπτίαν ἰσχὺν πᾶσαν ἐξα-
φανίσας. νοεῖς δὲ τοῦτο διά τε τῶν ἄλλων, καὶ
τῷ τῶν ῥάβδων αἰνίγματι. προϊόντος δὲ τοῦ
χρόνου, καὶ τῶν Ἰσραηλιτῶν δι' ἀναρχίας
ἐν δημοκρατικῇ συγχύσει πλημμελῶς
διακειμένων, ὁ Σαμουὴλ ἀναφαίνεται, κρα-
τῶν δι' ἑαυτοῦ τὸ ὑπήκοον, καὶ τῆς πρὸς
τοὺς ἀλλοφύλους ἐπιμιξίας ἀπείργων, εἶτα

A igitur in præcedentibus nihil tempus poſterius, quod attinet ad gloriam quæ cum Deo coniuncta eſt, ſanctis incommodauit: ita etiam nunc in diſceptatione virtutis, ætatis commodum ſilentio prætermittatur. Nam id, (vt modò dicebamus) prouidentiæ diuinæ, qua conſulitur hominibus, continet demonſtrationem. Ille enim, qui (vt inquit Propheta) res omnes nouit antequam exiſtant, & malitiam diaboli ſimul cum ætatibus hominum extendi atque traduci & ad finem pergere animaduertit, conuenientem & accommodatam ad
B cuiuſque ætatis morbum medicinam parat, ne curationis expertem ſinat eſſe morbum hominum, qui ſi deſit, à quo ſanetur, ſubigere ſolet, & in poteſtatem ſuam redigere genus humanum. Huius rei gratia, cum vigeret ac præualeret aliquando philoſophia Chaldæorum, qui rerum cauſſas à certo quodam motu ſiderum pendere ſtatuebant: nec virtutem quandam ſideribus apparentibus præſidere ac præeſſe putabant, quæ rerum quarumlibet effectrix eſſet: tum Abrahamum exhibet, qui quaſi
C ſcala vſus eiuſmodi diſciplina, inueſtigauit illum, qui per res, quæ videntur, intelligitur: ac (quaſi) via fidei, quæ eſt in eum qui reuera Deus eſt, poſteris extitit, cùm ipſe relicto patrio errore, atque ea, quæ ſenſuum inſtrumentis eſſe dicitur cum ea, quæ apparet in aſtris creatura, cognatione, dux ad eam fidem fuiſſet. Deinde cùm Ægyptij ex ſuggeſtione, opinor, eius, qui per varias fraudes (homines) demergit, mirabilem quandam & præſtigiatricem calli-
D ditatem inueniſſent, exhibuit Moyſen, qui ſapientiæ excellentia Ægyptiorum fraudē expelleret & aboleret. Agnoſcit autem prorſus rem geſtam, de qua loquor, qui ſcripturam nouit, quomodo, cùm præſtigiatores illi diuinis ſignis ex aduerſo ſuarum fraudum ſpecimen prębérēt, Moyſes omnibus modis ſuperior fuerit, & supernè auxilio miſſo omneis Ægyptias vires deleuerit. Intelligis autem hoc cùm per alias res, tum per virgarum ęnigma. Proceſſu deinde temporis, cùm etiam Iſraëlitarum res per eum ſtatū, quo nullius certi magiſtratus imperio cōtinebātur, in promiſcua populi atque confuſa poteſtate malè ſeſe haberēt, Samuel exiſtit, qui per ſeſe ſubditos in officio cō tineret, & à conſuetudine atque commercio alienigenarum prohiberet, deinde

Act. 7.
Ibid.
Exod. 7.
1. Reg. 8.

cùm illum confuſum ſtatum, quo nul-
lus certus magiſtratus erat, ad conſtitu-
tionem regni traduxiſſet, duodecim tri-
bus congregauit in vnum, & regium
imperium lege lata ſanxit. Secundum
3.Reg.16. hæc multis pôſt ætatibus, cum Achaab
mulieris illud mancipiũ, & ipſe patrios
ritus ſacrorum deſeruiſſet, mulieri de-
licatæ ac molli obnoxius factus, & per
illam adſcito ſimulachrorum errore, ad
eandem ſecum defectionem Iſraeliti-
3.Reg.17. cum populum traxiſſet: tunc Deus ex-
hibet Heliam, qui magnitudini homi-
num morbi pares ad ſanandum vires
haberet, virum, qui curationem & cul-
tum corporis deſpiceret, facie ſquallen-
ti, qui multitudine ſuorum crinium
obumbraretur, qui peculiari modo vi-
uendi vteretur, aſpectu venerandum,
vultu triſti ac riſus experti, obtutu ocu-
lorum recto & eodem quò intendiſſet
vergenti, pelle caprina tantum de cor-
pore tegentem, quantum abſcondi ma-
gis decorum eſt, reliqua parte corporis
ad aëra perdurantem, & nihil iniquita-
tem & iniuriam vel æſtus vel frigoris cu-
3.Reg.18 rantem, qui cùm populo exhibitus eſſet,
primùm flagello famis Iſraëlem ad ſani-
tatem reducit, veluti ſcutica quadam
eiuſmodi plaga atq; pœna inſolentiam
populi ac petulãtiam inceſſens: deinde
etiam diuino in ſacrificio, igni excitato,
Ibidem. curat morbum ſimulachrorum cultus.
Deinde ſecundum illum alius ille com-
pluribus temporibus pôſt exiſtit, qui in
Luc.1. ſpiritu & virtute Heliæ per Zachariam
& Elizabetam productus, & in vita ver-
ſatus eſt, atque vniuerſam gentem in ſo-
litudine per prædicationem (ad ſe) euo-
cans: & ſordes ob ſanguinem propheta-
rum (effuſum) contractas, & multiplicia
piacula, varioſque peccati nodos, qui-
bus calceamentorum in modum in illo
tempore vniuerſus populus implicitus
& illigatus erat, omnia eiuſmodi mala,
cùm prædicatione pœnitentiæ diſſolue-
ret, & aquæ circumſperſione ad Iorda-
nem elueret, in nulla re diuina minus
præſtitit, quàm illi qui in exercitio vir-
tutis ante eum fuerunt. Quid item poſt
Act. 9. hunc Paulus, eò quòd tẽpore poſterior
eſſet, ad ſummum gradum diuini pro-
greſſus & incremẽti euadere prohibitus
eſt? an non protinus diuinę pulchritudi-
nis, quæ in oculis eius refulſerat, amator
extitit? ſimulatq; ab oculis ſquamas re-
iecit? quę ſquamę ſignũ erant tegumẽti,

A πρὸς βασιλείας κατάστασιν τὴν ἀναρχίαν μετασκευάσας, συνήθροισεν αὐτὸ περὶ ἑαυτὸ τὸ ἀλλόφυλον τῆς βασιλικῆς δυναστείας νομοθέτης γενόμενος. μετὰ ταῦτα δὲ πολλαῖς ὕστερον γενεαῖς, ὅτε Ἀχαὰβ ἐκεῖνος τὸ γυναικεῖον ἀνδράποδον, αὐτός τε τῶν πατρῴων ἀπέστη θεσμῶν, γυναικὶ χλιδώσῃ δεδουλωμένος, καὶ τὴν τῶν εἰδώλων πλάνην δι᾽ ἐκείνης ἐπισπασάμενος, συναπέστησεν ἑαυτῷ τὸν Ἰσραηλίτην λαόν· τότε ἀναδείκνυσιν ὁ Θεὸς τὸν Ἠλίαν ἀντίρροπον ἔχοντα τῷ μεγέθει τῆς νόσου τῶν ἀνθρώπων τὴν θεραπεύουσαν δύναμιν, ἄνδρα, ἐν
B ὑπεροψίᾳ τῆς θεραπείας τοῦ σώματος, αὐχμῶντα τὸ πρόσωπον, καὶ τῷ πλήθει τῶν ἰδίων τριχῶν σκιαζόμενον, ἰδιάζοντα τῷ βίῳ, σεμνὸν πρὸς ἰδεῖν ἐν ἀμειδεῖ τῷ προσώπῳ, καὶ συννενευμένον τῷ βλέμματι, δέρματι αἰγείῳ τοσοῦτον τοῦ σώματος σκέποντα, ὅσον εὐπρεπέστερόν ἐστι καλυπτόμενον, τὸ δὲ λοιπὸν διακαρτεροῦντα πρὸς τὸν ἀέρα, καὶ οὐδὲν πρὸς τὴν ἐκ τοῦ θάλπους τε καὶ κρύους ἀνωμαλίαν ἐπιστρεφόμενον, ὃς ἀναφανεὶς τῷ λαῷ πρῶτον διὰ τοῦ λιμοῦ μάστιγι σωφρονίζει τὸν Ἰσραὴλ κα-
C θάπερ τινὶ σκυτάλῃ τῇ τοιαύτῃ πληγῇ τὴν ἀταξίας τοῦ λαοῦ καθαπτόμενος· μετὰ ταῦτα δὲ τῷ θείῳ πυρὶ τῷ περὶ τὴν ἱερουργίαν γενομένῳ θεραπεύει τὴν περὶ τὰ εἴδωλα νόσον· εἶτα, μετ᾽ ἐκεῖνον ἄλλος ἐκεῖνος χρόνοις ὕστερον πλείοσιν ἀναφαίνεται, ὁ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ διὰ Ζαχαρίου καὶ Ἐλισάβετ ἐπιδημήσας τῷ βίῳ, καὶ ἅπαν τὸ ἔθνος ἐξεκκλησιάζων ἐν τῇ ἐρήμῳ διὰ κηρύγματος, καὶ τὸν ἐπὶ τῷ αἵματι τῶν προφητῶν λύθρον, καὶ τὰ παντοδαπὰ μιάσματα, καὶ τὰ ποικίλα τῆς ἁμαρτίας δεσμά· οἷς ὑποδημάτων δίκην κατὰ
D τὸν χρόνον ἐκεῖνον ἅπας ὁ λαὸς ἐνεδέδετο· πάντα τὰ τοιαῦτα τῷ τε κηρύγματι τῆς μετανοίας ἐκλύων, καὶ τῷ περιρραντηρίῳ ὕδατι κατὰ τὸν Ἰορδάνην ἐκπλύνων, ἐν οὐδενὶ τὸ ἔλαττον τῶν ἐν ἀρετῇ προωδευκότων ἐν τοῖς κατὰ Θεὸν ἐπεδείξατο. τί δὲ μετὰ τοῦτον ὁ Παῦλος πρὸς τὸ ἀκρότατον τῆς κατὰ Θεὸν προκοπῆς ἀναδραμεῖν ἐκωλύθη δευτερεύων τῷ χρόνῳ; οὐκ εὐθὺς ἐραστὴς τοῦ θείου κάλλους ἐγένετο τοῖς ὀφθαλμοῖς ἐναστράψαντος. ὁμοῦ τῷ τὰς λεπίδας ἀποβαλεῖν τῶν ὀμμάτων,

ἐν συμβόλοις ἤδη τοῦ περὶ καρδίαν καλύμματος· ὃ περικείμενον τῷ διανοητικῷ τῶν Ἰουδαίων ψυχῶν, τυφλώττειν αὐτοὺς παρασκευάζει πρὸς τὴν ἀλήθειαν; οὐκ ἐπειδὴ τῷ μυστικῷ λουτρῷ τὸν τῆς ἀγνοίας τε καὶ ἀπάτης ῥύπον ἐναπέθετο, εὐθὺς πρὸς τὸ θειότερον μετεσκευάσθη τὴν φύσιν, καὶ οἷον ἐκδὺς τὴν παχεῖαν ταύτην καὶ σαρκώδη περιβολὴν, αὐτοῖς τοῖς οὐρανίοις ἀδύτοις ἐπεχωρίαζεν; οὐδὲν βαρούμενος τῷ ἐφολκίῳ τοῦ σώματος, καὶ ἐντὸς ἐγένετο τῆς θείας τοῦ παραδείσου φυτείας, κἀκεῖ τὴν ἄρρητον μυσταγωγίαν παρὰ τῆς ἀληθείας πληρούμενος, κἀκεῖθεν λαμβάνων τοῦ λόγου τὴν δύναμιν εἰς ὑπακοὴν τῆς πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν; ὅθεν μικροῦ δεῖν τῆς οἰκουμένης πάσης πατὴρ γίνεται, διὰ τῶν πνευματικῶν ὠδίνων εἰς φῶς ἐνάγων τοὺς δι' αὐτοῦ μορφουμένους κατὰ Χριστὸν εἰς εὐσέβειαν. Εἰ τοίνυν ἐπὶ τῶν ἄλλων ἁγίων, ἡ κατὰ τὸν χρόνον τάξις, οὐδὲν τῆς κατὰ Θεὸν προκοπῆς ἠλάττωσεν, ὁμοτίμως ἑκάστῳ τῆς χάριτος πρὸς τὴν τελειότητα συνεργούσης· εἰκότως τολμῶμεν καὶ τὸν ἐν τῇ καθ' ἡμᾶς γενεᾷ τοῦ Θεοῦ ἄνθρωπον, τὸ μέγα σκεῦος τῆς ἀληθείας Βασίλειον τοῖς ὀνομαστοῖς ἐκείνοις ἁγίοις ἐναρίθμιον εἶναι λέγειν, οὐδὲν τῆς χρονικῆς ἀκολουθίας οὔτε τὴν ὑψηλὴν ἐκείνου πρὸς τὸν Θεὸν ἐπιθυμίαν, οὔτε τὴν θείαν χάριν πρὸς τὴν τῆς ψυχῆς τελείωσιν ἐμποδιζούσης, ὡς ἂν μὴ τῆς θείας οἰκονομίας ὁ σκοπὸς ἢ παραβλαβείη, ἤ τι παρὰ τὴν τοῦ χρόνου αἰτίαν ἐλαττωθείη τῆς παρ' αὐτοῦ συνεισφερομένης συμμαχίας πρὸς τὸ μυστήριον. πάντως δὲ οὐδεὶς ἀγνοεῖ τὸν σκοπὸν τῆς κατὰ τὸν χρόνον τοῦτον τοῦ διδασκάλου ἡμῶν ἀναδείξεως. ἐπειδὴ γὰρ ἡ περὶ τὰ εἴδωλα τῶν ἀνθρώπων μανία τῷ κηρύγματι τοῦ Χριστοῦ κατεσβέσθη· καὶ πάντα ἦν ἐν ἐρειπίοις ἤδη καὶ ἀφανισμῷ τὰ τῶν ματαίων σεβάσματα, διὰ πάσης σχεδὸν τῆς οἰκουμένης τοῦ κηρύγματος τῆς εὐσεβείας φοιτήσαντος, ὥστε τὸν ἐπικρατοῦντα τῆς ἀνθρωπίνης ἀπάτης πανταχόθεν ἐξείργεσθαι, τῷ τοῦ Χριστοῦ ὀνόματι τῆς οἰκουμένης ἐξελαυνόμενον· σοφὸς δὲ εἰς κακίαν ὢν ὁ τῆς κακίας εὑρετὴς, οὐκ ἠπόρησε πονηρᾶς ἐπινοίας, ὥστε πάλιν ὑποχείριον ποιῆσαι δι' ἀπάτης ἑαυτῷ τὸ ἀνθρώπινον·

A quo cor (eius) obductum fuerat: quo tegumento Iudæorũ animarũ acies perſpectiua obducta atque obligata, cæcos eos effecit ad veritatẽ? nónne poſteaquã ſordes quas ex ignorantia atque errore contraxerat, in myſtico lauacro depoſuit, protinus ad auguſtiorẽ cõditionem natura transformatus eſt? & velut exuto hoc craſſo atque carneo amictu in ipſis cœlorũ adytis verſabatur? & nihil corporei impedimenti pondere tardatus, etiam intra diuinã paradiſi conſitionem perueniebat, & illic arcana ſacrorum diſciplina à veritate initiabatur, atq; illinc B ad obediendũ fidei in omnibus gẽtibus vim ſermonis accipiebat? vnde totius propemodũ orbis terrarũ pater exiſtit, per ſpirituales labores & partus eos qui per ipſum ad Chriſtianã pietatẽ formãtur, in lucem producens. 1. Cor. 13. Si igitur ratio tẽporis in cæteris ſanctis nihil quod pertineat ad diuinũ incrementũ atque progreſſum, imminuit, eò quòd pariter & ex æquo gratia vnũquemque adiuuaret ad perfectionẽ: non immeritò audemus etiam eum, qui noſtra ætate fuit, hominem diuinum, magnũ illud veritatis vas C Baſilium, inclytis illis ſanctis annumerandũ eſſe dicere, quippe cùm temporis viciſſitudo nihil impediat vel ſublime illius erga Deum ſtudium atque deſiderium, vel diuinam gratiam ad animam perfectè & abſolutè excolendam & exornandam, ne quo modo vel diuini conſilij diſpoſitioniſq; intentio atque propoſitum ſugilletur, vel aliquid de illius auxilio atque præſidio, quod ad myſterium conſiderabatur, propter temporis cauſsã extenuetur, & leuiori quàm par eſt, momento æſtimetur. Nemo autem prorſus ignorat, quo cõſilio in hoc temD pore præceptor noſter deſignatus & exhibitus ſit. Poſteaquam enim hominum inſania circa ſimulachrorũ cultum prædicatione Chriſti extincta, & omnia iam delubra cæteraq; res, quę vano dementium cultu celebrari ac frequentari ſolebant, dirutæ atque è medio ſublatæ erant, cum per vniuerſum penè terrarum orbem habitatũ, prædicatio pietatis & veri Dei cultus atq; religionis peruaſiſſet; adeò, vt is qui fraudis humanæ principatum & imperiũ tenet, ex omnibus partibus orbis terrarum Chriſti nomine expelleretur & exturbaretur: ſolerti & callido nimirum ad malitiam inuentori malitiæ atque nequitiæ ſceleſtũ & improbum conſilium nõ defuit, quo per fraudem denuò obnoxiũ ſibi redderet genus humanum:

ſed ſub prætextu ac ſpecie Chriſtianiſmi ſimulachrorum cultum latenter reduxit, cum ſuis commentis & impoſturis perſuaſiſſet iis, qui ad ipſum ſpectabant, ne deficerent à creatura, ſed eam adorarent & venerarentur, Deumque creaturam eſſe putarent, quæ filij nomine vocaretur. Quòd ſi ex rebus quæ non eſſent, creatura producta, & ab diuina eſſentia, quantũ ad propriam ipſius attinet naturam, aliena ſit, neminem eam rem debere curare, ſed Chriſti nomine creaturæ impoſito, hanc adorare, hanc colere, in hac ſpem ſalutis fixam habere, ab hac iudicium expectare. Et vt rem ſummatim complectar, cùm inuaſiſſet apoſtata homines totius malitiæ ſuæ capaces, Arium inquam & Aëtium, Eunomium, Eudoxium, ac præter hos multos etiam alios, per eos deficientem iam ſimulachrorum cultum, ſicut dictum eſt, nomine Chriſtianiſmi denuò reduxit, atque inualeſcebat aduerſus homines morbus, qui creaturam magis quàm creatorem colebant, adeò vt etiam illius temporis Imperatorum auxilio fraus confirmaretur, & omnes excellentes magiſtratus & principatus pro hoc morbo propugnarẽt. Cúmque omnes propemodum homines ad id quod vigebat, & inualeſcebat, malum traducti eſſent: tunc magnus à Deo Baſilius, quemadmodũ tempore Achaabi Helias, exhibetur: ac ſacerdotio, quod iam quodammodo collapſum atque neglectum erat, ſuſcepto, tanquam lucernam, quæ defeciſſet, rationem fidei per inhabitantem in ſe gratiam relucere denuò fecit. Et cùm veluti fax noctu errantibus per mare, Eccleſiæ bono apparuiſſet, omneis ad rectam viam conuertit, cum præfectis & præſidibus confligens, cum ductoribus copiarum congrediens, apud Imperatores liberè loquens, in concionibus & Eccleſiis clamans, eos, qui procul abeſſent, exemplo Pauli per epiſtolas concilians atque adiungens, effugiens & euitans confligentium reprehenſiones, cùm nihil in ſe haberet, quo teneretur & vinceretur ab aduerſariis. Fortior enim & firmior erat, quàm vt ab iis, qui bona eius publicarant, vinci ac ſubigi poſſet, cùm ipſe ſe bonis propter ſpem futuri regni mulctaſſet. Ab exilij metu liber erat, quòd vnam patriã hominum cenſeret eſſet paradiſum: atque omnem terram, quaſi cõmune naturæ exilium ſpectaret.

Baſilius [illegible] ex-[illegible].

A ἀλλ᾽ ἐν προσχήματι Χριστιανισμοῦ τὴν εἰδωλολατρείαν κατὰ τὸ λεληθὸς ἐπανήγαγεν, πείσας τοῖς ἰδίοις σοφίσμασι τοὺς πρὸς αὐτὸν ὁρῶντας μὴ ἀποστῆναι τῆς κτίσεως, ἀλλὰ ταύτην προσκυνεῖν καὶ ταύτην σέβεσθαι, καὶ Θεὸν τὸ ποίημα οἴεσθαι, τῇ τοῦ υἱοῦ κλήσει ὀνομαζόμενον. Εἰ δὲ ἐκ μὴ ὄντων ἐστὶν ἡ κτίσις, καὶ τῆς θείας οὐσίας κατὰ τὴν ἰδίαν ἠλλοτρίωται φύσιν, μηδένα ποιεῖσθαι τούτου λόγον, ἀλλὰ τὸ τοῦ Χριστοῦ ὄνομα ἐπιθέντας τῇ κτίσει ταύτην προσκυνεῖν, ταύτῃ λατρεύειν, ἐν ταύτῃ τὰς ἐλπίδας τῆς σωτηρίας B ἔχειν, παρὰ ταύτης ἀναμένειν τὴν κρίσιν. καὶ ὅλως ἐμπεσὼν ὁ ἀποστάτης ἀνθρώποις πᾶσαν αὐτοῦ τὴν κακίαν ἱκανοῖς χωρῆσαι, Ἀρείῳ τε λέγω καὶ Ἀετίῳ, Εὐνομίῳ, Εὐδοξίῳ, καὶ πρὸς τούτοις καὶ πολλοῖς ἄλλοις δι᾽ ὧν ἐκλείπουσαν ἤδη τὴν εἰδωλολατρείαν, πάλιν καθὼς εἴρηται τοῦ Χριστιανισμοῦ ἐπανήγαγεν, καὶ κατίσχυε τῶν ἀνθρώπων ἡ νόσος, τῶν κτίσει λατρευόντων παρὰ τὸν κτίσαντα, ὡς καὶ τῇ συμμαχίᾳ τῶν τότε βασιλέων τὴν ἀπάτην κρατυνθῆναι, καὶ πάσας τὰς ὑπερεχούσας ἀρχὰς τῆς τοιαύτης ὑπερ-C μαχῆσαι νόσου. καὶ πάντων μικροῦ δεῖν ἀνθρώπων πρὸς τὸ ἐπικρατοῦν μετατεθέντων· τότε παρὰ τοῦ Θεοῦ ἀναδείκνυται ὁ μέγας Βασίλειος, καθάπερ ἐπὶ τοῦ Ἀχαὰβ ὁ Ἠλίας· καὶ τὴν ἱερωσύνης ἤδη τρόπον τινὰ πεπτωκυῖαν ἀντιλαμβανόμενος, ὥσπερ τινὰ λύχνον ἐκλελοιπότα τὸν τῆς πίστεως λόγον διὰ τῆς ἐνοικούσης αὐτῷ χάριτος, ἀναλάμψαι πάλιν ἐποίησεν. καὶ οἷόν τις πυρσὸς τοῖς νύκτωρ διαπλανωμένοις κατὰ τὸ πέλαγος ὑπερφανεὶς τῆς ἐκκλησίας, πάντας πρὸς τὴν εὐθεῖαν ὁδὸν ἐπέστρεψεν, ὑπάρχοις συμπλεκόμενος, στρατηλάταις συμμίσγων, βασι-D λεῦσι παρρησιαζόμενος, ἐπ᾽ ἐκκλησίαις βοῶν, τοὺς πόρρωθεν ἀφεστηκότας, καθ᾽ ὁμοιότητα Παύλου δι᾽ ἐπιστολῶν προσαγόμενος, ἐκφεύγων τὰς τῶν συμπλεκομένων λαβὰς, οὐκ ἔχων ὅπου κρατηθῇ παρὰ τῶν ἀντιπάλων. κρείττων μὲν γὰρ ἦν τῶν δημευόντων, αὐτὸς ἑαυτὸν διὰ τὴν ἐλπίδα τῆς βασιλείας δημεύσας. τοῦ κατὰ τὴν ἐξορίαν φόβου ἀπήλλακτο, μίαν πατρίδα ἀνθρώπων, τὸν παράδεισον εἶναι λέγων· πᾶσαν δὲ τὴν γῆν, ὡς κοινὴν τῆς φύσεως ἐξορίαν βλέπων.

ὁ δὲ καθ' ἡμέραν ἀποθνήσκων, καὶ πάντοτε διὰ νεκρώσεως ἑκὼν δαπανώμενος, πότε ἂν ἐφοβήθη τὸν θάνατον τὸν παρὰ τῶν ἐχθρῶν ἀπειλούμενον; ᾧ γε συμφορὰ ἦν τὸ μὴ πολλάκις δύνασθαι τοὺς τῶν μαρτύρων ἀγῶνας ὑπὲρ τῆς ἀληθείας μιμήσασθαι, ἑνὶ θανάτῳ ὑπεζευγμένης τῆς φύσεως· ὅς ποτε τῷ ὑπάρχῳ ἦν τὸ ἧπαρ ἐξοίσειν αὐτοῦ τῶν σπλάγχνων καταπληκτικῶς ἀπειλήσαντι, μειδιάσας τινὰ ἀπαίδευτον ἀπειλὴν καταχλευάζων φησί· χάριν εἴσομαί σοι τῆς προαιρέσεως. καὶ γὰρ οὐ μετρίως ἀνιᾷ τὸ ἧπαρ τοῖς σπλάγχνοις ἐγκείμενον. ἐκβαλὼν οὖν αὐτό, καθὼς ἠπείλησας, τοῦ λυποῦντος ἐλευθερώσεις τὸ σῶμα. τί τοίνυν αὐτοῦ τὸ μεθ' ἑτέρους ἁγίους ἐπιδημῆσαι τῷ βίῳ, κατασμικρυνεῖ τὴν κατὰ Θεὸν εὐδοκίμησιν; ὡς διὰ τοῦτο τὴν ἐπὶ τοῖς ἁγίοις ἑορτὴν ἐλάττω δοκεῖν εἶναι τὴν ἐπὶ τούτῳ πανήγυριν; σκέψασθαι γὰρ εἰ δοκεῖ πρὸς ἕνα τινὰ τῶν προλαβόντων ἁγίων τὸν τούτου βίον ἀντεξετάζων. ἠγάπησε τὸν Θεὸν ὁ Παῦλος. τοῦτο γὰρ δὴ τῶν ἀγαθῶν τὸ κεφάλαιον τὸ τῆς ἀγάπης λέγω· ἀφ' ἧς πᾶσα πίστις καὶ ἐλπὶς πᾶσα, καὶ τὸ ἐξ ὑπομονῆς προσδεχόμενον, καὶ τὸ ἐν παντὶ καλῷ ἀμετάπτωτον, καὶ τὸ μετὰ παντὸς πνευματικοῦ χαρίσματος τὸ πλέον ἔχειν. ἀλλ' ἐξετάσωμεν πόσον ἦν ἐν Παύλῳ τῆς πρὸς Θεὸν ἀγάπης τὸ μέτρον; ἐρεῖς πάντως, ὅτι ἐξ ὅλης καρδίας καὶ ἐξ ὅλης ψυχῆς, καὶ ἐξ ὅλης τῆς διανοίας αὐτοῦ ἠγάπησε Θεόν. τοῦτον γὰρ ἔδωκε τὸν ἀκρότατον τῆς πρὸς Θεὸν ἀγάπης ὅρον ὁ νόμος. οὐκοῦν ὁ πᾶσαν ἑαυτοῦ τὴν καρδίαν τε καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν ἀναθεὶς τῷ Θεῷ, καὶ πρὸς ἄλλο μηδὲν τῶν κατὰ τὸν βίον τοῦτον σπουδαζομένων ἐπιρρεπῶς διακείμενος, ἐν τῷ ἀκροτάτῳ γίνεται τῆς ἀγάπης ὅρῳ. εἰ μὲν οὖν ἔχει τις δεῖξαι τὸν τοῦ διδασκάλου βίον περί τι τῶν κατὰ τὸν κόσμον τοῦτον σπουδαζομένων ἔχοντα τὴν ῥοπήν, οἷον περὶ πλοῦτον, ἢ δυναστείαν, ἢ κενῆς δόξης ἐπιθυμίαν· τὰς γὰρ ἀνδραποδωδεστέρας ἐπ' αὐτῷ τῶν ἡδονῶν, οὐδὲ λέγειν ἄξιον εἰκός ἐστιν· ὅτι ἂν τούτων εὑρεθῇ σπουδαζόμενος, ἐλαττοῦσθαι λέγειν δεῖ κατ' ἐκεῖνο τῆς πρὸς τὸν Θεὸν ἀγάπης τὸ μέτρον, τῆς ἐπιθυμητικῆς αὐτοῦ διαθέσεως ἀπὸ τοῦ Θεοῦ πρὸς τὰ ὑλώδη μεταρρυείσης.

A Qui autem quotidie moreretur, ac per mortificationem ſemper lubens abſumeretur, quando tandē mortem, quam inimici minabantur, metuere potuiſſet? cui quidem clades atque calamitas erat, quòd non ſæpè poſſet martyrum pro veritate certamina imitari, cùm vni morti duntaxat natura obnoxia ſit: qui præfecto cuidam aliquando ſe iecur eius de viſceribus repturum terrendi cauſſa minanti ſubridendo inſulſas atque proteruas minas diludens, Gratiam tibi, inquit, huius voluntatis atque propoſiti nomine habebo. Etenim haud medio-
B criter moleſtum eſt iecur viſceribus incumbens. Si eieceris ergo illud, vt minaris, re moleſta atque odioſa corpus liberaueris. Quid igitur illius in rebus diuinis ſplendorem atque claritudinem imminuit, quòd poſt alios ſanctos in vita fuit? vt idcirco celebritas atque conuentus, qui illius nomine agitur, minor habeatur feriis, quæ ſanctorum aliorum honoris atq; memoriæ gratia celebrantur? Conſidera enim, ſi videtur, atque perpende rem, cum vno aliquo ſuperioris ætatis ſancto huius vitam cōparans.
C Dilexit Deū Paulus. Id enim nimirum bonorū caput eſt: dilectionis, inquam, bonum: à qua dilectione proficiſcitur omnis fides & omnis ſpes, & id quod per patientiam expectatur bonū, & in omni bono ſtabilitas atq; cōſtantia, & in omni ſpirituali dono commodum atque præſtantia. Sed ſcrutemur, quantus in Paulo dilectionis erga Deum modus? Dices omnino, quòd ex toto corde, & ex tota anima, & ex tota mente ſua diligeret Deum. Hunc enim ſummum dilectionis aduerſus Deum terminum dat lex.
D Ergo qui omne cor ſuum & animam & mentem Deo dicauit, & ad nullam rem aliam earum quæ per hanc vitam expetuntur, affectus atque propenſus eſt, in ſupremo dilectionis gradu conſiſtit. Enimuerò ſi quis demonſtrare poteſt, quòd præceptor (noſter) in vita ad rem aliquam earum quæ per hunc mundum expetuntur, propenſus & inclinatus eſſet, vt ad diuitias & potentiam, aut vanæ gloriæ ſtudium (magis enim ſeruiles in eo voluptates ne commemorare quidem æquum eſſe, conſentaneum eſt) quamcumque harum rerum expetiſſe deprehendetur, ea dicere re conuenit imminui modū erga Deū dilectionis, quòd eius affectio cupiditatis à Deo ad res materiales traducta eſſet.

Baſilij dilectio erga Deum.

Sin autem harum & eiuſmodi rerum inimicus & hoſtis erat, quòd prius quidem è vita ſua omnem vitioſum & mollem circa has res affectum eijceret: deinde communem quoque vitam, tum ſermone doctrinæ, tum ſuo exemplo expurgaret: perſpicuũ fuerit, quòd illum erga Deum dilectionis modum in ſeſe habebat, quo amplius natura non capiebat. Qui enim ex toto corde, & ex tota anima atque mente Deum diligit, quî poſſit ad maiorem dilectionis modum, qui locum non habeat, contendere atque eniti? Proinde ſi vnum perfectæ charitatis atque dilectionis terminum eſſe didicimus, nempe eum, qui ex toto corde Deo dicatus & conſecratus ſit: ac diligebant Paulus & Baſilius toto corde Deo dicati atque addicti: ſi quis auſit dicere, quòd vnus eſſet in ambobus dilectionis modus atque menſura, à veritate non aberrabit. Enimuerò quòd charitas atque dilectio maior ſit omnibus bonis, cùm Apoſtolus dicit, tum ſublimis Euangelij doctrina comprobat
1.Cor.13. atque confirmat. Et Apoſtolus quidem prophetia atque ſcientia pręſtantiorem ac præferendam eam eſſe dicit, fide verò ſolidiorem firmiorémque, & ſpe durabiliorem magíſque ſufficientem, & ſemper in eodem ſtatu permanentem, ſine qua quicquid pro bono expectatur,
Matth.22. inutile ſit: Dominus autem, omnem
Matth.25. legem & omnia myſteria prophetica ex hoc dono pendere dicens, charitatem omnium bonorum primas tenere etiam ipſe cenſet. Si igitur in eo quod inter res præclaras & eximias eminet atque excellit, ac reliquas comprehendendi vim habet, Paulo non inferior eſt: nimirum etiam in aliis omnibus bonis, quorum charitas primas tenet, ac quæcumque ex hac pendent, & exiſtunt, omnino poſteriores partes ferre & inferior eſſe nõ videbitur. Quemadmodum enim is, qui humanæ naturæ particeps eſt, omnes humanę naturæ proprietates habet: ita etiã is qui perfectam charitatem in ſeſe confecerit & aſſequutus eſt, omneis, quæcũque vnà cum hac ſpectãtur & cõprehenduntur, bonorũ formas cum primario principaliq; bono tenet. Siue enim fides eſt quæ ſeruat, ſiue per ſpem ſeruamur, ſiue per patientiã gratiã
1.Cor.13. expectamus, charitas omnia credit, & omnia ſperat, & oĩa ſuffert, vt inquit Apoſtolus. Atque reliqua omnia (ne ſingulatim omnia enumerando tempus teramus) charitatis radicis germen & ſurculus exiſtunt,

A Εἰ δὲ πάντων τούτων καὶ τῶν τοιούτων ἐχθρὸς ἦν καὶ πολέμιος, πρότερον μὲν τοῦ ἰδίου βίου πᾶσαν ἐξορίζων τὴν ἐμπαθῆ περὶ ταῦτα διάθεσιν· ἔπειτα δὲ καὶ τὴν κοινὴν ζωὴν ἐκκαθαίρων τῷ τε διδασκαλικῷ λόγῳ, καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι· δῆλον ἂν εἴη, ὅτι ἐκεῖνο τῆς πρὸς τὸν Θεὸν ἀγάπης τὸ μέτρον εἶχεν ἐν ἑαυτῷ, οὗ τὸ πλέον οὐκ ἐχώρει ἡ φύσις. ὁ γὰρ ἐξ ὅλης καρδίας τε καὶ ψυχῆς καὶ διανοίας τὸν Θεὸν ἀγαπῶν, πῶς ἂν ὑπερτεθείη πρὸς τὸ πλέον τοῦ ἀγάπης μέτρον, ὃ χώραν οὐκ ἔχει; οὐκοῦν εἰ B ἕνα τῆς τελείας ἀγάπης ὅρον ἐμάθομεν, τὸν ἐξ ὅλης καρδίας τῷ Θεῷ ἀνακείμενον, ἠγάπων δὲ Παῦλος καὶ Βασίλειος ἐν ὅλῃ καρδίᾳ τῷ Θεῷ ἀνακείμενοι, ἓν μέτρον εἶναι τῆς ἀγάπης ἐν ἀμφοτέροις εἰπεῖν τις τολμήσας, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας. ἀλλὰ μὴν πάντων τῶν ἀγαθῶν μείζονα τὴν ἀγάπην ὅτι ἀπόστολος λέγει, καὶ ἐπιψηφίζει τὸ ὑψηλὸν εὐαγγέλιον. ὁ μὲν οὖν ἀπόστολος προφητείας αὐτὴν καὶ γνώσεως προτιμοτέραν λέγων, πίστεως δὲ παγιωτέραν, καὶ ἐλπίδος διαρκεστέραν, καὶ πάντοτε ἐν τῷ αὐτῷ διαμένουσαν, ἧς δίχα ἀνόνητον εἶναι πᾶν τὸ ἐπ' ἀ- C γαθοῦ σπουδαζόμενον· ὁ δὲ κύριος πάντα νόμον, καὶ πάντα τὰ μυστήρια τὰ προφητικὰ τοῦ τοιούτου ἐξάπτων χαρίσματος, πάντων πρωτεύειν τὴν ἀγάπην καὶ αὐτὸς ἀποφαίνεται. εἰ οὖν ἐν τῷ ὑπερέχοντι καὶ περιληπτικῷ τῶν κατορθωμάτων οὐκ ἀπολείπεται τοῦ μεγάλου Παύλου· ἄρα καὶ ἐν τοῖς ἄλλοις πᾶσιν, ὧν ἡ ἀγάπη καθηγεῖται, καὶ ὅσα ἐκ ταύτης ἐκφύεται, πάντως οὐκ ἔλαττον ἔχων ἀναφανήσεται. ὥσπερ γὰρ ὁ τῆς ἀνθρωπίνης φύσεως μετέχων, ἐν πᾶσιν ἐστὶ τοῖς τῆς φύσεως ἰδιώμασιν, οὕτως καὶ ὁ τὸ τέλειον τῆς ἀγάπης ἐν ἑαυτῷ κατορθώσας, πάντα ὅσα συν- D θεωρεῖται ταύτῃ τῶν ἀγαθῶν εἴδη, μετὰ τοῦ πρωτοτύπου τῶν κατορθωμάτων ἔχει. εἴτε γὰρ πίστις ἐστὶν ἡ σώζουσα, εἴτε διὰ τῆς ἐλπίδος σωζόμεθα, εἴτε δι' ὑπομονῆς τὴν χάριν ἀπεκδεχόμεθα, ἡ ἀγάπη πάντα πιστεύει, καὶ πάντα ἐλπίζει, καὶ πάντα ὑπομένει, καθώς φησιν ὁ ἀπόστολος. καὶ τὰ ἄλλα πάντα, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγοντες διατρίβωμεν, τῆς κατὰ τὴν ἀγάπην ῥίζης βλάστημα γίνεται.

ὅσα περὶ τῆς ἀρετῆς λόγῳ σπουδάζεται· ὥστε τὸν ταύτην ἔχοντα, μηδενὸς ἐνδεῶς ἔχειν τῶν ἄλλων. Ταύτην ἔχων ὁ μέγας Βασίλειος, οὐδενὸς ἄρα τῶν ἀγαθῶν δι' αὐτῆς ἀπελείπετο. εἰ δὲ πάντα εἶχεν, ἐν οὐδενὶ πάντως ἠλάττωτο. ἀλλ' ἐρεῖ τις πάντως, ὅτι τρίτον οὐρανὸν εἶδεν ἐκεῖνος, καὶ ἡρπάγη εἰς τὸν παράδεισον, καὶ ἤκουσεν ἄρρητα ῥήματα ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. ἀλλ' οὐδὲ ἐκεῖνος φανερῶς διὰ τῆς σαρκὸς ταύτης τὴν τοιαύτην χάριν ἐδέξατο· οὐ γὰρ ἐπικρύπτεται τὴν ἀμφιβολίαν λέγων· εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν· καὶ περὶ τούτου τολμήσας εἴποι τις ἄν, ὅτι ἐν σώματι τοιοῦτον μὲν οὐδὲν εἶδεν, τῇ δὲ ἀσωμάτῳ καὶ νοητῇ θεωρίᾳ, οὐκ ἔστιν ὅτι τούτων ἀφῆκεν ἀθέατον. μάρτυς δὲ τούτων, ὁ παρ' αὐτοῦ λόγος, ὅν τε ἐφ' ἑαυτοῦ διεξῄει, καὶ ὃν κατέλιπεν ἐν συγγράμμασιν. ἐκεῖνος ἀπὸ Ἱερουσαλὴμ ἐπὶ τὸ Ἰλλυρικὸν ἐν κύκλῳ περιελθὼν πᾶσι τοῖς διὰ μέσου τὸν εὐαγγελικὸν ἐκήρυξε λόγον, καὶ ὁ τούτου λόγος καὶ τὸ κήρυγμα, πᾶσαν μικροῦ δεῖν τὴν οἰκουμένην διέλαβεν· ἐπ' ἴσης τοῖς Παύλου λόγοις παρὰ πάντων καὶ αὐτὸ σπουδαζόμενον. παρείσθω δὲ τὰ λοιπὰ δι' ὧν ὁ βίος τούτου πρὸς τὸν ἐκείνου συμφέρεται, ὅτι ἐσταυρώθη τῷ κόσμῳ ἐκεῖνος, καὶ τούτῳ ὁ κόσμος. ἐνέκρωσε τὸ σῶμα ἐκεῖνος, ἐτελείωσε καὶ οὗτος ἐν ἀσθενείᾳ τὴν δύναμιν. Χριστὸς ἦν τὸ ζῆν ἀμφοτέροις, καὶ ὁμοίως ἑκατέρῳ κέρδος ὁ θάνατος, καὶ προτιμοτέρα τοῦ πεπλανημένου βίου ἡ πρὸς τὸν δεσπότην ἀνάλυσις. ἢ καὶ τὸν Ἰωάννην ἀντιπαραδεῖξαι τῷ διδασκάλῳ δοκεῖ; ἀλλὰ τὸ μὲν πρωτεύειν ἐκεῖνον, τῶν ἐν γεννητοῖς γυναικῶν· καὶ περισσότερον ἔχειν τοῦ προφήτου τῆς θείας φωνῆς μαρτυρούσης, μανίας ἂν εἴη καὶ ἀσεβείας ἅμα ἄλλον ἀντιπαρεξαγαγεῖν τῷ τοιούτῳ βίῳ διὰ συγκρίσεως. ἀλλὰ τὸ τοσούτου καὶ τοιούτου καὶ τὸ κατόπιν ἐλθεῖν τῆς ἀνωτάτω μακαριότητος τὴν ἀπόδειξιν ἔχει. οὑτωσὶ δὲ τὸν λόγον κατανοήσωμεν. οὐκ ἦν οὔτε ἐν μαλακοῖς ἱματίοις ὁ Ἰωάννης, οὔτε κάλαμος ἦν ἀνέμοις ἐσαλευόμενος· ἠσπάζετο δὲ πρὸ τῶν οἰκουμένων τὴν ἔρημον, καὶ πάλιν τοῖς οἰκουμένοις ἐπεχωρίαζεν. μή τις ἄρα ἐπισκήψει τῷ λόγῳ, εἰ τοῦτο προσμαρτυρήσειεν, καὶ τῷ διδασκάλῳ

A quæcumque ratione virtutis expetuntur: adeò vt qui hanc habeat, nullo alio bono careat. Hanc igitur cùm magnus Baſilius haberet, per eam nullius boni expers erat. Quòd ſi omnia habebat, in nulla re prorſus inferior erat. Sed dicet aliquis prorſus, quòd tertium cœlum viderit ille, & raptus ſit in paradiſum, & audiuerit arcana verba, quæ homini non liceat proferre. *2. Cor. 12.* At nec ille quidem, quod conſtet, per carnem hanc eiuſmodi gratiam accepit: non enim celat ambiguitatem, dum dicit: B Siue in corpore, neſcio, ſiue extra corpus, ignoro: Deus nouit: etiam de hoc audacter aliquis dicere poſſit, quòd in corpore quidem nihil eiuſmodi viderit, ſed incorporea & ea quæ mente peragitur, contemplatione nihil harum rerum ſit, quod contemplari atque conſiderare prætermiſerit. Teſtis harum rerum eſt ipſius oratio, tum ea, quam ipſe proferebat, tum ea quam reliquit in ſcriptis. Ille ab Hieroſolymis vſque ad Illyricum in orbem circumiens omnibus in medio habitantibus Euangelicum ſermonem prædicauit: & huius C oratio atque prædicatio omnem propemodum terrarum orbem amplexa eſt, cùm etiam ipſa æquè ac Pauli ſermones ab omnibus probaretur & expeteretur. Omittantur reliqua, quibus huius vita cum illius vita conuenit atq; concordat, videlicet mundo crucifixus eſt ille, & huic mūdus. Corpus ille mortificauit, conſummauit atque perfecit etiam hic vires per infirmitatem. Chriſtus vtrique vita erat: & vtriq; ſimiliter pro lucro, mors, & ad Dominū reſolutio falſæ vitæ præferebatur. An etiam Ioannem cum magiſtro conferre atque com- *Baſilius cū Ioāne confertur.* D parare placet? At cùm diuina vox teſtetur, quòd ille principatum teneat, propterea, quòd inter natos mulierū etiam amplius & excellentius quid habeat, quàm Propheta: inſania ſimul & impietas fuerit, aliū ex aduerſo cōparando opponere eiuſmodi vitæ. Sed tanti ac talis viri vel à tergo veniſſe, ſupremæ beatitudinis continet demōſtrationem. Atq; hoc moderationem ineundo, rem conſideremus atque perpendamus. Neque mollibus veſtibus Ioannes erat amictus, neque arundo erat, quæ ventis agitaretur. Præferebat itē ſolitudinē locis cultis & habitatis: & contrà in habitatis & cultis locis verſabatur. Nunquis igitur refellet orationem, ſi veritas etiā hoc magiſtro

noſtro atteſtatur, vt in his magno Ioãne
non inferior ſit? Quis enim ignorat,
quemadmodum mollem & delicatum
vitæ cultum, noxium & infeſtum iudicaret?
in omni re fortitudinem atque laborum & moleſtiarum tolerantiam
magis quàm res iucundas ſectans, ad ſolis æſtum duratus, frigori ſe exponens,
ieiuniis & temperantia corpus exercendo ſubigens, in vrbibus quaſi in ſolitudinibus verſans (quòd hominum congreſſus illius virtutem nihil læderet) & ex
ſolitudinibus vrbes efficiens. Neque enim idcirco, quòd cum multitudine cõuerſaretur, quicquã de exacto & cauto
vitæ inſtituto immutabat: neque ſi ſeorſum in ſolitudinem ſeceſſiſſet, nudari ac
deſeri poterat ab iis qui vtilitatis gratia,
conſuetudine atque conuictu eius vtebantur, adeò vt etiam huius tempore
quemadmodum in vita Baptiſtæ ex ſolitudine vrbs efficeretur, quæ cõfluente
multitudine coarctaretur. Quòd autem
arundo non eſſet, quæ facilè ad contrarias opiniones impelleretur, argumento
eſt ea, quam habuit in omnibus rebus,
quas per vitam cum iudicio ſuſcepiſſet
& inſtituiſſet, conſtantia atque firmitudo. Placuerat ab initio nihil quicquam
poſſidere, & pauperem eſſe. Tanquam
petra immota atque inconcuſſa, ſtabile
ac firmum id iudicium fuit: concupiſcebat per puritatẽ appropinquare Deo,
mons erat ea cupiditas, non arundo.
Nunquam enim ad tentationum ſpiritus aduerſos flectebatur. Porrò dilectionis erga Deum (quæ in Baſilio fuit) conſtantiam & firmitudinem ſolus Apoſtolus ſuis verbis exprimere & indicare
poſſet, propterea quòd neque vita, neque mors, neque præſentia, neque futura, neque aliqua alia creatura à dilectione Dei cor eius dimouere atque deturbare poſſet. Adeò etiam in omnibus,
quæ cum virtute inſtituiſſet, ac ſibi ſectanda eſſe iudicaſſet, nequaquã arundineus quidã, & animo mobili ac mẽte
inconſtãti erat: ſed per omnia vita (eius)
in rebus præclaris conſtantiam in ſe habebat & ſtabilitatẽ. Liberè & ingenuè
loquitur apud Herodem Ioannes, item
hic apud Valentem Comparemus autem adinuicem horum virorum dignitates. Ille quidem partis cuiuſdam Palæſtinæ decreto Romanorum permiſſum ſibi principatum adeptus erat, huius verò
imperij terminus erat totus propemodum curſus Solis à finibus Perſidis ad Britannos

A ἡμῖν ἡ ἀλήθεια, ὡς ἐν τούτοις αὐτὸν τοῦ μεγάλου Ἰωάννου μὴ ἀπολείπεσθαι; τίς οὐκ οἶδεν ὅπως μαλακήν τε καὶ τεθρυμμένην τοῦ βίου δίαιταν πολεμίαν ἡγήσατο; ἐν παντὶ δὲ καρτερικὸν καὶ ἀνδρῶδες περὶ τῶν ἡδέων θηρώμενος, ἡλίῳ θαλπόμενος, κρύει παραβαλλόμενος, νηστείαις καὶ ἐγκρατείαις καταγυμνάζων τὸ σῶμα, ταῖς πόλεσιν ὡς ἐν ἐρήμοις ἐνδιατρίβων, οὐδὲν εἰς ἀρετὴν ἐκ τῆς συντυχίας παραβλαπτόμενος, καὶ πόλεις τὰς ἐρημίας ἀπεργαζόμενος. οὔτε γὰρ ἡ μετὰ τῶν πολλῶν διαγωγή, τῆς ἀκριβοῦς τι καὶ ἀσφαλοῦς πολιτείας παρέτρεψεν· οὔτε εἰ πρὸς ἑαυτὸν ἐπὶ τὴν ἐσχατιὰν ἐχώρησεν, γυ-
B μνωθῆναι τῆς ἐπωφελείας συνόντων οἷός τε ἦν· ὥστε καὶ ἐπὶ τούτου καθ' ὁμοιότητα τοῦ Βαπτιστοῦ, πόλιν τὴν ἔρημον γενέσθαι στενοχωρουμένην τοῖς ἐπιρρέουσιν. τὸ δὲ μὴ κάλαμον αὐτὸν εἶναι δι' εὐκολίας πρὸς τὰς ἐναντίας ὑπολήψεις μετακλινόμενον, δείκνυσι τὸ ἐν πᾶσι τοῖς παρὰ τὸν βίον κεκριμένοις αὐτῷ ἀμετάπτωτον, ἤρεσεν ἐξ ἀρχῆς ἡ ἀκτημοσύνη. πέτρα τις ἄσειστος ἡ κρίσις ἐγένετο. ἐπεθύμει διὰ καθαρότητος προσεγγίζειν τῷ Θεῷ, ὄρος ἦν ἡ ἐπιθυμία αὕτη, οὐ κάλαμος. οὐδέποτε γὰρ πρὸς τὰς ἀντιπνοίας τῶν πειρασμῶν ὑπεκλίνετο. τῆς δὲ πρὸς τὸν
C Θεὸν ἀγάπης τὸ πάγιον, μόνου ἦν τοῦ Ἀποστόλου διὰ τῶν ἰδίων λόγων ἐνδείξασθαι, τοῦ μήτε τὴν ζωὴν μήτε τὸν θάνατον, μὴ ἐνεστῶτα, μὴ μέλλοντα, μήτε τινὰ κτίσιν ἑτέραν δύνασθαι αὐτοῦ τὴν καρδίαν ἀπὸ τῆς πρὸς τὸν Θεὸν ἀγάπης παρώσασθαι. οὕτω καὶ ἐν πᾶσι τοῖς κατ' ἀρετὴν αὐτῷ κεκριμένοις, οὐδαμῶς καλαμώδης τις ἦν καὶ ἀβέβαιος τὴν διάνοιαν· ἀλλὰ διὰ πάντων ὁ βίος εἶχε τὸ ἐν τοῖς καλοῖς ἀμετάπτωτον. παρρησιάζεται πρὸς τὸν Ἡρώ-
D δην Ἰωάννης, καὶ οὗτος πρὸς Οὐάλεντα. ἀντεξετάσωμεν δὲ πρὸς ἄλληλα τῶν ἀνδρῶν τούτων τὰ ἀξιώματα. ὁ μὲν μέρους τινὸς τῆς Παλαιστίνης ψήφῳ Ῥωμαίων τὴν δυναστείαν κεκλήρωτο· τούτου δὲ τῆς ἀρχῆς ὅρος ἦν, ὅλος μικροῦ δεῖν ὁ τοῦ ἡλίου δρόμος, ἐκ τῶν τῆς Περσίδος ὅρων, εἰς Βρεττανούς τε καὶ τὰ

ἔσχατα τοῦ Ὠκεανοῦ παρατείνων. καὶ τῆς μὲν πρὸς τὸν Ἡρώδην παρρησίας ἦν ὁ σκοπὸς, μὴ παρανομεῖν κατὰ γυναίου τινὸς, ἀλλὰ κολάζειν ἐφ' ἑαυτοῦ τὴν ἐπιθυμίαν, ὡς ἀπειρημένην τῷ νόμῳ. ἡ δὲ πρὸς Οὐάλεντα τοῦ διδασκάλου παρρησία τίς ἦν; ἄσυλόν τε καὶ ἀμίαντον τὴν πίστιν ἐᾶν, ἧς ἡ παρανομία, πάσης τῆς οἰκουμένης ἄγος ἐγένετο. ἀντιθέτω τοίνυν ὁ δίκαιος τῶν πραγμάτων ἐξεταστὴς, τήν τε δυναστείαν τῇ δυναστείᾳ, καὶ τὸν σκοπὸν τῆς παρρησίας ταύτης, πρὸς τὴν παρρησίαν ἐκείνην. ἐκεῖ μὲν γὰρ ἐν τῷ σώματι τοῦ Ἡρώδου τὸ ἄγος περιωρίζετο. ἐνταῦθα δὲ πάσης ἦν ἀδικία τῆς ἀνθρωπίνης φύσεως, ἡ παρανομία τῆς πίστεως. ἐκεῖνος μέχρι θανάτου ἐμμένει τῇ παρρησίᾳ, καὶ τούτῳ πέρας τῆς παρρησίας ἐξορία γίνεται, τοῦτο τοῦ βασιλέως ἀντὶ τῆς ἐπιθανατίου ψήφου καταδικάσαντος. ἀλλὰ καὶ Ἰωάννης ἀποθανὼν ζῆν ἐπιστεύετο· καὶ Βασιλείῳ παρ' αὐτῶν τῶν ἐχθρῶν ἡ τῆς ἐξορίας ἀνελύετο ψῆφος, οὐδὲν διὰ τῆς ἀπειλῆς μαλακισθέντι περὶ τὴν ἔνστασιν. ἆρα τολμήσαιμεν καὶ ἐπὶ τὸν ὑψηλὸν Ἡλίαν ἀναβιβάσαι τῷ λόγῳ· καὶ δεῖξαι τὸν καθ' ἡμᾶς διδάσκαλον πρὸς τὴν ἐκείνου χάριν τῷ βίῳ τῷ καθ' ἑαυτὸν ὁμοιούμενον; ἀλλὰ τὴν μὲν ἐπὶ τοῦ φλογίνου ἅρματος διφρείαν, καὶ τὴν τῶν πυρίνων ἡνιόχησιν ἵππων, καὶ τὴν πρὸς τὸ ὑπερκείμενον τῆς ἄνω λήξεως μεταχώρησιν, μηδεὶς ἀπαιτείτω τὴν ἀνθρωπίνην φύσιν. οὐδὲ γὰρ ἐκεῖνος ἐν τοῖς ὅροις μένων τῆς φύσεως, ἀπαθὴς ἐν τῷ πυρὶ διεσώζετο, πρὸς τὸ αἰωφερές τε καὶ κοῦφον θείᾳ δυνάμει μετασκευάζων τὸ ἐμβριθές τε καὶ γήϊνον· μήθ' ὅτι τὸν ἑαυτοῦ λόγον οἷόν τινα κλεῖν ἐποιεῖτο τῆς ἐξ οὐρανοῦ χορηγίας, ἀνιείς τε ὅτε βούλοιτο, καὶ ἀποκλείων πάλιν κατ' ἐξουσίαν, ὅτε τοῦτο παραστῆσαι ἄμεινον ᾤετο. ἀλλὰ καὶ τὸ εἰς πολὺν αὐτὸν διαρκέσαι χρόνον ἀπόσιτον μιᾷ τροφῇ τῆς ἐγκρυφίου ἐκείνου ὀλυρίτου, ἐν ὁμοίῳ τὴν δύναμιν αὐτοῦ διασώζοντα μέχρις ἡμερῶν τεσσαράκοντα· παρείσθω καὶ τοῦτο, ὡς μεῖζον ἢ κατὰ ἄνθρωπον. ἄπορος γὰρ τῇ ἀνθρωπίνῃ φύσει τῶν ὑπὲρ φύσιν ἡ μίμησις. σιγάσθω δὲ μετὰ τούτων ὅτι βραχὺς ἐκεῖνος τοῦ ἀλεύρου κέραμος, καὶ ὁ τοῦ ἐλαίου καμψάκης· διαρκὴς ἑκάτερος πρὸς τὴν χρείαν ἐν τῇ τῆς τροφῆς χορηγίᾳ, καὶ παρ' ὅτι

A vſque pertinens, & extremam Oceani oram. Ac linguæ quidem libertas aduerſus Herodem id agebat, atque eò ſpectabat, ne contra leges ille peccaret in muliercula quadã, ſed cupiditatem, vtpotè legibus vetitam, in ſe coërceret. At aduerſus Valentem præceptoris linguæ libertas quænam erat? Vt illæſam, intactam & impollutam ſineret eſſe fidem, cui ſi fieret iniuria, totius orbis terrarum ſcelus atque piaculum exiſteret. Conferat igitur æquus rerum æſtimator & principatum cum principatu, & linguæ libertatis huius propoſitũ cum

B illa comparet libertate. Nam illic quidem corpore Herodis ſcelus circumſcribebatur: hîc verò violatio fidei ad totius humanæ naturæ iniuriam redundabat. Ille ad mortem vſque perſeuerat in libertate ſermonis, & huic finis linguæ libertatis exilium exiſtit, cùm Imperator hanc pœnam in eum loco mortiferæ ſentẽtiæ ſtatuiſſet. At enim Ioannes poſt mortem viuere credebatur. Baſilio item ab inimicis ipſis ſententia exilij reſcinditur, cùm propter minas nihilo remiſſior & ſegnior factus eſſet ad *Matth.14.*

C reſiſtendum. An etiam audebimus ad ſublimem Heliam ſermone aſcẽdere, & oſtendere noſtrum doctorem ſuæ vitæ inſtituto illius gratiæ aſſimilari? Enimuerò vt in flammeo curru ſedeat atque vehatur, & igneos equos moderetur, & ad eam poteſtatem, quę ſuperæ præſidet rerũ naturę, tranſmigret, nemo poſtulet ab humana natura. (Nam nec ille quidẽ intra terminos & limites naturæ manẽs illæſus in igni conſeruabatur, cùm terreum hoc pondus diuina vi ad eam leuitatem, quæ in ſublime ferretur, tranſformaret) neque (verò) quod ſuo verbo *3.Reg.11.*

D veluti claui vteretur eius facultatis, quę de cœlo ſuppeditabatur, & aperiens quando vellet, & rurſus claudens, cùm id facere commodius eſſe videretur. Quinetiã quòd ad multum ille tempus inediam toleraret, vno cibo ſubcineritij illius hordeacei panis in pari habitudine vires ſuas ad quadraginta vſque dies conſeruans: prætermittatur etiam hoc, vtpotè maius, quàm humana capiat natura. Earum enim rerum, quæ ſuperant naturam imitatio humanæ naturæ impedita eſt. Silentio prætereatur itẽ cum his & exiguus illæ farinæ vrceus, & vas, quo oleum continebatur: quorum vtrumque tam hoc, quàm ille, quod ad ſuppeditationem attinet alimenti, ad neceſſi- *Apoc.3.* *3.Reg.19.*

tatem ſufficiebat, per omne tempus famis, beneficium ſimul prorogans & extendens ad annos treis & menſes ſex. Nam ſuperę operationis miracula peculiarem in operibus vim habent. Nec rectè quis eiuſmodi mirificas operationes aſſignauerit humanæ naturæ. Quę ſunt igitur noſtri pręceptoris bona, quę cum iis, quæ in Propheta cernuntur, cōmunionem & ſocietatem habeāt? amor & ſtudium vehemens erga fidem, odium aduerſus aſpernantes & reprobantes, dilectio erga Deum, ſtudiū & deſiderium eius, qui verè atq; reipſa eſt, ad nullam rem materialem effluens atque deflectens: vita per omnia exacta atque exquiſita: victus aridus: acies oculorū & obtutus animæ vigori par: grauitas non affectata: ſilentium ſermone efficacius: cura atque contemplatio rerum earum, quæ ſperantur: contemptus earum, quę videntur: cùm quiſquis oblatus eſſet, ſiue in excellenti dignitate fortè conſtitutus, ſiue ex humilibus & abiectis eſſe appareret, eadem dignatione exciperet, & in eodē honore haberet. Hæc & eiuſmodi ſunt, in quibus præceptoris vita miracula Heliæ imitatur. Quòd ſi quis profert quadraginta dierum inediam: & nos per omnem vitā magiſtri in cibo parſimoniam contrà in medium afferemus. Vicina enim quodammodo eſt inediæ cibi exiguitas & parſimonia victus, ac maximè, cum illud quidem exiguo tempore factū ſit, hoc verò per omnem vitam durauerit. Præterea etiam illic quidem hordeaceus ille ſubcinericius panis Prophetæ vigorem & vires cōſeruabat, eò quòd prorſus aliquid eiuſmodi in ſeſe haberet, quo quicumque cibū hunc ſumpſiſſet, vires eius conſeruarentur. Cuius rei argumentū eſt, quòd non popularium aliquis ei panem cōfectum pro cibo appoſuerat, ſed ab Angelis parato cibo ſatiatus eſt. Vnde etiam plenæ atque integræ manebant, & non effluebant atque expirabāt eæ, quæ per illum cibum corpori vires ingenerarētur. Hic verò cùm nihil de cōſuetis innouaretur & immutaretur, ratio cibum moderabatur, tantum corpori præbens, non quantum natura vellet, ſed quantum temperantiæ lex iuberet. Porrò ſacerdotium præceptoris prophetæ ſacerdotij ænigmata imitatur, per hoc quòd treis perſonas in ratione fidei tradit, cœleſtem ignem ad ſacrificia eliciens. Ignem autem,

A τοῦ λιμοῦ τῷ χρόνῳ συμπαρατείνων τὴν χάριν, εἰς ἔτη τρία καὶ μῆνας ἕξ. τὰ γὰρ τῆς ἄνωθεν ἐνεργείας θαύματα, ἰδιάζουσαν ἐπὶ τῶν ἔργων ἔχει τὴν δύναμιν. καὶ οὐκ ἄν τις εὐλόγως ἀνθρωπίνῃ φύσει τὰς τοιαύτας θαυματοποιίας λογίσαιτο. τίνα οὖν ἐστὶν ὅσα τοῦ διδασκάλου ἡμῶν πρὸς τὰ ἐν τῷ προφήτῃ θεωρούμενα τὴν κοινωνίαν ἔχει; ζῆλος πίστεως, δυσμένεια κατὰ τῶν ἀθετούντων, ἀγάπη πρὸς τὸν Θεόν, ἐπιθυμία τοῦ ὄντος ὄντως πρὸς οὐδὲν τῶν ὑλικῶν ἀπορρέουσα, ζωὴ διὰ πάντων ἐξη-
B τασμένη· βίος κατεσκληκώς· βλέμμα τῷ τόνῳ τῆς ψυχῆς συντεινόμενον· σεμνότης ἀνεπιτήδευτος· ἡσυχία λόγου ἐνεργεστέρα· φροντὶς περὶ τῶν ἐλπιζομένων· καταφρόνησις τῶν ὁρωμένων· ὁμοτιμία πρὸς πᾶν τὸ φαινόμενον, εἴτε τις τῶν ὑπερεχόντων ἐν ἀξιώματι τύχοι, εἴτε τῶν ταπεινῶν τι καὶ ἀπερριμμένων προφαίνοιτο. ταῦτά ἐστι καὶ τὰ τοιαῦτα, ἐν οἷς μιμεῖται ὁ τοῦ διδασκάλου βίος τὰ τοῦ Ηλιοῦ θαύματα. Εἰ δέ τις προφέρει τὴν τεσσαράκοντα ἡμερῶν τὴν ἀσιτίαν, καὶ ἡμεῖς τοῦ διδασκάλου
C τὴν διὰ παντὸς τοῦ βίου ὀλιγοσιτίαν ἀντιπροσοίσομεν. γειτνιάζει γάρ πως τῷ ἀσίτῳ τὸ ὀλιγόσιτον, καὶ μάλιστα ὅταν τὸ μὲν ἐν ὀλίγῳ γένηται χρόνῳ, τὸ δὲ πρὸς πάντα διαρκέσῃ τὸν βίον. ἄλλως τε κἀκεῖ μὲν ὁ ὀλυρίτης ἐκεῖνος ἐγκρυφίας διεκράτει τοῦ προφήτου τὸν τόνον, ἔχοντι πάντως ἐν ἑαυτῷ τοιοῦτον, ᾧ συνετηρεῖτο τοῦ προσενεγκαμένου τὴν τροφὴν ταύτην ἡ δύναμις. τεκμήριον δέ, ὅτι οὐχὶ τῶν ὁμοφύλων τις αὐτῷ σιτοποιήσας τὴν τροφὴν παρεθήκατο, ἀλλ' ἀγγελικῆς παρασκευῆς ἐνε-
D φορήθη. ὅθεν αὐτῷ πλήρης τε καὶ ἀδιάπνευστος ἦν ἡ διὰ τῆς τροφῆς ἐκείνης ἐγγινομένη τῷ σώματι δύναμις. ἐνταῦθα δὲ οὐδὲν καινοτομηθείσης τῆς συνηθείας, μέτρον τῆς τροφῆς ὁ λογισμὸς ἦν, τοσοῦτον παρέχων τῷ σώματι, οὐχ ὅσον ἡ φύσις ἐβούλετο, ἀλλ' ὅσον ὁ τῆς ἐγκρατείας ἐνεκελεύετο νόμος. ἡ δὲ ἱερωσύνη τοῦ διδασκάλου, μιμεῖται τὰ τῆς ἱερωσύνης τοῦ προφήτου αἰνίγματα, διὰ τοῦ τρισσεύειν ἐν τῷ λόγῳ τῆς πίστεως, τὸ οὐράνιον πῦρ πρὸς τὰς ἱερουργίας ἐφελκομένη. πῦρ δὲ

τὴν τοῦ ἁγίου πνεύματος δύναμιν καλεῖσθαι πολλαχῆ παρὰ τῆς γραφῆς ἐδιδάχθημεν. αὐχμὸν δὲ γῆς ὁ διδάσκαλος οὔτε ἔλυσεν, οὔτε ἐπήγαγεν. ἐκεῖ δὲ ὁ μέγας προφήτης, πλήξας τῇ μάστιγι τῆς ἀνομβρίας τὴν γῆν, ὁ αὐτὸς καὶ ἰατρὸς τοῦ τραύματος γίνεται, ἐφάμιλλον τῇ ἀλγηδόνι τῆς μάστιγος, τὴν ἐκ τῆς θεραπείας ἄνεσιν αὐτοῖς χαριζόμενος. εἰ δὲ χρή τι καὶ πρὸς τοῦτο τῶν καθ' ἡμᾶς Ἠλιοῦ θαῦμα εἰπεῖν· θείᾳ βουλήσει τῆς τοιαύτης ποτὲ συμφορᾶς ἀπειληθείσης, καὶ ξηροῦ παντὸς τοῦ χειμερίου καιροῦ παραδραμόντος, καὶ μηδεμιᾶς καρπῶν ὑποφαινομένης ἐλπίδος· τότε προσευξάμενος τῷ Θεῷ ὁ διδάσκαλος, μέχρι τῆς ἀπειλῆς τὸν φόβον ἔστησε, λιταῖς τὸ θεῖον ἱλεωσάμενος, καὶ λύσας διὰ προσευχῶν τὴν τῆς ἀνομβρίας κατήφειαν. ἀλλὰ καὶ τῆς τοῦ λιμοῦ παραμυθίας, ἣν ἐπὶ μιᾶς ἐνεδείξατο χήρας ὁ μέγας Ἠλίας, ἔχει τι καὶ ὁ καθ' ἡμᾶς βίος ἐπὶ τοῦ διδασκάλου ὁμοίωμα. λιμοῦ γάρ ποτε χαλεποῦ καταπονοῦντος αὐτήν τε τὴν πόλιν ἐν ᾗ διατριβόμενος ἐτύγχανε, καὶ πᾶσαν τὴν ὑποτελοῦσαν τῇ πόλει χώραν, τὰς ἑαυτοῦ κτήσεις ἀποδόμενος, καὶ εἰς τροφὰς διαμείψας τὰ χρήματα, ὅτε σπάνιοι ἦσαν, καὶ τοῖς σφόδρα παρεσκευασμένοις τράπεζαν ἑαυτοῖς παραστήσασθαι, διήρκεσεν ἐκεῖνος ἐν παντὶ τῷ χρόνῳ τοῦ λιμοῦ τρέφων· τούς τε πανταχόθεν συρρέοντας, καὶ τὴν νεολαίαν παντὸς τοῦ δήμου τῆς πόλεως, ὡς καὶ τοῖς τῶν Ἰουδαίων παισὶν ἐκ τοῦ ἴσου παρεστῆναι τῆς φιλανθρωπίας ταύτης τὴν μετουσίαν. διαφέρει δὲ παντελῶς οὐδέν, ἢ διὰ καμψάκου τὴν θείαν ἐντολήν, ἢ διά τινος ἄλλης ἀφορμῆς ἐκπληρῶσαι. ἡ γὰρ παραμυθία τῶν δεομένων οὐ ζητεῖ τὸ πόθεν, ἀλλὰ πρὸς τὸ γινόμενον βλέπει. εἰ δὲ αἰωφερὴς ὁ Ἠλίας ἐγένετο, θαυμαστὸν μὲν καὶ τοῦτο, καὶ ὑπὲρ λόγον τὸ θαῦμα. πλὴν οὐκ ἀπόβλητον καὶ τὸ ἕτερον εἶδος τῆς ἐπὶ τὸ ἄνω φορᾶς· ὅταν τις διὰ τῆς ὑψηλῆς πολιτείας ἀπὸ γῆς εἰς οὐρανὸν ἀνοικίζηται, διὰ τοῦ πνεύματος ἅρμα τὰς ἀρετὰς ποιησάμενος. ὅπερ δὴ κατωρθῶσθαι τῷ διδασκάλῳ πᾶς ὁ εὐγνωμόνως τὰ καθ' ἑαυτὸν ἐξετάζων συνθήσεται. ἆρα χρὴ καὶ τὸν Σαμουὴλ

A ſancti Spiritus virtutẽ vocari in multis ſcripturæ locis didicimus. Vredinem verò atque ſiccitatem terræ magiſter neque ſuſtulit, neque induxit. Illic autem magnus Propheta cùm imbrium penuriç flagello terram verberaſſet, ipſe quoque medicus vulneris exiſtit, cruciatui flagelli par & æquipollẽs, largiens eis curationis leuamen atque mitigationem. Quòd ſi etiam aduerſus hoc noſtri Heliæ aliquod miraculum proferre oportet: Cùm diuina voluntate eiuſmodi calamitas aliquando cœli minis ſignificata immineret (quippe totum B tempus hybernum per ſiccitatem præterierat) & nulla ſpes frugum appareret: tunc magiſter Deo ſupplicans vltra minas terrorem progredi paſſus non eſt, cùm precibus diuinũ numen placaſſet, & per orationes mœrorem, qui propter imbrium penuriã (homines) inuaſerat, ſuſtuliſſet. Quinetiam conſolationis & leuaminis in fame, quod in vna vidua magnus præſtitit Helias, habet etiam noſtra ætas aliquam ſimilitudinem in magiſtro. Nam cùm fames aliquando grauis & ſæua tam ipſam vrbem, in qua C habitabat, quàm omnem vbique ſubditam regionem affligeret, venditis ſuis prędiis & poſſeſſionibus, atque pecuniis in alimenta conuerſis, cùm etiam rarum eſſet, vt illi, qui valde ſibi prouidiſſent & inſtructi eſſent, ea quæ ad menſam & victum pertinent, ſibi conficere & ſuppeditare poſſent, ille per omne tempus famis, cùm eos qui vndique confluerent, tum iuuentutem, totius vrbanæ plebis alere perſeuerauit, adeò vt etiam Iudæorum liberos huius benignitatis & liberalitatis ex æquo participes faceret. Nihil autem prorſus intereſt, D vtrum per vas olearium quis, an per aliquam aliam materiam & occaſionem diuinum mandatum exequatur. Conſolatio enim indigentium non quærit vnde (ſumas) ſed ad id, quod fit, ſpectat. Quòd ſi ſublimis raptus eſt Helias: mirabile quidem eſt etiam hoc & maius miraculum, quàm quis vel oratione explicare, vel ratione aſſequi poſſit. Veruntamen nec altera (quidem) ſpecies ad ſupera curſus repudianda atque contemnenda eſt: cùm quis per ſpiritum virtutibus pro curru vſus, per ſublime vitæ inſtitutum è terra (ſurſum) in cœlum migrat. Quod vtique magiſtrum aſſequutum eſſe, quicumque rerum ab eo geſtarum æquus fuerit æſtimator, non negabit. An etiam aduerſus Samuelem

oratione audendum eſt? Sanè in aliis omnibus primas Prophetæ partes concedentes, cum duobus quibuſdam, quæ de illo dicuntur, etiam ea quę circa magiſtrum noſtrum erant, cōuenire oſtendemus. Diuinitus data atque conceſſa vtriuſque natiuitas erat. Vt enim illum mater, ita etiam hunc pater à Deo petitum procreauit. Cúmque lethali morbo quondam correptus eſſet etiam nunc in ætate iuuenili, per viſionem in ſomnis pater vidit Dominum, qui in Euāgelio Regulo illi filium donauit, ſibi apparere, & illa dicere ad ſe, quæ ad illum Dominus dixerat, nempe, Vade, filius tuus viuit. Cuius fidem & ipſe imitatus, eundem quem ille fidei fructum percepit, benignitate Domini ſalute filij recepta. Atque hoc quidem vnum cum miraculis Samuelis cōparamus. Alterum verò, quòd forma ſacrificij eadē ab ambobus inſtituta atque peracta eſt. Pacificas enim vterque Deo hoſtias obtulerunt, vt hoſtes profligarētur, & interirent ſacrificantes. Hic quidem pro euerſione hæreſeωn, ille verò aduerſus alienigenas id agens. Porrò magnus ille Moyſes commune omnibus, qui ad virtutē ſpectant, propoſitum eſt exemplum. Nec deliquerit ſi quis virtutem legiſlatoris tanquam ſcopulū ſibi proponat, ad quem vitæ ſuę dirigat actiones. Proinde nemo prorſus inuidebit, ſi oſtendatur, quòd magiſter noſter, in quibus poſſet, legiſlatorem in vita imitaretur. In quibus igitur rebus) imitatio cōſiſtebat? Mulier quædam Ægyptios regens, Moyſen adoptatū domeſtica diſciplina inſtituendum curat, à maternis vberibus, quamdiu primam ætatem eiuſmodi alimento nutriri conueniebat, non recedentem. Hoc itē magiſtro veritas teſtatur. Cùm educaretur enim ab externa ſapientia, ſemper vberibus Eccleſiæ adhærebat, illius doctrinis animo creſcens atque grandeſcens. Abnegauit atque repudiauit poſtea Moyſes falsò dictæ matris fictam & cōmentitiam cognationem. Ne hic quidem diu permanſit in eo ſtatu, vt eius ſtudij nomine celebraretur atque clareret, cuius eum pudebat. Cum enim omnem ex literis & diſciplinis externis partam gloriam repudiaſſet, quemadmodum ille regnū, ad humile vitę tranſtulit inſtitutum: quemadmodum etiam Moyſes Ægyptiis theſauris prætulit Hebręos. Porrò cùm natura in vnoquo-

Exod. 14.

A καταβολμήσαι τῷ λόγῳ; ἀλλ' ἐν τοῖς ἄλλοις πᾶσι τῶν πρωτείων τῷ προφήτῃ παραχωρήσαντες, πρὸς δύο τινὰ τῶν περὶ αὐτοῦ λεγομένων, καὶ τὰ περὶ τὸν διδάσκαλον ἡμῶν οἰκείως ἔχοντα δείξομεν. θεόσδοτος ἀμφοτέρων ἡ γέννησις ἦν. ὡς γὰρ ἐκεῖνον ἡ μήτηρ, οὕτω καὶ τοῦτον ἐξ αἰτήσεως θείας ὁ πατὴρ ἐτεκνώσατο. καὶ ἀρρωστίᾳ ποτὲ συσχεθέντος ἐπιθανατίῳ ἔτι ἐν τῷ νέῳ τῆς ἡλικίας, εἶδεν ὁ πατὴρ ἐπιφανέντα αὐτῷ κατὰ τὴν ἐνύπνιον ὄψιν τὸν κύριον, τὸν ἐν τῷ εὐαγγελίῳ τὸν παῖδα τῷ βασιλικῷ χαρι-

B σάμενον, κἀκεῖνα εἰπόντα πρὸς τοῦτον, ἃ πρὸς ἐκεῖνον εἶπεν ὁ κύριος, ὅτι πορεύου, ὁ υἱός σου ζῇ. οὗ τὴν πίστιν καὶ αὐτὸς μιμησάμενος, τὸν αὐτὸν ἐπὶ τῇ πίστει καρπὸν ἐκομίσατο, τὴν τοῦ υἱοῦ σωτηρίαν, ἐκ τῆς φιλανθρωπίας τοῦ κυρίου δεξάμενος. ἓν μὲν δὴ τοῦτο τοῖς θαύμασι τοῦ Σαμουὴλ ἀντιτίθεμεν. ἕτερον δὲ, ὅτι τὸ εἶδος τῆς ἱερουργίας τὸ αὐτὸ τοῖς δύο συνεσπουδάσθη. εἰρηνικὰς προσήγαγον ἀμφότεροι τῷ Θεῷ τὰς θυσίας, ὑπὲρ τῆς τῶν πολεμίων ἀναιρέσεως ἱερουργοῦντες. ὁ μὲν ἐπὶ τῇ καταλύσει τῶν αἱρέσεων, ὁ δὲ κατὰ τῶν ἀλλοφύλων τοῦτο ποιῶν. Μωϋσῆς δὲ

C ὁ μέγας, κοινὸν πρόκειται πᾶσι τοῖς πρὸς ἀρετὴν ὁρῶσιν ὑπόδειγμα. καὶ οὐκ ἄν τις πλημμελοίη τοῦ ἰδίου βίου σκοπὸν τὴν ἀρετὴν τοῦ νομοθέτου ποιούμενος. οὐκοῦν ἀνεπίφθονον πάντως εἴη δεῖξαι τὸν διδάσκαλον ἡμῶν, ἐν οἷς οἷός τε ἦν, τὸν νομοθέτην ἐπὶ τοῦ βίου μιμούμενον. ἐν τίσι τοίνυν ἡ μίμησις ἦν; ἄρχουσά τις τῶν Αἰγυπτίων, εἰσποιησαμένη τὸν Μωϋσέα παιδεύει τὴν ἐγχώριον παίδευσιν, οὐκ ἀποστάντα τοῦ μητρῴου μαζοῦ, ἕως ἔδει τὴν πρώτην ἡλικίαν τῇ τοιαύτῃ τροφῇ τιθηνήσασθαι. τοῦτο καὶ τῷ διδασκάλῳ μαρτυρεῖ ἡ ἀλήθεια. ἀνατρεφό-

D μενος γὰρ ὑπὸ τῆς ἔξω σοφίας, ἀεὶ τοῦ μαζοῦ τῆς ἐκκλησίας εἴχετο, τοῖς ἐντεῦθεν διδάγμασι τὴν ψυχὴν αὔξων τε καὶ ἁδρυνόμενος. ἠρνήσατο μετὰ ταῦτα ὁ Μωϋσῆς τῆς ψευδωνύμου μητρὸς τὴν σεσοφισμένην συγγένειαν. οὐδὲ οὗτος παρέμεινεν ἐπὶ πολὺ νομίζεσθαι τοῦτο ὃ ἐπῃσχύνετο. πᾶσαν γὰρ τὴν ἐκ τῶν ἔξωθεν λόγων δόξαν ἀποσεισάμενος, ὥσπερ τὴν βασιλείαν ἐκεῖνος, πρὸς τὸν ταπεινὸν ἀπηυτομόλησε βίον, καθάπερ καὶ τοὺς Ἑβραίους ὁ Μωϋσῆς προτιμοτέρους τῶν Αἰγυπτίων θησαυρῶν ἐποιήσατο. τῆς δὲ φύσεως ἐφ' ἑκάστου

A ἑκάστου τὸ ἑαυτῆς ἐνεργούσης. ἑκάστου γὰρ ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, οὐδὲ ἔστιν ἐκτὸς ἦν τῆς τοῦ Αἰγυπτίου λογισμοῦ μάχης ἣν ἐπῆγε τῷ καταρθοῦντι· ἀλλὰ συμμαχῶν τῷ βελτίονι, νεκρὸν ἐποίει τὸν κακῶς τῷ Ἑβραίῳ ἐπεγειρόμενον. Ἑβραῖος δὲ, λογισμὸς ὁ ἐκκεκαθαρμένος καὶ ἀμόλυντος. ὁ γὰρ διὰ τοῦ νεκρῶσαι τὰ ἐπὶ τῆς γῆς μέλη τῇ ψυχῇ συμμαχῶν μιμεῖται τὴν Μωϋσέως τὴν ἀριστείαν, ἣν κατὰ τοῦ Αἰγυπτίου ἐνήργησεν. παραδραμεῖν δὲ προσήκει τὰ πολλὰ τῆς ἱστορίας, ὡς ἂν μὴ πολὺν ὄχλον ἐπάγοι τῇ ἀκοῇ, τὸ πάντα δι᾿ ἀ-
B κριβείας ἐθέλειν ἐκτίθεσθαι, ὅσα τε ἐπὶ Μωϋσέως ὁ λόγος κατέχει, καὶ ἐν οἷς ἐγένετο τῷ διδασκάλῳ ἡ πρὸς τὸν νομοθέτην ὁμοίωσις. κατέλιπεν τὴν Αἴγυπτον μετὰ τὸν θάνατον τοῦ Αἰγυπτίου ὁ Μωσῆς, καὶ πολὺν ἐν τῷ μέσῳ διῆγε χρόνον ἀφ᾿ ἑαυτοῦ ἰδιάζων. κατέλιπεν καὶ οὗτος τοὺς ἐν ἄστει θορύβους, καὶ τὰς ὑλικὰς ταύτας περιηχήσεις, καὶ ἦν ἐπὶ τῆς ἐρημίας προσφιλοσοφῶν τῷ Θεῷ. κατελάμφθη τῷ φωτὶ διὰ τῆς βάτου ἐκεῖνος. ἔχομέν τι συγγενὲς τῆς ὀπτασίας ταύτης καὶ ἐπὶ τούτου εἰπεῖν. ὅτι νυ-
C κτὸς οὔσης, γίνεται αὐτῷ φωτὸς ἔλλαμψις κατὰ τὸν οἶκον προσευχομένῳ. ἄϋλον δέ τι τὸ φῶς ἦν ἐκεῖνο, θείᾳ δυνάμει καταφωτίζον τὸ οἴκημα, ὑπ᾿ οὐδενὸς πράγματος ὑλικοῦ ἐξαπτόμενον. σώζει τὸν λαὸν ὁ Μωσῆς ἐκ τοῦ τυράννου ῥυσάμενος, μαρτυρεῖ τὰ ἴσα τοῦ καθ᾿ ἡμᾶς νομοθέτου ὁ λαὸς οὗτος, οὓς διὰ τῆς ἱερωσύνης πρὸς τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καθηγήσατο. καὶ τί χρὴ τὰ καθ᾿ ἕκαστον λέγειν, ὅσους διήγαγε καὶ οὗτος διὰ τοῦ ὕδατος; ὅσοις διὰ
D τοῦ λόγου τὸν στύλον τοῦ πυρὸς ἐδᾳδούχησεν; ὅσους τῇ τοῦ πνεύματος νεφέλῃ διέσωσε; ὅσους ἔθρεψε τῇ οὐρανίᾳ τροφῇ; ὅπως ἐμιμεῖτο τὴν πέτραν ἥ ποτε τῷ ξύλῳ ἀνεστομώθη τὸ ὕδωρ, τουτέστιν, ἥν ποτε ὁ τοῦ σταυροῦ τύπος τοῦ στόματος ἥψατο; ὅπως ἐπότιζε τοὺς διψῶντας τοῦ ὕδατος ἐκείνου, τῷ πλήθει τῆς ἐπιρροῆς τὰς ἀβύσσους μιμούμενος; οἵαν μαρτυρίου σκηνὴν, τὴν σωματικῶς μὲν ἐν τῷ προαστείῳ κατεσκεύασεν, τοὺς πτωχοὺς τῷ σώματι, πτωχοὺς τῷ πνεύματι διὰ τῆς ἀγαθῆς διδασκαλίας εἶναι ποιήσας, ὥστε αὖθις γενέσθαι μακαριστὴν τὴν πτωχείαν τῆς ἀληθινῆς βασιλείας προξενοῦσαν τὴν χάριν; σκηνὴν δὲ ἀληθῆ πρὸς τὸ τοῦ Θεοῦ

A que ſuum officiũ faciat (vniuſcuiuſque enim caro concupiſcit aduerſus ſpiritũ) ne hic quidem expers prælij erat, quo ratio puraab Ægyptia ratione petebatur: ſed opem ferens meliori, mortuã faciebat eam, quæ aduerſus Hebræam haud rectè inſurgebat. Hebræa autẽ ratio, expurgata eſt & incontaminata. Nam qui per mortificationẽ membrorum terrenorum animæ auxiliũ fert, excellentem fortitudinem atq; virtutẽ Moyſis, quam aduerſus Ægyptium præſtitit, imitatur. Pręterire autem magnã partem hiſtorię conuenit, ne ſi quis omnia plenè atque
B exactè velit exponere, quæ & de Moyſe ſcriptura cõtinet, & in quibus Magiſtri fuit cum Moyſe ſimilitudo, magnã auditoribus afferat moleſtiam. Reliquit Ægyptũ Moyſes poſt necem Ægyptij, multóq; interiecto tẽpore ſeorſum per ſe priuatus degebat. Reliquit etiam hic vrbanos tumult⁹, & materiales iſtos ſtrepitus vndiq; circumſonantes, & erat in ſolitudine diuinę philoſophiæ addictus. Lumen illi per rubum alluxit. Habemus aliquid huic viſioni cognatũ etiã in hoc, quod dicamus. Nam cùm nox eſſet, ac-
C cidit ei illuſtratio atq; affulgentia luminis domi oranti. Expers autem materiæ quoddam lumen erat illud, diuina virtute domicilium illuminans, à nulla rẽ materiali accenſum. Seruat populum Moyſes à tyranno liberatũ. Paria de noſtro legiſlatore teſtatur hic populus, quẽ per ſacerdotiũ duxit ad Dei promiſſionem. Et quid opus eſt omnia ſingulatim exponere, quà multos etiã hic per aquã traduxerit? quàm multis per ſermonem columnã ignis prætulerit? quàm multos
D nube ſpiritus cõſeruauerit? quã multos cœleſti cibo aluerit? quomodo imitaretur petrã, in qua quondã ligno aquæ os & vena aperta eſt, hoc eſt, cuius quondam os crucis figura tetigit? quẽadmodum ſitientes aqua illa potaret, magnitudine abundãtiæ imitãs abyſſos? qualẽ tabernaculum teſtimonij, & quidẽ corporaliter in ſuburbio fabricatus ſit, pauperes corpore, pauperes ſpiritu vt eſſent, per bonam doctrinam efficiens, adeò vt eorum egeſtas ob beatitudinẽ memorabilis exiſteret, vtporè veri regni donum gratiamque concilians? Tabernaculum autem verum, in quo Deus inhabitaret,

Exod. 2.

Exod. 3.

A vniuſcuiuſque animam ſermone efficiebat, etiam columnas quaſdã extruẽs in eo: (cogitationes & rationes dico columnas, quæ laboribus oppreſſam virtutem ſuffulciant atque ſuſtentent) atque etiam pelues (conficiens) ad eluendum animę pollutiones & inquinamenta, quibus aqua ex oculis emanante lituræ & maculæ abſtergerentur. Quàm multa candelabra in vniuſcuiuſque anima imponebat, ſermone illuminans occulta? quales rationum acerras & thuribula efficiebat? quales extruebat ex puro auro, & in quo fraus adhibita non eſſet, hoc eſt, ex vera & pura affectione, vbi graue vanæ gloriæ plumbũ nequaquam eorum, quæ fierent, ſplendorem
B obſcuraret? Quid opus eſt cõmemorare myſticam arcam, qualem vnicuique fabricatus ſit, tabulas teſtamenti diuino digito inſcriptas animæ imponens? Hæc autem dico illò reſpiciens, quòd vniuſcuiuſque cor arcam efficiebat, quæ ſpiritualia myſteria comprehẽdere poſſet, continens legem ſcriptam, quæ ſpiritus operatione per opera deſcriberetur. Id enim per digitum Dei ſignificatur: in qua arca etiam ſacerdotij virga ſuo ſemper fructu effloreſcebat per participationẽ ſanctificationum germinans & repullulans: & vrna à manna nunquam vacua fiebat.
C Tunc enim animæ vas à cœleſti cibo vacuũ fit, cùm peccatum ſe inſinuans influẽtiam mannæ prohibuerit. Manna autẽ panis cœleſtis eſt. Quid opus eſt cõmemorare quo pacto ſacerdotali ſtola cùm ipſe exquiſitè & cautè ſe circumdaret, tum cæteros ſuo exemplo exornaret, ſemper ferens in pectore illum ornatum, cui nomen eſt & oraculum, & decretum, & veritas: quæ omnia relinquo diligentioribus & magis induſtriis, vt ea per tropicam & allegoricam ſignificationem præceptori accommo-
D dent: per quæ cum ipſe talis erat, cùm cum aliis ornatum eum communicabat. Sępenumerò animaduertimus eum etiam intra caliginem verſari, vbi Deus erat. Nam quod alij cernere atque contemplari non poterant, id illi doctrina ſpiritus qua in ſacris inſtitutus erat, cõprehenſibile efficiebat: adeò, vt intra amplexum caliginis eſſe videretur, in qua ſermo de Deo occultatur. Sæpenumerò ſe oppoſuit Amalechitis pro ſcuto vſus oratione. Quo manus tollente verus Ieſus hoſtes deuincebat. Multorum

κατοίκησιν τὴν ἑκάστου ψυχὴν ἐδημιούργει τῷ λόγῳ, καὶ στύλους τινὰς ἐν αὐτῇ κατασκευάζων· λογισμοὺς λέγω τοὺς στύλους τοὺς τὸ ἐπίπονον τῆς ἀρετῆς ὑπερείδοντας, καὶ λουτῆρας ὡσαύτως πρὸς τὸ ἐκπλύνειν τῆς ψυχῆς τὰ μιάσματα, τῷ ἐκ τῶν ὀφθαλμῶν ὕδατι τὸν μολυσμὸν ἀποκλύζοντας. ὅσας λυχνίας ἐνετίθει τῇ ἑκάστου ψυχῇ, καταφωτίζων τῷ λόγῳ τὰ κρύφια, οἷα τὰ τῶν προσευχῶν θυμιατήρια τε καὶ θυσιαστήρια κατεσκεύασεν, ἐκ καθαροῦ καὶ ἀδόλου χρυσίου, τουτέστιν ἐξ ἀληθινῆς τε καὶ καθαρᾶς διαθέσεως, οὗ μηδὲν ὁ βαρὺς τῆς κενοδοξίας μόλυβδος τὴν λαμπηδόνα τῶν γινομένων ἠμαύρωσε; τί δεῖ λέγειν τὴν μυστικὴν κιβωτὸν, οἵαν ἑκάστῳ ἐτεκτήνατο, τὰς πλάκας τῆς διαθήκης, τὰς τῷ θείῳ δακτύλῳ ἐγγεγραμμένας ἐνθεὶς τῇ ψυχῇ; λέγω δὲ ταῦτα πρὸς ἐκεῖνο βλέπων, ὅτι τὴν ἑκάστου καρδίαν ἐποίει κιβωτὸν, χωρητικὴν τῶν πνευματικῶν μυστηρίων, γραπτὸν ἔχουσαν τὸν νόμον διὰ τῶν ἔργων καταγραφόμενον τῇ ἐνεργείᾳ τοῦ πνεύματος. οὕτω γὰρ ὁ δάκτυλος τοῦ Θεοῦ ἑρμηνεύεται, ἐν ᾗ καὶ τῆς ἱερωσύνης ἡ ῥάβδος ἀεὶ τὸν ἴδιον καρπὸν ἐξήνθει, διὰ τῆς μετουσίας τῶν ἁγιασμάτων ἀναβλαστάνουσα· καὶ ἡ στάμνος οὐκ ἐκενοῦτο τοῦ μάννα. τότε γὰρ κενὸν γίνεται τῆς ψυχῆς τὸ ἀγγεῖον τῆς οὐρανίας τροφῆς, ὅταν ἁμαρτία παρεμπεσοῦσα τὴν ἐπιῤῥοὴν τοῦ μάννα κωλύσῃ. μάννα δέ ἐστιν ἄρτος οὐράνιος. τί χρὴ λέγειν ὅπως δι' ἀκριβείας τὴν ἱερατικὴν στολὴν αὐτός τε περιετίθετο, καὶ κατεκόσμει τοὺς ἄλλους τῷ καθ' ἑαυτὸν ὑποδείγματι, ἀεὶ φέρων τὸν ἐπὶ τοῦ στήθους κόσμον, ᾧ ὄνομα λογεῖόν τε, καὶ δήλωσις, καὶ ἀλήθεια· ἃ πάντα παρίημι τοῖς φιλοπονωτέροις κατὰ τὴν τροπικὴν σημασίαν ἐφαρμόζειν τῷ διδασκάλῳ· δι' ὧν αὐτός τε τοιοῦτος ἦν, καὶ τοῖς ἄλλοις ἐκοινώνει τοῦ κόσμου. πολλάκις ἔγνωμεν αὐτὸν καὶ ἐντὸς τοῦ γνόφου γινόμενον, οὗ ἦν ὁ Θεός. τὸ γὰρ τοῖς ἄλλοις ἀθεώρητον, ἐκείνῳ ληπτὸν ἐποίει ἡ μυσταγωγία τοῦ πνεύματος, ὡς δοκεῖν ἐντὸς τῆς περιοχῆς εἶναι τοῦ γνόφου, ᾧ ὁ περὶ τοῦ Θεοῦ λόγος ἐναποκρύπτεται. πολλάκις ἀντέστησεν ἑαυτὸν τοῖς Ἀμαληκίταις, ὅπλῳ χρησάμενος τῇ προσευχῇ· οὗ τὰς χεῖρας ἐπαίροντος, ὁ ἀληθινὸς Ἰησοῦς κατηγωνίζετο τοὺς πολεμίους. πολλοὺς

κατὰ τὸν Βαλαὰμ ἐκείνου γοήτων τὰς μαγγανείας διέλυσεν· οἱ οὐχὶ τοῦ ἀληθινοῦ λόγου ἀκούοντες, ἀλλὰ τῇ ὀνώδει διδασκαλίᾳ τῶν δαιμόνων πειθόμενοι, ἀνενέργητοι εἶχον εἰς κακίαν τὸ στόμα, τῆς τοῦ διδασκάλου εὐχῆς εἰς εὐλογίαν τὴν κατάραν μεταθείσης. ταῦτα δὲ παρ' ἡμῶν λέγεται δι' ἐπιδρομῆς τε καὶ συντομίας· ἐφαρμόσει δὲ τῇ ἀληθείᾳ τῶν γεγονότων τὰ καθ' ἕκαστον, ὁ μὴ ἀγνοῶν τοῦ ἁγίου τὸν βίον, ὅσοι διὰ φαρμακείας τε καὶ γοητείας ἐπιβουλὰς κατά τινων συσκευάσαντες, ἄπρακτον ἔσχον τὴν πονηρίαν, μὴ συγχωρηθέντες ὑπὸ τῆς τοῦ διδασκάλου πίστεως προαγαγεῖν τὸ κακὸν εἰς τελείωσιν. ἀλλὰ πάντα τὰ διὰ μέσου καταλιπών, τοῦ τέλους ἀμφοτέρων ἐπιμνησθήσομαι. ἀφῆκε μὲν τὸν βίον ἑκάτερος· μνημόσυνον δὲ τῆς ἰδίας περὶ τὴν σάρκα σχέσεως, οὐδέτερος αὐτῶν τῷ βίῳ κατέλιπεν. οὔτε γὰρ Μωϋσέως τάφος εὑρίσκεται, οὔτε οὗτος περιουσίᾳ τινὶ ὑλικῇ ὑπεχώσθη· ἀλλ' ὁμοῦ τε παρῆλθε τὸν βίον, καὶ συμπαρῆλθεν αὐτῷ πάντα, δι' ὧν ὁ βίος τῶν ἀνθρώπων ἔχει τὴν σύστασιν, ὡς μηδὲν εὑρεθῆναι τοῦ ἀνδρὸς ὑλικὸν μνημεῖον ἐκ τῆς τῶν ὑπολειφθέντων περιουσίας καταχωννύον αὐτοῦ τὴν πρὸς τὸ κρεῖττον ὑπόληψιν. ὥσπερ ἐπὶ τοῦ Μωσέως ἡ ἱστορία λέγουσα τοῦτο, ὅτι οὐχ εὑρέθη αὐτοῦ τάφος ἕως τῆς σήμερον ἡμέρας. εἰ οὖν τοιοῦτος ἀπὸ τοῦ λόγου ἡμῖν ἀναδέδεικται ὁ μέγας Βασίλειος, ὥστε μὴ πόῤῥω τῶν ἁγίων εἶναι αὐτὸν διὰ τοῦ βίου πρὸς ἕκαστον τῶν μεγάλων παρατιθέμενον, καλῶς ἡμῖν ἡ ἀκολουθία τῆς ἑορτῆς ἐπὶ τοῦ νῦν ἀγ νιῶ τὴν ἐνεστῶσαν πανήγυριν. ἀλλὰ μὴν διὰ τῶν κεχαρισμένων ἐκείνῳ προσαγαγεῖν πρέπον ἂν εἴη τὴν μνήμην. οὐκοῦν σκεπτέον ὅπως διαθέντες τὴν ἑορτήν, κεχαρισμένως τῷ ἁγίῳ πανηγυρίσομεν. ἆρά τις ἐπιζητήσει τὸν ἐπιδεικτικὸν ἐπ' αὐτοῦ καὶ κομπώδη τῶν ἐγκωμίων τρόπον; πατρίδα καὶ γένος, καὶ τὴν ἐκ γονέων ἀνατροφήν, καὶ τὰ καθ' ἕκαστον τοῦ βίου ἐπιτηδεύματα, οἷς συνηυξήθη τε καὶ συνήκμασεν, καὶ δι' ὧν τὸ περιφανές τε καὶ περίβλεπτον ἔσχεν ἐν ἀνδράσι γενόμενος. ἀλλὰ παραιτεῖται πᾶσαν τὴν κομπώδη ταύτην ὑψηγορίαν τὸ μέγεθος τῶν περὶ αὐτὸν θαυμαζομένων καλῶν, ὅτι πρὸς τοὐναντίον ἐκβαίνει τὸ σπουδαζόμενον, τὸ μὴ εἶναι δύναμιν ἐν λόγοις τοιαύτην, ἥτις τοῦ μεγέθους τῶν θαυμάτων πρὸς ἀξίαν ἐφάψεται.

A præſtigiatorum & incantatorū Balaam illius ſimiliū impoſturas diſcuſſit atque irritas fecit: qui verò ſermoni non obedientes, ſed aſininæ dæmonū doctrinæ obtemperātes erant, inefficax ad malitiā os habebant, magiſtri precibus maledictionē conuertentibus in benedictionē. Cæterùm hæc à nobis per tranſcurſum & cōpendium dicūtur: quæ ſingulatim quicumq; vitam ſancti non ignorat, accōmodabit ad rerū geſtarum veritatem, quam multi qui veneficiis & incātationibus aduerſus quoſdam inſidias inſtruxiſſent, B inefficacem improbitatem habuerunt, cùm non liceret eis per fidem præceptoris malum producere ad effectum. Sed relictis omnibus, quæ medio tempore acta ſunt, de fine vtriuſq; commemorabo. Reliquit quidē vterque ſæculum: monumentū verò ſui circa carnem habitus neuter eorum ſæculo reliquit. Neque enim Moyſis ſepulchrum extat, neque hic copia quandam materiali humatus eſt: ſed ſimul & vitam tranſiit, & omnia, quibus hominū vita conſeruatur, vnà dilapſa ſunt: adeò vt nullū extet materiale viri monumētum C ex copia relictarū facultatum extructū, quo exiſtimatio eius ad ſpeciem auguſtiorē obruta teneatur: quemadmodum hiſtoria de Moyſe hoc dicit, quòd non inuentum ſit eius ſepulchrum vſque in hodiernū diem. Si igitur talis oratione à nobis demonſtratus eſt eſſe Baſilius Magnus, qui ſi cum vnoquoq; magnatium inter viros ſanctos vita eius cōparetur, non procul ab illis abfuturus ſit: rectè à nobis feriarum viciſſitudine propter hunc præſens nunc agitur conuentus. Proinde conueniens & cōmodum fuerit memoriam viri per res illi gratas D concelebrare. Itaque diſpiciendum & conſiderandum eſt, qua ratione feſtum hunc diē conſtituentes ita conuentum agamus, vt ſancto cordi eſt. An aliquis demonſtratiuū in eo dicendi genus atq; inflatū laudationū morē requiret? quæ patria fuerit? quo genere ortus? quomodo à parentibus educatus? quæ ſingulatim vitæ ſtudia fuerint? quibus cū ſimul & creuerit & viguerit, & inter viros clarus, ſpectabilis & illuſtris euaſerit? At magnitudo bonorū quę circa eū ſpectātur, omne hoc inflatū & ſublime genus dicēdi repudiat & auerſatur, quia negociū in cōtrariū redigitur, eò quòd nō ſit eiuſmodi vis in verbis, quæ miraculorū magnitudinē pro dignitate aſſequatur.

Ne igitur vnà cum orationis exilitate miraculum deprimatur & extenuetur, eiuſq; quam nunc vnuſquiſq; de eo conceptam habet opinionẽ, per eos qui laudare conati fuerint, aliqua diminutio fiat: cõmodius fuerit ſilentio potius in nobis augere miraculũ, quàm oratione laudẽ imminuere atq; extenuare. Quali enim oratione quis eum auguſtiorem effecerit? An ille eam, quæ per carnẽ & ſanguinem (contingere) dicitur nobilitatem ac generis claritudinem approbauerit? Et quis ignorat magni illius erga carnem affectionem, quàm ei aduerſus eſſet, tanquam mancipio cuidam fugitiuo ſemper vincula rationũ inijciens, ac per ſummã afflictionem atque continentiam flagellans & torquens verberonem illum ſeruum corpus, quaſi quidam inexorabilis dominus nullã vincto relaxationẽ indulgens. Eum igitur, qui ita affectus eſſet erga carnem, propter corporale beneficiũ celebrare & verbis extollere, res abſurdiſſima fuerit. Nam quî nunc ab ea re honorabitur, cuius eum in vita pudebat? Atq; ſimiliter vnà cum quæſtione generis, patriæ quoque mentio eijcitur & repudiatur. quî enim ſe ſupra omnem mundum poſuerat, & quaſi coarctabatur in omni ſenſibili elementorũ natura, adeò, vt ne cœlum quidem ſupra ſe poſitum ferret, ſed ad vlteriora anima contenderet, & ſenſibilem mundi ſuperans amplexum, ſemper in iis, quæ cogitatione ac mente comprehenduntur, inambularet, & occupatus eſſet, atq; vnà cum diuinis virtutibus in ſublimi verſaretur, & nihil impedimẽti corporalis onere ad mentis iter impediretur: quãdo ſuſtineat ſe à parte aliqua terræ cognominare, & per loci fœlicitatem atque cõmoditatem ſibi laudes corrogare? Contumelia enim fuerit & verarum laudum imminutio, ſi virtute ad conſiderandũ propoſita, aqua, frondes, & flores, & glebæ, atque huiuſmodi res admirationi ſint, cum alioqui quicquid liberæ voluntatis bonũ non eſt, etiamſi quàm maximè pulchrum, commodum & egregium ſit, nullam famę & nominis commendationem afferat illi, cui ſimul contigerit. Proinde ſilentio prætereatur patria ac genus, & quicquid eiuſmodi eſt, vt fortuita concurſione & caſu quibuſuis contingat. Illius autem merito quis in eo patriæ atque nobilitatis mentionẽ fecerit, quæ liberæ voluntatis arbitrio iis, qui eam expetiuerint, contingit.

A ὡς ἂν οὖν μὴ τῇ μικροφυΐᾳ τοῦ λόγου συγκαθαιρεθείη τὸ θαῦμα, καὶ τὸ ἐν ἑκάστῳ νῦν περὶ αὐτοῦ δόξης γένοιτό τις διὰ τῶν ἐπαινεῖν ἐπιχειρούντων ἐλάττωσις, κρεῖττον ἂν εἴη τῇ σιωπῇ μᾶλλον αὔξειν ἐν ἑαυτοῖς τὸ θαῦμα, ἢ διὰ τοῦ λόγου κατασμικρύνειν τὸν ἔπαινον. τί γὰρ ἄν τις τοιοῦτον εἰπὼν, σεμνότερον αὐτὸν ἀπεργάσαιτο; ἆρα δέξαιτ᾽ ἂν ἐκεῖνος τὴν διὰ σαρκός τε καὶ αἵματος λεγομένην εὐγένειαν; καὶ τίς οὐκ οἶδεν τοῦ μεγάλου τὴν περὶ τὴν σάρκα διάθεσιν, ὡς ἐναντίως πρὸς αὐτὴν εἶχεν; καθάπερ B ἀνδράποδόν τι δραπετικὸν ἀεὶ τοῖς ἐκ τῶν λογισμῶν δεσμοῖς περιβάλλων, καὶ διὰ τῆς ἀκροτάτης κακοπαθείας τε καὶ ἐγκρατείας, μαστίζων τε καὶ στρεβλῶν τὸν μαστιγίαν ἐκεῖνον δοῦλον τὸ σῶμα, οἷά τις ἀπαραίτητος δεσπότης, οὐδεμίαν ἄνεσιν ἐνδιδοὺς τῷ δεσμώτῃ. τὸν οὖν οὕτως ἔχοντα περὶ τὴν σάρκα, διὰ τῆς σωματικῆς εὐεργεσίας ἀποσεμνύνειν, τῶν ἀλογωτάτων ἂν εἴη. πῶς γὰρ ὑπὸ τούτου νῦν τιμηθήσεται, ᾧ παρὰ τὴν ζωὴν ἐπῃσχύνετο; ὁμοίως δὲ καὶ τῆς πατρίδος ἡ μνήμη, τῷ περὶ τοῦ γέ-C νους συνεκβάλλεται λόγῳ. ὁ γὰρ πάντως ὑπερθεὶς ἑαυτὸν τοῦ κόσμου, καὶ οἷον στενοχωρούμενος, ἐν πάσῃ τῇ αἰσθητῇ τῶν στοιχείων φύσει· ὡς μηδὲ τὸν οὐρανὸν φέρειν ἑαυτοῦ ὑπερκείμενον. ἀλλ᾽ εἰς τὸ ἐπέκεινα ἵεσθαι τῇ ψυχῇ. καὶ ὑπερκύπτοντα τὴν αἰσθητὴν τοῦ κόσμου περιοχὴν ἀεὶ τοῖς νοητοῖς ἐμβατεύειν, καὶ συμμετεωροπορεῖν ταῖς θείαις δυνάμεσι, μηδὲν τῷ σωματικῷ ἐφολκίῳ πρὸς τὴν τοῦ νοῦ πορείαν ἐμποδιζόμενος· πότ᾽ ἂν δέξαιτο μέρει τινὶ τῆς γῆς ἑαυτὸν ἐπονομάζειν, καὶ διὰ τῆς τοῦ τόπου εὐφυΐας ἑαυτῷ τοὺς ἐ-D παίνους συνερανίζεσθαι; ὕβρις γὰρ ἂν εἴη καὶ τῶν ἀληθινῶν ἐπαίνων ἐλάττωσις, εἰ τῆς ἀρετῆς προκειμένης τῇ θεωρίᾳ, ὕδωρ, καὶ φύλλα, καὶ βῶλος, καὶ τὰ τοιαῦτα θαυμάζοιτο, ἄλλως τε πᾶν ὃ μὴ προαιρέσεως γίνεται κτῆμα, κἂν ὅτι μάλιστα καλὸν ᾖ, οὐδεμίαν εὐφημίαν ἐκείνῳ φέρει, ᾧ κατὰ τὸ αὐτόματον συνηνέχθη. οὐκοῦν σιωπάσθω πατρὶς καὶ γένος, καὶ πᾶν τὸ τοιοῦτον, ὃ τῇ αὐτομάτῳ συντυχίᾳ τοῖς ἐπιτυχοῦσι συμφέρεται. ἐκείνης δ᾽ ἄν τις εἰκότως ἐπ᾽ αὐτοῦ μνησθείη πατρίδος τε καὶ εὐγενείας, ἣ διὰ προαιρέσεως τοῖς ἐσπουδακόσι προσγίνεται.

τίς οὖν ἡ Βασιλείου εὐγένεια; καὶ τίς ἡ πατρίς; γένος μὲν αὐτῷ ἡ πρὸς τὸ θεῖον οἰκείωσις· πατρὶς δὲ, ἡ ἀρετή. ὁ γὰρ τὸν Θεὸν δεξάμενος, καθώς φησι τὸ εὐαγγέλιον, ἐξουσίαν ἔχει τέκνον Θεοῦ γενέσθαι. τί δὲ τῆς πρὸς Θεὸν συγγενείας εὐγενέστερον ἄν τις ἐπιζητήσειεν; ὁ δὲ ἐν τῇ ἀρετῇ ὢν, καὶ ταύτην γεωργῶν, καὶ ἐκ ταύτης προσοδευόμενος, πατρίδα πάντως ἑαυτοῦ ποιεῖται τοῦτο ᾧ ἐμβιοτεύει. σωφροσύνη ἦν αὐτῷ τὸ ἐφέστιον· σοφία τὸ κτῆμα· δικαιοσύνη δὲ καὶ ἀλήθεια καὶ καθαρότης, τὰ λαμπρὰ καὶ περίβλεπτα τῶν οἰκοδομημάτων κάλλη· οἷς ἐνδιαιτώμενος ἐπηγάλλετο πλέον, ἢ ὅσον οἱ τοῖς μαρμαρίνοις τε καὶ χρυσοπάστοις οἴκοις ἐναβρυνόμενοι. εἴ τις ἀπὸ τοιαύτης αὐτὸν ἐγκωμιάζοι πατρίδος, καὶ ἀπὸ τοιούτου σημαινοι γένους, ἀληθῆ τε λέξει, καὶ ἀπὸ τῶν κεχαρισμένων αὐτῷ τοὺς ἐπαίνους ποιήσεται· γῆν δὲ, καὶ αἷμα, καὶ σάρκα, καὶ πλοῦτον, καὶ δυναστείας, καὶ τὰς ἐν τούτοις περιφανείας, προσμαρτυρείτωσαν οἱ βουλόμενοι τοῖς τοῦ κόσμου φίλοις. εἰ οὖν ἀχώρητον τῷ ἡμετέρῳ λόγῳ τὸ ἁρμόζον ἐκείνῳ ἐγκώμιον, παραιτητέον ἂν εἴη τὰς τοιαύτας σπουδὰς, καὶ παραγράφεσθαι τῶν ἐγκωμίων τὰς τέχνας. πῶς οὖν τὴν ἐπ' αὐτῷ μνήμην ἀγάγωμεν· ἴσως ἐρεῖ τις· εἰ μὴ μετ' ἐγκωμίων τοῦτο ποιήσομεν; πῶς ὁ νόμος τῆς γραφῆς πληρωθήσεται, ὅς φησι, τὴν μνήμην τῶν δικαίων μετ' ἐγκωμίων δεῖ γενέσθαι, εἰ τὸ μὲν διὰ τῶν ἀληθῶν ἐπαίνων τὸν λόγον προσάγειν ἐστὶν ἀμήχανον, τὸ δὲ διὰ τῶν κοινοτέρων ἐφύβριστον; ἀλλ' ἔστιν ἴσως οὐκ ἀπορῆσαί τινος ἐπινοίας, ὡς μὴ πάντη τῶν ἡμετέρων αὐτὸν ἐπαίνων καταλειφθῆναι ἀγέραστον. τίς οὖν ἐστιν ἡ ἐπίνοια; τίς οὐκ οἶδεν, ὅτι πᾶς λόγος τῶν ἔργων διεζευγμένος, μάταιος καθ' ἑαυτὸν καὶ ἀνυπόστατος; ἡ δὲ τῶν ἔργων φύσις ἐν ὑποστάσει καὶ ἀληθείᾳ τὸ λεγόμενον δείκνυσιν. οὐκοῦν προτιμότερος ἂν εἴη τοῦ λόγου, ὁ διὰ τῶν ἔργων πληρούμενος ἔπαινος. τοῦτο δέ ἐστι τί; τὸ διὰ τῆς μνήμης ἐκείνου τὸν βίον ἡμῶν γενέσθαι τῆς συνηθείας βελτίονα. καθάπερ γὰρ ἐπὶ δακτυλίου σφενδόνης, καλλίστης τινὸς ἐν γλυφίδι προφαινομένης μορφῆς, ὁ ἐντυπωθεὶς τῇ σφραγῖδι κηρὸς εἰς ἑαυτὸν τὸ ἐγκείμενον τῇ γλυφίδι κάλλος μετήνεγκεν, ὅλον τὸν χαρακτῆρα τῆς σφραγῖδος ἰδίοις τύποις ἀναμαξάμενος·

A Quæ eſt igitur Baſilij nobilitas & claritudo generis? quę patria? Ac genus quidem illi familiaritas & neceſſitudo cum Deo: patria verò, virtus. Qui enim Deũ recepit, vt inquit Euangelium, poteſtatem habet, vt filius Dei fiat. Quid verò nobilius & generoſius cognatione cum Deo quis requirat? Qui autem virtute præditus eſt, & hanc colit, & ex hac ſibi reditus conficit, & quęſtũ facit, patriam ſuam prorſus efficit id in quo viuit. Sobrietas illi pro domicilio erat: ſapientia loco prædij: iuſtitia autem & veritas & puritas, pro ſplendidis, magnificis atque
B viſendis & conſpicuis ædificiorum ornamentis: in quibus habitans magis his delectabatur ac ſibi placebat, quàm qui marmoreis & auratis ædibus gloriantur. Si quis eum ob talem patriam laudet, & ob eiuſmodi genus oratione celebret atq; honeſtet, cum vera dicet, tum ob res ei gratas, laudes accommodabit: terram autem, & ſanguinem, & carnem, & diuitias, & principatus, & his rebus coniunctum ſplendorem & gloriam, mundi amicis, qui volent, adeſſe prædicent atque teſtētur. Si igitur con-
C uenientes illi laudũ celebrationes oratio noſtra capere non poteſt: eiuſmodi ſtudia recuſanda fuerint, & laudationũ artes reijciendæ. Quomodo igitur memoriam eius agemus, (aliquis fortaſſe dicet) ſi cum laudum celebrationibus id non fiet? qua ratione lex ſcripturæ implebitur, quæ dicit, Memoriã iuſtorum cum laudum celebrationibus agi oportere, ſi per veras quidē laudes ſermo accommodari non poteſt, communes autem ſine cõtumelia commemorari laudes non poſſunt? Sed fortaſſe ratio ali-
D qua non deerit, qua ille noſtrarum laudum honoris & præmij non penitus expers relinquatur. Quæ igitur eſt ratio? Quis ignorat, quòd omnis oratio ab operibus disiuncta vana per ſe ſit, & non ſubſiſtat? at natura operum in ſubſtãtia atque veritate id quod dicitur, oſtendit & repræſentat. Igitur oratione potior fuerit ea laus, quæ per opera præſtetur & repræſentetur. Hoc verò quid eſt? Vt per memoriam illius vita noſtra melior quàm eſſe ſolet, efficiatur. Quemadmodum enim cum in pala annuli optima quædã inſculpta forma apparet, ſigillo impreſſa cera inſitum ſculpturæ decorem in ſeſe transfert, totam ſignaculi effigiem ſuis expreſſam referens figuris:

A ac nemo benè diſpoſitũ & artificioſum ſculpturæ decorem oratione ita deſcriptum exhibere poſſit, vt is qui in cera offictam atque efformatam pulchritudinem oſtendit: eodem modo ſi alius quidem nuda oratione celebret virtutem magiſtri, alius verò ſuam ipſius vitã illius imitatione exornet, efficacior, quàm oratio ſublimis, fuerit ea laus, quæ per vitam repræſẽtetur. Sic igitur, fratres, etiã nos ſobrietate ſobrium imitantes factis noſtris, virtutẽ pro dignitate laudemus, & itidẽ in cæteris omnibus miraculum ſapientis participatione ſapiẽtiæ repræſentetur: B laus paupertatis, per hoc, vt etiã nos ſuperfluarum facultatũ materialiũ expertes ſimus: contemptus mundi huius, nõ modò dicatur quòd ſit laudabilis atque glorioſa quædã res: ſed earum rerum, quæ per mundum probantur & expetuntur, contemptionis ac deſpicientiæ teſtis ſit vita. Ne dicas ſolùm, quòd ille Deo dedicatus, & addictus eſſet, ſed tu quoq. te ipſum Deo dedica atque addic, ne quòd ſolùm ei bonum atque poſſeſſio eſſet, ea, quæ ſperatur, requies: ſed etiam ipſe cõgrega tibi has diuitias, quemadmodũ ille. Licet enim: C tranſtulit ille de terra vitę inſtitutum in cœlum; transfer item tu. In ſacroſanctis & à furum iniuria tutis cœli ærariis ſuas diuitias depoſuit: imitare per hæc etiam tu magiſtrum. Perfectus enim erit diſcipulus, ſi ſit ſicut magiſter eius. Etenim in reliquis quoque vitæ ſtudiis atque exercitiis, qui medici diſcipulus fuit, aut geometræ, aut rhetoris, indignus cui fides habeatur magiſtri artis laudator erit, ſi oratione quidem ſcientiam præceptoris admiretur; in ſeipſo verò nihil admiratione dignum oſtendat. Dicet enim aliquis ad eum: D quî dicis medicum tuum fuiſſe magiſtrum, cùm ipſe medicinæ ignarus ſis? aut quomodo te diſcipulum geometræ dicis, cùm geometriæ imperitus ſis? Verùm ſi quis in ſeipſo ſpecimen artis, quam didicerit, edat, ſua ſcientia artis præceptorem ornat atque honeſtat. Ita etiam nos, qui Baſilio magiſtro nos iactamus & gloriamur, vita diſciplinam oſtendamus: ad illud enitentes & euadẽtes, quod ipſum clarum & magnum Deo atque hominibus fecit, per Chriſtum Ieſum Dominum noſtrum: cui gloria & imperium in ſæcula ſæculorum, Amen.

A καὶ οὐκ ἂν τις οὕτω διὰ τοῦ λόγου τὴν εὐσχήμονα τῆς γλυφῆς ὥραν εἰς ὑπογραφὴν ἀγάγοι, ὡς ὁ ἐπὶ τοῦ κηροῦ δεικνύων μεμορφωμένον τὸ κάλλος· τὸν αὐτὸν τρόπον, εἰ ὁ μὲν λόγῳ ψιλῷ τοῦ διδασκάλου τὴν ἀρετὴν ἀποσεμνύνοι, ἕτερος δὲ τὸν ἑαυτοῦ βίον καλλωπίζοι, διὰ τῆς πρὸς ἐκεῖνον μιμήσεως ἐνεργότερος ἂν εἴη τοῦ ὑψηλοῦ λόγου, ὁ διὰ τοῦ βίου πληρούμενος ἔπαινος. οὕτως οὖν ἀδελφοὶ καὶ ἡμεῖς μιμησάμενοι τῇ σωφροσύνῃ τὸν σώφρονα, οἷς ποιοῦμεν, κατ᾽ ἀξίαν τὴν ἀρετὴν ἐπαινέσωμεν, καὶ B τὰ ἄλλα πάντα ὡσαύτως τὸ θαῦμα τοῦ σοφοῦ ἐν τῇ μετουσίᾳ τῆς σοφίας πληρούσθω· ὁ τῆς ἀκτημοσύνης ἔπαινος, ἐν τῷ καὶ ὑμᾶς γενέσθαι τῆς ὑλικῆς περιουσίας ἀκτήμονας· ἡ ὑπεροψία τοῦ κόσμου τούτου, μὴ λεγέσθω μόνον, ὅτι ἐστί τις ἐπαινετὴ καὶ ἐπίδοξος· ἀλλὰ μάρτυς τῆς ὑπεροψίας τῶν κατὰ τὸν κόσμον σπουδαζομένων ὁ βίος ἔστω. μὴ λέγε μόνον ὅτι τῷ Θεῷ ἐκεῖνος ἀνέκειτο, ἀλλὰ ἀνάθες καὶ σὺ σεαυτὸν τῷ Θεῷ. μηδ᾽ ὅτι μόνον ἦν αὐτοῦ κτῆμα ἡ ἐλπιζομένη ἀνάπαυσις, ἀλλὰ καὶ σὺ θησαύριζον σεαυτῷ C τοῦτον τὸν πλοῦτον ὥσπερ ἐκεῖνος· ἔξεστι γάρ· μετέθηκεν ἐκεῖνος ἀπὸ γῆς εἰς οὐρανὸν τὸ πολίτευμα, μετάθες καὶ σύ. τοῖς ἀσύλοις τοῦ οὐρανοῦ θησαυροφυλακείοις τὸν ἴδιον ἐναπέθετο πλοῦτον· μίμησαι διὰ τούτων καὶ σὺ τὸν διδάσκαλον. κατηρτισμένος γὰρ ἔσται μαθητὴς ὡς ὁ διδάσκαλος αὐτοῦ. καὶ γὰρ ἐν τοῖς λοιποῖς ἐπιτηδεύμασιν, ὁ ἰατρῷ μαθητεύσας, ἢ γεωμέτρῃ, ἢ ῥήτορι, ἀναξιόπιστος ἐπαινέτης τῆς τοῦ διδασκάλου τέχνης γενήσεται, εἰ τῷ μὲν λόγῳ θαυμάζοι τοῦ καθηγητοῦ τὴν ἐπιστήμην, ἐφ᾽ ἑαυτοῦ δὲ δεικνύοι μηδὲν τοῦ θαύματος ἄξιον. ἐρεῖ γάρ τις πρὸς D αὐτόν· πῶς λέγεις ἰατρὸν τὸν ἑαυτοῦ διδάσκαλον, αὐτὸς ἀνιάτρευτος ὤν; ἢ πῶς μαθητὴν σεαυτὸν τῷ γεωμέτρῃ λέγεις, ἀπείρως τῆς γεωμετρίας ἔχων; ἀλλ᾽ εἴ τις ἐν ἑαυτῷ δείκνυσι τὴν τέχνην ἣν ἐμαθήτευσεν, σεμνύνει τῇ καθ᾽ ἑαυτὸν ἐπιστήμῃ τὸν τῆς τέχνης καθηγησάμενον· οὕτως καὶ ἡμεῖς οἱ Βασίλειον αὐχοῦντες διδάσκαλον, τῷ βίῳ δείξωμεν τὴν μαθητείαν, ἐκεῖνο γινόμενοι, ὅπερ αὐτὸν ὀνομαστόν τε καὶ μέγαν Θεῷ καὶ ἀνθρώποις ἐποίησεν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΤΟΥ ΑΥΤΟΥ ΕΓΚΩΜΙΟΝ εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας.

ΛΟΓΟΣ Α'.

ΟΙΣ ἀνιᾶσθαι τοὺς πολλοὺς στοχάζομαι, τούτοις αὐτὸς ἀγάλλομαι τὴν διάνοιαν. ἀηδὲς γὰρ ὡς εἰκὸς τοῖς πολλοῖς, τὸ ἐν ἀλλήλοις συνθλίβεσθαι· B ἐμοὶ δὲ τοῦτο κεφάλαιον εὐφροσύνης ἐστίν. εὐφραίνεται γὰρ ὀφθαλμὸς ποιμένος τὸ ποίμνιον βλέπων ὑπὸ πλήθους στενοχωρούμενον, καὶ τῆς μάνδρας ὑπερχεόμενον. καίτοι γε οὐ μικρὰ τῶν προβάτων ἡ ἔπαυλις· ἀλλὰ στενὴν ποιεῖ τὴν εὐρυχωρίαν εὐθηνούμενον τῷ πλήθει τὸ ποίμνιον. τοιοῦτόν τι καὶ περὶ τὸν κύριον ὁ Πέτρος ἰδὼν ἀπεκρίνατο λέγων, ὅτι ἐπιστάτα οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσιν. οὕτως καθώς φησί που ὁ θεῖος ἀπόστολος, C τὸ θλίβεσθαι καὶ μὴ στενοχωρεῖσθαι τοῦτό ἐστιν. παντὶ γάρ, φησι, θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι. ἐγὼ δὲ τίνα προχειρίσομαι λόγον, ἐπὶ τοῦ τοιούτου συλλόγου; τίς δώσει μοι φωνὴν σάλπιγγος ὑψηλοτέραν, ὥστε ὑπερηχῆσαι τὸ πλῆθος, καὶ ταῖς ἀκοαῖς τῶν συνειλεγμένων ἐναποθέσθαι τὰ ῥήματα; πρὸς τί τῶν ἀνεγνωσμένων τρέψας ἐμαυτοῦ τὴν διάνοιαν, προσφορὸν ἐξεύρω τοῖς παροῦσι τὸν λόγον; πολὺς ὁ Ἰὼβ παιδεύων εἰς ἀνδρείαν τὸν βίον τοῖς καθ' ἑαυτὸν ὑποδείγμασι, πολὺς ὁ παροιμιαστὴς τοῖς αἰνίγμασι. τί δ' ἄν τις εἴποι περὶ τοῦ ἱεροῦ ἀποστόλου, ὃς D ἐκ τῶν ἀρρήτων ῥημάτων ἐκείνων ἃ ὑπὲρ τὴν ἀνθρωπίνην εἶναι φησι κατανόησιν, τάχα διὰ τῆς πρὸς Ἐφεσίους διδασκαλίας καὶ ἡμῖν ὑπαγγέλλησι τὸν ἀπόρρητον ἐν τῷ σταυρῷ λόγον, δι' αἰνιγμάτων ἀνακαλύπτων. τοιαῦτα δὲ ἕτερα καὶ τὰ ἐκ τῆς ψαλμῳδίας μυστήρια, ἀνάμνησις, καὶ στηλογραφία, καὶ ἐπιλήνιος. ταῦτα γὰρ ἐν ταῖς ἐπιγραφαῖς τῶν ὑπαναγνωσθέντων ἡμῖν ψαλμῶν κατανοήσαντες, οὐ μικρὰν ὁρῶμεν ἀφορμὴν τῷ λόγῳ διὰ τῶν αἰνι-

EIVSDEM ORATIO IN laudem Sanctorum quadraginta martyrum.

ORATIO I.

Eodem interprete.

QVAS res exiſtimo pleriſq; graues ac moleſtas eſſe, his ipſe animo lætor. Moleſtũ enim nimirum pleriſque eſt comprimi inter ſeſe & conſtipari. Hoc verò mihi ſummæ lætitiæ eſt. Lætatur enim oculus paſtoris, cùm gregem præ multitudine coarctari, & ouile ſuperfundi videt. Quanquã non exiguum ouium ſtabulum eſt: ſed laxitatem anguſtam effecit multitudine grex abundans. Huiuſmodi quid etiam circa Dominum Petrus conſpicatus reſpõdit his verbis, Præceptor, turbæ te cõprimunt & coarctant. Hoc planè eſt, vt alicubi inquit diuinus Apoſtolus, premi, & non in anguſtias redigi. Dum in omni re, inquit, vrgemini, & non in anguſtias redigimini. Ego verò quàm promam orationem in eiuſmodi conuentu? quis dabit mihi vocem tuba clariorem & magis ſonoram, vt reſonantia ſtrepitum multitudinis ſuperet, & in auribus congregatorum verba recondat? ad quidnam eorum, quæ (publicè) lecta ſunt, mente mea conuerſa rebus præſentibus conuenientem & accommodatum excogitabo ſermonem? Multùm valet Iob in inſtituenda vita ad fortitudinem ſuis exemplis, multus in ænigmatis & verborum inuolucris ſcriptorum Prouerbiorum. Quid item de ſacro Apoſtolo dixerit aliquis? qui ex arcanis illis verbis, quæ ſupra captum & intellectũ humanum eſſe ait, fortaſſe per doctrinam, qua inſtituit Epheſios, etiam nobis ſuggerit arcanum in cruce per ænigmata atque inuolucra verborum deteg ẽs ſermone. Huiuſmodi item alia pſalmodię quoque myſteria, recordatio, & tituli inſcriptio, & ad torcularia celebrata cantio. His enim in inſcriptionibus pſalmorum, qui nobis prælecti ſunt, animaduerſis, haud paruam videmus per ipſa ęnigmata atq; inuolucra verborũ materiem dari ora-

Eſt autem principium potius orationis: nam cùm tumultu ac ſtrepitu certatim cõfluentiũ & ſeſe conſtipantiũ in templo multitudinis exaudiri præterquã à proximè adſtãtibus nõ poſſet, in poſterũ diem rẽ diſtulit, & proxima oratione abſoluit.

Matth. 12.

2. Cor. 4.

tioni. Sed mihi quidem cōmodum videtur, vt explicationem eorū, quæ dicta ſunt, in alterum tempus reijciamus: cupio autem præſenti feſtiuitati conuenientem & accommodatam aliquam vocem excogitare. Quæ igitur eſt hæc? Noui quandā legem naturæ propriam, ipſis diuinis tabulis inſculptam à conditore legis naturę, quę iubet, vt omnibus bonis & officiis, quæcūque præſtari poſſint, beneficia parentum ſuorum quiſq; compenſet. Honora, inquit, patrē tuum & matrem tuam: quod eſt mandatum primum in promiſſionibus: vt tibi benè ſit. Quod ſi primū locum, quod attinet ad promiſſionē, obtinet hæc lex, & exequutio huius proprium lucrum ſeruantis eam exiſtit (honor enim parentibus habitus reuertitur ad eum, qui legē impleuerit) haud alienum fuerit, quemque cordatum quidem certè ad hanc legem, cuius finis beneficium & gratia eius qui eam exequutus fuerit, exiſtit, reſpicere, eamque obſeruare. Ac carnis quidem noſtræ parentes ætati ſuæ iuxta deſtinatum ſibi ab initio tēpus miniſterio præſtito, honoris noſtri debito officio non amplius opus habent, cùm iampridem exceſſerint è vita, adeò, vt non extantibus iis, qui beneficium accipiant, eiuſmodi lex impleri non poſſit. Lex verò iubet nos in opere verſantes conſequi promiſſionem. Neque eńim fieri poteſt, vt ceſſantes in opere verſantiū præmia obtineant. Quid igitur agere oportet, parentibus non extantibus, cum qui & promiſſionē aſſequi cupiat, & rationem excogitare non poſſit, qua ratione id quod expetit, obtineat? profectò ſoluūt nobis prorſus hanc perplexitatē ea quæ oculis expoſita ſunt. Vos enim cùm video, nullos alios opus habeo inquirere parentes. Vos enim eſtis patres mei, qui etiam ipſorum mihi patrum patres. Patria enim parentum, in ſe cōtinet etiam parentum dignitatem. Quo igitur facto legem honoris vobis implebimus? Gratus enim quilibet & pius filius ſenilem patris ætatem ſuis officiis recreans & refocillans, ſuſtentat atque confirmat vitium imbecillitatis, ipſe patri omnium vicem pręſtans. Vnde reiuueneſcentem in filio patrem videre licet. Ac nonnunquam etiam manus ſenilis ac tremula iuuentutis vigore ac robore ſe reficiens & refocillans, fructus ex viribus iuuenis

Exod. 20.

A γμάτων διδαχθέντων. ἀλλ' ἐμοὶ τὴν μὲν τοῖς εἰρημένοις ἐπεξελθεῖν, εἰς καιρὸν ἕτερον δοκεῖ δεύτερον ταμιεύσασθαι χρόνον· ἐπιθυμῶ δὲ τῆς παρούσης χάριτος προσφορόν τινα καὶ κατάλληλον ἐξευρεῖν τὴν φωνήν. τίς οὖν ἐστιν αὕτη; οἶδά τινα νόμον τῆς φύσεως ἴδιον, αὐταῖς ταῖς θείαις πλαξὶν ἐντετυπωμένον παρὰ τοῦ νομοθέτου τῆς φύσεως· ὃς πᾶσαν ἀγαθὴν ἀμοιβὴν τοῖς ἰδίοις γονεῦσιν ἐκτιννύναι κελεύει, ὅσην ἂν ἡ δύναμις φέρῃ. τίμα γάρ, φησι, τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις, ἵνα εὖ σοι γένηται. εἰ δὲ πρωτεύει κατ' ἐπαγγελίαν οὗτος ὁ νόμος, καὶ τὸ κατόρθωμα B τούτου ἴδιον κέρδος τοῦ φυλάσσοντος γίνεται· ἐπαναστρέφει γὰρ ἡ εἰς τοὺς γονέας τιμὴ εἰς τὸν πεπληρωκότα τὸν νόμον· καλῶς ἂν ἔχοι πάντα τόν γε νοῦν ἔχοντα πρὸς ταύτην βλέπειν τὴν ἐντολήν, ἧς τὸ πέρας εὐεργεσία καὶ χάρις τοῦ ποιήσαντος γίνεται. οἱ μὲν οὖν τῆς σαρκὸς ἡμῶν πατέρες, τῇ καθ' ἑαυτοὺς γενεᾷ κατὰ τὸν ἐξ ἀρχῆς αὐτοῖς ἀφορισθέντα χρόνον ὑπηρετήσαντες, ἀπροσδεεῖς εἰσὶ τῆς ἡμετέρας τιμῆς, ἔξω τοῦ βίου πάλαι γενόμενοι, ὡς μὴ δυνατὸν εἶναι τὸν τοιοῦτον πληρῶσαι νόμον, τῶν ὑποδεχομένων τὴν εὐποιΐαν οὐκ ὄντων· ὁ δὲ νόμος ἐνεργοῦντας C ἡμᾶς ἐπιτυγχάνειν τῆς ἐπαγγελίας κελεύει. οὐδὲ γὰρ δυνατὸν τοὺς ἀργοῦντας ἔχειν τῶν ἐνεργούντων τὰ ἔπαθλα. τί οὖν χρὴ πράττειν τῶν γονέων οὐκ ὄντων, τὸν καὶ τῆς ἐπαγγελίας ἐρῶντα, καὶ ὅπως ἂν τύχῃ τῆς σπουδῆς ταύτης ἀδυνατοῦντα; καὶ λύει πάντως τὴν ἀμηχανίαν ταύτην ἡμῖν τὰ ὁρώμενα. ὑμᾶς γὰρ βλέπων, οὐδὲν δέομαι πατέρας ἄλλους περιεργάζεσθαι. ὑμεῖς γὰρ ἐστέ μου πατέρες, οἱ καὶ αὐτῶν μοι τῶν πατέρων πατέρες. ἡ γὰρ πα- D τριὰ τῶν γεννησαμένων ἐν ἑαυτῇ περιέχει καὶ τὸ τῶν γεγεννηκότων ἀξίωμα. τί οὖν ποιήσαντες τὸν τῆς τιμῆς ὑμῖν νόμον ἀποπληρώσομεν; εὐγνώμων μὲν γάρ τις παῖς καὶ φιλόστοργος, τὸ γηραιὸν τῆς τοῦ πατρὸς ἡλικίας διὰ τῆς περὶ ἑαυτοῦ θεραπείας ἀνανεούμενος, ὑπερείδει τὸ σαθρὸν τῆς ἀσθενείας, αὐτὸς τῷ πατρὶ τὰ πάντα γενόμενος. ὅθεν ἐστὶν ἰδεῖν ἀνηβάσκοντα ἐν τῷ παιδὶ τὸν πατέρα. καί που καὶ χεὶρ πρεσβυτικὴ καὶ ὑπότρομος, τῷ σθεναρῷ τῆς νεότητος ἑαυτὴν ἀναπαύουσα, ἐκκαρποῦται τοῦ νέου τὴν δύ-

ναμιν, καὶ ἡ τῶν ποδῶν κίνησις ἤδη τῇ ῥικνότητι τῶν μελῶν ἐποκλάζουσα, ἐνεργὸς διὰ τῆς τοῦ τέκνου σπουδῆς γίνεται, ὑπορθουμένη τῷ ὑπερείδοντι. κἂν ἀμαυρωθῇ διὰ τὸν χρόνον ἡ ὄψις, πάλιν διὰ τοῦ παιδὸς ὁ πρεσβύτης ὀξυδερκὴς γίνεται, πρὸς τὰ τῆς ζωῆς ἀναγκαῖα χειραγωγούμενος. ὑμεῖς δὲ ἡ πατρὶς, οὐχ οὕτως ἔχετε, ὡς τούτων ἐπιδεῖσθαί τινος. τί οὖν πράττοντες τὴν εὐλογίαν τῆς ἐντολῆς καρπωσόμεθα; τί τῶν κεχαρισμένων ἡμῖν δωροφορήσομεν, μηδενὸς τῶν ἀγαθῶν ὑμῖν λείποντος; ἢ καὶ αὐτὸ τὸ διηγήσασθαι τὰ προσόντα καλὰ, τιμῆς ἂν εἴη τῆς χρεωστουμένης ὑμῖν; οὐκοῦν καιρὸς ἂν εἴη ταῦτα λέγειν, οἵοις τε καὶ ὅσοις ὁ ἡμέτερος βίος ἐγκαλλωπίζεται. μᾶλλον δὲ οὐχὶ λέγειν, ἀλλὰ καὶ δεικνύειν πάρεστιν. ἢ που δὲ οἴεσθε τὰ κοινὰ ταῦτα καὶ πρόχειρα λέγειν; γῆς εὐφορίαν, καὶ καρπῶν ἀφθονίαν, καὶ ποταμὸν διαιροῦντα τὴν οἴκησιν; τουτονὶ λέγω τὸν τῷ κύκλῳ τοῦ πεδίου τὸ ῥεῖθρον ἑαυτοῦ κατακλείοντα, καὶ λίμνην γινόμενον, ὃς καὶ πρὸ τοῦ λιμνάζειν καὶ μετὰ τοῦτο πρὸς τὴν ἑκάστου χρείαν τῶν ἐνοικούντων τεμνόμενος· ἄλση τε καὶ λειμῶνας φιλοτέχνως διεξέρχεται, καὶ μυρίας παρέχει τοῖς οἰκοῦσι τὰς χάριτας, πρὸς πᾶσαν ἐπιθυμίαν τῶν οἰκητόρων τῆς πόλεως ἑαυτὸν διασχίζων. ἄλλοι ταῦτα λεγέτωσαν, οἷς καὶ ὁ λόγος ὑπηρετεῖ πρὸς τὸν ὄγκον, καί τινα φέρει φιλοτιμίαν τοῖς γεγυμνασμένοις, ἐκ τῶν τοιούτων αὔξων τῇ πατρίδι τὸν ἔπαινον. κοσμικὸς δέ τις ἀνὴρ, καὶ τῇ ζωῇ ταύτῃ τὰ καλὰ κρίνειν εἰδὼς, προστιθέτω τοῖς ἐπαίνοις εἰ δοκεῖ, καὶ τὸν ἕτερον τῶν ποταμῶν. τοῦτον λέγω τὸν γείτονα, ὃς διὰ τὸ μέγεθος τοῖς ὀνομαστοῖς τῶν κατὰ τὴν οἰκουμένην ποταμῶν ἐναρίθμιος ὢν, ἀπὸ τῆς ἡμετέρας ἀρχόμενος ἐν χρόνῳ παραμείβει τὴν πόλιν, οὐ μικρὰν τὴν παρ' ἑαυτοῦ χάριν εἰς προσθήκην κάλλους τε καὶ τῆς συνεργίας τοῦ βίου δι' ἑαυτοῦ συνεισφέρων. κἂν οἰκιστὰς καταλέγειν δέῃ, κἂν ἐξ ἀποικίας τὰ γένη τῶν οἰκητόρων ἀποσεμνύνειν, κἄν τινα χρεὼς πολεμικῆς κατορθώματα τοῖς καθ' ἡμᾶς προσδιηγήμασι· τρόπαια, καὶ μάχαι, καὶ τὰ ἐξ ἀριστείας θαύματα, ὅσα συγγραφέων παῖδες βίβλοις ἐνεθήκαντο, πόρρω ταῦτα τοῦ ἡμετέρου χοροῦ. αἰσχύνεται γὰρ

A quodammodo capit, & motus pedum,
incuruatis iam membris labaſcens, filij
ſtudio ſuffulcientis ſubleuatus ſuā recipit
efficaciam & vigorem. Quòd ſi tempore
viſus obſcuratus ſit, per filiū ſenex,
dum manuducitur ad res vitæ neceſſarias,
viſus acumen recipit, & perſpicax
euadit. Vos autem, qui mihi pro patria
eſtis, nō ij eſtis qui aliqua harum rerum
indigeatis. Quid igitur faciendo benedictionis
mādati fructum percipiemus?
Quod donum vobis gratum offeremus,
cùm nullū bonum vobis deſit? An etiam
ipſa narratio bonorū, quæ vobis adſunt,
B pertineat ad debitum vobis honorem?
Proinde tempus fuerit cōmemorandi,
quot & qualibus bonis vita veſtra exornetur.
Imò verò non cōmemorare (modò)
verumetiam oſtendere licet. Nunquid
autem putatis hæc cōmunia, quæque
in promptu ſunt, dicenda eſſe? terrę
fertilitatem, & fructuum copiam & abundantiam?
item amnem, qui diuidit
ſedes veſtras? hunc dico, qui circulo atque
ambitu campi fluentū ſuum includit,
& lacus euadit: qui & antè & poſt
quàm reſtagnet, ad cuiuſque incolentium
C vſum diuiſus & nemora & prata
quaſi de induſtria efficiēs, curſum ſuum
peragit atque erumpit, innumeraq; habitantibus
munera præbet & amœnitates,
ad omnem cupiditatē & deſiderium
vrbis incolarū ſeſe diuidens & ſcindens.
Alij hęc commemorent, quorum etiam
oratio ad grauitatem & amplitudinem
accommodata eſt, atque exercitatis
quandam adfert opinionē magnificentiæ
atque ſplendoris, ab eiuſmodi rebus
patriæ laudem exaggerans & augens.
Mundanus autem aliquis vir, quiquè ad
hanc vitam accōmodatè bona iudicare
D nouit, laudibus, ſi videtur, adijciat etiā
alterum amnem, hūc dico vicinum: qui
propter magnitudinē adnumeratus iis,
qui per orbem terrarum clari amnes habentur,
à noſtra (regione) exoriens vrbem
proximè præterlabitur, haud parū
gratiæ ſuæ atque commoditatis ad augendam
pulchritudinem & vitæ adiumenta
per ſeſe conferens. Siue conditores
vrbis enumerare oportet, ſiue genera
coloniæ incolarum celebrare, ſiue
bellicæ manus res bene geſtas noſtris
narrationibus adijcere: trophæa, prælia,
fortiumque facinorum miracula, quæ
ſcriptores libris inſerere ſolent, procul
hæc abſint à noſtro cœtu. Erubeſcit

enim Chriſtianus ſermo ab iis rebus, quæ à fide alienæ ſunt, Chriſti fidelibus amicis famæ tribuere commendationem, quemadmodum qui vmbram viri fortis celebrant ante trophæa. Proinde ad præſentia ſermo conuertatur, & fructum veſtrum vobis ante oculos ponat. Mundana verò bona, & eiuſmodi argumentum laudandi, etiamſi magna dicenti copia ſuppeditari ex his poſſit, ſilentio prætereâtur. Neque enim totum cœlum, quæ vtique cùm pulcherrima, tùm maxima pars eſt in creatura rerum vniuerſarum, neque luminarium fulgores, neque terræ latitudinē, neque quicquam eorum, quæ per elementa vniuerſitati ſubiecta ſunt, magnum quiddam & admiratione dignum nouit diuinus ſermo. Diuino enim præcepto eruditus ſum, nihil earū rerum, quæ prætereunt, admirans. Si igitur totum cœlum & terra præteribunt, & omnis mundi ſpecies & hábitus tranſit, vt inquit Apoſtolus: quî poſſit aliquis decorum exiſtimare, ſi terræ vobis & aquæ fertilitatem laudandi cauſſa afferam in medium? Nam etiamſi locus veſter plura habet eiuſmodi commoda terræ, quàm alibi reperiantur: attamen comparatione veſtrorum bonorum, tanquam res nullius precij præterire illa nouit oratio. Quare ad res natura præſtâtiores laudationem conuertamus. hęc autē vobis nō amplius per verba oſtendētur, ſed licet in ipſum caput intueri veſtrorū bonorum. Quis enim ignorat veſtrum fructū, quòd vos martyrum produxeritis ſpicam, fœcundā hanc & copioſam, quæ vltra trigenarium numerū multitudine & copia frugum dilatatur. Videte ſacrū hoc aruum, hinc martyrum manipuli collecti ſunt. Quòd ſi ſcire deſideras, de quo aruo dicam, ne procul ab eo, quod adeſt, circumſpicias. Quis eſt iſte locus, qui amplectitur conuentum? quid tibi dicit anniuerſarius circuli ambitus? quales huius diei recordatio atque cōmemoratio refert tibi narrationes? An non loquelæ

Pſal. 18. quædam ſunt, vt inquit Propheta, & ſermones, quorum tantum non audiuntur voces eorū quouis ſermone clarius miracula enarrantes? Si locum intuearis, ipſe martyrum ſtadium eſſe ait: ſi diem conſideraueris, tanquam præco quidam magnæ vocis & ſonorus martyrum coronam pronunciat. Hæc mihi

A Χριστιανὸς λόγος ἀπὸ τῶν ἔξω τῆς πίστεως τοῖς φιλοχρίστοις τὰς εὐφημίας χαρίζεσθαι, ὥσπερ οἱ τὴν σκιὰν τοῦ ἀριστέως παρὰ τῶν τροπαίων σεμνύνοντες. οὐκοῦν τετράφθω πρὸς τὰ παρόντα ὁ λόγος, καὶ ὑπ' ὄψιν ἡμῖν ἀγαγέτω τὸν καρπὸν τὸν ὑμέτερον. σιγάσθω δὲ τὰ τοῦ κόσμου καλά, κἂν ἐκ περιουσίας πλεονάζῃ τῷ λόγῳ καὶ ἡ τοιαύτη τῶν ἐγκωμίων ὑπόθεσις. οὐδὲ γὰρ ὁ οὐρανὸς ὅλος, ὃ δὴ κάλλιστόν τε καὶ μέγιστον τῶν ἐν τῇ κτίσει πάντων ἐστὶν, οὔτε αἱ τῶν φωστήρων αὐγαὶ, οὔτε τῆς γῆς τὸ πλάτος, οὔτε
B ἄλλο τι τῶν στοιχειωδῶς τῷ παντὶ ὑποκειμένων μέγα τι καὶ θαύματος ἄξιον οἶδεν ὁ θεόπνευστος λόγος. πεπαίδευμαι τῷ θείῳ προστάγματι πρὸς μηδὲν τῶν παρερχομένων θαυμαστικῶς διατίθεσθαι. εἰ οὖν πᾶς οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, καὶ ἄπεισι τοῦ κόσμου παράγει τὸ σχῆμα, καθώς φησιν ὁ ἀπόστολος· πῶς ἄν τις εὐπρεπὲς εἶναι νομίσειε, γῆς ἡμῖν καὶ ὕδατος εὐφορίαν εἰς ἀφορμὴν ἐπαίνων προβάλλεσθαι; εἰ γὰρ καὶ πρόσεστι τῷ καθ' ὑμᾶς τόπῳ πλέον, ἢ καὶ ἐν ἄλλοις τὰ τοιαῦτα τῆς γῆς προτερήματα· ἀλλὰ συγκρίσει τῶν ὑμετέρων
C καλῶν ἀντ' οὐδενὸς οἶδεν ἐκεῖνα παρατρέχειν ὁ λόγος. οὐκοῦν πρὸς τὰ προτιμότερα τῇ φύσει ταῖς εὐφημίαις τρεπόμεθα· ταῦτα δὲ οὐκ ἔτι διὰ λόγων ἡμῖν διηγηθήσεται, ἀλλ' εἰς αὐτὸ πάρεστι βλέπειν τῶν ὑμετέρων ἀγαθῶν τὸ κεφάλαιον. τίς γὰρ οὐκ οἶδεν τὸν καρπὸν τὸν ὑμέτερον, ὅτι ὑμεῖς τὸν τῶν μαρτύρων ἐβλαστήσατε στάχυν, τὸν πολύχουν τοῦτον, καὶ ὑπὲρ τὴν τριάκοντα τῷ πλήθει τῶν καρπῶν πλατυνόμενον. ὁρᾶτε τὴν ἱερὰν ταύτην ἄρουραν, ἐντεῦθεν τῶν μαρτύρων τὰ δράγματα. εἰ ζητεῖς μαθεῖν τίνα λέγω τὴν ἄρουραν, μὴ πόῤῥω τοῦ
D παρόντος περισκοπήσῃς. τίς ὁ τόπος ὁ περιέχων τὸν σύλλογον; τί σοι λέγει ἡ ἐνιαύσιος τοῦ κύκλου περίοδος; ποῖα σοι διηγήματα ἡ τῆς ἡμέρας ταύτης ὑπόμνησις ἥκει κομίζουσα; ἆρ' οὐ λαλιαί τινες εἰσὶ, καθώς φησιν ὁ προφήτης, καὶ λόγοι, ὧν οὐχὶ μόνον ἀκούονται αἱ φωναὶ αὐτῶν, παντὸς λόγου εὐτονώτερον διηγούμεναι τὰ θαύματα; ἂν εἰς τὸν τόπον ἀπίδῃς, αὐτὸς εἶναί φησι τῶν μαρτύρων τὸ στάδιον· ἂν τὴν ἡμέραν λογίσῃ, οἷόν τις κῆρυξ μεγαλόφωνος ἀνακηρύττει τῶν μαρτύρων τὸν στέφανον. ταῦτά μοι

δοκῶ τῆς ἡμέρας ἐμβοώσης ἀκούειν· ὅτι ἄλλη μὲν τῇ δημιουργίᾳ τῶν φωστήρων σεμνύνεται, ἄλλη δὲ τῷ οὐρανῷ, καὶ ἑτέρα τῇ κατασκευῇ τῆς γῆς ἐπαγάλλεται. ἐμοὶ δὲ ἀρκεῖ πρὸς κόσμον τὰ τῶν μαρτύρων θαύματα· ἀρκεῖ τῷ κάλλει τῶν στεφάνων ἐγκαλλωπίζεσθαι· ἀρκεῖ τοῖς κατὰ τοῦ διαβόλου τροπαίοις ἐπισεμνύνεσθαι. οἷα γέγονεν ἐν ἐμοὶ διηγήματα; οἵα γέγονε δι' ἐμοῦ τοῖς ἀγγέλοις παραθήκη; οἷον ἔδωκεν ἡ γῆ τῷ Θεῷ τὸν καρπόν; οἵαν ἐφύτευσεν φυτείαν ἐν ἐμοὶ ὁ κύριος; ὅθεν καὶ πᾶσα σχεδὸν ἡ οἰκουμένη ταῖς παραφυάσι τῶν ἐντεῦθεν κλημάτων καταπεφύτευται, καθάπερ τις ἄμπελος εὐθηνοῦσα· καὶ ἄλλας δι' ἑαυτῆς ἀμπέλους ἐργάζεται, καὶ αὐτὴ διαμένει ἀνέκλειπτος. ταῦτά τοι καὶ τὰ τοιαῦτα δοκεῖ τῆς ἡμέρας ἡ χάρις διαγγελίζεσθαι, καὶ ὁ τοῦ συλλόγου τόπος τοιαῦτα ἕτερα. ἀλλὰ τί πάθω πρὸς λαὸν τοσοῦτον, ἰσχνόφωνός τις ὢν ἐγὼ καὶ βραδύγλωσσος, καὶ μόγις τοῖς παρεστῶσιν ἐν ἐπηκόῳ φθεγγόμενος, ὑπερηχοῦντος τοῦ ἤχου τὸν λόγον; ἦ γὰρ ἂν ἐνδιέτριψα τοῖς ἀγαθοῖς διηγήμασιν, ὅπως ἡ καλὴ συσκηνία τῶν τεσσαράκοντα, κοινὴν μὲν τὴν ἄθλησιν, κοινὴν δὲ πανταχοῦ τὴν ἀποικίαν πεποίηνται, καὶ πανταχοῦ καταμερίζονται, καὶ παρ' ἀλλήλων ἐπιξενοῦνται τοῖς τόποις. οὐκοῦν οὐδεὶς μερικὴν τῶν λειψάνων χάριν ὑποδεξάμενος, οὐκ ἐκ τοῦ παντὸς τὴν ἐπιφάνειαν τῶν μαρτύρων ἐδέξατο. εἷς γὰρ ἐν κυρίῳ γεγονότες οἱ πάντες, δι' ἑνὸς μετὰ παντὸς τοῦ πληρώματος ἑαυτῶν εἰσοικίζονται. ἀλλὰ πῶς ἐστι μὴ ἀδικῆσαι τὸν λόγον τὴν ἀρχὴν τῶν κατ' αὐτοὺς διηγημάτων σιγήσαντα; τίς δὲ ἐστιν ἡ ἀρχή; νεότης ἀγαθὴ καὶ περίβλεπτος, πίστις ἀρίστη, δι' ἣν οἱ πάντες ἐξηλεγμένοι, κάλλει διαπρεπεῖς, ἔρνεσι τὸ μέγεθος παραπλήσιοι ἐπανθοῦντες τῆς ὥρας. ὁρᾶτε τὴν φωνὴν τῷ θορύβῳ ταρασσομένην, καὶ τὸν λόγον τῷ ἤχῳ διακοπτόμενον; ὥστε ἡμᾶς οἷόν τινι πελάγει κυμαινομένῳ ταῖς φωναῖς τοῦ λαοῦ χειμασθέντας, ἀναγκαίως ἐπὶ τὸν ἀκύμαντον τῆς σιωπῆς καταφυγεῖν λιμένα. εἰ δὲ γένοιτο ἡμῖν κατὰ Θεοῦ χάριν, καὶ τὰ δεύτερα τοῦ λόγου σχολὴ ἐν ἡσυχίᾳ τῆς ἀκροάσεως, τὰ νῦν ἐλειφθέντα συνεργίᾳ τοῦ Θεοῦ πληρωθήσεται, αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A videor ex die (ipſa) clamãte audire: alius quidem dies luminarium creatione gloriatur: alius verò, cœlo: item alius lætatur & ſibi placet propter fabricationem terræ, mihi autem ad ornatum miracula martyrum ſufficiũt: ſufficit coronarum decore atque pulchritudine exornari: ſufficit trophæis aduerſus diabolũ erectis honeſtari atque decorari. Quales in me fuerunt narrationes? qualis Angelis per me facta eſt acceſſio? qualem dedit terra fructum Deo? qualem Dominus in me conſitionem conſeuit? vnde omnis etiã propemodũ orbis terrarum
B hinc enatorum palmitũ & ſurculorum propaginibus conſitus eſt: tanquã vitis quædam copioſa, atque abũndans, cùm alias per ſeſe vites efficit, tùm ipſa nõ deficiens in ſuo permanet vigore. Hæc & eiuſmodi nimirum cùm diei feſtiuitas, tum locus in quem cõueniſtis, altera talia læta annuntiare videtur. Sed quid agam ad tantum populum, cùm exili ſim voce, linguaque tarda, qui ſuperante ſonitu ac fremitu ſermonem vix aſtãtibus in loco ita cõmodo loquar, vt exaudiri poſſit? Nam alioquin immoratus eſſem atque perſeueraſſem in bonis narratio-
C nibus, quo pacto præclari cõtubernales quadraginta cùm cõmune certamen, tũ cõmunem vbiq; coloniam inhabitationemq; fecerũt, & quoquò verſus diſpertiuntur, & in variis locis coniũcti hoſpitio recipiũtur. Quocirca nemo qui particularem reliquiarum gratiã ſuſcepit, non ex toto martyrum apparitionẽ recepit. Vnus enim in Chriſto cùm fuerint vniuerſi, per vnũ cum toto ſuo grege recipiuntur. Sed quî fieri poteſt, vt oratio non iniuriã faciat quę initium narrandi res ab iis geſtas ſilentio prætermiſerit? Quod eſt igitur initium? Adoleſcentia
D egregia, atque ſpectata, fides optima, cuius gratia electi omnes, decore ac pulchritudine inſignes, ad ramos magnitudine proximè accedentes, in flore ętatis conſtituti. Videtis ne vocẽ tumultu turbari, & ſtrepitu ſermonẽ interrumpi? vt nobis veluti pelago quodã ęſtuãte, vocibus populi, inquã, iactatis neceſſariò ad tranquillũ ſilentij portũ cõfugiendũ ſit. Quòd ſi per gratiã Dei nobis ętiã ad alteram partẽ orationis otium contigerit, cum ſilẽtio auſcultantibus reliqua, quæ nunc prætermiſſa ſunt ad narrationem pertinẽtia, auxilo Dei ſupplebuntur. Ei gloria in ſæcula ſæculorum, Amen.

A

EIVSDEM DE SANCTIS quadraginta martyribus

ORATIO II.

Eodem interprete.

HERI martyres ad ſeſe populum vocabant: nunc hoſpitio Eccleſiæ ipſi ſeſe offerentes excipiuntur. Lex autem quædam conuiuialis eſt, vt circulares & vulgares iſtas epulas alij aliis conuiuis certa viciſſitudine præbeant in orbem. Igitur neceſſe eſt, vt etiam nos cõtrà martyribus parem cœnæ gratiam referamus, & idẽ officiũ præſtemus. Sed quoniã noſtra facultas orationis inops & exigua eſt, haud incõmodum fuerit, ſi ab illis ipſis sũptis reliquiis excipiamus eos, qui heri quidẽ cõuiuatores & epuli præbitores erant, hodie verò conuiuæ ſunt. Sufficit enim vel exigua quædã de diuite menſa pars, cùm tales reliquiæ fuerint, ad magni epuli apparatũ. Quæ ſunt igitur hę reliquię? Meminiſtis prorſus in qua parte orationis hærebamus, cùm optatus ille & iucundus nobis ex multitudine congregatorum tumultus confundebat eorũ quæ dicebantur, auſcultationẽ: cùm animatũ illud Eccleſię mare multitudine aliorũ ſuper alios cõfluentiũ & ingruentiũ inundans, ad impetum & impulſionẽ eorum, qui ſemper vt irrũperent, fluctuaret & æſtuaret, ſonitu quoque ipſo verum imitans mare, veluti rupib. littoralibus aurib. noſtris vndarũ ſtrepitũ infringẽs & illidens. In quibus igitur tumultu quaſi tempeſtate iactatã reliquerimus orationẽ meminiſtis prorſus, quibus recordatio martyrũ curæ eſt. Erat autẽ cõtinuatio, opinor, & cõtextus orationis hic, quòd nõ ex gregariis & vilibus quidã eſſent, qui ad hoc certamẽ electi ſunt, neque promiſcuum quoddã & obſcurum vulgus ex humilibus exercitiis & ſtudiis profecti ad hanc dignitatẽ euecti eſſent: ſed primũ quidem propter bona atque cõmoda corporis decore & viribus & robore ſuperante reliquos præcedentes militaribus numeris aſcripti eſſent: deinde verò ſo-

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΥΣ ἁγίους τεσσαράκοντα μάρτυρας

ΛΟΓΟΣ Β'.

ΧΘΕΣ οἱ μάρτυρες πρὸς ἑαυτοὺς τὸν λαὸν ἐκάλουν. νῦν τῇ καταγωγῇ τῆς ἐκκλησίας ἐπιξενοῦνται αὐτόκλητοι. νόμος δέ τις ἐστὶ συμποτικὸς, τὰς ἐγκυκλίους ταύτας ἑστιάσεις παρὰ τῶν δαιτυμόνων, ἀλλήλοις ἐκ περιόδου τινὸς ἐπιδίδοσθαι. ἐχρῆν οὖν ἀνάγκη καὶ ἡμᾶς τὸν αὐτὸν ἀντιπληρῶσαι τοῦ δείπνου τοῖς μάρτυσιν ἔρανον. ἀλλ' ἐπειδὴ πένεται ἡμῖν ἡ χορηγία τοῦ λόγου, καλῶς ἔχει τοῖς παρ' αὐτῶν ἐκείνων λειψάνοις ἡμᾶς δεξιοῦσθαι, τοὺς χθὲς μὲν ἑστιάτορας, σήμερον δὲ δαιτυμόνας. ἀρκεῖ γὰρ καὶ βραχύ τι μέρος ἐκ πλουσίας τραπέζης, μεγάλης εὐωχίας γενέσθαι παρασκευὴν, C ὅταν τοιοῦτον λείψανον ᾖ. τί οὖν τοῦτο τὸ λείψανον; μέμνησθε πάντως ἐν τίνι ἦμεν τοῦ λόγου, ὅτε ὁ εὐκταῖος ἐκεῖνος, καὶ ἡδὺς ἡμῖν ἐκ τοῦ πλήθους τῶν συνειλεγμένων θόρυβος συνέχεε τὴν τῶν λεγομένων ἀκρόασιν, ὅτε ἡ ἔμψυχος ἐκείνη τῆς ἐκκλησίας θάλασσα τοῖς πλήθεσι τῶν ἐπεισρεόντων πλημμυροῦσα, πρὸς τὴν ῥοπὴν τῶν ἀεὶ βιαζομένων ἐκύμαινε, μιμουμένη καὶ τῷ ἤχῳ τὴν ὄντως θάλασσαν, οἷόν τισι ταῖς ἀκοαῖς ἡμῶν περιρρηγνῦσα τῶν κυμάτων τὸν ψόφον. ἐν τίνι τοίνυν κατελίπομεν χειμασθέντα τῷ θορύβῳ τὸν λόγον, μέμνησθε D πάντως οἷς μεμελέτηται διὰ μνήμης ἔχειν τοὺς μάρτυρας. ἦν δὲ ὡς οἶμαι, ἡ ἀκολουθία τοῦ λόγου αὕτη, ὅτι οὐ τῶν τυχόντων ἦσάν τινες οἱ εἰς τὸν ἀγῶνα τοῦτον ἐξειλεγμένοι, οὐδέ τις σύμμικτος καὶ ἀνώνυμος ὄχλος, ἐκ ταπεινῶν ἐπιτηδευμάτων ὁρμηθέντες, πρὸς τὸ ἀξίωμα τοῦτο ἐπήρθησαν· ἀλλὰ πρῶτον μὲν δι' εὐφυΐαν σώματος, κάλλει καὶ δυνάμει καὶ ῥώμης περιουσίᾳ τῶν λοιπῶν διενεγκόντες, τοῖς στρατιωτικοῖς καταλόγοις ἐνεριθμήθησαν· μετὰ ταῦτα

ταῦτα δὲ τῷ κατ' ἀρετὴν βίῳ, καὶ πολιτείᾳ σώφρονι διαπρέψαντες· ὥσπερ τι γέρας καὶ ἀριστεῖον τὴν χάριν τῆς μαρτυρίας τελειωθέντες ἐδέξαντο. καὶ εἰ δοκεῖ ὡς ἂν ἥδιους γενοίμεθα, πάντα τὰ τῶν μαρτύρων ἐφεξῆς ἀναλάβωμεν, οἷον ὑπ' ὄψιν ἄγοντες τῷ παρόντι θεάτρῳ τὴν ἄθλησιν. ἦν τι τάγμα στρατιωτικὸν παλαιὸν κατὰ τὴν γείτονα πόλιν πρόβολος τοῦ ἔθνους πρὸς τὰς τῶν βαρβάρων ὁρμὰς προκαθήμενον· ἐκείνοις ἔκ τινος προυπαρχούσης θεόθεν ἐπιφανείας, πλέον ἡ πίστις τῶν τακτικῶν ἐσπουδάζετο. καὶ ἴσως οὐκ ἄκαιρον ἕν τι κατόρθωμα τῆς πίστεως τῶν ἀνδρῶν ἐκείνων ἐν παραδρομῇ διηγήσασθαι. συστάντος γὰρ αὖθις ποτὲ τοῦ πρὸς τοὺς βαρβάρους πολέμου, καὶ τῶν ἐπικαίρων πάντων προκαταληφθέντων ὑπὸ τῆς τῶν ἐναντίων στρατιᾶς, καὶ τῶν ὑδάτων ἐν τῇ τῶν ἐχθρῶν ἐξουσίᾳ γεγενημένων, εἰς ἔσχατον ἐλθόντες κίνδυνον, εἴτε δι' ἀπειρίαν τῶν τὰ ἡμέτερα στρατηγούντων, εἴτε διά τινα κρείττονα καὶ θειοτέραν οἰκονομίαν, ὡς ἂν μάλιστα καὶ διὰ τούτου φανείη τῶν Χριστιανῶν ἡ πρὸς τοὺς ἀλλοφύλους διαφορά· ἐπεὶ οὐκ εἶχον ὅτι χρήσονται τοῖς παροῦσι, καὶ πολλή τις ἦν ἡ ἀμηχανία, οὐδεμιᾶς αὖθις πίδακος ἢ ἀπορροίας ὑδάτων ἐμφαινομένης τῷ τόπῳ, καὶ κίνδυνος ἦν ὑποκύψαι τοῖς ἐναντίοις ἐκπολιορκηθέντας τῇ δίψῃ· τότε καταλιπόντες οἱ γενναῖοι τὴν ἐκ τῶν ὅπλων βοήθειαν, ἔγνωσαν τὴν ἄμαχον καὶ ἀνανταγώνιστον ἐν τοῖς φοβεροῖς ἐπικαλέσασθαι συμμαχίαν. ἀφέντες γὰρ ἐπὶ τοῦ στρατοπέδου τοὺς μήπω παραδεδεγμένους τὴν πίστιν, καὶ ἐφ' ἑαυτῶν ἰδιάσαντες, μιμοῦνται τὴν ἐπὶ Ἠλιοῦ τοῦ προφήτου γενομένην θαυματουργίαν, κοινῇ τῇ φωνῇ καὶ συντεταγμένῃ λύσιν αὖθις ἐξ ἀμηχάνων γενέσθαι τῆς συμφορᾶς αἰτησάμενοι. καὶ οἱ μὲν ηὔχοντο· ἡ δὲ εὐχὴ παραχρῆμα ἔργον ἐγίνετο. ἔτι γὰρ αὐτῶν τῇ γονυκλισίᾳ προσκαρτερούντων, πνεύματι βιαίῳ νεφέλη ποθὲν ἀποληφθεῖσα, μετέωρος ὑπὲρ τὸ τῶν πολεμίων στρατόπεδον ἵστατο· εἶτα βρονταῖς ἐξαισίοις ἐπικτυπήσασα, καὶ ἀστραπὰς φλογώδεις κατὰ τῶν ὑποκειμένων ἐξάψασα, καταρρήγνυσιν ὕδωρ ποταμῶν ἀφθονώτερον, ὥστε τοῖς μὲν ὑπεναντίοις καὶ τῶν σκηπτῶν τὴν συνέχειαν, καὶ τὸ πλῆθος τῆς ἐπομβρίας αἴτιον γενέσθαι παντελοῦς καταφθορᾶς·

A brio atque cum virtute coniuncto vitæ inſtituto cùm excelluiſſent, tanquam præmium quoddam decorandæ & honeſtandæ virtutis ergô gratiam martyrij conſummati accepiſſent. Ac ſi videtur, quò oratio noſtra magis iucunda efficiatur, omnem rem geſtam à martyribus deinceps ordine repetemus, tanquam in conſpectu huic theatro ipſam certationem adducẽtes. Erat vetus quædam circa vicinam vrbem militum manus, præſidium totius gentis aduerſus impetus barbarorum. Illis ex quadam antè oblata diuinitus apparitione, maiori B ſtudio fides erat, quàm res ac diſciplina militaris. Ac forſitan non intempeſtiuum fuerit vnum quoddam fidei virorum illorum facinus egregium obiter commemorare. Bello enim eis aduerſus Barbaros aliquãdo conflato, cùm omnibus locis opportunis ab exercitu hoſtiũ præoccupatis, aquæ quoque in eorum poteſtate eſſent, ad extremum periculum redacti, ſiue imperitia noſtrorum ducum, ſiue meliore & diuino magis conſilio atque diſpoſitione, vt vel per hoc maximè appareret, quid intereſſet C inter Chriſtianos atque externos & à fide alienos: cùm nulla ratione rebus præſentibus mederi poſſent, magnaque trepidatio atque deſperatio eſſet, cùm nullus fons in eo loco, aut aliunde prouenientis aquæ facultas eis appareret, periculumque eſſet, ne ſiti expugnati ab aduerſariis ſubigerentur: tunc præclari illi atque egregij, omiſſo armorum præſidio, inuictum cuive reſiſti non poſſet auxiliũ in formidabilibus eiuſmodi implorandi ſibi ſtatuerũt. Relictis enim in caſtris iis, qui nondum fidem receperãt, ac per ſe ſeparati, imitãtur id quod tem- D pore Heliæ Prophetæ factũ eſt miraculum, cõmuni atq; coniuncta voce precibus petentes, vt ex rebus deſperatis in quas incidiſſent, eriperentur. Atque illi quidẽ precabantur: preces verò extẽplò in opus cõuertebãtur. Cùm enim adhuc ipſi in oratione genibus flexis perſeuerarent, flatu violẽto nubes alicundè coacta ſublimis in aëre caſtris hoſtium imminebat: deinde fragoribus ingentibus ſuperintonans, & fulgurum in ſubiectos incendia immittens, aquam fluminibus abundantiorem præcipitabat, adeò vt aduerſariis quidem tum continentia fulmina, tum continuationis imbriũ vis extremi exitij cauſſa exiſteret:

his verò, qui precum aciem oppoſuerant, ad vtraque ſufficeret, tam ad vincendos hoſtes, quàm ad ſitis leuamen, quippe defluentibus torrentibus abundè potum ipſis ſuppeditantibus. His igitur adiunctus eſt etiam noſter cœtus eorum, qui de exercitu narrationibus illis etiam ipſi circa fidem confirmati, & in iiſdem ſtudiis & exercitiis innutriti in tantam animi indolem ac magnitudinem euecti ſunt, vt excellentia virtutis aduerſus ſeſe inuidiam excitauerint. Quemadmodum enim didicimus ex iis, quæ nunc nobis ex hiſtoria Iobi prælecta ſunt, quòd aduerſarius humanæ vitæ iniuriam ſibi fieri putaret, quòd Iob virtutis nomine clareret ac benè audiret, & idcirco eum depoſceret ad tormentum, quòd offenderet ac moleſtia afficeret eum Iob, qui verax, iuſtus & inculpatus eſſet: eodem modo hoſtis & inuaſor bonorum, improbo oculo vidit magnos hos pugiles, & non tulit canitiem morum, quam in iuuenili ætate animaduertebat. Vidit corporum florem continentia atque ſobrietate ornari: vidit armatum quendam chorum, per exercitum eius Deo choreas ducentes, pulchros aſpectu, oculis toruos & terribiles, excelſum animum, & ſpiritus contumaces, pedum velocitatem, vires excellentes, conuenientem, aptam & commodam membrorum compactionem in omnibus, quæ ipſis adeſſent, commodis animi virtutem ſuo ſplendore corporis bona ſuperantem, inambulat etiam per illos in inuidia, qui per orbem terrarum obambulat. Vidit non vnum hominem veracem, ſed cateruam diuinam tot virorum, qui omnes veraces, iuſti, Dei cultores erant, depoſcit etiam illos ad ſuum arbitrium. Ac primum quidem duci copiarum inſano ſimulachrorum cultui dedito perſuadere conatur, non aliter eum de Barbaris victoria potiturum eſſe, niſi prius mactaret eos, qui Chriſti nomen adorarent. His autem propter egregiam confeſſionem quàmprimum deſignatis, & vltrò ad conſummationem paſſionis confugientibus, ſtatim eos gladio interficere (quaſi mite quoddam ac benignum genus mortis id eſſet) inimicus recuſauit, ſed vinculis ferreis affligens hinc ſupplicij initiũ fecit. At illis ſanè etiam vincula ornamento erant, & elegans atque iucundum Chriſtianorum oculis

A Τούτοις δὲ τοῖς διὰ τῶν εὐχῶν παραταξαμένοις, ἱκανὸν πρὸς ἀμφότερα γένεσθαι, πρός τε τὴν νίκην τῶν ἀντιτεταγμένων, καὶ πρὸς τὴν παραμυθίαν τῆς δίψης, τῆς τῶν χειμάρρων ἀπορροῆς ἀφθόνως αὐτοῖς τὸν ποτὸν χορηγούσης. τούτοις τοίνυν συνετάχθη ὁ ἡμέτερος τῆς στρατιᾶς χορὸς, ἀπ' ἐκείνων τῶν διηγημάτων καὶ αὐτοὶ περὶ τὴν πίστιν κυρωθέντες, καὶ τοῖς ὁμοίοις ἐντραφέντες ἐπιτηδεύμασιν, εἰς τοσοῦτον μεγαλοφυΐας ἐπήρθησαν, ὥστε τῷ περιόντι τῆς ἀρετῆς, καθ' ἑαυτῶν ἀναστῆσαι τὸν φθόνον. καθάπερ γὰρ ἐπὶ

B τῶν νῦν ὑπαναγνωσθέντων ἡμῖν ἐκ τῆς τοῦ Ἰὼβ ἱστορίας ἐμάθομεν, ὅτι ἀδίκημα ἑαυτοῦ ἐποιεῖτο ὁ ἀντίπαλος τῆς ἀνθρωπίνης ζωῆς τὸ τοῦ Ἰὼβ εὐδοκιμεῖν, καὶ διὰ τοῦτο ἐξῄτει πρὸς αἰκισμὸν, ὅτι ἐλύπει αὐτὸν ὁ Ἰὼβ, ἀληθινὸς καὶ δίκαιος, καὶ ἄμεμπτος ὤν· τὸν αὐτὸν τρόπον εἶδεν πονηρῷ τῷ ὀφθαλμῷ ὁ τοῖς ἀγαθοῖς ἐπιφυόμενος τοὺς μεγάλους τούτους ἀγωνιστὰς, καὶ οὐκ ἤνεγκεν πολιὰν ἠθῶν, ἐν ἡλικίας νεότητι βλέπων. εἶδεν σωμάτων ἄνθος, ἐν σωφροσύνῃ κοσμούμενον· εἶδεν ἐνόπλιόν τινα χοροστασίαν, διὰ τῆς στρατιᾶς αὐτοῖς τῷ Θεῷ χορεύοντας, καλοὺς

C προσιδεῖν, βλοσυροὺς τὸ ὄμμα, γαύρους τὸ φρόνημα, τάχος ποδῶν, περιουσίαν δυνάμεως, συμμετρίαν μελῶν, ἐν πᾶσι τοῖς προσοῦσιν αὐτοῖς προτερήμασιν τὴν τῆς ψυχῆς ἀρετὴν τῆς σωματικῆς εὐκληρείας ὑπεραστράπτουσαν, ἐμπεριπατεῖ καὶ δι' ἐκείνων τῷ φθόνῳ, ὁ ἐμπεριπατῶν τὴν οἰκουμένην. εἶδεν οὐχ ἕνα ἄνθρωπον ἀληθινὸν, ἀλλὰ σύστημα θεῖον τοσούτων ἀνθρώπων, πάντων ἀληθινῶν, δικαίων, θεοσεβῶν, ἐξαιτεῖται κἀκείνους εἰς τὸ ἴδιον βούλημα. καὶ πρῶτον μὲν εἰδωλομανοῦντι τῷ τῆς στρατιᾶς ἄρχοντι σύμβουλος γίνεται, μὴ ἂν ἄλλως ὑπάρξειν τὸ

D κράτος τῆς βαρβάρων νίκης, εἰ μὴ τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ προσκυνοῦντας προθύσαιτο. ἀναδειχθέντων δὲ τούτων ὡς τάχιστα διὰ τῆς ἀγαθῆς ὁμολογίας, καὶ αὐτομολούντων πρὸς τὴν διὰ τοῦ πάθους τελείωσιν, τὸ μὲν εὐθὺς ἐπαγαγεῖν τὸν διὰ τοῦ ξίφους θάνατον, ὥς τι φιλάνθρωπον ὁ ἐχθρὸς παρῃτήσατο, δεσμοῖς δὲ τοῖς ἐκ σιδήρου καταπιέσας, ταύτην ἐποιεῖτο τὴν τῆς τιμωρίας ἀρχήν. τοῖς δὲ ἦν ἄρα καὶ ὁ δεσμὸς ἐγκαλλώπισμα, καὶ θέαμα γλαφυρὸν καὶ ἡδὺ Χριστιανῶν ὀφθαλμοῖς,

νεότης ἐξειλεγμένη ἀριθμῷ τοσούτῳ, κάλλει διαπρεπὴς, ἡλικίᾳ ὑπὲρ τοὺς ἄλλους. πάντες κατὰ ταὐτὸν μετ' ἀλλήλων τῷ δεσμῷ συνηρμόζοντο, ὥσπερ τις στέφανος ἢ ὅρμος περιαυχένιος ἰσομεγέθεις μαργαρίτας ἐν κύκλῳ διειλημμένους ἔχων· τοιοῦτοι ἦσαν οἱ ἅγιοι, καὶ διὰ πίστεως ἡνωμένοι, καὶ διὰ τῶν δεσμῶν πρὸς ἀλλήλους σφιγγόμενοι. ὄντες γὰρ καὶ καθ' ἑαυτὸν ἕκαστος καλοὶ, προσθήκη τοῦ κάλλους ἀλλήλοις ἐγίνοντο. οἷον ἐπὶ τῶν οὐρανίων συμβαίνει θαυμάτων, ὅταν δι' αἰθρίας καὶ καθαρᾶς ἡ τῶν ἀστέρων χάρις δι' ἀλλήλων ποικίλληται, ἑκάστου τὴν οἰκείαν αἴγλην εἰς τὸν κοινὸν κόσμον τοῦ οὐρανοῦ συνεισφέροντος. τοιοῦτον ἦν τῶν ἁγίων τὸ θέαμα, ὄντως, καθώς φησί που Ἰεζεκιὴλ ὁ προφήτης, ὅρασις λαμπάδων συστρεφομένων. ἐμφιλοχωρεῖ ὁ λόγος τῷ κάλλει τῆς ὥρας. οἶδεν γὰρ, καθὼς ἡ σοφία φησὶν, ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων, καὶ τὸ ἐν κρυπτῷ κάλλος ἀναλογίζεσθαι, ἐπειδὴ καὶ ἡ τῆς ψυχῆς καθαρότης, διὰ τοῦ φαινομένου διέλαμπεν, καὶ ὁ φαινόμενος ἄνθρωπος, ἄξιον ἦν τοῦ ἀφανοῦς οἰκητήριον. ὡς καλὸν τότε ἦν τοῖς ὁρῶσι τὸ θέαμα, καλὸν λέγω τοῖς τὰ καλὰ βλέπειν ἐθέλουσιν, καλὸν ἀγγέλοις· καλὸν ταῖς ὑπερκοσμίαις δυνάμεσι· πικρὸν δὲ τοῖς δαίμοσι, καὶ ὅσοι τὰ τῶν δαιμόνων ἠσπάζοντο ἄνθρωποι· εἴπερ ἄνθρωποι, οἱ τοσοῦτον ἀνεστηκότες τῷ μεγαλείῳ τῆς φύσεως, στρατιῶται τοῦ Χριστοῦ, τοῦ ἁγίου πνεύματος ὁπλῖται, τῆς πίστεως πρόμαχοι, πύργοι τῆς θείας πόλεως, οἱ πᾶσαν αἰκισμῶν ὑπερεῖδον, πᾶσαν φόβων ἐπηλυάσασιν, πᾶσαν ἀπειλῆς προσβολὴν, ὡς ἵνα παιδίων ἄνοιαν κατεχλεύαζον. καθάπερ οὐχὶ τὰ σώματα ταῖς αἰκίαις ἐκδόντες, ἀλλὰ τὰς τῶν σωμάτων σκιάς· οἱ σαρκὶ τὴν σάρκα καταπαλαίσαντες, καὶ τῇ πρὸς τὸν θάνατον ὑπεροψίᾳ πάντων τῶν τυραννικῶν φόβων ὑπερφρονήσαντες, ὑψηλότεροι τῶν ἀνθρωπίνων μέτρων ἐδείχθησαν. ὦ καλῶς τοῖς σωματικοῖς στρατείοις ἐμμελετήσαντες· ὦ καλῶς μετενεγκόντες τὴν τοῦ πολέμου ἐμπειρίαν εἰς τὴν κατὰ τοῦ διαβόλου παράταξιν. οὐ ξίφει τὰς χεῖρας ὁπλίσαντες, οὐδὲ τὸν ἐκ τοῦ ξύλου θυρεὸν προβαλλόμενοι, οὐδὲ χαλκῇ περικεφαλαίᾳ, καὶ κνήμισι περιφραξάμενοι, ἀλλὰ τὴν τοῦ Θεοῦ πανοπλίαν ἀναλαβόντες·

A ſpectaculum iuuentus electa in tanto numero, pulchritudine inſignis, ætate cæteris præſtans, omnes ſimul eodem inter ſe nexu copulabantur, veluti corona quędam aut torques & monile circum collum magnitudine paribus vndique margaritis digeſtis atque diſtinctis inſigne: tales erant ſancti, qui & per fidem vniti, & per vincula inter ſe conſtricti erant. Cùm enim vnuſquiſq; per ſe pulchri eſſent, acceſſio atque incrementũ pulchritudinis alter alteri erant. Quale in cœleſtibus accidit miraculis, cùm ſerena ac pura nocte ſtellarum decor
B alius per alium diſtinguitur & ornatur, vnaquaque earum ſuum ſplendorem ad cõmunem ornatum cœli ſimul contribuente. Tale erat ſanctorum ſpectaculum, verè, vt alicubi inquit Ezechiel Propheta, viſio lampadarum diſcurrentium. *Ezech. 1.* Lubenter pulchritudini formæ & ætatis oratio immoratur. Solet enim, vt inquit Sapientia, ex magnitudine pulchritudinis creaturarum etiam ea quæ eſt in occulto, pulchritudo æſtimari, quoniam & animi puritas per id quod apparebat, eluce-
C ſcebat: & is qui apparebat homo, dignum domicilium erat eius qui latebat, & viſum effugiebat. Quàm pulchrum igitur tunc intuentibus erat ſpectaculum? pulchrum inquam, iis qui pulchra atque præclara cõtueri volunt, pulchrum Angelis: pulchrũ ſupramundanis virtutibus: acerbum verò dæmonibus, & quotquot dæmonum cultum amplectebantur, homines (ſi modò homines dicendi, qui tanta magnitudine indolis excelluerunt) milites Chriſti,
D ſancti Spiritus armigeri, fidei anteſignani, turres diuinæ ciuitatis? qui omnem tormentorum pœnam atque contumeliam, omnes terrores ingruẽtes, omnem minarum vim, tanquã puerilem quandam amentiã deridebant? perinde ac ſi non corpora verberibus præberent, ſed corporũ vmbras? qui cùm carne carnem deuiciſſent, & contẽptu mortis, omnes tyrannorũ terrores magnitudine animi ſuperaſſent, humana conditione ſuperiores viſi ſunt. O qui præclarè exercitati ſunt! qui peritiã bellandi in aciem aduerſus diabolum inſtructam tranſtulerunt! Non gladio manus armantes, neque clypeum ligneum obijcientes, neque ærea galea, ocreiſque muniti, ſed armaturam Dei ſumentes:

quam prætor & dux Eccleſiæ, diuinus ille Apoſtolus deſcribit, ſcutum & lori- Epheſ.6. cam, & galeam, & gladiũ, ita tendebant aduerſus copias aduerſariorũ. Dux autem erat horum quidem cœleſtis gratia, Diaboli autẽ aciei, is qui mortis imperium tenet. Locus eis aciei, nefariorũ & ſanguinariorum tribunal erat: illic congreſſi decertabant, illi quidem minis pugnam laceſſentes: hi verò per patientiã propulſantes & reſiſtentes. Proponebatur ab aduerſarijs, vt vel fidem in Dominum abiurarent, vel morte multarẽtur: & reſpõdebatur à viris fortibus, ſe velle vſque ad mortẽ permanere in ſermone. Ignis ſub hæc intẽdebatur, & gladius & barathrum, & quęcũque ſunt alia nomina ſuppliciorũ. Vna vox ad hæc omnia audiebatur, Chriſtus, quẽ ore ſancti illi confitebantur. Hoc erat aduerſariorum vulnus, hanc cuſpidem aduerſariis obijciebant, per hanc vocẽ in medio corde vulnus aduerſarius accepit, hic eſt lapis, qui per manũ Dauidis funda emittebatur, 1. Reg. 17. qui à galea aduerſarij, quò deſtinatus erat, non aberrauit. Nã Chriſti cõfeſſio, boni militis funda exiſtit: cadit inimicus, & caput amittit. Verùm quaſi habenis excuſſis oratio præterlapſa eſt, & terminos trãſiliit, & ad audendũ non dicenda proferre prouehitur, quaſi ſpectatrix fuerit earum rerum, quæ viſum effugiunt, quòd ob eiuſmodi vocem, quæ Chriſtum liberè confitebatur, ſuprà plauſus erat & laus à ſanctis Angelis, item acclamatio fauſta cœleſtis vrbis ciuium applaudentiũ rei bene geſtę, ad hæc gaudium vniuerſi cœleſtis conuentus. Quale enim Angelis in mundo hominum conflatum eſt ſpectaculum? qualem conflictum diaboli & hominum viderunt noſtræ vitæ ſpectatores? Quàm contrarium priori pugnæ congreſſum habuit, cùm ſerpens Adamum deuicit? ne vnum quidem homo tunc ſuſtinuit impetum Mali, quo per quendam ſpecioſum prætextum & eſcam petitus erat: ſed ſimulatque ille irruit, etiam hic ruina euerſus eſt. In his verò omnibus vani & efficaces erant inimici conatus. Spem oſtendebat, hi verò reſpuebant: terrores intendebat, hi verò deridebant. Vnus eis metus ſolus erat, ne à Chriſto ſeiungerentur,

A ἣν διαγράφει ὁ στρατηγὸς τῆς ἐκκλησίας, ὁ θεῖος ἀπόστολος θυρεὸν, καὶ θώρακα, καὶ περικεφαλαίαν, καὶ μάχαιραν, οὕτως ἐχώρουν κατὰ τῆς ἐναντίας δυνάμεως. ἐστρατήγει δὲ τούτων μὲν, ἡ οὐρανία χάρις, τῆς δὲ τοῦ διαβόλου παρατάξεως, ὁ ἔχων τοῦ θανάτου τὸ κράτος. τόπος δὲ τῆς παρατάξεως αὐτοῖς, τὸ τῶν μιαιφόνων δικαστήριον ἦν, ἐν ἐκείνῳ συστάντες διηγωνίζοντο, οἱ μὲν ἀπειλαῖς ἀκροβολιζόμενοι, οἱ δὲ διὰ τῆς ὑπομονῆς ἀμυνόμενοι. πρότασις ἦν παρὰ τῶν ὑπεναντίων, ἐξόμνυσθαι τὴν εἰς τὸν κύριον B πίστιν, ἢ ζημιοῦσθαι θανάτῳ· ἀπόκρισις παρὰ τῶν ἀριστέων, μέχρι θανάτου παραμένειν τῷ λόγῳ. πῦρ ἐπὶ τούτοις ἠπείλητο, καὶ ξίφος, καὶ βάραθρον, καὶ ὅσα ἄλλα τῶν κολαστηρίων ὀνόματα. μία φωνὴ πρὸς ταῦτα πάντα ἠκούετο, Χριστὸς ἐν τοῖς στόμασι τῶν ἁγίων ὁμολογούμενος. αὕτη ἦν ἡ τῶν ἐναντίων πληγή. ταύτην προέτεινον κατὰ τοῦ ἐχθροῦ τὴν αἰχμήν. διὰ ταύτης τῆς φωνῆς μέσην ἐτρώθη τὴν καρδίαν ὁ ἀντικείμενος. οὗτος ὁ λίθος ἐστὶν, ὁ ἐν τῇ χειρὶ τοῦ Δαβὶδ σφενδονούμενος, ὁ τυχὼν τῆς περι- C κεφαλαίας τοῦ ἀντικειμένου. ἡ γὰρ τοῦ Χριστοῦ ὁμολογία, σφενδόνη γίνεται τοῦ καλοῦ στρατιώτου. πίπτει ὁ ἐχθρὸς, καὶ ἀκέφαλος γίνεται. ἀλλὰ παρηνωρήθη ἀφηνιάσας ὁ λόγος, καὶ ὑπὲρ τοὺς ὅρους ἐξάλλεται, καὶ τῶν ἀρρήτων καταтολμᾷ, καὶ λέγειν προάγεται, ὡς περιεθεα τῶν ἀοράτων γινόμενος, ὅτι ἐπὶ τῇ τοιαύτῃ φωνῇ τῇ τὸν Χριστὸν ἐν παρρησίᾳ ὁμολογούσῃ, κρότος μὲν ἦν ἄνω καὶ ἔπαινος παρὰ τῶν ἁγίων ἀγγέλων, εὐφημία δὲ τῶν πολιτῶν τῆς οὐρανίας πόλεως ἐπικροτούντων τῷ κατορθώματι, χαρὰ δὲ πάσης τῆς ἐν οὐρανῷ πανηγύρεως. οἷον γὰρ συνέστη τότε τοῖς ἀγγέ- D λοις ἐν τῷ κόσμῳ τῶν ἀνθρώπων τὸ θέατρον, οἵαν εἶδον συμπλοκὴν τοῦ διαβόλου καὶ τῶν ἀνθρώπων, οἱ θεαταὶ τῆς ἡμετέρας ζωῆς; ὡς ἀπεναντίον τῇ προτέρᾳ πάλῃ τὴν σύστασιν ἔσχεν, ὅτε ὁ ὄφις τὸν Ἀδὰμ κατεπάλαισεν; οὐκ ἤνεγκεν τότε ὁ ἄνθρωπος μίαν τοῦ πονηροῦ προσβολὴν διά τινος εὐχροίας καὶ δελεάσματος αὐτῷ προσαχθεῖσαν· ἀλλ' ὁμοῦ τε προσέπεσεν, καὶ ἀνετράπη τῷ πτώματι. ἐπὶ τούτων δὲ πάντων ἦν ἀργὰ καὶ ἄπρακτα τοῦ ἐχθροῦ τὰ παλαίσματα. ἐλπίδας προέτεινεν, οἱ δὲ κατέπτυον· φόβους ἠπείλει, οἱ δὲ κατεγέλων. ἓν φοβερὸν ἦν μόνον αὐτοῖς, τὸ τοῦ Χριστοῦ χωρισθῆναι,

ἓν ἀγαθὸν, τὸ μετὰ Χριστοῦ εἶναι μόνου, τὰ δὲ ἄλλα πάντα, γέλως καὶ σκιὰ, καὶ φλυαρία καὶ ὀνειρώδη φαντάσματα. διὰ ταῦτα κατατολμᾷ τῶν ἀθεάτων ὁ λόγος. καὶ φησὶν, ἐπαγάλλεσθαι πᾶσαν τὴν ὑπερκόσμιον δύναμιν, τοῖς τῶν ἀθλητῶν κατορθώμασι. ἔτι ὁ λόγος κατὰ τῶν ἀτολμήτων θρασύνεται· ἔτι τολμᾷ διηγεῖσθαι τὰ ὑπερκόσμια, ὅτι τούτων ἐνταῦθα κατορθουμένων, ἐν τῇ πρὸς τοὺς ἐναντίους συμπλοκῇ ὁ δίκαιος ἀγωνοθέτης τοὺς ἐπὶ τῇ νίκῃ στεφάνους προέτεινεν, καὶ ὁ ἀρχιστράτηγος τῆς θείας δυνάμεως τὰ ἀριστεῖα τοῖς νικηταῖς προεσκεύαζεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον, τοῖς παντοδαποῖς ἐδεξιοῦτο χαρίσμασι. ἐπειδὴ γὰρ εἰς τὴν τριάδα ἡ πίστις ὡμολογεῖτο, διὰ τοῦτο καὶ ἡ χάρις αὐτοῖς παρὰ τῆς τριάδος ἀντεμετρεῖτο. τίς δὲ ἡ χάρις ἦν; αὐτὸ τοῦτο τὸ ὑψηλοτέρους ἐπιδειχθῆναι τῶν πρώτων ἀγωνιστῶν, τοῦ Ἀδὰμ λέγω, καὶ τῆς Εὔας. ἐκεῖνοι ἑστῶσαν τὴν ἀνθρωπίνην φύσιν διὰ τῆς ἁμαρτίας κατήνεγκαν· οὗτοι κειμένην ἐν τῷ πτώματι τῶν προλαβόντων διὰ τῆς ὑπομονῆς πάλιν ἀνώρθωσαν. ἐκεῖνοι ἐκ τοῦ παραδείσου ἐπὶ τὴν γῆν ἀπώσθησαν· οὗτοι ἐντεῦθεν ἐπὶ τὸν παράδεισον ἀνῳκίσθησαν. ἐκεῖνοι καθ' ἑαυτῶν τὸν θάνατον ὥπλισαν. ὅπλον γὰρ θανάτου ἡ ἁμαρτία, φησί· οὗτοι καθωπλισμένον τῇ ἁμαρτίᾳ τὸν θάνατον διὰ τῆς ἑαυτῶν ἀνδρείας ἠχρείωσαν, τῇ ὑπομονῇ τῶν παθημάτων τοῦ κέντρου τὴν ἀκμὴν ἀπαμβλύναντες· ὥστε εἰπεῖν καλῶς, ποῦ σου θάνατε τὸ κέντρον, ποῦ σου ᾅδη τὸ νῖκος; καρποῦ ξύλου τί ἀθλιώτερον; τί δ' εὐτελέστερον ξύλου; καρπὸς δὲ χροιᾷ τινὶ καὶ ἡδονῇ γεύσεως ἐπικεχρωσμένος, ἀτιμασθῆναι τοῦ παραδείσου τὴν χάριν ἐποίησεν. τοῖς δὲ μεγάλοις τούτοις ἀγωνισταῖς, οὐδὲ αὐτὸς ὁ ἥλιος ἐφάνη γλυκύς· ἀλλὰ καὶ τούτου ἑκουσίως ἠλλοτριοῦντο, ἵνα μὴ τοῦ ἀληθινοῦ φωτὸς ἀποπέσωσιν. τί λέγει περὶ τῆς Εὔας ὁ λόγος; παράγομαι γὰρ καὶ πέρα τοῦ δέοντος καταδραμεῖν τῶν πρωτογόνων. εἶδεν, φησὶν, ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς καὶ ὡραῖον εἰς γεῦσιν· εἶτα τὴν ἐν τούτοις χάριν ἀντὶ τοῦ παραδείσου ἠλλάξαντο. τούτοις δὲ ἄρα καταγεύσεως ἡδονὴν τὰ ὁρώμενα ἦν· οὐρανὸς, ἥλιος, γῆ, ἄνθρωποι· πατρὶς, μητέρες, ἀδελφοὶ, φίλοι, συγγενεῖς, ἡλικιῶται, ὧν τί μὲν ὀφθῆναι γλυκύτερον; τί δὲ εἰς γεῦσιν ἐλθεῖν τιμιώ-

A vnum bonum, eſſe cum Chriſto ſolo, cætera verò omnia, riſus & vmbra, nugæque & ſomniorum viſis ſimilia. Propterea oratio de iis quæ aſpectum effugiunt, loqui ſuſtinet, & ait, quòd omnis ſupramundanus exercitus ob rem quæ egregiè ab athletis iſtis gerebatur, lætaretur. Adhuc oratio in rebus non tentandis ſeſe effert & audet: adhuc ſupramundana ſuſtinet narrare, quòd cùm hæ res nimirum hîc proſperè gererentur in conflictu contra aduerſarios, iuſtus certaminis inſtitutor ac præſes coronas victoribus deſtinatas proferebat, & imperator diuini exercitus præmia victori-
B bus præparabat, & Spiritus ſanctus variis donis eos excipiebat. Quoniã enim fidem in Trinitatem profitebantur, idcirco gratia quoq; eis à Trinitate referebatur. Quænam autem ea gratia erat? Hoc ipſum vt præſtãtiores primis athletis, Adamo, inquam, & Eua, demonſtrarentur. Illi ſtantem humanam naturam per peccatum deiecerunt: hi oppreſſam ruina ſuperiorum per patientiam rurſus erexerunt. Illi ex paradiſo in terram eiecti ſunt: iſti hinc ad paradiſum emi-
C grarunt. Illi mortem aduerſus ſeipſos armarunt (: Arma enim mortis, inquit, eſt peccatum) hi mortem peccato armatam ſua virtute atque fortitudine tolerandis incommodis, ſtimuli aciem obtundentes fruſtrati ſunt atque fregerunt: adeò vt rectè dici poſſit, vbi eſt mors victoria tua? vbi ſtimulus tuus inferne? Fructu ligni (quid miſerius? ligno quid vilius?) fructus coloris quadam bonitate & ſuauitate ſaporis commendatus effecit, vt amœnitas atque commoditas paradiſi paruifieret & negligere-
D tur. At magnis iſtis certatoribus, ne ſol quidem ipſe dulcis viſus eſt: ſed ab hoc etiam ſponte ſua abalienati ſunt, ne vero lumine exciderent atque priuarentur. Quid dicit ſcriptura de Eua? Gen. 3. (prouehor enim longius etiã quàm res poſtulat percurrere facta primorum parentum.) Vidit, inquit, quòd eſſet gratum oculis, & maturum ad guſtum, deinde iſtorum gratiã & illecebram cum paradiſo commutauit. At his pro deguſtationis voluptate erant ea quæ ſub viſum cadunt: cœlum, ſol, terra, homines: patria, mater, fratres, amici, cognati, æquales, quibus rebus quid viſu quidem dulcius? quid verò magis expe-

tendum, quàm ad guſtum & fructum iſtarum rerum peruenire? noſtis liberi amorem aduerſus parẽtes: noſtis patres erga filios affectionẽ: noſti qui intueris dulce lumen Solis: non ignoras qui fratrum ſtudioſus es, naturalem erga fraternam neceſſitudinẽ, affectionem: ſcis iuuenis, quàm grata atq; iucunda conſuetudo æqualium ſit, quãtopere vitam tuam delectent. At illis omnia inimica, omnia aliena erant. Vnum illis bonum videbatur Christus. omnia repudiarunt, vt hunc lucrifacerẽt. Tempus erat vinculorum haud exiguum, & quo diutius ſupplicium prorogabatur, eo ſancti vehementius & ardentius conſummationem deſiderabant. Ac quemadmodum illi, qui corporis bonã habitudinem curant, poſteaquàm apud pædotribã ſatis virium acquiſiuerunt, tum demum audacter ad certamina procedunt: eodem modo etiam hi vinculis & carcere ſatis ad pietatem exercitati, ita tandẽ ad coronam certaminum producti ſunt. Peruenit ad exitum, imò verò ad verticem totius rei bene geſtæ continuatio orationis. Hoc erat tempus: hi certaminis dies: hoc paſchæ prooemiũ, ſanctæ quadrageſimæ myſteriũ. Quadraginta placationis nobis ſunt dies, totidem etiam ſanctorum coronæ. Nunquid ſuperuacuus vobis & nugator eſſe videor, qui veſtra inter vos miracula exponam, veſtriſque bonis aures veſtras demulceam? Veruntamen ne imperfecta vos prætervehatur oratio, ad finem certaminum cum ſanctis etiam nos vnà curremus. Frigus erat in illo die. Prorſus autẽ nihil opus eſt vos doceri, quale frigus eſſet, cùm ex pręſenti die coniecturam facere poſſitis, frigus quod vel ipſos pilos peruadit. Noſtis nimiã intẽtionem & aſperitatem tam aduenæ locorum, quam indigenæ: ac nihil opus habetis oratione doceri, ſed vel quiuis alius exponere poſſit, quàm mirificæ apud vos hyemes eſſe ſoleant, quemadmodum congelatione flumini aduerſante, & quaſi in lapidem vndas durante, perẽnes quidem amnes fluere ſuperſedeant atque conſiſtant. Lacus verò vicinus ſignis quibuſdam etiam opus habet, quibus lacus eſſe agnoſcatur, quaſi terra inculta per congelationem effectus: in quo qui volunt ſuper vndas eius equos, alij in alios concitando certamina ludicra edere conſueuerunt. Noui etiam ſæpè locorum incolas ex igni aquam ſoler-

A τερον, οἴδατε οἱ παῖδες τὴν εἰς τοὺς γονέας στοργήν; οἴδατε οἱ πατέρες τὴν πρὸς τὰ τέκνα διάθεσιν· οἶδας ὁ βλέπων τὸ ἐν ἡλίῳ γλυκύ· οὐκ ἀγνοεῖς ὁ φιλάδελφος τὴν φυσικὴν πρὸς τὴν ἀδελφότητα σχέσιν· ἐπίστασαι ὁ νέος τὴν ἐκ τῶν ἡλικιωτῶν χάριν, ὅσοι τὸν βίον ἡδύνουσιν. ἀλλ' ἐκείνοις πάντα ἐχθρά, πάντα ἀλλότρια ἦν. ἓν μόνον ἀγαθὸν ὁ Χριστός. πάντα ἠρνήσαντο, ἵνα τοῦτον κερδήσωσιν. χρόνος ἦν τῶν δεσμῶν οὐκ ὀλίγος, καὶ τοῖς ἁγίοις τῇ παρατάσει τῆς τιμωρίας ἡ πρὸς τὴν τελείωσιν ἐ-

B πιθυμία συνήκμαζεν. καὶ ὥσπερ οἱ τὴν σωματικὴν εὐεξίαν μελετῶντες, ἐπειδὰν ἱκανὴν ἐν παιδοτρίβου τὴν δύναμιν κτήσωνται, οὕτω θαρροῦντες ἐπὶ τοὺς ἀγῶνας χωροῦσιν· τὸν αὐτὸν τρόπον καὶ οὗτοι διὰ τῶν δεσμῶν καὶ τῆς φυλακῆς ἱκανῶς παιδοτριβηθέντες πρὸς τὴν εὐσέβειαν, οὕτως ἐπὶ τὸν στέφανον τῶν ἀγώνων παρεκλήθησαν. ἦλθεν ἡ ἀκολουθία τοῦ λόγου ἐπὶ τὴν τελευτήν, μᾶλλον δὲ ἐπὶ τὴν κορυφὴν ὅλου τοῦ κατορθώματος. οὗτος ἦν ὁ καιρός· αὗται τοῦ ἀγῶνος αἱ ἡμέραι· τοῦτο τὸ τοῦ πάσχα

C προοίμιον, τὸ τῆς ἁγίας τεσσαρακοντάδος μυστήριον. τεσσαράκοντα τοῦ ἐξιλασμοῦ ἡμῖν αἱ ἡμέραι, ἰσάριθμοι δὲ τῶν ἁγίων οἱ στέφανοι. ἦπου περιττὸς ὑμῖν εἶναι δοκῶ καὶ ἀδόλεσχος, τὰ ὑμέτερα θαύματα ἐν ὑμῖν διηγούμενος, καὶ τοῖς ὑμετέροις τὴν ἀκοὴν δεξιούμενος. πλὴν ὡς ἂν μὴ ἀτελεῖς ὑμᾶς παραδράμοι ὁ λόγος, πρὸς τὸ πέρας τῶν ἀγώνων τοῖς ἁγίοις καὶ ἡμεῖς συνδραμούμεθα. κρυμὸς ἦν κατὰ τὴν ἡμέραν ἐκείνην. πάντως δὲ οὐδὲν δεῖ μαθεῖν ὑμᾶς οἷος ὁ κρυμός, ἐκ τῆς παρούσης ἡμέρας στοχαζομένους,

D κρυμὸς καὶ αὐτῶν τῶν τριχῶν διαδυόμενος. ἴστε τὴν ὑπερβολήν, οἵ τε ἐπήλυδες τῶν τόπων καὶ οἱ αὐτόχθονες, καὶ οὐδὲν δεῖσθε λόγῳ μαθεῖν. ἀλλὰ κἂν ἕτερος εἴποι τὴν θαυματοποιΐαν τῶν ὑμετέρων χειμώνων· ὅπως ποταμοὶ μὲν ἀέναα ῥέοντες ἵστανται, ἀντιβαινούσης τῷ ῥεῖθρῳ τῆς πήξεως, καὶ ἀπολιθοποιούσης τὰ κύματα· ἡ δὲ γείτων λίμνη σημείων τινῶν πρὸς τὸ ἐπιγνωσθῆναι λίμνη οὖσα προσδέεται, χερσωθεῖσα διὰ τῆς πήξεως, ἐφ' ἧς συνήθες ἐστὶ τοῖς βουλομένοις ἄνω τῶν κυμάτων αὐτῆς καθιππάζεσθαι. οἶδα πολλάκις καὶ ἐκ πυρὸς ὕδωρ τοὺς ἐγχω-

ρίοις ἐπινοούμενοι, ὅταν τι τρύφος τοῦ ὕδατος ἀποκλάσαντες ὥσπερ τινὰ χαλκὸν ἢ σίδηρον τῷ πυρὶ διατήξαντες, ὕδωρ τὸν λίθον ποιήσωσιν. τοιοῦτος ἦν ὁ καιρὸς κατὰ τὸν τῆς ἀθλήσεως χρόνον, ἐπίτασιν τοῦ κακοῦ παρὰ φύσιν ἐκ βορείων πνευμάτων λαβόντος, καθὼς ἔστιν ἀκούειν τῶν διηγουμένων τὰ θαύματα. ἐπειδὴ τοίνυν λαμπρῶς τὸ ὄνομα τοῦ κυρίου δημοσίᾳ κηρύξαντες, καὶ ἤδη στεφανίτας ἑαυτοὺς διὰ τῆς τοιαύτης ἀναῤῥήσεως δείξαντες, ἐχώρουν ἐπὶ τὴν διὰ τοῦ θανάτου τελείωσιν, οὕτως αὐτοῖς ἐπινοήθη τῆς ἀθλήσεως ὁ τρόπος. πρόσταγμα γίνεται τοῦ τυράννου, κρυμῷ τοὺς ἀθλητὰς τιμωρήσασθαι. ὢ τῆς ἀσθενείας καὶ τῶν ῥημάτων καὶ τῶν νοημάτων· ὅσον ἀπολείπεται τῆς ἀξίας ὁ λόγος; θανάτου πρόσταγμα, καὶ κρυμός, καὶ τιμωρία, καὶ προσδοκία τῆς τοιαύτης κολάσεως· καὶ ἡ μακαρία νεότης ἐν γέλωτι καὶ παιδιᾷ καὶ φαιδρότητι τὸν τῆς τιμωρίας κατελάμβανε τόπον· δρόμος ἦν τῶν ἀθλητῶν ἐπὶ τὸ πάθος· δρόμος, ἱερός τε καὶ σύντονος· καὶ φιλονεικία τοῦ προαρπάσαι τῆς ὁμολογίας τὸν στέφανον· ἴση πρὸς τὴν νίκην ἦν αὐτοῖς ἡ σπουδή· οὐδεὶς ὕστερος ὤφθη τῇ προθυμίᾳ· ἀλλ᾽ ὁμοθυμαδὸν ἅπαντες, τουτονὶ καταλαβόντες τὸν τόπον, ὡσεὶ δημοσίοις τότε λουτροῖς σχολάζοντα, ὡς καὶ αὐτοὶ μέλλοντες τῷ λουτρῷ καταφαιδρύνειν τὰ σώματα· ἑτοίμως τὴν τῶν χιτώνων περιβολὴν ἀπετίθεντο, τὸ τοῦ Ἰὼβ πάντες ἐπιφθεγγόμενοι· ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν κόσμον, γυμνοὶ πρὸς τὸν εἰσαγαγόντα ἀπελευσόμεθα· οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, οὐδὲ ἐξενεγκεῖν τι ὀφείλομεν· μᾶλλον δὲ γυμνοὶ εἰσελθόντες, πλήρεις θησαυρῶν τῶν ἐκ τῆς ἀγαθῆς ὁμολογίας ἀπελευσόμεθα. ταῦτα λέγοντες, καὶ τοιούτοις ἑαυτοὺς λόγοις παραθαρσύνοντες, ἐδίδοσαν τῇ πήξει τὸ σῶμα, καὶ ἡ μὲν τῶν στοιχείων φύσις, κατεκρατεῖτο τῇ πήξει· ἡ δὲ τῶν μαρτύρων φύσις, ὡς ἀδούλωτος ἦν, μᾶλλον δὲ ἡ μὲν φύσις τὸ οἰκεῖον ἔπασχεν, καὶ τὰ ἀλγεινὰ προσεδέχετο· ἡ δὲ μεγαλοψυχία τῶν ἀθλητῶν, καὶ πρὸς αὐτὴν τὴν φύσιν διηγωνίζετο. ἡ μὲν γὰρ δύναμις κατὰ μικρὸν διελύετο μαραινομένη καὶ δαπανωμένη διὰ τῆς πήξεως· ὁ δὲ τῆς ψυχῆς τόνος μείζων ἐγίνετο· ἐμελαίνετο μὲν ἡ ὥρα τοῦ σώματος, καὶ ἀπήνθει τὸ κάλλος, καὶ τὸ τῆς σαρκὸς εὔχρουν κατεμαραί-

A tia quadam conficere, cum fruſto quodam aquæ gelu concretæ tanquam ære quodam vel ferro defracto & igni colliquefacto aquam redigunt ex eo, quod in lapidem quaſi duratum eſt. Is ſtatus temporis erat: quo tempore certamen peragebatur, malo præter naturam flatibus Borealibus incrementum nacto: quemadmodũ audire licet ex iis, qui miracula exponunt. Poſteaquàm igitur clarè nomen Chriſti publicè prædicaſſent, & per eiuſmodi præconiũ ſeſe iam (victoriæ nomine) coronatos eſſe declaraſſent, & tenderent ad mortis conſummationem, hic modus certaminis eis excogitatus eſt. B Imperat tyrannus, vt gelu athletæ excruciati extinguerentur. O infirmitatem verborum & ſentẽtiarum! quantum abeſt à dignitate oratio? ſententia mortis pœnam irrogans: & gelu, & ſupplicium, & expectatio talis pœnæ: & beata iuuentus per riſum & iocum & hilaritatem ad locum ſupplicij contendebat; curſus erat athletarum ad paſſionem: curſus & ſacer & incitatus, & contentio præripiendi coronam confeſſionis, par eis ſtudium ad victoriam erat, C nemo animi promptitudine poſterior viſus eſt: ſed vnanimiter vniuerſi hoc occupato loco, publicis perinde quaſi balneis vacaret, & quaſi tum ipſi lauachro corpora curaturi & abluturi eſsẽt, haud cunctanter tunicarum amictum deponebant, dictum illud Iobi omnes adijcientes: Nudi introiuimus in mundum, nudi ad eum, qui (huc nos) introduxit, abibimus: nihil importauimus in mundum, ne exportare quidem quicquam debemus: imò verò nudi ingreſſi, theſaurorum ex bona confeſſione collectorum pleni abibimus. Hæc dicẽtes, D & eiuſmodi verbis ſeſe animãtes & confirmãtes, corpus frigori conſtringẽdum dabant, ac elemẽtorum quidem natura congelationi ſuccumbebat: martyrum verò natura, quaſi indomita atque inuicta erat: imò verò naturæ quidem id, quod par & conſentaneum erat, accidebat: quippe cruciatus capiebat: athletarum verò magnitudo animi etiã aduerſus ipſam naturam decertabat. Nam vires quidem corporis conſtringente gelu contabeſcentes paulatim ſoluebantur & conſumebantur; animi verò vigor maior euadebat: nigreſcebat quidem decor corporis, ac pulchritudo defloreſcebat, & carnis bonus color euaneſce-

Iob. 1.

bat : defluebant digiti gelu paulatim carpti atque acciſi : membraque omnia ac ſenſuum inſtrumenta ſæuitia frigoris paſſim frangebantur, ac dilabebantur. Liueſcens enim caro paulatim & intumeſcens cùm circa membra ſcinderetur, ab oſſibus defluebat, ac mortiferi cruciatus ſentiebantur. Atque ita mors eis paulatim ac ſenſim progrediens protrahebatur tribus diebus durans. Nam ad id vſque ſpatium ſenſu eorum durante, manſerunt in eo loco, in quo ab initio collocati erant, per omnia aduerſarij victores euadentes. Sed quis mihi ea, quæ conſequuta ſunt, pro dignitate exponere poſſit ? quænam oratio diuinam illam pompã deſcribet, cùm ſancta illa corpora plauſtris ad ignem veherentur ? qua ratione pro eo, qui ab diabolo ſubductus erat, ad ſupplendum numerum cuſtos carceris à gratia introductus & reliquis adiunctus ſit? Quis mihi exponet de matre illa, digna quæ martyra produxerit radice, quæ ex ſeſe nato à carnifice relicto, propterea quòd etiam nunc ſpiraret, & idcirco cum cæteris in plauſtrum ſublatus non eſſet, vt vidit humanitatem carnificis erga virum fortem, contumeliam non tulit: ſed illum quidem increpabat, quòd à commilitonibus & collegis athletam ſegregaſſet : ipſa verò martyri aſſiſtens torpenti iam & præ congelatione immobili, ac conſpicata eum frigido atque infirmo anhelitu coarctari, tantùm duntaxat viuentem, vt cruciatus ſentiret, obſcuro ac languido obtutu matrem ſuam aſpicientem, emortua ac languida manu innuentem & conſolantem, & vt fortiter ferret hortantem : vt hæc mater vidit, nunquid eiuſmodi aliquid, quale matribus accidere ſolet, admiſit ? nunquid viſcera eius commota ſunt ? aut tunicam circumſcidit? aut filio circumfuſa eſt, calidis vlnis torporem ac defectionem refouens & refocillans ? Remoue iſthæc. Etiam dicere aliquid eiuſmodi abſurdum eſt. Ex fructu reuera arborem cognoſcimus : non poteſt arbor putris & vitioſa bonos fructus producere. Quoniam igitur fructus martyrij bonus eſt, lauda optimæ prolis matrem, quæ per filij procreationem ſeruatur, vt inquit Apoſtolus. Quoniam enim talem Deo fructum produxit, communem fœmi-

A νετο· ἀπέῤῥεον δάκτυλοι, τῷ κρυμῷ κατ' ὀλίγον περικοπτόμενοι, μέλη τε πάντα καὶ αἰσθητήρια τῇ πικρίᾳ τοῦ κρύους περιεθρύπτετο. πελιδνουμένη γὰρ κατ' ὀλίγον ἡ σὰρξ, καὶ διοιδοῦσα καὶ περιλακιζομένη τοῖς μέλεσιν, τῶν ὀστέων ἀπέῤῥεε, καὶ τὰ τῆς νεκρότητος πάθη ἐν αἰσθήσει ἐδέχετο. καὶ οὕτως αὖθις κατὰ μικρὸν ὁ θάνατος προϊὼν ἐμηκύνετο τρισὶν ἡμέραις παρατεινόμενος. μέχρι γὰρ τοσούτου τῆς αἰσθήσεως αὐτοῖς διαρκούσης, ἔμειναν ἐφ' ἧς ἐξ ἀρχῆς ἐτάχθησαν τάξεως, διὰ πάντων νικη-
B ταὶ κατὰ τοῦ ἐναντίου γινόμενοι. ἀλλὰ τίς ἄν μοι τὰ ἐπὶ τούτοις πρὸς ἀξίαν ἐκδιηγήσαιτο. τίς ὑπογράψει λόγος τὴν θείαν ἐκείνην πομπὴν, ὅτε τὰ ἅγια σώματα δι' ἁμαξῶν ἐπὶ τὸ πῦρ ἐπομπεύετο. πῶς ἀντὶ τοῦ κλαπέντος ὑπὸ τοῦ διαβόλου ἀντεισήχθη τῷ ἀριθμῷ ὁ δεσμοφύλαξ ὑπὸ τῆς χάριτος. τίς μοι διηγήσεται τὴν μητέρα ἐκείνην τὴν ἀξίαν τοῦ μάρτυρος ῥίζαν, ἣ καταλειφθέντα ὑπὸ τοῦ δημίου τὸν ἐξ αὐτῆς διότι ἔμπνους ἦν, καὶ διὰ τοῦτο μὴ ἀναληφθέντα μετὰ τῶν ἄλλων ἐπὶ τὴν ἅμαξαν. ἐπειδὴ εἶδεν τὴν φιλανθρωπίαν τοῦ
G δημίου ἐπὶ τὸν ἀριστέα, τὴν ὕβριν οὐκ ἤνεγκεν· ἀλλ' ἐκεῖνον μὲν ἐλοιδόρει, ὅτι τῶν συναγωνιστῶν τὸν ἀθλητὴν ἀπεχώρισεν· αὐτὴ δὲ παραστᾶσα τῷ μάρτυρι, ἤδη νεναρκηκότι καὶ ἀκινήτως ὑπὸ τῆς πήξεως ἔχοντι, καὶ ἰδοῦσα ψυχρῷ καὶ ἀσθενεῖ τῷ ἄσθματι συνεχόμενον, τοσοῦτον ζῶντα μόνον, ὅσον τῶν ἀλγεινῶν ἐπαισθάνεσθαι, ἀμυδρῷ καὶ μεμαρασμένῳ τῷ βλέμματι τὴν μητέρα ἑαυτοῦ ὑποβλέποντα, νεκρᾷ καὶ ἀτονούσῃ τῇ χειρὶ διανεύοντά τι καὶ παραμυθούμενον, ὑποφέρειν γενναίως παρεγγυῶντα. ἐπειδὴ ταῦτα εἶδεν ἡ μήτηρ, ἆρα τί ἔπαθεν μη-
D τρικόν; ἆρα συνεχύθη τὰ σπλάγχνα; ἢ τὸν χιτῶνα περιεῤῥήξατο; ἢ περιεχύθη τῷ τέκνῳ, θερμαῖς ταῖς ὠλέναις τὸν μαρασμὸν ἐπιθάλπουσα; ἄπαγε. καὶ τὸ εἰπεῖν τι τοιοῦτον, τῶν ἀτόπων ἐστίν. ὄντως ἐκ τοῦ καρποῦ τὸ δένδρον ἐπιγινώσκομεν· οὐ δύναται δένδρον σαπρὸν καρποὺς καλοὺς ποιῆσαι. ἐπεὶ οὖν ὁ καρπὸς τῆς μαρτυρίας καλὸς, ἐπαίνεσον τὴν ἀριστοτόκον μητέρα, τὴν διὰ τῆς τεκνογονίας σωζομένην, καθώς φησιν ὁ ἀπόστολος. ἐπειδὴ γὰρ τοιοῦτον παρέστησε τῷ Θεῷ τὸν καρπὸν, ὑπὲρ τῆς κοινῆς

τὴν γυναικείαν ἀπελογήσατο φύσεως. Οὐκ ἐμόν, φησί, τέκνον σύ· οὐ τῆς ἐμῆς ὠδῖνος βλάστημα, τὸν Θεὸν δεξάμενος, κατὰ Θεὸν ἐγεννήθης. Ἔλαβες ἐξουσίαν τέκνον Θεοῦ γενέσθαι. Δράμε πρὸς τὸν σὸν πατέρα· μὴ καταλειφθῇς παρὰ τῶν ὁμηλίκων· μὴ δεύτερος ἐπὶ τὸν στέφανον ἔλθῃς· μὴ ἀτελῆ ποιήσῃς μητρῴαν εὐχήν· οὐ λυπήσεις μητέρα, στεφανίτης καὶ νικητὴς καὶ τροπαιοφόρος γενόμενος. Ταῦτα λέγουσα, καὶ ὑπὲρ τὴν φύσιν ἑαυτὴν τονώσασα· μᾶλλον δὲ τονωθεῖσα ὑπὸ τοῦ πνεύματος, αὐτὴ τὸν ἐξ αὐτῆς μετὰ τῶν λοιπῶν ἐπὶ τὴν ἀπήνην ἀνέθετο, φαιδρῷ τῷ προσώπῳ τοῦ ἀθλητοῦ προπομπεύουσα. Τὰ δὲ ἐπὶ τούτοις οἷα; ἐνήθλησαν τῷ ἀέρι οἱ ἅγιοι, ἡγίασαν καὶ τὸ πῦρ τῇ ἑαυτῶν προσθήκῃ, ὕλη τῇ φλογὶ γενόμενοι. Ἤνεγκαν καὶ ἐπὶ τὸ ὕδωρ τὴν εὐλογίαν. Διὰ πάντων ἐπληρώθη τὰ θεῖα λόγια. Οἱ τρεῖς παῖδες συμπαραλαμβάνουσιν εἰς τὴν κοινὴν ὑμνολογίαν, ψῦχος καὶ καῦμα· τὸ ψῦχος, διὰ τῆς πήξεως· τὸ καῦμα, διὰ τῆς καύσεως. Εἶτα διῆλθον διὰ πυρὸς καὶ ὕδατος. Ἀλλ' ἐπιθυμεῖ ταῦτα ὡς ἐγνωσμένα παραδραμεῖν ὁ λόγος, καὶ περί τινος τῶν πρῴην ζητουμένων ἐν καιρῷ νῦν ἐξετάσαι. Ὅτι ἐξωρίσθη τοῦ παραδείσου ὁ ἄνθρωπος, ἐτάχθη φρουρεῖν τὴν εἴσοδον φλογίνη ῥομφαία ἡ στρεφομένη, καὶ ἡ αἰτία τῆς τοιαύτης τοῦ Θεοῦ προμηθείας, τὸ μὴ προσελθεῖν ἐπὶ τὸ τῆς ζωῆς ξύλον τὸν ἄνθρωπον, καὶ ἅψασθαι, καὶ διαμεῖναι ἀθάνατον. Μέμνησθε πάντως τῶν ἐζητημένων· μέμνησθε δέ, ὡς εἰκὸς καὶ τῶν πρὸς τὸ ζητούμενον ἡμῖν εὑρημένων· ἀλλ' εἰ μέλλοιμεν πάλιν ὑπ' ἀρχῆς ἐπεξιέναι, καὶ ὅλον διαλαμβάνειν τὸν λόγον, ὑπὲρ τὸν παρόντα ἔσται καιρὸν ἡ παράτασις. Τὸ μὲν οὖν ζητούμενον τοῦτο ἦν· Εἰ καὶ τοῖς ἁγίοις ἄβατός ἐστιν ὁ παράδεισος διὰ τῆς στρεφομένης ῥομφαίας; καὶ εἰ τοῦ παραδείσου οἱ ἀθληταὶ ἀποκλείονται; τίς ἡ ἐπαγγελία λοιπὸν ὑπὲρ ἧς ἀναδέχονται τοὺς τῆς εὐσεβείας ἀγῶνας, καὶ εἰ τοῦ λῃστοῦ ἔλαττον ἕξουσι, πρὸς ὃν εἶπεν ὁ κύριος· ὅτι σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, καίτοι γε οὐχ ἑκουσίως ὁ λῃστὴς τῷ σταυρῷ προσῆλθεν· ἀλλ' ἐπειδὴ ἐγγὺς τῆς σωτηρίας ἐγένετο, εἶδεν ὁ ὀξὺς καὶ εὐφυὴς κλέπτης τὸν θησαυρόν, καὶ ἐπιτυχὼν καιροῦ τὴν ζωὴν ἐλῄστευσε, καλῶς τῇ κλεπτικῇ καὶ εὐστό-

A nei ſexus cauſſam defendit. Non meus, inquit, filius es tu: non mei partus germen, quoniam Deum recepiſti, ſecundum Deum natus es. Accepiſti poteſtatem vt filius Dei fias, curre ad patrem tuum: ne relinquaris ab tuis coæuis: ne ſecūdus ad coronam venias: ne irritum facias votum maternum: non offendes, non moleſtia afficies matrem, ſi victor coronatus, ſi victor & triumphator euaſeris. Hæc dicens & vltra (ſexus) naturam ſeſe obfirmans: imò verò roborata à ſpiritu, ipſa ex ſe natum ad reliquos in vehiculum imponit, alacri vultu proB ſequens ac deducens athletam. Quæ conſequuta ſunt, qualia? Certauerunt in aëre ſancti, ſanctificauerunt etiam ignem ſui adiectione, materia flammæ facti. Tulerunt etiam ad aquam benedictionem, per omnia implebantur diuina oracula. Tres illi pueri ad communem laudum decantationem vnà aſſumunt frigus & æſtum: frigus per congelationem, æſtum per cōbuſtionem: deinde tranſierunt per ignem & aquam. Verùm hæc tanquam nota prætervehi cupit oratio, ac de aliqua earum quæC ſtionum, quæ nuper motæ ſunt, nunc in tempore diſſerere atque tractare. Poſteaquam homo eiectus eſſet è paradiſo, gladius flammeus, qui verteretur, deſtinatus & collocatus eſt ad cuſtodiēdum aditum. Et cauſa talis prouidentiæ Dei eſt, ne homo irrumperet ad lignum vitæ, ac deguſtaret, & permaneret immortalis. Meminiſtis prorſus eorum quæ quæſita fuerūt: recordamini item, vt par eſt, etiam eorum, quæ à nobis ad id, quod quærebatur, inuenta ſunt: ſed ſi omnia ab initio denuò perſequi, totámque de integro quæſtionem tractaD re & explicare velimus, vltra quam præſens ratio temporis patiatur, res protrahetur. Ac quæſtio quidem hæc erat: an etiam ſanctis propter gladium, qui vertitur, paradiſus inacceſſus ſit? & an athletæ paradiſo excludantur? quænam promiſſio deinceps ſit, cuius reſpectu pro pietate certamina ſuſcipiunt? Item, an deteriore cōditione futuri ſint, quàm latro, ad quem Dominus dixit, Hodie mecum eris in paradiſo, quanquam non ſponte ſua latro ad crucem acceſſit: ſed poſteaquam prope ſalutem fuit, animaduertit acutus & ingenioſus fur theſaurum, & nactus occaſionem vitam rapuit arte furandi pulchrè atque ſoler-

ter abuſus. Domine memento mei, inquit, in regno tuo. Tum ille quidem paradiſum conſequitur: quod autem ad ſanctos attinet, flammeus enſis aditum impeditum reddit? Sane à ſeipſa quæſtio ſolutionem habet. Nam propterea non ſemper ingredientibus ex aduerſo ſtantem gladium ſcriptura demõſtrat, verum etiam verti fingit: vt indignis quidem aduerſus appareat: dignis verò verſus à tergo exiſtat, expeditum eis aditum patefaciens ad vitam, intra quam illi fiducia certaminum illæſi flammam tranſgreſſi penetrarunt: qua etiam nos intrepidè ſuperata, intra paradiſum perueniamus, per illorum interceſſionem confirmati ad bonam confeſſionem Domini noſtri Ieſu Chriſti, cui gloria in ſæcula ſæculorum, Amen.

A χως ἀποχρησάμενος. κύριε μνήσθητί μου, εἰπών, ἐν τῇ βασιλείᾳ σου. εἶτα ἐκεῖνος μὲν ἀξιοῦται τοῦ παραδείσου· ἐπὶ δὲ τῶν ἁγίων ἡ φλογίνη ῥομφαία διακωλύει τὴν εἴσοδον; ἢ αὐτόθεν ἔχει τὴν λύσιν τὸ ζήτημα. διὰ τοῦτο γὰρ οὐκ ἀεὶ ἑστῶσαν ἀντιπρόσωπον τοῖς εἰσιοῦσι τὴν ῥομφαίαν ὁ λόγος ἔδειξεν, ἀλλὰ καὶ στρεφομένην ἐποίησεν· ἵνα τοῖς μὲν ἀναξίοις κατὰ στόμα προφαίνηται, τοῖς δὲ ἀξίοις στρεφομένη κατὰ νώτου γίνηται, ἀκώλυτον αὐτοῖς τὴν εἴσοδον ἐπὶ τὴν ζωὴν ὑπανοίγουσα, ἧς ἐντὸς ἐκεῖνοι γεγόνασι τῇ παρρησίᾳ τῶν ἀγώνων ἀπαθῶς τὴν B φλόγα περάσαντες, ἣν καὶ ἡμεῖς ἀδεῶς περάσαντες, τοῦ παραδείσου ἐντὸς γενοίμεθα, διὰ τῆς πρεσβείας αὐτῶν δυναμωθέντες, πρὸς τὴν ἀγαθὴν ὁμολογίαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

EIVSDEM ORATIO, HABITA IN FUNERE PULCHERIÆ CONSOLATORIA.

Eodem Siſano interprete.

EQVIDEM haud ſcio, quo pacto accõmodem orationem. Nam & duplex video argumentum, & vtrinque triſte & acerbum, vt vtrumcumq; oratio ſumpſerit, haud facilè lacrymas euitare poſſit. Præſens temporis circuitus, quemadmodum id nobis heri à paſtore nuntiabatur, acerbarũ rerum, quæ vicinæ aliquando vrbi per terræmotum acciderunt memoriã continet: quæ quis abſque lacrymis cõmemorare poſſit? magna autem hæc & illuſtris, totíque qui Soli ſubiectus eſt, terrarũ orbi propoſita, præclara vrbs alium ſuſtinuit terræmotum, atque haud paruum ornamentum amiſit, luminari, quod ad augendam imperatoriã fœlicitatem in ea reſplendebat, repente priuata, atque idcirco vnà cum lugentibus imperatoribus mœrens ac condoleſcens. Quid autem dicatur, non ignoratis prorſus, qui conuentum completis, cùm & hunc ipſum locum, in quo congregati ſumus, & mœrorem luctumque in eo videtis.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΠΟΥΛΧΕΡΙΑΝ ΛΟΓΟΣ.

C ΟΥΚ οἶδα ὅπως τῷ λόγῳ χρήσομαι, διπλῆν τε γὰρ ὁρῶ τὴν ὑπόθεσιν, καὶ σκυθρωπὴν καθ' ἑκάτερον, ὡς μὴ ῥᾴδιον ἔξω δακρύων τὸν λόγον ἐλθεῖν. ὅτι οὖν ἐξ ἀμφοτέρων ἑλόμενον, ἡ παροῦσα τοῦ χρόνου περίοδος, καθὼς ἡμῖν χθὲς τοῦτο παρὰ τοῦ ποιμένος ἠγγέλετο, σκυθρωπῶν πραγμάτων τῶν τῇ γείτονι πόλει ποτὲ διὰ τοῦ σεισμοῦ συμπεπτωκότων περιέχει τὴν μνήμην, ἃ τίς ἀδακρυτὶ διέξελ- D θοι; ἡ δὲ μεγάλη καὶ περιφανὴς αὕτη καὶ τῷ ὑφ' ἡλίῳ πάσης προτεταγμένη καλλίπολις ἄλλον σεισμὸν ὑπέστη, καὶ οὐ μικρὸν ἀπεσυλήθη κόσμου τοῦ ἐν αὐτῇ λάμψαντος φωστῆρος εἰς προσθήκην τῆς βασιλικῆς εὐκληρείας ἀθρόως ἀφαιρεθεῖσα, καὶ διὰ τοῦτο τῇ κατηφείᾳ τῶν βασιλέων συσκυθρωπάζουσα. τὸ δὲ λεγόμενον, οὐκ ἀγνοεῖτε πάντως οἱ πληροῦντες τὸν σύλλογον, ὁρῶντες αὐτόν τε τὸν τόπον τοῦτον ἐν ᾧ συνειλέγμεθα καὶ τὴν ἐν τῷ τόπῳ κατήφειαν.

Οὐκ οἶδα τοίνυν πρὸς ποῖον σεισμὸν τρέψω τὸν λόγον, πρὸς τὸν νῦν ἢ τὸν πάλαι γενόμενον; ἢ καλῶς ἔχει πρὸς τὸ ὑπερβάλλον τοῦ πάθους στῆναι, καὶ καταπραΰνειν τῆς πόλεως τὴν ἰδίαν ἀλγηδόνα λογισμοῖς τισὶ τὸ πάθος καταφαρμάσσοντα. εἰ γὰρ καὶ μὴ πάντες οἱ τοῦ κακοῦ συμμετέχοντες τῷ συλλόγῳ πάρεισιν· ἀλλὰ διὰ τῶν παρόντων ἴσως καὶ εἰς τοὺς μὴ παρόντας ὁ λόγος διαδοθήσεται. καὶ γὰρ καὶ τῶν ἰατρῶν ἐκεῖνοι σοφοί, οἱ πρὸς τὸ πλεονάζον τῶν ἀλγηδόνων διὰ τῆς τέχνης ἱστάμενοι, τῶν δὲ ἧττον ὀδυνηρῶν τὴν θεραπείαν ὑπερτιθέμενοι. ὥσπερ δέ φασιν οἱ περὶ ταῦτα δεινοί, εἰ δύο κατὰ ταὐτὸν ἑνὶ σώματι πόνοι συμπέσοιεν, μόνου τοῦ ὑπερβάλλοντος τὴν αἴσθησιν γίνεσθαι, ἐν τῷ πλεονάζοντι τῆς ἐπικρατούσης ἀλγηδόνος ἐκκλεπτομένης τῆς ἥττονος· οὕτω καὶ ἐπὶ τοῦ παρόντος βλέπω. τὸ γὰρ νέον τι καὶ ἡμέτερον ἄλγημα, τῶν διὰ τῆς μνήμης ἀλγυνόντων ἡμᾶς ἐστιν ἐπικρατέστερον. πῶς γὰρ οὐκ ἄν τις ἐπὶ τοῖς συμβεβηκόσι πάθοι; τίς οὕτως ἀπαθὴς τὴν ψυχήν; τίς οὕτως τὸν τρόπον σιδήρεος, ὡς ἀνάλγητὶ τὸ συμβὰν δέξασθαι; ἔγνωτε πάντως τὴν νέαν ταύτην περιστερὰν τὴν ἐκτρεφομένην τῇ βασιλικῇ καλιᾷ, τὴν ἄρτι μὲν πτερουμένην ἐν λαμπροῖς τοῖς πτεροῖς· ὑπερβᾶσαν δὲ τὴν ἡλικίαν ταῖς χάρισιν, ὅπως ἀφεῖσα τὴν καλιὰν οἴχεται· ὅπως ἔξω τῶν ὀφθαλμῶν ἡμῶν ἀπέπτη, ὅπως αὐτὴν ἀθρόως ὁ φθόνος τῶν χειρῶν ἡμῶν ἀφήρπασεν· εἴτε περιστερὰν χρὴ λέγειν ταύτην, εἴτε νεοθαλὲς ἄνθος, ὃ οὔπω μὲν ὅλον τῆς κάλυκος ἐξέλαμψεν, ἀλλὰ τὸ μὲν ἔλαμπεν ἤδη, τὸ δὲ λάμψειν ἠλπίζετο· καὶ ὅμως ἐν τῷ μικρῷ τε καὶ ἀτελεῖ ὑπερέλαμπεν· ὅπως ἀθρόως ἐναπεσβέσθη τῇ κάλυκι καὶ πρὶν εἰς ἀκμὴν προελθεῖν, καὶ ὅλην ἐνωδίᾳ πετάσαι, τὸ ἄνθος αὐτὸ περὶ ἑαυτὸ κατερρύη καὶ κόνις ἐγένετο, ὃ οὔτε ἐδρέψατό τις, οὔτε ἐστεφανώσατο· ἀλλὰ μάτην ἡ φύσις ἐπόνησεν· οὗ τὸ μὲν ἀγαθὸν ἐν ἐλπίσιν ἦν, ὁ δὲ φθόνος ξίφους δίκην πλάγιος ἐμπεσὼν τὴν ἐλπίδα διέκοψεν. σεισμὸς τις ἦν ἄντικρυς ἀδελφοὶ τὸ γενόμενον· σεισμός, οὐδὲν τῶν χαλεπῶν συμ-

A Haud igitur ſcio, ad vtrũ terræ motum
orationem conuertam, ad eúmne, qui
nunc accidit, an qui olim? Sanè haud
alienum eſt aduerſus id quod excellit
incommodum conſiſtere, atq; ciuitatis
proprium dolorẽ mitigare, rationibúſq;
quibuſdam incommodum, quaſi quodam
adhibito medicamento lenire. Etſi
enim non omnes, ad quos incommodum
ſimul pertinet, concioni interſunt:
attamen per eos qui adſunt, forſitan etiam
in abſentes oratio diuulgabitur.
Etenim etiam illi boni & commodi medici
ſunt, qui aduerſus excellentes & ſu-
B perantes dolores artem adhibendo conſiſtunt,
eorũ, quę minus doloris faciunt,
malorum curationẽ differentes. Quemadmodum
autem harum rerum periti
aiunt, ſi duo ſimul vni corpori dolores
acciderint, eum qui exuperet ac dominetur
ſolum ſentiri, exuperantia præualentis
cruciatus minorem dolorẽ quaſi
ſuffurante: idem etiá in re præſenti animaduerto.
Nam & nouus noſterq; proprius
dolor, iis rebus, quarum memoria
nobis acerba eſt, acrior atque vehementior
eſt. Nam quî poſſit aliquis ob ea
C quæ acciderunt, non affici? quis animo
adeò alienus ab affectibus eſt? quis adeò
moribus ferreus eſt, vt abſque dolore
quod accidit, excipiat? Noſtis prorſum
teneram hanc columbam, quæ in nido
regio nutriebatur, quę iam primùm quidem
nitidis pennis volucris euadebat,
ſed ætatem gratiis & virtutibus ſuperabat:
vt relicto nido diſceſſerit: vt ex oculis
noſtris auolauerit, vt eam inuidia repente
de manibus noſtris rapuerit: ſiue
columbam hanc dicere oportet, ſiue recens
pullulantem florem, qui nondum
quidem toto ſuo ſplendore ex gemmis
D ac vaginis emerſiſſet, ſed partim quidem
iam enituiſſet, partim verò in lucem
emerſurus ſperaretur: nec eo minus
in exigua atque imperfecta ſui parte
mirum in modum reſplenderet: vt repente
in gemma emarcuerit, ac priuſquam
ad ſuum vigorem perueniſſet, ac
ſummum incrementum nactus eſſet,
totumque cum ſuaui odore decorem
panderet ac diffunderet, ipſe circa ſe defluxerit
& in puluerẽ redactus ſit, quem
neque quiſquam decerpſit, neque coronis
adaptauit: ſed fruſtra natura laborauit:
vbi bonum quidem erat in ſpe
& expectatione, inuidia verò gladij inſtar ex tranſuerſo irruens ſpem interrupit.
Terræ motus quidam planè, fratres, erat id quod accidit, terræ motus acerbis caſibus

A nihilo mitior. Non enim inanimum ædificiorum decus labefactauit: neque floridas picturas, aut lapidum eximiæ pulchritudinis ſpectacula humi proſtrauit: ſed ipſius naturæ ædificium pulchritudine ſplendidum, gratiarum ac virtutum fulgore excellens, repente impetu facto terræ motus hic diſſoluit. Vidi ego etiam ſublime illud germen, alticomam palmam (Imperatoriam dico potentiam) quæ Imperatoriis virtutibus veluti ramis quibuſdam ſupra omnem eminet orbem terrarum, & omnia amplectitur, vidi (inquam) cum cæteros quidem ſuperantem atque vincentem, naturæ verò ſuccumbentem, & ob amiſſum florem inclinari. B Vidi item generoſam illam vitem quam palma amplexa eſt, quæ florem hunc nobis pepererat, qualeſnam iterum deintegro, quaſi pariens dolores animo, non corpore ſuſtinuit, cum hoc ab ea germen auelleretur? Quis abſque lacrymis cladem præteriit? quis vitæ damnum non deplorauit? quis calamitati non allacrymatus eſt? quis communi concentui lamẽtationis ſuas voces non admiſcuit? Vidi ſpectaculum certum & exploratum, quod qui auditione ac fama miracula accipiunt, non credant. Vidi pelagus hominum, C quod frequentia congregatorum, tanquam aqua quædam in omnes parteis ſeſe oculis offerret: plenum erat templum, plenum templi veſtibulum, adiuncta platea, angiporta, biuia, media tranſuerſa, ampla tectorum ſpatia: quicquid videbatur, hominum plenum erat, quaſi totus terrarum orbis propter cladem & infortunium illud in vnum concurriſſet. Spectaculum autem omnibus propoſitus erat ſacer ille flos, qui in aurea lectica afferebatur. Vt D omnium aſpicientium vultus demiſſi ac mœſti erãt? vt lacrymis oculi oppleti? manus inter ſe colliſæ? gemitus adhuc intimum cordis dolorem indicantes? Non mihi in illo tempore (forſitan ne cæteris quidem, qui tunc aderant) viſum eſt aurum naturali ſuo decore niteſcere, quinetiam lapidum fulgores, & aurei panni, & argenti ſplendores, & lumen ignis, quod & multum & copioſum ex tranſuerſo, vtrinque continentibus cereis lampadibus prætendebatur: omnia luctu ſimul nigreſce-

A πτωμάτων φιλανθρωπότερος. οὐ γὰρ ἄψυχον οἰκοδομημάτων κάλλος διελυμήνατο· οὐδὲ διανθεῖς γραφὰς, ἢ λίθων περικαλλῆ θεάματα εἰς γῆν κατέβαλεν· ἀλλ' αὐτῆς τῆς φύσεως τὸ οἰκοδόμημα λαμπρὸν τῷ κάλλει καὶ περιάστραπτον ταῖς χάρισιν, ἀθρόως προσαράξας ὁ σεισμὸς οὗτος διέλυσεν. εἶδον ἐγὼ καὶ τὸ ὑψηλὸν ἔρνος, τὸν ὑψίκομον φοίνικα. τὸ βασιλικὸν φημὶ κράτος· τὸν ταῖς βασιλικαῖς ἀρεταῖς οἷόν τισι κλάδοις πάσης ὑπερανεστῶτα τῆς οἰκουμένης καὶ πάντα διαλαμβάνοντα· εἶδον αὐτὸν τῶν μὲν ἄλλων κρατοῦντα, τῇ δὲ φύσει καμπτόμενον, καὶ πρὸς τὴν ἀποβολὴν τοῦ ἄνθους ἐπικλινόμενον. B εἶδον καὶ τὴν εὐγενῆ κληματίδα τὴν περιειλημμένην τῷ φοίνικι τὴν τὸ ἄνθος ἡμῖν τοῦτο ὠδινήσασαν οἵας ὑπέστη ἐκ δευτέρου πάλιν ὠδῖνας ἐν ψυχῇ οὐκ ἐν σώματι, ὅτε αὐτῆς οὗτος ὁ βλαστὸς ἀπετίλλετο; τίς ἀστενάκτως τὸ πάθος παρέδραμεν; τίς τὴν τοῦ βίου ζημίαν οὐκ ὠλοφύρατο; τίς οὐκ ἐπαφῆκεν τῷ πάθει δάκρυα; τίς οὐ κατέμιξε τῇ κοινῇ συνῳδίᾳ τοῦ θρήνου τὰς ἰδίας φωνάς; εἶδον θέαμα πιστὸν, ὃ οὐκ ἂν εἰς πίστιν ἔλθοι τοῖς ἀκοῇ παραδεχομένοις τὰ θαύματα. εἶδον ἐξ ἀνθρώπων πέλαγος τῇ πυκνότητι τῶν συνεστώτων, οἷόν τι C ὕδωρ κατὰ πᾶν μέρος τοῖς ὀφθαλμοῖς περιφαινόμενον, πλήρης ὁ ναός· πλῆρες τοῦ ναοῦ τὸ προαύλιον, ἡ ἐκδεχομένη πλατεῖα, τὰ ἄμφοδα, ἡ μέση, τὰ πλάγια, ἡ ἐπὶ τῶν δωμάτων εὐρυχωρία· πᾶν τὸ ὁρώμενον ἀνθρώπων πλήρωμα ἦν, ὥσπερ πάσης τῆς οἰκουμένης εἰς ταὐτὸν συνδραμούσης ἐπὶ τῷ πάθει. θέαμα δὲ προέκειτο πᾶσι τὸ ἱερὸν ἄνθος ἐκεῖνο ἐπὶ κλίνης χρυσῆς κομιζόμενον. πῶς κατηφῆ πάντων ἦν τῶν προσορώντων τὰ πρόσωπα; πῶς δεδα- D κρυμένα τὰ ὄμματα; χεῖρες ἀλλήλαις συναρασσόμεναι; στεναγμοὶ πρὸς τούτοις τὴν ἐγκάρδιον ὀδύνην καταμηνύοντες; οὐ μοι ἔδοξεν κατὰ τὴν ὥραν ἐκείνην· τάχα δὲ οὐδὲ τοῖς ἄλλοις τῶν τότε παρόντων τὴν ἐκ φύσεως χάριν ὁ χρυσὸς ἀποστίλβειν, ἀλλὰ καὶ αἱ τῶν λίθων αὐγαὶ καὶ τὰ ἐκ χρυσοῦ ὑφάσματα, καὶ αἱ τοῦ ἀργύρου μαρμαρυγαί, καὶ τὸ ἐκ τοῦ πυρὸς φῶς, πολύ τε καὶ ἄφθονον κατὰ τὰ πλάγια ἑκατέρωθεν τῇ συνεχείᾳ τῶν ἐκ τοῦ κηροῦ λαμπάδων παρατεινόμενον· πάντα τῷ πένθει συνεμελαί-

νετο, καὶ πάντα μετεῖχε τῆς κοινῆς κατηφείας. τότε καὶ ὁ μέγας Δαβὶδ τὰς ἰδίας ὑμνῳδίας τοῖς θρήνοις ἥρμοσεν, καὶ ἀντὶ φαιδρᾶς χοροστασίας μεταλαβὼν τὴν γοερόν τε καὶ πένθιμον, ἐξεκαλεῖτο τοὺς θρήνους τοῖς μέλεσι. πάσης δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον ἡδονῆς τῶν ψυχῶν ἀπελαθείσης, μόνον ἦν ἐν ἡδονῇ τοῖς ἀνθρώποις τὸ δάκρυον. ἐπειδὴ τοίνυν τοσοῦτον ἡττήθη τοῦ πάθους ὁ λογισμός· καιρὸς ἂν εἴη τὸ κεκμηκὸς τῆς διανοίας διὰ τῆς τῶν λογισμῶν συμβουλῆς ὡς ἔστι δυνατὸν ἀναρρώννυσθαι. κίνδυνος γὰρ οὐ μικρός, παρακούσαντας ἐν τούτῳ τῆς τοῦ ἀποστόλου φωνῆς συγκατακριθῆναι τοῖς ἀνελπίστοις. φησὶ γάρ, καθὼς τοῦ ὑπαναγινώσκοντος ἀρτίως ἠκούσαμεν, μὴ δεῖν ἐπὶ τῶν κεκοιμημένων λυπεῖσθαι. μόνων γὰρ τοῦτο τῶν οὐκ ἐχόντων ἐλπίδα τὸ πάθος εἶναι. ἀλλ' εἴποι τις ἄν, οἶμαι, τῶν μικροψυχοτέρων, ἀδύνατα κελεύειν τὸν θεῖον ἀπόστολον, καὶ ὑπερβαίνειν τὴν φύσιν τοῖς ἐπιτάγμασι. πῶς γὰρ ἔστι δυνατὸν ὑπεραρθῆναι τοῦ πάθους τὸν ἐν τῇ φύσει ζῶντα, καὶ μὴ κρατηθῆναι τῇ λύπῃ ἐπὶ τοιούτῳ θεάματι; ὅταν μὴ καθ' ὥραν ἐν γήρᾳ συμπέσῃ ὁ θάνατος, ἀλλ' τῇ πρώτῃ ἡλικίᾳ καταςβεσθῇ μὲν τῷ θανάτῳ ἡ ὥρα· καλυφθῇ δὲ τοῖς βλεφάροις ἡ τῶν ὀμμάτων ἀκτίς· μεταπέσῃ δὲ εἰς ὠχρότητα τῆς παρειᾶς τὸ ἐρύθημα· κρατηθῇ δὲ τῇ σιωπῇ τὸ στόμα, μελαίνηται δὲ τὸ ἐπὶ τοῦ χείλους ἄνθος, χαλεπὸν δὲ μὴ μόνον τοῖς γεννησαμένοις τοῦτο δοκῇ, ἀλλὰ καὶ παντὶ τῷ πρὸς τὸ πάθος βλέποντι; τί οὖν πρὸς τοῦτον ἡμεῖς; οὐχ ἡμέτερον ἐροῦμεν ἀδελφοὶ λόγον, ἀλλὰ τὴν ἀναγνωσθεῖσαν ἡμῖν ἐκ τοῦ εὐαγγελίου ῥῆσιν παραθησόμεθα. ἠκούσατε γὰρ λέγοντος τοῦ κυρίου· ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. οὐκοῦν εἰ καὶ σοῦ ἀπεφοίτησε τὸ παιδίον, ἀλλὰ πρὸς τὸν δεσπότην ἀπέδραμεν, εἰ τοὺς ὀφθαλμοὺς ἔκλεισεν, ἀλλὰ τῷ φωτὶ τῷ αἰωνίῳ διήνοιξε· τῆς σῆς ἀπέστη τραπέζης, ἀλλὰ τῇ ἀγγελικῇ προσετέθη· ἔνθεν τὸ φυτὸν ἀνεσπάσθη, ἀλλὰ τῷ παραδείσῳ ἐνεφυτεύθη, ἐκ βασιλείας εἰς βασιλείαν μετέστη· ἐξεδύσατο τὸ τῆς πορφύρας ἄνθος, ἀλλὰ τὸ τῆς ἄνω βασιλείας τὴν περιβολὴν ἐνεδύσατο.

A bant, nihil omnium rerum communis mœſtitiæ expers erat. Tunc etiam magnus Dauid ſuos hymnos & laudum decantationes lamentationibus accommodauit, ac pro hilari choro ſumpto inuicem triſti ac lugubri cantilenis ad lamentationes inuitauit. Atque omni per illum temporis articulum voluptate ab animis pulſa atque ſummota, ſolæ lachrymæ hominibus voluptati erant. Quoniam igitur tantopere à perturbatione ratio victa eſt: haud importunum fuerit mentem fatigatam cum ratione adhibito conſilio, quo ad B eius fieri poteſt, reficere atque confirmare. Periculum enim haud paruum eſt, ne ſi in hoc Apoſtolo dicto audientes non fuerimus, vnà cum ſpe deſtitutis condemnemur. Ait enim, quemadmodum ex eo, qui dudum recitabat, audiuimus, Non oportere triſtitia nos affici nomine dormientium. Eam enim perturbationem illorum duntaxat eſſe, qui ſpem non habeant. Sed dixerit, opinor, aliquis de grege puſillanimorum, Ea quæ fieri non poſſint, diuinum Apoſtolum iubere, & ſuis præceptis ſuperare naturam. Quî enim fieri C poteſt, vt affectuum perturbationem ſuperet is qui viuit in natura, neu vincatur ab animi dolore, ob tale ſpectaculum contracto? cùm non ſuo tempore in ſenectute mors contigerit, ſed in prima ætate morte pulchritudo quidem aboleatur, palpebris verò radius oculorum tegatur: genarum item rubor in pallorem tranſmutetur, os quoque ſilentio detineatur, ac flos in labiis apparere ſolitus nigreſcat: idque non parentibus modò acerbum videatur, verumetiam cuiuis incommodum intuenti? Quid igitur nos aduerſus hos? Non noſtrum verbum, fratres, D dicemus, ſed dictum ex Euangelio nobis recitatum in medium afferemus. Audiſtis Dominum dicentem: Sinite paruos pueros, & ne prohibeatis eos venire ad me. Talium enim eſt regnum cœlorum. Proinde etiam ſi à te diſceſſit puella, attamen ad Dominum recurrit, tibi oculum clauſit, ſed lumini æterno aperuit: à tua menſa remota eſt, ſed angelicæ adhibita: hinc planta reuulſa eſt, at in paradiſo ſata eſt, de regno ad regnum traducta eſt: purpuræ florem exuit, at ſuperi regni amictum induit.

1. Theſſ. 4.

Matth. 19.

Pſal.103. Dicam tibi materiam vnde confectum eſt diuinum indumentum: non linum eſt, neque lana, neque fila ſerica. Audi Dauidem, vnde Deo contexi indumenta dicat: Confeſſionem & magnificentiam induiſti: ſuperinijciens lumen quaſi pallium. Vides quæ quibus commutauerit? Angit te atque moleſtum eſt tibi, quòd corporis decor non amplius apparet: non enim vides eius veram animi pulchritudinem, quæ nunc in conuentu cœlitum exultat atque lætatur: quàm ſpecioſus ille oculus, qui Deum videt! quàm ſuaue os diuinarum laudum decantatione exornetur! Ex ore enim, inquit, infantiũ & lactentium
Pſal.8. perfeciſti laudem. Quàm pulchræ manus, quæ nunquã malum operatæ ſunt? quàm decori pedes, qui ad nequitiam atque malitiam non acceſſerunt, neque in via peccatorum veſtigium ſuum impreſſerunt? quàm ſpecioſa tota animæ illius facies, non lapidum fulgoribus ornata, ſed ſimplicitate, integritate & innocentia reſplendens. Sed forſitan angit te, quòd ad ſenectutem non peruenit. Quid verò, dic mihi, pulchri cernis in ſenectute? an pulchrum prurire ac fricari oculos? corrugari genas? ex ore defluere dentes, & linguæ balbutiem ingenerari? manibus ſubtremiſcere? ad terram incuruari? titubare atque ſubclaudicare pedibus? ducibus inniti? deſipere corde ac delirare? voce abſurda atque inepta pronuntiare? qualia huic ætati neceſſariò accidunt incommoda. Et idcirco indignamur & ſtomachamur, quòd ad eiuſmodi malorum experientiam non peruenerit? Atqui gratulari conuenit illis quorum vita rerum acerbarum ac triſtium periculum non fecit, & cùm hîc nihil moleſtiæ ſenſerit, tum nihil acerbitatis illic experietur. Nam eiuſmodi anima, cùm nullum in ſe crimen habeat, cuius nomine in iudicium veniat, gehennam non metuit, iudicium non timet: intrepida atque imperterrita permanet, nulla praua conſcientia iudicij terrorem incutiente. At oportebat, inquit, eam ad iuſtum ætatis modum veniſſe, & in thalamo nuptiali exhilarari. Verùm ad hoc tibi verus ſponſus dicet, quòd melior in cœlo ſit lectus genialis, anteferendus ille thalamus, vbi viduitatis metus non eſt. Quo igitur, quæſo te, bono priuata eſt, cùm hanc carnalem vitam exuit?

A εἴπω σοι τὴν ὕλην τοῦ θείου ἐνδύματος, οὐ λίνον ἐστὶν, οὐδὲ ἔριον, οὐδὲ τὰ ἐκ σηρῶν νήματα. ἄκουσον τοῦ Δαβὶδ, ὅθεν ἐξυφαίνεσθαι λέγει τῷ Θεῷ τὰ ἐνδύματα· ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω· ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. ὁρᾷς οἷα ἀνθ' οἵων ἠλλάξατο; λυπεῖ σε τὸ τοῦ σώματος κάλλος μηκέτι φαινόμενον, οὐ γὰρ ὁρᾷς αὐτῆς τὸ ἀληθινὸν τῆς ψυχῆς κάλλος· ὃ νῦν ἐν τῇ πανηγύρει τῶν οὐρανίων ἀγάλλεται· ὡς καλὸς ἐκεῖνος ὁ ὀφθαλμὸς ὁ τὸν Θεὸν βλέπων; ὡς ἡδὺ τὸ στόμα ταῖς
B θείαις ὑμνῳδίαις καλλωπιζόμενον; ἐκ στόματος γάρ, φησι, νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ὡς καλαὶ αἱ χεῖρες αἱ μηδέποτε τὸ κακὸν ἐνεργήσασαι; ὡς ὡραῖοι οἱ πόδες, οἱ μὴ ἐπιβαίνοντες κακίας, μηδὲ τῇ ὁδῷ τῶν ἁμαρτωλῶν τὸ ἴχνος ἑαυτῶν ἐπιστήσαντες; ὡς καλὴ πᾶσα τῆς ψυχῆς ἐκείνης ἡ ὄψις, οὐ λίθων αὐγαῖς κεκοσμημένη, ἀλλ' ἁπλότητι καὶ ἀκακίᾳ ἐκλάμπουσα. ἀλλὰ λυπεῖ σε, τυχὸν τὸ μὴ εἰς γῆρας ἐλθεῖν. τί γάρ εἰπέ μοι, καλὸν ἐνορᾷς τῷ γήρᾳ; ἆρα καλὸν τὸ κνίζε-
C σθαι τὰ ὄμματα; τὸ ῥυσοῦσθαι τὴν παρειάν; τὸ ἀπορρεῖν τοὺς ὀδόντας τοῦ στόματος, καὶ ψελλισμὸν ἐμποιεῖν τῇ γλώσσῃ; τὸ ὑποτρέμειν τῇ χειρί; καὶ εἰς γῆν κύπτειν; καὶ ὑποσκάζειν τῷ ποδί; καὶ χειραγωγοῖς ἐπερείδεσθαι; καὶ παρανοεῖν τῇ καρδίᾳ; καὶ παραφθέγγεσθαι τῇ φωνῇ; οἷα τῇ ἡλικίᾳ ταύτῃ κατ' ἀνάγκην συμβαίνει πάθη. καὶ ὑπὲρ τούτου ἀγανακτοῦμεν, ὅτι μὴ ἀφίκετο εἰς τὴν τῶν τοιούτων πεῖραν; καὶ μὴν συγχαίρειν προσήκει ἐκείνοις ὧν ἡ ζωὴ τὴν τῶν σκυθρωπῶν πεῖραν οὐ προσεδέξατο, καὶ οὔτε ἐνταῦθα τῶν λυπηρῶν ᾔσθετο,
D οὔτε τι τῶν ἐκεῖ σκυθρωπῶν ἐπιγνώσεται. ἡ γὰρ τοιαύτη ψυχὴ ἡ οὐκ ἔχουσα ἐφ' ὅτῳ εἰς κρίσιν ἔλθῃ, γέενναν οὐ φοβεῖται, κρίσιν οὐ δέδοικεν· ἄφοβος διαμένει καὶ ἀκατάπληκτος, οὐδενὸς πονηροῦ συνειδότος τὸν τῆς κρίσεως φόβον ἐπάγοντος. ἀλλ' ἔδει, φησὶν, αὐτὴν εἰς μέτρον ἡλικίας ἐλθεῖν, καὶ νυμφικῷ θαλάμῳ ἐμφαιδρυνθῆναι. ἀλλ' ἐρεῖ σοι πρὸς τοῦτο ὁ ἀληθινὸς νυμφίος, ὅτι κρείττων ἡ οὐράνια παστὰς, προτιμότερος ἐκεῖνος ὁ θάλαμος, ἐν ᾧ χηρείας φόβος οὐκ ἔστιν. τίνος οὖν, εἰπέ μοι, τῶν καλῶν ἀπεστέρηται τὸν σαρκινὸν τοῦτον ἐκδυσαμένη βίον;

εἴπω σοι τὰ τοῦ βίου κακά, λῦπαι, καὶ ἡδοναί, θυμοί, καὶ φόβοι, ἐλπίδες καὶ ἐπιθυμίαι. ταῦτά ἐστι καὶ τὰ τοιαῦτα οἷς κατὰ τὴν παροῦσαν ζωὴν συμπεπλέγμεθα. τί οὖν κακὸν πέπονθεν ἡ τοσούτων ἀπαλλαγεῖσα τυράννων; ἕκαστον γὰρ πάθος, ὅταν ἐπικρατῇ, τῆς ψυχῆς τύραννος ἡμῶν γίνεται, τοὺς λογισμοὺς δουλωσάμενος. ἢ λυπεῖ ἡμᾶς, ὅτι μὴ κατεπονήθη διὰ ὠδίνων; ὅτι μὴ συνετρίβη διὰ φροντίδων παιδοτροφίας; ὅτι μὴ τὰς ὁμοίας ἀλγηδόνας ἐδέξατο, ἃς ἐπ' αὐτῆς οἱ γεγεννηκότες ὑπέμειναν; ἀλλὰ τὰ τοιαῦτα μακαρισμῶν, οὐκ ὀδυρμῶν ἐστιν ἄξια. τὸ γὰρ ἐν μηδενὶ γενέσθαι κακῷ, κρεῖττον ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν ἐστίν. οὕτως καὶ ὁ σοφὸς Σολομῶν ἐν τῇ ἰδίᾳ γραφῇ μακαρίζει παρὰ τοὺς περιόντας τοὺς κατοιχομένους, καὶ ὁ μέγας Δαβὶδ θρήνου καὶ οἰμωγῆς ἀξίαν τὴν ἐν σαρκὶ διαγωγὴν εἶναι φησίν. καί τοι γε ἀμφότεροι λαμπροὶ κατὰ τὴν βασιλείαν ὑπάρχοντες, πάντων κατ' ἐξουσίαν τῶν κατὰ τὸν βίον ἡδέων μετέχοντες, οὐδὲν πρὸς τὴν τῶν παρουσῶν ἀπόλαυσιν ἐπεκλίθησαν· ἀλλὰ τῶν ἀπορρήτων ἀγαθῶν τῶν ἐν τῇ ἀσωμάτῳ ζωῇ προκειμένων τὴν ἐπιθυμίαν ἔχοντες, συμφορὰν ἐποιοῦντο τὴν ἐν σαρκὶ ζωήν, ἤκουσα πολλαχῇ τοῦ Δαβὶδ ἐν ταῖς ἱεραῖς ψαλμῳδίαις ἔξω γενέσθαι τῆς τοιαύτης ἀνάγκης ἐπιθυμοῦντος, ἐν οἷς φησίν· νῦν μὲν ὅτι ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου· νῦν δέ, ὅτι ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου. ὡσαύτως δὲ καὶ ὁ Ἱερεμίας κατάρας ἀξίαν κρίνει τὴν ἡμέραν ἐκείνην τὴν ἄρξασαν αὐτῷ τῆς τοιαύτης ζωῆς. καὶ πολλάς ἐστι τοιαύτας τῶν παλαιῶν ἁγίων φωνὰς ἐν τῇ θείᾳ γραφῇ φερομένας εὑρεῖν, οἳ διὰ ἐπιθυμίαν τῆς ὄντως ζωῆς τὴν ἐν σαρκὶ διαγωγὴν ἐβαρύνοντο. οὕτως καὶ ὁ μέγας ποτὲ Ἀβραὰμ προθύμως τῷ Θεῷ διὰ θυσίας προσῆγε τὸν ἠγαπημένον υἱόν, εἰδὼς ὅτι πρὸς τὸ κρεῖττόν τε καὶ θειότερον γενήσεται τῷ παιδὶ ἡ μετάστασις. ὅσοι δὲ τῆς ἱστορίας ἐμπείρως ἔχετε, πάντως οὐκ ἀγνοεῖτε τὰ περὶ

A Dicam tibi vitæ bona, animi ægritudines & moleſtiæ, voluptates, iræ, metus, ſpes, cupiditates, & deſideria. Hæc & eiuſmodi ſunt, quibus in præſenti vita implicati atque connexi ſumus. Quid igitur mali accidit ei, quæ à tot tyrannis liberata ſit? Vnuſquiſque enim affectus ac perturbatio, cùm præualet ac dominatur, rationibus ſibi ſubiugatis, animi noſtri tyrannus exiſtit. An malè nos habet, quòd non doloribus pariendi confecta? quòd non cura liberorum educandorum attrita eſt? quòd non ſimiles dolores excepit, atque propter B illam parentes ſuſtinuerunt? At eiuſmodi res fœlicitatis nomine prædicandæ, non deplorandæ ſunt. Nam in nullo verſatum eſſe malo, melior res eſt, quàm humana capere poſſit natura. Ita ſapiens etiam ille Solomon in ſuis ſcripturis mortuum ſuperſtite beatiorem eſſe ducit: item magnus Dauid vitam quæ in carne degitur, lamentatione & gemitu dignam eſſe ait. Itaque cùm ambo ſplendidi atque magnifici, vtpote regia poteſtate præditi eſſent, omnium rerum, quæ per vitam ſuaues atque iu- C cundæ habentur, ad arbitrium compotes atque participes nihil ad pręſentium rerum vſum & oblectationem inclinati ſunt: ſed cùm arcanorum bonorum, quæ in corporea vita propoſita ſunt, deſiderio tenerentur, calamitatis & infortunij loco habebant eam, quæ in carne tranſigitur, vitam. Audiui Dauidem in multis locis ſacrorum pſalmorum, cùm cuperet euadere ex eiuſmodi neceſſitate, vbi aliàs quidem, Deſiderat, inquit, ac deſiderando deficit anima mea *Pſal. 83.* *Pſ. 141.* D in atria Domini: aliàs verò, Educ animam meã ex cuſtodia. Similiter autem Hieremias quoq; maledictione & exe- *Hier. 20.* cratione dignum iudicat diem illum, qui princeps ei fuiſſet eiuſmodi vitæ. Ac multas eiuſmodi priſcorum ſanctorum voces, quæ feruntur & extant in diuina ſcriptura, licet inuenire, cùm deſiderio veræ vitæ ea, quæ in carne degitur, vita grauis eis eſſet & moleſta. Ita etiam magnus ille quondam Abrahamus lubenter atque haud grauatim dilectum filium pro victima Deo offerebat, quòd ſciret atque haud dubitaret quin futurum eſſet, vt puer in meliorem & auguſtiorem formam tranſmutaretur. Ac quicunque hiſtoriæ cognitionem habetis, omnino non ignoratis, quæ de *Gen. 22.*

eo narrantur. Quid enim dicit ſcriptura? quòd cùm iuuenis quidem eſſet Abraham, à Deo facta ſit ei promiſſio de futuro filio: cùm autem ſummum incrementum ætatis eius integritas & vigor præteriiſſet, ac tempore iam emarcuiſſet atque abſumptus eſſet, cùm natura ſeipſam augere & propagare deſiiſſet, ſenectute non amplius libidini obtemperante, tunc præter humanam ſpem promiſſio deducitur ad exitum & effectum: & naſcitur puer Iſaac: ac tempore iuſto præterito, cùm veluti germen quoddam in pulchritudinem & magnitudinem excreuiſſet, iucundus erat oculis parentum, iuuenilis ætatis decore nitens, tunc Abrahami animus quaſi tormentis adhibitis probatur & exploratur, an plenè atque exactè diſcerneret in rerum natura quid præſtaret: an non ad præſentem vitam ſpectaret? Et ait ad eum Deus: Offer filium tuum pro victima in holocauſtum. Noſtis omnino quicumque patres eſtis & liberos habetis, & amorem erga liberos à natura didiciſtis, vt veriſimile atque conſentaneum ſit Abrahamum affectum & animatum futurum fuiſſe, ſi ad præſentem ſolam vitam reſpiceret, ſi ſeruus naturæ eſſet, ſi in præſenti ſæculo vitæ dulcedinem conſiſtere exiſtimaret. Sed quid de illo dico, omiſſa muliere infirmiore parte humanæ naturæ? Niſi & illa à viro diuina didiciſſet: niſi ſciuiſſet occultam vitam ea, quæ apparet, eſſe potiorem: non commiſſura fuiſſet, vt vir eiuſmodi quid aduerſus filium perpetraret. Prorſus enim maternis commota viſceribus filio circumfuſa fuiſſet, & vlnis eum amplexa pro ipſo lethale vulnus accepiſſet. An non ad Abrahamum eiuſmodi verbis vſura fuiſſet? Parce filio, mi vir, ne prauæ in vita narrationis materia fias: ne fabula inſequenti tempori fiamus: ne filio vitam inuideas: ne priues eum dulci radio ſolari: nuptiale cubiculum filiis, non ſepulchrum à patribus curari atque inſtitui ſolet: corona nuptialis, non enſis lethalis: tæda coniugalis, non ignis ſepulchralis. Hæc latrones & hoſtes, non patrum manus in filiis perpetrāt. Quòd ſi omnino malum perpetrari ac repræſentari oportet: ne videat oculus Sarræ Iſaacum necari,

A αὐτοῦ διηγήματα. τί γάρ φησιν ἡ γραφή; ὅτι νέῳ μὲν ὄντι τῷ Ἀβραὰμ θεόθεν περὶ τοῦ παιδὸς ἐπαγγελία γίνεται· παρεληλυθότι δὲ τὴν ἀκμὴν, καὶ ἤδη καταμαρανθέντι ὑπὸ τοῦ χρόνου, ὅτε παύεται ἡ φύσις ἑαυτὴν αὔξουσα, οὐκέτι τοῦ γήρως ταῖς ὁρμαῖς ὑπακούοντος, τότε παρὰ τὰς ἀνθρωπίνας ἐλπίδας εἰς πέρας ἡ ὑπόσχεσις ἄγεται· καὶ τίκτεται παῖς ὁ Ἰσαάκ· καὶ συμμέτρου διαγενομένου χρόνου, οἷόν τι ἔρνος ἀναδραμὼν εἰς κάλλος καὶ μέγεθος, ἡδὺς ἦν τοῖς ὀφθαλμοῖς τῶν γονέων τῷ τῆς νεότητος κάλλει λαμπόμενος· τότε προσάγεται τῷ Ἀβραὰμ ἡ τῆς ψυχῆς δοκιμασία

B καὶ βάσανος, εἰ ἀκριβῶς ἐν τῇ τῶν ὄντων φύσει διαγινώσκει τὸ κάλλιον, εἰ μὴ πρὸς τὴν παροῦσαν βλέπει ζωήν; καὶ φησὶ πρὸς αὐτὸν ὁ Θεός· ἀνένεγκε τὸν υἱόν σου διὰ θυσίας εἰς ὁλοκάρπωσιν. οἴδατε πάντως ὅσοι πατέρες ἐστὲ καὶ παῖδας ἔχετε, καὶ τὴν πρὸς τὰ τέκνα στοργὴν παρὰ τῆς φύσεως ἐδιδάχθητε, ὅπως εἰκὸς διατεθῆναι τὸν Ἀβραὰμ, εἰ πρὸς τὴν παροῦσαν μόνην ἀφεώρα ζωὴν, εἰ δοῦλος τῆς φύσεως ἦν, εἰ ἐν τῷ παρόντι βίῳ τὸ γλυκὺ τῆς ζωῆς ἐλογίζετο. τί δὲ περὶ ἐκείνου φημὶ, καταλιπὼν τὴν γυναῖκα τὸ ἀσθενέστερον

C μέρος τῆς ἀνθρωπίνης φύσεως; εἰ μὴ πεπαίδευτο κἀκείνη ὑπὸ τοῦ ἀνδρὸς τὰ θειότερα· εἰ μὴ ἠπίστατο τὴν κεκρυμμένην ζωὴν εἶναι τῆς φαινομένης ἄμεινον, οὐκ ἂν ἐπέτρεπε τῷ ἀνδρὶ τοιαῦτα κατὰ τοῦ παιδὸς ἐνεργῆσαι. πάντως γὰρ τοῖς μητρικοῖς συγκινηθεῖσα σπλάγχνοις, περιεχύθη τῷ τέκνῳ, καὶ ταῖς ὠλέναις αὐτὸν ἐμπλεξαμένη, πρὸ αὐτοῦ τὴν καιρίαν ἐδέχετο. ἆρ' οὐκ εἶπεν ἂν πρὸς τὸν Ἀβραὰμ ταῦτα τὰ ῥήματα; φεῖσαι τοῦ παιδὸς ἄνερ.

D μὴ πονηρὸν γένῃ τοῦ βίου διήγημα· μὴ μῦθος τῷ μετὰ ταῦτα χρόνῳ γενώμεθα· μὴ φθονήσῃς τῷ υἱῷ τῆς ζωῆς· μὴ στερήσῃς αὐτὸν τῆς γλυκείας ἀκτῖνος· θάλαμος τέκνοις, οὐ τάφος παρὰ πατέρων σπουδάζεται· στέφανος γαμικὸς, οὐ ξίφος φονικόν· γαμήλιος λαμπὰς, οὐ πῦρ ἐπιτάφιον. ταῦτα λῃσταὶ καὶ πολέμιοι, οὐ πατέρων χεῖρες ἐπὶ τῶν τέκνων ἐργάζονται. εἰ δὲ χρὴ πάντως γενέσθαι τὸ κακὸν, μὴ ἴδοι Σάῤῥας ὀφθαλμὸς νεκρούμενον τὸν Ἰσαάκ,

ἰδοὺ δι' ἀμφοτέρων ὦσον τὸ ξίφος, ἀπ' ἐμοῦ τῆς δειλαίας ἀρξάμενος, μία τοῖς δυσὶν ἀρκέσει πληγή· κοινὸν ἐπ' ἀμφοτέρων χωννύσθω τὸ χῶμα· μία στήλη τὴν κοινὴν συμφορὰν τραγῳδείτω. ταῦτα πάντως ἂν καὶ τὰ τοιαῦτα διεξῄει ἡ Σάρρα, εἰ μὴ ἐκεῖνα τοῖς ὀφθαλμοῖς ἔβλεπεν, ἅπερ ἡμῖν ἐστὶν ἀθέατα. ᾔδει γὰρ ὅτι τὸ τέλος τῆς ἐν σαρκὶ ζωῆς ἀρχὴ τοῦ θειοτέρου βίου τοῖς μεταστᾶσι γίνεται, καταλείπει σκιάς, καταλαμβάνει ἀλήθειαν· ἀφίησιν ἀπάτας καὶ πλάνας καὶ θορύβους· καὶ εὑρίσκει ἐκεῖνα τὰ ἀγαθά, ἃ ὑπὲρ ὀφθαλμόν τι, καὶ ἀκοήν, καὶ καρδίαν ἐστίν, οὔτε ἔρως αὐτὸν ἀνιάσει, οὔτε ἐπιθυμία ῥυπαρὰ διαστρέψει· οὐχ ὑπερηφανία χαυνώσει· οὐκ ἄλλο τι πάθος τῶν λυπούντων τὴν ψυχὴν ἐνοχλήσει, ἀλλὰ πάντα γίνεται αὐτῷ ὁ Θεός. διὰ τοῦτο προθύμως δίδωσι τῷ Θεῷ τὸν παῖδα. τί δὲ ὁ μέγας Ἰώβ; ὅτι αὐτῷ γυμνωθέντι πάντων τῶν προσόντων ἀθρόως πρὶν ἐπὶ ταῖς προλαβούσαις πληγαῖς τὴν ψυχὴν ἀναλέξασθαι, ἡ τελευταία κατεμηνύθη πληγή, ὅπως ἐδέξατο τὴν ἐπὶ τοῖς παισὶ συμφοράν; τρεῖς αὐτῷ θυγατέρες ἦσαν καὶ παῖδες ἑπτά· μακαριστὸς ἦν τῆς εὐπαιδίας. τοσοῦτοι γὰρ ὄντες εἷς ἦσαν οἱ πάντες τῇ κατ' ἀλλήλων στοργῇ· οὐ διῃρημένως καθ' ἑαυτὸν ἕκαστον βιοτεύοντες, ἀλλὰ πάντες παρ' ἀλλήλοις φοιτῶντες διὰ τῆς ἐγκυκλίου φιλοφροσύνης διετέλουν εὐφραίνοντες ἀλλήλους ἐν τῷ μέρει καὶ εὐφραινόμενοι, καὶ δὴ τότε καὶ κατὰ περίοδον παρὰ τῷ πρεσβυτέρῳ τῶν ἀδελφῶν ἦν τὸ συμπόσιον· πλήρεις οἱ κρατῆρες· πλήρεις τῶν ἐδωδίμων ἡ τράπεζα· ἐν χερσὶν οἱ κύλικες· θεάματα, ὡς εἰκὸς ἐπὶ τούτοις καὶ ἀκροάματα, καὶ πᾶσαι θυμηδίαι συμποτικαί· ἔρανος εἷς, φιλοφροσύναι, παίγνια, μειδιάματα· πάντα ὅσα εἰκὸς ἐν συνόδῳ νέων ἐφεστίας ἁβρύνεσθαι. τί οὖν ἐπὶ τούτοις ἐν ἀκμῇ τῆς ἀπολαύσεως τῶν ἡδίστων ἐπισφαλθέντος αὐτοῖς τοῦ ὀρόφου, τάφος τῶν δέκα παίδων τὸ συμπόσιον γίνεται. καὶ τοῖς αἵμασι τῶν νέων ὁ κρατὴρ καταμίγνυται, καὶ τὰ ἐδώδιμα τῷ ἐκ τῶν σωμάτων λύθρῳ κατεμολύνετο. τοιαύ-

A en per vtrumque adige gladium, à me miſera initio facto, vna ambobus plaga ſatis erit: communis ambobus tumulus excitetur: vnus titulus miſerabilẽ vtriuſque casũ prodat. Hęc & eiuſmodi Sarra prorſus dictura fuiſſet, niſi illa oculis vidiſſet, quæ noſtrum viſum effugiunt. Nouerat enim, quòd finis vitæ carnalis, initium auguſtioris vitæ inſtituti (hinc) tranſlatis exiſtat, relinquit vmbras, aſſequitur veritatem, dimittit fraudes & errores & tumultus: & inuenit illa bona, quæ ſunt ſupra oculum, & auditum, & B cor, neque amor eum anget, neque ſordida cupiditas peruertet, atque deprauabit: non ſuperbia inflabit: nõ aliquis alius affectus animum angens moleſtus erit, ſed omnia fit ei Deus. Idcirco libenter Deo filium dat. Quid item magnus Iob? cùm ei repentè quaſi vno impetu aduerſæ fortunæ ſpoliato omnibus rebus ac copiis, quibus abundauerat, prius quàm à ſuperioribus plagis & calamitatibus animum collegiſſet, vltima nuntiata clades eſt: quo animo caſum liberorum accepit? Tres ei filiæ erant: filij ſeptem. nomine fœlicitatis in C liberis procreandis, & ob egregiam indolem eorumdem dignus erat, qui prædicaretur ac beatus haberetur. Nam cùm tot eſſent, mutuo inter ſe amore quaſi vnus vniuerſi erant: nõ ſeparatim ac diuiſim per ſe ſinguli viuentes, ſed omnes ſe mutuo frequenter inter ſe inuiſentes quaſi viciſſitudinario quodam & vſitato officio atque comitate inuitandi atque excipiendi perpetuo alter alterum modò delectabat, modò inuicem alter ab altero exhilarabatur, at- D que adeò etiam tunc viciſſitudinis officij orbe decurſo atque peracto, apud fratrem maximum natu conuiuiũ erat: pleni crateres: plena menſa eſculentorum: in manibus calices: ſpectacula, vt veriſimile eſt, ad hæc feſtiuæ iucundæque narrationes, & omnia animi oblectamenta conuiuiis adhiberi conſueta: mos vnus, vna ratio, vna voluntas: comitas & hilaritas, ludicra, riſus: omnia quæcumque par eſt in conuentu iuuenum domi ſuę per luxum atque delicias agitari. Quid igitur conſequutum eſt? Cum his rebus iucundis iam maximè fruerentur, nihilq; ad hilaritatẽ iam amplius addi poſſet: tecto ſuper eos collapſo, ſepulchrum omnium decem liberorum conuiuium exiſtit: ac ſanguine iuuenum crater cõmiſcebatur, & eſculenta obtritorum corporum cruore coinquinabãtur. Vbi

eiuſmodi clades Iobo nunciata eſt. (Conſidera, quæſo, adhibita ratione athletam, non vt victorem duntaxat admireris: parum enim lucri exiſtit ex admiratione: ſed vt virum in ſimilibus imiteris, & ſit tibi athleta pro pædotriba, ſuo exemplo ad patientiam atque fortitudinem in tempore tentationum conflictus animum vngens, atque confirmans.) Quid igitur vir ille fecit? an aliquid abiectum & vile, qualia degeneris & exigui animi homines committere ſolent, aut verbo dixit, aut habitu geſtuque corporis deſignauit, vel genas vnguibus lacerans, vel crines è capite euellens, vel puluerem inſpergens, vel pectus manibus pulſans & tundens, vel humi corpus abijciens, vel lugubrium carminum decantatores ſibi adhibens, vel nominatim mortuos illos implorãs, memoriæq; ingemiſcens? Horum nihil eſt: ſed nuncius quidam rerum aduerſarum caſum liberorum narrauit: ille verò ſimul atque audiuit, ſtatim de rerum natura philoſophorum more diſſerebat: vnde res exiſtant docens, & à quo in naturam producantur, item quem par ſit rebus vniuerſis præeſſe. Dominus dedit, Dominus abſtulit: ex Deo, inquit, hominibus eſt ortus,
Iob. 1. item ad illum reditus: vnde productus eſt, ad illud etiam redit. Deus igitur, qui dandi poteſtatem habet, idem etiam auferendi ius habet. Bonus cùm ſit, bene conſulit: ſapiens cùm ſit, quid vtile ſit, nouit. Sicut Domino viſum eſt ac placuit (placuit autem rectè prorſus, quicquid placuit) ita etiam fecit. Sit nomen Domini benedictum. Vides quanta celſitudo animi magnitudinis athletæ ſit? tempeſtatem afflictionis tranſtulit ad ſtudium rerum conſiderationis & contemplationis. Nouerat enim exactè, quòd vera vita per ſpem repoſita atque recondita ſit: præſens verò vita veluti ſemen futuræ ſit. Longè autem præſentibus præſtant ac potiora ſunt ea, quæ expectantur atque ſperantur, quantum differt ſpica à grano, vnde enaſcitur: præſens vita proportionem habet atque aſſimilatur ad granum: futura verò vita per pulchritudinem ſpicæ oſtenditur ac
1. Cor. 15. deſignatur. Oportet enim corruptibile hoc induere incorruptibilitatem, item mortale hoc induere immortalitatem. Adhæc reſpiciens Iob gratulatur filiis ob fœlicitatem: vt qui citius

A τῆς συμφορᾶς τῷ Ἰὼβ ἀγγελθείσης, θέασαί μοι τῷ λόγῳ τὸν ἀθλητήν, οὐχ ἵνα θαυμάσῃς μόνον τὸν νικητήν· μικρὸν γὰρ τὸ ἐκ τοῦ θαύματος κέρδος, ἀλλ' ἵνα ζηλώσῃς ἐν τοῖς ὁμοίοις τὸν ἄνδρα. καί σοι γένηται παιδοτρίβης ὁ ἀθλητὴς τῷ καθ' ἑαυτὸν ὑποδείγματι πρὸς ὑπομονὴν καὶ ἀνδρείαν τὴν ψυχὴν ἀλείφων ἐν καιρῷ τῆς τῶν πειρασμῶν συμπλοκῆς. τί οὖν ἐποίησεν ὁ ἀνήρ; ἆρά τι δυσγενὲς καὶ μικρόψυχον, ἢ εἶπεν τῷ ῥήματι ἢ διὰ σχήματος ἐνεδείξατο, ἢ παρειὰς ἀμύξας τοῖς ὄνυξιν, ἢ τρί-
B χας τῆς κεφαλῆς ἀποτίλας, ἢ κόνιν καταπασάμενος, ἢ τὰ στήθη ταῖς χερσὶ μαστιγώσας, ἢ ἐπὶ γῆν ἑαυτὸν ῥίψας, ἢ θρηνῳδοὺς ἑαυτῷ περιστήσας, ἢ ἀνακαλῶν τὰ τῶν κατοιχομένων ὀνόματα, καὶ ἐποιμώζων τῇ μνήμῃ; οὐκ ἔστι τούτων οὐδέν· ἀλλ' ὁ μὲν τῶν κακῶν μηνυτὴς τὴν κατὰ τοὺς παῖδας συμφορὰν διηγήσατο· ὁ δὲ ὁμοῦ τε ἤκουσεν, καὶ εὐθὺς περὶ τῆς τῶν ὄντων ἐφιλοσόφει φύσεως· πόθεν τὰ ὄντα λέγων καὶ παρὰ τίνος εἰς γένεσιν ἄγεται, καὶ τίνα εἰκὸς τῶν ὄντων ἐπιστατεῖν· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο. ἐκ Θεοῦ φησὶ τοῖς ἀνθρώποις ἡ γένε-
C σις, καὶ πρὸς αὐτὸν ἡ ἀνάλυσις, ὅθεν προῆκται πρὸς ἐκεῖνο καὶ ἀναλύεται. Θεὸς οὖν ὁ τοῦ διδόναι τὴν ἐξουσίαν, ὁ αὐτὸς ἔχει καὶ τὸ ἀφαιρεῖσθαι τὴν ἐξουσίαν. ἀγαθὸς ὢν ἀγαθὰ βουλεύεται, σοφὸς ὢν τὸ συμφέρον ἐπίσταται. ὡς τῷ κυρίῳ ἔδοξεν· ἔδοξε δὲ πάντως καλῶς· οὕτως καὶ ἐποίησεν. εἴη τὸ ὄνομα κυρίου εὐλογημένον. ὁρᾷς πόσον τὸ ὕψος τῆς τοῦ ἀθλητοῦ μεγαλοψυχίας, τὸν τῆς θλίψεως καιρὸν εἰς ἐπίσκεψιν τῆς περὶ τῶν ὄντων φιλοσοφίας μετέθηκεν. ᾔδει γὰρ ἀκριβῶς ὅτι ἡ ὄντως ζωὴ δι' ἐλπίδος ἀπόκειται, ἡ δὲ παροῦσα ζωὴ οἱονεὶ σπέρμα τῆς μελ-
D λούσης ἐστί. πολὺ δὲ διενήνοχε τῶν παρόντων τὰ προσδοκώμενα, ὅσον διαφέρει ὁ στάχυς τοῦ κόκκου ὅθεν ἐκφύεται. ὁ νῦν βίος ἀναλογεῖ πρὸς τὸν κόκκον· ὁ δὲ προσδοκώμενος βίος, ἐν τῷ κάλλει τοῦ στάχυος δείκνυται. δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν· καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. πρὸς ταῦτα βλέπων ὁ Ἰὼβ συγχαίρει τοῖς τέκνοις τῆς εὐκλείας· ὡς θᾶττον ἐκλυ-

θείσης τῶν τοῦ βίου δεσμῶν. τεκμήριον δὲ ὅτι τῆς ἐπαγγελίας τοῦ Θεοῦ τὸ διπλάσιον ἀντὶ τῶν ἀφαιρεθέντων πάντων ὑπισχνουμένης, ἐν τοῖς ἄλλοις ἅπασι διπλασιασθείσης τῆς ἀντιδόσεως, μόνων τῶν τέκνων τὸν διπλασιασμὸν οὐκ ἐζήτησεν· ἀλλὰ δέκα μόνα ἀντὶ τῶν ἀφαιρεθέντων δέκα δίδοται. ἐπειδὴ δὲ αἱ τῶν ἀνθρώπων ψυχαὶ εἰς ἀεὶ διαμένουσι τούτου χάριν τῶν ἀπολλυμένων διπλασίαν δέχεται τὴν ἀντίδοσιν. ἐπεὶ δὲ τῶν τέκνων τὰ ἐπιγενόμενα τοῖς προγενηθεῖσι συναριθμεῖται, ὡς πάντων τῷ Θεῷ ζώντων, καὶ οὐδὲν τοῦ προσκαίρου θανάτου τοὺς κατοιχομένους πρὸς τὸ εἶναι κωλύοντος. οὐδὲ γὰρ ἄλλο τί ἐστιν ἐπ' ἀνθρώπων ὁ θάνατος, εἰ μὴ κακίας καθάρσιον. ἐπειδὴ γὰρ οἷόν τι σκεῦος ἀγαθῶν δεκτικὸν τὸ κατ' ἀρχὰς ἡ φύσις ἡμῶν παρὰ τοῦ Θεοῦ τῶν ὅλων κατεσκευάσθη, τοῦ δὲ ἐχθροῦ τῶν ψυχῶν ἡμῶν δι' ἀπάτης ἡμῖν τὸ κακὸν παρεγχέαντος, τὸ ἀγαθὸν χώραν οὐκ ἔσχεν· τούτου ἕνεκεν, ὡς ἂν μὴ διαιωνίζῃ ἡμῖν ἡ ἐμφυεῖσα κακία, προνοίᾳ κρείττονι θανάτῳ τὸ σκεῦος πρὸς καιρὸν διαλύεται, ἵνα τῆς κακίας ἐκρυείσης ἀναπλασθῇ τὸ ἀνθρώπινον, καὶ ἀμιγὲς κακίας τῷ ἐξ ἀρχῆς ἀποκατασταθῇ βίῳ. τοῦτο γάρ ἐστιν ἡ ἀνάστασις, ἡ εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἡμῶν ἀναστοιχείωσις. Εἰ οὖν ἀμήχανόν ἐστιν ἀναστοιχειωθῆναι πρὸς τὸ κρεῖττον τὴν φύσιν χωρὶς ἀναστάσεως· θανάτου δὲ μὴ προηγησαμένου, ἀνάστασις γενέσθαι οὐ δύναται· ἀγαθὸν ἂν εἴη ὁ θάνατος, ἀρχὴ καὶ ὁδὸς τῆς πρὸς τὸ κρεῖττον μεταβολῆς ἡμῖν γενόμενος. οὐκοῦν ἐκβάλωμεν ἀδελφοὶ τὴν λύπην περὶ τῶν κεκοιμημένων, ἣν μόνοι ὑπομένουσιν οἱ μὴ ἔχοντες ἐλπίδα· ἐλπὶς δέ ἐστιν ὁ Χριστός. ᾧ ἡ δόξα καὶ τὸ κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας, ἀμήν.

A vitæ vinculis exoluti atque exempti eſſent. Cuius rei argumento eſt, quòd cum promiſiſſet Deus duplũ omnium eorum, quæ adempta eſſent reſtitutum iri, in omnibus aliis duplicata reſtitutione, ſolorum liberorum duplicationem non requiſiuit: ſed decem ſoli pro totidem amiſſis dati ſunt. Nam quoniam animæ hominum in perpetuum permanet, idcirco alterum tantum, quantum amiſerat, recipit. Quod ad liberos attinet qui poſt nati ſunt, cum prius natis vnà connumerantur, quaſi omnes Deo viuant, ac tempo-
B raria mors vita defunctis nihil, quo minus ſint, impedimento ſit. Neque enim aliud quicquam eſt in hominibus mors, niſi vitioſitatis expiatio. Quandoquidem enim natura noſtra à Deo ſummæ rerum, veluti vas quoddam bonorum capax ab initio condita eſt, ſed ab inimico animarum noſtrarum per fraudem nobis vitio affuſo, bonum locum non habuit: idcirco ne vitioſitas nobis inhærens perpetuò duraret, prouidentia meliori morte vas ad tempus diſſoluitur, vt vbi vitioſitas efflu-
C xerit, reformetur genus humanum, atque integrum ac purum à permixtione vitioſitatis in priſtinum vitæ ſtatum reſtituatur. Id enim reſurrectio eſt, nempe naturæ noſtræ in priſtinum ſtatum reparatio. Si igitur fieri non poteſt, vt abſque reſurrectione natura ad meliorem formam & ſtatum redigatur: ac niſi mors præceſſerit, reſurrectio fieri non poteſt: bona res fuerit mors, vt quæ initium ac via mutationis in melius nobis exiſtat. Proinde ex animo eijciamus, fratres, ægritudinem & dolorem dormientium nomine contractum, quem ſoli ſuſtinent, qui ſpem non habent. Spes autem eſt Chriſtus:
D cui gloria & imperium honos & adoratio in ſæcula, Amen.

ἀλλ' ἐπειδὴ χρὴ κελεύουσι πείθεσθαι, οὐκ οἶδα ὅπως τοῖς λόγοις χρήσομαι. οὐ γὰρ εὑρίσκω τῆς διανοίας τοῦ διδασκάλου καταστοχάσασθαι. ἢ τάχα βούλεταί τι καὶ τοῖς πάθει χαρίσασθαι, καὶ τοῖς ἐμπαθεστέροις τῶν λόγων ἀνακινῆσαι τῇ ἐκκλησίᾳ τὸ δάκρυον; καὶ εἰ ταῦτα διανοεῖται, ὀρθῶς, κατά γε τὴν ἐμὴν κρίσιν, καὶ τοῦτο ποιεῖ· δεῖ γὰρ πάντως ὥσπερ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν προθυμούμεθα, οὕτω καὶ πρὸς τὰ λυπηρὰ τῶν συμπιπτόντων οἰκείως ἔχειν. τοῦτο γὰρ καὶ ὁ ἐκκλησιαστὴς συμβουλεύει· καιρὸς, φησι, τοῦ γελάσαι, καὶ καιρὸς τοῦ κλαῦσαι. μανθάνομεν γὰρ διὰ τούτων, ὅτι δεῖ κατ' ἀλλήλους τοῖς ὑποκειμένοις καὶ τὴν ψυχὴν διατίθεσθαι; κατὰ ῥοῦν τὰ πράγματα φέρεται. εὔκαιρον τὸ εὐφραίνεσθαι· μετέπεσε τὸ φαιδρὸν εἰς κατήφειαν; μεταβάλλειν προσήκει καὶ τὴν εὐθυμίαν εἰς δάκρυον. ὥσπερ γὰρ ὁ γέλως σημεῖον τῆς ἔνδον φαιδρότητος γίνεται· οὕτω καὶ ὁ ἐν τῇ καρδίᾳ πόνος ὑπὸ τῶν θρήνων διερμηνεύεται· καὶ γίνεται τῶν τῆς ψυχῆς τραυμάτων ὥσπερ αἷμα τὸ δάκρυον. τοῦτο καὶ ἡ παροιμία Σολομῶντος φησίν· ὅτι καρδίας εὐφραινομένης πρόσωπον θάλλει· τῆς ψυχῆς δὲ ἐν λύπαις οὔσης, σκυθρωπάζει. ἔοικεν ἀνάγκη πᾶσα τῇ διαθέσει τῆς καρδίας συνσκυθρωπάσαι τὸν λόγον. καὶ εἴθε δυνατὸν ἦν τοιούτους ἐξευρεῖν τινας λόγους, οἵους ὁ μέγας Ἱερεμίας τῇ συμφορᾷ ποτε τῶν Ἰσραηλιτῶν ἐπεθρήνησεν. ἐκείνων γὰρ ἄξια τὰ παρόντα μᾶλλον, ἢ εἴ τι τῶν ἀρχαίων ἐν σκυθρωποῖς μνημονεύεται. χαλεπὰ τὰ τοῦ Ἰὼβ διηγήματα. ἀλλὰ τί χρὴ πρὸς τοῦτο κακὸν ἀντεξαγαγεῖν μιᾶς οἰκίας εὐαρίθμητα πάθη; κἂν τὰ μεγάλα καὶ κοινότερα τῶν κακῶν διεξέλθῃς, σεισμοὺς καὶ πολέμους, καὶ ἐπικλύσεις, καὶ χάσματα, μικρὰ καὶ ταῦτα, εἰ πρὸς τὰ παρόντα κρίνοιτο. διὰ τί; ὅτι οὐ πάσης ἀθρόως τῆς οἰκουμένης ἡ κατὰ πόλεμον ἅπτεται συμφορά· ἀλλὰ τὸ μέν τι πολεμεῖται αὐτῆς, τὸ δὲ εἰρηνεύεται μέρος. τί πάλιν; ἢ σκηπτὸς ἐπέφλεξεν· ἢ τὸ ὕδωρ ἐπέκλυσεν· ἢ κατεπόθη τῷ χάσματι. τὸ δὲ παρὸν κακὸν πάσης ἀθρόως τῆς οἰκουμένης ἐστὶ πληγή· οὐκ ἔστιν ἔθνος ἓν ἢ πόλιν μίαν ἀπολοφύρεσθαι· ἀλλ' ἁρμόζει τάχα τὴν τοῦ Ναβουχοδονόσορ προΐεσθαι φωνὴν, ἣν πρὸς τοὺς ὑπηκόους πεποίηται· ὑμῖν λέγω, λαοί,

A Sed quoniam iubenti obtemperare oportet, neſcio quo genere vtar orationis. Non enim excogitare poſſum quibus coniecturis aſſequar mentem præceptoris. An forſitan etiam aliquid ægritudini indulgere vult, ac verbis ad affectus concitandos accommodatis concioni lacrymas commouere? Ac ſi ita ſentit, rectè, meo quidem iudicio, etiam hoc facit: oportet enim prorſus ſicut oblectari cupimus, & commodis rebus fruimur libenter, ita ad triſteis & acerbos quoque caſus nos accõmodare. Id enim etiam conſulit Eccleſiaſtes, Tem- B pus eſt, inquit, ridendi, tempus eſt item flendi. *Eccleſ. 3.* Per hæc enim diſcimus, quòd ad rem præſentẽ oporteat etiam animum accommodare. Proſperè res ſuccedunt; tempeſtiuũ eſt lætari: redacta eſt alacritas animi ad demiſſionẽ, conuerti etiam conuenit lætitiam in lacrymas. Quemadmodum enim riſus ſignum in animo latentis alacritatis eſt: ita etiam dolor in corde deliteſcens per fletus & lamentationes ſignificatur: ac vulnerũ animi tanquã ſanguis lacrymæ ſunt. Id etiam Prouerbium Solomonis ait: Cordis læ- *Eccleſ. 7.* C tantis vultus floret: animi verò triſtitia affecti vultus mœſtus ac demiſſus eſt. Proinde prorſus neceſſe eſt cum affectione cordis vnà contrahi atq; demitti orationem. Atque vtinam inueniri poſſent eiuſmodi aliqua verba, quibus magnus quondam Hieremias Iſraëlitarum cladem defleuit. Illis enim præſentia magis digna ſunt, quàm ſi quid aliud ex antiquitate triſte memoria tenetur. Res acerbæ atque atroces ſunt, quæ narrantur de Iob. At quid opus eſt cum hoc tanto incommodo vnius domus numeratu faciles clades cõparare? quin etiam D ſi magna magiſque cõmunia mala commemoraueris, terræ motus, bella, inundationes, hiatus; parua ſunt etiam hæc, ſi cum præſentibus cõparentur. Quare? quia non ad vniuerſum ſtatim orbem terrarum clades belli pertinet: ſed alia quidem pars eius bello infeſtatur, alia verò pars pace fruitur. Quid rurſus? aut fulmen aliquid concremauit: aut aquæ vis obruit: ab hiatu atque voragine alicubi abſorptio facta eſt. Ac præſens malum vniuerſi prorſus orbis terrarum vulnus eſt: fieri non poteſt, vt vna gens, aut vrbs vna lamentetur: ſed conuenit forſitan Nabuchodonoſoris edere vocem, qua ſubditos appellat: Vobis dico, po-

Daniel. 4. puli, tribus, linguæ. Imo verò permitte A mihi, vt adijciam aliquid Aſſyrio præconio, vt ampliori voce proclamem ac diuulgem cladem ac dicam: vt aliquis in ſcena exclamans dixerit: O ciuitates & populi, & gentes & vniuerſa terra, & maris quicquid tum nauibus peruium, tum (gentibus) habitatum eſt: ô omnis noſtri orbis quicquid imperij ſceptro regitur, ô qui ex omnibus partibus confluxiſtis homines, communiter calamitati ingemiſcite, communiter lamentationis concentum inſtituite, communiter omnium iacturam deplorate. An vultis, vt prout potero, etiam detrimentum vobis exponam? B Tulit ætate noſtra humana natura extra ſuos terminos egreſſa, conſuetiſque modis ſuperatis, tulit natura, imò verò naturæ Dominus humanam animã in fœmineo corpore ſupra omnia propemodum ſuperiora virtutis exempla, in qua omnis tum corporis, tum animi virtutis concurſu facto, miraculum incredibile vitæ humanæ exhibitum eſt, quot bonorum concurſum vna anima in vno corpore continuit? Atque vt omnibus potiſſimùm perſpicua fiat ætatis noſtræ fœlicitas, C ad ſublime ſolium regni euehitur, vt Solis in modum virtutum radiis è ſublimi dignitate vniuerſum orbem illuſtraret, atque ei, qui vniuerſo orbi terrarum diuino arbitrio præpoſitus eſſet, ad vitæ pariter & imperij ſocietatem copulata, ſubditos per ſeſe beatos efficeret, cùm reuera, vt inquit ſcriptura, auxiliatrix ei eſſet ad omne bonum. Si humanitatem res poſtulabat, aut concurrebat cum eo ad hoc bonum, aut etiam præcurrebat: par erat vtrinque libra propenſione humanitatis. Ac teſtimonio ſunt orationi D cùm priora facta innumerabilia, tum præſentis temporis præconia, quæ nunc audiuimus à præcone veritatis. Si pietatem requiris, communis erat vtriſque curſus ad pietatem: ſi prouidentiam, ſi iuſtitiam, ſi quid aliud ex iis quæ virtutis nomine bonique conſequendi cauſſa expetuntur: omnia poſita erant in certamine contendentium ſecum, vter ab altero benefactis & officiis vinceretur, nec alteruter erat inferior. Æqualis quædam ac par erat vtriuſque inter ipſos mutua gratia commoditaſque, illa quidem præmium virtutis habebat orbi terra-

φυλαὶ, γλῶσσαι. μᾶλλον δὲ συγχωρήσατέ μοι, προσθεῖναί τι τῷ Ἀσσυρίῳ κηρύγματι, μεγαλοφωνότερον ἀνακηρύξαι τὴν συμφορὰν καὶ εἰπεῖν· ὡς ἄν τις ἐπὶ σκηνῆς διαβοήσας εἴποι· ὦ πόλεις καὶ δῆμοι, καὶ ἔθνη καὶ σύμπασα γῆ, καὶ τῆς θαλάσσης ὅσον τε πλόϊμον καὶ ὅσον οἰκούμενον, ὦ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης, ὅσον τῷ σκήπτρῳ τῆς βασιλείας εὐθύνεται, ὦ πάντες οἱ πανταχόθεν ἄνθρωποι, κοινῇ τὸ πάθος ἐπιστενάξατε, κοινῇ τῶν θρήνων τὴν συνῳδίαν στήσασθε, κοινῇ τὴν πάντων ζημίαν ἀπολοφύρασθε. ἢ βούλεσθε, καθὼς ἂν οἷός τε ὦ, καὶ τὴν ζημίαν ὑμῖν διηγήσωμαι; ἤνεγκεν ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ἡ ἀνθρωπίνη φύσις ἐκβᾶσα τοὺς ἰδίους ὅρους, καὶ τὰ συνήθη μέτρα νικήσασα, ἡ φύσις, μᾶλλον δὲ ὁ τῆς φύσεως κύριος ἀνθρωπίνην ψυχὴν ἐν γυναικείῳ τῷ σώματι, ὑπὲρ πάντα σχεδὸν τὰ προλαβόντα τῆς ἀρετῆς ὑποδείγματα. ἐν ᾗ πᾶσα μὲν σώματος, πᾶσα δὲ ψυχῆς ἀρετὴ συνδραμοῦσα, θαῦμα ἄπιστον ἔδειξεν τῇ ἀνθρωπίνῃ ζωῇ, πόσων ἀγαθῶν συνδρομὴν μιᾷ ψυχῇ ἐν ἑνὶ ἐχώρησεν σώματι; καὶ ὡς ἂν μάλιστα καταφανὲς ἅπασι γένοιτο, τῆς γενεᾶς τὸ εὐτύχημα, ἐπὶ τὸν ὑψηλὸν θρόνον τῆς βασιλείας ἀνάγεται, ὅπως ἡλίου δίκην ἐκ τοῦ ὑψηλοῦ ἀξιώματος πᾶσαν τὴν οἰκουμένην ταῖς ἀκτῖσι τῶν ἀρετῶν καταλάμψειεν, καὶ τῷ κατὰ θείαν ψῆφον τῆς οἰκουμένης ἁπάσης προτεταγμένῳ εἰς βίου τε καὶ βασιλείας κοινωνίαν συναρμοσθεῖσα, μακαριστὸν ἐποίει δι' ἑαυτῆς τὸ ὑπήκοον, ὄντως, καθώς φησιν ἡ γραφή, βοηθὸς αὐτῷ πρὸς πᾶν ἀγαθὸν γινομένη. εἰ φιλανθρωπίας ἦν ὁ καιρὸς, εἰ συνέτρεχεν αὐτῷ πρὸς τὸ ἀγαθὸν τοῦτο, ἢ καὶ προέτρεχεν ἴσως ἦν ὁ ζυγὸς ἑκατέρωθεν τῇ τῆς φιλανθρωπίας ῥοπῇ. μαρτυρεῖ δὲ τῷ λόγῳ, τά τε πρότερον ἀριθμὸν νικῶντα καὶ τὰ ἐπὶ τοῦ παρόντος κηρύγματα, ἃ νῦν παρὰ τοῦ κήρυκος τῆς ἀληθείας ἠκούσαμεν. εἰ τὸ εὐσεβὲς ἐπιζητεῖς κοινὸς ἦν ἀμφοτέρων ὁ πρὸς εὐσέβειαν δρόμος· εἰ τὸ προνοητικὸν, εἰ τὸ δίκαιον, εἰ ἄλλο τι τῶν πρὸς τὸ κρεῖττον σπουδαζομένων· πάντα ἐν ἁμίλλῃ ἦν ἀλλήλους νικᾶν ἐν ταῖς εὐποιΐαις φιλονεικούντων, καὶ οὐκ ἦν ὁ ἡττώμενος. ἴση τις ἀμφοτέρων ἡ ἐπ' ἀλλήλοις χάρις, ἡ μὲν ἀρετῆς ἆθλον εἶχεν τὸν τῆς οἰκου-

μένης προσπεπλασμένον· ὁ δὲ μικρὰν ἡγεῖτο γῆς τε καὶ θαλάττης τὴν ἐξουσίαν συγκρίσει τοῦ κατ' αὐτὴν εὐτυχήματος· ἴσας ἀλλήλοις αὐτοὶ παρεῖχον τὰς εὐφροσύνας, ἀλλήλους τε βλέποντες καὶ ὑπ' ἀλλήλων ὁρώμενοι· ὁ μὲν τοιοῦτος ὢν οἷος ἐστί· ποῖον γάρ τις κάλλος ὑπὲρ τὸ φαινόμενον δείξειεν; καὶ εἴη γε διαρκέσαι καὶ εἰς ἐκγόνων ζωὴν τὸ ὁρώμενον· τὴν δὲ οἵα τις ἦν οὐκ ἔστιν ὑποδεῖξαι τῷ λόγῳ· οὐ γὰρ περιλέλειπταί τι αὐτῆς δι' ἀκριβείας παρὰ τῆς τέχνης ὁμοίωμα· ἀλλ' εἰ καί τι γέγονεν ἐν γραφαῖς ἢ ἐν πλάσμασι, πάντα τῆς ἀληθείας ἐστὶν ἐνδεέστερα. τοιαῦτα καὶ μέχρι τούτου τὰ διηγήματα· τὰ δὲ ἐπὶ τούτοις οἷα; πάλιν βοᾶν ἀναγκάζομαι. καί μοι σύγγνωτε ὑπερβαίνοντι τὸ πάθος. ὦ Θρᾴκη, τὸ φευκτὸν ὄνομα· ὦ δυστυχὲς χωρίον, ἔθνος ἐκ συμφορῶν γνωριζόμενον· ὦ πρότερον μὲν πολεμίῳ πυρὶ ταῖς τῶν βαρβάρων ἐπιδρομαῖς δῃωθεῖσα, νῦν δὲ τὸ κεφάλαιον τῆς κοινῆς συμφορᾶς ἐν ἑαυτῇ δεξαμένη, ἐκεῖθεν τὸ ἀγαθὸν ἀναρπάζεται, ἐκεῖ ὁ φθόνος κατὰ τῆς βασιλείας ἐκώμασεν, ἐκεῖ γέγονεν τὸ τῆς οἰκουμένης ναυάγιον, ἐκεῖ καθάπερ ἐν κλύδωνι τῷ προσβόλῳ προσπταίσαντες, τῷ τῆς λύπης βυθῷ κατεδύημεν· ὦ πονηρᾶς ἐκδημίας ἐκείνης ἣ τὴν ἐπιστροφὴν οὐκ ἀπέδωκεν· ὦ πικρῶν ὑδάτων ὧν τὰς πηγὰς ἐπεπόθησεν, ὡς οὐκ ὤφειλεν· ὦ χωρίον ἐν ᾧ τὸ πάθος ἐγένετο, διὰ τὸ πάθος τῇ σκοτομήνῃ ἐπώνυμον. ἀκούω γὰρ κατὰ τὴν πάτριον αὐτῶν γλῶσσαν σκότουμιν τὸν τόπον ἐπονομάζεσθαι· ἐκεῖ ἐσκοτίσθη ὁ λύχνος, ἐκεῖ κατεσβέσθη τὸ φέγγος, ἐκεῖ αἱ ἀκτῖνες τῶν ἀρετῶν ἠμαυρώθησαν, οἴχεται τῆς βασιλείας τὸ ἐγκαλλώπισμα· τὸ τῆς δικαιοσύνης πηδάλιον, ἡ τῆς φιλανθρωπίας εἰκών· μᾶλλον δὲ αὐτὸ τὸ ἀρχέτυπον, ἀφῃρέθη τῆς φιλανδρίας ὁ τύπος, τὸ ἁγνὸν τῆς σωφροσύνης ἀνάθημα, ἡ εὐπρόσιτος σεμνότης, ἡ ἀκαταφρόνητος ἡμερότης, ἡ ὑψηλὴ ταπεινοφροσύνη, ἡ πεπαρρησιασμένη αἰδώς, ἡ σύμμικτος τῶν ἀγαθῶν ἁρμονία· οἴχεται ὁ τῆς πίστεως ζῆλος, ὁ τῆς ἐκκλησίας στῦλος, ὁ τῶν θυσιαστηρίων κόσμος, ὁ τῶν πενομένων πλοῦτος, ἡ πολυαρκὴς δεξιά, ὁ κοινὸς τῶν καταπονουμένων λιμήν. πενθείτω ἡ παρθενία, θρηνείτω ἡ χηρεία, ὀδυρέ-

A rum præpoſitum: hic verò parui æſtimabat terræ mariſque arbitrium ac poteſtatem præ ea fœlicitate, qua illam nactus erat: pares inuicem alter alteri oblectationes præbebant, dum & alter alterum videret, & alter ab altero conſpiceretur: hic quidē talis, qualis eſt (qualem enim pulchritudinem quis ſupra eam, quę apparet, oſtenderit? & quidem vel ad nepotum vſque vitam durauerit ea, quæ videtur, pulchritudo) illa verò qualis quędam eſſet, non poteſt demonſtrari oratione: non enim extat eius aliquod ſimulachrum, quod per artem ex-
B actè elaboratum ſit, ſed ſi quod etiam depictum vel effictum eſt, omnia à veritate procul abſunt. Eiuſmodi etiā vſque adhuc ſunt ea quæ narrantur: quæ ſequuntur qualia? Rurſus clamare cogor. Ac mihi ignoſcite propter incōmodum clamando extra modum egredienti. O Thracia, fugiendum nomen! ô infelix prædium, gens cladibus nobilitata! ô prius quidem hoſtili igni Barbarorum incurſionis vaſtata, nunc verò caput ac ſummam cōmunis calamitatis in te recipiens, illinc bonum abripitur, illic in-
C uidia aduerſus imperium graſſata ac debacchata eſt, illic orbis terrarū naufragium factum eſt, illic tanquam turbine correpti ad ſcopulum impingentes in fundum triſtitiæ atq; mœroris demerſi ſumus! ô malam illā peregrinationem, quæ reditū denegauit! ô aquas amaras, quarum fontes vtinam nō deſideraſſet! O prædium, in quo clades accidit, propter cladē ab obſcura nocte cognomen ſortitum! Audio enim, patria eorū lingua *Scotoumin* (à tenebris ſcilicet) locum illum cognominari: illic obtenebrata eſt lucerna, illic extinctus eſt ſplendor, illic
D radij virtutū obſcurati ſunt, periit imperij ornamentū: iuſtitiæ gubernaculum, humanitatis imago, imò verò ipſa principalis humanitatis forma: maritalis amoris figura atque exemplum ablatum eſt, caſtum continentiæ atque ſobrietatis & pudicitiæ donarium, facilis aditu grauitas, non contemnenda facilitas & manſuetudo: alta animi humilitas atque modeſtia, pudor ingenuus, promiſcua bonorum harmonia: periit fidei zelus & ſtudium, Eccleſiæ columna, altarium ornatus, pauperum diuitiæ, multis ſubminiſtrando ſufficiens dextra, communis iactatorum & afflictorum portus. Lugeat virginitas, lamentetur viduitas,

ploret orbitas, cognoſcant quid habuerint, poſtquam habere deſierunt. Imò verò quid attinet me in partes & ordines diuidere lamentationem? Ingemiſcat omnis ætas, profundum à medio corde gemitum edens: vnà lugeat etiam ſacerdotium ipſum, quoniam inuidia communem ornatum detraxit. Nunquid

Pſal. 107. temerariũ fuerit Prophetæ dictum illud proferre? Quare repuliſti, Deus, in finẽ? & concitatus eſt furor tuus aduerſus oues paſcuæ tuæ? quorum peccatorum pœnas luimus? Qua de cauſſa? cuius rei nomine aliis ſuper aliis cladibus affligimur & caſtigamur? An forſitan propterea quod abundat impietas variarum hæreſeωn, hæc aduerſum nos ſententia obtinuit? Videte enim quibus in exiguo tempore malis conflictati ſimus? nondum à priore clade reſpirauimus, nondũ lacrymas ab oculis abſterſimus, rurſus in tantam incidimus calamitatem. Tunc tenerum florem deplorauimus, nunc ipſum ramum: vnde flos germinauit & enatus eſt, tunc ſperatum decorem, nunc eum qui viguit: tunc bonum quod expectabatur, nunc id, cuius periculum factum eſt. An ignoſcetis mihi, fratres, ſi quomodo propter cladem ineptus ſim & abſurda loquar? Forſitan, vt inquit Apoſtolus, etiam ipſa

Rom. 8. creatura noſtro incommodo ingemuit. Atque eorum quæ acciderunt, vobis memoriam renouabo, ac pleroſque opinor iis, quæ dicantur, aſſenſuros eſſe. Cum auro purpureaq; veſte velata imperatrix in vrbem portaretur (lectica autem erat, qua portabatur) atque omni ordine, omni ætate ex vrbe profuſa, quicquid ſoli aëri aperto expoſitũ eſſet, præ multitudine nimis anguſtum videretur, atque omnes etiam dignitate excellentes pedibus funus proſequerentur. Meminiſtis prorſus, vt ſol nebulis ſuos radios obtegeret, ne forſitan puro lumine videret Imperatricem cum eiuſmodi habitu in vrbem inuectam, non in curru quodam, aut rheda auro reuincta pro regio ornatu ſatellitibus ſtipantibus ſe lætam, ſed in loculo tectam, formam illam triſti velamento occultatam, ſpectaculum acerbum pariter ac miſerabile, quæ omnibus occurrentibus lacrymarum materies propoſita eſſet: quam omnis populus qui confluxerat, tam peregrinus quam domeſticus non fauſtis acclamationibus,

A θω ἡ ὀρφανία, γνώτωσαν τί εἶχον ὅτε οὐκ ἔχουσιν. μᾶλλον δὲ τί χρή με κατὰ μέρη καὶ τάξεις διαιρεῖν τὸν θρῆνον; στεναζέτω πᾶσα ἡ ἡλικία, βύθιον ἐκ μέσης καρδίας τὸν στεναγμὸν ἀναπέμπουσα· συμπενθείτω καὶ ἡ ἱερωσύνη αὐτὴ τὸν κοινὸν κόσμον τοῦ φθόνου ἀποσυλήσαντος. ἆρα μὴ τολμηρὸν τὸ τοῦ προφήτου εἰπεῖν; τὸ ἵνα τί ἀπώσω ὁ Θεὸς, εἰς τέλος; καὶ διωργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; ποίων ἁμαρτημάτων τὰς δίκας ἐκτιννύομεν; ὑπὲρ τίνος ταῖς ἐπ' ἀλλήλαις τῶν συμφορῶν μαστι-

B ζόμεθα; ἢ τάχα διὰ τὸ πλεονάσαι τὴν ἀσέβειαν τῶν ποικίλων αἱρέσεων, αὕτη καθ' ἡμῶν ἡ ψῆφος ἐκράτησεν; ὁρᾶτε γὰρ οἵοις κακοῖς ἐν βραχεῖ συνεζεύχθημεν χρόνῳ; οὔπω ἐπὶ τῇ προτέρᾳ πληγῇ ἀναπνεύσαντες, οὔπω τὸ δάκρυον τῶν ὀφθαλμῶν ἀποψήσαντες, πάλιν ἐν τοσαύτῃ γεγόναμεν συμφορᾷ. τότε τὸ νεοθαλὲς ἄνθος ἀπεδυράμεθα, νῦν αὐτὸ τὸ ἔρνος ἀφ' οὗ τὸ ἄνθος ἐβλάστησεν, τότε τὴν ἐλπισθεῖσαν ὥραν, νῦν τὴν ἀκμάσασαν· τότε τὸ προσδοκώμενον ἀγαθὸν, νῦν τὸ ἐν πείρᾳ γε-

C νόμενον. ἆρά μοι συγγνώσεσθε, ἀδελφοὶ, εἴ τι διὰ τὸ πάθος παραληρήσαιμι τάχα, καθὼς φησὶν ὁ ἀπόστολος, καὶ αὐτὴ ἡ κτίσις τοῖς ἡμετέροις κακοῖς συνεστέναξεν. ὑπομνήσω δὲ τῶν γεγονότων ὑμᾶς, καὶ οἶμαι τοὺς πολλοὺς τοῖς λεγομένοις συνθήσεσθαι. ὅτε χρυσῷ καὶ πορφυρίδι κεκαλυμμένη ἐπὶ τὴν πόλιν ἡ βασιλὶς ἐκομίζετο, κλίνη δὲ ἦν ἡ κομίζουσα· καὶ πᾶσα ἀξία, καὶ ἡλικία πᾶσα προχυθεῖσα τοῦ ἄστεος· ἀπεστενοχωρεῖτο διὰ τοῦ πλήθους τὸ ὕπαιθρον· πάντων ἐκ ποδῶν καὶ τῶν ὑπερεχόντων

D τοῖς ἀξιώμασι προπομπευόντων τοῦ πάθους· μέμνησθε πάντως ὅπως ὁ ἥλιος ταῖς νεφέλαις τὰς ἀκτῖνας ἑαυτοῦ συνεκάλυψεν, ὡς ἂν μὴ ἴδοι τάχα καθαρῷ τῷ φωτὶ μετὰ τοιούτου σχήματος εἰσελαυνομένην τὴν βασιλίδα τῇ πόλει, οὐκ ἐπὶ ἅρματός τινος, ἢ χρυσοδέτου ἀπήνης κατὰ τὸν βασίλειον κόσμον τοῖς δορυφόροις ἀγαλλομένην, ἀλλ' ἐν σορῷ κεκαλυμμένην, ἐπικρυπτομένην τὸ εἶδος ἐν στυγνῷ τῷ σκυθρωπῷ προκαλύμματι· θέαμα δεινόν τε καὶ ἐλεεινὸν, δακρύων ἀφορμὴ προκειμένη τοῖς ἐντυγχάνουσιν· ἣν ἅπας τῶν συνειλεγμένων ὁ ἔπηλύς τε καὶ ὁ ἐγχώριος οὐκ εὐφημίαις ἀλλὰ

A ἀλλὰ θρήνοις εἰσιοῦσαν ἐδέχετο. τότε καὶ ὁ ἀὴρ πενθικῶς ἐσκυθρώπασεν, οἷον ἱμάτιόν τι πενθικὸν τὸν ζόφον περιβαλλόμενος. ἀλλὰ καὶ αἱ νεφέλαι, καθὼς δυνατὸν αὐταῖς ἦν, ἐπεδάκρυον, ἁπαλὰς ψακάδας ἀντὶ δακρύων ἐπαφιεῖσαι τῷ πάθει. ἢ ταῦτα μὲν ὄντως λῆρός ἐστι, καὶ οὐδὲ λέγειν ἄξιον; εἰ γάρ τι καὶ γέγονεν ἐν τῇ κτίσει τοιοῦτον, εἰς ἐπισημῆναι τὴν συμφορὰν, οὐ παρὰ τῆς κτίσεως γέγονε πάντως, ἀλλὰ παρὰ τοῦ δεσπότου τῆς κτίσεως τιμῶντος δι' ὧν ἐποίει τῆς ὁσίας τὸν θάνατον. τίμιος γάρ, φησιν, ἐναντίον κυρίου ὁ θάνατος B τῶν ὁσίων αὐτοῦ. εἶδον δὲ ἐγὼ τότε ἕτερον θαῦμα τῶν εἰρημένων παραδοξότερον. εἶδον διπλοῦν ὄμβρον· τὸν μὲν ἐκ τοῦ ἀέρος· τὸν δὲ ἐκ τῶν δακρύων ἐπὶ τὴν γῆν καταρρέοντα, καὶ οὐκ ἦν ὁ ἐξ ὀφθαλμῶν ὑετὸς τοῦ ἐκ τῶν νεφῶν ἐνδεέστερος. ἐν γὰρ τοσαύταις μυριάσι τῶν συμπαρόντων οὐκ ἦν ὀφθαλμὸς ὁ μὴ καταβρέχων τὴν γῆν ταῖς τῶν δακρύων σταγόσιν. ἀλλ' οὐ καλῶς τάχα τῆς τοῦ διδασκάλου γνώμης ἐστοχασάμεθα, πλέον ἢ ἔδει τοῖς σκυθρωποῖς ἐμβαθύναντες. ἴσως γὰρ C βούλεται θεραπεῦσαι μᾶλλον ἢ ἀνιᾶσαι τὴν ἀκοήν· ἡμεῖς δὲ τὸ ἐναντίον νῦν πεποιήκαμεν. ὥσπερ ἂν εἴ τις ἰατρὸς τραυματίαν λαβὼν, μὴ μόνον ἀμελοίη τῆς θεραπείας, ἀλλὰ καὶ βρωτικοῖς τισὶ φαρμάκοις προσεπιτρίβοι τὸν ὀδυνώμενον. οὐκοῦν ἐπαντλητέον τὸν ἐλαιώδη λόγον τῇ διοιδούσῃ πληγῇ. οἶδεν γὰρ καὶ ἡ εὐαγγελικὴ ἰατρεία τῇ στύψει τοῦ οἴνου καταμιγνύειν τὸ ἔλαιον. ἐπικλίνωμεν οὖν ὑμῖν παρὰ τῆς γραφῆς λαβόντες τὸν τοῦ ἐλαίου καμψάκην, ὡς ἔστι δυνατὸν τὸ σκυ- D θρωπὸν τῶν εἰρημένων εἰς παραμυθίαν παλινῳδήσαντες. ἀλλά μοι μηδεὶς ἀπιστείτω τῶν λεγομένων, κἂν παράδοξον ᾖ. ἔστιν, ἀδελφοὶ, τὸ ἀγαθὸν, ὃ ζητοῦμεν, ἔστι, καὶ οὐκ ἀπόλωλεν. μᾶλλον δὲ μικρότερον εἶπον τῆς ἀληθείας. οὐ μόνον γάρ ἐστι τὸ ἀγαθὸν, ἀλλὰ καὶ ἐν ὑψηλοτέροις ἢ πρότερον. τὴν

A ſed lamentationibus introeuntem excipiebat. Tunc etiã aër lugubrem in modum triſtis fuit, tanquã pallio quodam lugubri, caligine ſe induens atque circumdans. Quinetiam nubes, prout ab ipſis fieri poterat, illacrymabãtur, molles ac tenues pluuiæ guttas & rores luctui lacrymarũ loco ſuperfundentes. An hæc quidẽ deliramenta ac nugę reuera ſunt, ac ne digna quidem, quę dicantur? Nam etiamſi eiuſmodi quid accidit in creatura, quòd cladẽ indicaret & inſignem efficeret, prorſus à creatura factum non eſt: ſed à creaturæ Domino, per ea quæ B faciebat, ſanctæ mortem honorante. Honorata enim eſt, inquit ille, coram Domino mors ſanctorum eius. Vidi au- Pſal. 115. tem ego tunc aliud ſpectaculum modò dictis magis inopinatum admirabiliuſque: vidi duplicem imbrem, vnum quidem ex aëre, alterum verò ex oculis lacrymantium ad terram defluentem, ac non erat minor pluuia oculorum, quàm is qui è nubibus profluebat. In tot millibus enim qui ſimul aderant, nullus erat oculus qui terram lacrymarum guttis non irrigaret. Verum haud C recta fortaſſe coniectura ad mentem præceptoris aſſequendum vſi ſumus, & ita à ſententia eius aberrauimus, quippe rebus acerbis ac triſtibus diutius quàm oportet immorati. Forſitan enim curare potius, quàm moleſtia aures afficere vult, nos verò contrarium nunc fecimus. Veluti ſi quis medicus acceptum ſaucium non modò curare negligat, verumetiam exedentibus quibuſdam & conſumendi vim habentibus medicamentis inſuper miſerum doloribus affligat atque conficiat. Proinde intumeſcenti vulneri effundenda eſt ora- D tio, quæ ſicut oleum, leniendi mitigandique vim habeat. Solet enim etiam Euangelica medicina vini adſtrictiuæ naturę oleum admiſcere. Conuertamus igitur vobis, oleario à ſacra ſcriptura vaſe ſumpto, quoad eius fieri poteſt, prioribus contraria in medium afferentes, acerbitatem atque mœſtitiam eorum quæ dicta ſunt, in conſolationem. Sed nemo, quæſo, fidem ſermoni deroget, etiamſi præter opinionem accidat, à communi ſententia diſcrepet, atque diuerſus ſit. Saluum, fratres, eſt bonum, quod quærimus, ſaluum eſt, & non periit. Imò verò minus dixi, quàm veritas habet. Non modo enim ſaluum bonum eſt, verumetiam eſt in ſublimioribus, quàm prius.

Imperatricem quæris? In palatio domicilium habet. At oculo hoc cognoſcere deſideras. Non licet tibi ſuperuacuam operam ſumere in hoc, vt reginam ſpectes. Terribilis circum eam armigerorum cuſtodia eſt: non horum, inquam, armigerorum, quibus ferrea ſunt arma, ſed eorum, qui flammeo gladio armati ſunt: quorum ſpeciem viſus hominum non ſuſtinet, in quibus arcanis regni eſt magnificentia, tunc videbis, cùm & ipſe è corpore eminens proſpexeris: non enim aliter intra adyta atque penetralia regni peruenire licet, niſi carnis velo diducto. An præſtabilius putas per carnem vita frui? Proinde doceat te diuinus Apoſtolus, qui arcanorum paradiſi myſteriorum particeps
1. Cor. 12. fuit. Quid dicit de hac vita? forſitan
Rom. 7. ex communi hominum loquens perſona? Miſer ego homo, quis me eripiet ex hoc corpore morti obnoxio? Quare hoc dicit? quoniam reſolui, & eſſe cum Chriſto longè melius eſſe dicit. Quid item magnus ille Dauid, qui tanto principatu florebat? qui omnia, quæ pertinent ad voluptatem fruendam abundè habebat? non angitur vita? non cuſtodiam nominat hanc vitam?
Pſal. 141. an non clamat ad Dominum: Educ ex cuſtodia animam meam? an non productione vitæ grauatur, offenditur? Heu mihi, dicens, quoniam inquilinatus meus prolongatus eſt? An non nouerant ſancti diſcernere bonum à malo? & idcirco animæ præſtabiliorem eſſe putabant exitum è corpore? Tu verò, quid boni, quæſo, in vita vides? conſidera quibus in rebus vita ſpectetur. Non profero tibi vocem Prophe-
Eſa. 6. tæ dicentis, Omnis caro fœnum: ornat enim ille & honeſtat magis ea ſimilitudine miſeriam naturæ: forſitan enim melius eſſet, fœnum eam eſſe potius, quàm id quod eſt. quare? quia nullam à natura iniucunditatem fœnum habet: caro verò noſtra tetri odoris eſt officina, quicquid acceperit corrumpendo inutile reddens. Quod verò ſupplicium eſt æquè graue, atque omni tempore miniſterio ventris obnoxium eſſe? Videte enim hunc perpetuum tributi exactorem, ventrem dico, quantam quotidie neceſſitatem adferat exactionis? cui etiamſi aliquando amplius

A βασιλίδα ζητεῖς; ἐν τοῖς βασιλείοις τὴν διαγωγὴν ἔχει. ἀλλ' ὀφθαλμῷ γνῶναι τοῦτο ποθεῖς. οὐκ ἔξεστί σοι βασιλίδος θέαν περιεργάζεσθαι. φοβερὰ περὶ αὐτὴν ἡ τῶν δορυφόρων φρουρά· οὐ τούτων λέγω τῶν δορυφόρων, οἷς σίδηρος τὸ ὅπλον ἐστὶν, ἀλλὰ τῶν τῇ φλογίνῃ ῥομφαίᾳ καθωπλισμένων, ὧν τὸ εἶδος ἀνθρώπων ὄψις οὐχ ὑποδέχεται, ἐν οἷς ἀπόρρητος τῆς βασιλείας ἡ οἴκησις, τότε ὄψει, ὅταν καὶ σὺ παρακύψῃς τοῦ σώματος· οὐ γάρ ἐστιν ἄλλως ἐντὸς τῶν ἀδύτων τῆς βασιλείας B γενέσθαι μὴ διασχόντα τὸ τῆς σαρκὸς παραπέτασμα. ἢ κρεῖττον οἴει τὸ διὰ σαρκὸς μετέχειν τοῦ βίου; οὐκοῦν παιδευσάτω σε ὁ θεῖος ἀπόστολος, ὁ τῶν ἀρρήτων τοῦ παραδείσου μετεσχηκὼς μυστηρίων. τί λέγει περὶ τῆς ὧδε ζωῆς; τάχα ἐκ τοῦ κοινοῦ τῶν ἀνθρώπων φθεγγόμενος; ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἀπὸ τοῦ σώματος τοῦ θανάτου τούτου; διὰ τί τοῦτο λέγει; ὅτι τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι πολλῷ κρεῖττόν φησιν. τί δὲ ὁ μέγας Δαβὶδ, ὁ τοσαύτῃ δυναστείᾳ κομῶν, ὁ C πάντα πρὸς ἡδονὴν καὶ κατ' ἐξουσίαν εἰς ἀπόλαυσιν ἔχων; οὐ στενοχωρεῖται τῷ βίῳ; οὐ φυλακὴν ὀνομάζει τὴν ὧδε ζωήν; οὐ βοᾷ πρὸς τὸν κύριον· ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου; οὐ πρὸς τὴν παράτασιν τῆς ζωῆς δυσχεραίνει; οἴμοι, λέγων, ὅτι ἡ παροικία μου ἐμακρύνθη; ἢ οὐκ ἤδεισαν διακρῖναι οἱ ἅγιοι τὸ καλὸν ἐκ τοῦ χείρονος; καὶ διὰ τοῦτο, προτιμοτέραν ᾤοντο τῇ ψυχῇ τὴν ἀπὸ τοῦ σώματος ἔξοδον; σὺ δὲ, τί καλὸν, εἰπέ μοι, παρὰ τὸν βίον ὁρᾷς; κατανόησον ἐν τίσιν ἡ D ζωὴ θεωρεῖται. οὐ λέγω σοι τὴν τοῦ προφήτου φωνὴν, ὅτι πᾶσα σὰρξ χόρτος· σεμνοῖ γὰρ ἐκεῖνος μᾶλλον τῷ ὑποδείγματι τὴν τῆς φύσεως ἀθλιότητα· τάχα γὰρ κρεῖττον ἦν χόρτον εἶναι μᾶλλον, ἢ ὅπερ ἐστί. διὰ τί; ὅτι οὐδεμίαν ὁ χόρτος ἐκ φύσεως ἀηδίαν ἔχει· ἡ δὲ σὰρξ ἡμῶν, ὀσμῆς ἐστιν ἐργαστήριον, ἅπαν τὸ ληφθὲν εἰς διαφθορὰν ἀχρειοῦσα. τὸ δὲ τὸν ἅπαντα χρόνον ὑποκεῖσθαι τῇ τῆς γαστρὸς λειτουργίᾳ, ποίας τιμωρίας οὐκ ἔστιν ἀνιαρώτερον; ὁρᾶτε γὰρ τοῦτον τὸν διηνεκῆ φορολόγον τὴν γαστέρα λέγω, ὅσην ἐπάγει καθ' ἡμέραν τὴν ἀνάγκην τῆς ἀπαιτήσεως; ᾧ κἄν ποτε πλέον

τοῦ τεταγμένου προκαταβάλωμεν, οὐδὲν τοῦ ἐφεξῆς χρέους προεξετίσαμεν· καθ' ὁμοιότητα τῶν ἐν τῷ μύλωνι ταλαιπωρουμένων ζώων κεκαλυμμένοις τοῖς ὀφθαλμοῖς, τὴν τοῦ βίου μύλην περιερχόμεθα, ἀεὶ διὰ τῶν ὁμοίων περιχωροῦντες, καὶ ἐπὶ τὰ αὐτὰ ἀναστρέφοντες. εἴπω σοι τὴν κυκλικὴν ταύτην περίοδον, ὄρεξις, κόρος, ὕπνος, ἐγρήγορσις, κένωσις, πλήρωσις. ἀεὶ ἀπ' ἐκείνων ταῦτα, καὶ ἀπὸ τούτων ἐκεῖνα· καὶ πάλιν ταῦτα, καὶ οὐδέποτε κύκλῳ περιιόντες παυόμεθα, ἕως ἂν ἔξω τοῦ μύλωνος γενώμεθα. καλῶς ὁ Σολομὼν πίθον τετρημένον, καὶ οἶκον ἀλλότριον ὀνομάζει τὸν ὧδε βίον. ὄντως γὰρ ἀλλότριος οἶκος καὶ οὐχ ἡμέτερος, ὅτι οὐκ ἐφ' ἡμῖν ἐστιν ἢ ὅτε βουλόμεθα, ἢ ἐφ' ὅσον ἐπιποθοῦμεν ἐν αὐτῷ εἶναι. ἀλλὰ καὶ εἰσαγόμεθα ὡς οὐκ οἴδαμεν, καὶ ἐξοικιζόμεθα ὅτε οὐκ οἴδαμεν. τὸ δὲ τοῦ πίθου αἴνιγμα νοήσεις, ἐὰν εἰς τὸ ἀπλήρωτον τῆς ἐπιθυμίας ἀποβλέψῃς. ὁρᾷς πῶς ἐπαντλοῦσιν ἑαυτοῖς οἱ ἄνθρωποι τὰς τιμάς, τὰς δυναστείας, τὰς δόξας, καὶ πάντα τὰ τοιαῦτα; ἀλλ' ὑπορρεῖ τὸ βαλλόμενον, καὶ οὐ παραμένει τῷ ἔχοντι· ἡ μὲν γὰρ περὶ τὰς δόξας, καὶ τὴν δυναστείαν καὶ τὴν τιμὴν σπουδή, πάντοτε ἐνεργεῖται· ὁ δὲ τῆς ἐπιθυμίας πίθος μένει ἀπλήρωτος. τί δὲ ἡ φιλοχρηματία; οὐκ ἀληθῶς πίθος τετρημένος ἐστίν, ὅλῳ τῷ πυθμένι ῥέων; ᾧ κἂν πάσας ἐπαντλήσῃς τὰς θαλάσσας, πληρωθῆναι φύσιν οὐκ ἔχει. τί οὖν λυπηρόν, εἰ τῶν τοῦ βίου κακῶν ἡ μακαρία κεχώρισται, καὶ ὥσπερ τινὰ λήμην τὸν τοῦ σώματος ῥύπον ἀποβαλοῦσα καθαρᾷ τῇ ψυχῇ πρὸς τὴν ἀκήρατον ζωὴν μετῳκίσατο; ἐν ᾗ ἀπάτη οὐ πολιτεύεται· διαβολὴ οὐ πιστεύεται· κολακεία χώραν οὐκ ἔχει· ψεῦδος οὐ καταμίγνυται· ἡδονή τε καὶ λύπη, καὶ φόβος καὶ θάρσος, καὶ πενία καὶ πλοῦτος, καὶ δουλεία καὶ κυριότης, καὶ πᾶσα ἡ τοιαύτη τοῦ βίου ἀνωμαλία, ὡς πορρωτάτω τῆς ζωῆς ἐκείνης ἐξῴκισται. ἀπέδρα ἐκεῖθεν, καθώς φησιν ὁ προφήτης, ὀδύνη καὶ λύπη, καὶ στεναγμός· ἀντὶ δὲ τούτων τί; ἀπάθεια, μακαριότης, κακοῦ παντὸς ἀλλοτρίωσις, ἀγγέλων ὁμιλία, τῶν ἀοράτων θεωρία, Θεοῦ μετουσία, εὐφροσύνη τέλος οὐκ ἔχουσα. ἆρ' οὖν λυπεῖσθαι προσήκει περὶ τῆς βασιλίδος μαθόντας οἷα ἀνθ' οἵων ἠλλάξατο;

A quàm ſtatutum & ordinatum ſit, antè dependerimus, nihil de inſequenti debito antè ſoluendo deduximus: quemadmodum animalia quæ in piſtrino labore conficiuntur, tectis oculis vitę molam circuimus, ſemper per ſimilia obambulantes, & ad eadẽ reuertentes. Dicam tibi hunc ambitum circularẽ: appetitus eſt, ſatietas, ſomnus, vigilia, euacuatio, repletio: ſemper ab illis hęc, & ab his illa, & rurſus hæc, ac nũquam in orbem obambulare deſinimus, donec extra moletrinum euaſerimus. Rectè Solomon dolium perforatum, & domum a-
B lienam nominat hanc vitam. Verè enim aliena domus eſt, & nõ noſtra: quoniam in noſtra poteſtate non eſt, vel quando volumus, vel quamdiu deſideramus, in ea eſſe: quinetiam neſcimus quemadmodum introducamur, neq; nouimus quando migrare iubeamur. Porrò dolij ænigma atque inuolucrum intelliges, ſi ad inexplebiles & inſatiabiles cupiditates reſpexeris. Vides, vt homines ſibi ſemper affundant & aggerant honores, potentatus, glorias, & omnia eiuſmodi? At quod immittitur, effluit, & non permanet in eo quo continetur: nam ſtu-
C dium quidem gloriæ, potentatus & honoris ſemper exercetur & viget, ſed cupiditatis doliũ inexplebile manet. Quid item pecuniæ ſtudium? an non verè dolium perforatum eſt, toto fundo perfluẽs? cui ſi vel totum mare affundas, ea natura eſt, vt expleri non poſſit. Quid igitur moleſtum & acerbum eſt, ſi à vitæ malis beata iſta ſegregata eſt, & veluti lema quadã, corporis ſordibus abiectis, pura anima ad immortalem & incorruptam vitam tranſit? in qua fraus non exercetur: calumniæ non creditur: adulatio locum nõ habet: mendacium non immiſcetur: voluptas item & ægritudo,
D metus & fiducia, paupertas & diuitiæ, ſeruitus & dominatio, omniſque talis vitæ inæqualitas quàm longiſſimè ab illa vita remota eſt. Aufugit illinc, vt inquit Propheta, dolor & moleſtia, & gemitus; pro his verò quid? impatibi- *Eſa.35.10.*
litas & malorum incommodorumque vacuitas, beatitudo, ab omni malo alienatio, Angelorum conſuetudo, inuiſibilium contemplatio, ſocietas cum Deo, lætitia finem non habens. Nunquid igitur mœrere conuenit de regina edoctos, quæ quibus commutauerit?

Reliquit regnum terreſtre, ac cœleſte A
aſſequuta eſt : depoſuit coronam lapidibus ornatam, at gloriæ corona ſe circumdedit: exuit veſtem purpuream, at Chriſtum induit. Hoc eſt verè regium ac pretioſum indumentum. Hanc terrenam purpuram audio ſanguine conchæ cuiuſdam marinæ rubeſcere. At ſupernæ purpuræ Chriſti ſanguis ſplendorem & florem addit. Vidiſti quanta ſit in indumento differentia atque præſtantia. Vis tibi fidem fieri quòd illis rebus fruatur? Lege Euan-
Matth. 25. gelium : Venite benedicti patris mei, inquit (hæc ad dexteros Iudex) poſſi- B
de paratum vobis regnum. Quod à quo paratum, Quod vobis ipſi, inquit, per opera præparauiſtis, quomodo? Eſuriebam, ſitiebam, peregrinus eram, nudus, infirmus, in carcere. Quatenus feciſtis vni de his minimis, mihi feciſtis. Si igitur eiuſmodi rerum ſtudium regni conciliandi vim habet: numerate, ſi modò enumerari poſſunt, quot homines indumentis ab illa ſuppeditatis, cooperti ſint? quot à magna illa dextra alimenta acceperint? quot in carcerem concluſi non modò ab ea C
viſitati, verumetiam penitus dimiſſionem aſſequuti ſint? Quod ſi viſitare concluſum, regnum conciliat: liberare pœna nimirum maiori præmio dignum eſt, ſi modò aliquid regno præſtantius & excellentius eſt. Verùm non hic cōſiſtit illius laus. Nam etiam vltra mandata rectè factis progreditur, quot propter illam reſurrectionis gratiam in ſeſe agnouerunt? qui legibus mortui, & capitis damnati, rurſus per eam ad vitam reuocati ſunt? In oculis eſt dictorum teſtimonium. Vidiſti iuxta altare, qui ſalutem deſperauerat, adoleſcentu- D
lum. Vidiſti mulierculam ob damnationem fratris lamentantem : audiuiſti ex eo, qui bona Eccleſiæ prædicabat, vt in memoriam reginæ triſtis ſententia mortifera in vitam reſoluta ſit. An etiam hæc ſola? Animi verò demiſſionem vbi collocabimus? quam ſcriptura præfert omni præclaro atque cum virtute coniuncto facinori? Quæ cùm tantum imperium vnà cum magno Imperatore moderaretur, omni potentatu ſe ſubmittente, tot gentibus ſubditis & tributariis, cùm terra pariter ac mare ſuis vtraque copiis ſtiparent eam atque fouerent : ſuperbiæ aduerſum ſe aditum non dedit, ſemper ad ſeipſam,

A κατέλιπεν βασιλείαν γηΐνην, ἀλλὰ τὴν οὐράνιον κατέλαβεν· ἀπέθετο τὸν ἐκ λίθων στέφανον, ἀλλὰ τὸν τῆς δόξης περιέθηκατο· ἀπεδύσατο τὴν πορφυρίδα, ἀλλὰ Χριστὸν ἐνεδύσατο. τοῦτό ἐστι τὸ βασιλικὸν ὄντως καὶ τίμιον ἔνδυμα. τὴν ὧδε πορφύραν ἀκούω αἵματι κόχλου τινὸς θαλασσίας φοινίσσεσθαι· τὴν δὲ ἄνω πορφύραν τὸ τοῦ Χριστοῦ αἷμα λαμπρὰν ποιεῖ. εἶδες ὅσον ἐν τοῖς ἐνδύμασι τὸ διάφορον. βούλει πεισθῆναι ὅτι ἐν ἐκείνοις ἐστίν, ἀνάγνωθι τὸ εὐαγγέλιον. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου φησὶ ταῦτα πρὸς
B τοὺς δεξιοὺς ὁ κριτής· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· τὴν παρά τινος ἡτοιμασμένην; ἣν ἑαυτοῖς, φησί, διὰ τῶν ἔργων προητοιμάσατε, πῶς; ἐπείνων, ἐδίψων, ξένος ἤμην, γυμνός, ἀσθενής, ἐν φυλακῇ. ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Εἰ οὖν ἡ περὶ ταῦτα σπουδὴ βασιλείας προξενός ἐστι, ἀριθμήσατε εἴπερ δυνατόν ἐστιν ἐξαριθμήσασθαι, πόσοι τοῖς ἐνδύμασι τοῖς παρ' αὐτῆς ἐσκεπάσθησαν; πόσοι τῇ μεγάλῃ ἐκείνῃ δεξιᾷ διετράφησαν; πόσοι τῶν κατακλείστων οὐκ
C ἐπισκέψεως μόνον, ἀλλὰ καὶ παντελοῦς ἀφέσεως ἠξιώθησαν; εἰ δὲ τὸ ἐπισκέψασθαι τὸν κατάκλειστον, προξενεῖ βασιλείαν· τὸ ἐλευθερῶσαι τῆς τιμωρίας δηλαδὴ πλείονος τιμῆς ἄξιον, εἴπερ τι βασιλείας ἐστὶν ἀνώτερον. ἀλλ' οὐ μέχρι τούτων ἐστὶν ἐκείνης ὁ ἔπαινος. παρέρχεται γὰρ καὶ τὰ προστεταγμένα τοῖς κατορθώμασιν, πόσοι δι' ἐκείνην τὴν τῆς ἀναστάσεως χάριν ἐφ' ἑαυτῶν ἐγνώρισαν, οἱ τοῖς νόμοις ἀποθανόντες, καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον δεξάμενοι, πάλιν δι' αὐτῆς εἰς τὴν ζωὴν ἀνεκλήθησαν; ἐν ὀφθαλμοῖς τῶν εἰρημένων ἡ μαρτυρία. εἶδες παρὰ
D τὸ θυσιαστήριον ἀπογνόντα τῆς σωτηρίας μειράκιον. εἶδες γύναιον ἐπὶ καταδίκῃ ἀδελφοῦ ὀδυρόμενον, τῶν τὰ ἀγαθὰ τῇ ἐκκλησίᾳ κηρύσσοντος, ὅπως τῇ μνήμῃ τῆς βασιλίδος ἡ σκυθρωπὴ τοῦ θανάτου ψῆφος εἰς ζωὴν ἀναλύεται. ἆρα καὶ μόνον ταῦτα; τὴν δὲ ταπεινοφροσύνην ποῦ θήσομεν; ἣν προτιμοτέραν ἡ γραφὴ ποιεῖται παντὸς τοῦ κατ' ἀρετὴν κατορθώματος; ἥ τις συνηνιοχοῦσα τῷ μεγάλῳ βασιλεῖ τὴν τοσαύτην ἀρχήν, πάσης δυναστείας ὑποκυπτούσης, τοσούτων ἐθνῶν ὑποτελούντων γῆς τε καὶ θαλάττης ἐκ τῶν οἰκείων ἑκατέρας δορυφορούσης οὐκ ἔδωκεν καθ' ἑαυτῆς τῷ τύφῳ ἀεὶ πρὸς ἑαυ-

τὴν, οὐκ εἰς τὰ ἔξω ἑαυτῆς ἀποβλέπουσα, διὰ τοῦτο τοῦ μακαρισμοῦ γίνεται κληρονόμος, διὰ τῆς προσκαίρου ταπεινοφροσύνης τὸ ἀληθινὸν ὕψος ἐμπορευσαμένη. εἴπω τι καὶ τῆς φιλανδρίας τεκμήριον. ἔδει πάντως διαλυομένης τῆς σωματικῆς συζυγίας, καὶ τὰ τίμια τῶν προσόντων αὐτῆς ἀγαθῶν ἐλθεῖν εἰς διαίρεσιν. πῶς οὖν ἐποιήσατο τὴν διανομήν; τριῶν ὄντων τέκνων· ταῦτα γὰρ τῶν ἀγαθῶν τὰ κεφάλαια· τοὺς ἄρρενας τῷ πατρὶ προσκατέλιπεν, ὥστε εἶναι αὐτῷ τῆς βασιλείας ἐρείσματα· τῆς δὲ ἰδίας μερίδος, μόνην τὴν θυγατέρα ἀπεποίηται. ὁρᾷς πῶς εὐγνώμων τε καὶ φιλόστοργος ἐν τοῖς τιμίοις τὸ πλέον τῷ ἀνδρὶ συγχωρήσασα; ἀλλ' ὃ μάλιστα παρ' ἡμῶν λέγεσθαι χρὴ, τοῦτο προσθεὶς καταπαύσω τὸν λόγον. τὸ τῶν εἰδώλων μῖσος κοινὸν πάντων ἐστὶ τῶν μετεχόντων τῆς πίστεως· ἀλλ' ἐκείνης ἐξαίρετον, τὸ τὴν Ἀρειανὴν ἀπιστίαν ὁμοίως τῇ εἰδωλολατρείᾳ βδελύττεσθαι. τοὺς γὰρ ἐν τῇ κτίσει τὸ θεῖον εἶναι νομίζοντας, οὐδὲν ἐλάττονα σέβειν ᾤετο τῶν εἰδωλοποιούντων τὰς ὕλας, καλῶς καὶ εὐσεβῶς τοῦτο κρίνουσα. ὁ γὰρ τὸ κτίσμα προσκυνῶν, κἂν ἐπ' ὀνόματι τοῦ Χριστοῦ τοῦτο ποιῇ· εἰδωλολάτρης ἐστὶ, Χριστοῦ ὄνομα τῷ εἰδώλῳ θέμενος. διὰ τοῦτο μαθοῦσα, ὅτι οὐκ ἔστι Θεὸς πρόσφατος, μίαν προσκύνει θεότητα, τὴν ἐν πατρὶ καὶ υἱῷ καὶ πνεύματι ἁγίῳ δοξαζομένην. ταύτῃ συνηυξήθη τῇ πίστει, ταύτῃ ἐνήκμασεν, ταύτῃ τὸ πνεῦμα παρεκατέθετο· ὑπὸ ταύτης προσήχθη τῷ κόλπῳ τοῦ πατρὸς τῆς πίστεως Ἀβραὰμ παρὰ τὴν τοῦ παραδείσου πηγήν· ἧς ἡ ῥανὶς ἐπὶ τοὺς ἀπίστους οὐκ ἔρχεται· ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς τοῦ πεφυτευμένου παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὧν καὶ ἡμεῖς ἀξιωθείημεν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν.

A non ad bona ſua externa reſpiciens, propterea beatitudinis hæres exiſtit, pro temporaria animi demiſſione atque humilitate vera celſitudine quæſita. Dicam etiam aliquod maritalis amoris indicium & argumentum. Oportebat omnino, ſoluto corporali coniugio, etiam pretioſa bona quibus abundabat, venire in diuiſionem. Quomodo igitur fecit diſtributionem? Cùm tres eſſent liberi (hæc enim bonorum capita ſunt) qui virilis ſexus eſſent, apud patrem reliquit, qui regno eius præſidio eſſent: ad ſuam verò partem B ſolam filiam pertinere exiſtimauit. Vides quanto candore atque æquitate animi pariter ac indulgentia ſit vſa, quæ in rebus pretioſis maiorem partem viro conceſſerit? Cæterùm quòd maximè à nobis dici oportet, vbi adiecero, ſermoni finem imponam. Simulachrorum odium cõmune eſt omnium, qui fidei participes ſunt: ſed eius præcipuum, quòd Arianam infidelitatem ſimiliter atque ſimulachrorum cultum abominabatur. Nam eos, qui in creatura numen diuinum eſſe exiſtimarent, nihilo minora colere atque venerari C putabat, quàm qui ex materia ſimulachra efficiunt, ac rectè ac piè ita iudicabat. Nam qui creaturam adorat, etiamſi in nomine Chriſti id facit, ſimulachrorum cultor eſt, Chriſti nomen ſimulachro imponens. Idcirco, cùm didiciſſet, quòd non ſit Deus recens & nouus, vnam Deitatem adorabat, quæ in Patre & Filio & Spiritu ſancto glorificatur. In hac fide creuit, in hac viguit, apud hanc ſpiritum depoſuit: ab hac oblata eſt ſinui patris fidei Abrahami iuxta fontem paradiſi: cuius humor & gutta ad infideleis non D manat, ſub vmbra ligni vitæ: quod plantatum eſt iuxta decurſus aquarum, quibus rebus etiam nos digni habeamur, per Chriſtum Ieſum Dominum noſtrum: cui gloria in ſæcula, Amen.

A

EIVSDEM DE VITA beati Gregorij miraculorum opificis, Oratio.

Eodem Siſano interprete.

ET oratio quidem noſtra, & præſens cõuentus ad vnam eandemque rem ſpectat. Magnus enim ille Gregorius cùm vobis conueniendi cauſſa fuit, tum mihi ſermocinandi materia atque argumentum propoſitum eſt. Ego verò eadem facultate opus eſſe puto; ſi & virtutem exequi factis, & præclaris facinoribus dicta exæquare velis. Itaque inuocandum fuerit auxilium, quo ille in vita virtutem exequutus eſt. Eſt autẽ illud, mea quidẽ opinione, gratia (ſancti) Spiritus: quæ & ad vitam & ad orationem harum rerum vtriuſq; ſtudioſis per ſeſe vires ſubminiſtrat. Quoniam igitur præclara illa, ſpectabilis & illuſtris vita virtute atque potentia Spiritus exacta perfectaque eſt: precari & optare oportet, vt quãta ope ille per vitam vſus eſt, tantum auxilij accedat orationi, quo amplitudine rectè factorum, non inferior laus eſſe videatur: ſed talis præſentibus cõmemoratione rerum ab eo geſtarum vir eſſe demonſtretur, qualis ille ipſe factis ſuis ab illius ætatis hominibus conſpiciebatur. Enimuerò ſi mentio eorũ, qui virtute excelluerunt, cum nullo lucro coniuncta eſſet, nullumque audientibus inde ad bonũ afferretur adiumentum, ſuperuacuum forſitan, ac nullum operæpretium eſſet, nulla propoſita vtilitate, & eandem rem fruſtra cõmemorando, & aures nequicquam obtundendo laudandi cauſſa orationẽ in medium efferre: ſed quoniam eiuſmodi munus orationis, ſi rectè & commodè adhibeatur, commune audientium emolumentum erit, tanquam fax è mari adnauigantibus ad ſeſe dirigens eoſ, qui in caligine per pelagus oberrant: pari ſtudio vtriſque & vobis auſcultãtibus, & mihi dicẽti ad hanc rem opus eſſe puto. Perſpicuum eſt enim, quòd vita eius per virtutem tranſacta veluti fax quædam animis noſtris per commemoratio-

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ βίον τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ λόγος.

ὉΜΕΝ σκοπὸς εἷς ἐστι τοῦ τε ἡμετέρου λόγου, καὶ τοῦ παρόντος ἡμῖν συλλόγου. Γρηγόριος γὰρ ὁ μέγας, ὑμῖν τε τῆς συνόδου, κἀμοὶ τῆς διαλέξεως ὑπόθεσις
B πρόκειται. ἐγὼ δὲ τῆς αὐτῆς οἶμαι χρῆναι δυνάμεως, ἔργῳ τε κατορθῶσαι τὴν ἀρετὴν, καὶ λόγῳ κατ' ἀξίαν τὰ καλὰ διηγήσασθαι. ὥστε ταύτην ἐπικλητέον ἂν εἴη τὴν συμμαχίαν, δι' ἧς ἐν τῷ βίῳ τὴν ἀρετὴν ἐκεῖνος κατώρθωσεν. ἔστι δὲ αὕτη κατά γε τὸν ἐμὸν λόγον, ἡ τοῦ πνεύματος χάρις, ἡ καὶ πρὸς τὸν βίον καὶ πρὸς τὸν λόγον τοῖς περὶ ἑκάτερον τούτων ἐσπουδακόσι, δι' ἑαυτῆς ἐνισχύουσα. ἐπεὶ οὖν ὁ λαμπρὸς ἐκεῖνος καὶ περίβλεπτος βίος τῇ δυνάμει κα-
C τωρθώθη τοῦ πνεύματος· εὐχῆς ἔργον ἐστὶ, τοσαύτην ἐλθεῖν ἐπὶ τὸν λόγον βοήθειαν, ὅση γέγονεν παρὰ τὸν βίον ἐκείνῳ, ὡς μὴ κατόπιν εὑρεθῆναι τῆς ἀξίας τῶν κατορθωμάτων τὸν ἔπαινον, ἀλλὰ τοιοῦτον ἐπιδειχθῆναι τοῖς παροῦσι διὰ τῆς μνήμης τὸν ἄνδρα, οἷος ἦν τοῖς κατ' ἐκεῖνον τὸν χρόνον, αὐτὸς ἐκεῖνος ἐπὶ τῶν ἔργων ὁρώμενος. εἰ μὲν οὖν ἀκερδὴς ἦν ἡ μνήμη τῶν κατ' ἀρετὴν προεχόντων, καὶ μηδεμία πρὸς τὸ καλὸν ἐγίνετο συνεισφορὰ τοῖς ἀκούουσι, περιττὸν ἴσως ἂν ἦν καὶ ἀνόνητον ἐπὶ μηδενὶ χρησίμῳ προσάγειν εἰς εὐφημίαν τὸν λόγον,
D αὐτόν τε διεξιόντα μάτην, καὶ τὴν ἀκοὴν ἀργῶς ἀποκναίοντα· ἐπειδὴ δὲ ἡ τοιαύτη τοῦ λόγου χάρις, εἰ προσηκόντως γένοιτο, κοινὸν ἔσται τῶν ἀκουόντων τὸ κέρδος, καθάπερ ὁ πυρσὸς τοῖς ἐκ θαλάσσης προσπλέουσιν ἐφ' ἑαυτὸν εὐθύνων τοὺς ἐν τῷ ζόφῳ πλανωμένους κατὰ τὸ πέλαγος· ἴσης οἶμαι δεῖν πρὸς τοῦτο τῆς σπουδῆς ἑκατέροις, ὑμῖν τε πρὸς τὴν ἀκρόασιν, καὶ πρὸς τὸν λόγον ἐμοί. δῆλον γάρ, ὅτι πυρσοῦ δίκην διὰ τῆς μνήμης ἐκλάμψας ταῖς ψυχαῖς ἡμῶν ὁ κατ'

ἀρετὴν αὐτοῦ βίος, ὁδὸς πρὸς τὸ ἀγαθὸν τῷ τε διεξιόντι καὶ τοῖς ἀκούουσι γίνεται. πέφυκε μὲν γάρ πως οἱ ἄνθρωποι πρὸς ἅπαν τὸ ἐπαινετόν τι καὶ τίμιον οἰκείως ἐθέλειν ἔχειν, καὶ ἐν ἐπιθυμίᾳ τῆς κτήσεως γίνεσθαι. ἡ μὲν οὖν ὑπόθεσις τῶν λόγων τοσαύτη· ἐμοὶ δὲ πανταχόθεν ἀκίνδυνόν ἐστι καταλαμβάνειν τι τῆς ὑποθέσεως· εἴτε συνεπαρθῆναι τοῖς μεγέθεσι τῶν πραγμάτων ὁ λόγος ἰσχύσειεν, εἴτε καὶ μή. ἴσος γὰρ ἔσται καθ' ἑκάτερον τῷ ἐγκωμιαζομένῳ ὁ ἔπαινος. Εἰ μὲν γὰρ ἐφίκοιτο τῶν θαυμάτων ὁ λόγος, ἐκπλήξει τὴν ἀκοὴν πάντως τοῖς κατορθώμασιν. εἰ δὲ κατόπιν τοῦ μεγέθους ἔλθοι, καὶ οὕτως ἡ δόξα τοῦ ἐγκωμιαζομένου λαμπρυνεῖται. ἀρίστη γὰρ ἀνδρὸς εὐφημία, τὸ ἐπιδειχθῆναι τῆς δυνάμεως τῶν εὐφημούντων ἀμείνονα. μηδεὶς δὲ τῶν τῇ θείᾳ σοφίᾳ πεπαιδευμένων κατὰ τὴν τῶν ἔξω συνήθειαν ταῖς τεχνικαῖς τῶν ἐγκωμίων ἐφόδοις ἐπαινεῖσθαι ζητείτω τὸν πνευματικῶς ἐπαινούμενον. οὐ γὰρ ἀπὸ τῶν ὁμοίων ἡμῖν τε καὶ τοῖς ἄλλοις ἡ τοῦ καλοῦ κρίσις ἐστίν· οὔτε τὰς αὐτὰς περὶ τῶν αὐτῶν ὑπολήψεις εὕροι τις ἄν, τοῖς τε κατὰ τὸν κόσμον ζῶσιν, καὶ τοῖς ὑπερανεστηκόσι τοῦ κόσμου. τοῖς μὲν γὰρ μέγα τι δοκεῖ καὶ σπουδῆς ἄξιον εἶναι, πλοῦτος, καὶ γένος, καὶ δόξα, καὶ κοσμικαὶ δυναστεῖαι, καὶ μῦθοι τὰς πατρίδας οἰκίζοντες, καὶ τὰ φευκτὰ τοῖς γε νοῦν ἔχουσι διηγήματα, τρόπαια, καὶ μάχαι, καὶ τὰ ἐκ πολέμων κακά· παρὰ δὲ καθ' ἡμᾶς λόγῳ μία τετίμηται πατρίς, ὁ παράδεισος· ἡ πρώτη τοῦ γένους τῶν ἀνθρώπων ἑστία, μία πόλις ἡ ἐπουράνιος· ἡ διὰ τῶν ζώντων λίθων συνῳκισμένη, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· μία γένους σεμνότης, ἡ πρὸς τὸν Θεὸν ἀγχιστεία· οὐ κατὰ τὸ αὐτόματον τισὶ γινομένη, κατὰ τὴν ἐν τῷ κόσμῳ εὐγένειαν, ἣ καὶ ἐπὶ τοὺς φαύλους πολλάκις διὰ τῆς αὐτομάτου ταύτης ἀκολουθίας ῥέουσα φέρεται, ἀλλ' ἣν οὐκ ἔστιν ἄλλως, ἢ ἐκ προαιρέσεως κτήσασθαι. ὅσοι γὰρ ἔλαβον αὐτόν, φησὶν ἡ θεία φωνή, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. τί δὲ τῆς τοιαύτης εὐγενείας, τί ἂν σεμνότερον γένοιτο;

A nem affulgens, viam ad bonũ tam commemoranti, quã audientibus patefacit. Natura enim id nobis hominibus quodammodo inſitum eſt, vt quicquid laudabile eſt, & in pretio habetur, ad id noſmet adiungere & accommodare velimus, idque acquirere ſtudeamus. Et argumentum quidem orationis tale eſt: mihi verò argumẽtum tractare conanti nullum ex vtrocumque euentu periculum impendet: ſiue cum magnitudine rerũ vnà aſſurgere ſublimitate ſua oratio valuerit, ſiue non. Parẽ enim, vtrumcumque horum euenerit, laudem is qui B celebratur, aſſequetur. Nam ſi aſſequuta quidẽ oratio miracula fuerit, rerum præclarè geſtarum commemoratione prorſus obſtupefaciet auditores, ſin autem à tergo relicta oratio magnitudinẽ rerum minus aſſequi potuerit, etiã hac ratione gloria eius, cuius laudes perſequimur, clareſcet. Præſtantiſſima enim viri laus eſt, ſi eius virtus maior eſſe demonſtretur, quàm laudantium facultas dicendo aſſequi poſſit. Cæterum nemo ex iis, qui diuina ſapientia inſtituti ſunt, more externorũ & à fide noſtra alieno- C rum, artificioſis laudatiui generis dicendi apparatibus laudari deſideret eũ, qui propter ſpiritualia bona celebratur. Non enim ſimili ratione nos atque cæteri de bono iudicamus: neque eaſdẽ de rebus iiſdem reperiat aliquis opiniones, tum apud eos qui mundano more viuunt, tum apud hos, qui mundum ſupergreſſi ſunt. Illis enim magnæ quædã ſtudioq; dignæ atque expetendæ res eſſe videntur, diuitiæ, genus, gloria, mundani potentatus, fabulæ, quibus ſuæ quiſq; patriæ conditores celebrat: item fugiendę, ſana quidẽ mente præditis, narrationes, D trophæa, prælia, bellorum incommoda; noſtro verò iudicio vna in pretio & in honore patria eſt, paradiſus: prima generis humani ſedes: vna ciuitas, illa cœleſtis, quæ per viuẽtes lapides conſtruitur & coagmentatur: cuius artifex & conditor eſt Deus: vnus ſplendor, vna generis amplitudo, propinquitas cum Deo: quę non caſu fortuito ac temerè cuiquã contingit, quẽadmodum mundana generis claritudo, quæ ſæpè etiam ad improbos & malos per hanc fortuitam viciſſitudinem ac ſeriem temerè manans defertur: ſed quæ non aliter atque liberæ voluntatis electione acquiri poteſt, Quotquot enim receperunt eum, inquit diuina vox, dedit eis poteſtatem, vt filij Dei fierent. Qua nobilitate, quid ſplendidius, quid honeſtius, quid auguſtius eſſe poſſit?

MMMM iiij

Patria verò aliis quidẽ omnibus fabulæ atque commenta dæmonũque fraudes ac ludibria fabuloſis narrationibus ſimul permixta: noſtra autẽ patria expoſitoribus & narratoribus opus non habet. Nam ſi quis cœlũ ſuſpexerit, eaque quæ inibi ſunt ornamenta, & omnem creaturam animi oculo conſiderauerit, quæcumq; in his miracula comprehendere potuerit, has noſtræ patriæ reperiet narrationes: imò verò non ipſius patriæ, ſed coloniæ, quàm à ſublimiore vita reiecti & relegati mundum præſentẽ nimirum aſſequuti ſumus. Quòd ſi talis eſt colonia, exiſtimare oportet, qualis ſit ea vrbs, vnde colonia deducta eſt, quæ ſit in ea pulchritudo: quæ ſit in ea regia: quæ beatitas eorum quibus illa habitatio obuenit. Nam ſi ea, quæ in rebus creatis apparent eiuſmodi ſunt, vt nulla oratione explicari, nulla ratione comprehẽdi poſſint: quid de iis exiſtimandum eſt, quæ ſupra hæc ſunt, quæ neque oculo cõprehendi poſſunt, neque auribus percipi, neque mentis & intelligentiæ coniecturis, qualia ſint, iudicari & exiſtimari poteſt? Per hanc ſpiritualem laudem, ab iis qui commendantur, diuina laudationum lex infernas has nugas atque deliramenta ſecernit & excludit, turpe atq; indecorum eſſe iudicás eos, qui propter eiuſmodi bona noti ſunt, per eas res quę in terra habẽtur in pretio, celebrari atq; honeſtari. Nam ſi quidẽ aliquis eſt homo mundanus, qui materialem ſpectat felicitatem, is ex huiuſmodi rebus laudem hominibus corroget: ſi cui patria pecorum ferax contigerit: ſi mare vicinum gulæ deditis per ſeſe abundè res aptas ad veſcendũ ſuppeditat: ſi lapides alij aliis ſuperimpoſiti ædificia exornẽt; at qui ſuperã ſuſpicit vitam, cui pulchritudo atque ornamentum animi puritas eſt: cui diuitiæ, inopia: cui patria, virtus: cui ciuitas item ipſa regna Dei, in rebus terrenis magnificentiam & oſtentationem ſibi probro atque dedecori eſſe ducet. quamobrem etiam nos omiſſis eiuſmodi laudibus, neque patriam laudibus magni Gregorij adijciemus, neque maiores in ſubſidium laudationũ aſſumemus, ſcientes quòd nulla vera ſit laus quæ eorum qui laudantur, propria non ſit. Proprium autẽ dicimus, quod prorſus in perpetuum ita permanet, vt adimi auferrí ve non poſſit. Quoniam igitur (cùm omnia nobis eripiantur, diuitiæ, claritudo, gloria, honor, deliciæ, atque

A πατρὶς δὲ τοῖς μὲν ἄλλοις ἅπασι, μῦθοι καὶ πλάσματα, καὶ δαιμόνων ἀπάται συναναμεμιγμέναι τοῖς μυθικοῖς διηγήμασι· τὰ δὲ ἡμέτερα πάτρια, τῶν διηγουμένων οὐκ ἐπιδέεται. Εἰς γὰρ τὸν οὐρανόν τις ἰδὼν, καὶ τὰ ἐν αὐτῷ κάλλη, καὶ πᾶσαν τὴν κτίσιν τῷ τῆς ψυχῆς ὀφθαλμῷ κατανοήσας, ὅσαπερ ἂν ἐν τούτοις θαύματα καταλαβεῖν ἐξισχύσῃ, ταῦτα τῆς ἡμετέρας πατρίδος εὑρήσει τὰ διηγήματα· μᾶλλον δὲ οὐκ αὐτῆς τῆς πατρίδος, ἀλλὰ τῆς ἀποικίας ἣν ἀπὸ τῆς ὑψηλοτέρας ζωῆς ἀποικισθέντες τὸν παρόντα κατειλήφαμεν κόσμον. εἰ δὲ ἡ ἀποικία τοιαύτη, λογίσασθαι χρὴ τίς ἡ τῆς ἀποικίας μητρόπολις· τί τὸ ἐν ἐκείνῃ κάλλος· οἷα

B ἐν αὐτῇ τὰ βασίλεια· τίς ἡ μακαριότης τῶν ἐκείνην εἰληφότων τὴν οἴκησιν. εἰ γὰρ τὰ φαινόμενα κατὰ τὴν κτίσιν τοιαῦτα, ὡς ὑπὲρ ἔπαινον εἶναι· τί χρὴ τὸ ὑπὲρ ταῦτα λογίσασθαι, ὃ μήτε ὀφθαλμῷ λαβεῖν δυνατόν ἐστι, μήτε χωρῆσαι τῇ ἀκοῇ, μήτε τῇ διανοίᾳ στοχάσασθαι; διὰ ταύτης τῆς πνευματικῆς εὐφημίας τῶν ἐγκωμιαζομένων, ἀποκρίνει τοὺς κάτω λήρους ὁ θεῖος τῶν ἐγκωμίων ἔπαινος, αἰσχρὸν εἶναι κρίνων τοὺς ἀπὸ τῶν τοιούτων ἐγκωμιαζομένους διὰ τῶν κατὰ τὴν γῆν τιμίων σεμνύνεσθαι. κοσμικὸς μὲν

C γάρ τις ἀνὴρ πρὸς τὴν ὑλικὴν εὐδαιμονίαν ἀποβλέπων, ἐκ τῶν τοιούτων τοῖς ἀνθρώποις ἐρανιζέτω τὸν ἔπαινον· εἰ πατρὶς τινὶ γέγονεν εὔφορος βοσκημάτων· εἰ γειτνιῶσα θάλασσα πλεονάζει δι' ἑαυτῆς τοῖς λαιμάργοις τὰς ὕλας· εἰ λίθοι ἐπ' ἀλλήλοις τεθέντες τὰς κατασκευὰς καλλωπίζουσιν· ὁ δὲ πρὸς τὸν ἄνω βίον βλέπων· ᾧ κάλλος μέν ἐστιν ἡ τῆς ψυχῆς καθαρότης· πλοῦτος δὲ, ἡ ἀκτημοσύνη· πατρὶς δὲ ἡ ἀρετή· πόλις δὲ αὐτὰ τοῦ Θεοῦ τὰ βασί-

D λεια, ὄνειδος τὸ ἐν τοῖς γηΐνοις φιλοτιμίαν ποιήσεται. Οὐκοῦν ἀποστάντες καὶ ἡμεῖς τῶν τοιούτων ἐπαίνων, οὔτε τὴν πατρίδα τοῖς ἐπαίνοις τοῦ μεγάλου Γρηγορίου προσθήσομεν, οὔτε προγόνους εἰς συμμαχίαν τῶν ἐγκωμίων παραληψόμεθα, εἰδότες ὅτι οὐδεὶς ἀληθής ἐστιν ἔπαινος, ὃς ἂν μὴ τῶν ἐπαινουμένων ἴδιος ᾖ. ἴδιον δὲ φαμὲν, ὃ διαμένει πάντως εἰς τὸ διηνεκὲς ἀναφαίρετον. ἐπεὶ οὖν πάντων χωριζόμενοι, πλούτου, περιφανείας, δόξης, τιμῆς, τρυφῆς, ἀπο-

ἀλύσεως, συγγενῶν, φίλων, μόνης τῆς κατὰ κακίαν ἢ ἀρετὴν διαθέσεως ἀχώριστοι γινόμεθα· μόνον κρίνομεν μακαριστὸν τὸν ἐνάρετον. καί με μηδεὶς οἰέσθω τῷ μηδὲν ἔχειν σεμνὸν περὶ τῆς πατρίδος, ἢ τῶν προγόνων τοῦ ἀνδρὸς διηγήσασθαι, ἐν σχήματι τοῦ δοκεῖν περιορᾶν τῶν τοιούτων ὑποκλέπτειν τὸ ὄνειδος. τίς γὰρ οὐκ οἶδεν τὴν ἐπωνυμίαν τοῦ πόντου τὴν παρὰ πάντων ἀνθρώπων κατεξαίρετον ἀνατεθεῖσαν τῷ ἔθνει; δι᾽ ἧς τῶν ἐξ ἀρχῆς εἰληχότων τὴν χώραν ἡ ἀρετὴ μαρτυρεῖται; μόνος γὰρ ἐξ ἁπάσης γῆς τε καὶ θαλάσσης οὗτος ὁ πόντος εὔξεινος ὀνομάζεται, εἴτε τὴν πρὸς τοὺς ἐπιδημοῦντας τῶν ξένων φιλοφροσύνην μαρτυροῦντος αὐτοῖς τοῦ ὀνόματος, εἴτε καὶ ὅτι τοιοῦτος ὁ χῶρος ἐστὶν, ὡς μὴ μόνον τοῖς ἐγχωρίοις τε καὶ αὐτόχθοσιν, ἀλλὰ καὶ τοῖς ἀπανταχόθεν εἰς αὐτὸν φοιτῶσιν, τὰς πρὸς τὸ ζῆν παρασκευὰς ἀφθόνως χαρίζεσθαι· τοιαύτη γὰρ ἡ φύσις τῆς χώρας, ὡς πάντων τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων πάμφορος εἶναι, καὶ μηδὲν τῶν παρ᾽ ἑτέροις ἀγαθῶν ἀμοιρεῖν, ὡς καὶ τῆς θαλάσσης αὐτοῖς ἰδίᾳ τὰ πανταχόθεν ποιούσης. τοιούτου δὲ ὄντος τοῦ ἔθνους παντὸς, ὡς ὅπερ ἄν τις αὐτοῦ μέρος ἐφ᾽ ἑαυτοῦ κατασκέψηται, τῶν ἄλλων προτιμᾶν οἴεσθαι· οὐδὲν δὲ ἧττον τῇ κοινῇ κρίσει τοῦ ἔθνους οἷόν τις κορυφὴ πάσης τῆς περιοικίδος τῶν ἄλλων, ἡ τοῦ μεγάλου Γρηγορίου πόλις ἐστὶν, ἣν βασιλεύς τις ἐπίσημος τῶν τὴν ἀρχὴν τοῖς Ῥωμαίοις κρατυνομένων, Καῖσαρ τὸ ὄνομα, ἔρωτι καὶ πόθῳ τῆς χώρας ἁλοὺς, ἐπὶ τῷ ἰδίῳ ὀνόματι, Νεοκαισάρειαν καλεῖσθαι τὴν πόλιν ἠξίωσεν. ἀλλ᾽ οὐδὲν ταῦτα πρὸς τὸν σκοπὸν τὸν ἡμέτερον, ὥστε διὰ τούτων οἴεσθαι σεμνότερον ἀποδεικνύειν τὸν μέγαν ἐν ἁγίοις ἐκεῖνον, εἰ καρποῖς βρίθει ἡ χώρα, εἰ ἡ πόλις κατασκευαῖς κεκαλλώπισται, εἰ τῇ γείτονι θαλάττῃ τὰ πανταχόθεν πρὸς τὸ δοκοῦν κατ᾽ ἐξουσίαν εἰσάγεται. ἀλλ᾽ οὐδὲ τῶν προγόνων αὐτοῦ, τῶν παρακαθηγησαμένων τῆς κατὰ σάρκα γενέσεως, μνήμην ἐπὶ τοῦ λόγου ποιήσομαι, πλοῦτον καὶ φιλοτιμίας, καὶ τὰς κοσμικὰς περιφανείας αὐτῶν διηγούμενος. τί γὰρ ταῦ-

A luxus, voluptas & oblectatio, cognati, amici) ſolus ille habitus & affectus, quo vel cum vitio vel cum virtute coniuncti ſumus, ita nobis inhæret, vt ſeparari & auferri nõ poſſit: ſolum beatum habendum eſſe iudicamus eũ, qui virtute præditus ſit. Ac nemo putet me nihil amplũ atque magnificũ de patria maioribúſve viri poſſe commemorare, ſed ſub ſpecie atq; prætextu contemptionis eiuſmodi rerũ dedecus atq; turpitudinẽ quaſi ſubducere atq; ſuffurari. Quis enim ignorat cognomẽ Ponti, quod ab omnib. hominibus tanquã præcipuũ quiddam ac pe-
B culiare genti impoſitũ atque tributum eſt? per quod eorũ, quibus locus ab initio obuenit, virtus demonſtratur? Solus enim ex omni terra mariq; hic Pontus, εὔξεινος, id eſt, hoſpitalis, hoſpitibus & peregrinis commodus & bonus nominatur, ſiue comitatem & humanitatem eius erga aduenas & peregrinos inibi verſantes atteſtante vocabulo: ſiue idcirco, quòd locus eiuſmodi eſt, vt non modò incolis & indigenis, verumetiam illis, qui ex omnibus partibus eò accedunt & confluunt, ad vi-
C uendum ſubſidia atque commeatus abundè ſuppeditet atque ſubminiſtret. Eiuſmodi enim natura regionis eſt, vt & omnium rerum, quæ ad vitam ſuſtentãdam neceſſariæ ſunt, ſummæ fertilis & peregrinorum quidem & bonorum expers ſit, cùm mare ei propria faciat ea, quæ omnibus regionibus illuc importantur. Cùm autem eiuſmodi tota natio ſit, vt quamcumque quis eius partem per ſeſe ſolam conſiderauerit, cæteris præſtare eam exiſtimaturus ſit: nihilo minus communi iudicio gentis veluti caput quoddã omnium aliarum
D finitimarum Magni Gregorij ciuitas eſt, quam vrbẽ Imperator quidã inſignis ex iis, qui Romanis Imperium cõfirmauerunt, Cæſar nomine, amore ac deſiderio loci captus ſuo nomine Neocæſareã inſigniuit. Verùm hæc nihil pertinent ad noſtrum propoſitũ & inſtitutum, vt per hæc ampliorem & auguſtiorem exiſtimemus nos demonſtraturos eſſe magnũ illum virum inter ſanctos, ſi regio frugibus abundet, ſi vrbs operibus & ædificiis ornata ſit, ſi per mare vicinum ad arbitrium res vndiq; magna copia importentur. At nec parentum quidem eius, qui natiuitatis eius carnalis authores fuerunt, in pręſenti oratione faciam mentionem, diuitias, magnificentias & ſplendores mundanos eorum exponens. Quid enim hæc

φρονεῖν· πρὸς ἀμφότερα δὲ, σύμμαχος ἦν ἡ ἐγκράτεια· τὸ δὲ ἄτυφον αὐτοῦ καὶ ἀόργητον, τῇ τῶν χρημάτων ὑπεροψίᾳ συγκατωρθώθη. οὐ γάρ ἐστιν ἄλλη τύφου τε καὶ ὑπερηφανίας γένεσις, μὴ τῆς πλεονεξίας ἑαυτῇ τὰ τοιαῦτα πάθη συνεισαγούσης. καθάπερ δὲ τὸν πατριάρχην Ἀβραὰμ ὁ λόγος κατέχει, τῆς Χαλδαϊκῆς φιλοσοφίας ἐν ἐπιστήμῃ γενόμενον, καὶ τὴν ἐναρμόνιόν τε καὶ τεταγμένην τῶν ἄστρων κατανοήσαντα θέσιν καὶ κίνησιν, ὑποβάθρᾳ χρήσασθαι τῇ περὶ ταῦτα γνώσει πρὸς τὴν τοῦ ὑπερκειμένου ἀγαθοῦ θεωρίαν, λογισάμενον, ὡς εἰ τὰ τῇ αἰσθήσει ληπτὰ τοιαῦτα, τί ἂν εἴη τὰ ὑπὲρ αἴσθησιν, καὶ οὕτως τοῦ ζητουμένου τυχεῖν. οἷον ἐπιβάντα τῆς ἔξω σοφίας, καὶ γενόμενον δι' αὐτῆς ὑψηλότερον, ὥς τι προσεγγίσαι τρόπον τινὰ δι' αὐτῆς τοῖς ἀλήπτοις. οὕτω καὶ ὁ μέγας οὗτος, τῇ ἔξω φιλοσοφίᾳ δι' ἐπιμελείας καθομιλήσας, δι' ὧν ὁ ἑλληνισμὸς τοῖς πολλοῖς βεβαιοῦται, διὰ τούτων ὡδηγήθη πρὸς τὴν τοῦ Χριστιανισμοῦ κατανόησιν, καὶ καταλιπὼν τὴν πεπλανημένην τῶν πατέρων θρησκείαν, ἐζήτει τὴν τῶν ὄντων ἀλήθειαν, ἐξ αὐτῶν τῶν πεπονημένων τοῖς ἔξωθεν, διδαχθεὶς, τὸ τῶν Ἑλληνικῶν δογμάτων ἀσύστατον. ἐπειδὴ γὰρ εἶδεν πρὸς διαφόρους ὑπολήψεις ἐν ταῖς περὶ τοῦ θείου δόξαις σχιζομένην τὴν Ἑλληνικὴν, καὶ τὴν βάρβαρον ὁμοίως φιλοσοφίαν, καὶ τοὺς τῶν δογμάτων προεστηκότας, οὔτε πρὸς ἀλλήλους συμβαίνοντας· καὶ τὸ καθ' ἑαυτὸν ἕκαστον κρατύνειν τῇ περινοίᾳ τῶν λόγων φιλονεικοῦντας· τούτους μὲν ὥσπερ ἐν ἐμφυλίῳ πολέμῳ, ὑπ' ἀλλήλων ἀνατετραμμένους κατέλιπεν. καταλαμβάνει δὲ τὸν ἑστῶτα λόγον τῆς πίστεως, τὸν οὐδεμιᾷ λογικῇ τινὶ περιεργίᾳ, καὶ τεχνικαῖς πλοκαῖς κρατυνόμενον, ἀλλὰ δι' ἁπλότητος ῥημάτων ὁμοτίμως πᾶσι καταγγελλόμενον, ὃς ἐν αὐτῷ τῷ ὑπὲρ τὴν πίστιν εἶναι, τὸ πιστὸν ἔχει. Εἰ γὰρ τοιοῦτον ἦν τὸ λεγόμενον, ὡς τῇ τῶν αἰσθητηρίων λογισμῶν δυνάμει καταλαμβάνεσθαι, οὐδὲν ἂν τῆς Ἑλληνικῆς σοφίας διή-

A brietas: vtrique autem continentia præſidio erat: animi verò humilitatem & moderationem vnà cum contemptione pecuniarum aſſequutus eſt. Non enim aliundè faſtus & ſuperbia exiſtit, niſi auaritia, remque ſuam qualibet ratione augendi ſtudium eiuſmodi vitia vnà ſecum inducat. quemadmodum autem fama tenet patriarcham Abrahamum Chaldaicæ philoſophiæ ſcientia præditum, cùm concinnum, aptum, ratum, conſtantem, certum, ordinatumque ſitum ac motum ſiderum animaduertiſſet, harum rerum cognitione tanquam
B ſcala atque adminiculo vſum fuiſſe ad ſuperi boni contemplationem, cùm reputaret, quod ſi ea quæ ſenſu comprehenduntur, talia eſſent, quale eſſe poſſet id, quod ſenſum ſuperat: atque ita aſſequutũ eſſe id, quod quærebat, cùm externam ſapientiam quaſi conſcendiſſet, ac per eam ſublimior euaſiſſet, vt rebus incomprehenſibilibus & captum effugientibus per illam quodammodo appropinquaret: ita etiam magnus iſte, cùm in externæ ſapiẽtiæ ſtudio diligenter verſatus eſſet, per quas res plerique
C errores Græcorum gentiliumque ſtabiliunt atque confirmant, iis rebus quaſi ducibus & indicibus vſus eſt ad Chriſtianæ religionis cognitionem, ac relicta falſa parentum ac maiorum religione, rerum veritatem quærebat, ex illis ipſis, quæ ab externis philoſophis elaborata ſunt, edoctus, quàm non conſiſtere poſſint, quamque parum ſibi conſtent ſententiæ atque opiniones Græcanicæ doctrinæ. Poſteaquam enim animaduertit Græcorum ſimul ac Barbarorum philo-
D ſophiam in iis ſententiis quibus de numine diuino quid ſentiendum ſit, ſtatuunt, in diuerſas ſcindi opiniones: earumq; ſententiarũ præſides, neque inter ſeſe congruere atq; cõcordare, & ſolerti exquiſitaq; verborum & argumẽtorum excogitatione ſuam vnumquemq; ſententiam ſtabilire atque confirmare conari: hos quidem, tanquam domeſtico bello ſe inuicẽ euertentes & conficientes reliquit: conſequitur autem & amplectitur conſiſtentem ſtabilémque ac firmum fidei ſermonem, qui non exquiſita quadam atque redundanti verborum curioſitate, & artificioſis nexibus argumentorum confirmatur, ſed per ſimplicitatem verborum omnibus ex æquo annuntiatur: qui in hoc ipſo, quod ſupra fidem eſt, vim fidei faciẽdæ habet: Nã ſi id, de quo ſermo habetur, eiuſmodi eſſet, vt humanarum vi rationum & argumẽtationum comprehendi poſſet, nihil à Græcanica ſapientia dif-

ferret (nam & illi quodcumq; comprehendere valuerint, illud etiam eſſe cenſent) ſed quoniam eam naturam, quæ in ſuperis ſedibus rebus præſidet vniuerſis, cogitationes & rationes humanæ aſſequi & comprehendere non poſſunt: idcirco fides in locum rationum ſuccedit, ad ea, quæ ſuperant ratioñe & comprehenſioñe, enitens. Propterea quemadmodum de Moyſe dicit ſcriptura, Act. 7. quòd eruditus eſſet omni ſapiẽtia Ægyptiorum: ita etiam magnus iſte vir, cùm omnem Græcorum eruditionem ac diſciplinam perſcrutatus eſſet, factoque periculo didiciſſet, quàm infirmæ eorum opiniones atque ſententiæ ſint, quamque parum ſibi conſtent, diſcipulus Euangelij fit: ac priuſquam per myſticam & incorporeã natiuitatem inſtitutus eſſet, adeò rectè atq; præclarè ſeſe in vita gerebat, vt nullas peccati ſordes ad lauachrum afferret. Cùm autem degeret in Ægypto in magna Alexandri vrbe, in quam ex omnibus partibus philoſophiæ & medicinę ſtudioſa iuuentus confluebat: moleſtum ſpectaculum æqualibus erat adoleſcens ſuper ætatem ſobrietate temperãtiaque ornatus. Eius enim vitæ puritatis & integritatis laus impurorum probrum ac dedecus erat. Vt igitur aliquam excuſationem intemperantes ac libidinoſi haberent, ſi ipſi non ſoli tales eſſe viderentur: inſidias comminiſcuntur, & vafrum quoddam conſilium excogitant, vt aliquam notam & maculam magni illius viri vitæ inurerent, ac producitur ab eis, quæ illũ calũniaretur muliercula meretrix, quæ corpore quæſtum faceret, infamia irrogata ex carcere dimiſſa: cúmque ille pro cõſuetudine cum viris doctis atque delectis in habitu graui & honeſto de quadam quæſtione philoſophica diſpiceret, vnáque ſe cum illis exerceret, muliercula accedit ineptis geſtibus formam oſtentans, & mollitiem luxumque præ ſe ferens, & per omnia quæ & dicebat & faciebat, ſeſe conſueſcere cum eo ſimulans: tandem dicebat ſe mercedibus fraudatam eſſe, adijciens etiã cauſas pr impudentia, pro quibus querebatur ſe mercedib. eſſe fraudatã. At cùm illi, qui eius vitæ puritatẽ & continẽtiã nõ ignorabãt, indignarẽtur, & ira aduerſus mulierculã cõmou[illegible]tur: neq; vnà perturbatus eſt cum iis, qui ipſius nomine ſtomachabantur: neque quicquã eiuſmodi dixit, cum calũniis premeretur, quale pronũtiare par eſſet eum, qui grauiter moleſtéq; rem

A νεῦκε. κἀκεῖνοι γὰρ ὅπερ ἂν καταλάβωσιν ἐξισχύσωσιν, ἐκεῖνο καὶ εἶναι δοξάζουσιν· ἐπεὶ δὲ ἀνεπίβατος ἐστὶ λογισμοῖς ἀνθρωπίνοις τῆς ὑπερκειμένης φύσεως ἡ κατάληψις, τούτου χάριν ἡ πίστις ἀντὶ τῶν λογισμῶν γίνεται, τοῖς ὑπὲρ λόγον τι καὶ κατάληψιν ἑαυτὴν ἐπεκτείνουσα. Διὰ ταῦτα, καθὼς περὶ τοῦ Μωϋσέως φησὶν ἡ γραφή, ὅτι ἐπαιδεύθη πάσῃ σοφίᾳ τῶν Αἰγυπτίων· οὕτως καὶ ὁ μέγας οὗτος, διὰ πάσης ἐλθὼν τῆς τῶν Ἑλλήνων παιδεύσεως, καὶ γνοὺς τῇ πείρᾳ τῶν παρ' αὐτοῖς δογμάτων τὸ ἀσθενὲς καὶ ἀσύστατον, B μαθητὴς τοῦ εὐαγγελίου καθίσταται· καὶ πρὶν ἀναχθῆναι διὰ τῆς μυστικῆς τε καὶ ἀσωμάτου γεννήσεως, οὕτως κατώρθου τὸν βίον, ὡς μηδένα ῥύπον τῆς ἁμαρτίας ἐπὶ τὸ λουτρὸν εἰσενέγκασθαι. οὔσης δὲ αὐτῷ τῆς διαγωγῆς ἐν Αἰγύπτῳ κατὰ τὴν μεγάλην τοῦ Ἀλεξάνδρου πόλιν, εἰς ἣν καὶ ἡ πανταχόθεν συνέρρει νεότης τῶν περὶ φιλοσοφίαν τε καὶ ἰατρικὴν ἐσπουδακότων· χαλεπὸν ἦν τοῖς ὁμήλιξι θέαμα, νέος ὑπὲρ τὴν ἡλικίαν τῇ σωφροσύνῃ κοσμούμενος. ὁ γὰρ τοῦ καθαρεύοντος ἔπαινος, τῶν μολυνομένων ὄνειδος ἦν. ὡς ἂν οὖν ἀπο- C λογία τις εἴη τοῖς ἀκολάστοις, τὸ μὴ μόνους αὐτοὺς εἶναι δοκεῖν τοιούτους, ἐπίνοιά τις ἐξ ἐπιβουλῆς παρ' αὐτῶν ἐπισκευάσθη, τοῦ μῶμόν τινα τῷ βίῳ τοῦ μεγάλου προστρίψασθαι. καὶ παραβάλλεται παρ' αὐτῶν εἰς διαβολὴν ἐκείνου, γύναιον ἑταιρικόν, ἐξ οἰκήματος ἐπ' ἀτιμίᾳ κατεγνωσμένον. τοῦ δέ, κατὰ τὸ συνήθες τοῖς λογάσι τῶν ἀνδρῶν ἐν σεμνῷ τῷ σχήματι περί τινος τῶν κατὰ φιλοσοφίαν διασκοπουμένου, καὶ συνασχολουμένου, παρέστη τὸ γύναιον ἀκκιζόμενόν τε καὶ θρυπτόμενον, καὶ διὰ πάντων τὸ εἶναι πρὸς αὐτὸν ἐν συνηθείᾳ, δι' ὧν ἐφθέγγετό D τε καὶ ἐποίει σχηματιζόμενον· εἶτα ἔλεγεν τῶν μισθωμάτων ἀποστερεῖσθαι, προστιθεῖσα καὶ τὰς ἀφορμὰς ὑπ' ἀναιδείας, ὑπὲρ ὧν ᾐτιᾶτο τὴν τῶν μισθῶν ἀποστέρησιν. τῶν δὲ συνεγνωκότων αὐτῷ τὸν καθαρὸν βίον, ἀγανακτούντων τε καὶ ὀργῇ κατὰ τοῦ γυναίου συγκινουμένων, οὔτε συνεταράχθη τοῖς ὑπὲρ αὐτοῦ χαλεπαίνουσιν, οὔτε τι τοιοῦτον εἶπεν συκοφαντούμενος, οἷον εἰκὸς τὸν ἀχθόμενον.

ἀρξάμενον. οὐ μάρτυρας τοῦ βίου προσεκαλέσατο, οὐχ ὅρκῳ τὸν μῶμον ἀπώσατο, οὐ τῆς κακίας τῶν ταῦτα κατ' αὐτοῦ συσκευασαμένων διήλεγξεν· ἀλλ' ἐν ἠρεμαίᾳ τε καὶ καθεστώσῃ φωνῇ πρός τινα τῶν συνήθων ἀποστραφείς, ὦ οὗτος, ἔφη, διάλυσον αὐτῇ τὸ ἀργύριον, ὡς ἂν μὴ διὰ πλεῖον διοχλοῦσα, τὴν περὶ καιρὸν ἡμῖν τοῦ λόγου σπουδὴν ἐπιταράσσοι. ἐπεὶ δὲ μαθὼν παρὰ τῆς ἑταιρίδος ὁ τοῦτο προστεταγμένος, ὅσον ᾔτει παρ' αὐτοῦ τὸ ἀργύριον, ἑτοίμως ἅπαν ἀπηριθμήσατο, καὶ πέρας εἶχεν κατὰ τοῦ σώφρονος ἡ ἐπιβουλὴ τοῖς ἀκολάστοις, καὶ ἦν ἐν ταῖς χερσὶν ἤδη τῆς ἀτίμου τὸ κέρδος, τότε δὴ γίνεται θεόθεν ὑπὲρ μαρτυρία τῆς σωφροσύνης τοῦ νέου, καὶ τῆς τῶν ὁμηλίκων συκοφαντίας ὁ ἔλεγχος. ὁμοῦ γὰρ τῷ ὑποδέξασθαι τῇ χειρὶ τὸ ἀργύριον, πνεύματι δαιμονίῳ στρεβλωθεῖσα, καὶ βρυχηθμῷ θηριώδει παρὰ τὴν ἀνθρωπίνην φωνὴν ἀνοιμώξασα, πίπτει πρηνὴς κατὰ τὸ μέσον τῶν συνειλεγμένων· θέαμα φρικτόν τε καὶ φοβερὸν τοῖς παροῦσιν ἀθρόως γεγενημένη, τῶν τριχῶν τε διερριμμένων, καὶ ταῖς ἰδίαις χερσὶ σπαραττομένων, καὶ τῶν ὀφθαλμῶν ἀπεστραμμένων, καὶ τοῦ στόματος τὸν ἀφρὸν παραπτύοντος. καὶ οὐ πρότερον ἀφῆκεν καταπνῖγον αὐτὴν τὸ δαιμόνιον, πρὶν ἢ τὸν μέγαν ἐκεῖνον ἐπικαλέσασθαι τὸν Θεόν, καὶ ὑπὲρ αὐτῆς ἱλεώσασθαι. τοιαῦτα τῆς νεότητος τοῦ μεγάλου τὰ διηγήματα. ἄξια ὡς ἀληθῶς τῶν μετὰ ταῦτα βεβιωμένων αὐτῷ τὰ προοίμια. καί τοί γε τὸ θαῦμα τοσοῦτόν ἐστιν, ὡς εἰ καὶ μηδὲν ἦν ἕτερον ἐπὶ τούτοις εἰπεῖν, μηδενὸς αὐτὸν τῶν ἐπ' ἀρετῇ διενεγκόντων, ἐκ τούτου μόνου τὰ δευτερεῖα τῶν ἐπαίνων ἔχειν· πλούσιος, νέος, ἐν ὑπερορίοις διάγων, ἐν πολυανθρώπῳ πόλει τὴν διαγωγὴν ἔχων, ἐν ᾗ διὰ τὸ κατ' ἐξουσίαν τῶν ἡδοναῖς συζῆν τοῖς νέοις, ὄνειδος ἦν ἡ καθαρότης τῶν σωφρονούντων τοῖς ἄφροσιν. οὐ μητρὸς πολυπραγμονούσης τὸν βίον, οὐ πατρὸς παιδαγωγοῦντος τὴν καθ' ἡμέραν ζωήν. εἰς τοσοῦτον ἐτήρει ἑαυτὸν δι' ἀπαθείας πρὸς ἀρετήν, ὡς τὸν τῶν πάντων ἔφορον μάρτυρα τῶν βεβιωμένων ποιήσασθαι, τὸν τῇ πονηρᾷ πληγῇ τὴν συκοφαντίαν τῆς γυναικὸς ἀπελέγξαντα. καὶ τί δὴ τις ἐπινοήσειεν μεῖζον εἰς ἐγκωμίων ὑπόθεσιν; πῶς δ' ἄν τις κατ' ἀξίαν αὐτὸν θαυμάσειεν; ὃς τῷ λόγῳ καταπαλαίσας τὴν φύσιν, καὶ καθάπερ τι τῶν ὑποχειρίων ζῴων ὑποζεύξας τῷ λογισμῷ τὴν νεότητα, καὶ πάντων τῶν φυσικῶν ἐπεγειρομένων παθημάτων κρείττων γενόμενος,

A ferret: non teſtes vitę aduocauit: nō iurerando probrū ab ſe reiecit: nō malitiā eorū, qui hæc aduerſus eum machinati erant, cōuicit: ſed ſubmiſſa atque ſedata voce conuerſus ad quendā familiarem, Heus tu, inquit, numera ei pecuniam, ne diutius importunitate ſua propoſitæ quęſtionis tractatū cōturbet. Cum autē is, cui hoc iniungebatur, à meretricula ſuſcitatus quantā pecuniā ab illo poſceret, ſine mora omnē adnumeraſſet: atq; ab laſciuis & proteruis aduerſus ſobriū & continentē inſidiæ peractæ eſſent: & iam in manib. illius infamis lucrū eſſet, B tunc diuinitus & continētia adoleſcētis probatur, & calūnia æqualium patefit. Simul enim atq; manu pecuniā accepit, ſpiritu infelici atque maligno correpta fremituq; immani atq; ferali, diuerſo à voce humana ſono ingemiſcēs, collabitur prona in medio cœtu congregatorū, ſpectaculū horrendū atq; terribile præſentib. repētè facta, cū & capillus, quem ſuis manibus vellebat, dilaceratus atq; diſiectus, & oculi inuerſi eſsēt, & os ſpumam emitteret. Ac nō prius à dæmonio ſuffocari deſiit, quàm magnus ille Deū pro ea inuocaſſet atq; placaſſet. Talia de C adoleſcentia magni illius viri narrantur, digna profectò inſequētis eius vitę principia. Et quidē miraculū tantum eſt, vt etiāſi nullū aliud pręterea proferre licet, ob hoc ſolū à nemine eorū, qui virtute excelluerūt, ſecundas laudū partes debeat obtinere, diues, adoleſcēs, peregrè extra patrię fines, in populoſa vrbe habitans: in qua propterea quòd adoleſcētes ad arbitriū & libitū voluptatib. indulgerent, vitę puritas dedecori haberetur ab iis, qui ſobrij ſanaq; mente præditi non eſsēt: cùm nec mater de vita curioſè inquireret, nec pater vitā quotidianā mo- D deraretur, in tantā, ſeſe à vitiis & affectibus ſeiūgēdo, virtutē eniſus eſt, vt præſidē rerū vniuerſarū, qui per grauē plagā calumniā mulieris detexit atq; cōuicit, teſtē vitę ſuę faceret. Ecquod maius aliquis ad laudādū argumentū excogitare poſſit? quî poſſit hunc ipsū aliquis dignè ac pro merito admirari? qui cùm ratione naturā deuiciſſet, ac veluti manſuetum quoddā animal, iuuentutē ſub iugū rationis miſiſſet, omnibuſq; affectibus naturalibus inſurgētibus ſuperior fuiſſet,

& inuidiā quæ omneis res eximias inuadere ſolet, aduerſus excitaſſet, etiā hac ſuperior fuit, quippe neq; ad vlciſcendū inſidias ſodaliū cōmotus, & eā, quæ illis in ſubornādo probro operā nauauerat, per operationē ab afflictione dæmonis liberatā beneficio proſequutus eſt. Talē
Geneſ. 39. per hiſtoriā cognouimus etiā Ioſephum fuiſſe, cui ad arbitriū quidē cum vxore Domini ſcelus perpetrare prōptum erat, cùm illa ipſa decori adoleſcentis inſano amore correpta eſſet: nec quiſquam hominū eorum, quæ auſi fuiſſent, teſtis & arbiter futurus erat, ſed etiā ille, cùm ſe diuinum oculum inſpectorē eorum, quę cōmitterentur, habere intelligeret, malus eſſe videri, quàm fieri præoptauit, maleficorū potius pœnas atque incommoda ſubiens, quàm maleficus euadens. Sed licet forſitan huic etiam aliquanto amplius, quàm illa cōtinet hiſtoria, gloriari; nō enim æquè magnum affert momentum ad auerſationē piaculi, tum adulterij ſcelus, tum id quod in minori delicto vituperationem habere videtur. Itaque qui, vbi periculum & metus à legibus non impendebat, ipſam voluptatem per peccatū conciliandam, per ſeſe longè formidabiliorē quàm pœnā eſſe iudicabat, aut præceſſit & ſuperauit Ioſephū amplitudine & magnificentia miraculi, aut prorſus non habebitur inter ſecūdos. Ac principium quidē vitæ tale eſt: ipſa verò vita quæ? Poſteaquā omnibus diſciplinis externæ ſapiētiæ percurſis incidiſſet in Firmilianū quendam patriciū Cappadocē, ſimilē moribus & ingenio, (vt ille in ſequenti vita oſtendit, cùm Cæſarienſium Eccleſiæ ornamēto fuit) & animi ſui conſiliū ac vitæ propoſitū amico patefeciſſet, quòd ad Deum videlicet ſpectaret: & illius ſtudiū circa idē deſideriū conuenire intellexiſſet, relicto omni ſtudio externæ philoſophiæ, accedit vnà cū illo ad eū, qui in tempore Chriſtianorū philoſophiæ princeps erat (is autem erat Origenes, cuius propter ſcripta, fama celebris eſt) etiā per hæc oſtendēs non modò ſtudiū diſcēdi atque induſtriā, verumetiam ſedatū ingenium & animi moderationē. Cùm enim tanta ſapientia plenus eſſet, alio in ſacris diſciplinis vti magiſtro non dedignatus eſt: cúmq; apud magiſtrū iuſto tēpore in diſciplinis perſeueraſſet, multis detinentibus eū in ſolo peregrino, hortantibusq; ac rogantibus, vt apud ipſos maneret,

A καὶ τὸν πᾶσι τοῖς καλοῖς ἐπιφυόμενον φθόνον καθ᾽ ἑαυτοῦ κινήσας, καὶ τούτου κρείττων ἐγένετο, μήτε πρὸς τὴν ἐπιβουλὴν τῶν ἑταίρων ἑαυτὸν διαναστήσας πρὸς ἄμυναν, καὶ τὴν ὑπηρετησαμένην ἐκείνοις πρὸς τὸν μῶμον εὐεργετήσας, τῇ κατὰ τὸν δαίμονα πάθους διὰ προσευχῆς ἐξελόμενος. τοιοῦτον ἔγνωμεν διὰ τῆς ἱστορίας τὸν Ἰωσήφ, ᾧ προὔκειτο μὲν κατ᾽ ἐξουσίαν ἡ περὶ τὴν γυναῖκα τοῦ δεσπότου παρανομία, αὐτῆς ἐκείνης ἐπιμαινομένης τῇ ὥρᾳ τοῦ νέου· καὶ μάρτυς τῶν τολμωμένων ἦν ἀνθρώπων οὐδείς·
B ἀλλὰ κἀκεῖνος πρὸς τὸν θεῖον ὀφθαλμὸν βλέπων, τὸ δόξαι κακὸς παρὰ τὸ γενέσθαι προείλετο, τὰ τῶν κακούργων ὑποστὰς μᾶλλον, ἢ κακοῦργος γενόμενος. ἀλλ᾽ ἔστι τάχα τούτῳ, καὶ πλέον τῆς ἱστορίας καυχήσασθαι· οὐ γὰρ ἴσον ἐστὶν εἰς ἀποτροπὴν τοῦ μιάσματος, τό τε τῆς μοιχείας ἄγος, καὶ τὸ δοκοῦν ἐν ἐλάττονι πλημμελήματι τὸν μῶμον ἔχειν. ὁ τοίνυν ἐν ᾧ κίνδυνός τις ἐκ τῶν νόμων οὐκ ἦν φοβερωτέραν μᾶλλον τῆς τιμωρίας αὐτὴν ἐξ ἁμαρτίας ἡδονὴν καθ᾽ ἑαυτὴν εἶναι κρίνας, ἢ παρήλασε τὸν Ἰωσήφ, τῇ
C μεγαλοφυΐᾳ τοῦ θαύματος· ἢ πάντως οὐκ ἐν δευτέροις κριθήσεται. ἀλλὰ τὸ μὲν προοίμιον τοῦ βίου, τοιοῦτον· αὐτὸς δὲ ὁ βίος τίς; ἐπειδὴ πᾶσαν παίδευσιν τῆς ἔξω σοφίας ἐπιδραμών, ἐνέτυχε Φιρμιλιανῷ τινὶ τῶν εὐπατριδῶν Καππαδόκῃ, ὁμοιοτρόπῳ κατὰ τὸ ἦθος, ὡς ἔδειξεν ἐκεῖνος τῷ μετὰ ταῦτα βίῳ, κόσμος τῆς ἐκκλησίας τῶν Καισαρέων γενόμενος· καὶ τόν τε σκοπὸν τοῦ φρονήματος καὶ ἰδίου βίου φανερὸν τῷ φίλῳ ἐποίησεν, ὡς εἴη πρὸς τὸν Θεὸν βλέπων, καὶ τὴν ἐκείνου σπουδὴν ἔγνω περὶ τὴν αὐτὴν ἐπιθυ-
D μίαν συμβαίνουσαν, καταλιπὼν πᾶσαν τὴν περὶ τῆς ἔξω φιλοσοφίας σπουδήν, προσφοιτᾷ μετ᾽ ἐκείνου τῷ κατὰ τὸν χρόνον ἐκεῖνον τῆς τῶν Χριστιανῶν φιλοσοφίας καθηγουμένῳ· Ὠριγένης δ᾽ ἐστὶν οὗτος, οὗ πολὺς ἐπὶ τοῖς συγγράμμασι λόγος· δεικνὺς καὶ διὰ τούτου, οὐ μόνον τὸ φιλομαθὲς καὶ φιλόπονον, ἀλλὰ καὶ τὸ κατεσταλμένον ἐν τῷ ἤθει καὶ μέτριον· τοσαύτης γὰρ σοφίας ἀνάπλεως ὤν, ἑτέρῳ χρήσασθαι διδασκάλῳ πρὸς τὰ θεῖα τῶν μαθημάτων, οὐκ ἀπηξίωσεν, καὶ διαγαγὼν παρὰ τῷ διδασκάλῳ χρόνον τοῖς μαθήμασι σύμμετρον, πολλῶν ὄντων τῶν παρακαλούντων καὶ κατεχόντων αὐτὸν ἐπὶ τῆς ἀποδημίας, καὶ παρ᾽ αὐτοῖς ἀξιούντων μένειν,

πάντων προτιμοτέραν τὴν ἐνεγκοῦσαν αὐτὸν ποιησάμενος, ἐπὶ τὴν πατρίδα πάλιν ἐπάνεισι, τὸν παντοδαπὸν πλοῦτον τῆς σοφίας τε καὶ τῆς γνώσεως ἐπαγόμενος, ὃν καθάπερ τις ἔμπορος ἐν ταῖς ἔξω σπουδαῖς πᾶσι καθομιλῶν τοῖς εὐδοκίμοις ἐνεπορεύσατο. καί τοί γε τῷ δικαίως τὰ πράγματα κρίνοντι, οὐδὲ τοῦτο μικρὸν πάντως εἰς εὐφημίαν δόξει, τὸ πόλεως τοσαύτην ἱκετηρίαν ἐκ κοινοῦ γινομένην, ὑπεριδεῖν, καὶ πάντων τῶν ἐν αὐτῇ λογάδων τὴν ὑπὲρ τοῦ καταμεῖναι τὸν ἄνδρα σπουδὴν, τῶν τε ἐπιδημούντων αὐτοῖς ἀρχόντων τὴν εἰς αὐτὸ τοῦτο προθυμίαν παραδέξασθαι· οἷς πᾶσι σκοπὸς ἦν, μεῖναι παρ' αὐτοῖς τὸν μέγαν ἐκεῖνον, καθάπερ οἰκιστὴν ἀρετῆς, καὶ βίου νομοθέτην ἐσόμενον· ἀλλὰ φεύγων πανταχόθεν τὰς πρὸς τὸν τύφον ὕλας, εἰδὼς ἀρχηγὸν ὡς τὰ πολλὰ τοῦ κατὰ κακίαν βίου τὸ καθ' ὑπερηφανίαν πάθος γινόμενον, ὥσπερ τινὰ λιμένα, τὸν ἡσύχιον ἐπὶ τῆς πατρίδος μέτεισι βίον. πάντος δὲ τοῦ ἔθνους πρὸς τὸν ἄνδρα βλέποντος, καὶ πάντων προσδεχομένων δημοσιεύσειν αὐτὸν ἐν κοινοῖς συλλόγοις τὴν παίδευσιν, ὡς ἄν τινα καρπὸν σχοίη τῶν μακρῶν πόνων τὴν ἐπ' αὐτοῖς εὐδοκίμησιν· εἰδὼς ὁ μέγας ἐκεῖνος ὅπως προσήκει τὴν ἀληθῆ φιλοσοφίαν παρὰ τῶν ἀκριβῶς μετιόντων δημοσιεύεσθαι, ὡς ἂν μήποτε φιλοτιμίᾳ τινὶ τὴν ψυχὴν τρωθείη· δεινὸς γάρ ἐστι τῶν ἀκουόντων ὁ ἔπαινος, τύφῳ τινὶ καὶ φιλοδοξίᾳ τῆς ψυχῆς ὑποχαυνῶσαι τὸ σύντονον· τούτου χάριν ἐπίδειξιν ποιεῖται τὴν σιωπὴν, ἔργῳ δεικνὺς τὸν ἐγκείμενον θησαυρὸν, οὐχὶ ῥήμασι, καὶ τῶν κατ' ἀγορὰν θορύβων, καὶ καθόλου τῆς ἐν ἄστει διαγωγῆς ἑαυτὸν χωρίσας, ἐν ἐσχατιᾷ τινὶ ἑαυτῷ μόνῳ συνῆν, καὶ δι' ἑαυτοῦ τῷ Θεῷ, μικρὸν πάντως τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ λόγον ποιούμενος, οὐ βασιλείας πολυπραγμονῶν, οὐκ ἀρχὰς ἐξετάζων, οὐ πῶς διοικεῖταί τι τῶν κοινῶν διεξιόντος ἀκούων· ἀλλ' ὅπως ἂν ἡ ψυχὴ δι' ἀρετῆς τελειωθείη, τὴν φροντίδα ποιούμενος, πρὸς τοῦτο τῇ σπουδῇ συντείνας τὸν πάντα βίον, καὶ τὰ ἐν αὐτῷ πράγματα χαίρειν ἐάσας, ἄλλος τις ἦν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις Μωϋσῆς ἀτεχνῶς πρὸς τὰ ἐκείνου θαύματα τὴν ἅμιλλαν ἔχων.

A reliquis omnibus præferendam ratus eam terram, quæ ipſum tuliſſet, & in lucem ediſſet, in patriam denuò reuertitur, varias ſapientiæ atque ſcientiæ diuitias, quas tanquam mercator quidam cum omnibus claris atque probatis in ſtudiis externæ doctrinæ viris conuerſans acquiſiuerat, inuehens atque importans. Ac profectò ſi quis verè iuſtéque res æſtimet, ne hoc quidem prorſus ad commendationem nominis parum momenti habere videbitur, quòd tantæ vrbis cõmuni conſenſu adhibitas preces B auerſatus eſt: nec omniũ ſapientium delectorumque in ea virorum, vt maneret operam dantiũ, ſtudium, nec principum virorum inibi verſantiũ, & vt hoc ipſum fieret cupientium, egregiã voluntatem magni fecit, qui omnes id vnũ agebant, vt magn⁹ ille maneret apud eos, tãquam conditor virtutis & vitæ legũlator futurus: ſed ille omnib. modis ſuperbiæ materiã fugiẽs, quòd haud ignoraret vitiũ ſuperbię improbę ſceleratęq; vitę plerũque cauſã & occaſionẽ præbere ſolere, veluti portũ quendã quietã in patria vitam ingreditur. Cum autẽ vniuerſa naC tio eũ intueretur, omnib. expectãtibus, vt in publicis conuẽtibus diuulgata ſua eruditione, aliquem fructum diuturnorum laborum caperet, ex his partam nominis claritudinem atq; celebritatem: haud ignorãs ille magnus, quibus rebus veram philoſophiam à veris ac perfectis ſui cultoribus publicari atque diuulgari conueniat, ne quãdo animus eius aliqua ambitione vulneraretur (laus enim auditorum magnam vim habet, vigorem ac firmitudinẽ animi faſtu quodam ac gloriæ ſtudio inflandi atque ſoluendi) idcirco ſilentio vtitur pro documento D atq; oſtentatione ſuę eruditionis, re ipſa in verbis oſtendens reconditũ in animo theſaurum, cúmque ſeſe à turbis forenſibus, & ab vrbana vita penitus ſeiunxiſſet, in ſolitudine quadam ſecum ſolus, ac per ſeſe cum Deo verſabatur, vniuerſi mundi rerumq; mundanarum paruam curam gerens, non de regibus curioſè inquirens, non magiſtratus excutiens, non ex aliquo commemorante audiens, vt res quæque publica adminiſtraretur: ſed vt animus virtute perfectus euaderet, ſollicitus, ad hoc omni ſtudio per totam vitã contẽdebat atque enitebatur: ſęculoq; omni ac rebus ſecularibus valedicens, alter hic noſtris tẽporibus planè Moyſes fuit, qui cum illius miraculis certaret.

Exiuerunt vterque ex turbulento ſtrepitibuſque & clamoribus circumſonãti *Exod. 2.* hoc ſæculo, Moyſes & Gregorius, ſuo vterque tempore per ſe priuatam vitam degentes, quoad reuelatione & apparitione diuina vtriſque puræ vitæ lucrum manifeſtaretur: ſed Moyſen quidẽ vnà cum philoſophia etiam vxor ſequebatur: Gregorius autem coniugem ſibi ſolam virtutem adiunxit. Cùm igitur id, quòd vterque agebat, eodem pertineret (cauſſa enim finalis, ad quam vterque à vulgo ſecedens ſpectabat, hæc videlicet erat, puro animi oculo liceret eis diuina myſteria animaduertere atq; conſiderare) iudicare licet virtutem rectè ſpectare ſcienti, vtrius horum vita per vacuitatem humanorum affectuum magis tranſacta ſit: illiúſne, qui ad legitimum atque conceſſum voluptatũ vſum deſcenderat: an huius qui & voluptatem ſuperauit, & materiali craſſæque affectioni nullum aduerſus ſe aditum dedit. Cæterum cum Phædimus, cui diuinitus à Spiritu ſancto præſcia (futurorum) vis quædam inerat: in illo tempore Amaſæenſium Eccleſiæ antiſtes eſſet, & omni ſtudio laboraret, vt magnum Gregorium in poteſtatem redactum, Eccleſiæ adminiſtrationi præficeret, ne tantũ bonum otioſum & infrugiferum vitam tranſigeret: vt hic ſacerdotem id agitare atque conari ſenſit, cogitare cœpit, qua ratione latere poſſet, aliàs ad aliam ſolitudinem tranſiens. Sed poſteaquam nihil non intentatum relinquens, ille vir magnus Phædimus, & omni machinatione atque ſolertia vtens non poterat virum ad ſacerdotium adducere innumeris oculis præcauentem, ne quando manu ſacerdotis caperetur: atque vterque inter ſeſe ſtudio certarent, illo quidem capere, hoc verò perſequentis manus effugere cupiente (nam ille ſciebat ſe ſacrum Deo donarium oblaturum eſſe: hic autem verebatur, ne quomodo ſibi ſacerdotij cura tanquã onus quoddam vitæ impoſita, ad philoſophiam impedimento eſſet) idcirco impetu quodam diuino Phædimus ad propoſitum ſtudium prouectus, nihil curans interiectum ſpatium, quo ab Gregorio dirimebatur (quippe ille aberat itinere tridui) ſed ad Deum ſuſpiciens, precatuſque vt & ipſe & ille pariter in illa hora ab Deo reſpicerentur, loco manus impoſitionis Gregorio adhibet ſermonem,

A ἐξῆλθον ἀμφότεροι τοῦ παρασχώδους τούτου καὶ περιηχημένου βίου, Μωϋσῆς καὶ Γρηγόριος, κατὰ τὸν ἴδιον ἑκάτερος χρόνον ἐφ' ἑαυτὸν ἰδιάσαντες, ἕως ἀμφανὲς ἀμφοτέροις ἐκ θεοφανείας ἐγένετο τοῦ καθαροῦ βίου τὸ κέρδος· ἀλλὰ Μωϋσεῖ μὲν μετὰ τῆς φιλοσοφίας καὶ γαμετὴ συνεφείπετο· Γρηγόριος δὲ σύνοικον ἑαυτῷ μόνην τὴν ἀρετὴν ἐποιήσατο. τοῦ τοίνυν σκοποῦ τὸ ἴσον ἔχοντος ἐν ἀμφοτέροις· πέρας γὰρ τῶν ἀμφοτέρων τῆς τῶν πολλῶν ἀναχωρήσεως ἦν, τῷ καθαρῷ τῆς ψυχῆς ὀφθαλμῷ κατα- B νοῆσαι τὰ θεῖα μυστήρια· κρίνειν ἔξεστι τῷ πρὸς ἀρετὴν καλῶς βλέπειν ἐπισταμένῳ, ὁποτέρῳ τούτων μᾶλλον ὁ βίος δι' ἀπαθείας γέγονεν, τῷ πρὸς τὴν νόμιμον καὶ συγκεχωρημένην καταβάντι τῶν ἡδονῶν μετουσίαν· ἢ τῷ κατ' αὐτῆς ὑπεραρθέντι, καὶ μηδεμίαν δεδωκότι καθ' ἑαυτοῦ πάροδον τῇ ὑλικῇ προσπαθείᾳ. Φαιδίμου δὲ κατὰ τὸν χρόνον ἐκεῖνον τῆς Ἀμασαίων ἐκκλησίας καθηγουμένου· ᾧ θεόθεν ἐξ ἁγίου πνεύματος προγνωστική τις δύναμις ἦν· καὶ πᾶσαν ποιουμένου σπουδὴν, ὅπως ὑποχείριον C λαβὼν τὸν μέγαν Γρηγόριον, εἰς ἐκκλησίας ἀρχὴν ἀγάγοι, ὡς ἂν μὴ τοσοῦτον ἀγαθὸν ἀργόν τι καὶ ἀνόνητον παραδράμοι τὸν βίον· τῆς ὁρμῆς ἐκείνου τοῦ ἱερέως αἰσθόμενος, λανθάνειν ἐμηχανᾶτο, ἄλλοτε πρὸς ἄλλην ἐρημίαν μεταναστάμενος. ἐπεὶ δὲ πᾶσαν καθεὶς πεῖραν ὁ πολὺς ἐκεῖνος Φαίδιμος, καὶ πάσῃ μηχανῇ τε καὶ ἐπινοίᾳ χρώμενος, οὐχ οἷός τε ἦν προσαγαγεῖν τῇ ἱερωσύνῃ τὸν ἄνδρα, μυρίοις ὄμμασι τὸ μὴ ἁλῶναί ποτε τῇ χειρὶ τοῦ ἱερέως προφυλασσόμενον, καὶ ἦν ἐφάμιλλος σπουδὴ ἀμφοτέροις· τοῦ μὲν ἑλεῖν ἐπιθυμοῦντος, τοῦ D δὲ ἀποφυγεῖν τὸν διώκοντα· ὁ μὲν γὰρ ἤδει τῷ Θεῷ προσάξειν ἱερὸν ἀνάθημα, ὁ δὲ ἐδεδοίκει, μή τι γένηται αὐτῷ πρὸς φιλοσοφίας ἐμπόδιον οἷόν τι φορτίον ἡ τῆς ἱερωσύνης φροντὶς ἐπαχθεῖσα τῷ βίῳ· τούτου χάριν ὁρμῇ τινι θειοτέρᾳ περὶ τὴν προκειμένην σπουδὴν ἐπαρθεὶς ὁ Φαίδιμος, οὐδὲν προσχὼν τῷ μεταξὺ διαστήματι, ὅπερ ἀπὸ τοῦ Γρηγορίου διείργετο, τριῶν ἡμερῶν ὁδὸν ἐκείνου ἀπέχοντος· ἀλλὰ πρὸς τὸν Θεὸν ἀναβλέψας, καὶ εἰπὼν ὁμοίως ἑαυτόν τε κἀκεῖνον ἐπὶ τῆς ὥρας ἐκείνης ὑπὸ τοῦ Θεοῦ καθορᾶσθαι, ἀντὶ χειρὸς ἐπάγει τῷ Γρηγορίῳ τὸν λόγον,

ἀφιερώσας τῷ Θεῷ, τὸν σωματικῶς οὐ παρόντα. καὶ ἀποκληρώσας αὐτῷ τὴν πόλιν ἐκείνην, ἣν συνέβη μέχρις τῶν τότε χρόνων οὕτω τῇ πλάνῃ τῶν εἰδώλων κατέχεσθαι· ὥστε ἀπείρων ὄντων τῶν οἰκούντων αὐτήν τε τὴν πόλιν, καὶ τὴν περίοικον, μὴ πλείους εὑρεθῆναι τῶν ἑπτακαίδεκα τοὺς παραδεδεγμένους τὸν λόγον τῆς πίστεως. οὕτω τοίνυν ὑπελθὼν τὸν ζυγὸν κατ᾽ ἀνάγκην, πάντων μετὰ ταῦτα τῶν νομίμων ἐπ᾽ αὐτῷ τελεσθέντων, καὶ βραχὺν χρόνον αἰτησάμενος παρὰ τοῦ τὴν ἱερωσύνην ἐπικηρύξαντος, πρὸς κατάμαθησιν τῆς κατὰ τὸ μυστήριον ἀκριβείας, οὐκέτι καθώς φησιν ὁ ἀπόστολος, σαρκὶ καὶ αἵματι προσανέχειν ᾤετο δεῖν· ἀλλὰ θεόθεν ᾔτει γενέσθαι αὐτῷ τὴν τῶν κρυφίων φανέρωσιν. καὶ οὐ πρότερον ἐπεθάρσησεν τῷ τοῦ λόγου κηρύγματι, πρὶν διά τινος ἐμφανείας ἐκκαλυφθῆναι αὐτῷ τὴν ἀλήθειαν. σκοπουμένῳ γάρ αὐτῷ ποτε πάννυχον περὶ τὸν λόγον τῆς πίστεως, καὶ παντοίους ἀνακινοῦντι λογισμούς. ἦσαν γὰρ δὴ καὶ τότε τινές, οἱ τὴν εὐσεβῆ διδασκαλίαν παραχαράσσοντες, διὰ τῆς πιθανότητος τῶν ἐπιχειρημάτων, ἀμφίβολον ποιοῦντες πολλάκις καὶ τοῖς συνετοῖς τὴν ἀλήθειαν. ὑφ᾽ ἧς τότε διαγρυπνοῦντι αὐτῷ καὶ φροντίζοντι, φαίνεταί τις καθ᾽ ὕπαρ ἐν ἀνθρωπίνῳ τῷ σχήματι, γηραλέος τὸ εἶδος, ἱεροπρεπὴς τῇ καταστολῇ τοῦ ἐνδύματος, πολλὴν ἐπισημαινόμενος τὴν ἀρετὴν τῇ περὶ τὸ πρόσωπον χάριτι, καὶ τῇ καταστάσει τοῦ σχήματος· τὸν δὲ καταπλαγέντα τῇ ὄψει, διαναστῆναι ἀπὸ τῆς εὐνῆς, καὶ ὅστις εἴη μαθεῖν ἐδεῖτο, καὶ ὑπό τινος ἥκοι. ἐκείνου δὲ καταστείλαντος αὐτῷ τὴν ταραχὴν τῆς διανοίας ἐν ἠρεμαίᾳ φωνῇ, καὶ εἰπόντος θείῳ προστάγματι πεφηνέναι αὐτῷ τῶν ἀμφισβητουμένων παρ᾽ αὐτῷ χάριν, ὡς ἂν ἐκκαλυφθείη τῆς εὐσεβοῦς πίστεως ἡ ἀλήθεια· θαρσῆσαί τε πρὸς τὸν λόγον, καὶ βλέψαι πρὸς αὐτὸν μετά τινος χαρᾶς καὶ ἐκπλήξεως. εἶτα ἐκείνου κατ᾽ εὐθὺ τὴν χεῖρα προτείναντος, καὶ οἷον ὑποδεικνύοντος αὐτῷ διὰ τῆς τῶν δακτύλων εὐθείας τὸ ἐκ πλαγίου φαινόμενον, συμπεριαγαγεῖν τούτων τῇ εὐθείᾳ τῆς χειρὸς τὸ ἴδιον βλέμμα, καὶ ἰδεῖν ἀντιπρόσωπον ἕτερον φάσμα τῷ ὀφθέντι, ἐν γυναικείῳ τῷ σχήματι, κρεῖττον ἢ κατὰ ἄνθρωπον

A Deo conſecrans eum, qui corpore coràm non adeſſet: & illam ei ciuitatem deſtinans atque attribuens, quam contigerat ad illa ipſa vſque tempora adeò ſimulachrorum errori deditam eſſe, vt cum infiniti eſſent, qui ipſam vrbem, & regionem circumiacentem incolerent, non plures quàm ſeptemdecim inuenirentur, qui ſermonem fidei recepiſſent. Sic igitur iugum ſubire coactus, omnibus poſthæc quæ fieri ſolent, ſolennibus in eo peractis, cùm exiguum tempus ad myſterium exactius cognoſcendum ab eo, qui ſacerdotium ipſi aſſigna-
B uerat, petiiſſet, non amplius, vt inquit Apoſtolus, carni & ſanguini adhærendum eſſe & acquieſcendum putabat, ſed ab Deo ſibi occulta manifeſtari petebat: ac non prius prædicationem ſermonis aggredi ſuſtinuit, quàm per quandam apparitionem ei veritas reuelaretur. Cum enim per totam noctem aliquando de ratione atque ſermone fidei diſpiceret & ſpecularetur, & varias animo cogitationes agitaret (erant enim nimirum etiam tunc nonnulli, qui piam & ſynceram religionis doctri-
C nam adulterarent, ac per probabiles argumentationes ſæpenumerò etiam doctis & prudentibus veritatem facerent ambiguam) pro qua tunc ei peruigilem curis atque ſolicitudine noctem agenti, quidam in figura humana, facie ac forma ſenili euidenter apparet, ornatu atque compoſitione indumenti auguſtum quendam ſacrum ac diuinum referens decorem, magnam gratia vultus atque diſpoſitione figuræ præ ſe ferens virtutem. Hic verò viſu perterritus & ſurgere è lecto, & quis eſſet, cu-
D iúſve rei gratia veniſſet, ſciſcitari, cùm autem ille perturbationem mentis eius ſubmiſſa voce ſedaſſet ac dixiſſet, ſe iuſſu diuino apparuiſſe ei propter eas rationes, quæ apud ipſum controuerſæ & ambiguæ eſſent, vt piæ fidei veritas reuelaretur: & bono animo eſſe audito ſermone, & cum quodam gaudio atque conſternatione illum contueri, deinde cum ille directò manum protendiſſet, & quaſi oſtenderet ei per digitorum directam protenſionem id quod ex tranſuerſo apparebat: hic & vnà cum directa manus protenſione circumagere ſuum obtutũ, & videre aliud ſpectrum aduerſum ei, quod prius apparuerat, in figura muliebri excellentius quiddam & auguſtius, quàm pro humana conditione:

rurſus autem perterritus & facie auerſa vultum demittere, ac perplexus & dubitabundus hæſitare de ſpectaculo, cùm oculis apparitionẽ ferre non poſſet (etenim miraculum viſionis nimirum in hoc potiſſimùm erat, quòd cùm nox eſſet obſcura, lumẽ vnà cum iis, qui apparuerant, ei affluxerat, quaſi aliqua lucida tęda accenſa) cùm igitur oculis ferre apparitionem non poſſet, eorum, qui ſibi apparuerãt, inter ſeſe rationem eius rei, de qua ambigebatur, exponentium ſermocinationẽ audiuit: per quam non ſolùm accepit veram cognitionẽ fidei, verumetiã nominatim eos, qui apparuerãt, cognouit, vtroque eorum propria appellatione alterũ alloquente. Audiuiſſe enim dicitur ex ea, quæ in muliebri habitu viſa erat, cùm hortaretur Euangeliſtam Ioannem, vt adoleſcẽti myſterium veræ pietatis aperiter ac declararet. Atque illum dixiſſe, ſe paratum eſſe etiam in hoc matri Domini gratificari, quoniam hoc ei cordi eſſet: atq; ita, expoſito ſermone, qui & rei quæſitæ conueniret, & admodum benè definitus & circumſcriptus eſſet, rurſus ex oculis diſceſſiſſe, atque hunc extemplò diuinam illam inſtitutionem ac diſciplinam literis mandaſſe, & ſecundum illam poſtea in Eccleſia ſermonem prædicaſſe, ac poſteris tanquam patrimonium quoddam & legatum, diuinitus datam illam doctrinam reliquiſſe, per quam vſque in præſentem diẽ inſtituitur illius ciuitatis plebs, quæ ab omni hæretica malitia intacta permanſit. Porrò myſticæ illius diſciplinæ verba hæc ſunt:

VNVS eſt Deus pater verbi viuentis, ſapientiæ ſubſiſtentis & potentiæ, & figuræ æternæ, perfectus perfecti genitor: pater filij vnigeniti. Vnus Dominus, ſolus ex ſolo, Deus de Deo, figura & imago Deitatis, verbum efficax, ſapientia conſtitutionis rerum vniuerſarum comprehenſiua, & potentia totius creaturæ effectrix, filius verus veri patris, viſum effugiens viſum effugientis, & corruptioni non obnoxius non obnoxij corruptioni, & morti non obnoxius morti non obnoxij, & æternus æterni. Vnus Spiritus ſanctus, ex Deo ortum & exiſtentiam habens: quique per filium apparuit, videlicet hominibus, imago filij perfecti perfecta, vita viuentium cauſſa, fons ſanctus, ſanctitas, ſanctificationis ſuppeditatrix, per quem manifeſtatur Deus pater, qui eſt ſuper omnia & in omnibus: &

A πάλιν δὲ καταπλαγέντα, συγκλιθῆναί τε πρὸς ἑαυτὸν τοῦ προσώπου, καὶ ἀμηχανεῖν τοῦ θεάματι, μὴ φέροντα τοῖς ὀφθαλμοῖς τὴν ἐμφάνειαν· καὶ γὰρ δὴ τὸ παράδοξον τῆς ὀπτασίας ἐν τούτῳ μάλιστα ἦν, ὅτι νυκτὸς οὔσης βαθείας, φῶς τοῖς ὀφθεῖσιν αὐτοῦ συνεξέλαμψεν, ὥσπερ τινὸς λαμπτῆρος ἐξαπτομένης λαμπάδος. ἐπεὶ δὲ οὐχ οἷός τε ἦν φέρειν τοῖς ὀφθαλμοῖς τὴν ἐμφάνειαν, ἤκουσε διὰ λόγου τινὸς τῶν ὀφθέντων αὐτοῦ, πρὸς ἀλλήλους τὸν περὶ τοῦ ζητουμένου λόγον διεξιόντων· δι' ὧν οὐ μόνον ἐπαιδεύθη τὴν ἀληθῆ γνῶσιν τῆς πίστεως,
B ἀλλὰ καὶ διὰ τῶν ὀνομάτων τοὺς ἐπιφανέντας ἐγνώρισεν, ἑκατέρου αὐτῶν διὰ τῆς οἰκείας προσηγορίας ἀνακαλοῦντος τὸν ἕτερον. ἀκοῦσαι γὰρ λέγεται παρὰ τῆς ἐν γυναικείῳ φανείσης τοῦ σχήματι παρακαλούσης τὸν εὐαγγελιστὴν Ἰωάννην, φανερῶσαι τῷ νέῳ τὸ τῆς εὐσεβείας μυστήριον. ἐκεῖνον δὲ εἰπεῖν, ἑτοίμως ἔχειν καὶ τοῦτο τῇ μητρὶ τοῦ κυρίου χαρίσασθαι, ἐπειδὴ τοῦτο φίλον αὐτῇ· καὶ οὕτως εἰπόντα τὸν λόγον σύμμετρόν τε καὶ εὐπερίγραπτον, πάλιν μεταστῆναι τῆς ὄψεων.
C τὸν δὲ παραχρῆμα τὴν θείαν ἐκείνην μυσταγωγίαν γράμμασιν ἐνσημήνασθαι, καὶ κατ' ἐκείνην μετὰ ταῦτα κηρύσσειν ἐν τῇ ἐκκλησίᾳ τὸν λόγον, καὶ τοῖς ἐφεξῆς, ὥσπερ τινὰ κλῆρον τὴν θεόσδοτον ἐκείνην διδασκαλίαν καταλιπεῖν· δι' ἧς μυσταγωγεῖται μέχρι τοῦ νῦν ὁ ἐκείνοις λαὸς, πάσης αἱρετικῆς κακίας διαμείνας ἀπείρατος. τὰ δὲ τῆς μυσταγωγίας ῥήματα, ταῦτά ἐστιν.

Εἷς Θεὸς πατὴρ λόγου ζῶντος, σοφίας ὑφεστώσης καὶ δυνάμεως, καὶ χαρακτῆρος ἀϊδίου.
D τέλειος, τελείου γεννήτωρ· πατὴρ, υἱοῦ μονογενοῦς. εἷς κύριος, μόνος ἐκ μόνου, Θεὸς ἐκ Θεοῦ. χαρακτὴρ καὶ εἰκὼν τῆς θεότητος, λόγος ἐνεργὸς, σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτικὴ, καὶ δύναμις τῆς ὅλης κτίσεως ποιητικὴ, υἱὸς ἀληθινὸς ἀληθινοῦ πατρός. ἀόρατος ἀοράτου, καὶ ἄφθαρτος ἀφθάρτου, καὶ ἀθάνατος ἀθανάτου, καὶ ἀΐδιος ἀϊδίου. καὶ ἓν πνεῦμα ἅγιον, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον· καὶ δι' υἱοῦ πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις. εἰκὼν τοῦ υἱοῦ, τελείου τελεία. ζωὴ, ζώντων αἰτία. πηγὴ ἁγία, ἁγιότης, ἁγιασμοῦ χορηγός. ἐν ᾧ φανεροῦται Θεὸς ὁ πατὴρ, ὁ ἐπὶ πάντων καὶ ἐν πά-

A τι· καὶ Θεὸς ὁ υἱὸς, ὁ διὰ πάντων. τριὰς τελεία, δόξῃ καὶ ἀϊδιότητι, καὶ βασιλείᾳ, μὴ μεριζομένη, μηδὲ ἀπαλλοτριουμένη.

Οὔτε οὖν κτιστόν τι, ἢ δοῦλον ἐν τῇ τριάδι, οὔτε ἐπείσακτόν τι, ὡς πρότερον μὲν οὐχ ὑπάρχον, ὕστερον δὲ ἐπεισελθόν. οὔτε οὖν ἐνέλιπέ ποτε υἱὸς πατρὶ, οὔτε υἱῷ πνεῦμα. ἀλλ' ἄτρεπτος καὶ ἀναλλοίωτος ἡ αὐτὴ τριὰς ἀεί. ὅτῳ δὲ φίλον περὶ τούτου πεισθῆναι, ἀκουέτω τῆς ἐκκλησίας, ἐν ᾗ τὸν λόγον ἐκήρυττε, παρ' οἷς αὐτὰ τὰ χαράγματα τῆς μακαρίας ἐκείνης χειρὸς εἰς ἔτι καὶ νῦν διασώζεται. B Ταῦτ' οὐχὶ πρὸς τὰς θεοτεύκτους ἐκείνας πλάκας ἁμιλλᾶται τῇ μεγαλοφυΐᾳ τῆς χάριτος; ἐκείνας δὲ λέγω τὰς πλάκας, ἐν αἷς ἡ τοῦ Θείου βουλήματος ἐνετυπώθη νομοθεσία. ὡς γὰρ τὸν Μωϋσέα φησὶν ὁ λόγος, ἔξω τοῦ φαινομένου γενόμενον, καὶ ἐντὸς τῶν ἀοράτων ἀδύτων τῇ ψυχῇ καταστάντα· τοῦτο γὰρ ὁ γνόφος αἰνίττεται· μαθεῖν τε τὰ θεῖα μυστήρια, καὶ δι' ἑαυτοῦ τῆς θεογνωσίας παντὸς τοῦ λαοῦ καθηγήσασθαι. τὴν αὐτὴν ἔστι καὶ ἐπὶ τοῦ μεγάλου τούτου κατιδεῖν οἰκονομίαν· ᾧ ὄρος μὲν ἦν, C οὐκ αἰσθητόν τι ἢ γεώλοφον, ἀλλὰ τὸ ὕψος τῆς τῶν ἀληθινῶν δογμάτων ἐπιθυμίας. γνόφος δὲ τὸ τοῖς ἄλλοις ἀχώρητον θέαμα. δέλτος δὲ ἡ ψυχή. τὰ δὲ ἐν ταῖς πλαξὶ γράμματα, ἡ τοῦ ὀφθέντος φωνή· δι' ὧν ἁπάντων αὐτῷ τε, καὶ τοῖς παρ' ἐκείνου μυσταγωγουμένοις, ἐγένετο ἡ τῶν μυστηρίων φανέρωσις. ἐπειδὴ τοίνυν παρρησίας τινὸς καὶ θάρσους διὰ τῆς ὄψεως ἐκείνης πλήρης ἐγένετο, καθάπερ τις ἀθλητὴς ἀρκοῦσαν πρὸς τοὺς ἄθλους ἐμπειρίαν τε καὶ δύναμιν ἐκ παιδοτρίβου κτησάμενος, θαρρῶν ἀποδύεται πρὸς τὸ στάδιον, καὶ D πρὸς τοὺς ἀντιπάλους ἀγωνίζεται· τὸν αὐτὸν τρόπον κἀκεῖνος, τῇ τε καθ' ἑαυτὸν μελέτῃ, καὶ τῇ συμμαχίᾳ τῆς ἐπιφανείσης αὐτῷ χάριτος, ἱκανῶς τὴν ψυχὴν ἀλειψάμενος, οὕτως ἀντιλαμβάνεται τῶν ἀγώνων. οὐ γὰρ ἄλλο τι χρὴ καλεῖν, ἢ ἀγῶνας καὶ ἄθλους, πάντα τὸν καθ' ἱερωσύνην αὐτοῦ βίον, ἐν ᾧ πᾶσαν διὰ τῆς πίστεως, τὴν τοῦ ἀντικειμένου κατηγωνίσατο δύναμιν. εὐθὺς γὰρ ἀπὸ τῆς ἐρημίας ἑαυτὸν ἀναστήσας, καὶ

A *Deus filius, qui per omnia permanat. Trinitas perfecta, quæ gloria atque æternitate & regno non diuiditur neque abalienatur.*

Ergo neque creatum quicquam aut ſeruum in Trinitate (eſt) neque adſcitium quicquam & aduenticium, vt quod prius quidem non eſſet nec ſuppeteret, poſterius autem introductum ſit: neque verò deeſt vnquam filius in patre: neque in filio ſpiritus: ſed immutabilis & inalterabilis eadem ſemper Trinitas eſt. Quòd ſi quis ſibi fidem de hac re fieri cupit, audiat Eccleſiam, in B qua ſermonem prædicabat, apud quam illa ipſa verba à beata illa manu exarata adhuc etiam nunc conſeruantur. An non hęc cum diuinis illis tabulis magnitudine gratiæ certant? illas dico tabulas in quibus diuinæ voluntatis conſtitutio inſculpta & exarata eſt. Quemadmodum enim Moyſen dicit ſcriptura, cùm extra id quod apparet, euaſiſſet, & inter inuiſibilia adyta animo conſtitutus eſſet (hoc enim obſcurè per caliginem ſignificatur) & didiciſſe diuina myſteria, & ſeſe omni populo authorem & inſtitutorem Dei cognitionis fuiſſe: eandem C licet etiam in hoc magno viro animaduertere diſpoſitionem, cui loco montis quidem erat, non ſub ſenſum cadens aliquis collis, ſed altitudo deſiderij verarum ſententiarum & opinionum: caliginis autem vice, ſpectaculum, cuius ſpectandi alij capaces non ſunt: tabularum verò loco, animus: loco literarum in tabulis exaratarum, eius quæ ei apparuit vox, quibus omnibus & ipſi, & iis qui ab illo in ſacris inſtituebantur, contigit manifeſtatio atque declaratio myſteriorum. Poſtquam igitur animi alacritate quadam, fiducia atque liberta- D te per illam viſionem repletus eſt, quemadmodum athleta quidam ſufficientes apud pædotribam vires atque peritiam ad certamina adeptus, præſenti animo atque fiduciæ pleno in ſtadio ſe exuit & expedit, & cum aduerſariis decertat: eodem modo etiam ille cùm ſicuti oleo corpus vngentes athletæ vires confirmare ſolent, tum ſui exercitatione, tum auxilio gratiæ, quæ ſibi apparuerat, animum ſatis confirmaſſet, ita demum ad certamina aggreditur. Neque enim aliter atque labores & certamina vocari oportet omne tempus vitæ, quod adminiſtrando ſacerdotio tranſegit: in quo per fidem omneis aduerſarij copias fregit atque deuicit. Nam cùm relicta ſolitudine

Exod. 26.

protinus vrbem peteret, in qua oporte-
bat eum Eccleſiam Deo conſtituere: vbi
cognouit omnem regionem fraudi dæ-
monum obnoxiam eſſe, ac veri quidem
Dei templum nuſquam extructum, vr-
bem verò totam atque agrum vicinum
aris, ſacellis & ſtatuis repletū eſſe, cùm
tota natio id ſibi ſtudio haberet, vt de-
lubra ſimulachrorum atque ſacella ex-
ornarentur, & homines in inſano ſimu-
lachrorū cultu, qui pompis, ceremoniis
atque immunditiis ad aras fieri conſue-
tis confirmaretur, permanerent: quem-
admodum ſtrenuus quidam miles cum
duce copiarū, cuius robore potiſſimum
ac virtute acies aduerſariorum ſtet, con-
greſſus, illo deuicto, imperio eius paren-
tes in fugam vertit: eodem modo etiam
magnus iſte vir ab ipſis dæmonibus rem
bene gerere orditur: ſed qua ratione?
Cùm prætereuntem à ſolitudine ad
vrbem verſus veſper oppreſſiſſet, & im-
ber violentior vrgeret, vnà cum comi-
tibus templum quoddam intrat. Tem-
plum autem illud celebre erat: in quo
qui colebantur dæmones manifeſtò ſe
offerre & accedere ad antiſtites templi
& æditu os ſolebant: quippe diuinatio
quædam ab eis exercebatur, & oracu-
lum edebatur. Cùm ſe recepiſſet igitur
cum comitibus in illud templum, dæ-
mones quidem ſtatim inuocatione no-
Virtus ſigni crucis. minis Chriſti perterrefecit: figura autem
crucis nidoribus inquinatum aëra cum
expiaſſet atque luſtraſſet, quod facere
ſolitus erat, noctem totam orationibus
& laudum decantationibus peruigilem
tranſegit, adeò vt in domum orationis
transformaretur ædes illa, quæ & alta-
rium ſordibus & immunditia conſpur-
cata, & ſtatuis odioſa atq; abominabilis
erat. Hoc itaq; modo nocte ab eo tranſ-
acta, circa diluculū rurſus iter ſuū porrò
facere pergebat: cùm autē antiſtes mane
conſueto officio dæmones coleret, obla-
ta ei dæmonia dixiſſe feruntur, non ſibi
patere poſt hac amplius aditum ad tem-
plum, propter eum, qui in eo diuerſa-
tus eſſet, atque ille luſtratoriis piacula-
ribuſque ſacrificiis & hoſtiis vtens per
hæc ad immigrandū rurſus in templum
dæmonia dicitur inuitare conatus eſſe,
vt autem nihil non tentantis ſtudium
irritū & inefficax erat, dæmonibus nullo
modo, ſicuti conſueuerant, eius inuo-
cationi obtemperātibus: tunc ira atque

A πρὸς τὴν πόλιν τὴν ὁρμὴν ἔχων, ἐν ᾗ ἔδει
τῷ Θεῷ τὴν ἐκκλησίαν συστήσασθαι· ὅτε δὲ
ἔγνω πάντα τὸν χῶρον τῇ τῶν δαιμόνων ἀπά-
τῃ κατακρατούμενον, καὶ τοῦ μὲν ἀληθινοῦ Θεοῦ
ναὸν οὐδαμοῦ κατεσκευασμένον, πεπληρωμέ-
νην δὲ πᾶσαν τὴν πόλιν καὶ τὴν περίοικον, βω-
μῶν τε ἱερῶν, καὶ ἀφιδρυμάτων· παντὸς τοῦ ἔθνους
ταύτην ἔχοντος τὴν σπουδὴν, ὅπως ἂν τὰ
τεμένη τῶν εἰδώλων, καὶ τὰ ἱερὰ καλλωπίζοι-
το, καὶ παραμένοι τοῖς ἀνθρώποις ἡ εἰδωλο-
μανία, πομπαῖς τε καὶ τελεταῖς, καὶ τοῖς ἐπι-
βωμίοις μιάσμασι κρατυνομένη· καθάπερ τις
στρατιώτης γενναῖος τῷ κρατοῦντι τῆς παρα-
B τάξεως συμπλακεὶς, δι' ἐκείνου τὸ ὑποχείριον
τρέπεται· οὕτως καὶ ὁ μέγας οὗτος, ἀπ' αὐτῶν
τῶν δαιμόνων τῆς ἀριστείας ἄρχεται. τίς δὲ ὁ
τρόπος; διερχόμενος γὰρ τὴν ἀπὸ τῆς ἐρημίας
ἐπὶ τὴν πόλιν ὁδὸν, ἑσπέρας καταλαβούσης,
καὶ ὄμβρου βιαιοτέρου συνέχοντος, ἐντὸς ἱεροῦ
τινὸς γίνεται, μετὰ τῶν ἑπομένων αὐτῷ. τὸ δὲ
ἱερὸν ἐκεῖνο τῶν ἐπισήμων ἦν, ἐν ᾧ τις φανε-
ρὰ τῶν θεραπευομένων δαιμόνων ἐπιφοίτησις
τοῖς νεωκόροις ἐγίνετο, μαντικῆς τινος χρησμῳ-
δίας, παρ' αὐτῶν ἐνεργουμένης. ὑπεισελθὼν δὲ
τὸ ἱερὸν μετὰ τῶν σὺν αὐτῷ, τὰ μὲν δαιμόνια πα-
C ραχρῆμα τῇ ἐπικλήσει τοῦ ὀνόματος τοῦ Χρι-
στοῦ καταπλήσσει· τῷ δὲ τύπῳ τοῦ σταυροῦ, τὸν
μεμολυσμένον ταῖς κνίσσαις ἀέρα καθαγνίσας,
διήγαγε, κατὰ τὸ συνήθες αὐτῷ, τὴν νύκτα πᾶ-
σαν ἐν προσευχαῖς τε καὶ ὑμνῳδίαις διαγρυ-
πνήσας. ὥστε μετασκευασθῆναι εἰς προσευχῆς
οἶκον, τὸν ἐβδελυγμένον τῷ τε ἐπιβωμίῳ λύ-
θρῳ, καὶ τοῖς ἀφιδρύμασιν. τοῦτον δὲ τὸν τρόπον
τῆς νυκτὸς αὐτῷ διανυσθείσης, εἴχετο πάλιν
κατὰ τὸν ὄρθρον τῆς ἐπὶ τὸ πρόσω πορείας. τοῦ δὲ
D νεωκόρου κατὰ τὸν ὄρθρον τὴν συνήθη προσά-
γοντος θεραπείαν τοῖς δαίμοσιν, εἰπεῖν ἐπιφα-
νέντα αὐτῷ φασὶν αὐτῷ τὰ δαιμόνια, ἄβα-
τον αὖθις τὸ ἱερὸν εἶναι, διὰ τὸν ἐν αὐτῷ κα-
ταμείναντα, τὸν δὲ καθαρσίοις τισὶ καὶ θυσίαις
χρώμενον ἐπιχειρεῖν διὰ τούτων πάλιν εἰσοι-
κίσαι τῷ ναῷ τὰ δαιμόνια· ὡς δὲ πᾶσαν αὐτοῦ
πεῖραν προσάγοντος, ἄπρακτος ἦν ἡ σπου-
δὴ, οὐδαμοῦ κατὰ τὸ συνήθες ὑπακουόντων αὐ-
τοῦ τῶν δαιμόνων ἐπικλήσει· τότε θυμῷ καὶ ὀρ-

τῇ ἀγανακτήσει καταλαμβάνει τὸν μέγαν ἐκεῖνον ὁ νεωκόρος, πάντα ἀπειλῶν τὰ δεινότατα, καὶ τοῖς ἄρχουσιν εἰσαγγέλλειν, καὶ χεῖρα κατ' αὐτοῦ κινήσεσθαι, βασιλεῖ καταμηνύειν τὴν τόλμαν, ὅτι δὴ Χριστιανὸς ὢν καὶ θεοῖς ἐχθρὸς, ἐτόλμησεν ἐντὸς τῶν ἀνακτόρων γενέσθαι· οὗ τὴν εἴσοδον ἀπεστράφθαι τὴν ἐν τοῖς ἱεροῖς ἐνεργοῦσαν δύναμιν, καὶ μηκέτι ἐπιχωριάζειν τοῖς τόποις κατὰ τὸ σύνηθες τὴν μαντικὴν τῶν δαιμόνων ἐνέργειαν. τοῦ δὲ τὸν ἀπρεπῆ τε καὶ ἀπαίδευτον τοῦ νεωκόρου θυμὸν ἐν ὑπερέχοντι φρονήματι καταβάλλοντος, καὶ τοῦ ἀληθινοῦ Θεοῦ τὴν συμμαχίαν πάσαις ἀντιπροβαλλομένου ταῖς ἀπειλαῖς, καὶ λέγοντος τοσοῦτον πεποιθέναι τῇ δυνάμει τοῦ ὑπερμαχοῦντος αὐτοῦ, ὥστε καὶ ἐξουσίαν ἔχειν ἀπελαύνειν τε αὐτοὺς, ὅθεν ἂν βούληται, καὶ εἰσοικίζειν εἰς οὓς ἂν ἐθέλῃ τόπους· καὶ τὰς ἀποδείξεις ὧν ἔλεγεν ἤδη παρέξειν ὑπισχνουμένου, θαυμάσαντα τὸν νεωκόρον, καὶ καταπλαγέντα τὸ μέγεθος τῆς ἐξουσίας ἀπ' αὐτῶν τούτων δεῖξαι τὴν δύναμιν, προσκαλέσασθαι, καὶ πάλιν ἐντὸς ποιῆσαι τοῦ ἱεροῦ τὰ δαιμόνια· ἀκούσαντα δὲ ὑπὸ τὸν μέγαν, ἀπορρῆξαί τι τοῦ βιβλίου τμῆμα βραχὺ, καὶ δοῦναι τοῦτο τῷ νεωκόρῳ, προστακτικήν τινα φωνὴν κατὰ τῶν δαιμόνων χαράξαντα· ἦν δὲ τὰ γράμματα ἐπ' αὐτῆς τῆς λέξεως ταῦτα· ΓΡΗΓΟΡΙΟΣ ΤΩι ΣΑΤΑΝΑι, ΕΙΣΕΛΘΕ. λαβόντα δὲ τὸν νεωκόρον ἀναθεῖναι τῷ βωμῷ τὸ βιβλίον, εἶτα προσαγαγόντα τὰς συνήθεις αὖθις κνίσσας καὶ τὰ μιάσματα, πάλιν ἰδεῖν ἅπερ ἑώρα τὸ πρότερον, πρὶν ἐξοικισθῆναι τοῦ εἰδωλείου τοὺς δαίμονας. τούτων δὲ γενομένων, ἔννοιαν αὐτὸν λαβεῖν τοῦ, θείαν εἶναί τινα παρὰ τῷ Γρηγορίῳ τὴν δύναμιν, δι' ἧς ἐφάνη τῶν δαιμόνων ἐπικρατέστερος· καταλαβόντα δὲ κατὰ σπουδὴν πάλιν αὐτὸν, πρὶν ἐν τῇ πόλει γενέσθαι, μαθεῖν ἠξίωσε παρ' αὐτοῦ τὸ μυστήριον, καὶ τίς ὁ Θεὸς ἐκεῖνος ὁ τὴν τῶν δαιμόνων φύσιν ὑποχειρίαν ἔχων. εἰπόντος δὲ δι' ὀλίγων τοῦ μεγάλου τὸ τῆς εὐσεβείας μυστήριον, παθεῖν τι τὸν νεωκόρον οἷα εἰκὸς τὸν τῶν θείων ἀμύητον· καὶ μικρότερον οἰηθῆναι τῆς περὶ Θεοῦ ὑπολήψεως, τὸ πιστεῦσαι διὰ σαρκὸς πεφηνέναι τοῖς ἀνθρώποις τὸ θεῖον· τοῦ δὲ μὴ λόγοις εἰπόντος

A indignatione furibundus cùm ſeſe proripuiſſet antiſtes, magnum illum virum aſſequitur, grauiſſimas & maximè terribiles quaſque minas intentans, quòd & ad magiſtratus eum delaturus; & manu aduerſus eum vſurus, & Imperatori audaciã indicaturus eſſet, quòd nimirum Chriſtianus & Diis inimicus templum ingredi auſus eſſet: cuius introitu aduerſa eſſet ea, quæ in ſacris operaretur vis, nec amplius vt conſueſſet, in iis locis vaticinandi dæmonum efficacia verſaretur. Cùm autem ille effrænatam & imperitam antiſtitis excandeſcentiam ani- B mo excelſo ſpreuiſſet, & contra omneis minas veri Dei auxilium objiceret, ac diceret, quòd tantum fiduciæ haberet in virtute atque potentia ſui propugnatoris, vt pro arbitratu eos & abigere poſſet vndecumque vellet, & introducere in quæcumque loca ſibi videretur: earumque rerum, quæ diceret demõſtrationes ſe extemplò iam præbiturum eſſe polliceretur: obſtupefactus antiſtes & admiratus magnitudinem poteſtatis, poſtulaſſe dicitur, vt ab his ipſis virtutem oſtendendi initium faceret, & inuitaret C rurſus & introduceret in templum dæmonia, quibus auditis magnus ille vir abſcidiſſe exiguum quoddã fruſtum de codice dicitur, idque cùm in eo vocem quandam imperatricem aduerſus dæmones exaraſſet, antiſtiti dediſſe: erant autem ipſa verba literarum hæc: GREGORIVS SATANÆ, INTRA. Atque hanc ſchedulam acceptam dicitur antiſtes impoſuiſſe altari, deinde cũ conſuetos eis nidores & impiaméta obtuliſſet, vidiſſe, quæ prius cõſpicere ſoleret, antequam dæmones ex delubro eiecti eſſent. Quibus rebus peractis, eum D cœpiſſe cogitare, quòd diuina quædam virtus Gregorio adeſſet, per quam dæmonibus validior viſus eſſet. Cũ autem rurſus eum feſtinãdo conſequutus eſſet, priuſquam perueniſſet in vrbem, rogauit eum vt ſibi myſterium ab ipſo diſcere liceret, & quiſnam eſſet ille Deus, qui naturam dæmonum obnoxiam haberet. Cum autem magnus ille vir paucis myſterium pietatis expoſuiſſet, accidiſſe quiddam dicitur antiſtiti quale par erat accidere ei, qui in rebus diuinis nõ eſſet initiatus: ac vilius eſſe putaſſe, quàm de Deo exiſtimari cõueniret, credere quòd numen diuinum per carnem hominibus apparuiſſet: cúmque ille contrà dixiſſet,

quòd non verbis ac rationibus huius rei fides confirmaretur, ſed ex rebus mirabilibus, quæ fierent, vim fidei faciẽdæ myſterium haberet: antiſtes ab eo petiiſſe fertur, vt ſibi liceret aliquod ab eo miraculum videre, vt re ipſa, quę fieret, ad aſſenſionem & approbationẽ fidei adduceretur. Ibi verò id, quòd omnium maximè dictu incredibile eſt, magnũ illud feciſſe magnus ille dicitur miraculum. Cùm enim poſtularet antiſtes, vt ſaxum quoddã ingens, quod oculis eorum ſubiectum proſpiceretur, & nõ moueretur, abſq; manu humana moueretur, ac per ſolam fidei virtutem, iuſſu Gregorij ad alterum locum transferretur: nulla interiecta mora magnus ille ſtatim imperaſſe dicitur ſaxo, tanquam animato, vt tranſiret ad illum locũ, quem deſignaſſet, quo facto, extemplò credidiſſe ſermoni dicitur antiſtes: ac relictis omnibus, cognatione, familia, vxore, liberis, amicis, ſacerdotio, ſede, poſſeſſionibus, loco omnium bonorum, quibus abundaret, duxiſſe, ſi magni illius conſuetudine frui, & laborum, diuinæque illius philoſophiæ atque eruditionis vnà cum illo participi ſibi eſſe liceret. Sileat ad hæc omnis artificioſa ſcriptorum inuentio, res amplas atque præclaras arte quadam dicendi augendo, amplificando atque exaggerando in maius extollens. Non enim eiuſmodi miraculũ eſt in iis, quæ commemorata ſunt, quod vi ac facultate dicẽtis vel maius vel minus fieri poſſit, quàm re ipſa eſt. Quid enim dictis aliquis adijciens miraculũ amplificabit & exaggerabit? qua ratione verò quis audientibus admirationem rei geſtę minuerit? Saxum abſtrahit à ſaxis eos, qui ſaxis & lapidibus mancipati ſeruiebant: lapis præco diuinæ fidei, & dux infidelibus ad ſalutem exiſtit, nõ voce quadam atque ſermone diuinam potentiam celebrans atque diuulgans, ſed ſuo facto Deum, qui ab Gregorio annuntiaretur, oſtendens: cui omnis ex æquo obnoxia creatura obtemperat, non ſolùm quæcumque ſenſu prędita, ſpirat & animata eſt, verumetiam ſi qua extra has eſt, ita iuſſa famuli accipiunt, quaſi ſenſus expertes non eſſent. Quis enim lapidis auditus? quis iubentis poteſtatis ſenſus? quæ verò vis in eo tranſeundi? quæ membrorum & artuum fabricatio? ſed omnia hæc & eiuſmodi lapidi præſtat iubentis virtus atq; poteſtas, quam ſpe-

A τὴν περὶ τούτου πίστιν κρατύνεσθαι, τοῖς δὲ τῶν γινομένων θαύμασιν τὸ πιστὸν ἔχειν, ζητῆσαι ἐπὶ παρ' αὐτοῦ θαῦμα τὸν νεωκόρον ἰδεῖν, ὡς εἰθ' οὕτως προσαχθῆναι διὰ τοῦ γινομένου πρὸς τὴν τῆς πίστεως συγκατάθεσιν. ἔνθα δὴ τὸ πάντων ἀπιστότατον λέγεται πεποιηκέναι τὸ μέγα θαῦμα τὸν μέγαν ἐκεῖνον. ἐπιζητοῦντος γὰρ τοῦ νεωκόρου λίθον τινὰ τῶν εὐμεγεθῶν τῶν κατ' ὀφθαλμοὺς αὐτοῦ προφαινομένων, δίχα χειρὸς ἀνθρωπίνης κινηθῆναι, διὰ δὲ μόνης τῆς κατὰ τὴν πίστιν δυνάμεως, προστάγματι τοῦ Γρηγορίου πρὸς ἕτερον μετατεθῆναι χῶρον· B μηδὲν ἀναβαλλόμενον τὸν μέγαν ἐκεῖνον, εὐθὺς προστάξαι καθάπερ ἐμψύχῳ τῷ λίθῳ μεταβῆναι πρὸς ἐκεῖνον τὸν τόπον, ὃν ὁ νεωκόρος ὑπέδειξεν· τούτου δὲ γινομένου, παραχρῆμα πιστεῦσαι τῷ λόγῳ τὸν ἄνδρα· καὶ πάντα καταλιπόντα, γένος, οἰκίαν, γαμετὴν, παῖδας, φίλους, ἱερωσύνην, ἑστίαν, κτήματα, ἀντὶ πάντων τῶν προσόντων αὐτῷ ποιήσασθαι, τὸ συνεῖναι τῷ μεγάλῳ, καὶ συμμετέχειν τῶν πόνων αὐτοῦ καὶ τῆς θείας ἐκείνης φιλοσοφίας τε καὶ παιδεύσεως. σιγάτω πρὸς ταῦτα πᾶσα τεχνικὴ τῶν λογο- C γράφων ἐπίνοια ταῖς ἐπαυξήσεσι τῶν θαυμάτων διά τινος ῥητορείας ἐπὶ τὸ μεῖζον ἐξαίρουσα. οὐ γὰρ τοιοῦτόν ἐστιν ἐν τοῖς εἰρημένοις τὸ θαῦμα, ὡς τῇ δυνάμει τοῦ λέγοντος ἔλαττον ἂν ἢ μεῖζον ἑαυτοῦ γενέσθαι. τί γάρ τις εἰπὼν παρὰ τὰ εἰρημένα, προσθήκην δώσει τῷ θαύματι; πῶς δ' ἄν τις ἐλαττώσειε τοῖς ἀκούουσιν ἐπὶ τῷ γεγονότι τὴν ἔκπληξιν; λίθος ἀφίστησι τῶν λίθων τοὺς δεδουλωμένους τοῖς λίθοις, λίθος κῆρυξ τῆς θείας πίστεως, καὶ ὁδηγὸς τοῖς ἀπίστοις εἰς σωτηρίαν γίνεται, οὐ φωνῇ τινι καὶ λόγῳ τὴν θείαν δύναμιν ἀνακηρύσσων, ἀλλ' οἷς D ἐποίει δεικνὺς τὸν Θεὸν, τὸν ὑπὸ τοῦ Γρηγορίου καταγγελλόμενον· ᾧ πᾶσα κατὰ τὸ ὁμότιμον ὑποχείριος πείθεται κτίσις, οὐχ ὅσον αἰσθητικὸν μόνον καὶ ἔμπνουν, καὶ ἔμψυχον, ἀλλ' εἴ τι καὶ τούτων ἐστὶν ἐκτὸς, οὕτω δέχεται τὰ τοῦ θεράποντος ἐπιτάγματα, ὡς οὐκ ἀμοιροῦντα τῆς αἰσθήσεως. ποία γὰρ ἀκοὴ τοῦ λίθου; ποία τῆς τοῦ κελεύοντος ἐξουσίας αἴσθησις; τίς δύναμις ἐν αὐτῷ μεταβατική; ποία μελῶν τε καὶ ἄρθρων διασκευή; ἀλλὰ πάντα ταῦτα καὶ τὰ τοιαῦτα, λίθῳ ἡ τοῦ κελεύοντος δύναμις γέγονε, πρὸς

ὡς εἶδεν ὁ νεωκόρος ἐκεῖνος, εὐθὺς τὴν γενομένην ἐπὶ πλάνῃ τῆς ἀνθρωπίνης φύσεως ἀπάτην τῶν δαιμόνων ἐνόησέ τε καὶ ἐβδελύξατο, καὶ πρὸς τὸν ἀληθινὸν Θεὸν μετετάξατο, διὰ τῶν παρὰ τοῦ δούλου γεγενημένων, τὸ ἄφραστον τῆς τοῦ δεσπότου δυνάμεως λογισάμενος. εἰ γὰρ τοσαύτη τοῦ δούλου ἡ δύναμις, ὡς ῥήματι κινεῖν τὰ ἀκίνητα, καὶ προστάγματι κεχρῆσθαι κατὰ τῶν ἀναισθήτων, καὶ τοῖς ἀψύχοις διακελεύεσθαι· πόσην εἰκὸς ἐστὶ περιουσίαν δυνάμεως ἐν τῷ δεσπότῃ τοῦ παντὸς καταμοῆσαι; οὗ τὸ θέλημα, οἷόν τις ὕλη, καὶ κατασκευὴ, καὶ δύναμις αὐτοῦ τε τοῦ κόσμου, καὶ τῶν ἐν αὐτῷ πάντων, καὶ τῶν ὑπὲρ τοῦτον ὄντων, ἐγένετο. ἐντεῦθεν ὁ μέγας ἐκεῖνος τῆς κατὰ τῶν δαιμόνων ἀριστείας ἀρξάμενος, καὶ οἷόν τι τρόπαιον κατὰ τῶν νικηθέντων τὸν νεωκόρον περιαγόμενος, προκαταπλήξας τε τῇ φήμῃ τὸ ἔθνος, οὕτως ἤδη μετὰ πεποιθήσεώς τε καὶ παρρησίας εἰς τὴν πόλιν εἰσήλαυνεν, οὐχ ἅρμασι καὶ ἵπποις καὶ ἡμιόνοις, καὶ τῷ πλήθει τῶν παρεπομένων ἐπικομπάζων, ἀλλὰ ταῖς ἀρεταῖς ἐν κύκλῳ δορυφορούμενος. πανδημεὶ δὲ πάντων προχυθέντων τῶν οἰκητόρων τοῦ ἄστεος, ὡς ἐπί τινα καινοῦ θεάματος ἱστορίαν, καὶ πάντων ἰδεῖν προθυμουμένων, τίς ἐκεῖνός ἐστιν ὁ Γρηγόριος, ὃς ἄνθρωπος ὢν τῶν νομιζομένων παρ' αὐτοῖς εἶναι Θεῶν, καθάπερ τις βασιλικὴν ἐξουσίαν ἔχει, προστάγματι φέρων καὶ ἄγων, ὅπουπερ ἂν ἐθέλοι τὰ δαιμόνια, καὶ ὅθεν αὖ βούληται πρὸς τὸ δοκοῦν ἐξοικίζων τε καὶ εἰσοικίζων, ὥσπερ τὰ ἀνδράποδα. καὶ τὸν θεραπευτὴν ἐκεῖνον φέρει, καθάπερ ἐν ἐξουσίᾳ τινὶ δουλωσάμενος, ὑπεριδόντα μὲν τῆς τιμῆς ἐν ᾗ τὸ πρότερον ἦν, τῶν δὲ προσόντων πάντων τὴν μετ' αὐτοῦ διαγωγὴν ἀνταλλαξάμενον. τοιαύτῃ δὲ γνώμῃ πάντων προσδεχομένων αὐτὸν πρὸ τοῦ ἄστεος, ἐπειδὴ καθ' αὐτοὺς ἐγένετο πάντων εἰς ἐκεῖνον ἀτενῶς ἀποβλεπόντων, καθάπερ ὕλην ἄψυχον παριὼν τοὺς ἀνθρώπους, πρὸς οὐδένα τῶν ἐντυγχανόντων στρεφόμενος, καὶ κατ' εὐθεῖαν ἐπὶ τὴν πόλιν βαδίζων, πολὺ μᾶλλον αὐτοὺς εἰς ἔκπληξιν ἤγαγεν, ὑπὲρ τὴν φήμην τοῖς ὁρῶσι φαινόμενος. τὸ γὰρ πρώτως εἰσελαύνοντα πόλει μεγάλῃ, μηδεμιᾶς συνηθείας τοσαύτης προϋπαρχούσης αὐτῷ, ἔπειτα μὴ κατα-

A ſtans antiſtes ille, ſtatim fraudem dæmonum, quæ ad ſeducendum humanã naturam adhiberetur, & animaduertit & abominatus eſt, & ad Deum verum traductus atq; cõuerſus eſt: quippe qui per ea, quæ à ſeruo geſta erant, ineffabilem & inexplicabilẽ Domini potentiam eſſe coniecifſet. Nam ſi tanta ſerui potentia, (inquiebat,) vt verbo moueat res immobiles, & imperio vtatur aduerſus res ſenſu carentes, & hortetur res inanimatas: quantam copiam potentiæ Domino rerum vniuerſarum adeſſe cogitare atque conijcere par eſt? cuius voluntas veluti B materia quædã fuit & fabricatio, & vis tum ipſius mundi, rerumque omnium, quæ in eo ſunt, tum earum rerum, quæ ſupra res mundanas ſunt. Hinc magnus ille rem benè gerere aduerſus dæmonas exorſus, ac veluti trophæum quoddam aduerſus deuictos antiſtitem circumducens: cùm & fama ſui gentem antè perculiſſet & obſtupefeciſſet, ita demum cum fiducia animoq; alacri atque cõfirmato vrbem inuehebatur, non curribus & equis, & mulis, & multitudine comitum aſſectantium ſeſe oſtentans, ſed virtutibus vndique ſtipatus. Omnibus autem C vrbis incolis populariter ac vulgo cum coniugibus & liberis velut ad nouum quoddã ſpectaculum viſendum obuiam effuſis, & omnibus videre cupientibus, quis eſſet ille Gregorius, qui homo licet eſſet, eos tamen, qui apud ipſos pro diis haberentur, tanquam rex quidam in poteſtate haberet, pro imperio ferens & agens quocumq; vellet, & vndecumque vellet, prout viſum eſſet, dæmonas ſicuti mancipia eijciens, & eodem rurſus, ſi videretur, introducens: quique cultorem illorum adduceret tanquam iure ac poteſtate quadam ſibi mancipatũ habens, deſpicientem, & honorẽ, quo antè præ- D ditus eſſet, & huius cõſuetudinem, cum omnibus, quæ habuiſſet, facultatibus & copiis cõmutantem. Tali nimirum animo atque opinione omnibus eum ante vrbem expectantibus, vbi ad eos peruenit, omnibus eum intentis oculis contuentibus, tanquã ſyluam quandam inanimam homines prætergreſſus, ad neminem eorũ, qui obuiam venirent, ſeſe conuertens, ſed rectà ad vrbem vadens multò magis eos in ſtuporem & admirationem deduxit, famã ſuperare intuentibus apparẽs. Quòd enim magnam vrbem primum inueheretur, cùm nihil ei tale conſuetum antea fuiſſet, deinde cum

ſtupore nō admiraretur tantum propter ſe populum cōgregatum eſſe: ſed veluti per ſolitudinem iter faciens ſeipſum duntaxat & viam ſpectaret, ac neminem eorum, qui circum ſe collecti eſſent, ſeſe cōuertens: hoc nimirum ſupra miraculum, quod in ſaxo tranſlato editum erat, hominibus eſſe videbatur. Idcirco cùm admodum pauci eſſent, vt ſuprà cōmemoratū eſt, qui ante adminiſtrationem eius fidē ſuſcepiſſent, quaſi tota ciuitas honorem ſacerdotio eius haberet, ita in vrbem ingrediebatur, proſequentium turba vndique frequenti ſtipatus. Quoniam autem protinus vt attigit philoſophiam omnibus rebus ſe veluti onere quodam leuauerat: nec quicquā ei rerum ad hanc vitam neceſſariarū ſupererat, non ager, non locus, nō domus: ſed omnia ipſe ſibi erat (imo verò virtus & fides ei patria erat & ſedes & diuitiæ) vt igitur vrbem ingreſſo domus ad requieſcendū ei nuſquā vel Eccleſiæ vel ipſius propria erat, comitibus eius trepidantibus atq. ſollicitis quomodo diuerſaretur, & à quibus tecto reciperetur, anxiis: quid hæc, inquit magiſter ad eos, quaſi extra protectionem Dei cōſtituti, anxij atque ſolliciti inquiritis, vbi corpora reficere atque curare oporteat? an parua vobis domus, Deus eſſe videtur? ſi quidem per eum viuimus & mouemur & ſumus? an arctum & anguſtum cœleſte tectū vobis videtur? & præter hoc aliud diuerſorium quæritis? vna vobis domus ſtudio curæque ſit, ea videlicet, quæ cuiuſque propria eſt, quę per virtutes ædificatur, & tollitur in altum. Hoc ſolum vobis curę atque ſolicitudini ſit, ne eiuſmodi vobis habitaculum non paratum nec inſtructum ſit. Nám terreni parietes iis, qui cum virtute vitā tranſigunt, circumdati, nihil cōmodi adferunt. quinimo par conſentaneumque fuerit ab iis, qui vitiis atque nequitia coinquinātur, parietum vſum ſtudioſè atq; cum cura inſtitui atq; parari: propterea quod domus occultarum plerumq; turpitudinū velamentū exiſtit. At quorum vita cum virtute tranſigitur, in his nihil eſt, quod parietes obtegāt & obuelēt. Atque hæc eo ad familiareis dicēte, aſſiſtens vir quidam inſignis, qui genere, diuitiis, reliquiſque opibus inter primos numeraretur (Muſonius ei nomen erat) vt vidit multos idem officiū deferre paratos, & id agentes, vt in ſuas ædes virum recipe-

A πλαγιάσαι δῆμον τοσοῦτον ἐπ' ἐκείνῳ συνειλεγμένον· ἀλλ' οἷον δι' ἐρήμου βαδίζοντα, πρὸς ἑαυτὸν μόνον, καὶ πρὸς τὴν ὁδὸν ἀποβλέπειν, πρὸς οὐδένα τῶν περὶ αὐτὸν ἐπιστρεφόμενον ἠθροισμένων, τοῦτο ὑπὲρ τὴν ἐν τῷ λίθῳ θαυματοποιΐαν τοῖς ἀνθρώποις ἐδόκει. τούτου χάριν, ὀλιγοστῶν ὄντων, καθὼς ἐν τοῖς φθάσασιν εἴρηται, τῶν πρὸ τῆς ἐπιστασίας αὐτοῦ καταδεξαμένων τὴν πίστιν, ὡς πάσης τῆς πόλεως αὐτοῦ τὴν ἱερωσύνην τιμώσης. οὕτως εἰσῄει συνοχλούμενος ἁπανταχόθεν τοῖς παραπέμπουσιν. ἐπεὶ δὲ, πάντων ὁμοῦ εὐθὺς, ὅτε τῆς φιλοσοφίας ἥπτετο, καθάπερ τινὸς ἄχθους ἑαυτὸν ἠλευθέρωσε, καὶ

B περ ἦν αὐτῷ τῶν πρὸς τὴν ζωὴν ἀναγκαίων οὐδὲν, οὐκ ἀγρὸς, οὐ τόπος, οὐκ οἰκία· ἀλλὰ πάντα ἦν αὐτὸς ἑαυτῷ· μᾶλλον δὲ ἡ ἀρετὴ καὶ ἡ πίστις, πατρὶς αὐτῷ ἦν, καὶ ἑστία, καὶ πλοῦτος. ὡς οὖν τῆς μὲν πόλεως ἐντὸς ἦν, οἶκος δὲ αὐτῷ πρὸς ἀνάπαυσιν οὐδαμοῦ, οὐ τῆς ἐκκλησίας, οὐκ ἴδιος· θορυβουμένων τῶν περὶ αὐτὸν, καὶ ὅπως ἂν καταχθείη καὶ παρὰ τίνι τὴν σκέπην εὕροι διαπορούντων· τί ταῦτα, φησὶ, πρὸς αὐτοὺς ὁ διδάσκαλος, ὥσπερ ἔξω τῆς τοῦ Θεοῦ σκέπης ὄντες, διαπορεῖτε, ὅπου χρὴ διαναπαύσαι τὰ σώματα. μικρὸς ὑμῖν οἶκος εἶναι ὁ Θεὸς δοκεῖ; εἴπερ ἐν αὐ-

C τῷ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμέν. ἢ στενοχωρεῖσθε τῇ οὐρανίῳ σκέπῃ, καὶ ζητεῖτε παρὰ τοῦτο καταγώγιον ἄλλο; εἷς οἶκος ὑμῖν ἔστω διὰ σπουδῆς, ὁ ἑκάστου ἴδιος, ὁ διὰ τὴν ἀρετὴν οἰκοδομούμενος, καὶ εἰς ὕψος ἀνατεινόμενος. τοῦτο λυπείτω μόνον, μὴ τὸ τοιοῦτον ἡμῖν οἰκητήριον ἀπαρασκεύαστον ᾖ. αἱ γὰρ τῶν γηΐνων τοίχων περιβολαὶ τοῖς ἐν ἀρετῇ ζῶσι κέρδος οὐ φέρουσι. μᾶλλον δ' ἂν εἰκότως ὑπὸ τῶν ἐν κακίᾳ μολυνομένων, ἡ τῶν τοίχων χρεία σπουδάζεται· διότι

D περικάλυμμα πολλάκις τῶν κρυπτῶν τῆς αἰσχύνης ὁ οἶκος γίνεται. οἷς δὲ δι' ἀρετῆς ὁ βίος ἐσπούδασται, οὐκ ἔχουσιν οἱ τοῖχοι, ὅτι περικαλύψωσι. ταῦτα δὲ πρὸς τοὺς συνόντας διεξιόντος, ἐπιστάς τις τῶν ἐπισήμων ἀνὴρ, γένει καὶ πλούτῳ, καὶ τῇ λοιπῇ δυναστείᾳ τοῖς πρώτοις ἐναρίθμιος ὤν· Μουσώνιος ὄνομα τῷ ἀνδρί· ὡς εἶδεν πολλοὺς περὶ τὴν αὐτὴν σπουδὴν προθυμουμένους, ὅπως ἂν τοῖς ἰδίοις οἴκοις τὸν ἄνδρα δέξοιντο

δέξοιτο, φθάσας τοὺς ἄλλους, ὑφαρπάζει τὴν χάριν, ἑαυτῷ παρακαλῶν ἐπιξενωθῆναι τὸν μέγαν, καὶ τιμῆσαι τῇ εἰσόδῳ τὸν οἶκον· ὡς ἂν σεμνότερός τε καὶ ἀοίδιμος τῷ μετὰ ταῦτα γένοιτο βίῳ τοῦ χρόνου, καὶ τοῖς ἐφεξῆς τὴν μνήμην τῆς τοιαύτης τιμῆς παραπέμποιτο. ἐπεὶ δὲ καὶ ἄλλοι πολλοὶ συνδραμόντες περὶ τῶν ὁμοίων ἱκέτευον, δίκαιον εἶναι κρίνας δοῦναι τὴν χάριν τῷ προκατάρξαντι, τοὺς ἄλλους διὰ τῆς τῶν λόγων φιλοφροσύνης διασπασάμενός τε, καὶ ἀποτιμήσας, παρὰ τῷ προλαβόντι κατάγεται. εἰ δὲ διηγηματική τις ἐστὶ καὶ ἀκατάσκευος τῶν περὶ αὐτοῦ λόγων ἡ ἱστορία, ταῖς ἐκ περινοίας τινὸς ἐφευρισκομέναις τοῖς πράγμασιν ἐπαυξήσεσιν ἑκουσίως τοῦ ἡμετέρου παραλιπόντος λόγου. γένοιτο ἂν καὶ αὐτὴ τοῖς ὀρθῶς τὰ πράγματα κρίνουσιν οὐ μικρὰ μαρτυρία, τοῦ μηδὲν δι᾽ ἐπινοίας ἐπαύξεσθαι τοῦ μνημονευομένου τὰ θαύματα, ἀλλ᾽ ἀρκεῖν τὴν μνήμην τῶν κατ᾽ αὐτὸν πραγμάτων πρὸς τελειότατον ἔπαινον· οἷόν τι κάλλος αὐτοφυὲς ἐπὶ προσώπου, οὐδεμιᾶς περιεργίας κομμωτικῆς τέχνης ἐπανθιζόμενον. ὄντων δὲ τῶν προκατηχουμένων τὸν λόγον ἐν ὀλίγῳ τῷ ἀριθμῷ, πρὶν παρελθεῖν τὴν ἡμέραν, καὶ ἐν δυσμαῖς γενέσθαι τὸν ἥλιον, τοσοῦτον παρὰ τὴν πρώτην συντυχίαν προσετέθειντο, ὥστε πρὸς σύστημα λαοῦ τὸ πλῆθος τῶν πεπιστευκότων ἱκανῶς ἔχειν. ὄρθρος, καὶ πάλιν ἐπὶ θύραις ὁ δῆμος, αὐτοί τε καὶ γυναῖκες καὶ παῖδες, καὶ τὸ γηραιὸν τῆς ἡλικίας, καὶ οἷς τισιν ἦν ἐκ δαιμόνων, ἢ ἐξ ἄλλης τινὸς ἐπηρείας, ἡ συμφορὰ περὶ τὸ σῶμα· καὶ ἐν μέσοις ἐκεῖνος πρὸς τὴν ἑκάστου τῶν συνειλεγμένων χρείαν ἁρμοδίως τῇ δυνάμει τοῦ πνεύματος μεριζόμενος, κηρύσσων, συνεξετάζων, νουθετῶν, διδάσκων, ἰώμενος. τούτῳ γὰρ δὴ μάλιστα προσήγετο τοὺς πολλοὺς τῷ κηρύγματι, ὅτι συνέβαινεν ἡ ὄψις τῇ ἀκοῇ, καὶ δι᾽ ἀμφοτέρων τῆς θείας δυνάμεως ἐπέλαμπεν αὐτῷ τὰ γνωρίσματα. τὴν μὲν γὰρ ἀκοὴν, ὁ λόγος· τὴν δὲ ὄψιν τὰ περὶ τοὺς ἀσθενοῦντας ἐξέπληττε θαύματα. ὁ πενθῶν παρεκαλεῖτο· ὁ νέος, ἐσωφρονίζετο· ὁ γηραιὸς τοῖς καθήκουσι λόγοις ἐθεραπεύετο.

A rent, cùm cæteris anteuertiſſet, gratiam præripit rogans magnũ illum virum, vt ſuo hoſpitio vteretur, & introitu domum honeſtaret, quo & auguſtior & in ſequenti ſæculo celebris & memorabilis ea euaderet, tempore etiam ad poſteros memoriam eiuſmodi honoris transmittente. Cum autem multi etiam alij concurrerent, & eadẽ rogarent, æquum eſſe iudicans gratificari ei, qui tempore prior in deferendo officio fuiſſet, cum cæteros benignè ſalutatos verbis honorificis inuicem proſequutus dimiſiſſet, ad priorem diuertit. B Quòd ſi hiſtoria rerum ab eo geſtarum nihil præter rerum narrationem continet & incondita eſt, quòd ſermo noſter conſultò prætermiſerit eas, quæ ſolerti quadã excogitatione adhiberi rebus ſolent, amplificationes & exaggerationes: fuerit etiam hoc non leui apud eos qui recto iudicio res æſtimant, teſtimonio atq; argumento, quod nullo modo de induſtria miracula viri, cuius memoriã celebramus, exaggerentur: ſed rerum eius memoria ſufficiat ad perfectiſſimã laudem: tanquam natiua quædã pulchritudo, quæ nullius C lenocinij ſuperuacua adhibita cura in facie effloreſcit. Cùm autem exiguo numero eſſent, qui ſermonẽ antè audiuiſſent, priuſquã dies prȩteriiſſet, & ſol occidiſſet, adeò multi primo concurſu acceſſerunt, vt ad conſtituedum populum multitudo eorum, qui crediderant, ſatis magna eſſe. Poſtridie eius diei ſimulatq; diluxiſſet, rurſus hominũ multitudo frequens cum vxoribus & liberis, itẽ ſenilis ætas, & quibuſcũque ex dæmonum iniuria, aliáve aliqua vi calamitas corporis acciderat, pro foribus præſto erãt: & ille in medio eorum ad id quod cuique eoD rum, qui cõuenerant, opus erat, ſeſe virtute ſpiritus impertiens, prædicans, vnà diſputans & examinans, admonens, docens, ſanans. Hac enim vtiq; re potiſſimùm multos ad prædicationẽ adducebat, quòd ea, quȩ videbãtur cum iis, quȩ audiebantur, cõgruebant & conueniebant, atque per vtraq; diuinæ virtutis in eo notæ atq; indicia relucebãt. Nam aures quidẽ ſermo, oculos verò ea, quȩ circa infirmos edebãtur, miracula ſtupore & admiratione captos tenebant. Si quis lugeret, cõſolationẽ accipiebat: iuuenis & adoleſcẽs caſtigabatur & emendabatur, modeſtiámque diſcebat: ſenex conuenientibus ætati ſermonibus curabatur.

Serui, vt erga dominos fideles eſſent: qui poteſtatem in alios haberẽt, vt erga ſubditos humanitatem præſtarent, admonebantur. Pauper vnas diuitias eſſe virtutem docebatur: quam omnibus abundè acquirere liceret: ſi quis diuitiis floreret ita, vt par erat, admonebatur, cùm adminiſtrator ac diſpenſator, non dominus eſſe facultatum doceretur. Mulieribus conuenientia atque accommodata: pueris cõpetentia atque vtilia: patribus ipſos decẽtia cum tribueret, & omnibus omnia fieret, & omniũ vicem præſtaret, tantum ſibi auxilio ſpiritus repentè populum adiũxit, vt ad templi fabricationẽ animũ adijceret, cùm omnes offerendo tam pecunias, quàm operas ſuas, ſtudiũ eius adiuuarẽt. Hoc eſt templum, quod vſq; adhuc oſtẽditur: quod magnus ille vir ſtatim aggreſſus veluti fundamentũ quoddã atq; crepidinẽ ſui ſacerdotij initio inſtituit atq; molitꝰ eſt, diuino quodã conatu & auxilio ſupero opus abſoluẽs: quẽadmodum inſequentis temporis teſtimonio comprobatum eſt. Cùm enim grauiſſimus aliquãdo ciuitati noſtris tẽporibus terræ motus accidiſſet, atque omnes propemodũ funditùs periiſſent, omnibus tam publicis, quàm priuatis ędificiis collapſis, diſiectis ac deſolatis: ſolum illud templum illæſum & inconcuſſum manſit. Vt vel per hoc pateat, cum qua vi atq; virtute magnus ille vir res ſuas capeſſeret & aggrederetur. Verùm hæc quidẽ multis temporibus pòſt in teſtimoniũ fidei magni iſtius viri à diuina potentia deſignata ſunt. Tunc autẽ cùm omnes tam illius vrbis incolę, quàm vicini apoſtolicis miraculis obſtupefacti eſſent: & quicquid ab eo vel diceretur vel fieret, diuina virtute & agi & dici credidiſſent: ne ſeculariũ quidem ac temporaliũ controuerſiarum aliud vllum iudicium ſibi magis ratum ac firmũ, maioríſve authoritatis eſſe putabant: ſed omnis quæſtio diſceptatióque, & omnis intricatus & explicatu difficilis negotiorum nexus, illius conſiliis & admonitionib. reſoluebatur & dirimebatur. Vnde cùm cõmuniter vniuerſis, tũ ſingulis illius beneficio tam æquitas rectaque iuris cõſtitutio, quàm pax erat: magnumq; bonorum tum publicè tum priuatim incrementum, nulla malitia, nullá ve fraude mutuam cõcordiam imminuente. Forſitan autem non intempeſtiuum fuerit vnum eius decretum atque ſententiam commemorare:

A δοῦλοι, πρὸς δεσπότας οἰκείως ἔχειν. οἱ κρα-
τοῦντες τοῖς ὑποχειρίοις φιλανθρωπεύεσθαι.
ὁ πενόμενος, ἕνα πλοῦτον εἶναι τὴν ἀρετὴν ἐ-
διδάσκετο, ἥ τις πᾶσι πρόκειται κατ' ἐξου-
σίαν ἡ κτῆσις· ὁ τῷ πλούτῳ κομῶν, κατ' ἀλ-
λήλως ἐνουθετεῖτο, οἰκονόμος εἶναι τῶν προσόν-
των, οὐ κύριος διδασκόμενος· γυναιξὶ τὰ πρό-
σφορα· παισὶ τὰ σύμμετρα· πατράσι τὰ πρέ-
ποντα νέμων, καὶ πάντα πᾶσι γινόμενος, τοσοῦ-
τον ἑαυτῷ λαὸν ἀθρόως τῇ συνεργίᾳ τοῦ πνεύ-
ματος περιεστήσατο, ὥστε πρὸς ναοῦ κατασκευὴν
B ὁρμῆσαι, πάντων χρήμασί τε καὶ σώμασι πρὸς
τὴν σπουδὴν ὑπουργούντων. οὗτος ἐστὶν ὁ ναός,
οὗ τὰς ἀρχὰς ἐκεῖνος τῆς κατασκευῆς κατε-
βάλλετο. ἐπικοσμήσειε δέ τις τὸν μετ' ἐκεῖνον,
ἐκείνου ἀξίως, ὁ μέχρι τοῦ παρόντος δεικνύμενος.
ὃν ὁ μέγας ἐκεῖνος εὐθὺς ἐπιστὰς, οἷόν τινα θεμέ-
λιον καὶ κρηπῖδα τῆς ἰδίας ἱερωσύνης τῷ περι-
φανεστάτῳ τῆς πόλεως ἐναπέθετο, θείᾳ τινὶ δυ-
νάμει τελειώσας τὸ ἔργον, ὡς τῷ μετὰ ταῦτα
μαρτυρεῖται χρόνῳ. σεισμοῦ γάρ ποτε βαρυτά-
του τῇ πόλει ἐν τοῖς καθ' ἡμᾶς χρόνοις γεγενη-
C μένου, καὶ πάντων μικροῦ δεῖν ἄρδην ἀπολω-
λότων, τῶν τε δημοσίων, καὶ τῶν ἰδιωτικῶν οἰκο-
δομημάτων ἁπάντων ἐρειπωθέντων καὶ ἐρημωθέν-
των, μόνος ἔμεινεν ὁ ναὸς ἐκεῖνος ἀρραγής τε
καὶ ἄσειστος. ὡς καὶ διὰ τούτου φανερὸν εἶναι, καὶ μεθ'
οἵας δυνάμεως ὁ μέγας ἐκεῖνος τῶν κατ' αὐτὸν
πραγμάτων ἀντελαμβάνετο. ἀλλὰ ταῦτα μὲν
πολλοῖς ὕστερον χρόνοις εἰς μαρτυρίαν τῆς τοῦ με-
γάλου πίστεως παρὰ τῆς θείας ἀπεδείχθη δυνά-
μεως. τότε δὲ τοῖς ἀποστολικοῖς θαύμασι τῶν τε
κατὰ τὴν πόλιν καὶ τῶν περιοίκων ἁπάντων ἐκπε-
πληγμένων, καὶ πᾶν τὸ παρ' αὐτοῦ λεγόμενόν τε
D καὶ γινόμενον, θείᾳ δυνάμει πράττεσθαί τε καὶ
λέγεσθαι πεπιστευκότων, οὐδὲ τῶν βιωτικῶν ἀμ-
φισβητημάτων, ἄλλο τι δικαστήριον ᾤοντο εἶναι αὐτοῖς
κυριώτερον. ἀλλὰ πᾶσα κρίσις καὶ πᾶσα δυσ-
διεξόδευτος πραγμάτων πλοκὴ, ταῖς ἐκείνου
συμβουλίαις διελύετο. ὅθεν εὐνομία τε καὶ εἰ-
ρήνη κοινῇ τε καὶ πᾶσι καὶ τοῖς καθ' ἕκαστον διὰ
τῆς ἐκείνου χάριτος ἦν. καὶ πολλὴ τῶν ἀγα-
θῶν ἦν ἐπίδοσις, ἰδίᾳ τε καὶ κοινῇ μηδεμιᾶς
κακίας, τὴν πρὸς ἀλλήλους ὁμόνοιαν ἐπι-
σκηπτούσης. οὐκ ἄκαιρον δ' ἂν ἴσως εἴη,
μιᾶς αὐτοῦ κρίσεως μνήμην ποιήσασθαι.

ὡς ἂν κατὰ τὴν παροιμίαν, ὅλον ἡμῖν γένηται καταφανὲς ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα. καὶ γὰρ ἡ θεία γραφὴ πολλὰς τοῦ Σολομῶντος κρίσεις τοῖς ὑπηκόοις δικάσαντος, ἠρκέσθη διὰ μιᾶς, πᾶσαν τοῦ ἀνδρὸς παραστῆσαι τὴν σύνεσιν, ὅτι ταῖς δύο μητράσι δικάζων. ἐπειδὴ ἀνεξέλεγκτον ἦν τὸ ἀδίκημα, κατὰ τὸ ἴσον ἑκατέρας αὐτῶν, τὸ μὲν τεθνηκὸς παιδίον οὐ προσποιουμένης, τοῦ δὲ περιόντος ἀντεχομένης, ἔγνω δι᾽ ἐπινοίας ἀνιχνεῦσαι τὴν κεκρυμμένην ἀλήθειαν. ἐπειδὴ γὰρ ἀμάρτυρον ἦν τὸ ἀδίκημα, καὶ ἰσοστάσιος ἐφ᾽ ἑκατέρων ἦν ἥ τε τοῦ ψεύδους καὶ ἡ τῆς ἀληθείας ὑπόνοια, τὴν φύσιν εἰς μαρτυρίαν τῆς ἀληθείας ἑαυτῷ προεστήσατο, διὰ τῆς σεσοφισμένης ἀπειλῆς τὸν σκοπὸν τῆς διανοίας ἐπικρυψάμενος. προστάξας γὰρ δῆθεν τοῦ τε περιόντος καὶ τοῦ τεθνηκότος τὸ σῶμα κατὰ τὸ ἴσον ξίφει διατμηθέντων ἀμφοτέραις προσνεμηθῆναι τὰ τῶν τέκνων ἡμίτομα, παρέδωκε τῇ φύσει τῆς ἀληθείας τὴν κρίσιν τοῦ πράγματος. ὡς γὰρ ἡ μὲν, ἀσμένως τὸ προστεταγμένον ἐδέξατο, καὶ τὸν δήμιον ἤπειγεν. ἡ δὲ συγκινηθεῖσα τοῖς μητρῴοις σπλάγχνοις, ἡττῆσθαι διωμολόγει, φείσασθαι τοῦ τέκνου παρακαλοῦσα· χαίρειν γὰρ εἶχεν, εἰ ὁπωσοῦν τὸ νήπιον σώζοιτο· τοῦτο κριτήριον τῆς ἀληθείας ὁ βασιλεὺς ποιησάμενος, τῇ κατὰ τὸ ἑκούσιον ἡττηθείσῃ τὴν νικῶσαν ψῆφον χαρίζεται, λογισάμενος ὅτι ἡ ἀφειδοῦσα τῆς τοῦ τέκνου σφαγῆς, κατηγορεῖται παρὰ τῆς φύσεως, καὶ ὡς οὐκ οὖσα μήτηρ ἐκείνου, οὗ κατεπείγει τὸν θάνατον. τίνα τοίνυν καὶ ἡμεῖς κρίσιν τοῦ μεγάλου Γρηγορίου διηγησώμεθα; δύο τινὲς ἀδελφοί, νέοι τὴν ἡλικίαν, ἄρτι τὸν πατρῷον ἐν ἑαυτοῖς διελόμενοι κλῆρον, λίμνης ἀντεποιοῦντο μιᾶς πᾶσαν ἔχειν φιλονεικοῦντες ἑκάτερος, καὶ οὐ παραδεχόμενος τὸν ἄλλον ὁ ἕτερος εἰς κοινωνίαν τῆς κτήσεως. γίνεται οὖν τῆς δίκης κύριος ὁ διδάσκαλος. καὶ κατὰ τὸν τόπον γενόμενος, τοῖς ἰδίοις αὐτοῦ νόμοις ἐκέχρητο πρὸς τὴν δίαιταν. εἰς καταλλαγὰς ἄγων, καὶ συμβιῶναι παρακαλῶν διὰ φιλίας τοὺς νέους, καὶ τὸ τῆς εἰρήνης κέρδος προτιμότερον τῶν ἐκ τῆς προσόδου ποιήσασθαι. τὴν μὲν γὰρ εἰς ἀεὶ παραμένειν καὶ ζῶσι καὶ τελευτήσασι· τῶν δὲ πρόσκαιρον μὲν τὴν ἀπόλαυσιν,

A vt iuxta prouerbium, totus pannus ac tela à nobis ex fimbria cognoſcatur. Etenim cùm multas ſubditorum controuerſias Solomon decretis ſuis & ſententiis interpoſitis diremiſſet, per vnum duntaxat eius decretum ſatis habuit omnem viri prudentiam oſtendere diuina ſcriptura. Cùm inter duas matres ius dicens, quandoquidem iniuria atque improbitas probari atque conuinci non poterat, vtraq; earum pariter mortuum quidē infantem auerſante, ſuperſtitem verò vindicante: ſolertia quadam ac vafro conſilio, latentem veritatem ſtatuit B inueſtigare. Quoniam enim teſtibus improbitas & nequitia carebat, ac par vtrinque tam mendacij, quàm veritatis ſuſpicio erat: naturā ſibi in teſtimonium veritatis adhibuit, per ſimulatas & fictas minas quid ageret & in animo haberet occultans. Cùm enim quaſi iuſſiſſet, vt tàm ſuperſtitis, quàm mortui gladio æqualiter diſſectorum vtrique darentur dimidiatæ filiorum partes, rei veritatis iudicium naturæ permiſit. Vt enim vna quidem libenter id quod imperatum erat, accipiebat, & carnificem vrgebat: altera verò maternis viſceribus cōmota C ſe victam eſſe cōcedebat, rogans vt filio parceretur (gratiā enim ſeſe habituram eſſe aiebat, ſi quouis modo infans ſeruaretur) hoc arbitriū veritatis rex eſſe reputans, ei quæ ſponte ſua ſuccumberet, & vinci ſe pateretur, ſententiā victricem largitur, exiſtimans quòd ea, quæ non curaret filium trucidari, ab natura argueretur, quòd non eſſet mater eius, cuius necē vrgebat. Quam igitur nos contrà magni Gregorij cauſſę cognitionem atque decretum narrabimus? Duo quidam fratres ætate iuuenes, qui paternā hęreditatem nuper inter ſeſe diuiſiſſent, D lacum vnum vindicabant totum vterq; habere contendentes: & neuter alterū in ſocietatem poſſeſſionis admittebat. Permittitur igitur magiſtro litem dirimendi libera poteſtas. qui cùm ad locum (de quo controuerſia erat) veniſſet, ſuis ipſius legibus vtebatur ad arbitrium, quod receperat, diſceptandum, reconciliationem ſuadens, & vt amicè inter ſe concordarent, & pacis lucrum pluris, quàm id quod ex prouētibus caperent, æſtimarent, adoleſcētes adhortās. Nam pacem quidem in perpetuū & viuentibus & mortuis permanere: reditū verò temporarium quidem eſſe vſufructum,

æternam verò ob iniuriam condemnationem, & quæcumque par erat illum dicere reprimentem & cohibentem inſolentiam & immoderatam cupiditatem iuuentutis. Sed poſteaquam adhortatio inefficax erat, & iuuentus æſtuabat & inflammabatur, ac ſpe lucri intumeſcens maiori iracundia exardeſcebat, & exercitus vtrinque ex ſubditis parabatur, & manus cædis auida furore atque iuuentute ducibus vtens inſtruebatur: tempuſque conflictus præſtitutum erat: pridie eius diei, quo prælium vtrinque committendum fuerat, cùm homo Dei ad ripas ſtagni permanſiſſet, noctemque peruigilaſſet, miraculum quoddam Moſaïcum edidit in aqua, non percuſſione virgæ in duas parteis profundum diducens, ſed omnem eum lacum in incultam & vaſtam terram redigens continentem, diluculo oſtendit & aridum & humoris expertem, adeò vt ne in concauis quidem locis aliquas reliquias aquæ haberet, qui ante preces fuſas pelagi inſtar exundaret. Atque ille quidem diuina vi hoc interpoſito decreto, rurſus ſe domum recipiebat. Adoleſcentibus verò rebus ipſis edita ſententia controuerſiam diremit. Cùm enim non eſſet, cuius nomine bellum alter aduerſus alterum parabāt, pax furorem excepit, ac rurſus natura ſeſe in fratribus oſtendit. Atque etiam nunc videre licet diuinæ illius ſententiæ euidentia ſigna. Nam vndique circū illum locum, qui quondam lacus erat, veſtigia quædam aquæ alluuionis & inūdationis adhuc etiā nunc extant Quicquid autem tunc ſubmerſum erat, & in fundo aquę, totum redactum eſt in nemora, loca habitata, prata & arua. Hoc iudiciū, quin primas teneat, ne clarum quidem illum ipſum Solomonem opinor controuerſiam eſſe facturum. Quid enim tantum ad virtutem habet momenti, conſeruaſſe vnum infantem ad vbera duarum mulierum, quarum vtraque ſe matrem eſſe contenderet, adhuc lactentem: cui ad ſalutem prorſus nihil intereſſet, vtrum à matre, an ab altera ſibi alimenta procurarentur: quantam duobus adoleſcentibus tribuiſſe ſalutem? qui nunc (primum) ad negotia ſæculi progreſſi, in vigore iuuentutis circa ipſum ætatis florem, ira ſtimulante eos ad mutuam cædem, cùm alter in alterius perniciem manus armaſſent,

A αἰωνίαν δὲ τῇ ἐπὶ τῇ ἀδικίᾳ κατάκρισιν ἔχειν. καὶ ὅσα εἰκὸς ἦν ἐκεῖνον λέγειν, καταστέλλοντα τὴν ἀταξίαν τῆς νεότητος. ἐπεὶ δὲ ἄπρακτος ἦν ἡ παράκλησις, καὶ ἡ νεότης ἐφλέγμαινεν, καὶ εἰς θυμὸν ἐξεχεῖτο πλείονι τῇ ἐλπίδι τοῦ κέρδους παροιδαίνουσα. καὶ στρατὸς ἑκατέρωθεν ἐκ τῶν ὑποχειρίων παρεσκευάζετο, πολυχειρία φονῶσα θυμῷ καὶ νεότητι στρατηγουμένη, καὶ ὥριστο τῆς συμπλοκῆς ὁ καιρός· μελλούσης δὲ κατὰ τὴν ὑστεραίαν τῆς μάχης ἐξ ἑκατέρων συρρήγνυσθαι, παραμείνας ταῖς ὄχθαις τῆς λίμνης ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ διαμαρτυρήσας ἐν ἀγρυπνίᾳ τὴν νύκτα, Μωσαϊκήν τινα B θαυματουργίαν ἐπὶ τοῦ ὕδατος ἔδειξεν· οὐ πληγῇ ῥάβδου πρὸς δύο τμήματα τὸν βυθὸν διασχίσας, ἀλλ' ὅλην πᾶσαν αὐτὴν ἀθρόως ἀποχερσώσας, ἤπειρον ἔδειξε περὶ τὸν ὄρθρον τὴν λίμνην, ξηράν τε καὶ αὐχμηρὰν, ὡς μηδὲ ἐν τοῖς κοίλοις ἔχειν τι τοῦ ὕδατος λείψανον, τὴν πρὸ τῆς εὐχῆς πελαγίζουσαν. καὶ ὁ μὲν ταῦτα τῇ θείᾳ δυνάμει δικάσας, πάλιν πρὸς ἑαυτὸν ἀνεχώρει· τοῖς δὲ νέοις ἡ ἐκ τῶν ἔργων ἀπόφασις, τὴν φιλονεικίαν διέλυσεν. μὴ γὰρ ὄντος τοῦ ὑπὲρ οὗ τὸν κατ' ἀλλήλων ἐξήρτυον πόλεμον, εἰρήνη τὸν θυμὸν διεδέξατο, καὶ πάλιν ἑαυτὴν ἐν τοῖς ἀδελφοῖς ἡ φύσις C ἐγνώρισε. καὶ νῦν ἔστιν ἰδεῖν, τῆς θείας ἐκείνης ἀποφάσεως ἐναργῆ τὰ σημεῖα. κύκλῳ γὰρ τῆς ποτὲ λίμνης ἴχνη τινὰ τῆς τοῦ ὕδατος ἐπικλύσεως, εἰς ἔτι καὶ νῦν διασώζεται. τὸ δὴ ὅσον βύθιον ἦν, τότε καὶ ἐν τῷ πυθμένι τοῦ ὕδατος, ἅπαν μετεσκευάσθη, εἰς ἄλση, καὶ οἴκησιν, καὶ λειμῶνας, καὶ ἀρούρας. ταύτης οἶμαι τῆς δίκης, μηδ' ἂν αὐτὸν ἐκεῖνον τὸν ὀνομαστὸν Σολομῶντα, τῶν πρωτείων ἀμφισβητῆσαι. τί γὰρ τοσοῦτον εἰς ἀρετὴν, ἀποσῶσαι τὸ τῶν μητρῴων δύο μαζῶν βρέφος ἐν- D υπομάζιον· ᾧ τὸ ἴσον ἦν πάντως εἰς σωτηρίαν, εἴτε παρὰ τῆς γεγεννημένης, εἴτε καὶ παρὰ τῆς ἑτέρας ἑαυτῷ τὰ τῆς ἀνατροφῆς ἐσπουδάζετο. ἢ δύο νεανίας βραβεῦσαι τὴν σωτηρίαν; οἳ νῦν ἐπὶ τὰ τοῦ βίου πράγματα παρελθόντες, ἐν ἀκμῇ τῆς νεότητος, κατ' αὐτὸ τῆς ἡλικίας τὸ ἄνθος ὑπὸ θυμοῦ πρὸς τὸν κατ' ἀλλήλων φόνον αὐτοῖς παροιστρήσαντες, ἔμελλον θέαμα πικρὸν τοῖς τότε μετ' ὀλίγον ἐπιδειχθήσεσθαι,

κατ' ἀλλήλων τὰς χεῖρας ὁπλισάμενοι. ἐφ' ὧν ἐλπὶς ἦν, ἢ ἀμφοτέρους ὑπ' ἀλλήλων φθαρῆναι, ἢ τὸν ἕνα γενέσθαι πάντως ἐν τῷ τῆς ἀδελφοκτονίας μιάσματι; ἵνα παρῶμαι τοὺς ἑκατέροις τούτων συμπαραταξαμένους ἐν τῷ ἴσῳ θυμῷ, οἷς εἷς ὅρος τῆς κατ' ἀλλήλων ὁρμῆς, ὁ τῶν ἀντιτεταγμένων θάνατος ἦν. ὁ τοίνυν ἤδη κατ' αὐτῶν κυρωθεῖσαν ὑπὸ τῆς τοῦ πονηροῦ στρατηγίας τὴν τοῦ θανάτου ψῆφον διὰ τῆς εὐχῆς ἀναλύσας, καὶ τὴν φύσιν πάλιν πρὸς ἑαυτὴν καταλλάξας, καὶ μεταβαλὼν εἰς εἰρηνικὰς εὐφροσύνας τὴν περὶ τοὺς φόνους σπουδήν· πόσῳ μᾶλλον εἰκότως ἐπὶ τῇ κρίσει θαυμάζοιτο, παρὰ τὸν τὴν κακουργίαν τῆς ἑταιρίδος φωράσαντα; τὸ γὰρ ἐπὶ τῷ ὕδατι θαῦμα, πῶς ἀθρόως εἰς χέρσον μετεσκευάσθη τὸ πλώιμον. καὶ πεδίον ἐγένετο, καὶ κοῖλον ἡ λίμνη. καὶ πῶς ἡ ἀντὶ θαλάσσης οὖσα τῷ τόπῳ τὸ πρότερον, νῦν πρὸς καρπῶν ἄνεισι φοράν· τοῦτο σιγᾶν οἶμαι καλῶς ἔχειν μᾶλλον, ἢ διεξιέναι τῷ λόγῳ, μὴ δυναμένῳ κατ' ἀξίαν συναρθῆναι τῷ διηγήματι. τί γὰρ τοιοῦτον ἐν τοῖς ἀναγράπτοις θαύμασι μεμαθήκαμεν, ὡς δύνασθαι εἰς ἴσον ἐλθεῖν τούτῳ διὰ συγκρίσεως; ἔστησεν ὁ τοῦ Ναυὴ Ἰησοῦς τὸ τοῦ Ἰορδάνου ῥεῖθρον· ἀλλ' ἕως ἡ κιβωτὸς ἦν ἐν τῷ ὕδατι. περαιωθέντος δὲ τοῦ λαοῦ καὶ τῆς κιβωτοῦ διαβάσης, ἀπέδωκε πάλιν τῷ ῥεῖθρῳ τὸ σύνηθες. γυμνοῦται τοῦ ὕδατος ἐν τῷ ἐρυθραίῳ πελάγει τὸ τοῦ βυθοῦ ὑποκείμενον, ἀπωσθείσης ὑπὸ τοῦ πνεύματος ἐπὶ τὰ πλάγια τῆς θαλάσσης. ἀλλὰ ὁ χρόνος τοῦ θαύματος ἦν, ἡ τοῦ στρατοῦ πάροδος, ἡ διὰ τοῦ ξηροῦ κατὰ τὸν βυθὸν γινομένη. μετὰ τοῦτο δὲ πάλιν μία τοῦ ὕδατος ἡ ἐπιφάνεια γίνεται· καὶ τὸ πρὸς ὀλίγον διαιρεθὲν συνεκλύσθη. ἐνταῦθα δὲ τὸ ἅπαξ γενόμενον ἔμεινεν οἷον ἐγένετο, ὡς μὴ ἀπιστεῖσθαι τῷ χρόνῳ τὸ θαῦμα, διὰ τῶν φαινομένων εἰς τὸ διηνεκὲς μαρτυρούμενον. τὰ μὲν δὴ κατὰ τὴν λίμνην λεγόμενά τε καὶ δεικνύμενα, τοῦτον ἔχει τὸν τρόπον. ἕτερον δὲ μετὰ τοῦτο θαῦμα τοιοῦτον παρ' αὐτοῦ δείκνυταί τε καὶ μνημονεύεται· ποταμός τις παρ' αὐτοῖς διαρρεῖ τὴν χώραν· αὐτῷ τῷ ὀνόματι τὸ τραχὺ καὶ ἀνήμερον ἐπισημαίνων τοῦ ῥεύματος. λύκος γὰρ, διὰ τὸ βλαπτικὸν εἶναι,

A acerbum hominibus illius ætatis ſpectaculum paulò pòſt edituri erant? in quibus periculum erat, ne vel ambo mutuis cædibus conficerētur, vel alter omnino ſe fraterna cæde contaminaret? vt prætermittam eos qui vnà cum vtroque horum pari furore in acie ſtarent, quorum aliorum aduerſus alios conatus, ad id vnum ſpectabat, vt aduerſarios morte afficeret. Qui igitur iam decretam à mali illius prætoris cōcilio aduerſus eos mortiferam ſententiam per preces reſcidit, & naturam rurſus ſecum reconciliauit, & cædis ſtudium in pacificam lætitiam B conuertit: quanto magis is iure admiratione dignus nomine cognitionis & decreti videri debet, quàm is, qui meretriculæ fraudem deprehendit? Nam quod in aqua editum eſt miraculum, qua ratione repentè in terrā incultam ea, quæ nauigabilis eſſet, tranſmutata, lacus in campum depreſſum redactus ſit: item quo pacto id quod pro mari illi loco prius eſſet, nunc eò redactū ſit, vt fructus producat: id tacere atque ſilentio prætererire conſultius eſſe puto, quàm perſequi oratione, quæ ſe vnà cum dignitate & amplitudine rei, quæ narretur, erigere C non poſſit. Quid enim eiuſmodi didicimus in iis miraculis, quę literis mādata atq; perſcripta ſunt, quod huic comparando par fieri poſſit? Inhibuit Ieſus filius Naue curſum fluminis Iordanis: ſed quamdiu arca erat in aqua. Tranſgreſſo autē populo, atq; arca traducta, reddidit rurſus amni curſum conſuetum. Aqua nudatur in ſinu rubro ſolum profundo ſubiectū, ad vtrumq; latus à ſpiritu mari ſummoto. Sed miraculum tantiſper durabat, dū exercitus, qui in profundo per aridam ibat, traduceretur: poſtea verò rurſus vna aquæ facies apparuit, atq; ea, quę ad exiguum tempus diducta fuerat, D rurſus contracta atque confuſa eſt. Hic verò quod ſemel acciderat, ſicuti factū erat, ita manſit: adeò vt ne fides quidem miraculo, quod ſancti illius precum efficacia editum eſt, diuturnitate temporis abrogari poſſit, quippe ſigna apparentia rem geſtam in perpetuum teſtantur. Atque ea, quæ de lacu quidem & dicuntur oſtenduntur, ita ſe habent. Alterum verò ſecundum hoc miraculum eiuſmodi ab eo factum & oſtenditur & memoratur. Amnis quidā per regionē illorum fluit, ipſo nomine aſperitatem & inclementiam fluminis præ ſe ferens, λύκος enim, id eſt, lupus, eò quòd noxius eſſe ſoleat,

ab accolis cognominatur. Hic copioſus quidem & vehemens etiam ex fontibus delabitur, Armenia per impendentes montes largum ei flumen ſuppeditante. Profundus autem vbique & aluco depreſſo rupium ac præcipitiorum præruptorum ſaxorum radices ſubterfluens, multò magis voraginibus hybernis exaſperatur, omneis ex mōtibus confluenteis aquas in ſe recipiens. Sed in ſupina patentique ac plana regione, per quam excurrit, dum crepidinibus & molibus iactis vtrinque frequenter coarctaretur, in parte quadam ſuper ripas effundebatur, omne ſubiectū ſolum vndis ex tranſuerſo inuoluens, adeò vt crebra nec opinantibus accolis loci pericula inueherentur, nocte ſæpe intēpeſta, aut etiam interdiu flumine agros inuadēte. Vnde non plantæ modò, & ſegetes & pecora aquarum impetu peribant, verumetiam ad ipſos habitatores periculum perueniebat, quippe ex improuiſo aquis inundantibus veluti naufragio quodam in propriis ædibus opprimebantur. Cùm igitur fama miraculorum antè à magno iſto viro editorum per vniuerſam nationem increbuiſſet, ac diuulgata eſſet: qui illam partem fluminis accolebāt, vulgò domo profecti vniuerſi viri ſimul cum vxoribus & liberis ſupplices magno illi viro fiunt, rogantes vt aliquod eis ex inſperato malorū remedium quæreret & excogitaret. Omnia enim in eo Deum poſſe, quæcumq; cogitationibus atque rationibus humanis confici & explicari non poſſent. Nihil enim ab ſeſe eorum quæ pertinent ad conſilium & vires humanas prætermiſſum eſſe, ſaxorum molibus & aggeribus obijciendis, & ſi quid aliud aduerſus eiuſmodi mala excogitari ſolet, omnia expertos eſſe, & aduerſus impetum mali reſiſtere non potuiſſe. Ac quo maximè ad miſericordiā ab iis adduceretur, rogabant, vt ipſe inſpector calamitatis eſſe vellet, atq; cognoſcere, quod fieri non poſſet vt habitationem transferrent: quodque omni tempore mors eis ab impetu fluminis immineret. Cum igitur ad locum veniſſet (nulla enim ei pigritia atque deſidia ad ſtudium boni impedimēto erat) neque vehiculo præterea, nec equis, neque alia re quapiam, qua (commodè) transuehi poſſet, vſus eſſet: ſed baculo quodam innitens, totum iter cōfecit, ſimul etiam cum comitibus ſuis & ſociis itineris de ſublimi

A παρὰ τῶν προσοικούντων ἐπονομάζεται. οὗτος πολὺς μὲν καὶ ἐκ τῶν πηγῶν καταφέρεται τῆς Ἀρμενίας, τῆς χώρας αὐτῷ διὰ τῶν ὑπερκειμένων ὀρῶν δαψιλὲς ἐπιχορηγούσης τὸ ῥεῖθρον. κοῖλος δὲ πανταχοῦ ταῖς ὑπωρείαις τῶν κρημνῶν ὑπορρέων πολὺ μᾶλλον ταῖς χειμερίαις χαράδραις ἀποτραχύνεται, πάσας εἰς ἑαυτὸν τὰς ἐκ τῶν ὀρῶν συῤῥοίας ὑπολαμβάνων. ἐν δὲ τῷ ὑπτίῳ τῆς χώρας, δι' ἧς διεξέρχεται, πολλάκις ταῖς ἑκατέρωθεν κρηπῖσι στενοχωρούμενος, κατά τι μέρος ὑπερχεῖται τῆς ὄχθης, κατὰ τὸ πλάγιον, ἅπαν ἐπικλύζων τῷ ῥεῖθρῳ τὸ ὑποκείμενον·
B ὥστε συνεχεῖς κατὰ τὸ ἀπροσδόκητον τοῖς περιοικοῦσι τῷ τόπῳ τοὺς κινδύνους ἐπάγεσθαι, ἀωρὶ τῶν νυκτῶν, ἢ καὶ μεθ' ἡμέραν πολλάκις τοῦ ποταμοῦ τοῖς ἀγροῖς ἐπεμβαίνοντος· ὅτε οὐ φυτὰ μόνον καὶ σπέρματα, καὶ βοσκήματα τῇ τῶν ὑδάτων φορᾷ διεφθείρετο, ἀλλὰ καὶ αὐτοῖς ἤπλετο τῶν οἰκητόρων ὁ κίνδυνος, ἀπροόπτως ἐν τῇ ἐπικλύσει τοῦ ὕδατος ἐν ταῖς οἰκίαις ναυαγούντων. τῶν τοίνυν προκατορθωθέντων τῷ μεγάλῳ θαυμάτων, εἰς ἅπαν διαπεφοιτηκότων τὸ
C ἔθνος, διαναστάντες οἱ κατὰ τὸ μέρος ἐκεῖνο τῷ ποταμῷ προσοικοῦντες, ἄνδρες καὶ γυναῖκες, καὶ παῖδες πανδημεὶ πάντες, ἱκέται τοῦ μεγάλου γίνονται, δεόμενοι λύσιν αὐτοῖς τινὰ τῶν κακῶν ἐξ ἀνελπίστων πορίσασθαι. ἅπαντα γὰρ ἐν αὐτῷ τὸν Θεὸν ἔλεγε δύνασθαι, ὅσα ταῖς ἀνθρωπίναις ἐπινοίαις καὶ διανοίαις ἐστὶν ἀμήχανα. μηδὲν γὰρ τῶν εἰς βουλήν τε καὶ δύναμιν ἀνθρωπίνην ἡκόντων, παρ' αὐτῶν ἐλλειφθῆναι. λίθοις καὶ χώμασι, καὶ εἴ τι ἄλλο πρὸς τὰ τοι-
D αῦτα τῶν κακῶν εἴωθεν ἐπινοεῖσθαι, πάντα πεποιηκότων, καὶ ἀντισχεῖν πρὸς τὴν τοῦ κακοῦ μὴ δυνηθέντων φοράν, καὶ ὡς ἂν μάλιστα παρ' αὐτοῦ ἐναχθείη πρὸς ἔλεον, αὐτόπτην ἠξίουν γενέσθαι τῆς συμφορᾶς, καὶ μαθεῖν ὡς οὔτε δυνατῶς εἶχον μεταθεῖναι τὴν οἴκησιν, καὶ ὅτι πάντοτε αὐτοῖς ὁ θάνατος ἐπὶ τῇ ὁρμῇ κεῖται τοῦ ὕδατος. γενόμενος τοίνυν κατὰ τὸν τόπον· οὐδεὶς γὰρ ὄκνος αὐτῷ τὴν πρὸς τὸ ἀγαθὸν σπουδὴν διεκώλυσεν· οὔτε ὀχήματος, οὔτε ἵππων, οὔτε ἄλλου τινὸς τῶν διαγαγεῖν αὐτὸν δυναμένων προσδεηθείς· ἀλλὰ βακτηρίᾳ τινὶ στηριζόμενος, πᾶσαν διανύει τὴν ὁδὸν, καὶ ἅμα πρὸς φι-

λοσοφῶν τοῖς τῆς ὁδοῦ κοινωνοῦσιν αὐτῷ περὶ τῆς ὑψηλοτέρας ἐλπίδος. ἐν οἷς ἀεὶ κατὰ τὸ προηγούμενον διατρίβων, τὰ ἄλλα πάρεργα τῆς προηγουμενωτέρας ἐποιεῖτο σπουδῆς. ὡς οὖν ὑπεδείχθη παρά τινων τῶν προκαθηγησαμένων ἡ τοῦ ῥείθρου παρεκτροπὴ, καὶ αὐτὸ τὸ φαινόμενον τὴν συμφορὰν διηρμήνευσεν, εἰς βαθεῖαν χαραδρωθέντος τοῦ τόπου φάραγγα διὰ τῆς τῶν ὑδάτων ἐμπτώσεως. ταῦτά φησι πρὸς τοὺς συνειλεγμένους· Οὐκ ἔστιν ἀνθρώπων, ἀδελφοὶ, τὸ διαλαμβάνειν ὅροις τὴν τοῦ ὕδατος κίνησιν· μόνης τῆς θείας δυνάμεως ἔργον τὸ τοιοῦτόν ἐστιν, ἐντὸς ὅρων κατακλείειν τὴν τῶν ὑδάτων φοράν. οὕτως γάρ φησι πρὸς τὸν Θεὸν ὁ προφήτης· ὅτι ὅριον ἔθου, ὃ οὐ παρελεύσονται. μόνῳ τῷ δεσπότῃ τῆς κτίσεως Χριστῷ ἡ τῶν στοιχείων φύσις ἐστὶν ὑποχείριος, ἐν οἷς ἂν ταχθῇ τόποις, εἰς τὸ διηνεκὲς παραμένουσα. ἐπεὶ τοίνυν ὁ Θεός ἐστιν ὁ νομοθετῶν τοὺς ὅρους τοῖς ὕδασι, μόνος ἂν ἐκεῖνος τῇ ἰδίᾳ δυνάμει, καὶ τοῦ ποταμοῦ τούτου τὴν ἀταξίαν πεδήσειεν. εἶπεν, καὶ δὴ ἔνθους ἐξ ἐπιπνοίας θειοτέρας γενόμενος, καὶ μεγάλῃ τῇ φωνῇ τὸν Χριστὸν αὐτῷ σύμμαχον πρὸς τὸ προκείμενον ἐλθεῖν ἐπευξάμενος, καταπήγνυσι τὴν βακτηρίαν ἣν διὰ χειρὸς ἔφερεν, κατὰ τὸν διεφθορότα τόπον τῆς ὄχθης. διάβροχος δὲ οὖσα κατ' ἐκεῖνο ἡ γῆ καὶ σομφάδης, ῥᾳδίως ὑπενόστησε κατὰ τὸ βάθος, τῷ τε βάρει τῆς βακτηρίας ἅμα καὶ τῇ χειρὶ τοῦ πηγνύντος ὑπείξασα. εἶτα τοῦτο καθάπερ τι κλεῖθρον γενέσθαι καὶ κώλυμα τῆς τῶν ὑδάτων ἀταξίας τῷ Θεῷ ἐπευξάμενος, πάλιν ὑπέστρεφεν, ἔργῳ δείξας ὅτι πᾶν τὸ παρ' ἐκείνου γινόμενον, ὑπὸ θείας ἐνηργεῖτο δυνάμεως. εὐθὺς γὰρ οὐ μετὰ πολὺν χρόνον, ἡ μὲν βακτηρία ταῖς ὄχθαις ἐρριζωθεῖσα, δένδρον ἐγένετο· τῷ δὲ ῥείθρῳ τὸ φυτὸν ὅρος ἐπάγη, καὶ μέχρι τοῦ νῦν τοῖς ἐπιχωρίοις θέαμα γίνεται τὸ φυτὸν καὶ διήγημα. ὅταν γὰρ ἐξ ἐπομβρίας τε καὶ χειμάρρων ὁ Λύκος ἐκεῖνος πλημμυρῶν κατὰ τὸ σύνηθες καὶ τραχυνόμενος φέρηται, φοβερὸς ἐπικαχλάζων τῷ ῥεύματι· τότε περὶ τὸν πυθμένα τοῦ δένδρου κατὰ τὸ ἄκρον ἐπιψαύσας τῷ ὕδατι, πάλιν ὀγκωθεὶς κατὰ τὸ μέσον συστέλλει τὸ ῥεῖθρον, καὶ δὴ φοβούμενος ἐμπελάσαι τῷ δένδρῳ, κυρτῷ τῷ

A ſpe ſerios & philoſophicos cōferens ſermones. In quibus ſe præcipuè ſemper exercens, & in primis rationem eorū habens, cætera acceſſoria potioris ſtudij non magnoperè curanda eſſe exiſtimabat. Vt igitur & ab iis qui etiam antè duces itineris fuerāt, oſtenſus eſt locus, vbi flumen ruptis aggeribus ab ſuo curſu deflexerat, & id ipſum quod apparebat, cladem declarabat: quippe eruptione atque impetu aquarū in profundam voraginē locus excauatus erat: his verbis vſus eſt ad eos, qui cōuenerant: Non eſt hominum, fratres, inquit, regere termi-
B nis atque diſtinguere motum aquæ: ſolius diuinæ potentiæ id opus eſt, intra terminos concludere atq; coërcere curſum aquarum. Ita enim ait ad Deum Propheta: Poſuiſti terminū, quem non tranſibit. Soli Domino creaturę Christo *Pſal. 103.* elementorum natura ſubdita atque obnoxia eſt, in quibuſcumque locis collocata fuerit, in his in perpetuum permanens. Quoniam igitur Deus eſt qui terminos aquis conſtituit, ſolus ille ſua potentia etiam huius fluminis inſolentem & inordinatum curſum coërcere & im-
C pedire poſſit. Dixit, ac tanquam afflatu diuino animo conſternatus, ac magna voce Chriſtū, vt ſibi ad propoſitum opus ſubſidio veniret, precatus, ſcipionem quem manu tenebat, incorrupto ripæ loco defigit. Cùm autē circa illam partem terra madida, mollis ac laxa eſſet, & ponderi baculi ſimul & manui figentis cedēs, facilè ſubſedit ad imum. Deinde precatus, vt hoc veluti clauſtrum quoddam & impedimentum inſolentis & inordinati curſus aquarum eſſet, retrò domum reuerſus eſt, reipſa demonſtrans, quòd quicquid ab ſeſe fieret, à diuina
D potētia adminiſtraretur. Protinus enim haud multo tempore pòſt, baculus quidem radicibus in ripa actis, arbor euaſit. Flumini verò hæc planta pro termino fixa eſt, eaque ad hoc vſque tempus incolis locis cùm ſpectaculo eſt, tum narrationis & cōmemorationis argumentū præbet. Cùm enim crebris imbribus atque torrentibus (amnis) ille Lycus inundans ex conſuetudine & aſper, rapidúſque vndarum ac fluctuū ſe inuicem collidentium ſtrepitu terribilis fertur: tunc ſummis aquis imas arboris radices alluens, rurſus intumeſcens in medium alucū contrahit vndas, ac quaſi metuens arbori appropinquare curuo flumine lo-

cum illum præterlabitur. Talis magni Gregorij virtus fuit, imò verò Dei, qui miracula per illũ edebat. Nam perinde ac ſi mancipium quoddã eſſet elementorum natura, ad arbitrium iubentis immutari videbatur, vt & lacus in frugiferum agrum conuerteretur, & voragines eluuieſq. fluminis, ſcipione ſecuritatem futuram accolis ſpondente habitarentur. Nomen autem arbori vſque ad hoc tempus eſt, ſcipio: quod pro monumẽto Gregorij beneficij atque virtutis, ab incolis loci in omni tẽpore ſeruatur. Quid ex propheticis miraculis his rebus ex aduerſo comparando opponi vis? dicam Iordanis ſectionem, quam percuſſione pellis ouillę ante aſcenſionẽ fecit Helias, & poſt illum Eliſæus hæres & pellis & ſpiritus illius? At tempore horum prophetarum, cùm vſu poſcente aqua ſciſſa eſſet, accidit, vt ipſi ſoli Prophetæ per flumen Iordanis tranſire poſſent, cùm tamdiu amnis ille in ſeſe flumen diduxiſſet, dum ſiccis pedibus per aridum alueum Prophetæ tranſirent. Inſequẽti verò tempore reliquiſq; hominibus talis erat, qualis etiam ante tranſitũ illorum: Lycus autem ille ſemel ab inſolenti atq; inordinato curſu repulſus, recens in perpetuum Gregorij miraculũ facit, omni conſequuto tempore talis manens, qualem eum magni illius fides, quo tempore miraculũ edebatur, effecit. Nam propoſitum rei gerendæ non eò ſpectabat, vt qui viderent obſtupeſcerent: ſed vt accolæ fluminis ſeruarẽtur. Itaque cùm par ſit miraculum (cedit enim ex æquo natura aquæ tam Prophetis, quam imitatori Prophetarum) ſi ingenuè dicere (id quod res eſt) oportet: maior in huius, quàm in illorum facto humanitas eſt, per quod ſalus accolis in tuto collocata eſt, cùm aqua circa illã partem fluminis ſemel coërcita atque repreſſa etiam in poſterum permanſerit immota. Poſteaquam autẽ eiuſmodi miraculorum, quę virtute fidei in Chriſtum fieri credebantur, fama in omneis partes regionis dimanante, omnes illius fidei, quæ talium miraculorum teſtimonio comprobaretur, participes eſſe cupiebant, & vbique prædicatio procedebat, myſterium (ſtrenuè) exercebatur, ſtudium boni intendebatur: quippe apud omneis ſacerdotium conſtituebatur, vt per omnia fides

A κύματι παραμείβει τὸν χῶρον. τοιαύτη τοῦ μεγάλου Γρηγορίου ἡ δύναμις, μᾶλλον δὲ τοῦ Θεοῦ τοῦ ἐνεργοῦντος ἐν ἐκείνῳ τὰ θαύματα. καθάπερ γὰρ ὑποχείριά τις οὖσα τῶν στοιχείων ἡ φύσις, ἐδείκνυτο πρὸς τὸ δοκοῦν ἀλλοιουμένη τοῖς ἐπιτάγμασιν, ὥστε λίμνην μὲν εἰς πυροφόρον χώραν μεταποιηθῆναι, τὰς δὲ χαράδρας τοῦ ὕδατος οἰκισθῆναι, τῆς βακτηρίας ἐγγυωμένης τὸ ἀσφαλὲς τοῖς οἰκήτορσιν· ὄνομα δὲ μέχρι τοῦ νῦν ἐστι τῷ δένδρῳ, ἡ βακτηρία, μνημόσυνον τῆς Γρηγορίου χάριτος καὶ δυνάμεως τοῖς ἐγχωρίοις ἐν παντὶ τῷ χρόνῳ σωζόμενον. B τί βούλει τούτοις τῶν προφητικῶν θαυμάτων ἀντιπαρατεθῆναι διὰ συγκρίσεως; εἴπω τὴν τοῦ Ἰορδάνου τομήν, ἣν τῇ πληγῇ τῆς μηλωτῆς ὁ Ἠλίας πρὸ τῆς ἀνόδου πεποίηται, καὶ μετ' αὐτὸν Ἐλισσαῖος ὁ κληρονόμος τῆς μηλωτῆς καὶ τοῦ πνεύματος· ἀλλ' ἐπὶ τούτων, μόνοις τοῖς προφήταις ἐπὶ τοῦ καιροῦ τῆς χρείας σχισθέντος τοῦ ὕδατος διὰ τοῦ ῥεύματος διαβατὸς ὁ Ἰορδάνης ἐγένετο, τοσοῦτον διασχὼν ἐν ἑαυτῷ τὸ ῥεῖθρον, ὅσον τοῖς ποσὶ παραγαγεῖν τὸν προφήτην, διὰ ξηροῦ τοῦ πυθμένος ἐνδιαδεδύσαι· C τῷ δὲ ἐφεξῆς χρόνῳ καὶ τοῖς λοιποῖς τῶν ἀνθρώπων τοιοῦτος ἦν, οἷος καὶ πρόσθεν ἦν· λύκος ἐκεῖνος ἅπαξ ἀπωσθεὶς τῆς ἀτάκτου φορᾶς, εἰς τὸ ἀεὶ τὸ θαῦμα τοῦ Γρηγορίου ποιεῖ, παντὶ τῷ ἐφεξῆς χρόνῳ τοιοῦτος μένων, οἷον αὐτὸν ἡ τοῦ μεγάλου πίστις ἐν τῷ καιρῷ τῆς θαυματουργίας ἐποίησεν. ὁ σκοπὸς δὲ τῶν γινομένων οὐχὶ ἡ τῶν ὁρώντων ἔκπληξις ἦν· ἀλλ' ἡ τῶν προσοικούντων τῷ ποταμῷ σωτηρία. ὥστε τοῦ θαύματος τὸ ἴσον ἔχοντος· ὑποχωρεῖ γὰρ καὶ τοῖς προφήταις, καὶ τῷ μιμητῇ τῶν προφητῶν κατὰ τὸ ἴσον ἡ τοῦ ὕδατος φύσις· D εἰ χρὴ μετὰ παρρησίας εἰπεῖν, πλεονεκτεῖ τῷ φιλανθρώπῳ τὸ παρὰ τούτου γενόμενον, δι' οὗ τῶν προσοικούντων ἡ σωτηρία κατησφαλίσθη, τοῦ ὕδατος πεδηθέντος ἅπαξ κατ' ἐκεῖνο τοῦ ῥεύματος, καὶ ἀκινήτου πρὸς τὸ ἐφεξῆς διαμένοντος. ἐπεὶ δὲ πανταχοῦ τῆς χώρας, τῶν τοιούτων θαυμάτων διαφοιτώντων, τῇ δυνάμει τῆς εἰς Χριστὸν πίστεως ἐνεργεῖσθαι πεπιστευμένων, καὶ πάντες μετέχειν ἐπεθύμουν ἐκείνης τῆς πίστεως τῆς ὑπὸ τῶν τοιούτων μαρτυρουμένης θαυμάτων, καὶ πανταχοῦ προῄει τὸ κήρυγμα, καὶ ἐνεργὸν ἦν τὸ μυστήριον, καὶ ἡ σπουδὴ πρὸς τὸ ἀγαθὸν ἐπετείνετο, τῆς ἱερωσύνης παρὰ πᾶσι καθισταμένης, ὡς ἂν διὰ πάν-

των ἡ πίστις πλεονάζοι καὶ αὔξοιτο· γίνεται οὖν πρεσβεία πρὸς αὐτὸν ἐκ πόλεως τινὸς ἀστυγείτονος, ἐλθεῖν πρὸς αὐτούς, καὶ τὴν παρ' αὐτοῖς ἐκκλησίαν διὰ τῆς ἱερωσύνης συστήσασθαι. Κόμανα δὲ τῇ πόλει τοὔνομα, ἣ ἐπιξενωθῆναι τὸν μέγαν ἠξίουν πανδημεὶ πάντες τὴν χάριν αἰτούμενοι. γενόμενος τοίνυν παρ' αὐτοῖς καὶ συνδιαγαγὼν ἡμέρας τινάς, καὶ μᾶλλον αὐτοῖς τὴν περὶ τὸ μυστήριον ἐπιθυμίαν ἐξάψας οἷς ἐποίει τε καὶ ἐφθέγγετο· ἐπειδὴ καιρὸς ἦν καὶ τῆς πρεσβείας αὐτοὺς εἰς πέρας ἐλθεῖν, καὶ ἀναδειχθῆναι τινὰ τῆς παρ' αὐτοῖς ἐκκλησίας ἀρχιερέα. τότε τῶν μὲν ἐν τέλει πάντων αἱ γνῶμαι, τοὺς περιέχειν δοκοῦντας λόγῳ τε καὶ γένει, καὶ τῇ λοιπῇ περιφανείᾳ περιεργάζοντο. ᾤοντο γὰρ ἐπειδὴ καὶ ταῦτα περὶ τὸν μέγαν Γρηγόριον ἦν, μηδὲ τούτων δεῖν ἄμοιρον εἶναι, τὸν ἐπὶ τὴν χάριν ταύτην ἐρχόμενον. πολλαχῇ δὲ ταῖς ψήφοις μεριζομένων, καὶ ἄλλων ἄλλον προαιρουμένων, ἀνέμενεν ὁ μέγας θεόθεν αὐτῷ γενέσθαι τινὰ πρὸς τὸ προκείμενον συμβουλήν. καὶ καθὼς ὁ Σαμουὴλ μνημονεύεται, μὴ καταπλαγῆναι κάλλος σωμάτων καὶ μέγεθος ἐν τῇ τῆς βασιλείας κρίσει· ἀλλὰ ψυχὴν ἐπιζητεῖν βασιλικήν, κἂν ἐν καταφρονουμένῳ σώματι τύχῃ· τὸν αὐτὸν τρόπον κἀκεῖνος, τὰς περὶ ἑκάστου τῶν ἐψηφισμένων σπουδὰς παραβλέπων, πρὸς ἓν ἀφεώρα μόνον, εἴ τις καὶ πρὸ τῆς ἀνακηρύξεως, δι' ἐπιμελείας βίου καὶ ἀρετῆς, ἐν τῷ τρόπῳ τὴν ἱερωσύνην φέροι. ὡς δὲ οἱ μὲν προῆγον τοὺς ὑποψηφισμένους μετ' ἐγκωμίων, ἕκαστος τὸν παρ' αὐτοῦ προβαλλόμενος. ὁ δὲ καὶ πρὸς τοὺς εὐτελεστέρους κατὰ τὸ τοῦ βίου σχῆμα βλέπειν ἐκελεύετο. δυνατὸν γὰρ εἶναι καὶ ἐν τοῖς τοιούτοις εὑρεθῆναι τινὰ τῶν περιφανεστέρων τῷ βίῳ κατὰ τὸν πλοῦτον τῆς ψυχῆς ὑψηλότερον, ὕβριν ᾠήθη τις τῶν προεστηκότων τῆς ψήφου, καὶ χλευασμὸν τὴν τοιαύτην τοῦ μεγάλου κρίσιν, εἰ τῷ λόγῳ καὶ τῷ ἀξιώματι, καὶ τῇ φαινομένῃ τοῦ βίου μαρτυρίᾳ κεκριμένων τῶν ἄλλων, μηδενὸς ἐπὶ τὴν ἱερωσύνην παραδεχθέντος, ἐκ τῶν βαναύσων πρός τινα τοιαύτην χάριν νομίζοιν-

A creſceret & augeretur: idcirco ex finitima quadam ciuitate mittitur ad eum legatio, vt veniret ad ipſos, & Eccleſiam, quæ eſſet apud eos, ſacerdote deſignato conſtitueret. Comana autem ciuitati nomen erat: cuius vt hoſpes magnus iſte vir eſſe vellet, vulgò omnes hanc veniam ſibi dari petentes orabant. Cùm veniſſet ergo ad eos, & aliquot dies vnà conuerſatus tum dictis, tum factis ſuis magis eorũ ſtudium erga myſterium incendiſſet, cùm iam tempus eſſet etiam id negotium, propter quod legati ad eum miſſi erant, ad exitum de-
B ducendi, ac deſignandi aliquem eorum Eccleſiæ primarium ſacerdotem: tunc principum quidem & magiſtratuũ ciuitatis omnium ſententiæ in hoc occupatæ erant, vt anxiè atque curioſè inquirerent ac ſciſcitarentur, qui eloquentia, qui genere, reliquóque vitæ ſplendore cæteros præcedere videretur. Putabant enim, quoniam etiam his bonis magnus Gregorius cumulatus erat, nec earum quidem rerum oportere expertem eſſe, 1.Reg.16 qui ad hoc munus deligeretur. Cùm autem in multas parteis ſuffragiis ſcinde-
C rentur, & alij alium præoptarent atque præferrent, expectabat ille vir magnus diuinitùs aliquod ſibi conſilium ad propoſitum negotiũ ſuppeditari. Ac quemadmodum Samuel in eligendo rege fertur non pulchritudine nec magnitudine corporum motus eſſe, ſed animum regium requiſiuiſſe, etiamſi in contempto fortè corpore reperiretur: eodem modo etiã ille ſtudiis erga vnumquemque eorum, qui deſtinabãtur, neglectis, id vnum duntaxat ſpectabat, an aliquis etiam ante declarationem induſtria vitę
D atque virtute in moribus ſacerdotium geſtaret. Cùm autem illi quidem producerent eos de quibus ſuffragium fertur, quem quiſque promoueret eius honorificam mentionem facientes: atque hic, vt etiam viliorum (quod ad vitæ ſpeciem attinet) rationem haberent eos hortaretur (poſſe enim etiam in talibus reperiri aliquem, qui animi bonis ſuper eos emineret, qui vitæ ſplendore præſtaret) quidam ex iis, qui præerant ſuffragiis ferendis, eam magni illius ſententiam pro contumelia atq; deriſione accepit, ſi cum nullus eorũ qui & eloquentia & dignitate & manifeſto facultatum vitæ ſplendore cæteris prælati eſſent, ad ſacerdotiũ admitteretur, ex opificibus ſellulariis, quiq; labore manuũ vitam tolerarent, ad eiuſmodi munus aliqui magis

apti & idonei exiſtimarentur: & ſimul cauillans cum quadã irriſione ad eum, Si hæc, inquit, iubes, vt hi quidem tales, qui ex omni ciuium numero electi ſunt, prætereantur, atque ex quiſquiliis & infima plebe aſſumamus aliquem ad adminiſtrationem ſacerdotij, qui tali ciuitati præſit, tempus tibi deinceps fuerit carbonarium Alexandrum ad ſacerdotium vocandi, atq; ad hunc tranſitione facta, ſi videtur, ſuffragiis inter nos vniuerſi ciues cõſentiemus. Atque ille quidem hæc loquebatur, ſententiæ eius obtrectans, ac per hoc ſimulatum & cauillatorium ſuffragium ſummam & exactam diligentiam in ſuperioribus vituperans ac reprehendens. Sed magna illi per hæc dicta ſubit animum cogitatio, quòd non ſine numine diuino Alexãdri à deliberantibus inter cæteros mentio facta eſſet. Et quis, inquit, eſt Alexãder, cuius mentionem feciſtis? Deinde cùm quidam ex iis, qui vnà intererant, cum riſu memoratum in medium produxiſſet, pannis vilibus ac ſordidis ne toto quidem corpore amictum, & ſimul apparentibus rebus, manibus pariter & facie, reliquoque corpore carbonibus infecto ac ſordidato opificio & quæſtum oſtendentem: cæteris quidem riſus materia erat talis in medio ſtans Alexander. At perſpicacem illum oculum valde id ſpectaculum obſtupefaciebat: vir in extrema paupertate, ac neglecto corpore ſeipſum ſolùm ſpectãs, ac veluti ſibi placens & gaudens eo habitu: qui habitus oculis imperitis ridiculus erat. Etenim ita ſe res habebat. Non vrgente paupertate ad eiuſmodi vitæ genus deuenerat. Sed philoſophus quidam vir erat, quemadmodũ inſequuta vita indicauit, adeò vt etiam ad martyrium vſq; peruenerit, per ignem curſu cõfecto. Latêre autem dedita opera volebat, altiori animo pręditus, quàm vt eam, quæ vulgò expetitur, fœlicitatem curaret, ac pro nihilo ſæculum ducebat, eò quòd & ſublimis & veræ vitæ ſtudio teneretur. Et vt maximè virtutem ad quam aſpirabat, aſſequeretur, operã dabat, vt talis eſſe ignoraretur, cõtemptiore genere vitæ veluti turpi quadam perſona ſeſe occultans. Atque alioqui etiam, quòd eximio flore iuuentutis præditus eſſet, periculoſum eſſe ducebat ei, qui continentiam ſibi ſectandam propoſuiſſet, corporis ſui pulchritudinem patefacere, fœlicitate

A τὸ τινὲς ἀξιώτεροι· καὶ ἅμα κατειρωνευόμενος προσελθὼν πρὸς αὐτόν· εἰ ταῦτα κελεύεις, φησί, τούτους μὲν τοιούτους ὄντας παρελθεῖν τοὺς πάσης ἐξειλεγμένους τῆς πόλεως· ἐκ δὲ τῶν συρφετῶν εἰς προστασίαν τῆς ἱερωσύνης διαληφθῆναί τινα, ὥρα σοι λοιπὸν τὸν ἀνθρακέα καλεῖν ἐπὶ τὴν ἱερωσύνην Ἀλέξανδρον· καὶ μεταβάντες ἐπὶ τοῦτον, εἰ δοκεῖ συμφωνήσωμεν πρὸς ἀλλήλους ταῖς ψήφοις ἡ πόλις πᾶσα. ὁ μὲν οὖν ταῦτα ἐφθέγγετο τὴν γνώμην διαβάλλων αὐτοῦ, καὶ διὰ τῆς εἰρωνικῆς ταύτης ψήφου, τὴν ἐπὶ τοῖς προλαβοῦσιν ἀκρίβειαν
B καταμεμφόμενος. τῷ δὲ μεγάλῳ γίνεται διὰ τῶν εἰρημένων ἐνθύμιον, μὴ ἀθεεὶ τὸν Ἀλέξανδρον ἐν μνήμῃ τῶν ψηφιζομένων καὶ εἰρημένων γενέσθαι. καὶ τίς ἐστι, φησίν, ὁ Ἀλέξανδρος, οὗ τὴν μνήμην πεποίησθε; εἶτά τινος τῶν συμπαρόντων ἐν γέλωτι παραγαγόντος εἰς μέσον τὸν μνημονευθέντα, ῥακίοις πιναροῖς ἠμφιεσμένον, οὐδὲ ὅλῳ τῷ σώματι, καὶ ἅμα δεικνῦντα τῷ φαινομένῳ τὴν ἐργασίαν χερσί τε καὶ προσώπῳ, καὶ τῷ λοιπῷ σώματι κατερρυπωμένον τῇ ἐργασίᾳ τῶν ἀνθράκων, τοῖς μὲν λοιποῖς, γέλω-
C τος ἦν ὑπόθεσις, ἐν μέσοις τοιοῦτος ἑστὼς ὁ Ἀλέξανδρος. τῷ δὲ διορατικῷ ἐκείνῳ ὀφθαλμῷ, πολλὴν παρεῖχεν ἔκπληξιν τὸ γινόμενόν τε καὶ ὁρώμενον. ἀνὴρ ἐν ἐσχάτῃ πενίᾳ, καὶ ἠμελημένῳ τῷ σώματι πρὸς ἑαυτὸν βλέπων, καὶ οἷον ἐπαγαλλόμενος τούτῳ τῷ σχήματι, ὃ τοῖς ἀπαιδεύτοις ὀφθαλμοῖς ἦν ἐπιγέλαστον. καὶ γὰρ οὕτως εἶχεν. οὐκ ἐξ ἀνάγκης πενίας ἐπὶ τὸν τοιοῦτον ἐληλύθει βίον· ἀλλὰ καὶ φιλόσοφός τις ἦν ὁ ἀνήρ, ὡς ὁ μετὰ ταῦτα βίος ἐγνώρισε, καὶ τῶν λοιπῶν ὑψηλότερος, ὡς καὶ μέχρι μαρτυρίου φθάσαι, διὰ πυρὸς τελειώσας τὸν δρόμον. ὃ δὲ λαν-
D θάνειν ἐπιχείρησιν, ἢ μᾶλλον ἐπιτήδευσιν, κρείττων ὑπάρχων τῆς ἐσπουδασμένης παρὰ τῶν πολλῶν εὐκληείας. καὶ αὐτὸς οὐδένος τὸν βίον ποιούμενος, τῆς ὑψηλοτέρας τε καὶ ἀληθοῦς ζωῆς τὴν ἐπιθυμίαν ἔχων. καὶ ὡς ἂν μάλιστα τὸν πρὸς ἀρετὴν σκοπὸν κατορθώσειε, λανθάνειν ἐμηχανᾶτο. τοιοῦτος ὤν, τῷ ἀτιμοτέρῳ τῶν ἐπιτηδευμάτων οἷον εἰδεχθεῖ προσωπείῳ ὑποκρυπτόμενος. ἄλλως δέ, καὶ ὑπωραιθῶν τῇ νεότητι, σφαλερὸν ἡγεῖτο τῷ τῆς σωφροσύνης σκοπῷ, φανερὸν ποιεῖν τὸ κάλλος τοῦ σώματος αὐτοῦ, ὥσπερ

ἐμπομπεύων τῇ εὐκληρίᾳ τῆς φύσεως. ἤδει γὰρ χαλεπῶν κακῶν πολλάκις ἀφορμὴν τοῖς πολλοῖς τὸ τοιοῦτον γινόμενον. ὡς ἂν οὖν μήτε πάθοι τι τῶν ἀβουλήτων, μήτε πάθους ὑπόθεσις ἀλλοτρίοις ὀφθαλμοῖς καταστῇ, διὰ τοῦτο καθάπερ τι προσωπεῖον εἰδεχθὲς τὴν ἀνθρακοποιΐαν ἑκουσίως ἑαυτῷ περιετίθει. δι᾽ ἧς τό τε σῶμα τοῖς πόνοις πρὸς ἀρετὴν ἐγυμνάζετο, καὶ τὸ κάλλος τῷ ῥύπῳ τῶν ἀνθράκων ἐπεκαλύπτετο, καὶ ἅμα τὸ ἐκ τῶν πόνων αὐτῷ προσγινόμενον, εἰς ἐντολῶν ὑπηρεσίαν ᾠκονόμητο. ἐπεὶ τοίνυν μεταστήσας αὐτὸν τοῦ συνεδρίου, καὶ πάντα τὰ κατ᾽ αὐτὸν μετ᾽ ἀκριβείας ἐπύθετο, τὸν μὲν δίδωσι τοῖς περὶ αὐτόν, ἐντειλάμενος ἃ πρακτέον ἐχρῆν· αὐτὸς δὲ πάλιν καταλαβὼν τὸ συνέδριον, ἐκ τῶν ἐν χερσὶ τοὺς συνειλεγμένους ἐπαίδευε, τοὺς περὶ τῆς ἱερωσύνης αὐτοῖς λόγους παρατιθέμενος, καὶ διὰ τούτων τὸν κατ᾽ ἀρετὴν ὑπογράφων βίον. καὶ διῆγεν ἐν τοῖς τοιούτοις λόγοις παρακατέχων τὸν σύλλογον, ἕως ἐκπληρώσαντες οἱ ὑπηρετοῦντες αὐτῷ τὸ προσταχθὲν ἐπέστησαν, ἔχοντες μεθ᾽ ἑαυτῶν τὸν Ἀλέξανδρον, λουτρῷ τε τὴν ἐκ τῶν ἀνθράκων ἀηδίαν ἀποκλυσάμενον, καὶ τοῖς τοῦ μεγάλου ἱματίοις ἐστολισμένον. ταῦτα γὰρ ἦν αὐτοῖς ἐντειλάμενος ποιῆσαι. πάντων δὲ πρὸς τὸν Ἀλέξανδρον ἐπιστραφέντων, καὶ θαυμαστικῶς πρὸς τὸ φαινόμενον διακειμένων, οὐδὲν καινὸν πεπόνθατε, φησὶ πρὸς αὐτοὺς ὁ διδάσκαλος, ὀφθαλμοῖς ἀπατηθέντες, καὶ τῇ αἰσθήσει μόνῃ τὴν κρίσιν τοῦ κάλλους ἐπιτρέψαντες. σφαλερὸν γὰρ κριτήριον τῆς τῶν ὄντων ἀληθείας ἡ αἴσθησις, τὴν πρὸς τὸ βάθος τῆς διανοίας εἴσοδον δι᾽ ἑαυτῆς ἀποκλείουσα. ἅμα δὲ καὶ αὐτῷ τῷ τῆς εὐσεβείας ἐχθρῷ δαίμονι, τοῦτο φίλον ἦν πάντως ἀργῆσαι τὸ τῆς ἐκλογῆς σκεῦος τῇ ἀγνοίᾳ συγκαλυπτόμενον, μηδὲ προελθεῖν εἰς μέσον ἄνδρα, τῆς ἐκείνου δυναστείας καθαιρέτην ἐσόμενον. ταῦτα εἰπών, προσάγει τῷ Θεῷ διὰ τῆς ἱερωσύνης τὸν ἄνδρα κατὰ τὸν νενομισμένον τρόπον τελειώσας τῇ χάριτι. πάντων δὲ πρὸς τὸν νέον ἱερέα ἀποβλεπόντων, προτραπεὶς ἵνα πρὸς τὴν ἐκκλησίαν λόγον ποιήσαιτο, ἔδειξεν εὐθὺς ἐν προοιμίοις τῆς ἀρχῆς ὁ Ἀλέξανδρος, ἄψευστον ἐπ᾽ αὐτῷ τοῦ μεγάλου Γρηγορίου τὴν κρίσιν. ἦν γὰρ αὐτῷ πλήρης διανοίας ὁ λόγος, ἧττον τῷ ἄνθει κεκαλλωπισμένος τῆς λέξεως.

A naturæ tanquam in pompa ſeſe oſtentantem: nouerat enim eiuſmodi rem grauium offenſionum ac delictorum occaſionem pleriſque præbere ſolere. Ne igitur vel ſibiipſi aliquid accideret imprudenti, quod factũ doluiſſet, vel alienis oculis caſus & offenſionis materiam præberet, idcirco ſe carbonario opificio veluti perſona quadam deformi cõſultò circundat, quo tam corpus laboribus ad virtutẽ exerceretur, quàm pulchritudo ſordibus carbonũ infecta obtegeretur, & ſimul pecunia, quam ex laboribus quærebat, ad mandatorum exequutionem diſpenſaretur.
B Poſteaquàm igitur eum ex concilio abduxit, ac de ſtatu eius atque conditione omnia diligenter ſcrutatus & ſciſcitatus eſt, illum quidem familiaribus ſuis tradit exequi iuſſis quę res poſtulabat: ipſe verò in concilium reuerſus ex præſenti deliberatione ſumpto argumẽto congregatos inſtituebat, de ſacerdotij officio ſermones eis proponens, ac per hos vitam cum virtute coniunctam præſcribens. Perſeuerabat autem in eiuſmodi ſermonibus conuentum detinens, quoad executi mandata, qui operam ei nauabãt, ſuperuenerunt,
C ſecum adducentes Alexandrum, qui & lauachro fuliginis iniucunditatem abſterſerat, & magni iſtius veſtib. indutus & ornatus erat. Hæc enim curare iuſſi erant. Omnibus autem in Alexandrum conuerſis, & ad nouam eam ſpeciem admiratione defixis, Nihil noui, inquit, ad eos magiſter, accidit vobis, ſi oculis decepti eſtis, & ſenſui ſoli iudicium pulchritudinis permiſiſtis. Fallax enim & incertum rerum veritatis iudicium ſenſus eſt, aditum per ſe ad profunditatem mentis & intelligentiæ præcludens. Simul autem etiam pietatis inimico dæmoni prorſus id ſtudio erat, vt vas electionis
D ignoratione cõtectum, otioſum & inutile eſſet, neu prodiret in medium vir, qui ipſius principatũ euerſurus eſſet. Hæc locutus, cùm eum iuxta cõſuetum morem, rituſque ſolemnes ad hoc munus idoneũ effeciſſet, per ſacerdotium Deo virum dicat. Omnibus autem nouum ſacerdotem intuentibus, rogatus vt aliquam ad Eccleſiã haberet orationem, ſtatim in initio ſuæ adminiſtrationis Alexander oſtendit, haud falſum in ſeſe Gregorij iudiciũ fuiſſe. Erat enim oratio eius intelligẽtiæ ſententiarumque plena, dicendi floribus minus exornata.

Vnde petulans quidam ex Attica adoleſcens apud illos agens incomptam dictionem deriſit, quòd non ea, quam Attici in dicendo adhiberent, exacta atque ſuperuacanea cura exornata eſſet, quem aiunt diuina quadam viſione emendatum eſſe, cùm columbarum gregem incredibili quadam pulchritudine nitentem conſpicatus eſſet, & quendam audiuiſſet, qui diceret, has eſſe columbas Alexandri, quas ille deriſiſſet. Vtrum horum magis aliquis admiretur? quod vir ille non motus eſt ſuffragio eorum, qui dignitate præſtabant, neque ſimul ad teſtimonia optimatium ac principium virorum raptus eſt? an magis admirari conuenit in carbonibus abſconditas diuitias? quas ſtatim à Deo editum recti iudicij teſtimonium per viſionem oratoris conſequutum eſt? Nam mihi quidem horum vtrumque in ſeſe eiuſmodi eſſe videtur, vt inter ſe quidem paria ſint, ac quaſi de principatu certamen habere videantur, inter omnia autem ea, quæ nomine miraculi celebrantur, primas propemodum teneant. Nam quòd optimatium ſtudiis aduerſatus eſt, conſtantis, recti, atque excelſi animi manifeſtiſſimũ iudicium erat: à quo omnia, quę per mundum apparent, ex æquo deſpiciebantur, ſiue ad magnificentiam atque ſplendorem ſiue etiam ad humilitatem & obſcuritatem accedere viderentur: cumque ſoli virtuti primas tribueret, & vitioſam vitam ſolam reijciendam eſſe iudicaret, pro nihilo intuebatur omnia, quæcumque per hoc ſæculum vel aliquo ſtudio, vel contemptione digna iudicantur. Quod nimirum etiam tunc feciſſe demonſtratur. Cùm enim daret operã, vt Deo gratum ac dignum inueniret, non diuitias, non dignitatem, nõ huius mundi ſplendores, quarum rerum nihil in recenſione bonorum à diuina ſcriptura enumeratur, res idoneas putabat, quas ad teſtimonium admitteret. Non igitur hoc ſolùm eſt, quod & laude & admiratione dignum ſit, quod reſpuit ſtudia principum: verumetiã quòd per ea, quæ conſequuta ſunt, ipſe ſuperauit. Nam qui ineptam ac minus idoneam ſententiam duntaxat reijcit, neq; adijcit id quod res poſcit, malum quidẽ prohibet, bonum verò nõ conficit. At qui pręterquã quòd non conſentit deteriori, etiam bonum inuenit, per vtraq; bonum perficit, dum

A ὅθεν τις τῶν νέων ἀγέρωχος ἐκ τῆς Ἀτθίδος αὐτοῖς ἐπιχωριάζων, τὸ ἀκαλλὲς τῆς λέξεως ὑπεγέλασεν, ὅτι μὴ τῇ περιεργίᾳ τῇ Ἀττικῇ κεκαλλώπιστο· ὃν φασὶν ἐκ θεωρίας ὄψεως σωφρονισθῆναι, ἰδόντα περιστερῶν ἀγέλην ἀμηχάνῳ τινὶ διαλάμπουσαν κάλλει, καί τινος ἀκηκοέναι λέγοντος, Ἀλεξάνδρου τὰς περιστερὰς εἶναι ταύτας, ἃς ἐν γέλωτι ἐκεῖνος πεποίηται. τί τούτων ἄν τις περὶ τοῦ ἑτέρου θαυμάσειεν; τὸ μὴ δυσωπηθῆναι τὸν ἄνδρα τῶν ἀξιωμάτων τὴν ψῆφον, καὶ μὴ συναρπασθῆναι πρὸς τὰς μαρτυρίας τῶν προεχόντων; ἢ μᾶλλον τὸ θαυμάσαι τὸν ἐγκεκρυμμένον τοῖς ἄνθραξι πλοῦτον, ᾧ B παραχρῆμα παρὰ τοῦ Θεοῦ ἡ τῆς ὀρθῆς κρίσεως μαρτυρία, διὰ τῆς τοῦ ῥήτορος ἐπηκολούθησεν ὄψεως; ἐμοὶ μὲν γὰρ ἐφ' ἑαυτοῦ τούτων ἑκάτερον τοιοῦτον εἶναι δοκεῖ, ὡς πρὸς ἄλληλα μὲν ἔχειν τὴν ἅμιλλαν· πάντων δὲ μικροῦ δεῖν τῶν ἐπὶ θαύματι μνημονευομένων προτερεύειν. τότε γὰρ ἀντιβῆναι τῇ τῶν προεχόντων ὁρμῇ, τῆς ἀτρέπτου καὶ ὑψηλῆς διανοίας ἐναργέστατον ἐγίνετο γνώρισμα· ᾧ πάντα τὰ κατὰ τὸν κόσμον φαινόμενα, ἐν τῷ ὁμοίῳ καθεωρᾶτο, εἴτε πρὸς τὸ μεῖζόν τι καὶ περιφανέστερον, εἴτε καὶ πρὸς τὸ ταπεινόν τι καὶ ἀφανὲς οἰκείως εἶ- C χεν· μόνῃ δὲ νέμων τῇ ἀρετῇ τὴν προτίμησιν, καὶ μόνην τὴν ἐν κακίᾳ ζωὴν κρίνων ἀπόβλητον, ἀντ' οὐδενὸς ἑώρα τὰ πάντα, ὅσα κατὰ τὸν βίον ἢ σπουδῆς τινὸς, ἢ ἀτιμίας ἄξια κρίνεται. ὃ δὴ καὶ τότε πεποιηκὼς ἐπιδείκνυται. ζητῶν γὰρ τὸν τῷ Θεῷ κεχαρισμένον καὶ ἄξιον εὑρεῖν, οὐκ ἀξιόπιστον εἰς μαρτυρίαν ᾠήθη πλοῦτον παραλαβεῖν καὶ ἀξίωμα, καὶ τὰς κατὰ τὸν κόσμον τοῦτον περιφανείας, ὧν οὐδὲν ἐν τοῖς τῶν ἀγαθῶν καταλό- D γοις ὁ θεῖος ἀπηριθμήσατο λόγος. οὐ τοῦτο μόνον τοίνυν ἐστὶν ἐπαίνου τε καὶ θαύματος ἄξιον, τὸ μὴ προέσθαι τὰς τῶν δυναστευόντων σπουδάς· ἀλλὰ καὶ διὰ τῶν ἐφεξῆς αὐτὸς ἑαυτὸν ὑπερβάλλειν. ὁ γὰρ μόνον τὴν ἀνάξιον ἀπωσάμενος ψῆφον, μὴ προσθεὶς δὲ τῇ χρείᾳ τὸ λοιπὸν, τὸ μὲν κακὸν ἐκώλυσεν· τὸ δὲ ἀγαθὸν οὐκ ἐποίησεν. ὁ δὲ πρὸς τῷ μὴ συνθέσθαι τῷ χείρονι, καὶ τὸ καλὸν ἐξευρὼν, δι' ἀμφοτέρων ἐτελείωσεν τὸ ἀγαθὸν, οὔτε

τῷ

τῷ κακῷ συγχωρήσας τὴν πρόοδον, καὶ τὸ καλὸν προσαγαγὼν εἰς ἐνέργειαν. ὡς κατὰ ἀμφότερα γενέσθαι τὴν εὐεργεσίαν τοῦ μεγάλου Γρηγορίου ἐν τῇ πόλει. τότε κατὰ ἄγνοιαν παρ' αὐτῶν πλημμελούμενον ἐπιστρέψαντος, καὶ τὸ κεκρυμμένον παρ' αὐτοῖς ἀγαθὸν δι' ἑαυτοῦ φανερώσαντος. πάντων δὲ κατὰ γνώμην τοῦ μεγάλου προκεχωρηκότων τῇ συμμαχίᾳ τοῦ ἁγίου πνεύματος, οὐκ ἄκαιρον ἂν εἴη, καὶ τὸ τῆς ὁδοῦ πάρεργον διηγήσασθαι, ὡς ἂν διὰ πάντων ἡ συμπαροῦσα τῷ ἀνδρὶ χάρις ἐπιδείκνυτο. ἐπειδὴ γὰρ ἅπασι πρόδηλον ἦν, ὅτι τοῦτο πρὸ πάντων τῷ ἀνδρὶ ἐσπούδαστο, τὸ πάντα πρὸς τὴν τῶν δεομένων παραμυθίαν βλέπειν· εἴτε πρὸς κέρδος ὁρῶντες ἐκ τῶν Ἑβραίων δύο τινὲς, εἴτε τινὰ μῶμον κατὰ τοῦ ἀνδρὸς ἐπινοοῦντες, ὡς εὐκόλως πρὸς τὸ ἐξαπατᾶσθαι διακειμένου, παραφυλάσσουσιν αὐτοῦ τὴν ἐπάνοδον. καὶ τούτων ὁ μὲν, τεθνάναι δόξας ἐν ὑπτίῳ τεταμένος τῷ σχήματι, κατὰ τὸ πλάγιον τῆς λεωφόρου προέκειτο· ὁ δὲ ἕτερος ἐπικωκύων δῆθεν τῷ κειμένῳ τὰς τῶν θρηνούντων φωνὰς ὑπεκρίνατο, καὶ παριόντα τὸν μέγαν ἐπεβοᾶτο, λέγων· ἀθρόως συσχεθέντα θανάτῳ τὸν δείλαιον τοῦτον, γυμνὸν κεῖσθαι καὶ πρὸς ταφὴν ἀπαράσκευον. ἐδεῖτο τοίνυν τοῦ μεγάλου μὴ περιιδεῖν ἐπ' αὐτῷ τὴν ὁσίαν ψυχὴν, ἀλλ' οἶκτόν τινα τῆς πενίας λαβόντα παρασχεῖν ἐκ τῶν ἐνόντων τὸν ἔσχατον κόσμον ἐπιβληθῆναι τῷ σώματι. ὁ μὲν ταῦτα καὶ τὰ τοιαῦτα λέγων, ἱκέτευεν. ὁ δὲ μελλήσας οὐδὲν, τὴν περικειμένην αὐτῷ διπλοΐδα ἐπιβαλὼν τῷ κειμένῳ, τοῦ πρόσω τῆς ὁδοιπορίας εἴχετο. ἐπεὶ δὲ διαβαίνοντος ἐκείνου, ἐφ' ἑαυτῶν ἦσαν οἱ ταῦτα κατ' αὐτοῦ παίξαντες, μεταβαλὼν ὁ ἀπατεὼν ἐκεῖνος τὸν ἐσχηματισμένον θρῆνον εἰς γέλωτα, διανίστασθαι τῷ κειμένῳ παρεκελεύετο, ὑφ' ἡδονῆς τῷ ἐκ τῆς ἀπάτης αὐτοῖς προσγενομένῳ κέρδει ἐπικαγχάζων. ὁ δὲ ἦν ἐν ὁμοίῳ τῷ σχήματι μηδενὸς ἀκούων τῶν λεγομένων. τοῦ δὲ γεγωνοτέρᾳ τῇ φωνῇ κεχρημένου, καὶ ἅμα τῷ ποδὶ διεγείροντος, οὐδὲν μᾶλλον ὁ κείμενος, οὔτε τῆς φωνῆς ἐπήκουεν, οὔτε τῆς πληγῆς ἐπῃσθάνετο, ἀλλ' ἦν ὁμοίως ἐκτεταμένος τῷ σχήματι· νεκρὸς γὰρ ἦν ἅμα τῇ ἐπιβολῇ τοῦ ἱματίου, κατὰ ἀλήθειαν ἐν τῷ θανάτῳ γενόμενος ὃν ἐπὶ τῇ ἀπάτῃ τοῦ μεγάλου καθυπεκρίνετο, ὥστε μὴ ψευσθῆναι τὸν τοῦ θεοῦ ἄνθρωπον,

A neque malo aditum dat, & bonum ad effectum producit, adeò vt vtraque ratione beneficium magni Gregorij ciuitati contigerit, qui & id quod per ignorantiam ab iis delinquebatur, auerterit, & bonum apud eos abſconditum per ſeſe patefecerit. Cùm autem omnia magno illi viro auxilio ſancti Spiritus ex ſententia ſucceſſerint, non intempeſtiuum fuerit, etiam acceſſorium opus itineris commemorare, quò per omnia gratia, quæ viro vnà aderat, oſtendatur. Quoniam enim omnibus palàm erat, quòd hoc ante omnia ſibi ſtudio

B haberet, vt in omnibus rebus ad egentium conſolationem præſto eſſet: quod quidam Hebræi ſiue lucrum ſpectantes, ſiue vituperationem quandam aduerſus virum, vt qui fraudi ac deceptioni oportunus eſſet, quærentes eius reditum obſeruant. Atque horum vnus quidem, qui mortuus eſſe videbatur, ſupino habitu extenſus per tranſuerſam viam publicam proiectus erat; alter verò iacentem ſcilicet deplorans, lamentantium voces imitabatur, ac prætereuntem magnum illum virum inclamabat dicens: repentè morte correptus

C hic miſer nudus iacet, eique deeſt apparatus ad ſepulturam. rogabat igitur magnum iſtum virum, ne negligeret in eo iuſta mortuorum, ſed miſertus aliquo modo paupertatis, præberet ex iis rebus quæ ſuppeterent, quo extremus ornatus corpori inijceretur. Ille quidem hæc & talia dicens ſupplicabat: hic verò nihil cunctatus ſuper iacentem iniecta diploide, qua circumdatus erat, iter ſuum porrò proſequebatur: ſed poſteaquam digreſſo illo, ſoli erant à quibus ita deluſus erat, mutata in riſum ſimulata lamentatione impoſtor

D ille iacentem vt ſurgeret, hortabatur, præ gaudio ob lucrum fraude quæſitum cachinnans. At alter erat in eodem habitu, nihil exaudiens eorum quæ dicebantur. Cum autem ille clariore voce vteretur, ac ſimul pede trudens eum excitare niteretur, nihilo magis qui iacebat vel vocem exaudiebat, vel ictum ſentiebat: ſed in eodem habitu extenſus erat. Mortuus enim erat, cùm ſimulatq; pallium ſuper eum iniectum erat, vera morte, quam decipiendi magni illius cauſſa ſimulauerat, correptus expiraſſet, adeò vt homo ille diuin⁹ haud falſus ſit,

ſed cuius rei gratia pallium ab eo datum erat, ad hanc rem ei qui accepiſſet, vſui eſſet. Quòd ſi acerbum & atrox eiuſmodi facinus magnæ illius & fidei & potentiæ eſſe videtur, nemo quaſi rem nouam miretur, ſed ad magnum illum Petrum reſpiciat. Nam & ille non benefaciẽdo duntaxat virtutem, qua præditus erat demonſtrabat, cùm & eum, qui claudus natus erat, currẽtem atque ſaltantem populo oſtenderet, & ſui corporis vmbra ad quoſcumque eam ſol, tranſeunte Apoſtolo, ex tranſuerſo corpori incumbens adigeret, ægrotantium morbos ſanaret: verumetiam Ananiam, qui inſitam Apoſtolo virtutem contemnebat, morte condemnat: vt illius, opinor, pœna quiſquis in populo eodem contemptionis morbo laboraret, ad ſaniorem opinionem reuocaretur, cùm exemplo horrendo coërceretur, ne & ipſe committeret vt iiſdem pœnis ſubijceretur. Meritò igitur imitator Petri, cum per multa benefica miracula magnitudinem potentiæ oſtendiſſet, etiam eum, qui aduerſus ſpiritum fraudem facere conatus eſſet, veracem aduerſus ſeipſum effecit. Oportebat enim, opinor, mendacij euerſorem etiam deceptoris mendacium conuertere in veritatem, vt omnibus per hoc palàm fieret, quòd & quicquid à magno illo tum diceretur, tum fieret, verum eſſet: & quodcumque pro vero accepiſſet, mendacium non eſſet. Ac Iudæi quidem, quemadmodum dictum eſt, magni illius potentiam, vt rebantur, ludificati, documento cæteris fuerunt: non tentandam eſſe fraudem, in quibus Deus eorum, quæ tentaueris, accuſator exiſtit. Poſt hæc cum quidam conuentus ſub dio quodam in loco regionis aliquando fuiſſet, atque omnes admiratione doctrinæ tenerentur: adoleſcentulus quidã ad congregatos clamabat, non à ſeipſo magiſtrum ea dicere, ſed alterum ei aſſiſtentem verba proferre. Cùm autẽ dimiſſo conuentu puer ad eum adductus eſſet, dixiſſe magnus iſte fertur ad eos, qui aderant, adoleſcentulũ à dæmone integrũ nõ eſſe: ac ſimul detractũ ſibi linteolum, quod in humeris geſtabat, & oris ſui animæ admotum, ita inieciſſe iuueni. Quo facto, turbari cœpit & exclamare adoleſcentulus, & humi proſterni & huc illuc iactari, & omnibus affici incommodis, quæ à dæmonibus prouenire ſolent.

A ἀλλ' οὗ χάριν ἐδόθη παρ' αὐτοῦ τὸ ἱμάτιον, εἰς τοῦτο τοῖς λαβοῦσι γενέσθαι χρήσιμον. εἰ δὲ σκυθρωπὸν εἶναι δοκεῖ, τὸ τοιοῦτον ἔργον τῆς τοῦ μεγάλου πίστεώς τε καὶ δυνάμεως, ξενιζέσθω μηδεὶς πρὸς τὸν μέγαν Πέτρον ὁρῶν. καὶ γὰρ ἐκεῖνος, οὐ δι' ὧν εὐεργέτει μόνον τὴν προσοῦσαν ἐπεδείκνυτο δύναμιν, τὸν ἐκ γενετῆς χωλὸν τρέχοντα τῷ λαῷ δεικνύων καὶ διαλλόμενον, ἢ τῇ σκιᾷ τοῦ ἰδίου σώματος ἰατρεύων τῶν ἀρρωστούντων τὰ πάθη, οἷς ἂν ἐπήγαγεν κατὰ τὴν πρόοδον τοῦ ἀποστόλου διὰ πλαγίου τῷ σώματι προσβάλλων ὁ ἥλιος· ἀλλὰ καὶ τοῦ Ἀνανίου πρὸς
B τὴν ἐνοικοῦσαν τῷ ἀποστόλῳ δύναμιν καταφρονητικῶς διατεθέντος, καταδικάζει τὸν θάνατον· ὡς ἄν, οἶμαι, τῷ κατ' ἐκεῖνον φόβῳ πᾶν τὸ καταφρονοῦν ἐν τῷ λαῷ σωφρονέστερον γένηται τῷ φοβερῷ ὑποδείγματι, πρὸς τὸ μὴ τοῖς αὐτοῖς ἐγχειρεῖσθαι παιδαγωγούμενον. εἰκότως τοίνυν ὁ μιμητὴς τοῦ Πέτρου διὰ πολλῶν τῶν κατὰ τὰς εὐεργεσίας θαυμάτων δείξας τὸ δυνάμεως μέγεθος, καὶ τὸν κατὰ τοῦ πνεύματος χρήσασθαι τῇ ἀπάτῃ ἐπιχειρήσαντα ἀληθεῦσαι περὶ αὐτοῦ παρεσκεύασεν. ἔδει γάρ, οἶμαι, τὸν καθαι-
C ρέτην τοῦ ψεύδους, καὶ ἐν τῷ ἀπατεῶνι τὸ ψεῦδος μεταλλάττειν εἰς ἀλήθειαν, ὡς ἂν ἅπασι διὰ τούτου γένοιτο δῆλον, ὅτι καὶ πᾶν τὸ παρὰ τοῦ μεγάλου λεγόμενον ἀληθὲς ἦν. καὶ ὅπερ ἂν ὡς ἀληθὲς προσεδέξατο, ψεῦδος οὐκ ἦν. οἱ μὲν οὖν Ἰουδαῖοι κατὰ τὸν ῥηθέντα τρόπον τὸ τῆς μεγάλου δυνάμεως, ὡς ἐνόμιζον καταπαίξαντες, παίδευμα τοῖς ἄλλοις ἐγένοντο, μὴ κατατολμᾶν τῆς ἀπάτης, ἐφ' ὧν ὁ Θεὸς γίνεται τῶν τολμηθέντων κατήγορος. μετὰ ταῦτα δὲ συλλόγου τινὸς κατὰ τὸ ὕπαιθρον ἔν τινι τῶν κατὰ τὴν χώραν τόπων γεγενημένου ποτέ, καὶ πάντων θαυμαστικῶς διακειμένων
D πρὸς τὰ διδάγματα, μειράκιόν τι πρὸς τοὺς συνεστῶτας ἐβόα, μὴ παρ' αὐτοῦ ταῦτα τὸν διδάσκαλον λέγειν, ἀλλ' ἕτερον αὐτῷ παρεστῶτα διεξιέναι τοὺς λόγους. προσαχθέντος δὲ τοῦ παιδὸς μετὰ τὸ διαλυθῆναι τὸν σύλλογον, εἰπεῖν λέγεται πρὸς τοὺς παρόντας ὁ μέγας, μὴ καθαρεύειν ἐκ δαίμονος τὸ μειράκιον· καὶ ἅμα περιελόμενος ἑαυτοῦ τὸ ἐπὶ τῶν ὤμων ὀθόνιον, καὶ προσαχθέντα τῷ ἄσθματι τοῦ ἰδίου στόματος, οὕτως ἐπιρρίψαι τῷ νέῳ, γενομένου δὲ τούτου, ταράσσεσθαι ἤρξατο, καὶ ἀναβοᾶν τὸ μειράκιον, καὶ καταπίπτειν καὶ διαρριπτεῖσθαι, καὶ πάντα πάσχειν τὰ ἐκ δαιμόνων πάθη.

εἶτα ἐπιβαλόντος τοῦ ἁγίου τὴν χεῖρα, καὶ τὴν A ταραχὴν καταπαύσαντος, ἀποπτῆναι μὲν αὐτοῦ τὸ δαιμόνιον, τὸν δὲ πάλιν ἐν καταστάσει γενόμενον, μηκέτι λέγειν ὁρᾶν ἐπὶ τοῦ ἁγίου τὸν συμφθεγγόμενον. καὶ γὰρ δὴ καὶ τοῦτο τῶν μεγάλων ἐκείνου θαυμάτων ἐστὶ, τὸ μηδεμιᾷ τινὶ περιεργίᾳ, τὰ κατὰ τὰς ἰάσεις ἐπιτελεῖν θαύματα. ἀλλ' ἀρκεῖν πρός τε τὴν τῶν δαιμόνων ἀπαλλαγὴν, καὶ πρὸς τὴν ἴασιν τῶν ἀρρωστημάτων τοῦ σώματος τὸ ἐκ τοῦ στόματος αὐτοῦ ἆσθμα διὰ τῆς ὀθόνης τῷ κάμνοντι προσαγόμενον. ἀλλὰ τὸ μὲν πᾶσιν ἐφεξῆς τοῖς περὶ ἐκείνου θαύμασιν B ἐπεξιέναι, μακρᾶς εἴη συγγραφῆς, καὶ λόγου, τὴν πρόσοδον πολλὴν ὑπερβαίνοντος· ἑνὸς δὲ ἢ δυοῖν ἔτι τῶν περὶ αὐτοῦ λεγομένων ἐπιμνησθεὶς, ἐν τούτοις περιγράψω τὸν λόγον. πανταχοῦ γὰρ ἤδη διαπεφοιτηκότος τοῦ θείου κηρύγματος, καὶ πάντων κατά τε τὴν πόλιν, καὶ τὴν περίοικον, πρὸς τὴν εὐσεβῆ τοῦ δόγματος πίστιν μετατεθέντων, βωμῶν τε καὶ ἱερῶν καὶ εἰδώλων ἐν αὐτοῖς ἀνατετραμμένων, καθαρθείσης δὲ ἤδη τῆς ἀνθρωπίνης ζωῆς τῶν περὶ τὰ εἴδωλα μιασμάτων καὶ τῆς μιαρᾶς τῶν θυ- C σιῶν κνίσης ἀποσβεσθείσης, καὶ τοῦ ἐπιβωμίου λύθρου καὶ τῶν ἐκ τῆς ζωοθυσίας μολυσμάτων ἀποκλυσθέντων. πάντων δὲ κατὰ τόπον πάντα εὐκτηρίους ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ κατὰ σπουδὴν ναοὺς ἀνεγειρόντων. θυμὸς καὶ φθόνος εἰσέρχεται τῷ τηνικαῦτα τῆς ἀρχῆς τῶν Ῥωμαίων ἐπιστατοῦντι, ἐφ' οἷς ἠμελεῖτο μὲν αὐτῷ τὰ πάτρια τῆς ἀπάτης σεβάσματα, ηὔξειτο δὲ τῶν Χριστιανῶν τὸ μυστήριον. καὶ εἰς πλῆθος ἐπεδίδου πανταχοῦ τῆς οἰκουμένης ἡ ἐκκλησία, διὰ τῶν ἀεὶ προστιθεμένων τῷ λόγῳ, πρὸς D μέγεθος αὔξουσα· καὶ νομίσας δυνατὸν εἶναι τῇ θείᾳ δυνάμει τὴν ἰδίαν ἀντιστῆσαι πικρίαν, καὶ ἐπισχεῖν μὲν τοῦ μυστηρίου τὸ κήρυγμα, καταλῦσαι δὲ τῶν ἐκκλησιῶν τὰ συστήματα. μεταστῆσαι δὲ πάλιν ἐπὶ τὰ εἴδωλα τοὺς προσκεχωρηκότας τῷ λόγῳ. πέμπει τοίνυν πρὸς τοὺς τῶν ἐθνῶν καθηγουμένους πρόσταγμα, φοβερὰν καί αὐτὴν τὴν ἀπειλὴν τῆς τιμωρίας ὁρίζων. εἰ μὴ παντοίοις αἰκισμοῖς τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ προσκυνοῦντας διαλωβήσαιντο, καὶ προσαναγκάσειεν πάλιν αὐτοὺς φόβῳ τε καὶ τῇ τῶν αἰκισμῶν ἀνάγκῃ τῇ πατρῴᾳ

A Deinde cùm ſanctus ille manum iniecisset, & turbationem ſedaſſet, dæmonium quidem ab eo auolaſſe, ipſe verò rurſus ad priorem ſtatum atque tranquillitatem redactus, non amplius dixiſſe fertur, quòd videret, ſancto adſiſtentem qui vnà loqueretur. Etenim etiam hoc nimirum ad magna pertinet eius miracula, quòd nulla curioſitate & exquiſita quadam ratione miracula ſanationum efficeret, ſed & ad dæmones fugandos & ad corporis morbos profligandos ſufficeret oris eius anhelitus, qui per linteum laboranti cuique admoue- B batur. Cæterùm omnia quidem edita ab eo miracula deinceps ordine perſequi, prolixæ ſcripturæ res fuerit: & ſermonis qui præſens otiũ ſuperaret: vnius autem præterea alteriúſve eorum, quæ de eo feruntur miraculorum mentione atque commemoratione facta, his ſermonem circumſcribam. Nam cùm iam in omneis parteis diuini verbi prædicatio diuulgata eſſet, & omnes tam qui vrbem habitarent, quàm qui agrum vicinum incolerẽt, ad piam doctrinæ fidem traducti eſſent: altaribus atq; delubris, C quæque inibi inerant, ſimulachris euerſis: atque humana vita, iam ab inquinamentis ſimulachrorum expurgata: impuro hoſtiarum nidore extincto: altarium ſpurcitia atque mactatione & immolatione animalium contractis inquinamentis abſterſis omnibus, item in omni loco templa ad orandum ſub nomine Chriſti ſtudioſè extruentibus: furor quidam atque inuidia inuaſit eum, qui tunc præerat imperio Romanorum, eo quòd patrij quidem falſi cultus & religiones negligerentur, creſceret autem myſterium Chriſtianorum, & in multi- D tudinem vbique terrarum propagaretur Eccleſia per eos, qui ſemper ſermoni incumberent, in magnitudinem excreſcens: & arbitratus fieri poſſe, vt ſua ſæuitia diuinæ potẽtiæ reſiſteret, & myſterij quidem prędicationem inhiberet, & conſtitutas Eccleſias euerteret, traduceret autem rurſus eos, qui ſermoni adiuncti eſſent ad ſimulachra. His de cauſſis mittit ad rectores gentiũ edicta, quæ terribilium pœnarum in eos ſtatuendarum minas continebant, niſi omni genere tormentorum atque ſuppliciorum mulctaſſent eos, qui Chriſti nomen inuocarẽt & adorarent, metuq; ac tormentorum vi rurſus eos ad patrium

dæmonum cultum adduxiſſent. Vt autem hoc terribile atq; impium edictum magiſtratibus exhibitum eſt: quippe in omneis imperij parteis atq; prouincias peruenerat, qui ad hoc ipſum ab tyrannica crudelitate deſtinati & ordinati erant: ac talis quidem genti illius loci præerat, qui ad prauum ſtudium atque conatum nihil ſuperioris poteſtatis indigeret, cum ſuopte ingenio atque natura ſæuus, & iis qui ſermoni credidiſſent infenſus eſſet: publicè propoſitis edictis ab eo denuntiatur, quòd vel fidem abiurare, vel omni genere ſuppliciorum, ac morte puniri oporteret. Nullaq; res alia vel publica vel priuata tunc ab iis, qui publica negotia tractabant, gerebatur ac curabatur, niſi vt oppugnarēt atque punirent eos, qui fidem amplecterentur. Erant autem non in verborum duntaxat minis terrores: ſed vnà cum his varius carnificinarum & tormentorum apparatus omnem afferebat cōcuſſionem, etiam ante periculum hominibus formidinem inijciens. Enſes, ignis, beſtiæ, ſcrobes & foueæ: item inſtrumenta, quibus membra conſtringerentur & torquerentur: tum ferreæ ſellę ignitæ: tum ligna erecta:, in quibus ſtantium corpora dum intenderentur, terribilium vnguium violentis admotionibus lacerarentur. Atque alia item innumera ad varia corporum tormenta exquiſita ab iis excogitabantur: ac ſtudium iis, qui eas poteſtates ſuſceperant, vnum erat, ne quiſquam alteri ſecundus exuperantia ſæuitiæ mitior videretur. Nam alij quidam deferebant, alij verò demonſtrabant, nonnulli item celatos & occultatos ſcrutabātur: pars fugientibus inſtabant: nonnulli item poſſeſſionibus fidelium inhiantes, quò potirentur earum, ſub prętextu pietatis vexabant & exagitabant eos, qui fidem amplecterentur: ac ſumma erat in gente confuſio, magnaque trepidatio, omnibus inter ſe ſuſpectis, non patribus filiorum beneuolentia in diſcriminibus atque periculis permanente: non filiis fidam paternam curationem ſpondente natura: ſed familiæ atque cognationes aliæ ab aliis in religionum ſectas diductæ diſſidebant: ac filius Græcorum errores amplectens, fideliū parentum proditor: filij fidem amplexi pater in infidelitate manēs accuſator erat: frater item eadem de cauſſa naturam oppugnabat,

A τῶν δαιμόνων λατρείαν. ὡς δὲ προεισηγγέλθη τοῖς ἄρχουσι τὸ φοβερὸν τοῦτο καὶ ἄθεον κήρυγμα, πανταχοῦ τῆς ἀρχῆς διαπεφοιτηκότων τῶν εἰς αὐτὸ τοῦτο παρὰ τῆς τυραννικῆς τεταγμένων ὠμότητος. καί τις ἐπικρατεῖ τοῦ κατὰ τὸν τόπον ἔθνους τοιοῦτος, ὡς μηδὲν τῆς ὑπερκειμένης ἐξουσίας πρὸς τὴν πονηρὰν ὁρμὴν δεηθῆναι. οἴκοθεν ἔχων ἐκ φύσεως τὴν ὠμότητά τε καὶ πικρότητα, καὶ τὴν πρὸς τοὺς πεπιστευκότας τῷ λόγῳ δυσμένειαν. καὶ γὰρ παρ' αὐτοῦ φοβερὸν ἐν δημοσίοις διαγράμμασι, τὸ δεῖν ἐξόμνυσθαι τὴν πίστιν, ἢ τιμωρίαις παντοδαπαῖς καὶ θανάτοις κολάζεσθαι. καὶ οὐδὲν
B ἦν ἕτερον τηνικαῦτα δημόσιόν τε καὶ ἴδιον παρὰ τῶν τὰ κοινὰ διὰ χειρὸς ἐχόντων γινόμενόν τε καὶ σπουδαζόμενον, πλὴν τοῦ πολυορκεῖν τε καὶ τιμωρεῖσθαι τοὺς ἀντεχομένους τῆς πίστεως. ἦν δὲ οὐκ ἐν ταῖς τῶν λεγομένων ἀπειλαῖς μόνον τὰ φοβερά· ἀλλὰ μετὰ τούτων ἡ ποικίλη τῶν κολαστηρίων κατασκευὴ, πᾶσαν ἐποίει κατάπληξιν, καὶ πρὸ τῆς πείρας ἐμποιοῦσα τοῖς ἀνθρώποις τὸν φόβον. ξίφη τε, καὶ πῦρ, καὶ θηρία, καὶ βόθροι, καὶ τὰ στρεβλωτικὰ τῶν μελῶν ὄργανα· καὶ σιδηραῖ κατὰ πυρὸς καθέδραι, καὶ ξύλα ὄρθια, οἷς ἐντεινόμενα
C τῶν ἐνισταμένων τὰ σώματα ταῖς τῶν φοβερῶν ὀνύχων προσβολαῖς κατεξαίνετο. καὶ ἄλλα μυρία πρὸς τὰς πολυειδεῖς βασάνους τῶν σωμάτων ἐξευρημένα παρ' αὐτοῖς ἐπενοεῖτο. καὶ σπουδὴ τοῖς τῶν ἐξουσιῶν τούτων ἐπειλημμένοις ἦν μία, τὸ μηδένα τοῦ ἑτέρου ἐν ὑπερβολῇ πικρίας ἐπιδειχθῆναι πρᾳότερον. καὶ οἱ μὲν εἰσήγγελλον· οἱ δὲ, ἐπεδείκνυον· οἱ δὲ, ἠρεύνων τοὺς κεκρυμμένους. ἄλλοι τοῖς φεύγουσιν ἐπετίθεντο, ἄλλοι δὲ πρὸς τὰς κτήσεις τῶν πιστῶν ὁρῶντες, ὡς ἂν ἐγκρατεῖς γένοιντο τῶν πραγμάτων, ἐπὶ τῷ προσχήματι τῆς εὐσεβείας, ἤλαυνον τοὺς ἀντεχομένους τῆς
D πίστεως. σύγχυσις δὲ ἦν πᾶσα κατὰ τὸ ἔθνος, καὶ ἀμηχανία πολλὴ, πάντων ἀλλήλοις δι' ὑποψίας ὄντων, οὐ πατράσι τῆς παρὰ τῶν τέκνων εὐνοίας ἐν τοῖς φοβεροῖς παραμενούσης. οὐ παισὶ τὸ πιστὸν τῆς πατρικῆς κηδεμονίας ἐγγυωμένης τῆς φύσεως. ἐμερίζετο δὲ κατ' ἀλλήλων τὰ γένη πρὸς τὰς θρησκείας σχιζόμενα. καὶ παῖς Ἑλληνίζων πιστῶν γονέων προδότης ἐγίνετο, καὶ κατὰ παιδὸς πεπιστευκότος ἐν ἀπιστίᾳ μένων ὁ πατὴρ, κατήγορος ἦν. καὶ ἀδελφὸς ἐκ τῆς αὐτῆς αἰτίας ἐπολέμει τῇ φύσει,

ὅσιον κρίνων τὸν ὁμόφυλον τιμωρήσασθαι, εἰ τῆς εὐσεβείας ἀντέχοιτο. ἐντεῦθεν πλήρεις μὲν ἦσαν αἱ ἐρημίαι τῶν ἐλαυνομένων· κεναὶ δὲ τῶν οἰκητόρων αἱ οἰκίαι. πολλὰ δὲ τῶν δημοσίων οἰκημάτων, ταῖς τῶν καθειργνυμένων ἀπετέτακτο χρείαις. οὐ γὰρ ἦν ἱκανὰ τὰ δεσμωτήρια χωρεῖν ἐν ἑαυτοῖς τῶν διὰ τὴν πίστιν τιμωρουμένων πλῆθος. ἀγοραί τε πᾶσαι καὶ σύλλογοι, κοινοί τε καὶ ἰδιάζοντες, ἀντὶ τῆς συνήθους φαιδρότητος, τὰς τοιαύτας μετελάμβανον συμφοράς. τῶν μὲν ἐφελκομένων, τῶν δὲ ἀπαγομένων· ἄλλων ἐπὶ τοῖς γινομένοις ἢ γελώντων ἢ δακρυόντων· οὐ νηπίων ἦν ἔλεος, οὐ τιμὴ πολιᾶς, οὐκ ἀρετῆς αἰδὼς εἰσῄει τοῖς δυσμενέσιν· ἀλλ᾽ ὡς ἐν αἰχμαλωσίᾳ, πᾶσα ἡλικία τοῖς πολεμίοις τῆς πίστεως ἔκδοτος ἦν. οὐδὲ ταῖς γυναιξὶν ἐδίδου ἡ φυσικὴ τοῦ γένους ἀσθένεια, τῶν τοιούτων δεινῶν ἐκτὸς μένειν· ἀλλ᾽ εἷς ἦν κατὰ πάντων ὁ τῆς ὠμότητος νόμος, ἴσῳ τῷ μέτρῳ τῆς τιμωρίας τῶν γινομένων, ὑπάγων τὸν τῶν εἰδώλων ἀλλοτριούμενον, μὴ διακρίνων τὴν φύσιν. τότε οὖν ἰδὼν ὁ μέγας ἐκεῖνος τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, ὡς οὐ δυναμένων τῶν πολλῶν μέχρι τοῦ θανάτου τῆς εὐσεβείας προαγωνίσασθαι, σύμβουλος γίνεται τῇ ἐκκλησίᾳ μικρὸν ὑποχωρῆσαι τῇ φοβερᾷ προσβολῇ, κρεῖττον εἶναι ἡγούμενος διὰ φυγῆς τὰς ψυχὰς αὐτῶν περισώσασθαι, ἢ ἑστῶτας ἐπὶ τῆς τῶν ἀγώνων παρατάξεως, λιποτάκτως γενέσθαι τῆς πίστεως· καὶ ὡς ἂν μάλιστα πεισθεῖεν οἱ ἄνθρωποι, μηδένα κίνδυνον φέρειν τῇ ψυχῇ, τὸ τὴν πίστιν διὰ φυγῆς περισώσασθαι, τῷ καθ᾽ ἑαυτὸν ὑποδείγματι, σύμβουλος τῆς ἀναχωρήσεως γίνεται· αὐτὸς πρὸ τῶν ἄλλων ἀναχωρήσας τῇ τοῦ κινδύνου φορᾷ. ἅμα δὲ καὶ τοῦτο τοῖς κρατοῦσι διὰ σπουδῆς μάλιστα ἦν, τὸ δι᾽ ἐκείνου καθάπερ στρατηγοῦ χειρωθέντος, πᾶσαν διαλῦσαι τῆς πίστεως τὴν παράταξιν, καὶ τούτου χάριν ἐκεῖνον ὑπὸ χεῖρα ποιήσασθαι τοῖς ἐχθροῖς διεσπούδαστο. ὁ δὲ ἦν ἔρημόν τινα καταλαβὼν λοφίαν, ἔχων μεθ᾽ ἑαυτοῦ τὸν ἐκ νεωκόρου κατ᾽ ἀρχὰς προσαχθέντα τῇ πίστει, ἤδη τῇ χάριτι τῆς διακονίας ὑπηρετούμενον. τῶν δὲ διωκόντων κατ᾽ ἴχνος ἑπομένων ἐν πλήθει πολλῷ, μηνύσαντος αὐτοῖς τὸν τόπον τινὸς ἐν ᾧ κατεκρύπτετο· οἱ μὲν ἐν κύκλῳ τὰς ὑπωρείας τῆς λοφιᾶς διαλαβόντες ἐφύλαττον, ὅπως ἂν μηδαμόθεν αὐτῷ γένοιτο διαφυγεῖν, εἴπερ εἰς τοῦτο τραποίη.

A fas eſſe iudicans à conſanguineo pœnas expetere, ſi pietatem amplecteretur. Hinc plenæ quidem ſolitudines erant eorum, qui (ſuſpecti accuſative) profugiſſent: vacua verò atque deſerta ab habitatoribus domicilia erant: multa item ædificia eorum, qui vinculis coërcerentur, publicis vſibus deſtinata erant. Carceres enim capere in ſeſe non poterant eorũ multitudinem, qui propter fidem punirẽtur, omniaq; fora atque conuentus tam publici, quàm priuati pro conſueta hilaritate atq; lætitia eiuſmodi inuicem caſus atque calamitates accipiebant, B cùm alij quidem arriperentur: alij verò abducerentur: cæteri ob ea, quæ fierent vel lachrymarentur: non miſericordia infantium, non honor canitiei, nõ virtutis verecundia in mẽtem veniebat infenſis: ſed tanquam in vrbe capta omnis ętas hoſtibus fidei quaſi dedititia atque obnoxia erat: ne mulierũ quidem naturali ſexus infirmitati indulgebatur, vt eiuſmodi periculis exẽptæ manerent, ſed vnà aduerſus omneis crudelitatis erat lex eodem pœnæ modo, nullo diſcrimine ſexus habito, ſubijciens eum qui à C ſimulachris eſſet alienus. Tunc magnus ille vir, animaduerſa atque conſiderata imbecillitate & fragilitate humanæ naturæ, quòd pleriq; non poſſent vſque ad mortẽ pro pietate decertare, author Eccleſię fit, vt terribilem illum impetũ atq; incurſum pauliſper declinaret, ſatius eſſe ducens per fugam animas eorũ ſeruari, quam ſtantes in acie certaminum atque periculorũ fidei fieri deſertores: ac quo maximè hominibus perſuaderetur, nullum animæ periculum afferre, ſi vel per fugam quis fidem cõſeruaret, ſuo exemplo author ſecedendi fit, D ipſe ante alios ſecedendo periculi impetum deuitans: ſimul autẽ etiam hoc iis qui rerum potiebãtur, maximo ſtudio erat, vt illo tanquam duce capto omnẽ fidei aciem funderent ac diſſiparent, atque idcirco inimici annitebantur, vt illũ redigerent in poteſtatem. At ille vnà cum eo quem ab initio ad fidem ex ædituo adduxerat, diaconi iam munere fungente collem quendam deſertum occupauerat, perſequutores autem iudicio cuiuſdã edocti quo in loco lateret, magna multitudine veſtigiis inhærentes: alij quidem radicibus collis circumſeſſis obſeruabant, nò quà ſi fugam tentaſſet, euadere poſſit:

nus, cùm neque fidem derogare iis, quæ dicerentur, auderet, & ſimul excellẽtius quam humana natura caperet, eſſe iudicaret, qui procul abeſſet ab vrbe, cùm nemo hominũ eum de ſuis rebus certiorem feciſſet, hũc perinde ac ſi interfuiſſet, ad familiares loqui de rebus illis geſtis; orat magiſtrum, vt permitteretur ſibi oculis inſpicere, quæ acta eſſent, neu prohiberetur ab eo peruenire vſque ad ea loca, in quibus miraculũ editum erat: at illo periculoſum eſſe dicente verſari in medio virorum cædis auidorum, ac ſępè ex incurſu atque impetu aduerſarij poſſe accidere aliquid repẽtè pręter voluntatem, de quo cogitatum non eſſet: diaconus ſe precum eius auxilio confidere dixit, his verbis ad eum vtens. Tu me commenda Deo, & nullus ab hoſtibus terror me inuadet: cumque ille præſidium diuinum pro comite per preces vnà cum eo emiſiſſet, fiducię plenus iter faciebat ad neminẽ obuiam venientem ſeſe conuertens. Cùm autem veſperi in vrbem perueniſſet, & de via feſſus eſſet, defatigatum labore corpus lauacro curare neceſſe eſſe putabat. Dominabatur autem in illo loco dæmon quidam homicida, in balneo verſari ſolitus: cuius pernicioſa atque peſtifera vis in tenebris aduerſus propinquantes exercebatur, & idcirco poſt ſolis occaſum balneæ illæ non exercebantur, nemoque eò accedere id temporis ſolebat; ad quas ſtans diaconus præfectum loci rogabat, vt oſtium aperiret, & aditum ſibi præberet, neu inuideret ſibi quò minus corpus lauacro reficeret. Illo verò teſtante neminem, qui circa illam horam aquam ingredi auſus eſſet, ſuis pedibus reuerſum eſſe, ſed poſt veſperum dęmonium omneis in poteſtate habere: ac multos iam imprudentes in inſanabilia mala incurriſſe, quos pro ſperato leuamine lamentationes & ſepulturæ, & gemitus excepe rũt. Hæc & eiuſmodi balneatore dicente, nihilo magis ille quicquã de cupiditate remittebat: ſed inſtabat omni modo vrgens eum, vt ſe intromitteret. At balneator in lucro ponens, ſi non vnà cum imperito hoſpite periclitaretur, cum clauem ei tradidiſſet, procul à lauacro diſcedit, poſteaquam autem nudatus intus erat, multiplices quædam terrorum & concuſſionum materiæ à dęmonio inſtruebantur, ſpectra varia igni fumo mixtã naturam

A διάκονος, καὶ οὔτε ἀπιστεῖν τινὶ τῶν λεγομένων τολμῶν· καὶ ἅμα κρεῖττον τῆς ἀνθρωπίνης φύσεως εἶναι νομίσας, τὸ πόῤῥωθεν ὄντα τῆς πόλεως, μηδενὸς ἀνθρώπου τὰ κατ᾽ αὐτὸν διαγγείλαντος, ὡς ἐφεστῶτα τοῖς πράγμασι λέγειν πρὸς τοὺς συνόντας περὶ τῶν ἐκεῖ γινομένων, ἱκέτης γίνεται τοῦ διδασκάλου ὀφθαλμοῖς ἐπιστατῆσαι καὶ γνῶναι τὰ πεπραγμένα· καὶ μὴ κωλυθῆναι παρ᾽ αὐτοῦ γενέσθαι, μέχρι τῶν τόπων αὐτῶν, ἐν οἷς τὸ θαῦμα ἐγένετο. τοῦ δὲ φοβερὸν εἶναι λέγοντος, τὸ ἐν μέσῳ τῶν φονώντων γενέσθαι, καὶ
B πολλάκις ἐξ ἐπηρείας τοῦ ἀντικειμένου τι τῶν ἀβουλήτων παθεῖν, ἐπιθαρσεῖν ἔλεγεν ὁ διάκονος τῇ τῶν εὐχῶν αὐτοῦ συμμαχίᾳ, φθεγξάμενος ταύτην πρὸς αὐτὸν τὴν φωνήν· σύ με παράθου τῷ Θεῷ, καὶ οὐδείς μοι φόβος καὶ τῶν πολεμίων καθάψεται. τοῦ δὲ καθάπερ συνέμπορον αὐτῷ τὴν τοῦ Θεοῦ βοήθειαν διὰ τῆς εὐχῆς συνεκπέμψαντος, πεποιθὼς τὴν ὁδὸν διήει, πρὸς οὐδένα τῶν ἀπαντώντων ἐπιστρεφόμενος. ἑσπέριος δὲ τῆς πόλεως ἐντὸς γεγονώς, καὶ κοπώδης ἐκ τῆς ὁδοιπορίας γενόμενος, λουτρῷ θεραπεῦσαι
C τὸν κόπον ἀναγκαῖον ᾠήθη. ἐπεκράτει δὲ κατὰ τὸν τόπον ἐκεῖνον δαίμων τις ἀνθρωποκτόνος ἐπιχωριάζων τῷ λουτρῷ, οὗ ἡ φθοροποιὸς δύναμις ἐνεργὸς μετὰ σκότος κατὰ τῶν προσεγγιζόντων ἐγίνετο, καὶ τούτου χάριν ἄβατον τὸ λουτρὸν ἐκεῖνο μετὰ τὰς ἡλίου δυσμὰς καὶ ἀνενέργητον, ᾧ παραστὰς ἠξίου τὸν ἐπιτεταγμένον ἀνοῖξαι τὴν θύραν, δοῦναί τε τὴν εἴσοδον αὐτῷ καὶ μὴ φθονῆσαι τῆς ἐκ τοῦ λουτροῦ θεραπείας. τοῦ δὲ μαρτυρουμένου μηδένα τῶν κατὰ τὴν ὥραν ἐκείνην καταλμώντων
D τοῦ ὕδατος ἰδίοις ὑποστρέψαι ποσίν, ἀλλὰ πάντων μετὰ τὴν ἑσπέραν κατακρατεῖν τὸ δαιμόνιον· καὶ πολλοὺς ὑπ᾽ ἀγνοίας ἤδη παθεῖν τὰ ἀνήκεστα, οὓς ἀντὶ τῆς ἐλπισθείσης ἀνέσεως θρῆνοι καὶ οἰμωγαὶ διεδέξαντο· ταῦτα καὶ τὰ τοιαῦτα διεξιόντος, οὐδὲν μᾶλλον ἐκεῖνος ὑφίει τῆς ἐπιθυμίας· ἀλλ᾽ ἐνέκειτο παντὶ τρόπῳ καταναγκάζων αὐτόν, εἰς τὰ ἐντὸς παραδέξασθαι. ὁ δὲ τὸ μὴ συγκινδυνεῦσαι τῇ ἀγνοίᾳ τοῦ ξένου, κέρδος ποιούμενος, τὴν κλεῖν ἐπ᾽ αὐτῷ ποιησάμενος, πόῤῥω τοῦ λουτροῦ ἀπαλλάσσεται. ἐπεὶ δὲ γυμνωθεὶς ἐντὸς ἦν, πολύτροποί τινες φόβων καὶ καταπλήξεων ἀφορμαὶ παρὰ τοῦ δαιμονίου συνεσκευάζοντο, φάσματα παντοδαπὰ πυρὶ καὶ κα-

πυρὶ μεμιγμένην τὴν φύσιν ἐπιδεικνύμενα, ἐν A ἀνθρώπων καὶ θηρίων μορφῇ τοῖς ὀφθαλμοῖς ἐμπίπτοντα, ταῖς ἀκοαῖς ἐνηχοῦντα, τῷ ἄσθματι προσεγγίζοντα, κύκλῳ περὶ τὸ σῶμα χεόμενα. ὁ δὲ τὴν σφραγῖδα ἑαυτοῦ προβαλλόμενος, καὶ τὸ τοῦ Χριστοῦ ἀνακαλῶν ὄνομα, ἀπαθὴς τὸν πρῶτον διεξῆλθε τὸν οἶκον. ἐπεὶ δὲ τὸ ἐνδότερον χωρήσας, χαλεπωτέροις ἐνέτυχε τοῖς θεάμασιν, εἰς φοβερωτέραν μετασκευασθέντος τοῦ δαιμονίου τὴν ὄψιν· καὶ ἅμα σεισμῷ καταχλονεῖσθαι τὸν οἶκον ᾤετο· καὶ τὸ ἔδαφος ὑπορρηγνύμενον, γυμνὴν ὑποδεικνύειν τὴν κάτω φλόγα, B ὥσπερ θέρας τι φλογῶδες ἀπὸ τῶν ὑδάτων ἐκπίμπρασθαι, καὶ πάλιν αὐτοῦ τὸ ἴσον ὅπλον ἡ σφραγὶς, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα, καὶ ἡ διὰ τῶν εὐχῶν τοῦ διδασκάλου βοήθεια, τὰ φοβερὰ τῶν φαινομένων τε καὶ γινομένων διέχεεν. ἀνεθεὶς δὲ ἤδη τῷ ὕδατι, καὶ πρὸς τὴν ἔξοδον σπεύδων, πάλιν ἐκωλύετο, τοῦ δαιμονίου τῆς θύρας ἀντειλημμένου. ἀλλὰ καὶ τοῦτο πάλιν τὸ κώλυμα, διὰ τῆς ἴσης δυνάμεως αὐτομάτως ἐλύετο, τῇ σφραγῖδι τῆς θύρας ὑποχωρούσης. ἐπεὶ δὲ κατὰ νοῦν αὐτῷ προσκεχωρήκει τὰ πάντα, ἐκβοῆσαι λέγεται πρὸς C αὐτὸν ἀνθρωπίνῃ φωνῇ τὸ δαιμόνιον, μὴ ἐπ᾽ αὐτοῦ τὴν δύναμιν ἐκείνην λογίσασθαι, δι᾽ ἧς τὸν ὄλεθρον ἔφυγεν. ἡ γὰρ φωνὴ τοῦ παραθεμένου αὐτὸν, τῷ φυλάσσοντι τὸ ἀπαθὲς ἐχαρίσατο. διασωθεὶς τοίνυν κατὰ τὸν εἰρημένον τρόπον, ἔκπληξιν παρέσχε τοῖς ἐπιστατοῦσι τοῦ τόπου, οὐδενὸς τῶν πώποτε κατὰ τὴν ὥραν ἐκείνην κατατολμησάντων τοῦ ὕδατος, ἐν τοῖς ζῶσι φανέντος. ἐπεὶ δὲ τούτοις τὰ καθ᾽ ἑαυτὸν διηγήσατο, καὶ τὰ κατὰ τὴν πόλιν τῶν μαρτύρων ἀνδραγαθήματα, τοῦτον ἔγνω γεγενημένα τὸν τρόπον, ὃν ἐπὶ τῆς ἐρημίας ὁ μέγας διάγων προδιηγήσατο, πεισθεὶς τοῖς περὶ αὐτοῦ διηγήμασί τε καὶ θαύμασι, δι᾽ ὧν τε εἶδεν, D καὶ δι᾽ ὧν ἤκουσεν, καὶ δι᾽ ὧν τῇ ἑαυτοῦ πείρᾳ τῆς τοῦ μεγάλου πίστεως ἐδιδάχθη τὴν δύναμιν, ᾗ προσεμαρτύρησε τὸ δαιμόνιον, πάλιν ἀνατρέχει πρὸς τὸν διδάσκαλον· τοῖς τε κατ᾽ αὐτὸν, καὶ τοῖς μετὰ ταῦτα κοινὸν ἀφεὶς φυλακτήριον τὸ διὰ τῶν ἱερέων ἕκαστον ἑαυτὸν τῷ Θεῷ παρατίθεσθαι· καὶ νῦν ἔστι μὲν κατὰ πᾶσαν τὴν ἐκκλησίαν, ἐξαιρέτως δὲ παρ᾽ ἐκείνοις ἡ τοιαύτη φωνὴ τῆς τότε γεγενημένης τῷ ἀνδρὶ παρὰ τοῦ Γρηγορίου βοηθείας μνημόσυνον. τῆς δὲ τυραννίδος ἐκείνης ἤδη κατὰ θείαν

A præ ſe ferentia, in forma hominum & ferarum oculis incidentia, auribus inſonantia, anhelitu appropinquantia, vndique corpori ſe circumfundētia. At ille ſignum (crucis) ante ſeſe objiciens, Chriſtique nomen inuocans, primum conclaue illęſus tranſiuit, ad interiorem autem partem ædium progreſſus, in moleſtiora incidit ſpectacula, in terribiliorem faciem transformato dæmonio: & ſimul terræ motu concuti claue ei videbatur, adeò, vt etiam ſolum infrà ruptum, flammam, quæ ſubtus eſſet, nudam conſpiciendam præberet: ſcintil- B læque flammæ ab aquis emitterentur, ac rurſus eiſdem armis ſigno (crucis ſcilicet) & nomine Chriſti, præſidioque precum magiſtri terrores earum rerum, quæ tum apparebant, tum fiebant, diſcuſſit: cumq; iam aqua recreatus exire feſtinaret, rurſus prohibebatur à dæmone, qui oſtium occupauerat. Verumetiam hoc rurſus impedimentum per eandem vim ſponte ſua ianua cedente, ſigno (crucis) diſcutiebatur: poſteaquā autem ei omnia ex ſententia ſucceſſerant, exclamaſſe dicitur ad eum humana voce dæmonium, ne ſibi virtutem C illam imputaret, per quam perniciem effugiſſet; vocem enim eius, à quo cuſtodiæ atque præſidio diuino commendatus eſſet, hoc ei præſtitiſſe, vt ab incommodis tutus eſſet. Seruatus igitur, quemadmodum diximus, admirationi loci præfectis fuit, eò quòd nemo eorum, qui vnquam id temporis aquam ingredi auſi eſſent, inter viuos poſtea conſpectus eſſet. Cùm autem & hos quę ſibi accidiſſent, docuiſſet, & martyrum in vrbe fortia facta ita accidiſſe cognouiſſet, quemadmodum magnus ille vir in ſolitudine degens antè expoſuiſſet, propter eas res quas & vidiſſet & audi- D uiſſet, & per quas ſuo periculo atque experientia magni illius viri fidei vim, cui etiam dæmonium inſuper teſtimonium perhiberet, didiciſſet, (de miraculis eius non amplius dubitans,) iterum redit ad magiſtrum, & ſuæ ætatis hominibus & poſteris cōmune pręſidium relinquens, vt per ſacerdotes quiſque ſeſe Deo commendet, atque etiam nunc cùm per omnem Eccleſiam, tum præcipuè apud illos eiuſmodi vox pro monumento habetur auxilij atque præſidij, quòd tunc illi viro ab Gregorio præſtitum eſt. Cæterùm cùm iam auxilio diuino tyrannis

Vnde petulans quidam ex Attica adoleſcens apud illos agens incomptam dictionem deriſit, quòd non ea, quam Attici in dicendo adhiberent, exacta atque ſuperuacanea cura exornata eſſet, quem aiunt diuina quadam viſione emendatum eſſe, cùm columbarum gregem incredibili quadam pulchritudine nitentem conſpicatus eſſet, & quendam audiuiſſet, qui diceret, has eſſe columbas Alexandri, quas ille deriſiſſet. Vtrum horum magis aliquis admiretur? quod vir ille non motus eſt ſuffragio eorum, qui dignitate præſtabant, neque ſimul ad teſtimonia optimatium ac principium virorum raptus eſt? an magis admirari conuenit in carbonibus abſconditas diuitias? quas ſtatim à Deo editum recti iudicij teſtimonium per viſionem oratoris conſequutum eſt? Nam mihi quidem horum vtrumque in ſeſe eiuſmodi eſſe videtur, vt inter ſe quidem paria ſint, ac quaſi de principatu certamen habere videantur, inter omnia autem ea, quæ nomine miraculi celebrantur, primas propemodum teneant. Nam quòd optimatium ſtudiis aduerſatus eſt, conſtantis, recti, atque excelſi animi manifeſtiſſimũ iudicium erat: à quo omnia, quę per mundum apparent, ex æquo deſpiciebantur, ſiue ad magnificentiam atque ſplendorem ſiue etiam ad humilitatem & obſcuritatem accedere viderentur: cumque ſoli virtuti primas tribueret, & vitioſam vitam ſolam reijciendam eſſe iudicaret, pro nihilo intuebatur omnia, quæcumque per hoc ſæculum vel aliquo ſtudio, vel contemptione digna iudicantur. Quod nimirum etiam tunc feciſſe demonſtratur. Cùm enim daret operã, vt Deo gratum ac dignum inueniret, non diuitias, non dignitatem, nõ huius mundi ſplendores, quarum rerum nihil in recenſione bonorum à diuina ſcriptura enumeratur, res idoneas putabat, quas ad teſtimonium admitteret. Non igitur hoc ſolùm eſt, quod & laude & admiratione dignum ſit, quod reſpuit ſtudia principum: verumetiã quòd per ea, quæ conſequuta ſunt, ipſe ſuperauit. Nam qui ineptam ac minus idoneam ſententiam duntaxat reijcit, neq; adijcit id quod res poſcit, malum quidẽ prohibet, bonum verò nõ conficit. At qui pręterquã quòd non conſentit deteriori, etiam bonum inuenit, per vtraq; bonum perficit, dum

A ὅθεν τις τῶν νέων ἀγέρωχος ἐκ τῆς Ἀττικῆς αὐτοῖς ἐπιχωριάζων, τὸ ἀκαλλὲς τῆς λέξεως ὑπεγέλασεν, ὅτι μὴ τῇ περιεργίᾳ τῇ Ἀττικῇ κεκαλλώπιστο· ὃν φασὶν ἐκ θεωρίας ὄψεως σωφρονισθῆναι, ἰδόντα περιστερῶν ἀγέλην ἀμηχάνῳ τινὶ διαλάμπουσαν κάλλει, καί τινος ἀκηκοέναι λέγοντος, Ἀλεξάνδρου τὰς περιστερὰς εἶναι ταύτας, ἃς ἐν γέλωτι ἐκεῖνος πεποίηται. τί τούτων ἄν τις περὶ τοῦ ἑτέρου θαυμάσειεν; τὸ μὴ δυσωπηθῆναι τὸν ἄνδρα τῶν ἀξιωμάτων τὴν ψῆφον, καὶ μὴ συναρπασθῆναι πρὸς τὰς μαρτυρίας τῶν προεχόντων; ἢ μᾶλλον τὸ θαυμάσαι τὸν ἐγκεκρυμμένον τοῖς ἄνθραξι πλοῦτον, ᾧ
B παραχρῆμα παρὰ τοῦ Θεοῦ ἡ τῆς ὀρθῆς κρίσεως μαρτυρία, διὰ τῆς τοῦ ῥήτορος ἐπηκολούθησεν ὄψεως; ἐμοὶ μὲν γὰρ ἐφ' ἑαυτοῦ τούτων ἑκάτερον τοιοῦτον εἶναι δοκεῖ, ὡς πρὸς ἄλληλα μὲν ἔχειν τὴν ἅμιλλαν· πάντων δὲ μικροῦ δεῖν τῶν ἐπὶ θαύματι μνημονευομένων προτερεύειν. τότε γὰρ ἀντιβῆναι τῇ τῶν προεχόντων ὁρμῇ, τῆς ἀτρέπτου καὶ ὑψηλῆς διανοίας ἐναργέστατον ἐγένετο γνώρισμα· ᾧ πάντα τὰ κατὰ τὸν κόσμον φαινόμενα, ἐν τῷ ὁμοίῳ καθεωρᾶτο, εἴτε πρὸς τὸ μεῖζόν τε καὶ περιφανέστερον, εἴτε καὶ πρὸς τὸ ταπεινόν τε καὶ ἀφανὲς οἰκείως εἶ-
C χεν· μόνῃ δὲ νέμων τῇ ἀρετῇ τὴν προτίμησιν, καὶ μόνην τὴν ἐν κακίᾳ ζωὴν κρίνων ἀπόβλητον, ἀντ' οὐδενὸς ἑώρα τὰ πάντα, ὅσα κατὰ τὸν βίον ἢ σπουδῆς τινος, ἢ ἀτιμίας ἄξια κρίνεται. ὃ δὴ καὶ τότε πεποιηκὼς ἐπιδείκνυται. ζητῶν γὰρ τὸν τῷ Θεῷ κεχαρισμένον καὶ ἄξιον εὑρεῖν, οὐκ ἀξιόπιστον εἰς μαρτυρίαν ᾠήθη πλοῦτον παραλαβεῖν καὶ ἀξίωμα, καὶ τὰς κατὰ τὸν κόσμον τοῦτον περιφανείας, ὧν οὐδὲν ἐν τοῖς τῶν ἀγαθῶν καταλό-
D γοις ὁ θεῖος ἀπηριθμήσατο λόγος. οὐ τοῦτο μόνον τοίνυν ἐστὶν ἐπαίνου τε καὶ θαύματος ἄξιον, τὸ μὴ προέσθαι τὰς τῶν δυναστευόντων σπουδάς· ἀλλὰ καὶ διὰ τῶν ἐφεξῆς αὐτὸς ἑαυτὸν ὑπερβάλλειν. ὁ γὰρ μόνον τὴν ἀνάξιον ἀπωσάμενος ψῆφον, μὴ προσθεὶς δὲ τῇ χρείᾳ τὸ λοιπόν, τὸ μὲν κακὸν ἐκώλυσεν· τὸ δὲ ἀγαθὸν οὐκ ἐποίησεν. ὁ δὲ πρὸς τῷ μὴ συνθέσθαι τῷ χείρονι, καὶ τὸ καλὸν ἐξευρών, δι' ἀμφοτέρων ἐπλείωσε τὸ ἀγαθόν, οὔτε

τῷ κακῷ συγχωρήσας τὴν πρόοδον, καὶ τὸ καλὸν προαγαγὼν εἰς ἐνέργειαν. ὡς κατὰ ἀμφότερα γενέσθαι τὴν εὐεργεσίαν τοῦ μεγάλου Γρηγορίου ἐν τῇ πόλει. τό τε κατ᾽ ἄγνοιαν παρ᾽ αὐτῶν πλημμελούμενον ἐπιστρέψαντος, καὶ τὸ κεκρυμμένον παρ᾽ αὐτοῖς ἀγαθὸν δι᾽ ἑαυτοῦ φανερώσαντος. πάντων δὲ κατὰ γνώμην τῷ μεγάλῳ προκεχωρηκότων τῇ συμμαχίᾳ τοῦ ἁγίου πνεύματος, οὐκ ἄκαιρον ἂν εἴη, καὶ τὸ τῆς ὁδοῦ πάρεργον διηγήσασθαι, ὡς ἂν διὰ πάντων, ἡ συμπαροῦσα τῷ ἀνδρὶ χάρις ἐπιδείκνυτο. ἐπειδὴ γὰρ ἅπασι πρόδηλον ἦν, ὅτι τοῦτο πρὸ πάντων τῷ ἀνδρὶ ἐσπούδαστο. τὸ πάντα πρὸς τὴν τῶν δεομένων παραμυθίαν βλέπειν· εἴτε πρὸς κέρδος ὁρῶντες ἐκ τῶν Ἑβραίων δύο τινὲς, εἴτε τινὰ μῶμον κατὰ τοῦ ἀνδρὸς ἐπινοοῦντες, ὡς εὐκόλως πρὸς τὸ ἐξαπατᾶσθαι διακειμένου, παραφυλάσσουσιν αὐτοῦ τὴν ἐπάνοδον. καὶ τούτων ὁ μὲν, τεθνάναι δόξας ἐν ὑπτίῳ τεταμένος τῷ σχήματι, κατὰ τὸ πλάγιον τῆς λεωφόρου προέκειτο· ὁ δὲ ἕτερος ἐπικωκύων δῆθεν τῷ κειμένῳ, τὰς τῶν θρηνούντων φωνὰς ὑπεκρίνατο, καὶ παριόντα τὸν μέγαν ἐπεβοᾶτο, λέγων· ἀθρόως συσχεθέντα θανάτῳ τὸν δείλαιον τοῦτον, γυμνὸν κεῖσθαι καὶ πρὸς ταφὴν ἀπαράσκευον. ἐδεῖτο τοίνυν τοῦ μεγάλου μὴ περιιδεῖν ἐπ᾽ αὐτῷ τὴν ὁσίαν ψυχὴν, ἀλλ᾽ οἶκτόν τινα τῆς πενίας λαβόντα παρασχεῖν ἐκ τῶν ἐνόντων τὸν ἔσχατον κόσμον ἐπιβληθῆναι τῷ σώματι. ὁ μὲν ταῦτα καὶ τὰ τοιαῦτα λέγων, ἱκέτευεν. ὁ δὲ μελλήσας οὐδὲν, τὴν περικειμένην αὐτῷ διπλοΐδα ἐπιβαλὼν τῷ κειμένῳ, τοῦ πρόσω τῆς ὁδοιπορίας εἴχετο. ἐπεὶ δὲ διαβαίνοντος ἐκείνου, ἐφ᾽ ἑαυτῶν ἦσαν οἱ ταῦτα κατ᾽ αὐτοῦ παίξαντες, μεταβαλὼν ὁ ἀπατεὼν ἐκεῖνος τὸν ἐσχηματισμένον θρῆνον εἰς γέλωτα, διανίστασθαι τῷ κειμένῳ παρεκελεύετο, ὑφ᾽ ἡδονῆς τῷ ἐκ τῆς ἀπάτης αὐτοῖς προσγενομένῳ κέρδει ἐπικαγχάζων. ὁ δὲ ἦν ἐν ὁμοίῳ τῷ σχήματι μηδενὸς ἀκούων τῶν λεγομένων. τοῦ δὲ γεγωνοτέρᾳ τῇ φωνῇ κεχρημένου, καὶ ἅμα τῷ ποδὶ διεγείροντος, οὐδὲν μᾶλλον ὁ κείμενος, οὔτε τῆς φωνῆς ἐπήκουεν, οὔτε τῆς πληγῆς ἐπῃσθάνετο. ἀλλ᾽ ἦν ὁμοίως ἐκτεταμένος τῷ σχήματι· νεκρὸς γὰρ ἦν ὁμοῦ τῇ ἐπιβολῇ τοῦ ἱματίου, κατὰ ἀλήθειαν ἐν τῷ θανάτῳ γενόμενος ὃν ἐπὶ τῇ ἀπάτῃ τοῦ μεγάλου καθυπεκρίνετο, ὥστε μὴ ψευσθῆναι τὸν τοῦ θεοῦ ἄνθρωπον,

A neque malo aditum dat, & bonum ad effectum producit, adeò vt vtraque ratione beneficium magni Gregorij ciuitati contigerit, qui & id quod per ignorantiam ab iis delinquebatur, auerterit, & bonum apud eos abſconditum per ſeſe patefecerit. Cùm autem omnia magno illi viro auxilio ſancti Spiritus ex ſententia ſucceſſerint, non intempeſtiuum fuerit, etiam acceſſorium opus itineris commemorare, quò per omnia gratia, quæ viro vnà aderat, oſtendatur. Quoniam enim omnibus palàm erat, quòd hoc ante omnia ſibi ſtudio B haberet, vt in omnibus rebus ad egentium conſolationem præſto eſſet: quod quidam Hebræi ſiue lucrum ſpectantes, ſiue vituperationem quandam aduerſus virum, vt qui fraudi ac deceptioni oportunus eſſet, quærentes eius reditum obſeruant. Atque horum vnus quidem, qui mortuus eſſe videbatur, ſupino habitu extenſus per tranſuerſam viam publicam proiectus erat; alter verò iacentem ſcilicet deplorans, lamentantium voces imitabatur, ac prætereuntem magnum illum virum inclamabat dicens: repentè morte correptus C hic miſer nudus iacet, eique deeſt apparatus ad ſepulturam. rogabat igitur magnum iſtum virum, ne negligeret in eo iuſta mortuorum, ſed miſertus aliquo modo paupertatis, præberet ex iis rebus quæ ſuppeterent, quo extremus ornatus corpori inijceretur. Ille quidem hæc & talia dicens ſupplicabat: hic verò nihil cunctatus ſuper iacentem iniecta diploide, qua circumdatus erat, iter ſuum porrò proſequebatur: ſed poſteaquam digreſſo illo, ſoli erant à quibus ita deluſus erat, mutata in riſum ſimulata lamentatione impoſtor D ille iacentem vt ſurgeret, hortabatur, præ gaudio ob lucrum fraude quęſitum cachinnans. At alter erat in eodem habitu, nihil exaudiens eorum quæ dicebantur. Cum autem ille clariore voce vteretur, ac ſimul pede trudens eum excitare niteretur, nihilo magis qui iacebat vel vocem exaudiebat, vel ictum ſentiebat: ſed in eodem habitu extenſus erat. Mortuus enim erat, cùm ſimulatq; pallium ſuper eum iniectum erat, vera morte, quam decipiendi magni illius cauſſa ſimulauerat, correptus expiraſſet, adeò vt homo ille diuin⁹ haud falſus ſit,

ſed cuius rei gratia pallium ab eo datum erat, ad hanc rem ei qui accepiſſet, vſui eſſet. Quòd ſi acerbum & atrox eiuſmodi facinus magnæ illius & fidei & potentiæ eſſe videtur, nemo quaſi rem nouam miretur, ſed ad magnum illum Petrum reſpiciat. Nam & ille non benefaciẽdo duntaxat virtutem, qua præditus erat demonſtrabat, cùm & eum, qui claudus natus erat, currẽtem atque ſaltantem populo oſtenderet, & ſui corporis vmbra ad quoſcumque eam ſol, tranſeunte Apoſtolo, ex tranſuerſo corpori incumbens adigeret, ægrotantium morbos ſanaret: verumetiam Ananiam, qui inſitam Apoſtolo virtutem contemnebat, morte condemnat: vt illius, opinor, pœna quiſquis in populo eodem contemptionis morbo laboraret, ad ſaniorem opinionem reuocaretur, cùm exemplo horrendo coërceretur, ne & ipſe committeret vt iiſdem pœnis ſubijceretur. Meritò igitur imitator Petri, cum per multa benefica miracula magnitudinem potentiæ oſtendiſſet, etiam eum, qui aduerſus ſpiritum fraudem facere conatus eſſet, veracem aduerſus ſeipſum effecit. Oportebat enim, opinor, mendacij euerſorem etiam deceptoris mendacium conuertere in veritatem, vt omnibus per hoc palàm fieret, quòd & quicquid à magno illo tum diceretur, tum fieret, verum eſſet: & quodcumque pro vero accepiſſet, mendacium non eſſet. Ac Iudæi quidem, quemadmodum dictum eſt, magni illius potentiam, vt rebantur, ludificati, documento cæteris fuerunt: non tentandam eſſe fraudem, in quibus Deus eorum, quæ tentaueris, accuſator exiſtit. Poſt hæc cum quidam conuentus ſub dio quodam in loco regionis aliquando fuiſſet, atque omnes admiratione doctrinæ tenerentur: adoleſcentulus quidã ad congregatos clamabat, non à ſeipſo magiſtrum ea dicere, ſed alterum ei aſſiſtentem verba proferre. Cùm autẽ dimiſſo conuentu puer ad eum adductus eſſet, dixiſſe magnus iſte fertur ad eos, qui aderant, adoleſcentulũ à dæmone integrũ nõ eſſe: ac ſimul detractũ ſibi linteolum, quod in humeris geſtabat, & oris ſui animæ admotum, ita iniecisse iuueni. Quo facto, turbari cœpit & exclamare adoleſcentulus, & humi proſterni & huc illuc iactari, & omnibus affici incommodis, quæ à dæmonibus prouenire ſolent.

A ἀλλ' οὗ χάριν ἐδόθη παρ' αὐτοῦ τὸ ἱμάτιον, εἰς τοῦτο τοῖς λαβοῦσι γενέσθαι χρήσιμον. εἰ δὲ σκυθρωπὸν εἶναι δοκεῖ τὸ τοιοῦτον ἔργον τοῦ μεγάλου πίστεώς τε καὶ δυνάμεως, ἐξεταζέσθω μηδεὶς πρὸς τὸν μέγαν Πέτρον ὁρῶν. καὶ γὰρ ἐκεῖνος, οὐ δι' ὧν εὐεργέτει μόνον τὴν προσοῦσαν ἐπεδείκνυτο δύναμιν, τὸν ἐκ γενετῆς χωλὸν τρέχοντα τῷ λαῷ δεικνὺς καὶ διαλλόμενον, ἢ τῇ σκιᾷ τοῦ ἰδίου σώματος ἰατρεύων τῶν ἀρρωστούντων τὰ πάθη, οἷς ἂν ἐπήγαγε κατὰ τὴν πρόσοδον τοῦ ἀποστόλου διὰ πλαγίου τῷ σώματι περιβάλλων ὁ ἥλιος· ἀλλὰ καὶ τοῦ Ἀνανίου πρὸς
B τὴν ἐνοικοῦσαν τῷ ἀποστόλῳ δύναμιν καταφρονητικῶς διατεθέντος, καταδικάζει τὸν θάνατον· ὡς ἂν, οἶμαι, τῷ κατ' ἐκεῖνον φόβῳ πᾶν τὸ καταφρονοῦν ἐν τῷ λαῷ σωφρονέστερον γένηται τῷ φοβερῷ ὑποδείγματι, πρὸς τὸ μὴ τοῖς αὐτοῖς ἐγχειρεῖσθαι παιδαγωγούμενον. εἰκότως τοίνυν ὁ μιμητὴς τοῦ Πέτρου διὰ πολλῶν τῶν κατὰ τὰς εὐεργεσίας θαυμάτων δείξας τὸ δυνάμεως μέγεθος, καὶ τὸν κατὰ τοῦ πνεύματος χρήσασθαι τῇ ἀπάτῃ ἐπιχειρήσαντα ἀληθεῦσαι περὶ αὐτοῦ παρεσκεύασεν. ἔδει γάρ, οἶμαι, τὸν καθαι-
C ρέτην τοῦ ψεύδους, καὶ ἐν τῷ ἀπατῶντι τὸ ψεῦδος μεταβάλλειν εἰς ἀλήθειαν, ὡς ἂν ἅπασι διὰ τούτου γένοιτο δῆλον, ὅτι καὶ πᾶν τὸ παρὰ τοῦ μεγάλου λεγόμενον ἀληθὲς ἦν, καὶ ὅπερ ἂν ὡς ἀληθὲς προσεδέξατο, ψεῦδος οὐκ ἦν. οἱ μὲν οὖν Ἰουδαῖοι κατὰ τὸν ῥηθέντα τρόπον τῆς τοῦ μεγάλου δυνάμεως, ὡς ἐνόμισαν, καταπαίξαντες, παίδευμα τοῖς ἄλλοις ἐγένοντο, μὴ καταταλμᾶν τῆς ἀπάτης, ἐφ' ὧν ὁ Θεὸς γίνεται τῶν τολμηθέντων κατήγορος. μετὰ ταῦτα δὲ συλλόγου τινὸς κατὰ τὸ ὕπαιθρον ἔν τινι τῶν κατὰ τὴν χώραν τόπων γεγενημένου ποτέ, καὶ πάντων θαυμαστικῶς διακειμένων
D πρὸς τὰ διδάγματα, μειράκιόν τι πρὸς τοὺς συνεστῶτας ἐβόα, μὴ παρ' αὐτοῦ ταῦτα τὸν διδάσκαλον λέγειν, ἀλλ' ἕτερον αὐτῷ παρεστῶτα διεξιέναι τοὺς λόγους. προσαχθέντος δὲ τοῦ παιδὸς μετὰ τὸ διαλυθῆναι τὸν σύλλογον, εἰπεῖν λέγεται πρὸς τοὺς παρόντας ὁ μέγας, μὴ καθαρεύειν ἐκ δαίμονος τὸ μειράκιον· καὶ ἅμα περιελόμενον ἑαυτοῦ τὸ ἐπὶ τοῦ ὤμου ὀθόνιον, καὶ προσαχθέντα τῷ ἄσθματι τοῦ ἰδίου στόματος, οὕτως ἐπιρρῖψαι τῷ νέῳ. γενομένου δὲ τούτου, ταράσσεσθαι ἤρξατο, καὶ ἀναβοᾶν τὸ μειράκιον, καὶ καταπίπτειν, καὶ διαρρίπτεσθαι, καὶ πάντα πάσχειν τὰ ἐκ δαιμόνων πάθη.

εἶτα ἐπιβαλόντος τοῦ ἁγίου τὴν χεῖρα, καὶ τὴν ταραχὴν κατευνάσαντος, ἀποπτῆναι μὲν αὐτοῦ τὸ δαιμόνιον, τὸν δὲ πάλιν ἐν καταστάσει γενόμενον, μηκέτι λέγειν ὁρᾶν ἐπὶ τοῦ ἁγίου τὸν συμφθεγγόμενον. καὶ γὰρ δὴ καὶ τοῦτο τῶν μεγάλων ἐκείνου θαυμάτων ἐστί, τὸ μηδεμιᾷ τῇ περιεργίᾳ, τὰ κατὰ τὰς ἰάσεις ἐπιτελεῖν θαύματα. ἀλλ' ἀρκεῖν πρός τε τὴν τῶν δαιμόνων ἀπαλλαγήν, καὶ πρὸς τὴν ἴασιν τῶν ἀρρωστημάτων τοῦ σώματος τὸ ἐκ τοῦ στόματος αὐτοῦ ἆσθμα διὰ τῆς ὀθόνης τοῖς κάμνουσι προσαγόμενον. ἀλλὰ τὸ μὲν πᾶσι ἐφεξῆς τοῖς παρ' ἐκείνου θαύμασιν ἐπεξιέναι, μακρᾶς ἂν εἴη συγγραφῆς, καὶ λόγου, τὴν παροῦσαν σχολὴν ὑπερβαίνοντος· ἑνὸς δὲ ἢ δυοῖν ἔτι τῶν περὶ αὐτοῦ λεγομένων ἐπιμνησθεὶς, ἐν τούτοις περιγράψω τὸν λόγον. πανταχοῦ γὰρ ἤδη διαπεφοιτηκότος τοῦ θείου κηρύγματος, καὶ πάντων κατά τε τὴν πόλιν, καὶ τὴν περίοικον, πρὸς τὴν εὐσεβῆ τοῦ δόγματος πίστιν μετατεθέντων, βωμῶν τε καὶ ἱερῶν καὶ εἰδώλων ἐν αὐτοῖς ἀνατετραμμένων, καθαρθείσης δὲ ἤδη τῆς ἀνθρωπίνης ζωῆς τῶν περὶ τὰ εἴδωλα μιασμάτων καὶ τῆς μιαρᾶς τῶν θυσιῶν κνίσσης ἀποσβεσθείσης, καὶ τοῦ ἐπιβωμίου λύθρου καὶ τῶν ἐκ τῆς ζωοθυσίας μολυσμάτων ἀποκλυσθέντων. πάντων δὲ κατὰ τόπον πάντα εὐκτηρίους ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ κατὰ σπουδὴν ναοὺς ἀνεγειρόντων. θυμὸς καὶ φθόνος εἰσέρχεται τῷ τηνικαῦτα τῆς ἀρχῆς τῶν Ῥωμαίων ἐπιστατοῦντι, ἐφ' οἷς ἠμελεῖτο μὲν αὐτοῦ τὰ πάτρια τῆς ἀπάτης σεβάσματα, ηὔξετο δὲ τῶν Χριστιανῶν τὸ μυστήριον. καὶ εἰς πλῆθος ἐπιδίδου πανταχοῦ τῆς οἰκουμένης ἡ ἐκκλησία, διὰ τῶν ἀεὶ προστιθεμένων τῷ λόγῳ, πρὸς μέγεθος αὔξουσα· καὶ νομίσας δυνατὸν εἶναι τῇ ἰδίᾳ δυνάμει τὴν ἰδίαν ἀντιστῆσαι πικρίαν, καὶ ἐπισχεῖν μὲν τοῦ μυστηρίου τὸ κήρυγμα, καταλῦσαι δὲ τῶν ἐκκλησιῶν τὰ συστήματα. μεταστῆσαι δὲ πάλιν ἐπὶ τὰ εἴδωλα τοὺς προσκεχωρηκότας τῷ λόγῳ. πέμπει τοίνυν πρὸς τοὺς τῶν ἐθνῶν καθηγουμένους πρόσταγμα. φοβερὰν καὶ αὐτῶν τὴν ἀπειλὴν τῆς τιμωρίας ὁρίζων. εἰ μὴ παντοίοις αἰκισμοῖς τοὺς τὸ ὄνομα τοῦ Χριστοῦ προσκυνοῦντας διαλωβήσοιντο, καὶ προσαγάγοιεν πάλιν αὐτοὺς φόβῳ τε καὶ τῇ τῶν αἰκισμῶν ἀνάγκῃ τῇ πατρῴᾳ

A Deinde cùm ſanctus ille manum inieciſſet, & turbationem ſedaſſet, dæmonium quidem ab eo auolaſſe, ipſe verò rurſus ad priorem ſtatum atque tranquillitatem redactus, non amplius dixiſſe fertur, quòd videret, ſancto adſiſtentem qui vnà loqueretur. Etenim etiam hoc nimirum ad magna pertinet eius miracula, quòd nulla curioſitate & exquiſita quadam ratione miracula ſanationum efficeret, ſed & ad dæmones fugandos & ad corporis morbos profligandos ſufficeret oris eius anhelitus, qui B per linteum laboranti cuique admouebatur. Cæterùm omnia quidem edita ab eo miracula deinceps ordine perſequi, prolixæ ſcripturæ res fuerit: & ſermonis qui præſens otiũ ſuperaret: vnius autem præterea alteriúſve eorum, quæ de eo feruntur miraculorum mentione atque commemoratione facta, his ſermonem circumſcribam. Nam cùm iam in omneis parteis diuini verbi prædicatio diuulgata eſſet, & omnes tam qui vrbem habitarent, quàm qui agrum vicinum incolerẽt, ad piam doctrinæ fidem traducti eſſent: altaribus atq; delubris, C quæque inibi inerant, ſimulachris euerſis: atque humana vita, iam ab inquinamentis ſimulachrorum expurgata: impuro hoſtiarum nidore extincto: altarium ſpurcitia atque mactatione & immolatione animalium contractis inquinamentis abſterſis omnibus, item in omni loco templa ad orandum ſub nomine Christi ſtudioſè extruentibus: furor quidam atque inuidia inuaſit eum, qui tunc præerat imperio Romanorum, eo quòd patrij quidem falſi cultus & religiones negligerentur, creſceret autem myſterium Chriſtianorum, & in multi- D tudinem vbique terrarum propagaretur Eccleſia per eos, qui ſemper ſermoni incumberent, in magnitudinem excreſcens: & arbitratus fieri poſſe, vt ſua ſæuitia diuinæ potẽtiæ reſiſteret, & myſterij quidem prędicationem inhiberet, & conſtitutas Eccleſias euerteret, traduceret autem rurſus eos, qui ſermoni adiuncti eſſent ad ſimulachra. His de cauſſis mittit ad rectores gentiũ edicta, quæ terribilium pœnarum in eos ſtatuendarum minas continebant, niſi omni genere tormentorum atque ſuppliciorum mulctaſſent eos, qui Chriſti nomen inuocarẽt & adorarent, metuq; ac tormentorum vi rurſus eos ad patrium

dæmonum cultum adduxiſſent. Vt autem hoc terribile atq; impium edictum magiſtratibus exhibitum eſt: quippe in omneis imperij parteis atq; prouincias peruenerat, qui ad hoc ipſum ab tyrannica crudelitate deſtinati & ordinati erant: ac talis quidem genti illius loci præerat, qui ad prauum ſtudium atque conatum nihil ſuperioris poteſtatis indigeret, cum ſuopte ingenio atque natura ſæuus, & iis qui ſermoni crediſſent infenſus eſſet: publicè propoſitis edictis ab eo denuntiatur, quòd vel fidem abiurare, vel omni genere ſuppliciorum, ac morte puniri oporteret. Nullaq; res alia vel publica vel priuata tunc ab iis, qui publica negotia tractabant, gerebatur ac curabatur, niſi vt oppugnarẽt atque punirent eos, qui fidem amplecterentur. Erant autem non in verborum duntaxat minis terrores: ſed vnà cum his varius carnificinarum & tormentorum apparatus omnem afferebat cõcuſſionem, etiam ante periculum hominibus formidinem inijciens. Enſes, ignis, beſtiæ, ſcrobes & foueæ: item inſtrumenta, quibus membra conſtringerentur & torquerentur: tum ferreæ ſellę ignitæ: tum ligna erecta:, in quibus ſtantium corpora dum intenderentur, terribilium vnguium violentis admotionibus lacerarentur. Atque alia item innumera ad varia corporum tormenta exquiſita ab iis excogitabantur: ac ſtudium iis, qui eas poteſtates ſuſceperant, vnum erat, ne quiſquam alteri ſecundus exuperantia ſæuitiæ mitior videretur. Nam alij quidam deferebant, alij verò demonſtrabant, nonnulli item celatos & occultatos ſcrutabãtur: pars fugientibus inſtabant: nonnulli item poſſeſſionibus fidelium inhiantes, quò potirentur earum, ſub prętextu pietatis vexabant & exagitabant eos, qui fidem amplecterentur: ac ſumma erat in gente confuſio, magnaque trepidatio, omnibus inter ſe ſuſpectis, non patribus filiorum beneuolentia in diſcriminibus atque periculis permanente: non filiis fidam paternam curationem ſpondente natura: ſed familiæ atque cognationes aliæ ab aliis in religionum ſectas diductæ diſſidebant: ac filius Græcorum errores amplectens, fideliũ parentum proditor: filij fidem amplexi pater in infidelitate manẽs accuſator erat: frater item eadem de cauſſa naturam oppugnabat,

A τῶν δαιμόνων λατρεία. ὡς δὲ παρεισηγγέλθη τοῖς ἄρχουσι τὸ φοβερὸν τοῦτο καὶ ἄθεον κήρυγμα, πανταχοῦ τῆς ἀρχῆς διαπεφοιτηκότων τῶν εἰς αὐτὸ τοῦτο παρὰ τῆς τυραννικῆς τεταγμένων ὠμότητος. καί τις ἐπεκράτει τοῦ κατὰ τὸν τόπον ἔθνους τοιοῦτος, ὡς μηδὲν τῆς ὑπερκειμένης ἐξουσίας πρὸς τὴν πονηρὰν ὁρμὴν δεηθῆναι. οἴκοθεν ἔχων ἐκ φύσεως τὴν ὠμότητά τε καὶ πικρότητα, καὶ τὴν πρὸς τοὺς πεπιστευκότας τῷ λόγῳ δυσμένειαν. καὶ γὰρ παρ' αὐτοῦ φοβερὸν ἐν δημοσίοις διατάγμασι, τὸ δεῖν ἐξόμνυσθαι τὴν πίστιν, ἢ τιμωρίαις
B παντοδαπαῖς καὶ θανάτοις κολάζεσθαι. καὶ οὐδὲν ἦν ἕτερον τηνικαῦτα δημόσιόν τε καὶ ἴδιον παρὰ τῶν τὰ κοινὰ διὰ χειρὸς ἐχόντων γινόμενόν τε καὶ σπουδαζόμενον, πλὴν τοῦ πολιορκεῖν τε καὶ τιμωρεῖσθαι τοὺς ἀντεχομένους τῆς πίστεως. ἦν δὲ οὐκ ἐν ταῖς τῶν λεγομένων ἀπειλαῖς μόνον τὰ φοβερά· ἀλλὰ μετὰ τούτων ἡ ποικίλη τῶν κολαστηρίων κατασκευή, πᾶσαν ἐποίει κατάπληξιν, καὶ πρὸ τῆς πείρας ἐμποιοῦσα τοῖς ἀνθρώποις τὸν φόβον. ξίφη τε, καὶ πῦρ, καὶ θηρία, καὶ βόθροι, καὶ τὰ στρεβλωτικὰ τῶν μελῶν ὄργανα· καὶ σιδηραῖ κατὰ πυρὸς καθέδραι, καὶ ξύλα ὄρθια, οἷς ἐντεινόμενα
C τῶν ἐνισταμένων τὰ σώματα ταῖς τῶν φοβερῶν ὀνύχων προσβολαῖς κατεξαίνετο. καὶ ἄλλα μυρία πρὸς τὰς πολυειδεῖς βασάνους τῶν σωμάτων ἐξευρημένα παρ' αὐτοῖς ἐπενοεῖτο. καὶ σπουδὴ τοῖς τῶν ἐξουσιῶν τούτων ἐπειλημμένοις ἦν μία, τὸ μηδένα τοῦ ἑτέρου ἐν ὑπερβολῇ πικρίας ἐπιδείξασθαι πρᾳότερον. καὶ οἱ μὲν εἰσήγγελλον· οἱ δὲ, ἐπεδείκνυον· οἱ δὲ, ἠρεύνων τοὺς κεκρυμμένους. ἄλλοι τοῖς φεύγουσιν ἐπετίθεντο, ἄλλοι δὲ πρὸς τὰς κτήσεις τῶν πιστῶν ὁρῶντες, ὡς ἂν ἐγκρατεῖς γένοιντο τῶν πραγμάτων, ἐπὶ τῷ προσχήματι τῆς εὐσεβείας, ἤλαυνον τοὺς ἀντεχομένους τῆς
D πίστεως. σύγχυσις δὲ ἦν πᾶσα κατὰ τὸ ἔθνος, καὶ ἀμηχανία πολλὴ, πάντων ἀλλήλοις δι' ὑποψίας ὄντων, οὐ πατράσι τῆς παρὰ τῶν τέκνων εὐνοίας ἐν τοῖς φοβεροῖς παραμενούσης. οὐ παισὶ τὸ πιστὸν τῆς πατρικῆς κηδεμονίας ἐγγυωμένης τῆς φύσεως. ἐμερίζετο δὲ κατ' ἀλλήλων τὰ γένη πρὸς τὰς θρησκείας σχιζόμενα. καὶ παῖς Ἑλληνίζων πιστῶν γονέων προδότης ἐγίνετο, καὶ κατὰ παιδὸς πεπιστευκότος ἐν ἀπιστίᾳ μένων ὁ πατὴρ, κατήγορος ἦν. καὶ ἀδελφὸς ἐκ τῆς αὐτῆς αἰτίας ἐπολέμει τῇ φύσει,

ὅσιον κρίναντα τὸν ὁμόφυλον τιμωρήσασθαι, εἰ τῆς εὐσεβείας ἀντέχοιτο. ἐντεῦθεν πλήρεις μὲν ἦσαν αἱ ἐρημίαι τῶν ἐλαυνομένων· κεναὶ δὲ τῶν οἰκητόρων αἱ οἰκίαι. πολλὰ δὲ τῶν δημοσίων οἰκημάτων, ταῖς τῶν καθειργνυμένων ἀπετέτακτο χρείαις. οὐ γὰρ ἦν ἱκανὰ τὰ δεσμωτήρια χωρεῖν ἐν ἑαυτοῖς τῶν διὰ τὴν πίστιν τιμωρουμένων πλῆθος. ἀγοραί τε πᾶσαι καὶ σύλλογοι, κοινοί τε καὶ ἰδιάζοντες, ἀντὶ τῆς συνήθους φαιδρότητος, τὰς τοιαύτας μετελάμβανον συμφοράς. τῶν μὲν ἐφελκομένων, τῶν δὲ ἀπαγομένων· ἄλλων ἐπὶ τοῖς γινομένοις ἢ γελώντων ἢ δακρυόντων· οὐ νηπίων ἦν ἔλεος, οὐ τιμὴ πολιᾶς, οὐκ ἀρετῆς αἰδὼς εἰσῄει τοῖς δυσμενέσιν· ἀλλ' ὡς ἐν αἰχμαλωσίᾳ, πᾶσα ἡλικία τοῖς πολεμίοις τῆς πίστεως ἔκδοτος ἦν. οὐδὲ ταῖς γυναιξὶν ἐδίδου ἡ φυσικὴ τοῦ γένους ἀσθένεια, τῶν τοιούτων δεινῶν ἐκτὸς μένειν· ἀλλ' εἷς ἦν κατὰ πάντων ὁ τῆς ὠμότητος νόμος, ἴσῳ τῷ μέτρῳ τῆς τιμωρίας τῶν γινομένων, ὑπάγων τὸν τῶν εἰδώλων ἀλλοτριούμενον, μὴ διακρίνων τὴν φύσιν. τότε οὖν ἰδὼν ὁ μέγας ἐκεῖνος τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, ὡς οὐ δυναμένων τῶν πολλῶν μέχρι τοῦ θανάτου τῆς εὐσεβείας προαγωνίσασθαι, σύμβουλος γίνεται τῇ ἐκκλησίᾳ μικρὸν ὑποχωρῆσαι τῇ φοβερᾷ προσβολῇ, κρεῖττον εἶναι ἡγούμενος διὰ φυγῆς τὰς ψυχὰς αὐτῶν περισώσασθαι, ἢ ἐστῶτας ἐπὶ τῆς τῶν ἀγώνων παρατάξεως, λιποτάκτας γενέσθαι τῆς πίστεως· καὶ ὡς ἂν μάλιστα πεισθεῖεν οἱ ἄνθρωποι, μηδένα κίνδυνον φέρειν τῇ ψυχῇ, τὸ τὴν πίστιν διὰ φυγῆς περισώσασθαι, τῷ καθ' ἑαυτὸν ὑποδείγματι, σύμβουλος τῆς ἀναχωρήσεως γίνεται· αὐτὸς πρὸ τῶν ἄλλων ἀναχωρήσας τῇ τοῦ κινδύνου φορᾷ. ἅμα δὲ καὶ τοῦτο τοῖς κρατοῦσι διὰ σπουδῆς μάλιστα ἦν, τὸ δι' ἐκείνου καθάπερ στρατηγοῦ χειρωθέντος, πᾶσαν διαλῦσαι τῆς πίστεως τὴν παράταξιν, καὶ τούτου χάριν ἐκεῖνον ὑπὸ χεῖρα ποιήσασθαι τοῖς ἐχθροῖς διεσπούδαστο. ὁ δὲ ἦν ἔρημόν τινα καταλαβὼν λοφίαν, ἔχων μεθ' ἑαυτοῦ τὸν ἐκ νεωκόρου κατ' ἀρχὰς προσαχθέντα τῇ πίστει, ἤδη τῇ χάριτι τῆς διακονίας ὑπηρετούμενον. τῶν δὲ διωκόντων κατ' ἴχνος ἑπομένων ἐν πλήθει πολλῷ, μηνύσαντος αὐτοῖς τὸν τόπον τινὸς ἐν ᾧ κατεκρύπτετο· οἱ μὲν ἐν κύκλῳ τὴν ὑπώρειαν τῆς λοφιᾶς διαλαβόντες ἐφύλαττον, ὅπως ἂν μηδαμόθεν αὐτῷ γένοιτο διαφυγεῖν, εἴπερ εἰς τοῦτο τραπείη.

A fas eſſe iudicans à conſanguineo pœnas expetere, ſi pietatem amplecteretur. Hinc plenæ quidem ſolitudines erant eorum, qui (ſuſpecti accuſatíve) profugiſſent: vacua verò atque deſerta ab habitatoribus domicilia erant: multa item ædificia eorum, qui vinculis coërcerentur, publicis vſibus deſtinata erant. Carceres enim capere in ſeſe non poterant eorũ multitudinem, qui propter fidem punirẽtur, omniaq; fora atque conuentus tam publici, quàm priuati pro conſueta hilaritate atq; lætitia eiuſmodi inuicem caſus atque calamitates accipie-
B bant, cùm alij quidem arriperentur: alij verò abducerentur: cæteri ob ea, quæ fierent vel lachrymarentur: non miſericordia infantium, non honor canitici, nõ virtutis verecundia in mẽtem veniebat infenſis: ſed tanquam in vrbe capta omnis ętas hoſtibus fidei quaſi dedititia atque obnoxia erat: ne mulierũ quidem naturali ſexus infirmitati indulgebatur, vt eiuſmodi periculis exẽptæ manerent, ſed vnà aduerſus omneis crudelitatis erat lex eodem pœnæ modo, nullo diſcrimine ſexus habito, ſubijciens eum qui à
C ſimulachris eſſet alienus. Tunc magnus ille vir, animaduerſa atque conſiderata imbecillitate & fragilitate humanæ naturæ, quòd pleriq; non poſſent vſque ad mortẽ pro pietate decertare, author Eccleſię fit, vt terribilem illum impetũ atq; incurſum pauliſper declinaret, ſati⁹ eſſe ducens per fugam animas eorũ ſeruari, quam ſtantes in acie certaminum atque periculorũ fidei fieri deſertores: ac quo maximè hominibus perſuaderetur, nullum animæ periculum afferre, ſi vel per fugam quis fidem cõſeruaret, ſuo exem-
D plo author ſecedendi fit, ipſe ante alios ſecedendo periculi impetum deuitans: ſimul autẽ etiam hoc iis qui rerum potiebãtur, maximo ſtudio erat, vt illo tanquam duce capto omnẽ fidei aciem funderent ac diſſiparent, atque idcirco inimici annitebantur, vt illũ redigerent in poteſtatem. At ille vnà cum eo quem ab initio ad fidem ex ædituo adduxerat, diaconi iam munere fungente collem quendam deſertum occupauerat, perſequutores autem iudicio cuiuſdã edocti quo in loco lateret, magna multitudine veſtigiis inhærentes: alij quidem radicibus collis circumſeſſis obſeruabant, nè quà ſi fugam tentaſſet, euadere poſſit:

nonnulli verò, qui montem ſubierant in omnibus partibus ſcrutãtes, iam magno illi erant in conſpectu rectà ad eum ſubeuntes. Ille verò comitem hortatus, vt firma atque indubitata erga Deum fiducia conſiſteret, eique ſalutem committeret, ſimiliter atque ipſe faceret, manus ad orationem extendens, ac ne ſi propè quidem perſequutores acceſſiſſent, metu fidem excuſſam proijceret, exemplum eius rei, quam præcipiebat diacono ſeipſum præbebat, cùm & immotis oculis, & paſſis manibus & habitu arduo atque erecto cœlum intueretur. Atque hi quidem hæc agebant: illi verò, qui ad eum euaſerant, cùm locum totum perluſtraſſent, & inibi omnia dumeta atque arbuſta, omnia prominentia ſaxa, omneis cauernas voraginum cum ſumma diligentia perſcrutati eſſent, rurſus ad collis radices contendunt, vt metu perſcrutantium ille in fugam verſus in poteſtatem eorum veniret, qui infimam partem collis circumſepiſſent. Vt igitur neque ab his inuentus eſt, neque apud illos erat, atque ſpeculator ille locum vbi magnus ille conſiſteret, ſignis deſcribebat, in quo loco ſcrutatores præter duas duntaxat arbores paululũ inter ſe diſtantes neminem ſe vidiſſe affirmabant: digreſſis tandem ſcrutatoribus cum ſubſtitiſſet index, atque in oratione & ipſum illũ virũ magnum & comitem eius offendiſſet, atq; id ope diuina factũ eſſe iudicaret, vt illi perſequentibus arbores eſſe viderentur, procumbit ei ad pedes, creditq; ſermoni, & qui paulò antè perſequutor fuerat, vnus ex profugis fiebat. Cùm igitur multo tempore in ſolitudine manerent (inualeſcebat enim bellũ aduerſus fidem, præſide prouinciæ grauiter ſæuiente in eos, qui ſermoni pietatis adhærerent) atque omnes in fugam verſi eſſent: poſteaquam quod ad magnum illum virum attinet, deſperauerant eum aliquando in poteſtatem perſequentium venturum: tunc aduerſus reliquos rabioſam ſæuitiam ſuam vertentes, in omnibus partibus prouinciæ perſcrutabantur omneis ſimiliter tam mulieres & pueros, quàm viros, quicumque nomen Chriſti venerarentur, ac trahebant ad vrbem, & carceres complebant, pietatem eis alterius cuiuſpiam loco maleficij crimi-

A οἱ δὲ προσβάντες τῷ ὄρει, κατὰ πολὺ μέρος διερευνώμενοι, ἤδη καταφανεῖς ἐγίνοντο τῷ μεγάλῳ, κατ' εὐθεῖαν πρὸς αὐτὸν ἀνατρέχοντες. ἐκεῖνος δὲ διακελευσάμενος τῷ μετ' αὐτοῦ, στερρᾷ τε καὶ ἀδιστάκτῳ τῇ πεποιθήσει στῆναι πρὸς τὸν Θεὸν, καὶ καταπιστεῦσαι τὴν σωτηρίαν αὐτῷ, τὰς χεῖρας εἰς προσευχὴν ἀνατείνας, καὶ μηδ' εἰ πλησίον γένοιντο οἱ διώκοντες ἐκκρουσθῆναι τῷ φόβῳ τὴν πίστιν. ὑπόδειγμα δὲ τῆς παραγγελίας, ἑαυτὸν ἐποίει τῷ διακόνῳ· βλέπων τε πρὸς οὐρανὸν ἀμεταστρέπτῳ ὄμματι, B καὶ τεταμέναις ταῖς χερσὶν ἐν ὀρθίῳ τῷ σχήματι. καὶ οἱ μὲν ἐν τούτοις ἦσαν· οἱ δὲ πρὸς αὐτὸν ἀναδραμόντες, πανταχῇ τὸν τόπον περισκεψάμενοι, καὶ πᾶσαν ἔνστασιν θάμνου, καὶ πᾶσαν πέτρας προσβολὴν καὶ πᾶσαν ἐκ χαράδρας κοιλότητα μετὰ πάσης ἀκριβείας διερευνησάμενοι, πάλιν τὴν ὑπώρειαν καταλαμβάνουσιν, ὡς φόβῳ τῶν διερευνωμένων εἰς φυγὴν τραπόντων τοῖς κάτω περιεστοιχισμένοις ὑπὸ χεῖρα γενέσθαι. ὡς δὲ οὔτε παρὰ τούτων εὑρέθη, καὶ παρ' ἐκείνοις οὐκ ἦν. ὁ δὲ τὸν τόπον τῆς τοῦ με- C γάλου διαγωγῆς κατασκεψάμενος σημείοις ὑπέγραφεν. ἐν ᾧ διεβεβαιοῦντο οἱ ζητοῦντες μηδένα ἑωρακέναι, πλὴν εἰ μὴ δύο δένδρα μόνον μικρὸν ἀπ' ἀλλήλων διεστηκότα. ἀνακεχωρηκότων δὲ τῶν ζητούντων, ὑπολειφθεὶς ὁ μηνυτὴς, καὶ καταλαβὼν ἐν προσευχῇ αὐτόν τε τὸν μέγαν καὶ τὸν σὺν αὐτῷ. καὶ γνοὺς τὴν θείαν φρουρὰν, δι' ἧς ἐκεῖνοι δένδρα τοῖς διώκουσιν ἐνομίσθησαν, προσπίπτει τε αὐτῷ, καὶ πιστεύει τῷ λόγῳ. καὶ ὁ πρὸ βραχέος διώκτης, εἷς τῶν φευγόντων ἐγένετο. μενόντων τοίνυν κατὰ τὴν ἔρημον D χρόνον πολύν· ἐπεκράτει γὰρ ὁ κατὰ τῆς πίστεως πόλεμος· χαλεπῶς τοῦ καθηγουμένου κατὰ τῶν προστιθεμένων τῷ λόγῳ τῆς εὐσεβείας λυττῶντος, καὶ πάντων πρὸς φυγὴν τετραμμένων· ἐπεὶ δὲ κατὰ τὸν μέγαν αὐτοῖς ἀπ' ἐλπίδος ἦν, ὡς οὐκ ἄν ὑπὸ χεῖρά ποτε γενόμενοι τοῖς διώκουσι· τότε κατὰ τῶν ὑπολοίπων τὴν λυττώδη μανίαν ἑαυτῶν τρέψαντες, πανταχῇ κατὰ τὸ ἔθνος διηρευνῶντο πάντας ὁμοίως ἄνδρας τε καὶ γυναῖκας καὶ παῖδας, ὅσοις τὸ ὄνομα τοῦ Χριστοῦ τὸ σεβάσμιον ἦν· καὶ εἷλκον ἐπὶ τὴν πόλιν, καὶ τὰ δεσμωτήρια κατεπλήρουν, ἀντ' ἄλλης τινὸς ἀδικίας, ἔγκλημα ποιούμενοι καὶ αὐτοῖς τὴν εὐ-

σπουδῇ, ὡς μηδενὶ τότε τῶν κοινῶν προσασχολεῖσθαι τὰ δικαστήρια, ἢ τοῦτο μόνον διὰ σπουδῆς τοῖς κρατοῦσιν εἶναι, τὸ παντοίας αἰκισμοὺς καὶ τιμωρίας στρεβλώσεις δι' ἐπινοίας ἐπάγειν κατὰ τῶν ἀντεχομένων τῆς πίστεως. ἔνθα δὴ καὶ μᾶλλον πᾶσι κατάδηλον γέγονε, τὸ μηδὲν ἀθεεὶ τὸν μέγαν ἐκεῖνον βουλεύεσθαι. φυλάξας γὰρ ἑαυτὸν διὰ τῆς φυγῆς τῷ λαῷ, κοινὴ συμμαχία τοῖς ὑπὲρ τῆς πίστεως ἀγωνιζομένοις ἅπασιν ἦν. καθάπερ γὰρ περὶ τοῦ Μωϋσέως ἀκούομεν, ὅτι πόῤῥωθεν ἀφεστηκὼς τῆς τῶν Ἀμαληκιτῶν παρατάξεως, διὰ προσευχῆς ἐνετίθει τοῖς ὁμοφύλοις κατὰ τῶν ὑπεναντίων τὴν δύναμιν· κατὰ τὸν αὐτὸν τρόπον κἀκεῖνος, οἷον ἐφ' ὁρῶν τῷ ὀφθαλμῷ τῆς ψυχῆς τὰ γινόμενα, τὴν θείαν ἐπεκαλεῖτο συμμαχίαν ὑπὲρ τῶν ἐναθλούντων τῇ ὁμολογίᾳ τῆς πίστεως. καί ποτε μετὰ τῶν συνόντων κατὰ τὸ συνηθὲς τῷ Θεῷ προσευχόμενος, ἀθρόως ἀγῶνός τε καὶ θορύβου καταπλησθεὶς, ἔκδηλος ἦν ἐν τοῖς παροῦσιν οἷον ξενιζόμενος, καὶ ἐναγωνιῶν τῷ θεάματι, καὶ τὴν ἀκοὴν ἐπέχων, καθάπερ ἤχου τινὸς πρὸς αὐτὸν διαβαίνοντος. καὶ διαγενομένου διαστήματος οὐκ ὀλίγου, μείνας πάντα τὸν ἐν τῷ μέσῳ χρόνον, ἀκλινὴς καὶ ἀκίνητος, εἶθ' ὥσπερ τοῦ προκειμένου θεάματος εἰς ἀγαθὸν καταλήξαντος, πάλιν ἐπανῆλθέ τι πρὸς τὸ συνηθὲς, καὶ ἀνευφήμησε τὸν Θεὸν ἐν λαμπροτάτῃ φωνῇ, τὸν ἐπινίκιόν τε καὶ εὐχαριστήριον ὕμνον ἐπιφθεγξάμενος, ὃν πολλαχοῦ τῆς ψαλμῳδίας τοῦ Δαβὶδ ἀκούομεν λέγοντος· τὸ εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. τῶν δὲ περὶ αὐτὸν θαυμαστικῶς διατεθέντων, καὶ μαθεῖν ἀξιούντων, ὅτι ποτὲ εἴη τὸ ἐν ὀφθαλμοῖς αὐτοῦ γενόμενον θέαμα, εἰπεῖν λέγεται, μέγα πτῶμα κατὰ τὴν ὥραν ἐκείνην ἑωρακέναι καταπαλαισθέντος τοῦ διαβόλου ὑπὸ νεανίου τινὸς ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσι. τῶν δὲ ἀγνοούντων ἔτι τὸ εἰρημένον, σαφέστερον αὐτοῖς διηγεῖται, ὅτι συμμαχίᾳ κρείττονι κατὰ τὴν ὥραν ἐκείνην νεανίας τις τῶν εὐπατριδῶν, τοῖς ἱδρῶσι τῆς πίστεως ἐναγωνίσατο, προσαχθεὶς ὑπὸ τῶν δημίων τῷ ἄρχοντι. προσέθηκε δὲ καὶ τὸ ὄνομα, Τρωάδιον αὐτὸν ὀνομάσας· καὶ ὅτι μετὰ πολλὰς βασάνους, ἃς γενναίως ἐνεκαρτέρησε, τὸν διὰ τοῦ μαρτυρίου ἀνεδήσατο στέφανον. ἐκπλαγεὶς δὲ πρὸς τὸ ἀκουσθὲν ὁ

A ni dantes, adeò vt in nullo alio publico negocio iudicia tunc occupata eſſent, præterquam quod id ſolùm magiſtratus agebat, vt omne genus ſuppliciorum, variaque tormenta ſolerter excogitata adhiberent iis, qui fidem amplecterentur. Tunc verò etiam magis palàm omnibus fit, quod nihil non ſine numine diuino conſilij magnus ille vir iniret. Nam cùm per fugam ſe populo conſeruaſſet, commune omnibus pro fide decertantibus auxilium atque præſidium erat. Quemadmodum enim de Moyſe audimus, quòd cùm procul abeſſet ab B acie Amalechitarum, per orationem popularibus vires aduerſus hoſtes inijceret: eodem modo etiam ille quaſi animi oculis intueretur ea quæ fiebant, diuinum auxiliũ pro iis, qui nomine fidei confeſſionis decertarent, inuocabat, cúmque aliquando vnà cum familiaribus, vt ſolebat, Deum precaretur, repentè angore ac trepidatione repletus iis qui aderant quaſi rem nouam admirari, & eo, quod ſpectaret angi, & veluti ſono quodam ad eum pertinente, aureis admouere apertè videbatur; atque haud C exiguo præterito ſpatio cùm toto hoc intercedente tempore erectus & immotus permanſiſſet, deinde quaſi propoſitum ſpectaculum bonum euentum habuiſſet, & ad ſtatum priſtinum rediit, & clara voce Deũ laudauit, adijciens eum ſermonem, quo victoriam adepti vti ac Deo gratias agere ſolemus, quem in multis locis libri Pſalmorum Dauidem audimus pronuntiantem: Benedictus Deus, qui non dedit nos in prędam dentibus eorum. *Pſal. 123.* Familiaribus autem eius admirantibus & ſcire volentibus, quódnam id tandem ſpectaculũ fuiſſet, quod D ante oculos eius obuerſaretur, dixiſſe fertur, magnam ſe in illa hora vidiſſe ruinam, diabolo ab adoleſcente quodam in certaminibus pro pietate ſuſceptis deuicto. Atque illis adhuc non intelligentibus id quod dixiſſet, apertius eis exponit, quòd auxilio diuino in illa hora adoleſcens quidam nobilis in primis ab lictoribus ad pręſidem adductus, in certamine pro fide ſuſcepto deſudaſſet. Adiecit autem etiam nomen Troadium eum nominãs: & quòd poſt multa tormenta, quæ fortiter tolerauiſſet, martyrij corona redimitus eſſet. Obſtupefactus autẽ & attonitus his auditis diaco-

nus, cùm neque fidem derogare iis, quæ dicerentur, auderet, & ſimul excellẽtius quam humana natura caperet, eſſe iudicaret, qui procul abeſſet ab vrbe, cùm nemo hominũ eum de ſuis rebus certiorem feciſſet, hũc perinde ac ſi interfuiſſet, ad familiares loqui de rebus illis geſtis; orat magiſtrum, vt permitteretur ſibi oculis inſpicere, quæ acta eſſent, neu prohiberetur ab eo peruenire vſque ad ea loca, in quibus miraculũ editum erat: at illo periculoſum eſſe dicente verſari in medio virorum cædis auidorum, ac ſępè ex incurſu atque impetu aduerſarij poſſe accidere aliquid repẽtè pręter voluntatem, de quo cogitatum non eſſet: diaconus ſe precum eius auxilio confidere dixit, his verbis ad eum vtens. Tu me commenda Deo, & nullus ab hoſtibus terror me inuadet: cumque ille præſidium diuinum pro comite per preces vnà cum eo emiſiſſet, fiducię plenus iter faciebat ad neminẽ obuiam venientem ſeſe conuertens. Cùm autem veſperi in vrbem perueniſſet, & de via feſſus eſſet, defatigatum labore corpus lauacro curare neceſſe eſſe putabat. Dominabatur autem in illo loco dæmon quidam homicida, in balneo verſari ſolitus: cuius pernicioſa atque peſtifera vis in tenebris aduerſus propinquantes exercebatur, & idcirco poſt ſolis occaſum balneæ illæ non exercebantur, nemoque eò accedere id temporis ſolebat; ad quas ſtans diaconus præfectum loci rogabat, vt oſtium aperiret, & aditum ſibi præberet, neu inuideret ſibi quò minus corpus lauacro reficeret. Illo verò teſtante neminem, qui circa illam horam aquam ingredi auſus eſſet, ſuis pedibus reuerſum eſſe, ſed poſt veſperum dęmonium omneis in poteſtate habere: ac multos iam imprudentes in inſanabilia mala incurriſſe, quos pro ſperato leuamine lamentationes & ſepulturæ, & gemitus exceperũt. Hæc & eiuſmodi balneatore dicente, nihilo magis ille quicquã de cupiditate remittebat: ſed inſtabat omni modo vrgens eum, vt ſe intromitteret. At balneator in lucro ponens, ſi non vnà cum imperito hoſpite periclitaretur, cum clauem ei tradidiſſet, procul à lauacro diſcedit, poſteaquam autem nudatus intus erat multiplices quædam terrorum & concuſſionum materiæ à dęmonio inſtruebantur, ſpectra varia igni fumo mixtã naturam

A διάκονος, καὶ οὔτε ἀπιστεῖν τινὶ τῶν λεγομένων τολμῶν· καὶ ἅμα κρεῖττον τῆς ἀνθρωπίνης φύσεως εἶναι νομίσας, τὸ πόῤῥωθεν ὄντα τῆς πόλεως, μηδενὸς ἀνθρώπου τὰ κατ' αὐτὸν διαγγείλαντος, ὡς ἐφεστῶτα τοῖς πράγμασι λέγειν πρὸς τοὺς συνόντας περὶ τῶν ἐκεῖ γινομένων, ἱκέτης γίνεται τοῦ διδασκάλου ὀφθαλμοῖς ἐπιτραπῆναι καὶ γνῶναι τὰ πεπραγμένα· καὶ μὴ κωλυθῆναι παρ' αὐτοῦ γενέσθαι, μέχρι τῶν τόπων αὐτῶν, ἐν οἷς τὸ θαῦμα ἐγένετο. τοῦ δὲ φοβερὸν εἶναι λέγοντος, τὸ ἐν μέσῳ τῶν φονώντων γενέσθαι, καὶ
B πολλάκις ἐξ ἐπηρείας τοῦ ἀντικειμένου τι τῶν ἀβουλήτων παθεῖν, ἐπιθαρσεῖν ἔλεγεν ὁ διάκονος τῇ τῶν εὐχῶν αὐτοῦ συμμαχίᾳ, φθεγξάμενος ταύτην πρὸς αὐτὸν τὴν φωνήν· σύ με παράθου τῷ Θεῷ, καὶ οὐδείς μοι φόβος καὶ τῶν πολεμίων καθάψεται. τοῦ δὲ καθάπερ συνέμπορον αὐτῷ τὴν τοῦ Θεοῦ βοήθειαν διὰ τῆς εὐχῆς συνεκπέμψαντος, πεποιθὼς τὴν ὁδὸν διήει, πρὸς οὐδένα τῶν ἀπαντώντων ἐπιστρεφόμενος. ἑσπέριος δὲ τῆς πόλεως ἐντὸς γεγονώς, καὶ κοπώδης ἐκ τῆς ὁδοιπορίας γενόμενος, λουτρῷ θεραπεῦσαι
C τὸν κόπον ἀναγκαῖον ᾠήθη. ἐπεκράτει δὲ κατὰ τὸν τόπον ἐκεῖνον δαίμων τις ἀνθρωποκτόνος ἐπιχωριάζων τῷ λουτρῷ, οὗ ἡ φθοροποιὸς δύναμις ἐνεργὸς μετὰ σκότος κατὰ τῶν προσεγγιζόντων ἐγίνετο, καὶ τούτου χάριν ἄβατον τὸ λουτρὸν ἦν ἐκεῖνο μετὰ τὰς ἡλίου δυσμὰς καὶ ἀνενέργητον, ᾧ παραστὰς ἠξίου τὸν ἐπιτεταγμένον ἀνοῖξαι τὴν θύραν, δοῦναί τε τὴν εἴσοδον αὐτῷ καὶ μὴ φθονῆσαι τῆς ἐκ τοῦ λουτροῦ θεραπείας. τοῦ δὲ μαρτυρομένου μηδένα τῶν κατὰ τὴν ὥραν ἐκείνην κατατολμώντων
D τοῦ ὕδατος ἰδίοις ὑποστρέψαι ποσίν, ἀλλὰ πάντων μετὰ τὴν ἑσπέραν κατακρατεῖν τὸ δαιμόνιον· καὶ πολλοὺς ὑπ' ἀγνοίας ἤδη παθεῖν τὰ ἀνήκεστα, οἷς ἀντὶ τῆς ἐλπισθείσης ἀνέσεως θρῆνοι καὶ οἰμωγαὶ διεδέξαντο· ταῦτα καὶ τὰ τοιαῦτα διεξιόντος, οὐδὲν μᾶλλον ἐκεῖνος ὑφίει τῆς ἐπιθυμίας· ἀλλ' ἐνέκειτο παντὶ τρόπῳ καταναγκάζων αὐτόν, εἰς τὰ ἐντὸς παραδέξασθαι. ὁ δὲ τὸ μὴ συγκινδυνεῦσαι τῇ ἀγνοίᾳ τοῦ ξένου, κέρδος ποιούμενος, τὴν κλεῖν ἐπ' αὐτῷ ποιησάμενος, πόῤῥω τοῦ λουτροῦ ἀπαλλάσσεται. ἐπειδὴ δὲ γυμνωθεὶς ἐντὸς ἦν, πολύτροποί τινες φόβων, καὶ καταπλήξεων ἀφορμαὶ παρὰ τοῦ δαιμονίου συνεσκευάζοντο, φάσματα παντοδαπὰ πυρὶ καὶ κα-

πυρὶ μεμιγμένην τὴν φύσιν ἐπιδεικνύμενα, ἐν ἀνθρώπων καὶ θηρίων μορφῇ τοῖς ὀφθαλμοῖς ἐμπίπτοντα, ταῖς ἀκοαῖς ἐνηχοῦντα, τῷ ἄσθματι προσεγγίζοντα, κύκλῳ περὶ τὸ σῶμα χεόμενα. ὁ δὲ τὴν σφραγῖδα ἑαυτῷ προβαλλόμενος, καὶ τὸ τοῦ Χριστοῦ ἀνακαλῶν ὄνομα, ἀπαθὴς τὸν πρῶτον διεξῆλθε τὸν οἶκον. ἐπεὶ δὲ τὸ ἐνδότερον χωρήσας, χαλεπωτέροις ἐνέτυχε τοῖς θεάμασιν, εἰς φοβερωτέραν μετασκευασθέντος τοῦ δαιμονίου τὴν ὄψιν· καὶ ἅμα σεισμῷ καταχλονεῖσθαι τὸν οἶκον ᾤετο· καὶ τὸ ἔδαφος ὑπορρηγνύμενον, γυμνὴν ὑποδεικνύειν τὴν κάτω φλόγα, B σπινθῆρας τε φλογώδεις ἀπὸ τῶν ὑδάτων ἐκπίπτεσθαι, καὶ πάλιν αὐτῷ τὸ ἴσον ὅπλον ἡ σφραγὶς, καὶ τὸ τοῦ Χριστοῦ ὄνομα, καὶ ἡ διὰ τῶν εὐχῶν τοῦ διδασκάλου βοήθεια, τὰ φοβερὰ τῶν φαινομένων τε καὶ γινομένων διέχεεν. ἀνεθεὶς δὲ ἤδη τῷ ὕδατι, καὶ πρὸς τὴν ἔξοδον σπεύδων, πάλιν ἐκωλύετο, τοῦ δαιμονίου τῆς θύρας ἀντιλημμένου. ἀλλὰ καὶ τοῦτο πάλιν τὸ κώλυμα, διὰ τῆς ἴσης δυνάμεως αὐτομάτως ἐλύετο, τῇ σφραγῖδι τῆς θύρας ὑποχωρούσης. ἐπεὶ δὲ κατὰ νοῦν αὐτῷ προσκεχωρήκει τὰ πάντα, ἐκβοῆσαι λέγεται πρὸς C αὐτὸν ἀνθρωπίνῃ φωνῇ τὸ δαιμόνιον, μὴ ἐπ' αὐτῷ τὴν δύναμιν ἐκείνην λογίσασθαι, δι' ἧς τὸν ὄλεθρον ἔφυγεν. ἡ γὰρ φωνὴ τοῦ παραθεμένου αὐτὸν, τῷ φυλάσσοντι τὸ ἀπαθὲς ἐχαρίσατο. διασωθεὶς τοίνυν κατὰ τὸν εἰρημένον τρόπον, ἔκπληξιν παρέσχε τοῖς ἐπιστατοῦσι τοῦ τόπου, οὐδενὸς τῶν πώποτε κατὰ τὴν ὥραν ἐκείνην κατατολμησάντων τοῦ ὕδατος, ἐν τοῖς ζῶσι φανέντος. ἐπεὶ δὲ τούτοις τὰ καθ' ἑαυτὸν διηγήσατο, καὶ τὰ κατὰ τὴν πόλιν τῶν μαρτύρων ἀνδραγαθήματα, τοῦτον ἔγνω γεγενημένα τὸν τρόπον, ὃν ἐπὶ τῆς ἐρημίας ὁ μέγας διάγων προδιηγήσατο, προσαχθεὶς τοῖς περὶ αὐτοῦ διηγήμασί τε καὶ θαύμασι, δι' ὧν τε εἶδεν, D καὶ δι' ὧν ἤκουσεν, καὶ δι' ὧν τῇ ἑαυτοῦ πείρᾳ τῆς τοῦ μεγάλου πίστεως ἐδιδάχθη τὴν δύναμιν, ᾗ προσεμαρτύρησε τὸ δαιμόνιον, πάλιν ἀναστρέφει πρὸς τὸν διδάσκαλον· τοῖς τε κατ' αὐτὸν, καὶ τοῖς μετὰ ταῦτα κοινὸν ἀφεὶς φυλακτήριον τὸ διὰ τῶν ἱερέων ἕκαστον ἑαυτὸν τῷ Θεῷ παρατίθεσθαι· καὶ νῦν ἐστι μὲν κατὰ πᾶσαν τὴν ἐκκλησίαν, ἐξαιρέτως δὲ παρ' ἐκείνοις ἡ τοιαύτη φωνὴ τῆς τότε γεγενημένης τῷ ἀνδρὶ παρὰ τοῦ Γρηγορίου βοηθείας μνημόσυνον. τῆς δὲ τυραννίδος ἐκείνης ἤδη κατὰ θείαν

A præ ſe ferentia, in forma hominum & ferarum oculis incidentia, auribus inſonantia, anhelitu appropinquantia, vndique corpori ſe circumfundētia. At ille ſignum (crucis) ante ſeſe obijciens, Chriſtique nomen inuocans, primum conclaue illęſus tranſiuit, ad interiorem autem partem ædium progreſſus, in moleſtiora incidit ſpectacula, in terribiliorem faciem transformato dæmonio: & ſimul terræ motu concuti claue ei videbatur, adeò, vt etiam ſolum infrà ruptum, flammam, quæ ſubtus eſſet, nudam conſpiciendam præberet: ſcintil- B læque flammæ ab aquis emitterentur, ac rurſus eiſdem armis ſigno (crucis ſcilicet) & nomine Chriſti, præſidioque precum magiſtri terrores earum rerum, quæ tum apparebant, tum fiebant, diſcuſſit: cumq; iam aqua recreatus exire feſtinaret, rurſus prohibebatur à dæmone, qui oſtium occupauerat. Verum etiam hoc rurſus impedimentum per eandem vim ſponte ſua ianua cedente, ſigno (crucis) diſcutiebatur: poſteaquā autem ei omnia ex ſententia ſucceſſerant, exclamaſſe dicitur ad eum humana voce dæmonium, ne ſibi virtutem C illam imputaret, per quam perniciem effugiſſet; vocem enim eius, à quo cuſtodiæ atque præſidio diuino commendatus eſſet, hoc ei præſtitiſſe, vt ab incommodis tutus eſſet. Seruatus igitur, quemadmodum diximus, admirationi loci præfectis fuit, eò quòd nemo eorum, qui vnquam id temporis aquam ingredi auſi eſſent, inter viuos poſtea conſpectus eſſet. Cùm autem & hos quę ſibi accidiſſent, docuiſſet, & martyrum in vrbe fortia facta ita accidiſſe cognouiſſet, quemadmodum magnus ille vir in ſolitudine degens antè expoſuiſſet, propter eas res quas & vidiſſet & audi- D uiſſet, & per quas ſuo periculo atque experientia magni illius viri fidei vim, cui etiam dæmonium inſuper teſtimonium perhiberet, didiciſſet, (de miraculis eius non amplius dubitans,) iterum redit ad magiſtrum, & ſuæ ætatis hominibus & poſteris cōmune pręſidium relinquens, vt per ſacerdotes quiſque ſeſe Deo commendet, atque etiam nunc cùm per omnem Eccleſiam, tum præcipuè apud illos eiuſmodi vox pro monumento habetur auxilij atque præſidij, quòd tunc illi viro ab Gregorio præſtitum eſt. Cæterùm cùm iam auxilio diuino tyrannis

illa diſſoluta eſſet, ac pax rurſus humanam vitam excepiſſet, per quam expeditum erat ad arbitrium omnibus abundè propoſitum ſtudium erga numen diuinum, deſcendit rurſus ad vrbem, & omni circà regione vndique peragrata ac perluſtrata additamentum & quaſi corollarium ſtudij erga numẽ diuinum inſtituebat apud omneis vbique populos ſanciens, vt nomine eorum, qui pro fide decertaſſent, dies feſti atque ſolemnes conuentus celebrarentur: cumque alius in alium locum corpora martyrum diduxiſſent, per anniuerſarium circuli ambitum congregari lætabantur in honorem martyrum ferias agẽtes. Etenim etiam hoc nimirum magnæ ſapientiæ atque ſolertiæ eius documentum eſt, quod cùm omneis ſuæ prorſus ætatis ac gentis homines ad nouum vitæ inſtitutum transformaret, & tanquam auriga quidam naturæ præfectus fidei ac Dei agnitionis frenis eos firmiter ſubiugaret, indulgebat, vt paululum quiddam ſubditi ſub iugo fidei lætitia exultarent. Cùm animaduertiſſent enim quòd propter corporis voluptates ſimplex & imperitũ vulgus in errore ſimulachrorum cultus permaneret, quo maximè id, quod præcipuum eſt, interim in iis aſſequeretur, nempe vt vanis ſuperſtitionibus relictis ad Deum conuerterentur, permiſit eis, vt in memoriam ſanctorum martyrum ſeſe exhilararent & oblectarent, atque in lætitiam effunderentur: quòd ſucceſſu temporis aliquando futurum eſſet, vt ſua ſponte homines ad honeſtiorem & exactiorem vitæ rationem tranſirent: præſertim cùm etiam fides ad illam rem viam præmonſtraret, quę res nimirum iam etiam in pleriſque ſucceſſit, atque confecta eſt, omni voluptate à corporis oblectamentis ad ſpiritualem lætitiæ formam traducta. Cùm autem hoc modo ſe gereret, & munere ſuo fungeretur in Eccleſia adminiſtranda, & antequam excederet vita, cuperet omneis à ſimulachris ad ſalutarem fidem videre cõuerſos: vbi ſuum obitum præſenſit, ſtudioſè diligenterque totam vrbem, agrumque circà vicinum perſcrutatur, ſcire volens ecqui adhuc eſſent extra fidem relicti. Vt igitur cognouit, non plures ſeptemdecim eſſe, qui in antiquo errore permanſiſſent: Acerbum quidem etiã hoc, inquit ad Deum ſuſcipiens, deeſſe aliquid eorum plenitudini, qui ſeruantur: verumtamen magna

Martyrum feſta.

A συμμαχίας διαλυθείσης, καὶ πάλιν εἰρήνης
τὴν ἀνθρωπίνην ζωὴν διαδεξαμένης, καθ'
ἣν ἄδετος ἦν κατ' ἐξουσίαν προκειμένη πᾶ-
σιν ἡ περὶ τὸ θεῖον σπουδή, καταβὰς πάλιν ἐπὶ
τὴν πόλιν, καὶ πᾶσαν περινοστήσας ἐν κύκλῳ τὴν
χώραν, προσθήκην ἐποιεῖτο τοῖς ἁπανταχοῦ
λαοῖς τῆς περὶ τὸ θεῖον σπουδῆς, ταῖς ὑπὲρ τῶν
ἐναθληκότων τῇ πίστει πανηγύρεις νομοθετήσας.
καὶ διαλαβόντες ἄλλος ἀλλαχῇ τῶν μαρτύρων
τὰ σώματα, κατὰ τὴν ἐτήσιον τοῦ ἐνιαυσιαίου κύ-
κλου περίοδον συνιόντες, ἠγάλλοντο, τῇ τιμῇ τῶν
B μαρτύρων πανηγυρίζοντες. καὶ γὰρ δὴ καὶ τοῦτο
τῆς μεγάλης αὐτοῦ σοφίας ἀπόδειξις ἦν, ὅτι πρὸς
καινὸν βίον μεταρρυθμίζων πᾶσαν ἀθρόως τὴν
κατ' αὐτὸν γενεάν, οἷά τις ἡνίοχος ἐπιστὰς τῇ
φύσει, καὶ τοῖς τῆς πίστεως καὶ θεογνωσίας χα-
λινοῖς ἀσφαλῶς αὐτοὺς ὑποζεύξας, ἐνεδίδου
τι μικρὸν τῷ ζυγῷ τῆς πίστεως δι' εὐφροσύνης
ὑποσκιρτᾶν τὸ ὑπήκοον. συνιδὼν γὰρ ὅτι ταῖς σω-
ματικαῖς θυμηδίαις, τῇ περὶ εἴδωλα πλάνῃ πα-
ραμένει τὸ νηπιῶδες τῶν πολλῶν καὶ ἀπαίδευτον.
ὡς ἂν τὸ προηγούμενον τέως ἐν αὐτοῖς μάλι-
C στα κατορθωθείη τὸ πρὸς Θεὸν, ἀντὶ τῶν μα-
ταίων σεβασμάτων βλέπειν, ἐπαφῆκεν αὐτοῖς
ταῖς τῶν ἁγίων μαρτύρων ἐμφαιδρύνεσθαι μνή-
μαις, καὶ εὐπαθεῖν, καὶ ἀγάλλεσθαι, ὡς χρόνῳ
ποτὲ κατὰ τὸ αὐτόματον πρὸς τὸ σεμνότερόν τε
καὶ ἀκριβέστερον μετατεθησομένου τοῦ βίου, καὶ
πρὸς ἐκεῖνο καθηγουμένης τῆς πίστεως. ὅπερ δὴ
καὶ ἐν τοῖς πολλοῖς ἤδη κατώρθωται πάσης θυ-
μηδίας ἀπὸ τῶν τοῦ σώματος ἡδέων, πρὸς τὸ
πνευματικὸν τῆς εὐφροσύνης εἶδος μετατεθεί-
σης. τοῦτον δὲ τὸν τρόπον ἐμπολιτευόμενος τῇ
ἐκκλησίᾳ, καὶ σπουδὴν ἔχων περὶ τῆς ἐκ τοῦ
D βίου μεταστάσεως, πάντας ἰδεῖν πρὸς τὴν σω-
τήριον πίστιν ἀπὸ τῶν εἰδώλων μετατεθέντας·
ἐπειδὴ προέγνω ἑαυτοῦ τὴν μετάστασιν, σπουδῇ
πᾶσαν τὴν περιοικίδα διηρευνήσατο, μαθεῖν
θέλων εἴ τινες εἶεν οἱ περιλειφθέντες ἔξω τῆς
πίστεως. ἐπεὶ οὖν ἔγνω τοὺς παραμεμενηκότας
τῇ ἀρχαίᾳ πλάνῃ μὴ πλείους εἶναι τῶν ἑπτα-
καίδεκα, σκυθρωπὸν μὲν καὶ τοῦτο φησὶ πρὸς
τὸν Θεὸν ἀποβλέψας, τὸ λείπειν τι τῷ τῶν σω-
ζομένων πληρώματι. πλὴν ἀλλὰ μεγάλης

εὐχαριστίας ἄξιον, ὅτι τοσούτους καταλείπει τοὺς εἰδωλολάτρας τῷ μετ' αὐτὸν ἐκδεξομένῳ τὴν ἐκκλησίαν, ὅσους αὐτὸς Χριστιανοὺς ὑπεδέξατο. ἐπευξάμενος δὲ τοῖς τε πεπιστευκόσιν ἤδη τὴν εἰς τὸ τέλειον αὔξησιν, καὶ τὴν ἐπιστροφὴν τοῖς ἀπίστοις, οὕτω τοῦ ἀνθρωπίνου βίου πρὸς τὸν Θεὸν μετωρμίσατο, ἐπισκήψας τοῖς ἐπιτηδείοις, μὴ κτήσασθαι τόπον αὐτῷ πρὸς ταφὴν ἰδιάζοντα. εἰ γὰρ ζῶν, κύριος κληθῆναι τόπου τινὸς οὐκ ἐδέξατο, ἀλλὰ παροικῶν ἐν ἀλλοτρίοις τὸν βίον διήγαγεν, οὐδὲ μετὰ θάνατον τῇ παροικίᾳ πάντως ἐπαισχυνθήσεται: ἀλλ' ἔστω φησὶ, περὶ τῶν μετὰ ταῦτα βίῳ διήγημα, ὅτι Γρηγόριος οὔτε ζῶν ἐπωνομάσθη τόπῳ τινὶ, καὶ μετὰ θάνατον ἀλλοτρίων τάφων ἐγένετο πάροικος, πάσης τῆς ἐν τῇ γῇ κτήσεως ἑαυτὸν ἀποστήσας, ὡς μηδὲ ἐνταφιασθῆναι ἰδίῳ καταδέξασθαι τόπῳ· μόνην γὰρ αὐτῷ κτῆσιν τιμίαν εἶναι ἔκρινεν ἐκείνην, ἣ πλεονεξίας ἐφ' ἑαυτῆς ἴχνος οὐ δέχεται. τὴν δὲ ἀθρόαν παντὸς τοῦ ἔθνους μετάστασιν ἀπὸ τῆς Ἑλληνικῆς ματαιότητος εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας, θαυμαζέτω ἕκαστος τῶν ἐντυγχανόντων τῷ λόγῳ, καὶ μηδεὶς ἀπιστείτω, πρὸς τὴν οἰκονομίαν βλέπων, δι' ἧς γέγονεν ἡ τοσαύτη μεταβολὴ τῶν μεταθεμένων ἀπὸ τοῦ ψεύδους πρὸς τὴν ἀλήθειαν. ὃ γὰρ ἐν τοῖς πρώτοις αὐτοῦ τῆς ἱερωσύνης γεγενημένον χρόνοις, ὅπερ πρὸς τὰ λοιπὰ τῶν θαυμάτων ἐπειγόμενος ὁ λόγος παρέδραμεν, νῦν ἐπαναλαβὼν διηγήσομαι. ἑορτή τις ἦν πάνδημος ἐν τῇ πόλει, δαίμονί τινι τῶν ἐγχωρίων κατά τι πάτριον ἀγομένη. πρὸς ταύτην ἅπαν σχεδὸν συνέρρει τὸ ἔθνος, τῆς χώρας πάσης συνεορταζούσης τῇ πόλει. ἐπεπλήρωτο δὲ τῶν συνδεδραμηκότων τὸ θέατρον, καὶ ὑπερεχεῖτο πανταχόθεν ὑπὲρ τὰς καθέδρας τῶν ἐπιρρεόντων τὸ πλῆθος, καὶ πάντων πρὸς τὰ θεάματά τε καὶ ἀκροάματα πρὸς τὴν ὀρχήστραν ἀποβλέπειν προθυμουμένων, θορύβου πλήρης ἦν ἡ σκηνὴ, καὶ ἄπρακτος ἐγίνετο τοῖς θαυματοποιοῖς ἡ ἐπίδειξις, τῆς ταραχῆς τῶν στενοχωρουμένων οὐ μόνον τὴν ἀπόλαυσιν τῆς μουσικῆς ἐπικωλυούσης, ἀλλ' οὔτε τοῖς θαυματοποιοῖς ἐν-

A gratiarum actione dignam rem eſſe aiebat, quod totidem ſimulachrorum cultores relinqueret ei, qui ſibi ſucceſſurus eſſet in Eccleſia, quot ipſe Chriſtianos accepiſſet: precatus autem & iis, qui iam credidiſſent, incrementum ad perfectionem, & incredulis conuerſionem, ita (tandem) ex vita humana ad Deum migrat, obteſtatus neceſſarios ſuos, ne peculiarem ſibi locum ſepulturæ compararent. Nam ſi viuus nullius loci Dominus vocari voluiſſet, ſed in alienis tanquam inquilinus & peregrinus habitans vitam tranſegiſſet, B ne poſt mortem quidem prorſus inquilinatum ſibi dedecori fore putare: ſed inſequenti, inquit, ſæculo fama prodatur, quòd Gregorius nec viuens quidem ab aliquo loco cognominatus ſit, & poſt mortem alienorum locorum fuerit inquilinus, cùm ab omni terrena poſſeſſione ſeſe abſtinuiſſet, adeò vt ne ſepeliri quidem in proprio loco ſuſtinuerit: ſolam enim illam poſſeſſionem pretioſam & expetendam putaſſe, quæ fraudis & auaritiæ veſtigium in ſeſe non admittit. Cæterùm quòd vniuerſa repentè C natio à Græcanica vanitate ad agnitionem veritatis traducta eſt, admiretur quidem quicumque hoc ſcriptum leget: nemo verò fidem detrahat, ſed ad diſpoſitionem atque conſilium reſpiciat, quo tanta mutatio facta eſt eorum, qui à mendacio ad veritatem traducti ſunt. Nam quod in primis ſacerdotij eius temporibus accidit, quod ad reliqua miracula feſtinans oratio prætermiſit, nunc repetitum atque reſumptum exponam. Feriæ quædam publicæ & vniuerſales erant in vrbe, dæmoni cuidam domeſtico, patrio quodam riD tu ac more ſolemni celebrari conſuetæ, ad quas vnà cum vrbanis celebrandas vniuerſa propemodum gens ex tota ea religione confluebat: atque eorum qui concurrerant, theatrum plenum erat, & eorum, qui poſtremi affluxerant, multitudo ſubſelliis vndique ſuperfundebatur, atque omnibus ad ſpectacula atque acroamata orcheſtram intueri cupientibus, plena erat ſcena tumultus & trepidationis, irritaque præſtigiatoribus mirabiliumque ſpectaculorum artificibus oſtentatio tumultu ſeſe mutuò conſtipantium non modò oblectationem muſicæ impediente, ſed ne circulatoribus quidem & præſtigiatoribus ſuas artes

oſtentandi tempus concedente. Tum A verò communis ab omni multitudine erumpit, vox dæmonẽ, cui diem feſtum agebant, implorantium, & ab illo ſibi laxitatem fieri petentium. Poſteaquam autem omnibus ſimul loquentibus in altum vox tollebatur, ac totius ciuitatis veluti vnius oris ſermo eſſe videbatur, quo hæ preces dæmoni adhibebantur (erat autem precatio, vt ipſa verba eius audiantur: Iupiter fac nobis locum) audito ſanè magnus ille vir ſono nominatim inuocantium dæmonem, à quo laxitatem ciuitati fieri petebant, quodam ex aſtantibus ad eos miſſo, laxitatem ait ipſis mox datũ iri maiorem, quam optarent. Hac autem ab eo voce B tanquam triſti quadam ſententia prolata, peſtilentia frequentem illum ferias agentium & ludos celebrantium conuentum excipit, ac ſtatim tripudiantium choris lamentatio miſcebatur, adeò vt in luctus & calamitates eis voluptates conuerterentur, cùm pro plauſibus & cantu tibiarum aliæ ſuper alias næniæ cantuſque lugubres vrbem paſſim inuaſiſſent. Cùm enim ſemel morbus homines inuaſiſſet, opinione citius propagabatur atque ſerpebat, ignis in modum domos depaſcens, adeò vt ædes quidem ſacræ, quò ſpe ſanationis atque remedij confugiebant iis, qui morbo C peribant, repletæ: fontes verò, aquæductus ſcaturigineſque ac putei eorum, quos atrocitate morbi ſitis exurebat, referti eſſent (in quibus aqua morbi incendium reſtinguere non valebat, qui ſemel morbo correpti eſſent, perinde poſt aquam ſumptam, atque antequam eam ſumpſiſſent affectis) multi item vltrò tranſirent ad ſepulchra, eò quòd ſuperſtites ſepeliendis mortuis non amplius ſufficerent: nec inopinatò malum homines inuaderet: ſed ſi ſpectrum D quoddam ad eas ædeis quibus pernicies imminebat, accederet: ita certum exitium ſubſequeretur. Vt igitur cauſſa morbi omnibus patefacta eſt, nempè quòd dæmon ab ipſis inuocatus malè ſtultorum ac miſerorum preces impleret, qui hanc, quæ morbum conſequuta eſſet, laxitatem in vrbe efficeret: magno iſti viro ſupplices fiunt orantes, vt per eum, quem ipſe Deum agnoſceret ac prædicaret, quẽ ſolum reuera Deum eſſe, & in omneis imperium habere con-

A διδούσης καιρὸν τὰ ἑαυτῶν ἐπιδείκνυσθαι. ἔνθα δὲ κοινὴ παρὰ παντὸς ἐκρήγνυται τοῦ δήμου φωνή, τὸν δαίμονα, ᾧ τὴν ἑορτὴν ἦγον ἀνακαλούντων, καὶ παρ' ἐκείνου τὴν εὐρυχωρίαν αὐτοῖς ἀξιούντων γενέσθαι. ἐπεὶ δὲ πάντων ἀλλήλοις συμφθεγγομένων, εἰς ὕψος ἤρετο ἡ φωνή, καὶ πάσης ἐδόκει τῆς πόλεως καθάπερ ἑνός τινος στόματος ὁ λόγος εἶναι, ὁ τὴν εὐχὴν ταύτην προσάγων τῷ δαίμονι. ἦν δὲ ἡ εὐχή, ὡς ἐπ' αὐτῆς ἀκοῦσαι τῆς λέξεως· Ζεῦ ποίησον ἡμῖν τόπον. ἀκούσας δὲ ὁ μέγας ἐκ φίος τοῦ ἤχου τῷ ὀνόματι ἐπιβοωμένων τὸν δαίμονα, παρ' οὗ τὴν εὐρυχωρίαν ᾔτουν γενέσθαι τῇ πόλει, φησὶ B πρὸς αὐτούς, πέμψας τινὰ τῶν παρεστηκότων, δοθήσεσθαι αὐτοῖς ὅσον οὐδέπω, πλείονα τῆς εὐχῆς τὴν εὐρυχωρίαν. ταύτης δὲ παρ' αὐτοῦ τῆς φωνῆς οἷον τινος σκυθρωπῆς ἀποφάσεως ἐξενεχθείσης, λοιμὸς τὴν πάνδημον ἐκείνην ἱερομηνίαν ἐκδέχεται. καὶ παραχρῆμα κατεμίγνυτο ταῖς χοροστασίαις ὁ θρῆνος, ὥστε αὐτοῖς εἰς πένθη καὶ συμφορὰς μεταστραφῆναι τὰς θυμηδίας, ἀντὶ αὐλῶν καὶ κρότων τῆς ἐπ' ἀλλήλοις θρηνῳδίας διαλαβούσης τὴν πόλιν. ἐνσκῆψαν γὰρ ἅπαξ τοῖς ἀνθρώποις τὸ πάθος, θᾶττον ἢ κατ' ἐλπίδας διεξῄει πυρὸς δίκην τοὺς οἴκους ἐπιβοσκόμενον, ὥστε C πληρωθῆναι μὲν τῶν τῇ νόσῳ καταφθειρομένων τὰ ἱερὰ τῇ ἐλπίδι θεραπείας προσφυγόντων· γέμειν δὲ πηγάς, καὶ κρουνοὺς καὶ φρέατα, τῶν ὑπὸ τῆς τοῦ νοσήματος ἀμηχανίας διακαιομένων ἐν τῇ δίψῃ· ἐφ' ὧν ἡττᾶτο τὸ ὕδωρ τὸν ἐκ τοῦ πάθους κατασβέσαι φλογμόν, ὁμοίως ἐχόντων καὶ μετὰ τὸ ὕδωρ, καὶ πρὸ τοῦ ὕδατος, τῶν ἅπαξ κατασχεθέντων τῷ πάθει· πολλοὺς δὲ αὐτομολεῖν πρὸς τοὺς τάφους καὶ μηκέτι τοὺς περιόντας ἐξαρκεῖν ταῖς τῶν κατοιχομένων ταφαῖς. γίνεσθαι δὲ οὐκ ἀδό- D κητον τοῦ κακοῦ τὴν προσβολὴν τοῖς ἀνθρώποις· ἀλλά τινος φάσματος ἐπιγινομένου τῇ μελλούσῃ καταφθείρεσθαι οἰκίᾳ, οὕτως ἐπακολουθεῖν τὴν φθοράν. ἐπεὶ οὖν πᾶσι καταφανὴς ἐγένετο ἡ αἰτία τῆς νόσου, ὅτι ὁ ἐπικληθεὶς παρ' αὐτῶν δαίμων κακῶς ἐπλήρου τὴν εὐχὴν τῶν ματαίων, τὴν πονηρὰν ταύτην ἐκ τοῦ πάθους εὐρυχωρίαν ἐμποιῶν τῇ πόλει· ἔνθα ἱκέται γίνονται τοῦ μεγάλου, στῆσαι δεόμενοι τοῦ κακοῦ τὴν φορὰν διὰ τοῦ παρ' αὐτοῦ γινωσκομένου τε καὶ κηρυττομένου Θεοῦ, ὃν μόνον ὡμολόγουν ἀληθῶς εἶναι Θεόν, καὶ κατὰ

πάντων

πάντων τὸ κράτος ἔχειν. τοῦ γὰρ φάσματος ἐκείνου περὶ τὴν ἐσομένην τῷ οἴκῳ διαφθορὰν προφαινομένου, καὶ παραχρῆμα τὴν ἀπόγνωσιν τῆς ζωῆς ἐμποιοῦντος, εἷς ἐγίνετο τοῖς κινδυνεύουσι σωτήριος τρόπος, τὸ ἐντὸς ἐκείνου γενέσθαι τοῦ οἴκου τὸν μέγαν Γρηγόριον, καὶ δι' εὐχῆς τὸ ἐνσκῆψαν τῷ οἴκῳ πάθος ἀπώσασθαι. ταχείας δὲ διὰ τῶν τετυχηκότων ἐν πρώτοις τῆς τοιαύτης σωτηρίας, ἐπὶ πάντας τῆς φήμης διαδραμούσης, πάντα ἀργὰ ἦν, ἃ πρότερον ὑπὸ ματαιότητος αὐτοῖς ἐσπουδάζετο, χρηστήριά τε καὶ καθάρσια, καὶ ἡ ἐν τοῖς εἰδώλοις διατριβή, πάντων πρὸς τὸν μέγαν ἱερέα βλεπόντων. καὶ ἑκάστου πρὸς ἑαυτὸν ἐπὶ σωτηρίᾳ παντὸς τοῦ γένους ἐφελκομένου. μισθὸς δὲ ἦν αὐτῷ παρὰ τῶν σωζομένων, ἡ τῶν ψυχῶν σωτηρία. τῇ γὰρ τοιαύτῃ πείρᾳ τῆς εὐσεβείας τοῦ ἱερέως φανερουμένης, οὐκέτι ἦν ἀναβολὴ πρὸς τὴν συγκατάθεσιν τοῦ μυστηρίου, τοῖς διὰ τῶν ἔργων διδασκομένοις τὴν τῆς πίστεως δύναμιν. οὕτως ἐγένετο τοῖς ἀνθρώποις ἐκείνοις ἰσχυροτέρα τῆς ὑγείας ἡ νόσος. ὅσοι γὰρ ἐν τῇ ὑγείᾳ πρὸς τὴν τοῦ μυστηρίου παραδοχὴν τοῖς λογισμοῖς ἀσθενοῦντες ἦσαν, τοσοῦτοι τῇ σωματικῇ νόσῳ πρὸς τὴν πίστιν ἐρρώσθησαν. καὶ οὕτως τῆς περὶ τὰ εἴδωλα πλάνης ἐλεγχθείσης, πάντες πρὸς τὸ ὄνομα τοῦ Χριστοῦ μετετίθεντο. οἱ μὲν διὰ τῆς ἐπιγινομένης νόσου χειραγωγηθέντες πρὸς τὴν ἀλήθειαν· οἱ δὲ καὶ προφυλακὴν τοῦ λοιμοῦ, τὴν πίστιν τὴν εἰς τὸν Χριστὸν προβαλλόμενοι. ἔστι δὲ καὶ ἄλλα τῇ μνήμῃ μέχρι τοῦ δεῦρο διασωζόμενα τοῦ μεγάλου Γρηγορίου θαύματα, ἅπερ φειδόμενοι τῆς ἀπιστούσης ἀκοῆς, ὡς ἂν μὴ βλαβεῖεν οἱ τὸ ἀληθὲς ἐν τῷ μεγέθει τῶν λεγομένων ψεῦδος οἰόμενοι, τοῖς γεγραμμένοις οὐ προσεθήκαμεν. Χριστῷ δὲ τῷ τοιαῦτα διὰ τῶν δούλων αὐτοῦ τερατουργοῦντι, πρέπει δόξα, τιμή, καὶ προσκύνησις· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A ſiterentur, mali impetum ſiſteret & inhiberet. Nam cùm ſpectrum illud ante futuram peſtem alicui domui appareret, ac protinus deſperationem vitæ habitatoribus inijceret, vna periclitantibus ſalutis ratio erat, ſi illas ædes magnus Gregorius ingrederetur, ac per preces morbum, qui domum inuaſiſſet, repelleret ac ſummoueret. Cùm autem celeriter per eos, qui primi ea ratione ſeruati erant, ad omneis fama permanaſſet, omnia, quæ prius vanitate atque ſtultitia adducti curabant, omittebantur, oracula, ſacrificia piacularia, in delubris B ſimulachrorum commoratio, omnibus magnum ſacerdotem intuentibus, & vnoquoque eum ad ſe totius familiæ ſuæ ſeruandæ gratia alliciente. Mercedem autem ab iis, qui ſeruabantur, ſalutem animarum conſequebatur. Cùm enim eiuſmodi experimento pietas ſacerdotis pateficeret, non amplius differendum cenſebant, quin myſterium approbarent, qui per opera virtutem fidei cognoſcebant. Adeò illis hominibus ſanitate morbus validior erat. Qui enim in ſanitate ad ap- C probationem myſterij rationibus infirmi eſſent, corporali morbo ad fidem conualuerunt. Atque ita ſimulachrorum cultus errore deprehenſo, omnes ad nomen Chriſti traducebantur, pars vrgente morbo ad veritatem quaſi manuducti, pars etiam fidem in Chriſtum quaſi munimentum, quo tuti eſſent aduerſus peſtem objicientes. Sunt autem etiam alia magni Gregorij miracula, quæ memoria vſque adhuc tenentur, ea nos incredulis auribus parcentes, ne offendantur qui propter amplitudinem earum rerum quæ memorantur, veritatem mendacium eſſe putant, ſcriptis non adiecimus. Chriſto porrò talia per ſeruos ſuos miracula operanti, conuenit gloria, honor, & adoratio: nunc & ſemper, & in ſæcula ſæculorum, Amen.

τοῖς. καὶ τέως εἰ δοκεῖ, τῆς ἀπολαύσεως τῶν μελλόντων ἀγαθῶν σχολαζούσης, ἣν ἐλπὶς ἀγαθὴ ταμιεύεται τοῖς δικαίοις, ἡνίκα ἂν ὁ τῶν ἡμετέρων βίων δικαστὴς ἐπιφοιτήσῃ· τὴν παροῦσαν ἴδωμεν τῶν ἁγίων κατάστασιν, ὅπως καλλίστη ἐστὶ καὶ μεγαλοπρεπής. ψυχὴ μὲν γὰρ ἀνελθοῦσα περὶ τὸν ἴδιον κλῆρον ἐμφιλοχωρεῖ, καὶ ἀσωμάτως τοῖς ὁμοίοις συνδιαιτᾶται· σῶμα δὲ τὸ σεμνὸν καὶ ἀκηλίδωτον ἐκείνης ὄργανον, οὐδαμοῦ τοῖς ἰδίοις πάθεσι βλάψαν τῆς ἐνοικησάσης τὴν ἀφθαρσίαν, μετὰ πολλῆς τιμῆς καὶ θεραπείας περιεσταλὲν, σεμνῶς ἐν ἱερῷ τόπῳ κατάκειται, ὥσπερ τι κειμήλιον πολυτίμητον τῷ καιρῷ τῆς παλιγγενεσίας τηρούμενον· πολὺ τὸ ἀσύγκριτον ἔχον πρὸς τὰ ἄλλα τῶν σωμάτων, ἃ κοινῷ καὶ τῷ τυχόντι διελύθη θανάτῳ· καὶ ταῦτα ἐν ὁμοίᾳ ὕλῃ τῆς φύσεως. τὰ μὲν γὰρ ἄλλα τῶν λειψάνων, καὶ βδελυκτὰ τοῖς πολλοῖς ἐστι, καὶ οὐδεὶς ἡδέως παρέρχεται τάφον, ἢ καὶ ἀνεῳγότι τυχὼν ἐκ τοῦ παραδόξου, ἐπιβαλὼν δὲ τὴν ὄψιν τῇ ἀμορφίᾳ τῶν ἐγκειμένων, πάσης ἀηδίας πληρωθεὶς, καὶ βαρέα καταστενάξας τῆς ἀνθρωπότητος παρατρέχει. ἐλθὼν δὲ εἰς τι χωρίον ὅμοιον τούτῳ, ἔνθα σήμερον ὁ ἡμέτερος σύλλογος ὅπου μνήμη δικαίου καὶ ἅγιον λείψανον· πρῶτον μὲν τῇ μεγαλοπρεπείᾳ τῶν ὁρωμένων ψυχαγωγεῖται, οἶκον βλέπων ὡς Θεοῦ ναὸν, ἐξησκημένον λαμπρῶς τῷ μεγέθει τῆς οἰκοδομῆς, καὶ τῷ τῆς ἐπικοσμήσεως κάλλει, ἔνθα καὶ τέκτων εἰς ζώων φαντασίαν τὸ ξύλον ἐμόρφωσεν, καὶ λιθοξόος εἰς ἀργύρου λειότητα τὰς πλάκας ἀπέξεσεν. ἐπέχρωσε δὲ καὶ ζωγράφος τὰ ἄνθη τῆς τέχνης ἐν εἰκόνι διαγραψάμενος, τὰς ἀριστείας τοῦ μάρτυρος, τὰς ἐνστάσεις, τὰς ἀλγηδόνας, τὰς θηριώδεις τῶν τυράννων μορφὰς, τὰς ἐπηρείας, τὴν φλογοτρόφον ἐκείνην κάμινον, τὴν μακαριωτάτην τελείωσιν τοῦ ἀθλητοῦ, τοῦ ἀγωνοθέτου Χριστοῦ τῆς ἀνθρωπίνης μορφῆς τὸ ἐκτύπωμα, πάντα ἡμῖν ὡς ἐν βιβλίῳ τινὶ γλωττοφόρῳ διὰ χρωμάτων τεχνουργησάμενος, σαφῶς διηγόρευσε τοὺς ἀγῶνας τοῦ μάρτυρος, καὶ ὡς λειμῶνα λαμπρὸν τὸν νεὼν κατηγλάϊσεν· οἶδεν γὰρ καὶ γραφὴ σιωπῶσα ἐν τοίχῳ λαλεῖν, καὶ τὰ μέγιστα ὠφελεῖν· καὶ ὁ τῶν ψηφίδων συνθέτης, ἱστορίας ἄξιον ἐποίησεν τὸ πατούμενον ἔδαφος.

A Atque in præſentia ſi placet, ceſſante futurorum bonorũ fructu, quem bona ſpes iuſtis in illud reijcit tempus, quo rerum in vita noſtra actarum iudex aduenerit: præſentem ſanctorum ſtatum inſpiciamus, quàm præclarus magnificuſque ſit. Nam anima quidem ex quo ſublimis abiit, in ſuo loco acquieſcit, & corpore ſoluta cum ſui ſimilibus vnà viuit: corpus verò venerandum & immaculatum illius inſtrumentum, quod ſuis vitiis & affectibus illius inhabitantis incorruptibilitatem non læſit, cum multo B honore & cultu compoſitum atque ornatum in auguſto ſacroque loco ſitum eſt: quod veluti res chara magniq; æſtimata atque recõdita in tempus regenerationis reſeruatur, multis ſingularibus & eximiis rebus prēditum, propter quas ad alia corpora, quæ communi ac vulgari morte diſſoluta ſunt, ne comparandum quidem eſt, idque in ſimili materia naturæ. Nam cæteræ quidem reliquiæ etiam abominabiles pleriſque ſunt: ac nemo lubenter ſepulchrũ præterit, aut ſi ex inopinato apertum offendit, deformitate nimirum earum rerum quę inibi C iacent, faciẽ operiens omni iniucunditate repletus, & humanæ naturæ conditioni grauiter ingemiſcens prętercurrit. Quòd ſi venerit ad aliquem locum ſimilem huic, vbi hodie noſter conuetus habetur, vbi memoria iuſti, ſanctæque reliquiæ ſunt: primum quidem earum rerum magnificentia, quas videt, oblectatur, dum ædem vt templum Dei & magnitudine ſtructuræ, & adiecti ornatus decore ſplendidè elaboratum intuetur: vbi & faber in animaliũ figuram lignum formauit, & latomus ad argenti leuitatem cruſtas lapideas expoliuit: induxit D autem etiam pictor flores artis in imagine depictos, fortia facta martyris, repugnantias, cruciatus, efferatas & immanes tyrannorum formas, impetus violentos, flammeum illum fornacem, beatiſſimam conſummationẽ athletæ, certaminũ præſidis Chriſti humanæ formæ effigiem, omnia nobis tanquam in libro quodam, qui linguarũ interpretationes contineat, coloribus artificioſè depingens, certamina atque labores martyris nobis expreſſit, ac tanquã pratum amœnum & floridum templum exornauit: ſolet enim etiã pictura tacens in pariete loqui, maximéque prodeſſe: lapillorum item concinnator hiſtoriæ par opus in pauimento, quod pedibus calcatur, effecit.

Imago ſancti Theodori.

His igitur arte laboratis operibus quæ ſenſui expoſita ſunt, vbi oculos oblectauit, cupit deinceps etiam ipſi conditorio appropinquare, ſanctificationem ac benedictionem, contrectationem eius eſſe credens; quòd ſi quis etiam puluerem, quo conditorium, vbi martyris corpus quieſcit, obſitum eſt, auferre permittat, pro munere puluis accipitur, ac tanquam res magni precij condenda terra colligitur. Nam ipſas attingere reliquias, ſi quando aliqua eiuſmodi proſpera fortuna contingat, vt id facere liceat, quàm id ſit multum deſiderãdum & optandum, ac ſummarum precum donum, ſciunt experti, & eius deſiderij compotes facti. Quaſi corpus enim per ſe viuens & florens, qui intuentur, amplectuntur, oculis, ori, auribus, omnibus ſenſuum inſtrumentis adhibentes, deinde officij & affectionibus lacrymas martyri, quaſi integer eſſet & appareret, ſuperfundentes, vt pro ipſis deprecator intercedat, ſupplices preces offerunt tanquam ſatellitem Dei orantes, quaſi accipientem dona cùm velit, inuocantes. Ex his omnibus ô popule pie, diſcite, quòd precioſa ac honorata coram Domino ſit mors ſanctorum eius. Nam vnum quidem & idem corpus omnium hominum eſt: ex vna maſſa conflatum: verùm id, quod ſimplici morte diſſolutum eſt, vt res quælibet vilis proijcitur. At quod martyrij affectione gratioſum effectum eſt, ita eſt amabile, iucundum, & à multis deſideratum & expetitum, vt ſuperior oratio demonſtrauit. Quocirca propterea, quæ apparent, iis, quæ viſum effugiunt, propter experimentum earum rerum, quæ in mundo viſuntur, futurarum rerum promiſſioni credamus. Nam multi qui ventrem & vanam gloriam, & has mundanas paleas omnibus rebus anteferunt, nihil putant eſſe futurum: ſed cum vitæ fine terminari omnia arbitrantur. Verùm qui ita ſentis, ex paruis magna diſce: ex vmbris principales formas, quales eæ ſint intellige. Cui regum talis honor habetur? Quis ex iis, qui ſupra modum inter homines excellere viſi ſunt, tali memoria celebratur? Quis imperatorum qui vrbes munitas ceperunt, nationes innumeras ſubegerunt, adeò decantatus & fama celebratus eſt, vt hic miles pauper, modò cõſcriptus & tyro: quem Paulus armauit, quem angeli ad certamen vnxerunt, quem victorem Chriſtus coronauit?

A καὶ τοῖς αἰσθητοῖς οὕτω φιλοτεχνήμασιν ἐνδιαπαθήσας τὴν ὄψιν, ἐπιθυμεῖ λοιπὸν καὶ αὐτῇ πλησιάσαι τῇ θήκῃ, ἁγιασμὸν καὶ εὐλογίαν τὴν ἐπαφὴν εἶναι πιστεύων. εἰ δὲ καὶ κόνιν τις δοίη φέρειν τὴν ἐπικειμένην τῇ ἐπιφανείᾳ τῆς ἀναπαύσεως, δῶρον ὁ χοῦς λαμβάνεται, καὶ ὡς κειμήλιον ἡ γῆ θησαυρίζεται. τὸ γὰρ αὐτοῦ τοῦ λειψάνου προσάψασθαι, εἴ ποτέ τις ἐπιτυχία τοιαύτη παράσχοι τὴν ἐξουσίαν, ὅπως ἐστὶ πολυπόθητον, καὶ εὐχῆς τῆς ἀνωτάτω τὸ δῶρον, ἴσασιν οἱ πεπειραμένοι, καὶ τῆς τοιαύτης ἐπιθυμίας ἐμφορηθέντες. ὡς σῶμα γὰρ αὐτὸ ζῶν καὶ ἀνθοῦν, οἱ βλέποντες κατασπάζονται, τοῖς ὀφ-
B θαλμοῖς, τῷ στόματι, ταῖς ἀκοαῖς, πάσαις προσάγοντες ταῖς αἰσθήσεσιν, εἶτα τὸ τῆς εὐλαβείας καὶ τὸ τοῦ πάθους ἐπιχέοντες δάκρυον, ὡς ὁλοκλήρῳ καὶ φαινομένῳ τῷ μάρτυρι, τὴν τοῦ πρεσβεύειν ἱκεσίαν προσάγουσιν, ὡς δορυφόρον τοῦ Θεοῦ παρακαλοῦντες, ὡς λαμβάνοντα τὰς δωρεὰς ὅταν ἐθέλῃ ἐπικαλούμενοι. ἐκ τούτων πάντων ὁ εὐσεβὴς λαὸς καταμάθετε, ὅτι τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. ἓν μὲν γὰρ καὶ τὸ αὐτὸ σῶμα πάντων ἀνθρώπων, ἐξ ἑνὸς φυράματος ἔχον τὴν σύστασιν· ἀλλὰ τὸ μὲν ἁπλῶς ἀποθανὸν, ῥίπτεται ὡς τὸ τυχόν. τὸ
C δὲ τῷ πάθει τοῦ μαρτυρίου χαριτωθὲν, οὕτως ἐστὶν ἐράσμιον καὶ ἀμφισβητήσιμον, ὡς ὁ προλαβὼν λόγος ἐδίδαξεν. διὰ τοῦτο πιστεύσωμεν ἐκ τῶν φαινομένων τοῖς ἀοράτοις, ἀπὸ τῆς ἐν τῷ κόσμῳ πείρας τῇ τῶν μελλόντων ἐπαγγελίᾳ. πολλοὶ γὰρ οἱ τὴν γαστέρα καὶ τὴν κενοδοξίαν, καὶ τὸν ἐνθάδε συρφετὸν πάντων ἐπίπροσθεν ἄγοντες, οὐδὲν ἡγοῦνται τὸ μέλλον· τῷ τέλει δὲ τοῦ βίου συμπεριορίζεσθαι τὰ πάντα νομίζουσιν. ἀλλ' ὁ φρονῶν οὕτως, ἐκ τῶν μικρῶν τὰ μεγάλα κα-
D τάμαθε, ἐκ τῶν σκιῶν τὰ ἀρχέτυπα νόησον. τίς τῶν βασιλέων τοιαύτῃ τιμᾶται τιμῇ; τίς τῶν καθ' ὑπερβολὴν ἐν ἀνθρώποις φανέντων, τοιαύτῃ μνήμῃ δοξάζεται; τίς τῶν στρατηγῶν τῶν πόλεις τειχήρεις ἑλόντων, καὶ ἔθνη δουλωσαμένων μυρία, οὕτως ἐστὶν ἀοίδιμος, ὡς ὁ στρατιώτης οὗτος, ὁ πένης, ὁ νεόλεκτος· ὃν Παῦλος ὥπλισεν, ὃν ἄγγελοι πρὸς τὸν ἀγῶνα ἤλειψαν, καὶ νικήσαντα Χριστὸς ἐστεφάνωσεν;

A μᾶλλον δὲ ἐπειδὴ ἐγγὺς ἐγενόμην τῷ λόγῳ τῶν ἀγώνων τοῦ μάρτυρος, φέρε τὰ κοινὰ καταλιπόντες τὸν ἐξαίρετον τοῦ ἁγίου λόγον ποιησώμεθα, φίλον γὰρ ἑκάστῳ τὸ ἴδιον. πατρὶς τοίνυν τῷ γενναίῳ, ἡ πρὸς ἥλιον ἀνίσχουσα χώρα· εὐγενὴς γὰρ καὶ οὗτος κατὰ τὸν Ἰὼβ τῶν ἀφ' ἡλίου ἀνατολῶν, καὶ τῆς πατρίδος ἐκείνῳ κοινωνῶν, οὐκ ἀπελείφθη τῆς τοῦ ἤθους μιμήσεως· νῦν δὲ πάσῃ τῇ οἰκουμένῃ ἐστὶ μάρτυς κοινὸς τῆς ὑφ' ἡλίῳ πολίτης· ληφθεὶς δὲ ἐκεῖθεν πρὸς ὁπλιτικοὺς καταλόγους, οὕτως μετὰ τοῦ ἰδίου τάγματος πρὸς τὴν ἡμετέραν διέβη χώραν, τῆς χειμερινῆς ἀναπαύ- B σεως τοῖς στρατιώταις ἐνταῦθα παρὰ τῶν κρατούντων διαταχθείσης. πολέμου δὲ κινηθέντος ἄφνω, οὐκ ἐξ ἐφόδου βαρβαρικῆς, ἀλλ' ἐκ νόμου Σατανικοῦ, καὶ δόγματος θεομάχου· πᾶς γὰρ Χριστιανὸς ἠλαύνετο τῷ δυσσεβεῖ γράμματι, καὶ πρὸς θάνατον ἤγετο· τότε δὴ τότε ὁ τρισμακάριος οὗτος, γνώριμος ὢν ἐπ' εὐσεβείᾳ, καὶ τὴν πίστιν τὴν εἰς Χριστὸν πανταχοῦ περιφέρων, μόνον οὐκ ἐπὶ τοῦ μετώπου τὴν ὁμολογίαν γραψάμενος, οὐκέτι νεόλεκτος ἦν τὴν ἀνδρείαν, οὐδὲ C ἄπειρος πολέμου καὶ μάχης· ἀλλὰ γενναῖος τὴν ψυχήν, ἰσχυρὰν ποιησάμενος πρὸς τοὺς κινδύνους τὴν ἔνστασιν, οὐχ ὑφειμένος, οὐ δειλιῶν, οὐ λόγον ἀπαρρησίαστον προφθεγγόμενος. ὡς γὰρ ἐκάθισε τὸ πονηρὸν ἐκεῖνο δικαστήριον, ὅτε ἡγεμὼν καὶ ὁ ταξίαρχος εἰς ταὐτὸ συνελθόντες, ὡς Ἡρώδης ποτὲ καὶ Πιλάτος, τὸν δοῦλον τοῦ σταυρωθέντος, εἰς κρίσιν ὁμοίαν τοῦ δεσπότου κατέστησαν· καὶ λέγει, φησί, πόθεν σοι θρασύτητος καὶ τόλμης ἐγγινομένης, εἰς τὸν βασιλικὸν ἐξυβρίζεις νόμον, οὐχ ὑποκύπτεις δὲ τρέμων τοῖς τοῦ δεσπότου προστάγμασιν, οὐδὲ προσκυνεῖς κατὰ τὸ δοκοῦν τοῖς κρατοῦ- D σιν; οἱ γὰρ ἀμφὶ Μαξιμιανὸν τότε τῆς βασιλείας ἡγοῦντο· ὃς στερρῷ τῷ προσώπῳ καὶ ἀκαταπλήκτῳ τῇ γνώμῃ, εὔστοχον τὴν ἀπόκρισιν τοῖς λεχθεῖσιν ἐπέθηκε· Θεοὺς μὲν οὐκ οἶδα· οὐδὲ γάρ εἰσι κατὰ τὴν ἀλήθειαν· δαίμονας δὲ ὑμεῖς ἀπατεῶνας πλανᾶσθε τῇ τοῦ Θεοῦ τιμῶντες προσηγορίᾳ, ἐμοὶ δὲ Θεὸς ὁ Χριστός, ὁ τοῦ Θεοῦ μονογενὴς υἱός, ὑπὲρ τῆς εὐσεβείας τοίνυν καὶ τῆς ὁμολογίας τῆς εἰς ἐκεῖνον, καὶ ὁ τιτρώσκων τεμνέτω· καὶ ὁ μαστίζων, ξαινέτω·

A Enimuerò quoniam oratione propè ad certamina atq; labores martyris acceſſi, age cõmunibus relictis peculiarẽ ſancti ſermonem inſtituamus: eſt enim ſuum cuique gratum & acceptum. Patria igitur præclaro ac ſtrenuo huic viro eſt ea regio, quæ ad ſolem ſpectat orientem: nam etiam hic, ſicuti Iob, ex partibus orientalibus nobilis eſt, cúmq; patriam cum illo communem haberet, eiuſdem imitatio morum ingeniique ei non defuit: nunc verò quilibet martyr totius ſoli ſubiectæ regionis ciuis vniuerſo terrarum orbi cõmunis eſt: ſumptus autem B illinc ad armatos ordines militares, cùm duces militum eos hîc in hybernis collocaſſent, ita cum ea legione, in quam conſcriptus erat, ad noſtram regionem tranſiuit. Bello autem repẽtè moto non ex incurſione Barbarorum, ſed ex legẽ Satanica decretoque, quo Deus oppugnaretur (quicumque enim Chriſtianus eſſet, impio ſcripto exagitabatur, & ad mortem ducebatur) tunc nimirũ, tunc hic ter quaterque beatus Theodorus, quòd inſigni pietate præditus eſſet, fidemque in Chriſtum vbique circumfer- C ret, propemodũ in fronte confeſſionem inſcriptam gerens, non iam amplius virtute tyro modò conſcriptus erat, neque rei bellicæ & pugnæ rudis: ſed animo ſtrenuus, fortiter ſeſe periculis objiciẽs, non remiſſus & languidus, non trepidans, non formidans & metu fractus, non verbum minus liberum proferens. Vt enim præſes & tribunus in vnũ conuenerũt, ſicut olim Herodes & Pilatus, atque conſedit ſceleſtum & improbum illud concilium, ſeruum crucifixi ſimili ratione, atque Domino eius acciderat, D ad iudicium ſiſtunt: Ac dic, inquiunt, vnde tibi innata audacia atque temeritate, aduerſus legem Imperatoris contumax es? nec te tremens Domini iuſſis ſubmittis? neu quemadmodum placet iis, qui rerum potiuntur, adoras? Maximianus enim cum conſorte tunc imperium tenebat. Ille vultu confirmato atque imperterrito animo, ſcitum & acutum dictis adiecit reſponſum: Deos quidem neſcio (neque enim reuera ſunt.) Vos autem erratis, qui dæmonas fallaces & impoſtores Dei appellatione honoratis, mihi verò Deus eſt Chriſtus, Dei vnigenitus filius, pro pietate igitur atque confeſſione iſtius, & qui vulnerat, incidat: & qui verberat, laceret:

A & qui cremat, flammam admoueat: & qui his vocibus meis offenditur, linguam eximat: per ſingula enim membra corpus creatori patientiam debet. Fracti ſunt his verbis tyranni: ac primum impetum viri fortis non ſuſtinuerunt, adoleſcentem videntes ad paſſionem exultantem, ac veluti ſuauem potum mortem appetentem. Vt autem illi pauliſper cunctabantur hæſitantes ac deliberantes quid facto opus eſſet: vnus quidam ex iis qui ordines ducebant, miles, qui ſibi lepidus & vrbanus eſſe videbatur, ſimul reſponſum martyris irridens: Eſt ne, inquit, ô Theo-

B dore, filius tuo Deo? & generat ille carnis affectibus, vt homo obnoxius? Humano quidem more affectibus carnis obnoxius meus, inquit, Deus non generauit: verùm & filium confiteor, & natiuitatem talem eſſe dico, quæ Deum deceat: tu verò, ô miſer & imperite, quod ad ſenſum & rationem attinet: an non erubeſcis, ac pudore vultum demittis, qui etiã fœminam Deum confiteris, & vt matrem duodecim liberorum eandem adoras fœcundam quandam leporum ſuúmve modo dæ-

C mona, quæ facilè & concipiat & partum edat? Cùm autem hoc modo duplicem ſanctus irriſionem ſimulachrorum cultori repoſuiſſet, humanitatis & clementiæ ſpecie facta tyranni, Exiguum, inquiunt, ad conſiderandum inſanienti tempus concedatur, fortaſſe per otium re ſecum perpenſa atque deliberata mutabitur in melius. Inſaniam enim dementes ſanitatem mentis vocabant: alienationem verò mentis & vecordiam, pietatem: quemadmodum fit, cùm ebrij ſuam effectionem ſobriis

D objiciunt. At homo pius Chriſtique miles dato ſibi ſpatio ad forte ac virile facinus abutitur. Quódnam autem id fuerit, tempus eſt vobis cum lætitia narrationem accipiendi. Ei quæ fabulis celebratur, matri Deum templum erat in metropoli Amaſea, quod illi, qui tunc errabant, inibi alicui circa ripas amnis vanitate adducti extruxerant, hoc iſte vir ſtrenuus in tempore datæ ſibi ſecuritatis capta occaſione, & aura ſecunda incenſum concremauit, reipſa reſponſum, quod poſt deliberationem prorſus expectabant, impiis atque ſceleſtis dans. Cùm ea res celeriter omnibus pateferet (quippe in vrbe media clariſ-

A καὶ ὁ καίων προσαγέτω τὴν φλόγα· καὶ ὁ ταῖς φωναῖς μου ταύταις ἀχθόμενος, ἐξαιρέτω τὴν γλῶσσαν· καθ' ἕκαστον γὰρ μέλος τὸ σῶμα τῷ κτίσαντι χρεωστεῖ τὴν ὑπομονήν. ἡττήθησαν τῶν λόγων οἱ τύραννοι· καὶ τὴν πρώτην προσβολὴν τοῦ ἀριστέως οὐκ ἠνέσχοντο, νεανίσκον βλέποντες, πρὸς τὸ πάθος σφριγῶντα, καὶ ὡς ἡδύ τι πόμα τὴν τελευτὴν ἐφιέμενον. ὡς δὲ ἐκεῖνοι μικρὸν ἐπεῖχον ἠπορημένοι, καὶ βουλευόμενοι τὸ πρακτέον· εἷς τις τῶν ἐν τέλει στρατιώτης κομψὸς εἶναι οἰόμενος, ἐπιχλευάζων ὁμοῦ τὴν ἀ-

B πόκρισιν τὴν τοῦ μάρτυρος· ἔστι γάρ, ἔφη, υἱὸς ὦ Θεόδωρε, τῷ σῷ Θεῷ; καὶ γεννᾷ ἐκεῖνος, ὡς ἄνθρωπος ἐμπαθῶς; ἐμπαθῶς μὲν ὁ ἐμός, ἔφη, Θεὸς οὐκ ἐγέννησεν· ἀλλὰ καὶ υἱὸν ὁμολογῶ, καὶ θεοπρεπῆ λέγω τὴν γέννησιν, σὺ ὦ νηπιώδη τὸν λογισμὸν καὶ ἄθλιε· οὐκ ἐρυθριᾷς οὐδὲ ἐγκαλύπτῃ καὶ θήλειαν ὁμολογῶν θεάν, καὶ ὡς μητέρα δώδεκα παίδων τὴν αὐτὴν προσκυνῶν, πολύτοκον τινὰ δαίμονα κατὰ τοὺς λαγωοὺς ἢ τὰς ὕας εὐκόλως καὶ ἐγκυϊσκομένην καὶ ἀποτίκτουσαν; οὕτως δὲ τοῦ ἁγίου διπλοῦν

C ἀντιστρέψαντος τῷ εἰδωλολάτρῃ τὸν καταγέλωτα, σχῆμα πλασάμενοι φιλανθρωπίας οἱ τύραννοι, ὀλίγος, φησί, πρὸς διάσκεψιν ἐνδοθήτω τῷ μαινομένῳ καιρός· ἴσως κατὰ σχολὴν δοὺς ἑαυτῷ γνώμην, μεταθήσεται πρὸς τὸ βέλτιον. μανίαν γὰρ οἱ ἔκφρονες τὴν σωφροσύνην ἐκάλουν· ἔκστασιν δὲ καὶ παραφορὰν, τὴν εὐλάβειαν, ὥσπερ ὅταν οἱ μεθύοντες τὸ ἴδιον πάθος τοῖς νήφουσιν ὀνειδίζωσιν. ἀλλ' ὁ εὐσεβὴς ἄνθρωπος καὶ τοῦ Χριστοῦ στρατιώτης εἰς ἀνδρικὴν πρᾶξιν τῇ δοθείσῃ σχολῇ κατεχρήσατο.

D ποία ταύτη; καιρὸς ὑμῖν μετ' εὐφροσύνης ὑποδέξασθαι τὸ διήγημα. τῇ μυθευομένῃ μητρὶ τῶν θεῶν, ναὸς ἦν ἐπὶ τῆς μητροπόλεως Ἀμασίας, ὃν οἱ τότε πλανώμενοι, αὐτοῦ που περὶ τὰς ὄχθας τοῦ ποταμοῦ τῇ ματαιότητι κατεσκεύασαν· τοῦτον ὁ γενναῖος, ἐν τῷ τῆς δοθείσης ἀδείας καιρῷ ἐπιτηρήσας εὔκαιρον ὥραν, καὶ αὔραν ἐπίφορον ἐμπρήσας κατέφλεξεν, ἔργῳ τοῖς ἀλιτηρίοις δοὺς τὴν ἀπόκρισιν, ἣν πάντως ἀνέμενον μετὰ τὴν διάσκεψιν. ἐπιδήλου δὲ τοῦ πράγματος ταχέως ἅπασι γινομένου· καὶ γὰρ

A ἐν τῷ μέσῳ τῆς πόλεως φανερώτατον ἐξήφθη τὸ πῦρ· οὐκ ἐπικρύψαι τὴν ἐγχείρησιν, οὐδ᾽ ἐσπούδασεν τὸ λαθεῖν· ἀλλ᾽ ἔνδηλος ἦν, καὶ σφόδρα γε τοῖς κατορθώμασι γαυριῶν, καὶ ὑπερχαίρων τῇ ταραχῇ τῶν ἀθέων ἣν ἐταράττοντο, τὸν ναὸν περιαλγοῦντες καὶ τὸ ξόανον, καὶ μήν τοι καταμηνύεται τοῖς ἄρχουσιν, ὡς αὐτουργήσας τὸν ἐμπρησμόν· καὶ πάλιν κριτήριον φοβερώτερον τοῦ προτέρου. ὥσπερ οὖν καὶ εἰκὸς ἐπισυμβαίνοντος τηλικούτου τοῦ παροξύνοντος. καὶ οἱ μὲν ἐπὶ τὸν δικαστικὸν ἀνέβησαν θρόνον· Θεόδωρος δὲ εὐπαρρησίαστος ἐν τοῖς μέσοις ἄρχοντας θάρσος B ἔχων ἐν τῇ στάσει τοῦ κρινομένου ἐρωτώμενος, καὶ τῷ τάχει τῆς ὁμολογίας τὴν ἐρώτησιν ἐπικόπτων. ἐπεὶ δὲ ἀκατάπληκτος ἦν, καὶ πρὸς οὐδὲν ἐφείδετο τῶν ἀπειλουμένων δεινῶν, εἰς τοὐναντίον μετεβλήθησαν τρόπον, καὶ φιλανθρώπως διαλεγόμενοι, ἐπαγγελίαις ὑποσύρειν ἐπειρῶντο τὸν δίκαιον. καὶ γίνωσκε, φησίν, ὡς εἰ βουληθείης εὐπειθῶς τὴν συμβουλὴν τὴν ἡμετέραν προσδέξασθαι, εὐθύς σε καταστήσομεν ἐξ ἀφανοῦς γνώριμον, ἐξ ἀδόξων ἔντιμον· καὶ σοὶ τῆς ἀρχιερωσύνης ἐπαγγελλόμεθα τὴν ἀξίαν. C ὡς δὲ τοῦ τῆς ἀρχιερωσύνης ἀξιώματος ἤκουσεν, ἐγγελάσας μακρὸν ὁ τρισμακάριος εἶπεν· ἐγὼ καὶ τοὺς ἱερέας τῶν εἰδώλων ἀθλίους κρίνω, καὶ ὡς ματαίας πράξεως ὑπηρέτας οἰκτείρω· τοὺς δὲ ἀρχιερέας ἐπὶ πλέον ἐλεῶ καὶ βδελύσσομαι· ἐπὶ γὰρ τῶν χειρόνων, ὁ μείζων καὶ προτετακτὴν ἀθλιώτερος, ὡς ἐν τοῖς ἀδίκοις ὁ ἀδικώτερος· ὡς ἐν τοῖς φονεῦσιν ὁ μᾶλλον ὠμός· ὡς ἐν τοῖς ἀκολάστοις ὁ ἀσελγέστερος· καὶ διὰ τοῦτο ἐντεῦθεν ἤδη διὰ τῶν ὀλεθρίων ἐπαγγελιῶν καταβάλλετε· λελήθατε γάρ μοι, ὦ οὗτοι, τὴν κορυφὴν τῶν κακῶν ὑπισχνούμενοι· D τῷ δὲ εὐσεβῶς καὶ ὀρθῶς ζῆν προῃρημένῳ, παραρρίπτεσθαι καλὸν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μᾶλλον, ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν. ἐγὼ καὶ τοὺς βασιλέας τούτους ὧν τὸν νόμον συνεχῶς ἀναγινώσκετε, ἐλεῶ, ὅτι αὐταρ-

A ſimus ignis accenſus erat) non occultabat audax incœptum, neque laborabat, vt hoc ſe factum lateret, ſed palàm ac vehementer quidem ſignificabat ſeſe propter præclarum facinus & rem bene geſtam exultare & efferri, atque tumultu impiorum, quo templi atque ſtatuæ nomine dolentes perturbabantur, ſupra modum gaudere; quin etiam magiſtratibus indicatum eſt, quòd ipſe ſuis manibus incendium feciſſet: ac rurſus iudicium priori terribilius, vt nimirum etiam par erat, cùm tanta res, quæ exacerbaret & irritaret eos, inci- B diſſet. Atque illi quidem in iudiciale tribunal aſcenderunt: Theodorus verò in medio eorum (erat) magna loquendi libertate vtens, in ſtatu cauſſam dicentis magiſtratus confidentia præditus cum interrogaretur, celeritate confeſſionis interrogationem anteuertens. Poſteaquam autem & imperterritus erat, & ad nihil eorum, quæ grauia atque aſpera cum minis ei oſtentabatur ſupplicia, ſe ſubmitteret, nec confidentius loqui deſineret, in contrariam rationem mutati ſunt, ac benignè cum eo ſermocinantes promiſſis iuſtum ſubtrahere ten- C tabant. Et ſcito, inquiunt, quòd ſi conſilium noſtrum obedienter admittere volueris, protinus te ex obſcuro nobilem, ex humili deſpectoque & inglorio honoratum efficiemus: ac tibi Pontificatus dignitatem promittimus. Vt autem pontificiam dignitatem nominari audiuit, ter quaterque beatus ille, cùm diu multumque irriſiſſet (tandem) dixit: Ego etiam ſacerdotes ſimulachrorum ærumnoſos eſſe iudico, & vt vanæ actionis miniſtros miſeror: pontificum verò multo magis me & miſeret, & abominor eoſdem: inter malos enim qui maior eſt, ac primum locum tenet, mi- D ſerior eſt, vt inter iniuſtos, iniuſtior: vt inter homicidas, qui crudelitate cæteros præcedit: vt inter laſciuos & libidinoſos, qui petulantior atque proteruior eſt: ac propterea pernicioſa promittendi dehinc finem facite: non enim, heus vos, animaduertitis, neque ſentitis caput & ſummum malorum mihi promittentes: at ei, qui piè ac rectè viuere ſtatuit, præſtat in domo Domini abiectum eſſe, quàm habitare in tabernaculis peccatorum. Me etiam Imperatorum horum, quorum legem iniquam continenter recitatis, miſeret, quòd cùm

per ſe ſatis magna inter homines dignitate ob regium imperium præditi ſint, pontificis appellationem ſibi ſumpſerunt, & lugubri obſcuraque purpura huius dignitatis nomine induuntur, ad imitationem infelicium pontificum, in dignitate ſplendida, atque illuſtri, triſte & inamœnum geſtantes indumentum, nonnunquam autem impuro altari appropinquantes pro Imperatoribus coqui fiunt, aues occidentes, & miſerorum pecorum viſcera rimantes ac perſcrutantes, & ſpurcitie ſanguinis tanquam macellarij quidam lanij carnium venditores veſtem fœdantes. Poſt has iuſti iſtius voces ne fictam quidem & aſſimulatam iam amplius benignitatem magiſtratus præ ſe ferebant: ſed & impiiſſimum aduerſus Deos vocantes, prçterea in Imperatores quoque contumelioſum & maledicum, primùm quidem in ligno ad torquendos homines parato ſuſpenſum corpus lacerabant: ille verò lictoribus vehementer in opere occupatis, conſtans erat, nihilque de priſtina animi magnitudine remittebat, ac verſum ex libro Pſalmorum
Pſal. 33. tormentis accinebat: Benedicam Dominum in omni tempore, ſemper laus eius in ore meo. Atque illi quidem carnes cædendo diminuebant: hic verò, quaſi alius quis pœnam ſubiret, pſallebat: hoc modo punitum carcer excepit, ac rurſus illic miracula circa ſanctum edebantur, ac noctu vox multitudinis pſallentium audiebatur, & facum allucentium, vt in nocturna peruigilatione, ſplendor ab iis, qui foris erant, conſpiciebatur, adeò vt etiam carceris cuſtos inſolita atque admirabili viſione & auditione turbatus inſiliret in domunculam, & neminem inueniret præter martyrem quieſcentem, & cæteros vinctos dormientes. Poſteaquam autem, cùm multa fierent ac tentarentur in eo, ad confeſſionem & pietatem obfirmatus erat, prolata eſt in eum ſententia condemnatoria, & igni confici & conſummari iuſſus, ipſe quidem præclaro ac beato itinere abiit ad Deum: nobis verò memoriam certaminis pro doctrina reliquit, populos cōgregans, Eccleſiam erudiens, dæmonas arcens & fugans, angelos pacificos reducens, rogans à Deo pro nobis vtilia, variorū morborū medicinæ officinam hunc locum efficiens, portū eorum qui afflictionū tempeſtatibus

A χας ἐν αὐθεντίαις ἀξίωμα τὸ κράτος τῆς βασιλείας ἔχοντες, τὴν τοῦ ἀρχιερέως ἑαυτοῖς προσηγορίαν ἀνέθεντο, καὶ τὴν πενθήρη καὶ σκοτεινὴν πορφύραν ἐκείνην ἀμπίσχονται, κατὰ μίμησιν τῶν κακοδαιμόνων ἀρχιερέων, ἀξιώματι φαιδρῷ, σκυθρωπὸν περιφέροντες ἔνδυμα· ἔστι δὲ ὅτε καὶ μιαρῷ βωμῷ πλησιάζοντες, ἀντὶ βασιλέων γίνονται μάγειροι ὄρνεις θύοντες, καὶ βοσκημάτων ἀθλίων σπλάγχνα διερευνώμενοι, καὶ τῷ λύθρῳ τοῦ αἵματος, ὡς κρεωπῶλαί τινες τὴν ἐσθῆτα μολύνοντες. μετὰ ταύτας τὰς φωνὰς τοῦ δικαίου, οὐκέτι οὐδὲ τὴν
B πλαστὴν φιλανθρωπίαν καὶ ἐσχηματισμένην οἱ ἄρχοντες ἐπεδείκνυντο· ἀλλὰ καὶ ἀσεβέστατον πρὸς τοὺς Θεοὺς καλοῦντες, καὶ ἔτι τῶν βασιλέων ὑβριστὴν καὶ βλάσφημον, πρῶτον μὲν ἐπὶ τοῦ βασανιστηρίου ξύλου κρεμάσαντες, τὸ σῶμα κατέξαινον· ὁ δὲ τῶν δημίων σφοδρῶς ἐνεργούντων, καρτερὸς ἦν καὶ ἀνένδοτος, καὶ στίχον ἐκ τῆς ψαλμῳδίας ταῖς βασάνοις ἐπῇδεν· εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. καὶ οἱ μὲν τὰς σάρκας ἀπέξεον· ὁ δὲ, ἔψαλλεν ὡς
C ἄλλου τινὸς ὑφισταμένου τὴν τιμωρίαν, διεδέξατο τὴν κόλασιν ταύτην τὸ δεσμωτήριον, καὶ πάλιν ἐκεῖ θαῦμα ἐτελεῖτο περὶ τὸν ἅγιον, καὶ νύκτωρ φωνὴ πλήθους ψαλλόντων ἠκούετο, καὶ λαμπάδων ἐπιφαινουσῶν, ὡς ἐν παννυχίδι αὐγὴ ἑωρᾶτο τοῖς ἔξωθεν, ὡς καὶ τὸν δεσμοφύλακα πρὸς τὴν παράδοξον ὄψιν καὶ ἀκοὴν ταραχθέντα, εἰσπηδῆσαι εἰς τὸν οἰκίσκον, καὶ μηδένα εὑρεῖν πλὴν τοῦ μάρτυρος ἡσυχάζοντος, καὶ τῶν ἄλλων δεσμωτῶν καθευδόντων. ἐπεὶ δὲ πολλῶν γινομένων ἤκμαζεν πρὸς τὴν ὁμολογίαν καὶ τὴν εὐσέβειαν, ἦλθεν ἐπ' αὐτὸν ἡ κατακρί-
D νουσα ψῆφος, καὶ πυρὶ τελειωθῆναι κελευσθείς, αὐτὸς μὲν ἀπῆλθε τὴν καλὴν καὶ μακαρίαν πρὸς Θεὸν πορείαν· ἡμῖν δὲ τὴν μνήμην τοῦ ἀγῶνος διδασκάλιον κατέλιπεν, λαοὺς ἀθροίζων, ἐκκλησίας παιδεύων, δαίμονας ἀπελαύνων, ἀγγέλους εἰρηνικοὺς κατάγων, ζητῶν ὑπὲρ ἡμῶν παρὰ Θεοῦ τὰ συμφέροντα, ἰατρεῖον νόσων ποικίλων τὸν τόπον τοῦτον ἀπεργασάμενος, λιμένα τῶν χειμαζομένων ταῖς θλίψε-

σι, πενήτων εὐθηνουμένον ταμεῖον, ὁδοιπόρων A ἀσκεπὲς καταγώγιον, πανήγυριν τὴν ἑορτάζοντα ἄληκτον. εἰ γὰρ καὶ ἐνιαυσιαίοις ἑορταῖς τὴν ἡμέραν ταύτην τελοῦμεν· ἀλλ' οὐδέποτε λήγει τῶν κατὰ σπουδὴν ἀφικνουμένων τὸ πλῆθος, τὴν μυρμήκων δὲ σώζει τὴν ὁμοιότητα, ἡ ἐπὶ τάδε φέρουσα λεωφόρος, τῶν μὲν ἀνιόντων, τῶν δὲ ὑποχωρούντων τοῖς ἐρχομένοις. ἡμεῖς μὲν οὖν, ὦ μακάριε, τὸν τοῦ ἐνιαυτοῦ κύκλον καταλαβόντες φιλανθρωπίᾳ τοῦ κτίσαντος, ἠθροίσαμέν σοι τὴν πανήγυριν τὸν ἱερὸν τῶν φιλομαρτύρων σύλλογον, τόν τε κοινὸν προσκυνοῦν- B τες δεσπότην, καὶ τὴν ἐπινίκιον πληρώσαντες τὴν σῶν ἀγώνων ὑπόμνησιν· σὺ δὲ δεῦρο δὴ πρὸς ἡμᾶς, ὅπου ποτ' ἂν ᾖς, τῆς ἑορτῆς ἔφορος. καλέσαντα γάρ σε ἀντικαλοῦμεν· καὶ εἴτε τῷ ὑψηλῷ αἰθέρι ἐνδιαιτᾷ, εἴτε τινὰ ἐπουράνιον ἁψῖδα περιπολεῖς, ἢ χοροῖς ἀγγέλων συντεταγμένος τῷ δεσπότῃ παρέστηκας, ἢ μετὰ δυνάμεων καὶ ἐξουσιῶν, ὡς δοῦλος πιστὸς προσκυνεῖς· μικρὸν τὰ αὐτόθι παραιτησάμενος, ἧκε πρὸς τοὺς τιμῶντάς σε ἀόρατος φίλος· ἱστόρησον τὰ τελούμενα, ἵνα τὴν εἰς Θεὸν εὐ- C χαριστίαν διπλασιάσῃς, τὸν ἀντὶ πάθους ἑνός, καὶ μιᾶς εὐσεβοῦς ὁμολογίας, τοσαύτας σοι τὰς ἀμοιβὰς χαρισάμενον· εὐφρανθείης δὲ τῷ αἵματι καὶ τῇ τοῦ πυρὸς ἀλγηδόνι. ὅσους γὰρ εἶχες τότε λαοὺς τῆς τιμωρίας θεατάς, τοσούτους νῦν τῆς τιμῆς ἔχεις ὑπηρέτας. χρῄζομεν πολλῶν εὐεργεσιῶν, πρέσβευσον ὑπὲρ τῆς πατρίδος πρὸς τὸν κοινὸν βασιλέα· πατρὶς γὰρ μάρτυρος, τοῦ πάθους ἡ χώρα· πολῖται δὲ καὶ συγγενεῖς, οἱ περιστείλαντες καὶ ἔχοντες καὶ τιμῶντες· ὑφορώμεθα θλίψεις, προσδοκῶμεν κιν- D δύνους, οὐ μακρὰν οἱ ἀλιτήριοι Σκύθαι τὸν καθ' ἡμῶν ὠδίνοντες πόλεμον· ὡς στρατιώτης ὑπερμάχησον· ὡς μάρτυς ὑπὲρ τῶν ὁμοδούλων χρῆσαι τῇ παρρησίᾳ. Εἰ καὶ ὑπερέβης τὸν βίον· ἀλλ' οἶδας τὰ πάθη καὶ τὰς χρείας τῆς ἀνθρωπότητος· αἴτησον εἰρήνην, ἵνα αἱ πανηγύρεις αὗται μὴ λήξωσιν· ἵνα μὴ κωμάσῃ κατὰ ναῶν ἢ θυσιαστηρίων, λυσσῶν καὶ ἄθεσμος βάρβαρος· ἵνα μὴ πατήσῃ τὰ ἅγια βέβηλος. ἡμεῖς γὰρ καὶ ὑπὲρ ὧν ἀπαθεῖς ἐφυλάχθημεν, σοὶ λογιζόμεθα τὴν εὐεργε-

A iactantur, pauperum abundans & copioſum ærarium, viatorum quietum diuerſorium, locum celebrem conuentus ac dies feſtos continĕter agentium. Etſi enim anniuerſariis feriis hunc diem celebramus: at nunquam ceſſat ſtudioſè aduenientium multitudo, ac formicarum ſimilitudinem ſeruat ea, quæ huc pertinet via publica, cùm alij quidem aſcendant, alij verò venientibus cedant. Ac nos quidem, ô beate, benignitate creatoris anniuerſariam circuli viciſſitudinem aſſequuti coëgimus tibi publicum conuentum, ſacrum, inquam, mar- B tyribus addictum, & communem Dominum adorantes, & tuorum certaminum victoriæ commemorationem peragentes: tu verò huc iam ades ad nos, vbicumque tandem fueris, vt diei feſto præſis: vocantem enim te contrà vocamus: ac ſiue in ſublimi æthere habitas, ſiue per cœleſtem aliquem circulum verſaris, aut in choros Angelorum cooptatus Domino adſiſtis, aut cum virtutibus & poteſtatibus, vt ſeruus fidelis adorationis officio fungeris: parumper ab iis officiis vacationĕ deprecatus, veni C ad hos qui te honorant, inuiſibilis amicus: cognoſce ac viſe ferias, quæ celebrantur, vt gratiarum aduerſus Deum conduplices actionem, qui pro vna paſſione, & vna pia confeſſione tot tibi remunerationes largitus eſt: ac læteris ob ſanguinem effuſum, & ignis cruciatus toleratos. Quot enim tunc ſupplicij ſpectatores populos habebas, tot nunc habes honoris miniſtros. Multorum beneficiorum indigemus: intercede ac deprecare pro patria apud communem regem & Dominum: nam patria martyris eſt etiam locus paſſionis, ciues item D & fratres & cognati, qui & habent eum & tuentur, & ornant atque honorant: timemus afflictiones, expectamus pericula: non longè abſunt ſceleſti Scythæ bellum aduerſum nos parturientes, vt miles propugna (pro nobis:) vt martyr pro cŏſeruis vtere libertate loquendi. Etiamſi ſuperaſti ſeculum: at noſti affectus & vſus neceſſitatéſque humanæ conditionis: pete pacem, vt hi publici conuentus non deſinant: ne debacchetur atque graſſetur aduerſus templa altariáve rabioſus & ſceleratus Barbarus: ne conculcet ſancta profanus & impius. Nos enim etiam, quod incolumes & integri conſeruati ſumus, tibi beneficium

acceptum referimus. Petimus autem etiam futuri temporis præſidium atque ſecuritatem. Quòd ſi maiori etiam opus fuerit aduocatione ac deprecatione, fratrum tuorum martyrũ coge chorum: & cum omnibus vnà deprecare, multorum iuſtorum preces multitudinum ac populorum peccata luant: admone Petrum, excita Paulum, Ioannem item Theologum ac diſcipulum dilectum, vt pro Eccleſiis, quas conſtituerunt, ſolliciti ſint, pro quibus catenas geſtauerunt, pro quibus pericula ac mortes tulerunt, ne ſimulachrorum cultus aduerſum nos caput tollat: ne hæreſes ſicut ſpinæ vineæ ſuccreſcant: ne zizanium editum ſuffocet triticum. Ne qua petra veri roris pinguedine carens aduerſum nos exiſtat, & ſermonis ac verbi fertilitatis vim radicis expertem efficiat: ſed virtute tuæ ſociorumque tuorum deprecationis, ô vir admirande atque inter martyres eminens & excellens, Chriſtianorum reſpublica campus ſegetum reddatur, qui campus ad finem vſque maneat in pingui fertilique aruo fidei in Chriſtum, ſemper fructum edens æternæ vitæ, quæ contigit per Chriſtum Ieſum Dominum noſtrum. Cum quo patri ſimul & Spiritui ſancto gloria, imperium & honor nunc & ſemper, & in ſæcula ſæculorum, Amen.

A σίας. αἰτούμεθα δὲ καὶ τῆς μελλούσης τὴν ἀσφάλειαν. ἂν χρεία γένηται καὶ πλείονος δυσωπίας, ἄθροισον τὸν χορὸν τῶν σῶν ἀδελφῶν τῶν μαρτύρων, καὶ μετὰ πάντων δεήθητι, πολλῶν δικαίων εὐχαὶ, λαῶν καὶ δήμων ἁμαρτίας λυσάτωσαν· ὑπόμνησον Πέτρον, διέγειρον Παῦλον, Ἰωάννην ὁμοίως τὸν θεολόγον, καὶ φιλούμενον μαθητήν· ἵν' ὑπὲρ τῶν ἐκκλησιῶν ἃς συνεστήσαντο μεριμνήσωσιν, ὑπὲρ ὧν τὰς ἁλύσεις ἐφόρεσαν, ὑπὲρ ὧν τοὺς κινδύνους καὶ τοὺς θανάτους ἤνεγκαν, μὴ εἰδωλολατρεία ἄ- B ρῃ καθ' ἡμῶν κεφαλήν· μὴ αἱρέσεις ὡς ἄκανθαι τῷ ἀμπελῶνι ὑποβλαστήσωσι· μὴ ζιζάνιον ἐγερθὲν πνίξῃ τὸν σῖτον· μή τις πέτρα γένηται καθ' ἡμῶν λειπομένη τῆς πιότητος τῆς ἀληθινῆς δρόσου, καὶ ἄρριζον ἀποδείξῃ τῆς εὐκαρπίας τοῦ λόγου τὴν δύναμιν· ἀλλὰ τῇ δυνάμει τῆς σῆς πρεσβείας καὶ τῶν σὺν σοὶ, θαυμαστὲ καὶ ὑπερλάμπον ἐν τοῖς μάρτυσι, λήϊον ἀποδειχθείη τὸ τῶν Χριστιανῶν πολίτευμα μέχρι τέλους μένον, ἐν τῇ λιπαρᾷ καὶ εὐκάρπῳ τῆς ἐν Χριστῷ πίστεως ἀρούρᾳ ἀεὶ καρποφο- C ροῦν τὴν αἰώνιον ζωὴν, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΤΑΦΙΟΣ λόγος εἰς τὸν Μέγαν Μελέτιον ἐπίσκοπον Ἀντιοχείας.

Ηὔξησεν ἡμῖν τὸν ἀριθμὸν τῶν ἀποστόλων ὁ νέος ἀπόστολος, ὁ συγκαταψηφισθεὶς μετὰ τῶν ἀποστόλων. B εἵλκυσαν γὰρ οἱ ἅγιοι πρὸς ἑαυτοὺς τὸν ὁμότροπον, τὸν ἀθλητὴν οἱ ἀθληταὶ, τὸν στεφανίτην οἱ στεφανῖται, τὸν ἁγνὸν τῇ ψυχῇ οἱ καθαροὶ τῇ καρδίᾳ, τὸν κήρυκα τοῦ λόγου οἱ ὑπηρέται τοῦ λόγου. ἀλλὰ μακάριος μὲν ὁ πατὴρ ἡμῶν, τῆς τε ἀποστολικῆς συσκηνίας, καὶ τῆς πρὸς τὸν Χριστὸν ἀναλύσεως· ἐλεεινοὶ δὲ ἡμεῖς. οὐ γὰρ ἐᾷ μακαρίζειν ἡμᾶς τοῦ πατρὸς τὴν εὐκληρίαν, ἡ ἀωρία τῆς ὀρφανίας· ἐκείνῳ κρεῖττον ἦν τὸ σὺν Χριστῷ εἶναι διὰ τῆς ἀναλύσεως, ἀλλ' ἡμῖν χαλεπὸν τὸ διαζευχθῆναι τῆς πατρικῆς C προστασίας. ἰδοὺ γὰρ βουλῆς καιρὸς, καὶ ὁ συμβουλεύων σιγᾷ. πόλεμος ἡμᾶς περιεστοίχισται, πόλεμος αἱρετικός· καὶ ὁ στρατηγῶν οὐκ ἔστι. κάμνει ταῖς ἀῤῥωστίαις τὸ κοινὸν σῶμα τῆς ἐκκλησίας, καὶ τὸν ἰατρὸν οὐχ εὑρίσκομεν, ὁρᾶτε ἐν ποταποῖς τὰ ἡμέτερα. ἐβουλόμην εἴπως οἷόν τε ἦν τονώσας ἐμαυτοῦ τὴν ἀσθένειαν, συναναβῆναι τῷ ὄγκῳ τῆς συμφορᾶς, καὶ ἵνα ῥῆξαι φωνὴν κατ' ἀξίαν τοῦ πάθους· καθάπερ οἱ γενναῖοι πεποιήκασιν οὗτοι, μεγαλοφώνως τὴν ἐπὶ τῷ πατρὶ συμφορὰν ὀδυράμενοι. ἀλλὰ τί πάθω; D πῶς βιάσωμαι γλῶσσαν εἰς ὑπηρεσίαν τοῦ λόγου, καθάπερ τινὶ πέδῃ βαρείᾳ τῇ συμφορᾷ πεδηθεῖσαν; πῶς ἀνοίξω στόμα τῇ ἀφασίᾳ κεκρατημένον; πῶς προήσωμαι φωνὴν, εἰς πάθη καὶ θρήνους κατὰ συνήθειαν καταπίπτουσαν; πῶς ἀναβλέψω τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, τῷ τῆς συμφορᾶς γνόφῳ κεκαλυμμένος; τίς μοι διασχὼν τὴν βαθεῖαν ταύτην καὶ σκοτεινὴν τῆς λύπης νεφέλην, πάλιν ἐξ αἰθρίας λαμπρὰν ἀναδείξει τὴν τῆς εἰρήνης ἀκτῖνα; πόθεν δὲ καὶ ἀναλάμψει ἡ ἀκτὶς, τοῦ φωστῆρος ἡμῖν καταδύναντος; ὢ κακῆς σκοτομήνης, ἀνατολὴν

EIVSDEM ORATIO habita in funere magni Meletij Epiſcopi Antiochiæ.

Eodem Siſano interprete.

AVXIT nobis numerum Apoſtolorum nouus Apoſtolus, qui cooptatus eſt in ordinem Apoſtolorū. Traxerunt enim ſancti ad ſe moribus conſimilem: athletam, athletæ: coronatum, coronati: animo caſtum, corde puri: præconem ſermonis, miniſtri ſermonis. Verùm pater quidem noſter Apoſtolici contubernij, & ad Chriſtum reſolutionis nomine beatus habendus eſt: nos verò miſerabiles. Orbitas enim prematura non ſinit, vt eo nomine beatos nos dicamus, quòd tam bonum & commodum patrem nacti eramus. Illi melius erat per reſolutionem eſſe cum Chriſto: at nobis acerbum & moleſtum paterno præſidio patrocinioq; carere. Ecce enim tempus conſilij eſt, & conſilium dare ſolitus tacet. Bellum nos circumſtat, bellum hæreticum: & qui ducem ſe præbeat, nobis non eſt. Laborat infirmitatibus cõmune corpus Eccleſiæ, & medicum non inuenimus: Videte quo loco ſint res noſtræ. Vellem ſi quo modo fieri poſſet, confirmata mea debilitate vnà cum magnitudine calamitatis aſcendere, & aliquam rumpere vocem, quæ incõmodo reſponderet: quemadmodum iſti viri egregij fecerunt, qui magna voce calamitatē amiſſi patris deplorauerunt. Sed quid agam? quî cogam linguam ad inſeruiendum orationi tanquā graui vinculo, calamitate impeditam? quomodo aperiam os taciturnitate atque ſilentio captum: qua ratione vocem emittam ad calamitates & luctus ex conſuetudine delabentem? quomodo animi oculis ſuſpiciā, qui caligine calamitatis circumfuſus ſum? Quis mihi hac denſa atque obſcura triſtitiæ nebula diſcuſſa, rurſus ex ſerenitate clarum pacis radium exhibebit? vnde verò radius etiam eluceſcet, cùm ſtella nobis occiderit? O malam noctem obſcuram, quę ortum luminis non

ſperat? Quàm contrario modo à nobis hoc loco & nunc verba fiunt, & nuper facta ſunt? Tunc tanquam in nuptiis tripudiabamus & choreas ducebamus: nunc miſerabiliter lugentes ingemiſcimus. Tunc nuptiale, nunc ſepulchrale carmen canimus. Meminiſtis enim illius diei, cùm in nuptiis ſpiritualibus præclaro ſponſo virginem domum deducentes conuiuio vos excepimus, & verborum ſponſalia munera pro viribus noſtris intulimus, gaudio afficientes inuicem & gaudentes. Verùm nunc in luctum nobis gaudium conuerſum eſt, ac lætitiæ amictus ſaccus euaſit. An forſitan reticere calamitatem atque ſilentio intus cõcludere mœrorem oportebat, ne moleſtia filios thalami ſponſalis afficiamus, cùm non habeamus lautum ac ſplendidum nuptiale indumentum, ſed atrum ac pullum orationis habitum afferamus? Poſteaquam enim prçclarus ſponſus à nobis diſceſſit, luctu repentè atrati ſumus, nec licet more ſolito feſtiuum & iucundum inferre ſermonem cùm qua ornabamur ſtola, nos inuidia ſpoliarit. Pleni bonorum ad vos acceſſimus: nudi ac pauperes à vobis recedimus: erectam ſupra caput largo lumine reſplẽdentẽ facem habebamus, hanc extinctã in fumum & cinerem diſſipato ſplẽdore reportamus. Habuimus magnum illum theſaurum in vaſe teſtaceo: At theſaurus quidem iſte abſconditus, & viſum fugit: vas autem teſtaceum ab opibus vacuum ab iis, qui dederant, reſeruatur. Quid dicemus qui emiſimus? quid reſpondebunt à quibus repetitur: O malum naufragium! Quomodo in medio portu ſpei noſtræ naufragium fecimus? quomodo innumeris mercibus onuſta nauis cum ipſo onere demerſa nos olim diuites nudos deſtituit? vbi ſplendidum illud velum, quod Spiritu ſancto ſemper dirigebatur? vbi tutum ac firmum animarum noſtrarum gubernaculum, quo tempeſtates maximas hæreticas nullo accepto incommodo præteruehebamus? vbi immobilis & firma ſententiç iudiciique anchora: qua cum ſumma ſecuritate poſt labores acquieſcebamus? Vbi bonus ille gubernator, qui ad ſuperum ſcopulum nauigium dirigebat? Vtrùm modica ſunt ea, quæ acciderunt, ac nequicquam conqueror? aut potius calamitatem querendo non aſſequor, etiamſi ſupra modum dicendo vocem intendam? Com-

A φωστῆρος οὐκ ἐλπιζούσης· ὡς ἀπεναντίον ἡμῖν ἐν τῷ παρόντι τόπῳ, νῦν τε καὶ πρώην οἱ λόγοι γίνονται; τότε γαμικῶς ἐχορεύομεν, νῦν ἐλεεινῶς ἐπὶ τῷ πένθει στενάζομεν. τότε ἐπιθαλάμιον, νῦν ἐπιτάφιον ᾄδομεν. μέμνησθε γὰρ ὅτι τὸν πνευματικὸν ὑμᾶς γάμον εἱστιάσαμεν, τῷ καλῷ νυμφίῳ εἰσοικίζοντες τὴν παρθένον, καὶ τὰ τῶν λόγων ἕδνα κατὰ δύναμιν ἡμῶν εἰσενεγκάμεθα, εὐφραίνοντες ἐν τῷ μέρει καὶ εὐφραινόμενοι. ἀλλὰ νῦν εἰς θρῆνον ἡμῖν ἡ χαρὰ μεθηρμόσθη, καὶ ἡ τῆς εὐφροσύνης περιβολὴ, σάκκος ἐγένετο. B ἢ τάχα σιωπᾷν ἔδει τὸ πάθος, καὶ ἔνδον ἀποκλείειν τῇ σιωπῇ τὴν ἀλγηδόνα, ὡς ἂν μὴ διοχλοίημεν τοὺς υἱοὺς τοῦ νυμφῶνος, οὐκ ἔχοντες τὸ φαιδρὸν τοῦ γάμου ἔνδυμα, ἀλλὰ μελανειμονοῦντες τῷ λόγῳ; ἐπειδὴ γὰρ ἀπήρθη ἀφ' ἡμῶν ὁ καλὸς νυμφίος, ἀθρόως τῷ πένθει κατεμελάνθημεν, καὶ οὐκ ἔτι συνήθως καταφαιδρῦναι τὸν λόγον, τὴν κοσμοῦσαν ἡμᾶς στολὴν τοῦ φθόνου ἀποσυλήσαντος. πλήρεις ἀγαθῶν πρὸς ὑμᾶς ἀπηντήκαμεν· γυμνοὶ καὶ πένητες ἀφ' ὑμῶν ὑπο- C στρέφομεν· ὀρθὴν εἴχομεν ὑπὲρ κεφαλῆς τὴν λαμπάδα, πλουσίῳ τῷ φωτὶ καταλάμπουσαν· ταύτην ἐσβεσμένην ἀνακομίζομεν, εἰς καπνὸν καὶ κόνιν διαλυθέντος τοῦ φέγγους. εἴχομεν τὸν θησαυρὸν τὸν μέγαν ἐν ὀστρακίνῳ σκεύει· ἀλλ' ὁ μὲν θησαυρὸς ἀφανής· τὸ δὲ ὀστράκινον σκεῦος, κενὸν τοῦ πλούτου τοῖς δεδωκόσιν ἐπανασώζεται. τί ἐροῦμεν οἱ ἀποστείλαντες; τί ἀποκριθήσονται οἱ ἀπαιτούμενοι· ὢ πονηροῦ ναυαγίου· πῶς ἐν μέσῳ τῷ λιμένι τῆς ἐλπίδος ἡμῶν ἐναυαγήσαμεν; πῶς ἡ μυριοφόρος ὁλκὰς αὐτῷ τῷ πληρώματι καταδῦσα, γυμνοὺς ἡμᾶς τοὺς D ποτὲ πλουτοῦντας κατέλιπεν; ποῦ δὲ τὸ λαμπρὸν ἱστίον ἐκεῖνο, τὸ τῷ ἁγίῳ πνεύματι διὰ παντὸς ἰθυνόμενον; ποῦ δὲ ἀσφαλὲς τῶν ψυχῶν ἡμῶν πηδάλιον, δι' οὗ τὰς τρικυμίας τὰς αἱρετικὰς ἀπαθῶς παρεπλέομεν; ποῦ ἡ ἀμετάθετος τῆς γνώμης ἄγκυρα, ᾗ μετὰ πάσης ἀσφαλείας πεποιηκότες ἀνεπαυόμεθα; ποῦ ὁ καλὸς κυβερνήτης, ὁ πρὸς τὸν ἄνω σκοπὸν διευθύνων τὸ σκάφος; ἆρα μικρὰ τὰ συμβάντα, καὶ μάτην παθαίνομαι; ἢ μᾶλλον οὐκ ἐφικνοῦμαι τοῦ πάθους, κἂν ὑπερφωνήσω τῷ λόγῳ; χρήσατε ἡμῖν, ἀδελφοί,

ἀδελφοί, χρήσατε, τὸ ἐκ συμπαθείας δάκρυον. καὶ γὰρ ὅτε ὑμεῖς εὐφραίνεσθε, ἡμεῖς τῆς εὐφροσύνης ὑμῶν ἐκοινωνήσαμεν. οὐκοῦν ἀπόδοτε ἡμῖν τὸ πονηρὸν τοῦτο ἀντάλλαγμα. χαίρειν μετὰ χαιρόντων· τοῦτο ἡμεῖς ἐποιήσαμεν. κλαίειν μετὰ κλαιόντων· τοῦτο ὑμεῖς ἀνταπόδοτε. ἐδάκρυσέ ποτε ξένος λαὸς ἐπὶ τοῦ πατριάρχου Ἰακὼβ, καὶ τὴν ἀλλοτρίαν συμφορὰν ᾠκειώσατο, ὅτε τὸν πατέρα ἐξ Αἰγύπτου οἱ ἀπ' ἐκείνου μετακομίσαντες, πανδημεὶ τὴν ἐπ' αὐτῷ συμφορὰν ἐπὶ τῆς ἀλλοτρίας κατωλοφύραντο, ἡμέραις τριάκοντα καὶ τοσαύταις νυξὶ τὸν ἐπ' αὐτῷ θρῆνον συμπαρατείνοντες· μιμήσασθε τοὺς ἀλλοφύλους, οἱ ἀδελφοὶ καὶ ὁμόφυλοι. κοινὸν ἦν τότε τῶν ξένων, καὶ τῶν ἐγχωρίων τὸ δάκρυον· κοινὸν ἔστω καὶ νῦν· ἐπεὶ καὶ τὸ πάθος κοινόν. ὁρᾶτε τοὺς πατριάρχας τούτους· πάντες οὗτοι τέκνα τοῦ ἡμετέρου εἰσὶν Ἰακώβ. ἐξ ἐλευθέρας οἱ πάντες. οὐδεὶς νόθος οὐδὲ ὑπόβλητος. οὐδὲ γὰρ ἦν θέμις ἐκείνῳ δουλικὴν συγγένειαν ἐπεισάγειν τῇ εὐγενείᾳ τῆς πίστεως. οὐκοῦν καὶ ἡμέτερος ἐκεῖνος πατὴρ, διότι τοῦ πατρὸς ἦν τοῦ ἡμετέρου πατήρ. ἠκούσατε ἀρτίως τοῦ Ἐφραὶμ καὶ τοῦ Μανασσῆ, οἷα καὶ ὅσα περὶ τοῦ πατρὸς διηγήσαντο, ὡς ὑπερβαίνειν λόγοις τὰ θαύματα. δότε κἀμοὶ περὶ τούτων εἰπεῖν. καὶ γὰρ ἀκίνδυνον τὸ μακαρίζειν λοιπόν· οὔτε φοβοῦμαι τὸν φθόνον. τί γάρ με χεῖρον ἐργάσεται; οὐκοῦν γνῶτε τίς ὁ ἀνήρ· εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν, ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. οὐ γὰρ δὴ ζηλοτυπήσει ὁ μέγας Ἰὼβ, εἰ ταῖς περὶ αὐτοῦ μαρτυρίαις καὶ ὁ μιμητὴς ἐκείνου ἐγκαλλωπίζοιτο. ἀλλ' ὁ τὰ καλὰ πάντα βλέπων φθόνος, εἶδεν καὶ τὸ ἡμέτερον ἀγαθὸν πικρῷ τῷ ὀφθαλμῷ· καὶ ὁ ἐμπεριπατῶν τῇ οἰκουμένῃ, καὶ δι' ἡμῶν περιεπάτησεν, πλατὺ τὸ ἴχνος τῆς θλίψεως ταῖς εὐπραγίαις ἡμῶν ἐναπερείσας. οὐ βοῶν καὶ προβάτων ἀγέλας διελυμήνατο· πλὴν εἰ μή τις ἄρα κατὰ τὸ μυστικὸν εἰς τὴν ἐκκλησίαν μεταλάβοι τὸ ποίμνιον. πλὴν οὐκ ἐν τούτοις ἡμῖν παρὰ τοῦ φθόνου ἡ βλάβη· οὐδὲ ἐν ὄνοις καὶ καμήλοις τὴν ζημίαν εἰργάσατο· οὐδὲ τραύματι σαρκὸς τὰς αἰσθήσεις ἐδριμύξεν·

A modate nobis, fratres, commodatè ex condolentia lacrymas profuſas. Etenim quando vos lætabamini, nos lætitiæ veſtræ focij eramus. Proinde reddite nobis prauam iſtam officij viciſſitudinem. Gaudendũ vna cum gaudentibus: hoc nos fecimus. Flendum cum flentibus: hoc vos inuicem reddite. Lacrymatus eſt olim externus populus, quo tempore patriarcha Iacob diem ſuum obierat, & alienam calamitatem ſuam eſſe duxit; cùm parentem ex Ægypto liberi tranſportantes, vulgò omnes nullo vel ſexus vel ætatis habito diſcrimine, caſum eius
B in regione aliena deplorabant, dies triginta totidémque noctes luctum ac lamentationem illius amiſſi nomine continuantes. Vos qui fratres & populares eſtis, imitamini alienigenas & externos. Communes tunc erant peregrinorum indigenarumque lacrymæ: communes ſint etiam nunc: quoniam etiam calamitas communis eſt. Videte hoſce patriarchas: omnes iſti filij noſtri Iacobi ſunt. Ex libera procreati omnes. Nemo ſpurius & illegitimus: nemo ſubdititius. Gen.46.
Neque enim illi fas erat ingenuitati fi-
C dei ſeruilem inſerere cognationem. Ergo etiam noſter ille parens, propterea quòd patris noſtri pater erat. Audiſtis paulò antè ex Ephraim & Manaſſe, qualia, quamque multa de patre narrarent, adeò vt miracula oratio aſſequi non poſſet. Date mihi quoque vt de his rebus dicam. Etenim nullo periculo deinceps beatitudines exponere licet: nec inuidiã metuo. Quónam enim me malo maiore afficiet? Proinde cognoſcite qui vir ſit. generoſus & nobilis ab ortu ſolis, inculpatus, iuſtus, verax, pius & religio-
D ſus, abſtinens ab omni malo facinore. Non enim vtique inuidebit magnus ille Iob, ſi iis teſtimoniis, quæ de ipſo feruntur, etiam imitator illius ornetur. Sed quæ omneis res præclaras intuetur inuidia, etiam noſtrum bonum acerbo oculo contuita eſt: ac quæ per orbem terrarum obambulat, etiam per nos ambulauit, latum veſtigium afflictionis rebus ſecũdis noſtris infixum relinquens. Non boum & ouium greges diſperdidit: (niſi ſi quis vtique ſecundum myſticum ſenſum gregem ad Eccleſiam traducat.) Verùm non in his nobis inuidia damnũ dedit: neque in aſinis & camelis noxam commiſit: neque ipſo vulnerata carne ſenſu acerbo dolore affecit:

ſed nos capite priuauit. Cum capite autem vnà adempta ſunt honorata ac dignitate præſtantia ſenſuũ noſtrorum inſtrumenta. Non amplius eſt oculus, qui cœleſtia contueatur: neque auris, quæ vocem diuinã exaudiat: neque lingua illa purum veritatis donarium. Vbi dulcis illa oculorum ſerenitas? vbi iucundus ille ac lepidus in labiis riſus? vbi comis illa & ad ſalutandum facilis dextera, quæ vnà cum oris benedictione digitos intentare ſolebat? Prouehor autem, ſicut in ſcena, ad calamitatem elata voce proclamandam: Miſereor tui, ſancta Eccleſia; te alloquor, ô ciuitas Antiochi. Miſeret me tui, repentinæ ac ſubitæ huius mutationis nomine. Vt ademptus eſt decor? vt detractus eſt ornatus? vt repentè flos defluxit? planè gramen exaruit, & flos decidit. Quis oculus malus? quæ faſcinatrix inuidia mala in Eccleſiam illam debacchata atque graſſata eſt? quæ quibus commutauit? Defecit fons. Exaruit amnis. Rurſus in ſanguinem aqua conuerſa eſt. O infœlicem nuntium illum, quo calamitas Eccleſiæ indicabitur! Quis filiis dicet, quòd parentibus orbati ac deſtituti ſint? quis renuntiabit ſponſæ, quòd vidua facta ſit? O mala! Quid emiſerunt? & quid recipiunt? Arcam præmiſerunt, & recipiunt ſarcophagum. Arca, fratres, homo ille Dei erat, arca continens in ſe diuina myſteria: illic vrna aurea plena mannæ diuinæ, plena cibi illius cœleſtis. In illa tabulæ teſtamenti, in tabulis cordis ſpiritu Dei viuentis, non atramento inſcriptæ. (Neque enim illi puritati cordis caliginoſus & ater intellectus inuſtus & impreſſus erat.) In illa columnæ, baſes & ſuſtentamenta, capitella, thuribulum, candelabrum, propitiatorium, pelues, ad aditus obtenſa vela atque aulæa: in illa, virga ſacerdotij quæ in manibus illius germinauit. Et ſi quid aliud arcam in ſe habuiſſe audimus, omnia animo viri continebantur. Sed pro illis quid? Sileat oratio. Sindones mundæ, & panni ſerici: vnguentorum & aromatum largitas & abundantia, liberalitas mulieris & ornatę & honeſtę. Dicetur enim, vt etiam hæc ei teſtimonio ſit, quæ erga ſacerdotem fecit, cùm alabaſtrum vnguenti largiter in caput ſacerdotis effudit. Sed quod in his ſeruatur, quid? oſſa mortua,

A ἀλλ' ἡμᾶς τῆς κεφαλῆς ἀπεσύλησε. τῇ δὲ κεφαλῇ συναπῆλθε τὰ τίμια ἡμῶν αἰσθητήρια. οὐκέτι ἐστὶν ὀφθαλμὸς, ὁ τὰ οὐράνια βλέπων· οὐδὲ ἀκοὴ, τῆς θείας φωνῆς ἐπαΐουσα, οὐδὲ ἡ γλῶσσα ἐκείνη, τὸ ἁγνὸν ἀνάθημα τῆς ἀληθείας. ποῦ ἡ γλυκεῖα τῶν ὀμμάτων γαλήνη; ποῦ τὸ φαιδρὸν ἐπὶ τοῖς χείλεσι μειδίαμα; ποῦ ἡ εὐπροσήγορος δεξιὰ, τῇ τοῦ στόματος εὐλογίᾳ τοὺς δακτύλους συνεπισείουσα; περιάγομαι δὲ ὡς ἐπὶ σκηνῆς ἀναβοῆσαι τὴν συμφοράν· ἐλεῶ σε ὦ ἐκκλησία· πρὸς σὲ λέγω,
B τὴν Ἀντιόχου πόλιν. ἐλεῶ σε τῆς ἀθρόας ταύτης μεταβολῆς. πῶς ἀπεκοσμήθη τὸ κάλλος; πῶς ἀπεσυλήθη ὁ κόσμος; πῶς ἐξαίφνης ἀπέῤῥυη τὸ ἄνθος; ὄντως ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν. τίς ὀφθαλμὸς πονηρὸς, τίς βασκανία κακὴ κατὰ τῆς ἐκκλησίας ἐκείνης ἐκώμασεν; οἷα ἀνθ' οἵων ἤλλαξαν; ἐξέλιπεν ἡ πηγή. ἐξηράνθη ὁ ποταμός. πάλιν εἰς αἷμα μετεποιήθη τὸ ὕδωρ. ὢ δυστυχοῦς ἀγγελίας ἐκείνης, τῆς διαγγελλούσης τῇ ἐκκλησίᾳ τὸ πάθος· τίς ἐρεῖ τοῖς τέκνοις, ὅτι ἀπωρφανίσθησαν; τίς ἀπαγ-
C γελεῖ τῇ νύμφῃ, ὅτι ἐχήρευσεν; ὢ τῶν κακῶν· τί ἐξέπεμψαν; καὶ τί ὑποδέχονται; κιβωτὸν προέπεμψαν, καὶ σορὸν ὑποδέχονται. κιβωτὸς ἦν, ἀδελφοὶ, ὁ τοῦ Θεοῦ ἄνθρωπος, κιβωτὸς περιέχων ἐν ἑαυτῷ τὰ θεῖα μυστήρια· ἐκεῖ ἡ στάμνος ἡ χρυσῆ πλήρης τοῦ θείου μάννα, πλήρης τῆς οὐρανίου τροφῆς. ἐν ἐκείνῃ αἱ πλάκες τῆς διαθήκης, ἐν ταῖς πλαξὶ τῆς καρδίας ἐγγεγραμμέναι πνεύματι Θεοῦ ζῶντος, οὐ μέλανι. οὐδὲν γὰρ τῇ καθαρότητι τῆς καρδίας ζοφῶδες καὶ μέλαν ἐνεκέκαυτο νόημα. ἐν ἐκείνῃ οἱ στῦλοι, αἱ βάσεις, αἱ
D κεφαλίδες, τὸ θυμιατήριον, ἡ λυχνία, τὸ ἱλαστήριον, οἱ λουτῆρες, τὰ τῶν εἰσόδων καταπετάσματα· ἐν ἐκείνῃ ἡ ῥάβδος τῆς ἱερωσύνης, ἡ ἐν ταῖς χερσὶ ταῖς ἐκείνου βλαστήσασα. καὶ εἴ τι ἄλλο τὴν κιβωτὸν ἔχειν ἀκούομεν, πάντα τῇ ψυχῇ τοῦ ἀνδρὸς περιείληπτο. ἀλλ' ἀντ' ἐκείνων τί; σιωπάτω ὁ λόγος. σινδόνες καθαραὶ, καὶ τὰ ἐκ σηρῶν ὑφάσματα· μύρων καὶ ἀρωμάτων δαψίλεια, γυναικὸς φιλοτιμία κοσμίας τε καὶ εὐσχήμονος. εἰρήσεται γὰρ ὡς ἂν καὶ ταῦτα γένοιτο εἰς μαρτύριον αὐτῇ, ὃ περὶ τὸν ἱερέα ἐποίησεν, δαψιλῶς τὸ ἀλάβαστρον τοῦ μύρου τῆς τοῦ ἱερέως κεφαλῆς καταχέασα. ἀλλὰ τὸ ἐν τούτοις διασωζόμενον, τί; ὀστᾶ νεκρά,

καὶ περὶ τοῦ θανάτου μεμελετηκότα τὴν νέκρωσιν· τὰ λυπηρὰ τῶν συμφορῶν ἡμῶν μνημόσυνα. ὢ οἵα φωνὴ πάλιν ἐν Ῥαμᾷ ἀκουσθήσεται· Ῥαχὴλ κλαίουσα οὐχὶ τὰ τέκνα αὐτῆς, ἀλλὰ τὸν ἄνδρα, καὶ οὐ προσιεμένη παράκλησιν. ἄφετε οἱ παρακαλοῦντες ἄφετε. μὴ κατισχύσητε παρακαλέσαι. βαρυπενθείτω ἡ χήρα. αἰσθέσθω τῆς ζημίας ἧς ἐζημίωται. καίτοι οὐκ ἀμελέτητός ἐστι τοῦ χωρισμοῦ, ἐν τοῖς ἀγῶσι τοῦ ἀθλητοῦ προεθισθεῖσα φέρειν τὴν μόνωσιν. μέμνησθε πάντως ὅπως ὑμῖν ὁ πρὸ ἡμῶν λόγος τοὺς ἀγῶνας τοῦ ἀνδρὸς διηγήσατο, ὅτι διὰ πάντων τιμῶν τὴν ἁγίαν τριάδα, καὶ ἐν τῷ ἀριθμῷ τῶν ἀγώνων τὴν τιμὴν διεσώσατο, τρισὶ πειρασμῶν προσβολαῖς ἐναθλήσας. ἠκούσατε τὴν ἀκολουθίαν τῶν πόνων, οἷος ἐν προτέροις, οἷος ἐν μέσοις, ἐν τελευταίοις οἷος ἦν. περιττὴν κρίνω τὴν παράληψιν τῶν εἰρημένων καλῶς. ἀλλὰ τοσοῦτον εἰπεῖν ἴσως οὐκ ἄκαιρον. ὅτε τὸ πρῶτον εἶδεν ἡ σώφρων ἐκκλησία ἐκείνη τὸν ἄνδρα, εἶδε πρόσωπον ἀληθῶς ἐν εἰκόνι Θεοῦ μεμορφωμένον· εἶδεν ἀγάπην πηγάζουσαν· εἶδεν χάριν περικεχυμένην τοῖς χείλεσι· ταπεινοφροσύνης τὸν ἀκρότατον ὅρον· μεθ' ὃν οὐκ ἔστιν ἐπινοῆσαι τὸ πλέον· κατὰ τὸν Δαβὶδ τὴν πρᾳότητα· κατὰ τὸν Σολομῶντα τὴν σύνεσιν· κατὰ τὸν Μωϋσέα, τὴν ἀγαθότητα· κατὰ τὸν Σαμουὴλ τὴν ἀκρίβειαν· κατὰ τὸν Ἰωσήφ, τὴν σωφροσύνην· κατὰ τὸν Δανιήλ, τῆς σοφίας· κατὰ τὸν μέγαν Ἠλίαν ἐν τῷ ζήλῳ τῆς πίστεως· κατὰ τὸν ὑψηλὸν Ἰωάννην, ἐν τῇ ἀφθορίᾳ τοῦ σώματος· κατὰ τὸν Παῦλον ἐν τῇ ἀνυπερβλήτῳ ἀγάπῃ· εἶδεν τοσούτων ἀγαθῶν συνδρομὴν περὶ μίαν ψυχήν· ἐτρώθη τῷ μακαρίῳ ἔρωτι, ἐν τῇ ἁγνῇ καὶ ἀγαθῇ φιλοφροσύνῃ τὸν νυμφίον ἑαυτῆς ἀγαπήσασα. ἀλλὰ πρὶν τὴν ἐπιθυμίαν ἐμπλῆσαι, πρὶν ἀναπαῦσαι τὸν πόθον, ἔτι τῷ φίλτρῳ ζέουσα, κατελείφθη μόνη, τῶν πειρασμῶν τὸν ἀθλητὴν ἐπὶ τοὺς ἀγῶνας καλούντων. καὶ ὁ μὲν ἐνήθλει τοῖς ὑπὲρ τῆς εὐσεβείας ἱδρῶσιν· ἡ δὲ ὑπέμενεν ἐν σωφροσύνῃ τὸν γάμον φυλάττουσα. χρόνος ἦν ἐν μέσῳ πολύς, καί τις μοιχικῶς κατεπεχείρει τῆς ἀχράντου παστάδος.

A quæ & ante mortem, mortalitatem meditata erant: moleſta calamitatum noſtrarum monumenta. O qualis vox rurſus in Rama audietur! Rachel deflens non filios ſuos, ſed virum ſuum, & non admittens conſolationem. Omittite, ô conſolantes, omittite: nolite contendere vt conſolemini. Grauiter ferat, & lugeat vidua. Sentiat damnum quod fecit. Quanquam non imperita diſceſſionis eſt, vt quæ iam antea in laboribus certaminibúſque athletæ ſolitudinem ac deſtitutionem ferre aſſuefacta ſit. Meminiſtis omnino, quemad-
B modum vobis ante hanc noſtram habita oratio labores atque certamina viri expoſuit, quòd cùm per omnia ſanctam Trinitatem honoraret, etiam in numero certaminum honorem cõſeruauerit, vt qui in tribus tentationum incurſionibus decertauerit. Audiuiſtis continuationem, contextum & ſeriem laborum, qualis in primis, qualis in mediis, qualis eſſet in poſtremis. Superuacuam iudico repetitionem benè dictorum. Sed tantum dicere fortaſſe non intempeſtiuum fuerit. Cùm primum bene morata ac
C modeſta illa Eccleſia virum vidit, faciem vidit ad imaginem Dei verè formatam: vidit dilectionem fontis modo ſcaturientem: vidit gratiã labiis circumfuſam: animi demiſſionis ſummum gradum: poſt quem amplius quicquam cogitari non poteſt: vidit manſuetudinem atque clementiã, qualis in Dauide 1.Reg. 16.
fuit: qualis in Solomone, intelligẽtiam 3.Reg 3.
atque prudentiam: qualis in Moyſe, bonitatẽ: qualis in Samuele, perfectionẽ: Exod.19.
qualis in Ioſepho, continentiam pudi- 1.Reg.12.
citiamque: qualis in Daniele, ſapien- Gen 39.
tiam: quemadmodum magnus Helias, Daniel.13. 3.Reg.18.
D zelo fidei præditum: ſicuti ſublimis Ioannes, integritate corporis ornatum: ſicuti Paulus inexuperabili præditum dilectione: vidit tot bonorũ circa vnam animam concurſum: amore beato vulnerata eſt, caſto bonoq; ſponſum ſuum amore atque beneuolentia proſequuta dilexit. Sed priuſquam cupiditatem expleret, antequam deſiderium recrearet atque ſedaret, etiam nunc amoris vi feruens, tentationibus athletam ad certamina vocantibus, ſola relicta eſt. Atque ille quidem in certaminibus pro pietate ſuſceptis deſudabat: hæc verò durabat in caſtitate matrimonium conſeruans. Iam multum temporis interceſſerat, cùm quidam adulterandi animo immaculatum lectum coniugalem aggreditur.

A Sed ſponſa non poterat corrumpi, ac denuò reditus, & rurſus exilium: idque tertium accidit, donec hæretica caligine diſcuſſa Dominus, & radio pacis admoto, requietis aliquam à diuturnis laboribus ſpem fecit: ſed poſteaquam ſe mutuò rurſus viderunt, & caſtus amor ſpiritualéſque animi oblectationes renouatæ ſunt: ac rurſus deſiderium accenſum eſt: ſtatim perceptionem voluptatis hæc vltima peregrinatio dirimit & interrumpit. Venit vt nos tanquam ſponſam ornaret, & nuptias inſtrueret, nec id fruſtra ſuſcepit. Præclaro coniugio benedictionis coronas impoſuit; imitatus eſt Dominum: vt in Canâ Galilææ Dominus, ita etiam hic imitator Chriſti. B Iudaïcas enim hydrias hæretica aqua repletas, virtute fidei immutata natura, vini integri & incorrupti plenas fecit. Sæpe dulci ſua voce largiter affuſa gratia, ſobrium in vobis cratera ſtatuit: ſæpenumero vobis omnis generis rationalium ciborum epulum præbuit. Ille quidem benedicendo præibat, præclari autem iſti diſcipuli ſermonem minutatim exponentes turbis miniſtrabant. Ac nos lætamur, generis veſtri gloriam propriam ducentes. Quam præclaræ hactenus narrationes, quàm C beatum & optandum eſſet in his deſinere atque finiri ſermonem. Sed poſtea quid? Vocate lamentatrices, inquit Hieremias. Non enim aliter cor ardens ac præ dolore intumeſcens, leniri ac mitigari poteſt, niſi gemitibus & lacrymis ſubleuetur. Tunc diſceſſionem ſpes reditus conſolabatur: nunc extrema à nobis diſceſſione auulſus eſt. Magnus hiatus inter eum & Eccleſiam in medio firmatus eſt. Ille quidem in ſinu Abrahæ requieſcit: at qui guttam aquæ, D qua eorum, qui cruciantur, lingua refrigeretur, tranſportet, non eſt. Periit ille decor: ſilet vox: occluſa ſunt labia: auolauit gratia. Vt rei præteritæ narratio, fœlicitas euaſit. Moleſtum erat olim etiã Iſraëlitico populo, quòd Helias à terra ad Deum ſubuolaret. Sed diſceſſum Heliſæus, magiſtri pallio pelliceo ornatus conſolabatur.

Hierem. 6.

Nunc verò vulnus ſuperat artem curandi: quoniam & Helias aſſumptus, & Heliſæus non eſt relictus. Audite ex Hieremia triſteis ac flebiles quaſdam voces,

A ἀλλ' ἡ νύμφη οὐκ ἐμιαίνετο, καὶ πάλιν ἐπάνοδος, καὶ πάλιν φυγή· καὶ ἐκ τρίτου ὡσαύτως, ἕως διασχὼν τὸν αἱρετικὸν ζόφον ὁ κύριος, καὶ τὴν ἀκτῖνα τῆς εἰρήνης ἐπιβαλὼν, ἔδωκεν ἀνάπαυσίν τινα τῶν μακρῶν πόνων ἐλπίζειν· ἀλλ' ἐπειδὴ πάλιν εἶδον ἀλλήλους, καὶ ἀνενεώθη τὰ τῆς εὐφροσύνης, καὶ θυμηδίαι πνευματικαί· καὶ πάλιν ἀνεφλέχθη ὁ πόθος· εὐθὺς διακόπτει τὴν ἀπόλαυσιν, ἡ ἐσχάτη αὕτη ἀποδημία. ἦλθε νυμφοστολῆσαι ὑμᾶς, καὶ οὐ διήμαρτεν τοῦ σπουδάσματος· ἐπέθηκε τῇ καλῇ συζυγίᾳ τοὺς τῆς εὐλογίας στεφάνους· ἐμιμήσατο τὸν δεσπότην· ὡς ἐν Κανᾷ τῆς Γαλιλαίας ὁ κύριος, οὕτως καὶ ἐνταῦθα B ὁ μιμητὴς τοῦ Χριστοῦ. τὰς γὰρ Ἰουδαϊκὰς ὑδρίας τοῦ αἱρετικοῦ ὕδατος πεπληρωμένας, πλήρεις τοῦ ἀκηράτου οἴνου ἐποίησεν, ἐν τῇ δυνάμει τῆς πίστεως μεταποιήσας τὴν φύσιν. ἔστησεν ἐν ὑμῖν πολλάκις κρατῆρα νηφάλιον, τῇ γλυκείᾳ αὐτοῦ φωνῇ δαψιλῶς οἰνοχοήσας τὴν χάριν· πολλάκις ὑμῖν προεθήκατο τὴν λογικὴν πανδαισίαν. ὁ μὲν εὐλογῶν καθηγεῖτο· οἱ δὲ καλοὶ οὗτοι μαθηταὶ, διηκόνουν τοῖς ὄχλοις ψωμοποιοῦντες τὸν λόγον. καὶ ἡμεῖς εὐφραινόμεθα, τὴν τοῦ γένους ἡμῶν δόξαν, οἰκείαν ποιούμενοι. ὡς καλὰ μέχρι τούτου τὰ διηγήματα· ὡς μακάριον C ἦν τούτοις ἐναπολῆξαι τὸν λόγον. ἀλλὰ μετὰ ταῦτα τί; καλέσατε τὰς θρηνούσας ὁ Ἱερεμίας φησίν. οὐ γάρ ἐστιν ἄλλως φλεγομένην καρδίαν καταπεφθῆναι, ὑπὸ τοῦ πάθους οἰδαίνουσαν, μὴ στεναγμοῖς καὶ δακρύοις κουφιζομένην. τότε παρεμυθεῖτο τὸν χωρισμὸν ἡ τῆς ἐπανόδου ἐλπίς· νῦν δὲ τὸν ἔσχατον ἡμῶν χωρισμὸν ἀπεσχίσθη. χάσμα μέγα μεταξὺ αὐτοῦ τε καὶ τῆς ἐκκλησίας κατὰ τὸ μέσον ἐστήρικται. ὁ μὲν ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ ἀναπαύεται· ὁ δὲ διακομίζων τὴν στα- D γόνα τοῦ ὕδατος, ἵνα καταψύξῃ τῶν ὀδυνωμένων τὴν γλῶσσαν, οὐκ ἔστιν. οἴχεται τὸ κάλλος ἐκεῖνο, σιγᾷ ἡ φωνή· μέμυκε τὰ χείλη· ἀπέπτη ἡ χάρις. διήγημα γέγονεν ἡ εὐκληρεία. ἐλύπησέ ποτε καὶ τὸν Ἰσραηλίτην λαὸν Ἠλίας ἀπὸ γῆς πρὸς Θεὸν ἀνιπτάμενος. ἀλλὰ παρεμυθεῖτο τὸν χωρισμὸν Ἐλισσαῖος, τῇ μηλωτῇ τοῦ διδασκάλου κοσμούμενος. νυνὶ δὲ τὸ τραῦμα ὑπὲρ θεραπείαν ἐστίν· ὅτι καὶ Ἠλίας ἀνελήφθη, καὶ Ἐλισσαῖος οὐχ ὑπελείφθη. ἠκούσατε τοῦ Ἱερεμίου φωνάς τινας σκυθρωπὰς καὶ γοώδεις,

A αἷς ὡς ἐρημωθεῖσαν τὴν πόλιν Ἱεροσολυμιτῶν κατεθρήνησεν· ὃς ἄλλα τέ τινα περιπαθῶς διεξῆλθε καὶ τοῦτο, φησὶν, ὁδοὶ Σιὼν πενθοῦσιν. ταῦτα τότε μὲν εἴρηται, νῦν δὲ πεπλήρωται. ὅταν γὰρ περιαγγελθῇ τοῦ πάθους ἡ φήμη, τότε πλήρεις ἔσονται αἱ ὁδοὶ τῶν πενθούντων. καὶ περιαχθήσονται οἱ ὑπ' αὐτοῦ ποιμαινόμενοι, τὴν τῶν Νινευιτῶν φωνὴν ἐπὶ τοῦ πάθους μιμούμενοι· μᾶλλον δὲ κἀκείνων ἀλγεινότερον ὀδυνώμενοι. τοῖς μὲν γὰρ ὁ θρῆνος τὸν φόβον ἔλυσεν· τοῖς δὲ λύσις οὐδεμία τῶν κακῶν ἀπὸ τῶν θρήνων ἐλπίζεται. B οἶδα τινα τοῦ Ἱερεμίου καὶ ἄλλην φωνὴν, ταῖς βίβλοις οὖσαν τῶν ψαλμῶν ἐναρίθμιον, ἣν ἐπὶ τῇ αἰχμαλωσίᾳ τοῦ Ἰσραὴλ ἐποιήσατο. φησὶ δὲ ὁ λόγος· ὅτι ἐν ἰτέαις ἐκρεμάσαμεν ἑαυτῶν τὰ ὄργανα, σιωπὴν ἑαυτῶν τε καὶ τῶν ὀργάνων καταδικάσαντες. ἐμὴν ποιοῦμαι τὴν ᾠδὴν ταύτην. ἐὰν γὰρ ἴδω τὴν αἱρετικὴν σύγχυσιν· Βαβυλὼν δὲ ἐστὶν ἡ σύγχυσις· καὶ ἐὰν ἴδω τοὺς πειρασμοὺς τοὺς διὰ τῆς συγχύσεως ῥέοντας· ταῦτα ἐκεῖνα φημὶ τὰ Βαβυλώνια ῥεύματα, οἷς προσκαθήμενοι κλαίομεν, ὅτι τὸν διάγοντα ἡμᾶς διὰ τούτων οὐκ ἔχομεν. κἂν τὰς ἰτέας εἴπῃς, C καὶ τὰ ἐπὶ τούτων ὄργανα· ἐμὸν καὶ τοῦτο τὸ αἴνιγμα. ὄντως γὰρ ἐν ἰτέαις ὁ βίος. δένδρον γὰρ ἄκαρπον ἡ ἰτέα ἐστὶν· ἡμῶν δὲ ἀπέρρυη τῆς ζωῆς ὁ γλυκὺς καρπός. οὐκοῦν ἰτέαι γεγόναμεν ἄκαρποι, ἀργὰ καὶ ἀκίνητα τὰ τῆς ἀγάπης ὄργανα ἐπὶ τῶν ξύλων κρεμάσαντες. ἐὰν ἐπιλάθωμαί σου, φησὶν, Ἱερουσαλὴμ, ἐπιληθείη ἡ δεξιά μου. δότε μοι μικρὸν ὑπαλλάξαι τὸ γεγραμμένον, ὅτι οὐχ ἡμεῖς τῆς δεξιᾶς, ἀλλ' ἡ δεξιὰ ἡμῶν ἐπιλέλησται· καὶ ἡ γλῶσσα τῷ ἰδίῳ λάρυγγι κολληθεῖσα, τὰς τῆς φωνῆς διεξόδους ἀπέφραξεν· ἵνα μηκέτι ἡμεῖς τῆς γλυκείας ἐκείνης φωνῆς πάλιν ἀκούσωμεν. D ἀλλ' ἀποψήσατέ μοι τὰ δάκρυα. αἰσθάνομαι γὰρ πέρα τοῦ δέοντος ἐπὶ τῷ πάθει γυναικιζόμενος. οὐκ ἀφῃρέθη ἀφ' ἡμῶν ὁ νυμφίος, μέσος ἡμῶν ἕστηκεν, κἂν ἡμεῖς μὴ βλέπωμεν. ἐν τοῖς ἀδύτοις ὁ ἱερεὺς· εἰς τὰ ἐνδότερα τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Χριστός· κατέλιπε δὲ τὸ τῆς σαρκὸς παραπέτασμα. οὐκέτι ὑποδείγματι καὶ σκιᾷ λατρεύει τῶν ἐπουρανίων· ἀλλ' εἰς αὐτὴν βλέπει τὴν τῶν πραγμάτων εἰκόνα· οὐκέτι

quibus vt deſertam vrbem Hieroſolymitanorum deplorat: qui cùm alia quędam cum commiſeratione pronuntiat, tum hoc, Viæ Sion, inquit, lugent. Hæc tunc quidem dicta, nunc autem impleta ſunt. Nam vbi fama calamitatis diuulgata fuerit, tunc viæ & plenæ lugentium erunt, & effundentur qui ab eo paſcebantur, Niniuitarum in calamitate vocem imitantes: imò verò etiam grauius & acerbius, quàm illi dolentes. Nam illorum quidem lamentatio metum ſoluit: his verò nullum remedium malorum ab lamentationibus ſperatur. Noui quãdam etiam aliam Hieremiæ vocem, libris Pſalmo- Pſal. 136.
rum annumeratam, quam captiuitatis Iſraëliticæ nomine edidit. Verba autem ſcripturæ ita ſeſe habent: In ſalicibus ſuſpendimus inſtrumenta noſtra, ſilentio cùm noſmetipſos, tùm inſtrumenta condemnantes. Pro mea hanc vſurpo cantilenam. Nam ſi videro hæreticam confuſionem (Babylon autem confuſio eſt) & ſi videro tentationes, quæ per confuſionem fluunt: hæc illa eſſe aio Babylonia flumina, quibus aſſidentes flemus, quòd non habeamus, qui per ea nos traijciat. Quòd ſi ſalices nominaueris, & in iis ſuſpenſa inſtrumenta: meum etiam hoc ænigma fuerit: verè namque ſalix eſt vita: Nam arbor ſterilis ſalix eſt: à nobis autem dulcis vitæ fructus defluxit. Ergo ſalices infrugiferæ facti ſumus, ex quo otioſa atque immota in lignis ſuſpendimus dilectionis inſtrumenta. Si oblitus, inquit, fuero tui, Hieruſalem: obliuioni tradatur dextera mea. Concedite mihi, vt ſcriptum paululum inuertam atque immutem, quòd non nos dexteræ, ſed dextera noſtri oblita eſt: & lingua gutturi ſuo adhæreſcens meatus vocis obſtruxit & obturauit: vt ne amplius nos dulcem illam vocem rurſus audiamus. Verùm abſtergite mihi lacrymas. Nam ſentio me vltra, quàm deceat, calamitatem muliebriter deflere. Non ablatus eſt à nobis ſponſus, in medio noſtrum ſtat, etiamſi nos non videamus. In adytis ac penetralibus ſacerdos eſt: in interioribus veli, quò præcurſor pro nobis ingreſſus eſt Chriſtus: reliquit carnis tegumentum. Non amplius ſigno & vmbræ cœleſtium ſeruit; ſed in ipſam rerum imaginem intuetur: non amplius

per ſpeculum atque per tranſennam & ænigma: ſed ipſe facie cum facie collata intercedit apud Deum. Intercedit autem pro nobis, & populi erratis. Depoſuit tunicas pelliceas: neque enim talibus tunicis opus habent, qui in paradiſo degunt. Sed habet indumenta, quæ puritate vitæ ſuæ contexuit, iiſque ſeſe exornauit. Honorata ac pretioſa coram Domino talis (viri) mors eſt. Imò verò non mors, ſed ruptura vinculorum eſt. Diſrupiſti enim, inquit, vincula mea. Dimiſſus eſt Simeõ, liberatus eſt vinculis corporis. Laqueus contritus eſt, & auicula auolauit. Reliquit Ægyptum, materialem & craſſam vitæ rationem: tranſiuit non rubrum hoc, ſed atrum illud & caliginoſum vitæ mare: ingreſſus eſt terram promiſſionis: in monte cum Deo philoſophatur: ſoluit animæ calceamentum, vt pura planta mentis terram ſanctam, vbi conſpicetur Deus, conſcenderet. Hanc cùm habeatis, fratres, conſolationem, vos qui oſſa Ioſephi tranſportatis ad terram benedictionis, audite Pauli verba præcipientis: Ne contriſtemini ſicut & cæteri, qui ſpem non habent. Dicite populo illi, Exponite bonas narrationes. Dicite miraculum, cui fides derogetur: quomodo maris in modum condenſati innumerorum hominũ populus vnum continuum corpus vniuerſi erant, tanquam aqua quædam circa tabernaculi pompam æſtuantes. Quomodo præclarus Dauid multifariam multiſque modis in innumeros ordines ſeſe diſtribuens, iter diuerſæ ſimul & eiuſdem linguæ homines, & circa tabernaculum tripudiabat. Quomodo vtrinque (quaſi) ignei amnes continentibus facibus, tractu continuo perpetuóque fluentes, quoad oculi longiſſimè proſpicere poſſent, porrigebantur. Exponite ſtudium populi totius, Apoſtolorum contubernium. Quomodo ſudaria faciei eius ad præſidium atque cuſtodiam fidelium diſcerpebantur.

Pſal.115. Exod.3. 1.Theſſ.4. 2.Reg.6.

Adijciantur narrationi etiam Imperator mœrens ob calamitatem, & è ſolio exurgens: totáque ciuitas vnà cum pompa ſancti tranſiens: & conſolamini vos inuicem in ſermonibus iſtis. Rectè Solomon triſtitiam curat. Iubet enim triſtitia affectis vinum præberi: vobis autem hoc ego dico vineæ ope-

A δι' ἐσόπτρου καὶ αἰνίγματος· ἀλλ' αὐτοπροσώπως ἐντυγχάνει τῷ Θεῷ. ἐντυγχάνει δὲ ὑπὲρ ἡμῶν, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. ἀπέθετο τοὺς δερματίνους χιτῶνας· οὐδὲ γάρ ἐστι χρεία τοῖς ἐν παραδείσῳ διάγουσι, τῶν τοιούτων χιτώνων. ἀλλ' ἐνδύματα, ἃ τῇ καθαρότητι τοῦ βίου αὐτοῦ ἐξυφάνας, ἐπεκοσμήσατο. τίμιος ἐναντίον κυρίου τοῦ τοιούτου ὁ θάνατος. μᾶλλον δὲ οὐχὶ θάνατος, ἀλλὰ ῥῆξις ἐστὶ δεσμῶν. διέρρηξας γάρ, φησι, τοὺς δεσμούς μου. ἀπελύθη ὁ Συμεών, ἠλευθερώθη ἐκ τῶν δεσμῶν τοῦ σώματος. ἡ παγὶς συνετρίβη· τὸ δὲ στρουθίον ἀπέπτη.
B κατέλιπε τὴν Αἴγυπτον, τὸν ὑλώδη βίον· ἐπέρασεν οὐχὶ τὴν ἐρυθρὰν ταύτην, ἀλλὰ τὴν μέλαιναν ἐκείνην καὶ ζοφώδη τοῦ βίου θάλασσαν· εἰσῆλθεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας· ἐπὶ τοῦ ὄρους προσφιλοσοφεῖ τῷ Θεῷ· ἐλύσατο τὸ ὑπόδημα τῆς ψυχῆς, ἵνα καθαρᾷ τῇ βάσει τῆς διανοίας τῆς ἁγίας γῆς ἐπιβατεύσειεν, ἣ καθορᾶται Θεός. ταύτην ἔχοντες ἀδελφοὶ τὴν παράκλησιν, ὑμεῖς οἱ τὰ ὀστᾶ τοῦ Ἰωσὴφ ἐπὶ τὴν χώραν τῆς εὐλογίας μετακομίζοντες, ἀκούσατε τοῦ Παύλου παραγγέλλοντος·
C μὴ λυπεῖσθε ὡς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα. εἴπατε τῷ ἐκεῖ λαῷ, διηγήσασθε τὰ καλὰ διηγήματα. εἴπατε τὸ ἀπιστούμενον θαῦμα· πῶς εἰς θαλάσσης ὄψιν καταπυκνωθέντες ὁ μυριάνθρωπος δῆμος, ἓν ἦσαν κατὰ τὸ συνεχὲς σῶμα οἱ πάντες, οἷόν τι ὕδωρ περὶ τὴν τοῦ σκηνώματος πομπὴν πελαγίζοντες. πῶς ὁ καλὸς Δαβὶδ πολυμερῶς καὶ πολυτρόπως εἰς μυρίας τάξεις ἑαυτὸν καταμερίσας, ἐν ἑτερογλώσσοις καὶ ὁμογλώσσοις περὶ τὸ σκῆνος ἐχόρευσεν. πῶς ἑκατέρωθεν οἱ τοῦ πυρὸς ποταμοὶ
D τῇ συνεχείᾳ τῶν λαμπάδων ὁλκοὺς ἀδιαστάτους ῥέοντες, ἕως οὗ δυνατὸν ἦν ὀφθαλμοῖς λαβεῖν, παρετείνοντο. εἴπατε τοῦ λαοῦ παντὸς τὴν προθυμίαν, τῶν ἀποστόλων τὴν συσκηνίαν. πῶς τὰ σουδάρια τοῦ προσώπου αὐτοῦ, εἰς φυλακτήρια τῶν πιστῶν διετίλλετο. προσκείσθω τοῖς διηγήμασι βασιλεὺς σκυθρωπάζων ἐπὶ τῷ πάθει, καὶ θρόνου ἐξανιστάμενος· καὶ πόλις ὅλη τῇ πομπῇ τοῦ ἁγίου συμμεταβαίνουσα· καὶ παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις. καλῶς Σολομὼν ἰατρεύει τὴν λύπην. κελεύει γὰρ τοῖς ἐν λύπῃ οἶνον διδόναι· πρὸς ἡμᾶς οὕτω λέγων, τοὺς τοῦ

ἀμπελῶνος ἐργάτας. δότε οὖν τὸν ἡμέτερον οἶνον τοῖς λυπουμένοις, οὐ τὸν τῆς μέθης ἐργάτην, καὶ τῶν φρενῶν ἐπίβουλον, καὶ φθορέα τοῦ σώματος, ἀλλὰ τὸν τὴν καρδίαν εὐφραίνοντα, ὃν ὁ προφήτης ἡμῖν ἐπεδείκνυε λέγων· οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. μειζοτέρῳ τῷ κεράματι, καὶ ἀφθονωτέροις δεξιοῦσθε τοῦ πνευματικοῦ λόγου ταῖς κύλιξιν, ὥστε ἡμῖν πάλιν εἰς εὐφροσύνην καὶ ἀγαλλίασιν περιστραφῆναι τὸ πένθος· χάριτι τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, δι' οὗ ἡ δόξα τῷ Θεῷ, καὶ πατρὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A rariis. Date igitur veſtrum vinum ægritudine animi affectis, non quod ebrietatem inducat, aut menti inſidietur, corpúſve corrumpat, ſed quod lætificet cor, quod nobis Propheta indicabat dicens, Vinum lætificat cor hominis. Meraciori mixto & fœcundioribus ac largioribus eos excipite ſermonis calicibus, vt vobis rurſus in lætitiam luctus conuertatur: Per gratiam vnigeniti Dei filij, per quem gloria Deo, & Patri in ſæcula ſæculorum, Amen.

B

ΤΟΥ ΑΥΤΟΥ ΕΓΚΩΜΙΟΝ
εἰς τὸν ὅσιον πατέρα ἡμῶν Ἐφραίμ.

ΚΙΝΕΙ με πρὸς τὴν παρρησίαν ὑπόθεσιν ἡ ἐν τοῖς θείοις εὐαγγελίοις παραβολή, ἡ τοῦ λύχνου μυσταγωγία, καὶ τὴν γλῶτταν κημῷ τῆς C ἀφωνίας λύει δουλεύουσαν, καὶ τὰς ὁδοὺς τῶν νοημάτων, ὡς ἱππηλάτους πεδίους παρομαλίζει, καὶ τὸ τοῦ λόγου πολυειδέστατον ἅρμα ἐπὶ λεωφόρον τρέχειν ὁδὸν ἑτοιμάζεται, ὧδέ πη διαπρυσίως βοῶσα· οὐ καίουσι λύχνον, καὶ τιθέασιν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. καὶ τὸ ἐκ τούτου ἐν βάθει νοούμενον, ἐπάγει λέγουσα· οὕτως λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν. οὐκ ἂν οὖν ὑπαίτιον γνώμῃ ἐγκαλύπτεσθαι, καὶ δειλίᾳ; ἐν οἷς αὐτὸς ὁ δεσπότης θαρρεῖν παρηγγύησεν; D ὃς οἱονεὶ φαιδρὰν καὶ τῆς ἡλιακῆς λαμπροτέραν ἀνάψας λαμπάδα, τὴν τοῦ προκειμένου θείου πατρὸς ἡμῶν εἰς διήγησιν πολιτείαν· οὐχ ὑπὸ τὸν τῆς σιγῆς κατακρύπτεσθαι ταύτην βούλεται μόδιον· ἀλλ' ἄνω προκεῖσθαι ἐπ' αὐτῆς τῆς ἐκκλησιαστικῆς κορυφῆς, ὥστε φαίνειν πᾶσι τοῖς ἐν τῇ κοσμικῇ περιστρεφομένοις οἰκίᾳ· ἐκ ταύτης τε τοὺς ὁρῶντας, δοξάζειν τὸν πατέρα τὸν ἐν τοῖς οὐρανοῖς.

Οὐκ ἄρα τὸν πατρικὸν εὐλαβέστερον ἐκεῖ-

EIVSDEM VITA ATQVE
Encomium ſancti Patris noſtri Ephræm Syri.

Gerardo Voßio interprete.

RECONDITA in diuinis Euangeliis ſimilitudo, me ad propoſitum dicendi argumentum ſeriò cohortatur, linguámque ſilentij fręno conſtrictam ſoluit, ac cogitationum ſemitas velut ſpatioſos quoſdam campos exæquat atque adornat, currúmque orationis ad iter aggrediendum promptum reddit & expeditum, dum clara voce hiſce quodammodò exclamat verbis: Neque accendunt lucernam, & ponunt eam ſub modio, ſed ſuper candelabrum, vt luceat omnibus qui in domo ſunt. Quid verò ex iis intelligendum ſit, ſubiungit dicens: Sic luceat lux veſtra coram hominibus: vt videant opera veſtra bona. Nunquid igitur reprehendendi meritò erimus, ſi negligentes atque ignaui ſilentio inuoluerimus illud, in quo celebrando magnos ſumere animos ipſe mandauit Dominus? Cùm enim ſancti huius Patris vitam tanquam illuſtrem ac ſole ſplendidiorem facem orbi accenderit, exponendámq; nobis propoſuerit; non fert, vt illam ſilentio prætereuntes, ſub modio occultemus: verùm in ſublimi potius Eccleſiæ vertice reponamus, vt cunctis eluceat qui in hac totius orbis terrarum verſantur domo: & qui ex illa lumen acceperint, cœleſtem Patrem glorificent, atque collaudent.

Matth. 5. & Luc. 8.

Ibidem.

Ibidem.

Quamobrem non ſic paternum illius

A metuendum eſt vinculum, vt ipſius Domini mandatum ſpernatur: quin etiam ipſius laudationis initium inde capiendum fuit, tametſi in extremam orationis partem nos iſtud reiecerimus. Rem enim ipſam rectè inſpicienti, illud haud prorſus videatur vinculum, quod humanam gloriam auerſantem vetet exornare laudibus: aut ſanè vinculum ad ſoluendum facile, obligatióque eiuſmodi, quæ ad hoc ipſum potius præſtandum impellat amantes. Nam ex quibus ille laudes ſe euitaturum arbitratus eſt, interdicti vinculo noſtros conatus ſubuertens atque impediens, ea B nobis ipſa laudandi occaſionem ſuppeditant. Cùm enim ſingulæ præclaræ animi ipſius dotes vberem ad laudandum materiam exhibeant; tum illud cumprimis, quòd laudibus non afficiatur. Optabat quippè non videri, ſed

Nota. bonus potius eſſe. Ex quo quidem vel ſolo, licet aliud nihil laude dignum præſtitiſſet, collaudari profectò mereretur. Adeò enim laudibus ſe delectari aiebat, vt eo vinculo vituperationem ex illis manantem obſignare maluerit atque euitare. Iſtud verò primum noſtræ orationi ſtadium aperit, & clarè metam C oſtendit, ad quam dirigere curſum oporteat: ne temerè progredientes feramur præcipites, ſed per viam incedentes regiam, conſideremus admirandum illum Dei virum, prohibiturũ non fuiſſe ne laudaretur, niſi laudibus ſe dignum cognouiſſet. Nam nullus, niſi valde inſignis atque ſuſpiciendus, cùm adhuc in vita maximis virtutibus præcellat, memoriam ſui obliuione apud poſteros deleri iubeat. Et quemadmodum Paulus, prædicator gratiæ, auſpex Eccleſiæ,

1.Cor.15. os Chriſti, licet de ſe ipſe dixerit: Non ſum dignus vocari Apoſtolus; nõ tamen D ideo effecit, cur minus Apoſtolus vocaretur: imò quantò ipſe ſubmiſſius de ſe ſenſit, tantò maiorem conſecutus eſt

A ſimili. gloriã. Sicque magnus noſter hic Pater, quoniam prudenter ac cautè ſeipſum laudibus indignum cenſuit, ideo deinceps laudibus celebrari promeretur.

Cùm ergo ea Eccleſiæ noſtræ conſuetudo ſit atque inſtitutum, vt virtutis cultores, propterea quòd eius partes amplexi ſint, coronentur; atque illi potiſſimùm, qui ob humilem de ſeipſis exiſtimationem ſpiritu ſublimes euaſerint;

Luc.14.11 cùm ipſum dicat Euangelium: Qui ſe

νου δεσμόν, ὅτι δυσαπόλυτος πάντως ὁ δεσμός· ἀνάγκη γὰρ ἐκεῖθεν τῶν ἐπαίνων λαβεῖν τὰς ἀρχὰς, κἂν ἡ νῦν παράληψις τῇ θέσει κατόπιν τῶν ἐγκωμίων ἀφώρισται. ἐπειδήπερ τοῖς καλῶς διακρίνουσιν εἴδοντι τὰ πράγματα, οὐ δεσμὸς ἐκεῖνος ἁπλῶς, ἀπείργων ἐγκωμίοις καταστέφειν τοὺς τὴν ἀνθρωπίνην δόξαν ἀποστρεφομένους· ἀλλὰ δεσμὸς ἄδεσμος, καὶ κατοχὴ ἀκατάσχετος, πρὸς τὸ ἐναντίον τοὺς ἐραστὰς συνωθοῦσα. δι' ὧν γὰρ ἐκεῖνος τοὺς ἡμετέρους ἐκφυγεῖν ἐπαίνους κατεσχάσατο, δεσμῷ τὴν ἐγχείρησιν ἀποτειχίσας, διὰ τούτων ἡμεῖς τὰς ἀφορμὰς τῶν ἐγκωμίων λαμβανόμεθα. ἕκαστον μὲν οὖν αὐτοῦ πλεονέκτημα πρὸς ἀφορμὴν ἐπαίνου τελείου, μάλιστα δὲ τὸ μὴ χαίρειν ἐπαίνῳ. ἐβούλετο γὰρ οὐ δοκεῖν, ἀλλ' εἶναι χρηστός. δι' αὐτὸ τοίνυν τοῦτο μόνον, κἂν μηδὲν ἕτερον ἄξιον πέπραχεν ἐπαίνων, ἐγκωμιάζεσθαι δίκαιος· ὅτι τοσοῦτον χαίρειν εἶπε τοῖς ἐγκωμίοις, ὡς καὶ δεσμῷ σφραγίσαι τὴν ἐπ' αὐτοῖς ἐπιτίμησιν. ἡμῖν δὲ τοῦτο πρῶτον ἀνοίγει τοῦ λόγου τὸ στάδιον, καὶ πληροφορεῖ μὴ βαίνειν ἀσκέπτως, μηδὲ κατὰ κρημνοῦ φέρεσθαι, ἀλλὰ βασιλικὴν ὁδεύειν ὁδὸν, καλῶς ἀναλογιζομένοις, ὅτιπερ εἰ μὴ ἄξιον ἐπαίνων ἑαυτὸν ὁ θαυμάσιος τοῦ Θεοῦ συνεώρα, οὐκ ἂν εὐφημεῖν αὐτὸν ἀπεῖργε τοὺς θέλοντας. οὐδεὶς γὰρ μὴ θαυμαζόμενος, ἔτι περιὼν ἐπὶ μεγίστοις πλεονεκτήμασι παρεγγυᾷ τοῖς μετέπειτα, λήθης πτώματι τὴν ἑαυτοῦ μνήμην παραφανίζειν. πρὸς δὲ τούτοις ἔστι καὶ τοῦτο εἰπεῖν· ὅτι καθάπερ Παῦλος ὁ ῥήτωρ τῆς χάριτος, ὁ νυμφοστόλος τῆς ἐκκλησίας, τὸ τοῦ Χριστοῦ στόμα, οὐκ ἀπώλεσε τὸ καλεῖσθαι ἀπόστολος, διὰ τὸ εἰπεῖν, οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος· μᾶλλον μὲν οὖν διὰ τοῦτο αὐτὸ τὸ μετριοφρονῆσαι, μεῖζον ἀπηνέγκατο κλέος. οὕτω δὴ καὶ ὁ μέγας πατὴρ ἡμῶν, ἀνάξιον ἑαυτὸν ἐπαίνων δι' εὐλάβειαν κρίνας, ἄξιος εὑρεθήσεται κατὰ τὸ ἀκόλουθον.

Ἐπεὶ οὖν ἡμέτερος τῆς ἐκκλησίας νόμος, τοὺς τῆς ἀρετῆς ζηλωτὰς ἐκ τοῦ ταύτης τὰ εἴδη μετέρχεσθαι στεφανοῦν οἶδε· καὶ τούτων ὅσοι μάλιστα τῷ ταπεινῷ τοῦ φρονήματος μέτρῳ πνευματικῶς ἀνυψώθησαν, κατὰ τὸ τοῦ κυρίου ἐν εὐαγγελίοις ὧδέ πως εἰρημένον· ὁ ταπει-

νῶν ἑαυτὸν ὑψωθήσεται. ἔξω παντελῶς ψόγου A καὶ σκώμματος καὶ αὐτῆς τυγχάνουσι κατακρίσεως, οἱ τοῦ παρόντος θεοφόρου πατρὸς τὰς ἀρετὰς ἀναγράφοντες, καὶ οἷον εἰς στήλην ἔμπνουν καὶ ζῶσαν τὸν ἐκείνου βίον ἡμῖν ἀνεγείροντες. καὶ τῶν ἐπαγγελθέντων ὁ σοφὸς ἀκροατὴς ἐπόψεται τὸ ἀψευδὲς, κατόπιν τοῦ λόγου τὰς ποικίλας αὐτοῦ τῶν ἀρετῶν ἰδέας ἀναλεξάμενος, ὧν ἡμεῖς καθάπερ ἕνα τινὰ χρυσοκόλλητον στέφανον, πολυτίμοις καὶ διαφόροις περιηνθισμένον χρυσουργήσαντες λίθοις, τῇ νύμφῃ Χριστοῦ ἐκκλησίᾳ δῶρον ποθούμενον προσκομίσομεν· χαίρει γὰρ τοῖς B τοιούτοις φιλοφρονεῖσθαι χαρίσμασι, ὅτε μνήμη δικαίων ἀπαρτίσῃ ἐτήσιος. Ἐφραὶμ δὲ νῦν εἰς εὐφημίαν περιήγαγε τρέχων ὁ χρόνος· καὶ πῶς οὐ περιχαρῶς τὸ τοῦτο μνημόσυνον ὑποδέξεται;

Ἐφραὶμ ἐκεῖνον, τὸν ἐν πᾶσι Χριστιανῶν περιφερόμενον στόμασιν. Ἐφραὶμ λέγω τὸν Σύρον· οὐ γὰρ τὸ γένος ἐπαισχυνόμεθα, οὗ τοῖς τρόποις ἐγκαλλωπιζόμεθα. Ἐφραὶμ, οὗ εἰς πᾶσαν τὴν γῆν τὸ φέγγος τοῦ βίου καὶ τῆς θεω- C ρίας ἐξέλαμψεν· ὁ πάσῃ τῇ ὑφ' ἡλίῳ σχεδὸν γινωσκόμενος, παρὰ τοσούτοις δὲ ἀγνοούμενος, παρ' ὅσοις ὁ μέγας τῆς ἐκκλησίας φωστὴρ Βασίλειος. Ἐφραὶμ, ὁ νοητὸς ὄντως τῆς ἐκκλησίας ΕΥφράτης, ἐξ οὗ τὸ τῶν πιστῶν καταρδευόμενον πλήρωμα, εἰς ἑκατὸν ἀποδίδωσι τὸν σπόρον τῆς πίστεως. Ἐφραὶμ, ἡ πολύφορος τοῦ Θεοῦ ἄμπελος, ἡ δίκην βοτρύων γλυκερωὺς καρποὺς ἀνθοῦσα διδασκαλίας, καὶ τοὺς τῆς ἐκκλησίας τροφίμους τῷ κόρῳ τῆς θείας ἀγάπης εὐφραίνουσα. Ἐφραὶμ ὁ καλὸς καὶ πιστὸς D οἰκονόμος τῆς χάριτος, ὁ τοὺς λόγους τῶν ἀρετῶν ἀναλόγως τοῖς ὁμοδούλοις σιτομετρῶν, καὶ τὴν δεσποτικὴν οἰκίαν οἰκονομούμενος ἄριστα. οὗ τὸ γένος καὶ τὴν ἐνεγκαμένην, καὶ προγόνων περιφάνειαν, καὶ γεννητόρων εὔκλειαν, καὶ γέννησιν, καὶ ἀνατροφὴν, καὶ αὔξησιν ἡλικίας, καὶ σωματικὴν ἐπιτηδειότητα, καὶ τύχην, καὶ τέχνας, καὶ τὰ λοιπὰ τῶν ἔξω λογογράφων ἐρανιζόμενα τοῖς ἐπαίνοις σεμνολογήματα, περιττὸν εἰς μέσον ἄγειν ὑπετοπήσαμεν· ὅτι μὴ τοὺς θείους ἄνδρας ἡμεῖς ἐκ τῶν τοιούτων ἐπαινεῖν παρειλήφαμεν· καὶ ἐκ περιουσίας αὐτῷ κἀντεῦθεν ὑπάρχει

humiliat, exaltabitur. haud quaquam ſanè vituperandi, vel irridendi, aut reprehendendi ſunt, qui ſancti huius Patris virtutes atque encomia deſcribentes, ipſius nobis vitam tanquam ſpirantem, & animatam aliquam columnam erigunt. Quæ verò commemorauimus, nequaquam falſa eſſe prudens auditor cognoſcet, ſi vbi peroratum fuerit, varia ipſius virtutum genera collegerit, ex quibus nos velut pretioſis ac diuerſis lapillis, auróque diſtinctam contexentes coronam, gratum atque optatum Chriſti Eccleſiæ donum offeremus. Geſtit quippe illa ac gaudet eiuſmodi ſe muneribus decorari, quandocumque ſolemnis memoria iuſti celebranda occurrit. Quapropter cùm ita circulus ferat anni, vt hodie collaudandus ac celebrandus ſit nobis ſanctus Ephræm, fieri nequit, quin ingenti cum gaudio monumentum iſtud, pignúſque amoris ſuſcipiat, & amplectatur.

Ephræm igitur ille mihi celebrãdus eſt, qui cunctis Chriſtianis verſatur in ore. Ephræm inquã Syrus: neque enim illius nos pudet generis, cuius illuſtramur moribus. Ephræm, cuius vitæ atque doctrinæ ſplendor vniuerſo terrarum illuxit orbi. Nam in omni ferè loco, qui illuſtratur à ſole, cognoſcitur; illiſque tantummodò incognitus remanet, qui magnum Eccleſiæ lumen S. Baſilium *Gen. 2. & Eccleſ. 24.* ignorant: Ephræm, notus ille reuerà Eccleſiæ Euphrates, cuius aquis irrigata Chriſtianorum multitudo, centuplum fidei fructum producit. Ephræm, fertilis illa Dei vitis, quæ dulcium inſtar racemorum, doctrinæ fructus afferens, Eccleſiæ filios diuina charitate nutriens explénſque, reficit atque oblectat. Ephræm, bonus & fidelis Eccleſiæ diſpenſator, qui virtutum rationes æqualiter conſeruis diſtribuẽs, Dei familiam prudentiſſimè adminiſtrat. Cuius quidem genus atque nobilitatem tum ab ipſo partã, tum à maioribus ſuſceptam, parentúmque gloriam, ac ortum, & educationem, & ætatis incrementum, & corporis formam, & conditionem, & artes, & reliqua quæ ab externis ſcriptoribus tanquam maximi momenti in laudibus recenſeri ſolent, nos hic in medium proferre ſuperuacaneum arbitramur: cùm neque ſanctos homines ab eiuſmodi laudare rebus ſtatutum ſit. Et quamquam ad hunc collaudandum,

inde etiam abundè nobis argumenta ſuppetant, non aliis tamen viis ac rationibus, quàm quibus ipſe vita & doctrina illuſtrem ſe reddidit, coronam orationis contexemus. Verę quippe laudes in iis conſiſtunt, quæ in nobis ipſis ſunt poſita; atque illis debentur præmia, quæ ex noſtra proficiſcuntur voluntate. Earum autem rerum, quas commemorauimus, & vituperationes ſunt falſæ, & laudes ineptæ.

Quo enim pacto ex genere laudari volet, qui omnem mundi nobilitatem ac pompam deſpexit? & per optima opera, Dei filius fieri concupiuit? Quomodo ob patriam ſe patiatur celebrari, qui totum mundum ad ſe pertinere non cenſuit? quíque materialem creaturam tanquam inimicam auerſatus eſt, propter immortalem quæ in cœlis repoſita eſt, beatitudinem? aut quomodo maiorum parentúmve celebritate delectetur, qui corporis affectionem, ipſámque animalem carnis tuniculam, tanquam celerrimos ad virtutem curſus impedientem, prorſus peſſundedit? quo denique pacto, aut ex corporis incremento, aut educatione, aut ex artibus, aliíſve eius generis vitæ ſtudiis abiectis, ſe exornari ſinat; qui iam inde à pueritia in ſacrarum ſcripturarum meditatione educatus, & excreſcens, atque ex perennibus gratiæ fontibus bibens, ad menſuram ætatis Chriſti, vt cum Apoſtolo loquar, peruenire ſtuduit? Cùm ergo nouerimus magnum hunc noſtrum Patrem ridiculis iis laudibus, quibus homines ſenſui ac corpori deditì capiuntur, cumulari nolle; ex propriis eum laboribus ſaltem mediocriter celebrare conabimur: neque enim oratio eam habet naturam, vt ſupra vires intendatur. Quamobrem adnitemur, vt neque infantia præpediti, quæ de eo dicẽda ſunt, ſilentio inuoluamus: neque per ſemitam aliquam à Patrum inſtitutis alienam incedentes, à via deflectamus regia: verùm inter vtramque tranſcurrentes, conueniens orationi noſtræ temperamentum adhibeamus.

Cuiuſmodi autem ſunt illa, quæ ad contexendam eius laudationem nobis propoſuimus atque ſubiecimus? actio nempe & contemplatio, quas virtutum examen conſequitur, fides, ſpes, charitas, pietas erga Deum, ſacrarum ſcripturarum meditatio, animi & corporis

A τὸ ἀξιέπαινον, ἐξ ὧν αὐτὸς ἑαυτὸν περιφανῆ βίῳ τε καὶ λόγῳ κατεσκεύασεν, ἐκ τούτων καὶ ἡμεῖς αὐτῷ τὸν τοῦ λόγου στέφανον ἀναδήσωμεν. τῶν ἐφ' ἡμῖν γὰρ οἱ ἔπαινοι, καὶ τῶν αὐτεξουσίων τὰ γέρα. τῶν ἀπηριθμημένων δέ, καὶ ψόγοι παράλογοι, καὶ εὐφημίαι ἀνάρμοστοι.

Πῶς γὰρ ἐθέλοι ἀπὸ γένους ἐγκωμιάζεσθαι κατεδέξατο, ὁ πᾶσαν κοσμικὴν εὐγένειαν βδελυξάμενος; καὶ τέκνον Θεοῦ δι' ἀναλήψεως ἔργων ἀρίστων γενέσθαι κατασπασάμενος; ἢ B πῶς ἀπὸ πατρίδος σεμνύνεσθαι, ὁ πᾶσαν τὴν γῆν ἀλλοτρίαν ἑαυτοῦ λογιζόμενος; καὶ ὡς ἐχθρὰν τὴν ὑλικὴν κτίσιν ἀποστρεφόμενος, διὰ τὴν ἐν οὐρανοῖς ἀποκειμένην ἀΐδιον μακαριότητα; πῶς δὲ πάλιν ἐπὶ προγόνων ἢ γεννητόρων ἡδυνθείη εὐκλεία, ὁ σωματικὴν ἁπλῶς καταπατήσας προσπάθειαν, καὶ αὐτὸ τὸ ψυχικὸν χιτώνιον, ἤτοι σαρκίον βαρυνόμενος, ὡς ἐμποδὼν αὐτῷ πρὸς τοὺς τῆς ἀρετῆς ὀξυτάτους ἐνισχόμενον δρόμους; πῶς δὲ ὅλως ἐκ σωματικῆς αὐξήσεως καὶ ἀναστροφῆς, ἢ ἐπιτηδειότητος, C ἢ τέχνης, ἢ τινὸς ἄλλης καταπλύστου θελήσειεν ἐπαγλαΐζεσθαι περὶ τὸν βίον ἀσχολίας, ὁ τραφεὶς μὲν ἐκ πρώτης ἡλικίας, καὶ αὐξηθεὶς ἐν τῇ τῶν θείων μελέτῃ γραφῶν· ποτισθεὶς δὲ τοῖς τῆς χάριτος ἀενάοις ὀχετοῖς, καὶ πρὸς μέτρον ἡλικίας, ἀποστολικῶς εἰπεῖν, φθάσας Χριστοῦ; εἰδότες οὖν ἡμεῖς ὡς οὐ χαίρει τοῖς τοιούτοις ὁ μέγας πατὴρ ἡμῶν μεγαλύνεσθαι, οἷς περ οἱ σωματικοί, καταγελάστοις ἐπαίνοις, ἐκ τῶν οἰκείων αὐτὸν πόνων, κἂν γοῦν μετρίως πειρασώμεθα ἀποσεμνῦναι· οὐ γὰρ ἔχει φύσιν ὁ λόγος, τοῖς ὑπὲρ δύναμιν ἐπεκ- D τείνεσθαι. ὡς δὴ οὖν μήτε τὸν ἡμέτερον πόθον ἡ ἀφωνία πεδήσῃ· μήτ' αὖ πάλιν ξένην τρίβον τῶν πατέρων ὁδεύοντες, βασιλικῆς παρασφαλώμεθα ὁδοῦ, τὰ παρεκτρέπια διαθέοντες, τῷ μετρίῳ τὸν λόγον φιλοτεχνήσομεν.

Τί δὲ τὰ τούτου, δι' ὧν ἐξυφαίνειν τὸν ἔπαινον ὑπεθέμεθα; πρᾶξις καὶ θεωρία, αἷς ὁ κατὰ μέρος τῶν ἀρετῶν ἑσμὸς ἐπακολουθεῖ, πίστις, ἐλπίς, ἀγάπη, εὐσέβεια εἰς Θεόν, μελέτη τῶν θείων γραφῶν, ἁγνισμὸς ψυχῆς τε καὶ σώμα-

τος, δάκρυα διηνεκῆ, ἐρημικὴ διαβίωσις, ἡ ἐκ τόπου εἰς τόπον ἀναχώρησις, φυγὴ τῶν ἐπιβλαβῶν, διδασκαλία ἀέναος, προσευχὴ ἀκατάπαυστος, νηστεία καὶ ἀγρυπνία μέτρον οὐκ ἔχουσαι, χαμευνία καὶ σκληραγωγία λόγον ὑπερβαίνουσαι, ἀκτημοσύνη καὶ ταπείνωσις εἰς ἄκρον ἐλάσασαι, ἐλεημοσύνη τῆς φύσεως αὐτὸν τῆς ἀνθρωπίνης ἐξαίρουσα, ζῆλος ἔνθεος τῶν κατὰ τῆς εὐσεβείας λυττώντων· καὶ ἁπλῶς εἰπεῖν, πᾶν ὅτι κατὰ Θεὸν οἶδε χαρακτηρίζειν ἄνθρωπον. τοῖς τοιούτοις ἐπαίνοις ὁ ἡμέτερος πατὴρ ὡραΐζεται, καὶ γινώσκει τὰ λεγόμενα, καὶ τὰ οἰκεῖα ἐπίσταται προτερήματα, καὶ στέργει τοὺς λόγους, ὡς ὠφελείας προξένους, οὐκ αὐτῷ, ἀλλ' ἡμῖν· ἐπεὶ καὶ ψιλὴ τούτου προσηγορία, ὑπόθεσις ἀρετῆς τοῖς σπουδαίοις καθίσταται. οὐ γὰρ ἄλλοθεν δεδιδάγμεθα ταῦτα, ἢ ἐξ ὧν αὐτὸς τὰ περὶ ἑαυτοῦ λόγοις κατέσπειρεν. ἀφ' ὧν ἡμεῖς ὡς ἡ ἐπαινετὴ μέλισσα, ἐκ πολλῶν ἀνθέων συλλέξαντες τὰ χρήσιμα, τὸ πνευματικὸν τοῦτο κηρίον κατειργασάμεθα. καὶ οὐ χαλεπαίνει πάντως ἡμῖν διὰ τὴν ἐγχείρησιν, ὅτι μὴ δέδιεν ἔτι τὸν πονηρὸν δαίμονα, διὰ τὸ καὶ παρ' αὐτῷ τῶν ἀγώνων τῷ τέλει πολλοὺς ὑποσκελίσαι, ἅπαξ καὶ εἰς τοὺς ἀκυμάντους τῶν ἀσωμάτων φθάσας λιμένας, ἔξω τυγχάνει καὶ ζάλης καὶ κλύδωνος. δεῦρο δὴ οὖν, καθ' ἕνα τῶν ἀπηριθμημένων μικρὸν ἐνδιατρίψαντες τῷ λόγῳ, οἷος γέγονεν ὁ θαυμάσιος, καὶ εἰς ὅσον μέτρον πνευματικῆς ἔφθασεν ἀναβάσεως, τοῖς συνειλεγμένοις καθυποδείξωμεν.

Πίστεως μὲν γὰρ εἶχε λίαν ὀρθῶς, ἡ πόρρω που νεύων τῆς εὐσεβείας· καθὼς ἔκ τε τῶν αὐτοῦ συγγραμμάτων, ἔκ τε τῆς περὶ αὐτὸν ὑπὸ τῆς ἐκκλησίας παρειλήφαμεν δόξης· ἐξ ἴσου γὰρ ἐμυσάττετο τήν τε Σαβελλίου παράλογον σύγχυσιν, καὶ τὴν Ἀρείου μανιώδη διαίρεσιν. ἵστατο δὲ τῶν τῆς εὐσεβείας ὅρων ἐντός· διαιρῶν μὲν τῷ ἀριθμῷ, συνάπτων δὲ τῇ οὐσίᾳ τὴν μίαν καὶ ἀσύγχυτον καὶ παναγίαν τριάδα· ὡς ἂν μήτε πενίαν θεότητος Ἰουδαϊκῶς ὀνειδίζοιτο, μήτε δήμῳ Θεῶν Ἑλληνικῶς ἐκβακχεύοιτο. ἃ παθεῖν οἱ περὶ τὴν ἀκατάληπτον τριάδα παροινήσαντες διελέγχονται. Ἀπολιναρίου δὲ τοσοῦτον τὸ ἄλογον ἀπεπέμπετο δόγμα, ὡς πᾶσαν μετὰ σπουδῆς ἐκ πάσης αὐτὸ Χριστιανικῆς ἐξελάσαι ψυχῆς.

A puritas, lacrymarum aſſiduitas, vitæ ſolitudo, è loco in locum ſeceſſio, malorum fuga, doctrina perpetua, precatio continua, ieiunium & vigiliæ immoderatæ, humicubatio, & vitæ auſteritas penè incredibilis, voluntaria paupertas cum humilitate ſingulari, miſericordia humanam conditionem ſuperans, zelus diuinus in eos qui rabie aduerſus pietatem atque religionem inueherentur; cuncta denique, quibus ad Dei imaginem homo inſignitur. Iſtis noſter hic Pater decoratur laudibus: quæ cõmemoramus agnoſcit: prærogatiuas has B eſſe proprias, eum nõ latet: ac ſermones hoſce, vt nobis non ſibi vtiles, non contemnit. nam vel exigua de ipſo enarratio, ſtudioſis cauſſa complectẽdæ exiſtit virtutis. Atque iſta non aliunde, ſed ex iis, quæ in variis ipſe ſuis diſſeminauit ſcriptis, didicimus: ex quibus inquam, ſedulæ inſtar apis, ex plurimis floribus vtilia colligentes, fauum hunc ſpiritualem confecimus. Nobis verò hæc ipſa conantibus nequaquam ſubiraſcetur, quando ſceleſtum dæmonem, qui multos vel in extremo agone ſupplantare C ſolet, non pertimeſcit amplius: iam enim ad tranquillũ peruenit incorporeorum portum, vbi nullas omnino procellas reformidat atque tempeſtates. Age igitur, ſingulis eorum, quæ enumerata ſunt, paulùlum immorantes, qualis eximius iſte vir euaſerit, & in quẽ gradum ſpiritualis ſanctimoniæ ſeipſum prouexerit, his qui conuenerunt oſtendamus.

Ad fidem ergo quod attinet, nulla ex parte procul à pietate deflectens, admodum rectè ſentiebat: quod cùm eius ex ſcriptis, tum ex Eccleſiæ de ipſo exiſtimatione probè cognouimus. nam æquè D & falſam Sabellij confuſionem, & inſanam Arij diuiſionem abominabatur. Conſtitit autem in finibus pietatis atque religionis. Sic quippè vnam, non confuſam, ſacroſanctámque Trinitatem, & numero perſonarum diuidebat, & vnitate ſubſtantiæ coniungebat: vt neque diuinitatis inopiam Iudaicè contumelia afficeret, neque deorum multitudine, more Gentilium ac paganorum debaccharetur: quod illis cõtingere deprẹhendimus, qui in incõprehenſibilem Trinitatẽ petulanter cõtumelioſi ſunt. Abſurdiſſimã porrò Apolinarij opinionẽ ſic deteſtabatur, vt omni conatu atq; ſollicitudine eandẽ ex quorumuis Chriſtianorum animis euellere ſtuderet.

Abominatio eius, aduerſus Arium, Sabellium, Apolinarium, Eunomiũ, Nouatum, peſſimos hæreticos.

A Quin & futiles, effrænatáſque Anomiorum linguas variis argumentis, ſcripturæque teſtimoniis penitùs repreſſit, ſummé que vtilia ac diuina nobis aduerſum eos monumenta reliquit. Si quis verò in S. Ephræm diſputationum cum Nouato, conflictu, cupiat audaciſſimi eius contueri ſtragem, aduerſarij caſum reſpiciat, oportet. Ibi enim vſque adeò ſuperiores in ipſo certaminis congreſſu noſtri Doctoris vires inueniet, vt hunc pancratiaſtē atque certatorē inuictum, illum autem mollem ac tanquam puerum nondum ætate firmatum dixerit.
B Neque verò illas duntaxat, quæ vel tunc, vel antea zizaniorum hæreſes ex malitiæ ſemine fuerant exortæ, fidei rectitudine propulſauit: verùm & eas quæ in futurū perniciosè pullulare poterant, propheticis oculis præuidens præcidit. Quotquot enim ab eo conſcripta ſunt volumina, demōſtrationibus ſunt plena. Nunquam ergo veritatis hic filius, ab ipſa deflexerit veritate: ſpem verò omnē in ſolo Deo defixam habuit, in quo qui ſuas ſpes conſtituunt, præmia referunt. Quapropter & illud Pſalmi in cunctis ſuis factis, dictíſque vſurpare ſolebat: In
Pſal. 17. C ipſo ſperauit cor meum, & adiutus ſum.
Pſal. 31. Quoniam ſperantem in Dominum, miſericordia circumdabit. Et fiducia in
Pſal. 123. Dominum, monti Sion ſimilem reddit: inque ſummam beatitudinem eum qui poſſidet, cōſtituit, ſicut ex ipſis addiſcere licet Prophetis, cùm dicat Dauid:
Pſal 39. Beatus vir, cuius eſt nomē Domini ſpes
Hiere. 17. & Pſ. 1. eius. Hieremias verò: Benedictus vir, qui cōfidit in domino, & erit Dominus fiducia eius. Et erit quaſi lignum quod tranſplantatur ſuper aquas, quod ad humorem mittit radices ſuas, & non timebit, cùm venerit æſtus.
Eſa. 33. Eſa. 12. Eſaias autem: Dominus rex noſter, Dominus ſeruator noſter: ipſe ſaluabit nos.
D Ecce Deus Saluator meus, fiducialiter agam,
Hebr. 4. 12 & non timebo. quin & Paulus nos admonet, dicens: Teneamus ſpei no-
Iob. 19. ſtræ confeſſionem: fidelis enim eſt, qui repromiſit.

Diuina igitur hac, & repoſita ſpe enutritus S. Ephræm, humana ac tranſitoria quæcumque ſpernens, ſempiternam aſſiduè gloriam concupiſcebat. Amorem verò in Deum & proximum adeò ſeruauit ſtudioſè, vt ex hoc decedens ſæculo, hæc inter poſtrema referret: par enim eſt ipſa verba ſancti illius patris, tan-

A ἀλλὰ μὴν καὶ τῶν Ἀνομοίων διὰ πολλῶν ἀποδεικτικῶν τε καὶ γραφικῶν λόγων, τὰ ἀπύλωτα ἐνέφραξε στόματα, μεγίστην ἀσφάλειαν ἡμῖν τὰ αὐτοῦ θεοδίδακτα λιπὼν λόγια. Νουάτου δὲ εἰ βούλοιτό τις τοῦ θρασυτάτου ἥττημα καταιδεῖν, ἐν τῇ διὰ τῶν λόγων τοῦ Ἐφραὶμ πάλῃ τὸ τοῦ ἐναντίου πτῶμα βλεπέτω, ἐν ᾗ τοσοῦτον εὑρήσει τὸ περιὸν τῆς δυνάμεως τοῦ ἡμετέρου διδασκάλου ἐν τῇ τοῦ λόγου παρατάσει, ὅσον ἀνδρὸς παγκρατιαστοῦ καὶ παιδὸς οὐκ εὐθετοῦς δι' ἁπαλότητα. οὐ μόνον δὲ τὰς κατ' ἐκεῖνο καιροῦ
B ἢ καὶ πρόσθεν ἀναφυείσας ἀπὸ τοῦ τῆς κακίας σπορέως ζιζανιώδεις αἱρέσεις, τῷ ὀρθῷ τῆς πίστεως ἐξήλεγξε λόγῳ· ἀλλὰ καὶ τὰς εἰς ὕστερον κακῶς ἀναθαλλούσας μελλούσας προφητικῷ βλέμματι καθιδὼν, προεξεθέρισε. καὶ τούτων πλήρης τῶν ἀποδείξεων πᾶσα τούτου συγγραφή τε καὶ ποίησις. οὕτως οὐ πώποτε τῆς ἀληθείας ὁ τῆς ἀληθείας υἱὸς ἐξεφρόνησεν· ἐλπὶς δὲ τούτῳ ἡ εἰς Θεὸν μόνη, ἐξ οὗπερ αἱ ἀποκειμένων ἐλπίδων τοῖς ἀξίοις αἱ χάριτες. τὸ γὰρ ψαλμικὸν διὰ βίου λόγῳ τε καὶ πράξει μελετῶν ἔφασκεν· ἐπ' αὐτῷ ἤλπισεν ἡ καρδία μου, καὶ
C ἐβοηθήθην. διὰ τοιοῦτον ἐλπίσαντος αὐτοῦ ἐπὶ κύριον, ἔλεος αὐτὸν κυκλώσει. καὶ ἡ εἰς αὐτὸν πεποίθησις, ὄρει τοῦτον Σιὼν ἀπεικάζει, ἀλλὰ καὶ ὑψηλοτάτου μακαρισμοῦ ἐντὸς τὸν κεκτημένον καθίστησι, ὡς ἔστιν ἐξ αὐτῶν τῶν προφητῶν καταμαθεῖν, Δαβὶδ μὲν λέγοντος· μακάριος ἀνήρ, οὗ ἐστι τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ. Ἱερεμίου δέ· εὐλογημένος ἄνθρωπος ὅστις πέποιθεν ἐπὶ τῷ κυρίῳ, καὶ ἔσται κύριος ἐλπὶς αὐτοῦ. καὶ ἔσται ὡς τὸ ξύλον εὐθηνοῦν παρ' ὕδατα, καὶ ἐπὶ ἰκμάδα βαλεῖ ῥίζαν αὐτοῦ. καὶ Ἡσαΐου, κύριος βασιλεὺς ἡμῶν, κύριος σωτὴρ ἡμῶν, αὐτὸς σώσει
D ἡμᾶς. ἰδοὺ ὁ Θεὸς ὁ σωτήρ μου κύριος, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ καὶ θαρσήσομαι. τοῦ μακαρίου δὲ Παύλου παραινοῦντος καὶ λέγοντος· κατέχωμεν τὴν ἐπαγγελίαν τῆς ἐλπίδος· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος ἡμῖν.

Ταύτῃ τῇ θείᾳ, καὶ ἀποκειμένῃ ἐλπίδι εἰστρεφόμενος, τῶν κοσμικῶν ἁπάντων κατεφρόνει, καὶ τῆς αἰωνίου δόξης ἑκάστης ἱμείρετο. ἀγάπην δὲ τὴν εἰς Θεόν τε καὶ τὸν πλησίον οὕτως ἀκριβῶς ἐφυλάξατο, ὡς αὐτὸν εἰπεῖν οὑτωσὶ, τοῦ βίου ἀπαίροντα· καλὸν γὰρ αὐτὰ τὰ ῥήματα τοῦ θεοφόρου πα-

ἔργοις εἰς μέσον ἀγαγεῖν, κρείττονα πάσης ἀποδεί- A ξεως τυγχάνοντα. οὐδαμῶς, φησὶν, ἐν πάσῃ τῇ ζωῇ μου ἐλοιδόρησα κύριον, καὶ λόγος ἄφρων οὐ παρῆλθε τῶν χειλέων μου· ἐν πάσῃ τῇ ζωῇ μου κατηρασάμην οὐκ οὐδένα, καθ' ὅλου τινὶ μετ' οὐδενὸς πιστοῦ ἐμαχησάμην. ὦ μακαρία γλῶσσα, ἥ τις θαῤῥήσασα τοιαύτην ἔῤῥηξε φωνὴν, ἣ μόνοις τοῖς ἀγγέλοις πρεπωδεστάτη τυγχάνει, διὰ τὸ ἄυλον καὶ ἀστασίαστον τῆς ζωῆς· ἡμῖν δὲ τοῖς τῇ σαρκὶ δουλεύουσι, ξένη καὶ ὑπὲρ τὴν φύσιν, καὶ χαλεπὸν κατορθωθῆναι.

Καὶ πολλὰ μὲν κἀμοῖς βίοις ἀνερευνῶν τῶν B ἐπ' ἀρεταῖς διαλαμψάντων, οὐδαμοῦ δέ τι τοιοῦτον εὕροις, οἷον ἐπὶ τοῦ προκειμένου πατρὸς, εἰς διήγησιν σημεῖον καθαρᾶς καὶ ἀκηλιδώτου ἀγάπης. εἰ οὖν μείζων πασῶν τῶν ἀρετῶν ἡ ἀγάπη· ταύτην δὲ ὡς οὐκ ἄλλος τις τῶν πατέρων κατώρθωσεν Ἐφραὶμ ὁ μακάριος· ἀπολήψεται δὲ ἕκαστος κατὰ τὰ ἔργα αὐτοῦ· τὸ ἐκ τούτων ἄλλοις συμπεραίνειν παραχωρήσομεν, ἵνα μὴ δόξωμεν παραβάλλειν πατέρασι πατέρας. οὐ γὰρ συγκρίσεως χάριν, τὸ ῥηθὲν προειλήφαμεν· ὡς ἂν δὲ μόνον ὑπ' ὄψιν τοῖς πολλοῖς παραστήσωμεν, ὡς C ἐπ' αὐτὸ τὸ ἄκρον ἔφθασε τῆς πνευματικῆς τῶν ἀρετῶν κλίμακος ὁ ἡμέτερος· μᾶλλον δὲ τῆς οἰκουμένης διδάσκαλος Ἐφραίμ.

Εὐσέβειαν δὲ ἐν τῇ τῆς ὄντως κτήσει σοφίας ἐμπορευσάμενος, κατὰ τὸ ἐν Ἰὼβ εἰρημένον· ἰδοὺ θεοσέβειά ἐστι σοφία. δι' αὐτῆς, ὡς μικρὸν ἄνωθεν ἐδηλώσαμεν, τῆς πίστεως αὐτοῦ τὸ καθαρὸν διαγράφοντες, εἰς οὐρανὸν μὲν τρίτον, κατὰ Παῦλον ἀνῆλθεν ἀθάνατον δὲ τὴν μνήμην καὶ διαρκῆ τὴν εὔκλειαν παρὰ τῇ ἐκκλησίᾳ πεπλούτηκεν· ἡ μελέτη δὲ τούτῳ τῶν θείων γραφῶν, ἐκ τῆς Δαυϊδικῆς ἀνῆπτο λαμπάδος, ἐν τῇ μελέτῃ μου φάσκοντος, ἐκκαυθήσεται πῦρ. ἔρως D γὰρ αὐτὸν πολήσας πνευματικῆς θεωρίας, εἰς φλόγα μετέωρον τὸν πόθον ἀνῆγε. πᾶσαν γὰρ παλαιάν τε καὶ καινὴν ἐκμελετήσας γραφὴν, καὶ ὡς οὐκ ἄλλος τις τοῖς τοιούτοις θεωρήμασιν ἐμφιλοχωρήσας, ὅλην ἀκριβῶς πρὸς λέξιν ἡρμήνευσεν, ἀπό τε τῆς κοσμογενείας, καὶ μέχρι τῆς τελευταίας τῆς χάριτος βίβλου, τὰ βάθη τῶν κεκρυμμένων εἰς τοὐμφανὲς ἀγαγὼν θεωρημάτων, λύχνῳ κεχρημένος τῷ πνεύματι.

quam omni demonſtratione potiora in medium producere. Nullo modo in tota mea vita (inquit) aduerſus Dominum contumelioſus exſtiti, nec ſermo ſtultus è labiis meis egreſſus eſt. Neminem in omni vita mea maledictis oneraui; nec cum vllo planè Chriſtiano homine contentioſum me præbui. O felicem linguam, quæ confidenter eiuſmodi vocem emiſit, quæ ſolis potiſſimùm Angelis, propter vitam ab omni materia mutationéque remotam, congruit: at nobis carni ſeruientibus, haud ita conuenit, noſtræque naturæ vires magis exſuperat, quàm vt facilè exæquari factis queat.

Et vt plurimùm labores, vitáſque illorum explores, qui virtutibus clari fuerunt; vix tamen vllum huic ſimile puræ ſyncerǽque charitatis indicium reperias. Si enim inter cunctas virtutes maximè præcellit charitas; hanc ita noſter hic excoluit Ephræm, vt nullus alius magis ex Patribus. Sed quoniam digna quiſque propriis factis acceptu- *Mat.16.& Rom.2.b.* rus eſt præmia, ne Patres patribus videamur conferre, iſta aliis conſideranda potius relinquemus. Neque etiam hæc ipſa comparationis cauſſa à nobis ſunt dicta: ſed vt populo clarè conſtet, noſtrum hunc, aut verius vniuerſæ Eccleſiæ Doctorem S. Ephræm, ad ſupremum gradum in ſpiritali virtutum ſcala perueniſſe.

Pietatem verò atque religionem in vera ſapientiæ poſſeſſione comparauit, ſecundùm illud Iob: Ecce cultus Dei eſt *Iob.12.18. &c.* ſapientia. per illam, vt paullò antè, illius puritatem fidei deſcribentes, oſtendimus, quomodo S. Paulus in tertium *2.Cor.12.* aſcendit cœlum, æternámque ſibi nominis gloriam in Eccleſiam parauit. Sacrarum quoque ſcripturarum huic ex Dauidica lucerna accēſa eſt meditatio, *Pſal.38.* ſecūdùm iſtud: In meditatione mea exardeſcet ignis. Siquidem amor, cœleſtis contemplationis igne ipſum accēdens, ſublimium rerum ardorem excitabat. Nam omnem & antiquam, & nouam ſcripturā aſſiduo ſtudio, vt quiuis alius, ſtudioſè verſauit, accuratéque ad verbum eſt interpretatus. & ab ipſa procreatione mundi, vſque ad poſtremum gratiæ librum, quæ abdita, quæque arcana ac recondita erant, ſpiritus adiutus lumine, commentariis illuſtrauit.

Neque verò duntaxat huius noſtræ diuinitùs conceſſæ ſapientiæ latices hauſit, aliíſque impertitus eſt: ſed etiam eas, quæ ad rectè ornatéque dicendi rationem, ac ad doctrinæ ſubtilitatem pertinẽt, artes atq; diſciplinas quatenus ducebat vtiles, reiectis vanis ſtultíſq; rebus, æquitatis lance actionem contemplationémq; ponderãs, exercuit. Animi porrò corporíſque munditia, pro hominis natura, imò & ſupra conditionem quaſi humanam (cùm ſit gratiæ donum) excelluit. Reuera enim animo quidem imperabat, corpore autem reſplẽdebat, perturbationémque dominam circumferebat. quod ex inſidiis, quæ ei (ſicut memoriæ eſt proditum) ab impudica ſtructæ ſunt muliere, ſatis confirmatur. Nam cùm ea tanquã eſca quadam malitiæ, ad fallendum inſignem ac rarum hunc virum homicida Belial vſus eſſet: tantum abfuit, vt quod ſperârat, conſequeretur, vt etiam aduerſus ipſum inſidiatorem, eam ipſe decertantem in conflictu conſtituerit. Siquidem cohortationibus, atque admonitionibus, diuinarúmque rationum quaſi incantationibus, ipſam conuerſam ad meliorem frugem perduxit: & ex impudica pudicam, ex laſciua grauem, ex inquinata puram caſtámque reddidit.

Iam verò diffluentes ac perpetuas ipſius lacrymas referre volenti, verè oboriuntur lacrymæ: cùm vix abſque lacrymis eius lacrymarum pelagus liceat transfretare. Nam ſicut cunctis hominibus citra intermiſſionem ſpiritum ducere eſt proprium: ita beato Ephræm aſſiduè lacrymas profundere, natura quodammodo videbatur inſitum. Nulla quippe dies, nulla nox, nulla diei noctíſque pars, nullúmque breuiſſimi temporis momentum fuit, in quo non vigiles ipſius oculi lacrymis conſpicerentur profuſi: nunc enim communes, nunc priuatas, vt aiebat, calamitates, abſurditatéſque deplorabat. Suſpiriis porrò oculorum flumina prudenter inhibebat, aut potius oculorum fluminibus ſuſpiria excitabat. Eratque rei vtriuſque progreſſus admirabilis, licet alioquin vtrumque alterius videretur cauſſa. Profluebant quippe ipſi lacrymę, multíſque incognita erat cauſſa. Cùm enim tempus illas non auferret, ſed mutua quadam viciſſitudine, & lacrymæ ſuſpiria,

Οὐ μόνον δὲ ταύτης τῆς ἡμετέρας καὶ θεοπνεύστου σοφίας ὅλον τὸν πνευματικὸν κρατῆρα ἐκπέπωκε, καὶ τοῖς ἄλλοις μετέδωκεν· ἀλλὰ καὶ τῆς ἔξω κοσμικῆς, ὅση τε περὶ τὸ κατεγλωττισμένον καὶ ὀρθὸν τοῦ λόγου, ὅση τε περὶ τὸ τῶν νοημάτων βάθος, ὅτι μάλα ἐξασκήσας, ὅσον μὲν χρήσιμον προσελάβετο· ὅσον δὲ ἀνόνητον, ἀπεβάλετο, ζυγῷ δικαιοσύνης καὶ πρᾶξιν καὶ θεωρίαν ἐμπορευσάμενος· ἁγνείαν δὲ κατώρθωσε ψυχῆς τε καὶ σώματος, ὅσην ἡ φύσις ἐχώρει· μᾶλλον δὲ καὶ ὑπὲρ τὴν φύσιν· χάριτος γὰρ τὸ δῶρον. οὔτε γὰρ τὴν ψυχὴν τῆς κατὰ τὸν ὀρθὸν λόγον ἕξεως ἐνεδίδου παρασφαλῆναι, ἀλλ' ἦν ὡς ἀληθῶς, ψυχῇ μὲν βασιλεύων· σώματι δὲ ἀγλαοφανῶς ἐξαστράπτων. καὶ μαρτυρεῖ τοῖς λεγομένοις ἡ τῆς ἱστορουμένης πόρνης μεταβολή, ἣν πρὸς κακίας δέλεαρ ὁ βροτοκτόνος χρησάμενος Βελίαρ, εἰς ἀπάτην τοῦ πεφωτισμένου ἀνδρός, τοσοῦτον ἀπέσχε τοῦ ἐλπισθέντος, ὡς καὶ αὐτὴν τὴν μοιχαλίδα κατ' αὐτοῦ ἐκείνου τοῦ ὑπερβάλλοντος παρατάξασθαι πονηροῦ, καὶ παραινέσεσι καὶ ἐπῳδαῖς, ταῖς τε τῶν θείων λόγων ἐπῳδαῖς μεταβληθεῖσαν, καὶ πρὸς τὸ κρεῖττον μεταπλασθεῖσαν, σώφρονα μὲν ἀντὶ ἀκολάστου, σεμνὴν δὲ ἀντὶ ἀσέμνου, καὶ καθαρὰν ἀντὶ μεμολυσμένης ἀποδειχθῆναι. Δάκρυα δὲ τὰ ἀέναα εἰπεῖν ἐκείνου ῥεῖθρα προθυμηθέντι μοι, δακρύειν ὄντως ἐπέρχεται· ὅτι μὴ δίχα τούτου, τὸ τῶν δακρύων αὐτοῦ πέλαγος τῷ λόγῳ τις διαπλεύσειεν. ὡς γὰρ πᾶσιν ἀδιαλείπτως σύμφυτον τὸ ἀναπνεῖν, καὶ ἀεὶ ἐνεργούμενον· οὕτως Ἐφραὶμ τὸ δακρυρροεῖν. οὐ γὰρ ἡμέρα, οὐ νύξ, οὐ μεσονύκτιον, οὐχ ὥρα, οὐ στιγμὴ τὸ λεπτότατον, ὅτε ξηρὸς ὁ τούτου ἀΐστακτος ὀφθαλμὸς καθεωρᾶτο· πῆ μὲν τὰ κοινά, πῆ δὲ τὰ ἰδίως ἀποκλαιόμενος, ὡς ἔλεγεν, ἀτοπήματα· στεναγμοῖς δὲ τὰ τῶν ὀμμάτων σοφῶς ἐποχετεύει ῥεῖθρα· μᾶλλον δὲ χεύμασιν ὀφθαλμῶν τοὺς στεναγμοὺς ἐξεκαλεῖτο· καὶ ἦν παράδοξος ἀμφοτέρων ἡ πρόοδος, τοῦ ἑτέρου αἰτία τοῦ ἑτέρου φαινομένου. ἔτικτον γὰρ ἐπ' αὐτῷ δάκρυα μὲν, στεναγμούς· στεναγμοὶ δὲ πάλιν δάκρυα, καὶ τὸ αἴτιον τοῖς πολλοῖς ἀγνοούμενον. χρόνου γὰρ ταῦτα μὴ διαιροῦντος, ἀλλ' ἀεὶ τῶν στεναγμῶν δάκρυα διαδεχομένων, εἶτα πάλιν τούτων στεναγμούς,

καὶ κύκλου τινὸς γινομένου, ἄδηλος ἦν ἡ ἀρχή, καὶ ὁπότερον τὸ αἴτιον. καὶ τοῦτο τὶς κατόψεται τοῖς αὐτοῦ προσομιλήσας συγγράμμασιν. οὐ μόνον γὰρ ἀποκλαιόμενον αὐτὸν ἐν τοῖς περὶ μετανοίας καὶ ἤθους καὶ πολιτείας χρηστῆς εὑρήσει λόγοις· ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς πανηγυρικοῖς αὐτοῦ λόγοις ἔνθα πολλὴν εἰώθασιν οἱ πλεῖστοι περιχαρείαν ἐν τοῖς λόγοις δεικνύναι. ὁ δὲ πανταχοῦ τοιοῦτος ἦν, καὶ τῆς κατανύξεως διηνεκῶς ἐπλούτει τὸ χάρισμα. ἔνθεν καὶ νῦν σχεδὸν πάντας αὐτοῦ τοὺς τῶν λόγων ἀκροατάς, πρὸς τὴν ὄντως ἀνακαλεῖται ζωήν. τοσαύτην ἰσχὺν ὁ τούτου κέκτηται θεόπνευστος λόγος δάκρυσι συγκεκραμένος. ποῖος γὰρ ἀμείλικτος, ἢ τὴν καρδίαν λιθώδης, τῶν τούτου ῥημάτων ἐπακούσας, οὐ μαλαχθήσεται, καὶ τὸ σκληρὸν τοῦ ἤθους ἀποβαλών, ταῖς ἑαυτοῦ κακίαις ἐπιστυγνάσει; ποῖος ἄγριος τὸ ἦθος, ἢ θηριώδης τὸν τρόπον τὴν ψυχωφελῆ διδασκαλίαν αὐτοῦ ἐνωτισθείς, οὐκ εὐθὺς χρηστὸς καὶ ἐπιεικής, καὶ τοῖς τρόποις ἔσται φιλάγαθος; ποῖος χαίρειν ἐμμελετῶν ταῖς τοῦ βίου ἡδυπαθείαις, καὶ τὸ δακρύειν ἀποστρεφόμενος, ὀλίγων ἀκούσας ἐκείνου ῥημάτων, οὐ θρηνήσει καὶ κλαύσεται, καὶ εἰς ὑπόμνησιν ἔλθῃ τῶν βεβιωμένων;

A & ſuſpiria lacrymas exciperent, alterutrius cauſſa latebat. Illud verò cognoſcet, quiſquis ipſius ſcripta euoluerit. Neque enim tantummodò, vbi de pœnitentia, de moribus, de rectis vitæ inſtitutis agit, ipſum plangẽtem ac ſuſpirantem inueniet: verùm & in ipſis laudationibus, quas plerumque omnes multa aſpergere ſolent hilaritate. Hic verò eundem ſe vbiq; præbuit, aſſiduéq; lugendi munus, vt diuitias expetiuit. Vnde & nunc ferè cunctos ipſius ſermonum auditores ad veram amplectendam vitam reuocat: tantã ipſius mixta lacrymis vim B continet oratio. Quis enim ita duro & adamãtino eſt corde, qui eius verba audiens, non manſuefiat, morúmque aſperitate abiecta, ſuis ipſius peccatis ex animo nõ doleat? Quis adeò ferus eſt & immitis, qui ſalutarem eius doctrinam auribus percipiens, [tempus non deploret quod perperã tranſegit? Quis adeò immanis atq; crudelis: qui ſimul ac verba eius quouis melle dulciora guſtauerit,] nõ ſe mox mitem, amabilémq; omnino exhibeat? Quis abhorrens à lacrymis, ita ſe tradidit voluptatibus, quin vel mo- C dicis illius verbis auditis, retributionem illam, quam pro vita anteacta accepturi ſumus, in memoriam reducens, non lamentetur ac lugeat?

Μελλούσης ἀνταποδόσεως, λίθον ἑψεῖς, ἡ τῶν ἔξω παροιμία ἐπὶ τῶν ἀδυνάτων περιείληφεν· ἡμῖν δὲ τοῦτο ἐναργῶς ἡ πεῖρα παρέστησε. τὰς γὰρ ἀτέγκτους καὶ ἀντιτύπους ψυχάς, καὶ φυλάττεσθαι καὶ ὑπείκειν ὁ θεῖος οὗτος πρεσβύτης παρέπεισεν. τίς ἐντυχὼν αὐτοῦ τῷ περὶ ταπεινοφροσύνης λόγῳ, οὐ πᾶσαν μὲν εὐθὺς οἴησιν ἐκμισήσει· ἀλλ' ἐξ ὅλου πάντων ταπεινότερον ἑαυτὸν ἐκκηρύξει; τίς τοῖς περὶ ἀγάπης ἐπιβαλών, οὐχ ὑπὲρ ἀγάπης προκινδυνεῦσαι σπουδάσει; τίς τοῖς περὶ παρθενίας προσομιλήσας, οὐχ ἁγνὸν ἑαυτὸν ψυχῇ τε καὶ σώματι Θεῷ ἀγωνίσεται παραστῆσαι; τίς τοῖς περὶ κρίσεως, ἤτοι δευτέρας Χριστοῦ ἐλεύσεως ἐγκύψας, οὐ παρίστασθαι τῷ ἐκεῖθεν κριτηρίῳ νομίσει; καὶ σύντρομος γενόμενος τὴν τελευταίαν ἤδη ἀπόφασιν κατ' αὐτοῦ ἐξενεχθῆναι δοκήσει;

In rebus fieri nequeuntibus, illud paſſim vſurpant prouerbij: lapidi miſericordiam perſuades. at iſtud fieri poſſe, nos experimento edocti didicimus. Sanctus quippe hic ſenex, animos quos ob malam obſtinatámque duritiem lapides dixeris, planè emolliuit ac fregit, flexitque vt voluit. Quis enim eius de humilitate orationem legens, non omnem mox de ſe exiſtimationem, ſtul- D támque arrogantiam deponat, ac ſe omnium abiectiſſimum cõfiteatur? Quis ea, quæ de Charitate conſcripſit, lectitans, non ſic accendatur, vt ad quoduis etiam ſubeundum periculum, paratus ſit? Quis illa euoluens, quibus Virginitatem laudat, non ſe Deo caſtum corpore animóque offerre contendat? quis audiens, vel legens eius ſermones, quibus iudicium extremũ, ſiue ſecundum illum Chriſti aduentum deſcribit, non ita corde & animo afficiatur, quaſi ad illud iudiciũ iamiam ſiſtendus eſſet? metúque repentè ſic exhorreſcat, ac ſi aduerſus ipſum ſententia iudicis feratur?

Prouerbiũ.

Nam ita futurum iſtud Dei iudicium accuratè ac plenè expreſſit, & ob oculos omniũ ſtatuit præclarus ac ſanctus hic vir; vt ad eius cognitionem aliud nihil videatur deeſſe, niſi vt res ipſa agatur ac coram fiat.

Cùm ergo in talibus de iudicio cogitationibus Beatus ipſe ſemper occuparetur, mundum & quæcumque in eo ſunt, effugit. Procul verò receſſit fugiens, ſicut ſcriptum reperitur, & manſit in ſolitudine, Deo & ſibiipſi vacans, indéque virtutum præmia referens. Rectè enim iam nouerat, eos qui ſolitariam amplectuntur vitam, ex turbulentis ſæculi huius perturbationibus atque procellis liberari, & ad quietis tranquillitatíſque portum feliciter peruenire, vbi conſuetudine perfruantur Angelorum; mentibúſque ſublimes, quantum licet, rapi ad contemplationem Dei. Quando porrò Spiritus illum commonefaciens, ad multorum ædificationem ſic diſponebat, vt loca mutaret, non reſiſtebat, ſed humiliter obſequebatur: erat enim iuſſis mandatíſque Dei, ſi
Gen. 12. & Act. 7. quis alius, obtemperans. Vnde patriam, ſicut magnus ille Abraham, relinquere iuſſus, Edeſſenorum vrbem petiit: neque enim conueniebat, vt ſub terra diutius Sol occultaretur. Hiſce verò de cauſſis eò conceſſit, vt loca ibi ſancta inuiſeret, tum vt ſapientem aliquem conueniret virum, ac cognitionis ipſe fructum vel caperet, vel aliis præberet.

Ad eam igitur dum appuliſſet ciuitatem, & iam portam introiret, loco ſapientis viri, quem optarat, ſcortum ſibi obuium habuit: in quod ſpectaculum permoleſtum cùm præter exſpectationem incidiſſet, tanquam ſpe ſua deiectus, oculos auertebat. At contra, improba fœmina defixis in eum oculis inſpiciebat. Cui Ephræm, O mulier, inquit, dic mihi, cur me vſqueadeò intueris? At illa promptè: Quoniam, inquit, ex te viro ego ſum: tu autem me ne reſpicis quidem, ſed in terram ex qua ſumptus es, oculos tuos retorques. Quam quidem inſpectatam reſponſionem vehementer ſibi profuiſſe, vir ſanctus ac prudens confitebatur. quapropter infinitam Dei potentiam laudauit, qui interdum ea, quæ ſperamus, præter ſpem nobis elargitur.

A οὕτως γὰρ ὑπέγραψε τὸ μέλλον τοῦ Θεοῦ δικαστήριον ὁ ἀοίδιμος καὶ περιφανέστατος οὗτος ἀνήρ, ὡς μηδὲν μὲν ἕτερον ἀπολείπεσθαι γνώσεως, μόνον δὲ τῷ ἔργῳ τούτῳ, καὶ τῇ πείρᾳ καταμαθεῖν.

Ταῖς τοιαύταις ἀεὶ περὶ κρίσεως ὁ μακάριος συνεχόμενος φαντασίαις, ἔφυγε μὲν τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ· ἐμάκρυνε δὲ φυγαδεύων, ἥ φησι τὰ λόγια, καὶ ηὐλίζετο ἐν τῇ ἐρήμῳ, ἑαυτῷ μόνῳ καὶ Θεῷ προσέχων, κἀκεῖθεν τὴν ἀρετὴν ταῖς ἐπιδόσεσι δεχόμενος. ᾔδει γὰρ ἀκριβῶς ὡς ἐρημικὴ διαβίωσις τῶν κοσμικῶν μὲν
B ἐλευθεροῖ τὸν βουλόμενον θορύβων, τῇ ἡσυχίᾳ δὲ συνόμιλον τοῖς ἀγγέλοις ποιεῖ· καὶ ταῖς περὶ Θεοῦ θεωρίαις τὸν νοῦν ὅσον ἐστὶν ἐφικτὸν ἀνυψοῖ· ἐκ τόπων δὲ τόπους ἀμείβειν, ὅτι κινοῦν αὐτὸν Πνεῦμα πρὸς οἰκοδομὴν τῶν πολλῶν ᾠκονόμει, οὐκ ἠπείθει, οὐδ' ἀντέτεινεν· ἦν γὰρ ταῖς κελεύσεσι θείαις πειθήνιος, εἴ καί τις ἄλλος. ἐντεῦθεν τὴν ἐνεγκαμένην, ὡς ὁ θεῖος ἐκεῖνος κελευσθεὶς Ἀβραάμ, τὴν Ἐδεσσηνῶν κατείληφε πόλιν· δίκαιον γὰρ οὐκ ἦν ὑπὸ γῆν μέχρι πολλοῦ τὸν ἥλιον κατακρύπτεσθαι. δύο δὲ χά-
C ριν αἰτιῶν, τοῦ τε τὰ ἐκεῖσε περιπτύξασθαι ἅγια, καὶ περί γε τούτου λογίῳ περιτυχεῖν καὶ καρπὸν γνώσεως, ἢ λαβεῖν, ἢ μεταδοῦναι.

Ἐν οἷς, ὡς ἱστόρηται, τῇ πόλει παραβαλών, τήν τε πύλην ὑπερχόμενος, πόρνῃ τινὶ συναπήντηκεν, ἀνθ' οὗ φιλολόγου ἐπηύχετο προστυχεῖν· ὡς δὲ τῆς προσδοκίας ἕτερον ἦν τὸ φανέν, θλιβερὸν αὐτῷ ἀπέβη τὸ συναντηθέν. διὸ καὶ προσατενίσας τῷ πορνιδίῳ, ὡς τῆς ἐλπίδος ψευσθεὶς ἀπήνωτο· ἡ δὲ τοῦτον θεωμένη,
D προσατενίζοντα ταύτῃ, καὶ αὐτὴ ἐπιμελῶς αὐτὸν βλέπουσα κατεσκόπει· τῇ δὲ ὁ σοφός· λέγε μοι γύναι, τίνος χάριν μικρῶ ἀπατενίζεις μοι· ἡ δὲ ἀκολούθως, ἐγὼ καὶ πρεπόντως· ἐκ σοῦ γὰρ λέλημμαι τοῦ ἀνδρός, σὺ δὲ μή με κατασκόπει, τὴν γῆν δὲ μᾶλλον, ἐξ ἧς ἐλήφθης. τοῦτο παρὰ προσδοκίαν ὁ σοφὸς ἐπακούσας, μεγάλης μὲν ὡμολόγει ὠφεληθῆναι· τοῦ Θεοῦ δὲ τὴν ἀκατάληπτον ὑπερεδόξασε δύναμιν, ὃς τὰ τῆς ἐλπίδος καὶ διὰ τὴν παρ' ἐλπίδα χαρίζεσθαι.

Δύσας τε ἐκεῖθεν ἐπὶ τὴν τῆς Καππαδοκίας Καισάρειαν, ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου ὁδηγηθεὶς, τὸν μέγαν κατεῖδεν Βασίλειον, τὸ στόμα τῆς ἐκκλησίας τὴν τῶν δογμάτων χρυσῆν ἀηδόνα· ὃν θεασάμενος ὁ πρεσβύτης, πολλαῖς καταγεραίρειν ἤρξατο εὐφημίαις. διορατικῷ γὰρ τῷ τῆς ψυχῆς ὄμματι, περιστερὰν ἀγλαοφανῆ ἐφεζομένην πρὸς τὸν δεξιὸν τούτου ἔβλεπεν ὦμον, λόγους αὐτῷ διδασκαλίας χορηγοῦσαν, κἀκεῖνον τούτους διαπορθμεύοντα τῷ λαῷ, ὃς ὑπὸ τῆς διδασκούσης αὐτῷ σεπτῆς μυστικῆς περιστερᾶς, τὸ τῆς ἐπιδημίας ἤσθετο, καὶ Ἐφραὶμ αὐτὸν εἶναι τὸν Σύρον ἐπέγνωκε. καὶ δὴ πνευματικῆς ἐπιχαροῦ ἄμφω συνουσίας ἠξίωνται, οὕτως οὐκ ἐπιζήμιος τῷ Ἐφραὶμ ὁ σκυλμὸς ἐχρημάτισεν.

Ἡ δὲ τοῦ βίου φυσικὴ ἀκεραιότης, τῶν ἐπιβλαβῶν τὴν φυγὴν αὐτῷ προεδείκνυε· τό, τε τοῦ κρείττονος προορατικόν, καὶ τὸ τοῦ χείρονος φυλακτικὸν ἐκδιδάσκουσα, ἐκείνους τε τῶν λογισμῶν προαιρεῖσθαι, τοὺς εἰλικρινεῖς καὶ καθαρούς, καὶ πρὸς αἵρεσιν λυσιτελεστέρους καλοῦ, ὅσοι μάλιστα πρὸς τὴν τῆς διδασκαλίας ἐμποδίζουσι χρείαν. δαψιλῶς γὰρ δέδοτο παρὰ Χριστοῦ τῷ θείῳ πρεσβύτῃ τὸ τοῦ λόγου τάλαντον, ὃ καταβαλλόμενον ἐν ταῖς τῶν πολλῶν τῆς καρδίας τραπέζαις περὶ πάντων αὐτῷ τῶν ἄλλων ἐπωφείλετο. καὶ τοῦτο μὲν αὐτὸς περὶ ἑαυτοῦ φασὶ λέγειν· ὅτι παρ' ἄρτι τῆς παιδικῆς ἡλικίας τὸ ἁπαλὸν ὑπερβὰς, τεθέαται μυστικῶς πρὸς τῇ γλώσσῃ, ὡς ἀνῆλθεν αὐτοῦ λίαν εὔκαρπος ἄμπελος, αὐξηθεῖσα τοσοῦτον, ὅσον πληρῶσαι τὴν γῆν. πάντα δὲ πετεινὰ τοῦ οὐρανοῦ ἐρχόμενα ἐξ αὐτῆς ἐμπίμπλασθαι τροφῆς. αὐτὴν δὲ τὴν ἄμπελον ἐν τῷ ἀποκείρεσθαι, καὶ πάντα πλείονα δεξιοῦσθαι, μᾶλλον πλουτεῖν τῶν βοτρύων. τοῦτο δὲ καὶ ἄλλος περὶ αὐτοῦ τῶν πάνυ διορατικῶν τότε προσεμαρτύρησεν· ἰδεῖσθαι λέγων ἀγγέλων πληθὺν, κατιοῦσαν ἐξ οὐρανοῦ, τόμον ἐπὶ χεῖρας βαστάζουσαν, ἔξωθέν τε καὶ ἔσωθεν ἐγγεγραμμένον. ἔλεγε δὲ ἡ φανεῖσα θεία ἐκείνη πρὸς ἑαυτὴν παράταξις. τίς ἄρα ὀφείλει τόνδε τὸν τόμον ἐγχειρισθῆναι; ἐξ ὧν ἀποκριθέντες, οἱ μὲν τόνδε προέκριναν, οἱ δὲ τόν, καὶ ἄλλοι ἕτερον, οὓς ὁ χρόνος ἐκεῖνος εἶχε λογάδας. εἶτα μετὰ τὴν δοκιμὴν πάντας εἰπεῖν· ἀληθῶς ἅγιοι οὗτοι καὶ δοῦλοι Θεοῦ· πλὴν οὐ δύνανται τόνδε τὸν τόμον ἐγχειρισθῆναι. ὡς δὲ πολλοὺς τῶν τότε ἁγίων ἐπιμνησθέντες,

A Inde Cæſaream Cappadociæ diuino ductus ſpiritu cùm petiuiſſet, ipſum ibi os Eccleſię, auream ſcilicet illā doctrinę luſciniā, Baſilium vidit atque cognouit: quem ſenex intuitus, multis fauſtis cœpit venerari vocibus. Siquidem perſpicaci mentis oculo, cōſpexit refulgētem columbam humero ipſius inſidentem dextero, verbáque ſapientiæ ſubminiſtrantem, atque ipſum ea populo depromentem. Ex ea quidem ardua ac veneranda columba inſtructus ille, ſancti huius Patris cognouerat peregrinationem, eúmq; eſſe Ephræm illum Syrum. B Peropportunè igitur ambo mutua inter ſe fruebantur conſuetudine; ita vt laborioſa illa peregrinatio ipſi Ephræm inutilis non exſtiterit.

Naturalis porrò vitæ innocentia, malorum ipſi oſtendebat fugam: nam ex ea diſcebat & meliora proſpicere, & deteriora euitare, atque illas ſententias ac rationes eligere, quæ puræ eſſent, quæque ad excolendam honeſtatem cōferrent, & docendi vſum nequaquam impedirent. Abundanter quippe ſancto ſeni conceſſum à Chriſto erat ſermonis C talentū, quod cùm ad menſas cordium plurimis impertiretur, ei tamen cum primis profuit. Fertur autem hæc ipſe de ſe dixiſſe: Sibi, cùm primùm è tenera illa excederet ætate pueritiæ, arcana eiuſmodi contigiſſe viſa. Ipſi etenim iuxta linguā, admodū fructifera enaſci videbatur vitis, quæ quidē ita excreſcebat, vt vniuerſum terrarum repleret orbem. Cuncta autem cœli volatilia aduentabāt, & de fructu eius comedebant. ipſa aūtem vitis, quantò plures volucres decerpentes fructus excipiebant, tantò amplius racemis abundabat. Illud præ- D terea quod ad ipſū pertineret, alius quidam, homo perſpicax, ſe cōſpexiſſe teſtatus eſt: Angelorū ſcilicet copiā deſcendentem è cœlo, volumen intus ac foris conſcriptū detinere manibus. Sic verò ſanctā illam colloqui viſam eſſe aciem. Quis putas, volumen iſtud in manus accipiet? Et hos quidem hunc, alios illum, alios verò alium ex præſtantioribus eo tempore hominibus reſpondiſſe. Deinde autem poſt omnium ſubieciſſe probationem. Iſti quidem ſancti, ac miniſtri Dei ſunt: ſed hoc volumen in manus accipere nequeunt. Cúmque iam varias ex tunc viuentibus nominaſſent,

Viſio Ephræm adhuc pueri.

Alia viſio.

A neque quiſquam ex iis placuiſſet, demùm communi omnium conſenſu in in eam pariter conuenerũt ſententiam, vt dicerent, à nullo alio iſtud volumen in manus poſſe ſumi, præterquam ab Ephræm Syro. Túncque cœleſtes Angelos idem conſpexiſſe fertur, Ephræm volumen tradere; noctúque ſurgens ad Eccleſiam, viſum illud conſpiciens, perrexiſſe. Auditóque ipſo Ephræm, qui tunc inſignem gratiaque plenam habebat orationem, quid viſum illud deſignaret, cognouiſſe, Deúmque collaudaſſe, & tam præclarum dicendi donum viro ſancto datum admiratum

B fuiſſe. Tantam enim ſapientiæ abundantiam largitus illi Deus fuerat, vt quantumuis ei perpetui quaſi verborum fontes ſuppeterent, rebus tamen explicandis pares nequaquam eſſent. Illúdq; non tam linguæ tarditate, quàm cogitationis celeritate accidebat: lingua enim cogitandi aliorum vim exæquabat, attamen tardior erat, quàm vt ipſius ſententias adſequi poſſet. Vnde magnus ſenex, ſingulare quoddã à Deo eloquendi donum efflagitabat, hiſce verbis: Largire, Domine, flumina gratiæ tuæ: Siquidem doctrinæ profunditas, linguam ipſius abſorbebat, vt ſenſa animi efferre nequiret, cùm muneri concionandi inſtrumenta ad diſertè dicendum opportuna deficerent.

C Conciones porrò ipſius, aliud nihil niſi precatio interpellebat: precationémque iterum cõciones, has lacrymæ, lacrymas rurſum preces excipiebant: eratque ſermo ſermonis: aut, vt magis propriè dicam, in ſermone, aſſiduè in diuinarum rerum contemplatione occupatus. Nam ipſum quidem corpus ita confecerat, vt rationi quaſi dominæ obtemperans, non magis, quàm ſi emor-

D tuum eſſet, voluptatis vllum ſenſum haberet. Cúmque ad ea, quæ non decent, obeunda, inedia atque abſtinentia priùs domitum, immobile langueſceret, illis tamen quæ animarum conferunt ſaluti, perficiendis robore præſtabat. Quid? quòd ne noctes quidem, ſomniorum ſimulachris atque imaginibus ſæpè decipientes, ei virtutis ac pietatis curſum in vllo interrumpebant? nam quem aggrediẽtes exceperãt ſobriũ, eundẽ recedentes vigilantẽ relinquebant, illúdq; ſedulò curantem, ne manus principis iſtius tenebrarũ ipſum ſomno oppreſſum de-

A ἐν αὐτοῖς οὐκ εὐδόκησαν. τέλος, συμφωνήσαντες εἶπον, οὐδεὶς δύναται τοῦτον ἐγχειρισθῆναι τὸν τόμον, εἰ μὴ Ἐφραίμ. καὶ δὴ τοῦτο θεάσασθαι ὁ βλέπων ἐκεῖνος λέγεται, τοὺς θείους ἀγγέλους ἐπιδιδόντας τὸν τόμον τῷ Ἐφραίμ· ἀναστάντα ἐν νυχαλίᾳ εἰς ἐκκλησίαν ἀφικέσθαι τὸν μυσταγωγηθέντα τὴν ὅρασιν, ἀκοῦσαι διδάσκοντος τοῦ Ἐφραίμ ἐν λόγῳ δαψιλεῖ καὶ χάριτι ἠρτυμένῳ. τὴν δὲ ὁραθεῖσαν ὀπτασίαν ἐκεῖνον ἐπικρίνοντα, δοξάσαι τε τὸν Θεόν, καὶ τὴν δοθεῖσαν τῷ ἁγίῳ ἐκπλαγῆναι πλουσίαν τοῦ λόγου δωρεάν. τοσοῦτον γὰρ τὸ περιὸν αὐτῷ τῆς σο-

B φίας κεχάριστο, ὡς ἀενάους μὲν εἶναι πηγὰς τῶν λόγων ὀχετούς· βραδεῖς δὲ πρὸς τὴν τῶν νοημάτων φανέρωσιν, οὐ τῇ τῆς γλώττης ναρκότητι, ἀλλὰ τῇ τῶν ἐνθυμημάτων πυκνότητι· ὥστε τὴν γλῶσσαν ἴσον μὲν δύνασθαι τῷ τάχει τῶν παρ' ἄλλοις ἐνθυμημάτων, ἧττον δὲ τῶν οἰκείων θεωρημάτων. διὸ καὶ αὐτὸς περὶ ἑαυτοῦ ὁ μέγας πρεσβύτης Θεὸν ἐξαιτούμενος, ἐπὶ τῇ ἐποχῇ τῆς ἀκατασχέτου τῶν λογάδων δωρεᾶς τοιαῦτα λέγεται φάναι· ἄνες ὦ δέσποτα, τὰ τῆς χάριτός σου κύματα· ὑπὸ γὰρ τὴν γλῶσσαν ἡ τῆς διδασκαλίας ἄβυσσος πελα-

C γίζουσα φέρει αὐτῷ τὰ τῶν νοημάτων οὐκ ἐπίπεπεν· ἀλλ' ἐπάλληλα κύματα τῇ κατεσπουδασμένῃ λειτουργίᾳ τῶν πρὸς τὸ λέγειν ὀργάνων οὐχ ὑπουργούντων.

Ἐπέκοπτε δὲ τοὺς λόγους ἕτερον μὲν οὐδέν, εὐχὴ δὲ μόνη, καὶ ταύτην οἱ λόγοι, καὶ τούτοις τὰ δάκρυα, καὶ ταῦτα πάλιν εὐχή. καὶ ἦν ὁ λόγος τοῦ λόγου· εἰπεῖν δὲ μᾶλλον οἰκειότερον, ἐν λόγῳ, ταῖς περὶ Θεοῦ διὰ πάντων τούτων θεωρίαις συνεχῶς ἀσχολούμενος. τὸ

D γὰρ σῶμα νεκρώσας μετὰ τῶν ἡδονῶν, καὶ δοῦλον δι' ἐγκρατείας τῷ ἡγεμόνι κατεργασάμενος λογισμῷ· ἀκίνητον μὲν εἶχε πρὸς τὰ μὴ δέοντα ἀσιτίᾳ προδαμασθέν· στερρὸν δὲ πρὸς τὰ λυσιτελῆ καὶ ψυχικὴν σωτηρίαν προΐζοντα. ἀλλ' οὐδὲ νύκτες αὐτῷ τὸν τῆς ἀρετῆς δρόμον ἐνέκοπτον, ταῖς ἐξ ὕπνου φαντασίαις αὐτὸν φαινακίζουσαι. νήφοντα γὰρ ἐξ ἡμερῶν δεχόμεναι, γρηγοροῦντα κατελίμπανον ὑπερέχουσαι, τοῦτο πραγματευόμενον, ἵνα μὴ καταλάβῃ τοῦτον ἡ χεὶρ τοῦ ἄρχοντος τοῦ σκότους τούτου κα-

θεύδοντα. ὕπνου δὲ μετελάμβανε τοσοῦτον, ὅσον A πρὸς τὸ ζῆν ἱκανόν. ὅπως μὴ τῆς φυσικῆς παντελῶς ἀκολουθίας ἀνατραπείσης, λύσιν βίαιον ὑπομείνῃ τὸ σαρκίον. ἀνέτρεπε δὲ τοῦτον, καὶ τῶν ὀφθαλμῶν ἐξεδίωκε πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ χαμευνία καὶ σκληραγωγία, καὶ ἡ παντοία τοῦ σώματος κάκωσις. τούτοις γὰρ μάλιστα τὸ τοῦ ὕπνου πάθος ἐξορίζεσθαι πέφυκεν. ἀκτημοσύνην δὲ τοσαύτην ἐκτήσατο, ὅσην ἔχειν τοὺς θείους ἀποστόλους ἀκούεις. διὸ καὶ εἴ τις τοῦτον ἀκτημονούντων ἀρχέτυπον καλέσει, οὐχ ἁμαρτήσει τοῦ δέοντος. αὐτοῦ γὰρ ἐκείνου τὴν γλυ- B κυτάτην καὶ μακαρίαν ἔχομεν φωνήν, ἥνπερ μέλλων ἀπαίρειν πρὸς τὰ οὐράνια, ἡμῖν ἀφῆκεν ἀκτημοσύνης διδάσκαλον, ὧδέ πως ἔχουσαν· οὐχ ὑπῆρξε τῷ Ἐφραὶμ ποτὲ βαλάντιον, οὐ ῥάβδος, οὐ πήρα. οὔτε μὴν ἀργύριον, οὔτε χρυσίον, ἀλλ᾽ οὐδὲ τινα κτῆσιν ἑτέραν ἐπὶ τῆς γῆς ἐκτησάμην. τοῦ γὰρ ἀγαθοῦ βασιλέως ἤκουσα ἐν τοῖς εὐαγγελίοις φήσαντος τοῖς ἑαυτοῦ μαθηταῖς· μηδὲν ἐπὶ τῆς γῆς κτήσασθαι. ὅθεν οὐδὲ ἐμπαθῶς ἔσχον πρός τι τοιοῦτον. οὕτως οὖν δόξης τε καὶ χρημάτων ὀλιγωρῶν, πάντως δὲ μᾶλλον τοῦ ἀμείνονος ἐραστής, ἐξ ἴσου κἀντεῦθεν C τοῖς ἀποστόλοις ἁμιλλώμενος δρόμῳ.

Τί δὲ περὶ ταπεινοφροσύνης αὐτοῦ προσμαρτυρήσωμεν· ὅπου γε διαρρήδην ἅπας αὐτοῦ λόγος καὶ σύγγραμμα ταύτην ἔχει τὴν ἀρετὴν κορυφουμένην, καίπερ αὐτοῦ διωκομένην ἐκ πολλοῦ τοῦ περιόντος; πότε γὰρ ὁ δάκρυα προσκαλούμενος δάκρυσι, σποδόν τε ὡσεὶ ἄρτον ἐσθίων, ὁ τραχὺ τῆς διαίτης, καὶ ἀνήδυνον, καὶ τὸ πόμα κιρνῶν μετὰ κλαυθμοῦ, ἤ φησι τὰ λόγια, πρὸς ἐπάρσεως ἢ οἰήσεως λίθον τὸν ψυχικὸν πόδα προσεκρούσατο; ἢ ὁ τὴν ἀνθρωπίνην ἅπασαν ἀποστρεφόμενος δόξαν, καὶ περιὼν μὲν D ἔτι κατὰ τὸν βίον, τινὸς ἐπαινοῦντος, ἀσχάλλων, καὶ ἄλλοτε ἄλλην ἀλλάττων χροιάν, κύπτων τε εἰς γῆν, καὶ στάζων ἱδρῶτι λεπτῷ, καὶ δεινῇ κρατούμενος ἀφωνίᾳ, ὥσπερ τῆς αἰσχύνης αὐτοῦ τὴν γλῶσσαν ἀπεχούσης.

Ἀπαίρων δὲ πρὸς τὴν μακαρίαν καὶ ἄληκτον ζωήν, αὐτὸ τοῦτο πάλιν μετὰ σφοδρᾶς ἀπείργων ἐπιτιμήσεως, καὶ λέγων· μὴ ᾄσητε ᾆσμα ἐπὶ Ἐφραίμ· μὴ ἐγκωμιάση-

prehenderet. Tantum verò temporis quieti tribuebat, quantum vitæ degendæ neceſſarium ducebat: ne naturali penitus ſublata viciſſitudine, caro violentam diſſolutionem ſuſtineret. Cùm autem varia eſſent quæ ab oculis eius ſomnum depellebant, tum illud inprimis, quòd aſperam ac durã vitam agens, multiſq; modis corpus ſuum affligens, humi etiam cubaret. nam hiſce potiſſimùm rationibus, ſomni affectio excuti ſolet. Paupertatem porrò tantam ſeruabat, quantam vel ſanctis ipſis audis fuiſſe Apoſtolis. Quapropter ſi quis eum paupertatem colentium exemplar appellârit, haudquaquam à veritate aberrarit. Dulciſſimam ſanè prorſúſque beatam illam nobis vocem, velut paupertatis magiſtram, hinc in cœlum emi- *Matth.10. & Luc.9.* graturus, reliquit, qua aiebat: Nec crumena, nec baculus, nec pera Ephræm vnquã fuit. Nunquã aurum, aut argentum, aut vllam rem aliâ in terra poſſedi. nam bonum Regem ad ſuos dicentem diſcipulos audiui in Euangelio: nihil in terra poſſideritis. quamobrem nulla me rerum eiuſmodi cepit cupiditas. Gloriæ igitur, & pecuniæ contemptor cùm eſſet, ac præſtantiora amaret; ad ipſos Apoſtolos in eo ſuo curſu quàm proximè accedere nitebatur.

Quid verò animi ipſius ſubmiſſionem cõmemorem atque humilitatem; cùm ea ipſa virtus paſſim in cunctis eius ſermonibus ac ſcriptis ſeſe ſingulariter ab eo fuiſſe excultam quodammodò clamitet? Quando enim vnquam ad arro- *Pſal.101.* gantiæ, elationíſque lapidem pes eius offendit, qui lacrymas lacrymis prouocabat, ac cinerem tãquã panem manducabat, & aſpera atque inamœna vita (vt ſacra illa perſonant verba) poculum cum fletu miſcebat? Quíque ab omni vana, atque mundana abhorrens gloria, cùm in hac adhuc peregrinaretur vita, ſi à quoquam ſe laudari animaduertebat, ægro animo ferens, aliúmque aliâs colorem capiens, atque oculos in terram demittẽs, tenui ac ſubtili madebat ſudore, altóque ſilentio tanquam verecundia linguam præpediente, corripiebatur.

Iam autem hinc ad beatam cœleſtémque illam emigraturus vitã, graui quodam interdicto illud ipſum vetans, dicebat: Nulla Ephræm cecineritis carmina; nullámque laudationem adhi-

bueritis. Ne me cum pretioſo ſepeliueritis veſtimento; néve priuatim corpori meo cõſtitueritis tumulum: mihi enim
Pſal. 38. cum Deo conuenit, vt inter peregrinos commorer. Aduena quippe ſum ego, & peregrinus, ſicut omnes patres mei. Sicut ergo aliarum virtutum, ita huius etiam eximia atque præclara habes indicia. Eorum enim quæ ad eleemoſynam, & commiſerationis affectum pertinent, hunc non effectorem duntaxat, ſed & doctorem exſtitiſſe, veritatis præſcriptio, léxque ipſa confirmat. Nam cùm ex perfecta, quam amplexus fuerat paupertate, reliquũ nihil haberet, quod egenis impertiretur; frequentibus tamen cohortationibus alios ad miſericordiæ opera commouendo, eleemoſynas erogabat. Erat quippe ipſius oratio, licet vultus non conſpiceretur, tanquam diuinitus fabrefacta quędam clauis, diuitum theſauros recludens, & indigentibus neceſſaria ſuppeditans: aſpectúſque eius Angelicus ſufficiens erat, qui per ſe abſq; vlla oratione intuentes etiam agreſtes & inhumanos ad cõmiſerationem permoueret. tanta in eo conſpiciebatur tum ſimplicitas, tum manſuetudo, tum probitas. nullúſq; adeò reperiebatur impudens, qui non ipſum inſpiciens, rubore quodam perfunderetur atque verecundia, ac ſeipſo melior non redderetur, atque modeſtior.

Et quamuis ita multa in hoc viro perfecta exſtiterint, ne quis ob id exiſtimet abſolutam ei rerum Eccleſiaſticarũ defuiſſe cognitionem. Quid enim otij ſuppeteret ipſi, diceret talis aliquis, vt ad tot virtutum ſtudia diuideretur? Sanè quidem non leuiter rerum diuinarũ cognitione erat imbutus. Neque enim eatenus duntaxat illam attigit, vt dicendo alios erudire poſſet; ſed tam pietatis atque religionis inſtituta, quàm ea, quæ illis repugnant, omninò adſecutus eſt: illa quidem ad inſtruendum populum, hæc ad coarguendos hæreticos. Bono quippe zelo in illas pietatis inimicas beſtias ferebatur. Siquidem ſermone quodam, qui fama etiam potius quàm ſcriptis ad nos deuenit, vnde ipſum veritatis ſtudioſiſſimum exſtitiſſe, facilè intelligi poterat; Apolinarium leuem, imò demẽtem atque inſanum nuncupabat, qui res nouas moliens, multa impia, Scripturæque ſacræ aduerſantia duobus comprehenſa libris, è ſuo eructans

A τε· μή με πολυτελεῖ ἐνθάψητε ἱματισμῷ· μὴ ἰδίᾳ τῷ σώματί μου τάφον ἐργάσησθε· λόγον γὰρ ἔχω μετὰ Θεοῦ, αὐλισθῆναί με σὺν τοῖς ξένοις. ξένος ἐγὼ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. ἔχεις τοιγαροῦν ἐκ περιουσίας καὶ ταύτης τῆς ἀρετῆς, καθὰ δὴ καὶ τῶν λοιπῶν, ἐναργῆ τὰ τεκμήρια. τῆς ἐλεημοσύνης δὲ καὶ συμπαθείας οὐ ποιητὴν μόνον, ἀλλὰ καὶ διδάσκαλον τοῦτον ἐπιψηφίζεται ὁ τῆς ἀληθείας ὅρος καὶ νόμος. τῇ γὰρ τελείᾳ ἀκτημοσύνῃ, ὃ παρέχειν τοῖς δεομένοις οὐκ ἔχων, ἐν τῷ τοὺς ἄλλους διεγείρειν πρὸς ἔλεον πυκναῖς παραινέσεσι, τὴν ἐλεημοσύνην μετήρχετο. ἦν γὰρ
B ὡς ἀληθῶς ὁ τούτου λόγος, καὶ δίχα τῆς ὄψεως, κλεὶς θεοχάλκευτος, τοὺς τῶν πλουσίων θησαυροὺς διανοίγων, καὶ τοῖς μετρίοις τὰ δέοντα χορηγῶν· ἡ δὲ ἀγγελοειδὴς θεωρία ἤρκει καὶ μόνη βλεπομένη πρὸς συμπάθειαν καὶ οἰκτιρμοὺς, καὶ τοὺς ἄγαν ἀμειλίκτους κινῆσαι, ἁπλότητι, καὶ ἐπιεικείᾳ, καὶ πολλῇ κεκερασμένη καλοκἀγαθίᾳ. καὶ τίς οὕτως ἦν ἀναιδείᾳ προσκείμενος, ὃς προσβλέψας αὐτὸν, οὐκ ἠρυθρία, καί πως αὐτὸς ἑαυτοῦ κοσμιώτερος ἐγεγόνει;

C

Τάχα τοίνυν τοσούτων τις πλῆθος ἀκούσας κατορθωμάτων, δόξει ὡς οὐκ ἐν βάθει τῶν ἐκκλησιαστικῶν ἐχώρησε δογμάτων ὁ θεῖος οὗτος ἀνήρ. ποίαν γὰρ εἶχε σχολὴν, φαίη ἂν ὁ τοιοῦτος, τοσαύταις μεριζόμενος ἀρεταῖς; τῷ δὲ οὐκ ἐπεπόλαζε τῶν θείων δογμάτων ἡ γνῶσις· οὐ γὰρ ὅσον εἰπεῖν καὶ παραινέσαι τοῖς ἄλλοις, ταύτην μετῄει· ἀλλ' ἄμφω καλῶς ἐπαιδεύθη, τά τε δόγματα τῆς ἐκκλησίας αὐ-
D τὰ, τά τε τούτοις ἀντιλέγειν ἐπιχειροῦντα. τὰ μὲν, ὅσον ἐπιτηδεῦσαι μαθών· τὰ δὲ πρὸς ἔλεγχον τῶν αἱρετικῶν. ζῆλος γὰρ αὐτὸν κατὰ τῶν τῆς ἐκκλησίας ἐκίνει θηρῶν· ὅθεν καὶ εἰς ἡμᾶς ἔφθασέ τις ἄγραφος λόγος, τὸν πρὸς τῇ ἀληθείᾳ τούτου ζῆλον ἡμῖν ὑποδεικνὺς, ἔχων οὕτως, ὡς ὁ κουφόνους, μᾶλλον δὲ ἄνους καὶ ἄλογος Ἀπολινάριος, πολλὰ καινοτομήσας καὶ ἀπὸ κοιλίας ἐρευξάμενος, ἄδικον κατὰ τῆς εὐσεβείας γραφὴν ἐσχεδίασεν, ἐν δυσὶ βιβλίοις ταύτην συντάξας.

ἐνεχείρισε δὲ ταύτας πρὸς φυλακὴν καὶ τινὶ, τῇ ταῖς ἐκείνου ἡδοναῖς, ὡς ἐφημίσθη, περιπλυσῃ. ὡς δὲ τῷ μεγάλῳ τὰ τῆς συγγραφῆς ἐγνωρίσθη, τῆς ἐκείνου δόξης σχῆμα πλασάμενος ὁ σοφὸς, προσέρχεται τῇ γυναικὶ τῇ ταῖς βίβλους φυλαττούσῃ ταῖς βεβήλους, ἀναγνωριζόμενος, καὶ εὐλογίας αὐτῇ ὡς ἀπὸ τῆς ἐρήμου κομίζων· τάχα δὲ καὶ ἕτερα τινὰ τεχναζόμενος· ὕστερον οὕτω ἱκετεύει δοθῆναι αὐτῷ χάριν ὠφελείας ὡς ἔλεγε τὰ τοῦ διδασκάλου συγγράμματα, ὡς ἂν τοῖς αἱρετικοῖς, ἡμᾶς οὕτως δῆθεν ἀποκαλῶν, ἀντιφέρεσθαι εὐπετῶς ἔχοι. ἡ δὲ τὸν νοῦν οὐκ ἐμφωραθεῖσα, καὶ τῆς τοῦ Ἀπολιναρίου συμμορίας ὡς τοῦτον εἶναι φενακισθεῖσα, ταῖς βίβλους παρέσχετο, ταχεῖαν ἀξιώσασα τὴν τούτων γενέσθαι ἀποστροφήν. ὁ δὲ μέγας ἐκεῖνος Ἰακὼβ, τὸν βέβηλον πτερνίσας Ἠσαῦ, καὶ τὰ πονηρὰ πρωτότοκα τὴν τούτου νομισθέντα λαβὼν, σοφῶς ὑπεξῆλθε· φύλλον γὰρ φύλλῳ προσπλέξας, ἰχθύος τε κόλλῃ τὸ πᾶν καταχρίσας, ὡς ἓν πυκτίον τὸ πᾶν τῆς βίβλου κατειργάσατο, θάτερον μέρος θατέρου διασπασθῆναι ὑπὸ τοῦ σφοδροῦ συνδέσμου μὴ συγχωρούμενον. οὕτως ταῖς δυσὶ τεχνασάμενος βίβλοις, τῇ χρησάσῃ πάλιν ἀνταπέδωκεν, ἣ οἷα γυνὴ, καὶ τῶν σοφῶν ἄπειρος νοημάτων, τὴν πρόσοψιν τούτων σῶαν θεασαμένη, περὶ τοῦ βάθους οὐκ ἠκριβολόγησεν.

Ἡμερῶν δὲ οὐ πολλῶν συχνῶν διελθουσῶν, τισὶ τῶν ὀρθοδόξων ὑποτίθησιν ὁ θεῖος πρεσβύτης, τὸν ἀσεβῆ καλέσαι Ἀπολινάριον διαλεξόμενον. ὁ δὲ τὴν πρόσκλησιν δεξάμενος, καὶ ταῖς ἀθέοις αὐτοῦ βίβλοις θαῤῥῶν, εἰς τὴν κυρίαν ἀπήντησε. καὶ διαλέξασθαι μὲν αὐτὸς ὡς γήρᾳ τρυχωθεὶς, ἀπηνήνατο· ταῖς οἰκείας βίβλους προκομισθῆναι, καὶ δι' αὐτῶν ἀποκρίνασθαι καὶ ἀντιλέγειν ἠξίου. ὡς οὖν οἱ τούτου συμμύσται ταῖς βίβλους ἐκόμισαν, μεγάλως ἐπ' αὐταῖς βρενθυόμενοι· λαβὼν ἐκεῖνος ὁ παλαιωμένος κακῶν ἡμερῶν τῆς ἀδικίας κριτὴς, τὴν μίαν βίβλων ἀναπτύξαι ἐπεχείρει. ὡς δὲ οὐκ ἐνεδίδου τῇ κόλλῃ πιεσθεῖσα, περὶ τὸ μέσον ταύτης τὴν ὁρμὴν ἐποιεῖτο· ἡ δὲ ὁμοίως ἦν ἀνεπτυγμένη. ὡς γοῦν τῆς προτέρης ἠστόχησεν, ἐπὶ τὴν δευτέραν λοιπὸν ἐχώρησε, καὶ δὴ καὶ αὐτὴν ὅλην ἀδιαίρετον καὶ παντελῶς ἀνύπεικτον κατιδὼν, τῇ μὲν αἰσχύνῃ τὸ πρόσωπον ἠλλοιώθη· τῇ ἀπορίᾳ δὲ,

A ventre, admodum inſulsè ac temerè proloqueretur. Illos verò libros, cuidam, quam in delitiis habuiſſe ferebatur, fœminæ adſeruandos commiſerat. Quæ cùm Magno innotuiſſet Ephræm, ipſe eiuſdem ſe opinionis eſſe cōfingens, fœminā, quę libros iſtos profanos cuſtodiebat, adiit: & de ſe, quis ſit, & quā fauſta ei ex eremo adferat, patefecit: nonnullaque fortè id genus alia adijciens, tandem rogat, vt præceptoris ſibi ſcripta publicæ vtilitatis cauſſa exhibeat, vt nobis ſcilicet, quos tunc hæreticos vocabat, repugnare commodius poſſet. B Quibus capta verbis fœmina, eúmque ex illis vnū, qui Apolinarij ſuſtinerent partes, reputans, libros præbuit, eos tamen ſibi celeriter reſtitui deprecans. Cæterùm magnus hic Iacob, dementem ſupplantans Eſau, ac flagitioſa illa primogenita rapiens, prudenter oppreſſit: nam piſcis glutino omnes illinens, ita folium folio connexuit, vt cùm pars vna ab altera ob firmam coniũctionem planè ſeiungi nequiret, in vnam quaſi tabulam ſinguli libri apparerēt redacti. Sicque eos mulieri, à qua commodato C acceperat, reddidit. quæ quidem artificij eiuſmodi, vti mulier, ignara, cùm formam eorumdem exteriorem ſaluam cerneret, quid intrinſecus eſſet, diligentius inſpicere neglexit.

Gen.25.27 & Hebr. 11.12.

Not.

Dies verò haud ita multi elapſi erant, cùm orthodoxis quibuſdam defert ſanctus ſenex, vt Apolinarium accirent, & cum eo ſermones conferrent. In iudicium itaque vocatus, impiis illis libris fretus, ad ſtatum diem venit. ac dicere quidem pro ſe, quòd graui iam premeretur ſenio, renuit: poſtulauitque ideo ſibi proferri libros, vt ex illis reſpō- D dere poſſet, atque contradicere. Cùm ergo iſtius delatoris, ſocij frementes in medium libros produxiſſent, inueteratus ille dierum malorum iniuſtitiæ iudex, vnum ex iis in manus ſumens, aperire atq; explicare nitebatur. Sed quòd glutino vnctus non cederet, ad partem eius mediam aperiendam eſt aggreſſus; eámque ipſam eodem conglutinatam modo inuenit. Quare ſua illa, ex priore libro fruſtratus ſpe, ad alterum ſe contulit, quem quidem totum ita firmiter connexum cernens, vt prorſus explicari nequiret; tanto rubore atque pudore ſuffuſus eſt, animóque vſqueadeò per-

Alluſio ad Daniel.13.

turbatus, vt ex eo conſeſſu abiens, quaſi mentis atque conſilij inops, & exanimatus, in morbum prolapſus ſit, illámque ignominiæ notam ita ægrè ac moleſtè tulit, vt parum admodum abfuerit, quin tum mortem obiret.

Talis autem pietatis zelo exiſtit magnus noſter Pater & Doctor S. Ephræm. nam aliâs manſuetum ſe præbens ac mitem, cùm nulla decertandi neceſſitas vrgeret: aliâs acerbum ac grauem, cùm fidei periculum immineret, cuncta prudẽter pro tẽporis ratione moderabatur. Et ex hoc quidẽ erga Deũ zelo, nõ minus quàm ob multa ieiunia, ac lacrymas, continuáſque preces commendandus eſt: atque haud ſcio, an propterea etiam magis, quòd iſta in eo vno cõcluderentur, ille ad vtilitatem quoque communem pertinebat. Quemadmodum enim verum inſignis alicuius venatoris ſpecimen exhibetur, cùm bellicoſas inſequitur feras: boníque gubernatoris virtus ſe prodit in tempeſtate aduerſa: medici prudentis in grauioribus morbis; militis ſtrenui in ipſo pugnæ diſcrimine: ita quoque pietatis ac religionis ſtudioſum virum, magna ac difficilia pericula oſtendunt, cùm & ſe, & alios ex inſidiis periculíſque eximit. Nullum ſanè virtutis genus à veteribus excultum eſt, in quo hic etiam non excelluerit. Quare & animum ipſius, vtilitate, dulcedine, iucunditate ſcaturientem, fonti quacumque aquarum abundantia fluenti ſimilem dicere poſſumus, vel prato diuerſis fragrantibus floribus reſplẽdenti, vel cœlo variis ſtellarum luminibus diſtincto, vel paradiſo, quẽ in Edem fuiſſe audis, innumerabili fructiferarum arborum copia decorato: (ita tamen vt ſerpenti maligno, communíſque exilij auctori, nullus omnino in eum aditus detur:) aut ſi quid aliud venuſtũ, amœnúmque multis variíſque bonis cohoneſtauit natura; talem quoque beatum illum magni Ephræm animum, plurimis vndique virtutum generibus exornatum puta. Nam ſemper vir ille admiratione dignus, in eam incubuit curam, vt perfectum abſolutúmque cuiuſuis generis virtutum chorum poſſideret, ac quibus reliqui ſingulis antecelluerunt, ea cuncta ſolus ipſe adſequeretur.

Gen. 2. 3. (margin)

Gen. 4. & Heb. 11. (margin)

Siquidem vt ſacerdos, eum qui inter iuſtos primus recenſetur, Abel imita-

A τὴν ψυχὴν ἐξεπλάγη, καὶ τοῦ συνεδρίου χωρισθεὶς ὁ παραπλὴξ ἀθυμίᾳ τε νόσῳ, καὶ τέλος θανάτῳ προσήγγισε, τὴν ὕβριν οὐκ ἐνεγκών.

Τοιοῦτος ἦν τε πρὸς τὸν τῆς εὐσεβείας ζῆλον ὁ μέγας πατὴρ ἡμῶν καὶ διδάσκαλος Ἐφραίμ. ἐν ἄλλοις μὲν τὸ πρᾶον καὶ ἐπιεικὲς ἐνδεικνύμενος, ὅτε μὴ χρεία πολέμου· ἐν ἄλλοις δὲ τὸ στύφον καὶ αὐστηρὸν, ὅτε μάλιστα περὶ τὴν πίστιν ὁ κίνδυνος, πάντα σοφῶς μετερχόμενος, καὶ ὡς ὁ καιρὸς ἐδεῖτο. καὶ γὰρ καὶ

B τοῦτο τῶν πολλῶν αὐτοῦ νηστειῶν καὶ δακρύων, τε ἀκαταπαύστων οὐκ ἔλαττον προσευχῶν, ὁ κατὰ Θεὸν λέγω ζῆλος· μᾶλλον δὲ, καὶ ὑπὲρ ἐκεῖνα· ὅσον αὐτὰ μὲν εἰς μόνον τὸν δράσαντα περιορίζει τὴν ὄνησιν· ἐκεῖνο δὲ πρὸς κοινὴν διαβαίνει ὠφέλειαν. ἐπεὶ καὶ τὸν καλὸν θηρευτὴν ὁ ἀληθὴς λόγος πρὸς τὰ μάχιμα δοκιμάζει θηρία, καὶ τὸν ἀγαθὸν κυβερνήτην πρὸς ἀντιπνέοντας τῷ πλοίῳ ἀνέμους, καὶ τὸν σοφὸν ἰατρὸν πρὸς τὰ δυσίατα πάθη, καὶ τὸν γεν-

C ναῖον στρατιώτην πρὸς ἀντικειμένην βαρβάρων παράταξιν, καὶ τὸν σπουδαῖον καὶ ζηλωτὴν εὐσεβείας, ἐν ἀκμῇ κινδύνων καὶ δυσκολίας, ὅπως ἑαυτόν τε καὶ τοὺς ἄλλους ἐκσπάσει ἐκ τῆς ἐπιβουλῆς. οὐκ ἔστιν οὖν εἶδος εὑρεῖν ἀρετῶν παρά τισι πάλαι φιλοπονηθὲν, ὃ μὴ καὶ ἐν τούτῳ κατορθωθέν. εἰκάσαι δὲ τὴν αὐτοῦ ψυχὴν ἔστι πηγὴν παντοίοις βρύουσαν νάμασιν, ὠφελείᾳ καὶ γλυκύτητι καὶ τέρψει καθωραϊσμένοις· ἢ λειμῶνα κυπρίζοντα ποικίλλοις ἀρωματίζουσιν ἄνθεσιν· ἢ οὐρανὸν ἐπίγειον διαφόροις λαμ-

D πῆρσι πεποικιλμένον, ἢ παράδεισον· οἷα ἀκούεις τὸν τῆς Ἐδὲμ ἀπείροις εὐκάρποις ἀγλαϊζόμενον δένδροις· πλὴν μὴ βατὸν ὄφει πονηροτάτῳ, καὶ τῆς ἐξορίας προξένῳ· ἢ εἴ ἄλλο τι τῶν καλῶν καὶ τερπνῶν πολλοῖς καὶ διαφόροις ἀγαθοῖς ἡ φύσις τετίμηκε· τοιαύτην εἶναι λογίζου τὴν τοῦ μεγάλου Ἐφραὶμ μακαρίαν ψυχὴν, πολλαῖς ἀρετῶν ἰδέαις πάντοθεν κυκλουμένην. μεγίστην γὰρ ὁ θαυμάσιος διὰ βίου παντὸς θέμενος, τοῦ ὁλικὴν κτήσασθαι ἀρετὴν, τὰ πάντα ἐσπούδασε μόνος περιλαβεῖν προτερήματα.

Τοῦ γὰρ ἐν δικαίοις πρώτου Ἄβελ τὴν θεόλεκτον ὡς ἱερεὺς ἐκμιμησάμενος προσφο-

ρῶν· οὐκ ἐκ ποιμνίων θύματα, οὐδὲ στέαρ χυείῳ προσενήνοχεν, ἀλλὰ θυσίαν ἀναίμακτον, τὴν λογικὴν λατρείαν, βίου καθαρότητι ὁλοκαυτουμένην, τοσοῦτον ἐκείνῳ ἁμιλληθεὶς, ὅσον μὴ ὑπὸ τοῦ πονηροῦ φονέως ἀναιρεθῆναι, ἀλλὰ διαδράντα τὰς παγίδας τοῦ μισανθρώπου δαίμονος ἐκφυγεῖν, καὶ πρὸς ἀτελεύτητον, ὡς ἐκεῖνος μεταστῆναι ζωὴν, τῆς ἐπιβουλῆς φανέντα ἀνώτερον. τοῦ δὲ Ἐνὼχ τὴν ἐλπίδα ζηλώσας, οὐκ ἐπικέκληται μόνον τὸ ὄνομα κυρίου τοῦ Θεοῦ, ἀλλὰ καὶ τοῖς ἄλλοις συνεπικαλεῖσθαι ἐδίδαξεν. Ἐνώχ, οὐ τὴν ξένην ἐκ γῆς πρὸς τὸν παράδεισον μετάθεσιν ἐπιτηδεύσας, ἀλλὰ τὴν ἐξ ὑλικῆς περιπαθείας ἐπὶ τὸ πνεῦμα μετάβασιν. Νῶε, οὐ τὴν ἐν ξυλίνῃ λάρνακι μικρὰν τοῦ γένους διάσωσιν, ἀλλὰ τὴν ἑαυτοῦ ψυχὴν πανταχόθεν ἀσφαλίσασθαι, ὥστε παρελθεῖν ἀβλαβῶς τὸν τοῦ βίου κλυδώνιον, καὶ τὰ τῆς ἀρετῆς μὴ ζημιωθῆναι ἀγώγιμα. τοῦ Ἀβραὰμ ἐν πολλοῖς μὲν καὶ ἄλλοις γέγονε μιμητὴς, τῇ πίστει καὶ πρᾳότητι, καὶ τῇ εἰς Θεὸν ἀγάπῃ, μάλιστα δὲ τῇ τοῦ κόσμου φυγῇ, ὡς τῆς οἰκείας γῆς, καὶ τῆς συγγενείας ἐκεῖνος ἠμείβετο φίλον, καὶ τὴν τοῦ μονογενοῦς θυσίαν εἰς τὴν τοῦ σώματος ἐκείνου προαιρετικὴν διὰ Θεὸν ἐκλαβέσθαι προσφορὰν, νεκρώσαντι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. τοῦ Ἰσαὰκ, ἐν τῷ ἑκουσίῳ καὶ ἀταράχῳ θανάτῳ, πλὴν οὐχ ὑπὸ πατρὸς ἐκθύος. ἐκεῖνος γὰρ ἱερουργῶν ἑαυτὸν ἑκάστοτε ἀποστολικῶς, σώματι μὲν ὁλοκαρποῦτο, ὅσον εἰς πρόθεσιν, πνεύματι δὲ ἔζη, καὶ ζῇ τῷ Θεῷ διὰ τὴν ὡς ἐν κριῷ τοῦ σώματος ἁγνὴν προσφοράν. τὸν Ἰακὼβ, ἐν τῷ πτερνίσαι τὸν βέβηλον Ἡσαῦ, ἤγουν τὸν τῶν αἱρέσεων γεννήτορα, καὶ λαβεῖν τὰ πρωτότοκα, τὰ ὀρθὰ τῆς ἐκκλησίας δόγματα, καὶ ἐν τῷ κατιδεῖν οὐ κλίμακα μὲν ἀπὸ γῆς εἰς οὐρανὸν ἐστηριγμένην, στῦλον δὲ πυρὸς οὐρανομήκη, γλαφυρώτερόν πως μυστηρίου βάθος ἐμφαίνοντα. ἔτι γε μὴν καὶ ἐν τῷ τοῖς μαθηταῖς ὡς τοῖς υἱέσιν ἐκθύος ἐν τῷ μέλλοντι ἀπαίρειν τοῦ σώματος, διανεῖμαι τὰς εὐλογίας· ἃς τίς φιλοπόνως εἰσκύψας, αὐτοῦ ἐκείνου τοῦ μεγάλου Ἰακὼβ ταύτας εἶναι αἰσθήσεται. τοῦ Ἰωσὴφ, μάλιστα μὲν ἐν τῇ τοῦ σώματος ἁγνείᾳ καὶ καθαρότητι· πολὺ

A tus: non ex ouium gregibus, neque ex
adipe ſacrificia Domino obtulit, verùm
abſq; ſanguine, rationabile obſequium
vitæ puritate ſacrificauit, ea duntaxat
re Abel diſſimilis, quòd à nefario homi- *Gen.4. &*
cida vt ille peremptus non fuerit, ſed *1.Ioan.3.*
inimici dæmonis euitans laqueos, ſu-
peratis inſidiis ad vitam omni fine ca-
rentem, ſicut ille, peruenerit. Enos *Gen.4.6.*
porrò ſpem ſic æmulatus eſt, vt non ſo-
lùm domini Dei ſui nomen inuocaue-
rit, verùm & alios, vt idem illud implo-
rarent, edocuerit. Enoch autem vt ſi- *Gen.5.*
milis redderetur, operam dedit, non *Hebr.11.*
B quidem admirandam eius è terra in pa- *Eccl.4.4.*
radiſum tranſlationem atque ſeceſſum,
ſed ex materiæ perturbatione in ſpiri-
tum tranſitione, æmulando. Noë etiam *Gen.6.7.8*
ſimilis exiſtit, non quidem modicam *Eccl.44. &*
in arca lignea generis conſeruationem, *Hebr.11.*
at ſuam potius animi incolumitatem
procurans, vt vitæ procellas tutius ſub-
terfugiens, nullum virtutis naufragium
pateretur. In plurimis quoque, Abrahæ *Gen.12.*
æmulator fuit; atque vt fidem, manſue- *Act.7.*
tudinem, & amorem in Deum taceam, *Heb.11. &*
in eo potiſſimùm, quòd queadmodum
C propriam terrã atque cognationem ille,
ita quoq; hic noſter Ephræm mundum
effugit, & in ſuo corpore vnigeniti ſacri-
ficium expreſſit, Deo ſeipſum conſe-
crans, & membra quę ſuper terram ſunt,
mortificans. Iſaac verò imitator exiſtit, *Coloſſ.1.*
propter mortem quam prompto tran- *Gen.22. &*
quilloq; ſubire paratus erat animo, non *Hebr.11.*
tamen inferente patre. quin & quotidie *Philipp.1.*
inſtar Apoſtoli, corpore quidẽ fructum, *& 1.Cor.*
quod attinet ad propoſitum, percipie-
bat, ſpiritu autem Deo, ob caſtum cor- *Gen.25.*
poris velut in ariete ſacrificium, viue- *27.*
bat. Iacob porrò æmulator fuit, ſupplã-
D tando ipſum Eſau, hoc eſt, hæreſum pa- *Gen.28.*
rentem, ac primogenita, id eſt, recta Ec- *33.*
cleſiæ decreta, accipiendo. In eo præ-
terea, quòd nõ ſcalam à terra ad cœlum
vſque pertingentẽ, ſed ob longam ignis
columnam, pulchriorem myſterij pro-
funditatem indicantem conſpexerit.
quódq; hic diſcipulis, quemadmodum *Gen.47.*
ille filus, ex hac emigraturus vita, bene- *48.*
dictiones impartitus ſit, quas qui pronus
excipiebat, magni illius Iacob eſſe ar-
bitrabatur. Verùm ipſius Ioſeph ſimili- *Gen.46.*
tudinem, vel maximè expreſſit vitæ in- *Gen.44.*
tegritate & corporis caſtitate: multò

autem magis per hoc, quod ſicut ille A triticum, ita hic verbum ſalutis communicauit.

Exod. 2. Pſal. 54. In non paucis quoque Moyſi ſimillimum ſeſe præbuit: nam & ipſe Pharaonem diabolum fugit, & commoratus eſt in ſolitudine, Deúmque vidit, quatenus contemplatione videri poteſt. Réſque admirandas peregit, ac doctrina ſe ducem atque magiſtrum populo exhibuit. Ægyptióſque decepit, eorum diuitias ſurripiens, hæreticorum ſcilicet libros, de quibus ipſe triumphauit. Exod. 14. 25. Salſum quoque ac potui minimè conueniens infidelitatis mare diuiſit, popu- Pſ. 117. 135. lúmque fidelem in magno numero traiecit. Pharaonis verò exercitum, impiam nimirum calumniatorum progeniem, proſtrauit atq; oppreſſit. Et Ama- Exod 17. lec (ſi quem hæreticorum eo nomine appellare velis) in fugam vertit, ac profligauit. Legem bene Chriſtianéque viuendi à Deo accepit, & nobis vniuerſis eam tradidit. Tabernaculi exemplar Exod. 24. 25. &c. in monte contemplatus eſt: non Moyſis Deut. 8. ſed horrendi illius iudicij futuri. Sacer- Exod. 16. Pſal. 77. dotes conſtituit, ac de ſacrificio leges 104. 113. præceptáque tradidit. Aquam è petra eduxit, dum corda lapidea ad lacrymas fundendas commouit. Pane cœleſti, ſicut ille, abundè populum pauit, charitatis nobis ſermones proponens, quibus maximè corroborantur animi, & ad ſumendum cum fiducia diuinum ac ſacrum hunc panem, qui pro noſtra ſalute huc è ſinu Patris venit, accendun- Num. 11. & tur. Coturnices quoque fidelibus vt Exod 16. ille, exhibuit, oſtendens quónam pacto Pſal. 77. per Dei recordationem in cœlum ſeſe tollant, ac quæ ibi ſunt pulchra, contemplentur. Et hoc quidem modo atque ratione, ſi quæ Pater hic grauiter ac ſtrenuè geſſit, priſcorum actionibus conferre lubuerit, illis nullatenus inferiorem comperies.

Exod. 46. & Pſal. 113. Ipſe namque vt Ieſus Naue, Iordanem quoque diuiſit, cùm clauſas diuitum manus benignitate aperuit, ac populo terram, non quidem abiectæ huius promiſſionis, verùm cœleſtis regni di- 1. Reg. 3. ſtribuit. A ſua infantia, vt Samuel, conſecratus eſt Deo, diuinámque vocem, 3. Reg. 18. vt ille, audiuit. Sicut Elias, Sacerdotes & 4. Reg. 1. 2. &c. turpitudinis coarguit. ignémque diuinum orationis ſacrificio, non ſemel, ſed

δὲ πλέον ἐν τῇ τοῦ λόγου μεταδόσει, ὡς ἐκεῖνος τοῦ σίτου.

Τοῦ Μωσέως ἢ ἐν πᾶσιν ἢ ἐν πλείστοις παρόμοιος· ἔφυγε γὰρ καὶ οὗτος τὸν νοητὸν Φαραώ, καὶ ἐν ἐρήμῳ ηὐλίσθη, καὶ Θεὸν εἶδεν, ὅσον ἐφικτὸν θεωρίᾳ, καὶ θαύματα εἰργάσατο, καὶ λαοῦ καθηγήσατο χρηματίσας διδάσκαλος. καὶ τοὺς Αἰγυπτίους κατεσοφίσατο, τὸν πλοῦτον ἐκείνων ἁρπάσας, τὰς τῶν αἱρετικῶν βίβλους αἰχμαλωτίσας καὶ θριαμβεύσας, καὶ τὴν θάλασσαν διέῤῥηξε, τὴν ἁλμυρὰν καὶ ἄποτον ἀπιστίαν, καὶ τὸν λαὸν διεβίβασε, τὸ ὀρθόδοξον σύστημα. καὶ τοὺς Φαραωνίτας ἐπόντισε, τὰ τῶν αἱρετικῶν ἄθεα B γεννήματα. καὶ τὸν Ἀμαλὴκ ἐτροπώσατο· εἴ τινα τῶν αἱρετικῶν τούτῳ βούλει καλέσαι τῷ ὀνόματι. τὸν νόμον ἐκ Θεοῦ τῆς ὀρθοδοξίας ἔλαβε, καὶ ἡμῖν πᾶσι μετέδωκε. τῆς σκηνῆς ἐν τῷ ὄρει τὸν τύπον ἐθεάσατο· οὐ τῆς ἐπὶ Μωσέως, ἀλλὰ τῆς μελλούσης φρικτῆς κρίσεώς τε καὶ καταστάσεως. τοὺς ἱερέας ἐτελείωσε, τὰ περὶ ἱερωσύνης νομοθετῶν. ὕδωρ ἐκ πέτρας ἐπήγασε, τὰς λιθώδεις καρδίας στάζειν δάκρυα παρασκευάσας. ἄρτον ἐψώμισεν ὡς ἐκεῖνος οὐράνιον, τοὺς τῆς ἀγάπης λόγους πᾶσι προθεὶς, δι' οὗ μάλιστα στηρίζεται πᾶσα ψυ- C χή, καὶ τῷ θείῳ καὶ μυστικῷ προσέρχεται ἄρτῳ θαῤῥοῦσα, τῷ ἐκ τῶν κόλπων τοῦ πατρὸς εἰς σωτηρίαν ἡμῶν παραγενομένῳ. ὀρτυγομήτρας ἔδωκεν, κἀντεῦθεν ἡμῖν τοῖς πιστοῖς τῇ περὶ Θεοῦ μνήμῃ οὐρανοπορεῖν ἐκδιδάσκων, καὶ τὰ ἐκεῖ φαντάζεσθαι κάλλη. καὶ ἁπλῶς εἰς ἂν βούλη θεωρίας λόγοις τὰ τοῦ πατρὸς τοῖς παλαιοῖς ἐξισοῦν σεμνολογήματα, οὐδ' ὅλως εὑρήσεις καθυστεροῦντα.

D

Ἐπεὶ καὶ Ἰησοῦς ὁ Ναυίτης Ἰορδάνην ἔσχισε, τὰς ἀποκεκλεισμένας εἰς μετάδοσιν τῶν πλουσίων χεῖρας, πρὸς εὐποιΐαν διεγείρας, καὶ τῷ λαῷ τὴν γῆν, οὐ τῆς κάτω ἐπαγγελίας, ἀλλὰ τῆς οὐρανίου βασιλείας ἐκληροδότησεν. ὡς Σαμουὴλ ἐκ βρέφους ἀνετέθη τῷ Θεῷ, καὶ φωνῆς θείας ἤκουσεν. ὡς ὁ μέγας Ἠλίας τοὺς τῆς αἰσχύνης παρεδειγμάτισεν ἱερεῖς, καὶ πῦρ νοητὸν ἐπὶ τῇ λογικῇ θυσίᾳ, οὐ μίαν, ἀλλὰ πολλάκις

λάκις κατήγαγε· καὶ πυρίνῳ τῷ ἀρετῶν ἅρματι, οὐκ αἰθέριος, ἀλλ' οὐράνιος ἁρματηλάτης ἀνήχθη. ὡς Ἐλισσαῖος, διπλῆν τοῦ πνεύματος τὴν χάριν πεπλούτηκε. καὶ ὡς οἱ προφῆται θεοφανείας πολλάκις ἠξίωται. τολμᾷ τοίνυν ὁ λόγος καὶ πρὸς τὸν ἐν γεννητοῖς γυναικῶν ἀνώτερον παραθεῖναι, τὸν μεσίτην τοῦ νόμου καὶ τῆς χάριτος. ὡς πρόδρομος ἐν ἐρήμῳ ηὐλίσθη· καὶ ῥῆμα Θεοῦ γέγονε καὶ πρὸς τοῦτον, καὶ μετανοίας κῆρυξ ἐχρημάτισε. καὶ τὰς ἁμαρτίας ἐξομολογεῖσθαι τοὺς προσερχομένους ἐδίδαξεν. ὡς Παῦλος τὸ τῆς ἐκλογῆς σκεῦος, πολυτρόπους ὑπέμεινε πειρασμούς, καὶ τὰ τῆς μετανοίας καταβολῆς σπέρματα, ὡς ἐκεῖνος τῆς πίστεως, οὐ κατηνιάρκησε. καὶ τί δεῖ τοῖς κατὰ μέρος τοῦτον παραβάλλειν. ἔτι τῶν τούτου κατορθωμάτων πᾶσαν πληρωσάντων τὴν οἰκουμένην; φαινομένων δὲ τῶν ἔργων, περιττόν ἐστι μακρολογία· τό τε τοῦ λόγου μῆκος εἰς ἀδοξίαν τὴν ἀρετὴν περιτρέπεται· ὡς οὐχ ἱκανῶν οὐσῶν ἑαυτὰς ἀρκούντως δι' ἔργων μηνύσαι, ἀλλὰ τῆς ἐκ τῶν λόγων ἐπικουρίας δεομένων. καλὸν δὲ οἷόν τι τερπνότατον ἥδυσμα, προσθεῖναι τῷ λόγῳ καὶ τὸ περὶ τὴν ἐκείνου τελευτὴν ἀδόμενον τερατούργημα.

Μέλλων γὰρ ὁ θεοφόρος οὗτος ἀνὴρ ἀπαίρειν πρὸς τὰ οὐράνια, τοῖς παροῦσι παρηγγύατο, ὡς οὐκ ἐξὸν αὐτοῖς ἐσθῆτι πολυτελεῖ τὸ τούτου σῶμα ἐνταφιάσαι. Εἰ δὲ καί τις φιλοπάτωρ ὢν τοιοῦτόν τι προενενόηκεν, ἢ προητοίμασε, μηδαμῶς εἰς ἔργον τὴν βουλὴν ἀγαγεῖν· ἀλλ' αὐτὸ ἐκεῖνο τὸ ὁρισθὲν εἰς τὴν ἐκείνου ταφήν, δοθῆναι πτωχοῖς. εἷς γοῦν τῶν παρεστώτων, καὶ οὗτος τῶν ἐπιφανῶν, ἐσθῆτα πολυτελῆ προευτρεπίσας, κἀκείνῃ συνθάπτειν τὸ τοῦ θείου πρεσβύτου σῶμα προβουλευθείς, ἀκούσας τῆς ἐπιτιμίας, ἤλγησε, καὶ δοῦναι πτωχοῖς τὸ προητοιμασθὲν ἱμάτιον ὑπερέθετο, τὸ ἄξιον τίμημα δοῦναι μᾶλλον τοῖς δεομένοις, κατὰ νοῦν ὁσιώτερον κρίνας. ὃς αὐτίκα πληγεὶς ὑπὸ δαίμονος πονηροῦ, τῆς ἀνηκοΐας ἐτρύγα τὰ πικρότατα δράγματα, ἑαυτὸν πρὸς τὴν κλίνην τοῦ ὁσίου σπαράττων, καὶ τὸν ἀφρὸν ἐκ τοῦ στόματος διαβράζων. ὁ δὲ συμπαθήσας τοῦ Θεοῦ ἄνθρω-

A ſæpius deduxit: igneóq; virtutũ curru, non in æthera, ſed in ipſum cœlũ ſublatus eſt. Sicut Eliſæus, duplicem ſpiritus gratiã conſecutus eſt. *4. Reg. 2.* Sicut Prophetæ, diuinæ viſionis munere ac gratia donatus eſt. Quin & ipſa me mouet ratio, vt eundẽ hunc vel cũ illo, quo inter natos mulierum nullus perhibetur exſtitiſſe maior, comparare audeam: *Matt. 11. & Luc. 7.* cum illo, inquam, qui inter legem & gratiam fuit medius. Siquidem hic, vt præcurſor ille, eremum coluit; *Ibidem.* & ad eum quoque factum eſt verbum Dei. ac præconem agens pœnitentiæ, docuit confiteri peccata accedentes ad ſe. B Sicut Paulus autem vas electionis, varias tribulationes atque tentationes pertulit; *Act. 9. 13. 14. &c.* pœnitentiæque ſemina, vt ille fidei, ſedulò ſparſit. Sed quid neceſſe eſt, hunc cum Sanctis ſigillatim conferre, cùm eius rectè factis totus terrarum orbis ſit plenus? prolixior autem oratio ſuperuacanea ſit, cùm ipſa ſatis appareant opera, ipſáque verborum multitudo fidem infirmare videatur, quaſi non ſatis ex ipſis rebus declarentur virtutes, *Notanda.* ſed ſermonis adhuc auxilio indigeant. C Quapropter operæpretium fuerit, tanquam ſuauiſſimum quoddam condimentum huic oratione adiungere, percelebrem nimirum, prodigioque ſimilem ipſius ex hac mortali vita exitum.

In cœlũ ergo iam perrecturus Sanctus hic vir, iis, qui tunc ibi aderant, mandabat, ne pretioſo cum veſtimento corpus ſuum ſepelirent. Et ſi quis amantior Patris, tale quidpiam cogitaſſet, aut præparaſſet, id ne exequeretur, ſed conſilio in melius commutato, hoc ipſum, quod ſepulturæ cohoneſtandæ decreuiſſet, pauperibus impertiretur. D Cùm igitur vnus eorum qui aderant, præcipuæ nobilitatis vir, magni ſanè pretij veſtimentum paraſſet, quo ſancti ſenis corpus amictu ſepulturæ traderet; increpatione illius audita doluit, & melius eſſe animo reputãs, ſi tantũ ſtipis, quantum veſtis cõſtiterat, eius loco indigentibus daret, paratũ veſtimentũ pauperibus elargiri diſtulit. Quamobrem mox à maligno correptus Dæmone, quòd mandatis non paruiſſet, grauiſſimas pœnas dabat, ſéque ante lectulum, in quo vir ſanctus decumbebat, ore ferueutes agens ſpumas, dilaniabat. Ad quem vir Dei clementiſſimus calamitoſum

conuerſus: Quidnam, inquit, admiſiſti, ô homo, vt in hoc periculum conijceres? Ille verò ſenis mandato excitatus, licet eius menti tenebras cacodæmon offudiſſet, ſecretum, quod apud ſe conceperat non obtemperandi iuſſis ipſius, conſilium patefecit. Quem confitentem benigniſſimus vir commiſeratus, manuum ſanctarum impoſitione & precibus hominem protinùs ab illa affectione liberauit, & priſtinæ ſanitati reſtituit, cúmque ſic eſt allocutus: Perfice, homo, quæ dudum promiſiſti.

Quo quidem demonſtrato miraculo, cùm iam vitæ finis immineret, eos, qui tunc aderant, multis piis commonitionibus ad virtutis ſtudiũ atque amorem cohortatus, vt poſtrema eius declarant verba, ad tranquillum æterni regni portum feliciter emigrauit, ſanctáque ac Deo grata acceſſione, numerum beatorum, qui ab initio fuerant ſæculi, cumulauit. Nam in cœleſtibus anima ipſius conſedit tabernaculis, vbi Angelorum ſunt ordines, vbi Patriarcharum populi, vbi Prophetarum chori, vbi Apoſtolorum ſedes, vbi Martyrum gaudium, vbi piorum lætitiæ, vbi Doctorum ſplendor, vbi celebres primogenitorum cœtus, vbi puræ exultantium voces, vbi illa bona patent, quæ Angeli proſpicere optant. In ſanctum illum locum, feliciſſima beati clarique
1. Petr. 1. Patris Ephræm anima peruenit. Arbitror verò cùm in cœlum ipſe aſcenderet, ſingulas quas in hac vita excoluerat virtutes, præceſſiſſe, ac res illas reconditas & ſpecioſiſſimas, quæ mortalibus cerni nequeunt oculis, demonſtraſſe; omniúmque excellentiſſimam charitatem ſic ad eam accedentem dixiſſe: Intuere, dilecta anima, pulchritudinem, quam tibi comparaui, ſimúlque delitias oſtendiſſe. Móxque accurrentem humilitatem, ita eam compellaſſe: Aſpice, anima Deo chara, cuiuſmodi ego tibi locum quietis exornaui. Tum ceteras omnes ſigillatim recenſuiſſe, demonſtraſſéque præmia, quæ iam inde, cùm ab ipſa adhuc in corpore excolerentur atque exercerentur, in futurum comparabant. O decantanda, & imitatu digniſſima emigratio. O mors, lacrymis non indigens. O ſeparatio, optatam ſocietatem concilians. O tranſitus, cuius tranſeuntem minimè

A πος λέγει τῷ πεπονθότι. Εἰπέ, ὦ ἄνθρωπε, τί σοι παράλογον πέπραχεν, καὶ πρὸς τοῦτον τὸν κίνδυνον ἔρριψεν; ὁ δὲ τῇ κελεύσει διαναστάς, καίπερ ὑπὸ τοῦ δαίμονος τὸν νοῦν σκοτωθεὶς, τὸν κεκρυμμένον ἐξέθετο λογισμόν, καὶ τὴν παρακοὴν ἐφανέρωσεν. ὃν ἐξομολογησάμενον ὁ συμπαθέστατος γέρων, ὑγιῆ ἀπεκατέστησεν, ἐπιθέσει ἁγίων χειρῶν, καὶ εὐχῇ τοῦτον ἀπαλλάξας τοῦ πάθους. εἶτα καὶ προσειπὼν, πλήρου σὺ τὴν ὑπόσχεσιν ἄνθρωπε, ἣν πάλαι προενενόησας.

Τοιοῦτο τεράστιον πρὸς τὰ τοῦ τέλει τοῦ
B βίου κατεργασάμενος, πολλαῖς τε παραινέσεσι τοὺς συνόντας πρὸς τὸν τῆς ἀρετῆς ζῆλον διαναστήσας, ὡς ὁ τελευταῖος αὐτοῦ λόγος δηλοῖ, εἰς τὸν ἀχείμαντον λιμένα τῆς αἰωνίου βασιλείας ἐξέπνευσε καὶ εὐαπόδεκτος. ποῦ δὲ τὴν ἐκείνου ψυχὴν ἀλλαχοῦ εἰκάζειν χρὴ καταλῦσαι, ἢ δῆλον ἐν σκηναῖς οὐρανίοις, ὅπου τάξεις ἀγγέλων, ὅπου δῆμοι πατριαρχῶν, ὅπου χοροὶ προφητῶν, ὅπου θρόνοι ἀποστόλων, ὅπου χαρὰ τῶν μαρτύρων, ὅπου ὁσίων εὐφροσύνη, ὅπου διδασκάλων λαμπρότης, ὅπου πρωτο-
C τόκων πανήγυρις, καὶ ἦχος καθαρὸς τῶν ἐκεῖθεν ἑορταζόντων· εἰς ἐκεῖνα τὰ ἀγαθὰ, ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι, εἰς ἐκεῖνον τὸν ἱερὸν ἐφοίτησε χῶρον ἡ τοῦ μακαρίου καὶ ἀοιδίμου πατρὸς ἡμῶν πολυμακάριστος καὶ ἁγία ψυχή. ἡγοῦμαι δὲ τῇ πρὸς οὐρανὸν αὐτῆς ἀναβάσει, ἡγεῖσθαι τὰς παρὰ τὸν βίον αὐτοῦ ἀρετὰς, καὶ δεικνύειν αὐτῇ ἑκάστην τὰ ἄρρητα ἐκεῖνα καὶ ἀθέατα κάλλη, καὶ προσελθοῦσαν τάχα τὴν μείζονα πασῶν τῶν ἀρετῶν ἀγάπην, οὕτως εἰπεῖν. ὅρα φιλτάτη ψυχὴ, οἷόν σοι προεξέ-
D νησα κάλλος· καὶ σὺν τῷ λόγῳ καθυποδεῖξαι τὸ ἐντρύφημα· καὶ τὴν ταπεινοφροσύνην ἐπιδραμοῦσαν φράσαι· σκόπει πεποθημένη Θεῷ ψυχὴ, οἵους κἀγώ σοι τόπους ἀναπαύσεως ἡτοίμασα, καὶ κατὰ μέρος τὰς πάσας εἰπεῖν τι καὶ καθυποδεῖξαι, οἵας αὐτῇ τὰς ἀντιδόσεις πρότερον φιλοπονηθεῖσαι προεξένησαν ὕστερον. ὦ πολυυμνήτου καὶ ζηλωτῆς ἀποδημίας. ὦ θανάτου δακρύων μὴ δεομένου. ὦ χωρισμοῦ, τὴν ποθουμένην προξενοῦντος συνάφειαν. ὦ μεταστάσεως, οὐ παρεχούσης τῷ μεταστάντι με-

τάμελον. ὢ κηδείας οὐ κατημελημένης μεταμέλου. ὧν γὰρ τοὺς ἐκείνου τρόπους θαυμάζομεν, ἐκ τούτων τὴν παραμυθίαν λαμβανόμεθα. ἐπὶ μὲν γὰρ τῶν λοιπῶν ἀνθρώπων, ὁ θάνατος αἴτιος δακρύων τοῖς περιλειπομένοις γνωρίζεται· ἐπὶ δὲ τῶν ἁγίων, εὐφροσύνης καὶ πανηγύρεως καθίσταται πρόξενος· ὅτι οὐ θάνατος ὁ τοιοῦτος, ἀλλὰ μετάστασις μᾶλλον, καὶ πρὸς τὰ κρείττω μετάβασις.

Ταῦτά σοι παρ' ἡμῶν, τῶν πατέρων ἄριστε, καὶ τῆς οἰκουμένης διδάσκαλε, τολμηρᾷ γλώσσῃ, ὡς δῶρα παρ' ἀξίαν, προσάγεται τὰ ἐγκώμια· οὐχ ὡς χρῄζοντι· ποίαν γὰρ εὔκλειαν χαρίζεται λόγος, ὀπίσω τῆς ἀξίας τοῦ ἐπαινουμένου βαδίζων; πρὸς ὄνησιν δὲ μᾶλλον τῶν ζώντων· ὅτι μεγίστη τοῖς πολλοῖς ἐπὶ τὰ βελτίω παράκλησίς τε καὶ προτροπὴ, ἡ τῶν ἀγαθῶν ἀνδρῶν εὐφημία. ἐκίνησε δὲ πρὸς τούτους ἡμᾶς τοὺς λόγους, ὃ τολμητίας εἰργάσατο, πολλὰ μὲν καὶ ἄλλα· ἐῶ γὰρ ἐγὼ τὰ πολυειδῆ παρατηρήματα, καὶ τὸ τοῦ βίου καὶ λόγου κόσμῳ παντὶ διαλάλητον· τούτων δὲ πλέον ἡ θαυμαστή σου ἐπιστασία, καὶ ἀπολύτρωσις ἡ εἰς τὸν σοὶ γεγενημένον ὁμώνυμον, τὸν καὶ πρὸς τούτους ἡμᾶς ἀποδύσασθαι τοὺς ἀγῶνας προτρεψάμενον, ὃς ὑπὸ Βαρβάρων ἐκγόνων τοῦ Ἰσμαὴλ δορυάλωτος ἀπαχθεὶς, καὶ τῆς ἐνεγκαμένης οὐ μικρὸν χρόνον χωρισθεὶς, πρὸς τὰ οἰκεῖα παλινοστῶν, καὶ τῆς ὁδοῦ τὴν λυσιτέλειαν ἀγνοῶν, τῆς σῆς ἔτυχε παραδόξου ἐπιστασίας, καὶ τὴν ὁδὸν ἐδιδάχθη τὴν πρὸς διάσωσιν μᾶλλον ἐπιτηδείαν, καὶ τοῦ σκοποῦ ὡς ἀληθῶς οὐ διήμαρτε· ναὶ μὴν καὶ εἰς αὐτὸ καταντήσας τῶν κινδύνων τὸ ἄκρον, καὶ θάνατον ἐκδεχόμενος, ὑπὸ ἐπηρείας κατὰ τὴν ὁδὸν βαρβαρικῆς στενωθείς· ὡς μόνον τῆς σῆς ἐπεμνήσθη προστασίας, ἐπειπών· ἅγιε Ἐφραὶμ βοήθει μοι· καὶ τὴν πλείω τῶν κινδύνων ἀβλαβὴς ὑπερέβη, καὶ τοῦ φόβου κατεφρόνησε, καὶ σωτηρίας ὑπὲρ νοῦ τετύχηκε, καὶ τῇ πατρίδι παρ' ἐλπίδα ὑπὸ τῆς σῆς προνοίας φρουρούμενος ἀποδέδοται. διὰ τοῦτο, εἰς τὰ προειρημένα προτεῖναι ἐκστατικώτερον ἐτολμήσαμεν, καὶ τῶν ἐπαίνων ἐφάψασθαι ἀκαθάρτοις ἐτολμήσαμεν χείλεσι. καὶ εἰ μὲν παρὰ πολὺ τοῦ δέοντος ἤλθομεν, ἐν τοῖς λόγοις αἴτιόν σε

A pœnitet. O funus, omnis doloris atque moleſtiæ expers. Dum enim ipſius mores ſuſpicimus, conſolationem inde percipimus. Aliorum quippe hominum mors, illis qui relinquuntur, lacrymandi præbet cauſſam: Sanctorum autem, lætitiam nobis celebritatémque conciliat. quare iſta non dicenda mors, ſed potius tranſitus, & ad vitam hinc meliorem emigratio.

Hæc ſunt, quæ tibi, Patrum optime, mundique Doctor clariſſime, laudum præconia audax lingua, vt vilia munuſcula, offert: non ea quidem pro B dignitate, neque vt indigenti tibi: (quam enim afferre queat gloriam oratio, quæ laudati meritis planè ſuperatur?) Verùm propter viuentium potius vtilitatem: nam bonorum atque præſtantiorum virorum encomia, maximam pleriſque conſolationem & cohortationem ad meliora adferunt. Hanc verò laudandi prouinciam alacrius ſuſcepimus, cùm variis aliis adducti rationibus, præter vitæ doctrinæque tuæ famam toto terrarum orbe celeberrimam: tum cura illa, quam C in homine eiuſdem nominis liberando adhibuiſti. Ille ſiquidem nos ad ſubeundum hoc onus impulit, qui à poſteris Iſmaël in bello captus, & longius à patria diu commoratus, cùm iam ad eam redire deſideraret, viámque commodam ignoraret, ſingulari ope tua aptam ad ſalutem rationem inuenit, & quod diu concupiuerat, adeptus eſt. Cùm enim in maximum vitæ diſcrimen adductus eſſet; (quòd omnes viç Barbarorum intercluſæ copiis tenerentur) te nomine duntaxat inuocauit, dicens: Sancte Ephræm, ſuccurre mihi. Sicque tutò periculorum D laqueos euaſit, ac mortis metum neglexit; inopinatámque conſecutus ſalutem, patriæ tuo munitus præſidio, præter ſpem eſt reſtitutus. Quare ad iſta enarranda, audacius aggreſſi, laudes tuas impuris attingere labiis, non ſumus veriti. Qua quidem in re, ſi quid profecerimus, id tuo nos adſe-

Hiere. 41. 42.

cutos auxilio fatebimur, tibíque acceptum feremus : ſin verò tua dignitate multò inferiores ſint noſtræ laudationes, te quoque (licet fortè audacius hoc dictum videatur) in cauſſa fuiſſe dicemus, qui & viuens, & defunctus, modeſtia humilitatiſque ſtudio, te collaudare cupientes impedis. Verumtamen, ſiue iſtud ſit, ſiue illud, nos quantum tulerunt vires, pietatis officio ſatisfecimus : téque hoc ipſum minimè nobis ſuccenſurum, neque tui amantiſſimos auerſurum; verùm æquo beneuolóque animo filiorum balbutientium laudes admiſſurum, confidimus. Tu autem diuino iam adſiſtens altari, vitæque principi, ac ſanctiſſimæ vnà cum Angelis ſacrificans Trinitati, omnium noſtrûm memineris, veniámque nobis peccatorum impetra: vt ſempiterna cœleſtis regni beatitudine perfrui poſſimus. In Chriſto Ieſu Domino noſtro: Cui gloria cum Patre principio carente, & ſancto ac viuificante Spiritu, nunc & ſemper, & in ſæcula ſæculorum, Amen.

A γεγενῆσθαι τῆς ἐπιτυχίας συλλογραφήσομεν, καὶ σοὶ τὴν χάριν ὁμολογήσομεν. εἰ δὲ παρὰ πολὺ τῆς ἀξίας οἱ ἔπαινοι, καὶ οὕτως πάλιν αἴτιόν σε τῆς ἀποτυχίας καταιτιασόμεθα, κἂν τολμηρὸς πως ὁ λόγος. σὺ γὰρ φεύγειν τοὺς ἐπαίνους βουλόμενος, καὶ ὡς ζῶν ἐν βίῳ, οὕτω καὶ μεταστὰς ταπεινοφροσύνην ἀσπαζόμενος, παρεμποδίζεις τοὺς ἐγκωμιάζειν σε θέλοντας. πλὴν κἂν τι τοῦτο, κἂν τι τὸ παρ᾽ αὐτοῦ, ἡμεῖς τὸ χρέος, ὅσον εἰς δύναμιν, ἀφοσιούμεθα, καὶ πιστεύομεν, ὡς οὐδ᾽ ἀποστραφήσῃ ἡμᾶς τοὺς θερ-

B μοὺς φιλοπάτορας· ἀλλ᾽ ὡς παίδων περιφιλῆ γονεῦσι δέξῃ ψελλίσματα. σὺ δὲ τῷ θείῳ παρεστάμενος θυσιαστηρίῳ, καὶ τῇ ζωαρχικῇ καὶ ὑπεραγίᾳ λειτουργῶν σὺν ἀγγέλοις τριάδι, μέμνησο πάντων ἡμῶν, αἰτούμενος ἡμῖν ἁμαρτημάτων ἄφεσιν, αἰωνίου τε βασιλείας ἀπόλαυσιν. ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ θείῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ

πρὸς τοὺς πενθοῦντας ἐπὶ τοῖς ἀπὸ τοῦ παρόντος βίου πρὸς τὸν ἀΐδιον μεθισταμένοις.

ΟΙ τὴν διαδεχομένην τῆς φύσεως ἡμῶν ἀκολουθίαν ἐν τοῖς ἐξιοῦσιν ἀπὸ τοῦ βίου συμφορὰν ποιούμενοι, καὶ βαρυπενθοῦντες B ἐπὶ τοῖς μεθισταμένοις ἀπὸ τοῦ τῆδε βίου, πρὸς τὸν νοερὸν καὶ ἀσώματον, οὔ μοι δοκοῦσιν ἐπισκέφθαι τὴν ζωὴν ἡμῶν ἥτις ἐστίν, ἀλλὰ τὸ τῶν πολλῶν πάσχειν, οἳ διά τινος ἀλόγου συνηθείας τὸ παρὸν αὐτοῖς ὡς καλὸν ἀγαπῶσιν, ὁποῖον δ' ἂν εἴη. καίτοι γε τὸν λόγῳ καὶ διανοίᾳ τῆς ἀλόγου φύσεως προτεταγμένον, πρὸς τοῦτο μόνον τὴν ῥοπὴν ἔχειν προσήκει, ὃ ἂν τῇ τοῦ λόγου κρίσει καλόν τε καὶ αἱρετὸν ἀναφαίνεται, καὶ μὴ τοῦτο πάντως αἱρεῖσθαι, ὅπερ ἂν αὐτοῖς ἐκ συνηθείας C τινός, καὶ ἀκρίτου προσπαθείας ἡδύ τι καὶ καταθύμιον φαίνεται. διό μοι δοκεῖ καλῶς ἔχειν, ἐπινοίᾳ τινὶ τῆς πρὸς τὸ συνήθες αὐτοὺς διαθέσεως ἀποστήσαντας, μεταγαγεῖν, ὡς ἐστι δυνατόν, ἐπὶ τὴν ἀμείνω τε καὶ πρέπουσαν τοῖς λελογισμένοις διάνοιαν. οὕτω γὰρ ἂν ἐξορισθείη τῆς ἀνθρωπίνης ζωῆς, ἡ σπουδαζομένη περὶ τὰ πάθη τοῖς πολλοῖς ἀλογία. γένοιτο δ' ἂν ἡμῖν ἀκόλουθος ἡ τοῦ λόγου σπουδὴ πρὸς τὴν προκειμένην ὑπόθεσιν, εἰ πρῶτον μὲν τὸ ἀληθῶς ἀγαθόν, ὁποῖόν ἐστιν, ἐξετασθείη· ἔπειτα δὲ τὸ ἴδιον τῆς D ἐν σώματι ζωῆς θεωρήσαιμεν· πρὸς τούτοις δέ, εἰ διὰ συγκρίσεως ἀντιπαρατεθείη τοῖς παροῦσι, τὰ δι' ἐλπίδος ἡμῖν ἀποκείμενα. οὕτω γὰρ ἂν προέλθοι πρὸς τὸν σκοπὸν τοῦ λόγου ἡ θεωρία, ὥστε μετατεθῆναι τῶν πολλῶν ἀπὸ τῆς συνηθείας ἐπὶ τὸ καλὸν τὴν διάνοιαν. ἐπειδὴ γὰρ πᾶσιν ἀνθρώποις φυσική τις πρὸς τὸ καλὸν ἔγκειται σχέσις, καὶ πρὸς τοῦτο κινεῖται πᾶσα προαίρεσις, τὸν τοῦ καλοῦ σκοπὸν πάσης τῆς κατὰ τὸν βίον σπουδῆς προβαλλομένη, τούτου χάριν ἡ περὶ τὸ ὄντως καλὸν ἀκρισία, τὰ πολλὰ τῶν ἁμαρτανομένων εἴωθεν ἐξεργάζεσθαι. ὡς εἰ

EIVSDEM ORATIO

QVA DOCET, NON ESSE dolendum ob eorum obitum, qui in fide ob dormierunt.

Petro Franciſco Zino interprete.

QVI neceſſarium naturæ noſtræ ordinem in iis, qui è vita diſcedunt, calamitatem exiſtimant, & eos qui ex hoc mundo migrant ad cœleſtem patriam, dolore & lacrymis proſequuntur, non videntur mihi huiuſce vitæ conditionem conſideraſſe, ſed ita affecti eſſe, vt plerique è vulgo, qui conſuetudine quadam homine indigna, quæcumque illis adſunt, vt bona diligunt, qualiacumque ſint. Quos tamen vt ratione cogitationéque cæteris animantibus præſtantes, ad ea tantum propenſos eſſe oporteret, quæ rationis iudicium honeſta expetendáque proponeret, nec illa protſus appetere, quæ conſuetudine, & inconſiderata quadam affectione iucunda ac ſuauia viderentur. Quamobrem operæpretium mihi videor eſſe facturus, ſi operam dabo, vt eos liberem ab hoc opinionis errore, quo ſoliti ſunt perturbari, & ad meliorem hominéque digniorem cogitationem pro viribus traducam. Quod quidem ſi erimus aſſecuti, temerarium illud dolendi mœrendíque ſtudium, quo multi tenentur, ex hominum vita depelletur. Rectè autem atque ordine quod propoſuimus, perſequemur, ſi primum, quid verò ſit bonum, exquiremus: deinde propriam vitæ quam in corpore agimus, conditionem conſiderabimus: poſtremò res præſentes conferemus cum iis, quas per ſpem nobis reconditas expectamus. Sic enim diſputatio finem propoſitum aſſequetur, vt multorum animi ab opinione vulgari ad rectam de vero bono ſententiam traducãtur. Nam cùm omnibus hominibus inſita ſit naturalis quædam ad bonum propẽſio, ad illúdq; conſequendũ ſemper omni ſtudio contendant, fit, vt ex veri boni ignorantia omnia ferè peccata committant. Quòd

ſi cuncti verum bonum perſpectum & cognitum haberent, nunquam ab eo, in quo natura bonitatem ſitam eſſe ſcirent, aberrantes, malis, quæ falſam boni ſpeciem præ ſe ferunt, experiendo vltrò ſeſe implicarent. In primis igitur hac oratione, quid verè bonum ſit, explicemus; ne illius inſcitia malum vnquam pro bono complectamur. Oportet enim illius, quod quærimus, definitionem ac deſcriptionem quandam proponi, cuius tanquam iudicio tuta veri boni ſit nobis inueſtigatio. Ecquod autem erit iudicium veri boni? Illud nimirum mea quidem ſententia, vt quod non ad vnam tantum aliquam rem vtilem, neque quod alio tempore commodum, alio incommodum, neque quod ita cuipiam proſit, vt alij obſit, ſed quod & per ſe ac propria natura ſua, & omnibus, & ſemper bonum ſit, id ſine vlla dubitatione verum bonum eſſe iudicemus. Quod enim nec omnibus, nec ſemper, nec per ſe ſine vlla externa alterius adiunctione bonum eſt, propriè boni naturam non habet. Quamobrem multi minus conſideratè res explorantes, in elementis mundi bonum falſo eſſe ſunt ſuſpicati. Si quis enim diligenter conſideret, nullum eorum nec per ſe, nec ſemper, nec omnibus bonum inueniet. Nam quod in vnoquoque eorum vtile eſt, contrarium aliquid admiſtum habet. Vt aqua ſalutaris quidem eſt animantibus in ipſa degentibus, pernicioſa autem mediterraneis, ſi demergantur. Aër contra in ipſo natura viuentibus prodeſt, aliquatilibus autem in eo expoſitis exitum affert. Sic etiam ignis aliquem nobis vſum præbet, ſed longè plura inuehit detrimenta. Quid? quòd ne ipſe quidem ſol vtentibus, vbique aut ſemper, aut in omnibus prodeſt: quippe qui & nimio nonnunquam ardore vehementer noceat, &, quę ſibi obiecta ſunt, immoderatius exſiccet, & morborum perſæpe cauſa ſit, & lippientibus, atque oculis imbecillioribus officiat, & ex humidorum corruptione damna moleſtiámque viuentibus importet. Proinde, quemadmodum diximus, id ſolum ex omnibus bonum oportet exiſtimare, quod ſemper & omnibus æquè exhibet naturam

A γε πρόδηλον πᾶσιν ἦν τὸ ἀληθῶς ἀγαθόν, οὐκ ἂν ἐκείνου ποτὲ διημάρτομεν, ᾧ φύσις ἡ ἀγαθότης ἐστίν· οὐδ' ἂν ἑκουσίως τῇ τῶν κακῶν συνηνέχθημεν πείρᾳ, εἴπερ μὴ ἐπικέχρωστο τὰ πράγματα διεψευσμένῃ τινὶ τοῦ καλοῦ φαντασίᾳ. οὐκοῦν περὶ πάντων τούτων τῷ λόγῳ καταμηνύσωμεν, τί τὸ ἀληθῶς ἀγαθόν· ὡς ἂν μὴ τῇ περὶ τούτου πλάνῃ σπουδασθείη ποτὲ τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος. φημὶ τοίνυν χρῆναι καθάπερ ὁρισμόν τινα καὶ χαρακτῆρα τοῦ ζητουμένου προϋποθέσθαι τῷ λόγῳ, δι' οὗ γένοιτ' ἂν ἡμῖν ἀσφαλὴς ἡ τοῦ καλοῦ καταμήνυσις. τίς οὖν ὁ χαρακτὴρ τῆς ἀληθινῆς ἀ-
B γαθότητος; τὸ μὴ μόνον πρός τι τὸ ὠφέλιμον ἔχειν, μηδὲ κατὰ καιρούς τινας, ἢ ἐπωφελὲς ἢ ἄχρηστον φαίνεσθαι· μηδὲ τινὶ μὲν εἶναι καλόν, ἑτέρῳ δὲ οὐ τοιοῦτον, ἀλλ' ὅπερ καὶ ἐφ' ἑαυτοῦ κατὰ τὴν ἰδίαν φύσιν ἐστὶ καλόν, καὶ πάντη, καὶ πάντοτε ὡσαύτως ἔχει. οὗτος ἐστι κατά γε τὴν ἐμὴν κρίσιν, τῆς τοῦ καλοῦ κρίσεως ὁ χαρακτὴρ ἀπλανής τε καὶ ἄψευστος. ὃ γὰρ μήτε πᾶσι, μήτε πάντοτε, μήτε ἐφ' ἑαυτοῦ δίχα τῆς ἔξωθεν παρεισάσεως ἐστὶ καλόν, οὐκ ἂν κυρίως ἐν τῇ τοῦ καλοῦ κρίνοιτο φύσει. διόπερ πολλοὶ τῶν ἀνεξετάστως περισκοπούντων τοῖς οὖσιν, ἐν
C τοῖς τοῦ κόσμου στοιχείοις εἶναι τὸ καλὸν ἐφαντάσθησαν, ὧν οὐδὲν εὕροι τις ἂν διεξετάζων καὶ ἐφ' ἑαυτοῦ, καὶ πάντοτε, καὶ πάντη καλὸν εὑρισκόμενον. μέμικται γὰρ τῷ ἐφ' ἑκάστου τούτων χρησίμῳ, καὶ ἡ πρὸς τὸ ἐναντίον ἐνέργεια. οἷον, τὸ ὕδωρ σωτήριον μὲν τοῖς ἐν αὐτῷ τρεφομένοις ἐστίν, ὀλέθριον δὲ τοῖς χερσαίοις, εἰ ἐπικλύσειεν. ὡσαύτως δὲ καὶ ὁ ἀήρ, τοῖς μὲν ἐν αὐτῷ ζῆν πεφυκόσιν, ἐστὶ σωτήριος, τοῖς δὲ τὸν ἔνυδρον εἰληχόσι βίον, φθαρτικὸς εὑρίσκεται καὶ ὀλέθριος, ὅταν ἐν αὐτῷ τις γένηται τῶν ὑποβρυχίων. οὕτω καὶ τὸ πῦρ πρός τι χρήσιμον ἡμῖν γενόμενον, φθαρτικόν ἐστι τοῖς
D πλείοσι. καὶ αὐτὸν δὲ τὸν ἥλιον εὕροι τις ἄν, οὔτε πάντη οὔτε πάντοτε, οὔτε κατὰ πάντα καλὸν τοῖς μετέχουσιν. ἔστι γὰρ ἐν οἷς καὶ σφόδρα γῆς βλαπτικός, ὑπερζέων τε τοῦ καθήκοντος μᾶλλον, καὶ ξηραίνων ἐν ἀμετρίᾳ τὸ ὑποκείμενον, καὶ νόσων αἰτίας πολλάκις ἐξεργαζόμενος, καὶ τοῖς ἐμπαθεστέροις τῶν ὀφθαλμῶν προσεπιτείνων τὴν νόσον, καὶ διὰ τῆς σήψεως τῶν ὑγρῶν, βλαβερά τε καὶ ἀηδῆ τινα ζωογονῶν ἐν τῇ κατεφθαρμένῃ τῶν ὑγρῶν σηπεδόνι. οὐκοῦν, καθὼς εἴρηται, μόνον ἐκ πάντων ὡς καλὸν προαιρεῖσθαι χρή, ὃ πάντοτε καὶ πᾶσιν ὁμοίως ἐν τῇ τοῦ καλοῦ καθο-

ἐρᾶται φύσει, ἀεὶ τοιοῦτον ὄν, καὶ οὐ πρὸς τὰς ἔξωθεν περιστάσεις μεταβαλλόμενον. περὶ γὰρ τῶν ἄλλων ὅσα κατά τινα παρόληψιν ἀλογωτέραν καλὰ τοῖς ἀνθρώποις δοκεῖ, περὶ σῶμά τε φημὶ καὶ τὰ ἔξωθεν, οἷον ἰσχύς τε καὶ κάλλος καὶ χρόας λαμπρότης, χρήματά τε καὶ δυναστεῖαι καὶ περιφάνειαι, καὶ πάντα τὰ τοιαῦτα, ὡς αὐτόθεν πᾶσιν ὄντα φανερά, σιωπῇ οἶμαι χρῆναι, καὶ μὴ μάτην διὰ τῶν ὁμολογουμένων ὄχλον ἐπιστέλλειν τῷ λόγῳ. τίς γὰρ οὐκ οἶδεν τοῦ κάλλους τε καὶ τῆς δυνάμεως τὸ ὠκύμορον, ἢ τῆς δυναστείας τὸ εὐμετάπτωτον, ἢ τῆς δόξης τὸ ἀνυπόστατον, ἢ τὴν ματαίαν πρὸς τὰ χρήματα τῶν ἀνθρώπων προσπάθειαν, παρ' ὧν διὰ τὸ ἄργυρόν τι καὶ τὸ χρυσίον, ἐν ποίαις ὕλαις τὸ καλὸν ἐνομίσθη; τούτων δὲ οὕτως ἡμῖν διηρθρωμένων, σκεπτέον ἂν εἴη περὶ τῆς παρούσης ζωῆς, ταύτης φημὶ δὴ διὰ σαρκὸς ἐνεργουμένης· εἴτε τοιοῦτόν ἐστιν ὡς ἐν τῷ χαρακτῆρι τοῦ καλοῦ θεωρεῖσθαι, εἴτε καὶ ἑτέρως ἔχει. τὸ γὰρ εὑρισκόμενον περὶ αὐτῆς ὑπὸ τοῦ λόγου, ὁδηγήσει πάντως τὴν τῶν ἐπεσκεμμένων διάνοιαν, ὅπως χρὴ περὶ τὴν ἐντεῦθεν μετανάστασιν ἔχειν. ἔστι τοίνυν ἡ τοῦ σώματος ἡμῶν ζωή, πλήρωσίς τε καὶ κένωσις διχόθεν ἐνεργουμένη· ἡ μὲν διὰ βρώσεώς τε καὶ πόσεως· ἡ δὲ διὰ τῆς τοῦ ἀέρος ὁλκῆς τε καὶ ἀποποιήσεως, ὧν ἄνευ ἡ κατὰ σάρκα ζωὴ συστῆναι φύσιν οὐκ ἔχει. τότε γὰρ τοῦ ζῆν ὁ ἄνθρωπος παύεται, ὅταν ἡ τῶν ἐναντίων τούτων διαδοχὴ μηκέτι διοχλῇ τὴν φύσιν. ἵσταται γὰρ μετὰ τοῦτο καθόλου ἡ τοιαύτη ἐνέργεια, οὐδενὸς τῶν ἔξωθεν ἐν τοῖς νεκρωθεῖσιν οὔτε εἰσρέοντος, οὔτε ἀπογινομένου, ἀλλὰ πρὸς τὰ συγγενῆ στοιχεῖα τοῦ ἐκ τούτων συνεστηκότος σώματος διακριθέντος καὶ ἀναλυθέντος, ἠρεμεῖ τὸ λοιπὸν δι' ἡσυχίας ἡ φύσις, τῷ οἰκείῳ στοιχείῳ προσαναπαύσασα τὸ συγγενὲς καὶ ὁμόφυλον, τῇ γῇ τὸ γεῶδες, καὶ τῷ ἀέρι τὸ ἴδιον, καὶ τῷ ὑγρῷ τὸ οἰκεῖον, καὶ τῷ θερμῷ τὸ κατάλληλον. μηκέτι γὰρ τοῦ ὄγκου τοῦ ἐκ τῶν ἑτερογενῶν συνεστηκότος, βιαίως τε καὶ κατηναγκασμένως συμπεπλεγμένου, ἀλλὰ κατ' ἐξουσίαν ἑκάστου τῶν ἐν ἡμῖν πρὸς τὴν οἰκείαν ἑστίαν ἐπανελθόντος, παύεται ἀπὸ τούτου ἡ φύσις, συνέχουσα βιαίως ἐν αὐτῇ τῶν ἀλλοφύλων τὴν συμφυΐαν. εἰ δέ τις καὶ τὸν ὕπνον, καὶ τὴν ἐγρήγορσιν πρὸς τὸ τῆς ζωῆς ταύτης εἶδος μετὰ τῶν εἰρημένων

A boni, nec pro ratione eorum, quæ extrinſecus obijciuntur, immutatur. Nam quæ ex praua quadam opinione videntur hominibus bona, vt quæ ad corpus, ad res externas, ad robur, ad pulchritudinem, ad ſplendorem, ad opes, ad potentiam & gloriam pertinent, & alia eiuſdem generis, cùm per ſe perſpicua ſint, ſilentio prætereunda cenſeo, ne tot rebus ex ſe claris enumerandis fruſtra laborem inſumam. Quis enim ignorat, quàm celeriter formæ dignitas defloreſcat? quàm breui corporis robur extinguatur? quàm facilè B principatus dominum mutent? quàm caducus & fragilis ſit gloriæ ſplendor? quàm ſtultum ac vanum hominum in cumulanda pecunia ſtudium, qui ob inanem quandam raramque ſpeciem, in tam abiectis rebus bonum eſſe poſitum arbitrentur? His ita conſtitutis, conſiderandum videtur, an præſens hæc vita, quam in carne degimus, talis ſit, vt ei nota boni conueniat, an contrà. Quod enim de ipſa diſputando reperietur, conſiderantium animos erudiet, quomodo in eorum diſceſſu, C qui ex illa migrant, affici oporteat. Eſt igitur noſtri corporis vita, repletio atque exinanitio, quæ quidem dupliciter fiunt, tum per cibum & potum, tum per aëris attractionem & emiſſionem. Sic enim natura comparatum eſt, vt ſine his in carne viuere nequeamus. Nam tunc hominem vita deſerit, quando horum contrariorum ſucceſſio naturam non mouet. Talis enim actio ceſſat vniuerſa, cum nihil extrinſecus in defunctis nec influat, nec effluat: cumque ſingulæ cadaueris partes in cognata ſibi elementa re-D cedant ac diſſoluantur, natura deinceps conquieſcit, ſuas cuique elemento cognatas ac ſimiles partes reſtituens, terræ, quod terrenum eſt; quod aëreum, aëri; aquæ, quod ex aqua cõſtat; & igni, quod illius eſt proprium. Etenim cùm illa corporis moles, quæ per vim exdiuerſis generibus coacta concretáque erat, non amplius conſiſtat, ſed omnes illius partes ad ſuas quæque ſedes reuerſæ ſint, natura, quæ ex illa conſtabat, violentámq; diuerſorum generum coniunctionem continebat, finem habet. Si quis autem poſt illa, quæ dicta ſunt, huic generi vitæ ſomnum & vigiliam

adiunxerit, à veritate non aberrabit. A
Nam his quoque natura laborat, aſſiduéque in contraria diſtrahitur, dum vel ſomno ſoluitur, vel vigilia rurſum confirmatur. Hac enim viciſſitudine ad exinaniendum, replendúmque diſponitur. Quamobrem ſi vitæ noſtræ proprium illud eſt, vt à repletione, exinanitionéque pendeat, non alienum erit, vt boni notam & indicium cum his quæ iſtius vitæ propria ſunt, conferamus, diſpiciamúſque vtrum ipſa ſint verum bonum, an aliud quippiam, ab illis diuerſum. Quòd autem ipſa per
ſe repletio boni naturæ non quadret, B
omnibus vel ex actione illi contraria perſpicuum fit, exinanitionem dico, quam æquè bonam arbitrantur. Nam boni ratio ac definitio talis eſt, vt duobus inter ſe contrariis nequeat conuenire, ſed ſi vni quadret vt bono, ab altero tanquam malo prorſus abhorreat. Hîc autem in vtroque natura ſuam vtilitatem habet. Quare boni definitionem nec repletio ſuſcipit, nec exinanitio. Quocirca aliud quiddam, quàm ipſum bonum, eſt ipſa repletio; cum nec vbique, nec ſemper, nec in omnibus
omne genus ipſius à cunctis expetẽdum C
iudicetur. Non ſolum enim noxiis cibis expleri perniciosum eſt, ſed etiam in bonis & conuenientibus mediocritatis vſum tranſilire, plerumque periculum & damnum affert. Quòd ſi cum corpus repletum eſt, leuaríque deſiderat, alio adhuc oneretur cibo, tum vero contracto malorum cumulo in morbos incidit deſperatos & inſanabiles. Itaque nec ſemper, nec planè bonum eſt repletio, ſed ad aliquid, & aliquando vſui eſt, & in quantitate, qualitatéque conſiſtit
eius vtilitas. Eodem pacto & contrariam D
huic exinanitionem reperies periculoſam iis qui à moderato eius vſu receſſerint, non inutilem tamen, ſi prudenter adhibeatur, & eatenus fiat, quatenus ratio quantitatis, & qualitatis, & temporis poſtulabit. Conſtat igitur ex iis, quæ dicta ſunt, cum boni nota non congruere vitam iſtam, quam viuimus: ex quo ſequitur, diſceſſum ab ea, non eſſe ſciunctionem ab vllo bono.

A παραλαμβάνῃ, οὐκ ἔξω τῆς ἀληθείας τὸν λόγον ποιήσεται. κάμνει γὰρ καὶ διὰ τούτων ἡ φύσις, ἀεὶ πρὸς τὸ ἐναντίον μεθελκομένη· καὶ νῦν μὲν λυομένη τῷ ὕπνῳ, πάλιν δὲ τονουμένη διὰ τῆς ἐγρηγόρσεως, δι' ὧν ἀμφοτέρων πρὸς τὸ κενοῦσθαι καὶ πληροῦσθαι παρασκευάζεται. εἰ τοίνυν πλήρωσίς τε καὶ κένωσις τῆς ζωῆς ἡμῶν ἐστι τὸ ἰδίωμα, καλῶς ἂν ἔχοι τὸν προειρημένον περὶ τῆς τοῦ καλοῦ κρίσεως χαρακτῆρα νῦν ἀντεξετάσαι τοῖς τῆς ζωῆς ἰδιώμασιν, ὥστε κατιδεῖν εἴτε τὸ ἀληθινόν ἐστιν ἀγαθὸν ἡ ζωὴ αὕτη, εἴτε καὶ ἄλλο
B τι παρὰ τοῦτο. ὅτι μὲν οὖν καθ' ἑαυτὴν ἡ πλήρωσις οὐκ ἂν εἰκότως ἐν τῇ τοῦ καλοῦ φύσει κριθείη, πᾶσι δῆλον τὸ τοιοῦτόν ἐστιν, ἐκ τοῦ καὶ τὸ ἐναντίον αὐτῇ, λέγω δὲ τὸ κενοῦσθαι, καλὸν εἶναι νομίζεσθαι. ἐπεὶ γὰρ τῶν ἀλλήλων ἐκ τοῦ ἐναντίου ἀντικαθεστηκότων, οὐκ ἔστι δυνατὸν τὸν τοῦ καλοῦ λόγον ἐπίσης τοῖς ἀντικαθεστῶσιν ἁρμόζεσθαι· ἀλλ' εἰ τοῦτο καλὸν εἴη κατὰ τὴν ἑαυτοῦ φύσιν, τὸ ἀντικείμενον αὐτῷ πάντως ἔσται κακόν. ἀλλὰ μὴν ἐνταῦθα ἐπίσης περὶ ἑκατέρου τούτων τὸ χρήσιμον ἡ φύσις ἔχει. οὐκ ἄρα τὸν τοῦ καλοῦ ὁρισμὸν
C δέξασθαι δυνατῶς ἔχει, οὔτε ἡ πλήρωσις, οὔτε ἡ κένωσις. οὐκοῦν ἄλλο τι παρὰ τὸ ἀγαθὸν ἀποδέδεικται εἶναι ἡ πλήρωσις. οὔτε γὰρ πάντῃ οὔτε πάντοτε, οὔτε κατὰ πᾶν εἶδος αἱρετὸν εἶναι τὸ τοιοῦτον, παρὰ πάντων ὡμολόγηται. οὐ μόνον γὰρ ἐν τοῖς βλαπτικοῖς γίνεσθαι τὸν κόρον ἐστὶν ὀλέθριον, ἀλλὰ καὶ τὸ ἐν τοῖς καταλλήλοις παρελθεῖν τῇ ἀμετρίᾳ τὸ χρήσιμον, κινδύνων πολλάκις καὶ διαφθορᾶς αἴτιον γίνεται· καὶ εἴ ποτε πληθωρικῆς καταστάσεως ἐπιζητούσης τὴν κένωσιν, ἄλλη τις πληθῶρα τὴν νόσον ἐπιφορτίσειεν, σωρεία γὰρ
D κακῶν τὸ τοιοῦτον, εἰς ἀνήκεστα περιίουσα πάθη. οὐκοῦν οὔτε πάντῃ, οὔτε πάντως ἀγαθόν τί ἐστιν ἡ πλήρωσις, ἀλλὰ καὶ πρός τι, καί ποτε, καὶ κατὰ τὸ πόσον τε καὶ τὸ ποιόν, τὸ ἐξ αὐτῆς γίνεται χρήσιμον. οὕτω δ' ἄν τις εὕροι καὶ τὸ ἐξ ἐναντίου νοούμενον, τὸ κατὰ τὴν κένωσιν λέγω, καὶ κινδυνῶδες τοῖς ὑπομένουσιν, εἰ παρέλθοι τῇ ἀμετρίᾳ τὸ χρήσιμον, καὶ πάλιν οὐκ ἀνονήτως γινόμενον εἰ πρός τι τῶν ὠφελούντων συμβαίνει, τοῦ τε καιροῦ καὶ τοῦ ποσοῦ, καὶ τοῦ ποιοῦ συμπαραλαμβανομένου πρὸς τὸ τῆς κενώσεως χρήσιμον. ἐπεὶ τοίνυν οὐ συμβαίνει πρὸς τὸν τοῦ καλοῦ χαρακτῆρα τὸ τῆς ζωῆς ταύτης εἶδος, ᾧ βιοτεύομεν· ὁμολογούμενον ἂν εἴη διὰ τῆς τῶν εἰρημένων ἀκολουθίας, ὅτι οὐδενὸς ἀγαθοῦ χωρισμός ἐστιν ἡ ἐκ τοῦ τοιούτου βίου μετάστασις.

Φανερὸν γὰρ ὅτι τὸ ἀληθινῶς καὶ κυρίως καὶ πρώτως ἀγαθὸν, οὔτε κένωσις ἐστὶν, οὔτε πλήρωσις· ἅπερ καὶ ποτὲ, καὶ πρός τι, καὶ ἐπί τινων ἀποδέδεικται χρήσιμα, οἷς οὐκ ἔπεστιν ὁ τοῦ ἀληθινῶς ὄντος ἀγαθοῦ χαρακτήρ. ἐπεὶ οὖν τῷ ἀληθῶς ἀγαθῷ πρὸς τὸ μὴ ἀληθῶς ἀγαθὸν ἐστὶν ἡ ἀντίθεσις· ἄμεσος δὲ τῶν δύο τούτων ἡ ἐναντίωσις, ἀκόλουθον ἂν εἴη τοῖς χωριζομένοις τοῦ μὴ ἀληθῶς ὄντος καλοῦ, πρὸς τὸ τῇ φύσει καλὸν ἐντεῦθεν πιστεύειν τὴν μετάστασιν γίνεσθαι, ὃ πάντοτε καὶ πάντη καὶ διὰ πάντων ἐστὶν ἀγαθὸν, οὔτε κατὰ καιροὺς, οὔτε ἐπί τινων, οὔτε διά τι, ἀλλ' ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχει. πρὸς τοῦτο τοίνυν μέτεισιν ἀπὸ τῆς σαρκώδους ζωῆς ἡ ἀνθρωπίνη ψυχὴ, ἄλλην τινὰ βίου κατάστασιν αὐτὴ τῆς παρούσης μεταλαμβάνουσα, ἣν δι' ἀκριβείας μὲν ἰδεῖν, ἥ τίς ἐστι, τῇ σαρκὶ συγκεκραμένοις ἀμήχανον· ἐκ δὲ τῆς κατὰ τὸν βίον τοῦτον γνωριζομένων ὑπεξαιρέσεως δυνατόν ἐστι στοχασμόν τινα δι' ἀναλογίας ἀναλαβεῖν. οὐκέτι γὰρ ἔσται σωματικῇ παχύτητι συμπεπλεγμένη, οὔτε τῇ ἰσοκρατείᾳ τῶν ἀντιστοιχούντων ἐμβιοτεύουσα, ὧν ἡ ἰσόρροπος πρὸς ἄλληλα μάχη, τὴν σύστασιν τε καὶ ἡμῖν καὶ τὴν ὑγείαν ποιεῖ. ὁ γὰρ πλεονασμὸς τῶν ἐναντίων τινὸς ἢ ἡ ἔλλειψις, πάθος καὶ ἀρρώστημα τῆς φύσεως γίνεται· ἐν ᾗ δὲ οὐδὲν οὔτε συστέλλεται κενούμενον, οὔτε δυσφόρως φορτιζόμενον· ἀλλὰ καὶ τῶν ἐκ τοῦ ἀέρος ἀηδῶν ἔξω παντάπασι γίνεται, κρύους τε λέγω καὶ θάλπους, καὶ πάντων τῶν κατὰ τὸ ἐναντίον νοουμένων ἀπηλλαγμένη· ἐν ἐκείνοις δὲ γινομένη, ὅπου πάντων τῶν ἀναγκαίων καμάτων ἐλευθέρα τε καὶ ἄνετός ἐστιν ἡ ζωή. οὐ διὰ γεωργίας κακοπαθοῦσα, οὐ τοῖς διαποντίοις ἐναθλοῦσα πόνοις, οὐ διὰ τῆς ἐμπορικῆς καπηλείας ἀσχημονοῦσα· οἰκοδομικῆς τε καὶ ὑφαντικῆς, καὶ τῆς τῶν βαναύσων τεχνῶν ταλαιπωρίας κεχωρισμένη, ἠρεμόν τινα καὶ ἡσύχιον διάγει βίον, καθὼς ὁ Παῦλος φησὶν, οὐχ ἱππομαχοῦσα, οὐ ναυμαχοῦσα, οὐ συστάδην διὰ τῆς πεζικῆς παρατάξεως συμπλεκομένη, οὐ πρὸς κατασκευὴν ὅπλων ἀσχολουμένη, οὐ φόρους ἐκλέγουσα, οὐ τάφρους καὶ τείχη κατασκευάζουσα, ἀλλὰ πάντων τῶν τοιούτων ἀτελής τίς ἐστι καὶ ἐλευθέρα· μήτε ἔχουσα πρᾶγμα, μήτε παρέχουσα, ἐν ᾗ δουλεία τε καὶ κυριότης καὶ πενία, εὐγένειά τε καὶ δυσγένεια, καὶ ἰδιωτικὴ ταπεινότης, καὶ ἀξιωματικὴ δυναστεία, καὶ πᾶσα τοιαύτη ἀνωμαλία χώραν οὐκ ἔχει.

A Nam id, quod verè, & propriè, & primo bonum dicimus, nec repletio eſt, nec inanitio, quas aliquando, & ad aliquid, & in quibuſdam tantum vtiles demonſtrauimus, quibus verè boni nota non conuenit. Quamobrem cùm verè bonum ei, quod non eſt verè bonum, ita contrarium ſit, vt nullum inter ea medium detur; conſentaneum eſt eos, qui à non vero diſcedunt bono, ad verum illud bonum accedere, quod ſemper, & omnibus, & omnino ſit bonum, nec pro tempore, aut aliqua ex parte, aut in quibuſdã, aut propter aliquid, ſed ſemper B in eiſdem, & eodẽ modo ſeſe habeat. Ad hoc igitur anima humana à vita corporea proficiſcitur, & à præſenti diuerſum vitæ ſtatũ aſſequitur: quẽ nos, qui cum carne cõiuncti ſumus, planè intueri non poſſumus, ex cõparatione tamen iſtius vitæ, cõiectura quædã illius fieri poteſt. Neque enim erit concreta aliqua corporis craſſitudo, nec vlla cõtrariorum concurrens æqualitas elementorum, quorum æqualis ac mutua pugna conſtitutionem noſtram, valetudinemq; conſeruat. Nam ſi eorũ aliquod vel redundet, C vel deficiat, natura perturbatur, ac morbis afficitur. Illa autẽ vita nec inedia laborat, nec cruditate, nec frigore, caloréſve aut alias aëris iniurias ſentit, & illic agitur, vbi ab omnibus iſtis laboribus neceſſariis liberi erimus. Neq; enim aut agro colendo, aut nauigãdo defatigabimur: non mercatura, nõ vllo quæſtũ coinquinabimur: ſed ab ædificandi, texendi, omniq; ſordidarũ artium miſeria vacui tranquillã, vt Paulus ait, ac quietam agemus vitam: non terra, non mari pugnabimus: non equitatu, non peditatu manus conſeremus: in apparatibus bel- D licis non occupabimur, nõ exigemus tributa: non foſſa, non muro nos muniemus: ſed ab omnib. eiuſmodi laboribus & moleſtiis remotiſſimi, nec habebimus vllum ipſi negotium, nec exhibebimus alteri. Illic enim nec ſeruitus, nec dominatus, nec paupertas, nec diuitię, nec generis ſplendor, aut obſcuritas, nec priuatorum humilitas, nec dignitas magiſtratuũ, nec vlla talis fortunæ, conditionis, & ordinis differentia locum habet.

Etenim omnium eiuſmodi rerum neceſſitatem excludit illa vita, quæ materiæ expers nulla re eget, in qua naturam animi non ex ſicco, humidóque conſtare, ſed ex diuinæ naturæ cognitione, & huiuſce ſpiritus aërij loco, vero illo ſanctóq; ſpiritu frui non ambigimus. Quæ quidem bona non immutantur ad ſimilitudinem eorum, quæ ſunt in hac vita, dum ea vel aſſequimur, vel amittimus, dum inijcimus, vel eijcimus: ſed nunquam explent, nunquam ſatiant. Animi namque deliciæ non ſunt graues, nec fruentium deſiderio vllam vnquam afferunt ſatietatem. Ideóq; beata eſt illa vita, atque immortalis, quippe quæ ſenſuum libidine non fallitur in bonis dijudicandis. Quid igitur eſt in ipſa re mali, quamobrem amicorum & familiarium obitu doleamus? niſi qui dolendum exiſtimat, quòd ad vitam perturbationum ac miſeriarum expertem proficiſcũtur, in qua plagarum dolores non metuunt, non ignis minas, non ferri vulnera, non terræ motus, aut naufragij, aut ſeruitutis calamitates, nõ immanium ferarum impetus, non venenatos ac peſtiferos ſerpentium aculeos morſúſque reformidant. In qua nemo inflatur ſuperbia, nemo humilitate deprimitur, nemo effertur audacia, nemo timore cõcutitur, nemo nec iracũdia æſtuans & inſaniens excandeſcit, nec ſuperantis impetum ſuſtinere non valens metu contremiſcit. In quâ nulla ſollicitudo eſt, quales ſint Regum mores, à quónam ferãtur leges, quibúſve magiſtratus cõmittantur, quæ decreta fiant, quæ quotannis imponantur tributa, aut ne immoderata imbriũ multitudo ſata deprimat, grandóve laborum ſuſceptorum ſpem auferat, aut ſiccitate, quæ nata ſunt, exareſcant. Aliorum item malorum, quæ hîc ſunt, apud eos nullus eſt timor. Neque enim aut orbitatis triſtitia, aut viduitatis moleſtia perturbantur. Illic ex tam multis morborum generibus, quibus corpora noſtra vexantur, nullus adeſt. Illic nec felicibus inuidetur, nec deſpiciuntur calamitoſi. Omnes hæ denique, & id genus aliæ miſeriæ abſunt ab illa vita quam lõgiſſimè. Contrà verò iuris & legum æquabilitas cũ ſumma libertate & pace in eo animorum populo verſatur.

A παραιρεῖται γὰρ πάντων τούτων καὶ τὴν τοιαύτην τὴν ἀνάγκην, ἡ ἀπροσδεὴς τῆς ζωῆς ἐκείνης καὶ ἄυλος, ἐν ᾗ τὸ διακρατοῦν τῆς ψυχῆς τὴν ὑπόστασιν, οὐ ξηρόν τι καὶ ὑγρόν τινός ἐστι μετουσία, ἀλλ' ἡ τῆς θείας φύσεως κατανόησις, ἀντὶ δὲ τοῦ ἐναερίου πνεύματος, τοῦ ἀληθινοῦ τε καὶ ἁγίου πνεύματος εἶναι τὴν κοινωνίαν οὐκ ἀμφιβάλλομεν· ὧν ἡ ἀπόλαυσις οὐκ ἐνηλλαγμένη καθ' ὁμοιότητα τοῦ τῇδε βίου διὰ ἕξεως καὶ στερήσεως γίνεται, εἰσκρινομένη τε καὶ ἀποποιουμένη, ἀλλ' ἀεὶ πληρουμένη καὶ οὐδέποτε παραγράφουσα κόρῳ τὴν πλήρωσιν. B ἀβαρὴς γὰρ ἡ νοερὰ τρυφή, καὶ ἀπλήρωτος πάντοτε ταῖς ἐπιθυμίαις τῶν μετεχόντων, ἀκορέστως ἐπιπλημμυρίζουσα. διὰ τοῦτο μακαρία τίς ἐστιν ἐκείνη ἡ ζωὴ καὶ ἀκήρατος, μηκέτι ταῖς τῶν αἰσθητηρίων ἡδοναῖς πρὸς τὴν κακοῦ κρίσιν ἐμπλανωμένη. τί τοίνυν ἐστὶ σκυθρωπὸν ἐν τῷ πράγματι, διὰ τὴν μετάστασιν τῶν ἐπιτηδείων ἐπιστυγνάζομεν; Εἰ μὴ τοῦτό τις ἄρα λυπηρὸν ἡγεῖται, ὅτι πρὸς τὸν ἀπαθῆ τε καὶ ἀνενόχλητον βίον αὐτοῖς ἡ μετάστασις γίνεται, ὃς οὔτε πληγῶν ὀδύνας προσίεται, οὐ πυρὸς δέδοικεν ἀπειλήν, C οὐ τὰ διὰ σιδήρου τραύματα, οὐκ ἀπὸ σεισμῶν καὶ ναυαγίων καὶ αἰχμαλωσιῶν συμφοράς, οὐ τὰς τῶν ὠμοβόρων θηρίων προσβολάς, οὐ τὰ τῶν ἑρπηστικῶν τε καὶ ἰοβόλων κέντρα καὶ δήγματα. ἐν ᾧ οὐδεὶς οὔτε ἐξογκοῦται τῷ τύφῳ, οὔτε πατεῖται ἐν ταπεινότητι, οὔτε ὑπὸ θράσους ἐκφέρεται, οὔτε ὑπὸ δειλίας καταπτοεῖται, οὔτε τῇ ὀργῇ περιοιδαίνει, ζέων τῷ θυμῷ καὶ μαινόμενος, οὔτε κλονεῖται ὑπὸ τοῦ φόβου, ἀντισχεῖν πρὸς τὴν τοῦ κρατοῦντος ὁρμὴν οὐ δυνάμενος. ἐν ᾧ φροντὶς οὐκ ἔστιν οἷα τῶν βασιλέων τὰ ἤθη· τίνες αἱ νομοθεσίαι, D οἷοι τῶν τρόπων οἱ ἐπὶ τῶν ἀρχῶν τεταγμένοι, οἷα τὰ διαγράμματα, πόσος ὁ ἐτήσιος φόρος· οὔτε εἰ πολλὴ γέγονεν ἐπομβρία, κατακλύζουσα τῇ ἀμετρίᾳ τὸ γεωργούμενον, οὔτε εἰ χάλαζα τὰς ἐλπίδας τῶν γεωπόνων ἠχρείωσεν, οὔτε εἰ αὐχμὸς ἐπικρατήσας ἀπεξήρανε πᾶν τὸ φυόμενον· ἀλλὰ καὶ τῶν λοιπῶν τοῦ βίου κακῶν πᾶσαν ἄδειαν ἔχει. ὀρφανίας τε γὰρ τὸ σκυθρωπὸν οὐ λυπεῖ τὴν ζωὴν ἐκείνην, τὰ ἐκ χηρείας κακὰ χώραν οὐκ ἔχει· ἀπογεγόνασι δὲ καὶ αἱ πολύτροποι τοῦ σώματος ἀρρωστίαι, οὔτε κατὰ τῶν εὐημερούντων φθόνοι, καὶ αἱ κατὰ τῶν δυσπραγούντων ὑπεροψίαι, καὶ πάντα τὰ τοιαῦτα τῆς ζωῆς ἐκείνης ἐξῴρισται. ἰσηγορία δέ τις καὶ ἰσονομία διὰ πάσης ἐλευθερίας εἰρηνικῆς, τῷ τῶν ψυχῶν δήμῳ συμπολιτεύεται.

B γὰρ αὐτοκρατές τε καὶ ἀδέσποτον ἴδιόν ἐστι τῆς θείας μακαριότητος. τὸ δὲ ἀνάγκης αὐτὸν ἐπί τι μεταχθῆναι βιαίως, ἀφαίρεσις τοῦ ἀξιώματος ἦν. εἰ γὰρ ἑκουσίως τὴν ἀνθρωπίνην φύσιν κατὰ τὴν αὐτεξούσιον κίνησιν ἐπί τι τῶν οὐ δεόντων ὁρμήσασαν, βιαίως τε καὶ κατηναγκασμένως τῶν αἱρεθέντων ἀπέστησεν, ἀφαίρεσις ἂν ἦν τοῦ προέχοντος ἀγαθοῦ τὸ γινόμενον, καὶ τῆς ἰσοθέου τιμῆς ἀποστέρησις. ἰσόθεον γάρ ἐστι τὸ αὐτεξούσιον. ὡς ἂν οὖν καὶ ἡ ἐξουσία μένοι τῇ φύσει, καὶ τὸ κακὸν ἀπογένοιτο, ταύτην εὗρεν ἡ σοφία τοῦ Θεοῦ τὴν ἐπίνοιαν, τὸ ἐάσαι τὸν ἄνθρωπον ἐν οἷς ἐ-
C βουλήθη γενέσθαι, ἵνα γευσάμενος τῶν κακῶν, ὧν ἐπεθύμησεν, καὶ τῇ πείρᾳ μαθὼν, οἷα ἀνθ᾽ οἵων ἠλλάξατο, πάλιν δρομήσῃ διὰ τῆς ἐπιθυμίας ἑκουσίως πρὸς τὴν πρώτην μακαριότητα, ἄπαν τὸ ἐμπαθές τε καὶ ἄλογον, ὥσπερ τι ἄχθος ἀποσκευάσας τῆς φύσεως, ἤτοι κατὰ τὴν παροῦσαν ζωὴν, διὰ προσευχῆς τε καὶ φιλοσοφίας ἐκκαθαρθεὶς, ἢ μετὰ τὴν ἐνθένδε μετανάστασιν, διὰ τῆς τοῦ καθαρσίου πυρὸς χωνείας. ὥσπερ γὰρ εἴ τις ἰατρικὸς ὢν, καὶ πᾶ-
D σαν ἐπιστήμην τῶν τε σωτηρίων, καὶ τῶν δηλητηρίων ἐκ τέχνης ἔχων, συμβουλεύων τῷ μειρακίῳ τὰ δέοντα, μὴ δυνηθείη διὰ συμβουλῆς κωλῦσαι τὸν ἀτελῆ, κατὰ τὴν ἡλικίαν τε καὶ τὴν φρόνησιν ἐπιθυμητικῶς πρός τινα φθοροποιὸν καρπὸν ἢ πόαν διατεθέντα, ἔχων δὲ παντοίαν τῶν ἀλεξιφαρμάκων παρασκευὴν, ἐπιτρέψειε τῷ παιδὶ μεταλαβεῖν τῶν βλαπτόντων, ἐφ᾽ ᾧ τε διὰ τῆς τῶν ἀλγεινῶν πείρας τὸ χρήσιμον τῆς πατρῴας συμβουλῆς μαθόντα, καὶ ἐν ἐπιθυμίᾳ τῆς ὑγείας γενόμενον, πάλιν διὰ

τὴν ἀλεξιτηρίων ἐπαναγάγῃ πρὸς εὐεξίαν τὸν παῖδα, ἧς διὰ τῆς ἀτόπου τῶν δηλητηρίων ἐπιθυμίας ἐξέπεσεν· οὕτως ὁ γλυκύς τε καὶ ἀγαθὸς τῆς φύσεως ἡμῶν πατήρ, ὁ εἰδὼς καὶ δι' ὧν σωζόμεθα, ἐγνώρισε μὲν τῷ ἀνθρώπῳ τὸ δηλητήριον, καὶ τὸ μὴ μεταλαβεῖν συνεβούλευσεν· κρατησάσης δὲ τῆς ἐπιθυμίας τοῦ χείρονος, οὐκ ἠπόρησε τῶν ἀγαθῶν ἀντιφαρμάκων, δι' ὧν ἐπαναγάγῃ πάλιν πρὸς τὴν τῆς ἀρχῆς εὐεξίαν τὸν ἄνθρωπον. τὴν γὰρ ὑλικὴν ταύτην ἡδονὴν περὶ τῆς ψυχικῆς εὐφροσύνης τοῦ ἀνθρώπου προελομένου, συνεχώρησε μέν πως ἔδοξεν αὐτῷ τῇ ὁρμῇ διὰ τοῦ δερματίνου χιτῶνος, ὃν διὰ τὴν πρὸς τὸ χεῖρον αὐτοῦ ῥοπὴν περιέθηκεν, δι' οὗ τῆς ἀλόγου φύσεως ἐπεμίχθη τῷ ἀνθρώπῳ τὰ ἰδιώματα, ὧν τῶν ἀλόγων ζώων τῆς λογικῆς φύσεως ἔνδυμα κατεσκευάσθη τῇ σοφίᾳ τοῦ διὰ τῶν ἐναντίων οἰκονομοῦντος τὰ κρείττονα. πάντα γὰρ φέρων ἐν ἑαυτῷ τὰ ἰδιώματα ὁ δερμάτινος χιτών, ὅσα εἶχεν περιέχων τὴν ἄλογον φύσιν, ἡδονήν τε καὶ θυμὸν καὶ γαστριμαργίαν, καὶ ἀπληστίαν, καὶ τὰ ὅμοια, ὁδὸν δίδωσι τῇ ἀνθρωπίνῃ προαιρέσει τῆς καθ' ἑκάτερον ῥοπῆς, εἰς ἀρετήν τε καὶ κακίαν ὕλη γινόμενος. τούτοις γὰρ ἐμβιοτεύων κατὰ τὸν τῇδε βίον ὁ ἄνθρωπος τῇ αὐτεξουσίῳ κινήσει, εἰ μὲν διακρίνοιτο τοῦ ἀλόγου τὸ ἴδιον, καὶ πρὸς ἑαυτὸν βλέποι διὰ τῆς ἀστειοτέρας ζωῆς, καθάρσιον τῆς ἐμμιχθείσης κακίας τὸν παρόντα βίον ποιήσεται, κρατῶν διὰ τοῦ λόγου τῆς ἀλογίας. εἰ δὲ πρὸς τὴν ἄλογον τῶν παθημάτων ῥοπὴν ἐπικλιθείη, τῷ τῶν ἀλόγων δέρματι συνεργῷ χρησάμενος πρὸς τὰ πάθη, ἄλλως μετὰ ταῦτα βουλεύσεται πρὸς τὸ κρεῖττον, μετὰ τὴν ἐκ τοῦ σώματος ἔξοδον γνοὺς τῆς ἀρετῆς τὸ πρὸς τὴν κακίαν διάφορον, ἐν ᾧ μὴ δύνασθαι μεταλαβεῖν τῆς θειότητος, μὴ τοῦ καθαρσίου πυρὸς τὸν ἐμμιχθέντα τῇ ψυχῇ ῥύπον ἀποκαθήραντος. ταῦτά ἐστιν ἃ τὴν τοῦ σώματος χρείαν ἀναγκαίαν ἡμῖν ἐποίησεν, δι' οὗ τό τε αὐτεξούσιον σώζεται, καὶ ἡ πρὸς τὸ ἀγαθὸν πάλιν ἐπάνοδος οὐ κωλύεται· ἀλλὰ τῇ προσοδικῇ ταύτῃ ἀκολουθίᾳ, διὰ τοῦ ἑκουσίου γὰρ ἡμῖν ἡ πρὸς τὸ κρεῖττον ῥοπή. τῶν μὲν εὐθὺς ἤδη διὰ τῆς ἐν σαρκὶ ζωῆς τὸν πνευματικὸν ἐν ἀπαθείᾳ κατορθούντων βίον, οἵους γεγενῆσθαι τοὺς πατριάρχας τε καὶ τοὺς προφήτας ἀκούομεν, καὶ τοὺς σὺν αὐτοῖς τε καὶ μετ' ἐκείνους δι' ἀρετῆς τε καὶ φιλοσοφίας ἀνα-

A reduceret ſtatum, vnde propter ſtultam cibi peſtiferi cupiditatem exciderat: ſic humanæ naturę dulciſſimus atque optimus pater, quæ ſalutaria, quæve perniciosa eſſent homini, planè nouerat: itaque illum admonuit, ne perniciosa contingeret. Verùm cùm rei deterioris cupiditate victus eſſet, medicamentis non indiguit, quibus eum ad priſtinam ſanitatē reuocaret. Etenim cùm corpoream iſtam voluptatem animi lætitiæ prætuliſſet, viſus eſt quodammodo Deus permittere, hominem eo impetu ferri, propter tunicam illam pelliceam, quam ob B eius propenſionem ad malum induit illum, qua quidem tunica naturæ ratione vacantis proprietates homini admiſtæ ſunt. Sapientia enim illa quæ per contraria, quod melius eſt, diſponit, naturæ ratione prædicæ beſtiarum indumētum confecit. Nam tunica illa pellicea ſecum ferens omnes proprietates, quas ex beſtiarum natura continet, nempe voluntatem, iracundiam, gutturis ventriſque vitia, & alia eiuſdem generis, hominis propoſito præbet occaſionem, vt, ad verum velit, ſeſe conuertat, cùm virtutis C & vitij materia ſit, in quibus, dum hîc viuit, pro arbitratu ſuo verſatur. Si neglecto, quod beſtiarum eſt, vrbanius viuendi genus complectetur, ratione vincens, quod rationi contrarium eſt, præſenti hac vita vitium ſibi admiſtum expiabit. Sin quò perturbationum impetus ducet, inclinabit, beſtiarumque pellem ad vitia miniſtram & adiutricem adhibebit, aliud ei deinde ineundum erit conſilium, vt ad bonum perueniat, cùm è corpore egreſſus, cognita, quæ inter virtutem & vitium eſt differentia, non poterit diuinitatis particeps fieri, D niſi maculas animo immiſtas purgatorius ignis abſtulerit. His de cauſſis corporis vſus nobis eſt neceſſarius. Eo namque & liberum nobis adeſt arbitrium, & reditus non intercluditur, ſed hoc ordine & verſu volentes ad bonum prouehimur, aliis quidem iam inde ab eo tempore, quo viuunt hic ſpiritalem, & à vitiis ac perturbationibus alienam vitam inſtituentibus, quales intelligimus, Patriarchas, & Prophetas extitiſſe, & qui vnà cum ipſis, & poſt ipſos per virtutem & ſapientiæ ſtudium ad perfectionem

reuerterunt, diſcipulos, & Apoſtolos, & Martyres dico, & quicumque corporeo in materiáque demerſo honeſtum, & cum virtute coniunctum viuendi genus antepoſuerunt: qui licet numero pauciores fuerint, quàm illi, qui ad deteriora deflexerunt, exemplo tamen ac teſtimonio ſuo virtutem in carne coli, compararíque poſſe teſtantur: Aliis autem poſt hanc vitam purgatorio igne materiæ labes & propenſionem ad malum abſtergentibus, & ad gratiam initio naturæ conceſſam voluntaria bonorum cupiditate redeuntibus. Alienorum enim cupiditas in natura perpetuo nõ inhæret. Quoniã quod naturæ nõ eſt proprium, quódque nullam principio cum ipſa ſocietatem habebat, vnicuíque ſatietatem & faſtidium affert, ſolúmque id, quod illi cognatum, ac ſimile eſt, optandum ipſi ſemper amandúmque relinquitur. Quòd ſi vitio deprauatæ voluntatis aliquo modo degenerauit, tunc ineſt illi cupiditas rerum externarum, quibus fruendis non ipſa natura, ſed naturæ affectio delectatur: qua quidem affectione depulſa, rerum etiam externarum cupiditas diſcedit: & quòd illi ſuum ac proprium eſt, rurſum amabile manet, & expetendum: id autem eſt purum, & à materia corporéque ſeiunctum; quod ſi quis præſtantiſſimę rerum omnium diuinitatis proprium dicat, non errabit. Quemadmodum enim corporis oculis, ſi acutior aliqua deſtillatio neruos, viuendi ſpiritum ſubminiſtrantes, perturbauerit, amicæ ſunt tenebræ, propter ſimilitudinem, quam obtuſi iam atque hebetes cum illis habent: at ſi curatione aliqua conficiatur, ac deleatur id, quod neruis illis officiebat, lucem oculi rurſum, vt propriam ſibique congruentem amant, quæ pupillæ puræ, & per ſe videnti commiſcetur: eodem modo, poſteaquam inimici fraude vitium inſtar cuiuſdam diſtillationis defluxit in oculos animi, vitam tenebroſicam vt ſibi propter ægritudinem conuenientem adamarunt. Quiſquis enim malè agit, odit lucem, vt vox diuina teſtatur. *Ioan. 3.* Malo autem conſumpto, & rurſus ad nihilum redacto, natura eo depulſo, quod animi oculos hebetabat, cum voluptate lucem iterum intuetur. Ex his igitur, quæ dicta ſunt, patet, carnis naturam iniquo animo proſequi, ſtultum eſſe. Neque enim ab

A δραμόντας ἐπὶ τὸ τέλειον, μαθητὰς λέγω καὶ ἀποστόλους καὶ μάρτυρας, καὶ πάντας τοὺς τὴν ἐνάρετον ζωὴν πρὸ τοῦ ὑλικοῦ τετιμηκότας βίου, οἳ κἂν ἐλάττους ὦσι τῷ ἀριθμῷ τοῦ πλήθους τῶν πρὸς τὸ χεῖρον ἀπορρεόντων, ἀλλ' οὖν ἧττον τὸ, δυνατὸν εἶναι διὰ σαρκὸς τὴν ἀρετὴν κατορθῶσαι μαρτυροῦνται. τῶν δὲ λοιπῶν διὰ τῆς εἰς ὕστερον ἀγωγῆς ἐν τῷ καθαρσίῳ πυρὶ ἀποβαλόντων τὴν πρὸς τὴν ὕλην προσπάθειαν, καὶ πρὸς τὴν ἐξ ἀρχῆς ἀποκληρωθεῖσαν τῇ φύσει χάριν, διὰ τῆς τῶν ἀγαθῶν ἐπιθυμίας ἑκουσίως ἐπανιόντων. οὐ γὰρ εἰς ἀεὶ παραμένει τῶν ἀλλοτρίων B ἡ ἐπιθυμία τῇ φύσει. διότι πλήσμιον ἑκάστῳ καὶ προσκορές ἐστι τὸ μὴ ἴδιον, οὗ μὴ κατ' ἀρχὰς ἔχει ἐν ἑαυτῇ τὴν κοινωνίαν ἡ φύσις· μόνον δὲ τὸ συγγενὲς καὶ ὁμόφυλον ποθεινὸν καὶ ἐράσμιον εἰς ἀεὶ διαμένει. ἕως ἂν ἐφ' ἑαυτῆς ἡ φύσις ἀπαράτρεπτος μένῃ. εἰ δέ τινα ἐκ τροπῆς πάθοι διὰ μοχθηρᾶς προαιρέσεως, τότε αὐτῇ τῶν ἀλλοτρίων ἡ ἐπιθυμία ἐγγίνεται, ὧν ἡ ἀπόλαυσις ἡδύνει οὐχὶ τὴν φύσιν, ἀλλὰ τὸ πάθος τῆς φύσεως· ἐκχωρήσαντος δὲ τοῦ πάθους, καὶ ἡ τῶν παρὰ φύσιν ἐπι- C θυμία συναπεχώρησεν, καὶ γίνεται πάλιν αὐτῇ τὸ οἰκεῖον ποθεινὸν καὶ κατάλληλον. τοῦτο δέ ἐστι τὸ καθαρόν τε καὶ ἄϋλον καὶ ἀσώματον, ὅπερ ἴδιον τῆς ὑπερκειμένης τῶν πάντων θεότητος εἰπών τις, οὐχ ἁμαρτήσεται. ὡς γὰρ τοῖς σωματικοῖς ὀφθαλμοῖς ῥεύματός τινος δριμυτέρου τὸ ὀπτικὸν πνεῦμα θολώσαντος, ἡδίων ὁ ζόφος γίνεται, διὰ τὴν τῆς παχύτητος πρὸς τὸ σκότος συγγένειαν. εἰ δὲ δαπανηθείη διά τινος θεραπείας τὸ ἐνοχλῆσαν τῷ πνεύματι, πάλιν τὸ φῶς οἰκεῖον καὶ κατάλληλον γίνεται τῷ καθαρῷ τε καὶ αὐγοειδεῖ τῆς κόρης κα- D ταμιγνύμενον. τὸν αὐτὸν τρόπον ἐπειδὴ ῥεύματός τινος δίκην δι' ἀπάτης τοῦ ἀντικειμένου ἐπερρύη τοῖς ὀπτικοῖς τῆς ψυχῆς ἡ κακία, ἑκουσίως πρὸς τὸν σκοτεινὸν βίον ὁ λογισμὸς ἐπεκλίθη, διὰ τοῦ πάθους οἰκειωθεὶς τῷ ζόφῳ. πᾶς γὰρ ὁ τὰ φαῦλα πράττων, μισεῖ τὸ φῶς, καθώς φησιν ἡ θεία φωνή. ἐκδαπανηθέντος δὲ τοῦ κακοῦ ἐκ τῶν ὄντων, καὶ εἰς τὸ μὴ ὂν αὖθις μεταχωρήσαντος, πάλιν μεθ' ἡδονῆς ἀναβλέπει πρὸς τὸ φῶς ἡ φύσις, τοῦ ἐπιθολοῦντος τὸ καθαρὸν τῆς ψυχῆς ἐκχωρήσαντος. μάταιον τοίνυν δέδεικται διὰ τῶν εἰρημένων τὸ, δυσμενῶς πρὸς τὴν τῆς σαρκὸς ἔχειν φύσιν. οὐ γὰρ ταύτης ἤρτηται τῶν

ται τῶν κακῶν ἡ αἰτία. ἡ γὰρ ἂν κατὰ πάντων ἐπίσης εἶχε τὸ κράτος τῶν τὸν σωματικὸν εἰληχότων βίον. ἀλλ' ἐπειδὴ τῶν ἐπ' ἀρετῆς μνημονευομένων ἕκαστον καὶ ἐν σαρκὶ ὄν, καὶ ἐν κακίᾳ οὐκ ὄν, φανερὸν διὰ τούτων ἐστίν, ὅτι οὐ τὸ σῶμα τῶν παθημάτων αἴτιον, ἀλλ' ἡ προαίρεσις ἡ δημιουργοῦσα τὰ πάθη. τὸ μὲν γὰρ σῶμα καταλλήλως τῇ ἰδίᾳ κινεῖται φύσει, δι' ὧν συντηρεῖται πρὸς τὴν ἑαυτοῦ σύστασιν καὶ διαμονήν. πρὸς ταῦτα ταῖς ἰδίαις ὁρμαῖς διακινούμενον. οἷόν τι λέγω, βρώσεως ἐστὶν αὐτῷ χρεία καὶ πόσεως, ὥστε τὸ διαπνευσθὲν τῆς δυνάμεως πάλιν ἀντεισαχθῆναι τῷ λείποντι· πρὸς τοῦτο κινεῖται ἡ ὄρεξις. πάλιν διὰ τῆς τῶν γινομένων διαδοχῆς, θνητὴ οὖσα ἡ τοῦ σώματος φύσις ἀθανατίζεται· διὰ τοῦτο καὶ πρὸς ταύτην τὴν ὁρμὴν ἐπιτηδείως ἔχει. ἔτι πρὸς τούτοις γυμνὸν τῶν ἐκ τῶν τριχῶν σκεπασμάτων τὸ σῶμα πεποίηται, οὗ χάριν τῆς ἔξωθεν περιβολῆς ἐδεήθημεν. ἀλλὰ καὶ πρὸς φλογμόν τε καὶ κρύος καὶ ἐπομβρίας ἀντέχειν οὐ δυνάμενοι, τὴν ἐκ τῶν οἰκιῶν σκέπην ἐπεζητήσαμεν. ταῦτα καὶ τὰ τοιαῦτα ὁ μὲν λελογισμένως πρὸς τὴν χρείαν βλέπων, δέχεται τούτων ἕκαστον ἀπραγμόνως ὁρῶν, τῆς ὀρέξεως τὸν σκοπὸν τὴν χρείαν ποιούμενος, οἶκον, ἱμάτιον, συζυγίαν, τροφήν, δι' ἑκάστου τούτων θεραπεύων τὸ ἐνδεὲς τῆς φύσεως. ὁ δὲ τῶν ἡδονῶν ὑπηρέτης, ὁδοὺς παθημάτων ταῖς ἀναγκαίαις χρείαις ἐποίησεν· ἀντὶ μὲν τῆς τροφῆς, τὴν τρυφὴν ἐπιζητῶν· ἀντὶ δὲ τῆς περιβολῆς, τὸν καλλωπισμὸν περιαιρούμενος· ἀντὶ δὲ τῆς τῶν οἰκιῶν χρείας τὴν πολυτέλειαν· ἀντὶ δὲ τῆς παιδοποιίας, πρὸς τὰς παρανόμους τε καὶ ἀπηγορευμένας ἡδονὰς βλέπων. διὰ τοῦτο ἥ τε πλεονεξία πλατείαις ταῖς πύλαις τῇ ἀνθρωπίνῃ ζωῇ εἰσεκώμασεν, καὶ ἡ μαλακία, καὶ ὁ τῦφος, καὶ ἡ γαυρότης, καὶ ἡ πολυειδὴς ἀσωτία. ταῦτα καὶ τὰ τοιαῦτα, ὥσπερ τινὲς ὄζοι καὶ παραφυάδες τῶν ἀναγκαίων χρειῶν παρεβλάστησαν, διὰ τὸ ὑπερβῆναι τοὺς τῆς χρείας ὅρους τὴν ὄρεξιν, καὶ τοῖς ἐπ' οὐδενὶ χρησίμοις σπουδαζομένοις ἐπιπλατύνεσθαι. τί γὰρ κοινὸν ἔχει πρὸς τὸ τῆς τροφῆς χρήσιμον, ὁ διάγλυφος ἄργυρος, χρυσῷ καὶ λίθοις ἐπανθιζόμενος; ἢ τίνος χάριν ἐπεδεήθη τὸ ἱμάτιον τοῦ χρυσοῦ νήματος, καὶ τῆς διανθούσης πορφυρίδος, καὶ τῆς ὑφαντικῆς ζωγραφίας, δι' ἧς πόλεμοι, καὶ θῆρες, καὶ τὰ τοιαῦτα τοῖς χιτῶσί τε καὶ τοῖς ἐνδύμασι παρὰ τῶν ὑφαινόντων ἐνζωγραφοῦνται; οἷς συμ-

A illa pendet malorum cauſa. Nam ſi ſic eſſet, eandem haberet in omnes vim, qui corpoream ſortiti ſunt vitam. Verum cùm ij, quos commemorauimus, ſic ex virtute vixerint, vt, cùm in carne eſſent, nullis tamen ſe vitiis obſtringerent, perſpicuum eſt, corpus non eſſe vitiorum cauſam, ſed propriã cuiuſq; volũtatem, quæ ſe vitiis contaminat. Corpus enim naturæ ſuæ conuenienter mouetur, ad eaque, quibus ſtatum ſuum tuetur atq; cõſeruat, impulſu proprio fertur, & trahitur. Exempli gratia cibo, potionéque indiget, vt, quod deperditur virium, inſtauretur. B itaq; cibũ potionéq; appetit. Rurſus natura corporis, quę mortalis eſt, procreationis ſerie fit immortalis: idcirco conueniens illi procreandi appetitus inſitus eſt. Ad hæc cùm idoneo pilorum præſidio corpora noſtra munita nõ ſint, veſtimẽtis extrinſecus admotis indigemus: cúmq; caloris, & frigoris, & imbriũ vim perferre nequeam⁹, domos, & tecta nobis conſtruimus. Qui prudenter neceſſitatẽ conſiderat, eius habita ratione, hæc & alia eiuſmodi ſine ſollicitudine comparat, appetitioniq; terminũ conſtituit, C vſum neceſſariũ: domum igitur, veſtimentũ, coniugium, cibúmq; naturæ ſuppeditat, vt rebus neceſſariis ſuſtentetur. Qui verò voluptatũ eſt ſeruus, per neceſſarios vſus vitiis aditum aperit, alimentíq; loco delicias quærit: pro veſtimento ſectatur elegantiam ornamentorum: pro ædiũ vſu colit ampliſſima magnificentiſſimáq; palatia: pro legitima liberorũ ſuſceptione, legibus cõtrarias, atq; nefarias libidines aucupatur. Quibus de cauſis latis portis ingreſſa eſt in hominũ vitam auaritia, mollities, & otiũ, & ſuperbia, & oſtentatio, multiplexD que luxuria. Hęc & horum ſimilia vitia, vt ſtolones, aut rami quidã inutiles, præter vitæ vſus neceſſarios prouenerunt, dum neceſſitatis terminos tranſilit appetitus, hominéſq; non curant, honeſtis ſtudiis dilatari. Quid enim alendo corpori proſunt argentea vaſa, auro, gemmíſq; tanquã florib. diſtincta atq; exornata? quẽ vſum afferũt veſtes aureis purpureíſq; filis contextæ, & varia elaboratæ pictura, qua & prœlia, & venationes, & alia res eiuſmodi in tunicis & indumentis ab artificibus deſcribũtur? Quæ

A quidem luxuria ſemper auaritiā comitem habet. Nam vt vires ſibi ad hæc parent, rerum cupitarum materiā auaritia ſubminiſtrat: eadémque auaritia infidelitati aditum patefacit. eſt enim, vt ait Solomon, dolium pertuſum, quod qui conantur implere, fruſtra laborant, & vacuū ſemper inueniunt. Corpus ergo non affert malorum cauſas, ſed ipſa voluntas, quæ neceſſarium vſum ad abſurdas & inutiles cupiditates detorquet. Nemo igitur temerè & incōſideratè noſtrum accuſet corpus, quo poſtea per regenerationem in ſtatum diuiniorē commutato animus decorabitur, cum ab inutilibus illud & ſuperuacaneis ſordibus

B & incommodis mors expurgauerit, vt vita futura perfruatur. Nam quæ illi nunc congruentia ſunt, iis non vtetur in altera vita, ad cuius fruenda bona fiet apta accommodatáque corporis noſtri conſtitutio. Non alienum autem erit, vt quod dicimus notæ peruulgatæque rei cuiuſpiam exemplo declaremus. Arti ærariæ vtilis eſt ferri infecti illaboratiq; maſſa, dum ea pro incude faber vtitur. At cum opus eſt ferro ad opus aliquod ſubtilius & magis elaboratum cōficiendum, tunc igne diligenter expurgantur maſſæ illius terreæ atque inutiles fæces, quas, qui artis eius periti ſunt, ſcoriam

C appellant. Atque ita quod olim erat incus, rudiſve ferri maſſa, ſubtiliter elaboratum lorica fit, aut aliquod aliud opus egregium & expolitum, ſuperuacaneis in fornace excoctis abiectíſque ſordibus, quæ tamen in ipſa incude aut maſſa conſideratæ ſuperuacuæ non putabantur. Confert enim aliquid ad ferri molem etiam ſcoria in maſſa permiſta. Perſpicuum hoc nobis eſt exemplū: accommodemus nunc præſentē conſiderationem ad eam quæ in exemplo con-

D ſpicitur intelligentiam: quídnam igitur iſtud eſt? hoc nimirū. Multas nunc habet natura corporis ſordes, ac veluti ſcoriā quandā, præſenti vitæ nō inutilē illam quidē aliquo modo, ſed tamen alienā prorſus ab ea felicitate, quā expectamus. Quemadmodū igitur in fornace ignis aufert & abſumit, quidquid in ferro eſt inutile, ſic in ipſa morte corpus ab omni re ſuperuacanea atque inutili per mortalitatis ſolutionem liberatur.

A μαχοῦσα ἡ τῆς πλεονεξίας ἐνεφύη νόσος. ἵνα γὰρ ἐπιτύχωσι πρὸς ταῦτα παρασκευῆς καὶ δυνάμεως, τὰς τῶν ἐπιθυμουμένων ὕλας παρὰ τῆς πλεονεξίας πορίζονται. ἡ δὲ πλεονεξία τῇ ἀπιστίᾳ τὴν εἴσοδον ἤνοιξεν, ἥτις ἐστὶ κατὰ τὸν Σολομῶνα, ὁ τετρημένος πίθος, ἀεὶ τοῖς ἀπαντλοῦσι λείπων, καὶ κενὸς εὑρισκόμενος. οὐκοῦν οὐ τὸ σῶμα τὰς τῶν κακῶν ἀφορμὰς, ἀλλ' ἡ προαίρεσις ἐμποιεῖ, τὸν σκοπὸν τῆς χρείας εἰς τὴν τῶν ἀτόπων ἐπιθυμίαν ἐκτρέπουσα. μὴ τοίνυν κακιζέσθω παρὰ τῶν ἀπερισκέπτων τὸ σῶμα, ᾧ μετὰ ταῦτα διὰ τῆς παλιγγενεσίας μεταστοιχειωθέντι, πρὸς τὸ θειότερον ἡ ψυχὴ καλλωπίσεται, τὰ περιττά τι

B καὶ ἄχρηστα, ὡς πρὸς τὴν ἀπόλαυσιν τῆς μελλούσης ζωῆς τοῦ θανάτου ἀποκαθαίροντος. οὐ γὰρ πρὸς ἃ νῦν ἐπιτηδείως ἔχει, τὰ αὐτὰ καὶ ἐν τῷ μετὰ ταῦτα χρησιμεύσει βίῳ· ἀλλ' οἰκεία τε καὶ κατάλληλος ἔσται τῇ ἀπολαύσει τῆς ζωῆς ἐκείνης, ἡ τοῦ σώματος ἡμῶν κατασκευὴ, ἁρμοδίως πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν διατεθεῖσα· οἷόν τι λέγω· κρεῖττον γὰρ ὑποδείγματι τῶν γνωρίμων τινὶ διασαφηνίσαι τὸ νόημα· ἡ τοῦ σιδήρου βῶλος χρησιμεύει τῇ χαλκευτικῇ τέχνῃ, ἀκατέργαστος ἄκμων γινομένη τοῦ τεχνιτεύοντος. ἀλλ' ὅταν δέῃ πρός τι λεπτότερον μετεργασθῆναι τὸν

C σίδηρον, τότε δι' ἐπιμελείας τὴν βῶλον τοῦ πυρὸς ἐκκαθήραντος, ἅπαν ἀποτίθεται τὸ γεῶδες καὶ ἄχρηστον, ὃ δὴ σκωρίαν οἱ τεχνῖται τῆς ἐργασίας ταύτης κατονομάζουσι· καὶ οὕτως ὁ ποτὲ ἄκμων λεπτουργηθεὶς, ἢ θώραξ, ἢ ἄλλο τι τῶν λεπτῶν κατασκευασμάτων ἐγένετο, τοῦ τοιούτου περιττώματος ἐκκαθαρθεὶς διὰ τῆς χωνείας, ὅπερ ἕως ποτὲ ἄκμων ἦν, οὐκ ἐνομίζετο πρὸς τὴν τότε χρείαν εἶναι περίττωμα. συντελεῖ γάρ τι καὶ ἡ σκωρία πρὸς τὸν ὄγκον τοῦ σιδήρου ἐγκαταμεμιγμένη

D τῇ βώλῳ. ἤδη νενόηται ἡμῖν τὸ ὑπόδειγμα· μετακτέον ἤδη πρὸς τὸ προκείμενον νόημα τὴν ἐν τῷ ὑποδείγματι θεωρηθεῖσαν διάνοιαν. τί οὖν ἐστὶ τοῦτο; πολλὰς ἔχει νῦν σκωριώδεις ποιότητας ἡ τοῦ σώματος φύσις, αἳ κατὰ μὲν τὴν παροῦσαν ζωὴν, πρός τι χρήσιμον συντελοῦσιν, ἀχρήστως δὲ παντάπασι καὶ ἀλλοτρίως ἔχουσι, πρὸς τὴν μετὰ ταῦτα προσδοκωμένην μακαριότητα. ὅπερ οὖν ἐν τῷ πυρὶ περὶ τὸν σίδηρον γίνεται, τὸ ἄχρηστον ἀπὸ τῆς χωνείας ἀποποιούσης, τοῦτο διὰ τοῦ θανάτου κατορθοῦται τῷ σώματι, παντὸς περιττώματος ἀποποιουμένου διὰ τῆς ἐν τῇ νεκρότητι λύσεως.

A Φανερὰ μὲν οὖν ἐστι πάντως τοῖς ἐπεσκεμμέναις ποῖα ταῦτά ἐστιν, ὧν ἀποκαθαίρεται τὸ σῶμα εἰς ὕστερον· ἅπερ εἰ μὴ παρείη κατὰ τὴν παροῦσαν ζωήν, ζημία γίνεται τοῦ βίου τούτου. πλὴν ἀλλὰ καὶ περὶ ἡμῶν σαφηνείας χάριν, δι' ὀλίγων εἰρήσεται. ἔστω καθ' ὑπόθεσιν αὐτὴ μὲν τῆς βώλου, ἡ ὄρεξις ἡ φυσικῶς ἐπὶ πάντων ἐνεργουμένη· αὐτὴ δὲ τῆς σκωρίας ταῦτα, πρὸς ἃ νῦν τὰς ὁρμὰς ἔχει ἡ ὄρεξις, ἡδοναί, καὶ πλοῦτοι, καὶ φιλοδοξίαι, καὶ δυναστεῖαι, καὶ θυμοί, καὶ τῦφοι, καὶ τὰ τοιαῦτα. τούτων ἁπάντων καὶ τῶν τοιούτων, καθάρσιον ἀκριβὲς ὁ θάνατος γίνεται· B ὧν γυμνωθεῖσά τε καὶ καθαρθεῖσα πάντων ἡ ὄρεξις, πρὸς τὸ μόνον ὀρεκτόν τε καὶ ἐπιθυμητὸν καὶ ἐράσμιον τῇ ἐνεργείᾳ τραπήσεται, οὐκ ἀποσβέσασα καθόλου τὰς ἐγκειμένας φυσικῶς ἡμῖν ἐπὶ τὰ τοιαῦτα ὁρμάς, ἀλλὰ πρὸς τὴν ἄϋλον τῶν ἀγαθῶν μετουσίαν μεταποιήσασα. ἐκεῖ γὰρ ὁ ἔρως τοῦ ἀληθινοῦ κάλλους, ὁ ἄπαυστος, ἐκεῖ ἡ ἐπαινετὴ τῶν τῆς σοφίας θησαυρῶν πλεονεξία, καὶ ἡ καλή τε καὶ ἀγαθὴ φιλοδοξία ἡ τῇ κοινωνίᾳ τῆς τοῦ Θεοῦ βασιλείας κατορθουμένη, καὶ τὸ καλὸν C πάθος τῆς ἀπληστίας, οὐδέποτε κόρῳ τῶν ὑποκειμένων πρὸς τὸν ἀγαθὸν πόθον ἐπικοπτόμενον. οὐκοῦν μαθὼν ὅτι τοῖς καθήκουσι χρόνοις ὁ τοῦ παντὸς τεχνίτης τὴν τοῦ σώματος βῶλον εἰς ὅπλον εὐδοκιμίας μεταχαλκεύσει, θώρακα δικαιοσύνης, καθώς φησιν ὁ ἀπόστολος, καὶ μάχαιραν πνεύματος, καὶ περικεφαλαίαν ἐλπίδος, καὶ πᾶσαν τὴν τοῦ Θεοῦ πανοπλίαν κατεργασάμενος, ἀγαπᾷ τὸ ἴδιον σῶμα κατὰ τὸν τοῦ ἀποστόλου νόμον, ὅς φησιν, ὅτι οὐδεὶς τὸ ἑαυτοῦ σῶμα ἐμίσησεν. τὸ σῶμα δὲ τὸ κεκαθαρ- D μένον ἀγαπᾶσθαι χρή, οὐ τὴν ἀποποιουμένην σκωρίαν. ἀληθὲς γάρ φησιν, ὥς φησιν ἡ θεία φωνή, ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, τότε αὐτὴν εὑρήσομεν οἰκοδομὴν ἐκ Θεοῦ γενομένην, οἰκίαν ἀχειροποίητον, αἰώνιον ἐν τοῖς οὐρανοῖς, ἀξίαν τοῦ εἶναι αὐτὴν Θεοῦ κατοικητήριον ἐν πνεύματι. καί μοι μηδεὶς χαρακτῆρα, καὶ σχῆμα, καὶ εἶδος ὑπογραφέτω τῆς ἀχειροποιήτου ἐκείνης οἰκίας, καθ' ὁμοιότητα τῶν νῦν ἐπιφαινομένων ἡμῖν χαρακτήρων, καὶ διακρινόντων ἡμᾶς ἀπ' ἀλλήλων τοῖς ἰδιώμασιν.

Quæ autem ſint ea, à quibus corpus in poſterum expurgabitur, quæ niſi hîc adeſſent, præſens hæc vita damnum faceret, licet cuiuis ſtudioſe conſideranti facilè intelligere: tamen quo planius etiam conſtet, vt à propoſito exemplo non recedamus, breuiter à nobis etiam recenſebuntur. Maſſa igitur ſit appetitio, quæ naturaliter eſt omnibus inſita, ſcoria autem, & fæces, ea, ad quæ nunc impetu ducitur & trahitur appetitio, nempe voluptates, diuitiæ, gloria, principatus, iracundia, tumor, arrogantia, & id genus alia, à quibus omnibus nos expiatos mors ac planè liberos reddit. His enim exuta vacuáque appetitio ad id, quod ſolum expetendum, optandum, amandúmque eſt, vim transfert ſuam, non extinguens penitus inſitos ad hæc impetus à natura, ſed eos conuertens ad illa bona perfruenda, quæ à materia ſeiuncta ſunt. Nam illic viget veræ pulchritudinis amor, qui nunquam extinguitur. Illic laudabilis adeſt ſapientiæ diuitiarum cupiditas, & præclarum ac bonum gloriæ ſtudium, quod in Dei regni ſocietate conſumitur, honeſtúmque diuinarum epularum deſiderium, quæ deguſtatæ nullam vnquam afferũt ſatietatem. Quamobrem qui nouit, totius orbis auctorem & opificem Deum opportuno tempore corporis molem ac maſſam in arma bonæ voluntati ſuæ grata acceptáque conflaturum, & loricam iuſtitiæ, vt inquit Apoſtolus, gla- *Epheſ. 6.* diúmque ſpiritus, & galeam ſpei, atque *1. Theſſ. 5.* omnem diuinam armaturam perfecturum, diligit corpus ſuum ex præſcripto legis, quam tulit Apoſtolus, nemo, in- *Epheſ. 5.* quiens, proprium corpus odit. Purum igitur ac mundum corpus oportet diligere, non autem ſordidam eius ſcoriam, quæ repudiatur & abijcitur. Verum eſt enim, quod continet diuina ſcriptura, nos, ſi terreſtris domus noſtra huius tabernaculi deſtruatur, tunc *2. Cor. 5.* ipſam iuuenturos ædificationem à Deo factam, domum non manu conſtructam, æternam in cœlis, dignam quæ Dei ſit domicilium in ſpiritu. Ac domus quidem illius non manufactæ figuram, & formam, & exemplum mihi nemo deſcribat ad ſimilitudinem earum, quibus proprietate diſtinguimur.

Etenim cum diuinis oraculis nō ſolum A prædictum ſit nobis, nos in vitam eſſe reuocandos, & reſurrecturos, verum etiam promittatur in ipſa diuina ſcriptura per ipſam reſurrectionem, immutari atque renouari nos oportere, omnino neceſſe eſt, vt, in quid immutandi ſimus, ideo prorſus ignoremus, quòd nullum eorum, quæ ſperamus, exemplum in hac vita ſimile cōtuemur. Nunc enim, quæ craſſa, & ſolida ſunt, natura deorſum feruntur. Tunc autem ſic immutabuntur, vt ſurſum tendant. Nos enim, vt ſcriptum eſt, poſteaquam natura per reſurrectionem in omnibus B in vitam reuocatis fuerit commutata,
1. Theſſ. 4. rapiemur in nubibus obuiam Domino in aëra, atque ita ſemper cum Domino erimus. Si igitur qui immutantur, corporis pondus non retinent, ſed diuiniorem in ſtatum tranſlati ſimul cum natura incorporea in ſublimi verſantur; planè conſentaneum eſt, vt color, figura, circumſcriptio, & reliquæ corporis proprietates aliqua ratione diuinitus commutentur. Idcirco tametſi videmus non eſſe neceſſarium, vt in iis, qui reſurrectione immutabuntur, vlla eiuſmodi C appareat differentia, qualem propter eorum, qui ſuccedunt, ordinem, neceſſariò natura nunc habet, nō tamen poſſumus explicare quales futuri ſint in illa commutatione. Vnum quidem fore omnium genus, vnumque Chriſti corpus futuros omnes, atque vnam omnibus formam imprimendam, diuina in cunctis imagine æqualiter elucente, non ambigimus. Idque, quod talium proprietatum loco in naturæ immutatione ſumus habituri, præſtātius eſſe dicimus, quàm vt vlla cogitatione conijcere valeamus. Ac ne tali in re noſtra planè rudis oratio deprehendatur, dicimus, maris & fœminæ differentiam nullum naturæ vſum præbituram; niſi quandam veluti filiorum ſuſceptionis ſimilitudinem promiſſa illa à Deo bonorum copia dignam intelligamus, vt eiuſmodi partui gignendi vis naturalis inſeruiat,
Eſa. 26. qualem ſentiebat Eſaias, cum diceret: Ex timore tuo domine concepimus, & parturiuimus, & peperimus, ſpiritúmque ſalutis tuæ fecimus in terra.

A οὐ γὰρ μόνης τῆς ἀναστάσεως ἡμῖν παρὰ τῶν θείων λογίων κεκηρυγμένης, ἀλλὰ καὶ τὸ δεῖν ἀλλαγῆναι τοὺς ἀναχρηματισθέντας διὰ τῆς ἀναστάσεως, τῆς θείας διεγγυωμένης γραφῆς, ἀνάγκη πᾶσα κεκρύφθαι παντάπασι καὶ ἀγνοεῖσθαι πρὸς ὅτι ἀλλαγησόμεθα, τὸ μηδὲν ὑπόδειγμα τῶν ἐλπιζομένων ἐν τῷ νῦν καθορᾶσθαι βίῳ. νῦν μὲν γὰρ πολὺ τὸ παχὺ καὶ στερέμνιον, ἐκ φύσεως ἔχει τὴν ἐπὶ τὸ κάτω φοράν. τότε δὲ πρὸς τὸ ἀνωφερὲς ἡ μεταποίησις τοῦ σώματος γίγνεται, ὥστε εἰπόντος τοῦ λόγου, ὅτι μετὰ τὸ ἀλλαγῆναι τὴν φύσιν, ἐν πᾶσι τοῖς ἀναβεβιωκόσι διὰ τῆς ἀναστάσεως, ἁρπα-B γησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν κυρίῳ ἐσόμεθα. εἰ τοίνυν ἐπὶ τῶν ἀλλαγέντων τὸ βάρος οὐ παραμένει τῷ σώματι, ἀλλὰ συμμετεωροπορεῖ τῇ ἀσωμάτῳ φύσει, οἱ πρὸς τὴν θειοτέραν μεταστοιχειωθέντες κατάστασιν, πάντως ὅτι καὶ τὰ λοιπὰ τῶν ἰδιωμάτων τοῦ σώματος, πρός τι τῶν θειοτέρων συμμετατίθεται, τὸ χρῶμα, τὸ σχῆμα, ἡ περιγραφή, καὶ τὰ καθ' ἕκαστον πάντα, τούτου χάριν οὐδεμίαν ἀνάγκην ὁρῶμεν τοῖς ἀλλα-C γεῖσι διὰ τῆς ἀναστάσεως, ἐνθεωρεῖσθαι τὴν τοιαύτην διαφοράν· ἣν νῦν διὰ τὴν τῶν ἐπιγινομένων ἀκολουθίαν ἀναγκαίως ἔχει ἡ φύσις. οὔτι μὴν ὅτι οὐκ ἔσται σαφῶς ἐστιν ἀποφήνασθαι ἀγνοούντων ἡμῶν εἰς ὅ,τι ταῦτα διὰ τῆς ἀλλαγῆς μεταβήσεται. ἀλλ' ὅτι μὲν γένος ἔσται τῶν πάντων ἕν, ὅταν ἓν σῶμα Χριστοῦ οἱ πάντες γενώμεθα, τῷ ἑνὶ χαρακτῆρι μεμορφωμένοι, οὐκ ἀμφιβάλλομεν πᾶσι κατὰ τὸ ἴσον τῆς θείας εἰκόνος ἐπιλαμπούσης. τί δὲ ἡμῖν ἀντὶ τῶν τοιούτων ἰδιωμάτων ἐν τῇ ἀλλαγῇ τῆς φύσεως προσγενήσεται, κρεῖττον εἶναι τῆς πάσης στοχαστικῆς ἐννοίας ἀπο-D φαινόμεθα. ὡς δ' ἂν μὴ καθ' ὅλου ἀγύμναστος ἡμῖν ὁ περὶ τούτου λόγος καταληφθείη, τοῦτο φαμέν, ὅτι εἰς οὐδὲν ἕτερον τῆς κατὰ τὸ ἄρρεν καὶ θῆλυ διαφορᾶς συνεργούσης τῇ φύσει, πλὴν τῆς παιδοποιΐας, τάχα τινὰ στοχασμὸν ἐστὶν ἀναλαβεῖν τῆς ἐπηγγελμένης τοῦ Θεοῦ τῶν ἀγαθῶν εὐλογίας ἐπάξιον ἐν τῷ περὶ τούτου λόγῳ, ὅτι εἰς τὴν ἐκείνου τοῦ τόκου ὑπηρεσίαν, μεταβήσεται ἡ γεννητικὴ τῆς φύσεως δύναμις, ὃ μετίχεν ὁ μέγας Ἡσαΐας εἰπών· ὅτι ἀπὸ τοῦ φόβου σου κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν, πνεῦμα σωτηρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς.

εἰ γὰρ ἀγαθὸς ὁ τοιοῦτος τόκος, καὶ σωτηρίας αἰτία γίνεται ἡ τεκνογονία, καθώς φησιν ὁ ἀπόστολος, οὐδέποτε τὸ πνεῦμα τῆς σωτηρίας γεννῶν τις παύσεται, ὁ ἅπαξ διὰ τοῦ τοιούτου τόκου τὸν πληθυσμὸν τῶν ἀγαθῶν ἑαυτῷ τεκνωσάμενος. ἀλλὰ κἂν τὸν χαρακτῆρα λέγῃ τις ᾧ μεμορφώμεθα, πάλιν ἡμῖν ἐν τῇ ἀναβιώσει τὸν αὐτὸν συμπαρέσεσθαι, οὐδὲ πρὸς τοῦτο πρόχειρος ἡμῖν ἐστιν ἡ διάνοια, οὕτως ἢ ἑτέρως ἔχειν ὑπονοῆσαι. εἴτε γὰρ ἐπὶ τοῦ αὐτοῦ λέγοι τις εἴδους τὴν ἀναβίωσιν ἔσεσθαι, εἰς πολλὴν ἀμηχανίαν ἐκπεσεῖται ὁ λόγος, διὰ τὸ μὴ τὸν αὐτὸν ἑαυτῷ κατὰ τὸ εἶδος τοῦ χαρακτῆρος πάντοτε διαμένειν τὸν ἄνθρωπον, ὑπό τε τῆς ἡλικίας καὶ τῶν παθημάτων ἄλλοτε πρὸς ἄλλο εἶδος μεταπλασσόμενον. ἄλλως γὰρ μορφοῦται τὸ νήπιον, καὶ τὸ μειράκιον, ἄλλως ὁ παῖς, ὁ ἀνήρ, ὁ μεσῆλιξ, ὁ γηραιός, ὁ πρεσβύτης. οὐδὲ τούτων ὡσαύτως ἔχει πρὸς τὸ ἕτερον· ἀλλὰ καὶ ὁ τῷ ἰκτέρῳ κακωθεὶς, καὶ ὁ ἐξῳδηκὼς τῷ ὑδέρῳ, ὅ τε ξηρανθεὶς ἐν τηκεδόνι· καὶ ὁ πολυσαρκήσας ἔκ τινος δυσκρασίας, ὁ κατάχολος, ὁ αἱματώδης, ὁ φλεγματίας· ἑκάστου τούτων πρὸς τὴν ἐπικρατοῦσαν δυσκρασίαν συμμορφουμένου, οὔτε παραμένειν ταῦτα μετὰ τὸ ἀναβιῶναι καλῶς ἔχει λογίσασθαι, τῆς ἀλλαγῆς πάντα σκευαζούσης πρὸς τὸ θειότερον, οὔτε οἷον ἡμῖν ἐπινοηθῆναι τὸ εἶδος εὔκολόν ἐστιν ἀναλογίσασθαι τῶν κατ᾽ ἐλπίδα ἡμῖν προκειμένων ἀγαθῶν, ὑπὲρ ὀφθαλμὸν καὶ ἀκοὴν, καὶ διάνοιαν εἶναι πεπιστευμένων. ἢ τάχα γνωριστικὸν εἶδος ἑκάστου τὴν ποιὰν ἰδιότητα τῶν ἠθῶν εἰπών τις, οὐ τοῦ παντὸς ἁμαρτήσεται. καθάπερ γὰρ νῦν ἡ κατά τινα παραλλαγὴ τῶν ἐν ἡμῖν στοιχείων κατὰ τῶν χαρακτήρων ἐν ἑκάστῳ διαφορὰς ἐξεργάζεται, κατὰ πλεονασμὸν ἢ ἐλάττωσιν τῶν ἀντιστοιχούντων τινὸς σχηματιζομένου τε καὶ χρωννυμένου τοῦ κατὰ τὴν μορφὴν ἰδιώματος· οὕτω μοι δοκεῖ τὰ ἰδιοποιοῦντα τότε τὴν ἑκάστου μορφὴν οὐ ταῦτα τὰ στοιχεῖα γίνεσθαι, ἀλλὰ τὰ τῆς κακίας ἢ τῆς ἀρετῆς ἰδιώματα, ὧν ἡ ποιὰ πρὸς ἄλληλα μίξις, ἢ οὕτως ἢ ἑτέρως τὸ εἶδος παρασκευάζει χαρακτηρίζεσθαι. οἷον δή τι σχεδὸν καὶ ἐπὶ τοῦ παρόντος γίνεται βίου· ὅταν ἡ ἔξωθεν τοῦ προσώπου διάθεσις, τὴν ἐν τῷ κρυπτῷ τῆς ψυχῆς καταμηνύῃ διάθεσιν, ὅθεν ῥᾳδίως ἐπιγινώσκομεν τόν τε τῇ λύπῃ κρατούμενον, καὶ τὸν τῷ θυμῷ

A Nam ſi bonus eſt partus huiuſmodi, ſalutiſque cauſa eſt procreatio filiorum, 1.Tim.2. vt ait Apoſtolus, nullus vnquam illic gignenti ſalutis ſpiritum finem faciet, qui tali partu ſibi copiam bonorum ſemel pepererit. Sin aliquis eandem formam nobis reuiuiſcentibus futuram dicat, ego, nec vt eius ſententiæ ſubſcribam, facile adduci queam, nec vtrum res aliter habeat, cogitare. Multa enim abſurda illius, qui ita ſentit, opinionem conſequuntur, cum non eadem ſemper in eodem homine ſpecies formáque maneat, ſed pro ætatum affe- B ctionúmque varietate aſſiduè commutetur. Etenim qui nunc eſt adoleſcens, infans puérque fuit, mox erit vir, deinde ad vitæ medium terminum veniet, pòſt illum tranſibit, fiétque iam ætate prouectus, & ſenex. Et qui horum in aliquo ſunt ætatis gradu, non ſunt inter ſe ſimiles, ſed alius regio morbo ſqualidus eſt, alius aqua intercute inflatus, alius confectus tabe, alius praua carnis redundantia corpulentus, alius bilis, alius ſanguinis, alius pituitæ nimia laborat copia: qui quidē omnes, vt tales reuiuiſcant, & iiſdem cum morbis maneant, C minimè putandum eſt; cùm omnia tunc in meliorem diuiniorémque ſtatum immutatione ſint conuertenda, nec facilè rurſum eſt explicare, qualis futura ſit præclara illa forma, qua decorabimur, cum ſpe nobis propoſita ſint ea bona, quæ nec oculis, nec auribus, nec cogitatione poſſumus cōprehendere. Quòd ſi quis formám, qua dignoſci valeamus, in certa morum qualitate diceret ſitam collocatámque fore, is non prorſus forſitan aberraret. Vt quemadmodū nunc quadam elementorum in nobis mutatione differentes in vnoquoque notas impreſſas cernimus, prout alicuius eo- D rum maiore minoréve copia, propria cuiuſque forma colórque fingitur: ita quæ tunc propriam ſingulorum formam exprimant, non elementa futura ſint, ſed vitiorum aut virtutum quædam inter ſe hoc aut illo modo commixtio, quæ expreſſa vniuſcuiuſque ſpecies apparebit. Cuius rei ſimile quiddam propemodum hîc etiam contigit, cùm ipſe vultus intimam animi affectionem indicat, vt hunc mœrore vinci, illum efferri ira-

cundia, alium flagrare cupiditate, aut contrà hunc natura lætum, illum minimè iracundum, alium inſigni quadam modeſtia præditum, facilè cognoſcamus. Quemadmodum igitur in hac vita animi affectio eſt veluti forma quædam in vultu, atque oculis expreſſa, qua, quo modo ſe intus habeat homo, declaratur: ſic mihi videtur, cùm natura hominis diuiniorem adepta ſit ſtatum, ex moribus quiſque ſuis effingi, nec aliud eſſe, aliud videri, ſed qualis eſt, talis omnino cognoſci, vt qui caſtus, qui iuſtus, qui manſuetus, qui purus, qui benignus, qui pius, atque inter hos qui bonis omnibus, aut qui vno tantum aut pluribus ornatus, quique in vno quidem inferior ſit, in alio autem ſuperior, cõſtet. Ex his enim ſimilibúſque magis minúſve præſtantibus proprietatibus, quæ in ipſis conſpicuè ſunt, variæ ſingulorum differentiæ diſtinguuntur, donec nouiſſima tandem, vt Paulus ait, inimica

1.Cor.15. morte deſtructa, malóque cunctis è rebus penitus exturbato atque deleto, vna in omnibus diuina pulchritudo fulgebit, ad cuius exemplar initio formati ſumus. Hæc autem eſt lux, puritas, immortalitas, vita, & veritas, & alia eiuſdem generis. Neque enim dedecet, diei luciſque filios & eſſe & videri. Lucis autem, & puritatis, & immortalitatis nulla mutatio differentiáve in eodem genere reperietur, ſed vna gratia in omnibus elucebit, cum filij lucis effecti fulgebunt vt ſol, quemadmodum voce ſua veriſſima Dominus ipſe

Matth.13. denuntiat: cúmque ex diuina promiſſione perfecti erunt, idémque ſentient, vna eadémque in omnibus gratia ſic effulgente, vt proximo quiſque ſuo lætitiam impertiatur. Ex quo fiet, vt aliorum alij pulchritudinem contuentes, mutuis inter ſe gaudiis viciſſim afficiantur, nulla mali, aut vitij, aut turpidinis macula decus illud in deformem ſpeciem commutante. Hæc vobis mens noſtra pro decedentibus ex hac vita voces eorum nobis, vt fieri poteſt, indicãs, diſſeruit. Nos autem Pauli verbis vten-

1.Theſſ.4. tes, conſiliũ noſtrum ad eos qui in ſquallore luctúque verſantur concludemus. Nolo vos ignorare, fratres, de dormien-

A διηρεθηκότα, καὶ τὸν ἐν ἐπιθυμίᾳ λυόμενον, καὶ ἐκ τοῦ ἐναντίου, τὸν φαιδρὸν, τὸν ἀόργητον, τὸν τῷ σεμνῷ χαρακτῆρι τῆς σωφροσύνης καλλωπιζόμενον. ὥσπερ τοίνυν κατὰ τὴν ἐνεστῶσαν ζωὴν μορφὴ γίνεται ἡ ποιὰ διάθεσις τῆς καρδίας, καὶ πρὸς τὸ ἐγκείμενον πάθος τὸ τοῦ ἀνθρώπου εἶδος ἀπεικονίζεται· οὕτω μοι δοκεῖ πρὸς τὸ θειότερον μεταβαλούσης τῆς φύσεως, εἰδοποιεῖσθαι διὰ τοῦ ἤθους ὁ ἄνθρωπος, οὐκ ἄλλό τι ὢν καὶ ἄλλο φαινόμενος, ἀλλ' ὅπερ ἐστὶ τοῦτο καὶ γινωσκόμενος, ὡς ὁ σώφρων, ὁ δίκαιος, ὁ πρᾶος, ὁ καθαρὸς, ὁ ἀγαπητικὸς, ὁ

B φιλόθεος, καὶ πάλιν ἐν τούτοις, ἢ ὁ πάντα ἔχων τὰ ἀγαθὰ, ἢ ὁ ἐν ἑνὶ μόνῳ κοσμούμενος, ἢ ὁ ἐν τοῖς πλείοσιν ὑπερισχόμενος, ἢ ὁ ἐν τῷδε μὲν ἐλαττούμενος, πλεονεκτῶν δὲ κατὰ τὸ ἕτερον. ἐκ τούτων γὰρ καὶ τῶν τοιούτων τῶν τε κατὰ τὸ κρεῖττον καὶ τῶν κατὰ τὸ ἐναντίον ἐπιθεωρουμένων ἰδιωμάτων, εἰς διαφορὰς ἰδίας οἱ καθ' ἕκαστον ἀπ' ἀλλήλων μερίζονται, ἕως ἂν τοῦ ἐσχάτου ἐχθροῦ καταργηθέντος, ὡς φησὶν ὁ ἀπόστολος, καὶ τῆς κακίας καθόλου πάντων τῶν ὄντων ἐξοικισθείσης, ἓν τὸ θεοειδὲς κάλλος ἐπαστράψῃ τοῖς

C πᾶσιν, ᾧ κατ' ἀρχὰς ἐμορφώθημεν. τοῦτο δέ ἐστι φῶς, καὶ καθαρότης, καὶ ἀφθαρσία, καὶ ζωὴ, καὶ ἀλήθεια, καὶ τὰ τοιαῦτα. οὐδὲ γὰρ ἀπεικός ἐστιν ἡμέρας τέκνα καὶ φωτὸς εἶναί τι καὶ φαίνεσθαι· φωτὸς δὲ καὶ καθαρότητος καὶ ἀφθαρσίας, οὐδεμία παραλλαγὴ οὐδὲ διαφορὰ πρὸς τὸ ὁμογενὲς εὑρεθήσεται· ἀλλὰ μία χάρις ἐπιλάμψει τοῖς πᾶσιν, ὅταν υἱοὶ φωτὸς γινόμενοι λάμψωσιν ὡς ὁ ἥλιος, κατὰ τὴν ἀψευδῆ τοῦ κυρίου φωνήν· ἀλλὰ καὶ τὸ πάντας ἔσεσθαι τετελειωμένους εἰς τὸ ἓν κατὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ λόγου, τῆς αὐτῆς ἔχεται διανοίας, τὸ μίαν καὶ τὴν αὐτὴν

D τοῖς πᾶσιν ἐπιφανήσεσθαι χάριν, ὡς τὴν αὐτὴν εὐφροσύνην ἕκαστον τῷ πέλας ἀντιχαρίζεσθαι, δι' ὧν ἕκαστος καὶ εὐφραίνεται τοῦ ἑτέρου τὸ κάλλος βλέπων, καὶ ἀντευφραίνει μηδεμιᾶς κακίας μεταμορφούσης τὸ εἶδος εἰς εἰδεχθῆ χαρακτῆρα. ταῦτα ἡμῖν ὁ νοῦς ὁ ἡμέτερος ὑπὲρ τῶν κατοιχομένων διείλεκται, τὰς φωνὰς ἐκείνων ὡς δυνατὸν ἡμῖν ὑποκρινόμενος. ἡμεῖς δὲ τῇ τοῦ μεγάλου Παύλου φωνῇ τὴν πρὸς τοὺς βαρυπενθοῦντας συμβουλὴν περιγράψωμεν. ὅτι οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ

τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ οὖν τι μεμαθήκαμεν σπουδῆς ἄξιον περὶ τῶν κεκοιμημένων, δι' ὧν ἡμῖν ὁ λόγος τὰ περὶ τούτων ἐφιλοσόφησεν, μηκέτι τὴν δυσγενῆ ταύτην καὶ ἀνδραποδώδη λύπην παραδεξώμεθα. ἀλλ' εἰ χρὴ καὶ λυπεῖσθαι, ἐκείνην ἑλώμεθα τὴν λύπην, τὴν ἐπαινετὴν καὶ ἐνάρετον. ὡς γὰρ τῆς ἡδονῆς τὸ μέν ἐστι κτηνῶδες καὶ ἄλογον, τὸ δὲ καθαρόν τε καὶ ἄϋλον· οὕτω καὶ τὸ ἀντικείμενον τῇ ἡδονῇ πρὸς κακίαν καὶ ἀρετὴν διαιρεῖται. ἔστιν οὖν τι τοῦ πένθους εἶδος μακαριζόμενον, καὶ πρὸς κτῆσιν ἀρετῆς οὐκ ἀπόβλητον, ὅπερ ἐναντίως ἔχει πρὸς τὴν ἄλογον ταύτην καὶ ἀνδραποδώδη κατήφειαν. ὁ μὲν γὰρ ἐν ταύτῃ γενόμενος, ἑαυτοῦ μετὰ ταῦτα διὰ μεταμελείας καθάπτεται, ὡς ἔξω τοῦ καθεστῶτος παρενεχθεὶς, ὅτι τοῦ πάθους ἥττων ἐγένετο· τὸ δὲ μακαριζόμενον πένθος, ἀμεταμέλητον καὶ ἀνεπαίσχυντον ἔχει τὴν σκυθρωπότητα, τοῖς δι' αὐτοῦ τὸν ἐνάρετον κατορθοῦσι βίον. πενθεῖ γὰρ ὡς ἀληθῶς ὁ ἐν συναισθήσει τῶν ἀγαθῶν ἐκείνων γενόμενος, ὧν ἀποπέπτωκεν, ἀντιπαραθεὶς τῇ ἐπικήρῳ ταύτῃ καὶ ῥυπώσῃ ζωῇ, τῇ ἀκηράτῳ ἐκείνῃ μακαριότητι, ἧς ἐν ἐξουσίᾳ ἦν, πρὶν τῇ ἐξουσίᾳ εἰς κακὸν ἀποχρήσασθαι· καὶ ὅσῳ πλέον ἐπὶ τοῦ τοιούτου βίου βαρύνει τὸ πένθος, τοσούτῳ μᾶλλον ἐπιταχύνει ἑαυτῷ τὴν τῶν ποθουμένων ἀγαθῶν κτῆσιν. ἡ γὰρ τῆς τοῦ κακοῦ ζημίας συναίσθησις, τῆς περὶ τὸ ποθούμενον σπουδῆς ὑπέκκαυμα γίνεται. Οὐκοῦν ἐπειδήπερ ἐστὶ καὶ σωτήριον πένθος, καθὼς ὁ λόγος ὑπέδειξεν, ἀκούσατε οἱ πρὸς τὸ τῆς λύπης πάθος εὐκόλως καταφερόμενοι, ὅτι οὐ κωλύομεν τὴν λύπην, ἀλλ' ἀντὶ τῆς κατεγνωσμένης τὴν ἀγαθὴν συμβουλεύομεν. μὴ λυπεῖσθε τοίνυν τὴν τοῦ κόσμου λύπην τὴν κατεργαζομένην τὸν θάνατον, καθώς φησιν ὁ ἀπόστολος, ἀλλὰ τὴν κατὰ Θεόν, ἧς τὸ πέρας ἡ τῆς ψυχῆς ἐστι σωτηρία. τὸ γὰρ εἰκῆ καὶ μάτην τοῖς κεκοιμημένοις ἐπιχεόμενον δάκρυον, τάχα καὶ κατακρίσεως αἴτιον γίνεται τῷ κακῶς οἰκονομοῦντι τὸ χρήσιμον. εἰ γὰρ ἐπὶ τούτῳ λυπηρὰν ταύτην διάθεσιν ἐνετεκτήνατο τῇ φύσει ὁ πάντα ἐν σοφίᾳ ποιήσας, ἐφ' ᾧ τι καθάρσιον μὲν αὐτὴν εἶναι πρὸς καταρχούσης κακίας, ἐφόδιον δὲ τῆς τῶν ἐλπιζομένων ἀγαθῶν μετουσίας·

A tibus, ne contriſtemini, ſicut & cæteri, qui ſpem non habent. Si quid ergo ſtudio dignum de iis qui dormierunt, didicimus, degenerem iſtum ſeruilémque mœrorem amplius ne ſuſcipiamus: aut ſi lugendum eſt, laudabilem illum complectamur luctum, qui cum virtute coniunctus eſt. Vt enim voluptas alia pecudibus conuenit rationique aduerſatur, alia pura eſt, & à materiæ ſordibus remota, ſic id, quod voluptati contrarium eſt, in vitium virtutémque diuiditur. Eſt igitur lugendi genus vnum, quod beatum vocatur, & in excolenda parandáque virtute non abijcitur, quod quidem ab inſana iſta ſeruilíque mœſtitia longe diuerſum eſt. In hac enim quicumque verſatur, in poſterum pœnitebit, quippe qui è conſtantiæ gradu depulſus ſe à perturbatione ſuperari permiſerit. At beatus ille luctus minimè repudiandam pudendámve triſtitiam præbet iis, qui per illum ex virtute vitam ſuam inſtituunt. Dolet enim ex animo, veréque luget is, qui illa bona conſiderat, à quibus excidimus, dum mortalem iſtam ac ſordidã vitam comparat cum immortali illa beatitudine, qua potiebatur antè, quàm poteſtate ad bonum abuteretur, quantóque magis in hac vita eiuſmodi luctum intendit, tantò celerius ad optatam bonorum poſſeſſionem aſpirat. Nam qui boni iacturam animaduertit, ad illud recuperandum ardentiore ſtudio concitatur. Proinde, cum ſalutare lugendi genus, vt oſtendimus, inueniatur, animaduertite, qui ad mœrorem & luctum eſtis propenſiores, nos non interdicere, quo minus mœreatis & lacrymetis, ſed vobis conſulere, vt pro malo damnatóque luctu bonum & laudabilem complectamini. Itaque nolite mundi luctum triſtitiámque ſuſcipere, quæ, vt inquit Apoſtolus, mortis cauſam affert, ſed eam mœſtitiam ſumite, quæ Deo placet, cuius finis eſt animi ſalus. Etenim inanes temeréque effuſæ pro defunctis lacrymæ fortaſſe cauſſa damnationis erunt illi, qui re abutitur bona. Nam ſi triſtem hanc animi affectionem idcirco nobis inſeruit is qui cuncta ſapienter egit, vt à malo, quod nos inuaſit, expiaret, & ad ea bona quæ ſperamus, fruenda perduceret:

1.Cor.7.

fortè qui fruſtra, atque inaniter lacrymas fundunt, vocabuntur in crimen apud dominum ſuum, vt malus ille *Luc.16.* villicus, qui, vt in Euangelio legimus, diuitias ſibi creditas inutiliter diſſipauerat. Quæcumque enim ad bonos vſus referri poſſunt, diuitiæ ſunt in *Matth.24* theſauris cœleſtibus enumeratæ. Nolo igitur ignorare vos, fratres, quæ de iis qui dormierunt, didicimus, & ſi quid præterea Spiritus ſanctus perfectioribus patefacit, ne triſtitia, mœroréque afficiamini, vt cæteri qui ſpem non habent. Soli enim, qui à fide alieni ſunt, præſentis vitæ finibus viuendi ſpem terminant & circumſcribunt, ideóque mortem deplorandam putant, quòd ea, quæ nos credimus, non ſperant. Nos autem, qui magno locupletique reſurrectionis à mortuis ſponſori vadique credidimus, ipſi rerum omnium procreatarum Domino, qui ob id mortuus eſt & reſurrexit, vt re ipſa reſurrectionis ratione confirmaret & comprobaret, certam atque exploratam bonorum ſpem habeamus, qua præſente luctus in eorum obitu, qui ex hac vita decedunt, nullum habebit locum. Deus autem noſter, Dominus Ieſus Chriſtus, qui afflictos atque humiles conſolatur, conſoletur animos veſtros, & miſericordia, benignitatéque ſua vos ad ſe diligendum inflammet atque corroboret: quoniam ipſi eſt gloria in ſæcula ſæculorum, Amen.

A τάχα ὁ μάτην καὶ ἀνωφελῶς ἐκχέων τὸ δάκρυον, διαβληθήσεται τῷ ἰδίῳ δεσπότῃ κατὰ τὸν εὐαγγελικὸν λόγον, ὡς κακὸς οἰκονόμος διασπείρων ἀχρήστως τὸν πιστευθέντα πλοῦτον. πᾶν γὰρ τὸ ἐπ' ἀγαθῷ χρησιμεῦον, πλοῦτός ἐστι τοῖς ταμιείοις τῶν κειμηλίων ἐναριθμούμενος. οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων, ταῦτα ἃ μεμαθήκαμεν, καὶ εἴ τι ἄλλο πρὸς τούτοις παρὰ τοῦ πνεύματος τοῦ ἁγίου τοῖς τελειοτέροις ἀποκαλύπτεται μάθημα, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. μόνων γάρ ἐστι τῶν ἀπίστων τὸ τῷ παρόντι βίῳ τὰς τῆς ζωῆς ἐλπίδας περιορίζειν, B καὶ διὰ τοῦτο συμφορᾶς ἄξιον ποιοῦνται τὸν θάνατον, ὅτι αὐτοῖς τὸ πιστευόμενον παρ' ἡμῶν οὐκ ἐλπίζεται. ἡμεῖς δὲ τῷ μεγάλῳ ἐγγυητῇ τῆς ἐκ νεκρῶν ἀναστάσεως πεπιστευκότες, αὐτῷ τῷ δεσπότῃ πάσης τῆς κτίσεως, ὃς διὰ τοῦτο καὶ ἀπέθανε καὶ ἀνέστη, ἵνα τῷ ἔργῳ τὸν περὶ τῆς ἀναστάσεως λόγον πιστώσηται, ἀναμφιβόλως ἔχωμεν τῶν ἀγαθῶν τὴν ἐλπίδα, ἧς παρούσης ἡ ἐπὶ τοῖς κοιμωμένοις λύπη χώραν οὐχ ἕξει. ὁ δὲ Θεὸς ἡμῶν καὶ κύριος Ἰησοῦς Χριστός, ὁ παρακαλῶν τοὺς ταπεινούς, παρακαλέσῃ ὑμῶν τὰς καρδίας, καὶ στηρίξῃ εἰς τὴν ἑαυτοῦ ἀγάπην διὰ τῶν οἰκτιρμῶν αὐτοῦ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΓΡΗΓΟΡΙΟΣ Ο ΝΥΣΣΗΣ ΦΛΑΒΙΑΝΩι.

ΟΥΚ ἐν καλοῖς, ὦ ἄνθρωπε τοῦ Θεοῦ, τὰ ἡμέτερα. προϊόντα γὰρ τὰ κακὰ, ἐν οἷς τὸ ἄδικόν τε καὶ ἀπροφάσιστον καθ' ἡμῶν τιμήσασι μῖσος, οὐκέτι διὰ στο- B χασμῶν ἡμῶν ὑπονοεῖται· ἀλλ' ἐν παῤῥησίᾳ σπουδάζεται, καθάπερ τι τῶν ἀγαθῶν κατορθωμάτων. ὑμεῖς δὲ οἱ τέως ἔξω ὄντες τοῦ τοιούτου κακοῦ, καταῤῥαθυμεῖτε τοῦ παῦσαι νεμομένην ἐν τῇ γειτνίᾳ τὴν φλόγα, ὥσπερ δέον οἱ καλῶς περὶ τῶν ἰδίων βουλευόμενοι τὸν τῶν γειτόνων ἐμπρησμὸν ἐν πολλῇ τῇ σπουδῇ καταστέλλουσι, δι' ὧν τοῖς πλησίον βοηθοῦσι, τὸ μὴ δεηθῆναι τῆς ἐπὶ τοῖς ὁμοίοις βοηθείας πραγματευόμενοι. τί δέ ἐστιν, ὃ λέγω; ἐπιλέλοιπε τὸν βίον ἡ ὁσιότης· πέφευγεν ἀφ' ἡμῶν ἡ ἀλήθεια· τῆς δὲ εἰρήνης πρό- C τερον μὲν τὸ γοῦν ὄνομα εἴχομεν περιφερόμενον ἐν τοῖς στόμασι· νῦν δὲ οὐ μόνον ἐκείνη οὐκ ἔστιν, ἀλλ' οὐδὲ τὸ ὄνομα αὐτῆς ἡμῖν ὑπολέλειπται. ὡς δ' ἂν εἰδείης σαφέστερον ὑπὲρ ὧν σχετλιάζομεν, δι' ὀλίγων σοι τὴν τραγῳδίαν ἐκθήσομαι. ἦσάν τινες, οἱ τὸν αἰδεσιμώτατον Ἑλλάδιον δυσμενῶς πρὸς ἡμᾶς ἔχειν καταμηνύοντες, καὶ πρὸς πάντας διεξιέναι, ὡς τῶν μεγίστων αὐτῷ κακῶν αἴτιος εἴην ἐγώ. οὐκ ἐπειθόμην τοῖς λεγομένοις, πρὸς ἐμαυτὸν καὶ τὴν ἐν τοῖς πράγμασιν ἀλήθειαν βλέπων· ὡς δὲ D παρὰ πάντων ὁμοφώνως τὰ αὐτὰ πρὸς ἡμᾶς ἀπηγγέλλετο, καὶ συνέβαινε ταῖς φήμαις τὰ πράγματα, πρέπειν ᾠήθην μὴ περιϊδεῖν ἀθεράπευτον τὴν ἄῤῥιζον καὶ ἀφύτευτον ταύτην δυσμένειαν. διὸ καὶ πρὸς τὴν σὴν ἐπιστείλας θεοσέβειαν, καὶ πολλοὺς ἄλλους τοὺς δυναμένους συμβαλέσθαι τι πρὸς τὸ προκείμενον, ἐπὶ τὴν σπουδὴν ταύτην παρώρμησα. καὶ τέλος, τὴν μνήμην τοῦ μακαριωτάτου Πέτρου παρὰ Σεβαστηνοῖς πρώτως ἀγομένην ἐπιτελέσας, καὶ τὰς συνήθως παρ' αὐτοῖς ἐπιτελουμένας τῶν ἁγίων μαρτύρων μνήμας,

GREGORIVS NYSSENVS, FLAVIANO.

Ioanne Leuuenklaio interprete.

NON optimo ſunt, vir Dei, res noſtræ loco. Nam mala progredictia in iis qui nos & iniuſto, & nullis de cauſſis ſuſcepto proſequũtur odio, non iam amplius intra ſuſpicionũ & coniecturarum ſeſe limites continent; ſed libertate ſumma vtuntur, quaſi ſi præclari quid operis inſtitueretur. Vos interim, qui hactenus immunes à tanto malo fuiſtis, ignaui ſcilicet eſtis in extinguẽda flamma, quę viciniam veſtram depaſcit: cùm ij qui rectè rebus ſuis conſulunt, vicinorum incendium magno ſtudio reſtinguant, & opem vicinis ferendo ſic proſpiciant ſibi, vt in euentis ſimilibus aliorum opem non requirant. Et quid tandem illud eſt, de quo loquor? Reliquit hãc vitã religio: aufugit à nobis veritas: pacis antehac ſaltem nomen habuimus, quod hominum ora peruagaretur: nunc non illa tantùm nuſquam eſt, ſed ne nomen quidem ipſius nobis ſupereſt. Vt autem clarius intelligas, quas res tam indigno feramus animo, paucis tibi tragœdiam explicabo. Erant nonnulli qui ad nos deferrent, reuerendiſſimum virum Helladium hoſtili erga nos animo adfectum, ad omnes commemorare, me maximorum ipſi malorũ auctorem eſſe. Ego verò illis, quæ dicerentur, fidem non habebam: vt qui & ipſarum rerum veritatem intuerer. At cùm ab hominibus eadem eodem velut ore nobis renuntiarentur, cúmque rumoribus ipſæ res conuenirent: decere me ſtatuebam, vt ne hoſtilitatẽ hanc incuratam negligerem, præſertim quæ necdum radices firmas egiſſet. Itaq; tuã ad pietatẽ, multóſque alios ſcriptis litteris, qui conferre nobis aliquid ad hoc inſtitutũ poſſent, monui hanc vt in curam incumberetis. Tandem cùm memoriam beatiſſimi Petri, quæ tum primum celebrari cœpta eſſet, apud Sebaſtenos peregiſſem, itidémq; reliquorum fidei teſtium, qui vt eodem cum Petro vixerunt tempore, ita

celebrari vnà cum ipſo conſueuerunt: conuerſo itinere meã me ad Eccleſiam recipiebam. Hæc cùm ſignificaſſet nobis quidam, degere Helladium in finitimis montibus, martyrúmq; memoriam peragere: primò quidem inſtituto in itinere pergebam, quòd magis eſſe decoro conſentaneum putarem, vt ipſa in metropoli hominem conuenirem. Verùm vbi cognatorum quiſpiã data opera me acceſſiſſet, atque hominem aduerſa valetudine laborare pro certo cõfirmaſſet: relicto ibidem curru, vbi nuntium hunc acceperam, equo reliquum itineris interuallum cõfeci, ſanè præceps & quod ob adſcenſus aſperrimos propè à nobis peragrari nõ poſſet. Spatiũ ipſum, quod nobis emetiendũ erat, habebat milliaria ad quindecim. Hæc vbi partim pedibus partim equo vectus, vix matutino tẽpore, atq; etiã aliqua noctis parte abſoluiſſem: prima diei hora iam Andumocinis eram. Nam hoc loco illi erat nomen, in quo cum duobus aliis Epiſcopis in hominum cœtu frequenti concionabatur. Cúmque procul è tumulo quodam, qui vico immineret, concionis ſub dio concurſum vidiſſemus: gradatim deinceps progreſſi ſumus pedites, tam ipſe quàm comites mei, manúque noſtros equos ductitauimus. Quo factum, vt eadem celeritate duo conficerent, nimirum vt ipſe domum è concione rediret, ac nos martyrum ad locum perueniremus. Neque mora vlla interpoſita miſſus à nobis eſt, qui aduentum ei noſtrum indicaret: & paulò pòſt miniſter ipſius in nos incidit, quem rogauimus vt celeriter ad eum rem deferret, quo diutius apud ipſum verſari poſſemus, & opportunitatem aliquam inuenire, ne nihil non curatum relinqueretur. Secundum hæc ſedebam equidem ſub dio, expectans aliquem, qui nos intrò vocaret: adeóq; propoſitus eram omnibus vt importunum ſpectaculum, quotquot eò conuenerant. Non iam exiguum temporis ſpatium interceſſerat, & nictabant oculi, & conſequebatur quidam torpor & ex itinere fatigatio moleſtiam augebat, itémque æſtus vehemens, & homines nos intuentes, nóſque digitis inter ſe oſtentantes: hæc igitur, aliáque huiuſmodi omnia tam mihi erant grauia, vt in me vatis illud verbum verè cõpeteret: Obtorpuit in me ſpiritus meus. Inſtabat iam meridies, & me vehementer congreſſus

A τὸν αὐτὸν χρόνον συνδιαγαγόντων ἐκείνῃ· ἐπὶ τὴν ἐμαυτοῦ πάλιν ἐκκλησίαν ὑπέστρεφον. καί τινος μηνύσαντος κατὰ τὴν ὀρεινὴν αὐτὸν ἐνορείαν διάγειν μαρτύρων ἐπιτελοῦντα μνήμας, τὰ μὲν πρῶτα τῆς ὁδοῦ εἰχόμην, εὐπρεπέστερον εἶναι κρίνων ἐπὶ τῆς μητροπόλεως γενέσθαι τὴν συντυχίαν. ὡς δέ τις τῶν γνησίων κατὰ σπουδὴν μοι συντετύχηκε, καὶ ἀρρωστεῖν αὐτὸν διεβεβαιώσατο· καταλιπὼν ἐν τῷ τόπῳ τὸ ὄχημα, ἐν ᾧ παρὰ τῆς τοιαύτης κατελήφθην φήμης, ἵππῳ τὸ μεταξὺ διῆλθον διάστημα, κρημνώδεις καὶ ὀλίγου ἀπόρευτον ταῖς τραχυτάταις B ἀνόδοις. ἦν δὲ πεντεκαίδεκα σημεῖα, οἷς τὸ ἐν τῷ μέσῳ διεμετρεῖτο διάστημα. τούτων τὰ μὲν ἐκ ποδὸς, τὰ δὲ διὰ τοῦ ἵππου μόλις διελθὼν, ὄρθριος, μέρει τινὶ καὶ τῆς νυκτὸς συγχρησάμενος, κατὰ τὴν πρώτην τῆς ἡμέρας ὥραν ἐφιστάμεθα τοῖς Ανδουμοκίνοις. οὕτω γὰρ ὀνομάζεται τὸ χωρίον, ἐν ᾧ ἦν ἐκκλησιάζων ἐκεῖνος μετὰ ἄλλων ἐπισκόπων δύο. ἄπωθεν δὲ κατιδόντες ἐξ αὐχένος τινὸς ὑπερκειμένου τῆς κώμης τὴν ἐν τῷ ὑπαίθρῳ τῆς ἐκκλησίας συνδρομὴν, βάδην τὸν μεταξὺ διήλθομεν τόπον, ἐκ ποδός τε προϊόν- C τες ἐγὼ καὶ ἡ μετ᾽ ἐμοῦ συνοδία, καὶ τοὺς ἵππους διὰ χειρὸς ἐφελκόμενοι. ὥστε φθάσαι ὁμοῦ τὰ δύο γενέσθαι, ἐκεῖνόν τε ἐκ τῆς ἐκκλησίας ἐπὶ τὴν οἰκίαν ὑποστρέψαι, καὶ ἡμᾶς πλησιάσαι τῷ μαρτυρείῳ. μηδεμιᾶς δὲ γενομένης ἀναβολῆς, ἐπέμφθη παρ᾽ ἡμῶν ὁ μηνύσων αὐτῷ τὴν παρουσίαν· καὶ μικροῦ διαγεγονότος διαστήματος, ὁ ὑπηρετούμενος αὐτῷ διάκονος συνέτυχεν ἡμῖν, ὃν παρεκαλέσαμεν διὰ ταχέων μηνῦσαι, ὥστε ἐπὶ πλεῖον αὐτῷ συνδιαγαγεῖν, ἐφ᾽ ᾧ τε καιρὸν εὕρῃ, πρὸς τὸ μηδὲν D παραλειφθῆναι τῶν ἐν ἡμῖν ἀθεράπευτον. μετὰ τοῦτο ἐγὼ μὲν ἐκαθήμην κατὰ τὸ ὕπαιθρον, ἀναμένων τὸν εἰσκαλοῦντα, καὶ προεκείμην ἄκαιρον θέαμα τοῖς ἐπιδημοῦσι κατὰ τὴν σύνοδον. καὶ χρόνος διεγένετο οὐκ ὀλίγος, καὶ νυσταγμὸς ἐπὶ τούτοις, καὶ ἀκηδία, καὶ ὁ ἐκ τῆς ὁδοῦ κόπος ἐπιτείνων τὴν ἀκηδίαν, καὶ τὸ θάλπος ἰσχυρὸν, καὶ οἱ πρὸς ἡμᾶς ἀποβλέποντες, καὶ ἀλλήλοις διὰ τῶν δακτύλων ὑποδεικνύοντες. καὶ ἅπαντα τὰ τοιαῦτα οὕτω μοι βαρέα ἦν, ὡς ἀληθεύειν ἐπ᾽ ἐμοῦ τὸ τοῦ προφήτου· ὅτι ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου. καὶ πρὸς μεσημβρίαν ἤδη προελθούσης

τῆς ὥρας εἰσηνέχθην, πολλὰ μεταμεληθεὶς καὶ τῆς συντυχίας, ὡς ἐμαυτῷ τῆς ἀτιμίας ἐκείνης παρασχὼν τὴν αἰτίαν. καὶ χαλεπώτερον τῆς παρὰ τῶν ἐχθρῶν μοι γινομένης ὕβρεως, ὁ ἐμός με λογισμὸς ἠνία, μαχόμενος τρόπον τινὰ πρὸς ἑαυτὸν, καὶ μεταγινώσκων ἐν ὑπερβουλίᾳ ὑφ' ὧν προείλετο. ὡς δ' οὖν μόλις ἠνοίγη ἡμῖν τὰ ἀνάκτορα, καὶ τῶν ἀδύτων ἐντὸς ἐγενόμεθα· οἱ μὲν πολλοὶ ἀπεκλείσθησαν τῆς εἰσόδου· ὁ δὲ ἐμὸς συνεισῆλθε διάκονος, ὃς τῇ χειρὶ τὸ σῶμα ὑπήρειδε πεπονηκὸς ἐκ τοῦ κόπου. ἐγὼ δὲ προσφωνήσας αὐτὸν, καὶ ἐπ' ὀλίγον σταθεὶς, ὥστε μοι γενέσθαι προτροπὴν εἰς καθέδραν, ὡς οὐδὲν τούτων ἐγίνετο, ἐπί τινος τῶν πόρρωθεν βάθρων διατραπεὶς ἀνεπαυσάμην, ἀναμένων εἰ ἄρα τι φθέγξαιτο πρὸς ἡμᾶς εὐμενὲς, ἤ τι φιλάνθρωπον, ἢ τοῖς γοῦν ὀφρύσι λοιπὸν ἐπινεύσειεν. ἀλλ' ἀπ' ἐναντίων τῇ ἐλπίδι τὰ πάντα. σιωπὴ γὰρ ἦν τὸ ἀπὸ τούτου νυκτερινὴ, καὶ κατήφεια τραγικὴ, καὶ θάμβος, καὶ ἔκπληξις, καὶ παντελὴς ἀφωνία, καὶ χρόνος οὐκ ἐν μικρῷ διαστήματι καθάπερ ἐν μελαίνῃ νυκτὶ δι' ἡσυχίας παρατεινόμενος. ἐγὼ δὲ τούτοις ἐναποπλαγεὶς τὴν διάνοιαν, διὰ τὸ μηδὲ τῆς κοινῆς αὐτὸν ἐθελῆσαι μεταδοῦναι φωνῆς, διὰ τῶν κατημαξευμένων τούτων τὴν συντυχίαν ἀφοσιουμένων· οἷον τὸ, εὖ ἥκεις, ἢ πόθεν ἥκεις; ἢ παρὰ τίνος; ἢ τίς ἡ τῆς παρουσίας σπουδή; τὴν ἡσυχίαν ἐκείνην τῆς ἐν ᾅδου διαγωγῆς ἐποιούμην εἰκόνα. μᾶλλον δὲ καταγινώσκω τοῦ ὑποδείγματος. ἐν ᾅδου γὰρ ἰσονομία πολλὴ, μηδενὸς τῶν ὑπὲρ γῆς τὴν περὶ τὸν βίον τραγῳδίαν ἐργαζομένων, ἐκείνην τὴν διαγωγὴν διοχλοῦντος. οὐ γὰρ συγκαταβαίνει, καθά φησιν ὁ προφήτης, τοῖς ἀνθρώποις ἡ δόξα· ἀλλὰ καταλιποῦσα ἡ ἑκάστου ψυχὴ τὰ νῦν σπουδαζόμενα τοῖς πολλοῖς, ὕβριν λέγω καὶ ὑπερηφανίαν καὶ τῦφον, ἁπλῆ καὶ ἀκατάσκευος ἐπιχωριάζει τοῖς κάτω, ὡς μηδὲν τῶν τῇδε μοχθηρῶν καὶ παρ' ἐκείνοις εἶναι. πλὴν ἀλλ' ἐμοὶ ᾅδης ἢ δεσμωτήριον ἀφεγγὲς, ἢ ἄλλο τι σκυθρωπὸν κολαστήριον ἐδόκει τὰ παρόντα εἶναι, λογιζομένῳ ὅσων ἀγαθῶν ἐγενόμεθα παρὰ τῶν πατέρων ἡμῶν διάδοχοι, καὶ οἷα διηγήματα τοῖς μεθ' ἡμᾶς καταλείψομεν.

A huius pœnitebat, vt qui mihimet talis ignominiæ auctor exſtitiſſem. Cúmque grauior hæc mihi accideret iniuria, quã ſi ab hoſtibus profecta fuiſſet: ipſa mihi cogitatio mea moleſtiam exhibebat, ſecum modo quodam pugnans, & ſententiam ſuam mutans in conſilio ſiniſtro quod inſtituiſſet. Vbi verò vix tandem nobis ſacrarium apertum eſſet, iámque ingreſſi fuiſſemus adita: vulgus quidem hominũ quo minus introiret, aditu prohibebatur, meo mecum intrante miniſtro, qui manu corpus è labore fatigatum fulciret. Hinc cùm hominem com- B pellaſſem, & aliquãtulum ſtetiſſem, expectãs vt ſedere iuberet: vt nihil horum accidit, conuerſus ad gradus quoſdam procul inde diſſitos, in eorum vno conſideo, & numquid amãter humanitérve dicturus eſſet nobis, vel ſaltem ſuperciliis annuturus, opperior. Verùm omnia contra ſpem noſtram euenere. Nam ſilentium nocturnũ erat, & triſtitia quædam tragica, & ſtupor, & in vniuerſum nulla vox eſt prolata. Denique non exiguum temporis interuallum quaſi nigra in nocte ſilenter exigebatur. Ad ea toto animo perculſus, quòd ne vulgari qui- C dem voce nos dignaretur, per illa hominum in vſu frequentia verba, quibus vel obiter ſaltem excipere noſmet ſolemus, cuiuſmodi ſunt, Saluus aduenìſti: vel, Vnde nobis ades? qua de cauſſa? quamobrem huc properaſti? taciturnitatem illam mihi quaſi quandam vitę apud inferos imaginem proponebam. Quamquam hoc exemplum ne quidem vſurpare debebam. Etenim apud inferos magna eſt æqualitas in conditione omnium, quippe vbi nihil eorum, quæ ſupra terram tutam illam vitæ humanæ tragœdiam efficiunt, turbæ quidquam adferat. Nam gloria (quemadmodum D vates quidam loquitur) vnà cum hominibus non deſcendit: ſed cuiuſuis hominis anima relictis iis, quæ in hac vita expetuntur à pleriſque ſummo ſtudio, petulantia inquam, & ſuperbia, & faſtu, ſimplex & omni abſque apparatu ad inferos ſeſe confert, ita vt nihil rerum in hac vita moleſtarum quidquam iſtis negotij exhibeat. Vtut res ſeſe habeat, mihi quidem certè illa, quæ tum accidebant, vel infernus, vel caliginoſus carcer, vel alia quędã triſtis officina pœnæ videbantur eſſe: prǽſertim cùm mecũ ipſe perpenderẽ, quantis in bonis à patribus acceptis ſucceſſores facti fuerimus, & quales poſteris narrationes de nobis relicturi ſimus,

Quid dicam de ſumma amoris adfectione, qua ſeſe mutuo patres noſtri complectebantur? Nihil certè miri eſt, eos qui ſint homines in natura, cuius per omnia par eſt dignitas, nolle potiori cæteris eſſe loco: ſed exiſtimare, mutuo nos debere noſmet humilitate ſuperare. Enimuerò maximè ad animum mihi accidebat, vniuerſæ creaturæ Dominum, vnigenam illum filium, qui eſt in ſinubus patris: qui exſtitit initio rerum, qui exſtitit in forma Dei, qui vniuerſa geſtat verbo potentiæ ſuæ, hunc ergo non in hoc ſolùm abieciſſe ſe, quòd per carnem quaſi peregrinatus ſit in humana natura: ſed quod etiam proditorem Iudam ore ſuo propius ad ipſum ſub oſculi ſpecie accedentem admiſerit: quódque domum leproſi Simonis ingreſſus, eidem pro ſumma humanitate ſua exprobret, quod oſculo non fuiſſet exceptus. Ego verò ne pro leproſo quidem ſum habitus: at qui vir, à quo? nequeo certè quidquam diſcriminis inuenire. Vnde is deſcenderat? vbi abiectus ipſe iacueram? ſi quidem mundana quis intueatur. Nam quæ carnis ſunt, ſi quis exploret, fortaſſe tantùm dici abſque moleſtia cuiuſquam poteſt, parem vtriuſque dignitatem eſſe, qua nobilitatem, quà ingenuitatem. At ſi veram quis animi tam ingenuitatem, quàm nobilitatem inquirat, æquali ratione peccati ſumus vterque ſerui: æquali ratione peccata tollentis indigemus: alius eſt, qui proprio ſanguine nos de morte peccatiſque perſoluto pretio redemit: qui mercatus eſt nos, neque tamen vlla aduerſus emptos ab ſeſe ſuperbia vſus eſt: qui mortuos in vitam reuocauit: qui omnem & animorum & corporum debilitatem ſanauit. Cum igitur inſignis ille aduerſus nos faſtus, & ſuperbiæ magnitudo parum abeſſet quin cœleſti à ſublimitate non caperetur: cumque materiem nullam, nullam occaſionem morbo huic præbitam cernerem, quibus ex rebus hæc animi perturbatio veniam mereri conſueuit, quoties aliqui tenentur hoc morbo quadam ex circumſtantia, nimirum vbi vel genus, vel inſtitutio, vel dignitatum præſtantia mores leuiuſculorum hominum inflat: neſciebam quo pacto meipſum erudirem, vti memet continerem: quòd animus mihi ob inſolentiam eorum quæ acciderent, interius intumeſceret, & cogitationes omnes de tolerantia reſpueret.

A τί δὲ λέγω τῶν πατέρων τὴν ἀγαπητικὴν πρὸς ἀλλήλους σχέσιν; θαυμαστὸν γὰρ οὐδὲν, ἀνθρώπους ὄντας ἐν ὁμοτίμῳ τῇ φύσει, μηδὲν ἐθέλειν πλέον ἀλλήλων ἔχειν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγεῖσθαι ἑαυτῶν ὑπερέχειν. ἀλλ᾽ ἐκεῖνο μάλιστά μου τῆς διανοίας καθήπτετο, ὅτι ὁ πάσης κτίσεως δεσπότης, ὁ μονογενὴς υἱός, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρὸς, ὁ ἐν ἀρχῇ ὢν, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ὁ τὰ σύμπαντα φέρων τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, οὐκ ἐν τούτῳ μόνον ἐταπείνωσεν ἑαυτὸν, ἐν τῷ διὰ σαρκὸς ἐπιδημῆσαι τῇ ἀνθρωπίνῃ φύσει· ἀλλὰ καὶ
B τὸν προδότην ἑαυτοῦ Ἰούδαν τῷ ἰδίῳ στόματι, διὰ φιλήματος προσεγγίζοντα δέξασθαι, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν Σίμωνος τοῦ λεπροῦ, τὸ μὴ φιληθῆναι παρ᾽ αὐτοῦ, ὡς φιλάνθρωπος, ὀνειδίζειν. ἐγὼ δὲ οὔτε ἀντὶ τοῦ λεπροῦ ἐλογίσθην· τῷ τίνι; ὁ τίς; τὴν διαφορὰν εὑρεῖν οὐκ ἔχω. τῷ πόθεν καταβεβηκότι; ὁ ποῦ κείμενος; εἴγε τὰ τοῦ κόσμου βλέποι τις τέως. εἰ μὲν γὰρ τὰ τῆς σαρκὸς ἐξετάζοι τις, τοσοῦτον ἴσως ἀνεπαχθές ἐστι λέγειν, ὅτι ὁμότιμα ἐπ᾽ ἀμφοτέρων τὸ εὐγενὲς καὶ ἐλεύθερον. εἰ δὲ τὴν
C ἀληθῆ τις ἐπιζητοίη τῆς ψυχῆς ἐλευθερίαν τε καὶ εὐγένειαν, ἐπίσης δοῦλοι τῆς ἁμαρτίας ἀμφότεροι, ἐπίσης τοῦ αἴροντος τὰς ἁμαρτίας δεόμεθα· ἄλλος ἐστὶν, ὁ τῷ ἰδίῳ αἵματι τοῦ θανάτου καὶ τῶν ἁμαρτιῶν ἡμᾶς λυτρωσάμενος, ὃς καὶ ἐξηγόρασεν ἡμᾶς, καὶ ὑπερηφανίαν τινὰ κατὰ τῶν ἐξαγορασθέντων οὐκ ἐπεδείξατο, νεκροὺς εἰς ζωὴν ἀνακαλούμενος, ὁ πᾶσαν ἐξιώμενος ἀρρωστίαν καὶ ψυχῶν καὶ σωμάτων. ἐπεὶ οὖν ὁ καθ᾽ ἡμῶν τῦφος καὶ ὁ τῆς ὑπερηφανίας ὄγκος μικροῦ δεῖν τῷ οὐρανίῳ ὕψει στενοχωρούμενος ἦν, ὕλην δέ τινα καὶ ἀφορμὴν πρὸς τὴν νόσον οὐδεμίαν
D ἑώρων, ὅθεν συγγνωστὸν γίνεται τὸ τοιοῦτον πάθος, ἐπὶ τῶν ἐκ περιστάσεως τινὸς ταύτην ἀναλαμβανόντων τὴν νόσον, ὅταν ἢ γένος, ἢ παίδευσις, ἢ ἀξιωμάτων ὑπεροχὴ τὰ χαυνότερα ἤθη διαφυσήσῃ· οὐκ εἶχον ὅπως ἐμαυτὸν ἀτρεμεῖν νουθετήσω, διδούσης μοι πρὸς τὴν ἀλογίαν τῶν γινομένων ἔνδοθεν τῆς καρδίας, καὶ τοὺς ὑπὲρ τῆς ὑπομονῆς λογισμοὺς διαπτυούσης.

ὅτε καὶ

ὅτε καὶ μάλιστα τὸν θεῖον ἠγάσθην ἀπόστολον, οὕτως ἐναργῶς τὸν ἐμφύλιον ἐν ἡμῖν διαγράφοντα πόλεμον, λέγοντα εἶναί τινα ἐν τοῖς μέλεσι νόμον ἁμαρτίας, τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός, καὶ ποιοῦντα πολλάκις ἑαυτῷ τὸν νοῦν αἰχμάλωτόν τε καὶ ὑποχείριον. Ταύτην ἐμαυτῷ βλέπων τῶν δύο λογισμῶν τὴν ἐξ ἐναντίου παράταξιν, τοῦ τε χαλεπαίνοντος πρὸς τὴν ἐκ τῆς ὑπερηφανίας ὕβριν, καὶ τοῦ τὸ οἰδοῦν καταστέλλοντος· ἐπεὶ κατὰ Θεοῦ χάριν οὐκ ἐκράτησεν ἡ χείρων ῥοπή, τότε πρὸς αὐτὸν εἶπον ἐγώ· μή ἄρα τί σοι τῶν περὶ τὴν θεραπείαν τοῦ σώματος σπουδαζομένων τῇ παρουσίᾳ μου βλάπτεται, καὶ ὑπεξελθεῖν ἐστιν εὔκαιρον; τοῦ δὲ εἰπόντος μὴ χρῄζειν τοῦ θεραπευθῆναι τὸ σῶμα, εἶπον τινὰς λόγους θεραπευτικοὺς πρὸς αὐτόν, ὡς οἷόν τε ἦν. κἀκείνου δι' ὀλίγων τὸ ἐπὶ πολλοῖς ἀδικήμασι τὴν καθ' ἡμῶν ἔχειν λύπην ἐνδειξαμένου, ταῦτα πρὸς αὐτὸν ἀποκρινάμενος ἐγώ· ὅτι ἐν ἀνθρώποις πολλὴν ἔχει δύναμιν πρὸς ἀπάτην τὸ ψεῦδος· τὸ δὲ θεῖον κριτήριον τὸν ἐξ ἀπάτης παραλογισμὸν οὐ προσδέχεται. ἐμοὶ δὲ τοσοῦτο πέποιθεν ἐν τοῖς πρὸς σὲ πράγμασιν ἡ συνείδησις, ὡς εὔχεσθαι τῶν μὲν ἄλλων ἁμαρτιῶν γενέσθαι μοι τὴν συγχώρησιν· εἰ δέ τι κατὰ σοῦ πεπλημμέληταί μοι, τοῦτο μεῖναι εἰς τὸ διηνεκὲς ἀσυγχώρητον. σχετλιάσας δὲ τῷ λόγῳ, οὐκέτι προστεθῆναι τὰς ἀποδείξεις τοῖς εἰρημένοις ἐδέξατο. ὥρα ἦν πλείων ἢ κατὰ τὴν ἕκτην· καὶ τὸ λουτρὸν εὐπρεπές, καὶ ἐν παρασκευῇ ἡ ἑστίασις, καὶ σαββάτου ἡ ἡμέρα, καὶ μαρτύρων τιμή. καὶ πάλιν ὁ μαθητὴς τοῦ εὐαγγελίου πῶς μιμεῖται τὸν τοῦ εὐαγγελίου δεσπότην; ὁ μὲν μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίων καὶ πίνων, ἀπελογεῖτο τοῖς ὀνειδίζουσιν, ὡς κατὰ φιλανθρωπίαν τοῦτο ποιῶν. ὁ δὲ ἄγος κρίνει καὶ μίασμα, τὴν ἐπὶ τραπέζης κοινωνίαν, μετὰ τὸν κόπον ἐκεῖνον, ὃν ἐκ τῆς ὁδοιπορίας ὑπέστημεν. μετὰ τὸ θάλπος τὸ τοσοῦτον, ἐν ᾧ ὑπαίθριοι ταῖς θύραις αὐτοῦ προσκαθεζόμενοι κατεφρύγημεν· μετὰ τὴν σκυθρωπὴν ἐκείνην κατήφειαν,

A Atque hoc tempore vel maximè diuinum illum Apoſtolum admiratus ſum, qui tam illuſtri ratione bellum intra nos ciuile depinxerit, cùm ait eſſe quandam in membris noſtris legem peccati, quaſi copias ſuas obiicientem legi mentis, ſæpiusque mentem ſibi captiuam reddentem, ac ſuam in poteſtatem redigentem. Huiuſmodi cùm in me duarum cogitationum velut inſtructam vtrinque ex aduerſo aciem cernerem, quarum altera grauiter ferret illam à ſuperbia profectã iniuriam, B altera id quod intumuerat pacaret: poſteaquam Dei beneficio victoria non potiebatur id quod in peius momento ſuo impellebat, tum demum ſic eum compello: Num quid eorum, quæ ad corporis tui curam pertinent, propter aduentum meum omittitur cum incommodo tuo, vt nos exire ſit opportunum? Ad quæ cum dixiſſet, non eſſe ſibi opus curatione corporis: ſubieci verba quædam, quibus ægrum hominis animum pro virili curarem. Cumque paucis ille ſe nobis iraſci propter C multas iniurias oſtendiſſet, reſpondi ego: Mendacium inter homines ad fraudem ac deceptionem vim habere permagnam: Verum in Dei iudicio non poſſe fraudis falſitatem locum habere. Meæ vero conſcientiæ tanta eſt in his aduerſus te negotiis confidentia, vt exoptem aliorum quidem mihi delictorum veniam contingere, at ſi quid contra te commiſi, hoc vt in perpetuum non condonatum maneat. Hanc ille orationem cùm grauiter moleſtéque tuliſſet, non amplius addi ad ea quæ D dixiſſem, probationes quaſdam paſſus eſt. Sexta iam hora præterierat, & balneum eleganter inſtructum erat, & apparabatur epulum, & ipſa dies ſabbatum erat, & martyrum celebratio. Hęc rurſum mihi vide, quo pacto diſcipulus Euangelij Dominum Euangelij imitetur. Nam hic quidem cum publicanis ac peccatoribus comedens, ſic ſeſe purgabat ad illos, qui hoc ei loco probri obiicerent: vt diceret id ſe ex benigno quodam erga homines ſtudio facere. At ille piaculi loco ducit & inquinamenti adhibere nos menſæ ſuæ poſt defatigationem illam ortam ex itinere: poſt tantum æſtum, in quo adſidentes ipſius ad oſtium ſub dio torrebamur: poſt triſtem illam taciturnitatem,

quam experti eramus, poſteaquam in conſpectum eius veneramus. Nimirum nos rurſus ad idem ſpatium emetiēdum dimittit, vt per eandam viam noſmet adfligeremus corpore iam defecto & laboribus macerato. Quo factum, vt vix ſub ſerum multas medio in itinere perpeſſi ærumnas comites noſtros adſequeremur. Nam & nubes quædam ex turbine ſubito in aëre orta, copioſo imbre ad ipſas vſque medullas noſtras penetrabat. Etenim tegumentis ob ingentem æſtum inſtructi non eramus, vt aduerſus pluuiam noſmet munire poſſemus. Verum enimuerò per Dei gratiam quaſi qui ex tempeſtate vel naufragio ſalui euaſerunt, ita & ipſi comites noſtros magna cum lætitia ſumus adſequuti. Cumque per noctem quieuiſſemus, viui & incolumes vnà cū aliis ad noſtra vſque loca peruenimus, hoc præter alia conſequuti forte fortuna, quod eorum omnium quæ prius acciderunt, hæc aduerſus nos in hoc tempore exercita iniuria memoriam renouarit. Adeoque neceſſitas ipſa nos cogit, vt in poſterum & ipſi noſtra cauſa conſilij quippiam capiamus, vel potius illius ipſius cauſa. Nam quod eius inſtitutum in illis, quæ accidêre prius, impeditum non fuerit: id verò hominem tam immodicum ad faſtum prouexit. Quamobrem vt ſeipſo reddatur melior, conuenit forſan à nobis quoque nonnihil ſuſcipi, vt ſe hominem eſſe diſcat, qui nullam aduerſus eidem addicto ſententiæ, dignitateque pares, vel iniuriæ vel ignominiæ poteſtatem habeat. Ecce enim, verum eſſe largiamur (dicam quidē ſub conditione) deſignatum à me quiddam eſſe, quod eſſet ipſi ingratum moleſtumque: quódnam aduerſum nos ob ea quæ vel facta ſunt, vel ex coniecturis collecta, iudicium eſt inſtitutum? quæ rei probatio de illata iniuria nos conuicit? qui canones aduerſus nos producti? quænam legitimè ab Epiſcopo enunciata verba ſententiam contra nos latam approbarunt? Quòd ſi quid eiuſmodi maximè factum eſt; & quidem legitimè: omnino tamen in aliquo ſaltem gradu erat periculum. At petulantiam aduerſus ingenuos homines, & ignominiam aduerſus dignitate pares, quinam quæſo Canones vnquam comprobarunt? Iudicate iuſtum iudicium vos qui Deum reſpicitis, quamobrem hanc nobis illatam

A ἣν ἐν ὀφθαλμοῖς αὐτοῦ γεγονότες ἀνεπλήσθημεν, καὶ ἀποπέμπεται ἡμᾶς πάλιν ἐπὶ τὸ αὐτὸ διάστημα, διὰ τῆς αὐτῆς ὁδοῦ, ταλαιπωρήσοντας τῷ ἐκλελοιπότι ἤδη καὶ καταπεπονημένῳ τῷ σώματι· ὥστε μόλις ἡμᾶς περὶ δείλην ὀψίαν πολλὰ διὰ μέσου κακοπαθήσοντας καταλαβεῖν τὴν συνοδίαν. καὶ γάρ τι καὶ νέφος ἐκ λαίλαπος κατὰ τὸ ἀθρόον ἐν τῷ ἀέρι γενόμενον, αὐτοῖς τοῖς μυελοῖς ἡμᾶς λάβρῳ τῷ ὄμβρῳ καθίκετο. ἀπαράσκευοι γὰρ ἦμεν διὰ τὸ ὑπερβάλλον θάλπος, ὡς πρὸς ὑετοῦ φυλακήν. B πλὴν ἀλλὰ κατὰ Θεοῦ χάριν, ὡς οἱ ἀπὸ κλύδωνος ἢ ναυαγίου περισωθέντες, ἄσμενοι τὴν συνοδίαν ἡμῶν κατελάβομεν· καὶ ἀναπαυσάμενοι τὴν νύκτα μετ' ἀλλήλων, ζῶντες μέχρι τῶν ἡμετέρων διεσώθημεν τόπων. τοῦτο προσλαβόντες ἐκ τῆς συντυχίας, ὅτι πάντων τῶν πρότερον γεγονότων, ἡ ἔναγχος γενομένη καθ' ἡμῶν ὕβρις τὴν μνήμην ἀνενεώσατο. καί τοι ἀναγκαζόμεθα λοιπὸν καὶ ὑπὲρ ἡμῶν βουλεύσασθαι· μᾶλλον δὲ ὑπὲρ αὐτοῦ ἐκείνου. D τὸ γὰρ μὴ ἀνακοπῆναι τὴν αὐτοῦ προαίρεσιν ἐν τοῖς πρότερον γεγενημένοις, εἰς ταύτην αὐτὸν ἤγαγε τοῦ τύφου τὴν ἀμετρίαν. ἐὰν οὖν ὡς ἂν κἀκεῖνος ἑαυτοῦ γένοιτο κρείττων, τάχα τι προσήκει καὶ παρ' ἡμῶν γενέσθαι, ὡς ἂν μάθῃ ἄνθρωπος ὤν, καὶ οὐδεμίαν κατὰ τῶν ὁμοφρόνων τε καὶ ὁμοτίμων ὕβρεώς τε καὶ ἀτιμίας τὴν αὐθεντίαν ἔχων. ἰδοὺ γὰρ ἀληθὲς εἶναι δεδόσθω, (λέγω καθ' ὑπόθεσιν) γεγενῆσθαι παρ' ἐμοῦ τι λυπηρὸν καὶ ἐκείνου. ποῖον συνέστη καθ' ἡμῶν ἐπὶ τοῖς γινομένοις, D ἢ ὑπονοουμένοις κριτήριον; τίς ἀπόδειξις τὴν ἀδικίαν ἀπήλεγξε; τίνες κανόνες καθ' ἡμῶν ἀνεγνώσθησαν; ποία ἔννομος ἐπισκόπου ἀπόφασις τὴν καθ' ἡμῶν κρίσιν ἐκύρωσεν; Εἰ δὲ τι καὶ ἐγεγόνει τούτων ἐννόμως, πάντως ἂν περὶ τὸν βαθμὸν ὁ κίνδυνος ἦν. ὕβριν δὲ κατὰ τῶν ἐλευθέρων, καὶ ἀτιμίαν κατὰ τῶν ὁμοτίμων, ποῖοι κανόνες ἐνομοθέτησαν; κρίμα δίκαιον κρίνατε, οἱ πρὸς Θεὸν ὁρῶντες, ἐν τίνι συγγνωστὸν ἡγεῖσθε τὴν καθ' ἡμῶν

ἀτιμίας; Εἰ κατὰ τὴν ἱερωσύνην τὸ ἀξίωμα κρίνοιτο, ἴση παρὰ συνόδου καὶ μία γέγονεν ἀμφοτέρων ἡμῶν ἡ προνομία, μᾶλλον δὲ ἡ φροντὶς τῆς τῶν κοινῶν διορθώσεως, ἐν τῷ τὸ ἴσον ἔχειν. Εἰ δέ τινες ἡμᾶς γυμνοὺς τοῦ κατὰ τὴν ἱερωσύνην ἀξιώματος ἐφ' ἑαυτοὺς βλέποιεν· τί τοῦ ἑτέρου πλεῖον ἔχει ὁ ἕτερος; γένος; παίδευσιν; ἐλευθερίαν πρὸς τοὺς ἀρίστους τε καὶ δοκίμους; γνῶσιν; ταῦτα ἢ ἐν τῷ ἴσῳ καὶ παρ' ἡμῖν ἐστιν εὑρεῖν, ἢ πάντως οὐκ ἐν ἐλάσσονι. ἀλλὰ πλοῦτον λέγει; μὴ γένοιτο εἰς ἀνάγκην ἐλθεῖν, ταῦτα περὶ αὐτοῦ διηγήσασθαι. ἢ τοσοῦτον ἀρκεῖ μόνον εἰπεῖν, ὅσος ἦν τὸ κατ' ἀρχάς, καὶ νῦν ὅσος ἐγένετο, καὶ καταλιπεῖν ἄλλοις ἀναζητῆσαι τῆς αὐξήσεως τοῦ πλούτου τὰς ἀφορμάς, τοῦ μέχρι τοῦ παρόντος καὶ καθ' ἑκάστην μικροῦ δεῖν ἡμέραν διὰ τῶν καλῶν ἐπιτηδευμάτων αὐξανομένου τε καὶ τρεφομένου. τίς οὖν τῆς καθ' ἡμᾶς ὕβρεως ἡ ἐξουσία, εἰ μήτε γένους ὑπεροχή, μήτε ἀξιώματος περιφάνεια, μήτε δύναμις ὑπερβάλλουσα λόγων, μήτ' εὐεργεσία τις προϋπάρξασα; ὁπότε καὶ εἰ ταῦτα ἦν, καὶ οὕτως δεῖ τὸ κατὰ τὴν ὕβριν ἐπὶ τῶν ἐλευθέρων, ἀσύγγνωστον. μηδενὸς δὲ τούτων ὄντος, οὐκ οἶμαι καλῶς ἔχειν τὴν τοσαύτην τοῦ τύφου νόσον περιϊδεῖν ἀθεράπευτον. θεραπεία δέ ἐστι τὸ ἐπικλῖναι τὴν ὑπερηφανίαν, καὶ διαστεῖλαι τὸν διάκενον ὄγκον, μικρὸν διαπνευσθέντος τοῦ κατὰ τὸν τύφον φυσήματος. ὅπως δ' ἂν γένοιτο τοῦτο, Θεῷ μελήσει.

A contumeliam mereri veniam puteris. Quòd ſi ex ſacerdotio dignitas æſtimanda venit, par & idem à Synodo conceſſum vtrique priuilegium eſt, vel potius cura emendationis publicæ, idque in eo quod iure pari eſſe iuſſi ſumus. Quod ſi qui nos extra ſacerdotij dignitatem, ſeorſum quemlibet, intueri velint: quid amplius alter habet altero? genus? inſtitutionem? ingenuitatem collatam ad præſtantiſſimos & claros quoſque? ſcientiam? ea verò vel paria reperiri poſſunt in nobis, vel B ſaltem non minora. Fortaſſe de diuitiis dicet? Noli me cogi, vt hæc de ipſo commemorem. Hoc modo dicere ſufficiat, quantæ fuerint illæ initio, tantas etiam nobis nunc eſſe: præterea nos quibus occaſionibus eas opes amplificauerimus, quas hactenus & quidem propè quotidie præclaris conatibus augemus quaſique alimus, aliis perquirendum relinquere. Quamnam igitur ille poteſtatem habet inferendæ nobis iniuriæ, ſi nulla hæc generis eſt præſtantia, neque dignitatis ſplendor, neque eximia dicendi vis, neque beneficentia C prius erga me declarata? quandoquidem etiamſi hæc eſſent, nihilominus condonari non debet exercita aduerſus homines ingenuos petulantia. Verùm cùm nihil horum ſit, non arbitror rectè nos facturos, ſi tantum faſtus morbum incuratum negligamus. Neque verò alia poteſt eſſe curatio, quàm ſi deprimatur ſuperbia, & inanis ille faſtus coerceatur, inflatione tam elata nonnihil expirante. Vt autem id fiat, Deo permittimus, cui hanc rem curæ futuram non dubitamus.

EIVSDEM DE IIS QVI ADEVNT HIEROſolyma, Oratio:

Incerto interprete.

QVIA me rogaſti, amice, per Epiſtolam mihi ordine de omnibus tibi reſpondendũ exiſtimaui. Equidem qui ſemel ſe altiori viuẽdi rationi dedicarunt, cum eis præclarè agi cenſeo, ſi perpetuo ad euangelij voces inducantur. ac tanquã, qui regula quidquid propoſitum eſt dirigunt, eius rectitudine, tortuoſa quæ in manibus habent, ad rectitudinem adducunt: ita conuenire arbitror, vt veluti quandã regulam rectam & immutabilem, Euangelicam dico politiam, his admouentes, iuxta illam ad Deum dirigamur. Cum itaque ſint aliqui ex iis qui ſolitariam & priuatam vitam ſibi delegerint, qui in parte pietatis ponant Hieroſolymitana loca vidiſſe, in quibus indicia Domini aduentus per carnem conſpiciuntur: præclarè ſe res habebit, ſi ad regulã ipſam reſpiciamus, idque ſi velit præceptorum ductus, vt opus faciamus quaſi mandatũ Domini. Sin prçter Domini prçcepta id appareat introductum, haud ſcio quid ſit, quod prçcipiat velle quid aliquem facere, qui ſe ſibi legem boni fecerit ipſum. Vbi ad ad regni cœlorum hæreditatem conſequendam vocat Dominus benedictos, perfectionem in Hieroſolyma inter rectè facta, quæ eo dirigant, non enumerauit: vbi beatitudinem annunciat, tale ſtudium, talemque operam non eſt complexus. Quod autem neque beatum efficit, neque ad regnum conducibile eſt, quare in eo ſtudium & operam poni oporteat, qui mentem habet, conſideret. Atqui licet id opus vtilitatis quid haberet, ne ſic quidem honeſtè à perfectis ſtudio dignum videri deberet. Quoniam autem id factum diligen-

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΑΠΙΟΝΤΩΝ ΕΙΣ Ἱεροσόλυμα.

ἘΠΕΙΔΗ' με ἠρώτησας, ὦ φίλε, διὰ τοῦ γράμματος, πρέπειν ᾠήθην περὶ πάντων σοι καθεξῆς ἀποκρίνασθαι. ἐγὼ τοὺς ἅπαξ ἀνατεθεικότας ἑαυτοὺς τῇ ὑψηλῇ πολιτείᾳ, καλῶς ἔχειν φημὶ πρὸς τὰς τοῦ εὐαγγελίου διὰ παντὸς ἀποβλέπειν φωνάς· καὶ ὥσπερ οἱ τῷ κανόνι τὸ ἐπικείμενον ἀπευθύνοντες, κατὰ τὴν ἐπὶ τοῦ κανόνος εὐθεῖαν τὰ σκολιὰ τὰ ἐν χερσὶν εἰς εὐθύτητα μεταβάλλουσιν· οὕτως προσήκειν ἡγοῦμαι οἷόν τινα κανόνα ὀρθὸν καὶ ἀδιάστροφον, τὴν εὐαγγελικὴν λέγω δὴ πολιτείαν, τούτοις ἐπιβάλλοντας,
C κατ' ἐκείνην πρὸς τὸν Θεὸν ἀπευθύνεσθαι. ἐπεὶ τοίνυν εἰσί τινες τῶν τὸν μονήρη καὶ ἰδιάζοντα βίον ἐπανῃρημένων, οἷς ἐν μέρει εὐσεβείας γενόμισται τὸ τοὺς ἐν Ἱεροσολύμοις τόπους ἰδεῖν, ἐν οἷς τὰ σύμβολα τῆς διὰ σαρκὸς ἐπιδημίας τοῦ κυρίου ὁρᾶται, καλῶς ἂν ἔχοι πρὸς τὸν κανόνα βλέπειν· καὶ εἰ ταῦτα βούλεται ἡ παρὰ τῶν ἐντολῶν χειραγωγία, ποιεῖν τὸ ἔργον, ὡς πρόσταγμα κυρίου. Εἰ δὲ ἔξω ἐστὶ τῶν ἐντολῶν τοῦ Δεσπότου, οὐκ οἶδα τί ἐστι τὸ διατεταγμένον τι θέλειν ποιεῖν αὐτὸν ἑαυτῷ τοῦ καλοῦ νόμον γινόμενον. ὅπου προσκαλεῖται πρὸς
D τὴν κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν ὁ κύριος τοὺς εὐλογημένους, τὸ ἀπελθεῖν εἰς Ἱεροσόλυμα ἐν τοῖς κατορθώμασιν οὐκ ἀπηρίθμησεν· ὅπου τὸν μακαρισμὸν διαγγέλλει, τὴν τοιαύτην σπουδὴν οὐ περιέλαβεν. ὃ δὲ μήτε μακάριον ποιεῖ, μήτε πρὸς τὴν βασιλείαν εὔθετον, αἰτίνος σπουδάζεται; ὁ νοῦν ἔχων ἐπισκεψάσθω. καὶ εἰ μὴ ἐπωφελὲς ἦν τὸ γινόμενον, οὐκ ἦν οὐδὲ οὕτως καλὸν παρὰ τῶν τελείων σπουδάζεσθαι. ἐπεὶ δὲ καταμανθα-

νόμενον δι' ἀκριβείας τὸ γινόμενον, καὶ ψυχικὴν περιγράφεται βλάβην τοῖς τὸν ἀκριβῆ βίον ἐνστησαμένοις, οὐκ ἔστι τῆς μακρᾶς σπουδῆς ἄξιον, ἀλλὰ τῆς μεγίστης φυλακῆς, ὡς μηδενὶ τῶν καταβλαπτόντων ὁ κατὰ Θεὸν προῃρημένος ζῆν περιπείροιτο. τί οὖν ἐστὶν ἐν τούτοις τὸ βλάπτον; ἡ σεμνὴ πολιτεία πᾶσι πρόκειται, καὶ ἀνδράσι καὶ γυναιξὶν, ἴδιον δὲ τοῦ κατὰ φιλοσοφίαν βίου, ἡ εὐσχημοσύνη· αὕτη δὲ ἐν τῷ ἀμίκτῳ καὶ ἰδιάζοντι βίῳ τῆς ζωῆς κατορθοῦται, ὡς ἀνεπίμικτον καὶ ἀσύγχυτον εἶναι τὴν φύσιν, μήτε τῶν γυναικῶν ἐν ἀνδράσι, μήτε τῶν ἀνδρῶν ἐν γυναιξὶ πρὸς τὰ παρατετηρημένα τῆς εὐσχημοσύνης ὁρμώντων. ἀλλ' ἡ τῆς ὁδοιπορίας ἀνάγκη ἀεὶ τὴν ἐν τούτοις ἀκρίβειαν, καὶ πρὸς ἀδιαφορίαν τῶν παρατετηρημένων ἄγει· ἀμήχανον γὰρ γυναικὶ τοσαύτην ὁδὸν διαδραμεῖν, εἰ μὴ τὸν διασώζοντα ἔχοι, καὶ διὰ τὴν φυσικὴν ἀσθένειαν ἀναγκαζομένη ὑπὸ τὸ ὑποζύγιον, κἀκεῖθεν καταγομένη, καὶ ἐν ταῖς δυσχωρίαις παραχειραγωγουμένη. ὅπερ δ' ἂν ὑποθώμεθα, εἴτε γνώριμον ἔχει τὸν τὴν θεραπείαν ἀποπληροῦντα, εἴτε μισθωτὸν τὸν τὴν διακονίαν παρεχόμενον, καθ' ἑκάτερον μέρος οὐ διαφεύγει τὴν μέμψιν τὸ γινόμενον· οὔτε γὰρ τῷ ξένῳ ἑαυτὴν προσαναπαύουσα, οὔτε τῷ ἰδίῳ, τὸν τῆς σωφροσύνης φυλάττει νόμον. τῶν δὲ κατὰ τοὺς ἀνατολικοὺς τόπους πανδοχείων καὶ καταλυμάτων καὶ πόλεων πολλὰ τὴν ἄδειαν καὶ πρὸς τὸ κακὸν τὴν ἀδιαφορίαν ἐχόντων, πῶς ἔσται δυνατὸν τὸν διὰ καπνοῦ παριόντα μὴ δριμυχθῆναι τὰς ὄψεις; ὅπου μολύνεται μὲν ἀκοὴ, μολύνεται δὲ ὀφθαλμὸς, μολύνεται δὲ καρδία, δι' ὀφθαλμῶν καὶ ἀκοῆς δεχομένη τὰ ἄτοπα· πῶς ἔσται δυνατὸν ἀπαθῶς παρελθεῖν τοὺς ἐμπαθεῖς τόπους; τί δὲ καὶ πλέον ἕξει ὁ ἐν τοῖς τόποις ἐκείνοις γενόμενος, ὡς μέχρι τοῦ νῦν σωματικῶς τοῦ κυρίου ἐν ἐκείνοις τοῖς τόποις διάγοντος, ἡμῶν δὲ ἀποφοιτῶντος· ἢ ὡς τοῦ ἁγίου πνεύματος παρὰ τοῖς Ἱεροσολυμίταις πλεονάζοντος, πρὸς δὲ ἡμᾶς διαβῆναι ἀδυνατοῦντος. καὶ μὴν εἰ ἔστιν ἐκ τῶν φαινομένων, Θεοῦ παρουσίαν τεκμήρασθαι, μᾶλλον ἄν τις ἐν τῷ ἔθνει τῶν Καππαδοκῶν τὸν Θεὸν διαιτᾶσθαι νομίσειε, ἢ περ ἐν τοῖς ἔξω τόποις· ὅσα γάρ ἐστιν ἐν τούτοις θυσιαστή-

A ter examinatum, animo detrimentum conciliat, iis qui accuratè vitæ degendæ incumbunt, longo ſtudio indignum eſt: imò maximè cauendum, vt nihil ab eo lædatur is, qui ſecundum Deum vitam inſtituit agendam. Quid igitur eſt in his quod lædat? Sancta & grauis vitæ inſtitutio eadem omnibus & viris & fœminis propoſita eſt. Peculiaris eſt vitæ philoſophicæ honeſtas & caſtitas: quæ in vita ſua eáque non mixta ac ſeorſim acta conſummatur, ita vt impermixta ſit & minimè confuſa natura: neque fœminis in conſortium virorum, neque viris in mulierum ad B tuenda caſtitatis & honeſtatis officia contendentibus. At vero itineris conficiendi neceſſitas nunquam non diligentem in his obſeruandis in differentiam adducit. Nam tantam viam fœmina, niſi qui eam conſeruet, habeat, percurrere nequit: tum quia propter naturalem imbecillitatem iumento imponenda eſt, illincque deponenda: tum quia in difficultatibus tuenda ac ſeruanda. Quicquid autem ſupponere poſſimus, ſiue notum habet, qui ei præſtet obſequium, ſiue mercenarium, qui famuletur, ex vtraque parte quod fiet, reprehenſionem C non effugiet. Nam ſiue externo ſe committat, ſiue domeſtico acquieſcens, continentiæ legem non conſeruat. Cum autem in locis illis Orientalibus diuerſoria & hoſpitia, vrbeſque in multis licentiam & ad malum indifferentiam habeant, qui fieri poterit, vt qui per fumum ambulet, non exaſperetur oculis? vbi inquinatur auris, inquinatur oculus, inquinatur & cor, per oculos & auditum nefanda excipiens, qui fieri poterit, vt non afficiatur, qui affecta loca tranſgreditur? Quid vero etiam plus eſt habiturus, D qui locos illos adit? quaſi vero etiamnum Dominus corporaliter in locis illis degat, atque à nobis abierit: aut veluti ſanctu Spiritus apud Hieroſolymitanos abundet, ad nos autem tranſire non poſſit. Atque ſi ex iis quæ conſpiciuntur Dei præſentiam conijcere licet, potius in natione Cappadocum Deum moram trahere quis ſtatuerit, quam in externis locis. Nam quot ſunt in iis al-

taria, per quæ Domini nomen celebratur? Nec ſanè quia totius fortaſſe orbis totidẽ enumeraret altaria. Deinde etiam ſi in locis Hieroſolymitanis plus diuinæ gratiæ ineſſet, illic viuentium peccatum non tam frequens & conſuetum eſſet. Iam vero nullum eſt immundiciæ genus, quod apud eos non perpetretur: ac malitiæ, adulteria, furta, idololatriæ, veneficia, inuidiæ & cædes, ac tantum in primis malum illis tam frequens & aſſiduum eſt, vt nuſquam tanta ſit ad trucidandum promptitudo, quanta illis locis inhabitat, vbi beluino more in ſanguinem contribulium mutuo incurrunt, frigidi lucri cauſa. Vbi ergo hæc fiunt, quo argumento intelligas, illis in locis ampliorẽ gratiam eſſe? Sed ſcio quid mihi multi aduerſus ea, quæ dicta ſunt, objiciunt. Aiunt enim: Quamobrem hæc contra te etiam non decernis? Si enim nullum operæprecium facit, qui ſecundum Deum illuc peregrinatus fuerit, quamobrem fruſtra tantam viæ moleſtiam ſuſtinuiſti? Audiant igitur, quo iure me in iis defendam. Mihi propter hanc viuendi rationem, in qua vt viuam, ab eo qui diſpenſat vitam noſtram conſtitutus ſum, neceſſe fuit pro ſancto concilio habito emendandæ Arabicæ Eccleſiæ gratia, ad loca iſta proficiſci. Ac cum eſſet Arabia locis Hieroſolymitanis contermina, pollicitus eram me vnà cum iis qui ſanctis Hieroſolymitanis præſunt Eccleſiis diſceptaturum, quod rerum illis eſſet ſtatus perturbatus, ac quodã qui medius intercederet egerent. Præterea vero, ipſo quoque piiſſimo Imperatore viæ facilitatẽ concedente curru publico, nulla nobis neceſſitas fuit ea perpeti, quæ in aliis animaduertimus. Vehiculum enim nobis pro Eccleſia & monaſterio erat, omnibus per totam viam ſimul pſallentibus & ieiunantibus Domino. Noſtrum ergo exemplum neminem offendat: quin potius probabilius inde noſtrum cõſilium fiat, quod de rebus iiſdem quas nos aſpeximus, conſilium noſtrum demus. Nos enim Chriſtum qui apparuit, eſſe Deum verum confeſſi ſumus, etiam antequam eo iuiſſemus: & item, fide neque imminuta, neque poſtea ad-

A εια, δι' ὧν τὸ ὄνομα τοῦ Κυρίου δοξάζεται, οὐκ ἂν οὕτω τοσαῦτα πάσης σχεδὸν τῆς οἰκουμένης ἐξαριθμήσαιτο θυσιαστήρια. Ἔπειτα καὶ εἰ ἦν πλέον ἡ χάρις ἐν τοῖς Ἱεροσόλυμα τόποις, οὐκ ἂν ἐπεχωρίαζε τοῖς ἐκεῖ ζῶσιν ἡ ἁμαρτία. Νῦν δὲ οὐκ ἔστιν ἀκαθαρσίας εἶδος, ὃ μὴ τολμᾶται παρ' αὐτοῖς. καὶ πονηρίαι, καὶ μοιχεῖαι, καὶ κλοπαὶ, καὶ εἰδωλολατρεῖαι, καὶ φαρμακεῖαι, καὶ φθόνοι, καὶ φόνοι, καὶ μάλιστά γε τὸ τοιοῦτον ἐπιχωριάζει κακὸν, ὥστε μηδαμοῦ τοιαύτην ἑτοιμότητα εἶναι πρὸς τὸ φονεύειν, ὅσον ἐν τοῖς τόποις ἐκείνοις, θηρίων δίκην τῷ αἵματι τῶν ὁ-
B μοφύλων ἐπιτρεχόντων ἀλλήλων ψυχροῦ κέρδους χάριν. Ὅπου τοίνυν ταῦτα γίνεται, ποίαν ἀπόδειξιν ἔχει τὸ πλείονα χάριν εἶναι ἐν τοῖς τόποις ἐκείνοις; ἀλλ' οἶδα τὸ ἀντιλεχθησόμενον παρὰ πολλῶν πρὸς τὰ παρ' ἐμοῦ εἰρημένα· λέγουσι γάρ, διὰ τί ταῦτα καὶ ἐπὶ σεαυτὸν οὐκ ἐνομοθέτησας; εἰ γὰρ μηδέν ἐστι κέρδος τῷ κατὰ Θεὸν ἐκδημήσαντι ἀντὶ τοῦ γενέσθαι ἐκεῖ, ὑπὲρ τίνος μάτην ὑπέστης τὴν τοσαύτην ὁδόν; ἀκουσάτωσαν οὖν τῆς ὑπὲρ τούτων παρ' ἐμοῦ ἀ-
C πολογίας· ἐμοὶ διὰ τὴν ἀνάγκην ταύτην ἐν ᾗ ζῆν ἐτάχθην παρὰ τοῦ οἰκονομοῦντος ἡμῶν τὴν ζωὴν, ἐγένετο τῆς ἁγίας συνόδου διορθώσεως ἕνεκεν τῆς κατὰ τὴν Ἀραβίαν ἐκκλησίας, μέχρι τῶν τόπων γενέσθαι. καὶ ἐπειδὴ ὅμορός ἐστιν ἡ Ἀραβία τοῖς κατὰ Ἱεροσόλυμα τόποις, ὑποσχόμενος καὶ συσκεψόμενος τοῖς προεστῶσι τῶν ἁγίων Ἱεροσολυμιτῶν ἐκκλησιῶν, διὰ τὸ εἶναι αὐτοῖς ἐν ταραχῇ τὰ πράγματα, καὶ χρῄζειν τοῦ μεσιτεύοντος· ἔπειτα δὲ, καὶ τοῦ εὐσεβεστάτου Βασιλέως παρεσχημένου τὴν εὐκολίαν
D τῆς ὁδοῦ διὰ δημοσίου ὀχήματος, οὐδεμία ἡμῖν ἀνάγκη ἐγένετο ταῦτα παθεῖν, ἃ καὶ ἐπὶ τῶν ἄλλων κατενοήσαμεν· τὸ γὰρ ὄχημα ἡμῖν ἀντὶ ἐκκλησίας καὶ μοναστηρίου ἦν, διὰ πάσης τῆς ὁδοῦ συμψαλλόντων πάντων καὶ συννηστευόντων τῷ Κυρίῳ. Τὸ οὖν ἡμέτερον μηδένα σκανδαλιζέτω· μᾶλλον δὲ πιθανὴ γενέσθω ἡ συμβουλία ἡμῶν, ὅτι περὶ ὧν τοῖς ὀφθαλμοῖς ὑπεβάλομεν, περὶ τούτων καὶ συμβουλεύομεν. ἡμεῖς γὰρ τὸν ἐπιφανέντα Χριστὸν εἶναι Θεὸν ἀληθινὸν ὡμολογήσαμεν καὶ πρὶν ἐπὶ τοῦ τόπου γενέσθαι, καὶ μετὰ ταῦτα; οὔτε τῆς πίστεως ἐλαττουμένης, οὔτε μετὰ ταῦτα προσαυξηθεί-

σης· καὶ τὴν διὰ τῆς παρθένου ἐνανθρώπησιν καὶ πρὸ τῆς Βηθλεὲμ ἐπιστάμεθα· καὶ τὴν ἐκ νεκρῶν ἐξανάστασιν, καὶ πρὸ τοῦ μνήματος ἐπιστεύσαμεν· καὶ τὴν εἰς οὐρανοὺς ἀνάβασιν καὶ δίχα τοῦ τὸ ὄρος τῶν ἐλαιῶν ἰδεῖν, ἀληθῆ εἶναι ὡμολογήσαμεν. τοσοῦτον δὲ μόνον ἐκ τῆς ὁδοιπορίας ὠφελήθημεν, ὅσον ἐν συγκρίσει γνῶναι, ὅτι τὰ ἡμέτερα τῶν ἔξω πολὺ ἁγιώτερά ἐστιν. ὅθεν οἱ φοβούμενοι τὸν κύριον, ἐν οἷς ἐστὲ τόποις, αἰνέσατε αὐτόν. Θεοῦ γὰρ προσεγγισμὸν τοπικὴ μετάστασις οὐ κατεργάζεται· ἀλλ' ὅπου περ ἂν ᾖς, πρὸς σὲ ἥξει ὁ Θεός, ἐάν γε τὸ τῆς ψυχῆς σου καταγώγιον τοιοῦτον εὑρεθῇ, ὥστε ἐνοικῆσαι τὸν κύριον ἐν σοὶ καὶ ἐμπεριπατῆσαι. εἰ δὲ πλήρη ἔχεις τὸν ἔσω ἄνθρωπον λογισμῶν πονηρῶν, κἂν ἐπὶ τοῦ Γολγοθᾶ ᾖς, κἂν ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν, κἂν ὑπὸ τὸ μνῆμα τῆς ἀναστάσεως, τοσοῦτον ἀπέχεις τὸν Χριστὸν δέξασθαι ἐν ἑαυτῷ, ὅσον οἱ μηδὲ τὴν ἀρχὴν ὁμολογήσαντες. συμβούλευσον οὖν, ἀγαπητέ, τοῖς ἀδελφοῖς ἐκδημεῖν ἀπὸ τοῦ σώματος πρὸς τὸν κύριον, καὶ μὴ ἀπὸ Καππαδοκίας εἰς Παλαιστίνην. εἰ δέ τις τὴν τοῦ κυρίου φωνὴν προβάλλοι τὴν παραγγέλλουσαν τοῖς μαθηταῖς, μὴ χωρίζεσθαι ἀπὸ Ἱεροσολύμων, νοησάτω τὸ εἰρημένον. ἐπειδὴ γὰρ ἡ τοῦ ἁγίου πνεύματος χάρις καὶ διανομὴ οὔπω ἐπεφοίτησε τοῖς ἀποστόλοις, προσέταξεν αὐτοῖς ὁ κύριος ἐπὶ τὸ αὐτὸ μένειν, ἕως ἂν ἐνδύσωνται δύναμιν ἐξ ὕψους. εἰ μὲν ὃ ἦν ἀπ' ἀρχῆς ἐγίνετο μέχρι τοῦ νῦν, τοῦ ἁγίου πνεύματος ἐν εἴδει πυρὸς τῶν χαρισμάτων οἰκονομοῦντος ἕκαστον, ἔδει πάντας εἶναι ἐν τῷ τόπῳ ἐκείνῳ ἐν ᾧ ἡ διανομὴ τοῦ χαρίσματος ἐγίνετο. Εἰ δὲ τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ οἱ ἐνταῦθα πιστεύσαντες, μέτοχοι γίνονται τοῦ χαρίσματος, κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, οὐ κατὰ τὴν ἀποδημίαν τὴν ἐν Ἱεροσολύμοις.

aucta. Quodque homo per Virginem natus ſit, antequam Bethleem intueremur, ſciuimus. Et à mortuis reſurrectionem etiam ante monumentum viſum credidimus: atque aſcenſionem in cœlos, nondū conſpecto monte Oliuarū, veram fuiſſe confeſſi ſumus. Emolumenti autem id tantulum ex itineris confectione habuimus, quod ex collatione cognouimus, noſtra externis longè ſanctiora eſſe. Vnde vos qui timetis Dominum, in quibus locis eſtis, eum laudate. Localis enim mutatio, vt Deus propior ſit, non efficit: ſed vbi vbi fueris, ad te Deus veniet, ſiquidem animæ tuæ diuerſorium tale inueniatur, vt in te Dominus inhabitet, inambuletque: ſin hominem interiorem peruerſis cogitationibus plenum habeas, etiamſi in Golgotha fueris, etiamſi in monte Oliuarum, etiamſi ſub monumento reſurrectionis, tantum à Chriſti in animum tuū receptione abes, quãtum qui ne ab initio quidē fidem profeſſi ſunt. Cōſule ergo dilecte fratribus, vt à corpore peregrinentur ad Dominum, nō è Cappadocia in Palæſtinam. Quod ſi quis obijciat Domini vocem diſcipulis præcipientem, ne diſcederent ab Hieroſolymis: intelligat quid dictum illud voluerit. Cum ſancti Spiritus gratia & diſperſio nondum veniſſet Apoſtolis, iuſſit eis Dominus eodem in loco ſimul manere, donec induti eſſent virtute ex alto. At ſi, quod initio fiebat, vt Spiritus Sanctus ignis ſpecie dona ſingulis impertiret, hucuſque fieret, omnes oporteret in eo loco eſſe vbi dona diſtribuerentur: Sin ſpiritus vbi vult ſpirat: ij quoque qui hic ſunt, ac credunt, participes fiunt, iuxta fidei analogiam, non iuxta peregrinationem in Hieroſolyma ſuſceptam. *Ioan. 3. 8.*

A

Verè ornatiſſ. & religioſiſſ. ſororibus

EVSTATHIÆ ET AMBROSIÆ, NECNON ornatiſſimæ & honeſtiſſimæ filiæ Baſiliſſæ,

GREGORIVS ſalutem in Domino.

Iſaac. Caſaub. interpr.

CONGRESSVS bonorum, mihiq; ex animo dilectorum, & illius ingentis humanitatis nobis à Domino præſtitæ, monumenta, quæ iſthic oſtenduntur, maximi gaudij & voluptatis argumento mihi fuerunt. vtroque enim modo feriari Deo quid eſſet experiebar: quum & Dei qui vitam nobis dedit, ſymbola ſalutaria videbam, & in eiuſmodi perſonas incideram, in queis illa ipſa ſigna gratiæ Domini ſpiritualiter eſt contemplari: vt credere liceat eſſe reuera in animo illius qui Deum in ſe habet, Bethlehem, Golgotham, Oliuetum, Reſurrectionem. Nam vbi in aliquo per bonam conſcientiam Chriſtus fuerit informatus, aut aliquis metu diuino veluti clauis carnes ſuas confixerit, fueritque cum Chriſto cruci affixus: graue ſaxum mundanæ fraudis fuerit amolitus, corporeoque monumento egreſſus, velut in noua vita ambulare inſtituerit: relicta hac humili atque humi repentè mortalium vita, ſublimi deſiderio in cœleſtem rempublicam aſcenderit, ſuperna cogitans, vbi eſt Chriſtus: nil pondere corporis grauatus, ſed puriore vita factus à ſeipſo leuior, vt per ſublimia ſurſum tendentem caro ipſius nubis inſtar comitari valeat: hic meo quidem iudicio inter illas celebris famæ res cenſeri debet, in quibus benignitatis Do-

Ταῖς κοσμιωτάταις ἀληθῶς καὶ εὐλαβεστάταις ἀδελφαῖς.

ΕΥΣΤΑΘΙΑ ΚΑΙ ΑΜΒΡΟΣΙΑ, ΚΑΙ ΤΗι ΚΟΣΜΙΩΤΑΤΗι καὶ σεμνοτάτῃ θυγατρὶ Βασιλίσσῃ,

B

ΓΡΗΓΟΡΙΟΣ ἐν κυρίῳ χαίρειν.

Η ΜΕΝ τῶν ἀγαθῶν καὶ καταθυμίων συντυχία, καὶ τὰ γνωρίσματα τῆς μεγάλης τοῦ Δεσπότου ὑπὲρ ἡμῶν φιλανθρωπίας, τὰ ἐν τοῖς τόποις δεικνύμενα, τῆς μεγίστης ἐγένετό μοι χαρᾶς τε καὶ
C εὐφροσύνης ὑπόθεσις. δι' ἀμφοτέρων γὰρ ὑπεδηλώθη μοι ἡ κατὰ Θεὸν ἑορτή, διά τε τοῦ ἰδεῖν τὰ σωτήρια σύμβολα τοῦ ζωοποιήσαντος ἡμᾶς Θεοῦ, καὶ διὰ τοῦ ψυχαῖς συντυχεῖν, ἐν αἷς τὰ τοιαῦτα τῆς τοῦ κυρίου χάριτος σημεῖα πνευματικῶς θεωρεῖται, ὥστε πιστεύειν ὅτι ἀληθῶς ἐν τῇ καρδίᾳ ἐστὶ τοῦ τὸν Θεὸν ἔχοντος ἡ Βηθλεέμ, ὁ Γολγοθᾶς, ὁ Ἐλαιών, ἡ Ἀνάστασις. ὅτε γὰρ διὰ τῆς ἀγαθῆς συνειδήσεως ὁ Χριστὸς ἐμμορφωθῇ, καὶ ὁ καθηλώσας τῷ θείῳ φόβῳ τὰς σάρκας αὐτοῦ, καὶ συσταυρωθεὶς τῷ
D Χριστῷ, καὶ ἀποκυλίσας ἀφ' ἑαυτοῦ τὸν βαρὺν τῆς βιωτικῆς ἀπάτης λίθον, καὶ ἐξελθὼν τοῦ σωματικοῦ μνημείου, ὡς ἐν καινότητι ζωῆς περιεπάτησε, καὶ ὁ καταλιπὼν τὴν κοίλην καὶ χαμαίζηλον τῶν ἀνθρώπων ζωήν, ἀναβὰς δὲ διὰ τῆς ὑψηλῆς ἐπιθυμίας εἰς τὴν ἐπουράνιον πολιτείαν, καὶ τὰ ἄνω φρονῶν, οὗ ὁ Χριστός, καὶ μὴ βαρυνόμενος τῷ ἄχθει τοῦ σώματος, ἀλλ' ἐξελαφρύνας διὰ καθαρωτέρας ζωῆς, ὥστε αὐτῷ νεφέλης δίκην συμμετεωροπορεῖν ἐπὶ τὰ ἄνω τὴν σάρκα· οὗτος, κατά γε τὴν ἐμὴν κρίσιν, ἐκείνων ἐστὶ τῶν κατωνομασμένων, ἐν οἷς τὰ ὑπομνήματα τῆς τοῦ Δε-

τοῦ ὑπὲρ ἡμῶν φιλανθρωπίας ὁρᾶται. ἐπεὶ τοίνυν εἶδον μὲν καὶ αἰσθητῶς τοὺς ἁγίους τόπους, εἶδον δὲ καὶ ἐν ὑμῖν τῶν τοιούτων τόπων ἐναργῆ τὰ σημεῖα, τοσαύτης ἐπληρώθην χαρᾶς, ὥστε ὑπὲρ λόγον εἶναι τοῦ ἀγαθοῦ τὴν διήγησιν. ἀλλ' ἐπειδὴ ἔοικεν ἄνθρωπον ὄντα δύσκολον εἶναι, ἵνα μὴ εἴπω ὅτι ἀδύνατον, ἀμιγὲς τοῦ κακοῦ τὸ ἀγαθὸν καρποῦσθαι· διὰ τοῦτό μοι τῇ γεύσει τῶν γλυκέων συγκατεμίχθη καὶ τῶν πικραινόντων ἡ αἴσθησις· ἐφ' οἷς, μετὰ τὴν ἀγαθὴν τῶν εὐφραινόντων ἀπόλαυσιν, πάλιν ἐπὶ τὴν πατρίδα σκυθρωπάζων ἐπορευόμην, λογιζόμενος, ὅτι ἀληθὴς ὁ τοῦ κυρίου λόγος ὁ εἰπὼν ὅλον τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι· ὡς μηδὲν τῆς οἰκουμένης μέρος ἐλεύθερον εἶναι τῆς μοίρας τοῦ χείρονος. εἰ γὰρ ὁ τὸ ἅγιον τῆς ὄντως ζωῆς ἴχνος ὑποδεξάμενος τόπος τῆς πονηρᾶς ἀκάνθης οὐ καθαρεύει, τί χρὴ περὶ τῶν λοιπῶν ἐννοεῖν τόπων, οἷς ἡ τοῦ ἀγαθοῦ μετουσία κατεσπάρη διὰ ψιλῆς ἀκοῆς καὶ κηρύγματος; ταῦτα δὲ πρὸς ὃ βλέπων φημί, πάντως οὐδὲν χρὴ γυμνότερον διὰ τῶν λόγων ἐκτίθεσθαι, αὐτῶν τῶν πραγμάτων πάσης φωνῆς γεγωνοτέρων διαβοώντων τὰ λυπηρά. μίαν ἔχθραν ἐνομοθέτησεν ἡμῖν ὁ τῆς ζωῆς ἡμῶν νομοθέτης, τὴν πρὸς τὸν ὄφιν λέγω· πρὸς οὐδὲν ἄλλο τὴν τοῦ μίσους δύναμιν ἐνεργεῖσθαι προστάξας, εἰ μὴ πρὸς τὴν ἀποστροφὴν τῆς κακίας. ἔχθραν γὰρ θήσω, φησίν, ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον ἐκείνου. ἐπειδὴ ποικίλη τις καὶ πολυειδής ἐστιν ἡ κακία, διὰ τοῦ ὄφεως ὁ λόγος ταύτην αἰνίττεται, τῇ πυκνῇ τῶν φολίδων θέσει τὸ πολύτροπον τῆς κακίας χαρακτηρίζων. ἡμεῖς δὲ πρὸς μὲν τὸν ὄφιν ἔνσπονδοι, διὰ τοῦ τὰ θελήματα τοῦ ἀντικειμένου ποιεῖν, ἐγενόμεθα· τὸ δὲ μῖσος κατ' ἀλλήλων ἐστρέψαμεν· τάχα δὲ οὐδὲ καθ' ἡμῶν, ἀλλὰ κατὰ τοῦ τὴν ἐντολὴν δεδωκότος. ὁ μὲν γάρ φησιν, ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου· τὸν τῆς φύσεως ἡμῶν πολέμιον μόνον ἐχθρὸν ἡγεῖσθαι προστάξας· πάντα δὲ τὸν κοινωνοῦντα τῆς φύσεως, πλησίον ἑκάστου εἶναι εἰπών· ἡ δὲ βαρυκάρδιος ἡμῶν γενεὰ τοῦ πλησίον ἡμᾶς διαστήσασα, θάλπειν τὸν ὄφιν ἐποίησε, καὶ τοῖς τῶν φολίδων αὐτοῦ στίγμασιν ἐπιτέρπεσθαι. ἐγὼ γὰρ

A mini noſtri erga humanum genus monumenta viſuntur. Cum igitur & ſenſibus meis loca ſancta intuerer: intuerer vero hoc amplius etiam in vobis eiuſmodi locorum expreſſa ſigna: tanto equipem repletus ſum gaudio, vt illud enarrare nulla vis dicendi queat. Sed difficile eſt, ne dicam fieri omnino haut poſſe, vt homo natus bono aliquo fruatur, cui nihil mali ſit admixtum. propterea mihi quoque cum dulcia guſtarem, ſimul & illorum aliquid eſt mixtũ, quæ ſenſum amarore afficiunt. ob quæ poſt ſuauem rerum lætarum perceptio-
B nem, mœſtus ac triſtis domum reuertebar: reputans apud me, verum eſſe quod Dominus dixit, *mundum vniuerſum in malo cubare*: ita vt pars nulla orbis terrarum ſequioris illius portionis ſit immunis. Nam ſi locus ipſe qui ſanctum veſtigiũ veræ Vitæ ſuſcepit, purus à malis ſentibus non eſt; quid de ceteris opinari debemus, qui ſola auditione & prædicatione boni illius communione ſunt aſperſi? quo ſpectem cum hæc dico nihil quicquam attinet euidentioribus verbis explicare: quum res ipſæ altius ac
C clarius quam cuiuſquam vox vel maxime nota clament, quænam illa ſint quæ moleſta fuerint. Vnum odium lege ſua ſanxit vitæ noſtræ Legiſlator: odium, dico, cum ſerpente: neque vllam aliam ad rem exercere vim illam per quam odimus nos iuſſit, niſi ad auerſandum malum. *Odium*, inquit, *ponam inter te, atque inter ipſum.* nempe quia varia & multiformis eſt vitioſitas, ſerpentis appellatione eã heic ſermo deſignat: per ſquamarum denſum ſitum multiplices vitiorum modos ac formas velut indicio no-
D tarum exprimẽs. Nos vero dum Aduerſarij volũtates exſequimur, fœdus cum ſerpente colimus, odium vero mutuum in nos ipſos conuertimus: ac fortaſſe ne in nos quidem, ſed in eum qui mandatum illud dedit. Ait enim ille; *Amabis proximum tuum, & odio habebis inimicum tuum.* ſolum illum qui naturæ noſtræ hoſtis eſt, habere pro inimico nos iuſſit: quemcunque vero, qui naturæ huius ſit particeps, proximum cuiuſque eſſe pronuntiauit: At noſtra hæc maligna ætas vt abalienaremur à proximis, & ſerpentem foueremus, effecit, vtque ſquamarum eius punċturis gauderemus. Nam equidem

Dei hoſtes odiſſe iuſtum eſſe aio, idque
odij genus Domino placere. Sed hoſtes
Dei eſſe illos dico, qui omnibus modis
Domini gloriam negant: ſiue illi ſunt
Iudæi, ſiue manifeſti idololatræ, ſiue
de eorum numero, qui per Arij dogmata
de creatura idolum fingunt, & errorem
Iudæorum ſuſcipiunt. at ſi Pater,
Filius, & Spiritus ſanctus pie aſſeratur,
& adoretur ab iis qui credunt in non
confuſa & diſtincta ſancta Trinitate
vnam eſſe & naturam & gloriam & regnum
& vim, & pium cultum, & ſupra
omnia diffuſam poteſtatem: heic, inquam,
ecquæ belli probabilis cauſſa eſſe
queat? Tunc ſanè cum latè obtinebant
hæretica dogmata, vel cum præſenti
periculo opponere ſe poteſtatibus, per
quas ſtabiliri videbatur aduerſariorum
dogma, bonum factum erat: ne ab humanis
potentatibus ſalutaris doctrina
vi opprimeretur. nunc, quum toto orbe
terrarum atque ab vno cœli cardine ad
alterum ex æquo palam prædicetur pietas:
qui cum hominibus piam doctrinam
prædicantibus bellum gerit, nequaquam
ille quidem cum iis pugnat,
ſed cum eo qui piè ab iis prædicatur.
nam qui diuino zelo feruntur, quid aliud
ſpectare debent, niſi vt quoquo
modo gloria Dei annuntietur? at quandiu
ex toto corde, animo & cogitatione
Deus vnigenitus adoratur, idque eſſe
in omnibus creditur, quod Pater eſt:
quandiu Spiritus quoque Sanctus pari
adoratione colitur, ecquam ſatis ſpecioſam
belli cauſam habere homines
curioſè arguti queant? qui tunicam
illam indiuiſam lacerant: & Chriſti
nomen in Pauli & Cephæ appellationes
ſecant: & accedentes ad ſe eos qui
Chriſtum adorant, abominabiles pronuntiant:
tantumnon diſertis verbis
illud palam clamantes, *Procul à me: Ne
accedas ad me: ego enim purus ſum.* Detur
ſanè illis, plus cognitionis, quam præ
ceteris ſe putant eſſe conſequutos, eos
habere. quid? amplius ne aliquid credent,
quam Deum eſſe eum qui verus
eſt Dei filius? quippe veri Dei confeſſio
omnes pias & ſalutares nobis notiones
in ſe complectitur: bonum eſſe,
iuſtum, potentem, immutabilem,
inuariabilem, ſemper eundem, qui
neque in deterius, neque in melius

A τὸ μὲν τοὺς ἐχθροὺς τοῦ Θεοῦ μισεῖν ἔννομον εἶναι
φημί, καὶ ἀρέσκειν τῷ δεσπότῃ τὸ τοιοῦτον μῖσος·
ἐχθροὺς δὲ λέγω τοὺς κατὰ πάντα τρόπον
τὴν δεσπότου δόξαν ἀρνουμένους, εἴτε τοὺς
Ἰουδαίους, εἴτε τοὺς φανερῶς εἰδωλολατροῦντας,
εἴτε τοὺς διὰ τῆς Ἀρείου δογματοποιίας εἰδωλοποιοῦντας
τὴν κτίσιν, καὶ τὴν Ἰουδαϊκὴν
πλάνην ἀναλαμβάνοντας. Εἰ δὲ πατὴρ, καὶ
υἱὸς, καὶ ἅγιον πνεῦμα εὐσεβῶς δοξάζοιτο καὶ
προσκυνοῖτο παρὰ τῶν πιστευόντων ἐν ἀσυγχύτῳ
καὶ διακεκριμένῃ τῇ ἁγίᾳ τριάδι μίαν
εἶναι καὶ φύσιν, καὶ δόξαν, καὶ βασιλείαν, καὶ δύναμιν,
καὶ τὴν ἐπὶ πάντων ἐξουσίαν· ἐνταῦθα
B ὁ πόλεμος τίνα εὔλογον αἰτίαν ἔχει; ὅτε ἐπεκράτει
τὰ τῆς αἱρέσεως δόγματα, καὶ τὸ παρακινδυνεῦσαι
πρὸς τὰς ἐξουσίας, δι' ὧν ἐδόκει
τὸ τῶν ἀντικειμένων δόγμα κρατύνεσθαι,
καλῶς εἶχεν· ὡς ἂν μὴ καταδυναστεύοιτο ταῖς
ἀνθρωπίναις δυναστείαις ὁ σωτήριος λόγος. νυνὶ
δὲ κατὰ πᾶσαν τὴν οἰκουμένην ἀπ' ἄκρου
τοῦ οὐρανοῦ, καὶ ἕως τοῦ ἄκρου αὐτοῦ ἴσως κηρυσσομένης
ἐν φανερῷ τῆς εὐσεβείας, ὁ τοῖς κηρύσσουσι
τὴν εὐσέβειαν πολεμῶν, οὐκ ἐκείνοις μάχεται,
ἀλλὰ τῷ παρ' αὐτῶν εὐσεβῶς κηρυσσομένῳ.
τίς γὰρ εἶναι σκοπὸς ἄλλος ὀφείλει τῷ τὸν
C θεῖον ἔχοντι ζῆλον, εἰ μὴ τὸ παντὶ τρόπῳ τὴν δόξαν
τοῦ Θεοῦ καταγγέλλεσθαι; ἕως γὰρ ἂν ἐξ ὅλης
καρδίας τε καὶ ψυχῆς καὶ διανοίας προσκυνῆται
ὁ μονογενὴς Θεὸς, ἐκεῖνο εἶναι πεπιστευμένος ἐν
πᾶσιν ὅπερ ἐστὶν ὁ πατήρ. ὡσαύτως δὲ καὶ τὸ
πνεῦμα τὸ ἅγιον ὁμοτίμως προσκυνῆται δοξάζηται,
οἱ τὰ περιττὰ σοφιζόμενοι ποίαν τοῦ πολέμου
εὐπρόσωπον ἔχουσιν ἀφορμήν; σχίζοντες
τὸν χιτῶνα τὸν ἄρρηκτον, καὶ πρὸς Παῦλον,
καὶ Κηφᾶν τὸ ὄνομα τοῦ κυρίου καταμερίζοντες
D καὶ τὸν προσεγγισμὸν τῶν τὸν Χριστὸν προσκυνούντων,
βδελυκτὸν ἀποφαίνοντες· μονονοὺ φανερῶς
ἐκεῖνο βοῶντες τοῖς ῥήμασι, πόρρω ἀπ' ἐμοῦ·
μὴ ἐγγίσῃς μοι· ὅτι καθαρός εἰμι. δεδόσθω δὲ
καὶ πλέον τι αὐτοῖς κατὰ τὴν γνῶσιν, ἧσπερ αὐτοὶ οἴονται
κατειληφέναι, προσεῖναι. μὴ πλέον τοῦ πιστεύειν
ἀληθινὸν εἶναι Θεὸν τὸν τοῦ Θεοῦ ἀληθινὸν υἱὸν
ἔχουσιν; τῇ γὰρ τοῦ ἀληθινοῦ Θεοῦ ὁμολογίᾳ πάντα
συμπεριλαμβάνεται τὰ εὐσεβῆ καὶ σώζοντα ἡμᾶς
νοήματα· ὅτι ἀγαθὸς, ὅτι δίκαιος, ὅτι δυνατὸς,
ἄτρεπτός τε καὶ ἀναλλοίωτος, καὶ ἀεὶ ὁ αὐτὸς, οὔτε πρὸς τὸ χεῖρον, οὔτε πρὸς τὸ βέλτιον τραπῆναι

διαμένων· ὃ μὲν γὰρ οὐ πέφυκεν, ὃ δὲ οὐκ ἔχει. τί γὰρ ὑψίστου ὑψηλότερον; τί τοῦ ἀγαθοῦ ἀγαθώτερον; ὥστε ἐν πάσῃ τοῦ ἀγαθοῦ τελειότητι θεωρούμενος, κατὰ πᾶν εἶδος τροπῆς τὸ ἀναλλοίωτον ἔχει· οὐ κατὰ χρόνους τινὰς τὸ τοιοῦτον ἐν ἑαυτῷ δεικνὺς, ἀλλ' ἀεὶ ὡσαύτως ἔχων, καὶ πρὸ τῆς κατὰ ἄνθρωπον οἰκονομίας, καὶ ἐν ἐκείνῃ, καὶ μετὰ τοῦτο· οὐδὲν τῆς ἀτρέπτου καὶ ἀναλλοιώτου φύσεως ἐν ταῖς ὑπὲρ ἡμῶν ἐνεργείαις πρὸς τὸ ἀπεμφαῖνον μεθαρμοζόμενος. τὸ γὰρ φύσει ἄφθαρτόν τε καὶ ἀναλλοίωτον ἀεὶ τοιοῦτόν ἐστιν, οὐ συναλλοιούμενον τῇ ταπεινῇ φύσει, ὅταν ἐν ἐκείνῃ κατ' οἰκονομίαν γένηται, κατὰ τὸ τοῦ ἡλίου ὑπόδειγμα· ὃς ὑποβαλὼν τὴν ἀκτῖνα τῷ ζόφῳ, τὸ φῶς τῆς ἀκτῖνος οὐχ ἠμαύρωσεν· ἀλλὰ τὸ σκότος διὰ τῆς ἀκτῖνος εἰς φῶς μετεποίησεν· οὕτως καὶ τὸ ἀληθινὸν φῶς ἐν τῇ σκοτίᾳ ἡμῶν λάμψαν, οὐκ αὐτὸ ὑπὸ τοῦ σκότους κατεσκιάσθη, ἀλλὰ δι' ἑαυτοῦ τὸν ζόφον ἐφώτισεν. ἐπειδὴ γὰρ ἦν ἐν σκότῳ τὸ ἀνθρώπινον, καθὼς γέγραπται, ὅτι οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότῳ διαπορεύονται· ὁ ἐλλάμψας τῇ ἐσκοτισμένῃ φύσει διὰ πάντος τοῦ συγκρίματος ἡμῶν τῆς θεότητος τὴν ἀκτῖνα διαγαγὼν, διὰ ψυχῆς, λέγω, καὶ σώματος, ὅλον τὸ ἀνθρώπινον τῷ ἰδίῳ φωτὶ προσῳκείωσε τῇ πρὸς ἑαυτὸν ἀνακράσει· ὅπερ ἐστὶν αὐτὸς, κἀκεῖνο ἀπεργασάμενος· καὶ ὡς οὐκ ἐφθάρη ἡ θεότης ἐν τῷ φθαρτῷ σώματι γενομένη· οὕτως οὔτε εἰς τροπὴν ἠλλοιώθη τὸ τρεπτὸν τῆς ψυχῆς ἡμῶν ἰασαμένη. καὶ ἐπὶ τῆς ἰατρικῆς τέχνης ὁ θεραπεύων τὰ σώματα, ἐπειδὰν ἅψηται τοῦ πεπονθότος, οὐκ αὐτὸς ἐμπαθὴς γέγονεν, ἀλλὰ τὸ νοσοῦν ἐξιάσατο. μηδεὶς δὲ διὰ τοῦτο τὸ τοῦ εὐαγγελίου μὴ δεόντως ἐκλαμβάνων, ἡγείσθω, κατὰ προκοπήν τινα καὶ ἀκολουθίαν κατ' ὀλίγον πρὸς τὸ θειότερον μεταποιεῖσθαι τὴν ἡμετέραν φύσιν ἐν τῷ Χριστῷ. τὸ γὰρ προέκοπτεν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι, εἰς ἀπόδειξιν τοῦ ἀληθῶς ἐν τῷ ἡμετέρῳ φυράματι γεγενῆσθαι τὸν κύριον παρὰ τῆς γραφῆς ἱστόρηται. ὡς ἂν μή τινα χώραν ἔχοι τὸ τῶν ἀντὶ τῆς ἀληθοῦς θεοφανίας δόκησίν τινα γεγενῆσθαι δογματιζόντων, ἐν σωματικῇ μορφῇ κατεσχηματισμέ-

A verti queat: illud namque naturæ ipſius repugnat: hoc non eſt in natura. quid enim eo quod ſupra omnia eſt ſublime ſublimius? quid bono melius? itaque in omni perfectione boni conſideratus, per omnes mutationis formas expers eſt variationis, neque certo tempore hanc ſibi naturam eſſe demonſtrauit: ſed ſemper eodem ſe modo habuit: & priuſquam vt homo conuerſaretur in mundo, & dum in eo eſt, & poſtea: neque vllam partem naturæ ſuæ immutabilis atque inuariabilis in iis quæ pro nobis effecit, ad quicquam B accommodauit, quod à ſua natura eſſet alienum. Quod enim natura neque corruptioni, neque mutationi eſt obnoxium, eodem modo ſemper ſe habet, neque cum humili natura variatur, quando ratione diſpenſationis in ea verſatur: euenitque ſicut in Sole, qui radium ſuum caligini ſubijciens, lumen radij ſui non obſcurat, ſed ipſius vi atque efficacia tenebras in lucem tranſmutat: ad eundem modum quando verum Lumen in tenebris noſtris refulſit, nequaquam obſcuratum ipſum eſt C à tenebris, ſed ſua ipſius vi caliginem illuſtrauit. Cum igitur in tenebris humanum genus verſaretur, ſicut ſcriptum eſt, *Non agnouerunt, neque intellexerunt, in tenebris ambulant*: is qui tenebroſam naturam illuſtrauit, per vniuerſam compagem noſtram deitatis radio tranſmiſſo (per animum dico & corpus) vniuerſum genus humanum proprio ſibi lumine participauit, dum illud ſibi copulauit atque coniunxit: effecitque vt illud eſſet quod eſt ipſe: atque vt corrupta deitas non eſt, habitans in obno- D xio corruptioni corpore: ſic nec vllius mutationis variationem ſuſtinuit, quando mutabilitatem animi noſtri ſanauit. quippe & in arte medica qui corporibus medicinam facit, cum affectum corpus tangit, nequaquam ipſe ægritudinem contrahit, ſed ægrotum ad ſanitatem perducit. Nemo tamen propterea, perperam acceptis Euangelij verbis, exiſtimet, naturam noſtram in Domino progreſſu quodam & conſequentia paullatim eſſe immutatam & diuiniorem effectam. quod enim dicitur, *progreſſum faciebat in ſtatura, ſapientia & gratia*: ideo commemoratur à Scriptura, vt demonſtretur, vere in maſſa noſtra Dominum fuiſſe generatum. ne quis locus eorum relinquatur errori, quorum ſcitum eſt, pro vera Dei apparitione, ſpeciem dumtaxat quandam eſſe genitam, quæ figurã aſſumpſerit humanæ

